This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

Harvard College Library

FROM

Estate of Prof. E. W. Gurney

ΙΣΟΚΡΑΤΗΣ.

ISOCRATIS ORATIONES
ET EPISTOLÆ.

Didot, Ambroise Firmin, frères,
fils et cie, publishers.

Scriptorum graecorum bibliotheca

PARISIIS. — EXCUDEBANT FIRMIN DIDOT FRATRES, VIA JACOB, 56.

Müller, Karl, editor.
Oratores attici.
I.

ΙΣΟΚΡΑΤΗΣ.

ISOCRATIS ORATIONES
ET EPISTOLÆ.

RECOGNOVIT J. G. BAITER,

PROFESSOR TURICENSIS.

GRÆCE ET LATINE.



PARISIIS,
EDITORE AMBROSIO FIRMIN DIDOT,
INSTITUTI REGII FRANCIÆ TYPOGRAPHO,
VIA JACOB, 56.

M DCCC XLVI.

Gi 26.36

[Harvard] College Library
From the Estate of
[Prof.] F. E. W. GURNEY
[1] July, [1883]

PRÆFATIO.

Non ullum fere scriptorem antiquum tanto opere juvit diligens exploratio codicum quanto Isocratem. Is ab rhetoribus incredibilem in modum interpolatus legebatur per longam sæculorum seriem, donec Urbinatem codicem ab se excussum edidit BEKKERUS, cujus relatio docet quanta sibi permiserint veteres magistri mutando fingendoque, et exemplo demonstrat artem criticam non contineri in confusarum literarum notatione. Isocratem hoc modo ante hos tres et viginti annos vere renatum comitari non poterat Hieronymi Wolfii quamvis bona translatio: multa refingi, suppleri multa debebant. Quod præstitit professoris Coburgensis *E. A. I. Ahrens* docta diligentia. Græca autem post *Bekkerum* et *G. Dindorfium* maxima cura tractaverat *Baiterus*, qui quantum in hoc oratore studii posuerit editione Panegyrici et aliis scriptis abunde ostendit. Ejus igitur viri docti recensionem expressimus, appellato ipso si quid esset quod jam aliter scribi vellet. Neque nunc deesse Isocrati voluit suo, sed observata nova nobiscum communicavit. Quorum hæc commemoramus: *Ad Nicocl.* § 2, l. 29, ἔργων delendum significavit cum opt. codd. § 40, 45 θαυμάσῃς scripsit pro θαύμαζε ex usu loquendi. — *Nicocl.* § 22, 45 scripsit καὶ λαθεῖν καὶ φθῆναι, pro ὀφθῆναι, egregia emendatione. § 24, 8 et § 30, 51 delenda notavit τῶν Ἀθηναίων et τῶν ἰδεῶν cum optimis. § 55, 34 πραοτέρους pro πράους ex opt. § 61, 21 ἐν ante τοῖς λόγοις ejecit cum codd. — *Paneg.* § 28, 6 delet διττὰς cum opt. § 33, 4 ὁμολογουμένως cum H. Wolfio pro ὁμολογουμένους. § 83, 39 transponit quod erat τὴν σύμπασαν Ἑλλάδα. § 107, 27 delet οἱ ἄλλοι cum opt. — *Philipp.* § 1, 1 ἄγνοιαν pro ἄνοιαν cum opt. § 57, 41 sq. correxit quod legebatur ἀντιλέγουσιν ὡς. § 154, 14 κατίδῃς pro κατίδοις. — *Archid.* § 17, 52 correxit ex cod. E. ordinem ἀφίκοντο εἰς Δελφούς. § 74, 15 ἀφέσθαι

pro ἀφεῖσθαι. § 84, 43 ὑπομείναιμεν pro ὑπομεῖναι. § 105, 32 ταὐτὰ pro ταὐτό. — *Areóp.* § 39, 27 transp. quod legebatur τῆς εὐταξίας ἐπιμελεῖσθαι. — *De pace* § 115, 2 transp. πον. ἔχειν νομ. — *Hel. enc.* § 61, 35 καταχαλέσωνται pro ἐπιχ. — *Busir.* § 35, 7 Ἕλλησιν restituit pro quo prius scripserat ἄλλοις. § 43, 9 ποιήσουσιν ex opt. pro ποιήσωσιν· — *Panath.* § 13, 2 μεσεγγυώματος restituit pro μεσεγγυήματος. § 37, 26 καταδεέστερον ex opt. pro -έρως. § 155, 37 uncos addidit. § 202, 24 ἐκείνου γε pro ἐκεῖνό γε, certa conjectura. — *Antid.* § 5, 6 ἤνεγκα μὲν pro ἠνέγκαμεν. § 23, 35 ἐμαυτοῦ ex libris pro αὐτοῦ. § 36, 23 οὐδὲ ταῦτ' ἔχων, pro οὐδ' εἰ, certa conjectura. § 115, 11 ἀλλὰ pro ἀλλ' ὁ. § 166, 21 καταβιῶναι pro ἐπιβ. § 178, 52 transp. ποιούμεθα ἡμεῖς. § 253, 45 scribendum τοιοῦτον. § 302, 13 scripsit τοὺς καὶ μικρὰ, addito καί de conj. — *Trapez.* § 42, 38 cum Dobreeo scribendum esse significat ὥστε τὸ μὲν πρῶτον παρὰ μικρὸν ἦλθον, ex vestigiis codicum. § 44, 48 μου pro μοι cum Sauppio. — *Ægin.* § 5, 32 et § 13, 37 delet γὰρ et ὄντα cum opt. § 44, 14 εἶχεν pro εἶχον, de conj. — *Adv. Euthyn.* § 13, 40 μηδὲν addidit de Bekkeri conj. § 15, 3 ἐλπίζειν pro ἤλπιζε cum H. Wolfio.

Scripsimus exeunte Decembri MDCCCXLV.

ΙΣΟΚΡΑΤΗΣ

1.

ΠΡΟΣ ΔΗΜΟΝΙΚΟΝ.

2 Ἐν πολλοῖς μέν, ὦ Δημόνικε, πολὺ διεστώσας εὑ- a ρήσομεν τάς τε τῶν σπουδαίων γνώμας καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις· οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν, οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι· καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε, τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ' b ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. (2) Ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους καὶ παιδείας ἀντιποιουμένους τῶν σπουδαίων ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητάς, ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ὑμᾶς εὐνοίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας· πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν. (3) Ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν καὶ τὸν c παρόντα καιρὸν συναγωνιζόμενον· σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ, καὶ σοὶ μὲν ἀκμὴ φιλοσοφεῖν, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. Ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν, οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν· (4) ὅσοι δὲ τοῖς νεωτέροις εἰση- d γοῦνται μὴ δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων τοὺς ἀκού- a
3 οντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον παρακαλοῦσιν, οἱ δὲ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι. (5) Διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομέν σοι συμβουλεύειν ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι καὶ τίνων ἔργων ἀπέχεσθαι καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. Ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν, ἧς b οὐδὲν κτῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστι. (6) Κάλλος μὲν γὰρ ἢ χρόνος ἀνήλωσεν ἢ νόσος ἐμάρανε· πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν, ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν· ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἐλυμήνατο, καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν. c (7) Ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει, πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί, τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα δυνατὰ καθιστᾶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ θαρσαλέως ὑπομένουσα, καὶ τὸν μὲν ὄκνον ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη. (8) Ῥᾴδιον δὲ τοῦτο καταμαθεῖν ἐστιν ἔκ τε τῶν Ἡρακλέους ἄθλων

1.

AD DEMONICUM.

Quum multis, Demonice, in rebus multum interesse videas inter bonorum rationes et ignavorum opiniones, tum in familiaritatibus longe maximum discrimen apparet. Nam alteri amicos, dum adsunt tantum, colunt, quum alteri etiam longe remotos ament; atque ignavorum quidem necessitudines brevi momento pereunt, bonorum autem amicitias nulla temporis longinquitas deleverit. (2) Quum igitur iis qui gloriam expeterent et liberalibus artibus studerent, bonos, et non ignavos imitandos censerem, hanc orationem dono tibi misi, quæ et benevolentiæ erga vos pignus esset et meæ cum Hipponico familiaritatis signum. Ut enim rei familiaris, sic amicitiæ paternæ liberis capienda est hæreditas. (3) Ac nobis et fortunam suffragari et ipsum tempus opitulari video. Nam et tu erudiri cupis, et ego in aliis erudiendis elaboro; tibi ætas est philosophandi; ego philosophantibus viam commonstro. Etsi autem ii qui ad amicos suos exhortationes scribunt, rem certe præclaram suscipiunt, non in eo tamen versantur, quod est in sapientiæ studio præstantissimum: (4) qui vero adolescentibus tradunt ea, non quibus dicendi facultatem acuant, sed moribus bene instituti videantur, eo plus, quam illi, fructus afferunt auditoribus, quod, ut alteri ad eruditionem verborum hortantur, sic alteri indolem eorum corrigunt. (5) Nos igitur non arrepta hortatione, sed conscripta admonitione tibi consulturi sumus, quæ res adolescentibus expetendæ quæque facta fugienda sint, et quorum hominum consuetudine uti et quo pacto vitam instituere debeant. Nam qui hanc vivendi viam ingressi sunt, hi soli veræ virtutis compotes fieri potuerunt, qua nulla possessio neque venerabilior est neque constantior. (6) Nam forma quidem aut ætate consumitur, aut morbo deflorescit; divitiæ vero vitiorum magis quam virtutis ministræ sunt, quæ et ignaviæ facultatem offerunt, et adolescentes ad voluptates invitant: jam vires corporis cum prudentia conjunctæ sane prosunt, sed sine hac plus iis ipsis nocent, penes quos sunt, et ut corpora pugilum ornant, sic mentis exercitationi tenebras obducunt. (7) Virtutis autem possessio, in quorum animis sincere una cum ætate accreverit, sola nec in senectute deserit, et opibus præstantior et nobilitate utilior. Nam quæ alii efficere non possunt, ea facit ut obtineri possint: quæ multitudini horrenda videntur, magno animo subit; desidiam in vitio ponit, laborem laudi sibi ducit. (8) Quæ quidem facile tum ex Herculis certaminibus, tum

καὶ τῶν Θησέως ἔργων, οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον d εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων. (9) Οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθεὶς οἰκεῖον καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ' ἐμοῦ σοι λεγομένων. Οὐ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς οὐδὲ ῥᾳθυμῶν διετέλεσε τὸν βίον, ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑφίστατο· οὐδὲ τὸν πλοῦτον παρακαίρως e ἠγάπα, ἀλλ' ἀπέλαυε μὲν τῶν παρόντων ἀγαθῶν ὡς θνητός, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων ὡς ἀθάνατος. (10) Οὐδὲ ταπεινῶς διῴκει τὸν αὑτοῦ βίον, ἀλλὰ
4 φιλόκαλος ἦν καὶ μεγαλοπρεπὴς καὶ τοῖς φίλοις κοινός, a καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζοντας ἢ τοὺς γένει προσήκοντας· ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρίαν πολλῷ κρείττω φύσιν νόμου καὶ τρόπον γένους καὶ προαίρεσιν ἀνάγκης. (11) Ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα. Ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν, δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν, πρὸς ὃν δεῖ ζῆν σε ὥσπερ πρὸς παράδειγμα, b νόμον μὲν τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γιγνόμενον· αἰσχρὸν γὰρ τοὺς μὲν γραφεῖς ἀπεικάζειν τὰ καλὰ τῶν ζῴων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. (12) Ἡγοῦ δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν ὅπως ἐφάμιλλος γενήσει τοῖς τοῦ πατρὸς ἐπιτηδεύμασιν. c Οὕτω δὲ τὴν γνώμην οὐ δυνατὸν διατεθῆναι τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον· τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε. Διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι' ὧν ἄν μοι δοκεῖς ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι.

13. Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεούς, d μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκαγαθίας τεκμήριον. Τίμα τὸ δαιμόνιον ἀεὶ μέν, μάλιστα δὲ μετὰ τῆς πόλεως· οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν καὶ τοῖς νόμοις ἐμμένειν.

14. Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο e περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας.

Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν· τούτου δ' ἂν
5 ἐπιτύχοις, εἰ λήγοις τῶν πόνων ἔτι πονεῖν δυνάμενος. a

15. Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν. Ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. Ἔθιζε σεαυτὸν εἶναι μὴ σκυθρωπόν, ἀλλὰ σύννουν· δι' ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις. Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον,

e Thesei operibus perspici possunt, quorum factis morum præstantia tantum gloriæ decus impressit, ut nulla secula res eorum gestas oblivione delere possint. (9) Atque adeo, si, quod vitæ institutum patris tui fuerit, recordere, domesticum et illustre habebis exemplum eorum, quæ a me dicuntur. Nec enim sic exegit ætatem, ut vel virtutem negligeret vel ignaviæ sese dederet, sed et corpus laboribus exercuit, et animum periculis subjecit; neque pecuniam supra modum amavit, sed et bonis suis usus est ut mortalis, et rem familiarem curavit ut immortalis. (10) Neque vero vitam abjecte instituit, sed et splendidus fuit et magnificus et benignus in amicos, ac sui studiosos pluris fecit, quam genere sibi propinquos. Ad amicitiam enim constituendam longe plus esse virium in natura quam in lege, in moribus quam in genere, in voluntate quam in necessitate judicabat. (11) Deficeret nos omne tempus, si omnes illius actiones enumeraremus. Sed illas accuratius alias explicabimus; nunc specimen Hipponici naturæ exhibuimus, quem tanquam exemplar in vita degenda propositum tibi habere debes, ut mores illius pro legibus habeas paternamque virtutem imiteris et admireris. Nam quum pictores pulchras animantes exprimant, liberis turpe fuerit parentes virtute præstantes non imitari. (12) Quare persuasum habeto nulli pugili tantam esse præparationem adhibendam contra suos adversarios, quam tibi curandum sit ut in his vitæ institutis sis patris tui æmulator. Nequaquam autem fieri potest ut quisquam hoc in animum inducat suum, nisi multis et bonis præceptis fuerit refertus. Nam ut moderatis laboribus corpora, sic honesta doctrina mentes augeri solent. Itaque ego te breviter monere conabor, quibus studiis maximos ad virtutem progressus facturus, et ab aliis omnibus laudem et gloriam consecuturus esse videaris.

13. In primis igitur deos immortales religiose colito, non sacrificia modo faciendo, sed jurejurando etiam conservando. Nam illud amplæ pecuniæ indicium est: hoc, morum integritatis argumentum. Venerare numen quum alias semper, tum maxime quum sacra publice fiunt. Sic enim apparebit te simul et diis immolare, et legibus obtemperare.

14. Talem erga parentes te præbe, quales in te liberos esse tuos optares.

Eas corporis exercitationes amplectere, non quæ viribus, sed quæ valetudini prosint. Quod ita consequere, si laborare desinas, dum adhuc laborare queas.

15. Neque petulantem risum ama, neque audacem orationem proba. Nam alterum stultitiæ est, alterum insaniæ. Quæ factu sunt turpia, ne dictu quidem decora esse puta. Assuefac te, ut sis vultu non tristi, sed cogitabundo. Nam illud insolentiæ, hoc prudentiæ tribuetur. Existima te maxime

αἰσχύνην, δικαιοσύνην, σωφροσύνην· τούτοις γὰρ ἅπασι b δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος.

16. Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν· καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σεαυτῷ συνειδήσεις.

Τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου.

Τὰς ἡδονὰς θήρευε τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου κάκιστον. c

17. Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. Ἅπαντα δόκει ποιεῖν ὡς μηδένα λήσων· καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσει. Μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράτ- d των, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης.

18. Ἐὰν ἦς φιλομαθής, ἔσει πολυμαθής. Ἃ μὲν ἐπίστασαι, ταῦτα διαφύλαττε ταῖς μελέταις, ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις· ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μαθεῖν καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαβεῖν. Καταναλίσκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν· οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμ- e βήσεταί σοι ῥᾳδίως μανθάνειν. (19) Ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει·
6 σοφία γὰρ μόνον τῶν κτημάτων ἀθάνατον. Μὴ κατόκνει a μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν αὑτῶν διάνοιαν.

20. Τῷ μὲν τρόπῳ γίγνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος. Ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ b προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσει, τοῖς δὲ φίλος γενήσει. Τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνὰς τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων.

21. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύνῃ καὶ τοὺς ἀκουσίους ὑπομένειν. Ὑφ' ὧν κρατεῖσθαι τὴν c ψυχὴν αἰσχρόν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. Ἔσει δὲ τοιοῦτος, ἐὰν κέρδη μὲν εἶναι νομίζῃς δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις, τῇ δὲ ὀργῇ παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας ὥσπερ ἂν πρὸς ἑαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας, ἐν δὲ τοῖς τερπνοῖς, ἐὰν αἰσχρὸν ὑπολάβῃς τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν, ἐν δὲ τοῖς πονηροῖς, ἐὰν τὰς τῶν ἄλ- d λων ἀτυχίας ἐπιβλέπῃς καὶ αὐτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς.

22. Μᾶλλον τήρει τὰς τῶν λόγων ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας

decere modestiam, verecundiam, justitiam, temperantiam. His enim omnibus juvenilis animus in officio continetur.

16. Si quid unquam turpe admiseris, ne sperato fore clam. Nam ut alios id celes, at ipse tibi eris conscius.

Deum time, parentes honora, amicos verere, legibus obtempera.

Eas sequere voluptates, quæ gloriam pariant. Nam oblectatio conjuncta cum honestate, res est optima : sine hac, pessima.

17. Cave criminationes etiam falsas. Vulgus enim, quum veritatem ignoret, ex opinione famaque judicat. Omnia te ita facere puta, quasi neminem sis celaturus. Etsi enim quippiam occultaris in præsentia, post tamen innotescet. Existimationi maxime servies, si ea te non facere appareat, quæ ab aliis facta reprehenderes.

18. Si cupide didiceris, multa disces. Quæ scis, hæc exercitationis diligentia tuere : quæ non didicisti, cognitione adjungito. Æque enim turpe est auditam utilem orationem non discere, ac boni quippiam datum ab amicis non accipere. Quicquid otii dabitur, id in audiendæ doctrinæ studio consumito. Sic enim fiet ut quæ magnis alii laboribus invenere, tu facile perdiscas. (19) Puta multa quæ audiri possint, magnæ præstare pecuniæ. Nam hæc facile amittitur, illa perpetuo durant : solius enim sapientiæ possessio est immortalis. Ne te pigeat longam ire viam ad eos, qui se aliquid utile docturos profitentur. Quum enim mercatores rei familiaris augendæ gratia tanta maria transmittant, turpe fuerit adolescentes excolendi ingenii causa ne terrestre quidem iter velle suscipere.

20. Moribus tuis adsit affabilitas, verbis urbanitas. Est autem affabilitatis obvios salutare, urbanitatis comiter eos appellare. Comis in omnes eris, sed optimorum familiaritate uteris. Sic aliorum inimicitias vitabis, aliorum tibi amicitiam conciliabis. Ne sæpius eosdem neque verbosius iisdem de rebus alloquare. Est enim rerum omnium satietas.

21. Exerce te voluntariis laboribus, ut etiam non voluntarios perferre possis. Dabis operam ut rebus omnibus imperes, quibus animum servire turpe est : cujusmodi sunt; lucrum, ira, voluptas, dolor. Hæc autem ita consequere; si ea in lucro deputes, quæ gloriam, non quæ opes augeant, in ira, si talem te præbeas delinquentibus, quales in te delinquentem alios esse velis; in oblectationibus, si turpe ducas servis imperare, voluptatibus servire; in rebus adversis, si aliorum calamitates inspicias, etiam te hominem esse recorderis.

22. Diligentius tuere deposita verborum quam nummorum. Nam bonorum virorum est ita se gerere, ut morum

τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους. Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς πιστεύειν. Περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως συμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι e κἀκείνοις τοῖς ἀκούουσιν. (23) Ὅρκον ἐπακτὸν προσδέχου διὰ δύο προφάσεις, ἢ σεαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ μεγάλων κινδύνων διασώζων. Ἕνεκα δὲ χρημάτων μηδένα θεῶν ὀμόσῃς, μηδ' ἂν 7 εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ a φιλοχρηματῶς ἔχειν.

24. Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς πῶς κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενέσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε. Βραδέως μὲν φίλος γίγνου, γενόμενος δὲ πειρῶ διαμένειν. Ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν καὶ πολλοὺς ἑταίρους μεταλλάττειν. Μήτε μετὰ βλάβης b πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε. Τοῦτο δὲ ποιήσεις, ἐὰν μὴ δεόμενος τὸ δεῖσθαι προσποιῇ. (25) Περὶ τῶν ῥητῶν ὡς ἀπορρήτων ἀνακοινοῦ· μὴ τυχὼν μὲν γὰρ οὐδὲν βλαβήσει, τυχὼν δὲ μᾶλλον αὐτῶν τὸν τρόπον ἐπιστήσει. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ βασανίζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν. Οὕτως ἄριστα χρήσει τοῖς φίλοις, ἐὰν c μὴ προσμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος αὐτοῖς ἐν τοῖς καιροῖς βοηθῇς. (26) Ὁμοίως αἰσχρὸν εἶναι νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιίαις καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ d φθονοῦντας· πολλοὶ γὰρ ἀτυχοῦσι μὲν τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν.

27. Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. Ἔστι δὲ φιλοκάλου μὲν τὸ μεγαλοπρεπές, καλλωπιστοῦ δὲ τὸ περίεργον.

Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν e κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν. Καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων μέν, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο a 8 καλὸν κακῶς ἱππεύειν ἐπιστάμενος. (28) Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν. Ἔστι δὲ χρήματα μὲν τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα δὲ τοῖς κτᾶσθαι δυναμένοις. Τίμα τὴν ὑπάρχουσαν οὐσίαν δυοῖν ἕνεκεν, τοῦ τε ζημίαν μεγάλην ἐκτῖσαι δύνασθαι, καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι· πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως b ἀλλὰ μετρίως αὐτὴν ἀγάπα.

29. Στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω.

Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἀόρατον.

integritas fide dignior quam jusjurandum esse videatur. Quemadmodum improbis diffidendum, sic bonis habendam esse fidem ducito. Nemini arcana tua credito, nisi res illas taceri æque expediat illis qui audiunt, ac tibi dicenti. (23) Jusjurandum tibi oblatum duabus de causis dabis, vel ut temetipsum turpi crimine liberes, vel ut amicos e periculis eripias. Pecuniæ vero causa per nullum deum jurabis, ne si quidem sincere id facere possis, ne aliis perjurus, aliis avarus esse videaris.

24. Amicitiam cum nemine jungito, priusquam exploraveris quomodo prioribus amicis fuerit usus. Sperato enim eum in te quoque fore talem, qualem erga illos se præbuerit. Lente amicitiam contrahito, contractam perpetuo conservare studeto. Nam mutare familiaritates æque turpe est, atque amicum habere neminem. Neque cum damno mores amicorum periclitare neque sodalium animos velis ignorare. Quod ita facies, si egere te simularis, non egens. (25) Communicato cum eis res non arcanas, tanquam arcanas. Nam et deceptus, nihil detrimenti capies: et voti compos factus, mores eorum perspectiores habebis. Explora amicos quum in vitæ calamitate tum in periculorum societate. Nam ut aurum igni cognoscitur, sic amicorum fides rebus adversis declaratur. Sic rectissime tractabis amicos, si non exspectes dum te rogent, sed ultro, quum tempus postulat, eis opem feras. (26) Non minus turpe ducas superari beneficiis amicorum quam vinci maleficiis inimicorum. Eos amicos proba, quibus non tantum mala tua doleant, sed qui etiam bonis tuis non invideant. Multi enim, ut rebus amicorum adversis dolent, ita secundis invident. Absentium amicorum mentionem fac apud præsentes, ut hos quoque absentes neglecturus esse non videaris.

27. In vestitu fac ornatum probes, luxum repudies. Habet autem ornatus magnificentiam, luxus redundantiam.

Ama bonorum non nimium cumulum, sed moderatum fructum. Eos qui amplificandæ rei student, quum partis uti nesciant, contemnito. Istis enim idem fere accidit, quod ei qui bono equo comparato non satis sit equitandi peritus. (28) Divitias comparare stude et ad utendum et ad habendum. Sunt enim iis, qui frui norunt, usui, qui parare, possessio. Rem familiarem duabus de causis magni fac, tum ut magnam mulctam sufferre, tum ut bono amico ferre opem in calamitate possis. Quod autem ad ceteras vitæ rationes attinet, non supra modum eam, sed mediocriter amato.

29. Iis quæ adsunt contentus esto, quære tamen res meliores.

Nemini calamitatem exprobres. Nam fortuna communis est ac quæ futura provideri non possunt.

Τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη. Τοὺς κακοὺς εὖ ποιῶν ὅμοια πείσει τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν· c ἐκεῖναί τε γὰρ τοὺς διδόντας ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν, οἵ τε κακοὶ τοὺς ὠφελοῦντας ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι. (30) Μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύσαντας ἀδικοῦσιν. Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατον χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους. Γίγνου d πρὸς τοὺς πλησιάζοντας ὁμιλητικός, ἀλλὰ μὴ σεμνός· τὸν μὲν γὰρ τῶν ὑπεροπτικῶν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν, τὸν δὲ τῶν ὁμιλητικῶν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν. (31) Ὁμιλητικὸς δ' ἔσει μὴ δύσερις ὢν μηδὲ δυσάρεστος μηδὲ πρὸς πάντας φιλόνικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μηδ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν, ἀλλὰ θυμουμένοις e μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων· μηδὲ παρὰ τὰ γελοῖα σπουδάζων, μηδὲ παρὰ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων (τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν), μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος, ὅπερ πάσχουσιν οἱ πολλοί, ποιοῦντες
9 μέν, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες· μηδὲ φιλαίτιος a ὤν, βαρὺ γάρ, μηδὲ φιλεπιτιμητής, παροξυντικὸν γάρ.

32. Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας· ἐὰν δέ ποτέ σοι συμπέσῃ καιρός, ἐξανίστασο πρὸ μέθης. Ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι τοῖς τοὺς ἡνιόχους ἀποβαλοῦσιν· ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται διαμαρτόντα τῶν εὐθυνούντων, ἥ τε ψυχὴ πολλὰ σφάλλεται διαφθαρείσης b τῆς διανοίας.

Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν.

33. Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας· πολλάκις γάρ, ὧν τοῖς λόγοις ἐλύπησαν, τούτων τοῖς ἔργοις τὴν τιμωρίαν ἔδοσαν.

Οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε c περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας· ἀρχὴ γὰρ φιλίας μὲν ἔπαινος, ἔχθρας δὲ ψόγος.

34. Βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν τῶν θεῶν εὐτυχίαν, παρὰ δὲ ἡμῶν αὐτῶν εὐβουλίαν. Περὶ ὧν ἂν αἰσχύνῃ παρρησιάσασθαι, d βούλῃ δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος· οὕτω γὰρ τὴν ἐκείνων τε γνῶσιν αἰσθήσει, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις. (35) Ὅταν ὑπὲρ σεαυτοῦ μέλλῃς τινὶ συμβούλῳ χρῆσθαι, σκόπει πρῶτον πῶς τὰ ἑαυτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς περὶ τῶν οἰκείων

Bonis benefacito. Præclarus enim thesaurus est beneficium apud bonum virum collocatum. Si de malis bene mereberis, idem tibi usuveniet, quod iis qui alienos canes pascunt. Nam et hi æque allatrant eos qui dant, quam quoslibet; et improbi non minus eis qui bene de ipsis merentur, quam eis qui nocent, injuriam faciunt. (30) Assentatores non minus oderis, quam impostores. Nam utrique eos, qui fidem illis habuerunt, injuria afficiunt. Si eos amicos complecteris, qui nequissimis in rebus gratificantur, per omnem ætatem nullos habebis, qui odium tuum propter res optimas suscipiant. Comis erga eos esto, qui te conveniunt, non superbus. Nam fastidiosorum arrogantiam vel servi ægre ferunt, comitas vero grata et jucunda est omnibus. (31) Sunt autem comitatis officia non contentiosum esse, non morosum, non adversus omnes pertinacem suæ sententiæ defensorem, non aspere familiarium iracundiæ resistere, ne si quidem injuste irascantur, sed eis cedere, dum commoti sunt, atque ubi deferbuerit ira, eos objurgare; non in ridiculis serias res agere, neque seriis in rebus nugis gaudere (intempestiva enim ubique molesta sunt), non illiberaliter inire gratiam, quo vitio multi laborant, qui etsi amicis obsequuntur, gravate tamen id faciunt; non facile incusare, nam odiosum est; non ad reprehendendum esse proclivem, nam iratos facit.

32. Conviviorum vitare sodalitates consultissimum certe fuerit : sed si quando tempus postularit, surgito ante ebrietatem. Quum enim vino mens corrupta fuerit; idem ei quod curribus accidit, e quibus aurigæ sunt excussi; nam ut hi temere feruntur, carentes gubernatoribus, sic animus in multa delicta impellitur, mente subversa.

Immortalitatem specta, magnitudine animi : mortalitatem, moderato rerum usu.

33. Quantum eruditio inscitiæ præstet, ex eo perspicies, quod omnes e ceteris laboribus fructum aliquem capiunt, hæc vero sola detrimentum etiam ultro injungit. Nam sæpe isti, quem offendêre verbis, ei re ipsa pœnas dederunt.

Cum quibus amicitiam inire vis, de illis honorifice loquitor, iis audientibus qui renunciaturi sint. Principium enim amicitiæ est laudatio, vituperatio inimicitiarum.

34. Quum deliberas, e præteritis exempla pete rerum futurarum. Nam quæ obscura sunt, e manifestis facillime dijudicantur. In deliberando tardus esto, in exsequendis decretis celer. Existima nihil tribui melius, a diis quidem, prospera fortuna, a nobis ipsis autem, sapienti consilio. Quas res aperte dicere vereberis, et tamen cum amicis aliquibus communicare cupies, tanquam de re aliena orationem instituito. Sic enim et eorum mentem percipies nec te ipse aperies. (35) Si alterius consilium in tuis negotiis expetes, considerabis inprimis, quomodo res suas administrarit. Nam qui sua negotia male consultus gessit, nun-

οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. Οὕτω e δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψειας· καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀρρωστίας ἀναμνησθῶμεν.

10 36. Μιμοῦ τὰ τῶν βασιλέων ἤθη καὶ δίωκε τὰ ἐκείνων a ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ ζηλοῦν, ὥστε σοι συμβήσεται παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. Πείθου μὲν καὶ τοῖς νόμοις τοῖς ὑπὸ τῶν βασιλέων κειμένοις, ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον. Ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν b ἐν μοναρχίᾳ κατοικοῦντα τὸν βασιλέα προσήκει θαυμάζειν.

37. Εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος. c

Μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷά περ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς.

38. Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δύνασθαι, ἀνέχου δὲ τὸ ἴσον ἔχων, ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν. Μᾶλλον ἀποδέχου δικαίαν πενίαν ἢ πλοῦτον ἄδικον· τοσούτῳ d γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευάζει, κἀκείνων μὲν τοῖς φαύλοις μέτεστι, τούτου δὲ τοῖς μοχθηροῖς ἀδύνατον μεταλαβεῖν. (39) Μηδένα ζήλου τῶν ἐξ ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίαις ὑπερέχουσιν. e

40. Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μάλιστα δὲ τὴν σαυτοῦ φρόνησιν ἄσκει· μέγιστον γὰρ ἐν
11 ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. Πειρῶ τῷ a μὲν σώματι εἶναι φιλόπονος, τῇ δὲ ψυχῇ φιλόσοφος, ἵνα τῷ μὲν ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾶν ἐπίστῃ τὰ συμφέροντα.

41. Πᾶν ὅ τι ἂν μέλλῃς ἐρεῖν, πρότερον ἐπισκόπει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας. Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα b σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. Ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν.

42. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσει περιχαρὴς οὔτε δυστυχῶν περίλυπος. Χαῖρε μὲν ἐπὶ τοῖς συμβαίνουσι τῶν ἀγαθῶν, λυποῦ δὲ μετρίως ἐπὶ τοῖς γιγνομένοις τῶν κακῶν, γίγνου δὲ τοῖς ἄλλοις μηδ' ἐν ἑτέροις ὢν κατάδηλος· ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔχοντα περιπατεῖν. (43) Μᾶλλον

quam bene procurabit aliena. Sic autem ad capiendi consilii prudentiam maxime incitaberis, si, quæ damna temeritatem sequantur, cogitaris. Nam et valetudinem diligentissime curamus, quum ægrotationum molestias recordamur.

36. Regum mores imitare et ad eorum studia te confer; videberis enim eos probare et æmulari. Unde fiet ut et populus de te melius existimet, et tu illorum benevolentiam erga te confirmes. Legibus regiis quidem obtempera; voluntatem tamen eorum firmissimam esse legem ducito. Quemadmodum enim in populari degenti republica multitudo colenda est, sic eum quoque qui sub imperio regio est, regem suspicere oportet.

37. Magistratum adeptus, nullius improbi ministerio in obeundis negotiis utitor. Nam quicquid ille deliquerit, id tibi imputabitur. A publicis functionibus discede non locupletior, sed laudatior. Magnis enim opibus laus apud populum parta est præferenda.

Nullius improbi negotii vel adjutor, vel patronus esse velis. Nam et te ipsum eadem facere putabunt, in quibus faciendis alios adjuveris.

38. Sic te parato, ut aliis plus possis, et æquo tamen jure cum cæteris vivito, ut te justitiam colere appareat non ex imbecillitate, sed propter æquitatem. Paupertatem cum justitia conjunctam opibus male partis anteponito. Nam justitia pecuniis eo præstantior est, quod hæ viventibus tantum prosunt, illa etiam defunctis gloriam parit; hæ vel malis hominibus contingunt, illud improbi nullo consequi modo possunt. (39) Neminem eorum qui lucrum sibi injustis factis acquirunt, æmulare, sed eos potius magni facito, qui ob justitiæ studium detrimentis afficiuntur. Nam justi si nulla re alia injustis præstant, spe certe bona sunt superiores.

40. Quum omnium rerum quæ ad vitam degendam pertinent, curam suscipito, tum ingenio excolendo vel maxime intentus esto. Maxima enim res in re minima est bona mens in corpore humano. Da operam ut et corpore sis laborioso et animo studioso, ut altero quæ decreveris perficere queas, altero quæ profutura sint prospicere scias.

41. Quidquid dicturus es, prius cum animo tuo reputa. Multi enim sunt quorum lingua cogitationi præcurrat. Duas loquendi opportunitates constitue, alteram de rebus tibi plane cognitis, alteram de iis quæ necessario sunt dicenda. In his enim solis silentium antecellit oratio; in reliquis vero tacere satius est quam loqui.

42. Nihil rerum humanarum esse firmum existima. Sic fiet ut nec in rebus secundis lætitia exsultes, nec in adversis nimio dolore afficiaris. Et gaudere debes rebus secundis, et moderate ferre dolorem calamitatum, sed neutra aliis ostendito palam. Quum enim domi opes occultemus, absurdum fuerit aperto animo obambulare. (43) Magis cave

εὐλαβοῦ ψόγον ἢ κίνδυνον· δεῖ γὰρ εἶναι φοβερὰν τοῖς c
μὲν φαύλοις τὴν τοῦ βίου τελευτήν, τοῖς δὲ σπουδαίοις
τὴν ἐν τῷ ζῆν ἀδοξίαν. Μάλιστα μὲν πειρῶ ζῆν κατὰ
τὴν ἀσφάλειαν· ἐὰν δέ ποτέ σοι συμβῇ κινδυνεύειν,
ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης,
ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης· τὸ μὲν γὰρ τελευτῆσαι
πάντων ἡ πεπρωμένη κατέκρινε, τὸ δὲ καλῶς ἀποθα-
νεῖν ἴδιον τοῖς σπουδαίοις ἀπένειμεν. d

44. Καὶ μὴ θαυμάσῃς εἰ πολλὰ τῶν εἰρημένων οὐ
πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν. Οὐδὲ γὰρ
ἐμὲ τοῦτο διέλαθεν· ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς
πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν
ἐξενεγκεῖν καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα κατα-
λιπεῖν. Τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις,
τὸν δὲ μετ' εὐνοίας συμβουλεύοντα χαλεπῶς εὑρήσεις.
Ὅπως οὖν μὴ παρ' ἑτέρου τὰ λοιπὰ ζητῇς, ἀλλ' ἐντεῦ- e
θεν ὥσπερ ἐκ ταμιείου προφέρῃς, ᾠήθην δεῖν μηδὲν
παραλιπεῖν ὧν ἔχω σοι συμβουλεύειν. (45) Πολλὴν
δ' ἂν τοῖς θεοῖς χάριν σχοίην, εἰ μὴ διαμάρτοιμι τῆς
12 δόξης ἧς ἔχων περὶ σοῦ τυγχάνω. Τῶν μὲν γὰρ ἄλλων a
τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδί-
στοις μᾶλλον ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ
τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ'
οὐ τοῖς νουθετοῦσι. Σὲ δὲ νομίζω τοὐναντίον τούτων
ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην παι-
δείαν φιλοπονίᾳ· τὸν γὰρ αὑτῷ τὰ βέλτιστα πράττειν
ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ τὴν
ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι. (46) Μάλιστα δ' b
ἂν παροξυνθείης ὀρέγεσθαι τῶν καλῶν ἔργων, εἰ κατα-
μάθοις ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων μάλιστα γνησίως
ἔχομεν. Ἐν μὲν γὰρ τῷ ῥαθυμεῖν καὶ τὰς πλησμονὰς
ἀγαπᾶν εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι, τὸ
δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν καὶ σωφρόνως τὸν αὑτοῦ
βίον οἰκονομεῖν ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς καὶ βεβαιοτέ-
ρας ἀποδίδωσι· (47) κἀκεῖ μὲν πρότερον ἡσθέντες ὕστε- c
ρον ἐλυπήθημεν, ἐνταῦθα δὲ μετὰ τὰς λύπας τὰς ἡδονὰς
ἔχομεν. Ἐν πᾶσι δὲ τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς
μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν·
τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον οὐ δι' αὐτὰ τὰ πρά-
γματα ποιοῦμεν, ἀλλὰ τῶν ἀποβαινόντων ἕνεκεν διαπο-
νοῦμεν. (48) Ἐνθυμοῦ δὲ ὅτι τοῖς μὲν φαύλοις ἐνδέχε-
ται τὰ τυχόντα πράττειν· εὐθὺς γὰρ τοῦ βίου τοιαύτην
πεποίηνται τὴν ὑπόθεσιν· τοῖς δὲ σπουδαίοις οὐχ οἷόντε d
τῆς ἀρετῆς ἀμελεῖν διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐπιπλήτ-
τοντας. Πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρ-
τάνοντας ὡς τοὺς ἐπιεικεῖς μὲν φήσαντας εἶναι, μηδὲν
δὲ τῶν τυχόντων διαφέροντας, εἰκότως· (49) ὅπου γὰρ
τοὺς τῷ λόγῳ μόνον ψευδομένους ἀποδοκιμάζομεν, ἦ
πού γε τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους [οὐ] φαύλους
εἶναι φήσομεν; Δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολά-
βοιμεν μὴ μόνον εἰς αὑτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς e
τύχης εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς χρήματα καὶ
δόξαν καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους
τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. (50) Εἰ δὲ

reprehensionem, quam periculum. Nam ut vitæ finis improbis, sic bonis viris ignominiosa vita formidolosa esse debet. Operam inprimis dato ut in tuto vivere queas, sed si quando tempus inciderit, ut pericula sint adeunda, incolumis cum laude e bello evadere stude, non cum infamia. Nam fatum omnibus destinavit ut morerentur; mortem autem honeste oppetitam peculiare præstantium virorum munus esse voluit.

44. Neque vero mirari debes multa ex iis quæ diximus, isti ætati tuæ non convenire. Nam id me quoque non præteriit: sed propositum mihi fuit una eademque opera et de præsenti vitæ ratione consilium promere, et quid in posterum tibi faciendum esset præceptum relinquere. Nam usum quidem horum facile intelliges, benevolum monitorem autem ægre invenies. Ne igitur cetera ex aliis tibi quærenda essent, sed ut hinc omnia velut e penu depromeres, nihil, in quo tibi consulere possem, prætereundum esse duxi. (45) Magnas autem diis gratias agam, si me spes de te concepta non fefellerit. Nam ut plerosque alios cibis jucundissimis potius quam saluberrimis delectari, sic etiam ad eos sese amicos adjungere cernimus, qui una delinquunt, non ad eos qui vitia reprehendunt. Te vero contrarium statuisse existimo argumento industriæ tuæ in aliis disciplinis adductus. Nam qui ipse sibi optima quæque imperavit, eum consentaneum est etiam alios ad virtutem exhortantes amplecti. (46) Maxime autem ad studium honestarum rerum incitaberis, si animadvertes ex his verissimas nobis contingere voluptates. Nam in socordia quidem luxuriæque amore molestiæ statim voluptatibus adhærescunt: virtutis autem studium et sobrium vitæ institutum semper oblectationes sinceras atque etiam constantiores gignit. (47) Nam illic principio gavisi post dolemus, hic post molestias voluptates capimus. In omnibus autem rebus non tam principii solemus meminisse, quam sensu finis affici. Nam pleraque in vita non propter res ipsas agimus, sed propter ea quæ consequuntur elaboramus. (48) Illud item cogites velim: ignavis quidem hominibus quidvis licere agere, nam tale statim initio vitæ suæ fundamentum jecerunt; industriis vero negligere virtutem concessum non esse, quia, *si faciant*, a multis reprehendantur. Omnes enim non tam oderunt flagitiosos, quam eos qui virtutis professi studium re nulla a vulgo distinguantur, nec id injuria. (49) Nam quum eos improbemus, qui verbis tantum fallunt, quanto magis eos nequam homines dicemus, qui tota vita fallunt? Ac recte quidem ejus generis homines non in semetipsos tantum esse injurii, sed et fortunæ proditores existimantur, quæ quum eis et opes et gloriam et amicos tribuerit, ipsi parta felicitate indignos sese præbeant. (50) Quodsi fas est mortali voluntatem

δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν στοχάσασθαι διανοίας,
13 ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δη- a
λῶσαι πῶς ἔχουσι πρὸς τοὺς φαύλους καὶ τοὺς σπου-
δαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάν-
ταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι καὶ πάντες πι-
στεύουσι, τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε,
τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλα-
σεν. (51) Οἷς δεῖ παραδείγμασι χρωμένους ὀρέγεσθαι
τῆς καλοκαγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημέ-
νοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μαν- b
θάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, εἴ τι χρήσιμον εἰρή-
κασιν, ἀναγιγνώσκειν. (52) Ὥσπερ γὰρ τὴν μέλιτταν
ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν,
ἀφ' ἑκάστου δὲ τὰ βέλτιστα λαμβάνουσαν, οὕτω δεῖ καὶ
τοὺς παιδείας ὀρεγομένους μηδενὸς μὲν ἀπείρως ἔχειν,
πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. Μόλις γὰρ ἄν
τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας
ἐπικρατήσειεν.

deorum conjecturis indagare, eos etiam in conjunctissimi potissimum demonstrasse arbitror, quomodo et adversus homines improbos et erga bonos viros sint animati. Nam quum Juppiter (ut in fabulis traditur omnesque credunt) Herculem Tantalumque genuisset, alterum ob virtutem immortalitate donavit, alterum propter improbitatem maximis suppliciis affecit. (51) Decet igitur in hæc exempla intuentes virtutem et honestatem expetere, nec ea servare tantum quæ nos diximus, sed etiam poetarum optima quæque discere, et ea legere, quæ alii viri sapientes utiliter præceperunt. (52) Nam ut apes omnibus quidem insidere floribus, de singulis autem utilia carpere videmus; sic eruditionis etiam comparandæ studiosos, nullius rei esse rudes, sed undique utilia quæque colligere decet. Vix enim vel hac diligentia adhibita naturæ nostræ pravitatem superabimus.

2.

ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ.

14 Οἱ μὲν εἰωθότες, ὦ Νικόκλεις, τοῖς βασιλεῦσιν ὑμῖν
ἐσθῆτας ἄγειν ἢ χαλκὸν ἢ χρυσὸν εἰργασμένον ἢ τῶν
ἄλλων τι τῶν τοιούτων κτημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς
15 εἰσιν, ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἔδοξαν εἶναί μοι κατα- a
φανεῖς οὐ δόσιν ἀλλ' ἐμπορίαν ποιούμενοι, καὶ πολὺ
τεχνικώτερον αὐτὰ πωλοῦντες τῶν ὁμολογούντων κα-
πηλεύειν· (2) ἡγησάμην δ' ἂν γενέσθαι ταύτην καλλί-
στην δωρεὰν καὶ χρησιμωτάτην καὶ μάλιστα πρέπουσαν
ἐμοί τε δοῦναι καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην ὁρίσαι ποίων
ἐπιτηδευμάτων ὀρεγόμενος καὶ τίνων[ἔργων]ἀπεχόμε-
νος ἄριστ' ἂν καὶ τὴν πόλιν καὶ τὴν βασιλείαν διοικοίης.
Τοὺς μὲν γὰρ ἰδιώτας ἐστὶ πολλὰ τὰ παιδεύοντα, μά- b
λιστα μὲν τὸ μὴ τρυφᾶν, ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ
βίου καθ' ἑκάστην τὴν ἡμέραν βουλεύεσθαι, (3) ἔπειθ'
οἱ νόμοι καθ' οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν,
ἔτι δ' ἡ παρρησία καὶ τὸ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις
ἐπιπλῆξαι καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων
ἁμαρτίαις· πρὸς δὲ τούτοις καὶ τῶν ποιητῶν τινες τῶν
προγεγενημένων ὑποθήκας ὡς χρὴ ζῆν καταλελοίπα-
σιν· ὥστ' ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους c
γίγνεσθαι. (4) Τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦ-
τον, ἀλλ' οὓς ἔδει παιδεύεσθαι μᾶλλον τῶν ἄλλων,
ἐπειδὰν εἰς τὴν ἀρχὴν καταστῶσιν, ἀνουθέτητοι διατε-
λοῦσιν· οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ
πλησιάζουσιν, οἱ δὲ συνόντες πρὸς χάριν ὁμιλοῦσι. Καὶ
γάρ τοι κύριοι γιγνόμενοι καὶ χρημάτων πλείστων καὶ
πραγμάτων μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύ- d
ταις ταῖς ἀφορμαῖς πεποιήκασιν ὥστε πολλοὺς ἀμφισ-
βητεῖν, πότερόν ἐστιν ἄξιον ἑλέσθαι τὸν βίον τὸν τῶν
ἰδιωτευόντων μὲν ἐπιεικῶς δὲ πραττόντων, ἢ τὸν τῶν
τυραννευόντων. (5) Ὅταν μὲν γὰρ ἀποβλέψωσιν εἰς
τὰς τιμὰς καὶ τοὺς πλούτους καὶ τὰς δυναστείας, ἰσο-

2.

AD NICOCLEM.

Qui vobis regibus, Nicocles, advehere vestes solent aut æs aut aurum factum aut aliquid aliud ejus generis, quo et ipsi egent, et vos abundatis: hos, ut mihi quidem videtur, plus satis apparet non largitionem facere, sed mercaturam, suasque res multo callidius vendere, quam eos qui ex professo cauponantur. (2) Existimavi vero hoc pulcherrimum fore munus et utilissimum, idemque et mihi danti et tibi accipienti aptissimum, si describere possem quibus studiis sequendis et quibus rebus fugiendis optime et civitatem et regnum administraturus esses. Nam privatos quidem homines permulta sunt quæ erudiant, atque inprimis vita expers deliciarum et quotidiana de parando victu deliberandi necessitas; (3) deinde leges, quibus in suis quique civitatibus reguntur, præterea liberior ille loquendi usus, quodque palam et amicis objurgare invicem, et inimicis exagitare delicta licet; denique poetæ quidam veteres præcepta de vivendi ratione reliquerunt. Quibus rebus omnibus consentaneum est eos fieri meliores. (4) Principibus autem nihil ejusmodi præsto est, sed quos omnium maxime institui conveniebat, hi suscepto principatu sine ullis monitoribus ætatem exigunt. Perpaucis enim ad eos patet aditus; qui vero familiariter cum eis vivunt, hi ad gratiam et dicunt et faciunt omnia. Itaque amplissima pecunia et potentia maxima potiti, facultatibus his abutendo effecerunt, ut multi dubitent, sitne privatorum quidem hominum, sed moderate se gerentium, potius expetenda vita, quam regum. (5) Nam quum honores eorum et divitias et imperia intuentur, omnes eos diis similes esse censent, qui

θέους ἅπαντες νομίζουσι τοὺς ἐν ταῖς μοναρχίαις ὄντας· ἐπειδὰν δ' ἐνθυμηθῶσι τοὺς φόβους καὶ τοὺς κινδύνους, καὶ διεξιόντες ὁρῶσι τοὺς μὲν ὑφ' ὧν ἥκιστα χρῆν διε- e φθαρμένους, τοὺς δ' εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠναγκασμένους, τοῖς δ' ἀμφότερα ταῦτα συμβεβηκότα, πάλιν ὁπωσοῦν ζῆν ἡγοῦνται λυσιτελεῖν μᾶλλον ἢ μετὰ τοιούτων συμφορῶν ἁπάσης τῆς Ἀσίας βασιλεύειν.

16 (6) Ταύτης δὲ τῆς ἀνωμαλίας καὶ τῆς ταραχῆς αἴτιόν a ἐστιν, ὅτι τὴν βασιλείαν ὥσπερ ἱερωσύνην παντὸς ἀνδρὸς εἶναι νομίζουσιν, ὃ τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι καὶ πλείστης προνοίας δεόμενον. Καθ' ἑκάστην μὲν οὖν τὴν πρᾶξιν, ἐξ ὧν ἄν τις μάλιστα δύναιτο κατὰ τρόπον διοικεῖν καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττειν, τὰς δὲ συμφορὰς διαφεύγειν, τῶν ἀεὶ παρόντων ἔργον ἐστὶ συμβουλεύειν· καθ' ὅλων δὲ τῶν ἐπιτηδευμάτων, ὧν χρὴ στοχάζεσθαι καὶ περὶ ἃ δεῖ διατρίβειν, b ἐγὼ πειράσομαι διελθεῖν. (7) Εἰ μὲν οὖν ἔσται τὸ δῶρον ἐξεργασθὲν ἄξιον τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν· πολλὰ γὰρ καὶ τῶν μετὰ μέτρου ποιημάτων καὶ τῶν καταλογάδην συγγραμμάτων ἔτι μὲν ἐν ταῖς διανοίαις ὄντα τῶν συντιθέντων μεγάλας τὰς προσδοκίας παρέσχεν, ἐπιτελεσθέντα δὲ καὶ τοῖς ἄλλοις ἐπιδειχθέντα πολὺ καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβεν· (8) οὐ μὴν ἀλλὰ τό γ' ἐπιχείρημα καλῶς ἔχει, c τὸ ζητεῖν τὰ παραλελειμμένα καὶ νομοθετεῖν ταῖς μοναρχίαις. Οἱ μὲν γὰρ τοὺς ἰδιώτας παιδεύοντες ἐκείνους μόνον ὠφελοῦσιν· εἰ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετὴν προτρέψειεν, ἀμφοτέρους ἂν ὀνήσειε, καὶ τοὺς τὰς δυναστείας ἔχοντας καὶ τοὺς ὑπ' αὐτοῖς ὄντας· τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς δὲ τὰς πολιτείας πραοτέρας ποιήσειεν.

9. Πρῶτον μὲν οὖν σκεπτέον τί τῶν βασιλευόντων ἔρ- d γον ἐστίν· ἂν γὰρ ἐν κεφαλαίοις τὴν δύναμιν ὅλου τοῦ πράγματος καλῶς περιλάβωμεν, ἐνταῦθ' ἀποβλέποντες ἄμεινον καὶ περὶ τῶν μερῶν ἐροῦμεν. Οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι προσήκειν αὐτοῖς πόλιν δυστυχοῦσαν παῦσαι καὶ καλῶς πράττουσαν διαφυλάξαι καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι· τὰ γὰρ ἄλλα τὰ συμπίπτοντα κατὰ τὴν ἡμέραν ἑκάστην τούτων ἕνεκα πρακτέον ἐστί. (10) Καὶ e μὴν ἐκεῖνό γε φανερόν, ὅτι δεῖ τοὺς ταῦτα δυνησομένους καὶ περὶ τηλικούτων βουλευομένους μὴ ῥᾳθυμεῖν μηδ' ἀμελεῖν, ἀλλὰ σκοπεῖν ὅπως φρονιμώτερον διακείσον-
17 ται τῶν ἄλλων. Δέδεικται γὰρ ὅτι τοιαύτας τὰς βασι- a λείας ἕξουσιν, οἵας ἂν τὰς ἑαυτῶν γνώμας παρασκευάσωσιν. (11) Ὥστ' οὐδενὶ τῶν ἀσκητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν, ὡς τοῖς βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν· ἅπασαι γὰρ αἱ πανηγύρεις οὐδὲν μέρος τιθέασιν τούτων τῶν ἄθλων, περὶ ὧν ὑμεῖς καθ' ἑκάστην τὴν ἡμέραν ἀγωνίζεσθε. Ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσον περ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. b

12. Καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς καὶ φρονιμωτέρους γίγνεσθαι μηδεμίαν δύναμιν ἔχειν·

soli rerum potiuntur: quum vero timores et pericula considerant, memoriaque repetentes vident alios, a quibus minime oportebat, interfectos, alios in eos, qui ipsis essent conjunctissimi, delinquere coactos, aliis utrumque accidisse, rursus quovis modo vivere melius esse putant, quam in hujusmodi calamitatibus vel universæ Asiæ dominari. (6) Est autem hujus diversitatis et confusionis causa hæc, quod regnum tanquam sacerdotium cujuslibet hominis esse putant, quod summum est rerum humanarum maximamque providentiam postulat. Ac singulatim quidem quo pacto rectissime res administrari, utque et bona conservari et mala caveri possint, eorum munus est consulere, qui quoque tibi adsunt tempore; quæ vero in universum tibi proposita esse debeant studia, et quibus in rebus versandum sit, ego recensere conabor. (7) Utrum vero donum hoc, quum absolutum fuerit, argumenti dignitati sit responsurum, ab initio facile perspici non potest. Multa enim et numeris devincta poemata et soluta oratione conscripti libri dum adhuc in mentibus auctorum inclusa tenerentur, magnas sui exspectationes concitarunt; sed perfecta tandem et aliis ostensa, multo tenuiorem quam pro concepta spe gloriam consecuta sunt. (8) Sed tamen conatus ipse præclarus est, ab aliis prætermissa conquirendi et regnis leges scribendi. Nam qui privatos homines instituunt, hi solum illis prosunt: si quis vero populi dominos ad virtutem excitarit, is utrisque profuerit, et iis qui imperant, et iis qui parent imperio, quod et illis principatus tutiores, et his respublicas leniores effecerit.

9. Primum igitur considerandum est, quodnam sit regum officium. Nam si initio id in quo totius rei vis est, probe constituerimus; in ea intuentes, melius de partibus quoque dicturi sumus. Arbitror equidem constare inter omnes, convenire eis ut civitatem et afflictam calamitatibus liberent et res ejus secundas tueantur, et ipsam e parva magnam efficiant. Nam cetera quæ quotidie incidunt, horum causa facienda sunt et ad hæc referenda. (10) Ac sane illud perspicuum est, oportere eos, in quibus hæc facultas esse debeat, et qui his de rebus deliberent, non socordiæ sese dare, sed providere ut sint ceteris prudentiores. Constat enim, quemadmodum ipsi animos suos excoluerint, ita etiam eorum regna se esse habitura. (11) Quare nulli pugili tam convenit corpus exercere, quam regibus ingenium suum. Nam celebritates ludorum universæ nullam partem constituunt eorum præmiorum, pro quibus vos quotidie decertatis. Hæc igitur considerantem operam dare te decet, ut quantum alios dignitate superas, tantum etiam virtute illis antecellas.

12. Neque vero putabis curam in aliis prodesse rebus, ad augendam autem virtutem et prudentiam nihil habere virium; neque tam miseram vicem hominum esse judica-

μηδὲ καταγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς περὶ μὲν τὰ θηρία τέχνας εὑρήκαμεν αἷς αὐτῶν τὰς ψυχὰς ἡμεροῦμεν καὶ πλείονος ἀξίας ποιοῦμεν, ἡμᾶς δ' αὐτοὺς οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν, ἀλλ' ὡς καὶ τῆς παιδεύσεως καὶ τῆς ἐπιμελείας δυναμένης τὴν c ἡμετέραν φύσιν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην, (13) καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε καὶ τῶν ἄλλων οὓς ἂν δύνῃ μεταπέμπου, καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων μήτε τῶν σοφιστῶν μηδενὸς οἴου δεῖν ἀπείρως ἔχειν, ἀλλὰ τῶν μὲν ἀκροατὴς γίγνου, τῶν δὲ μαθητής, καὶ παρασκεύαζε σεαυτὸν τῶν μὲν ἐλαττόνων κριτήν, τῶν δὲ μειζόνων ἀγωνιστήν· διὰ γὰρ τούτων τῶν γυμνασίων τάχιστ' ἂν γένοιο τοιοῦτος, d οἷον ὑπεθέμεθα δεῖν εἶναι τὸν ὀρθῶς βασιλεύσοντα καὶ τὴν πόλιν ὡς χρὴ διοικήσοντα. (14) Μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν· ὅσῳ γὰρ ἂν ἐρρωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν αὑτοῦ διάνοιαν ἀσκήσεις.

15. Ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλλοντάς τι τῶν δεόντων ποιήσειν, πρὸς δὲ τούτοις φιλάνθρωπον e εἶναι δεῖ καὶ φιλόπολιν· οὔτε γὰρ ἵππων οὔτε κυνῶν οὔτ' ἀνδρῶν οὔτ' ἄλλου πράγματος οὐδενὸς οἷόντε καλῶς ἄρχειν, ἂν μή τις χαίρῃ τούτοις ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν. Μελέτω σοι τοῦ πλήθους, καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν,
18 (16) γιγνώσκων ὅτι καὶ τῶν ὀλιγαρχιῶν καὶ τῶν ἄλ- a λων πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύωσιν. Καλῶς δὲ δημαγωγήσεις, ἐὰν μήθ' ὑβρίζειν τὸν ὄχλον ἐᾷς μήθ' ὑβριζόμενον περιορᾷς, ἀλλὰ σκοπῇς ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ' ἄλλοι μηδὲν ἀδικήσονται· ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστίν. (17) Τῶν προσταγμάτων καὶ τῶν ἐπιτηδευμάτων κίνει καὶ μετατίθει τὰ μὴ καλῶς καθεστῶτα, b καὶ μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων, εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις ὀρθῶς ἔχοντα. Ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους, πρὸς δὲ τούτοις οἵτινες τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ διαλύσεις ὡς οἷόντε ταχίστας τοῖς πολίταις ποιοῦσι· ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις. (18) Τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας, τὰς c δὲ πραγματείας ἐπιζημίους, ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς προθυμότερον ἔχωσιν. Τὰς κρίσεις ποιοῦ περὶ ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι, μὴ πρὸς χάριν μηδ' ἐναντίας ἀλλήλαις, ἀλλ' ἀεὶ ταὐτὰ περὶ τῶν αὐτῶν γίγνωσκε· καὶ γὰρ πρέπει καὶ συμφέρει τὴν τῶν βασιλέων γνώμην ἀκινήτως ἔχειν περὶ τῶν δικαίων, ὥσπερ τοὺς νόμους τοὺς καλῶς κειμένους. (19) Οἴκει τὴν πόλιν ὁμοίως ὥσπερ τὸν πατρῷον οἶκον, ταῖς μὲν d κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, ταῖς δὲ πράξεσιν ἀκριβῶς, ἵν' εὐδοκιμῇς ἅμα καὶ διαρκῇς. Τὴν μεγα-

bis ut, quum artes quasdam ad mansuefaciendas bestias et animos illarum excolendos invenerimus, ipsi nobis ad virtutem nihil afferre adjumenti queamus; sed illud potius tibi persuadeas, institutione et cura cumprimis posse animum nostrum adjuvari; (13) atque tum domesticorum prudentissimis familiariter utere, tuum exterorum quoscunque poteris accersito, tum celebrium et poetarum et rhetorum omnium periculum tibi esse faciendum, persuasum habeto; atque illorum auditor esto, horum autem discipulus: itaque te para, ut et minorum sis judex et majorum æmulator. Nam his exercitationibus celerrime talis fies, qualem esse oportere nos proposuimus eum, qui recte sit regno præfuturus et rempublicam ita ut decet gubernaturus. (14) Sic vero a te ipso maxime incitabere, si absurdum esse duxeris deteriores præstantioribus dominari, et stolidiores prudentioribus imperare. Nam quo vehementius aliorum inscitiam despexeris, eo diligentius tuum ingenium exercebis.

15. Hinc igitur eos auspicari decet, qui fungi officio volent; præterea et hominum et civitatis esse amantem oportet. Nec enim fieri potest ut vel equis vel canibus vel hominibus vel ulli denique rei quisquam recte præsit, nisi delectetur iis quorum ei mandata est curatio. Populus curæ tibi sit, omniumque potissimum habeto ut lubenti imperes ei, (16) quum scias oligarchiarum ceterorumque imperiorum ea diutissime durare, quæ populum diligentissime colant. Sic autem bene imperabis, si neque vulgi petulantiæ locum dederis, neque alios populo insultare passus fueris, sed provideris ut et honores optimo cuique mandentur, neque ceteri injuriis afficiantur. Hæc enim elementa prima et maxima sunt reipublicæ bene constitutæ. (17) Edicta et instituta vitiosa remove et corrige, operamque inprimis dato, ut optimorum sis inventor; sin minus, imitare quæ apud alios recte se habent. Leges quære in universum æquas et utiles, et inter se congruentes, atque etiam tales, quæ et controversias civium quam paucissimas et compositiones quam fieri potest celerrimas efficiant. Hæc enim inesse oportet omnia in legibus bene constitutis. (18) Effice negotiationes eis lucrosas, lites detrimentosas, ut has fugiant, illas cupidius appetant. De controversiis eorum sententias neque ad gratiam ferto neque inter se contrarias, sed de iisdem quidem rebus semper eadem decernito. Etenim et decet et expedit regum de jure decreta esse immutabilia, ut probatas leges. (19) Rempublicam eodem modo quo paternam domum administra, apparatu splendido et regali, exactione tributorum accurata, ut simul et illustri laude celebreris et sumptus tolerare possis. Osten-

λοπρέπειαν ἐπιδείκνυσο μηδ' ἐν μιᾷ τῶν πολυτελειῶν τῶν εὐθὺς ἀφανιζομένων, ἀλλ' ἔν τε τοῖς προειρημένοις καὶ τῷ κάλλει τῶν κτημάτων καὶ ταῖς τῶν φίλων εὐεργεσίαις· τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων αὐτῷ τε σοὶ παραμενεῖ, καὶ τοῖς ἐπιγιγνομένοις πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις. (20) Τὰ μὲν e πρὸς τοὺς θεοὺς ποίει μὲν ὡς οἱ πρόγονοι κατέδειξαν, ἡγοῦ δὲ θῦμα τοῦτο κάλλιστον εἶναι καὶ θεραπείαν μεγίστην, ἂν ὡς βέλτιστον καὶ δικαιότατον σαυτὸν παρέχῃς· μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους ἢ τοὺς ἱερεῖα 19 πολλὰ καταβάλλοντας πράξειν τι παρὰ τῶν θεῶν ἀγα- a θόν. Τίμα ταῖς μὲν ἀρχαῖς τῶν φίλων τοὺς οἰκειοτάτους, ταῖς δ' ἀληθείαις αὐταῖς τοὺς εὐνουστάτους. (21) Φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετὴν καὶ τὴν τῶν πολιτῶν εὔνοιαν καὶ τὴν σαυτοῦ φρόνησιν· διὰ γὰρ τούτων καὶ κτᾶσθαι καὶ σώζειν τὰς τυραννίδας μάλιστ' ἄν τις δύναιτο. Κήδου τῶν οἴκων τῶν πολιτικῶν, καὶ νόμιζε καὶ τοὺς δαπανῶντας ἀπὸ τῶν σῶν ἀναλίσκειν καὶ τοὺς ἐργαζο- b μένους τὰ σὰ πλείω ποιεῖν· ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστί. (22) Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους μᾶλλον ἢ τοὺς τῶν ἄλλων ὅρκους. Ἅπασι μὲν τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν πάρεχε καὶ πρὸς τὰ συμβόλαια νόμιμον, περὶ πλείστου δὲ ποιοῦ τῶν ἀφικνουμένων μὴ τοὺς σοὶ δωρεὰς ἄγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ λαμ- c βάνειν ἀξιοῦντας· τιμῶν γὰρ τοὺς τοιούτους μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις. (23) Τοὺς πολλοὺς φόβους ἐξαίρει τῶν πολιτῶν, καὶ μὴ βούλου περιδεεῖς εἶναι τοὺς μηδὲν ἀδικοῦντας· ὅπως γὰρ ἂν τοὺς ἄλλους πρὸς σαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς ἐκείνους ἕξεις. Ποίει μὲν μηδὲν μετ' ὀργῆς, δόκει δὲ τοῖς ἄλλοις, ὅταν σοι καιρὸς ᾖ. Δεινὸς μὲν d φαίνου τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων, πρᾶος δὲ τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων. (24) Ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας καὶ νομίζειν ὑπὲρ τῆς αὑτῶν σωτηρίας ἄμεινον ἑαυτῶν σὲ βουλεύεσθαι. Πολεμικὸς μὲν ἴσθι ταῖς ἐπιστήμαις καὶ ταῖς παρασκευαῖς, εἰρηνικὸς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν. Οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους, ὥσπερ ἂν τὰς e κρείττους πρὸς ἑαυτὸν ἀξιώσειας. (25) Φιλονείκει μὴ περὶ πάντων, ἀλλὰ περὶ ὧν ἂν κρατήσαντί σοι μέλλῃ συνοίσειν. Φαύλους ἡγοῦ μὴ τοὺς συμφερόντως ἡττωμένους, ἀλλὰ τοὺς μετὰ βλάβης περιγιγνομένους. 20 Μεγαλόφρονας νόμιζε μὴ τοὺς μείζω περιβαλλομένους a ὧν οἷοί τ' εἰσὶ κατασχεῖν, ἀλλὰ τοὺς καλῶν μὲν ἐφιεμένους, ἐξεργάζεσθαι δὲ δυναμένους οἷς ἂν ἐπιχειρῶσιν. (26) Ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους, καὶ νόμιζε τελέως εὐδαιμονήσειν οὐκ ἐὰν πάντων ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων καὶ κακίας ἄρξῃς, ἀλλ' ἂν

ta magnificentiam nulla re magni sumptus statimque peritura; sed tum iis rebus quas diximus, tum instrumenti atque supellectilis ornatu, tum beneficentia in amicos. Nam quæ hoc modo insumpseris, ea et tibi ipsi firma permanebunt, et posteris tuis plures commoditates afferent quam pecuniæ profusiones. (20) Religionem quidem eam serva, quam a majoribus accepisti, sed id pulcherrimum sacrificium et cultum esse maximum existima, si ipse te quam optimum et justissimum præbeas. Major enim spes est deos immortales talium vota audituros quam eorum qui multas victimas immolant. Honoribus colito propinquorum proximos, vera dignatione benevolentissimos. (21) Corporis custodiam tutissimam esse puta et in virtute amicorum et in benevolentia civium et in tua prudentia collocatam. Hæc enim sunt per quæ imperium facillime et paretur et conservetur. Rem privatorum familiarem curato, et prodigos de tuo facere sumptum et ad rem attentos tuas opes augere existimato. Bona enim omnia in urbe habitantium ad familiam pertinent regum bene imperantium. (22) Per omnem ætatem, tantam veritatis præ te ferto reverentiam, ut plus habeatur fidei tuæ affirmationi, quam aliorum jurijurando. Omnibus hospitibus urbem exhibe tutam et in negotiis æquam; inter advenas vero eos maximi facito, non qui dona tibi advehunt, sed qui a te expetunt. Nam si his honorem habueris, apud ceteros majore gloria eris. (23) Exime civibus multam formidinem, neque in metu eos esse velis, qui nihil delinquunt. Nam quo tu eos in te esse animo consuefeceris, eodem et ipse in illos eris. Nihil per iracundiam agito; sed iram, quum tempus postulabit, simulato. Severitatem tuam proba indagatione rerum quæ geruntur omnium; clementiam, suppliciis infra delicta mitigandis. (24) Auctoritatem imperii tuere non asperitate nec nimia sævitia pœnarum, sed sapientia omnes superans, ut te suæ saluti omnes melius quam semetipsos consulere arbitrentur. Bellicosus esto scientia rei militaris et apparatu; pacificus, nihil præter jus et æquum appetendo. Erga civitates imbecilliores talem te præbe, quales in te potentiores esse velles. (25) Noli de rebus quibusvis contendere, sed de iis tantum, quarum victoria tibi profutura est. Contemnendos existima non eos qui utiliter succumbunt, sed qui cum damno suo vincunt. Magnanimos puta non eos qui majora suscipiunt quam sustinere possint, sed qui et honesta desiderant et quæ aggrediuntur perficere possunt. (26) Æmulare non eos qui latissime imperium propagarunt, sed qui id quod habent rectissime administrarunt; teque ab omni parte beatum fore puta, non si omnibus hominibus cum terroribus et periculis et afflictione imperites, sed si talem te præbens, qualem decet, et ea fortuna qua

τοιοῦτος ὢν οἷον χρὴ καὶ πράττων ὥσπερ ἐν τῷ παρόντι b
μετρίων ἐπιθυμῇς καὶ μηδενὸς τούτων ἀτυχῇς. (27) Φί-
λους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς
σῆς φύσεως ἀξίους ὄντας, μηδὲ μεθ' ὧν ἥδιστα συν-
διατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις.
Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς
ὅτι πάντες οἱ μή σοι πλησιάσαντες ὅμοιόν σε τοῖς
χρωμένοις εἶναι νομιοῦσιν. Τοιούτους ἐφίστη τοῖς
πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὡς αὐτὸς τὰς c
αἰτίας ἕξων ὧν ἂν ἐκεῖνοι πράξωσιν. (28) Πιστοὺς ἡγοῦ
μὴ τοὺς ἅπαν ὅ τι ἂν λέγῃς ἢ ποιῇς ἐπαινοῦντας, ἀλλὰ
τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. Δίδου παρρη-
σίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς,
ἔχῃς τοὺς συνδοκιμάσοντας. Διόρα καὶ τοὺς τέχνῃ
κολακεύοντας καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα
μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. Ἄκουε
τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνωρίζειν
ἅμα τούς τε λέγοντας, ὁποῖοί τινές εἰσι, καὶ περὶ ὧν
ἂν λέγωσιν. (29) Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς d
ψευδῶς διαβάλλοντας, αἷσπερ τοὺς ἐξαμαρτάνοντας.
Ἄρχε σαυτοῦ μηδὲν ἧττον ἢ τῶν ἄλλων, καὶ τοῦθ' ἡγοῦ
βασιλικώτατον, ἂν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ
κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν. Μηδε-
μίαν συνουσίαν εἰκῇ προσδέχου μηδ' ἀλογίστως, ἀλλ'
ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σαυτὸν χαίρειν, ἐξ ὧν
αὐτός τ' ἐπιδώσεις καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις. e
(30) Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις ἃ καὶ
τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ
μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστιν.
Νόμιζε τῶν τιμῶν ἀληθεστάτας εἶναι μὴ τὰς ἐν τῷ
21 φανερῷ μετὰ δέους γιγνομένας, ἀλλ' ὅταν αὐτοὶ παρ' a
αὑτοῖς ὄντες μᾶλλόν σου τὴν γνώμην ἢ τὴν τύχην θαυ-
μάζωσιν. Λάνθανε μέν, ἤν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων
χαίρειν, ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων. (31)
Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλεῖς
ἀτάκτως, ἀλλὰ τὴν σαυτοῦ σωφροσύνην παράδειγμα
τοῖς ἄλλοις καθίστη, γιγνώσκων ὅτι τὸ τῆς πόλεως ὅλης
ἦθος ὁμοιοῦται τοῖς ἄρχουσιν. Σημεῖον ἔστω σοι τοῦ
καλῶς βασιλεύειν, ἂν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέ- b
ρους καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπι-
μέλειαν. (32) Περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ
πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνη-
τός, ἡ δ' ἀθάνατος, καὶ δόξῃ μὲν χρήματα κτητά, δόξα
δὲ χρημάτων οὐκ ὠνητή, καὶ τὰ μὲν καὶ φαύλοις πα-
ραγίγνεται, τὴν δ' οὐχ οἷόντ' ἀλλ' ἢ τοὺς διενεγκόντας
κτήσασθαι. Τρύφα μὲν ἐν ταῖς ἐσθῆσι καὶ τοῖς περὶ τὸ
σῶμα κόσμοις, καρτέρει δ' ὡς χρὴ τοὺς βασιλεύοντας c
ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασιν, ἵν' οἱ μὲν ὁρῶντες διὰ
τὴν ὄψιν ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ δὲ συν-
87 όντες διὰ τὴν τῆς ψυχῆς ῥώμην τὴν αὐτὴν ἐκείνοις
γνώμην ἔχωσιν. (33) Ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς
σαυτοῦ καὶ τὰς πράξεις, ἵν' ὡς ἐλαχίστοις ἁμαρτήμασι
περιπίπτῃς. Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν
τυγχάνειν, ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλεί-

nunc frueris, mediocria desideres et horum nullo carens. (27) In amicitiam recipe non quoslibet, sed tua natura dignos, neque cum quibus jucundissime tempus conteras, sed quorum opera rempublicam optime gubernes. Diligenter inquirito in tuos familiares, teque scito talem ab iis omnibus, qui consuetudine tua non utuntur, judicatum iri, quales illi sint cum quibus vivis. Eo animo alios iis præfice rebus, quas ipse non geris, ut tibi ascribi scias, quicquid illi fecerint. (28) Fideles existima, non eos qui omnia et dicta tua et facta laudent, sed qui etiam errata et delicta reprehendant. Potestatem da prudentibus libere dicendi sententiam, ut si quibus de rebus dubitaris, præsto sint qui illas una tecum expendant. Discerne eos qui arte assentantur ab illis qui ex benevolentia te colunt, ne improbi meliore conditione sint quam boni viri. Audi quid alii de aliis dicant; operamque dato ut, quales et quinam sint, non minus ii qui dicunt, quam ii de quibus dicunt, cognoscas. (29) Iisdem suppliciis affice calumniatores, quibus delinquentes. Impera tibi ipsi non minus quam ceteris; idque maxime regium putato, si nullis libidinibus servias, sed cupiditates magis in potestate habeas quam cives tuos. Nullam familiaritatem temere ac sine ratione contrahe, sed iis gaudere congressibus assuesce, qui te et sapientia augeant et virtutis apud alios opinione. (30) De iis rebus tibi placere noli, quæ a malis etiam perfici possunt; sed virtutem laudi tibi ducito, cujus nulla pars improbis contingere potest. Verissimos honores eos esse puta, non qui palam ex metu tibi habentur, sed si ipsi apud sese prudentiam tuam plus quam fortunam admirentur. Si forte ita ceciderit, ut re aliqua levissima gaudeas, dissimula; rerum maximarum studium ostenta. (31) Noli putare aliis vivendum esse moderate, regibus dissolute, sed tua temperantia fac aliis exemplo sit, quum non ignores totius civitatis mores ad exemplum magistratuum conformari. Hoc tibi argumento sit te regno bene præesse, si populum et locupletiorem et modestiorem fieri sub imperio tuo videas. (32) Præstare puta liberis tuis honestam famam quam magnas opes relinquere. Nam hæ mortales sunt, illa immortalis. Fama pecuniæ quæri possunt, emi pecuniis fama non potest. Opes etiam improbis contingunt, gloriam vero parare non possunt, nisi virtute præstantes. In vestitu et corporis ornatu splendidus, in aliis actionibus laborum tolerans esto, ut regnantes decet: quo et qui videant, ob aspectum regno te dignum judicent, et familiares tui, ob animi tui vim iisdem assentiantur. (33) Considera semper et dicta et facta tua, ut in delicta quam paucissima incidas. Optimum certe est rerum opportunitates assequi; quæ quum habeant difficilem cognitionem, malis citra consistere quam ultra progredi. Medio-

πειν αἱροῦ καὶ μὴ πλεονάζειν· αἱ γὰρ μετριότητες μᾶλλον d ἐν ταῖς ἐνδείαις ἢ ταῖς ὑπερβολαῖς ἔνεισιν. (34) Ἀστεῖος εἶναι πειρῶ καὶ σεμνός· τὸ μὲν γὰρ τῇ τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει. Χαλεπώτατον δὲ τοῦτο πάντων ἐστὶ τῶν προσταγμάτων· εὑρήσεις γὰρ ὡς ἐπὶ τὸ πολὺ τοὺς μὲν σεμνυνομένους ψυχροὺς ὄντας, τοὺς δὲ βουλομένους ἀστείους εἶναι ταπεινοὺς φαινομένους. Δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέραις ταῖς ἰδέαις ταύταις, τὴν δὲ συμφορὰν τὴν ἑκατέρᾳ προσοῦσαν e διαφεύγειν. (35) Ὅ τι ἂν ἀκριβῶσαι βουληθῇς ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλεῖς, ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει, τὸ δ' ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι 22 δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. Θεώρει a τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ τοῖς ἰδιώταις καὶ τοῖς τυράννοις· ἂν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον περὶ τῶν μελλόντων βουλεύσει. (36) Δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν τινας ἐθέλειν ἀποθνήσκειν, ἵνα τελευτήσαντες ἐπαινεθῶσι, τοὺς δὲ βασιλεῖς μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσιν. Βούλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον ἢ τοῦ σώματος καταλιπεῖν. Μάλιστα b μὲν πειρῶ τὴν ἀσφάλειαν καὶ σαυτῷ καὶ τῇ πόλει διαφυλάττειν· ἐὰν δ' ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι μᾶλλον ἢ ζῆν αἰσχρῶς. (37) Ἐν πᾶσι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας, καὶ φρόντιζε ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης πράξεις. Μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅπασαν ἅμα διαλυθεῖσαν· ἀλλ' ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, πειρῶ τῆς ψυχῆς ἀθάνατον c τὴν μνήμην καταλιπεῖν. (38) Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. Ἅττ' ἄν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. Ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. Ἃ τοῖς αὑτοῦ παισὶν ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου. Χρῶ τοῖς εἰρημένοις ἢ ζήτει βελτίω τούτων. (39) Σοφοὺς νόμιζε μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, ἀλλὰ τοὺς εὖ d περὶ τῶν μεγίστων λέγοντας, μηδὲ τοὺς τοῖς μὲν ἄλλοις εὐδαιμονίαν ὑπισχνουμένους, αὐτοὺς δ' ἐν πολλαῖς ἀπορίαις ὄντας, ἀλλὰ τοὺς μέτρια μὲν περὶ αὑτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι καὶ τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ διαταραττομένους ἐν ταῖς τοῦ βίου μεταβολαῖς, ἀλλὰ καλῶς καὶ μετρίως καὶ τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέρειν ἐπισταμένους.

40. Καὶ μὴ θαυμάσῃς εἰ πολλὰ τῶν λεγομένων ἐστὶν e ἃ καὶ σὺ γιγνώσκεις· οὐδὲ γὰρ ἐμὲ τοῦτο παρέλαθεν, ἀλλ' ἠπιστάμην ὅτι τοσούτων ὄντων τὸ πλῆθος καὶ τῶν 23 ἄλλων καὶ τῶν ἀρχόντων οἱ μέν τι τούτων εἰρήκασιν, a οἱ δ' ἀκηκόασιν, οἱ δ' ἑτέρους ποιοῦντας ἑωράκασιν, οἱ δ' αὐτοὶ τυγχάνουσιν ἐπιτηδεύοντες. (41) Ἀλλὰ γὰρ οὐκ ἐν τοῖς λόγοις χρὴ τοῖς περὶ τῶν ἐπιτηδευμάτων ζητεῖν τὰς καινότητας, ἐν οἷς οὔτε παράδοξον οὔτ' ἄπιστον οὔτ' ἔξω τῶν νομιζομένων οὐδὲν ἔξεστιν εἰπεῖν, ἀλλ' ἡγεῖσθαι τοῦτον χαριέστατον, ὃς ἂν τῶν διεσπαρ-

critatis enim vis magis in eo quod parum, quam in eo quod nimium est, cernitur. (34) Urbanus esse stude et gravis, quorum hoc principatum decet, illud congressibus est aptum. Sed hoc est præceptorum omnium difficillimum. Nam eos qui gravitatem affectant, plerumque frigere; qui vero urbani esse student, eos humiles et abjectos videri comperies. Est autem utraque hac ratione utendum, et finitimum utrique incommodum effugiendum. (35) Quicquid earum rerum, quæ regum cognitione dignæ sunt, certo nosse voles, ad id experientiam et doctrinam adhibeto. Nam ut doctrina viam tibi ostendet, sic rerum gerendarum exercitatione id consequeris, ut res recte administres. Cogita quæ res fiant accidantque et privatis hominibus et principibus. Rectius enim, si præteritorum recordaberis, de futuris etiam deliberabis. (36) Minime decere puta, quum privati quidem homines mortem oppetendam censeant, ut post obitum laudentur, reges eas actiones fugere, quæ viventibus gloriam pariant. Imagines quæ virtutis tuæ potius, quam corporis monumenta sint, fac relinquas. Operam cumprimis dabis, ut et te et urbem in tuto colloces: sed si periculum adeundum fuerit necessario, honeste mori quam turpiter vivere præferas. (37) In omnibus tuis factis regni memento, solliciteque cave ne quid honore isto indignum facias. Ne committas ut natura tua simul universa intereat: sed quum tibi corpus mortale contigerit, fac immortalem animi tui memoriam relinquas. (38) Meditare de præclaris studiis loqui, ut iis consentanea, quæ dicere soles, etiam sentire assuescas. Quæ tibi cogitanti optima videbuntur, ea re ipsa perficito. Quorum gloriam admiraris, eorum res gestas imitare. Quæ tuis liberis præciperes, ea ipse facere ne graveris. Aut utere præceptis nostris, aut ipse his inveni meliora. (39) Sapientes existima, non eos qui de rebus minutis curiose rixantur, sed qui de maximis rebus egregie dicunt, nec eos qui aliis felicitatem pollicentur, cum ipsi multarum rerum inopia laborent, sed eos qui, quum de se modice dicant, tamen et negotia perite obire et inter homines versari commode possunt, nec vitæ vicissitudinibus perturbantur, sed pulcbre moderateque ferre tam secundas res quam adversas didicerunt.

40. Neque vero mireris nos multa dicere quæ et ipse intelligas. Neque enim hoc me præteriit, sed satis scivi, quum tanta multitudo sit et hominum aliorum et principum, alios horum aliquid dixisse, alios audivisse, alios a nonnullis facta vidisse, allos etiam ipsos factitare. (41) Verum in his orationibus, quæ ad præcepta de officiis pertinent, non requirenda est novitas, in quibus nec admirabile, nec incredibile, nec inusitatum comperitur, sed is doctissimus habendus erit, qui eorum quæ in animis aliorum dispersa

μένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι τὰ πλεῖστα δυνηθῇ καὶ φράσαι κάλλιστα περὶ αὐτῶν. (42) Ἐπεὶ b κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γ' αὐτῶν ἀκούουσιν, ἀλλὰ πεπόνθασιν ὅπερ πρὸς τοὺς νουθετοῦντας· καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μέν, πλησιάζειν δὲ βούλονται τοῖς συνεξαμαρτάνουσιν, ἀλλ' οὐ τοῖς ἀποτρέπουσιν. (43) Σημεῖον δ' ἄν τις ποιήσαιτο τὴν Ἡσιόδου καὶ Θεόγνι- c δος καὶ Φωκυλίδου ποίησιν· καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους γεγενῆσθαι συμβούλους τῷ βίῳ τῷ τῶν ἀνθρώπων, ταῦτα δὲ λέγοντες αἱροῦνται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον ἢ ταῖς ἐκείνων ὑποθήκαις. (44) Ἔτι δ' εἴ τις ἐκλέξειε τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστ' ἐσπούδασαν, ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν· ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτάτης ἢ τῶν οὕτω τεχνικῶς πε- d ποιημένων ἀκούσαιεν. Καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν; (45) ὅλως γὰρ εἰ 'θέλοιμεν σκοπεῖν τὰς φύσεις τὰς τῶν ἀνθρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν οὔτε τῶν σιτίων χαίροντας τοῖς ὑγιεινοτάτοις οὔτε τῶν ἐπιτηδευμάτων τοῖς καλλίστοις οὔτε τῶν πραγμάτων τοῖς βελτίστοις οὔτε τῶν μαθημάτων τοῖς ὠφελιμωτάτοις, ἀλλὰ παντάπασιν ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, καὶ δοκοῦντας καρτερικοὺς e καὶ φιλοπόνους εἶναι τοὺς τῶν δεόντων τι ποιοῦντας· (46) ὥστε πῶς ἄν τις τοῖς τοιούτοις ἢ παραινῶν ἢ διδάσκων ἢ χρήσιμόν τι λέγων ἀρέσειεν; οἳ πρὸς τοῖς εἰρημένοις φθονοῦσι μὲν τοῖς εὖ φρονοῦσιν, ἁπλοῦς δ'
24 ἡγοῦνται τοὺς νοῦν οὐκ ἔχοντας, οὕτω δὲ τὰς ἀληθείας a τῶν πραγμάτων φεύγουσιν, ὥστ' οὐδὲ τὰ σφέτερ' αὐτῶν ἴσασιν, ἀλλὰ λυποῦνται μὲν περὶ τῶν ἰδίων λογιζόμενοι, χαίρουσι δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι, βούλοιντο δ' ἂν τῷ σώματι κακοπαθῆσαι μᾶλλον ἢ τῇ ψυχῇ πονῆσαι καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων· (47) εὕροι δ' ἄν τις αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις ἢ λοιδοροῦντας ἢ λοιδορουμένους, ἐν δὲ ταῖς b ἐρημίαις οὐ βουλευομένους, ἀλλ' εὐχομένους. Λέγω δ' οὐ καθ' ἁπάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων. (48) Ἐκεῖνο δ' οὖν φανερόν, ὅτι δεῖ τοὺς βουλομένους ἢ ποιεῖν ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς μὴ τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν, ἀλλὰ τοὺς μυθωδεστάτους· ἀκούοντες μὲν γὰρ τῶν τοιούτων χαίρουσι, θεωροῦντες δὲ τοὺς ἀγῶνας καὶ τὰς ἁμίλλας. c Διὸ καὶ τὴν Ὁμήρου ποίησιν καὶ τοὺς πρώτους εὑρόντας τραγῳδίαν ἄξιον θαυμάζειν, ὅτι κατιδόντες τὴν φύσιν τὴν τῶν ἀνθρώπων ἀμφοτέραις ταῖς ἰδέαις ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν. (49) Ὁ μὲν γὰρ τοὺς ἀγῶνας καὶ τοὺς πολέμους τοὺς τῶν ἡμιθέων ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους εἰς ἀγῶνας καὶ πράξεις κατέστησαν, ὥστε μὴ μόνον ἀκουστοὺς ἡμῖν ἀλλὰ καὶ θεατοὺς γενέσθαι. Τοιούτων οὖν παραδειγμάτων ὑπαρχόντων, d δέδεικται τοῖς ἐπιθυμοῦσι τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον, τὰ δὲ

jacent, quamplurima colligere et elegantissimis verbis potuerit explicare. (42) Illud quoque mihi satis notum fuit, quum et poemata et alia scripta quæ suasione constant, omnes utilissima esse judicent, ea tamen non libentissime audire, sed eodem erga illa esse animo, quo erga monitores, quos ut laudant, sic illorum consuetudinem qui socii delictorum sint, non eorum qui a vitiis dehortentur, expetunt. (43) Id quod vel ex Hesiodi et Theognidis et Phocylidis poesi cognoscitur. Nam hos fatentur optima vitæ mortalium reliquisse consilia: sed quamvis hoc dicant, nugis tamen audiendis et recitandis tempus perdere, quam in illorum præceptis versari malunt. (44) Præterea si quis e præstantibus poetis eas quas sententias vocant, in quibus illi potissimum elaborarunt, excerperet, erga illas etiam eodem animo essent: comœdiam enim vel nequissimam audire mallent quam poemata tam artificiosa. Et quid opus est singulis commemorandis immorari? (45) Omnino enim si naturas hominum consideremus, plerosque nec cibis saluberrimis gaudere nec studiis pulcherrimis nec actionibus optimis nec doctrinis utilissimis reperiemus, et eas voluptates habere maximas, quæ rationi utilitatis maxime repugnant: ac fortes et laborum tolerantes videri eos, qui officium non negligunt. (46) Quare qui talibus quisquam placeat sive monens sive docens sive utile aliquid dicens? qui præter ea quæ diximus, prudentibus etiam invident, simplices autem et candidos putant amentes, et sic a veritate rerum abhorrent, ut ne sua quidem negotia norint: imo de suis quidem rebus cogitantes molestia afficiuntur, de alienis autem quum disputant, gaudent, malintque corporis ærumnam ferre quam animum exercere et de re aliqua necessaria suscipere cogitationem. (47) Atque in congressibus quidem eos inter sese convicia vel dicere vel audire; in solitudine vero non deliberare, sed optare deprehendas. Atque hæc non in omnes dico, sed in eos tantum, qui his quæ diximus vitiis constricti sunt. (48) Illud certe palam est, si qui sunt qui velint aliquid multitudini gratum vel carmine vel soluta oratione scribere, iis exquirenda esse non utilissima quæque, sed fabulosissima. Nam talibus quidem audiendis gaudent, pugnis autem et certaminibus spectandis. Quamobrem Homeri poesis et ii qui primi Tragœdiam invenerunt admiratione afficiendi sunt, quod animadversa humani ingenii natura utrisque his rationibus ad poesim suam abusi sunt. (49) Alter enim certamina et bella semideorum fabulose persecutus est, alteri fabulas in ludos et actiones redegerunt, ut a nobis non audiri tantum, sed etiam spectari possint. Quum igitur talia exempla in promptu sint, demonstratum est, si quis auditores allicere studeat et demulcere, ab admonitionibus et consiliis esse abstinendum; illa

τοιαῦτα λεκτέον οἷς ὁρῶσι τοὺς ὄχλους μάλιστα χαίροντας.

50. Ταῦτα δὲ διῆλθον ἡγούμενος σὲ δεῖν, τὸν οὐχ ἕνα τῶν πολλῶν ἀλλὰ πολλῶν βασιλεύοντα, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ σπουδαῖα τῶν πραγμάτων μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων ταῖς e ἡδοναῖς κρίνειν, ἀλλ' ἐπὶ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκιμάζειν, (51) ἄλλως τ' ἐπειδὴ περὶ μὲν τῶν γυμνασίων τῶν ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες, καί φασιν οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων,
25 οἱ δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι' ἄλλων τινῶν φρονι- a μωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας, ἐκεῖνο δὲ πάντες ὁμολογοῦσιν, ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον ἐξ ἑκάστου τούτων φαίνεσθαι βουλεύεσθαι δυνάμενον. (52) Χρὴ τοίνυν ἀφέμενον τῶν ἀμφισβητουμένων ἐπὶ τοῦ συνομολογουμένου λαμβάνειν αὐτῶν τὸν ἔλεγχον, καὶ μάλιστα μὲν ἐπὶ τῶν καιρῶν θεωρεῖν συμβουλεύοντας, εἰ δὲ μή, καὶ καθ' ὅλων τῶν πραγμάτων λέγοντας. Καὶ τοὺς μὲν μηδὲν γιγνώ- b σκοντας τῶν δεόντων ἀποδοκίμαζε (δῆλον γὰρ ὡς ὁ μηδὲν ὢν αὐτὸς χρήσιμος οὐδ' ἂν ἄλλον φρόνιμον ποιήσειεν), (53) τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους ὁρᾶν πλέον τι τῶν ἄλλων περὶ πολλοῦ ποιοῦ καὶ θεράπευε, γιγνώσκων ὅτι σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων τῶν κτημάτων ἐστίν. Ἡγοῦ δὲ τούτους μεγίστην σοι ποιεῖν τὴν βασιλείαν, οἵτινες ἂν τὴν διάνοιαν τὴν σὴν πλεῖστ' ὠφελῆσαι δυνηθῶσιν. c

54. Ἐγὼ μὲν οὖν ἅ τε γιγνώσκω παρῄνεκα, καὶ τιμῶ σε τούτοις οἷς τυγχάνω δυνάμενος· βούλου δὲ καὶ τοὺς ἄλλους, ὅπερ εἶπον ἀρχόμενος, μὴ τὰς εἰθισμένας ἄγειν σοι δωρεάς, ἃς ὑμεῖς πολὺ πλείονος ἀγοράζετε παρὰ τῶν διδόντων ἢ παρὰ τῶν πωλούντων, ἀλλὰ τοιαύτας, αἷς κἂν σφόδρα χρῇ καὶ μηδεμίαν ἡμέραν d διαλείπῃς, οὐ κατατρίψεις, ἀλλὰ καὶ πλείονος ἀξίας ποιήσεις.

autem et scribenda et dicenda, quibus populum maxime gaudere videt.

50. Hæc exposui propterea, quod existimavi oportere te, quum non sis unus de multis, sed multorum rex, non ita sentire ut ceteros, neque vel res graves vel homines prudentes metiri voluptatibus, sed in actionibus utilibus periculum illorum facere, (51) præsertim quum sapientiæ magistri de animi exercitationibus inter sese dissentiant: nam alii disputationibus dialecticis, alii præceptis eloquentiæ, alii per alia quædam suis auditoribus sapientiam pollicentur: in hoc vero consentiunt omnes, bene institutum hominem oportere ex his singulis sibi prudentiam consilii capiendi comparare posse. (52) Sunt igitur ea de quibus ambigitur, missa facienda, et amplectendum id de quo nulla controversia est, ut rectius de illis judicetur. Ac consiliarii tum maxime, quum res consilium præsens postulat, spectandi sunt, sin minus, ex iis quæ in universum de rebus dicunt. Qui autem nihil eorum quæ fieri debent intelligunt, eos repudiato (constat enim, eum qui sibi ipse prorsus est inutilis, nunquam alios effecturum esse prudentiores); (53) cordatos autem viros, et qui longius quam alii prospicere possunt, magni facito et colito, ac persuasum habeto, bonum consiliarium utilissimam et rege omnium dignissimam esse possessionem. Illos etiam tuum regnum maxime amplificaturos credito, qui tuam mentem plurimum potuerint excolere.

54. Ego pro mea intelligentia te admonui, et eum honorem, quem possum, tibi habeo. Velle autem debes, ut etiam alii, quod initio dixi, non consueta munera tibi offerant, quæ vos longe pluris emitis a donantibus, quam a vendentibus, sed ea quæ, tametsi multum iis utaris idque nullum diem facere intermittas, non deteras, sed majora et pretiosiora ipso usu reddas.

3.

ΝΙΚΟΚΛΗΣ Η ΚΥΠΡΙΟΙ.

26 Εἰσί τινες οἳ δυσκόλως ἔχουσι πρὸς τοὺς λόγους καὶ a διαμέμφονται τοὺς φιλοσοφοῦντας, καί φασιν αὐτοὺς οὐκ ἀρετῆς ἀλλὰ πλεονεξίας ἕνεκα ποιεῖσθαι τὰς τοιαύτας διατριβάς. Ἡδέως ἂν οὖν πυθοίμην τῶν οὕτω διακειμένων, διὰ τί τοὺς μὲν εὖ λέγειν ἐπιθυμοῦντας ψέγουσι, τοὺς δ' ὀρθῶς πράττειν βουλομένους ἐπαινοῦσιν· εἰ γὰρ αἱ πλεονεξίαι λυποῦσιν αὐτούς, πλείους καὶ b μείζους ἐκ τῶν ἔργων ἢ τῶν λόγων εὑρήσομεν γιγνομένας. (2) Ἔπειτα κἀκεῖν' ἄτοπον, εἰ λέληθεν αὐτοὺς ὅτι τὰ περὶ τοὺς θεοὺς εὐσεβοῦμεν καὶ τὴν δικαιοσύνην
27 ἀσκοῦμεν καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύομεν οὐχ ἵνα a τῶν ἄλλων ἔλαττον ἔχωμεν, ἀλλ' ὅπως ἂν ὡς μετὰ πλείστων ἀγαθῶν τὸν βίον διάγωμεν. Ὥστ' οὐ κατηγορητέον τῶν πραγμάτων τούτων ἐστί, δι' ὧν ἄν τις μετ' ἀρετῆς πλεονεκτήσειεν, ἀλλὰ τῶν ἀνθρώπων τῶν

3.

NICOCLES SIVE CYPRII.

Sunt qui de eloquentia male sentiant, et sapientiæ studiosos assidue criminentur, ac dicant eos non amore virtutis, sed emolumenti sui gratia, tales disputationes instituisse. Ego vero ex iis qui hoc animo sunt, perquam audire velim, cur et bene dicendi studiosos fugiant et recte agendi cupidos laudent. Nam si emolumenta eos ægre habent, plura et majora capi e factis, quam e dictis comperiemus. (2) Deinde illud quoque absurdum est, si ignorant nos et pietatem colere et justitiam exercere et ceteris studere virtutibus, non ut deteriore quam alii conditione simus, sed ut bonis in vita quamplurimis perfruamur. Quare non accusandæ res illæ sunt, per quas cum virtute aliis præstare possis, sed homines potius, qui aut res illas

περὶ τὰς πράξεις ἐξαμαρτανόντων ἢ τοῖς λόγοις ἐξαπατώντων καὶ μὴ δικαίως χρωμένων αὐτοῖς. (3) Θαυμάζω δὲ τῶν ταύτην τὴν γνώμην ἐχόντων, ὅπως οὐ b καὶ τὸν πλοῦτον καὶ τὴν ῥώμην καὶ τὴν ἀνδρείαν κακῶς λέγουσιν. Εἴπερ γὰρ διὰ τοὺς ἐξαμαρτάνοντας καὶ τοὺς ψευδομένους πρὸς τοὺς λόγους χαλεπῶς ἔχουσι, προσήκει καὶ τοῖς ἄλλοις ἀγαθοῖς αὐτοὺς ἐπιτιμᾶν· φανήσονται γάρ τινες καὶ τῶν ταῦτα κεκτημένων ἐξαμαρτάνοντες καὶ πολλοὺς διὰ τούτων κακῶς ποιοῦντες. (4) Ἀλλὰ γὰρ οὐ δίκαιον, οὔτ' εἴ τινες τοὺς ἀπαντῶντας τύπτουσι, τῆς ῥώμης κατηγορεῖν, οὔτε διὰ τοὺς ἀπο- c κτείνοντας οὓς οὐ δεῖ τὴν ἀνδρείαν λοιδορεῖν, οὔθ' ὅλως τὴν τῶν ἀνθρώπων πονηρίαν ἐπὶ τὰ πράγματα μεταφέρειν, ἀλλ' αὐτοὺς ἐκείνους ψέγειν, ὅσοι τοῖς ἀγαθοῖς κακῶς χρῶνται καὶ τοῖς ὠφελεῖν δυναμένοις, τούτοις βλάπτειν τοὺς συμπολιτευομένους ἐπιχειροῦσι. (5) Νῦν δ' ἀμελήσαντες τοῦτον τὸν τρόπον περὶ ἑκάστου διορίζεσθαι πρὸς ἅπαντας τοὺς λόγους δυσκόλως διάκεινται, καὶ τοσοῦτον διημαρτήκασιν ὥστ' οὐκ αἴσθονται τοιούτῳ πράγματι δυσμενῶς ἔχοντες, ὃ πάντων τῶν d ἐνόντων ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιόν ἐστι. Τοῖς μὲν γὰρ ἄλλοις οἷς ἔχομεν οὐδὲν τῶν ἄλλων ζῴων διαφέρομεν, ἀλλὰ πολλῶν καὶ τῷ τάχει καὶ τῇ ῥώμῃ καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν ὄντες· (6) ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν ἀλλήλους καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς περὶ ὧν ἂν βουληθῶμεν, οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν, ἀλλὰ καὶ συνελθόντες πόλεις ᾠκίσαμεν καὶ νόμους e ἐθέμεθα καὶ τέχνας εὕρομεν, καὶ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμηχανημένα λόγος ἡμῖν ἐστιν ὁ συγκατασκευάσας. (7) Οὗτος γὰρ περὶ τῶν δικαίων καὶ τῶν ἀδίκων καὶ τῶν αἰσχρῶν καὶ τῶν καλῶν ἐνομοθέτησεν· 28 ὧν μὴ διαταχθέντων οὐκ ἂν οἷοίτ' ἦμεν οἰκεῖν μετ' a ἀλλήλων. Τούτῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν καὶ τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν. Διὰ τούτου τούς τ' ἀνοήτους παιδεύομεν καὶ τοὺς φρονίμους δοκιμάζομεν· τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα, καὶ λόγος ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστιν. (8) Μετὰ τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα· ταῖς γὰρ b πίστεσιν αἷς τοὺς ἄλλους λέγοντες πείθομεν, ταῖς αὐταῖς ταύταις βουλευόμενοι χρώμεθα, καὶ ῥητορικοὺς μὲν καλοῦμεν τοὺς ἐν τῷ πλήθει δυναμένους λέγειν, εὐβούλους δὲ νομίζομεν οἵτινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν. (9) Εἰ δὲ δεῖ συλλήβδην περὶ τῆς δυνάμεως ταύτης εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνό- c μενον, ἀλλὰ καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγεμόνα λόγον ὄντα, καὶ μάλιστα χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας· ὥστε τοὺς τολμῶντας βλασφημεῖν περὶ τῶν παιδευόντων καὶ φιλοσοφούντων ὁμοίως ἄξιον μισεῖν ὥσπερ τοὺς εἰς τὰ τῶν θεῶν ἐξαμαρτάνοντας.

male tractando corrumpunt aut eloquentiam ad fallacias et injurias conferunt. (3) Miror itaque cur ii qui ita sentiunt non etiam divitias et robur et fortitudinem in crimen vocent. Nam si propter eos irascuntur eloquentiæ, qui decipiunt et mentiuntur; etiam cetera bona vituperare debent. Nec enim defuturi sunt illarum quoque rerum possessione instructi, quos deliquisse et per eas multos afflixisse constet. (4) Verum non convenit, si qui obvios verberant, robur accusare, neque, si qui homines injuria occidunt, fortitudini conviciari; neque denique hominum improbitatem in res transferre : sed illi ipsi culpandi sunt, qui bonis rebus, et quæ salutem hominibus afferre possint, male utuntur, et cives suos per eas lædere non dubitant. (5) Nunc neglecta singularum rerum tali distinctione universam eloquentiam oderunt, et in tanto errore versantur, ut non animadvertant ei se rei esse inimicos, quæ omnium, quæ in genere mortalium insint, plurima bona efficiat. Nam reliquis naturæ nostræ dotibus nihil ceteris animantibus antecellimus, sed a multis tum celeritate tum robore tum aliis facultatibus superamur : (6) quum vero nobis innatum esset et aliis persuadere et quæ nostræ sententiæ essent inter nos exponere, non ferinam solum vitam deseruimus, sed conciliis habitis etiam urbes condidimus et leges tulimus et artes invenimus, ad omnia denique propemodum a nobis sollerter excogitata suas vires contulit oratio. (7) Hæc enim est quæ de rebus justis et injustis, de turpibus et honestis leges tulit, quæ nisi constitutæ et distinctæ fuissent, nulla exsistere potuisset hominum consociatio. Hac et improbos arguimus et viros bonos laudamus. Per hanc et stolidos erudimus et prudentes exploramus. Nam ita dicere ut decet, recte sentiendi maximum signum esse credimus, atque oratio vera et legitima et æqua honesti ac fidelis animi simulacrum est. (8) Hujus ope et controversa disceptamus et ignorata quærimus. Quibus enim argumentis dicendo aliis persuademus, iisdem etiam in nostris deliberationibus utimur, et eloquentes dicimus eos qui ad populum verba facere possunt; prudentes vero existimamus eos qui in consilii capiendi deliberatione ipsi secum de rebus optime disputarint. (9) Quodsi de hac facultate in summa dicendum est, nihil quod ratione agitur, sine oratione fieri reperiemus, sed eam et operum et cogitationum omnium ducem esse, qua prudentissimi quique maxime utuntur. De magistris igitur eloquentiæ et sapientiæ studiosis qui contumeliose loqui audent, odio non minore digni sunt quam qui fana deorum immortalium violant.

10. Ἐγὼ δ' ἀποδέχομαι μὲν ἅπαντας τοὺς λόγους τοὺς καὶ κατὰ μικρὸν ἡμᾶς ὠφελεῖν δυναμένους, οὐ [d] μὴν ἀλλὰ καλλίστους ἡγοῦμαι καὶ βασιλικωτάτους καὶ μάλιστα πρέποντας ἐμοὶ τοὺς περὶ τῶν ἐπιτηδευμάτων καὶ τῶν πολιτειῶν παραινοῦντας, καὶ τούτων αὐτῶν ὅσοι διδάσκουσι τούς τε δυναστεύοντας ὡς δεῖ τῷ πλήθει χρῆσθαι, καὶ τοὺς ἰδιώτας ὡς χρὴ πρὸς τοὺς ἄρχοντας διακεῖσθαι· διὰ γὰρ τούτων ὁρῶ τὰς πόλεις εὐδαιμονεστάτας καὶ μεγίστας γιγνομένας. (11) Τὸν μὲν οὖν ἕτερον, ὡς χρὴ τυραννεῖν, Ἰσοκράτους ἠκούσατε, τὸν δ' ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ [e] πειράσομαι διελθεῖν, οὐχ ὡς ἐκεῖνον ὑπερβαλούμενος, ἀλλ' ὡς προσῆκόν μοι περὶ τούτων μάλιστα διαλεχθῆναι πρὸς ὑμᾶς. Εἰ μὲν γὰρ ἐμοῦ μὴ δηλώσαντος ἃ [29] βούλομαι ποιεῖν ὑμᾶς διαμάρτοιτε τῆς ἐμῆς γνώμης, [a] οὐκ ἂν εἰκότως ὑμῖν ὀργιζοίμην· εἰ δὲ προειπόντος ἐμοῦ μηδὲν γίγνοιτο τούτων, δικαίως ἂν ἤδη τοῖς μὴ πειθομένοις μεμφοίμην.

12. Ἡγοῦμαι δ' οὕτως ἂν μάλιστα παρακαλέσαι καὶ προτρέψαι πρὸς τὸ μνημονεύειν ὑμᾶς τὰ ῥηθέντα καὶ πειθαρχεῖν αὐτοῖς, οὐκ εἰ περὶ τὸ συμβουλεύειν μόνον γενοίμην καὶ ταῦτ' ἀπαριθμήσας ἀπαλλαγείην, ἀλλ' εἰ προεπιδείξαιμι πρῶτον μὲν τὴν πολιτείαν τὴν πα- [b] ροῦσαν ὡς ἄξιόν ἐστιν ἀγαπᾶν οὐ μόνον διὰ τὴν ἀνάγκην, οὐδ' ὅτι πάντα τὸν χρόνον μετὰ ταύτης οἰκοῦμεν, ἀλλ' ὅτι βελτίστη τῶν πολιτειῶν ἐστιν, (13) ἔπειθ' ὡς ἐγὼ ταύτην ἔχω τὴν ἀρχὴν οὐ παρανόμως οὐδ' ἀλλοτρίαν, ἀλλ' ὁσίως καὶ δικαίως καὶ διὰ τοὺς ἐξ ἀρχῆς προγόνους καὶ διὰ τὸν πατέρα καὶ δι' ἐμαυτόν. Τούτων γὰρ προαποδειχθέντων τίς οὐκ αὐτὸς αὑτοῦ καταγνώσεται τὴν μεγίστην ζημίαν, ἂν μὴ πειθαρχῇ τοῖς [c] ὑπ' ἐμοῦ συμβουλευθεῖσι καὶ προσταχθεῖσιν;

14. Περὶ μὲν οὖν τῶν πολιτειῶν (ἐντεῦθεν γὰρ ὑποτιθέμενος ἠρξάμην) οἶμαι πᾶσι δοκεῖν δεινότατον μὲν εἶναι τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς, δικαιότατον δὲ τὸ διωρίσθαι περὶ τούτων καὶ μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν ἑκάστους. (15) [d] Αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι τὰς ἰσότητας τοῖς μετέχουσι τῶν πολιτειῶν ζητοῦσι, καὶ τοῦτ' εὐδοκιμεῖ παρ' αὐταῖς, ἢν μηδὲν ἕτερος ἑτέρου δύνηται πλέον ἔχειν· ὃ τοῖς πονηροῖς συμφέρον ἐστίν· αἱ δὲ μοναρχίαι πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ, δεύτερον δὲ τῷ μετ' ἐκεῖνον, τρίτον δὲ καὶ τέταρτον τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον. Καὶ ταῦτ' εἰ μὴ πανταχοῦ καθέστηκεν, ἀλλὰ τό γε βούλημα τῆς πολιτείας τοιοῦ- [e] τόν ἐστιν. (16) Καὶ μὲν δὴ διορᾶν καὶ τὰς φύσεις τῶν ἀνθρώπων καὶ τὰς πράξεις ἅπαντες ἂν τὰς τυραννίδας μᾶλλον ὁμολογήσαιεν. Καίτοι τίς οὐκ ἂν δέξαιτο τῶν εὖ φρονούντων τοιαύτης πολιτείας μετέχειν ἐν ᾗ μὴ [30] διαλήσει χρηστὸς ὤν, μᾶλλον ἢ φέρεσθαι μετὰ τοῦ [a] πλήθους μὴ γιγνωσκόμενος ὁποῖός τίς ἐστιν; Ἀλλὰ μὴν καὶ πρᾳοτέραν τοσούτῳ δικαίως ἂν αὐτὴν εἶναι κρίνοιμεν, ὅσῳ περ ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν

10. Ego vero quum omnes orationes probo, quarum vel parva utilitas esse potest, tum eas esse judico pulcherrimas et regibus dignissimas et mihi maxime aptas, quæ de honestis actionibus et reipublicæ gerendæ ratione præcipiunt, atque in his ipsis illas excellere censeo, quæ et principes docent quomodo sit tractanda multitudo, et homines privatos, quo pacto erga principes affecti esse debeant. Per hæc enim urbes video fieri et felicissimas et amplissimas. (11) Atque alteram quidem hujus doctrinæ partem de gerendo imperio ex Isocrate audivistis; ea vero quæ restat, de civium officiis erga magistratus, ergo recitare conabor, non quo illum superare studeam, sed quia me potissimum decet his de rebus apud vos disserere. Nam si vos, quum ego, quæ a vobis fieri vellem, non exposuissem, a mea sententia aberraretis; non justam irascendi vobis causam haberem : sin rebus omnibus indicatis, tamen nihil ejusmodi fieret, jam non injuria imperata facere recusantibus succenserem.

12. Arbitror autem vos ita maxime excitari et acui posse, ut recordemini et exsequamini ea quæ dicta fuerint, si non consulendo tantum occupatus, certis capitibus enumeratis, discessero, sed si ante ostendero primum hanc reipublicæ formam esse magni faciendam, non eo tantum quod necesse sit et quod ea perpetuo simus usi, sed ob illud etiam, quod hæc inter respublicas maxime excellat; (13) deinde me non contra leges hoc imperium tenere aut aliis ereptum, sed sancte et juste tum propter primos majores tum propter patrem tum propter me ipsum. Nam si prius hæc demonstrata fuerint, quis ipse sese non maximo dignum supplicio fateatur, si meis et consiliis et imperatis non obtemperarit?

14. Quod igitur ad respublicas attinet (nam de hoc initio me dicturum esse proposui), omnes mihi assentiri arbitror iniquissimum esse, ut eadem bonis et improbis tribuantur, æquissimum vero, ut recta ratio ineatur et discrimen servetur, ne inæquales æqualia consequantur, sed ut ea cujusque et fortuna sit et dignitas, quam meretur. (15) At vero oligarchiæ et democratiæ id spectant, ut æqualitas sit inter ejusdem reipublicæ socios, et in eo statu præclarum habetur, si nemo plus alio possit : id quod e re improborum est. Monarchiæ vero principem locum præstantissimo cuique deferunt; secundum illi, qui a primo est proximus; tertium et quartum ceteris, eadem ratione. Quæ si non ubique recepta sunt, ea tamen est hujus imperii ratio et voluntas. (16) Et sane ingenia hominum et actiones universi monarchias perspicere potius fateantur. Quis vero sanæ mentis est, qui non præferat ejus potius civem se esse reipublicæ, in qua sua virtus non ignoretur, quam nulla re vulgo potiorem delitescere? Quin etiam hanc tanto et mitiorem et æquiorem judicemus, quanto

τὸν νοῦν μᾶλλον ἢ πολλαῖς καὶ παντοδαπαῖς διανοίαις ζητεῖν ἀρέσκειν. (17) Ὅτι μὲν οὖν ἡδίων ἐστὶ καὶ πρᾳοτέρα καὶ δικαιοτέρα, διὰ πλειόνων μὲν ἄν τις b ἀποδείξειεν, οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων συνιδεῖν ῥᾴδιόν ἐστι· περὶ δὲ τῶν λοιπῶν, ὅσον αἱ μοναρχίαι πρὸς τὸ βουλεύεσθαι καὶ πρᾶξαί τι τῶν δεόντων διαφέρουσιν, οὕτως ἂν κάλλιστα θεωρήσαιμεν, εἰ τὰς μεγίστας τῶν πράξεων παρ' ἀλλήλας τιθέντες ἐξετάζειν ἐπιχειρήσαιμεν αὐτάς. Οἱ μὲν τοίνυν κατ' ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εἰσιόντες πρότερον ἰδιῶται γίγνονται, πρὶν αἰσθέσθαι τι τῶν τῆς πόλεως καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν· c (18) οἱ δ' ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢν καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν, ἀλλ' οὖν ταῖς γ' ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν. Ἔπειθ' οἱ μὲν πολλῶν καταμελοῦσιν εἰς ἀλλήλους ἀποβλέποντες, οἱ δ' οὐδενὸς ὀλιγωροῦσιν, εἰδότες ὅτι πάντα δεῖ δι' αὐτῶν γίγνεσθαι. Πρὸς δὲ τούτοις οἱ μὲν ἐν ταῖς ὀλιγαρχίαις καὶ ταῖς δημοκρατίαις διὰ τὰς πρὸς σφᾶς αὐτοὺς φιλοτιμίας λυμαίνονται τοῖς κοινοῖς· οἱ δ' ἐν ταῖς μοναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ φθονήσουσι, πάντων, ὡς d οἷόντ' ἐστί, βέλτιστα πράττουσιν. (19) Ἔπειθ' οἱ μὲν ὑστερίζουσι τῶν πραγμάτων· τὸν μὲν γὰρ πλεῖστον χρόνον ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν, ἐπειδὰν δ' εἰς τὰ συνέδρια συνέλθωσιν, πλεονάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους ἢ κοινῇ βουλευομένους· οἱ δ' οὔτε συνεδρίων οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων, ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες οὐκ e ἀπολείπονται τῶν καιρῶν, ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν. (20) Ἔτι δ' οἱ μὲν δυσμενῶς ἔχουσι, καὶ βούλοιντ' ἂν καὶ τοὺς πρὸ αὐτῶν ἄρχοντας καὶ τοὺς ἐφ' αὑτοῖς ὡς κάκιστα διοικῆσαι τὴν πόλιν, ἵν' ὡς μεγίστην
31 δόξαν αὐτοὶ λάβωσιν· οἱ δὲ διὰ παντὸς τοῦ βίου κύριοι a τῶν πραγμάτων ὄντες εἰς ἅπαντα τὸν χρόνον καὶ τὰς εὐνοίας ἔχουσιν. (21) Τὸ δὲ μέγιστον· τοῖς γὰρ κοινοῖς οἱ μὲν ὡς ἰδίοις, οἱ δ' ὡς ἀλλοτρίοις προσέχουσι τὸν νοῦν, καὶ συμβούλοις χρῶνται περὶ αὐτῶν οἱ μὲν τῶν ἀστῶν τοῖς τολμηροτάτοις, οἱ δ' ἐξ ἁπάντων ἐκλεξάμενοι τοῖς φρονιμωτάτοις, καὶ τιμῶσιν οἱ μὲν τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους, οἱ δὲ τοὺς χρῆσθαι τοῖς πράγμασιν ἐπισταμένους. (22) Οὐ μόνον δ' ἐν τοῖς ἐγκυ- b κλίοις καὶ τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν, ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας περιειλήφασιν. Καὶ γὰρ παρασκευάσασθαι δυνάμεις καὶ χρήσασθαι ταύταις, ὥστε καὶ λαθεῖν καὶ φθῆναι, καὶ τοὺς μὲν πεῖσαι, τοὺς δὲ βιάσασθαι, παρὰ δὲ τῶν ἐκπρίασθαι, τοὺς δὲ ταῖς ἄλλαις θεραπείαις προσαγαγέσθαι, μᾶλλον αἱ τυραννίδες τῶν ἄλλων πολιτειῶν οἷαί τ' εἰσίν. Καὶ ταῦτ' c ἐκ τῶν ἔργων ἄν τις οὐχ ἧττον ἢ τῶν λόγων πιστεύσειεν. (23) Τοῦτο μὲν γὰρ τὴν τῶν Περσῶν δύναμιν ἅπαντες ἴσμεν τηλικαύτην τὸ μέγεθος γεγενημένην οὐ διὰ τὴν τῶν ἀνδρῶν φρόνησιν, ἀλλ' ὅτι μᾶλλον τῶν ἄλλων τὴν βασιλείαν τιμῶσι· τοῦτο δὲ Διονύσιον τὸν τύραννον, ὅτι παραλαβὼν τὴν μὲν ἄλλην Σικελίαν

facilius est unius viri judicio et voluntati satisfacere, quam studere ut multis et variis ingeniis placeas. (17) Monarchiam igitur et jucundiorem esse et leviorem et æquiorem, etsi pluribus ostendi posset, ex his tamen etiam facile intelligi potest. In ceteris vero quanto monarchiæ sint et ad consulendum potiores et ad res opportune conficiendas, sic pulcherrime cernemus, si in maxima negotia inter ipsa comparata inquiramus. Qui singulis enim annis magistratus ineunt, prius ad vitam privatam redeunt, quam publicorum negotiorum scientiam aliquam consequantur usuque rerum erudiantur: (18) qui vero iisdem rebus perpetuo præsunt, ut minus ingeniis valeant, long. tamen experientia ceteris antecellunt. Illi præterea, dum alii alios intuentur, multa negligunt; hi vero, quum sciant a se omnia perfici oportere, diligenter de singulis cog tant. Ad hæc democratici et oligarchici ambitiosis inter se dissensionibus reipublicæ nocent: monarchici vero, ut qui neminem habeant cui invideant, omnium, quantum quidem fieri potest, id quod utilissimum est, statuunt. (19) Jam illi maximam temporis partem domesticis negotiis occupati, offensionem negligentiæ sæpe vitare non possunt; deinde in conciliis sæpius eos reperias inter sese rixantes, quam in commune consulentes. Hi vero, quia neque curias neque tempora definita habent, noctu et interdiu negotiis intenti nullas occasiones negligunt, sed in tempore singula peragunt. (20) Ad hæc illi inter sese inimicitias exercentes tum superioris tum sui temporis magistratus urbi quam pessime præfuisse velint, ut ipsi quammaximam gloriam consequantur. Hi vero quum per omnem vitam rerum potiantur, semper etiam benevoli sunt. (21) Et, quod maximum est, alteri rempublicam ut suam, alteri ut alienam curant; alteri in consilium adhibent cives audacissimos, alteri, delectu ex omnibus habito, prudentissimos; alteri honorant eos qui in turba dicere possunt, alteri rebus gerendis idoneos extollunt. (22) Neque vero in quotidianis tantum ac velut in orbem redeuntibus negotiis monarchiæ excellunt, sed omnes etiam belli gerendi commoditates complectuntur. Nam et conscribere milites et illis uti seu clam, seu citius, et aliis persuadere, alios cogere, alios largitionibus adducere, alios aliis officiis demereri, facilius est monarchiis quam ceteris imperiis. Atque hæc non minus rebus ipsis, quam verbis probantur. (23) Nam et Persarum potentiam scimus omnes ad tantam processisse magnitudinem, non virorum illorum prudentia, sed eximia regum observantia; et Dionysii tyranni opes eadem ratione crevisse vidimus: qui quum et reliquam Siciliam

ἀνάστατον γεγενημένην, τὴν δ' αὐτοῦ πατρίδα πολιορ-
κουμένην, οὐ μόνον αὐτὴν τῶν παρόντων κινδύνων
ἀπήλλαξεν, ἀλλὰ καὶ μεγίστην τῶν Ἑλληνίδων πόλεων d
ἐποίησεν· (24) ἔτι δὲ Καρχηδονίους καὶ Λακεδαιμο-
νίους, τοὺς ἄριστα τῶν Ἑλλήνων πολιτευομένους, οἴ-
κοι μὲν ὀλιγαρχουμένους, παρὰ δὲ τὸν πόλεμον βασι-
λευομένους. Ἔχοι δ' ἄν τις ἐπιδεῖξαι καὶ τὴν πόλιν
[τῶν Ἀθηναίων] τὴν μάλιστα τὰς τυραννίδας μισοῦσαν,
ὅταν μὲν πολλοὺς ἐκπέμψῃ στρατηγούς, ἀτυχοῦσαν,
ὅταν δὲ δι' ἑνὸς ποιήσηται τοὺς κινδύνους, κατορθοῦ-
σαν. (25) Καίτοι πῶς ἄν τις σαφέστερον ἐπιδείξειεν ἢ e
διὰ τοιούτων παραδειγμάτων πλείστου τὰς μοναρχίας
ἀξίας οὔσας; φαίνονται γὰρ οἵ τε διὰ τέλους τυραν-
νευόμενοι μεγίστας δυνάμεις ἔχοντες, οἵ τε καλῶς ὀλι-
32 γαρχούμενοι, περὶ ἃ μάλιστα σπουδάζουσιν, οἱ μὲν a
ἕνα μόνον στρατηγόν, οἱ δὲ βασιλέα τῶν στρατοπέδων
κύριον καθιστάντες, οἵ τε μισοῦντες τὰς τυραννίδας,
ὁπόταν πολλοὺς ἄρχοντας ἐκπέμψωσιν, οὐδὲν τῶν δεόν-
των πράττοντες. (26) Εἰ δὲ δεῖ τι καὶ τῶν ἀρχαίων
εἰπεῖν, λέγεται καὶ τοὺς θεοὺς ὑπὸ Διὸς βασιλεύεσθαι.
Περὶ ὧν εἰ μὲν ἀληθὴς ὁ λόγος ἐστί, δῆλον ὅτι κἀκεῖ-
νοι ταύτην τὴν κατάστασιν προκρίνουσιν, εἰ δὲ τὸ μὲν
σαφὲς μηδεὶς οἶδεν, αὐτοὶ δ' εἰκάζοντες οὕτω περὶ αὐ- b
τῶν ὑπειλήφαμεν, σημεῖον ὅτι πάντες τὴν μοναρχίαν
προτιμῶμεν· οὐ γὰρ ἄν ποτ' αὐτῇ χρῆσθαι τοὺς θεοὺς
ἔφαμεν, εἰ μὴ πολὺ τῶν ἄλλων αὐτὴν προέχειν ἐνομί-
ζομεν.

27. Περὶ μὲν οὖν τῶν πολιτειῶν, ὅσον ἀλλήλων δια-
φέρουσιν, ἅπαντα μὲν οὔθ' εὑρεῖν οὔτ' εἰπεῖν δυνατόν
ἐστιν· οὐ μὴν ἀλλὰ πρός γε τὸ παρὸν ἀποχρώντως
καὶ νῦν εἴρηται περὶ αὐτῶν. Ὡς δὲ προσηκόντως τὴν c
ἀρχὴν ἡμεῖς ἔχομεν, πολὺ τούτου συντομώτερος καὶ
μᾶλλον ὁμολογούμενος ὁ λόγος ἐστίν. (28) Τίς γὰρ
οὐκ οἶδεν ὅτι Τεῦκρος μὲν ὁ τοῦ γένους ἡμῶν ἀρχηγός,
παραλαβὼν τοὺς τῶν ἄλλων πολιτῶν προγόνους, πλεύ-
σας δεῦρο καὶ τὴν πόλιν αὐτοῖς ἔκτισε καὶ τὴν χώραν
κατένειμεν, ὁ δὲ πατὴρ Εὐαγόρας ἀπολεσάντων ἑτέρων
τὴν ἀρχὴν πάλιν ἀνέλαβεν, ὑποστὰς τοὺς μεγίστους
κινδύνους, καὶ τοσοῦτον μετέστησεν ὥστε μηκέτι Φοί- d
νικας Σαλαμινίων τυραννεῖν, ἀλλ' ὧνπερ ἦν τὴν ἀρχήν,
τούτους καὶ νῦν ἔχειν τὴν βασιλείαν;

29. Λοιπὸν οὖν ἐστιν ὧν προεθέμην, περὶ ἐμαυτοῦ
διελθεῖν, ἵν' ἐπίστησθ' ὅτι τοιοῦτός ἐστιν ὑμῶν ὁ βασι-
λεύων, ὃς οὐ μόνον διὰ τοὺς προγόνους ἀλλὰ καὶ δι'
ἐμαυτὸν δικαίως ἂν καὶ μείζονος τιμῆς ἢ τηλικαύτης
ἠξιώθην. Οἶμαι γὰρ ἐγὼ πάντας ἂν ὁμολογῆσαι πλεί-
στου τῶν ἀρετῶν ἀξίας εἶναι τήν τε σωφροσύνην καὶ τὴν
δικαιοσύνην. (30) Οὐ γὰρ μόνον ἡμᾶς τὸ καθ' αὑτὰς e
ὠφελοῦσιν, ἀλλ' εἰ 'θέλοιμεν σκοπεῖν καὶ τὰς φύσεις καὶ
τὰς δυνάμεις καὶ τὰς χρήσεις τῶν πραγμάτων, εὑρήσο-
μεν τὰς μὲν μὴ μετεχούσας τούτων [τῶν ἰδεῶν] μεγάλων
33 κακῶν αἰτίας οὔσας, τὰς δὲ μετὰ δικαιοσύνης καὶ σωφρο- a
σύνης γιγνομένας πολλὰ τὸν βίον τὸν τῶν ἀνθρώπων ὠφε-
λούσας. Εἰ δή τινες τῶν προγεγενημένων ἐπὶ ταύταις

vastatam, et suam patriam obsidione cinctam suscepisset, non solum illis eam periculis liberavit, sed etiam Græcarum civitatum maximam effecit. (24) Præterea Carthaginienses et, qui inter omnes Græcos optime rempublicam administrant, Lacedæmonii, etsi domi paucorum potestate reguntur, in bellis tamen regio parent imperio. Quin etiam civitatem Atheniensium, quæ monarchiis infensissima est, ostendi potest, quando multos imperatores miserit, affici cladibus, quum vero in belli discriminibus unum summæ rerum præfecerit, bene rem gerere solere. (25) Enimvero quinam evidentius ostendi potest, præstantissimas esse monarchias, quam hujusmodi exemplis? Est enim perspicuum et eos qui perpetuo regiæ potestati parent, esse potentissimos atque ad gerendum bellum instructissimos; et eos qui bonas oligarchias habent, in rebus gravissimis et maximis, partim unum tantum imperatorem, partim regem exercitibus cum imperio præficere; et eos qui monarchias oderunt, quando multos duces miserint, nihil recte feliciterque administrare. (26) Quodsi quid e vetustatis memoria repetendum est, dii etiam regem habere Jovem dicuntur. Qui sermo si verus est, apparet deos quoque hunc statum ceteris anteferre: sin rei veritatem nemo novit, sed ipsi conjecturis in eam opinionem adducti sumus, id argumento est nos omnes monarchiam præstantissimam judicare. Nec enim tali deos uti republica diceremus, nisi eam multo præstare ceteris crederemus.

27. Ac de rerumpublicarum formis quidem, quantum aliæ aliis antecellant, nec inveniri nec dici possunt omnia, sed instituto nostro hæc commemorasse nunc sufficiat. Illud autem jure nos tenere imperium, multo brevius et majore omnium assensu expedietur. (28) Quis enim ignorat Teucrum, nostri generis conditorem, ceterorum civium ascitis majoribus huc navigasse et urbe condita agrum eis distribuisse? patrem vero Euagoram imperium ab aliis amissum maximis periculis aditis recuperasse, et eo redegisse rem, ut jam non Phœnices imperium in Salaminios exerceant, sed ii regnum etiam nunc, quorum ab initio fuit, teneant?

29. Restat igitur ex his quæ proposui, ut de me ipso breviter aliquid dicam, quo sciatis eum esse vestrum regem, qui non propter majores tantum suos, sed et propter semetipsum, majorem etiam honore tanto amplitudinem mereatur. Nam ego quidem inter omnes constare arbitror, omnium virtutum justitiam et temperantiam esse plurimi faciendas. (30) Nec enim per se tantum nobis prosunt, sed si et naturam et vires et usum negotiorum spectare velimus, quicquid nulla cum hoc genere communitate jungitur, maximorum malorum causam exstitisse; quæ vero temperantia justitiaque adhibita geruntur, ea maxime prodesse vitæ mortalium reperiemus. Quodsi qui veterum

ταῖς ἀρεταῖς εὐδοκίμησαν, ἡγοῦμαι κἀμοὶ προσήκειν τῆς αὐτῆς δόξης ἐκείνοις τυγχάνειν.

31. Τὴν μὲν οὖν δικαιοσύνην ἐκεῖθεν ἂν μάλιστα κατίδοιτε. Παραλαβὼν γάρ, ὅτ' εἰς τὴν ἀρχὴν καθιστάμην, τὰ μὲν βασίλεια χρημάτων κενὰ καὶ πάντα κατηναλωμένα, τὰ δὲ πράγματα ταραχῆς μεστὰ καὶ πολλῆς ἐπιμελείας δεόμενα καὶ φυλακῆς καὶ δαπάνης, b εἰδὼς ἑτέρους ἐν τοῖς τοιούτοις καιροῖς ἐκ παντὸς τρόπου τὰ σφέτερ' αὐτῶν διορθουμένους καὶ πολλὰ παρὰ τὴν φύσιν τὴν αὑτῶν πράττειν ἀναγκαζομένους, ὅμως οὐδ' ὑφ' ἑνὸς τούτων διεφθάρην, (32) ἀλλ' οὕτως ὁσίως καὶ καλῶς ἐπεμελήθην τῶν πραγμάτων, ὥστε μηδὲν ἐλλείπειν ἐξ ὧν οἷόντ' ἦν αὐξηθῆναι καὶ πρὸς εὐδαιμονίαν ἐπιδοῦναι τὴν πόλιν. Πρός τε γὰρ τοὺς πολίτας μετὰ c τοιαύτης πρᾳότητος προσηνέχθην, ὥστε μήτε φυγὰς μήτε θανάτους μήτε χρημάτων ἀποβολὰς μήτ' ἄλλην μηδεμίαν τοιαύτην συμφορὰν ἐπὶ τῆς ἐμῆς γεγενῆσθαι βασιλείας. (33) Ἀβάτου δὲ τῆς Ἑλλάδος ἡμῖν οὔσης διὰ τὸν πόλεμον τὸν γεγενημένον, καὶ πανταχοῦ συλωμένων ἡμῶν, τὰ πλεῖστα τούτων διέλυσα, τοῖς μὲν ἅπαντ' ἀποτίνων, τοῖς δὲ μέρη, τῶν δ' ἀναβαλέσθαι δεόμενος, πρὸς δὲ τοὺς ὅπως ἠδυνάμην περὶ τῶν ἐγκλημάτων d διαλλαττόμενος. Ἔτι δὲ καὶ τῶν τὴν νῆσον οἰκούντων δυσκόλως πρὸς ἡμᾶς διακειμένων, καὶ βασιλέως τῷ μὲν λόγῳ διηλλαγμένου, τῇ δ' ἀληθείᾳ τραχέως ἔχοντος, (34) ἀμφότερα ταῦτα κατεπράϋνα, τῷ μὲν προθύμως ὑπηρετῶν, πρὸς δὲ τοὺς δίκαιον ἐμαυτὸν παρέχων. Τοσούτου γὰρ δέω τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥσθ' ἕτεροι μέν, ἢν καὶ μικρῷ μείζω τῶν ὁμόρων δύναμιν ἔχωσιν, ἀποτέμνονται τῆς γῆς καὶ πλεονεκτεῖν ζητοῦσιν, e ἐγὼ δ' οὐδὲ τὴν διδομένην χώραν ἠξίωσα λαβεῖν, ἀλλ' αἱροῦμαι μετὰ δικαιοσύνης τὴν ἐμαυτοῦ μόνον ἔχειν μᾶλλον ἢ μετὰ κακίας πολλαπλασίαν τῆς ὑπαρχούσης κτήσασθαι. (35) Καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα a διατρίβειν, ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶσαι περὶ ἐμαυτοῦ; φανήσομαι γὰρ οὐδένα μὲν πώποτ' ἀδικήσας, πλείους δὲ καὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων εὖ πεποιηκὼς καὶ μείζους δωρεὰς ἑκατέροις δεδωκὼς ἢ σύμπαντες οἱ πρὸ ἐμοῦ βασιλεύσαντες. Καίτοι χρὴ τοὺς μέγα φρονοῦντας ἐπὶ δικαιοσύνῃ καὶ προσποιουμένους χρημάτων εἶναι κρείττους τοιαύτας ὑπερβολὰς ἔχειν εἰπεῖν περὶ αὑτῶν. b

36. Καὶ μὲν δὴ καὶ περὶ σωφροσύνης ἔτι μείζω τούτων ἔχω διελθεῖν. Εἰδὼς γὰρ ἅπαντας ἀνθρώπους περὶ πλείστου ποιουμένους τοὺς παῖδας τοὺς αὑτῶν καὶ τὰς γυναῖκας, καὶ μάλιστ' ὀργιζομένους τοῖς εἰς ταῦτ' ἐξαμαρτάνουσι, καὶ τὴν ὕβριν τὴν περὶ ταῦτα μεγίστων κακῶν αἰτίαν γιγνομένην, καὶ πολλοὺς ἤδη καὶ τῶν ἰδιωτῶν καὶ τῶν δυναστευσάντων διὰ ταύτην ἀπολομένους, c οὕτως ἔφυγον τὰς αἰτίας ταύτας, ὥστ' ἐξ οὗ τὴν βασιλείαν ἔλαβον, οὐδενὶ φανήσομαι σώματι πεπλησιακὼς πλὴν τῆς ἐμαυτοῦ γυναικός, (37) οὐκ ἀγνοῶν ὅτι κἀκεῖνοι παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσιν, ὅσοι περὶ μὲν τὰ τῶν πολιτῶν δίκαιοι τυγχάνουσιν ὄντες, ἄλλοθεν δέ ποθεν

ob has virtutes celebrantur, æquum esse puto eandem me quoque gloriam adipisci.

31. Ac justitiam quidem inde potissimum perspicietis, quod, ut imperio potitus sum, quum et regiam pecuniis vacuam omniaque sumptibus exhausta et negotia turbarum plena, ita ut magnam diligentiam et curam et impensas postularent, suscepissem, nec ignorarem hujusmodi temporibus alios omnibus modis detrimenta rei familiaris sarcire multaque præter ingenium suum facere necessitate coactos, nihil tamen istorum omnium me corrupit, (32) quo minus ita sancte præclareque curam rerum gererem, ut nihil prætermisisse viderer eorum quæ ad incrementa et felicitatem reipublicæ facerent. Nam et cives ea mansuetudine tractavi, ut nec exilia neque cædes neque publicationes bonorum, nec ulla denique talis calamitas me regnante inciderit; (33) et quum in Græciam nullus ob gestum bellum nobis pateret aditus, quum ubique spoliaremur, pleraque pacata reddidi aliis omnia persolvendo, aliis partes, ab aliis moram petendo, cum aliis, ut licuit, controversias transigendo. Præterea quum insulæ hujus incolæ nobis succenserent, et rex Persarum verbo reconciliatus, revera infensus esset, (34) utrosque mitigavi, hunc obsequendi alacritate, illos æquitate servanda. Nam a rerum alienarum cupiditate tam longe absum, ut quum alii, si paulo vicinis potentiores fuerint, eis et agri partem eripiant et multa præter jus et æquum sibi vindicent, ego ne eam quidem regionem accipere voluerim, quæ mihi offerebatur. Malo enim cum justitia meum tenere solum quam per injuriam imperium hoc nostro multo majus acquirere. (35) Sed quorsum attinet singulis commemorandis immorari? præsertim quum paucis de me ipso rem totam possim absolvere. Nemo enim reperietur qui a me sit unquam affectus injuria; plures vero tum cives tum alii Græci et beneficiis et majoribus utrique muneribus a me sunt ornati, quam ab iis omnibus qui ante me regnum tenuerunt. Enimvero decet eos qui justitiæ studium laudi sibi ducunt pecuniæque contemptum præ se ferunt, tanta posse de sese tamque illustria prædicare.

36. Quin de temperantia quoque mea plura etiam his et majora habeo quæ commemorem. Quum enim scirem omnes homines carissimos habere liberos et uxores suas, gravissimeque irasci iis qui eos violassent, et contumelias iis factas maximarum cladium præbere causam, nec privatis tantum hominibus, sed etiam principibus afferre interitum: ita fugi hæc crimina, ut a suscepti regni tempore me nullum nisi uxoris meæ corpus attigisse constet, (37) quum non ignorarem illos etiam vulgo celebrari, qui, modo in cives non sint injurii, aliunde suas voluptates explere stu-

αὐτοῖς ἐπορίσαντο τὰς ἡδονάς, ἀλλὰ βουλόμενος ἅμα μὲν ἐμαυτὸν ὡς πορρωτάτω ποιῆσαι τῶν τοιούτων ὑποψιῶν, ἅμα δὲ παράδειγμα καταστῆσαι τὸν τρόπον τὸν d ἐμαυτοῦ τοῖς ἄλλοις πολίταις, γιγνώσκων ὅτι φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν, ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς αὑτῶν ὁρῶσι διατρίβοντας. (38) Ἔπειτα καὶ προσήκειν ἡγησάμην τοσούτῳ τοὺς βασιλεῖς βελτίους εἶναι τῶν ἰδιωτῶν, ὅσῳ περ καὶ τὰς τιμὰς μείζους αὐτῶν ἔχουσι, καὶ δεινὰ ποιεῖν ὅσοι τοὺς μὲν ἄλλους κοσμίως ζῆν ἀναγκάζουσιν, αὐτοὶ δ' αὑτοὺς μὴ e σωφρονεστέρους τῶν ἀρχομένων παρέχουσιν. (39) Πρὸς δὲ τούτοις τῶν μὲν ἄλλων πράξεων ἑώρων ἐγκρατεῖς τοὺς πολλοὺς γιγνομένους, τῶν δ' ἐπιθυμιῶν τῶν περὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας καὶ τοὺς βελτίστους ἡττωμένους· ἐβουλήθην οὖν ἐν τούτοις ἐμαυτὸν ἐπιδεῖξαι καρτερεῖν δυνάμενον, ἐν οἷς ἔμελλον οὐ μόνον τῶν ἄλλων διοίσειν, ἀλλὰ καὶ τῶν ἐπ' ἀρετῇ μέγα φρονούν- a των. (40) Ἔτι δὲ καὶ τῶν τοιούτων πολλὴν κακίαν κατεγίγνωσκον, ὅσοι γυναῖκας λαβόντες καὶ κοινωνίαν ποιησάμενοι παντὸς τοῦ βίου μὴ στέργουσιν οἷς ἔπραξαν, ἀλλὰ ταῖς αὑτῶν ἡδοναῖς λυποῦσι ταύτας ὑφ' ὧν αὐτοὶ μηδὲν ἀξιοῦσι λυπεῖσθαι, καὶ περὶ μὲν ἄλλας τινὰς κοινωνίας ἐπιεικεῖς σφᾶς αὐτοὺς παρέχουσιν, ἐν δὲ ταῖς πρὸς τὰς γυναῖκας ἐξαμαρτάνουσιν· ἃς ἔδει τοσούτῳ μᾶλλον διαφυλάττειν, ὅσῳ περ οἰκειότεραι καὶ μείζους b οὖσαι τῶν ἄλλων τυγχάνουσιν. (41) Εἶτα λανθάνουσιν ἔνδον ἐν τοῖς βασιλείοις στάσεις καὶ διαφορὰς αὑτοῖς ἐγκαταλείποντες. Καίτοι χρὴ τοὺς ὀρθῶς βασιλεύοντας μὴ μόνον τὰς πόλεις ἐν ὁμονοίᾳ πειρᾶσθαι διάγειν, ὧν ἂν ἄρχωσιν, ἀλλὰ καὶ τοὺς οἴκους τοὺς ἰδίους καὶ τοὺς τόπους ἐν οἷς ἂν κατοικῶσιν· ἅπαντα γὰρ ταῦτα σωφροσύνης ἔργα καὶ δικαιοσύνης ἐστίν. (42) Οὐ τὴν αὐτὴν δὲ γνώμην ἔσχον οὐδὲ περὶ τῆς παιδοποιίας c τοῖς πλείστοις τῶν βασιλέων, οὐδ' ᾠήθην δεῖν τοὺς μὲν ἐκ ταπεινοτέρας ποιήσασθαι τῶν παίδων, τοὺς δ' ἐκ σεμνοτέρας, οὐδὲ τοὺς μὲν νόθους αὐτῶν, τοὺς δὲ γνησίους καταλιπεῖν, ἀλλὰ πάντας ἔχειν τὴν αὐτὴν φύσιν καὶ πρὸς πατρὸς καὶ πρὸς μητρὸς ἀνενεγκεῖν, τῶν μὲν θνητῶν εἰς Εὐαγόραν τὸν πατέρα, τῶν δ' ἡμιθέων εἰς Αἰακίδα, τῶν δὲ θεῶν εἰς Δία, καὶ μηδένα τῶν ἐξ ἐμοῦ γενομένων ἀποστερηθῆναι ταύτης τῆς εὐγενείας.

43. Πολλῶν δέ με προτρεπόντων ἐμμένειν τοῖς ἐπι- d τηδεύμασι τούτοις, οὐχ ἥκιστα κἀκεῖνο παρεκάλεσεν, ὅτι τῆς μὲν ἀνδρείας καὶ τῆς δεινότητος καὶ τῶν ἄλλων τῶν εὐδοκιμούντων ἑώρων καὶ τῶν κακῶν ἀνδρῶν πολλοὺς μετέχοντας, τὴν δὲ δικαιοσύνην καὶ σωφροσύνην ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν ὄντα. Κάλλιστον οὖν ὑπέλαβον, εἴ τις δύναιτο ταύταις ταῖς ἀρεταῖς προέχειν τῶν ἄλλων, ὧν οὐδὲν μέρος τοῖς πονηροῖς μέ- e τεστιν, ἀλλὰ γνησιώταται καὶ βεβαιόταται καὶ μέγισται καὶ μεγίστων ἐπαίνων ἄξιαι τυγχάνουσιν οὖσαι. (44) Τούτων ἕνεκα καὶ ταῦτα διανοηθεὶς περιττοτέρως τῶν ἄλλων ἤσκησα τὴν σωφροσύνην καὶ προειλόμην τῶν ἡδονῶν οὐ

dent; sed et hujusmodi suspiciones a me remotissimas et mores meos civibus exemplo esse volui, quum in iis solere studiis ætatem consumere populum scirem, quibus suos principes videat esse deditos. (38) Præterea decere censui reges tanto meliores esse privatis hominibus, quanto eis honoratiores essent, et iniquissime facere qui alios modeste vivere cogerent, nec se præberent ipsi modestiores iis quibus imperarent. (39) Deinde ceteris in rebus multos e populo videbam sibi posse moderari, sed amorum illecebris mulierum et puerorum etiam optimos viros succumbere. Quare me in his etiam imperare mihi posse ostendere volui, quibus non vulgo tantum præstarem, sed viris etiam qui virtutis opinione magnifice se jactarent. (40) Ad hæc non potui non vehementer accusare illos, qui ductis uxoribus et inita totius vitæ societate, pactis et conventis non starent, sed dum suis voluptatibus indulgerent, eas offenderent, a quibus ipsi nulla re offendi se vellent, quum in aliis contractibus quicunque fuerint æquitatem colerent, solas conventiones cum uxoribus factas violarent : quæ tanto sanctius custodiendæ erant, quanto sunt aliis interiores et majores. (41) Deinde ne illud quidem isti animadvertunt se ipsos sibi factiones et dissidia in suis regiis serere. Est autem bonorum regum officium dare operam ut non in urbibus tantum, quibus imperent, sed in suis etiam ædibus, atque in quibus consedere locis, concordiam alant. Hæc enim universa temperantiæ munera et justitiæ sunt. (42) Nec in quærendis liberis regum maximæ partis consuetudinem sum imitatus, nec alios ex humiliore muliere, alios e nobiliore censui suscipiendos, nec alteros nothos, alteros legitimos relinquendos, sed curandum ut omnes tum paternum tum maternum genus inter mortales ad Euagoram patrem, inter semideos ad Æacidas, inter deos ad Jovem optimum maximum referre possent, neque quisquam ex me genitus hac nobilitate privaretur.

43. Quum vero multa me hortata sint ut in hoc vitæ instituto perseverarem, tum illud vel inprimis movit, quod fortitudine et sollertia ceterisque laudatis rebus etiam malos quosdam homines præditos videbam; temperantiam vero et justitiam proprias esse bonorum virorum possessiones. Pulcherrimum igitur fore duxi, si quis his virtutibus alios antecelleret, quæ ut improbis nulla ex parte contingere queunt, sic integerrimæ sunt et firmissimæ et maximæ et maximis laudibus dignæ. (44) His rationibus et hac opinione adductus temperantiæ præter cetera fui studiosus, easque delegi mihi voluptates non quæ ex rebus omni virtutis splendore carentibus capiantur, sed eas quæ ex bona fama cum

36 τὰς ἐπὶ τοῖς ἔργοις τοῖς μηδεμίαν τιμὴν ἔχουσιν, ἀλλὰ a τὰς ἐπὶ ταῖς δόξαις ταῖς δι' ἀνδραγαθίαν γιγνομέναις. Χρὴ δὲ δοκιμάζειν τὰς ἀρετὰς οὐκ ἐν ταῖς αὐταῖς ἰδέαις ἁπάσας, ἀλλὰ τὴν μὲν δικαιοσύνην ἐν ταῖς ἀπορίαις, τὴν δὲ σωφροσύνην ἐν ταῖς δυναστείαις, τὴν δ' ἐγκράτειαν ἐν ταῖς τῶν νεωτέρων ἡλικίαις. (45) Ἐγὼ τοίνυν ἐν πᾶσι τοῖς καιροῖς φανήσομαι πεῖραν τῆς ἐμαυτοῦ φύσεως δεδωκώς. Ἐνδεὴς μέν γε χρημάτων καταλειφθεὶς οὕτω δίκαιον ἐμαυτὸν παρέσχον, ὥστε μηδένα λυπῆσαι τῶν b πολιτῶν· λαβὼν δ' ἐξουσίαν ὥστε ποιεῖν ὅ τι ἂν βούλωμαι, σωφρονέστερος τῶν ἰδιωτῶν ἐγενόμην· τούτων δ' ἀμφοτέρων ἐκράτησα ταύτην ἔχων τὴν ἡλικίαν, ἐν ᾗ τοὺς πλείστους ἂν εὕροιμεν πλεῖστα περὶ τὰς πράξεις ἐξαμαρτάνοντας. (46) Καὶ ταῦτ' ἐν ἑτέροις μὲν ἴσως ἂν ὤκνουν εἰπεῖν, οὐχ ὡς οὐ φιλοτιμούμενος ἐπὶ τοῖς πεπραγμένοις, ἀλλ' ὡς οὐκ ἂν πιστευθεὶς ἐκ τῶν λεγομέ- c νων· ὑμεῖς δ' αὐτοί μοι μάρτυρές ἐστε πάντων τῶν εἰρημένων. Ἄξιον μὲν οὖν καὶ τοὺς φύσει κοσμίους ὄντας ἐπαινεῖν καὶ θαυμάζειν, ἔτι δὲ μᾶλλον καὶ τοὺς μετὰ λογισμοῦ τοιούτους ὄντας· (47) οἱ μὲν γὰρ τύχῃ καὶ μὴ γνώμῃ σωφρονοῦντες τυχὸν ἂν καὶ μεταπεισθεῖεν· οἱ δὲ πρὸς τῷ πεφυκέναι καὶ διεγνωκότες ὅτι μέγιστόν ἐστι τῶν ἀγαθῶν ἀρετή, δῆλον ὅτι πάντα τὸν βίον ἐν ταύτῃ τῇ τάξει διαμενοῦσιν. d

Διὰ τοῦτο δὲ πλείους ἐποιησάμην τοὺς λόγους καὶ περὶ ἐμαυτοῦ καὶ περὶ τῶν ἄλλων τῶν προειρημένων, ἵνα μηδεμίαν ὑπολίπω πρόφασιν ὡς οὐ δεῖ ποιεῖν ὑμᾶς ἑκόντας καὶ προθύμως, ἅττ' ἂν ἐγὼ συμβουλεύσω καὶ προστάξω.

48. Φημὶ δὲ χρῆναι πράττειν ἕκαστον ὑμῶν, ἐφ' οἷς ἐφέστηκεν, ἐπιμελῶς καὶ δικαίως· καθ' ὁπότερον γὰρ ἂν ἐλλείπητε τούτων, ἀνάγκη κακῶς σχεῖν ταύτῃ τὰς πράξεις. Μηδενὸς ὀλιγωρεῖτε μηδὲ καταφρονεῖτε τῶν e προστεταγμένων, ὑπολαμβάνοντες ὡς οὐ παρὰ τοῦτ' ἐστίν, ἀλλ' ὡς παρ' ἕκαστον τῶν μερῶν ἢ καλῶς ἢ κακῶς τὸ σύμπαν ἕξον, οὕτω σπουδάζετε περὶ αὐτῶν. 37 (49) Κήδεσθε μηδὲν ἧττον τῶν ἐμῶν ἢ τῶν ὑμετέρων αὐ- a τῶν, καὶ μὴ νομίζετε μικρὸν ἀγαθὸν εἶναι τὰς τιμὰς ἃς ἔχουσιν οἱ καλῶς τῶν ἡμετέρων ἐπιστατοῦντες. Ἀπέχεσθε τῶν ἀλλοτρίων, ἵν' ἀσφαλέστερον τοὺς οἴκους τοὺς ὑμετέρους αὐτῶν κεκτῆσθε. Τοιούτους εἶναι χρὴ περὶ τοὺς ἄλλους, οἷόν περ ἐμὲ περὶ ὑμᾶς ἀξιοῦτε γίγνεσθαι. (50) Μὴ σπεύδετε πλουτεῖν μᾶλλον ἢ χρηστοὶ δοκεῖν εἶναι, γιγνώσκοντες ὅτι καὶ τῶν Ἑλλήνων καὶ b τῶν βαρβάρων οἱ μεγίστας ἐπ' ἀρετῇ δόξας ἔχοντες πλείστων ἀγαθῶν δεσπόται καθίστανται. Τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖσθε μὴ πλοῦτον ἀλλὰ κίνδυνον ποιήσειν. Μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε, τὸ δ' ἀναλῶσαι ζημίαν· οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν, ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται, τοῦτ' ὠφελεῖ τοὺς ποιοῦντας. (51) Μηδὲ πρὸς ἓν χαλεπῶς ἔχετε c τῶν ὑπ' ἐμοῦ προσταττομένων· ὅσοι γὰρ ἂν ὑμῶν περὶ πλεῖστα τῶν ἐμῶν χρησίμους αὑτοὺς παράσχωσιν, οὐ-

gloria rei bene gestæ conjuncta exoriantur. Neque vero de omnibus virtutibus una quadam ratione judicandum est, sed de justitia in egestate, de modestia in potestate, de continentia in juvenili ætate. (45) Ego vero his temporibus omnibus ingenii mei specimen dedisse videbor. Nam et inops pecuniæ relictus ita æquum me præbui, ut civium nulli molestus fuerim; et quum, quicquid libuisset, liceret, temperantia privatos superavi. Hæc vero utraque præstiti ea ætate, qua plerosque in rebus gerendis plurimum de officio decedere videmus. (46) Quæ omnia fortassis apud alios dicere veritus essem, non quin facta mea mihi laudi ducam, sed ne orationi meæ fides non haberetur: vos vero ipsi mihi testes estis eorum quæ dicta sunt omnium. Laudandi autem sunt et digni admiratione etiam homines natura modesti, sed multo magis ii, qui ratione quoque sunt tales. (47) Nam qui temperantiam fortuito, non consulto colunt, hi fieri potest, ut aliquando a sententia deducantur: qui vero præter naturæ bonitatem etiam persuasum habent, summum bonum esse in virtute positum, ii haud dubie per omnem ætatem in hac statione perseverabunt.

Ideo autem et de me ipso, et de ceteris quas exposui rebus, plura verba feci, ne ullam excusationem vobis reliquam facerem, quominus libenter et alacriter meis consiliis et decretis duceretis obtemperandum.

48. Jubeo igitur unumquenque vestrûm id quod sui officii est, et diligenter et fideliter administrare. Nam quatenus alterutrum horum omittatis, eatenus actiones deteriores esse necesse erit. Nihil igitur ex mandatis negligite aut contemnite, cogitantes, non in eo quidem quod violetur, per se tantum esse momenti, sed sic intenti in ea estote, ut sentiatis singulas partes id efficere, ut res universa vel præclare vel male se habeat. (49) Nihilo minus curate mea, quam vestra, nec honores, qui iis habentur qui rebus nostris bene præsunt, parvum bonum æstimate. Alienis abstinete, quo tutius vestras opes teneatis. Tales erga alios vos præbere debetis, qualem erga vos me esse postulatis. (50) Ne ditari potius quam probitatis opinionem consequi properetis. Scitis enim et apud Græcos et apud barbaros plurimis eos potiri bonis, qui maxima virtutis gloria florent. Injusta lucra ne existimate auctura esse divitias, sed periculum allatura. Ne putetis vos accipiendo lucrum, erogando damnum facturos. Neutrum enim horum semper eandem vim habet, sed utrum in tempore et cum virtute fiat, hoc iis qui faciunt expedit. (51) Nihil penitus a me mandatum gravate facitote. Nam quo quisque vestrûm pluribus utilitatibus meis inservierit, eo majores fructus

τοι πλεῖστα τοὺς οἴκους τοὺς αὑτῶν ὠφελήσουσιν. Ὅ τι
ἂν ὑμῶν ἕκαστος αὐτὸς αὑτῷ τύχῃ συνειδώς, ἡγείσθω
μηδ' ἐμὲ λήσειν, ἀλλ' ἐὰν καὶ τὸ σῶμα μὴ παρῇ, τὴν
διάνοιαν τὴν ἐμὴν οἰέσθω τοῖς γιγνομένοις παρεστάναι·
ταύτην γὰρ τὴν γνώμην ἔχοντες, σωφρονέστερον βου- d
λεύσεσθε περὶ ἁπάντων. (52) Μηδὲν ἀποκρύπτεσθε μήθ'
ὧν κέκτησθε μήθ' ὧν ποιεῖτε μήθ' ὧν μέλλετε πράττειν,
εἰδότες ὅτι περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων ἀναγ-
καῖόν ἐστι πολλοὺς φόβους γίγνεσθαι. Μὴ τεχνικῶς
ζητεῖτε πολιτεύεσθαι μηδ' ἀφανῶς, ἀλλ' οὕτως ἁπλῶς
καὶ φανερῶς ὥστε μηδ' ἄν τις βούληται ῥᾴδιον ὑμᾶς
εἶναι διαβαλεῖν. Δοκιμάζετε τὰς πράξεις, καὶ νομίζετε e
πονηρὰς μὲν ἃς πράττοντες λανθάνειν ἐμὲ βούλεσθε,
χρηστὰς δὲ περὶ ὧν ἐγὼ μέλλω πυθόμενος βελτίους ὑμᾶς
νομιεῖν. (53) Μὴ κατασιωπᾶτ', ἐάν τινας ὁρᾶτε περὶ τὴν
ἀρχὴν τὴν ἐμὴν πονηροὺς ὄντας, ἀλλ' ἐξελέγχετε, καὶ
νομίζετε τῆς αὐτῆς ζημίας ἀξίους εἶναι τοὺς συγκρύπτον-
38 τας τοῖς ἁμαρτάνουσιν. Εὐτυχεῖν νομίζετε μὴ τοὺς λαν- a
θάνοντας, ἐάν τι κακὸν ποιήσωσιν, ἀλλὰ τοὺς μηδὲν
ἐξαμαρτάνοντας· τοὺς μὲν γὰρ εἰκὸς τοιαῦτα παθεῖν, οἷά
περ αὐτοὶ ποιοῦσι, τοὺς δὲ χάριν ἀπολαβεῖν, ἧς ἄξιοι
τυγχάνουσιν ὄντες. (54) Ἑταιρείας μὴ ποιεῖσθε μηδὲ
συνόδους ἄνευ τῆς ἐμῆς γνώμης· αἱ γὰρ τοιαῦται συστά-
σεις ἐν μὲν ταῖς ἄλλαις πολιτείαις πλεονεκτοῦσιν, ἐν δὲ
ταῖς μοναρχίαις κινδυνεύουσιν. Μὴ μόνον ἀπέχεσθε
τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ τῶν ἐπιτηδευμάτων τῶν b
τοιούτων ἐν οἷς ἀναγκαῖόν ἐστιν ὑποψίαν ἐγγίγνεσθαι.
Τὴν ἐμὴν φιλίαν ἀσφαλεστάτην καὶ βεβαιοτάτην
εἶναι νομίζετε. (55) Διαφυλάττετε τὴν παροῦσαν κατά-
στασιν, καὶ μηδεμιᾶς ἐπιθυμεῖτε μεταβολῆς, εἰδότες
ὅτι διὰ τὰς ταραχὰς ἀναγκαῖόν ἐστι καὶ τὰς πόλεις
ἀπόλλυσθαι καὶ τοὺς οἴκους τοὺς ἰδίους ἀναστάτους
γίγνεσθαι. Μὴ μόνον τὰς φύσεις αἰτίας νομίζετε τοῦ χα-
λεποὺς ἢ πρᾳοτέρους εἶναι τοὺς τυράννους, ἀλλὰ καὶ τὸν c
τρόπον τὸν τῶν πολιτῶν· πολλοὶ γὰρ ἤδη διὰ τὴν τῶν
ἀρχομένων κακίαν τραχύτερον ἢ κατὰ τὴν αὑτῶν γνώ-
μην ἄρχειν ἠναγκάσθησαν. (56) Θαρρεῖτε μὴ μᾶλλον
διὰ τὴν πρᾳότητα τὴν ἐμὴν ἢ διὰ τὴν ὑμετέραν αὐτῶν
ἀρετήν. Τὴν ἐμὴν ἀσφάλειαν ἄδειαν ὑμῖν αὐτοῖς εἶ-
ναι νομίζετε· καλῶς γὰρ τῶν περὶ ἐμὲ καθεστώτων τὸν
αὐτὸν τρόπον καὶ τὰ περὶ ὑμᾶς ἕξει. Ταπεινοὺς μὲν d
εἶναι χρὴ πρὸς τὴν ἀρχὴν τὴν ἐμήν, ἐμμένοντας τοῖς
ἔθεσι καὶ διαφυλάττοντας τοὺς νόμους τοὺς βασιλικούς,
λαμπροὺς δ' ἐν ταῖς ὑπὲρ τῆς πόλεως λειτουργίαις καὶ
τοῖς ἄλλοις τοῖς ὑπ' ἐμοῦ προσταττομένοις. (57) Προτρέ-
πετε τοὺς νεωτέρους ἐπ' ἀρετὴν μὴ μόνον παραινοῦντες,
ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδεικνύοντες αὐτοῖς οἵους
εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθούς. Διδάσκετε τοὺς
παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι, καὶ περὶ e
τὴν παίδευσιν τὴν τοιαύτην ἐθίζετ' αὐτοὺς ὡς μάλιστα
διατρίβειν· ἢν γὰρ καλῶς ἄρχεσθαι μάθωσι, πολλῶν
ἄρχειν δυνήσονται, καὶ πιστοὶ μὲν ὄντες καὶ δίκαιοι
μεθέξουσι τῶν ἡμετέρων ἀγαθῶν, κακοὶ δὲ γενόμενοι κιν-
39 δυνεύσουσι περὶ τῶν ὑπαρχόντων. (58) Μέγιστον ἡγεῖσθε a

inde privatim percipiet. Cujus rei unusquisque vestrûm sibi conscius fuerit, eam ne me quidem clam fore existimet. Nam etsi corpus meum præsens non fuerit, at mentem meam singulis actionibus adesse putet. Hoc enim animo si fueritis, modestius de quacumque re consuletis. (52) Nihil occultate, sive quod possidetis, sive quod facitis, sive quod facturi estis. Scitis enim fieri non posse quin clandestini conatus magnos terrores adjunctos habeant. Ne studeatis callide rempublicam aut occulte gerere, sed ita simpliciter et aperte, ut ne quis, etiamsi velit, vos facile calumniari queat. Examinate actiones, et putate malas esse quas ignorari a me velitis; bonas, quibus ego auditis vos probiores judicabo. (53) Ne reticeatis, si quos videritis imperio meo infestos esse, sed et arguite et existimate idem supplicium deberi occultantibus quod delinquentibus. Felices putate non eos, qui clam habent maleficia sua, sed eos, qui nihil delinquunt. Consentaneum est enim alteros meritas scelerum pœnas daturos, alteros pro factis suis præmia digna percepturos. (54) Nullas sodalitates, nulla concilia sine auctoritate mea instituite. Nam hujusmodi conspirationes ut in aliis civitatibus multum valent, ita in monarchiis sunt periculosæ. Fugite non tantum peccata, sed etiam ejusmodi studia, quæ sine peccati suspicione esse nequeunt. Meam amicitiam tutissimam et firmissimam esse putate. (55) Hunc statum præsentem tuemini, neque ullam requirite mutationem, non ignari fieri non posse quin per tumultus et urbes intereant et privatæ domus evertantur. Sævitiam aut clementiam non solum ingeniis tribuite dominorum, sed moribus etiam populorum. Multi etiam jam ob improbitatem civium asperius imperare, quam vellent, sunt coacti. (56) Freti estote non magis mea clementia, quam vestra ipsorum virtute. Quo ego tutior fuero, eo vos securiores esse putate. Nam rebus meis probe constitutis, eadem vestrarum quoque rerum ratio futura est. Humiles vos esse decet erga meum imperium, ut et in institutis perseveretis et leges regias observetis; splendidos vero in publicis muneribus obeundis mandatisque meis exsequendis. (57) Adolescentes ad virtutem excitate non tantum præcipiendo, sed in ipsis etiam actionibus eis demonstrando, quales præstantes viros esse oporteat. Docete liberos vestros parere imperio regio, et assuefacite eos, ut in hujus virtutis studio potissimum versentur. Nam ubi pulchre parere didicerint, multis imperare poterunt, et si fideles fuerint et probi, bonorum nostrorum participes erunt; sin improbi, suas opes in discrimen adducent. (58) Maximas putate et fir-

καὶ βεβαιότατον τοῖς παισὶ πλοῦτον παραδώσειν, ἢν αὐτοῖς δύνησθε τὴν ἡμετέραν εὔνοιαν καταλείπειν. Ἀθλιωτάτους ἡγεῖσθε καὶ δυστυχεστάτους, ὅσοι περὶ τοὺς πιστεύοντας ἄπιστοι γεγόνασιν· ἀνάγκη γὰρ τοὺς τοιούτους ἀθύμως ἔχοντας καὶ φοβουμένους ἅπαντα καὶ μηδὲν μᾶλλον πιστεύοντας τοῖς φίλοις ἢ τοῖς ἐχθροῖς τὸν ἐπίλοιπον χρόνον διάγειν. (59) Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας· μετὰ γὰρ τοιαύτης ψυχῆς ἥδιστ' ἂν b τις δύναιτο τὸν βίον διαγαγεῖν. Μὴ τὴν κακίαν οἴεσθε δύνασθαι μὲν πλείω τῆς ἀρετῆς ὠφελεῖν, τὸ δ' ὄνομα δυσχερέστερον ἔχειν, ἀλλ' οἵων περ ὀνομάτων ἕκαστον τῶν πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν εἶναι. (60) Μὴ φθονεῖτε τοῖς παρ' ἐμοὶ πρωτεύουσιν, ἀλλ' ἁμιλλᾶσθε, καὶ πειρᾶσθε χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντες ἐξισοῦσθαι τοῖς προέχουσιν. Φι- c λεῖν οἴεσθε δεῖν καὶ τιμᾶν οὕσπερ ἂν καὶ ὁ βασιλεύς, ἵνα καὶ παρ' ἐμοῦ τυγχάνητε τῶν αὐτῶν τούτων. Οἷά περ παρόντος μου λέγετε, τοιαῦτα καὶ περὶ ἀπόντος φρονεῖτε. (61) Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ τοῖς λόγοις. Ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοὺς ἄλλους μὴ ποιεῖτε. Περὶ ὧν ἂν ἐν τοῖς λόγοις κατηγορῆτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε. Τοιαῦτα προσδοκᾶτε πράξειν, οἷ' d ἂν περὶ ἡμῶν διανοῆσθε. Μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθούς, ἀλλὰ καὶ μιμεῖσθε. (62) Τοὺς λόγους τοὺς ἐμοὺς νόμους εἶναι νομίζοντες πειρᾶσθε τούτοις ἐμμένειν, εἰδότες ὅτι τοῖς μάλιστα ποιοῦσιν ὑμῶν ἁγὼ βούλομαι, τάχιστα τούτοις ἐξέσται ζῆν ὡς αὐτοὶ βούλονται. Κεφάλαιον δὲ τῶν εἰρημένων· οἵους περ τοὺς ὑφ' ὑμῶν ἀρχομένους οἴεσθε δεῖν περὶ ὑμᾶς εἶναι, τοιούτους χρὴ e καὶ περὶ τὴν ἀρχὴν τὴν ἐμὴν ὑμᾶς γίγνεσθαι.

63. Καὶ ταῦτ' ἂν ποιῆτε, τί δεῖ περὶ τῶν συμβησομένων μακρολογεῖν; ἢν γὰρ ἐγώ τε παρέχω τοιοῦτον ἐμαυτὸν οἷόν περ ἐν τῷ παρελθόντι χρόνῳ, καὶ τὰ παρ' ὑμῶν ὑπηρετῆται, ταχέως ὄψεσθε καὶ τὸν βίον τὸν ὑμέτερον αὐτῶν ἐπιδεδωκότα καὶ τὴν ἀρχὴν τὴν ἐμὴν ηὐξημένην καὶ τὴν πόλιν εὐδαίμονα γεγενημένην. (64) Ἄξιον μὲν οὖν τηλικούτων ἀγαθῶν ἕνεκα μηδὲν ἐλλείπειν, ἀλλὰ καὶ πόνους καὶ κινδύνους οὑστινασοῦν ὑπενεγκεῖν· ὑμῖν δ' ἔξεστι μηδὲν ταλαιπωρηθεῖσιν, ἀλλὰ πιστοῖς μόνον καὶ δικαίοις οὖσιν, ἅπαντα ταῦτα διαπράξασθαι.

missimas opes vos liberis tradituros, si eis nostram benevolentiam relinquere possitis. Miserrimos judicate et infelicissimos eos qui iis fidem fregerunt, qui fidem eis habuerunt. Necesse est enim tales in trepidatione metuque omnium reliquam ætatem exigere, nec amicis magis credere quam inimicis. (59) Beatos existimate non opulentissimos, sed nullius sceleris sibi conscios. Nam qui hoc animo sunt, omne tempus ætatis suavissime possunt degere. Ne putetis improbitatem plus quam virtutem prodesse, et nomen tantum odiosius habere, sed cujusmodi appellationes singulis rebus inditæ sint, talem etiam vim illarum esse ducite. (60) Ne invidete iis qui apud me principem locum tenent, sed contendite cum iis, et enitimini ut ob probitatem et virtutem vestram cum summis æquemini. Amandos et honorandos eos esse putate, quos rex magni facit, ut eadem hæc vobis etiam a me tribuantur. Qualia me præsente dicitis, talia etiam, quum absum, de me sentite. (61) Vestram erga nos benevolentiam factis magis, quam verbis declarate. Quæ vobis ab aliis fieri ægre fertis, eadem aliis ipsi ne feceritis. Quæ verbis accusatis, ea re ipsa ne committatis. Ita vobiscum actum iri credite, ut erga nos affecti fueritis. Non tantum laudate bonos, sed etiam imitamini. (62) Verba mea pro legibus putantes operam date ut eis obtemperetis, ac scitote fore ut his qui maxime voluntati meæ satisfacere studuerint, citissime vivere liceat ut ipsi volunt. Caput vero est omnium quæ diximus : quales existimatis eos qui vobis parent, erga vos esse oportere, tales vos erga meum imperium esse debetis.

63. Quæ si feceritis, quorsum attinet multa dicere, quid sit eventurum? Nam si et ego me ita geram ut superiori tempore, et mihi vos inserviatis, quamprimum et vestras opes crevisse videbitis et meum imperium auctum et civitatem felicem esse factam. (64) Operæ pretium est igitur, tantis bonis propositis, omnia facere nec labores ullos aut pericula recusare. Nunc vobis potestas datur sine ullo negotio, si fidi modo et justi fueritis, hæc omnia consequendi.

4.

ΠΑΝΗΓΥΡΙΚΟΣ.

41 Πολλάκις ἐθαύμασα τῶν τὰς πανηγύρεις συναγα- a γόντων καὶ τοὺς γυμνικοὺς ἀγῶνας καταστησάντων, ὅτι τὰς μὲν τῶν σωμάτων εὐτυχίας οὕτω μεγάλων δωρεῶν ἠξίωσαν, τοῖς δ' ὑπὲρ τῶν κοινῶν ἰδίᾳ πονήσασι καὶ τὰς ἑαυτῶν ψυχὰς οὕτω παρασκευάσασιν ὥστε καὶ τοὺς ἄλλους ὠφελεῖν δύνασθαι, τούτοις δ' οὐδεμίαν τιμὴν ἀπένειμαν· (2) ὧν εἰκὸς ἦν αὐτοὺς μᾶλλον ποιή- b

4.

PANEGYRICUS.

Sæpe mirari soleo, quid in mentem iis venerit, qui celebritates has congregarunt et ludos gymnicos instituerunt, ut corporum successibus tanta præmia proponerent, eos vero qui reipublicæ studio privatos labores cepissent, et animis ita se parassent, ut aliis quoque prodesse possent, nullo prorsus honore dignos judicarent : (2) quorum eos rationem potius habere decuit. Nam etsi pugilum robur condupli-

σασθαι πρόνοιαν· τῶν μὲν γὰρ ἀθλητῶν δὶς τοσαύτην
ῥώμην λαβόντων οὐδὲν ἂν πλέον γένοιτο τοῖς ἄλλοις,
ἑνὸς δ' ἀνδρὸς εὖ φρονήσαντος ἅπαντες ἂν ἀπολαύσειαν
οἱ βουλόμενοι κοινωνεῖν τῆς ἐκείνου διανοίας. (3) Οὐ
μὴν ἐπὶ τούτοις ἀθυμήσας εἱλόμην ῥαθυμεῖν, ἀλλ' ἱκα-
νὸν νομίσας ἆθλον ἔσεσθαί μοι τὴν δόξαν τὴν ἀπ' αὐτοῦ
τοῦ λόγου γενησομένην ἥκω συμβουλεύσων περί τε τοῦ
πολέμου τοῦ πρὸς τοὺς βαρβάρους καὶ τῆς ὁμονοίας
τῆς πρὸς ἡμᾶς αὐτούς, οὐκ ἀγνοῶν ὅτι πολλοὶ τῶν προσ- c
ποιησαμένων εἶναι σοφιστῶν ἐπὶ τοῦτον τὸν λόγον
42 ὥρμησαν, (4) ἀλλ' ἅμα μὲν ἐλπίζων τοσοῦτον διοίσειν a
ὥστε τοῖς ἄλλοις μηδὲν πώποτε δοκεῖν εἰρῆσθαι περὶ
αὐτῶν, ἅμα δὲ προκρίνας τούτους καλλίστους εἶναι
τῶν λόγων, οἵτινες περὶ μεγίστων τυγχάνουσιν ὄντες
καὶ τούς τε λέγοντας μάλιστ' ἐπιδεικνύουσι καὶ τοὺς
ἀκούοντας πλεῖστ' ὠφελοῦσιν, ὧν εἷς οὗτός ἐστιν. (5)
Ἔπειτ' οὐδ' οἱ καιροί πω παρεληλύθασιν, ὥστ' ἤδη
μάτην εἶναι τὸ μεμνῆσθαι περὶ τούτων. Τότε γὰρ
χρὴ παύεσθαι λέγοντας, ὅταν ἢ τὰ πράγματα λάβῃ b
τέλος καὶ μηκέτι δέῃ βουλεύεσθαι περὶ αὐτῶν, ἢ τὸν
λόγον ἴδῃ τις ἔχοντα πέρας, ὥστε μηδεμίαν λελεῖφθαι
τοῖς ἄλλοις ὑπερβολήν. (6) Ἕως δ' ἂν τὰ μὲν ὁμοίως
ὥσπερ πρότερον φέρηται, τὰ δ' εἰρημένα φαύλως ἔχοντα
τυγχάνῃ, πῶς οὐ χρὴ σκοπεῖν καὶ φιλοσοφεῖν τοῦτον
τὸν λόγον, ὃς ἢν κατορθωθῇ, καὶ τοῦ πολέμου τοῦ πρὸς
ἀλλήλους καὶ τῆς ταραχῆς τῆς παρούσης καὶ τῶν με-
γίστων κακῶν ἡμᾶς ἀπαλλάξει; (7) Πρὸς δὲ τούτοις, c
εἰ μὲν μηδαμῶς ἄλλως οἷόν τ' ἦν δηλοῦν τὰς αὐτὰς πρά-
ξεις ἀλλ' ἢ διὰ μιᾶς ἰδέας, εἶχεν ἄν τις ὑπολαβεῖν ὡς
περίεργόν ἐστι τὸν αὐτὸν τρόπον ἐκείνοις λέγοντα πάλιν
ἐνοχλεῖν τοῖς ἀκούουσιν· (8) ἐπειδὴ δ' οἱ λόγοι τοιαύ-
την ἔχουσι τὴν φύσιν, ὥσθ' οἷόν τ' εἶναι περὶ τῶν αὐτῶν
πολλαχῶς ἐξηγήσασθαι, καὶ τά τε μεγάλα ταπεινὰ
ποιῆσαι καὶ τοῖς μικροῖς μέγεθος περιθεῖναι, καὶ τά τε
παλαιὰ καινῶς διελθεῖν καὶ περὶ τῶν νεωστὶ γεγενημέ- d
νων ἀρχαίως εἰπεῖν, οὐκέτι φευκτέον ταῦτ' ἐστὶ περὶ ὧν
ἕτεροι πρότερον εἰρήκασιν, ἀλλ' ἄμεινον ἐκείνων εἰπεῖν
πειρατέον. (9) Αἱ μὲν γὰρ πράξεις αἱ προγεγενημέναι
κοιναὶ πᾶσιν ἡμῖν κατελείφθησαν, τὸ δ' ἐν καιρῷ ταύ-
ταις καταχρήσασθαι καὶ τὰ προσήκοντα περὶ ἑκάστης
ἐνθυμηθῆναι καὶ τοῖς ὀνόμασιν εὖ διαθέσθαι τῶν εὖ φρο-
νούντων ἴδιόν ἐστιν. (10) Ἡγοῦμαι δ' οὕτως ἂν μεγίστην
ἐπίδοσιν λαμβάνειν καὶ τὰς ἄλλας τέχνας καὶ τὴν περὶ e
τοὺς λόγους φιλοσοφίαν, εἴ τις θαυμάζοι καὶ τιμῴη μὴ
τοὺς πρώτους τῶν ἔργων ἀρχομένους, ἀλλὰ τοὺς ἄρισθ'
ἕκαστον αὐτῶν ἐξεργαζομένους, μηδὲ τοὺς περὶ τούτων
ζητοῦντας λέγειν περὶ ὧν μηδεὶς πρότερον εἴρηκεν, ἀλλὰ a
τοὺς οὕτως ἐπισταμένους εἰπεῖν ὡς οὐδεὶς ἂν ἄλλος δύ-
ναιτο.

11. Καίτοι τινὲς ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ τοὺς
ἰδιώτας ἔχουσι καὶ λίαν ἀπηκριβωμένοις, καὶ τοσοῦτον
διημαρτήκασιν ὥστε τοὺς πρὸς ὑπερβολὴν πεποιημένους
πρὸς τοὺς ἀγῶνας τοὺς περὶ τῶν ἰδίων συμβολαίων σκο-
ποῦσιν, ὥσπερ ὁμοίως δέον ἀμφοτέρους ἔχειν, ἀλλ' οὐ

caretur, nullus tamen ex eo fructus rediret ad ceteros: unius autem viri prudentia fruuntur omnes, qui ejus consiliis parere volunt. (3) Neque tamen hæc mihi desperationem attulerunt, ut socordiæ me dederem, sed quum gloriam ex ipsa oratione capiendam satis mihi magnum fore præmium existimem, consilium daturus adsum quum de bello barbaris inferendo, tum de concordia inter nos ipsos constituenda, etsi non ignoro, multos qui sophistarum sibi nomen arrogarunt, cupide hoc argumentum arripuisse, (4) tamen et ceteros tanto intervallo me superaturum confido, ut illi nihil unquam dixisse de hoc negotio videantur, et eas orationes pulcherrimas esse censeo, quæ et maximis de rebus agunt, et oratorum ingenia maxime demonstrant, et utilissimæ sunt audientibus: quarum de numero hæc est. (5) Deinde harum quoque rerum tempora nondum præterierunt, ut has oratione renovari supervacaneum sit. Tum enim demum dicendi finis est faciendus, quum au tres ipsæ peractæ sunt, neque jam in deliberationem cadunt, aut quum oratio de iis sic elaborata est, ut ad ejus excellentiam nihil ab ullo addi posse videatur. (6) Sed quam diu neque rerum status emendatus est, et prius habitæ orationes parum probantur, quomodo de tali oratione exquirenda non meditandum et sedulo cogitandum est, quæ, si prospere successerit, et intestinis bellis et his tumultibus malisque maximis nos liberare possit? (7) Præterea si alio nullo modo iisdem de rebus nisi uno dici liceret, supervacaneum judicari posset iterata ejusdem argumenti non dissimili tractatione obtundere auditores: (8) quum autem ea sit natura sermonis, ut res eædem varie possint explicari dicendoque tum magna deprimi, tum exaggerari parva, tum vetera nova ratione dici, tum iis quæ recens acta sunt, quædam vetustatis species conciliari queat: non utique ea fugienda sunt, de quibus alii prius egerunt, sed opera danda est ut eos orationis præstantia superemus. (9) Res enim olim gestæ ex æquo nobis omnibus sunt relictæ; eas vero in tempore proferre, et argumentis idoneis confirmare, et verbis illustrare, prudentium hominum proprium munus est. (10) Sic autem existimo et ceteras artes et eloquentiæ studium maxime auctum iri, si in admiratione atque honorati sint non ii a quibus primis sit initium rerum agendarum profectum, sed hi, qui unumquodque factum optime transegerint, neque illi qui de rebus a nemine prius tractatis dicere instituerint, sed qui sic verba fecerint, ut nemo alius eodem modo possit.

11. Enimvero sunt qui vituperent orationes, quæ vulgi captum excedunt et exquisitius elaboratæ sunt; ac tanto in errore versantur, ut summo studio, quo ceteras superent, perpolitas cum privatorum negotiorum causis conferant; quasi vero eadem utrarumque ratio esse debeat, et non al-

τοὺς μὲν ἀσφαλῶς, τοὺς δ' ἐπιδεικτικῶς, ἢ σφᾶς μὲν b διορῶντας τὰς μετριότητας, τὸν δ' ἀκριβῶς ἐπιστάμενον λέγειν ἁπλῶς οὐκ ἂν δυνάμενον εἰπεῖν. (12) Οὗτοι μὲν οὖν οὐ λελήθασιν ὅτι τούτους ἐπαινοῦσιν ὧν ἐγγὺς αὐτοὶ τυγχάνουσιν ὄντες· ἐμοὶ δ' οὐδὲν πρὸς τοὺς τοιούτους, ἀλλὰ πρὸς ἐκείνους ἐστί, τοὺς οὐδὲν ἀποδεξομένους τῶν εἰκῇ λεγομένων, ἀλλὰ δυσχερανοῦντας καὶ ζητήσοντας ἰδεῖν τι τοιοῦτον ἐν τοῖς ἐμοῖς, οἷον παρὰ τοῖς ἄλλοις οὐχ εὑρήσουσιν. Πρὸς οὓς ἔτι μικρὸν ὑπὲρ ἐμαυτοῦ c θρασυνάμενος, ἤδη περὶ τοῦ πράγματος ποιήσομαι τοὺς λόγους. (13) Τοὺς μὲν γὰρ ἄλλους ἐν τοῖς προοιμίοις ὁρῶ καταπραΰνοντας τοὺς ἀκροατάς, καὶ προφασιζομένους ὑπὲρ τῶν μελλόντων ῥηθήσεσθαι, καὶ λέγοντας τοὺς μὲν ὡς ἐξ ὑπογυίου γέγονεν αὐτοῖς ἡ παρασκευή, τοὺς δ' ὡς χαλεπόν ἐστιν ἴσους τοὺς λόγους τῷ μεγέθει τῶν ἔργων ἐξευρεῖν. (14) Ἐγὼ δ' ἢν μὴ καὶ τοῦ πράγματος ἀξίως εἴπω καὶ τῆς δόξης τῆς ἐμαυτοῦ καὶ τοῦ d χρόνου, μὴ μόνον τοῦ περὶ τὸν λόγον ἡμῖν διατριφθέντος, ἀλλὰ καὶ σύμπαντος οὗ βεβίωκα, παρακελεύομαι μηδεμίαν συγγνώμην ἔχειν, ἀλλὰ καταγελᾶν καὶ καταφρονεῖν· οὐδὲν γὰρ ὅ τι τῶν τοιούτων οὐκ ἄξιός εἰμι πάσχειν, εἴπερ μηδὲν διαφέρων οὕτω μεγάλας ποιοῦμαι τὰς ὑποσχέσεις. Περὶ μὲν οὖν τῶν ἰδίων ταῦτά μοι προειρήσθω.

15. Περὶ δὲ τῶν κοινῶν, ὅσοι μὲν εὐθὺς ἐπελθόντες διδάσκουσιν ὡς χρὴ διαλυσαμένους τὰς πρὸς ἡμᾶς αὐ- e τοὺς ἔχθρας ἐπὶ τὸν βάρβαρον τραπέσθαι, καὶ διεξέρχονται τάς τε συμφορὰς τὰς ἐκ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους ἡμῖν γεγενημένας καὶ τὰς ὠφελείας τὰς ἐκ τῆς στρατείας τῆς ἐπ' ἐκεῖνον ἐσομένας, ἀληθῆ μὲν λέ-
44 γουσιν, οὐ μὴν ἐντεῦθεν ποιοῦνται τὴν ἀρχὴν ὅθεν ἂν a μάλιστα συστῆσαι ταῦτα δυνηθεῖεν. (16) Τῶν γὰρ Ἑλλήνων οἱ μὲν ὑφ' ἡμῖν, οἱ δ' ὑπὸ Λακεδαιμονίοις εἰσίν· αἱ γὰρ πολιτεῖαι, δι' ὧν οἰκοῦσι τὰς πόλεις, οὕτω τοὺς πλείστους αὐτῶν διειλήφασιν. Ὅστις οὖν οἴεται τοὺς ἄλλους κοινῇ τι πράξειν ἀγαθόν, πρὶν ἂν τοὺς προεστῶτας αὐτῶν διαλλάξῃ, λίαν ἁπλῶς ἔχει καὶ πόρρω τῶν πραγμάτων ἐστίν. (17) Ἀλλὰ δεῖ τὸν μὴ μόνον ἐπίδειξιν ποιούμενον, ἀλλὰ καὶ διαπράξασθαί τι b βουλόμενον ἐκείνους τοὺς λόγους ζητεῖν, οἵτινες τὼ πόλη τούτω πείσουσιν ἰσομοιρῆσαι πρὸς ἀλλήλας καὶ τάς θ' ἡγεμονίας διελέσθαι καὶ τὰς πλεονεξίας ἃς νῦν παρὰ τῶν Ἑλλήνων ἐπιθυμοῦσιν αὑταῖς γίγνεσθαι, ταύτας παρὰ τῶν βαρβάρων ποιήσασθαι. (18) Τὴν μὲν οὖν ἡμετέραν πόλιν ῥᾴδιον ἐπὶ ταῦτα προαγαγεῖν, Λακεδαιμόνιοι δὲ νῦν μὲν ἔτι δυσπείστως ἔχουσι· παρειλήφασι c γὰρ ψευδῆ λόγον, ὡς ἔστιν αὐτοῖς ἡγεῖσθαι πάτριον· ἢν δ' ἐπιδείξῃ τις αὐτοῖς ταύτην τὴν τιμὴν ἡμετέραν οὖσαν μᾶλλον ἢ 'κείνων, τάχ' ἂν ἐάσαντες τὸ διακριβοῦσθαι περὶ τούτων ἐπὶ τὸ συμφέρον ἔλθοιεν. (19) Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐντεῦθεν ἄρχεσθαι καὶ μὴ πρότερον περὶ τῶν ὁμολογουμένων συμβουλεύειν, πρὶν περὶ τῶν ἀμφισβητουμένων ἡμᾶς ἐδίδαξαν· ἐμοὶ δ' οὖν ἀμφοτέρων ἕνεκα προσήκει περὶ ταῦτα ποιήσα-

teræ ad victoriam, alteræ ad ostentationem sint comparatæ; aut justum modum ipsi perspiciant, is vero qui accurate possit dicere, non simpliciter etiam dicere possit. (12) Atque istos quidem non obscurum est eos laudare, a quibus ipsi prope absunt: mihi autem cum isto hominum genere rei nihil est; eos volo, qui nullum verbum quod temere dictum sit, probaturi sint, sed morose judicaturi et tale aliquid in meis orationibus requisituri, quale apud alios non sint inventuri. Ad eos igitur ubi me paulum etiam jactaro, statim de re ipsa dicere aggrediar. (13) Equidem alios in exordiis auditores sibi conciliare video et excusare ea quæ dicenda sint, vel quod ex tempore sibi demandatum sit negotium dicendi vel quod difficile sit eam afferre orationem, quæ rerum magnitudini respondeat. (14) Ego vero nisi et pro dignitate rei dixero et sicut et existimatio mea et tempus non modo in hac oratione scribenda consumptum, sed etiam totius meæ vitæ postulat, hortor ne quisquam mihi det veniam, sed ut me derideant et contemnant omnes. Nihil enim horum est quod non jure mihi eventurum sit, qui nihilo præstantior aliis, adeo magnifica promittam. Ac de me quidem hæc volui præfari.

15. De republica vero qui, quum primum huc prodierunt, abolitis odiis et inimicitiis belli aciem contra barbarum dirigendam docent, et clades ex intestinis bellis acceptas commemorant fructusque illius expeditionis: vera illi quidem dicunt, sed non inde ordiuntur, unde res nostræ potissimum componi possint. (16) Nam ita se res habet: Græcorum alii nobis, alii Lacedæmoniis dediti vivunt. Etenim rerum publicarum formæ, quibus in suis quique civitatibus utuntur, sic plerosque distinxerunt. Quisquis igitur se publice de ceteris bene meriturum putat, priusquam eorum principes reconciliarit, is parum recte sentit et longe abest a rei veritate. (17) Qui autem non tantum ingenii famam aucupatur, sed etiam aliquid perficere cupit, eas quærat rationes necesse est, quibus hæ urbes adducantur ut et pari æquoque jure inter sese vivant, et principatus dividant, et quæ lucra nunc a Græcis auferre student, ea a barbaris petant. (18) Ac nostræ quidem urbi hæc facile persuaderi poterunt; Lacedæmonii autem pertinaciores adhuc sunt, falsa nimirum persuasione imbuti patrium sibi esse belli temporibus imperium. Si vero demonstratum illis fuerit hunc honorem ad nos pertinere potius quam ad ipsos, omissa fortassis scrupulosa hisce de rebus disputatione ad id quod expedit convertentur. (19) Debebant igitur etiam alii hinc exorsi non prius ea, quæ in confesso sunt, suadere, quam illa diligenter nos docuerint, de quibus inter nos omnis est controversia. Me vero duabus de causis *in*

σθαι τὴν πλείστην διατριβήν, μάλιστα μὲν ἵνα προὔργου d τι γένηται καὶ παυσάμενοι τῆς πρὸς ἡμᾶς αὐτοὺς φιλονικίας κοινῇ τοῖς βαρβάροις πολεμήσωμεν, (20) εἰ δὲ τοῦτ' ἐστὶν ἀδύνατον, ἵνα δηλώσω τοὺς ἐμποδὼν ὄντας τῇ τῶν Ἑλλήνων εὐδαιμονίᾳ, καὶ πᾶσι γένηται φανερὸν ὅτι καὶ πρότερον ἡ πόλις ἡμῶν δικαίως τῆς θαλάττης ἦρξε καὶ νῦν οὐκ ἀδίκως ἀμφισβητεῖ τῆς ἡγεμονίας. (21) Τοῦτο μὲν γὰρ εἰ δεῖ τούτους ἐφ' ἑκάστῳ τιμᾶσθαι e τῶν ἔργων, τοὺς ἐμπειροτάτους ὄντας καὶ μεγίστην δύναμιν ἔχοντας, ἀναμφισβητήτως ἡμῖν προσήκει τὴν ἡγεμονίαν ἀπολαβεῖν, ἥνπερ πρότερον ἐτυγχάνομεν ἔχοντες· οὐδεὶς γὰρ ἂν ἑτέραν πόλιν ἐπιδείξειε τοσοῦτον ἐν τῷ πολέμῳ τῷ κατὰ γῆν ὑπερέχουσαν, ὅσον τὴν ἡμετέραν ἐν τοῖς κινδύνοις τοῖς κατὰ θάλατταν a διαφέρουσαν. (22) Τοῦτο δ' εἴ τινες ταύτην μὲν μὴ νομίζουσι δικαίαν εἶναι τὴν κρίσιν, ἀλλὰ πολλὰς τὰς μεταβολὰς γίγνεσθαι (τὰς γὰρ δυναστείας οὐδέποτε τοῖς αὐτοῖς παραμένειν), ἀξιοῦσι δὲ τὴν ἡγεμονίαν ἔχειν ὥσπερ ἄλλο τι γέρας ἢ τοὺς πρώτους τυχόντας ταύτης τῆς τιμῆς ἢ τοὺς πλείστων ἀγαθῶν αἰτίους τοῖς Ἕλλησιν ὄντας, ἡγοῦμαι καὶ τούτους εἶναι μεθ' ἡμῶν· (23) ὅσῳ γὰρ ἄν τις πορρωτέρωθεν σκοπῇ περὶ τούτων ἀμ- b φοτέρων, τοσούτῳ πλέον ἀπολείψομεν τοὺς ἀμφισβητοῦντας. Ὁμολογεῖται μὲν γὰρ τὴν πόλιν ἡμῶν ἀρχαιοτάτην εἶναι καὶ μεγίστην καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστοτάτην· οὕτω δὲ καλῆς τῆς ὑποθέσεως οὔσης, ἐπὶ τοῖς ἐχομένοις τούτων ἔτι μᾶλλον ἡμᾶς προσήκει τιμᾶσθαι. (24) Ταύτην γὰρ οἰκοῦμεν οὐχ ἑτέρους ἐκβαλόντες οὐδ' ἐρήμην καταλαβόντες οὐδ' ἐκ πολ- c λῶν ἐθνῶν μιγάδες συλλεγέντες, ἀλλ' οὕτω καλῶς καὶ γνησίως γεγόναμεν, ὥστ' ἐξ ἧσπερ ἔφυμεν, ταύτην ἔχοντες ἅπαντα τὸν χρόνον διατελοῦμεν, αὐτόχθονες ὄντες καὶ τῶν ὀνομάτων τοῖς αὐτοῖς, οἷσπερ τοὺς οἰκειοτάτους, τὴν πόλιν ἔχοντες προσειπεῖν· (25) μόνοις γὰρ ἡμῖν τῶν Ἑλλήνων τὴν αὐτὴν τροφὸν καὶ πατρίδα καὶ μητέρα καλέσαι προσήκει. Καίτοι χρὴ τοὺς εὐλόγως μέγα φρονοῦντας καὶ περὶ τῆς ἡγεμονίας δικαίως ἀμφισβητοῦντας καὶ τῶν πατρίων πολλάκις μεμνημέ- d νους τοιαύτην τὴν ἀρχὴν τοῦ γένους ἔχοντας φαίνεσθαι.

26. Τὰ μὲν οὖν ἐξ ἀρχῆς ὑπάρξαντα καὶ παρὰ τῆς τύχης δωρηθέντα τηλικαῦθ' ἡμῖν τὸ μέγεθός ἐστιν· ὅσων δὲ τοῖς ἄλλοις ἀγαθῶν αἴτιοι γεγόναμεν, οὕτως ἂν κάλλιστ' ἐξετάσαιμεν, εἰ τόν τε χρόνον ἀπ' ἀρχῆς καὶ τῆς πόλεως ἐφεξῆς διέλθοιμεν· εὑρήσομεν γὰρ αὐτὴν οὐ e μόνον τῶν πρὸς τὸν πόλεμον κινδύνων, ἀλλὰ καὶ τῆς ἄλλης κατασκευῆς, ἐν ᾗ κατοικοῦμεν καὶ μεθ' ἧς πολιτευόμεθα καὶ δι' ἣν ζῆν δυνάμεθα, σχεδὸν ἁπάσης αἰτίαν οὖσαν. (27) Ἀνάγκη δὲ προαιρεῖσθαι τῶν εὐεργεσιῶν μὴ τὰς διὰ μικρότητα διαλαθούσας καὶ κατασιωπηθείσας, ἀλλὰ τὰς διὰ τὸ μέγεθος ὑπὸ πάντων ἀνθρώπων a καὶ πάλαι καὶ νῦν καὶ πανταχοῦ καὶ λεγομένας καὶ μνημονευομένας.

28. Πρῶτον μὲν τοίνυν, οὗ πρῶτον ἡ φύσις ἡμῶν ἐδεήθη, διὰ τῆς πόλεως τῆς ἡμετέρας ἐπορίσθη· καὶ

hisce immorari decet, maxime quidem, ut aliquid proficiatur, omissaque hac inter nos de principatu concertatione bellum communi consilio barbaris inferatur; (20) ac si hoc perfici nequeat, ut eos demonstrem, qui felicitati Græcorum obstent, utque omnes perspiciant nostram civitatem et antehac jure maris imperium tenuisse et nunc non injuria principatum sibi vindicare. (21) Nam sive hi propter quælibet honorandi sunt, qui maximum rerum usum summamque potentiam habent, sine controversia nobis principatus, quem antea tenuimus, est restituendus: nemo enim ullam urbem ostendet, quæ terrestri bello tantum valeat, quantum nostra navalibus pugnis excellit: (22) sive aliqui judicium hoc iniquum dicunt esse, multasque fieri mutationes, neque principatus unquam penes eosdem permanere, contenduntque vel iis qui hunc honorem primi adepti sint, vel iis qui beneficia plurima in Græcos contulerint, principatum ut aliud præmium esse deferendum: illos etiam nobiscum facere arbitror. (23) Nam quo in his utriusque considerandis longius processeris, eo longiore intervallo vincemus eos, qui hisce de rebus ambigunt. Constat enim nostram urbem et antiquissimam esse et maximam et apud omnes homines celeberrimam. Tam pulchro quum fundamento nitamur, ob ea, quæ sequuntur, plus etiam honoris nobis est habendum. (24) In hac enim terra sic habitamus, ut nec alios pepulerimus, nec vacuam occupaverimus, nec ex multis gentibus permisti, sed adeo honeste liberaliterque nati simus, ut quæ nos produxit, eam indigenæ perpetuo teneamus, iisdemque nominibus, quibus conjunctissimos, appellare possimus: (25) solis enim nobis ex omnibus Græcis eandem et nutricem et patriam et matrem vocare datum est. Decet autem eos qui suæ magnanimitatis causam habent justam et jure de principatu contendunt, patriique juris mentionem sæpe faciunt, tale sui generis primordium proferre posse.

26. Quæ igitur a primo nobis ortu contigerunt aque fortuna donata sunt, eorum tanta magnitudo est. In alios autem quanta beneficia contulerimus, ita pulcherrime investigabimus, si et prima tempora et reipublicæ nostræ facta ordine recensuerimus. Eam enim non tantum rebus bello gestis excelluisse, sed etiam ceterarum copiarum, quibus fruimur, inque republica utimur et vitam tuemur, fere omnium fuisse causam reperiemus. (27) Ea vero beneficia potissimum proferre necesse est, non quæ ob tenuitatem ignorata silentioque tecta jacuerunt, sed quæ propter magnitudinem et olim et nunc et ubique omnium mortalium et sermonibus et recordatione celebrantur.

28. Ac primum id, quo natura nostra primum indiguit, per nostram urbem est comparatum. Etsi enim comme-

γὰρ εἰ μυθώδης ὁ λόγος γέγονεν, ὅμως αὐτῷ καὶ νῦν ῥηθῆναι προσήκει. Δήμητρος γὰρ ἀφικομένης εἰς τὴν χώραν ὅτ' ἐπλανήθη τῆς Κόρης ἁρπασθείσης, καὶ πρὸς τοὺς προγόνους ἡμῶν εὐμενῶς διατεθείσης ἐκ τῶν εὐεργεσιῶν b ἃς οὐχ οἷόντ' ἄλλοις ἢ τοῖς μεμυημένοις ἀκούειν, καὶ δούσης δωρεὰς[διττὰς]αἵπερ μέγισται τυγχάνουσιν οὖσαι, τούς τε καρπούς, οἳ τοῦ μὴ θηριωδῶς ζῆν ἡμᾶς αἴτιοι γεγόνασι, καὶ τὴν τελετήν, ἧς οἱ μετασχόντες περί τε τῆς τοῦ βίου τελευτῆς καὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχουσιν, (29) οὕτως ἡ πόλις ἡμῶν οὐ μόνον θεοφιλῶς ἀλλὰ καὶ φιλανθρώπως ἔσχεν, ὥστε κυρία γενομένη τοσούτων ἀγαθῶν οὐκ ἐφθόνησε τοῖς ἄλλοις, c ἀλλ' ὧν ἔλαβεν ἅπασι μετέδωκεν. Καὶ τὰ μὲν ἔτι καὶ νῦν καθ' ἕκαστον τὸν ἐνιαυτὸν δείκνυμεν, τῶν δὲ συλλήβδην τάς τε χρείας καὶ τὰς ἐργασίας καὶ τὰς ὠφελείας τὰς ἀπ' αὐτῶν γιγνομένας ἐδίδαξεν. (30) Καὶ τούτοις ἀπιστεῖν μικρῶν ἔτι προστεθέντων οὐδεὶς ἂν ἀξιώσειεν. Πρῶτον μὲν γάρ, ἐξ ὧν ἄν τις καταφρονήσειε τῶν λεγομένων ὡς ἀρχαίων ὄντων, ἐκ τῶν αὐτῶν τούτων εἰκότως d ἂν καὶ τὰς πράξεις γεγενῆσθαι νομίσειεν· διὰ γὰρ τὸ πολλοὺς εἰρηκέναι καὶ πάντας ἀκηκοέναι προσήκει μὴ καινὰ μὲν πιστὰ δὲ δοκεῖν εἶναι τὰ λεγόμενα περὶ αὐτῶν. Ἔπειτ' οὐ μόνον ἐνταῦθα καταφυγεῖν ἔχομεν, ὅτι τὸν λόγον καὶ τὴν φήμην ἐκ πολλοῦ παρειλήφαμεν, ἀλλὰ καὶ σημείοις μείζοσιν ἢ τούτοις ἔστιν ἡμῖν χρήσασθαι περὶ αὐτῶν. (31) Αἱ μὲν γὰρ πλεῖσται τῶν πόλεων ὑπόμνημα τῆς παλαιᾶς εὐεργεσίας ἀπαρχὰς τοῦ e σίτου καθ' ἕκαστον τὸν ἐνιαυτὸν ὡς ἡμᾶς ἀποπέμπουσι, ταῖς δ' ἐκλειπούσαις πολλάκις ἡ Πυθία προσέταξεν ἀποφέρειν τὰ μέρη τῶν καρπῶν καὶ ποιεῖν πρὸς τὴν πόλιν τὴν ἡμετέραν τὰ πάτρια. Καίτοι περὶ τίνων χρὴ μᾶλ-
47 λον πιστεύειν ἢ περὶ ὧν ὅ τε θεὸς ἀναιρεῖ καὶ πολλοῖς a τῶν Ἑλλήνων συνδοκεῖ, καὶ τά τε πάλαι ῥηθέντα τοῖς παροῦσιν ἔργοις συμμαρτυρεῖ, καὶ τὰ νῦν γιγνόμενα τοῖς ὑπ' ἐκείνων εἰρημένοις ὁμολογεῖ; (32) Χωρὶς δὲ τούτων, ἢν ἅπαντα ταῦτ' ἐάσαντες ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν, εὑρήσομεν ὅτι τὸν βίον οἱ πρῶτοι φανέντες ἐπὶ γῆς οὐκ εὐθὺς οὕτως ὥσπερ νῦν ἔχοντα κατέλαβον, ἀλλὰ κατὰ μικρὸν αὐτοὶ συνεπορίσαντο. Τίνας οὖν χρὴ μᾶλλον νομίζειν ἢ δωρεὰν παρὰ τῶν θεῶν λαβεῖν ἢ ζητοῦντας b αὐτοὺς ἐντυχεῖν; (33) οὐ τοὺς ὑπὸ πάντων ὁμολογουμένως καὶ πρώτους γενομένους καὶ πρός τε τὰς τέχνας εὐφυεστάτους ὄντας καὶ πρὸς τὰ τῶν θεῶν εὐσεβέστατα διακειμένους; Καὶ μὴν ὅσης προσήκει τιμῆς τυγχάνειν τοὺς τηλικούτων ἀγαθῶν αἰτίους, περίεργον διδάσκειν. Οὐδεὶς γὰρ ἂν δύναιτο δωρεὰν τοσαύτην τὸ μέγεθος εὑρεῖν, ἥτις ἴση τοῖς πεπραγμένοις ἐστίν.

34. Περὶ μὲν οὖν τοῦ μεγίστου τῶν εὐεργετημάτων καὶ πρώτου γενομένου καὶ πᾶσι κοινοτάτου ταῦτ' εἰπεῖν c ἔχομεν· περὶ δὲ τοὺς αὐτοὺς χρόνους ὁρῶσα τοὺς μὲν βαρβάρους τὴν πλείστην τῆς χώρας κατέχοντας, τοὺς δ' Ἕλληνας εἰς μικρὸν τόπον κατακεκλειμένους καὶ διὰ σπανιότητα τῆς γῆς ἐπιβουλεύοντάς τε σφίσιν αὐτοῖς καὶ στρατείας ἐπ' ἀλλήλους ποιουμένους, καὶ τοὺς

moratio hæc fabulis continetur, hoc tamen tempore non est omittenda. Nam quum Ceres post raptam Proserpinam erroribus acta in regionem nostram pervenisset nostrisque majoribus ob accepta beneficia, quæ non nisi initiatis audire fas est, bene cupiens amplissima duo munera largita esset, fruges, quæ in causa fuerunt ne more belluarum viveremus, et arcana illa sacra, quibus initiati qui sunt, hi et de vitæ exitu et toto ævo spem habent suaviorem; (29) adeo non solum accepta diis, sed etiam in homines benigna fuit nostra urbs, ut nemini tanta bona invideret, sed quæ acceperat, omnibus impertiret. Et hæc quidem etiam nunc quotannis ostendimus; frugum autem una usum et culturam et utilitates inde capiendas docuit. (30) Quibus fidem abrogare qui velit, si pauca modo addiderimus, erit nemo. Primum enim, si quis ea, quæ diximus, propterea contempserit, quod antiqua sint, ob id ipsum ea facta esse jure existimaverit. Nam quod ea et multi dixerunt et omnes audiverunt, non quidem nova, sed fide digna sunt habenda. Deinde non huc tantum confugere nobis licet, quod sermonem et famam hanc jam olim acceperimus, sed majoribus etiam, quam hæc sunt, uti possumus argumentis. (31) Nam pleræque urbes in veteris beneficii memoriam frumenti primitias quotannis ad nos mittunt, et quæ id intermiserunt, iis Pythia sæpe imperavit ut partes frugum offerrent et nostræ urbi præstarent ea quæ a patribus accepissent. Quæ vero magis credenda sunt, quam ea quæ et oraculis jubentur et a multis Græcorum comprobantur, quum et veteres sermones iis rebus quæ nunc fiunt, testimonium perhibeant, et ea quæ nunc fiunt, cum veterum sermonibus consentiant? (32) Præterea si omissis his omnibus prima origo spectetur, eos qui primi in terris exstiterunt, vitam non sic instructam reperisse intelligetur, sed ipsos paulatim communi opera necessaria sibi comparasse. Quosnam igitur ea verisimilius est vel dono a diis immortalibus accepisse vel suo studio investigasse? (33) an non eos qui sine controversia et antiquissimi sunt et ad artes tractandas ingeniosissimi et cultores deorum religiosissimi? Quantis autem honoribus digni sint qui tanta beneficia dederunt, supervacaneum est docere. Nemo enim ullum præmium reperiet tantum, quod his rebus præstitis respondeat.

34. Ac de maximo beneficio et primo et latissime patente hæc dicere possumus. Iisdem quoque temporibus nostra urbs, quum barbaros maximam terræ partem videret obtinere, Græcos autem velut in angustias quasdam conclusos ob agri penuriam alios aliis et insidias tendere et bella inferre

μὲν δι' ἔνδειαν τῶν καθ' ἡμέραν, τοὺς δὲ διὰ τὸν πόλε- d
μον ἀπολλυμένους, (35) οὐδὲ ταῦθ' οὕτως ἔχοντα πε-
ριεῖδεν, ἀλλ' ἡγεμόνας εἰς τὰς πόλεις ἐξέπεμψεν, οἳ πα-
ραλαβόντες τοὺς μάλιστα βίου δεομένους, στρατηγοὶ κα-
ταστάντες αὐτῶν καὶ πολέμῳ κρατήσαντες τοὺς βαρ-
βάρους, πολλὰς μὲν ἐφ' ἑκατέρας τῆς ἠπείρου πόλεις
ἔκτισαν, ἁπάσας δὲ τὰς νήσους κατῴκισαν, ἀμφοτέρους
δὲ καὶ τοὺς ἀκολουθήσαντας καὶ τοὺς ὑπομείναντας
ἔσωσαν· (36) τοῖς μὲν γὰρ ἱκανὴν τὴν οἴκοι χώραν κα-
τέλιπον, τοῖς δὲ πλείω τῆς ὑπαρχούσης ἐπόρισαν· ἅπαντα e
γὰρ περιεβάλοντο τὸν τόπον ὃν νῦν τυγχάνομεν κατέ-
χοντες. Ὥστε καὶ τοῖς ὕστερον βουληθεῖσιν ἀποικίσαι
τινὰς καὶ μιμήσασθαι τὴν πόλιν τὴν ἡμετέραν πολλὴν
ῥᾳστώνην ἐποίησαν· οὐ γὰρ αὐτοὺς ἔδει κτωμένους χώ-
48 ραν διακινδυνεύειν, ἀλλ' εἰς τὴν ὑφ' ἡμῶν ἀφορισθεῖσαν, a
εἰς ταύτην οἰκεῖν ἰόντας. (37) Καίτοι τίς ἂν ταύτης
ἡγεμονίαν ἐπιδείξειεν ἢ πατριωτέραν, τῆς πρότερον γε-
νομένης πρὶν τὰς πλείστας οἰκισθῆναι τῶν Ἑλληνίδων
πόλεων, ἢ μᾶλλον συμφέρουσαν, τῆς τοὺς μὲν βαρβά-
ρους ἀναστάτους ποιησάσης, τοὺς δ' Ἕλληνας εἰς το-
σαύτην εὐπορίαν προαγαγούσης;

38. Οὐ τοίνυν, ἐπειδὴ τὰ μέγιστα συνδιέπραξε, τῶν b
ἄλλων ὠλιγώρησεν, ἀλλ' ἀρχὴν μὲν ταύτην ἐποιήσατο
τῶν εὐεργεσιῶν, τροφὴν τοῖς δεομένοις εὑρεῖν, ἥνπερ
χρὴ τοὺς μέλλοντας καὶ περὶ τῶν ἄλλων καλῶς διοική-
σειν, ἡγουμένη δὲ τὸν βίον τὸν ἐπὶ τούτοις μόνον οὔπω
τοῦ ζῆν ἐπιθυμεῖν ἀξίως ἔχειν, οὕτως ἐπεμελήθη καὶ
τῶν λοιπῶν, ὥστε τῶν παρόντων τοῖς ἀνθρώποις ἀγα-
θῶν, ὅσα μὴ παρὰ θεῶν ἔχομεν, ἀλλὰ δι' ἀλλήλους ἡμῖν
γέγονε, μηδὲν μὲν ἄνευ τῆς πόλεως τῆς ἡμετέρας εἶναι,
τὰ δὲ πλεῖστα διὰ ταύτην γεγενῆσθαι. (39) Παραλα- c
βοῦσα γὰρ τοὺς Ἕλληνας ἀνόμως ζῶντας καὶ σποράδην
οἰκοῦντας, καὶ τοὺς μὲν ὑπὸ δυναστειῶν ὑβριζομένους,
τοὺς δὲ δι' ἀναρχίαν ἀπολλυμένους, καὶ τούτων τῶν
κακῶν αὐτοὺς ἀπήλλαξε, τῶν μὲν κυρία γενομένη, τοῖς
δ' αὑτὴν παράδειγμα ποιήσασα· πρώτη γὰρ καὶ νό-
μους ἔθετο καὶ πολιτείαν κατεστήσατο. (40) Δῆλον δ'
ἐκεῖθεν· οἱ γὰρ ἐν ἀρχῇ περὶ τῶν φονικῶν ἐγκαλέσαν- d
τες, καὶ βουληθέντες μετὰ λόγου καὶ μὴ μετὰ βίας
διαλύσασθαι τὰ πρὸς ἀλλήλους, ἐν τοῖς νόμοις τοῖς ἡμε-
τέροις τὰς κρίσεις ἐποιήσαντο περὶ αὐτῶν. Καὶ μὲν
δὴ καὶ τῶν τεχνῶν τάς τε πρὸς τἀναγκαῖα τοῦ βίου
χρησίμας καὶ τὰς πρὸς ἡδονὴν μεμηχανημένας, τὰς
μὲν εὑροῦσα, τὰς δὲ δοκιμάσασα χρῆσθαι τοῖς ἄλλοις
παρέδωκεν. (41) Τὴν τοίνυν ἄλλην διοίκησιν οὕτω
φιλοξένως κατεσκευάσατο καὶ πρὸς ἅπαντας οἰκείως, e
ὥστε καὶ τοῖς χρημάτων δεομένοις καὶ τοῖς ἀπολαῦσαι
τῶν ὑπαρχόντων ἐπιθυμοῦσιν ἀμφοτέροις ἁρμόττειν,
καὶ μήτε τοῖς εὐδαιμονοῦσι μήτε τοῖς δυστυχοῦσιν ἐν
ταῖς αὑτῶν ἀχρήστως ἔχειν, ἀλλ' ἑκατέροις αὐτῶν εἶναι
παρ' ἡμῖν, τοῖς μὲν ἡδίστας διατριβάς, τοῖς δ' ἀσφαλε-
49 στάτην καταφυγήν. (42) Ἔτι δὲ τὴν χώραν οὐκ αὐτάρκη a
κεκτημένων ἑκάστων, ἀλλὰ τὰ μὲν ἐλλείπουσαν, τὰ δὲ
πλείω τῶν ἱκανῶν φέρουσαν, καὶ πολλῆς ἀπορίας οὔσης

atque alios fame, alios armis perire, (35) ne hæc quidem neglexit, sed duces in civitates misit, qui egentissimis quibusque ascitis, barbaros ductu suo vicerunt et multas in utraque continente urbes condiderunt, et in omnes insulas colonias deduxerunt, conservaruntque utrosque, tam eos qui secuti fuerunt, quam eos qui in patria remanserunt. (36) Nam alteris agros domi satis multos reliquerunt; alteris plures quam habuerant tradiderunt. Omnem enim locum hunc, quem nunc tenemus, sunt amplexi, et illis etiam qui post aliquo colonias mittere nostramque urbem imitari voluerunt, ejus rei sine ullo negotio potestatem dederunt. Nec enim necesse illi habuerunt agri occupandi causa acie decernere, sed Græcis assignatos a nobis agros profectione suscepta facile tenuerunt. (37) Quis vero est qui principatum ostendat hoc vel patriis institutis magis confirmatum, qui vetustate plerasque Græcas urbes superet, vel utiliorem, qui et barbaros solum vertere coegit et Græcos ad tantas opes evexit?

38. Neque vero quum maximis in rebus adjumento fuisset, neglexit ceteras, sed sua beneficia inde auspicata est, ut victum curaret indigentibus; id quod inprimis ei faciendum est, qui reliqua etiam recte constituta esse velit. Quum autem vitam hac sola re instructam nondum esse dignam vivendi desiderio putaret, eam in ceteris quoque diligentiam adhibuit, ut eorum bonorum, quibus fruimur homines non divinitus acceptis, sed mutua nostra opera comparatis, nihil sine urbe nostra contigerit, plurima vero accepta illi referantur. (39) Nam quum Græci olim sine legibus viventes et sparsim habitantes, alii potentiorum iniquo dominatu premerentur, alii, quod nullos magistratus haberent, interirent: etiam his malis eos liberavit, alios in potestatem redigendo, alios exemplo suo corrigendo. Prima enim et leges tulit et rempublicam constituit. (40) Id quod inde perspicitur: nam qui primi homicidii causam egerunt et disceptatione, non vi et armis controversias finiri voluerunt, nostris legibus judicia instituerunt. Quin etiam artes et ad vitæ necessitatem utiles, et voluptatis causa excogitatas, partim invenit, partim probavit atque aliis utendas tradidit. (41) Quæ vero ad ceterarum rerum rationes attinent, ea tam hospitaliter instruxit et tam accommodate universis, ut utrisque quum pecuniæ indigentibus tum opibus suis frui volentibus, convenirent, utque nec iis, quibus domi res secundæ essent, nec iis quibus adversæ essent, incommodarent, sed utrique apud nos haberent, alteri vitæ rationem jucundissimam, alteri confugium tutissimum. (42) Præterea quum non omnis tellus omnia ferret, sed quibusdam careret, quibusdam abundaret, neque facile ratio iniri posset, vel quo

τὰ μὲν ὅπου χρὴ διαθέσθαι, τὰ δ' ὁπόθεν εἰσαγαγέσθαι, καὶ ταύταις ταῖς συμφοραῖς ἐπήμυνεν· ἐμπόριον γὰρ ἐν μέσῳ τῆς Ἑλλάδος τὸν Πειραιᾶ κατεσκευάσατο, τοσαύτην ἔχονθ' ὑπερβολήν, ὥσθ' ἃ παρὰ τῶν ἄλλων ἓν παρ' ἑκάστων χαλεπόν ἐστι λαβεῖν, ταῦθ' ἅπαντα παρ' αὐτῆς ῥᾴδιον εἶναι πορίσασθαι.

43. Τῶν τοίνυν τὰς πανηγύρεις καταστησάντων δι- [b] καίως ἐπαινουμένων ὅτι τοιοῦτον ἔθος ἡμῖν παρέδοσαν, ὥστε σπεισαμένους πρὸς ἀλλήλους καὶ τὰς ἔχθρας τὰς ἐνεστηκυίας διαλυσαμένους συνελθεῖν εἰς ταὐτόν, καὶ μετὰ ταῦτ' εὐχὰς καὶ θυσίας κοινὰς ποιησαμένους ἀναμνησθῆναι μὲν τῆς συγγενείας τῆς πρὸς ἀλλήλους ὑπαρχούσης, εὐμενεστέρως δ' εἰς τὸν λοιπὸν χρόνον διατεθῆναι πρὸς ἡμᾶς αὐτούς, καὶ τάς τε παλαιὰς ξενίας [c] ἀνανεώσασθαι καὶ καινὰς ἑτέρας ποιήσασθαι, (44) καὶ μήτε τοῖς ἰδιώταις μήτε τοῖς διενεγκοῦσι τὴν φύσιν ἀργὸν εἶναι τὴν διατριβήν, ἀλλ' ἀθροισθέντων τῶν Ἑλλήνων ἐγγενέσθαι τοῖς μὲν ἐπιδείξασθαι τὰς αὑτῶν εὐτυχίας, τοῖς δὲ θεάσασθαι τούτους πρὸς ἀλλήλους ἀγωνιζομένους, καὶ μηδετέρους ἀθύμως διάγειν, ἀλλ' ἑκατέρους ἔχειν ἐφ' οἷς φιλοτιμηθῶσιν, οἱ μὲν ὅταν ἴδωσι τοὺς [d] ἀθλητὰς αὑτῶν ἕνεκα πονοῦντας, οἱ δ' ὅταν ἐνθυμηθῶσιν ὅτι πάντες ἐπὶ τὴν σφετέραν θεωρίαν ἥκουσι, — τοσούτων τοίνυν ἀγαθῶν διὰ τὰς συνόδους ἡμῖν γιγνομένων οὐδ' ἐν τούτοις ἡ πόλις ἡμῶν ἀπελείφθη. (45) Καὶ γὰρ θεάματα πλεῖστα καὶ κάλλιστα κέκτηται, τὰ μὲν ταῖς δαπάναις ὑπερβάλλοντα, τὰ δὲ κατὰ τὰς τέχνας εὐδοκιμοῦντα, τὰ δ' ἀμφοτέροις τούτοις διαφέροντα, καὶ τὸ πλῆθος τῶν εἰσαφικνουμένων ὡς ἡμᾶς τοσοῦτόν [e] ἐστιν, ὥστ' εἴ τι ἐν τῷ πλησιάζειν ἀλλήλοις ἀγαθόν ἐστι, καὶ τοῦθ' ὑπ' αὐτῆς περιειλῆφθαι. Πρὸς δὲ τούτοις καὶ φιλίας εὑρεῖν πιστοτάτας καὶ συνουσίαις ἐντυχεῖν παντοδαπωτάταις μάλιστα παρ' ἡμῖν ἐστιν, ἔτι δ' ἀγῶνας [50] ἰδεῖν, μὴ μόνον τάχους καὶ ῥώμης, ἀλλὰ καὶ λόγων [a] καὶ γνώμης καὶ τῶν ἄλλων ἔργων ἁπάντων, καὶ τούτων ἆθλα μέγιστα. (46) Πρὸς γὰρ οἷς αὐτὴ τίθησι, καὶ τοὺς ἄλλους διδόναι συναναπείθει· τὰ γὰρ ὑφ' ἡμῶν κριθέντα τοσαύτην λαμβάνει δόξαν, ὥστε παρὰ πᾶσιν ἀνθρώποις ἀγαπᾶσθαι. Χωρὶς δὲ τούτων αἱ μὲν ἄλλαι πανηγύρεις διὰ πολλοῦ χρόνου συλλεγεῖσαι ταχέως διελύθη- [b] σαν, ἡ δ' ἡμετέρα πόλις ἅπαντα τὸν αἰῶνα τοῖς ἀφικνουμένοις πανήγυρίς ἐστιν.

47. Φιλοσοφίαν τοίνυν, ἣ πάντα ταῦτα συνεξεῦρε καὶ συγκατεσκεύασε, καὶ πρός τε τὰς πράξεις ἡμᾶς ἐπαίδευσε καὶ πρὸς ἀλλήλους ἐπράϋνε, καὶ τῶν συμφορῶν τάς τε δι' ἀμαθίαν καὶ τὰς ἐξ ἀνάγκης γιγνομένας διεῖλε, καὶ τὰς μὲν φυλάξασθαι, τὰς δὲ καλῶς ἐνεγκεῖν ἐδίδαξεν, ἡ πόλις ἡμῶν κατέδειξε, καὶ λόγους ἐτίμησεν, [c] (48) ὧν πάντες μὲν ἐπιθυμοῦσι, τοῖς δ' ἐπισταμένοις φθονοῦσι, συνειδυῖα μὲν ὅτι τοῦτο μόνον ἐξ ἁπάντων τῶν ζῴων ἴδιον ἔφυμεν ἔχοντες, καὶ διότι τούτῳ πλεονεκτήσαντες καὶ τοῖς ἄλλοις ἅπασιν αὐτῶν διηνέγκαμεν, ὁρῶσα δὲ περὶ μὲν τὰς ἄλλας πράξεις οὕτω ταραχώδεις οὔσας τὰς τύχας, ὥστε πολλάκις ἐν αὐταῖς καὶ

alia exportanda, vel unde alia importanda essent: etiam huic incommodo occurrit. Nam in media Græcia Piræeum mercatum instituit, cujus ea præstantia est, ut eæ res, quarum singulas apud alios nancisci difficile est, ibi comparari universæ facile possint.

43. Quum autem merito laudentur ii qui hos publicos Græcorum conventus instituerunt, quod eum morem nobis tradiderunt, ut quasi fœdere inito et inimicitiis reconciliatis in unum locum conveniremus, et deinde votis et sacris communibus factis ejus cognationis, qua conjuncti sumus inter nos, recordati amiciores in posterum essemus, utque et vetera hospitia renovaremus, et nova constitueremus, (44) et nec indoctis nec excellentibus ingeniis sine fructu hoc tempus abiret, sed in celebri conventu Græcorum aliis suas virtutes ostentare, aliis hos inter se certantes spectare liceret, ac neutri voluptate carerent, sed utrique in quo gloriarentur haberent, alteri quum sua causa laborare pugiles viderent, alteri quum omnes sui spectandi gratia venisse cogitarent, — tanta igitur commoda quum ad nos e conventibus redeant, ne in his quidem nostra urbs ab aliis superata est. (45) Etenim spectacula plurima et pulcherrima possidet, alia magnitudine sumptuum excellentia, alia propter artificum scientiam celebrata, alia horum utroque præstantia. Ac multitudo eorum qui ad nos veniunt, tanta est, ut si quid boni congressibus inest, id quoque sit ab ipsa comprehensum. Ad hæc amicitias fidelissimas reperire, maximeque cujusvis generis congressibus interesse, apud nos potissimum licet. Præterea non tantum celeritatis et roboris, sed etiam eloquentiæ et mentis et operum ceterorum omnium certamina hic cernuntur, quorum præmia sunt maxima. (46) Nam præter ea quæ ipsa urbs proponit, etiam aliis ut dent, persuadet. Nam quæ a nobis decreta fuerunt, tantam habent auctoritatem, ut hominibus omnibus probentur. Jam ceteræ celebritates conventuum post longum temporis spatium coactæ celeriter dissolvuntur; nostra vero urbs per omne ævum instar est solemnis conventus.

47. Philosophiæ certe quidem, cujus ope hæc omnia inventa et constituta sunt, quæ nos et ad res gerendas erudiit et animos nostros mansuefecit et calamitates tam ex inscitia ortas quam necessitate importatas distinxit, atque illas cavere, has honeste ferre docuit, nostra urbs honorem habuit, nec minus eloquentiæ dignitatem attribuit, (48) cujus desiderio tenentur omnes, iisque, qui ea sunt præditi, invident, haud ignara solis nobis inter omnes animantes hoc naturam peculiare tribuisse : quo insigni bono præstantes etiam ceteris rebus omnibus illas superamus, quum simul in aliis actionibus eas esse fortunæ vicissitudines cerneret, ut sæpenumero et prudentes voto-

τοὺς φρονίμους ἀτυχεῖν καὶ τοὺς ἀνοήτους κατορθοῦν,
τῶν δὲ λόγων τῶν καλῶς καὶ τεχνικῶς ἐχόντων οὐ με-
τὸν τοῖς φαύλοις, ἀλλὰ ψυχῆς εὖ φρονούσης ἔργον ὄντας,
(49) καὶ τούς τε σοφοὺς καὶ τοὺς ἀμαθεῖς δοκοῦντας εἶ- d
ναι ταύτῃ πλεῖστον ἀλλήλων διαφέροντας, ἔτι δὲ τοὺς
εὐθὺς ἐξ ἀρχῆς ἐλευθέρως τεθραμμένους ἐκ μὲν ἀνδρείας
καὶ πλούτου καὶ τῶν τοιούτων ἀγαθῶν οὐ γιγνωσκο-
μένους, ἐκ δὲ τῶν λεγομένων μάλιστα καταφανεῖς γι-
γνομένους, καὶ τοῦτο σύμβολον τῆς παιδεύσεως ἡμῶν
ἑκάστου πιστότατον ἀποδεδειγμένον, καὶ τοὺς λόγῳ
καλῶς χρωμένους οὐ μόνον ἐν ταῖς αὑτῶν δυναμένους, e
ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις ἐντίμους ὄντας. (50) Το-
σοῦτον δ' ἀπολέλοιπεν ἡ πόλις ἡμῶν περὶ τὸ φρονεῖν
καὶ λέγειν τοὺς ἄλλους ἀνθρώπους, ὥσθ' οἱ ταύτης μα-
51 θηταὶ τῶν ἄλλων διδάσκαλοι γεγόνασι, καὶ τὸ τῶν a
Ἑλλήνων ὄνομα πεποίηκε μηκέτι τοῦ γένους, ἀλλὰ τῆς
διανοίας δοκεῖν εἶναι, καὶ μᾶλλον Ἕλληνας καλεῖσθαι
τοὺς τῆς παιδεύσεως τῆς ἡμετέρας ἢ τοὺς τῆς κοινῆς
φύσεως μετέχοντας.

51. Ἵνα δὲ μὴ δοκῶ περὶ τὰ μέρη διατρίβειν ὑπὲρ
ὅλων τῶν πραγμάτων ὑποθέμενος, μηδ' ἐκ τούτων ἐγ-
κωμιάζειν τὴν πόλιν ἀπορῶν τὰ πρὸς τὸν πόλεμον αὐ-
τὴν ἐπαινεῖν, ταῦτα μὲν εἰρήσθω μοι πρὸς τοὺς ἐπὶ τοῖς b
τοιούτοις φιλοτιμουμένους, ἡγοῦμαι δὲ τοῖς προγόνοις
ἡμῶν οὐχ ἧττον ἐκ τῶν κινδύνων τιμᾶσθαι προσήκειν ἢ
τῶν ἄλλων εὐεργεσιῶν. (52) Οὐ γὰρ μικροὺς οὐδ' ὀλί-
γους οὐδ' ἀφανεῖς ἀγῶνας ὑπέμειναν, ἀλλὰ πολλοὺς καὶ c
δεινοὺς καὶ μεγάλους, τοὺς μὲν ὑπὲρ τῆς αὑτῶν χώρας,
τοὺς δ' ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας· ἅπαντα γὰρ
τὸν χρόνον διετέλεσαν κοινὴν τὴν πόλιν παρέχοντες καὶ
τοῖς ἀδικουμένοις ἀεὶ τῶν Ἑλλήνων ἐπαμύνουσαν. (53)
Διὸ δὴ καὶ κατηγοροῦσί τινες ἡμῶν ὡς οὐκ ὀρθῶς βου-
λευομένων, ὅτι τοὺς ἀσθενεστέρους εἰθίσμεθα θερα-
πεύειν, ὥσπερ οὐ μετὰ τῶν ἐπαινεῖν βουλομένων ἡμᾶς
τοὺς λόγους ὄντας τοὺς τοιούτους. Οὐ γὰρ ἀγνοοῦντες ὅσον
διαφέρουσιν αἱ μείζους τῶν συμμαχιῶν πρὸς τὴν ἀσφά-
λειαν οὕτως ἐβουλευόμεθα περὶ αὐτῶν, ἀλλὰ πολὺ τῶν
ἄλλων ἀκριβέστερον εἰδότες τὰ συμβαίνοντ' ἐκ τῶν d
τοιούτων ὅμως ᾑρούμεθα τοῖς ἀσθενεστέροις καὶ παρὰ
τὸ συμφέρον βοηθεῖν μᾶλλον ἢ τοῖς κρείττοσι τοῦ λυσι-
τελοῦντος ἕνεκα συναδικεῖν.

54. Γνοίη δ' ἄν τις καὶ τὸν τρόπον καὶ τὴν ῥώμην
τὴν τῆς πόλεως ἐκ τῶν ἱκετειῶν, ἃς ἤδη τινὲς ἡμῖν
ἐποιήσαντο. Τὰς μὲν οὖν ἢ νεωστὶ γεγενημένας ἢ περὶ
μικρῶν ἐλθούσας παραλείψω· πολὺ δὲ πρὸ τῶν Τρωι-
κῶν (ἐκεῖθεν γὰρ δίκαιον τὰς πίστεις λαμβάνειν τοὺς
ὑπὲρ τῶν πατρίων ἀμφισβητοῦντας) ἦλθον οἵ θ' Ἡρα- e
κλέους παῖδες καὶ μικρὸν πρὸ τούτων Ἄδραστος ὁ Τα-
λαοῦ, βασιλεὺς ὢν Ἄργους, (55) οὗτος μὲν ἐκ τῆς στρα-
52 τείας τῆς ἐπὶ Θήβας δεδυστυχηκώς, καὶ τοὺς ὑπὸ τῇ a
Καδμείᾳ τελευτήσαντας αὐτὸς μὲν οὐ δυνάμενος ἀνε-
λέσθαι, τὴν δὲ πόλιν ἀξιῶν βοηθεῖν ταῖς κοιναῖς τύχαις
καὶ μὴ περιορᾶν τοὺς ἐν τοῖς πολέμοις ἀποθνήσκοντας

rum compotes non fierent et stolidi successus prosperos haberent; orationis autem praeclarae artificiosaeque facultatem, stupidis negatam, sed prudentis animi munus peculiare esse, (49) atque etiam eos qui vel eruditi vel indocti perhibeantur, hac re inter se potissimum differre, et statim ab ineunte aetate liberaliter educatos nec ex fortitudine nec opibus nec aliis id genus bonis dignosci, sed ex oratione potissimum perspici, eamque institutionis cujusque nostrûm signum esse certissimum et evidentissimum; quique oratione praeclare utantur, eos non in suis solum urbibus auctoritate valere, sed apud exteros etiam honorari. (50) Nostra igitur urbs ceteros homines et sapientia et eloquentia tanto spatio reliquit, ut ejus discipuli sint aliorum praeceptores, idque consecuta est, ut nomen Graecorum non jam gentis, sed rationis esse videatur, Graecique hi potius vocentur, qui eruditionem nostram perceperint, quam qui in eadem Graecia nati sint.

51. Ne vero videar in partibus immorari, quum de totis rebus orationem instituerim, aut haec celebrandae nostrae urbis causa ob bellicarum laudum inopiam attulisse: propter eos haec dicta sint, qui rebus hujusmodi gloriantur. Arbitror autem majores nostros non minus ob res bello gestas quam propter cetera beneficia esse honorandos. (52) Nec enim parva neque pauca nec obscura certamina subierunt, sed multa et acria et magna partim pro patriae defensione partim ad libertatem aliorum tuendam. Nunquam enim ab omni memoria destiterunt urbem suam praebere communem et Graecos ab injuriis quovis tempore vindicare. (53) Quamobrem etiam sunt qui nos accusent, tanquam non recte consulentes, qui colere imbecilliores soleamus; quasi ejusmodi verba non cum iis faciant, qui nos laudare volunt. Nec enim ignorantes quantum societas potentiorum ad securitatem praestet, hanc rationem sequimur, sed quum aliis multo melius sciamus qui harum rerum eventus esse soleant, tamen imbecillioribus, etiam neglecta utilitate, malumus opitulari, quam potentioribus privatae utilitatis gratia adjutores esse injuriarum.

54. Cognosci autem ex eo et consuetudo et potentia nostrae urbis poterit, si eos protulerimus, qui nostram opem implorarunt. Ac supplicationes vel recens vel parvis de rebus factas omittam: diu autem ante Trojana tempora (inde enim fidem jure petunt qui de patriis moribus contendunt) venerunt et Herculis liberi et paulo ante illos Adrastus, Talai filius, rex Argivorum. (55) Nam is quidem in expeditione Thebana clade accepta quum sub Cadmea caesos ipse tollere non posset, a nostra urbe petiit ut communis sortis miserti opem ferrent, neque occisos in praeliis jacere in-

ἀτάφους γιγνομένους μηδὲ παλαιὸν ἔθος καὶ πάτριον νόμον καταλυόμενον, (56) οἱ δ' Ἡρακλέους παῖδες φεύγοντες τὴν Εὐρυσθέως ἔχθραν, καὶ τὰς μὲν ἄλλας πόλεις ὑπερορῶντες ὡς οὐκ ἂν δυναμένας βοηθῆσαι ταῖς ἑαυτῶν b συμφοραῖς, τὴν δ' ἡμετέραν ἱκανὴν νομίζοντες εἶναι μόνην ἀποδοῦναι χάριν ὑπὲρ ὧν ὁ πατὴρ αὐτῶν ἅπαντας ἀνθρώπους εὐεργέτησεν. (57) Ἐκ δὴ τούτων ῥᾴδιον κατιδεῖν ὅτι καὶ κατ' ἐκεῖνον τὸν χρόνον ἡ πόλις ἡμῶν ἡγεμονικῶς εἶχε· τίς γὰρ ἂν ἱκετεύειν τολμήσειεν ἢ τοὺς ἥττους αὐτοῦ ἢ τοὺς ὑφ' ἑτέροις ὄντας, παραλιπὼν τοὺς μείζω δύναμιν ἔχοντας, ἄλλως τε καὶ περὶ πραγμάτων c οὐκ ἰδίων ἀλλὰ κοινῶν καὶ περὶ ὧν οὐδένας ἄλλους εἰκὸς ἦν ἐπιμεληθῆναι πλὴν τοὺς προεστάναι τῶν Ἑλλήνων ἀξιοῦντας; (58) ἔπειτ' οὐδὲ ψευσθέντες φαίνονται τῶν ἐλπίδων, δι' ἃς κατέφυγον ἐπὶ τοὺς προγόνους ἡμῶν. Ἀνελόμενοι γὰρ πόλεμον ὑπὲρ μὲν τῶν τελευτησάντων πρὸς Θηβαίους, ὑπὲρ δὲ τῶν παίδων τῶν Ἡρακλέους πρὸς τὴν Εὐρυσθέως δύναμιν, τοὺς μὲν ἐπιστρατεύσαντες ἠνάγκασαν ἀποδοῦναι θάψαι τοὺς d νεκροὺς τοῖς προσήκουσι, Πελοποννησίων δὲ τοὺς μετ' Εὐρυσθέως εἰς τὴν χώραν ἡμῶν εἰσβαλόντας ἐπεξελθόντες ἐνίκησαν μαχόμενοι κἀκεῖνον τῆς ὕβρεως ἔπαυσαν. (59) Θαυμαζόμενοι δὲ καὶ διὰ τὰς ἄλλας πράξεις, ἐκ τούτων τῶν ἔργων ἔτι μᾶλλον εὐδοκίμησαν. Οὐ γὰρ παρὰ μικρὸν ἐποίησαν, ἀλλὰ τοσοῦτον τὰς τύχας ἑκατέρων μετήλλαξαν, ὥσθ' ὁ μὲν ἱκετεύειν ἡμᾶς ἀξιώσας e βίᾳ τῶν ἐχθρῶν ἅπανθ' ὅσων ἐδεήθη διαπραξάμενος ἀπῆλθεν, Εὐρυσθεὺς δὲ βιάσασθαι προσδοκήσας αὐτὸς αἰχμάλωτος γενόμενος ἱκέτης ἠναγκάθη καταστῆναι, (60) καὶ τῷ μὲν ὑπερενεγκόντι τὴν ἀνθρωπίνην φύσιν, ὃς ἐκ Διὸς μὲν γεγονώς, ἔτι δὲ θνητὸς ὢν θεοῦ ῥώμην ἔσχε, τούτῳ μὲν ἐπιτάττων καὶ λυμαινόμενος ἅπαντα τὸν
53 χρόνον διετέλεσεν, ἐπειδὴ δ' εἰς ἡμᾶς ἐξήμαρτεν, εἰς a τοσαύτην κατέστη μεταβολήν, ὥστ' ἐπὶ τοῖς παισὶ τοῖς ἐκείνου γενόμενος ἐπονειδίστως τὸν βίον ἐτελεύτησεν.

61. Πολλῶν δ' ὑπαρχουσῶν ἡμῖν εὐεργεσιῶν εἰς τὴν πόλιν τὴν Λακεδαιμονίων, περὶ ταύτης μόνης μοι συμβέβηκεν εἰπεῖν· ἀφορμὴν γὰρ λαβόντες τὴν δι' ἡμῶν αὐτοῖς γενομένην σωτηρίαν οἱ πρόγονοι μὲν τῶν νῦν ἐν Λακεδαίμονι βασιλευόντων, ἔκγονοι δ' Ἡρακλέους, κατῆλθον μὲν εἰς Πελοπόννησον, κατέσχον δ' b Ἄργος καὶ Λακεδαίμονα καὶ Μεσσήνην, οἰκισταὶ δὲ Σπάρτης ἐγένοντο, καὶ τῶν παρόντων ἀγαθῶν αὐτοῖς ἁπάντων ἀρχηγοὶ κατέστησαν. (62) Ὧν ἐχρῆν ἐκείνους μεμνημένους μηδέποτ' εἰς τὴν χώραν ταύτην εἰσβαλεῖν, ἐξ ἧς ὁρμηθέντες τοσαύτην εὐδαιμονίαν κατεκτήσαντο, μηδ' εἰς κινδύνους καθιστάναι τὴν πόλιν τὴν ὑπὲρ τῶν παίδων τῶν Ἡρακλέους προκινδυνεύσασαν, μηδὲ τοῖς μὲν ἀπ' ἐκείνου γεγονόσι διδόναι τὴν βασιλείαν, c τὴν δὲ τῷ γένει τῆς σωτηρίας αἰτίαν οὖσαν δουλεύειν αὐτοῖς ἀξιοῦν. (63) Εἰ δὲ δεῖ τὰς χάριτας καὶ τὰς ἐπιεικείας ἀνελόντας ἐπὶ τὴν ὑπόθεσιν πάλιν ἐπανελθεῖν καὶ τὸν ἀκριβέστατον τῶν λόγων εἰπεῖν, οὐ δή

sepultos neque vetus institutum et patriam legem aboleri paterentur. (56) Herculis autem liberi Eurysthei sævitiam fugientes ceteris, ut quæ ab ipsis calamitatem prohibere non possent, despectis urbibus nostram civitatem solam eam esse putarunt, quæ justam gratiam referre valeret pro iis beneficiis, quæ pater in universum genus mortalium contulisset. (57) Hinc facile perspicitur nostram urbem tum etiam dignitate imperatoria fuisse præditam. Quis enim est, qui supplex esse velit vel inferioribus vel aliorum subjectis imperio, potentioribus neglectis, de rebus præsertim non privatis, sed publicis, et quarum curam suscepturos consentaneum sit non nisi eos qui primas inter Græcos sibi vindicent? (58) Deinde spe sua, qua freti ad majores nostros confugerant, non frustratos eos esse constat. Suscepto enim bello defunctorum causa contra Thebanos, et pro Herculis liberis adversus Eurysthei potentiam tum illos admoto ad urbem exercitu ad sepulturam cadavera cognatis reddere coegerunt, tum instructa acie Peloponnesios, qui cum Eurystheo in nostrum agrum impetum fecerant, obviam progressi prælio vicerunt ejusque ferociam compescuerunt. (59) Quum autem ob alias jam res gestas in admiratione essent, ob hæc facta magis etiam celebrati sunt. Nec enim parvum quiddam præstiterunt, sed utrorumque fortunas ita mutaverunt, ut et is qui nobis supplicandum esse censuerat, contra voluntatem hostium confectis omnibus quæ petierat, discesserit, et Eurystheus, qui vim nobis facturus advenerat, ipse captus supplex fieri sit coactus. (60) Atque eum quidem qui natura humana præstantior et Jove natus fuit et mortalis adhuc divinum robur habuit, iste et imperiis et injuriis per omnem ætatem divexavit; postquam autem in nos deliquit, res ejus ita mutatæ sunt, ut in potestatem liberorum illius redactus contumeliosa morte perierit.

61. Quum vero complura in civitatem Lacedæmoniorum beneficia contulerimus, de hoc uno dicere constitui. Namque occasione usi, qua per nos conservati erant, majores eorum, qui nunc Spartæ regnant, Herculis posteri, atque in Peloponnesum reversi, Argis et Lacedæmone et Messena occupatis, tum Spartæ conditores, tum bonorum, quibus nunc fruuntur omnium, principes eis auctoresque exstiterunt. (62) Decuit igitur illos horum memores nunquam in eam regionem incursum facere, ex qua progressi tantam felicitatem sibi compararerunt, nec ei urbi creare periculum, quæ pro liberis Herculis caput periculis objecerat, neque ejus posteris tradere regnum, civitatem vero, quæ illius progeniem conservavit, in servitutem redigere. (63) Quodsi gratiæ referendæ et æquitatis officiis omissis ad institutum redeundum et justissima causa utendum est, non utique

που πάτριόν ἐστιν ἡγεῖσθαι τοὺς ἐπήλυδας τῶν αὐτοχθόνων, οὐδὲ τοὺς εὖ παθόντας τῶν εὖ ποιησάντων, οὐδὲ τοὺς ἱκέτας γενομένους τῶν ὑποδεξαμένων. d

64. Ἔτι δὲ συντομώτερον ἔχω δηλῶσαι περὶ αὐτῶν. Τῶν μὲν γὰρ Ἑλληνίδων πόλεων, χωρὶς τῆς ἡμετέρας, Ἄργος καὶ Θῆβαι καὶ Λακεδαίμων καὶ τότ' ἦσαν μέγισται καὶ νῦν ἔτι διατελοῦσι· φαίνονται δ' ἡμῶν οἱ πρόγονοι τοσοῦτον ἁπάντων διενεγκόντες, ὥσθ' ὑπὲρ μὲν Ἀργείων δυστυχησάντων Θηβαίοις, ὅτε μέγιστον ἐφρόνησαν, ἐπιτάττοντες, (65) ὑπὲρ δὲ τῶν παίδων τῶν Ἡρακλέους Ἀργείους καὶ τοὺς ἄλλους Πελοποννησίους μάχῃ e κρατήσαντες, ἐκ δὲ τῶν πρὸς Εὐρυσθέα κινδύνων τοὺς οἰκιστὰς καὶ τοὺς ἡγεμόνας τοὺς Λακεδαιμονίων διασώσαντες. Ὥστε περὶ μὲν τῆς ἐν τοῖς Ἕλλησι δυναστείας οὐκ οἶδ' ὅπως ἄν τις σαφέστερον ἐπιδεῖξαι δυνηθείη.

54 66. Δοκεῖ δέ μοι καὶ περὶ τῶν πρὸς τοὺς βαρβάρους a τῇ πόλει πεπραγμένων προσήκειν εἰπεῖν, ἄλλως τ' ἐπειδὴ καὶ τὸν λόγον κατεστησάμην περὶ τῆς ἡγεμονίας τῆς ἐπ' ἐκείνους. Ἅπαντας μὲν οὖν ἐξαριθμῶν τοὺς κινδύνους λίαν ἂν μακρολογοίην· ἐπὶ δὲ τῶν μεγίστων τὸν αὐτὸν τρόπον ὅνπερ ὀλίγῳ πρότερον πειράσομαι καὶ περὶ τούτων διελθεῖν. (67) Ἔστι γὰρ ἀρχικώτατα μὲν τῶν γενῶν καὶ μεγίστας δυναστείας ἔχοντα Σκύθαι b καὶ Θρᾷκες καὶ Πέρσαι, τυγχάνουσι δ' οὗτοι μὲν ἅπαντες ἡμῖν ἐπιβουλεύσαντες, ἡ δὲ πόλις πρὸς ἅπαντας τούτους διακινδυνεύσασα. Καίτοι τί λοιπὸν ἔσται τοῖς ἀντιλέγουσιν, ἢν ἐπιδειχθῶσι τῶν μὲν Ἑλλήνων οἱ μὴ δυνάμενοι τυγχάνειν τῶν δικαίων ἡμᾶς ἱκετεύειν ἀξιοῦντες, τῶν δὲ βαρβάρων οἱ βουλόμενοι καταδουλώσασθαι τοὺς Ἕλληνας ἐφ' ἡμᾶς πρώτους ἰόντες; c

68. Ἐπιφανέστατος μὲν οὖν τῶν πολέμων ὁ Περσικὸς γέγονεν, οὐ μὴν ἐλάττω τεκμήρια τὰ παλαιὰ τῶν ἔργων ἐστὶ τοῖς περὶ τῶν πατρίων ἀμφισβητοῦσιν. Ἔτι γὰρ ταπεινῆς οὔσης τῆς Ἑλλάδος ἦλθον εἰς τὴν χώραν ἡμῶν Θρᾷκες μὲν μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος, Σκύθαι δὲ μετ' Ἀμαζόνων τῶν Ἄρεως θυγατέρων, οὐ κατὰ τὸν αὐτὸν χρόνον, ἀλλὰ καθ' ὃν ἑκάτεροι τῆς Εὐρώπης ἐπῆρχον, μισοῦντες μὲν ἅπαν τὸ τῶν Ἑλλήνων γένος, ἰδίᾳ δὲ πρὸς ἡμᾶς ἐγκλήματα ποιησάμενοι, νο- d μίζοντες ἐκ τούτου τοῦ τρόπου πρὸς μίαν μὲν πόλιν κινδυνεύσειν, ἁπασῶν δ' ἅμα κρατήσειν. (69) Οὐ μὴν κατώρθωσαν, ἀλλὰ πρὸς μόνους τοὺς προγόνους τοὺς ἡμετέρους συμβαλόντες ὁμοίως διεφθάρησαν ὥσπερ ἂν εἰ πρὸς ἅπαντας ἀνθρώπους ἐπολέμησαν. Δῆλον δὲ τὸ μέγεθος τῶν κακῶν τῶν γενομένων ἐκείνοις· οὐ γὰρ ἄν ποθ' οἱ λόγοι περὶ αὐτῶν τοσοῦτον χρόνον διέμειναν, εἰ μὴ καὶ τὰ πραχθέντα πολὺ τῶν ἄλλων διήνεγκεν. (70) Λέγεται δ' οὖν περὶ μὲν Ἀμαζόνων ὡς τῶν μὲν ἐλθουσῶν οὐδεμία πάλιν ἀπῆλθεν, αἱ δ' ὑπολειφθεῖσαι διὰ e τὴν ἐνθάδε συμφορὰν ἐκ τῆς ἀρχῆς ἐξεβλήθησαν, περὶ δὲ Θρᾳκῶν ὅτι τὸν ἄλλον χρόνον ὅμοροι προσοικοῦντες 55 ἡμῖν τοσοῦτον διέλιπον, ὥστ' ἐν τῷ μεταξὺ τῆς χώρας a ἔθνη πολλὰ καὶ γένη παντοδαπὰ καὶ πόλεις μεγάλας κατοικισθῆναι.

patrium est duces esse advenas indigenarum, neque beneficiis affectos bene meritorum, neque supplices eorum a quibus sunt conservati.

64. Ac majore etiam compendio his de rebus possum dicere. Nam Græcarum urbium, nostra civitate excepta, Argos et Thebæ et Lacedæmon, ut tum fuerunt, sic etiam hodie sunt maximæ: majores autem nostros tantum præstitisse omnibus constat, ut propter Argivos adversa fortuna usos Thebanis, quum maxime elati animis essent, imperarint, (65) et ad liberos Herculis defendendos Argivos ceterosque Peloponnesios prælio superarint, et ex periculis, quæ ab Eurystheo imminebant, conditores et duces Lacedæmoniorum liberarint. Itaque haud scio quidnam de Græciæ principatu ab ullo demonstrari possit apertius.

66. Convenire autem videtur ut de rebus a nostra urbe etiam contra barbaros gestis dicam, præsertim quum de principatu in illis oppugnandis debito orationem instituerim. Verum si omnia prælia enumerarem, justo mihi longior nasceretur oratio: quare super maximis operam dabo, ut eadem ratione, qua supra sum usus, etiam de hisce disseram. (67) Sunt igitur imperiosissimæ gentes maximaque præditæ potentia Scythæ, Thraces et Persæ. Ita autem sors tulit, ut hi omnes insidiati nobis fuerint, nostraque urbs adversus hos omnes belli discrimen adierit. Enimvero quid reliqui erit adversariis, ubi demonstratum fuerit et Græcos, si qui jus suum adipisci non possent, nostræ urbi supplicare solitos, et barbaros servitute Græciam oppressuros impetum in nos primo fecisse?

68. Bellum quidem Persicum omnium illustrissimum fuit; at non minora tamen argumenta res olim gestæ suppeditant de jure et more majorum disputantibus. Nam humili adhuc Græcia in nostrum agrum irruperunt Thraces cum Eumolpo Neptuni filio, Scythæ cum Amazonibus Marte prognatis, non eodem tempore, sed quo utrique Europæ imperium appetebant, infensi quidem Græcis universis, sed privatim nos incusantes. Existimabant enim ea se ratione unam tantum urbem adversariam habituros, et universarum simul imperio potituros. (69) Non tamen votorum compotes facti, sed cum solis majoribus nostris congressi æque deleti sunt, ac si generi humano universo bellum intulissent. Cladis autem illius magnitudo ex eo perspicitur, quod fama illa tam diu durare non potuisset, nisi res gestæ multum aliis præstitissent. (70) Nam Amazonum quidem, quæ huc venerint, nullam domum rediisse, et ceteras quæ domi manserint, ob cladem hic acceptam regno pulsas esse ferunt; Thraces autem, quum superiori tempore in vicinia nostra habitassent, tam longe recesserunt, ut inter nostros et illorum fines multæ gentes variæque consederint et magnæ urbes sint conditæ.

71. Καλὰ μὲν οὖν καὶ ταῦτα, καὶ πρέποντα τοῖς περὶ τῆς ἡγεμονίας ἀμφισβητοῦσιν· ἀδελφὰ δὲ τῶν εἰρημένων, καὶ τοιαῦθ' οἷά περ εἰκὸς τοὺς ἐκ τοιούτων γεγονότας, οἱ πρὸς Δαρεῖον καὶ Ξέρξην πολεμήσαντες ἔπραξαν. Μεγίστου γὰρ πολέμου συστάντος ἐκείνου, καὶ πλείστων κινδύνων εἰς τὸν αὐτὸν χρόνον συμπεσόν- b των, καὶ τῶν μὲν πολεμίων ἀνυποστάτων οἰομένων εἶναι διὰ τὸ πλῆθος, τῶν δὲ συμμάχων ἀνυπέρβλητον ἡγουμένων ἔχειν τὴν ἀρετήν, (72) ἀμφοτέρων κρατήσαντες ὡς ἑκατέρων προσῆκεν, καὶ πρὸς ἅπαντας τοὺς κινδύνους διενεγκόντες, εὐθὺς μὲν τῶν ἀριστείων ἠξιώθησαν, οὐ πολλῷ δ' ὕστερον τὴν ἀρχὴν τῆς θαλάττης ἔλαβον, δόντων μὲν τῶν ἄλλων Ἑλλήνων, οὐκ ἀμφισβητούντων δὲ τῶν νῦν ἡμᾶς ἀφαιρεῖσθαι ζητούντων. c

73. Καὶ μηδεὶς οἰέσθω μ' ἀγνοεῖν ὅτι καὶ Λακεδαιμόνιοι περὶ τοὺς καιροὺς τούτους πολλῶν ἀγαθῶν αἴτιοι τοῖς Ἕλλησι κατέστησαν· ἀλλὰ διὰ τοῦτο καὶ μᾶλλον ἐπαινεῖν ἔχω τὴν πόλιν, ὅτι τοιούτων ἀνταγωνιστῶν τυχοῦσα τοσοῦτον αὐτῶν διήνεγκεν. Βούλομαι δ' ὀλίγῳ μακρότερα περὶ τοῖν πολέοιν εἰπεῖν καὶ μὴ ταχὺ λίαν παραδραμεῖν, ἵν' ἀμφοτέρων ἡμῖν ὑπομνήματα γένηται, τῆς τε τῶν προγόνων ἀρετῆς καὶ τῆς πρὸς τοὺς βαρβά- d ρους ἔχθρας. (74) Καίτοι μ' οὐ λέληθεν ὅτι χαλεπόν ἐστιν ὕστατον ἐπελθόντα λέγειν περὶ πραγμάτων πάλαι προκατειλημμένων, καὶ περὶ ὧν οἱ μάλιστα δυνηθέντες τῶν πολιτῶν εἰπεῖν ἐπὶ τοῖς δημοσίᾳ θαπτομένοις πολλάκις εἰρήκασιν· ἀνάγκη γὰρ τὰ μὲν μέγιστ' αὐτῶν ἤδη καταχεχρῆσθαι, μικρὰ δέ τινα παραλελεῖφθαι. Ὅμως δ' ἐκ τῶν ὑπολοίπων, ἐπειδὴ συμφέρει τοῖς πράγμασιν, e οὐκ ὀκνητέον μνησθῆναι περὶ αὐτῶν.

75. Πλείστων μὲν οὖν ἀγαθῶν αἰτίους καὶ μεγίστων ἐπαίνων ἀξίους ἡγοῦμαι γεγενῆσθαι τοὺς τοῖς σώμασιν ὑπὲρ τῆς Ἑλλάδος προκινδυνεύσαντας· οὐ μὴν οὐδὲ
56 τῶν πρὸ τοῦ πολέμου τούτου γενομένων καὶ δυναστευ- a σάντων ἐν ἑκατέρᾳ τοῖν πολέοιν δίκαιον ἀμνημονεῖν· ἐκεῖνοι γὰρ ἦσαν οἱ προασκήσαντες τοὺς ἐπιγιγνομένους καὶ τὰ πλήθη προτρέψαντες ἐπ' ἀρετὴν καὶ χαλεποὺς ἀνταγωνιστὰς τοῖς βαρβάροις ποιήσαντες. (76) Οὐ γὰρ ὠλιγώρουν τῶν κοινῶν, οὐδ' ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δ' ὡς ἀλλοτρίων, ἀλλ' ἐκήδοντο μὲν ὡς οἰκείων, ἀπείχοντο δ' ὥσπερ χρὴ τῶν μηδὲν προσηκόντων· οὐδὲ b πρὸς ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον, ἀλλ' οὗτος ἐδόκει πλοῦτον ἀσφαλέστατον κεκτῆσθαι καὶ κάλλιστον, ὅστις τοιαῦτα τυγχάνοι πράττων ἐξ ὧν αὐτός τε μέλλοι μάλιστ' εὐδοκιμήσειν καὶ τοῖς παισὶ μεγίστην δόξαν καταλείψειν. (77) Οὐδὲ τὰς θρασύτητας τὰς ἀλλήλων ἐζήλουν, οὐδὲ τὰς τόλμας τὰς αὑτῶν ἤσκουν, ἀλλὰ δεινότερον μὲν ἐνόμιζον εἶναι κακῶς ὑπὸ τῶν πολιτῶν ἀκούειν ἢ καλῶς ὑπὲρ τῆς πόλεως ἀποθνήσκειν, μᾶλλον δ' c ᾐσχύνοντ' ἐπὶ τοῖς κοινοῖς ἁμαρτήμασιν ἢ νῦν ἐπὶ τοῖς ἰδίοις τοῖς σφετέροις αὐτῶν. (78) Τούτων δ' ἦν αἴτιον ὅτι τοὺς νόμους ἐσκόπουν ὅπως ἀκριβῶς καὶ καλῶς ἕξουσιν, οὐχ οὕτω τοὺς περὶ τῶν ἰδίων συμβολαίων ὡς τοὺς περὶ τῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων·

71. Præclara quidem et hæc sunt, ac digna iis qui de principatu contendunt; cognata vero his quæ diximus, et talia quidem qualia deceant a tantis viris ortos, illi gessere, qui Darii et Xerxis arma repulerunt. Quum enim maximum id bellum exstitisset et plurima pericula eodem tempore urgerent et hostes ob multitudinem se non sustineri posse et socii nostri virtute insuperabili eos præditos esse putarent: (72) utrisque victis sicut utrisque conveniebat, et omnibus præliis præstantia virtutis suæ probata insignem statim fortitudinis laudem et præmia meruerunt, neque multo post maris imperium sunt adepti, delatum a Græcis ceteris, istis qui nunc id nobis eripere student, minime adversantibus.

73. Neque vero me quisquam ignorare putet etiam Lacedæmonios sub illa tempora multa in Græcos beneficia contulisse. Sed propterea urbs majoribus laudibus extollenda est, quod talibus æmulis tantum excelluit. Dicam autem paulo prolixius de his duabus urbibus neque nimis celeriter prætervehar, ut utriusque rei monumenta exsistant, et virtutis, qua majores excelluerunt, et odii, quo barbaros debellarunt. (74) Neque me fugit quam difficile sit, post alios omnes de rebus dicere jam pridem occupatis, de quibus eloquentissimi cives in publicis sepulturis sæpe verba fecerunt. Necesse est enim maxima quæque jam ante in medium allata et parva quædam relicta esse. Neque tamen de eis quæ restant, quoniam instituto nostro serviunt, dicere verendum est.

75. Optime igitur meritos et maximis laudibus fuisse dignos eos existimo, qui sua corpora pro Græciæ defensione periculis objecerunt. Sed nec eorum nulla ratio habenda est, qui eo bello ætate superiores in utraque urbe summæ rerum præfuerunt. Illi enim fuere qui præpararunt posteros, et populum ad virtutem cohortati, eos barbaris acerrimos adversarios effecerunt. (76) Nec enim illi nullam reipublicæ curam habebant, neque publicis opibus fruebantur ut privatis, ut alienas negligebant; sed eas administrabant, ut privatas; ita iis abstinebant, ut abstinere decet prorsus alienis. Nec pecunia felicitatem metiebantur, sed is opes possidere tutissimas et pulcherrimas sibi videbatur, qui ita se gereret, ut et ipse maximam laudem mereretur et liberis suis honestissimam famam relicturus esset. (77) Neque vero insolentia inter se certabant, nec alii in alios audaciam ostendebant, sed gravius esse putabant male audire a civibus quam honeste pro republica occumbere, et magis erubescebant, si quid publice delictum esset, quam nunc privatim peccasse pudet. (78) In causa illud erat, quod operam dabant, ut leges accuratæ et præclaræ essent, non tam privatorum negotiorum, quam morum disciplinæ. Scie-

ἠπίσταντο γὰρ ὅτι τοῖς καλοῖς κἀγαθοῖς τῶν ἀνθρώπων οὐδὲν δεήσει πολλῶν γραμμάτων, ἀλλ' ἀπ' ὀλίγων συνθημάτων ῥᾳδίως καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοι- d νῶν ὁμονοήσουσιν. (79) Οὕτω δὲ πολιτικῶς εἶχον, ὥστε καὶ τὰς στάσεις ἐποιοῦντο πρὸς ἀλλήλους οὐχ ὁπότεροι τοὺς ἑτέρους ἀπολέσαντες τῶν λοιπῶν ἄρξουσιν, ἀλλ' ὁπότεροι φθήσονται τὴν πόλιν ἀγαθόν τι ποιήσαντες· καὶ τὰς ἑταιρείας συνῆγον οὐχ ὑπὲρ τῶν ἰδίᾳ συμφερόντων, ἀλλ' ἐπὶ τῇ τοῦ πλήθους ὠφελείᾳ. (80) Τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ τῶν ἄλλων διῴκουν, θεραπεύοντες ἀλλ' οὐχ ὑβρίζοντες τοὺς Ἕλληνας, καὶ στρατηγεῖν οἰόμενοι δεῖν ἀλλὰ μὴ τυραννεῖν αὐτῶν, καὶ e μᾶλλον ἐπιθυμοῦντες ἡγεμόνες ἢ δεσπόται προσαγορεύεσθαι, καὶ σωτῆρες ἀλλὰ μὴ λυμεῶνες ἀποκαλεῖσθαι, τῷ ποιεῖν εὖ προσαγόμενοι τὰς πόλεις, ἀλλ' οὐ βίᾳ 57 καταστρεφόμενοι, (81) πιστοτέροις μὲν τοῖς λόγοις ἢ a νῦν τοῖς ὅρκοις χρώμενοι, ταῖς δὲ συνθήκαις ὥσπερ ἀνάγκαις ἐμμένειν ἀξιοῦντες, οὐχ οὕτως ἐπὶ ταῖς δυναστείαις μέγα φρονοῦντες, ὡς ἐπὶ τῷ σωφρόνως ζῆν φιλοτιμούμενοι, τὴν αὐτὴν ἀξιοῦντες γνώμην ἔχειν πρὸς τοὺς ἥττους ἥνπερ τοὺς κρείττους πρὸς σφᾶς αὐτούς, ἴδια μὲν ἄστη τὰς αὑτῶν πόλεις ἡγούμενοι, κοινὴν δὲ πατρίδα τὴν Ἑλλάδα νομίζοντες εἶναι.

82. Τοιαύταις διανοίαις χρώμενοι, καὶ τοὺς νεωτέρους ἐν τοῖς τοιούτοις ἤθεσι παιδεύοντες, οὕτως ἄνδρας b ἀγαθοὺς ἀπέδειξαν τοὺς πολεμήσαντας πρὸς τοὺς ἐκ τῆς Ἀσίας, ὥστε μηδένα πώποτε δυνηθῆναι περὶ αὐτῶν μήτε τῶν ποιητῶν μήτε τῶν σοφιστῶν ἀξίως τῶν ἐκείνοις πεπραγμένων εἰπεῖν. Καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην· ὁμοίως γάρ ἐστι χαλεπὸν ἐπαινεῖν τοὺς ὑπερβεβληκότας τὰς τῶν ἄλλων ἀρετὰς ὥσπερ τοὺς μηδὲν ἀγαθὸν πεποιηκότας· τοῖς μὲν γὰρ οὐχ ὕπεισι πράξεις, πρὸς δὲ τοὺς οὐκ εἰσὶν ἁρμόττοντες λόγοι. (83) c Πῶς γὰρ ἂν γένοιντο σύμμετροι τοιούτοις ἀνδράσιν, οἳ τοσοῦτον μὲν τῶν ἐπὶ Τροίαν στρατευσαμένων διήνεγκαν, ὅσον οἱ μὲν περὶ μίαν πόλιν ἔτη δέκα διέτριψαν, οἱ δὲ τὴν ἐξ ἁπάσης τῆς Ἀσίας δύναμιν ἐν ὀλίγῳ χρόνῳ κατεπολέμησαν, οὐ μόνον δὲ τὰς αὑτῶν πατρίδας διέσωσαν, ἀλλὰ καὶ τὴν Ἑλλάδα σύμπασαν ἠλευθέρωσαν; ποίων δ' ἂν ἔργων ἢ πόνων ἢ κινδύνων ἀπέστησαν ὥστε ζῶντες εὐδοκιμεῖν, οἵτινες ὑπὲρ τῆς δόξης ἧς d ἔμελλον τελευτήσαντες ἕξειν οὕτως ἑτοίμως ἤθελον ἀποθνήσκειν; (84) Οἶμαι δὲ καὶ τὸν πόλεμον θεῶν τινα συναγαγεῖν ἀγασθέντα τὴν ἀρετὴν αὐτῶν, ἵνα μὴ τοιοῦτοι γενόμενοι τὴν φύσιν διαλάθοιεν μηδ' ἀκλεῶς τὸν βίον τελευτήσαιεν, ἀλλὰ τῶν αὐτῶν τοῖς ἐκ τῶν θεῶν γεγονόσι καὶ καλουμένοις ἡμιθέοις ἀξιωθεῖεν· καὶ γὰρ ἐκείνων τὰ μὲν σώματα ταῖς τῆς φύσεως ἀνάγκαις ἀπέδοσαν, τῆς δ' ἀρετῆς ἀθάνατον τὴν μνήμην e ἐποίησαν.

85. Ἀεὶ μὲν οὖν οἵ θ' ἡμέτεροι πρόγονοι καὶ Λακεδαιμόνιοι φιλοτίμως πρὸς ἀλλήλους εἶχον, οὐ μὴν ἀλλὰ περὶ καλλίστων ἐν ἐκείνοις τοῖς χρόνοις ἐφιλονίκησαν, 58 οὐκ ἐχθροὺς ἀλλ' ἀνταγωνιστὰς σφᾶς αὐτοὺς εἶναι νο- a

bant enim bonis viris nihil opus esse multis scriptis sed paucis conventis, ut de re tum privata tum publica consentirent. (79) Jam tantum fuit eorum reipublicæ studium, ut inter eos factiones essent, non utri alteris e medio sublatis reliquis dominarentur, sed utri suam in civitatem beneficentiam ante ceteros declararent; ac societates coibant, non ob privata commoda, sed propter populi emolumenta. (80) Eodemque modo etiam aliorum res administrabant, ut colerent Græcos, non exagitarent. Existimabant enim non tyrannidem, sed imperium in eos esse exercendum, et duces potius quam dominos appellari, servatores et non vastatores nominari se cupiebant, eo quod beneficiis civitates alliciebant, non vi eversas ad se pertrahebant; (81) graviore quidem sermone quam nunc jurejurando utebantur, pacta et conventa ita servabant, quasi necessitate constricti tenerentur non tam ob potentiam superbiebant quam vitæ modestiam laudi sibi ducebant, erga imbecilliores ita affecti ut potentiores erga se affectos esse voluissent, civitates suas privatarum urbium loco habebant, Græciam vero communem patriam existimabant.

82. Quum igitur his animis essent, et his moribus adolescentiam imbuerent, eos qui cum gentibus Asiaticis pugnarunt, tam fortes viros reddiderunt, ut nemo unquam vel poetarum vel oratorum eos pro rerum gestarum dignitate potuerit celebrare. In quo ego illis facile ignosco. Æque enim difficile est eos laudare, qui aliorum omnium virtutes superarunt, atque illos qui nihil præclari gesserunt. Nam alteris res desunt, de alteris apta rebus verba reperiri non possunt. (83) Nam quæ talibus viris par queat esse oratio, qui Trojæ oppugnatores tanto intervallo superarunt, ut illi una urbe expugnanda decem annos contriverint, quum hi totius Asiæ vires exiguo tempore debellarint, neque patriam quisque suam tantum conservarint, sed totam quoque Græciam a servitute vindicarint? Quæ vero facta, quos labores, quæ pericula detrectassent, ut viventes gloria florerent, qui famæ gratia post obitum consequendæ tam alacriter mortem oppetere voluerunt? (84) Equidem deorum aliquem id bellum arbitror concitasse præ virtutis eorum admiratione, ne tam generosis animis præditi in obscuro delitescerent, aut vitam ingloriam exigerent, sed ut pari cum filiis deorum honore, quos semideos vocant, afficerentur. Nam ut corpora sua naturæ necessitati reddiderunt, sic virtutis suæ memoriam immortalem reliquerunt.

85. Atque inter majores quidem nostros et Lacedæmonios semper æmulatio quædam honorisque contentio fuit, de rebus autem pulcherrimis illis temporibus concertarunt non ut hostes, sed ut æmuli ejusdem gloriæ; nec ad op-

μίζοντες, οὐδ' ἐπὶ δουλείᾳ τῇ τῶν Ἑλλήνων τὸν βάρ-
βαρον θεραπεύοντες, ἀλλὰ περὶ μὲν τῆς κοινῆς σωτη-
ρίας ὁμονοοῦντες, ὁπότεροι δὲ ταύτης αἴτιοι γενήσον-
ται, περὶ τούτου ποιούμενοι τὴν ἅμιλλαν. Ἐπεδεί-
ξαντο δὲ τὰς αὑτῶν ἀρετὰς πρῶτον μὲν ἐν τοῖς ὑπὸ Δα-
ρείου πεμφθεῖσιν. (86) Ἀποβάντων γὰρ αὐτῶν εἰς τὴν
Ἀττικὴν οἱ μὲν οὐ περιέμειναν τοὺς συμμάχους, ἀλλὰ
τὸν κοινὸν πόλεμον ἴδιον ποιησάμενοι πρὸς τοὺς ἁπάσης b
τῆς Ἑλλάδος καταφρονήσαντας ἀπήντων τὴν οἰκείαν
δύναμιν ἔχοντες, ὀλίγοι πρὸς πολλὰς μυριάδας, ὥσπερ
ἐν ἀλλοτρίαις ψυχαῖς μέλλοντες κινδυνεύειν, οἱ δ' οὐχ
ἔφθησαν πυθόμενοι τὸν περὶ τὴν Ἀττικὴν πόλεμον, καὶ
πάντων τῶν ἄλλων ἀμελήσαντες ἧκον ἡμῖν ἀμυνοῦν-
τες, τοσαύτην ποιησάμενοι σπουδὴν ὅσην περ ἂν τῆς
αὑτῶν χώρας πορθουμένης. (87) Σημεῖον δὲ τοῦ τάχους c
καὶ τῆς ἁμίλλης· τοὺς μὲν γὰρ ἡμετέρους προγόνους
φασὶ τῆς αὐτῆς ἡμέρας πυθέσθαι τε τὴν ἀπόβασιν τὴν
τῶν βαρβάρων καὶ βοηθήσαντας ἐπὶ τοὺς ὅρους τῆς
χώρας μάχῃ νικήσαντας τρόπαιον στῆσαι τῶν πολε-
μίων, τοὺς δ' ἐν τρισὶν ἡμέραις καὶ τοσαύταις νυξὶ
διακόσια καὶ χίλια στάδια διελθεῖν στρατοπέδῳ πο-
ρευομένους. Οὕτω σφόδρ' ἠπείχθησαν οἱ μὲν μετα- d
σχεῖν τῶν κινδύνων, οἱ δὲ φθῆναι συμβαλόντες πρὶν ἐλ-
θεῖν τοὺς βοηθήσοντας. (88) Μετὰ δὲ ταῦτα γενομένης
τῆς ὕστερον στρατείας, ἣν αὐτὸς Ξέρξης ἤγαγεν, ἐκλι-
πὼν μὲν τὰ βασίλεια, στρατηγὸς δὲ καταστῆναι τολμή-
σας, ἅπαντας δὲ τοὺς ἐκ τῆς Ἀσίας συναγείρας· περὶ οὗ
τίς οὐχ ὑπερβολὰς προθυμηθεὶς εἰπεῖν ἐλάττω τῶν
ὑπαρχόντων εἴρηκεν; (89) ὃς εἰς τοσοῦτον ἦλθεν ὑπερη-
φανίας, ὥστε μικρὸν μὲν ἡγησάμενος ἔργον εἶναι τὴν e
Ἑλλάδα χειρώσασθαι, βουληθεὶς δὲ τοιοῦτον μνημεῖον
καταλιπεῖν ὃ μὴ τῆς ἀνθρωπίνης φύσεώς ἐστιν, οὐ
πρότερον ἐπαύσατο πρὶν ἐξεῦρε καὶ συνηνάγκασεν ὃ
πάντες θρυλοῦσιν, ὥστε τῷ στρατοπέδῳ πλεῦσαι μὲν
διὰ τῆς ἠπείρου, πεζεῦσαι δὲ διὰ τῆς θαλάττης, τὸν
59 μὲν Ἑλλήσποντον ζεύξας, τὸν δ' Ἄθω διορύξας. (90) a
Πρὸς δὴ τὸν οὕτω μέγα φρονήσαντα καὶ τηλικαῦτα
διαπραξάμενον καὶ τοσούτων δεσπότην γενόμενον ἀπήν-
των διελόμενοι τὸν κίνδυνον, Λακεδαιμόνιοι μὲν εἰς
Θερμοπύλας πρὸς τὸ πεζόν, χιλίους αὑτῶν ἐπιλέξαντες
καὶ τῶν συμμάχων ὀλίγους παραλαβόντες, ὡς ἐν τοῖς
στενοῖς κωλύσοντες αὐτοὺς περαιτέρω προελθεῖν, οἱ δ'
ἡμέτεροι πατέρες ἐπ' Ἀρτεμίσιον, ἑξήκοντα τριήρεις
πληρώσαντες πρὸς ἅπαν τὸ τῶν πολεμίων ναυτικόν.
(91) Ταῦτα δὲ ποιεῖν ἐτόλμων οὐχ οὕτω τῶν πολεμίων b
καταφρονοῦντες ὡς πρὸς ἀλλήλους ἀγωνιῶντες, Λακε-
δαιμόνιοι μὲν ζηλοῦντες τὴν πόλιν τῆς Μαραθῶνι μά-
χης, καὶ ζητοῦντες αὑτοὺς ἐξισῶσαι, καὶ δεδιότες μὴ
δὶς ἐφεξῆς ἡ πόλις ἡμῶν αἰτία γένηται τοῖς Ἕλλησι
τῆς σωτηρίας, οἱ δ' ἡμέτεροι μάλιστα μὲν βουλόμενοι
διαφυλάξαι τὴν παροῦσαν δόξαν, καὶ πᾶσι ποιῆσαι
φανερὸν ὅτι καὶ τὸ πρότερον δι' ἀρετὴν ἀλλ' οὐ διὰ τύ- c
χην ἐνίκησαν, ἔπειτα καὶ προαγαγέσθαι τοὺς Ἕλληνας
ἐπὶ τὸ διαναυμαχεῖν, ἐπιδείξαντες αὐτοῖς ὁμοίως ἐν

primendam Græcorum libertatem barbarum coluerunt, sed simul et de communi salute consenserunt, utri autem eam palmam obtinerent, de eo certamen fuit. Primum quidem fortitudinem suam adversus copias a Dario missas declararunt: (86) quæ quum in Atticam exscensum fecissent, nostri, non exspectatis sociis, commune bellum sibi privatim depoposcerunt, et acie ex domestico milite instructa totius Græciæ contemptoribus occurrerunt, pauci infinitis tanquam alienæ vitæ periculo dimicaturi. Lacedæmonii vero quum primum de bello Attico audivissent relictis rebus omnibus nobis suppetias venerunt, non minore studio et festinatione, quam si hostes ipsorum agros vastarent. (87) Signum autem celeritatis eorum et contentionis illud est, quod ferunt majores nostros eodem die et barbarorum exscensionem audivisse et ad agri sui terminos defendendos procurrisse et superatis hostibus tropæum statuisse, illos vero tribus diebus totidemque noctibus mille et ducenta stadia cum exercitu confecisse. Usque adeo festinarunt alteri ut socii periculorum essent, alteri ut ante auxiliorum adventum confligerent. (88) Post hæc altera expeditio suscepta est, cujus ipse Xerxes dux fuit, relictaque regia imperator ausus fieri totius Asiæ vires contraxit. De quo quis unquam instituit immensa dicere, qui non dixerit minora veris? (89) Nam tanta superbia elatus, ut rem parvam existimaret subigere Græciam et id sui monumentum relinquere cupiens, quod humanam naturam excederet, non prius destitit, quam id excogitasset perque vim extorsisset, quod omnibus in ore est, ut cum exercitu continentem navigaret, pedibus mare ambularit, tum Hellesponto ponte juncto, tum Atho monte perfosso. (90) Illi igitur, cujus tanta fuit animi elatio, qui res tantas gesserat, qui tot populis imperabat, occurrerunt distributo periculo, Lacedæmonii ad Thermopylas, pedestrem exercitum prohibituri delectis mille de suis et sociorum paucis assumptis, ut eum in angustiis ulteriore progressu excluderent; nostri patres ad Artemisium, sexaginta triremibus contra universam hostium classem instructis. (91) Et hæc fecerunt non tam hostium contemptu, quam quadam inter se æmulatione: Lacedæmonii, quod gloriam urbis nostræ ob Marathoniam pugnam admirantes se nobiscum exæquare studebant, veriti ne Græcia bis deinceps a nobis conservaretur; nostri, ut partam gloriam tuerentur et omnibus declararent priorem etiam victoriam suæ virtuti non fortunæ esse tribuendam, et ut Græcos ad navalis prælii fortunam tentandam adducerent,

τοῖς ναυτικοῖς κινδύνοις ὥσπερ ἐν τοῖς πεζοῖς τὴν ἀρετὴν τοῦ πλήθους περιγιγνομένην. (92) Ἴσας δὲ τὰς τόλμας παρασχόντες οὐχ ὁμοίαις ἐχρήσαντο ταῖς τύχαις, ἀλλ' οἱ μὲν διεφθάρησαν καὶ ταῖς ψυχαῖς νικῶντες τοῖς σώμασιν ἀπεῖπον (οὐ γὰρ δὴ τοῦτό γε θέμις εἰπεῖν, ὡς ἡττήθησαν· οὐδεὶς γὰρ αὐτῶν φυγεῖν ἠξίωσεν), d οἱ δ' ἡμέτεροι τὰς μὲν πρόπλους ἐνίκησαν, ἐπειδὴ δ' ἤκουσαν τῆς παρόδου τοὺς πολεμίους κρατοῦντας, οἴκαδε καταπλεύσαντες οὕτως ἐβουλεύσαντο περὶ τῶν λοιπῶν, ὥστε πολλῶν καὶ καλῶν αὐτοῖς προειργασμένων ἐν τοῖς τελευταίοις τῶν κινδύνων ἔτι πλέον διήνεγκαν. (93) Ἀθύμως γὰρ ἁπάντων τῶν συμμάχων διακειμένων, καὶ Πελοποννησίων μὲν διατειχιζόντων τὸν Ἰσθμὸν καὶ ζητούντων ἰδίαν αὐτοῖς σωτηρίαν, τῶν e δ' ἄλλων πόλεων ὑπὸ τοῖς βαρβάροις γεγενημένων καὶ συστρατευομένων ἐκείνοις, πλὴν εἴ τις διὰ μικρότητα παρημελήθη, προσπλεουσῶν δὲ τριήρων διακοσίων καὶ χιλίων καὶ πεζῆς στρατιᾶς ἀναριθμήτου μελλούσης εἰς τὴν Ἀττικὴν εἰσβάλλειν, 60 a οὐδεμιᾶς σωτηρίας αὐτοῖς ὑποφαινομένης, ἀλλ' ἔρημοι συμμάχων γεγενημένοι καὶ τῶν ἐλπίδων ἁπασῶν διημαρτηκότες, (94) ἐξὸν αὐτοῖς μὴ μόνον τοὺς παρόντας κινδύνους διαφυγεῖν, ἀλλὰ καὶ τιμὰς ἐξαιρέτους λαβεῖν, ἃς αὐτοῖς ἐδίδου βασιλεὺς ἡγούμενος, εἰ τὸ τῆς πόλεως προσλάβοι ναυτικόν, παραχρῆμα καὶ Πελοποννήσου κρατήσειν, οὐχ ὑπέμειναν τὰς παρ' ἐκείνου δωρεάς, οὐδ' ὀργισθέντες τοῖς Ἕλλησιν ὅτι προὐδόθησαν ἀσμένως ἐπὶ b τὰς διαλλαγὰς τὰς πρὸς τοὺς βαρβάρους ὥρμησαν, (95) ἀλλ' αὐτοὶ μὲν ὑπὲρ τῆς ἐλευθερίας πολεμεῖν παρεσκευάζοντο, τοῖς δ' ἄλλοις τὴν δουλείαν αἱρουμένοις συγγνώμην εἶχον. Ἡγοῦντο γὰρ ταῖς μὲν ταπειναῖς τῶν πόλεων προσήκειν ἐκ παντὸς τρόπου ζητεῖν τὴν σωτηρίαν, ταῖς δὲ προεστάναι τῆς Ἑλλάδος ἀξιούσαις οὐχ οἷόν τ' εἶναι διαφεύγειν τοὺς κινδύνους, ἀλλ' ὥσπερ c τῶν ἀνδρῶν τοῖς καλοῖς κἀγαθοῖς αἱρετώτερόν ἐστι καλῶς ἀποθανεῖν ἢ ζῆν αἰσχρῶς, οὕτω καὶ τῶν πόλεων ταῖς ὑπερεχούσαις λυσιτελεῖν ἐξ ἀνθρώπων ἀφανισθῆναι μᾶλλον ἢ δούλαις ὀφθῆναι γενομέναις. (96) Δῆλον δ' ὅτι ταῦτα διενοήθησαν· ἐπειδὴ γὰρ οὐχ οἷοί τ' ἦσαν πρὸς ἀμφοτέρας ἅμα παρατάξασθαι τὰς δυνάμεις, παραλαβόντες ἅπαντα τὸν ὄχλον τὸν ἐκ τῆς πόλεως εἰς τὴν ἐχομένην νῆσον ἐξέπλευσαν, ἵν' ἐν μέρει πρὸς d ἑκατέραν κινδυνεύσωσιν. Καίτοι πῶς ἂν ἐκείνων ἄνδρες ἀμείνους ἢ μᾶλλον φιλέλληνες ὄντες ἐπιδειχθεῖεν, οἵτινες ἔτλησαν ἐπιδεῖν, ὥστε μὴ τοῖς λοιποῖς αἴτιοι γενέσθαι τῆς δουλείας, ἐρήμην μὲν τὴν πόλιν γενομένην, τὴν δὲ χώραν πορθουμένην, ἱερὰ δὲ συλώμενα καὶ νεὼς ἐμπιπραμένους, ἅπαντα δὲ τὸν πόλεμον περὶ τὴν πατρίδα τὴν αὑτῶν γιγνόμενον; (97) Καὶ οὐδὲ ταῦτ' e ἀπέχρησεν αὐτοῖς, ἀλλὰ πρὸς χιλίας καὶ διακοσίας τριήρεις μόνοι διαναυμαχεῖν ἐμέλλησαν. Οὐ μὴν εἰάθησαν· καταισχυνθέντες γὰρ Πελοποννήσιοι τὴν ἀρετὴν αὐτῶν, καὶ νομίσαντες προδιαφθαρέντων μὲν τῶν ἡμετέρων οὐδ' αὐτοὶ σωθήσεσθαι, κατορθωσάντων δ' εἰς

eisque declararent multitudinem non minus mari quam terra cedere virtuti. (92) Quum autem pares fuissent conatus, non parem fortunam sunt experti. Nam illi quidem occiderunt victores animis, corporibus amissis (nefas est enim dicere eos esse victos, quum nemo eorum fugere voluerit); nostri autem primas naves vicerunt, sed quum transitu potitos esse hostes audivissent, navibus domum revecti ea de ceteris consilia inierunt, ut post multas res præclare gestas in extremis periculis etiam magis excelluerint. (93) Nam quum omnes socii animos desponderent Peloponnesiique muro Isthmum intercluderent suæque salutis privatim rationem haberent; quum aliæ urbes a barbaris superatæ sub illis militarent (nisi forte aliqua ex minoribus per contemptum præterita esset), quum triremes mille ac ducentæ appellerent, terrestres vero copiæ innumerabiles in Atticam irrupturæ essent, nec ulla salutis spes ostenderetur; quum et destituti essent a sociis et spe omni frustrati, (94) quamvis non illa tantum pericula effugere, verum eximios etiam honores consequi liceret, quos eis rex offerebat, existimans se nostræ urbis classe adjuncta mox etiam Peloponnesum in suam potestatem redacturum: illius munera repudiarunt, nec ira concitati adversus Græcos, a quibus deserti essent, cupide pacificationem barbaricam quæsiverunt, (95) sed tum ultro ad bellum pro libertate gerendum sunt accincti, tum aliis qui servituti se tradiderant, ignoverunt. Humilibus enim oppidis quavis conditione salutem esse quærendam, urbibus autem, quæ Græciæ principatum sibi vindicarent, nullo modo pericula esse detrectanda putabant, sed ut viris fortibus optabilius est honeste mortem oppetere quam vivere turpiter, sic etiam primariis urbibus expedire magis ex hominum memoria prorsus deleri quam servitute oppressas conspici. (96) Atque his eos animis fuisse perspicuum est. Quum enim fieri non posset ut contra utrasque copias simul exercitum instruerent, assumpta omni urbana multitudine in vicinam insulam trajecerunt, ut per vices cum alteris copiis belli fortunam experirentur. Enimvero viri præstantiores illis aut Græcorum amantiores ostendi qui possint, qui, ne servitutis causa Græcis essent, et urbem desolatam et agros vastatos et sacra direpta et templa incensa, universi denique belli molem in patriam suam conversam intueri sustinuerunt? (97) Ac ne his quidem contenti contra naves mille et ducentas soli pugnare ausuri erant: non tamen siti sunt; Peloponnesii enim propter eorum virtutem pudore affecti, si nostri periissent, ne se quidem fore incolumes, sin vicissent, suas urbes in ignominia fore cogi-

61 ἀτιμίαν τὰς αὑτῶν πόλεις καταστήσειν, ἠναγκάσθησαν a μετασχεῖν τῶν κινδύνων. Καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τῷ πράγματι γενομένους καὶ τὰς κραυγὰς καὶ τὰς παρακελεύσεις, ἃ κοινὰ πάντων ἐστὶ τῶν ναυμαχούντων, οὐκ οἶδ' ὅ τι δεῖ λέγοντα διατρίβειν· (98) ἃ δ' ἐστὶν ἴδια καὶ τῆς ἡγεμονίας ἄξια καὶ τοῖς προειρημένοις ὁμολογούμενα, ταῦτα δ' ἐμὸν ἔργον ἐστὶν εἰπεῖν. Τοσοῦτον γὰρ ἡ πόλις ἡμῶν διέφερεν, ὅτ' ἦν ἀκέραιος, ὥστ' ἀνάστατος γενομένη πλείους μὲν συνεβάλετο τριήρεις εἰς τὸν κίνδυνον τὸν ὑπὲρ τῆς Ἑλλάδος ἢ σύμπαν- b τες οἱ ναυμαχήσαντες, οὐδεὶς δὲ πρὸς ἡμᾶς οὕτως ἔχει δυσμενῶς, ὅστις οὐκ ἂν ὁμολογήσειε διὰ μὲν τὴν ναυμαχίαν ἡμᾶς τῷ πολέμῳ κρατῆσαι, ταύτης δὲ τὴν πόλιν αἰτίαν γενέσθαι. (99) Καίτοι μελλούσης στρατείας ἐπὶ τοὺς βαρβάρους ἔσεσθαι τίνας χρὴ τὴν ἡγεμονίαν ἔχειν; οὐ τοὺς ἐν τῷ προτέρῳ πολέμῳ μάλιστ' εὐδοκιμήσαντας, καὶ πολλάκις μὲν ἰδίᾳ προκινδυνεύσαντας, c ἐν δὲ τοῖς κοινοῖς τῶν ἀγώνων ἀριστείων ἀξιωθέντας; οὐ τοὺς τὴν αὑτῶν ἐκλιπόντας ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας, καὶ τό τε παλαιὸν οἰκιστὰς τῶν πλείστων πόλεων γενομένους, καὶ πάλιν αὐτὰς ἐκ τῶν μεγίστων συμφορῶν διασώσαντας; Πῶς δ' οὐκ ἂν δεινὰ πάθοιμεν, εἰ τῶν κακῶν πλεῖστον μέρος μετασχόντες ἐν ταῖς τιμαῖς ἔλαττον ἀξιωθεῖμεν, καὶ τότε προταχθέντες ὑπὲρ ἁπάντων νῦν ἑτέροις ἀκολουθεῖν ἀναγκασθεῖμεν; d

100. Μέχρι μὲν οὖν τούτων οἶδ' ὅτι πάντες ἂν ὁμολογήσειαν πλείστων ἀγαθῶν τὴν πόλιν τὴν ἡμετέραν αἰτίαν γεγενῆσθαι, καὶ δικαίως ἂν αὐτῆς τὴν ἡγεμονίαν εἶναι· μετὰ δὲ ταῦτ' ἤδη τινὲς ἡμῶν κατηγοροῦσιν, ὡς ἐπειδὴ τὴν ἀρχὴν τῆς θαλάττης παρελάβομεν, πολλῶν κακῶν αἴτιοι τοῖς Ἕλλησι κατέστημεν, καὶ τόν τε Μηλίων ἀνδραποδισμὸν καὶ τὸν Σκιωναίων ὄλεθρον ἐν τούτοις τοῖς λόγοις ἡμῖν προφέρουσιν. (101) Ἐγὼ e δ' ἡγοῦμαι πρῶτον μὲν οὐδὲν εἶναι τοῦτο σημεῖον ὡς κακῶς ἤρχομεν, εἴ τινες τῶν πολεμησάντων ἡμῖν σφόδρα φαίνονται κολασθέντες, ἀλλὰ πολὺ τόδε μεῖζον τεκμήριον ὡς καλῶς διῳκοῦμεν τὰ τῶν συμμάχων, ὅτι
62 τῶν πόλεων τῶν ὑφ' ἡμῖν οὐσῶν οὐδεμία ταύταις ταῖς a συμφοραῖς περιέπεσεν. (102) Ἔπειτ' εἰ μὲν ἄλλοι τινὲς τῶν αὐτῶν πραγμάτων πρᾳότερον ἐπεμελήθησαν, εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν· εἰ δὲ μήτε τοῦτο γέγονε μήθ' οἷόντ' ἐστὶ τοσούτων πόλεων τὸ πλῆθος κρατεῖν, ἢν μή τις κολάζῃ τοὺς ἐξαμαρτάνοντας, πῶς οὐκ ἤδη δίκαιόν ἐστιν ἡμᾶς ἐπαινεῖν, οἵτινες ἐλαχίστοις χαλεπήναντες πλεῖστον χρόνον τὴν ἀρχὴν κατασχεῖν ἠδυνήθημεν; (103) Οἶμαι δὲ πᾶσι δοκεῖν τούτους κρατίστους b προστάτας γενήσεσθαι τῶν Ἑλλήνων, ἐφ' ὧν οἱ πειθαρχήσαντες ἄριστα τυγχάνουσι πράξαντες. Ἐπὶ τοίνυν τῆς ἡμετέρας ἡγεμονίας εὑρήσομεν καὶ τοὺς οἴκους τοὺς ἰδίους πρὸς εὐδαιμονίαν πλεῖστον ἐπιδόντας καὶ τὰς πόλεις μεγίστας γενομένας. (104) Οὐ γὰρ ἐφθονοῦμεν ταῖς αὐξανομέναις αὐτῶν, οὐδὲ ταραχὰς ἐνεποιοῦμεν πολιτείας ἐναντίας παρακαθιστάντες, ἵν' ἀλλήλοις μὲν στασιάζοιεν, ἡμᾶς δ' ἀμφότεροι θεραπεύοιεν, ἀλλὰ τὴν τῶν c

tantes, adire periculorum societatem sunt coacti. Ac tumultus qui in ea re inciderunt, et clamores et cohortationes, quæ communia sunt omnium bellorum navalium, non video quorsum attineat commemorare: (98) quæ autem propria sunt et digna principatu et supra dictis consentanea, ea demum est mei officii dicere. Tantum enim nostra urbs, dum incolumis erat, ceteris antecelluit, ut eversa etiam plures triremes ad id prælium, in quo Græciæ salus agebatur, contulerit, quam ceteri omnes qui pugnæ illi interfuerunt, nec quisquam animos adeo a nobis habeat alienos, quin fateatur id navale prælium victoriæ totius belli causam exstitisse atque id ipsum urbi acceptum esse referendum. (99) Enimvero quum bellum inferendum erit barbaris, quorum esse decet principatum? non eorum, qui bello superiore præclarissime se gesserunt? qui et privatim pericula pro aliis sæpe adierunt, et primas in communibus discriminibus meruerunt? non eorum, qui pro salute Græciæ patriam deseruerunt? non eorum, qui et olim plurimas urbes condiderunt et easdem ex maximis calamitatibus denuo eripuerunt? An vero non iniquissime nobiscum ageretur, qui maximam partem malorum exantlavimus, si in judicio dignitatis minus honoris consequeremur? si qui tum pro salute omnium propugnavimus, nunc alios sequi cogeremur?

100. Hactenus equidem scio constare inter omnes, nostram urbem et plurima in Græciam beneficia contulisse et deberi illi principatum. Post hæc autem sunt qui nos accusent, ut qui suscepto maris imperio multis malis Græcos affecerimus, et inter alia crimina Meliorum nobis excidium et Scionæorum interitum objiciant. (101) Ego vero nullum hoc male gesti principatus signum esse puto, si acerbius in aliquos eorum qui bello nos petierunt, animadverterimus, sed illud multo majus esse argumentum, nos sociorum saluti et commodis consuluisse, quod nulla urbs conjuncta nobiscum in has clades incidit. (102) Deinde si qui alii in iisdem negotiis majore clementia essent usi, iure non vituperarent: si vero nec unquam hoc factum est et fieri nequit, ut tanta urbium multitudo sine animadversionis severitate in officio contineatur, quomodo non jam jure laudandi sumus, qui male tractatis quam paucissimis, imperium quam diutissime retinere potuerimus? (103) Ego vero omnium judicio eos Græcorum patronos fore optimos existimo, quibus qui paruerunt, maxime floruerunt. At nobis principibus et privatarum familiarum felicitatem plurimum auctam, et urbes maximas esse factas inveniemus. (104) Nec enim earum incrementis invidebamus, neque turbas in iis excitabamus contrariis reipublicæ formis introductis, ut factionibus inter cives ortis utrique nos colerent, sed concordiam sociorum ex

συμμάχων ὁμόνοιαν κοινὴν ὠφέλειαν νομίζοντες τοῖς αὐτοῖς νόμοις ἁπάσας τὰς πόλεις διῳκοῦμεν, συμμαχικῶς ἀλλ' οὐ δεσποτικῶς βουλευόμενοι περὶ αὐτῶν, (105) ὅλων μὲν τῶν πραγμάτων ἐπιστατοῦντες, ἰδίᾳ δ' ἑκάστους ἐλευθέρους ἐῶντες εἶναι, καὶ τῷ μὲν πλήθει βοηθοῦντες, ταῖς δὲ δυναστείαις πολεμοῦντες, δεινὸν ἡγούμενοι τοὺς πολλοὺς ὑπὸ τοῖς ὀλίγοις εἶναι, καὶ τοὺς ταῖς οὐσίαις ἐνδεεστέρους, τὰ δ' ἄλλα μηδὲν χείρους ὄντας, d ἀπελαύνεσθαι τῶν ἀρχῶν, ἔτι δὲ κοινῆς τῆς πατρίδος οὔσης τοὺς μὲν τυραννεῖν, τοὺς δὲ μετοικεῖν, καὶ φύσει πολίτας ὄντας νόμῳ τῆς πολιτείας ἀποστερεῖσθαι. (106) Τοιαῦτ' ἔχοντες ταῖς ὀλιγαρχίαις ἐπιτιμᾶν καὶ πλείω τούτων, τὴν αὐτὴν πολιτείαν ἥνπερ παρ' ἡμῖν αὐτοῖς καὶ παρὰ τοῖς ἄλλοις κατεστήσαμεν, ἣν οὐκ οἶδ' ὅ τι δεῖ διὰ μακροτέρων ἐπαινεῖν, ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶσαι περὶ αὐτῆς. Μετὰ γὰρ ταύτης οἰκοῦν- e τες ἑβδομήκοντ' ἔτη διετέλεσαν ἄπειροι μὲν τυραννίδων, ἐλεύθεροι δὲ πρὸς τοὺς βαρβάρους, ἀστασίαστοι δὲ πρὸς σφᾶς αὐτούς, εἰρήνην δ' ἄγοντες πρὸς πάντας 63 ἀνθρώπους. (107) Ὑπὲρ ὧν προσήκει τοὺς εὖ φρονοῦν- a τας μεγάλην χάριν ἔχειν πολὺ μᾶλλον ἢ τὰς κληρουχίας ἡμῖν ὀνειδίζειν, ἃς ἡμεῖς εἰς τὰς ἐρημουμένας τῶν πόλεων φυλακῆς ἕνεκα τῶν χωρίων, ἀλλ' οὐ διὰ πλεονεξίαν ἐξεπέμπομεν. Σημεῖον δὲ τούτων· ἔχοντες γὰρ χώραν μὲν ὡς πρὸς τὸ πλῆθος τῶν πολιτῶν ἐλαχίστην, ἀρχὴν δὲ μεγίστην, καὶ κεκτημένοι τριήρεις διπλασίας μὲν ἢ σύμπαντες [οἱ ἄλλοι], δυναμένας δὲ πρὸς δὶς τοσαύτας κινδυνεύειν, ὑποκειμένης τῆς Εὐβοίας ὑπὸ τὴν b Ἀττικήν, (108) ἣ καὶ πρὸς τὴν ἀρχὴν τὴν τῆς θαλάττης εὐφυῶς εἶχε καὶ τὴν ἄλλην ἀρετὴν ἁπασῶν τῶν νήσων διέφερε, κρατοῦντες αὐτῆς μᾶλλον ἢ τῆς ἡμετέρας αὐτῶν, καὶ πρὸς τούτοις εἰδότες καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων τούτους μάλιστ' εὐδοκιμοῦντας, οἳ τοὺς ὁμόρους ἀναστάτους ποιήσαντες ἄφθονον καὶ ῥᾴθυμον αὑτοῖς κατεστήσαντο τὸν βίον, ὅμως οὐδὲν τούτων ἡμᾶς c ἐπῆρε περὶ τοὺς ἔχοντας τὴν νῆσον ἐξαμαρτεῖν, (109) ἀλλὰ μόνοι δὴ τῶν μεγάλην δύναμιν λαβόντων περιείδομεν ἡμᾶς αὐτοὺς ἀπορωτέρως ζῶντας τῶν δουλεύειν αἰτίαν ἐχόντων. Καίτοι βουλόμενοι πλεονεκτεῖν οὐκ ἂν δή που τῆς μὲν Σκιωναίων γῆς ἐπεθυμήσαμεν, ἣν Πλαταιέων τοῖς ὡς ἡμᾶς καταφυγοῦσι φαινόμεθα παραδόντες, τοσαύτην δὲ χώραν παρελίπομεν, ἣ πάντας d ἂν ἡμᾶς εὐπορωτέρους ἐποίησεν.

110. Τοιούτων τοίνυν ἡμῶν γεγενημένων, καὶ τοσαύτην πίστιν δεδωκότων ὑπὲρ τοῦ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, τολμῶσι κατηγορεῖν οἱ τῶν δεκαδαρχιῶν κοινωνήσαντες καὶ τὰς αὑτῶν πατρίδας διαλυμηνάμενοι καὶ μικρὰς μὲν ποιήσαντες δοκεῖν εἶναι τὰς τῶν προγεγενημένων ἀδικίας, οὐδεμίαν δὲ λιπόντες ὑπερβολὴν τοῖς αὖθις βουλομένοις γενέσθαι πονηροῖς, ἀλλὰ φάσκοντες μὲν λακωνίζειν, τἀναντία δ' ἐκείνοις ἐπιτηδεύοντες, καὶ τὰς μὲν Μηλίων ὀδυρόμενοι συμφοράς, περὶ δὲ τοὺς αὑτῶν πολίτας ἀνήκεστα τολμήσαντες ἐξαμαρτεῖν. (111) Ποῖον γὰρ αὐτοὺς ἀδίκημα διέφυγεν; ἢ τί τῶν

æquo prodesse omnibus rati, iisdem legibus urbes omnes administrabamus, ea consilia secuti, non quæ dominationem, sed quæ societatem decerent. (105) Nam summam quidem rerum penes nos esse voluimus, seorsum vero libertatem singulis concessimus, et multitudinem tutati, dominationibus adversati sumus, quod iniquum nobis videbatur multos paucorum imperio regi, et eos qui re quidem tenuiore, cetera vero nihilo deteriores essent, magistratibus et honoribus excludi; præterea, quum patria sit communis, alios regnum obtinere, alios inquilinorum esse loco et, quum cives nati sint, civitatis jure lege privari. (106) Hæc quum in paucorum dominatu reprehendenda haberemus et plura his, eandem reipublicæ formam, qua nos utebamur, etiam apud alios constituimus; quæ cur prolixius laudanda sit, equidem non video, præsertim quum res paucis absolvi possit. Hac enim per annos septuaginta usi expertes tyrannorum, inviolati a barbaris, sine seditionibus inter ipsos, denique pacate cum hominibus universis vixerunt. (107) Pro quibus meritis æquius fuerit a prudentibus magnam gratiam haberi nobis, quam colonos sorte delectos atque in alias terras deductos objici, quos in urbes desertas præsidii causa, non ex avaritia misimus. Quarum rerum illud signum est, quod, quum agrum haberemus, si civium multitudo spectetur, angustissimum, imperium vero amplissimum, et triremes duplo plures quam reliqui universi possideremus, et eas quidem quæ cum bis totidem dimicare possent, atque Eubœa infra Atticam sita esset, (108) opportunitate loci ad maris imperium aptissima, et quæ ceteris commoditatibus omnes reliquas insulas superaret; quamvis ea in nostra potestate magis esset quam noster ager, atque etiam sciremus et a Græcis et barbaris eos inprimis magni fieri, qui pulsis finitimis copiosam et facilem sibi vivendi rationem constituerunt: nulla tamen harum rerum sumus ad insulæ incolas violandos impulsi, (109) sed soli ex iis qui magnam potentiam adepti sunt, tenuius vivere non recusavimus, quam hi qui servire scilicet dicebantur. Enimvero si nostri emolumenti rationem duxissemus, non utique Scionæorum agrum appetiissemus, quem nos profugis Platæensibus tradidisse constat; tantam autem regionem, quæ nos omnes ditasset, neglexissemus.

110. Et quum ita nos gesserimus tantaque abstinentiæ nostræ documenta dederimus, illi tamen accusare nos audent, qui in decurionum numero fuerunt, qui patriam suam afflixerunt, qui, ut veterum injuriæ parvæ viderentur, effecerunt, qui denique nihil iis reliqui fecerunt, qui in posterum studiosi erunt improbitatis; sed dum se studere Laconibus atque illorum instituta æmulari profitentur, diversam ab illis rationem sequuntur, et Meliorum calamitates deplorant, quum suos ipsi cives inexpiabili scelere violare non dubitarint. (111) Quam enim injuriam prætermiserunt?

64 αἰσχρῶν ἢ δεινῶν οὐ διεξῆλθον; οἳ τοὺς μὲν ἀνομωτάτους a πιστοτάτους ἐνόμιζον, τοὺς δὲ προδότας ὥσπερ εὐεργέτας ἐθεράπευον, ᾑροῦντο δὲ τῶν Εἱλώτων ἐνίοις δουλεύειν ὥστ' εἰς τὰς αὑτῶν πατρίδας ὑβρίζειν, μᾶλλον δ' ἐτίμων τοὺς αὐτόχειρας καὶ φονέας τῶν πολιτῶν ἢ τοὺς γονέας τοὺς αὑτῶν, (112) εἰς τοῦτο δ' ὠμότητος ἅπαντας ἡμᾶς κατέστησαν, ὥστε πρὸ τοῦ μὲν διὰ τὴν παροῦσαν εὐδαιμονίαν καὶ ταῖς μικραῖς ἀτυχίαις πολλοὺς ἕκαστον ἡμῶν ἔχειν τοὺς συμπενθήσοντας, ἐπὶ δὲ b τῆς τούτων ἀρχῆς διὰ τὸ πλῆθος τῶν οἰκείων κακῶν ἐπαυσάμεθ' ἀλλήλους ἐλεοῦντες. Οὐδενὶ γὰρ τοσαύτην σχολὴν παρέλιπον ὥσθ' ἑτέρῳ συναχθεσθῆναι. (113) Τίνος γὰρ οὐκ ἐφίκοντο; ἢ τίς οὕτω πόρρω τῶν πολιτικῶν ἦν πραγμάτων, ὅστις οὐκ ἐγγὺς ἠναγκάσθη γενέσθαι τῶν συμφορῶν, εἰς ἃς αἱ τοιαῦται φύσεις ἡμᾶς κατέστησαν; εἶτ' οὐκ αἰσχύνονται τὰς ἑαυτῶν πόλεις οὕτως ἀνόμως c διαθέντες καὶ τῆς ἡμετέρας ἀδίκως κατηγοροῦντες, ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ περὶ τῶν δικῶν καὶ τῶν γραφῶν τῶν ποτε παρ' ἡμῖν γενομένων λέγειν τολμῶσιν, αὐτοὶ πλείους ἐν τρισὶ μησὶν ἀκρίτους ἀποκτείναντες ὧν ἡ πόλις ἐπὶ τῆς ἀρχῆς ἁπάσης ἔκρινεν. (114) Φυγὰς δὲ καὶ στάσεις καὶ νόμων συγχύσεις καὶ πολιτειῶν μεταβολάς, ἔτι δὲ παίδων ὕβρεις καὶ γυναικῶν αἰσχύνας d καὶ χρημάτων ἁρπαγάς, τίς ἂν δύναιτο διεξελθεῖν; πλὴν τοσοῦτον εἰπεῖν ἔχω καθ' ἁπάντων, ὅτι τὰ μὲν ἐφ' ἡμῶν δεινὰ ῥᾳδίως ἄν τις ἑνὶ ψηφίσματι διέλυσε, τὰς δὲ σφαγὰς καὶ τὰς ἀνομίας τὰς ἐπὶ τούτων γενομένας οὐδεὶς ἂν ἰάσασθαι δύναιτο.

115. Καὶ μὴν οὐδὲ τὴν παροῦσαν εἰρήνην, οὐδὲ τὴν αὐτονομίαν τὴν ἐν ταῖς πολιτείαις μὲν οὐκ ἐνοῦσαν, ἐν δὲ ταῖς συνθήκαις ἀναγεγραμμένην, ἄξιον ἑλέσθαι μᾶλλον e ἢ τὴν ἀρχὴν τὴν ἡμετέραν. Τίς γὰρ ἂν τοιαύτης καταστάσεως ἐπιθυμήσειεν, ἐν ᾗ καταποντισταὶ μὲν τὴν θάλατταν κατέχουσι, πελτασταὶ δὲ τὰς πόλεις καταλαμβάνουσιν, (116) ἀντὶ δὲ τοῦ πρὸς ἑτέρους περὶ τῆς χώρας πολεμεῖν ἐντὸς τείχους οἱ πολῖται πρὸς ἀλλήλους 65 μάχονται, πλείους δὲ πόλεις αἰχμάλωτοι γεγόνασιν a ἢ πρὶν τὴν εἰρήνην ἡμᾶς ποιήσασθαι, διὰ δὲ τὴν πυκνότητα τῶν μεταβολῶν ἀθυμοτέρως διάγουσιν οἱ τὰς πόλεις οἰκοῦντες τῶν ταῖς φυγαῖς ἐζημιωμένων· οἱ μὲν γὰρ τὸ μέλλον δεδίασιν, οἱ δ' ἀεὶ κατιέναι προσδοκῶσιν. (117) Τοσοῦτον δ' ἀπέχουσι τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας, ὥσθ' αἱ μὲν ὑπὸ τυράννοις εἰσί, τὰς δ' ἁρμοσταὶ κατέχουσιν, ἔνιαι δ' ἀνάστατοι γεγόνασι, τῶν δ' οἱ βάρβαροι δεσπόται καθεστήκασιν· οὓς ἡμεῖς b διαβῆναι τολμήσαντας εἰς τὴν Εὐρώπην καὶ μεῖζον ἢ προσῆκεν αὐτοῖς φρονήσαντας οὕτω διέθεμεν, (118) ὥστε μὴ μόνον παύσασθαι στρατείας ἐφ' ἡμᾶς ποιουμένους, ἀλλὰ καὶ τὴν αὑτῶν χώραν ἀνέχεσθαι πορθουμένην, καὶ διακοσίαις καὶ χιλίαις ναυσὶ περιπλέοντας εἰς τοσαύτην ταπεινότητα κατεστήσαμεν, ὥστε μακρὸν πλοῖον ἐπὶ τάδε Φασήλιδος μὴ καθέλκειν, ἀλλ' ἡσυχίαν ἄγειν καὶ τοὺς καιροὺς περιμένειν, ἀλλὰ μὴ τῇ παρούσῃ c δυνάμει πιστεύειν. (119) Καὶ ταῦθ' ὅτι διὰ τὴν τῶν

a aut a quo turpitudinis vel sævitiæ genere sibi temperarunt? qui, quo quis maxime leges contemneret, ita eum pro fidelissimo habebant et proditores colebant ut beneficos; atque Helotibus quibusdam servire voluerunt, quo patriæ suæ liceret insultare, eosque qui se nefariis civium cædibus contaminarant, magis quam parentes suos honorarunt. (112) In tantam vero nos omnes crudelitatem impulerunt, ut, quum felici superiorum temporum statu, nostrûm unusquis- b que vel in parvis incommodis multos haberet qui vicem ipsius dolituri essent, istis imperantibus domesticorum malorum multitudine oppressi aliorum alii misereri destiterimus. Neque enim cuiquam tantum otii reliquerunt, ut alienis malis afficeretur. (113) Quod enim genus violentiæ ab iis prætermissum est? aut quis a publicis functionibus adeo remotus fuit, quin vicinus esse calamitatibus, in quas c ista nos conjecerunt ingenia, cogeretur? Nec tamen pudet eos, quum suas urbes tam crudeliter tractarint, immerito nostram accusare; atque etiam et privata et publica judicia apud nos facta proferre audent quum ipsi tribus mensibus indicta causa plures interfecerint, quam nostra urbs totius imperii tempore in judicium adduxit. (114) Exilia d porro et seditiones et legum eversiones et rerum publicarum mutationes, stupra præterea liberûm et probra uxorum et direptiones pecuniarum, quis possit enumerare? Illud certe quidem in universum habeo dicere, imperii nostri severitatem facile uno decreto populi averti, cædes autem et injurias sub istis perpetratas a nemine posse sanari.

115. Jam ne pax ista quidem et libertas, quæ quum in urbibus nulla sit, fœderibus inscripta habetur, amplectenda e magis est quam noster principatus. Quis enim talem statum expetat, quo et piratæ mare tenent et cetrati mercenarii urbes occupant? (116) quo non modo pro imperii defensione cum exteris non confligitur, sed intra ipsa mœnia cives inter sese præliantur? quo plures urbes captæ sunt a quam ante pacem a nobis constitutam? quo propter mutationum frequentiam ii qui urbes tenent, rebus suis diffidunt magis quam qui exiliis sunt mulctati? nam illi quidem impendentia mala formidant, hi restitutionem semper exspectant. (117) A libertate vero et suis legibus tantum absunt, ut aliæ tyrannis pareant, aliæ a Laconicis præfectis teneantur, aliæ funditus eversæ, aliæ a barbaris oppressæ b jaceant: quos in Europam trajicere ausos et animis ultra quam par erat elatos ita nos compescuimus, (118) ut non tantum nullas contra nos expeditiones susciperent, sed suos etiam agros vastari paterentur, et eos qui mille ducentis navibus Græciam circumnavigarant, ad eam humilitatem redegimus, ut citra Phaselidem longa nave non appellerent, c sed quiescerent et occasiones exspectarent neque potentiæ suæ confiderent. (119) Atque hæc ob majorum nostrorum

προγόνων τῶν ἡμετέρων ἀρετὴν οὕτως εἶχεν, αἱ τῆς πόλεως συμφοραὶ σαφῶς ἐπέδειξαν· ἅμα γὰρ ἡμεῖς τε τῆς ἀρχῆς ἀπεστερούμεθα καὶ τοῖς Ἕλλησιν ἀρχὴ τῶν κακῶν ἐγίγνετο. Μετὰ γὰρ τὴν ἐν Ἑλλησπόντῳ γενομένην ἀτυχίαν ἑτέρων ἡγεμόνων καταστάντων ἐνίκησαν d μὲν οἱ βάρβαροι ναυμαχοῦντες, ἦρξαν δὲ τῆς θαλάττης, κατέσχον δὲ τὰς πλείστας τῶν νήσων, ἀπέβησαν δ' εἰς τὴν Λακωνικήν, Κύθηρα δὲ κατὰ κράτος εἷλον, ἅπασαν δὲ τὴν Πελοπόννησον κακῶς ποιοῦντες περιέπλευσαν. (120) Μάλιστα δ' ἄν τις συνίδοι τὸ μέγεθος τῆς μεταβολῆς, εἰ παραναγνοίη τὰς συνθήκας τάς τ' ἐφ' ἡμῶν γενομένας καὶ τὰς νῦν ἀναγεγραμμένας. Τότε μὲν γὰρ ἡμεῖς φανησόμεθα τὴν ἀρχὴν τὴν βασι- e λέως ὁρίζοντες καὶ τῶν φόρων ἐνίους τάττοντες καὶ κωλύοντες αὐτὸν τῇ θαλάττῃ χρῆσθαι· νῦν δ' ἐκεῖνός ἐστιν ὁ διοικῶν τὰ τῶν Ἑλλήνων, καὶ προστάττων χρὴ ποιεῖν ἑκάστους, καὶ μόνον οὐκ ἐπιστάθμους ἐν ταῖς πόλεσι καθιστάς. (121) Πλὴν γὰρ τούτου τί τῶν ἄλλων ὑπόλοιπόν ἐστιν; οὐ καὶ τοῦ πολέμου κύριος ἐγένετο, καὶ
60 τὴν εἰρήνην ἐπρυτάνευσε, καὶ τῶν παρόντων πραγμά- a των ἐπιστάτης καθέστηκεν; οὐχ ὡς ἐκεῖνον πλέομεν ὥσπερ πρὸς δεσπότην, ἀλλήλων κατηγορήσοντες; οὐ βασιλέα τὸν μέγαν αὐτὸν προσαγορεύομεν, ὥσπερ αἰχμάλωτοι γεγονότες; οὐκ ἐν τοῖς πολέμοις τοῖς πρὸς ἀλλήλους ἐν ἐκείνῳ τὰς ἐλπίδας ἔχομεν τῆς σωτηρίας, ὃς ἀμφοτέρους ἡμᾶς ἡδέως ἂν ἀπολέσειεν;

122. Ὧν ἄξιον ἐνθυμηθέντας ἀγανακτῆσαι μὲν ἐπὶ b τοῖς παροῦσι, ποθέσαι δὲ τὴν ἡγεμονίαν τὴν ἡμετέραν, μέμψασθαι δὲ Λακεδαιμονίοις ὅτι τὴν μὲν ἀρχὴν εἰς τὸν πόλεμον κατέστησαν ὡς ἐλευθερώσοντες τοὺς Ἕλληνας, ἐπὶ δὲ τελευτῆς οὕτω πολλοὺς αὐτῶν ἐκδότους ἐποίησαν, καὶ τῆς μὲν ἡμετέρας πόλεως τοὺς Ἴωνας ἀπέστησαν, ἐξ ἧς ἀπῴκησαν καὶ δι' ἣν πολλάκις ἐσώθησαν, τοῖς δὲ βαρβάροις αὐτοὺς ἐξέδοσαν, ὧν ἀκόντων c τὴν χώραν ἔχουσι καὶ πρὸς οὓς οὐδὲ πώποτ' ἐπαύσαντο πολεμοῦντες. (123) Καὶ τότε μὲν ἠγανάκτουν, ὅθ' ἡμεῖς νομίμως ἐπάρχειν τινῶν ἠξιοῦμεν· νῦν δ' εἰς τοιαύτην δουλείαν καθεστώτων οὐδὲν φροντίζουσιν αὐτῶν, οἷς οὐκ ἐξαρκεῖ δασμολογεῖσθαι καὶ τὰς ἀκροπόλεις ὁρᾶν ὑπὸ τῶν ἐχθρῶν κατεχομένας, ἀλλὰ πρὸς ταῖς κοιναῖς συμφοραῖς καὶ τοῖς σώμασι δεινότερα πάσχουσι τῶν παρ' ἡμῖν ἀργυρωνήτων· οὐδεὶς γὰρ ἡμῶν οὕτως d αἰκίζεται τοὺς οἰκέτας, ὡς ἐκεῖνοι τοὺς ἐλευθέρους κολάζουσιν. (124) Μέγιστον δὲ τῶν κακῶν, ὅταν ὑπὲρ αὐτῆς τῆς δουλείας ἀναγκάζωνται συστρατεύεσθαι, καὶ πολεμεῖν τοῖς ἐλευθέροις ἀξιοῦσιν εἶναι, καὶ τοιούτους κινδύνους ὑπομένειν, ἐν οἷς ἡττηθέντες μὲν παραχρῆμα διαφθαρήσονται, κατορθώσαντες δὲ μᾶλλον εἰς τὸν λοιπὸν χρόνον δουλεύσουσιν. (125) Ὧν τίνας ἄλλους αἰτίους χρὴ νομίζειν ἢ Λακεδαιμονίους, οἳ τοσαύτην ἰσχὺν ἔχοντες περιορῶσι τοὺς μὲν αὐτῶν συμμάχους e γενομένους οὕτω δεινὰ πάσχοντας, τὸν δὲ βάρβαρον τῇ τῶν Ἑλλήνων ῥώμῃ τὴν ἀρχὴν τὴν αὑτοῦ κατασκευαζόμενον; Καὶ πρότερον μὲν τοὺς τυράννους ἐξέβαλλον,

virtutem ita se habuisse, urbis nostræ calamitates perspicue docuerunt. Simul enim et nobis principatus est ereptus et calamitatum principium Græcis est exortum. Nam post cladem Hellespontiacam aliis imperium obtinentibus barbari et navali prælio vicerunt, et maris imperium tenuerunt, et plerasque insulas occuparunt, et exscensionem in Laconiam fecerunt, et Cythera vi expugnarunt, et universam Peloponnesum classe circumvecti afflixerunt. (120) Magnitudo autem mutationis illius ita maxime perspicietur, si fœdera tum ea quæ nobis imperantibus facta, tum quæ nunc in literas relata sunt, legantur. Nos enim tunc et fines designasse imperii regis et tributa quædam ordinasse et maris eum usu prohibuisse constabit. Nunc ille is est, qui Græciam gubernet, qui, quid singulis faciendum sit, imperet, et tantum non præfectos in urbibus constituat. (121) Quid enim reliqui est uno hoc excepto? non et bellum in potestate habuit, et pacis dispensator fuit, et rerum, quæ geruntur, omnium factus est moderator? non ad eum tanquam ad dominum navigamus alii alios accusaturi? non eum quasi bello capti regem magnum appellamus? an non in bellis inter nos intestinis spem salutis in eo, qui nos utrosque libenter internecione deleret, collocamus?

122. Æquum igitur fuerit his rebus consideratis tum hunc rerum statum iniquis ferri animis, tum nostrum principatum desiderari, tum Lacedæmoniis succenseri, qui quum initio bellum suscepissent quasi Græcos liberaturi, ad extremum tam multos eorum prodiderunt, et Iones colonos nostros, sæpeque a nobis conservatos, ad defectionem a nostra urbe impulsos barbaris subjecerunt, quibus invitis et regionem suam tenent, et quibus bellum inferre nunquam destiterunt. (123) Ac tum quidem indignabantur, quum nos legitimum in quosdam imperium usurparemus; nunc vero illos tanta servitute oppressos nihil curant. Nec enim hoc mali satis est, quod et tributa pendunt et arces suas ab hostibus occupatas vident; sed præter publicas calamitates suis etiam corporibus, quam apud nos ære empta mancipia, tolerant atrociora: nostrûm enim nemo famulos suos ita flagellat, ut in homines ingenuos illi animadvertunt. (124) Illud autem summum malum est, quum pro ipsa servitute una cum illis militare et contra eos arma ferre coguntur, qui liberi esse volunt, eaque pericula subire, in quibus et si vincantur, statim sint perituri, et si vicerint, durius in posterum servituri. (125) Quæ quibus imputanda sunt nisi Lacedæmoniis, qui tanta præditi potentia non moventur sociorum dudum suorum calamitatibus, Græcorumque viribus imperium suum firmare barbarum patiuntur? Atque olim quidem illi et tyrannos ejicie-

67 τῷ δὲ πλήθει τὰς βοηθείας ἐποιοῦντο, νῦν δὲ τοσοῦτον a μεταβεβλήκασιν, ὥστε ταῖς μὲν πολιτείαις πολεμοῦσι, τὰς δὲ μοναρχίας συγκαθιστᾶσι. (126) Τὴν μέν γε Μαντινέων πόλιν εἰρήνης ἤδη γεγενημένης ἀνάστατον ἐποίησαν, καὶ τὴν Θηβαίων Καδμείαν κατέλαβον, καὶ νῦν Ὀλυνθίους καὶ Φλιασίους πολιορκοῦσιν, Ἀμύντᾳ δὲ τῷ Μακεδόνων βασιλεῖ καὶ Διονυσίῳ τῷ Σικελίας τυράννῳ καὶ τῷ βαρβάρῳ τῷ τῆς Ἀσίας κρατοῦντι συμπράττουσιν ὅπως ὡς μεγίστην ἀρχὴν ἕξουσιν. (127) b Καίτοι πῶς οὐκ ἄτοπον τοὺς προεστῶτας τῶν Ἑλλήνων ἕνα μὲν ἄνδρα τοσούτων ἀνθρώπων καθιστάναι δεσπότην, ὧν οὐδὲ τὸν ἀριθμὸν ἐξευρεῖν ῥᾴδιόν ἐστι, τὰς δὲ μεγίστας τῶν πόλεων μηδ' αὐτὰς αὑτῶν ἐᾶν εἶναι κυρίας, ἀλλ' ἀναγκάζειν δουλεύειν ἢ ταῖς μεγίσταις συμφοραῖς περιβάλλειν; (128) ὃ δὲ πάντων δεινότατον, ὅταν τις ἴδῃ τοὺς τὴν ἡγεμονίαν ἔχειν ἀξιοῦντας ἐπὶ μὲν c τοὺς Ἕλληνας καθ' ἑκάστην τὴν ἡμέραν στρατευομένους, πρὸς δὲ τοὺς βαρβάρους εἰς ἅπαντα τὸν χρόνον συμμαχίαν πεποιημένους.

129. Καὶ μηδεὶς ὑπολάβῃ με δυσκόλως ἔχειν, ὅτι τραχύτερον τούτων ἐμνήσθην, προειπὼν ὡς περὶ διαλλαγῶν ποιήσομαι τοὺς λόγους· οὐ γὰρ ἵνα πρὸς τοὺς ἄλλους διαβάλω τὴν πόλιν τὴν Λακεδαιμονίων οὕτως εἴρηκα περὶ αὐτῶν, ἀλλ' ἵν' αὐτοὺς ἐκείνους παύσω, καθ' ὅσον ὁ λόγος δύναται, τοιαύτην ἔχοντας τὴν γνώμην. (130) Ἔστι δ' οὐχ οἷόντ' ἀποτρέπειν τῶν ἁμαρ- d τημάτων, οὐδ' ἑτέρων πράξεων πείθειν ἐπιθυμεῖν, ἢν μή τις ἐρρωμένως ἐπιτιμήσῃ τοῖς παροῦσιν· χρὴ δὲ κατηγορεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ τοιαῦτα λέγοντας, νουθετεῖν δὲ τοὺς ἐπ' ὠφελείᾳ λοιδοροῦντας. Τὸν γὰρ αὐτὸν λόγον οὐχ ὁμοίως ὑπολαμβάνειν δεῖ, μὴ μετὰ τῆς αὐτῆς διανοίας λεγόμενον. (131) Ἐπεὶ καὶ τοῦτ' ἔχομεν αὐτοῖς ἐπιτιμᾶν, ὅτι τῇ μὲν αὑτῶν πόλει τοὺς ὁμόρους εἱλωτεύειν ἀναγκάζουσι, τῷ δὲ κοινῷ τῷ τῶν e συμμάχων οὐδὲν τοιοῦτον κατασκευάζουσιν, ἐξὸν αὐτοῖς τὰ πρὸς ἡμᾶς διαλυσαμένοις ἅπαντας τοὺς βαρβάρους περιοίκους ὅλης τῆς Ἑλλάδος καταστῆσαι. (132) Καίτοι χρὴ τοὺς φύσει καὶ μὴ διὰ τύχην μέγα φρονοῦντας
68 τοιούτοις ἔργοις ἐπιχειρεῖν πολὺ μᾶλλον ἢ τοὺς νησιώ- a τας δασμολογεῖν, οὓς ἄξιόν ἐστιν ἐλεεῖν, ὁρῶντας τούτους μὲν διὰ σπανιότητα τῆς γῆς ὄρη γεωργεῖν ἀναγκαζομένους, τοὺς δ' ἠπειρώτας δι' ἀφθονίαν τῆς χώρας τὴν μὲν πλείστην αὐτῆς ἀργὸν περιορῶντας, ἐξ ἧς δὲ καρποῦνται τοσοῦτον πλοῦτον κεκτημένους.

133. Ἡγοῦμαι δ', εἴ τινες ἄλλοθεν ἐπελθόντες θεαταὶ γένοιντο τῶν παρόντων πραγμάτων, πολλὴν ἂν αὐτοὺς καταγνῶναι μανίαν ἀμφοτέρων ἡμῶν, οἵτινες οὕτω περὶ b μικρῶν κινδυνεύομεν, ἐξὸν ἀδεῶς πολλὰ κεκτῆσθαι, καὶ τὴν ἡμετέραν αὐτῶν χώραν διαφθείρομεν, ἀμελήσαντες τὴν Ἀσίαν καρποῦσθαι. (134) Καὶ τῷ μὲν οὐδὲν προὐργιαίτερόν ἐστιν ἢ σκοπεῖν ἐξ ὧν μηδέποτε παυσόμεθα πρὸς ἀλλήλους πολεμοῦντες· ἡμεῖς δὲ τοσούτου δέομεν συγκρούειν τι τῶν ἐκείνου πραγμάτων ἢ ποιεῖν στασιάζειν, ὥστε καὶ τὰς διὰ τύχην αὐτῷ γεγενημένας ταρα-

bant et popularem statum adjuvabant: nunc autem usque adeo mutati sunt, ut cum rebuspublicis bella gerant, monarchiis constituendis sint adjutores. (126) Mantinensium certe urbem pace jam facta everterunt; Cadmeam Thebanorum occuparunt; etiam Olynthios et Phliasios obsidione oppugnant, Amyntæ autem Macedonum regi et Dionysio Siciliæ tyranno et barbaro Asiæ dominanti auxilium ferunt, ut illi quam maxima imperia consequantur. (127) Quid vero absurdius est, quam Græciæ præsides uni viro tot hominum, quorum inire numerum haud facile sit, tradere dominatum; maximas autem urbes ne sui quidem juris esse pati, sed vel cogere servire, vel maximis afficere cladibus? (128) Illud vero omnium acerbissimum est, quum quis eos qui principatum sibi vindicant, tantum non singulis diebus bella inferre Græcis, cum barbaris autem æternam societatem coiisse videat.

129. Neque vero me quisquam iratum putet, quod asperius horum feci mentionem, initio præfatus me de reconciliatione acturum esse. Neque enim hæc eo pertinent, ut apud alios Lacedæmoniorum urbem in odium adducam, sed ut ipsos illos, quantum oratione consequi licet, ab isto instituto abducam. (130) Fieri autem nequit ut a peccando deterreas et ad diversas cogitationes impellas, nisi eos, qui tecum sint, acriter objurgaris. Nam accusare putandi sunt qui lædendi causa talia dicunt; admonere, qui propter audientium utilitatem convicia faciunt. Nec enim de eadem oratione sentiendum est idem, si animo non eodem dicatur. (131) Nam illud etiam eis objicere possumus, quod finitimos suæ civitati servire cogunt, sociorum autem communi nihil ejusmodi conferunt, quum ipsis in promptu sit, ut controversiis quas nobiscum agunt abolitis barbari universi totius Græciæ servi efficiantur. (132) Enimvero decet eos qui natura et non fortuna magnis animis sunt, hujusmodi facinora suscipere potius, quam exactionibus vexare insularum incolas, quorum misereri est æquius, nempe quos videant agri penuria coactos montes arare, quum Asiani ob regionis amplitudinem maximam partem incultam negligant, ex illa autem, quam colunt, tantis affluant divitiis.

133. Equidem, si qui aliunde profecti harum rerum spectatores essent, ab iis utrosque nostrûm maximæ insaniæ accusatum iri arbitror, qui ob res adeo minutas discrimina adeamus, quum secure tenere multa possemus et nostrum agrum ipsi populemur, Asia, qua frui liceret, neglecta. (134) Regi certe Persarum nihil perinde curæ est atque illud, quonam pacto efficiat ut intestinis bellis inter nos conflictari nunquam desinamus: nos vero tantum abest ut ullas ejus res conturbemus aut seditionem in regno illius excitemus, ut etiam fortuito coortos ei tumultus sopire studea-

χὰς συνδιαλύειν ἐπιχειροῦμεν, οἵτινες καὶ τοῖν στρατο- [c] πέδοιν τοῖν περὶ Κύπρον ἐῶμεν αὐτὸν τῷ μὲν χρῆσθαι, τὸ δὲ πολιορκεῖν, ἀμφοτέροιν αὐτοῖν τῆς Ἑλλάδος ὄντοιν. (135) Οἵ τε γὰρ ἀφεστῶτες πρὸς ἡμᾶς τ' οἰκείως ἔχουσι καὶ Λακεδαιμονίοις σφᾶς αὐτοὺς ἐνδιδόασιν, τῶν τε μετὰ Τειριβάζου στρατευομένων καὶ τοῦ πεζοῦ τὸ χρησιμώτατον ἐκ τῶνδε τῶν τόπων ἤθροισται, καὶ τοῦ ναυτικοῦ τὸ πλεῖστον ἀπ' Ἰωνίας συμπέπλευκεν, οἳ πολὺ ἂν ἥδιον κοινῇ τὴν Ἀσίαν ἐπόρθουν ἢ πρὸς ἀλλήλους ἕνεκα [d] μικρῶν ἐκινδύνευον. (136) Ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα πρόνοιαν, ἀλλὰ περὶ μὲν τῶν Κυκλάδων νήσων ἀμφισβητοῦμεν, τοσαύτας δὲ τὸ πλῆθος πόλεις καὶ τηλικαύτας τὸ μέγεθος δυνάμεις οὕτως εἰκῇ τῷ βαρβάρῳ παραδεδώκαμεν. Τοιγαροῦν τὰ μὲν ἔχει, τὰ δὲ μέλλει, τοῖς δ' ἐπιβουλεύει, δικαίως ἁπάντων ἡμῶν καταπεφρονηκώς. (137) Διαπέπρακται γὰρ ὃ τῶν ἐκείνου προγόνων οὐδεὶς πώποτε· τήν τε γὰρ Ἀσίαν διωμολό- [e] γηται καὶ παρ' ἡμῶν καὶ παρὰ Λακεδαιμονίων βασιλέως εἶναι, τάς τε πόλεις τὰς Ἑλληνίδας οὕτω κυρίως παρείληφεν, ὥστε τὰς μὲν αὐτῶν κατασκάπτειν, ἐν δὲ ταῖς ἀκροπόλεις ἐντειχίζειν. Καὶ ταῦτα πάντα γέγονε διὰ τὴν ἡμετέραν ἄνοιαν, ἀλλ' οὐ διὰ τὴν ἐκείνου δύναμιν.

69 138. Καίτοι τινὲς θαυμάζουσι τὸ μέγεθος τῶν βασι- [a] λέως πραγμάτων, καί φασιν αὐτὸν εἶναι δυσπολέμητον, διεξιόντες ὡς πολλὰς τὰς μεταβολὰς τοῖς Ἕλλησι πεποίηκεν. Ἐγὼ δ' ἡγοῦμαι μὲν τοὺς ταῦτα λέγοντας οὐκ ἀποτρέπειν ἀλλ' ἐπισπεύδειν τὴν στρατείαν· εἰ γὰρ ἡμῶν ὁμονοησάντων αὐτὸς ἐν ταραχαῖς ὢν χαλεπὸς ἔσται προσπολεμεῖν, ἦ που σφόδρα χρὴ δεδιέναι τὸν καιρὸν ἐκεῖνον, ὅταν τὰ μὲν τῶν βαρβάρων καταστῇ καὶ διὰ μιᾶς γένηται γνώμης, ἡμεῖς δὲ πρὸς ἀλλήλους [b] ὥσπερ νῦν πολεμικῶς ἔχωμεν. (139) Οὐ μὴν οὐδ' εἰ συναγορεύουσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις, οὐδ' ὣς ὀρθῶς περὶ τῆς ἐκείνου δυνάμεως γιγνώσκουσιν. Εἰ μὲν γὰρ ἀπέφαινον αὐτὸν ἅμα τοῖν πολέοιν ἀμφοτέροιν πρότερόν ποτε περιγεγενημένον, εἰκότως ἂν ἡμᾶς καὶ νῦν ἐκφοβεῖν ἐπεχείρουν· εἰ δὲ τοῦτο μὲν μὴ γέγονεν, ἀντιπάλων δ' ὄντων ἡμῶν καὶ Λακεδαιμονίων προσθέμενος τοῖς ἑτέροις ἐπικυδέστερα τὰ πράγματα θάτερ' ἐποίησεν, [c] οὐδέν ἐστι τοῦτο σημεῖον τῆς ἐκείνου ῥώμης. Ἐν γὰρ τοῖς τοιούτοις καιροῖς πολλάκις μικραὶ δυνάμεις μεγάλας τὰς ῥοπὰς ἐποίησαν, ἐπεὶ καὶ περὶ Χίων ἔχοιμ' ἂν τοῦτον τὸν λόγον εἰπεῖν, ὡς ὁποτέροις ἐκεῖνοι προσθέσθαι βουληθεῖεν, οὗτοι κατὰ θάλατταν κρείττους ἦσαν. (140) Ἀλλὰ γὰρ οὐκ ἐκ τούτων δίκαιόν ἐστι σκοπεῖν τὴν βασιλέως δύναμιν, ἐξ ὧν μεθ' ἑκατέρων γέγονεν, ἀλλ' ἐξ ὧν αὐτὸς ὑπὲρ αὑτοῦ πεπολέμηκεν. Καὶ πρῶτον [d] μὲν ἀποστάσης Αἰγύπτου τί διαπέπρακται πρὸς τοὺς ἔχοντας αὐτήν; οὐκ ἐκεῖνος μὲν ἐπὶ τὸν πόλεμον τοῦτον κατέπεμψε τοὺς εὐδοκιμωτάτους Περσῶν, Ἀβροκόμαν καὶ Τιθραύστην καὶ Φαρνάβαζον, οὗτοι δὲ τρί' ἔτη μείναντες, καὶ πλείω κακὰ παθόντες ἢ ποιήσαντες, τελευτῶντες οὕτως αἰσχρῶς ἀπηλλάγησαν, ὥστε τοὺς ἀφεστῶτας μηκέτι τὴν ἐλευθερίαν ἀγαπᾶν, ἀλλ' ἤδη καὶ τῶν

mus, qui adeo exercituum Cypriorum altero eum uti, alterum obsidere sinamus, quum uterque sit e Græcia collectus. (135) Nam et qui defecerunt benigna erga nos sunt voluntate et fidei Lacedæmoniorum se committunt, et Tiribazi milites et præstantissimi quique peditum ex illis locis venerunt, et classis maxima pars ex Ionia secuta est : qui quidem conjunctis viribus Asiam multo libentius vastarent quam inter sese ob res exiguas confligtarentur. (136) Quorum nos nullam rationem habemus, sed dum de Cycladibus insulis rixamur, adeo temere barbaro tot numero urbes tradidimus et tam ingentes exercitus. Itaque ille alia tenet, aliis imminet, aliis insidiatur, nobis omnibus jure contemptis. (137) Id enim assecutus est, quod majorum ejus nemo unquam : nam et nos et Lacedæmonii Asiam regis esse confessi sumus, et Græcas quidem urbes sic in potestatem redegit; ut alias demoliatur, in aliis arces exstruat. Atque hæc omnia facta sunt nostra amentia, nequaquam ejus potentia.

138. Quanquam quidam regiarum opum magnitudinem admirantur, et bellum cum eo fore difficillimum dictitant, atque recensent quantas inter Græcos mutationes effecerit : ego tamen istos non tam impedire quam accelerare expeditionem arbitror. Nam si nobis consentientibus ipse turbis agitatus non facile oppugnari poterit, illud haud dubie tempus valde metuendum erit, quum res barbarorum pacatæ concordesque ipsi fuerint, nos vero, uti nunc, hostilibus inter nos animis fuerimus. (139) At vero, si meam illi sententiam confirmant, ne sic quidem recte illius potentiam æstimant. Nam si demonstrarent eum antehac aliquando urbem simul utramque superasse, non injuria nunc etiam terrere nos conarentur, si vero id factum non est, sed dum nos et Lacedæmonii digladiamur, cum alterutris conjunctus opes alterorum florentiores reddidit; nullum hoc signum est potentiæ illius. Sæpe enim hujusmodi temporibus exiguæ vires multum momenti habuerunt. Nam et de Chiis possim dicere, cum utris illi fecerint, eos in mari fuisse potentiores. (140) Verum non ex eo spectandæ regis opes sunt, quando cum alterutris se conjunxit, sed inde, quum ipse per se bellum gessit. Ac primum Ægyptus quum defecisset, quid contra illos effecit qui eam tenebant? an non bellum maximæ inter Persas autoritatis viris Abrocomæ et Tithraustæ et Pharnabazo mandavit? Hi vero bello in tertium annum ducto pluribus cladibus acceptis quam illatis adeo turpiter discesserunt, ut qui defecerant, non jam con-

ὁμόρων ζητεῖν ἐπάρχειν; (141) Μετὰ δὲ ταῦτ' ἐπ' Εὐαγόραν [e] στρατεύσας, ὃς ἄρχει μὲν μιᾶς πόλεως, ἐν δὲ ταῖς συνθήκαις ἔκδοτός ἐστιν, οἰκῶν δὲ νῆσον, κατὰ μὲν θάλατταν προδεδυστύχηκεν, ὑπὲρ δὲ τῆς χώρας τρισχιλίους ἔχει
70 μόνον πελταστάς, ἀλλ' ὅμως οὕτω ταπεινῆς δυνάμεως [a] οὐ δύναται περιγενέσθαι βασιλεὺς πολεμῶν, ἀλλ' ἤδη μὲν ἓξ ἔτη διατέτριφεν, εἰ δὲ δεῖ τὰ μέλλοντα τοῖς γεγενημένοις τεκμαίρεσθαι, πολὺ πλείων ἐλπίς ἐστιν ἕτερον ἀποστῆναι πρὶν ἐκεῖνον ἐκπολιορκηθῆναι· τοιαῦται βραδυτῆτες ἐν ταῖς πράξεσι ταῖς βασιλέως ἔνεισιν. (142) Ἐν δὲ τῷ πολέμῳ τῷ περὶ Ῥόδον ἔχων μὲν τοὺς Λακεδαιμονίων συμμάχους εὔνους διὰ τὴν χαλεπότητα τῶν πολιτειῶν, χρώμενος δὲ ταῖς ὑπηρεσίαις ταῖς παρ' [b] ἡμῶν, στρατηγοῦντος δ' αὐτῷ Κόνωνος, ὃς ἦν ἐπιμελέστατος μὲν τῶν στρατηγῶν, πιστότατος δὲ τοῖς Ἕλλησιν, ἐμπειρότατος δὲ τῶν πρὸς τὸν πόλεμον κινδύνων, τοιοῦτον λαβὼν συναγωνιστὴν τρία μὲν ἔτη περιεῖδε τὸ ναυτικὸν τὸ προκινδυνεῦον ὑπὲρ τῆς Ἀσίας ὑπὸ τριήρων ἑκατὸν μόνων πολιορκούμενον, πεντεκαίδεκα δὲ μηνῶν τοὺς στρατιώτας τὸν μισθὸν ἀπεστέρησεν, ὥστε τὸ μὲν ἐπ' ἐκείνῳ πολλάκις ἂν διελύθησαν, διὰ δὲ τὸν ἐφεστῶτα [c] κίνδυνον καὶ τὴν συμμαχίαν τὴν περὶ Κόρινθον συστᾶσαν μόλις ναυμαχοῦντες ἐνίκησαν. (143) Καὶ ταῦτ' ἐστὶ τὰ βασιλικώτατα καὶ σεμνότατα τῶν ἐκείνῳ πεπραγμένων, καὶ περὶ ὧν οὐδέποτε παύονται λέγοντες οἱ βουλόμενοι τὰ τῶν βαρβάρων μεγάλα ποιεῖν. Ὥστ' οὐδεὶς ἂν ἔχοι τοῦτ' εἰπεῖν, ὡς οὐ δικαίως χρῶμαι τοῖς παραδείγμασιν, οὐδ' ὡς ἐπὶ μικροῖς διατρίβω τὰς μεγίστας τῶν πράξεων παραλείπων· (144) φεύγων γὰρ [d] ταύτην τὴν αἰτίαν τὰ κάλλιστα τῶν ἔργων διῆλθον, οὐκ ἀμνημονῶν οὐδ' ἐκείνων, ὅτι Δερκυλίδας μὲν χιλίους ἔχων ὁπλίτας τῆς Αἰολίδος ἐπῆρξε, Δράκων δ' Ἀταρνέα καταλαβὼν καὶ τρισχιλίους πελταστὰς συλλέξας τὸ Μύσιον πεδίον ἀνάστατον ἐποίησε, Θίβρων δ' ὀλίγῳ πλείους τούτων διαβιβάσας τὴν Λυδίαν ἅπασαν ἐπόρθησεν, Ἀγησίλαος δὲ τῷ Κυρείῳ στρατεύματι χρώμενος μικροῦ δεῖν τῆς ἐντὸς Ἅλυος χώρας ἐκράτησεν. [e] (145) Καὶ μὴν οὐδὲ τὴν στρατιὰν τὴν μετὰ τοῦ βασιλέως περιπολοῦσαν, οὐδὲ τὴν Περσῶν ἀνδρείαν ἄξιον φοβηθῆναι· καὶ γὰρ ἐκεῖνοι φανερῶς ἐπεδείχθησαν ὑπὸ τῶν Κύρῳ συναναβάντων οὐδὲν βελτίους ὄντες τῶν ἐπὶ
71 θαλάττῃ. Τὰς μὲν γὰρ ἄλλας μάχας ὅσας ἡττήθησαν [a] ἐῶ, καὶ τίθημι στασιάζειν αὐτοὺς καὶ μὴ βούλεσθαι προθύμως πρὸς τὸν ἀδελφὸν τὸν βασιλέως διακινδυνεύειν· (146) ἀλλ' ἐπειδὴ Κύρου τελευτήσαντος συνῆλθον ἅπαντες οἱ τὴν Ἀσίαν κατοικοῦντες, ἐν τούτοις τοῖς καιροῖς οὕτως αἰσχρῶς ἐπολέμησαν, ὥστε μηδένα λέγον ὑπολιπεῖν τοῖς εἰθισμένοις τὴν Περσῶν ἀνδρείαν ἐπαινεῖν. Λαβόντες γὰρ ἑξακισχιλίους τῶν Ἑλλήνων οὐκ ἀριστίνδην [b] ἐπιλεγμένους, ἀλλ' οἳ διὰ φαυλότητα ἐν ταῖς αὑτῶν οὐχ οἷοί τ' ἦσαν ζῆν, ἀπείρους μὲν τῆς χώρας ὄντας, ἐρήμους δὲ συμμάχων γεγενημένους, προδεδομένους δ' ὑπὸ τῶν συναναβάντων, ἀπεστερημένους δὲ τοῦ στρατηγοῦ μεθ' οὗ συνηκολούθησαν, (147) τοσοῦτον αὐτῶν

tenti libertate finitimos etiam invaderent. (141) Post hæc bello contra Euagoram moto, unius urbis dominum et in fœdere deditum, qui quum insulam incolat et mari prius cladem acceperit et pro suæ regionis defensione tria millia cetratorum tantum habeat, tamen copias adeo tenues rex bello superare nequit, sed jam in eo sex annos contrivit et (si conjectura futurorum e præteritis capi debet) sperandum est fore ut alter prius deficiat, quam hic in deditionem redigatur : adeo lente ac segniter actiones regis procedere solent. (142) In bello autem ad Rhodum gesto quum Lacedæmoniorum socios ob gubernationum sævitiam bene cupientes haberet, nostrisque remigiis uteretur, Conone illi ducente exercitum, cui quum omnium imperatorum diligentissimus esset, Græci maximam fidem habebant, et peritissimus rei militaris erat; quanquam talem nactus adjutorem, tamen pro Asia classem propugnantem tantum a centum triremibus triennio passus est obsideri et quindecim mensium stipendio militem fraudavit. Itaque quod ad illum quidem attinebat, sæpe dilapsi fuissent, sed propter imminens periculum et societatem ad Corinthum constitutam vix navali prælio vicerunt. (143) Hæc sunt ejus maxime regia splendidissimaque facinora, quæ ii qui barbarorum opes quammaxime extollere cupiunt, jactare verbis nunquam desistunt. Itaque nemo dicere potest, me non recte iis exemplis uti, aut parvis commemorandis immorari maximis rebus prætermissis. (144) Nam quo crimen hoc declinarem, clarissima ejus facta recensui, non quin illa etiam meminissem, Dercylidam mille armatis Æolidem occupasse; Draconem Atarneo capto et tribus millibus cetratorum collectis Mysium campum vastasse; Thibronem paulo pluribus trajectis totam Lydiam esse populatum; Agesilaum Cyri usum exercitu non multum abfuisse quin provinciis quæ intra Halym amnem sitæ sunt potiretur. (145) Neque vero vel exercitus, qui regi perpetuo præsto est, vel fortitudo Persarum extimescenda est. Nam qui cum Cyro in Persidem ascenderunt, nihilo præstantiores eos esse quam maris accolas aperte ostenderunt. Cetera enim prælia, quibus victi sunt, prætereo, et eos in dissensione contra fratrem regis strenue pugnare noluisse concedo : (146) At Cyro mortuo, quum omnes qui Asiam incolunt convenissent, illis temporibus bellum adeo turpiter gesserunt, ut nihil quod dicant reliqui fecerint iis qui Persarum fortitudinem prædicare consueverunt. Quum enim in sex millia Græcorum incidissent, qui quidem non ex optimis delecti, sed homines ita perditi fuerunt, ut in suis civitatibus vivere non possent, ignari regionis, destituti a sociis, a comitibus proditi, duce quem secuti fuerant amisso, (147)

ἥττους ἦσαν, ὥσθ' ὁ βασιλεὺς ἀπορήσας τοῖς παροῦσι πράγμασι καὶ καταφρονήσας τῆς περὶ αὐτὸν δυνάμεως τοὺς ἄρχοντας τοὺς τῶν ἐπικούρων ὑποσπόνδους συλλαβεῖν c ἐτόλμησεν, ὡς εἰ τοῦτο παρανομήσειε συνταράξων τὸ στρατόπεδον, καὶ μᾶλλον εἵλετο περὶ τοὺς θεοὺς ἐξαμαρτεῖν ἢ πρὸς ἐκείνους ἐκ τοῦ φανεροῦ διαγωνίσασθαι. (148) Διαμαρτὼν δὲ τῆς ἐπιβουλῆς, καὶ τῶν στρατιωτῶν συμμεινάντων καὶ καλῶς ἐνεγκόντων τὴν συμφοράν, ἀπιοῦσιν αὐτοῖς Τισσαφέρνην καὶ τοὺς ἱππέας συνέπεμψεν, ὑφ' ὧν ἐκεῖνοι παρὰ πᾶσαν ἐπιβουλευόμενοι τὴν ὁδὸν ὁμοίως διεπορεύθησαν ὥσπερανεὶ προπεμπόμενοι, μάλιστα μὲν φοβούμενοι τὴν ἀοίκητον d τῆς χώρας, μέγιστον δὲ τῶν ἀγαθῶν νομίζοντες εἰ τῶν πολεμίων ὡς πλείστοις ἐντύχοιεν. (149) Κεφάλαιον δὲ τῶν εἰρημένων· ἐκεῖνοι γὰρ οὐκ ἐπὶ λείαν ἐλθόντες οὐδὲ κώμην καταλαβόντες, ἀλλ' ἐπ' αὐτὸν τὸν βασιλέα στρατεύσαντες, ἀσφαλέστερον κατέβησαν τῶν περὶ φιλίας ὡς αὐτὸν πρεσβευόντων. Ὥστε μοι δοκοῦσιν ἐν ἅπασι τοῖς τόποις σαφῶς ἐπιδεδεῖχθαι τὴν αὑτῶν μαλακίαν· e καὶ γὰρ ἐν τῇ παραλίᾳ τῆς Ἀσίας πολλὰς μάχας ἥττηνται, καὶ διαβάντες εἰς τὴν Εὐρώπην δίκην ἔδοσαν (οἱ μὲν γὰρ αὐτῶν κακῶς ἀπώλοντο, οἱ δ' αἰσχρῶς ἐσώθησαν), καὶ τελευτῶντες ὑπ' αὐτοῖς τοῖς βασιλείοις καταγέλαστοι γεγόνασιν.

150. Καὶ τούτων οὐδὲν ἀλόγως γέγονεν, ἀλλὰ πάντ' a εἰκότως ἀποβέβηκεν· οὐ γὰρ οἷόντε τοὺς οὕτω τρεφομένους καὶ πολιτευομένους οὔτε τῆς ἄλλης ἀρετῆς μετέχειν οὔτ' ἐν ταῖς μάχαις τρόπαιον ἱστάναι τῶν πολεμίων. Πῶς γὰρ ἐν τοῖς ἐκείνων ἐπιτηδεύμασιν ἐγγενέσθαι δύναιτ' ἂν ἢ στρατηγὸς δεινὸς ἢ στρατιώτης ἀγαθός, ὧν τὸ μὲν πλεῖστόν ἐστιν ὄχλος ἄτακτος καὶ κινδύνων ἄπειρος, πρὸς μὲν τὸν πόλεμον ἐκλελυμένος, πρὸς δὲ τὴν δουλείαν ἄμεινον τῶν παρ' ἡμῖν οἰκετῶν b πεπαιδευμένος, (151) οἱ δ' ἐν ταῖς μεγίσταις δόξαις ὄντες αὐτῶν ὁμαλῶς μὲν οὐδὲ κοινῶς οὐδὲ πολιτικῶς οὐδεπώποτ' ἐβίωσαν, ἅπαντα δὲ τὸν χρόνον διάγουσιν εἰς μὲν τοὺς ὑβρίζοντες, τοῖς δὲ δουλεύοντες, ὡς ἂν ἄνθρωποι μάλιστα τὰς φύσεις διαφθαρεῖεν, καὶ τὰ μὲν σώματα διὰ τοὺς πλούτους τρυφῶντες, τὰς δὲ ψυχὰς διὰ τὰς μοναρχίας ταπεινὰς καὶ περιδεεῖς ἔχοντες, ἐξεταζόμενοι πρὸς αὐτοῖς τοῖς βασιλείοις καὶ προκαλινδούμενοι c καὶ πάντα τρόπον μικρὸν φρονεῖν μελετῶντες, θνητὸν μὲν ἄνδρα προσκυνοῦντες καὶ δαίμονα προσαγορεύοντες, τῶν δὲ θεῶν μᾶλλον ἢ τῶν ἀνθρώπων ὀλιγωροῦντες. (152) Τοιγαροῦν οἱ καταβαίνοντες αὐτῶν ἐπὶ θάλατταν, οὓς καλοῦσι σατράπας, οὐ καταισχύνουσι τὴν ἐκεῖ παίδευσιν, ἀλλ' ἐν τοῖς ἤθεσι τοῖς αὐτοῖς διαμένουσι, πρὸς μὲν τοὺς φίλους ἀπίστως, πρὸς δὲ τοὺς ἐχθροὺς ἀνάνδρως ἔχοντες, καὶ τὰ μὲν ταπεινῶς τὰ δ' d ὑπερηφάνως ζῶντες, τῶν μὲν συμμάχων καταφρονοῦντες, τοὺς δὲ πολεμίους θεραπεύοντες. (153) Τὴν μέν γε μετ' Ἀγησιλάου στρατιὰν ὀκτὼ μῆνας ταῖς αὑτῶν δαπάναις διέθρεψαν, τοὺς δ' ὑπερ αὐτῶν κινδυνεύοντας ἑτέρου τοσούτου χρόνου τὸν μισθὸν ἀπεστέρησαν· καὶ

tanto tamen his inferiores fuerunt, ut rex animi dubius, quid agendum esset, suis copiis contemptis duces auxiliorum contra fidem datam comprehendere non dubitaret, tanquam violata jurisjurandi religione conturbaturus exercitum, et in deos impius esse mallet, quam aperto Marte cum eis dimicare. (148) Quum autem hæ insidiæ non processissent, militesque una mansissent calamitatemque egregie tulissent, in eos abeuntes Tissaphernem cum equitibus immisit, a quibus in toto itinere insidiis appetiti perinde perrexerunt, ac si officii causa deducerentur, nihil ita metuentes ut loca deserta, idque summum bonum existimantes, si in hostes quam plurimos incidissent. (149) Illud autem caput est eorum quæ diximus, quod quum neque prædas abegissent neque vicum occupassent, sed infestis armis ipsum regem petiissent, minore cum periculo descenderunt, quam qui ad eum expetendæ Persarum amicitiæ causa legationes obierunt. Itaque mihi videntur ubique terrarum perspicue mollitiem suam demonstrasse. Nam et in maritimis Asiæ locis multis prœliis victi sunt, et in Europam transgressi pœnas dederunt (alii enim eorum male perierunt, alii turpiter evaserunt), denique sub ipsa regia se deridendos præbuerunt.

150. Neque horum quicquam temerè factum est, sed omnia recte evenerunt. Nec enim fieri potest ut qui sic educantur et ad hunc modum res suas administrant, vel ulla virtute præditi sint, vel de victis hostibus tropæum statuant. Quo enim pacto inter eos his moribus vel egregius imperator vel miles strenuus possit exsistere? quorum pars maxima est turba incomposita et militiæ rudis, ut ad bellum enervis, sic ad servitutem servis nostris melius educata. (151) Celeberrimi autem et honoratissimi quique eorum non unquam æquabiliter aut populariter civiliterve vixerunt, sed omnem ætatem ita degunt, ut aliis insultent, aliis inserviant, quo modo hominum ingenia maxime corrumpuntur. Ac corpora illi quidem propter divitias petulanter habent, animis autem propter regiam dominationem humilibus et consternatis præditi trepidant : ut qui ad ipsam regiam quotidie præsentes recenseantur, et procumbant et omnibus modis abjecto esse animo meditentur, quum quidem hominem mortalem adorent et deum appellent, deos autem magis quam homines contemnant. (152) Proinde isti qui ad mare descendunt, quos Satrapas vocant, non dedecori sunt Persicæ disciplinæ, sed eadem tenent instituta, amicis fidem non servantes, contra inimicos effeminati, partim abjecte, partim superbe viventes, quum socios despiciant, hostes colant. (153) Agesilai certe quidem exercitum suis sumptibus octo menses aluerunt; qui vero pro ipsis in acie steterant, eos bis totidem mensium sti-

τοῖς μὲν Κισθήνην καταλαβοῦσιν ἑκατὸν τάλαντα διέ-
νειμαν, τοὺς δὲ μεθ' αὐτῶν εἰς Κύπρον στρατευσαμένους e
μᾶλλον ἢ τοὺς αἰχμαλώτους ὕβριζον. (154) Ὡς δ'
ἁπλῶς εἰπεῖν καὶ μὴ καθ' ἓν ἕκαστον ἀλλ' ὡς ἐπὶ τὸ
πολύ, τίς ἢ τῶν πολεμησάντων αὐτοῖς οὐκ εὐδαιμονή-
σας ἀπῆλθεν, ἢ τῶν ὑπ' ἐκείνοις γενομένων οὐκ αἰκισθεὶς
73 τὸν βίον ἐτελεύτησεν; οὐ Κόνωνα μέν, ὃς ὑπὲρ τῆς a
Ἀσίας στρατηγήσας τὴν ἀρχὴν τὴν Λακεδαιμονίων κα-
τέλυσεν, ἐπὶ θανάτῳ συλλαβεῖν ἐτόλμησαν, Θεμιστο-
κλέα δ', ὃς ὑπὲρ τῆς Ἑλλάδος αὐτοὺς κατεναυμάχησε,
τῶν μεγίστων δωρεῶν ἠξίωσαν; (155) Καίτοι πῶς χρὴ
τὴν τούτων φιλίαν ἀγαπᾶν, οἳ τοὺς μὲν εὐεργέτας τι-
μωροῦνται, τοὺς δὲ κακῶς ποιοῦντας οὕτως ἐπιφανῶς
κολακεύουσιν; Περὶ τίνας δ' ἡμῶν οὐκ ἐξημαρτήκασιν; b
ποῖον δὲ χρόνον διαλελοίπασιν ἐπιβουλεύοντες τοῖς Ἕλ-
λησιν; τί δ' οὐκ ἐχθρὸν αὐτοῖς ἐστι τῶν παρ' ἡμῖν, οἳ
καὶ τὰ τῶν θεῶν ἕδη καὶ τοὺς νεὼς συλᾶν ἐν τῷ προ-
τέρῳ πολέμῳ καὶ κατακάειν ἐτόλμησαν; (156) Διὸ καὶ
τοὺς Ἴωνας ἄξιον ἐπαινεῖν, ὅτι τῶν ἐμπρησθέντων ἱερῶν
ἐπηράσαντο εἴ τινες κινήσειαν ἢ πάλιν εἰς τἀρχαῖα κα-
ταστῆσαι βουληθεῖεν, οὐκ ἀποροῦντες πόθεν ἐπισκευά-
σωσιν, ἀλλ' ἵν' ὑπόμνημα τοῖς ἐπιγιγνομένοις ᾖ τῆς c
τῶν βαρβάρων ἀσεβείας, καὶ μηδεὶς πιστεύῃ τοῖς τοιαῦτ'
εἰς τὰ τῶν θεῶν ἐξαμαρτεῖν τολμῶσιν, ἀλλὰ καὶ φυλάτ-
τωνται καὶ δεδίωσιν, ὁρῶντες αὐτοὺς οὐ μόνον τοῖς σώ-
μασιν ἡμῶν ἀλλὰ καὶ τοῖς ἀναθήμασι πολεμήσαντας.

157. Ἔχω δὲ καὶ περὶ τῶν πολιτῶν τῶν ἡμετέρων
τοιαῦτα διελθεῖν. Καὶ γὰρ οὗτοι πρὸς μὲν τοὺς ἄλλους,
ὅσοις πεπολεμήκασιν, ἅμα διαλλάττονται καὶ τῆς ἔχθρας
τῆς γεγενημένης ἐπιλανθάνονται, τοῖς δ' ἠπειρώταις οὐδ' d
ὅταν εὖ πάσχωσι χάριν ἴσασιν· οὕτως ἀείμνηστον τὴν
ὀργὴν πρὸς αὐτοὺς ἔχουσιν. Καὶ πολλῶν μὲν οἱ πατέρες
ἡμῶν μηδισμοῦ θάνατον κατέγνωσαν, ἐν δὲ τοῖς συλλό-
γοις ἔτι καὶ νῦν ἀρὰς ποιοῦνται, πρὶν ἄλλο τι χρηματί-
ζειν, εἴ τις ἐπικηρυκεύεται Πέρσαις τῶν πολιτῶν· Εὐ-
μολπίδαι δὲ καὶ Κήρυκες ἐν τῇ τελετῇ τῶν μυστηρίων
διὰ τὸ τούτων μῖσος καὶ τοῖς ἄλλοις βαρβάροις εἴργε-
σθαι τῶν ἱερῶν, ὥσπερ τοῖς ἀνδροφόνοις, προαγορεύουσιν.
(158) Οὕτω δὲ φύσει πολεμικῶς πρὸς αὐτοὺς ἔχομεν, ὥστε e
καὶ τῶν μύθων ἥδιστα συνδιατρίβομεν τοῖς Τρωικοῖς
καὶ Περσικοῖς, δι' ὧν ἔστι πυνθάνεσθαι τὰς ἐκείνων συμ-
74 φοράς. Εὕροι δ' ἄν τις ἐκ μὲν τοῦ πολέμου τοῦ πρὸς τοὺς a
βαρβάρους ὕμνους πεποιημένους, ἐκ δὲ τοῦ πρὸς τοὺς
Ἕλληνας θρήνους ἡμῖν γεγενημένους, καὶ τοὺς μὲν ἐν
ταῖς ἑορταῖς ᾀδομένους, τῶν δ' ἐπὶ ταῖς συμφοραῖς ἡμᾶς
μεμνημένους. (159) Οἶμαι δὲ καὶ τὴν Ὁμήρου ποίη-
σιν μείζω λαβεῖν δόξαν, ὅτι καλῶς τοὺς πολεμήσαντας
τοῖς βαρβάροις ἐνεκωμίασε, καὶ διὰ τοῦτο βουληθῆναι
τοὺς προγόνους ἡμῶν ἔντιμον αὐτοῦ ποιῆσαι τὴν τέχνην
ἔν τε τοῖς τῆς μουσικῆς ἄθλοις καὶ τῇ παιδεύσει τῶν b
νεωτέρων, ἵνα πολλάκις ἀκούοντες τῶν ἐπῶν ἐκμανθά-
νωμεν τὴν ἔχθραν τὴν ὑπάρχουσαν πρὸς αὐτούς, καὶ
ζηλοῦντες τὰς ἀρετὰς τῶν στρατευσαμένων τῶν αὐτῶν
ἔργων ἐκείνοις ἐπιθυμῶμεν.

pendio fraudarunt. Atque iis quidem qui Cisthenen occuparant, centum talenta sunt largiti; eos autem qui cum ipsis in Cypro militarant, contumeliosius quam captivos tractarunt. (154) Et ut in pauca rem conferam neque singula consecter, sed in genere dicam, quis aut bellum cum eis gessit, quin locupletatus recesserit? aut in eorum potestatem venit, quin per cruciatum interierit? Nonne Cononem, qui, quum pro Asia duceret exercitum, Lacedæmoniis imperium eripuerat, comprehensum interficere sunt ausi? Themistoclem vero, qui pro Græciæ defensione prælio navali eos vicerat, ingentibus præmiis affecerunt? (15) Quis igitur illorum amicitiam expetendam ducat, qui bene de se meritos suppliciis coercent, et hostibus tam insigniter adulantur? Quos vero nostrum non violabant? quo tempore insidiari Græcis desistebant? quid rerum omnium habemus, in quod isti non animo sint hotili? qui et simulacra deorum immortalium et templa spoliare priore bello et comburere non dubitarunt. (156) Quare laudandi sunt Iones, quod diris eos exsecrationibus devoverunt, qui templa cremata moverent, aut in iisdem fundamentis exædificarent, non quod deesset unde ea reficerent, sed ut monumenta posteris essent barbarorum impietatis, neque quisquam fidem iis haberet, qui ad eum modum in templa deorum immortalium grassari non dubitassent, sed eos et caverent et formidarent omnes, quos non tantum corporibus nostris cernerent, sed etiam religioni bellum intulisse.

157. Possum et de civibus nostris multa hujus generis referre. Nam cum ceteris, contra quos bella gesserunt, simul atque in gratiam reditum est, inimicitiarum veterum obliviscuntur; Asianis autem ne pro acceptis quidem beneficiis gratiam habent: adeo immortalem in eos iram gerunt. Nam et patres nostri multos capitis damnarunt, quod Medis studere viderentur: et in conciliis etiam hodie, antequam publice quicquam aliud decernatur, si quis civium Persarum pacem aut amicitiam expetat, eum devotionibus obstringunt. Eumolpidæ autem et Præcones in festo mysteriorum horum odio ceteris quoque barbaris tanquam homicidis sacris interdicunt. (158) Natura porro sic eos odimus, ut nullis fabulis perinde gaudeamus et immoremur ac Trojanis et Persicis, e quibus clades eorum cognoscere liceat. Illud etiam reperias, de bellis barbaricis hymnos, de Græcis nænias exstitisse nobis; atque illos quidem in festis cani, harum autem in calamitatibus nos meminisse. (159) Atque etiam Homeri poesin propterea in majore esse pretio arbitror, quod eos qui barbaros oppugnarunt, præclaris laudibus extulit; nostrosque majores artem ejus propterea honoratam esse voluisse, tum in certaminibus musicis, tum in educatione puerorum, ut sæpe carmina illa audientes, inimicitias, quæ nobis cum barbaris intercederent, edisceremus, et virtutem nostrorum qui militarunt admirantes, eorundem facinorum gloriam adamaremus.

160. Ὥστε μοι δοκεῖ πολλὰ λίαν εἶναι τὰ παρακελευόμενα πολεμεῖν αὐτοῖς, μάλιστα δ' ὁ παρὼν καιρός, ὃν οὐκ ἀφετέον· καὶ γὰρ αἰσχρὸν παρόντι μὲν μὴ c χρῆσθαι, παρελθόντος δ' αὐτοῦ μεμνῆσθαι. Τί γὰρ ἂν καὶ βουληθεῖμεν ἡμῖν προσγενέσθαι, μέλλοντες βασιλεῖ πολεμεῖν, ἔξω τῶν νῦν ὑπαρχόντων; (161) οὐχ Αἴγυπτος μὲν αὐτοῦ καὶ Κύπρος ἀφέστηκε, Φοινίκη δὲ καὶ Συρία διὰ τὸν πόλεμον ἀνάστατοι γεγόνασι, Τύρος δ', ἐφ' ᾗ μέγ' ἐφρόνησεν, ὑπὸ τῶν ἐχθρῶν τῶν ἐκείνου κατείληπται; τῶν δ' ἐν Κιλικίᾳ πόλεων τὰς μὲν πλείστας οἱ μεθ' ἡμῶν ὄντες ἔχουσι, τὰς δ' οὐ χαλεπόν ἐστι d κτήσασθαι. Λυκίας δ' οὐδεὶς πώποτε Περσῶν ἐκράτησεν. (162) Ἑκατόμνως δ' ὁ Καρίας ἐπίσταθμος τῇ μὲν ἀληθείᾳ πολὺν ἤδη χρόνον ἀφέστηκεν, ὁμολογήσει δ' ὅταν ἡμεῖς βουληθῶμεν. Ἀπὸ δὲ Κνίδου μέχρι Σινώπης Ἕλληνες τὴν Ἀσίαν παροικοῦσιν, οὓς οὐ δεῖ πείθειν ἀλλὰ μὴ κωλύειν πολεμεῖν. Καίτοι τοιούτων ὁρμητηρίων ὑπαρξάντων, καὶ τοσούτου πολέμου τὴν Ἀσίαν περιστάντος, τί δεῖ τὰ συμβησόμενα λίαν ἀκρι- e βῶς ἐξετάζειν; ὅπου γὰρ μικρῶν μερῶν ἥττους εἰσίν, οὐκ ἄδηλον ὡς ἂν διατεθεῖεν, εἰ πᾶσιν ἡμῖν πολεμεῖν ἀναγκασθεῖεν. (163) Ἔχει δ' οὕτως. Ἐὰν μὲν ὁ βάρβαρος ἐρρωμενεστέρως κατάσχῃ τὰς πόλεις τὰς ἐπὶ 75 θαλάττῃ, φρουρὰς μείζους ἐν αὐταῖς ἢ νῦν ἐγκαταστή- a σας, τάχ' ἂν καὶ τῶν νήσων αἱ περὶ τὴν ἤπειρον, οἷον Ῥόδος καὶ Σάμος καὶ Χίος, ἐπὶ τὰς ἐκείνου τύχας ἀποκλίναιεν· ἢν δ' ἡμεῖς αὐτὰς πρότεροι καταλάβωμεν, εἰκὸς τοὺς τὴν Λυδίαν καὶ Φρυγίαν καὶ τὴν ἄλλην τὴν ὑπερκειμένην χώραν οἰκοῦντας ἐπὶ τοῖς ἐντεῦθεν ὁρμωμένοις εἶναι. (164) Διὸ δεῖ σπεύδειν καὶ μηδεμίαν ποιεῖσθαι διατριβήν, ἵνα μὴ πάθωμεν ὅπερ οἱ πατέρες ἡμῶν. Ἐκεῖνοι γὰρ ὑστερίσαντες τῶν βαρβάρων καὶ b προέμενοί τινας τῶν συμμάχων ἠναγκάσθησαν ὀλίγοι πρὸς πολλοὺς κινδυνεύειν, ἐξὸν αὐτοῖς προτέροις διαβᾶσιν εἰς τὴν ἤπειρον μετὰ πάσης τῆς τῶν Ἑλλήνων δυνάμεως ἐν μέρει τῶν ἐθνῶν ἕκαστον χειροῦσθαι. (165) Δέδεικται γάρ, ὅταν τις πολεμῇ πρὸς ἀνθρώπους ἐκ πολλῶν τόπων συλλεγομένους, ὅτι δεῖ μὴ περιμένειν ἕως ἂν ἐπιστῶσιν, ἀλλ' ἔτι διεσπαρμένοις αὐτοῖς ἐπι- c χειρεῖν. Ἐκεῖνοι μὲν οὖν προεξαμαρτόντες ἅπαντα ταῦτ' ἐπηνωρθώσαντο, καταστάντες εἰς τοὺς μεγίστους ἀγῶνας· ἡμεῖς δ' ἂν σωφρονῶμεν, ἐξ ἀρχῆς φυλαξόμεθα, καὶ πειρασόμεθα φθῆναι περὶ τὴν Λυδίαν καὶ τὴν Ἰωνίαν στρατόπεδον ἐγκαταστήσαντες, (166) εἰδότες ὅτι καὶ βασιλεὺς οὐχ ἑκόντων ἄρχει τῶν ἠπειρωτῶν, ἀλλὰ μείζω δύναμιν περὶ αὑτὸν ἑκάστων αὐτῶν ποιησάμενος· ἧς ἡμεῖς ὅταν κρείττω διαβιβάσωμεν, ὃ βου- d ληθέντες ῥᾳδίως ἂν ποιήσαιμεν, ἀσφαλῶς ἅπασαν τὴν Ἀσίαν καρπωσόμεθα. Πολὺ δὲ κάλλιον ἐκείνῳ περὶ τῆς βασιλείας πολεμεῖν, ἢ πρὸς ἡμᾶς αὐτοὺς περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν.

167. Ἄξιον δ' ἐπὶ τῆς νῦν ἡλικίας ποιήσασθαι τὴν στρατείαν, ἵν' οἱ τῶν συμφορῶν κοινωνήσαντες, οὗτοι καὶ τῶν ἀγαθῶν ἀπολαύσωσι καὶ μὴ πάντα τὸν χρόνον e

160. Itaque mihi quidem nimis esse multa videntur, quæ nos incitent ad bellum eis inferendum, inprimis autem præsens occasio non est amittenda. Etenim turpe fuerit, ea dum adest non uti, elapsam desiderare. Quid enim regi bellum illaturi optabimus amplius, quam ea quæ nunc suppetunt? (161) Non Ægyptus et Cyprus ab eo defecerunt? non Phœnice et Syria bello vastatæ sunt? non Tyrus, quæ animos illi fecit, ab hostibus ejus occupata est? non Ciliciæ civitates plerasque hi tenent qui nobiscum faciunt, reliquæ facile subigentur? Lycia vero Persarum nemo unquam potitus est. (162) Jam Hecatomnos Cariæ præses revera jam dudum defecit, sed id præ se feret, ubi nos voluerimus. A Cnido Sinopen usque Græci Asiam accolunt, quibus non persuadendum, sed obstandum non est, ut bellum gerant. Quum igitur tantas opportunitates habeamus, tantoque bello Asia circumdata sit, quorsum attinet, eventura quæ sint, exquirere accuratius? Ubi enim a parvis partibus vincuntur, non obscurum est quibus cladibus afficiantur, si totius Græciæ vires sustinere cogantur. (163) Res autem ita se habet. Si quidem barbarus maritimas civitates firmaret majoribus quam nunc præsidiis impositis, fortasse etiam insulæ Asiæ vicinæ, ut Rhodus, et Samus, et Chios, ad illius fortunas inclinarent: si vero nos priores eas occupaverimus, etiam Lydos et Phryges et ceteros qui supra illos incolunt, in eorum potestate fore probabile est, qui hinc bellum moverint. (164) Quare festinandum est et nulla mora interponenda, ne idem quod nostris patribus, nobis accidat: qui, ubi barbaris segniores non ita parvum numerum e sociis deseruerant, pauci cum multis pugnare sunt coacti, quum, si priores in Asiam trajecissent, totius Græciæ viribus singulas gentes per vices subigere licuisset. (165) Nam quum bello petendi sunt homines qui multis e locis colliguntur, res ipsa declarat, non exspectandum esse dum instent, sed dispersos adhuc esse invadendos. Illi igitur quum in hoc principio peccassent, omnia hæc correxere, periculosissimis præliis commissis. Nos autem, si sapimus, statim initio cavebimus, operamque dabimus, ut exercitu circa Lydiam et Ioniam collocato antevertamus, (166) quum non ignoremus etiam regem Asianis imperare non volentibus, sed quia semper majores copias secum habet, quam singuli illorum. Quibus si nos robustiorem exercitum trajecerimus (id quod, velimus modo, facile fiet), secure tota Asia fruemur. Multo autem præclarius est cum illo de regno pugnare quam inter nosmetipsos contendere de principatu.

167. Æquum vero est etiam expeditionem hac suscipi ætate, ut qui calamitatum socii fuerunt, iidem rerum secundarum etiam fructum capiant neque omnem ætatem in mi-

δυστυχοῦντες διαγάγωσιν. Ἱκανὸς γὰρ ὁ παρεληλυθώς, ἐν ᾧ τί τῶν δεινῶν οὐ γέγονεν; πολλῶν γὰρ κακῶν τῇ φύσει τῇ τῶν ἀνθρώπων ὑπαρχόντων, αὐτοὶ πλείω τῶν ἀναγκαίων προσεξευρήκαμεν, πολέμους καὶ στάσεις ἡμῖν αὐτοῖς ἐμποιήσαντες, (168) ὥστε τοὺς μὲν ἐν ταῖς
76 αὑτῶν ἀνόμως ἀπόλλυσθαι, τοὺς δ' ἐπὶ ξένης μετὰ παί- a
δων καὶ γυναικῶν ἀλᾶσθαι, πολλοὺς δὲ δι' ἔνδειαν τῶν καθ' ἡμέραν ἐπικουρεῖν ἀναγκαζομένους ὑπὲρ τῶν ἐχθρῶν τοῖς φίλοις μαχομένους ἀποθνήσκειν. Ὑπὲρ ὧν οὐδεὶς πώποτ' ἠγανάκτησεν, ἀλλ' ἐπὶ μὲν ταῖς συμφοραῖς ταῖς ὑπὸ τῶν ποιητῶν συγκειμέναις δακρύειν ἀξιοῦσιν, ἀληθινὰ δὲ πάθη πολλὰ καὶ δεινὰ γιγνόμενα διὰ τὸν πόλεμον ἐφορῶντες τοσούτου δέουσιν ἐλεεῖν, ὥστε καὶ μᾶλλον χαίρουσιν ἐπὶ τοῖς ἀλλήλων κακοῖς ἢ b
τοῖς αὑτῶν ἰδίοις ἀγαθοῖς. (169) Ἴσως δ' ἂν καὶ τῆς ἐμῆς εὐηθείας πολλοὶ καταγελάσειαν, εἰ δυστυχίας ἀνδρῶν ὀδυροίμην ἐν τοῖς τοιούτοις καιροῖς, ἐν οἷς Ἰταλία μὲν ἀνάστατος γέγονε, Σικελία δὲ καταδεδούλωται, τοσαῦται δὲ πόλεις τοῖς βαρβάροις ἐκδέδονται, τὰ δὲ λοιπὰ μέρη τῶν Ἑλλήνων ἐν τοῖς μεγίστοις κινδύνοις ἐστίν.

170. Θαυμάζω δὲ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν, εἰ προσήκειν αὑτοῖς ἡγοῦνται μέγα φρονεῖν, c
μηδὲν πώποθ' ὑπὲρ τηλικούτων πραγμάτων μήτ' εἰπεῖν μήτ' ἐνθυμηθῆναι δυνηθέντες. Ἐχρῆν γὰρ αὐτούς, εἴπερ ἦσαν ἄξιοι τῆς παρούσης δόξης, ἁπάντων ἀφεμένους τῶν ἄλλων περὶ τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους εἰσηγεῖσθαι καὶ συμβουλεύειν. Τυχὸν μὲν γὰρ ἄν τι συνεπέραναν· (171) εἰ δὲ καὶ προαπεῖπον, ἀλλ' οὖν τούς γε λόγους ὥσπερ χρησμοὺς εἰς τὸν ἐπιόντα χρόνον ἂν κατέλιπον. Νῦν δ' οἱ μὲν ἐν ταῖς μεγίσταις d
δόξαις ὄντες ἐπὶ μικροῖς σπουδάζουσιν, ἡμῖν δὲ τοῖς τῶν πολιτικῶν ἐξεστηκόσι περὶ τηλικούτων πραγμάτων συμβουλεύειν παραλελοίπασιν.

172. Οὐ μὴν ἀλλ' ὅσῳ μικροψυχότεροι τυγχάνουσιν ὄντες οἱ προεστῶτες ἡμῶν, τοσούτῳ τοὺς ἄλλους ἐρρωμενεστέρως δεῖ σκοπεῖν ὅπως ἀπαλλαγησόμεθα τῆς παρούσης ἔχθρας. Νῦν μὲν γὰρ μάτην ποιούμεθα τὰς περὶ τῆς εἰρήνης συνθήκας· οὐ γὰρ διαλυόμεθα τοὺς e
πολέμους, ἀλλ' ἀναβαλλόμεθα, καὶ περιμένομεν τοὺς καιροὺς ἐν οἷς ἀνήκεστόν τι κακὸν ἀλλήλους ἐργάσασθαι δυνησόμεθα. (173) Δεῖ δὲ ταύτας τὰς ἐπιβουλὰς ἐκποδὼν ποιησαμένους ἐκείνοις τοῖς ἔργοις ἐπιχειρεῖν, ἐξ ὧν τάς τε πόλεις ἀσφαλέστερον οἰκήσομεν καὶ πιστότερον διακεισόμεθα πρὸς ἡμᾶς αὐτούς. Ἔστι δ' ἁπλοῦς καὶ ῥᾴδιος ὁ λόγος ὁ περὶ τούτων· οὔτε γὰρ εἰ-
77 ρήνην οἷόντε βεβαίαν ἀγαγεῖν, ἢν μὴ κοινῇ τοῖς βαρ- a
βάροις πολεμήσωμεν, οὔθ' ὁμονοῆσαι τοὺς Ἕλληνας, πρὶν ἂν καὶ τὰς ὠφελείας ἐκ τῶν αὐτῶν καὶ τοὺς κινδύνους πρὸς τοὺς αὐτοὺς ποιησώμεθα. (174) Τούτων δὲ γενομένων, καὶ τῆς ἀπορίας τῆς περὶ τὸν βίον ἡμῶν ἀφαιρεθείσης, ἣ καὶ τὰς ἑταιρίας διαλύει καὶ τὰς συγγενείας εἰς ἔχθραν προάγει καὶ πάντας ἀνθρώπους εἰς πολέμους καὶ στάσεις καθίστησιν, οὐκ ἔστιν ὅπως οὐχ

seriis exigant. Satis enim longum fuit superius tempus, quo quæ acerbitates non acciderunt? Quum enim natura humana per se multis malis obnoxia sit, nos ipsi plura etiam necessariis excogitavimus, bellis et seditionibus inter nos excitatis. (168) Unde alii in suis urbibus per injuriam occisi sunt, alii peregre cum uxoribus et liberis oberrant, multi apud hostes stipendia facere inopia quotidiani victus coacti, dum contra amicos pugnant, pro inimicis mortem oppetunt. Hæc nemini unquam indignationem moverunt, sed calamitatibus quidem a poetis confictis illacrimantur, vera autem mala multa et peracerba, quæ bellum peperit, intuentes adeo misericordia non commoventur, ut alii aliorum malis plus gaudeant, quam suis bonis. (169) Fortasse autem simplicitatem meam deridebunt multi, qui calamitates hominum his temporibus deplorem, quibus et Italia devastata est, et Sicilia servitute oppressa, et tot urbes concessæ barbaris, ceteræque Græciæ partes in maximis periculis versantur.

170. Ego vero miror, quomodo principes civitatum sibi superbiendum censeant, si nihil unquam tantis de rebus neque dicere neque cogitare potuerunt. Decuerat enim eos, si, qua florent auctoritate, ea digni essent, relictis rebus omnibus consilii de bello barbaris inferendo se duces auctoresque profiteri. Fortasse enim aliquid profecissent: (171) et ut prius diem suum obirent, at orationes suas posteris tanquam oracula relinquerent. Nunc isti, quorum summa est auctoritas, minuta quædam tractant; nobis autem, qui negotia reipublicæ non attingimus, rerum tantarum deliberationem reliquerunt.

172. Enimvero quanto pusillioribus animis sunt principes nostri, tanto accuratius aliis providendum est, qua ratione has inimicitias deponamus. Nam nunc quidem frustra pactiones de pace fiunt. Nec enim bella componimus, sed differimus, et illud tempus exspectamus, quo aliis alii gravissima mala infligere possimus. (173) Repudiatis vero prorsus hujusmodi insidiosis consiliis ea suscipienda sunt, per quæ et nostras urbes securius teneamus, et majore benevolentia conjungamur. Quibus de rebus simplex et facilis est oratio. Nec enim firma pace fruemur, nisi communiter bellum barbaris intulerimus; neque Græci consentient, priusquam et utilitates ex iisdem rationibus et bella contra eosdem paraverimus. (174) His autem perfectis et egestate propulsata, quæ et societates dirimit et necessitudines in inimicitias convertit et omnes homines bellis ac seditionibus involvit, fieri non poterit quin et in concordiam

ὁμονοήσομεν καὶ τὰς εὐνοίας ἀληθινὰς πρὸς ἡμᾶς αὐτοὺς b ἕξομεν. Ὧν ἕνεκα περὶ παντὸς ποιητέον ὅπως ὡς τάχιστα τὸν ἐνθένδε πόλεμον εἰς τὴν ἤπειρον διοριοῦμεν, ὡς μόνον ἂν τοῦτ' ἀγαθὸν ἀπολαύσαιμεν τῶν κινδύνων τῶν πρὸς ἡμᾶς αὐτούς, εἰ ταῖς ἐμπειρίαις ταῖς ἐκ τούτων γεγενημέναις πρὸς τὸν βάρβαρον καταχρήσασθαι δόξειεν ἡμῖν.

175. Ἀλλὰ γὰρ ἴσως διὰ τὰς συνθήκας ἄξιον ἐπισχεῖν, ἀλλ' οὐκ ἐπειχθῆναι καὶ θᾶττον ποιήσασθαι τὴν στρατείαν; δι' ἃς αἱ μὲν ἠλευθερωμέναι τῶν πόλεων c βασιλεῖ χάριν ἴσασιν, ὡς δι' ἐκεῖνον τυχοῦσαι τῆς αὐτονομίας ταύτης, αἱ δ' ἐκδεδομέναι τοῖς βαρβάροις μάλιστα μὲν Λακεδαιμονίοις ἐπικαλοῦσιν, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις τοῖς μετασχοῦσι τῆς εἰρήνης, ὡς ὑπὸ τούτων δουλεύειν ἠναγκασμέναι. Καίτοι πῶς οὐ χρὴ διαλύειν ταύτας τὰς ὁμολογίας, ἐξ ὧν τοιαύτη δόξα γέγονεν, ὡς ὁ μὲν βάρβαρος κήδεται τῆς Ἑλλάδος d καὶ φύλαξ τῆς εἰρήνης ἐστίν, ἡμῶν δέ τινές εἰσιν οἱ λυμαινόμενοι καὶ κακῶς ποιοῦντες αὐτήν; (176) Ὃ δὲ πάντων καταγελαστότατον, ὅτι τῶν γεγραμμένων ἐν ταῖς ὁμολογίαις τὰ χείριστα τυγχάνομεν διαφυλάττοντες· ἃ μὲν γὰρ αὐτονόμους ἀφίησι τάς τε νήσους καὶ τὰς πόλεις τὰς ἐπὶ τῆς Εὐρώπης, πάλαι λέλυται καὶ μάτην ἐν ταῖς στήλαις ἐστίν· ἃ δ' αἰσχύνην ἡμῖν φέρει καὶ πολλοὺς τῶν συμμάχων ἐκδέδωκε, ταῦτα δὲ κατὰ e χώραν μένει καὶ πάντες αὐτὰ κύρια ποιοῦμεν· ἃ χρῆν ἀναιρεῖν καὶ μηδὲ μίαν ἐᾶν ἡμέραν, νομίζοντας προστάγματα καὶ μὴ συνθήκας εἶναι. Τίς γὰρ οὐκ οἶδεν ὅτι συνθῆκαι μέν εἰσιν, αἵτινες ἂν ἴσως καὶ κοινῶς 78 ἀμφοτέροις ἔχωσι, προστάγματα δὲ τὰ τοὺς ἑτέρους a ἐλαττοῦντα παρὰ τὸ δίκαιον; (177) Διὸ καὶ τῶν πρεσβευσάντων ταύτην τὴν εἰρήνην δικαίως ἂν κατηγοροῖμεν, ὅτι πεμφθέντες ὑπὸ τῶν Ἑλλήνων ὑπὲρ τῶν βαρβάρων ἐποιήσαντο τὰς συνθήκας. Ἐχρῆν γὰρ αὐτούς, εἴτ' ἐδόκει τὴν αὑτῶν ἔχειν ἑκάστους, εἴτε καὶ τῶν δοριαλώτων ἐπάρχειν, εἴτε τούτων κρατεῖν ὧν ὑπὸ τὴν εἰρήνην ἐτυγχάνομεν ἔχοντες, ἕν τι τούτων ὁρισαμένους καὶ κοινὸν τὸ δίκαιον ποιησαμένους, οὕτω συγγράφεσθαι b περὶ αὐτῶν. (178) Νῦν δὲ τῇ μὲν ἡμετέρᾳ πόλει καὶ τῇ Λακεδαιμονίων οὐδεμίαν τιμὴν ἀπένειμαν, τὸν δὲ βάρβαρον ἁπάσης τῆς Ἀσίας δεσπότην κατέστησαν, ὥσπερ ὑπὲρ ἐκείνου πολεμησάντων ἡμῶν, ἢ τῆς μὲν Περσῶν ἀρχῆς πάλαι καθεστηκυίας, ἡμῶν δ' ἄρτι τὰς πόλεις κατοικούντων, ἀλλ' οὐκ ἐκείνων μὲν νεωστὶ ταύτην τὴν τιμὴν ἐχόντων, ἡμῶν δὲ τὸν ἅπαντα χρόνον c ἐν τοῖς Ἕλλησι δυναστευόντων. (179) Οἶμαι δ' ἐκείνως εἰπὼν μᾶλλον δηλώσειν τήν τε περὶ ἡμᾶς ἀτιμίαν γεγενημένην καὶ τὴν τοῦ βασιλέως πλεονεξίαν. Τῆς γὰρ γῆς ἁπάσης τῆς ὑπὸ τῷ κόσμῳ κειμένης, δίχα τετμημένης, καὶ τῆς μὲν Ἀσίας, τῆς δ' Εὐρώπης καλουμένης, τὴν ἡμίσειαν ἐκ τῶν συνθηκῶν εἴληφεν, ὥσπερ πρὸς τὸν Δία τὴν χώραν νεμόμενος, ἀλλ' οὐ πρὸς ἀνθρώπους τὰς συνθήκας ποιούμενος. (180) Καὶ ταύτας d ἡμᾶς ἠνάγκασεν ἐν στήλαις λιθίναις ἀναγράψαντας ἐν

redigamur et vera omnes benevolentia conjungamur. Quibus de causis occupati hac una re esse debemus, ut primo quoque tempore bello hinc in Asiam translato hoc saltem boni ex intestinis bellis consequamur, ut rei militaris peritia ex iis parta contra barbaros nobis utendum esse videatur.

175. At propter fœdus fortasse cunctandum est et non festinandum, neque properantius bellum suscipiendum? propter quod fœdus et civitates in libertatem assertæ regi gratiam habent tanquam eo libertatis beneficio ab illo affectæ, et deditæ barbaris potissimum quidem Lacedæmonios accusant, deinde ceteros etiam, qui pacis conditiones acceperunt, tanquam servire ab his coactæ. At enim vero quo modo fœdus illud ratum est habendum, quod talis opinio consecuta est, barbarum Græciæ gerere curam et pacis esse custodem, nostrûm vero quosdam exstitisse, qui eam vexarent et infestarent? (176) Jam illud maxime ridiculum est, quod in conditionibus fœderis illius eas religiosissime servamus, quæ deterrimæ sunt. Nam quæ tum insulis tum urbibus Europæis libertatem restituunt, jam olim abrogatæ sunt et frustra columnis inscriptæ: quæ vero et nobis dedecori sunt et multos ex sociis barbaro dediderunt, eæ demum immotæ manent; illa omnia comprobamus, quæ tollenda erant et ne unum quidem diem toleranda, quum putanda sint jussa, non pactiones. Quis enim nescit eas esse pactiones, quum par et æquum jus utrisque tribuitur; jussa vero, quum alteri præter jus et æquum deteriore sunt conditione? (177) Quare eos quoque, qui pro hac pace legationem obierunt, jure culpamus, quod missi a Græcis fœdus pro barbaris fecerunt. Eos enim decuit, seu visum fuisset singulis sua tenenda, sive etiam in bello captos jus habendum, sive ea retinenda esse, quæ pacis tempore habuissemus, unum aliquid ex aliis definisse, ac jure in medium proposito, sic in literas ea referre. (178) Nunc urbi nostræ ac Lacedæmoniorum nihil honoris tribuerunt; barbarum autem totius Asiæ dominum constituerunt, quasi nos pro eo bellum gessissemus aut Persarum imperium antiquum esset, nos recens has urbes obtineremus, et non illi nuper hoc honore potiti essent, nos autem ab omni ævo hunc principatum Græciæ teneremus. (179) Arbitror autem, quam contumeliose nobiscum actum et quanta rex superbia sit, sic dicendo fore dilucidius. Nam quum terra universa, quæ cœli circumflexu tegitur, in duas sit divisa partes, quarum hæc Europa, Asia illa dicitur: semissem accepit ex pacto, quasi non cum hominibus jungeret fœdus, sed cum Jove imperium partiretur. (180) Et hæc coegit nos lapideis inscripta columnis in publicis templis consecrare:

τοῖς κοινοῖς τῶν ἱερῶν καταθεῖναι, πολὺ κάλλιον τρόπαιον τῶν ἐν ταῖς μάχαις γιγνομένων· τὰ μὲν γὰρ ὑπὲρ μικρῶν ἔργων καὶ μιᾶς τύχης ἐστίν, αὗται δ' ὑπὲρ ἅπαντος τοῦ πολέμου καὶ καθ' ὅλης τῆς Ἑλλάδος ἑστήκασιν.

181. Ὑπὲρ ὧν ἄξιον ὀργίζεσθαι, καὶ σκοπεῖν ὅπως τῶν τε γεγενημένων δίκην ληψόμεθα καὶ τὰ μέλλοντα διορθωσόμεθα. Καὶ γὰρ αἰσχρὸν ἰδίᾳ μὲν τοῖς βαρ- e βάροις οἰκέταις ἀξιοῦν χρῆσθαι, δημοσίᾳ δὲ τοσούτους τῶν συμμάχων περιορᾶν αὐτοῖς δουλεύοντας, καὶ τοὺς μὲν περὶ τὰ Τρωικὰ γενομένους μιᾶς γυναικὸς ἁρπασθείσης οὕτως ἅπαντας συνοργισθῆναι τοῖς ἀδικηθεῖσιν,
79 ὥστε μὴ πρότερον παύσασθαι πολεμοῦντας πρὶν τὴν πό- a λιν ἀνάστατον ἐποίησαν τοῦ τολμήσαντος ἐξαμαρτεῖν, (182) ἡμᾶς δ' ὅλης τῆς Ἑλλάδος ὑβριζομένης μηδεμίαν ποιήσασθαι κοινὴν τιμωρίαν, ἐξὸν ἡμῖν εὐχῆς ἄξια διαπράξασθαι. Μόνος γὰρ οὗτος ὁ πόλεμος εἰρήνης κρείττων ἐστί, θεωρίᾳ μὲν μᾶλλον ἢ στρατείᾳ προσεοικώς, ἀμφοτέροις δὲ συμφέρων, καὶ τοῖς ἡσυχίαν ἄγειν καὶ τοῖς πολεμεῖν ἐπιθυμοῦσιν. Εἴη γὰρ ἂν b τοῖς μὲν ἀδεῶς τὰ σφέτερ' αὐτῶν καρποῦσθαι, τοῖς δ' ἐκ τῶν ἀλλοτρίων μεγάλους πλούτους κατακτήσασθαι.

183. Πολλαχῇ δ' ἄν τις λογιζόμενος εὕροι ταύτας τὰς πράξεις μάλιστα λυσιτελούσας ἡμῖν. Φέρε γάρ, πρὸς τίνας χρὴ πολεμεῖν τοὺς μηδεμιᾶς πλεονεξίας ἐπιθυμοῦντας ἀλλ' αὐτὸ τὸ δίκαιον σκοποῦντας; οὐ πρὸς τοὺς καὶ πρότερον κακῶς τὴν Ἑλλάδα ποιήσαντας καὶ νῦν ἐπιβουλεύοντας καὶ πάντα τὸν χρόνον οὕτω c πρὸς ἡμᾶς διακειμένους; (184) τίσι δὲ φθονεῖν εἰκός ἐστι τοὺς μὴ παντάπασιν ἀνάνδρως διακειμένους ἀλλὰ μετρίως τούτῳ τῷ πράγματι χρωμένους, οὐ τοῖς μείζους μὲν τὰς δυναστείας ἢ κατ' ἀνθρώπους περιβεβλημένοις, ἐλάττονος δ' ἀξίοις τῶν παρ' ἡμῖν δυστυχούντων; ἐπὶ τίνας δὲ στρατεύειν προσήκει τοὺς ἅμα μὲν εὐσεβεῖν βουλομένους ἅμα δὲ τοῦ συμφέροντος ἐνθυμουμένους; οὐκ ἐπὶ τοὺς καὶ φύσει πολεμίους καὶ πατρικοὺς ἐχθρούς, καὶ πλεῖστα μὲν ἀγαθὰ κεκτημένους, d ἥκιστα δ' ὑπὲρ αὐτῶν ἀμύνεσθαι δυναμένους; Οὐκοῦν ἐκεῖνοι πᾶσι τούτοις ἔνοχοι τυγχάνουσιν ὄντες. (185) Καὶ μὴν οὐδὲ τὰς πόλεις λυπήσομεν στρατιώτας ἐξ αὐτῶν καταλέγοντες, ὃ νῦν ἐν τῷ πολέμῳ τῷ πρὸς ἀλλήλους ὀχληρότατόν ἐστιν αὐταῖς· πολὺ γὰρ οἶμαι σπανιωτέρους ἔσεσθαι τοὺς μένειν ἐθελήσοντας τῶν συνακολουθεῖν ἐπιθυμησόντων. Τίς γὰρ οὕτως ἢ νέος ἢ παλαιὸς ῥᾴθυμός ἐστιν, ὅστις οὐ μετασχεῖν βουλήσεται ταύτης e τῆς στρατιᾶς, τῆς ὑπ' Ἀθηναίων μὲν καὶ Λακεδαιμονίων στρατηγουμένης, ὑπὲρ δὲ τῆς τῶν συμμάχων ἐλευθερίας ἀθροιζομένης, ὑπὸ δὲ τῆς Ἑλλάδος ἁπάσης ἐκπεμπομένης, ἐπὶ δὲ τὴν τῶν βαρβάρων τιμωρίαν πορευομένης; (186) Φήμην δὲ καὶ μνήμην καὶ δόξαν πόσην
80 τινὰ χρὴ νομίζειν ἢ ζῶντας ἕξειν ἢ τελευτήσαντας κα- a ταλείψειν τοὺς ἐν τοῖς τοιούτοις ἔργοις ἀριστεύσαντας; ὅπου γὰρ οἱ πρὸς Ἀλέξανδρον πολεμήσαντες καὶ μίαν πόλιν ἑλόντες τοιούτων ἐπαίνων ἠξιώθησαν, ποίων

id quod multo pulchrius tropæum est, quam ea quæ in præliis statuuntur. Illa enim ob parva quædam opera et unum eventum, hæc vero de toto bello et contra totam Græciam ponuntur.

181. Quapropter irascendum est et ineunda ratio aliqua, ut et superioris temporis injurias ulciscamur et in posterum nobis rectius consulamus. Nam quum barbaris privatim servis utendum censeamus, tantam sociorum multitudinem illorum dominatu premi dedecori nobis fuerit publice negligere, et quum Trojani belli tempore majores nostri unius mulierculæ raptum ita vindicandum censuerint, ut finem belli ante non fecerint, quam urbs ejus, a quo orta fuerat injuria, everteretur: (182) nos, quum tota Græcia violetur, de ultione publica nihil suscipere, præsertim quum ea perficere liceat, quibus ne optari quidem meliora possint. Solum enim hoc bellum paci præstat, pompæ sacræ potius quam expeditioni simile, et utrisque utile, tam quietis quam belli appetentibus. Nam illis quidem secure frui suis opibus liceat, his magnas ex alienis opes sibi comparare.

183. Quodsi quis in omnes partes verset animum, has actiones maxime nobis expedire deprehendet. Age vero, si nihil iniqui petas, sed ipsam tantum æquitatem species, quibus tandem bellum est inferendum? an non iis qui et olim Græciam afflixerunt et nunc insidiantur et hoc in nos esse animo nunquam destiterunt? (184) Quibus vero invidere par est homines non prorsus effeminatos, sed modica saltem virtute præditos? nonne illis qui divina prope potentia præditi nequiores sunt hominibus apud nos calamitosis? Quibus vero bellum inferre debent viri et pietatis studiosi et suæ utilitatis haud negligentes? nonne et natura hostibus et paternis inimicis et iis qui maximas opes habent, quum ad eas defendendas minime sint parati? Atqui hæc in illos conveniunt omnia. (185) Præterea civitatibus deligendo ex eis milite non erimus molesti, quam rem in his intestinis bellis gravissime et iniquissimis animis patiuntur. Multo enim opinor pauciores erunt qui manere velint, quam qui expeditionis hujus comites esse cupiant. Quis enim sive juvenis sive senex ita ignavus est, ut ei militiæ interesse nolit, cujus duces sint Athenienses atque Lacedæmonii? quæ pro sociorum libertate suscipiatur? quæ consensu totius Græciæ mittatur? quæ ad ulciscendos barbaros proficiscatur? (186) Quantam vero famam, quantam memoriam et gloriam censendum est aut viventes habituros aut post obitum relicturos esse eos, qui in his tantis operibus præter ceteros præclare se gesserint! Quum enim ii qui adversus Alexandrum militarunt, una urbe expugnata tantis laudibus celebrantur, quid iis fore

τινῶν χρὴ προσδοκᾶν ἐγκωμίων τεύξεσθαι τοὺς ὅλης τῆς Ἀσίας κρατήσαντας; τίς γὰρ ἢ τῶν ποιεῖν δυναμένων ἢ τῶν λέγειν ἐπισταμένων οὐ πονήσει καὶ φιλοσοφήσει βουλόμενος ἅμα τῆς θ' αὑτοῦ διανοίας καὶ τῆς ἐκείνων b ἀρετῆς μνημεῖον εἰς ἅπαντα τὸν χρόνον καταλιπεῖν;

187. Οὐ τὴν αὐτὴν δὲ τυγχάνω γνώμην ἔχων ἔν τε τῷ παρόντι καὶ περὶ τὰς ἀρχὰς τοῦ λόγου. Τότε μὲν γὰρ ᾤμην ἀξίως δυνήσεσθαι τῶν πραγμάτων εἰπεῖν· νῦν δ' οὐκ ἐφικνοῦμαι τοῦ μεγέθους αὐτῶν, ἀλλὰ πολλά με διαπέφευγεν ὧν διενοήθην. Αὐτοὺς οὖν χρὴ συνδιορᾶν ὅσης ἂν εὐδαιμονίας τύχοιμεν, εἰ τὸν μὲν πόλεμον τὸν νῦν ὄντα περὶ ἡμᾶς πρὸς τοὺς ἠπει- c ρώτας ποιησαίμεθα, τὴν δ' εὐδαιμονίαν τὴν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην διακομίσαιμεν, (188) καὶ μὴ μόνον ἀκροατὰς γενομένους ἀπελθεῖν, ἀλλὰ τοὺς μὲν πράττειν δυναμένους παρακαλοῦντας ἀλλήλους πειρᾶσθαι διαλλάττειν τήν τε πόλιν τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων, τοὺς δὲ τῶν λόγων ἀμφισβητοῦντας πρὸς μὲν τὴν Παρακαταθήκην καὶ περὶ τῶν ἄλλων ὧν d νῦν φλυαροῦσι παύεσθαι γράφοντας, πρὸς δὲ τοῦτον τὸν λόγον ποιεῖσθαι τὴν ἅμιλλαν, καὶ σκοπεῖν ὅπως ἄμεινον ἐμοῦ περὶ τῶν αὐτῶν πραγμάτων ἐροῦσιν, (189) ἐνθυμουμένους ὅτι τοῖς μεγάλ' ὑπισχνουμένοις οὐ πρέπει περὶ μικρὰ διατρίβειν, οὐδὲ τοιαῦτα λέγειν ἐξ ὧν ὁ βίος μηδὲν ἐπιδώσει τῶν πεισθέντων, ἀλλ' ὧν ἐπιτελεσθέντων αὐτοί τ' ἀπαλλαγήσονται τῆς παρούσης e ἀπορίας καὶ τοῖς ἄλλοις μεγάλων ἀγαθῶν αἴτιοι δόξουσιν εἶναι.

credendum est, qui tota Asia potientur? Quis enim, sive poeta sive orator, non laborabit et meditabitur, ut simul et sui ingenii et virtutis illorum æternum relinquat monumentum?

187. Ego certe quidem non ita nunc sentio, ut orationis initio. Tum enim me pro dignitate rerum posse dicere putabam; nunc vero magnitudinem earum non assequor, multaque mihi eorum quæ dicere institueram, exciderunt. Vobis igitur ipsis reputandum est cum animis vestris, quantam felicitatem adipisci liceat, si bellum, quod modo nos urget, in Asianos converterimus, et Asianorum opes in Europam transtulerimus. (188) Neque vero his auditis abeundum est; sed et qui in rebus gerendis versantur, alii alios cohortari debent ut operam dent, quo nostram et Lacedæmoniorum rempublicam reconcilient, et eloquentiæ studiosi oratione *adversus Euthynoum* de deposito ceterisque nugis, quibus nunc student, omissis omnibus, in hoc argumento inter sese certare et videre, quomodo his de rebus melius, quam ego, dicant, (189) quum reputent se non decere, ut magna professi parvis rebus occupentur, eave dicant, per quæ ii quibus persuaserint nihilo futuri sint feliciores. In illis potius est elaborandum, quibus perfectis et ipsi qua nunc premuntur, inopia liberentur, et de aliis præclare meriti esse videantur.

5.

ΦΙΛΙΠΠΟΣ.

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΣ ΦΙΛΙΠΠΟΝ ΛΟΓΟΥ.

81 Ἰστέον ὅτι τὸν λόγον τοῦτον ἔγραψε τῷ Φιλίππῳ ὁ Ἰσοκράτης μετὰ τὴν εἰρήνην τὴν γενομένην ὑπὸ τῶν περὶ τὸν Αἰσχίνην καὶ Δημοσθένην· διὸ καὶ ἔσχε καιρὸν γράψαι αὐτῷ τῷ Φιλίππῳ, ὡς φίλῳ γενομένῳ τῆς Ἀθηναίων πόλεως. Ἐν σχήματι δὲ τοῦ ἐγκωμιάσαι αὐτὸν παραινεῖ αὐτῷ διαλλάξαντα τὰς Ἑλληνικὰς πόλεις τὰς μεγάλας, πρὸς ἑαυτὰς στασιαζούσας, στρατεῦσαι κατὰ Περσῶν. Πρέπει γάρ σοι, φησί, τοῦτο ποιῆσαι, Ἡρακλείδῃ ὄντι καὶ τοιούτῳ δυνατῷ. Καὶ ὁ μὲν Φίλιππος λαβὼν τὸν λόγον καὶ ἀναγνοὺς οὐκ ἐπείσθη τοῖς λεγομένοις, ἀλλ' ἀνεβάλετο τέως· ὕστερον δὲ ὁ παῖς ὁ τούτου Ἀλέξανδρος ἀναγνοὺς τὸν λόγον καὶ ἐρεθισθεὶς ἐστράτευσε κατὰ Δαρείου τοῦ ὑστέρου καὶ λεγομένου Ὤχου. Τὸ μὲν γὰρ κύριον ὄνομα Ὦχος ἐλέγετο, κολακεύοντες δ' αὐτὸν οἱ Πέρσαι ἐπίκλην αὐτὸν ὠνόμαζον Δαρεῖον, ὡς πρὸς τοὺς πρώτους προγόνους.

Ἡ δὲ στάσις τοῦ λόγου πραγματική· συμβουλεύει γάρ. Ἔγραψε δὲ ὁ Ἰσοκράτης τὸν λόγον γέρων ὤν, μικρὸν πρὸ τῆς ἑαυτοῦ καὶ Φιλίππου τελευτῆς, ὥς φησιν ὁ Ἕρμιππος.

82 Μὴ θαυμάσῃς, ὦ Φίλιππε, διότι τοῦ λόγου ποιή- a σομαι τὴν ἀρχὴν οὐ τοῦ πρὸς σὲ ῥηθησομένου καὶ νῦν δειχθήσεσθαι μέλλοντος, ἀλλὰ τοῦ περὶ Ἀμφιπόλεως γραφέντος. Περὶ οὗ μικρὰ βούλομαι προειπεῖν, ἵνα

5.

PHILIPPUS.

ARGUMENTUM ORATIONIS AD PHILIPPUM.

Sciendum est orationem hanc ab Isocrate ad Philippum scriptam esse post pacem illam ab Æschine et Demosthene factam. Quare data ei est occasio ad Philippum, ut amicum Atheniensis populi, scribendi. Hortatur autem eum specie laudationis, ut reconciliatis præcipuis Græciæ civitatibus, quæ quasi civile bellum inter sese gerebant, expeditionem adversus Persas suscipiat. Hoc enim te facere decet, inquit, quum sis et ex Herculis familia oriundus et tanta potentia præditus. Ac Philippus quidem, accepta lectaque oratione, non paruit Isocratis consilio, sed rem distulit. Post autem filius ejus Alexander, eadem oratione lecta incitatus, bello Darium posteriorem, qui Ochus (*Codomannus*) dicebatur, petiit Nam verum ejus nomen Ochus fuit: sed Darii cognomentum a Persis per assentationem ei tribuebatur, quasi a majoribus id accepisset.

Deliberativi generis est oratio, ab Isocrate jam sene scripta, paulo ante et ipsius et Philippi obitum, Hermippo auctore.

Ne mireris, Philippe, cur non ab ea oratione, quæ tibi recitabitur et nunc ostendetur, sed ab ea quæ scripta est de Amphipoli, dicendi capiam exordium. Hac de re pauca præfabor, ut et tibi et aliis ostendam me neque per impe-

δηλώσω καὶ σοὶ καὶ τοῖς ἄλλοις ὡς οὐ δι' ἄγνοιαν οὐδὲ
διαψευσθεὶς τῆς ἀρρωστίας τῆς νῦν μοι παρούσης ἐπε-
θέμην γράφειν τὸν πρὸς σὲ λόγον, ἀλλ' εἰκότως καὶ b
κατὰ μικρὸν ὑπαχθείς.

2. Ὁρῶν γὰρ τὸν πόλεμον τὸν ἐνστάντα σοὶ καὶ τῇ
πόλει περὶ Ἀμφιπόλεως πολλῶν κακῶν αἴτιον γιγνόμε-
νον, ἐπεχείρησα λέγειν περί τε τῆς πόλεως ταύτης καὶ
τῆς χώρας οὐδὲν τῶν αὐτῶν οὔτε τοῖς ὑπὸ τῶν σῶν
ἑταίρων λεγομένοις οὔτε τοῖς ὑπὸ τῶν ῥητόρων τῶν παρ'
ἡμῖν, ἀλλ' ὡς οἷόν τε πλεῖστον ἀφεστῶτα τῆς τούτων
διανοίας. (3) Οὗτοι μὲν γὰρ παρώξυνον ἐπὶ τὸν πό- c
λεμον, συναγορεύοντες ταῖς ἐπιθυμίαις ὑμῶν· ἐγὼ δὲ
περὶ μὲν τῶν ἀμφισβητουμένων οὐδὲν ἀπεφαινόμην, ὃν
δ' ὑπελάμβανον τῶν λόγων εἰρηνικώτατον εἶναι, περὶ
83 τοῦτον διέτριβον, λέγων ὡς ἀμφότεροι διαμαρτάνετε a
τῶν πραγμάτων, καὶ σὺ μὲν πολεμεῖς ὑπὲρ τῶν ἡμῖν
συμφερόντων, ἡ δὲ πόλις ὑπὲρ τῆς σῆς δυναστείας· λυ-
σιτελεῖν γὰρ σοὶ μὲν ἡμᾶς ἔχειν τὴν χώραν ταύτην, τῇ
δὲ πόλει μηδ' ἐξ ἑνὸς τρόπου λαβεῖν αὐτήν. (4) Καὶ
περὶ τούτων οὕτως ἐδόκουν διεξιέναι τοῖς ἀκούουσιν,
ὥστε μηδένα τὸν λόγον αὐτῶν μηδὲ τὴν λέξιν ἐπαι-
νεῖν ὡς ἀκριβῶς καὶ καθαρῶς ἔχουσαν, ὅπερ εἰώθασί
τινες ποιεῖν, ἀλλὰ τὴν ἀλήθειαν τῶν πραγμάτων θαυ-
μάζειν, καὶ νομίζειν οὐδαμῶς ἂν ἄλλως παύσασθαι τῆς b
φιλονικίας ὑμᾶς, (5) πλὴν εἰ σὺ μὲν πεισθείης πλείονος
ἀξίαν ἔσεσθαί σοι τὴν τῆς πόλεως φιλίαν ἢ τὰς προσ-
όδους τὰς ἐξ Ἀμφιπόλεως γιγνομένας, ἡ δὲ πόλις δυ-
νηθείη καταμαθεῖν ὡς χρὴ τὰς μὲν τοιαύτας φεύγειν
ἀποικίας, αἵτινες τετράκις ἢ πεντάκις ἀπολωλέκασι
τοὺς ἐμπολιτευθέντας, ζητεῖν δ' ἐκείνους τοὺς τόπους
τοὺς πόρρω μὲν κειμένους τῶν ἄρχειν δυναμένων, ἐγ-
γὺς δὲ τῶν δουλεύειν εἰθισμένων, εἰς οἷόν περ Λακε- c
δαιμόνιοι Κυρηναίους ἀπῴκισαν· (6) πρὸς δὲ τούτοις,
εἰ σὺ μὲν γνοίης ὅτι λόγῳ παραδοὺς τὴν χώραν ἡμῖν
ταύτην, αὐτὸς ἔργῳ κρατήσεις αὐτῆς, καὶ προσέτι τὴν
εὔνοιαν τὴν ἡμετέραν κτήσει (τοσούτους γὰρ ὁμήρους
λήψει παρ' ἡμῶν τῆς φιλίας, ὅσους περ ἂν ἐποίκους
εἰς τὴν σὴν δυναστείαν ἀποστείλωμεν), τὸ δὲ πλῆθος
ἡμῶν εἴ τις διδάξειεν, ὡς ἂν λάβωμεν Ἀμφίπολιν,
ἀναγκασθησόμεθα τὴν αὐτὴν εὔνοιαν ἔχειν τοῖς σοῖς d
πράγμασι διὰ τοὺς ἐνταῦθα κατοικοῦντας οἵαν περ εἴ-
χομεν Ἀμαδόκῳ τῷ παλαιῷ διὰ τοὺς ἐν Χερρονήσῳ
γεωργοῦντας. (7) Τοιούτων δὲ πολλῶν λεγομένων
ἤλπισαν ὅσοι περ ἤκουσαν, διαδοθέντος τοῦ λόγου δια-
λύσεσθαι τὸν πόλεμον ὑμᾶς καὶ γνωσιμαχήσαντας
βουλεύσεσθαί τι κοινὸν ἀγαθὸν περὶ ὑμῶν αὐτῶν. Εἰ
μὲν οὖν ἀφρόνως ἢ καὶ νουνεχόντως ταῦτ' ἐδόξαζον, e
δικαίως ἂν ἐκεῖνοι τὴν αἰτίαν ἔχοιεν· ὄντος δ' οὖν ἐμοῦ
περὶ τὴν πραγματείαν ταύτην ἔφθητε ποιησάμενοι τὴν
εἰρήνην, πρὶν ἐξεργασθῆναι τὸν λόγον, σωφρονοῦντες·
84 ὅπως γὰρ οὖν πεπρᾶχθαι κρεῖττον ἦν αὐτὴν ἢ συνέ- a
χεσθαι τοῖς κακοῖς τοῖς διὰ τὸν πόλεμον γιγνομένοις. (8)
Συνησθεὶς δὲ τοῖς περὶ τῆς εἰρήνης ψηφισθεῖσι, καὶ νο-
μίσας οὐ μόνον ἡμῖν ἀλλὰ καὶ σοὶ καὶ τοῖς ἄλλοις Ἑλ-

ritiam neque hoc nunc languore meo deceptum, hæc scribere ad te instituisse, sed justis causis et paulatim fuisse adductum.

2. Nam quum bellum a te et civitate nostra de Amphipoli gestum multorum malorum esse causam viderem, et de urbe et regione ista non eodem modo quo aut amici tui aut nostri oratores solent, dicere sum aggressus, sed sic, ut quam longissime ab illorum opinione recederem. (3) Nam illi quidem, dum vestris cupiditatibus subserviebant, oratione sua vos ad bellum incitabant: ego vero, de ipsis controversiis nihil pronuncians, id orationis genus eligebam, quod ad pacem conciliandam aptissimum fore mihi videbatur, utrorumque errorem reprehendens, quod et tu bellum pro nostris commodis gereres, et nos potentiam tuam stabiliremus: nam agri istius possessionem nos habere tibi quidem esse utile; nostræ autem urbi ejusdem occupationem nullo modo expedire. (4) Et hæc ita explicare videbar audientibus, ut nemo eorum orationem aut dictionem tanquam elaboratam et puram (id quod solent quidam) laudaret, sed rerum veritatem omnes admirarentur, et hanc unam esse rationem constituendæ inter vos concordiæ putarent, (5) si et tibi persuaderetur pluris esse Atheniensium amicitiam quam reditus Amphipolitanos, et nostra civitas intelligeret eas colonias fugiendas esse, quæ colonos suos quater aut quinquies perdidissent, illaque potius quærenda esse loca, quæ procul abessent ab iis qui imperare possent, vicina autem iis qui servire consuevissent. Cujusmodi in locum Lacedæmonii Cyrenæos colonos miserunt. (6) Ad hæc, si tu animadverteres te, si nobis verbo istam regionem tradidisses, ipsum re vera esse retenturum atque etiam benevolentiam nostram tibi conciliaturum (tot enim nostræ amicitiæ obsides accepturum, quot in regnum tuum colonos mitteremus), nostrum autem populum si quis doceret, nobis, si Amphipolim teneremus, necesse fore non minus tuis consultum velle rebus ob illos colonos qui in tuo imperio consedissent, quam veteris illius Amadoci propter eos qui in Chersoneso prædia habebant. (7) Quum igitur talia multa dicerentur speravere quicunque audierant, edita hac oratione bellum vos compositoros et periculosis consiliis abjectis de communi aliquo vestro bono deliberaturos. Sive igitur prudenter sive temere ita judicarunt, id ipsis scilicet imputandum est: verum quum ego in hoc argumento elaborando versarer, vos prudenti omnino consilio pacem fecistis, priusquam oratio absolveretur. Nam quocunque modo nobis pacem esse præstabat, quam conflictari malis illis, quæ bellum afferebat. (8) Quum autem decreto, quo pax constituebatur, delectarer eamque non nobis solum, sed et tibi et ceteris Graecis

λησιν ἅπασι συνοίσειν, ἀποστῆσαι μὲν τὴν ἐμαυτοῦ διάνοιαν τῶν ἐχομένων οὐχ οἷός τ' ἦν, ἀλλ' οὕτω διεκείμην ὥστ' εὐθὺς σκοπεῖσθαι πῶς ἂν τὰ πεπραγμένα παραμείνειεν ἡμῖν καὶ μὴ χρόνον ὀλίγον ἡ πόλις ἡμῶν διαλιποῦσα πάλιν ἑτέρων πολέμων ἐπιθυμήσειε· (9) b διεξιὼν δὲ περὶ τούτων πρὸς ἐμαυτὸν εὕρισκον οὐδαμῶς ἂν ἄλλως αὐτὴν ἡσυχίαν ἄγουσαν, πλὴν εἰ δόξειε ταῖς πόλεσι ταῖς μεγίσταις διαλυσαμέναις τὰ πρὸς σφᾶς αὐτὰς εἰς τὴν Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν, καὶ τὰς πλεονεξίας, ἃς νῦν παρὰ τῶν Ἑλλήνων ἀξιοῦσιν αὑταῖς γίγνεσθαι, ταύτας εἰ παρὰ τῶν βαρβάρων ποιήσασθαι βουληθεῖεν· ἅπερ ἐν τῷ πανηγυρικῷ λόγῳ τυγχάνω συμβεβουλευκώς.

10. Ταῦτα δὲ διανοηθείς, καὶ νομίσας οὐδέποτ' ἂν c εὑρεθῆναι καλλίω ταύτης ὑπόθεσιν οὐδὲ κοινοτέραν οὐδὲ μᾶλλον ἅπασιν ἡμῖν συμφέρουσαν, ἐπήρθην πάλιν γράψαι περὶ αὐτῆς, οὐκ ἀγνοῶν οὐδὲν τῶν περὶ ἐμαυτόν, ἀλλ' εἰδὼς μὲν τὸν λόγον τοῦτον οὐ τῆς ἡλικίας τῆς ἐμῆς δεόμενον, ἀλλ' ἀνδρὸς ἀνθοῦσαν τὴν ἀκμὴν ἔχοντος καὶ τὴν φύσιν πολὺ τῶν ἄλλων διαφέροντος, (11) ὁρῶν δ' ὅτι χαλεπόν ἐστι περὶ τὴν αὐτὴν ὑπόθεσιν d δύο λόγους ἀνεκτῶς εἰπεῖν, ἄλλως τε κἂν ὁ πρότερον ἐκδοθεὶς οὕτως ᾖ γεγραμμένος, ὥστε καὶ τοὺς βασκαίνοντας ἡμᾶς μιμεῖσθαι καὶ θαυμάζειν αὐτὸν μᾶλλον τῶν καθ' ὑπερβολὴν ἐπαινούντων. (12) Ἀλλ' ὅμως ἐγὼ ταύτας τὰς δυσχερείας ὑπεριδὼν οὕτως ἐπὶ γήρως γέγονα φιλότιμος, ὥστ' ἠβουλήθην ἅμα τοῖς πρὸς σὲ λεγομένοις καὶ τοῖς μετ' ἐμοῦ διατρίψασιν ὑποδεῖξαι e καὶ ποιῆσαι φανερόν, ὅτι τὸ μὲν ταῖς πανηγύρεσιν ἐνοχλεῖν καὶ πρὸς ἅπαντας λέγειν τοὺς συντρέχοντας ἐν αὐταῖς πρὸς οὐδένα λέγειν ἐστίν, ἀλλ' ὁμοίως οἱ τοιοῦτοι τῶν λόγων ἄκυροι τυγχάνουσιν ὄντες τοῖς νόμοις καὶ ταῖς πολιτείαις ταῖς ὑπὸ τῶν σοφιστῶν γεγραμμέναις,
85 (13) δεῖ δὲ τοὺς βουλομένους μὴ μάτην φλυαρεῖν, ἀλλὰ a προύργου τι ποιεῖν, καὶ τοὺς οἰομένους ἀγαθόν τι κοινὸν εὑρηκέναι τοὺς μὲν ἄλλους ἐᾶν πανηγυρίζειν, αὐτοὺς δ' ὧν εἰσηγοῦνται ποιήσασθαί τινα προστάτην τῶν καὶ λέγειν καὶ πράττειν δυναμένων καὶ δόξαν μεγάλην ἐχόντων, εἴπερ μέλλουσί τινες προσέξειν αὐτοῖς τὸν νοῦν. (14) Ἅπερ ἐγὼ γνοὺς διαλεχθῆναι σοι προειλόμην, οὐ πρὸς χάριν ἐκλεξάμενος, — καίτοι πρὸ πολλοῦ ποιησαίμην ἂν σοι κεχαρισμένως εἰπεῖν, ἀλλ' οὐκ ἐπὶ b τούτῳ τὴν διάνοιαν ἔσχον. Ἀλλὰ τοὺς μὲν ἄλλους ἑώρων τοὺς ἐνδόξους τῶν ἀνδρῶν ὑπὸ πόλεσι καὶ νόμοις οἰκοῦντας, καὶ οὐδὲν ἐξὸν αὐτοῖς ἄλλο πράττειν πλὴν τὸ προσταττόμενον, ἔτι δὲ πολὺ καταδεεστέρους ὄντας τῶν πραγμάτων τῶν ῥηθησομένων, (15) σοὶ δὲ μόνῳ πολλὴν ἐξουσίαν ὑπὸ τῆς τύχης δεδομένην καὶ πρέσβεις πέμπειν πρὸς οὕστινας ἂν βουληθῇς, καὶ δέχεσθαι παρ' ὧν ἄν σοι δοκῇ, καὶ λέγειν ὅ τι ἂν ἡγῇ συμφέρειν, πρὸς δὲ τούτοις καὶ πλοῦτον καὶ δύναμιν κεκτη- c μένον ὅσην οὐδεὶς τῶν Ἑλλήνων, ἃ μόνα τῶν ὄντων καὶ πείθειν καὶ βιάζεσθαι πέφυκεν· ὧν οἶμαι καὶ τὰ ῥηθησόμενα προσδεήσεσθαι. (16) Μέλλω γάρ σοι συμ-

omnibus profuturam existimarem, facere non potui, quin ea quæ restabant pertexerem, statimque cogitandum esse duxi, qua ratione ea quæ transacta essent, rata haberentur, neque nostra civitas post temporis exiguum spatium alia bella desideraret. (9) Quæ quum mecum ipse reputarem, nullo alio modo quieturam esse reperiebam, nisi maximæ civitates pace inter se facta bellum in Asiam transferendum, et emolumenta quæ nunc a Græcis extorquerent, e manubiis barbarorum petenda esse censerent; id quod jam in Panegyrica oratione consului.

10. Quæ quum animo agitarem nec argumentum vel honestius vel magnificentius vel nobis omnibus utilius unquam ne excogitari quidem posse persuasum haberem, ad id de integro tractandum sum incitatus, etsi rerum mearum nihil ignoro et satis intelligo negotium hoc non meæ senectuti esse aptum, sed virum postulare florentis ætatis et aliis ingenio multum excellentem. (11) Atque illud etiam video quam difficile sit binas de eadem re tolerabiles habere orationes, præsertim si ea quæ prius edita est, sic scripta sit, ut eam vel invidi nostri imitentur et magis admirentur, quam ii qui summis laudibus extollunt. (12) Verum ego his difficultatibus neglectis in senectute adeo sum factus acer, ut per ea quæ tibi dico meis etiam discipulis demonstrare planumque facere studuerim, conventibus publicis ingerere sese et ad omnes eos qui ibi concurrunt verba facere perinde esse, ac si nemini loquerentur, sed hujusmodi orationes non minus esse irritas quam leges et respublicas a sophistis scriptas, (13) oportere autem eos qui non frustra nugari, sed aliquod operæ pretium facere vellent, quique sibi aliquid utile reipublicæ reperisse viderentur, omissis concionum celebritatibus, eorum quæ facienda censerent ducem atque auctorem aliquem ex iis eligere, qui et dicendo et rebus gerendis valerent, magnaque fama essent, si quidem habituri sunt qui eos attente audiant. (14) Quibus ego perspectis tecum disserere constitui; nec ea delegi, quæ auditu jucunda essent: etsi me jucunda tibi posse dicere inprimis vellem, tamen id mihi propositum non fuit. Nam alios quidem præstantes viros rebuspublicis et legibus subjectos esse videbam nec licere iis facere quicquam, nisi quod juberentur, neque ulla ex parte pares esse magnitudini rerum, de quibus dicendum est; (15) tibi autem soli magnam potestatem a fortuna datam esse et legatos mittendi quocumque velles, et excipiendi a quibus videretur, et dicendi quod utile judicares: præterea tantas divitias et copias suppetere, quantas in Græcia nemini: quæ res solæ persuadendi et cogendi vi sunt præditæ, hisque ad ea quæ dicenda sunt opus fore puto. (16) Suasurus enim tibi sum, ut et con-

βουλεύειν προστῆναι τῆς τε τῶν Ἑλλήνων ὁμονοίας καὶ τῆς ἐπὶ τοὺς βαρβάρους στρατείας· ἔστι δὲ τὸ μὲν πείθειν πρὸς τοὺς Ἕλληνας συμφέρον, τὸ δὲ βιάζεσθαι πρὸς τοὺς βαρβάρους χρήσιμον. Ἡ μὲν οὖν περιβολὴ d
παντὸς τοῦ λόγου τοιαύτη τίς ἐστιν.

17. Οὐκ ὀκνήσω δὲ πρὸς σὲ κατειπεῖν ἐφ' οἷς ἐλύπησάν τινές με τῶν πλησιασάντων· οἶμαι γὰρ ἔσεσθαί τι προὔργου. Δηλώσαντος γάρ μου πρὸς αὐτοὺς ὅτι μέλλω σοι λόγον πέμπειν οὐκ ἐπίδειξιν ποιησόμενον οὐδ' ἐγκωμιασόμενον τοὺς πολέμους τοὺς διὰ σοῦ γεγενημένους (ἕτεροι γὰρ τοῦτο ποιήσουσιν), ἀλλὰ πειρασόμενόν σε προτρέπειν ἐπὶ πράξεις οἰκειοτέρας καὶ καλλίους e
καὶ μᾶλλον συμφερούσας ὧν νῦν τυγχάνεις προῃρημένος, (18) οὕτως ἐξεπλάγησαν μὴ διὰ τὸ γῆρας ἐξεστηκὼς ὦ τοῦ φρονεῖν, ὥστ' ἐτόλμησαν ἐπιπλῆξαί μοι, πρότερον οὐκ εἰωθότες τοῦτο ποιεῖν, λέγοντες ὡς ἀτό-
86 ποις καὶ λίαν ἀνοήτοις ἐπιχειρῶ πράγμασιν, « ὅς τις a
Φιλίππῳ συμβουλεύσοντα λόγον μέλλεις πέμπειν, ὃς εἰ καὶ πρότερον ἐνόμιζεν αὑτὸν εἶναί τινος πρὸς τὸ φρονεῖν καταδεέστερον, νῦν διὰ τὸ μέγεθος τῶν συμβεβηκότων οὐκ ἔστιν ὅπως οὐκ οἴεται βέλτιον δύνασθαι βουλεύεσθαι τῶν ἄλλων. (19) Ἔπειτα καὶ Μακεδόνων ἔχει περὶ αὑτὸν τοὺς σπουδαιοτάτους, οὓς εἰκός, εἰ καὶ περὶ τῶν ἄλλων ἀπείρως ἔχουσι, τό γε συμφέρον ἐκείνῳ μᾶλλον ἢ σὲ γιγνώσκειν. Ἔτι δὲ καὶ τῶν Ἑλλήνων b
πολλοὺς ἂν ἴδοις ἐκεῖ κατοικοῦντας, οὐκ ἀδόξους ἄνδρας οὐδ' ἀνοήτους, ἀλλ' οἷς ἐκεῖνος ἀνακοινούμενος οὐκ ἐλάττω τὴν βασιλείαν πεποίηκεν, ἀλλ' εὐχῆς ἄξια διαπέπρακται. (20) Τί γὰρ ἐλλέλοιπεν; οὐ Θετταλοὺς μὲν τοὺς πρότερον ἐπάρχοντας Μακεδονίας οὕτως οἰκείως πρὸς αὑτὸν διακεῖσθαι πεποίηκεν, ὥσθ' ἑκάστους αὐτῶν μᾶλλον ἐκείνῳ πιστεύειν ἢ τοῖς συμπολιτευομένοις; τῶν δὲ πόλεων τῶν περὶ τὸν τόπον ἐκεῖνον τὰς c
μὲν ταῖς εὐεργεσίαις πρὸς τὴν αὑτοῦ συμμαχίαν προσῆκται, τὰς δὲ σφόδρα λυπούσας αὐτὸν ἀναστάτους πεποίηκεν; (21) Μάγνητας δὲ καὶ Περραιβοὺς καὶ Παίονας κατέστραπται, καὶ πάντας ὑπηκόους αὑτοὺς εἴληφεν; τοῦ δ' Ἰλλυριῶν πλήθους πλὴν τῶν παρὰ τὸν d
Ἀδρίαν οἰκούντων ἐγκρατὴς καὶ κύριος γέγονεν; ἁπάσης δὲ τῆς Θρᾴκης οὓς ἠβουλήθη δεσπότας κατέστησεν; τὸν δὴ τοιαῦτα καὶ τηλικαῦτα διαπεπραγμένον οὐκ οἴει πολλὴν μωρίαν καταγνώσεσθαι τοῦ πέμψαντος τὸ βιβλίον, καὶ πολὺ διεψεῦσθαι νομιεῖν τῆς τε τῶν λόγων δυνάμεως καὶ τῆς αὑτοῦ διανοίας; » (22) Ταῦτ' ἀκούσας ὡς μὲν τὸ πρῶτον ἐξεπλάγην, καὶ πάλιν ὡς ἀναλαβὼν ἐμαυτὸν ἀντεῖπον πρὸς ἕκαστον τῶν ῥηθέντων, παραλείψω, μὴ καὶ δόξω τισὶ λίαν ἀγαπᾶν, εἰ χαριέντως αὐτοὺς ἠμυνάμην· λυπήσας δ' οὖν μετρίως (ὡς ἐμαυ- e
τὸν ἔπειθον) τοὺς ἐπιπλῆξαί μοι τολμήσαντας, τελευτῶν ὑπεσχόμην μόνοις αὐτοῖς τὸν λόγον τῶν ἐν τῇ πόλει δείξειν, καὶ ποιήσειν οὐδὲν ἄλλο περὶ αὐτοῦ πλὴν ὅ τι ἂν ἐκείνοις δόξῃ. (23) Τούτων ἀκούσαντες ἀπῆλ-
87 θον, οὐκ οἶδ' ὅπως τὴν διάνοιαν ἔχοντες. Πλὴν οὐ a
πολλαῖς ἡμέραις ὕστερον ἐπιτελεσθέντος τοῦ λόγου καὶ

cordiam inter Græcos constituas et bellum contra barbaros suscipias. Est autem suadere inter Græcos conducibile, cogere inter barbaros utile. Summa igitur totius orationis hæc est.

17. Sed quibus mihi rebus quidam familiarium molesti fuerint, indicare tibi non dubitabo. Id enim fore puto operæ pretium. Nam quum me orationem ad te missurum esse illis narrassem, quæ non ad ostentationem comparata esset aut bellicas tuas laudes celebraret (id enim alios esse facturos), sed qua te ad res convenientiores et pulchriores et utiliores iis ad quas nunc animum adjecisses, exhortari conarer: (18) usque adeo veriti sunt, ne senio delirarem, ut, quod prius facere non consueverant, objurgare me auderent quum dicerent, me absurda et prorsus inepta moliri, qui Philippo suasionem missurus essem: qui, inquiebant, ut hactenus ab ullo prudentia superari se censuerit, nunc ob successuum magnitudinem fieri non potest quin se prudentius aliis deliberare posse existimet. (19) Præterea Macedonum alacerrimos quosque familiares secum habet, quos consentaneum est, ut ceterarum rerum imperiti sint, quid ei expediat, melius te intelligere. Ad hæc Græcorum etiam multos illic habitare videas viros nec obscuros nec insulsos, quorum ille consiliis usus non minuit imperium, sed ea gessit, quibus ne optari quidem meliora possint. (20) Quid enim deest? nonne Thessalorum animos, qui pridem regnum Macedonicum affectarunt, ita sibi conciliavit, ut eorum nemo non plus ei quam suis civibus fidat? nonne urbium in illa vicinia alias beneficiis ad societatem sibi devinxit, alias quæ se pertinacius opposuerant funditus evertit? (21) Non Magnetes et Perrhæbos et Pæones subegit omnesque in deditionem recepit? non maximæ partis Illyriorum, iis qui Adriam accolunt exceptis, victor ac dominus evasit? non universæ Thraciæ, quos voluit, dominos fecit? Talem igitur virum et tantis rebus gestis, non maxima stultitia præditum esse illum qui libellum istum miserit, et opinionem de ipsius eloquentia et ingenio prorsus falsam concepisse judicaturum censes? » (22) His ego auditis non dicam neque ut primum perculsus fuerim, neque quum recepissem animum, quid ad singula dicta responderim, ne quibus ipse mihi nimis placere videar de urbana eorum confutatione. Quum autem (ut mihi quidem persuadebam) eos qui me reprehendere ausi fuerant, molestia mediocri affecissem, tandem pollicitus sum me solis eis ex omnibus civibus orationem ostensurum, nec quicquam aliud de ea statuere velle, nisi quod ipsis videretur. (23) His illi auditis abierunt; quo animo, nescio. Sed non multis diebus

δειχθέντος αὐτοῖς τοσοῦτον μετέπεσον, ὥστ' ᾐσχύνοντο μὲν ἐφ' οἷς ἐθρασύναντο, μετέμελε δ' αὐτοῖς ἁπάντων τῶν εἰρημένων, ὡμολόγουν δὲ μηδενὸς πώποτε τοσοῦτον πράγματος διαμαρτεῖν, ἔσπευδον δὲ μᾶλλον ἢ 'γὼ πεμφθῆναί σοι τὸν λόγον τοῦτον, ἔλεγον δ' ὡς ἐλπίζουσιν οὐ μόνον σὲ καὶ τὴν πόλιν ἕξειν μοι χάριν ὑπὲρ τῶν εἰρημένων, ἀλλὰ καὶ τοὺς Ἕλληνας ἅπαντας. b

24. Τούτου δ' ἕνεκά σοι ταῦτα διῆλθον, ἵν' ἄν τί σοι φανῇ τῶν ἐν ἀρχῇ λεγομένων ἢ μὴ πιστὸν ἢ μὴ δυνατὸν ἢ μὴ πρέπον σοι πράττειν, μὴ δυσχεράνας ἀποστῇς τῶν λοιπῶν, μηδὲ πάθῃς ταὐτὸ τοῖς ἐπιτηδείοις τοῖς ἐμοῖς, ἀλλ' ἐπιμείνῃς ἡσυχάζουσαν ἔχων τὴν διάνοιαν, ἕως ἂν διὰ τέλους ἀκούσῃς ἁπάντων τῶν λεγομένων· οἶμαι γὰρ ἐρεῖν τι τῶν δεόντων καὶ τῶν σοὶ συμφερόντων. (25) Καίτοι μ' οὐ λέληθεν ὅσον διαφέ- c ρουσι τῶν λόγων εἰς τὸ πείθειν οἱ λεγόμενοι τῶν ἀναγιγνωσκομένων, οὐδ' ὅτι πάντες ὑπειλήφασι τοὺς μὲν περὶ σπουδαίων πραγμάτων καὶ κατεπειγόντων ῥητορεύεσθαι, τοὺς δὲ πρὸς ἐπίδειξιν καὶ πρὸς ἐργολαβίαν γεγράφθαι. Καὶ ταῦτ' οὐκ ἀλόγως ἐγνώκασιν· (26) ἐπειδὰν γὰρ ὁ λόγος ἀποστερηθῇ τῆς τε δόξης τῆς τοῦ λέγοντος καὶ τῆς φωνῆς καὶ τῶν μεταβολῶν τῶν ἐν ταῖς ῥητο- d ρείαις γιγνομένων, ἔτι δὲ τῶν καιρῶν καὶ τῆς σπουδῆς τῆς περὶ τὴν πρᾶξιν, καὶ μηδὲν ᾖ τὸ συναγωνιζόμενον καὶ συμπεῖθον, ἀλλὰ τῶν μὲν προειρημένων ἁπάντων ἔρημος γένηται καὶ γυμνός, ἀναγιγνώσκῃ δέ τις αὐτὸν ἀπιθάνως καὶ μηδὲν ἦθος ἐνσημαινόμενος, ἀλλ' ὥσπερ ἀπαριθμῶν, (27) εἰκότως, οἶμαι, φαῦλος εἶναι δοκεῖ τοῖς ἀκούουσιν, ἅπερ καὶ τὸν νῦν ἐπιδεικνύμενον μάλιστ' ἂν βλάψειε καὶ φαυλότερον φαίνεσθαι ποιήσειεν· οὐδὲ γὰρ ταῖς περὶ τὴν λέξιν εὐρυθμίαις καὶ ποικιλίαις κεκοσμή- e καμεν αὐτόν, αἷς αὐτός τε νεώτερος ὢν ἐχρώμην, καὶ τοῖς ἄλλοις ὑπέδειξα δι' ὧν τοὺς λόγους ἡδίους ἂν ἅμα 85 καὶ πιστοτέρους ποιοῖεν. (28) Ὧν οὐδὲν ἔτι δύναμαι a διὰ τὴν ἡλικίαν, ἀλλ' ἀπόχρη μοι τοσοῦτον, ἣν αὐτὰς τὰς πράξεις ἁπλῶς δυνηθῶ διελθεῖν. Ἡγοῦμαι δὲ καὶ σοὶ προσήκειν ἁπάντων τῶν ἄλλων ἀμελήσαντι ταύταις μόναις προσέχειν τὸν νοῦν. (29) Οὕτω δ' ἂν ἀκριβέστατα καὶ κάλλιστα θεωρήσειας εἴ τι τυγχάνομεν λέγοντες, ἣν τὰς μὲν δυσχερείας τὰς περὶ τοὺς σοφιστὰς καὶ τοὺς ἀναγιγνωσκομένους τῶν λόγων ἀφέλῃς, ἀναλαμβά- b νων δ' ἕκαστον αὐτῶν εἰς τὴν διάνοιαν ἐξετάζῃς, μὴ πάρεργον ποιούμενος μηδὲ μετὰ ῥᾳθυμίας, ἀλλὰ μετὰ λογισμοῦ καὶ φιλοσοφίας, ἧς καὶ σὲ μετεσχηκέναι φασίν. Μετὰ γὰρ τούτων σκοπούμενος μᾶλλον ἢ μετὰ τῆς τῶν πολλῶν δόξης ἄμεινον ἂν βουλεύσαιο περὶ αὐτῶν. Ἃ μὲν οὖν ἐβουλόμην σοι προειρῆσθαι, ταῦτ' ἐστίν.

30. Περὶ δ' αὐτῶν τῶν πραγμάτων ἤδη ποιήσομαι c τοὺς λόγους. Φημὶ γὰρ χρῆναί σε τῶν μὲν ἰδίων μηδενὸς ἀμελῆσαι, πειραθῆναι δὲ διαλλάξαι τήν τε πόλιν τὴν Ἀργείων καὶ τὴν Λακεδαιμονίων καὶ τὴν Θηβαίων καὶ τὴν ἡμετέραν. Ἣν γὰρ ταύτας συστῆσαι δυνηθῇς, οὐ χαλεπῶς καὶ τὰς ἄλλας ὁμονοεῖν ποιήσεις· (31) ἁπα-

post absoluta oratione et eis ostensa ita mutati sunt, ut eos eorum quæ audacius dixerant, puderet et omnium quæ locuti fuerant, pœniteret, utque faterentur se nulla unquam tanta in re ita fuisse deceptos, magisque festinabant quam ego, ut tibi quam primum hæc mitteretur oratio. Aiebant autem sperare se, non te tantum et rempublicam nostram habituros mihi gratiam de his quæ dicta essent, sed etiam Græcos universos.

24. Hæc eo tibi commemoravi, ut si quid initio orationis tibi aut non credibile aut non posse fieri aut tibi factu indecorum esse videbitur, non indignabundus abjicias reliqua neque idem quod mei familiares facias, sed tranquillo animo judicium differas, dum ad finem usque rem omnem audieris. Arbitror enim aliquid me dicturum, quod et opportunum sit et tibi expediat. (25) Neque vero me fallit, quantum ad persuadendum intersit inter orationes quæ ab ipso oratore pronunciantur et eas quæ recitantur, neque ignoro omnes existimare illas de rebus gravibus et necessariis haberi, has autem ostentationis aut lucelli alicujus gratia scriptas esse. Atque in his quidem non temere judicant. (26) Nam si oratoris et auctoritate et voce et actionis varietate in eloquentiæ studiis usitata destituatur oratio atque etiam occasionibus et studio gerendæ rei, nihilque sit quod vires augeat et ad persuadendum adjuvet, sed quum his omnibus careat, tum vero inepte nulloque cum affectu ab aliquo recitetur, qui verba quodammodo numeret : (27) eam contemni ab auditoribus quis miretur? Quæ res hanc quoque orationem, quæ tibi nunc offertur, maxime lædere poterunt atque efficere ut deterior esse videatur. Neque enim numerositatis aut reliquorum ornamentorum rationem habuimus, quæ et ipse, dum essem junior, usurpavi et aliis demonstravi, quibus rebus orationes et suaviores et evidentiores redderentur. (28) Quæ omnia huic ætati meæ desunt, cui id unum satis fuerit, si res ipsas simpliciter exponere potuero. Arbitror autem te quoque, neglectis ceteris omnibus, ad has solas animum intendere. (29) Nam ita demum evidentissime et pulcherrime cognosces quid nostræ orationi insit, si rhetoricas difficultates, quæ legendis orationibus objiciuntur, amoveris et unumquodque singulatim animo complexus expenderis, non quidem obiter aut segniter, sed summo studio et cogitatione adhibita, quæ docto homine (in quo te quoque numero esse ferunt) digna est. Quodsi hac potius ratione deliberandi usus fueris quam populari opinione, rectius de rebus omnibus statues. Ac quæ præfari apud te volui, hæc sunt.

30. Jam vero ad res ipsas explicandas aggrediar. Sic igitur sentio : tibi tuarum quidem rerum nullam esse negligendam, sed in eo laborandum, ut inter Argivos et Lacedæmonios et Thebanos, et nostram civitatem pacem facias : quas urbes si reconciliaris, non utique difficile erit etiam ceteras in concordiam reducere. (31) Omnes enim

σαι γάρ εἰσιν ὑπὸ ταῖς εἰρημέναις, καὶ καταφεύγουσιν, ὅταν φοβηθῶσιν, ἐφ' ἣν ἂν τύχωσι τούτων, καὶ τὰς βοηθείας ἐντεῦθεν λαμβάνουσιν. Ὥστ' ἐὰν τέτταρας d μόνον πόλεις εὖ φρονεῖν πείσῃς, καὶ τὰς ἄλλας πολλῶν κακῶν ἀπαλλάξεις.

32. Γνοίης δ' ἂν ὡς οὐδεμιᾶς σοι προσήκει τούτων ὀλιγωρεῖν, ἣν ἀνενέγκῃς αὐτῶν τὰς πράξεις ἐπὶ τοὺς σοὺς προγόνους· εὑρήσεις γὰρ ἑκάστῃ πολλὴν φιλίαν πρὸς ὑμᾶς καὶ μεγάλας εὐεργεσίας ὑπαρχούσας. Ἄργος μὲν γάρ ἐστί σοι πατρίς, ἧς δίκαιον τοσαύτην σε ποιεῖσθαι πρόνοιαν ὅσην περ τῶν γονέων τῶν σαυτοῦ· Θη- e βαῖοι δὲ τὸν ἀρχηγὸν τοῦ γένους ὑμῶν τιμῶσι καὶ ταῖς προσόδοις καὶ ταῖς θυσίαις μᾶλλον ἢ τοὺς θεοὺς τοὺς ἄλλους· (33) Λακεδαιμόνιοι δὲ τοῖς ἀπ' ἐκείνου γεγονόσι καὶ τὴν βασιλείαν καὶ τὴν ἡγεμονίαν εἰς ἅπαντα
89 τὸν χρόνον δεδώκασι· τὴν δὲ πόλιν τὴν ἡμετέραν φασὶν a οἷς περὶ τῶν παλαιῶν πιστεύομεν, Ἡρακλεῖ μὲν συναιτίαν γενέσθαι τῆς ἀθανασίας (ὃν δὲ τρόπον, σοὶ μὲν αὖθις πυθέσθαι ῥᾴδιον, ἐμοὶ δὲ νῦν εἰπεῖν οὐ καιρός), τοῖς δὲ παισὶ τοῖς ἐκείνου τῆς σωτηρίας. (34) Μόνη γὰρ ὑποστᾶσα τοὺς μεγίστους κινδύνους πρὸς τὴν Εὐρυσθέως δύναμιν ἐκεῖνόν τε τῆς ὕβρεως ἔπαυσε, καὶ τοὺς παῖδας τῶν φόβων τῶν ἀεὶ παραγιγνομένων αὐτοῖς ἀπήλλαξεν. Ὑπὲρ ὧν οὐ μόνον τοὺς τότε σωθέντας b δίκαιον ἦν ἡμῖν χάριν ἔχειν, ἀλλὰ καὶ τοὺς νῦν ὄντας· διὰ γὰρ ἡμᾶς καὶ ζῶσι καὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἀπολαύουσι· μὴ γὰρ σωθέντων ἐκείνων οὐδὲ γενέσθαι τὸ παράπαν ὑπῆρχεν αὐτοῖς.

35. Τοιούτων οὖν ἁπασῶν τῶν πόλεων γεγενημένων ἔδει μὲν μηδέποτέ σοι μηδὲ πρὸς μίαν αὐτῶν γενέσθαι διαφοράν· ἀλλὰ γὰρ ἅπαντες πλείω πεφύκαμεν ἐξαμαρτάνειν ἢ κατορθοῦν. Ὥστε τὰ μὲν πρότερον γεγενημένα κοινὰ θεῖναι δίκαιόν ἐστιν· εἰς δὲ τὸν ἐπίλοιπον χρόνον c φυλακτέον ὅπως μηδὲν συμβήσεταί σοι τοιοῦτον, καὶ σκεπτέον τί ἂν ἀγαθὸν αὐτὰς ἐργασάμενος φανείης ἄξια καὶ σαυτοῦ καὶ τῶν ἐκείναις πεπραγμένων πεποιηκώς. (36) Ἔχεις δὲ καιρόν· ἀποδιδόντα γάρ σε χάριν ὧν ὠφείλες, ὑπολήψονται διὰ τὸ πλῆθος τοῦ χρόνου τοῦ μεταξὺ προϋπάρχειν τῶν εὐεργεσιῶν. Καλὸν δ' ἐστὶ δοκεῖν μὲν τὰς μεγίστας τῶν πόλεων εὖ ποιεῖν, μηδὲν δ' ἧττον ἑαυτὸν ἢ 'κείνας ὠφελεῖν. (37) Χωρὶς δὲ τούτων, εἴ d πρός τινας αὐτῶν ἀηδές τί σοι συμβέβηκεν, ἅπαντα ταῦτα διαλύσεις· αἱ γὰρ ἐν τοῖς παροῦσι καιροῖς εὐεργεσίαι λήθην ἐμποιοῦσι τῶν πρότερον ὑμῖν εἰς ἀλλήλους πεπλημμελημένων. Ἀλλὰ μὴν κἀκεῖνο φανερόν, ὅτι πάντες ἄνθρωποι τούτων πλείστην μνείαν ἔχουσιν, ὧν ἂν ἐν ταῖς συμφοραῖς εὖ πάθωσιν. (38) Ὁρᾷς δ' ὡς τεταλαιπώρηνται διὰ τὸν πόλεμον, καὶ ὡς παραπλησίως ἔχουσι τοῖς ἰδίᾳ μαχομένοις. Καὶ γὰρ ἐκείνους e αὐξομένης μὲν τῆς ὀργῆς οὐδεὶς ἂν διαλλάξειεν· ἐπὴν δὲ κακῶς ἀλλήλους διαθῶσιν, οὐδενὸς διαλύοντος αὐτοὶ διέ-
90 στησαν. Ὅπερ οἶμαι καὶ ταύτας ποιήσειν, ἢν μὴ σὺ a πρότερον αὐτῶν ἐπιμεληθῇς.

39. Τάχ' οὖν ἄν τις ἐνστῆναι τοῖς εἰρημένοις τολμή-

his obnoxiæ sunt et ad aliquam harum, quo casus tulerit, quum timent, confugiunt, opemque inde petunt. Itaque si consiliis tuis quattuor tantum urbes ad sanam mentem revocaris, etiam reliquas multis malis liberabis.

32. Nullam autem harum tibi esse negligendam ita cognosces, si res gestas illarum ad tuos majores retuleris. In qualibet enim amicitiam erga vos singularem et magna beneficia exstare comperies. Nam Argos patria tua est, nec minori cura tuendum quam parentes tui; et Thebani conditorem generis vestri supplicationibus et sacrificiis præter ceteros deos venerantur; (33) et Lacedæmonii posteris ejus regnum et imperium in omne tempus dederunt. Nostram denique civitatem illi, quibus de memoria vetustatis credimus, Herculi immortalitatis adjutricem (quod quomodo factum sit, tibi alias cognitu facile, mihi nunc commemoratu intempestivum est), liberis autem ejus salutis auctorem fuisse perhibent. (34) Sola enim susceptis maximis periculis adversus Eurysthei potentiam et Herculem defendit, et liberos ejus, illius ferocia repressa, metu semper imminente liberavit. Quibus de rebus non eos tantum qui tum servati sunt, æquum erat nobis gratiam habere, sed etiam hos qui hodie supersunt. Nostra enim opera vivunt et suis bonis fruuntur: uam nisi illi mansissent incolumes, hi prorsus ne nasci quidem potuissent.

35. Quum igitur hæ urbes ita se gesserint, par sane erat nullum tibi unquam cum ulla earum fuisse dissidium. Verum ita natura comparatum est, ut omnes sæpius peccemus, quam officio fungamur. Quæ igitur antehac facta sunt, debilitati humanæ jure tribuuntur; in posterum vero prospiciendum est ne quid tale tibi usuveniat, et in id incumbendum, ut beneficium aliquod et te et illarum meritis dignum in eas conferas: (36) cujus rei jam datur occasio. Nam dum gratiam pro acceptis beneficiis debitam referes, ob tantum spatium temporis interjectum te priorem conferre in se beneficium putabunt. Præclarum est autem de maximis urbibus bene mereri videri, nihilo vero minus tibi quam illis prodesse. (37) Præterea si quibus illarum, ut nonnihil molestus esses, accidit, ea omnia obliterabis. Hujus enim temporis beneficia superiores offensas utrimque oblivione tegunt. Jam illud etiam notum est, omnes eorum beneficiorum, quæ in calamitatibus acceperint, maxime solere meminisse. (38) Quibus autem malis propter bella conflictentur, vides, et ut iis sint similes, qui privatim inter se pugnent, quos gliscente iracundia reconciliare queat nemo, sed ubi alteri alteros male mulctarint, nemine dirimente ultro discedunt. Id quod etiam has urbes credo facturas, nisi tu prius curam earum susceperis.

39. At enim forsitan refragari aliquis his quæ dicta sunt

σειε, λέγων ὡς ἐπιχειρῶ σε πείθειν ἀδυνάτοις ἐπιτίθε-
σθαι πράγμασιν· οὔτε γὰρ Ἀργείους φίλους ἄν ποτε
γενέσθαι Λακεδαιμονίοις οὔτε Λακεδαιμονίους Θηβαίοις,
οὔθ' ὅλως τοὺς εἰθισμένους ἅπαντα τὸν χρόνον πλεονε-
κτεῖν οὐδέποτ' ἂν ἰσομοιρῆσαι πρὸς ἀλλήλους. (40) Ἐγὼ
δ', ὅτε μὲν ἡ πόλις ἡμῶν ἐν τοῖς Ἕλλησιν ἐδυνάστευε
καὶ πάλιν ἡ Λακεδαιμονίων, οὐδὲν ἂν ἡγοῦμαι περαν- b
θῆναι τούτων· ῥᾳδίως γὰρ ἂν ἑκατέραν ἐμποδὼν γενέ-
σθαι τοῖς πραττομένοις· νῦν δ' οὐχ ὁμοίως ἔγνωκα περὶ
αὐτῶν. Οἶδα γὰρ ἁπάσας ὡμαλισμένας ὑπὸ τῶν συμ-
φορῶν, ὥσθ' ἡγοῦμαι πολὺ μᾶλλον αὐτὰς αἱρήσεσθαι
τὰς ἐκ τῆς ὁμονοίας ὠφελείας ἢ τὰς ἐκ τῶν τότε πρατ-
τομένων πλεονεξίας. (41) Ἔπειτα τῶν μὲν ἄλλων
ὁμολογῶ μηδέν' ἂν δυνηθῆναι διαλλάξαι τὰς πόλεις
ταύτας, σοὶ δ' οὐδὲν τῶν τοιούτων ἐστὶ χαλεπόν. Ὁρῶ c
γάρ σε τῶν τοῖς ἄλλοις ἀνελπίστων δοκούντων εἶναι καὶ
παραδόξων πολλὰ διαπεπραγμένον, ὥστ' οὐδὲν ἄτοπον
εἰ καὶ ταῦτα μόνος συστῆσαι δυνηθείης. Χρὴ δὲ τοὺς
μέγα φρονοῦντας καὶ τοὺς διαφέροντας μὴ τοῖς τοιούτοις
ἐπιχειρεῖν ἃ καὶ τῶν τυχόντων ἄν τις καταπράξειεν,
ἀλλ' ἐκείνοις οἷς μηδεὶς ἂν ἄλλος ἐπιχειρήσειε πλὴν
τῶν ὁμοίαν σοὶ καὶ τὴν φύσιν καὶ τὴν δύναμιν ἐχόν-
των.

42. Θαυμάζω δὲ τῶν ἡγουμένων ἀδύνατον εἶναι d
πραχθῆναί τι τούτων, εἰ μήτ' αὐτοὶ τυγχάνουσιν εἰδό-
τες μήθ' ἑτέρων ἀκηκόασιν ὅτι πολλοὶ δὴ πόλεμοι καὶ
δεινοὶ γεγόνασιν, οὓς οἱ διαλυσάμενοι μεγάλων ἀγαθῶν
ἀλλήλοις αἴτιοι κατέστησαν. Τίς γὰρ ἂν ὑπερβολὴ γέ-
νοιτο τῆς ἔχθρας τῆς πρὸς Ξέρξην τοῖς Ἕλλησι γενο-
μένης; οὗ τὴν φιλίαν ἅπαντες ἴσασιν ἡμᾶς τε καὶ Λα-
κεδαιμονίους μᾶλλον ἀγαπήσαντας ἢ τῶν συγκατασκευ- e
ασάντων ἑκατέροις ἡμῶν τὴν ἀρχήν. (43) Καὶ τί δεῖ
λέγειν τὰ παλαιὰ καὶ τὰ πρὸς τοὺς βαρβάρους; ἀλλ' εἴ
τις ἀθρήσειε καὶ σκέψαιτο τὰς τῶν Ἑλλήνων συμφο-
ράς, οὐδὲν ἂν μέρος οὖσαι φανεῖεν τῶν διὰ Θηβαίους
91 καὶ Λακεδαιμονίους ἡμῖν γεγενημένων. Ἀλλ' οὐδὲν a
ἧττον Λακεδαιμονίων τε στρατευσάντων ἐπὶ Θηβαίους,
καὶ βουλομένων λυμήνασθαι τὴν Βοιωτίαν καὶ διοικί-
σαι τὰς πόλεις, βοηθήσαντες ἡμεῖς ἐμποδὼν ἐγενόμεθα
ταῖς ἐκείνων ἐπιθυμίαις· (44) καὶ πάλιν μεταπεσούσης
τῆς τύχης, καὶ Θηβαίων καὶ Πελοποννησίων ἁπάντων
ἐπιχειρησάντων ἀνάστατον ποιῆσαι τὴν Σπάρτην, ἡμεῖς
καὶ πρὸς ἐκείνους μόνοι τῶν Ἑλλήνων ποιησάμενοι συμ-
μαχίαν συναίτιοι τῆς σωτηρίας αὐτοῖς κατέστημεν. (45) b
Πολλῆς οὖν ἀνοίας ἂν εἴη μεστός, εἴ τις ὁρῶν τηλικαύτας
μεταβολὰς γιγνομένας, καὶ τὰς πόλεις μήτ' ἔχθρας μήθ'
ὅρκων μήτ' ἄλλου μηδενὸς φροντιζούσας, πλὴν ὅ τι ἂν
ὑπολάβωσιν ὠφέλιμον αὑταῖς εἶναι, τοῦτο δὲ στεργού-
σας μόνον καὶ πᾶσαν τὴν σπουδὴν περὶ τούτου ποιου-
μένας, μὴ καὶ νῦν νομίζοι τὴν αὐτὴν γνώμην ἕξειν αὐτάς,
ἄλλως τε καὶ σοῦ μὲν ἐπιστατοῦντος ταῖς διαλλαγαῖς,
τοῦ δὲ συμφέροντος πείθοντος, τῶν δὲ παρόντων κακῶν c
ἀναγκαζόντων. Ἐγὼ μὲν γὰρ οἶμαι τούτων σοι συναγω-
νιζομένων ἅπαντα γενήσεσθαι κατὰ τρόπον.

audeat, eaque me tibi suscipienda suadere dicat, quæ fieri non possint. Neque enim Argivos unquam Lacedæmoniis amicos fore, neque Lacedæmonios Thebanis; denique unquam fore, ut ii qui omni tempore plus vindicare sibi consueverint, in pari æquoque jure acquiescant. (40) Ego vero, quum nostra civitas in Græcia dominaretur, et postea Lacedæmonii, tale quidquam perfici non potuisse censeo : utramque enim hujusmodi conatus facile interturbaturam fuisse puto : at nunc non eadem de iis judico. Scio enim omnes urbes calamitatibus exæquatas esse. Quare has civitates commoda concordiæ longe prælaturas superiorum actionum acquisitionibus existimo. (41) Deinde a ceterorum mortalium nemine in concordiam eas posse reduci confiteor : tibi vero nihil ejusmodi difficile est, quem multa perfecisse videam, quæ aliis desperanda et admirabilia viderentur. Quare mirum non erit, si tu solus etiam hæc potueris componere. Magni autem et excellentis animi est non ea suscipere quæ præstare quivis e populo possit, sed illa, quæ nemo alius conari audeat, nisi et ingenio tibi par et potentia.

42. Miror autem equidem, si qui horum aliquid perfici posse negant, nec ipsi sciunt, nec ex aliis audiverunt, multa et atrocia bella exarsisse, quæ qui deposuerint, maximis ultro citroque se beneficiis affecerunt. Quicquamne ad magnitudinem odii Græcorum in Xerxem accedere potuit? cujus amicitia universi sciunt et nos et Lacedæmonios magis esse delectatos, quam eorum qui utrisque nostrûm constituendi imperii adjutores fuerant. (43) Quorsum autem vetera illa et barbarica referre attinet? nam si quis clades Græcorum intueatur et consideret, ne pars quidem eorum malorum esse videantur, quæ Lacedæmonii nobis Thebanique attulerunt. Tamen quum Lacedæmonii contra Thebanos exercitum ducerent ac Bœotiam vastare et urbes dissipare vellent, nos opem tulimus, et compressimus eorum cupiditates. (44) Rursus quum mutata fortuna Thebani et Peloponnesii omnes Spartam e medio tollere conniterentur, nos soli omnium Græcorum inita cum Lacedæmoniis societate ut conservarentur adjutores fuimus. (45) Vecordem igitur omnino eum esse necesse est, qui, quum tantas mutationes fieri videat, et civitates neque inimicitiarum neque jurisjurandi neque ullius rei alius rationem habere, nisi si quid sibi profuturum putent, idque solum amplecti, in eoque adipiscendo et conservando omne studium collocare, etiam nunc eodem animo eas fore non putabit, te præsertim auctore pacificationis et utilitate alliciente et malis istis adigentibus. Ego quidem harum rerum adjumento fretus omnia a te posse confieri mihi persuadeo.

46. Ἡγοῦμαι δ' οὕτως ἄν σε μάλιστα καταμαθεῖν εἴτ' εἰρηνικῶς εἴτε πολεμικῶς αἱ πόλεις αὗται πρὸς ἀλλήλας ἔχουσιν, εἰ διεξέλθοιμεν μήτε παντάπασιν ἁπλῶς μήτε λίαν ἀκριβῶς τὰ μέγιστα τῶν παρόντων αὐταῖς.

47. Καὶ πρῶτον μὲν σκεψώμεθα τὰ Λακεδαιμονίων. Οὗτοι γὰρ ἄρχοντες τῶν Ἑλλήνων (οὐ πολὺς χρόνος ἐξ d οὗ) καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰς τοσαύτην μεταβολὴν ἦλθον, ἐπειδὴ τὴν μάχην ἡττήθησαν τὴν ἐν Λεύκτροις, ὥστ' ἀπεστερήθησαν μὲν τῆς ἐν τοῖς Ἕλλησι δυναστείας, τοιούτους δ' ἄνδρας ἀπώλεσαν σφῶν αὐτῶν, οἳ προῃροῦντο τεθνάναι μᾶλλον ἢ ζῆν ἡττηθέντες ὧν πρότερον ἐδέσποζον. (48) Πρὸς δὲ τούτοις ἐπεῖδον Πελοποννησίους ἅπαντας τοὺς πρότερον μεθ' αὑτῶν ἐπὶ τοὺς ἄλλους ἀκολουθοῦντας, τούτους μετὰ Θηβαίων e εἰς τὴν αὑτῶν εἰσβαλόντας, πρὸς οὓς ἠναγκάσθησαν διακινδυνεύειν οὐκ ἐν τῇ χώρᾳ περὶ τῶν καρπῶν, ἀλλ' ἐν μέσῃ τῇ πόλει πρὸς αὐτοῖς τοῖς ἀρχείοις περὶ παίδων καὶ γυναικῶν, τοιοῦτον κίνδυνον ὃν μὴ κατορθώσαντες 92 μὲν εὐθὺς ἀπώλλυντο, (49) νικήσαντες δ' οὐδὲν μᾶλλον a ἀπηλλαγμένοι τῶν κακῶν εἰσιν, ἀλλὰ πολεμοῦνται μὲν ὑπὸ τῶν τὴν χώραν αὐτῶν περιοικούντων, ἀπιστοῦνται δ' ὑφ' ἁπάντων Πελοποννησίων, μισοῦνται δ' ὑπὸ τοῦ πλήθους τῶν Ἑλλήνων, ἄγονται δὲ καὶ φέρονται καὶ τῆς νυκτὸς καὶ τῆς ἡμέρας ὑπὸ τῶν οἰκετῶν τῶν σφετέρων αὐτῶν, οὐδένα δὲ χρόνον διαλείπουσιν ἢ στρατεύοντες ἐπί τινας ἢ μαχόμενοι πρός τινας ἢ βοηθοῦντες b τοῖς ἀπολλυμένοις αὐτῶν. (50) Τὸ δὲ μέγιστον τῶν κακῶν· δεδιότες γὰρ διατελοῦσι μὴ Θηβαῖοι διαλυσάμενοι τὰ πρὸς Φωκέας πάλιν ἐπανελθόντες μείζοσιν αὐτοὺς συμφοραῖς περιβάλωσι τῶν πρότερον γεγενημένων. Καίτοι πῶς οὐ χρὴ νομίζειν τοὺς οὕτω διακειμένους ἀσμένους ἂν ἰδεῖν ἐπιστατοῦντα τῆς εἰρήνης ἀξιόχρεων ἄνδρα καὶ δυνάμενον διαλῦσαι τοὺς ἐνεστῶτας πολέμους αὐτοῖς; c

51. Ἀργείους τοίνυν ἴδοις ἂν τὰ μὲν παραπλησίως τοῖς εἰρημένοις πράττοντας, τὰ δὲ χεῖρον τούτων ἔχοντας· πολεμοῦσι μὲν γὰρ ἐξ οὗπερ τὴν πόλιν οἰκοῦσι πρὸς τοὺς ὁμόρους, ὥσπερ Λακεδαιμόνιοι, τοσοῦτον δὲ διαφέρουσιν ὅσον ἐκεῖνοι μὲν πρὸς ἥττους αὑτῶν, οὗτοι δὲ πρὸς κρείττους· ὃ πάντες ἂν ὁμολογήσειαν μέγιστον εἶναι τῶν κακῶν. Οὕτω δὲ τὰ περὶ τὸν πόλεμον ἀτυχοῦσιν, ὥστ' ὀλίγου δεῖν καθ' ἕκαστον τὸν ἐνιαυτὸν τεμνομένην καὶ πορθουμένην τὴν αὑτῶν χώραν περιορῶσιν. d (52) Ὃ δὲ πάντων δεινότατον· ὅταν γὰρ οἱ πολέμιοι διαλίπωσι κακῶς αὐτοὺς ποιοῦντες, αὐτοὶ τοὺς ἐνδοξοτάτους καὶ πλουσιωτάτους τῶν πολιτῶν ἀπολλύουσι, καὶ ταῦτα δρῶντες οὕτω χαίρουσιν ὡς οὐδένες ἄλλοι τοὺς πολεμίους ἀποκτείνοντες. Αἴτιον δ' ἐστὶ τοῦ ταραχωδῶς αὐτοὺς ζῆν οὕτως οὐδὲν ἄλλο πλὴν ὁ πόλεμος· ὃν ἢν διαλύσῃς, οὐ μόνον αὐτοὺς τούτων ἀπαλλάξεις, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἄμεινον βουλεύεσθαι ποιήσεις.

53. Ἀλλὰ μὴν τὰ περὶ Θηβαίους οὐδὲ σὲ λέληθεν. e

46. Puto autem te sic facile animadversurum, utrum istæ urbes mutuo vel paci vel bello paratæ sint, si neque simpliciter prorsus neque accurate nimis maxima quæque de hoc earum statu percensuerimus.

47. Ac primum res Lacedæmoniorum consideremus, qui quum (non ita multum inde temporis elapsum est) et terra et mari inter Græcos dominarentur, tantam mutationem post cladem Leuctricam experti sunt, ut et principatu Græciæ privarentur et eos ex suis viros amitterent, qui se mori præoptarunt potius quam vivere victos ab iis quibus imperarant. (48) Ad hæc a Peloponnesiis omnibus, qui prius cum ipsis contra alios militassent, nunc Thebanorum sociis, agros suos inc ursari viderunt, cum quibus non in agro de frugibus, sed in media urbe ad ipsa prætoria de uxoribus et liberis dimicare et tale discrimen subire coacti sunt, quo si quid ipsis accidisset, mox funditus perituri fuissent; (49) victoriam vero adepti malis nihilo quam ante minoribus conflictantur: nam et a finitimis bello infestantur, et Peloponnesiis omnibus suspecti et Græcis plerisque omnibus invisi sunt, et a suis servis et noctu et interdiu direptionibus vexantur, denique nullo tempore non aut aliquos oppugnant, aut prælia committunt, aut suis pereuntibus opitulantur; (50) et, quod malorum omnium maximum est, perpetuo timent, ne a Thebanis, pactione cum Phocensibus facta, denuo irrumpentibus, majoribus cladibus quam antehac unquam afficiantur. Nonne autem consentaneum est, eos cum quibus ita agitur, libentissime visuros virum magna præditum auctoritate, et ita paratum, ut bella ipsos urgentia depellere possit, qui se pacis auctorem profiteatur?

51. Argivos autem partim eadem qua Spartanos partim etiam deteriore fortuna uti videas; bellum enim, ex quo urbem tenuerunt, cum finitimis gerunt, ut etiam Lacedæmonii, sed illud interest, quod his cum imbecillioribus res est, illis cum potentioribus; quod omnes maximum malum esse fateantur. Bellum autem tam infeliciter gerunt, ut singulis fere annis agrum suum diripi vastarique patiantur, (52) et, quod acerbissimum est, a bellicis cladibus vacui nobilissimos et opulentissimos cives interficiunt, eaque re ita lætantur, ut nulli alii cæsis hostibus. Tam perturbatæ autem vitæ nulla alia causa est, nisi bellum; quo per te composito non his tantum calamitatibus eos liberabis, sed ut ceteris quoque rebus aliquanto rectius consulant, efficies.

53. Thebanorum porro quæ ratio sit, neque te præ-

Καλλίστην γὰρ μάχην νικήσαντες, καὶ δόξαν ἐξ αὐτῆς μεγίστην λαβόντες, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταῖς εὐτυχίαις οὐδὲν βέλτιον πράττουσι τῶν ἡττηθέντων καὶ δυστυχησάντων. Οὐ γὰρ ἔφθασαν τῶν ἐχθρῶν κρατήσαντες, καὶ πάντων ἀμελήσαντες ἠνώχλουν μὲν ταῖς 93 πόλεσι ταῖς ἐν Πελοποννήσῳ, Θετταλίαν δ' ἐτόλμων a καταδουλοῦσθαι, Μεγαρεῦσι δ' ὁμόροις οὖσιν ἠπείλουν, τὴν δ' ἡμετέραν πόλιν μέρος τι τῆς χώρας ἀπεστέρουν, Εὔβοιαν δ' ἐπόρθουν, εἰς Βυζάντιον δὲ τριήρεις ἐξέπεμπον ὡς καὶ γῆς καὶ θαλάττης ἄρξοντες. (54) Τελευτῶντες δὲ πρὸς Φωκέας πόλεμον ἐξήνεγκαν ὡς τῶν b τε πόλεων ἐν ὀλίγῳ χρόνῳ κρατήσοντες, τόν τε τόπον ἅπαντα τὸν περιέχοντα κατασχήσοντες, τῶν τε χρημάτων τῶν ἐν Δελφοῖς περιγενησόμενοι ταῖς ἐκ τῶν ἰδίων δαπάναις. Ὧν οὐδὲν αὐτοῖς ἀποβέβηκεν, ἀλλ' ἀντὶ μὲν τοῦ λαβεῖν τὰς Φωκέων πόλεις τὰς αὑτῶν ἀπολωλέκασιν, εἰσβάλλοντες δ' εἰς τὴν τῶν πολεμίων ἐλάττω κακὰ ποιοῦσιν ἐκείνους ἢ πάσχουσιν ἀπιόντες εἰς τὴν αὑτῶν· (55) ἐν μὲν γὰρ τῇ Φωκίδι τῶν μισθοφόρων τινὰς ἀποκτείνουσιν, οἷς λυσιτελεῖ τεθνάναι μᾶλλον ἢ ζῆν, ἀναχωροῦντες δὲ τοὺς ἐνδοξοτάτους αὑτῶν καὶ μάλιστα τολμῶντας ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν c ἀπολλύουσιν. Εἰς τοῦτο δ' αὐτῶν περιέστηκε τὰ πράγματα, ὥστ' ἐλπίσαντες ἅπαντας τοὺς Ἕλληνας ὑφ' αὑτοῖς ἔσεσθαι νῦν ἐν σοὶ τὰς ἐλπίδας ἔχουσι τῆς αὑτῶν σωτηρίας. Ὥστ' οἶμαι καὶ τούτους ταχέως ποιήσειν ὅ τι ἂν σὺ κελεύῃς καὶ συμβουλεύῃς.

56. Λοιπὸν δ' ἂν ἦν ἡμῖν ἔτι περὶ τῆς πόλεως διαλεχθῆναι τῆς ἡμετέρας, εἰ μὴ προτέρα τῶν ἄλλων εὖ φρονήσασα τὴν εἰρήνην ἐπεποίητο. Νῦν δ' αὐτὴν οἶμαι d καὶ συναγωνιεῖσθαι τοῖς ὑπὸ σοῦ πραττομένοις, ἄλλως τε κἂν δυνηθῇ συνιδεῖν ὅτι ταῦτα διοικεῖς πρὸ τῆς ἐπὶ τὸν βάρβαρον στρατείας.

57. Ὡς μὲν οὖν οὐκ ἀδύνατόν ἐστί σοι συστῆσαι τὰς πόλεις ταύτας, ἐκ τῶν εἰρημένων ἡγοῦμαί σοι γεγενῆσθαι φανερόν· ἔτι τοίνυν ὡς καὶ ῥᾳδίως ταῦτα πράξεις, ἐκ πολλῶν παραδειγμάτων οἶμαί σε γνῶναι ποιήσειν. Ἢν γὰρ φανῶσιν ἕτεροί τινες τῶν προγεγενημένων μὴ e καλλίοσι μὲν μηδ' ὁσιωτέροις ὧν ἡμεῖς συμβεβουλεύκαμεν ἐπιχειρήσαντες, μείζω δὲ καὶ δυσκολώτερα τούτων ἐπιτελέσαντες, τί λοιπὸν ἔσται τοῖς ἀντιλέγουσι; πῶς οὐ θᾶττον σὺ τὰ ῥᾴω πράξεις ἢ 'κεῖνοι τὰ χαλεπώτερα;

94 58. Σκέψαι δὲ πρῶτον τὰ περὶ Ἀλκιβιάδην. Ἐκεῖ- a νος γὰρ φυγὼν παρ' ἡμῶν, καὶ τοὺς ἄλλους ὁρῶν τοὺς πρὸ αὐτοῦ ταύτῃ τῇ συμφορᾷ κεχρημένους ἐπτηχότας διὰ τὸ μέγεθος τῆς πόλεως, οὐ τὴν αὐτὴν γνώμην ἔσχεν ἐκείνοις, ἀλλ' οἰηθεὶς πειρατέον εἶναι βίᾳ κατελθεῖν προείλετο πολεμεῖν πρὸς αὐτήν. (59) Καθ' ἕκαστον μὲν οὖν τῶν τότε γενομένων εἴ τις λέγειν ἐπιχειρήσειεν, οὔτ' ἂν διελθεῖν ἀκριβῶς δύναιτο, πρός τε τὸ παρὸν ἴσως ἂν ἐνοχλήσειεν· εἰς τοσαύτην δὲ ταραχὴν b κατέστησεν οὐ μόνον τὴν πόλιν, ἀλλὰ καὶ Λακεδαιμο-

terit. Etenim pulcherrimam victoriam consecuti et maximam inde gloriam adepti, prospero eventu male utendo effecerunt, ut nihilo cum eis melius agatur quam cum victis et adversam fortunam expertis. Quum primum enim hostes vicissent, neglectis rebus omnibus molesti fuerunt civitatibus Peloponnesi, et Thessaliam in servitutem redigere ausi, et Megarensibus vicinis suis minitati sunt, et nostræ urbi agri partem eripuerunt, et Eubœam vastarunt, et Byzantium triremes ablegarunt tanquam terra marique dominaturi. (54) Postremo Phocensibus bellum intulerunt, ut et urbes brevi in potestatem redacturi et locum illum circumquaque occupaturi et privatis sumptibus Delphicas pecunias superaturi; quorum nihil illis contigit. Tantum enim abest ut Phocensium civitates ceperint, ut suas ipsi perdiderint, hostilemque agrum invadentes non tot mala dant hostibus, quot ipsi in suum redeuntes sustinent. (55) Nam in Phocide mercenarios aliquot milites, quibus mori magis expedit quam vivere, occidunt : recedentes autem nobilissimos cives et ad mortem pro patria oppetendam maxime paratos perdunt, atque eo tandem res eorum rediere, ut, quum se totius Græciæ potituros imperio sperarent, nunc in te spem salutis suæ collocent. Quare hos etiam alacriter existimo, quicquid tu jusseris et suaseris, esse facturos.

56. Reliquum jam nobis esset de nostra urbe verba facere, nisi sapienti consilio ante ceteras pacem fecisset. Nunc etiam adjutricem fore puto iis rebus, quæ a te agentur, præsertim si perspicere potuerit, hæc tibi curæ esse, antequam expeditionem contra barbaros suscipias.

57. Ac fieri quidem posse ut urbes has in gratiam reducas, ex his quæ dicta sunt, planum tibi fore existimo. Facile autem istæc eadem fieri per te posse, me tibi multis exemplis ostensurum arbitror. Nam si declaratum fuerit, alios quosdam veterum non quidem pulchrioribus aut sanctioribus rebus animum adjecisse, quam hæ sunt, quarum nos tibi auctores sumus, sed majora tamen et difficiliora perfecisse : quid reliquum erit adversariis, qui his contradicant? nonne celerius hæc faciliora, quam illos difficiliora confecturus es?

58. Alcibiadem tu primum vide, qui quum a nobis in exilium actus alios ante se illa calamitate accepta trepidasse videret urbis magnitudine perterritos, non eodem animo fuit; sed vi reditum in patriam sibi patefaciendum esse ratus bellum adversus eam suscepit. (59) Verum singula quæ tum facta sunt, si quis dicere conetur, neque singillatim exponere possit et in præsentia molestus fortasse fuerit. In tantam autem perturbationem non urbem modo nostram conjecit, sed et Lacedæmonios et ceteros Græcos, ut tum

νίους καὶ τοὺς ἄλλους Ἕλληνας, ὥσθ' ἡμᾶς μὲν παθεῖν ἃ πάντες ἴσασι, τοὺς δ' ἄλλους τηλικούτοις κακοῖς περιπεσεῖν, (60) ὥστε μηδέπω νῦν ἐξιτήλους εἶναι τὰς συμφορὰς τὰς δι' ἐκεῖνον τὸν πόλεμον ἐν ταῖς πόλεσιν ἐγγεγενημένας, Λακεδαιμονίους δὲ τοὺς τότε δόξαντας εὐτυχεῖν εἰς τὰς νῦν ἀτυχίας δι' Ἀλκιβιάδην καθεστάναι· πεισθέντες γὰρ ὑπ' αὐτοῦ τῆς κατὰ θάλατταν δυνάμεως c ἐπιθυμῆσαι καὶ τὴν κατὰ γῆν ἡγεμονίαν ἀπώλεσαν, (61) ὥστ' εἴ τις φαίη τότε τὴν ἀρχὴν αὐτοῖς γενέσθαι τῶν παρόντων κακῶν, ὅτε τὴν ἀρχὴν τῆς θαλάττης ἐλάμβανον, οὐκ ἂν ἐξελεγχθείη ψευδόμενος. Ἐκεῖνος μὲν οὖν τηλικούτων αἴτιος γενόμενος κατῆλθεν εἰς τὴν πόλιν, μεγάλης μὲν δόξης τυχών, οὐ μὴν ἐπαινούμενος ὑφ' ἁπάντων· Κόνων δ' οὐ πολλοῖς ἔτεσιν ὕστερον ἀντίστροφα τούτων ἔπραξεν. (62) Ἀτυχήσας γὰρ d ἐν τῇ ναυμαχίᾳ τῇ περὶ Ἑλλήσποντον οὐ δι' αὑτὸν ἀλλὰ διὰ τοὺς συνάρχοντας, οἴκαδε μὲν ἀφικέσθαι κατῃσχύνθη, πλεύσας δ' εἰς Κύπρον χρόνον μέν τινα περὶ τὴν τῶν ἰδίων ἐπιμέλειαν διέτριβεν, αἰσθόμενος δ' Ἀγησίλαον μετὰ πολλῆς δυνάμεως εἰς τὴν Ἀσίαν διαβεβηκότα καὶ πορθοῦντα τὴν χώραν, οὕτω μέγ' ἐφρόνησεν, (63) ὥστ' ἀφορμὴν οὐδεμίαν ἄλλην ἔχων πλὴν τὸ σῶμα καὶ τὴν διάνοιαν ἤλπισε Λακεδαιμονίους καταπολεμήσειν e ἄρχοντας τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ ταῦτα πέμπων ὡς τοὺς βασιλέως στρατηγοὺς ὑπισχνεῖτο ποιήσειν. Καὶ τί δεῖ τὰ πλείω λέγειν; συστάντος γὰρ αὐτῷ ναυτικοῦ περὶ Ῥόδον καὶ νικήσας τῇ ναυμαχίᾳ Λακεδαιμονίους μὲν ἐξέβαλεν ἐκ
95 τῆς ἀρχῆς, τοὺς δ' Ἕλληνας ἠλευθέρωσεν, (64) οὐ μόνον a δὲ τὰ τείχη τῆς πατρίδος ἀνώρθωσεν, ἀλλὰ καὶ τὴν πόλιν εἰς τὴν αὐτὴν δόξαν προήγαγεν ἐξ ἧσπερ ἐξέπεσεν. Καίτοι τίς ἂν προσεδόκησεν ὑπ' ἀνδρὸς οὕτω ταπεινῶς πράξαντος ἀναστραφήσεσθαι τὰ τῆς Ἑλλάδος πράγματα, καὶ τὰς μὲν ἀτιμωθήσεσθαι, τὰς δ' ἐπιπολάσειν τῶν Ἑλληνίδων πόλεων;

65. Διονύσιος τοίνυν (βούλομαι γὰρ ἐκ πολλῶν σε πεισθῆναι ῥᾳδίαν εἶναι τὴν πρᾶξιν, ἐφ' ἥν σε τυγχάνω b παρακαλῶν) πολλοστὸς ὢν Συρακοσίων καὶ τῷ γένει καὶ τῇ δόξῃ καὶ τοῖς ἄλλοις ἅπασιν, ἐπιθυμήσας μοναρχίας ἀλόγως καὶ μανικῶς, καὶ τολμήσας ἅπαντα πράττειν τὰ φέροντα πρὸς τὴν δύναμιν ταύτην, κατέσχε μὲν Συρακούσας, ἁπάσας δὲ τὰς ἐν Σικελίᾳ πόλεις, ὅσαι περ ἦσαν Ἑλληνίδες, κατεστρέψατο, τηλικαύτην δὲ δύναμιν περιεβάλετο καὶ πεζὴν καὶ ναυτικήν, ὅσην οὐδεὶς ἀνὴρ τῶν πρὸ ἐκείνου γενομένων. (66) Ἔτι c τοίνυν Κῦρος (ἵνα μνησθῶμεν καὶ περὶ τῶν βαρβάρων) ἐκτεθεὶς μὲν ὑπὸ τῆς μητρὸς εἰς τὴν ὁδόν, ἀναιρεθεὶς δ' ὑπὸ Περσίδος γυναικός, εἰς τοσαύτην ἦλθε μεταβολὴν ὥσθ' ἁπάσης τῆς Ἀσίας γενέσθαι δεσπότης.

67. Ὅπου δ' Ἀλκιβιάδης μὲν φυγὰς ὤν, Κόνων δὲ δεδυστυχηκώς, Διονύσιος δ' οὐκ ἔνδοξος ὤν, Κῦρος δ' οὕτως οἰκτρᾶς αὐτῷ τῆς ἐξ ἀρχῆς γενέσεως ὑπαρξάσης, εἰς τοσοῦτον προῆλθον καὶ τηλικαῦτα διεπράξαντο, πῶς d

ea nobis acciderent quæ omnes norunt, tum alii tantis malis affligerentur, (60) ut ne nunc quidem obliteratæ sint in urbibus illius belli calamitates, tum Lacedæmonii, qui eo tempore florere videbantur, in hæc mala per Alcibiadem conjecti sint. Quum enim maris imperium ejus impulsu concupissent, etiam terræ principatum amiserunt. (61) Quare qui dixerit tunc eis exstitisse malorum principium, quum maris accepere principatum, mendacii non arguetur. Is igitur tantis motibus excitatis in urbem a b exilio rediit, magnam ille quidem gloriam adeptus, non tamen probatus omnibus. Non multis annis post Conon similia his perfecit. (62) Quum enim navali bello circa Hellespontum non ipsius, sed collegarum culpa male pugnatum esset, redire domum erubuit, Cyprumque profectus ad tempus suarum rerum cura occupatus fuit. Ubi quum Agesilaum magnis copiis in Asiam trajectis agros populari sensisset, tanta fuit animi magnitudine, (63) ut omni alia ope destitutus excepto corpore et ingenio sperarit se Lacedæmonios bello superaturum, qui Græcis terra marique imperabant; atque hæc missis ad regis duces literis se confecturum pollicebatur. Et quid pluribus opus est? classe circa Rhodum coacta et Lacedæmoniis navali prælio victor ademit imperium, et Græcos in libertatem vindicavit; (64) neque vero mœnia patriæ solum erexit, sed et civitatem in eandem dignitatem, unde exciderat, restituit. Enimvero quis exspectasset futurum fuisse ut a viro tam abjecto status Græciæ mutaretur, et ex Græcis urbibus aliæ deprimerentur, aliæ iterum emergerent?

65. Jam Dionysius (volo enim multis exemplis allatis persuaderi tibi, facilem esse rem, ad quam te adhortor) quum unus e multis esset Syracusanorum et genere et gloria et ceteris rebus omnibus, et dominationem regiam sine omni ratione perque furorem concupisset, quia tentare omnia quæ ad eam potentiam facerent, audebat, Syracusas occupavit et universas Siciliæ urbes, quæ quidem Græcæ essent, cepit tantasque copias tum pedestres tum navales comparavit, quantas vir nemo ante illum. (66) Præterea Cyrus (ut etiam barbarorum mentionem faciamus) a matre quidem abjectus in viam, a Persica vero muliere sublatus, tantas fortunæ vicissitudines subiit, ut Asiæ totius dominatu potiretur.

67. Ubi igitur Alcibiades exul, Conon clade accepta, Dionysius obscurus, Cyrus ex tam miserabili nativitatis primordio, eo usque sunt progressi tantasque res gesserunt:

οὐ σέ γε χρὴ προσδοκᾶν τὸν ἐκ τοιούτων μὲν γεγονότα, Μακεδονίας δὲ βασιλεύοντα, τοσούτων δὲ κύριον ὄντα, ῥᾳδίως τὰ προειρημένα συστήσειν;

68. Σκέψαι δ' ὡς ἄξιόν ἐστι τοῖς τοιούτοις τῶν ἔργων μάλιστ' ἐπιχειρεῖν, ἐν οἷς κατορθώσας μὲν ἐνάμιλλον τὴν σαυτοῦ δόξαν καταστήσεις τοῖς πρωτεύσασι, διαμαρτὼν δὲ τῆς προσδοκίας ἀλλ' οὖν τήν γ' εὔνοιαν κτήσει τὴν παρὰ τῶν Ἑλλήνων, ἣν πολὺ κάλλιόν ἐστι e λαβεῖν ἢ πολλὰς πόλεις τῶν Ἑλληνίδων κατὰ κράτος ἑλεῖν· τὰ μὲν γὰρ τοιαῦτα τῶν ἔργων φθόνον ἔχει καὶ δυσμένειαν καὶ πολλὰς βλασφημίας, οἷς δ' ἡμεῖς συμβεβουλεύκαμεν οὐδὲν πρόσεστι τούτων. Ἀλλ' εἴ τις
96 θεῶν αἵρεσίν σοι δοίη μετὰ ποίας ἂν ἐπιμελείας καὶ a διατριβῆς εὔξαιο τὸν βίον διαγαγεῖν, οὐδεμίαν ἕλοι' ἄν, εἴπερ ἐμοὶ συμβούλῳ χρῷο, μᾶλλον ἢ ταύτην. (69) Οὐ γὰρ μόνον ὑπὸ τῶν ἄλλων ἔσει ζηλωτός, ἀλλὰ καὶ σὺ σαυτὸν μακαριεῖς. Τίς γὰρ ἂν ὑπερβολὴ γένοιτο τῆς τοιαύτης εὐδαιμονίας, ὅταν πρέσβεις μὲν ἥκωσιν ἐκ τῶν μεγίστων πόλεων οἱ μάλιστ' εὐδοκιμοῦντες εἰς τὴν σὴν δυναστείαν, μετὰ δὲ τούτων βουλεύῃ περὶ τῆς κοινῆς σωτηρίας, περὶ ἧς οὐδεὶς ἄλλος φανήσεται τοιαύτην b πρόνοιαν πεποιημένος, (70) αἰσθάνῃ δὲ τὴν Ἑλλάδα πᾶσαν ὀρθὴν οὖσαν ἐφ' οἷς σὺ τυγχάνεις εἰσηγούμενος, μηδεὶς δ' ὀλιγώρως ἔχῃ τῶν παρὰ σοὶ βραβευομένων, ἀλλ' οἱ μὲν πυνθάνωνται περὶ αὐτῶν ἐν οἷς ἐστιν, οἱ δ' εὔχωνταί σε μὴ διαμαρτεῖν ὧν ἐπεθύμησας, οἱ δὲ δεδίωσι μὴ πρότερόν τι πάθῃς πρὶν τέλος ἐπιθεῖναι τοῖς πραττομένοις; (71) ὧν γιγνομένων πῶς οὐκ ἂν εἰκότως μέγα φρονοίης; πῶς δ' οὐκ ἂν περιχαρὴς ὢν τὸν βίον c διατελοίης, τηλικούτων εἰδὼς σαυτὸν πραγμάτων ἐπιστάτην γεγενημένον; τίς δ' οὐκ ἂν τῶν καὶ μετρίως λογιζομένων ταύτας ἄν σοι παραινέσειε μάλιστα προαιρεῖσθαι τῶν πράξεων, τὰς ἀμφότερα φέρειν ἅμα δυναμένας, ὥσπερ καρπούς, ἡδονάς δ' ὑπερβαλλούσας καὶ τιμὰς ἀνεξαλείπτους;

72. Ἀπέχρη δ' ἂν ἤδη μοι τὰ προειρημένα περὶ τού- d των, εἰ μὴ παραλελοιπὼς ἦν τινα λόγον, οὐκ ἀμνημονήσας, ἀλλ' ὀκνήσας εἰπεῖν, ὃν ἤδη μοι δοκῶ δηλώσειν· οἶμαι γὰρ σοί τε συμφέρειν ἀκοῦσαι περὶ αὐτῶν, ἐμοί τε προσήκειν μετὰ παρρησίας (ὥσπερ εἴθισμαι) ποιεῖσθαι τοὺς λόγους.

73. Αἰσθάνομαι γάρ σε διαβαλλόμενον ὑπὸ τῶν σοὶ μὲν φθονούντων, τὰς δὲ πόλεις τὰς αὑτῶν εἰθισμένων εἰς ταραχὰς καθιστάναι, καὶ τὴν εἰρήνην τὴν τοῖς ἄλλοις κοινὴν πόλεμον τοῖς αὑτῶν ἰδίοις εἶναι νομιζόντων, οἳ πάντων τῶν ἄλλων ἀμελήσαντες περὶ τῆς σῆς δυνά- e μεως λέγουσιν, ὡς οὐχ ὑπὲρ τῆς Ἑλλάδος ἀλλ' ἐπὶ ταύτην αὐξάνεται, καὶ σὺ πολὺν χρόνον ἤδη πᾶσιν ἡμῖν ἐπιβουλεύεις, (74) καὶ λόγῳ μὲν μέλλεις Μεσσηνίοις βοηθεῖν, ἐὰν τὰ περὶ Φωκεῖς διοικήσῃς, ἔργῳ δ' ὑπὸ σαυτῷ
97 ποιεῖσθαι Πελοπόννησον· ὑπάρχουσι δέ σοι Θετταλοὶ a μὲν καὶ Θηβαῖοι καὶ πάντες οἱ τῆς Ἀμφικτυονίας μετέχοντες ἕτοιμοι συνακολουθεῖν, Ἀργεῖοι δὲ καὶ Μεσσήνιοι καὶ Μεγαλοπολῖται καὶ τῶν ἄλλων πολλοὶ συμπο-

quomodo tu his natalibus oriundus et Macedoniæ rex et tot hominum dominus non facile hæc perficies?

68. Jam considera, talia suscipere quam sit operæ pretium : quæ si ex sententia gesseris, non minorem quam celeberrimi quique gloriam consequeris : sin exspectationi eventus non responderit, saltem Græcorum benevolentiam tibi conciliabis, quam parasse gloriosius est quam multas Græcas urbes vi cepisse. Nam istiusmodi res nec invidia carent nec odiis neque multis maledictis : cum eo autem consilio, quod nos tibi dedimus, nihil horum est conjunctum. Atque adeo si quis tibi deus optionem daret, quibus studiis et exercitationibus ætatem exigere velles : nullam aliam huic rationi, me quidem auctore, anteponeres. (69) Neque enim alii tantum te mirabuntur, sed etiam tu ipse beatum te judicabis. Nam quid ad magnitudinem felicitatis illius queat accedere, si ex maximis urbibus spectatissimi quique viri legati in tuum regnum venerint, cum quibus ita tu de salute communi deliberes, ut ea præterea nemini tantæ fuisse curæ videatur? (70) si Græciam senseris universam erectam ad ea quæ proposueris; si nemo parvi faciet a te constituta, sed alii sciscitabuntur, quo in loco res suæ sint; alii vota facient, ut fortuna tuos conatus adjuvet; alii solliciti erunt, ne antequam conata perficias, aliquid humanitus tibi accidat? (71) Quæ quum fient, an non jure optimo magno animo eris? Qui fieri poterit ut non vitam cum summa lætitia peragas in tantarum rerum administratione ac fastigio constitutus? Et quis tandem est vel mediocri prudentia præditus, qui te non hortaretur ad ea suscipienda, quæ simul utraque tibi ferre possent tanquam fructus, et voluptates eximias, et honores immortales?

72. Contentus jam essem hæc dixisse, nisi quiddam non oblivione, sed verecundia retardatus omisissem, quod nunc mihi dicendum censeo. Nam et tibi ea audire profuturum et officii mei id esse puto, ut pro consuetudine mea, quæ sentio, libere dicam.

73. Animadverto enim esse quosdam qui te criminentur, ex iis qui et tibi invident et suas civitates perturbare solent, et pacem quæ ipsis cum reliquis communis sit, suis ipsorum rationibus bellum existimant. Hi igitur ceteris rebus neglectis omnibus tuam potentiam dicunt augeri non ad erigendam Græciam, sed ad eam opprimendam, teque jam longo tempore nihil aliud, nisi nobis universis insidiari, (74) ac profiteri quidem te Messeniis opem laturum, re vera autem id machinari, ut Phocensibus rebus constitutis Peloponnesum subigas : ac Thessalos quidem et Thebanos et omnes fœderis Amphictyonici participes te ducem libenter secuturos; Argivos autem et Messenios et Megalopolitas aliosque multos belli tibi fore socios ad delendos Lacedæ-

λεμεῖν καὶ ποιεῖν ἀναστάτους Λακεδαιμονίους· ἣν δὲ ταῦτα πράξῃς, ὡς καὶ τῶν ἄλλων Ἑλλήνων ῥᾳδίως κρατήσεις. (75) Ταῦτα φλυαροῦντες καὶ φάσκοντες b ἀκριβῶς εἰδέναι, καὶ ταχέως ἅπαντα τῷ λόγῳ καταστρεφόμενοι, πολλοὺς πείθουσι, καὶ μάλιστα μὲν τοὺς τῶν αὐτῶν κακῶν ἐπιθυμοῦντας ὧνπερ οἱ λογοποιοῦντες, ἔπειτα καὶ τοὺς οὐδενὶ λογισμῷ χρωμένους ὑπὲρ τῶν κοινῶν, ἀλλὰ παντάπασιν ἀναισθήτως διακειμένους καὶ πολλὴν χάριν ἔχοντας τοῖς ὑπὲρ αὐτῶν φοβεῖσθαι καὶ δεδιέναι προσποιουμένοις, ἔτι δὲ τοὺς οὐκ ἀποδοκιμάζοντας τὸ δοκεῖν ἐπιβουλεύειν σε τοῖς c Ἕλλησιν, ἀλλὰ τὴν αἰτίαν ταύτην ἀξίαν ἐπιθυμίας εἶναι νομίζοντας· (76) οἳ τοσοῦτον ἀφεστᾶσι τοῦ νοῦν ἔχειν, ὥστ' οὐκ ἴσασιν ὅτι τοῖς αὐτοῖς ἄν τις λόγοις χρώμενος τοὺς μὲν βλάψειε, τοὺς δ' ὠφελήσειεν. Οἷον καὶ νῦν, εἰ μέν τις φαίη τὸν τῆς Ἀσίας βασιλέα τοῖς Ἕλλησιν ἐπιβουλεύειν καὶ παρεσκευάσθαι στρατεύειν ἐφ' ἡμᾶς, οὐδὲν ἂν λέγοι περὶ αὐτοῦ φλαῦρον, ἀλλ' ἀνδρωδέστερον αὐτὸν καὶ πλέονος ἄξιον δοκεῖν εἶναι ποιήσειεν· εἰ δὲ τῶν ἀφ' Ἡρακλέους τινὶ πεφυκότων, ὃς ἁπάσης κατέστη τῆς Ἑλλάδος εὐεργέτης, ἐπιφέροι d τὴν αἰτίαν ταύτην, εἰς τὴν μεγίστην αἰσχύνην ἂν αὐτὸν καταστήσειεν. (77) Τίς γὰρ οὐκ ἂν ἀγανακτήσειε καὶ μισήσειεν, εἰ φαίνοιτο τούτοις ἐπιβουλεύων ὑπὲρ ὧν ὁ πρόγονος αὐτοῦ προείλετο κινδυνεύειν, καὶ τὴν μὲν εὔνοιαν, ἣν ἐκεῖνος κατέλιπε τοῖς ἐξ ἑαυτοῦ γεγενημένοις, μὴ πειρῷτο διαφυλάττειν, ἀμελήσας δὲ τούτων ἐπονειδίστων ἐπιθυμοίη καὶ πονηρῶν πραγμάτων;

78. Ὧν ἐνθυμούμενον χρὴ μὴ περιορᾶν τοιαύτην e φήμην σαυτῷ περιφυομένην, ἣν οἱ μὲν ἐχθροὶ περιθεῖναί σοι ζητοῦσι, τῶν δὲ φίλων οὐδεὶς ὅστις οὐκ ἂν ἀντειπεῖν ὑπὲρ σοῦ τολμήσειεν. Καίτοι περὶ τῶν σοι συμφερόντων ἐν ταῖς τούτων ἀμφοτέρων γνώμαις μάλιστ' ἂν κατίδοις τὴν ἀλήθειαν.

79. Ἴσως οὖν ὑπολαμβάνεις μικροψυχίαν εἶναι τὸ
98 τῶν βλασφημούντων καὶ φλυαρούντων καὶ τῶν πειθομένων a τούτοις φροντίζειν, ἄλλως θ' ὅταν καὶ μηδὲν σαυτῷ συνειδῇς ἐξαμαρτάνων. Χρὴ δὲ μὴ καταφρονεῖν τοῦ πλήθους, μηδὲ παρὰ μικρὸν ἡγεῖσθαι τὸ παρὰ πᾶσιν εὐδοκιμεῖν, ἀλλὰ τότε νομίζειν καλὴν ἔχειν καὶ μεγάλην τὴν δόξαν καὶ πρέπουσαν σοὶ καὶ τοῖς προγόνοις καὶ τοῖς ὑφ' ὑμῶν πεπραγμένοις, ὅταν οὕτω διαθῇς τοὺς Ἕλληνας, (80) ὥσπερ ὁρᾷς Λακεδαιμονίους τε πρὸς b τοὺς ἑαυτῶν βασιλέας ἔχοντας τούς θ' ἑταίρους τοὺς σοὺς πρὸς σὲ διακειμένους. Ἔστι δ' οὐ χαλεπὸν τυχεῖν τούτων, ἣν ἐθελήσῃς κοινὸς ἅπασι γενέσθαι, καὶ παύσῃ ταῖς μὲν τῶν πόλεων οἰκείως ἔχων, πρὸς δὲ τὰς ἀλλοτρίως διακείμενος, ἔτι δ' ἢν τὰ τοιαῦτα προαιρῇ πράττειν, ἐξ ὧν τοῖς μὲν Ἕλλησιν ἔσει πιστός, τοῖς δὲ βαρβάροις φοβερός.

81. Καὶ μὴ θαυμάσῃς, ἅπερ ἐπέστειλα καὶ πρὸς Διονύσιον τὴν τυραννίδα κτησάμενον, εἰ μήτε στρατηγὸς c ὢν μήτε ῥήτωρ μήτ' ἄλλως δυνάστης θρασύτερόν σοι διείλεγμαι τῶν ἄλλων. Ἐγὼ γὰρ πρὸς μὲν τὸ

monios: quibus rebus confectis facile te etiam reliquos Græcos superaturum. (75) Hæc illi dum nugantur certoque scire se dictitant et verbis omnia celeriter evertunt, multis fidem faciunt, his præcipue qui eorundem conviciorum quorum nugatores illi cupidi sunt; deinde iis qui de statu reipublicæ nihil ipsi prudenter cogitant, sed plane stupent magnamque gratiam illis habent, qui se sollicitos esse eisque timere simulant. Huc illi quoque accedunt, qui proniores sunt ad suspicandum te insidiari Græcis crimenque illud cupiditate non indignum putant: (76) qui tantum absunt a sapientia, ut ignorent eadem oratione alios lædi, alios ornari. Quod hic quoque usuveniat: si quis dicat Asiæ regem Græcis insidiari, et ad bellum contra nos paratum esse, nihil de eo mali dixerit, sed id effecerit, ut ille fortior et præstantior haberetur: si cui vero ex posteris Herculis, qui totam Græciam beneficiis affecit, tale crimen inferret, eum maxima ignominia afficeret. (77) Quis enim non indignetur et ægre ferat, si quis iis insidiari putetur, pro quibus princeps generis ejus suscipere pericula voluit, neque benevolentiam, quam ille posteris suis reliquit, conservare conetur, sed his neglectis res probrosas et pravas expetat?

78. Quibus consideratis non committendum est ut talem de te suboriri famam patiaris, qualem inimici de te spargere student; amicorum autem nemo est quin pro te illa coarguere audeat. Quid autem tibi expediat, ex horum utrorumque sententiis maxime verissimeque perspicies.

79. Fortasse autem existimes pusilli animi esse maledicorum et nugatorum et eorum qui illis aures præbent, ullam rationem habere, præsertim si tibi sis nullius delicti conscius. Verum contemnenda multitudo non est, neque omnium approbatio parvi æstimanda. Nam ea demum vera gloria est et magna et te tuisque majoribus digna rebusque gestis, si effeceris, ut Græci eodem sint erga te animo, (80) quo Lacedæmonii in reges suos atque in te amici tui sunt affecti. Hæc vero non est difficile consequi, si eundem te præbere volueris erga omnes, et aliis civitatibus amicus, ab aliis alienus esse desieris; deinde si ea susceperis, propter quæ Græci tibi fidant, barbari pertimescant.

81. Neque vero mireris, id quod etiam ad Dionysium scripsi tyrannide potitum, me, qui neque dux neque orator sim aut alioqui potens, liberius, quam alii solent, egisse tecum. Nam ad gerendam quidem rempublicam omnium

πολιτεύεσθαι πάντων ἀφυέστατος ἐγενόμην τῶν πολιτῶν
(οὔτε γὰρ φωνὴν ἔσχον ἱκανὴν οὔτε τόλμαν δυναμένην
ὄχλῳ χρῆσθαι καὶ μολύνεσθαι καὶ λοιδορεῖσθαι τοῖς ἐπὶ
τοῦ βήματος κυλινδουμένοις), (82) τοῦ δὲ φρονεῖν εὖ
καὶ πεπαιδεῦσθαι καλῶς, εἰ καί τις ἀγροικότερον εἶναι d
φήσει τὸ ῥηθέν, ἀμφισβητῶ, καὶ θείην ἂν ἐμαυτὸν οὐκ
ἐν τοῖς ἀπολελειμμένοις ἀλλ' ἐν τοῖς προέχουσι τῶν ἄλ-
λων. Διόπερ ἐπιχειρῶ συμβουλεύειν τὸν τρόπον τοῦ-
τον, ὃν ἐγὼ πέφυκα καὶ δύναμαι, καὶ τῇ πόλει καὶ τοῖς
Ἕλλησι καὶ τῶν ἀνδρῶν τοῖς ἐνδοξοτάτοις.

83. Περὶ μὲν οὖν τῶν ἐμῶν καὶ ὧν σοὶ πρακτέον
ἐστὶ πρὸς τοὺς Ἕλληνας, σχεδὸν ἀκήκοας· περὶ δὲ τῆς
στρατείας τῆς εἰς τὴν Ἀσίαν ταῖς μὲν πόλεσιν, ἅς ἔφην e
χρῆναί σε διαλλάττειν, τότε συμβουλεύσομεν ὡς χρὴ
πολεμεῖν πρὸς τοὺς βαρβάρους, ὅταν ἴδωμεν αὐτὰς
ὁμονοούσας, πρὸς σὲ δὲ νῦν ποιήσομαι τοὺς λόγους, οὐ
τὴν αὐτὴν ἔχων διάνοιαν καὶ κατ' ἐκείνην τὴν ἡλικίαν,
99 ὅτ' ἔγραφον περὶ τὴν αὐτὴν ὑπόθεσιν ταύτην. (84) a
Τότε μὲν γὰρ παρεκελευόμην τοῖς ἀκουσομένοις κατα-
γελᾶν μου καὶ καταφρονεῖν, ἢν μὴ καὶ τῶν πραγμάτων
καὶ τῆς δόξης τῆς ἐμαυτοῦ καὶ τοῦ χρόνου τοῦ περὶ τὸν
λόγον διατριφθέντος ἀξίως φαίνωμαι διεξιών· νῦν δὲ
φοβοῦμαι μὴ πάντων τῶν προειρημένων πολὺ κατα-
δεέστερον τύχω διαλεχθείς. Καὶ γὰρ πρὸς τοῖς ἄλλοις
ὁ λόγος ὁ πανηγυρικός, ὁ τοὺς ἄλλους τοὺς περὶ τὴν
φιλοσοφίαν διατρίβοντας εὐπορωτέρους ποιήσας, ἐμοὶ b
πολλὴν ἀπορίαν παρέσχηκεν· οὔτε γὰρ ταὐτὰ βούλομαι
λέγειν τοῖς ἐν ἐκείνῳ γεγραμμένοις, οὔτ' ἔτι καινὰ δύ-
ναμαι ζητεῖν. (85) Οὐ μὴν ἀποστατέον ἐστίν, ἀλλὰ
λεκτέον περὶ ὧν ὑπεθέμην, ὅ τι ἂν ὑποπέσῃ καὶ συμ-
φέρῃ πρὸς τὸ πεῖσαί σε ταῦτα πράττειν. Καὶ γὰρ ἢν
ἐλλίπω τι καὶ μὴ δυνηθῶ τὸν αὐτὸν τρόπον γράψαι τοῖς
πρότερον ἐκδεδομένοις, ἀλλ' οὖν ὑπογράψειν γ' οἶμαι c
χαριέντως τοῖς ἐξεργάζεσθαι καὶ διαπονεῖν δυναμένοις.

86. Τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου τοῦ σύμπαντος
οἶμαι πεποιῆσθαι ταύτην, ἥνπερ προσήκει τοὺς ἐπὶ τὴν
Ἀσίαν πείθοντας στρατεύειν. Δεῖ γὰρ μηδὲν πρότερον
πράττειν, πρὶν ἂν λάβῃ τις τοὺς Ἕλληνας δυοῖν θάτε-
ρον, ἢ συναγωνιζομένους ἢ πολλὴν εὔνοιαν ἔχοντας τοῖς
πραττομένοις. Ὧν Ἀγησίλαος ὁ δόξας εἶναι Λακεδαι-
μονίων φρονιμώτατος ὠλιγώρησεν, οὐ διὰ κακίαν, ἀλλὰ d
διὰ φιλοτιμίαν. (87) Ἔσχε γὰρ διττὰς ἐπιθυμίας,
καλὰς μὲν ἀμφοτέρας, οὐ συμφωνούσας δ' ἀλλήλαις
οὐδ' ἅμα πράττεσθαι δυναμένας. Προῃρεῖτο γὰρ βα-
σιλεῖ τε πολεμεῖν, καὶ τοὺς ἑταίρους εἰς τὰς πόλεις τὰς
αὑτῶν καταγαγεῖν καὶ κυρίους ποιῆσαι τῶν πραγμάτων.
Συνέβαινεν οὖν ἐκ μὲν τῆς πραγματείας τῆς ὑπὲρ τῶν
ἑταίρων ἐν κακοῖς καὶ κινδύνοις εἶναι τοὺς Ἕλλη-
νας, διὰ δὲ τὴν ταραχὴν τὴν ἐνθάδε γιγνομένην μὴ e
σχολὴν ἄγειν μηδὲ δύνασθαι πολεμεῖν τοῖς βαρβάροις.
(88) Ὥστ' ἐκ τῶν ἀγνοηθέντων κατ' ἐκεῖνον τὸν χρόνον
ῥᾴδιον καταμαθεῖν ὅτι δεῖ τοὺς ὀρθῶς βουλευομένους
μὴ πρότερον ἐκφέρειν πρὸς βασιλέα πόλεμον, πρὶν ἂν
100 διαλλάξῃ τις τοὺς Ἕλληνας καὶ παύσῃ τῆς μανίας τῆς a

civium sum ineptissimus (neque enim vocem habeo satis magnam, neque audaciam agendi cum populo et conflictandi atque convicia audiendi ab iis qui in concionibus volutantur), (82) recte autem sentiendi et honestæ institutionis (tametsi hoc alicui dictum videbitur arrogantius) in contentionem si descendendum sit, non in postremis, sed in principibus potius me numerarim. Quare sic consilium dare conor, ut natura et vires meæ ferunt, tum patriæ, tum Græcis et illustrissimis quibusque viris.

83. Ac de me ipso, et iis quæ tibi facienda sint erga Græcos, fere audivisti. De expeditione autem Asiatica urbibus, quas a te dixi in concordiam reducendas, tum de bello barbaris inferendo consulam, quum eas consentire viderimus. Nunc ad te mea se convertet oratio, quanquam non ita animo sum affectus, ut illa ætate, qua idem hoc argumentum tractavi. (84) Tum enim hortabar auditores, ut me et deriderent et contemnerent, nisi pro dignitate rerum et existimatione mea et tempore quod orationi impendissem, dicere viderer: nunc autem vereor ne multo tenuius disseruerim, quam ea quæ dixi omnia postulabant. Nam præter alia Panegyrica oratio, quæ alios studiis deditos copiosiores reddidit, me valde inopem fecit: neque enim eadem quæ illic scripta sunt, explicare denuo volo, nec exquirere nova præterea possum. (85) Non tamen ab incepto desistendum est, sed de proposito argumento dicendum, quicquid inciderit et conducibile fuerit ad persuadendum ut hæc agas. Etenim si me vires defecerint, quominus eodem modo scribere possim, quo prius editæ orationes confectæ sunt: at argumenta me non ingratiis præbiturum opinor iis qui aliquid componere et elaborare possint.

86. Et quidem principium totius orationis tale me sumpsisse puto, quale deceat eum, qui bellum Asiæ inferendum esse suadeat. Nihil enim prius agendum est, quam ut Græci alterutrum, aut adjutores sint, aut rebus gerendis maxime faveant. Quæ Agesilaus, quum Lacedæmoniorum prudentissimus haberetur, neglexit, non ille quidem improbitate, sed ambitione commotus. (87) Habebat enim duas ille cupiditates, præclaram utramque, sed non inter se consentientes, neque ejus generis ut una exerceri possent. Quum enim et regi bellum inferre et amicos ab exilio in patriam quemque suam restituere ac summæ rerum præficere decrevisset: fiebat ex illo conatu quem amicorum causa suscepit, ut et Græci in malis ac periculis versarentur et ipse propter tumultum hic excitatum pugnandi contra barbaros otium et facultatem non haberet. (88) Quare ex his quæ illo tempore ignorata sunt, facile intelligitur, eos qui recte rebus consultum velint, non prius regi bellum inferre debere,

νῦν αὐτοῖς ἐνεστώσης· ἅπερ καὶ σοὶ συμβεβουλευκότες τυγχάνομεν.

89. Περὶ μὲν οὖν τούτων οὐδεὶς ἂν ἀντειπεῖν τῶν εὖ φρονούντων τολμήσειεν· οἶμαι δὲ τῶν μὲν ἄλλων εἴ τισι δόξειε περὶ τῆς στρατείας τῆς εἰς τὴν Ἀσίαν συμβουλεύειν, ἐπὶ ταύτην ἂν ἐπιπεσεῖν τὴν παράκλησιν, λέγοντας ὡς ὅσοι περ ἐπεχείρησαν πρὸς τὸν βασιλέα b πολεμεῖν, ἅπασι συνέπεσεν ἐξ ἀδόξων μὲν γενέσθαι λαμπροῖς, ἐκ πενήτων δὲ πλουσίοις, ἐκ ταπεινῶν δὲ πολλῆς χώρας καὶ πόλεων δεσπόταις. (90) Ἐγὼ δ' οὐκ ἐκ τῶν τοιούτων μέλλω σε παρακαλεῖν, ἀλλ' ἐκ τῶν ἠτυχηκέναι δοξάντων, λέγω δ' ἐκ τῶν μετὰ Κύρου καὶ Κλεάρχου συστρατευσαμένων. Ἐκείνους γὰρ ὁμολογεῖται νικῆσαι μὲν μαχομένους ἅπασαν τὴν βασιλέως δύναμιν τοσοῦτον, ὅσον περ ἂν εἰ ταῖς γυναιξὶν αὐτῶν c συνέβαλον, ἤδη δ' ἐγκρατεῖς δοκοῦντας εἶναι τῶν πραγμάτων διὰ τὴν Κύρου προπέτειαν ἀτυχῆσαι· περιχαρῆ γὰρ αὐτὸν ὄντα καὶ διώκοντα πολὺ πρὸ τῶν ἄλλων, ἐν μέσοις γενόμενον τοῖς πολεμίοις ἀποθανεῖν. (91) Ἀλλ' ὅμως τηλικαύτης συμφορᾶς συμπεσούσης οὕτω σφόδρα κατεφρόνησεν ὁ βασιλεὺς τῆς περὶ αὐτὸν δυνάμεως, ὥστε προκαλεσάμενος Κλέαρχον καὶ τοὺς ἄλλους ἡγεμόνας εἰς λόγον ἐλθεῖν, καὶ τούτοις μὲν ὑπισχνούμενος μεγάλας δωρεὰς δώσειν, τοῖς δ' ἄλλοις στρατιώταις d ἐντελῆ τὸν μισθὸν ἀποδοὺς ἀποπέμψειν, τοιαύταις ἐλπίσιν ὑπαγαγόμενος, καὶ πίστεις δοὺς τῶν ἐκεῖ νομιζομένων τὰς μεγίστας, συλλαβὼν αὐτοὺς ἀπέκτεινε, καὶ μᾶλλον εἵλετο περὶ τοὺς θεοὺς ἐξαμαρτεῖν ἢ τοῖς στρατιώταις οὕτως ἐρήμοις οὖσι συμβαλεῖν. (92) Ὥστε τίς ἂν γένοιτο παράκλησις ταύτης καλλίων καὶ πιστοτέρα; φαίνονται γὰρ κἀκεῖνοι κρατήσαντες ἂν τῶν βασι- e λέως πραγμάτων, εἰ μὴ διὰ Κῦρον. Σοὶ δὲ τήν τ' ἀτυχίαν τὴν τότε γεγενημένην οὐ χαλεπὸν φυλάξασθαι, τοῦ τε στρατοπέδου τοῦ κρατήσαντος τὴν ἐκείνου δύναμιν ῥᾴδιον πολὺ κρεῖττον κατασκευάσασθαι. Καίτοι τούτων ἀμφοτέρων ὑπαρξάντων πῶς οὐ χρὴ θαρρεῖν ποιούμενον τὴν στρατείαν ταύτην;

101 93. Καὶ μηδεὶς ὑπολάβῃ με βούλεσθαι λαθεῖν ὅτι a τούτων ἔνια πέφρακα τὸν αὐτὸν τρόπον ὅνπερ πρότερον. Ἐπιστὰς γὰρ ἐπὶ τὰς αὐτὰς διανοίας εἱλόμην μὴ πονεῖν γλιχόμενος τὰ δεδηλωμένα καλῶς ἑτέρως εἰπεῖν· καὶ γὰρ εἰ μὲν ἐπίδειξιν ἐποιούμην, ἐπειρώμην ἂν ἅπαντα τὰ τοιαῦτα διαφεύγειν, (94) σοὶ δὲ συμβουλεύων μωρὸς ἂν ἦν, εἰ περὶ τὴν λέξιν πλείω χρόνον διέτριβον ἢ περὶ τὰς πράξεις, ἔτι δ' εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους αὐτὸς μόνος ἀπειχόμην τῶν ὑπ' ἐμοῦ b πρότερον εἰρημένων. Τοῖς μὲν οὖν οἰκείοις τυχὸν ἂν χρησαίμην, ἤν που σφόδρα κατεπείγῃ καὶ πρέπῃ, τῶν δ' ἀλλοτρίων οὐδὲν ἂν προσδεξαίμην, ὥσπερ οὐδ' ἐν τῷ παρελθόντι χρόνῳ.

95. Ταῦτα μὲν οὖν οὕτως· δοκεῖ δέ μοι μετὰ ταῦτα περὶ τῆς παρασκευῆς διαλεκτέον εἶναι τῆς τε σοὶ γενησομένης καὶ τῆς ἐκείνοις ὑπαρξάσης. Τὸ μὲν τοίνυν μέγιστον, σὺ μὲν τοὺς Ἕλληνας εὔνους ἕξεις, ἤν περ c

quam Græcos reconciliarint, illorumque hunc furorem compescuerint. Quod nos tibi quoque consuluimus.

89. Et hæc quidem nemo prudens negare audebit. Arbitror autem, si quibus aliis visum fuerit suadere ut bellum in Asiam transferatur, ad hanc adhortationem deventuros, ut dicant, quicunque bellum contra regem susceperint, iis omnibus usuvenisse, ut ex obscuris illustres fierent, ex pauperibus divites, ex humilibus amplæ regionis et urbium domini. (90) Ego vero his rationibus ad te adhortandum non utar, sed eorum exempla proferam, qui male gessisse rem putantur, eos dico, qui cum Cyro et Clearcho militarunt. Illos enim certo constat pugnando vicisse universas regis copias usque adeo, quasi cum eorum mulieribus conflixissent: quum autem jam adepti victoriam viderentur ob Cyri temeritatem impegisse, qui lætitia exsultans quum longe ante alios eveheretur, in medios hostes illatus interierit. (91) Quanquam igitur rex tanta hac fortuna usus est, tamen suas copias tantopere contempsit, ut Clearcho et aliis ducibus ad colloquium evocatis, et his ingentia munera daturum, et reliquos milites integro stipendio persoluto se dimissurum polliceretur; quos quum talibus promissis fide data, quæ apud illum maxima habetur, pellexisset, comprehensos interfecit atque in deos impius esse quam cum militibus ita destitutis armis decertare maluit. (92) Quare quæ adhortatio pulchrior esse hac et plus ad persuadendum valere queat? nam omnino videntur illi, absque Cyro fuisset, Persico regno potiri potuisse. Tibi autem et calamitatem quæ tum accidit, cavere non difficile est, et exercitum eo multo firmiorem, a quo regis copiæ victæ sunt, facile comparabis. Quæ utraque si præsto fuerint, an non de expeditione hac optime sperandum erit?

93. Neque vero quisquam me existimet dissimulare velle, a me horum quædam eodem modo exposita esse, quo prius. Quum enim easdem res attigissem, laborandum esse non duxi, ut quæ bene antea essent explicata, ea alio modo dicerem: etenim orationem ostentationis causa scribens hæc evitare studerem; (94) tibi vero consilium daturus desiperem, si compositioni dictionis diutius immorarer, quam rebus ipsis, aut adeo si, quum alios meis sententiis uti viderem, ego solus iis quæ ante a me dicta essent, abstinerem. Propriis igitur pro tempore utar, sicubi res valde postularit neque dedecuerit; alieni vero nihil asciscam, id quod etiam antehac vitavi.

95. Et hæc quidem ita; jam vero deinceps mihi de apparatu disserendum videtur, tum hoc quo tu instructus eris, tum eo quem illi habuerunt. Tu igitur, quod maximum est, Græcos benevolos habebis, si quidem ea quæ supra

ἐθελήσῃς ἐμμεῖναι τοῖς περὶ τούτων εἰρημένοις, ἐκεῖνοι δὲ διὰ τὰς δεκαδαρχίας τὰς ἐπὶ Λακεδαιμονίων ὡς οἷόν τε δυσμενεστάτους. Ἡγοῦντο γὰρ Κύρου μὲν καὶ Κλεάρχου κατορθωσάντων μᾶλλον ἔτι δουλεύσειν, βασιλέως δὲ κρατήσαντος ἀπαλλαγήσεσθαι τῶν κακῶν τῶν παρόντων· ὅπερ καὶ συνέπεσεν αὐτοῖς. (96) Καὶ μὴν καὶ στρατιώτας σὺ μὲν ἐξ ἑτοίμου λήψει τοσούτους ὅσους ἂν βουληθῇς· οὕτω γὰρ ἔχει τὰ τῆς Ἑλλάδος, d ὥστε ῥᾷον εἶναι συστῆσαι στρατόπεδον μεῖζον καὶ κρεῖττον ἐκ τῶν πλανωμένων ἢ τῶν πολιτευομένων· ἐν ἐκείνοις δὲ τοῖς χρόνοις οὐκ ἦν ξενικὸν οὐδέν, ὥστ' ἀναγκαζόμενοι ξενολογεῖν ἐκ τῶν πόλεων πλέον ἀνήλισκον εἰς τὰς διδομένας τοῖς συλλέγουσι δωρεὰς ἢ τὴν εἰς τοὺς στρατιώτας μισθοφοράν. (97) Καὶ μὴν εἰ βουληθεῖμεν ἐξετάσαι καὶ παραβαλεῖν σέ τε τὸν νῦν ἡγησόμενον τῆς στρατείας καὶ βουλευσόμενον περὶ ἁπάντων e καὶ Κλέαρχον τὸν ἐπιστατήσαντα τῶν τότε πραγμάτων, εὑρήσομεν ἐκεῖνον μὲν οὐδεμιᾶς πώποτε δυνάμεως πρότερον οὔτε ναυτικῆς οὔτε πεζῆς καταστάντα κύριον, ἀλλ' ἐκ τῆς ἀτυχίας τῆς συμβάσης αὐτῷ περὶ τὴν ἤπει-
102 ρον ὀνομαστὸν γενόμενον, (98) σὲ δὲ τοσαῦτα καὶ τηλι- a
καῦτα τὸ μέγεθος διαπεπραγμένον· περὶ ὧν εἰ μὲν πρὸς ἑτέρους τὸν λόγον ἐποιούμην, καλῶς ἂν εἶχε διελθεῖν, πρὸς σὲ δὲ διαλεγόμενος, εἰ τὰς σὰς πράξεις σοι διεξιοίην, δικαίως ἂν ἀνόητος ἅμα καὶ περίεργος εἶναι δοκοίην.

99. Ἄξιον δὲ μνησθῆναι καὶ τῶν βασιλέων ἀμφοτέρων, ἐφ' ὃν σοί τε συμβουλεύω στρατεύειν καὶ πρὸς ὃν Κλέαρχος ἐπολέμησεν, ἵν' ἑκατέρου τὴν γνώμην καὶ τὴν δύναμιν εἰδῇς. Ὁ μὲν τοίνυν τούτου πατὴρ τὴν b πόλιν τὴν ἡμετέραν καὶ πάλιν τὴν Λακεδαιμονίων κατεπολέμησεν, οὗτος δ' οὐδενὸς πώποτε τῶν στρατευμάτων τῶν τὴν χώραν αὐτοῦ λυμαινομένων ἐπεκράτησεν. (100) Ἔπειθ' ὁ μὲν τὴν Ἀσίαν ἅπασαν παρὰ τῶν Ἑλλήνων ἐν ταῖς συνθήκαις ἐξέλαβεν, οὗτος δὲ τοσούτου δεῖ τῶν ἄλλων ἄρχειν, ὥστ' οὐδὲ τῶν ἐκδοθεισῶν αὐτῷ πόλεων ἐγκρατής ἐστιν. Ὥστ' οὐδεὶς ὅστις οὐκ ἂν ἀπορήσειε, πότερα χρὴ νομίζειν τοῦτον c αὐτῶν ἀφεστάναι δι' ἀνανδρίαν, ἢ 'κείνας ὑπερεωρακέναι καὶ καταπεφρονηκέναι τῆς βαρβαρικῆς δυναστείας.

101. Τὰ τοίνυν περὶ τὴν χώραν ὡς διάκειται, τίς οὐκ ἂν ἀκούσας παροξυνθείη πολεμεῖν πρὸς αὐτόν; Αἴγυπτος γὰρ ἀφειστήκει μὲν καὶ κατ' ἐκεῖνον τὸν χρόνον, οὐ μὴν ἀλλ' ἐφοβοῦντο μή ποτε βασιλεὺς αὐτὸς ποιησάμενος στρατείαν κρατήσειε καὶ τῆς διὰ τὸν ποταμὸν δυσχωρίας καὶ τῆς ἄλλης παρασκευῆς ἁπάσης· νῦν δ' d οὗτος ἀπήλλαξεν αὐτοὺς τοῦ δέους τούτου. Συμπαρασκευασάμενος γὰρ δύναμιν ὅσην οἷόστ' ἦν πλείστην, καὶ στρατεύσας ἐπ' αὐτούς, ἀπῆλθεν ἐκεῖθεν οὐ μόνον ἡττηθείς, ἀλλὰ καὶ καταγελασθεὶς καὶ δόξας οὔτε βασιλεύειν οὔτε στρατηγεῖν ἄξιος εἶναι. (102) Τὰ τοίνυν περὶ Κύπρον καὶ Φοινίκην καὶ Κιλικίαν καὶ τὸν τόπον ἐκεῖνον, ὅθεν ἐχρῶντο ναυτικῷ, τότε μὲν ἦν βασιλέως, νῦν δὲ

dicta sunt, servare volueris; illi autem ob decuriones a Lacedæmoniis constitutos eosdem inimicissimos habuerunt. Existimabant enim, si Cyrus et Clearchus vicissent, se duriorem servitutem servituros; sin rex superior evasisset, urgentia mala depulsuros; id quod etiam accidit. (96) Præterea tibi in expedito erit conscribere milites quotcumque volueris. Nam hic Græciæ status est, ut facilius sit exercitum majorem et robustiorem ex erronibus conscribere quam ex civibus. Illis vero temporibus peregrinus miles nullus erat; unde quum e civitatibus colligere copias necesse esset, largitiones in eos, qui illas colligebant, insumptæ pluris illis fere constabant, quam stipendia militum. (97) Enimvero si considerare voluerimus et comparationem facere inter te, qui nunc exercitum duces et de omnibus rebus deliberabis, et inter Clearchum, qui tum summæ rerum præfuit: illum reperiemus prius nunquam ullas copias sive navales sive pedestres in potestate habuisse, sed ex Asiana calamitate nobilitatum; (98) te autem tot tantasque res gessisse, de quibus si apud alios verba facerem, non incommode dici posset; quum autem tecum agam, jure ut demens et in re supervacanea occupatus deriderer, si tua facta commemorarem.

99. Operæ pretium porro fuerit regum etiam meminisse, tum hujus contra quem tibi bellum suscipiendum suadeo, tum illius quem Clearchus invasit, ut et vires et animum utriusque cognoscas. Ejus igitur pater et nostram urbem et Lacedæmoniorum item debellavit: at hic nullum unquam exercituum eorum qui ditionem ejus popularentur, superavit. (100) Deinde ille Asiam universam ex pacto a Græcis accepit; hic tantum abest ut aliis imperet, ut ne illarum quidem urbium sit dominus, quæ sunt ipsi traditæ. Quare nemo est quin dubitet, utrum existimandum sit hunc eas amisisse ultro ob ignaviam, an illas despexisse et contempsisse barbaricum dominatum.

101. Quis autem est qui, ubi audierit quomodo in imperio ejus agatur, non inflammetur ad bellum ei inferendum? Nam Ægyptus etiam illo tempore defecerat, sed metuebant tamen, ne quando rex ipse suscepta expeditione Nili transitu et reliquo apparatu omni potiretur: nunc autem hic illis metum illum ademit. Comparato enim exercitu quam maximo potuit, belloque contra illos moto, non solum victus inde recessit sed etiam derisus, quod neque regia neque imperatoria virtute præditus esse videretur. (102) Jam Cyprus et Phœnice et Cilicia finitimaque loca, unde classem instruere solebant, tunc erant in regis potestate,

τὰ μὲν ἀφέστηκε, τὰ δ' ἐν πολέμῳ καὶ κακοῖς τοσούτοις
ἐστίν, ὥστ' ἐκείνῳ μὲν μηδὲν εἶναι τούτων τῶν ἐθνῶν χρή-
σιμον, σοὶ δ', ἢν πολεμεῖν πρὸς αὐτὸν βουληθῇς, συμφό- e
ρως ἕξειν. (103) Καὶ μὴν Ἰδριέα γε τὸν εὐπορώτατον
τῶν νῦν περὶ τὴν ἤπειρον προσήκει δυσμενέστερον εἶναι
τοῖς βασιλέως πράγμασι τῶν πολεμούντων· ἢ πάντων
103 γ' ἂν εἴη σχετλιώτατος, εἰ μὴ βούλοιτο καταλελύσθαι a
ταύτην τὴν ἀρχήν, τὴν αἰκισαμένην μὲν τὸν ἀδελφόν,
πολεμήσασαν δὲ πρὸς αὐτόν, ἅπαντα δὲ τὸν χρόνον ἐπι-
βουλεύουσαν καὶ βουλομένην τοῦ τε σώματος αὐτοῦ καὶ
τῶν χρημάτων ἁπάντων γενέσθαι κυρίαν. (104) Ὑπὲρ
ὧν δεδιὼς νῦν μὲν ἀναγκάζεται θεραπεύειν αὐτὸν καὶ
χρήματα πολλὰ καθ' ἕκαστον τὸν ἐνιαυτὸν ἀναπέμπειν· b
εἰ δὲ σὺ διαβαίης εἰς τὴν ἤπειρον, ἐκεῖνός τ' ἂν ἄσμε-
νος ἴδοι βοηθὸν ἥκειν αὐτῷ σε νομίζων, τῶν τ' ἄλλων
σατραπῶν πολλοὺς ἀποστήσεις, ἢν ὑπόσχῃ τὴν ἐλευθε-
ρίαν αὐτοῖς, καὶ τοὔνομα τοῦτο διασπείρῃς εἰς τὴν Ἀ-
σίαν, ὅπερ εἰς τοὺς Ἕλληνας εἰσπεσὸν καὶ τὴν ἡμετέ-
ραν καὶ τὴν Λακεδαιμονίων ἀρχὴν κατέλυσεν.

105. Ἔτι δ' ἂν πλείω λέγειν ἐπεχείρουν, ὃν τρόπον
πολεμῶν τάχιστ' ἂν περιγένοιο τῆς τοῦ βασιλέως δυνά- c
μεως· νῦν δὲ φοβοῦμαι μή τινες ἐπιτιμήσωσιν ἡμῖν, εἰ
μηδὲν πώποτε μεταχειρισάμενος τῶν στρατηγικῶν νῦν
τολμῴην σοὶ παραινεῖν τῷ πλεῖστα καὶ μέγιστα διαπε-
πραγμένῳ κατὰ πόλεμον. Ὥστε περὶ μὲν τούτων
οὐδὲν οἶμαι δεῖν πλείω λέγειν· περὶ δὲ τῶν ἄλλων,
ἡγοῦμαι τόν τε πατέρα σου καὶ τὸν κτησάμενον τὴν
βασιλείαν καὶ τὸν τοῦ γένους ἀρχηγόν, εἰ τῷ μὲν εἴη
θέμις, οἱ δὲ δύναμιν λάβοιεν, τῶν αὐτῶν ἂν τούτων
γενέσθαι συμβούλους ὧνπερ ἐγώ. (106) Χρῶμαι δὲ d
τεκμηρίοις ἐξ ὧν διαπεπραγμένοι τυγχάνουσιν. Ὅ τε
γὰρ πατήρ σου πρὸς τὰς πόλεις ταύτας, αἷς σοὶ παραινῶ
προσέχειν τὸν νοῦν, πρὸς ἁπάσας οἰκείως εἶχεν· ὅ τε
κτησάμενος τὴν ἀρχήν, μεῖζον φρονήσας τῶν αὐτοῦ
πολιτῶν καὶ μοναρχίας ἐπιθυμήσας, οὐχ ὁμοίως ἐβου-
λεύσατο τοῖς πρὸς τὰς τοιαύτας φιλοτιμίας ὁρμωμένοις.
(107) Οἱ μὲν γὰρ ἐν ταῖς αὑτῶν πόλεσι στάσεις καὶ
ταραχὰς καὶ σφαγὰς ἐμποιοῦντες ἐκτῶντο τὴν τιμὴν e
ταύτην, ὁ δὲ τὸν μὲν τόπον τὸν Ἑλληνικὸν ὅλως εἴασε,
τὴν δ' ἐν Μακεδονίᾳ βασιλείαν κατασχεῖν ἐπεθύμησεν·
ἠπίστατο γὰρ τοὺς μὲν Ἕλληνας οὐκ εἰθισμένους ὑπο-
μένειν τὰς μοναρχίας, τοὺς δ' ἄλλους οὐ δυναμένους
104 ἄνευ τῆς τοιαύτης δυναστείας διοικεῖν τὸν βίον τὸν σφέ- a
τερον αὐτῶν. (108) Καὶ γάρ τοι συνέβη διὰ τὸ γνῶ-
ναι περὶ τούτων αὐτὸν ἰδίως καὶ τὴν βασιλείαν γεγε-
νῆσθαι πολὺ τῶν ἄλλων ἐξηλλαγμένην· μόνος γὰρ Ἑλ-
λήνων οὐχ ὁμοφύλου γένους ἄρχειν ἀξιώσας μόνος καὶ
διαφυγεῖν ἠδυνήθη τοὺς κινδύνους τοὺς περὶ τὰς μοναρ-
χίας γιγνομένους. Τοὺς μὲν γὰρ ἐν τοῖς Ἕλλησι
τοιοῦτόν τι διαπεπραγμένους εὕροιμεν ἂν οὐ μόνον αὐ-
τοὺς διεφθαρμένους, ἀλλὰ καὶ τὸ γένος αὐτῶν ἐξ ἀν- b
θρώπων ἠφανισμένον, ἐκεῖνον δ' αὐτόν τ' ἐν εὐδαιμονίᾳ
τὸν βίον διαγαγόντα, τῷ τε γένει καταλιπόντα τὰς αὐ-
τὰς τιμὰς ἅσπερ αὐτὸς εἶχεν.

nunc alia defecerunt, alia bello et iis malis conflictantur, ut nullæ harum gentium ei sint utiles: tibi vero, si bellum adversus eum gerere volueris, opportunæ futuræ sunt. (103) Idrieum, porro opulentissimum Asiæ satrapen, aut infestiorem esse regi quam eos qui palam bellum gerunt, aut omnium hominum abjectissimum esse necesse est, si hoc imperium corruere nolet, quod fratrem ejus excruciavit, quod bellum contra ipsum gessit, quod perpetuo insidias struxit, quod et corpore et opibus ejus potiri voluit. (104) Quarum rerum metu perterritus nunc regem colere et quotannis magnam pecuniæ vim mittere cogitur; sed te, si in Asiam trajeceris, non ille modo libens viderit, adjutorem sibi advenire existimans, sed etiam aliorum satraparum multos ad defectionem impelles ostensa spe libertatis, istoque nomine in Asia divulgato, quod quum in Græcia percrebuisset, et nobis et Lacedæmoniis eripuit imperium.

105. Plura dicerem, qua ratione bello administrando regis potentiam facillime vinceres, nisi vererer quorundam reprehensionem, si ego, qui nunquam quidquam rei militaris attigerim, tibi post plurima et præclarissima belli facinora edita præscribere studerem. Quare de his quidem pluribus verbis opus esse non puto. Quod autem ad reliqua attinet, arbitror et patrem tuum, et eum qui regnum vobis peperit, et vestri generis auctorem, si huic fas, illis facultas dicendi data esset; eadem haud dubie, quæ ego, esse consulturos. (106) Cujus rei conjecturam ex rebus illorum gestis capio. Nam et pater tuus civitatibus his omnibus, quarum amicitiam expetendam tibi censeo, amicus fuit; et is qui regnum constituit et altiores quam sui cives spiritus habuit, regnandi cupiditate incitatus non eadem quæ alii in honorum talium appetitione consilia secutus est. (107) Nam illi quidem excitatis in suis urbibus seditionibus et tumultibus et cædibus eum honorem arripuerunt: is vero Græcorum ditionem universam reliquit et regnum Macedonicum occupare studuit; norat enim nec Græcos ferre dominationem regiam consuevisse, et ceteros sine hac imperii forma non posse vitam suam gubernare. (108) Quod quum ipse sapienter animadvertisset, etiam regnum aliis multo præstantius exstitit. Nam solus Græcorum peregrinæ gentis imperium adeptus, solus etiam pericula quæ regnis imminent effugit. Nam qui inter Græcos tale aliquid confecerunt, eos non ipsos tantum periisse, sed etiam genus eorum funditus exstirpatum esse inveniemus: ille autem et ipse feliciter ætatem egit, et imperium quod tenuerat, suis per manus tradidit.

109. Περὶ τοίνυν Ἡρακλέους, οἱ μὲν ἄλλοι τὴν ἀνδρείαν ὑμνοῦντες αὐτοῦ καὶ τοὺς ἄθλους ἀπαριθμοῦντες διατελοῦσι, περὶ δὲ τῶν ἄλλων τῶν τῇ ψυχῇ προσόντων ἀγαθῶν οὐδεὶς οὔτε τῶν ποιητῶν οὔτε τῶν λογοποιῶν οὐδεμίαν φανήσεται μνείαν πεποιημένος. Ἐγὼ δ' ὁρῶ μὲν τόπον ἴδιον καὶ παντάπασιν ἀδιεξέργαστον, c οὐ μικρὸν οὐδὲ κενόν, ἀλλὰ πολλῶν μὲν ἐπαίνων καὶ καλῶν πράξεων γέμοντα, ποθοῦντα δὲ τὸν ἀξίως ἂν δυνηθέντα διαλεχθῆναι περὶ αὐτῶν· (110) ἐφ' ὃν εἰ μὲν νεώτερος ὢν ἐπέστην, ῥᾳδίως ἂν ἐπέδειξα τὸν πρόγονον ὑμῶν καὶ τῇ φρονήσει καὶ τῇ φιλοτιμίᾳ καὶ τῇ δικαιοσύνῃ πλέον διενεγκόντα πάντων τῶν προγεγενημένων ἢ τῇ ῥώμῃ τῇ τοῦ σώματος· νῦν δ' ἐπελθὼν ἐπ' αὐτόν, καὶ κατιδὼν τὸ πλῆθος τῶν ἐνόντων εἰπεῖν, τήν τε δύναμιν d τὴν παροῦσάν μοι κατεμεμψάμην καὶ τὸν λόγον ᾐσθόμην διπλάσιον ἂν γενόμενον τοῦ νῦν ἀναγιγνωσκομένου. Τῶν μὲν οὖν ἄλλων ἀπέστην διὰ τὰς αἰτίας ταύτας, μίαν δὲ πρᾶξιν ἐξ αὐτῶν ἔλαβον, ἥπερ ἦν προσήκουσα μὲν καὶ πρέπουσα τοῖς προειρημένοις, τὸν δὲ καιρὸν ἔχουσα μάλιστα σύμμετρον τοῖς νῦν λεγομένοις.

111. Ἐκεῖνος γὰρ ὁρῶν τὴν Ἑλλάδα πολέμων καὶ e στάσεων καὶ πολλῶν ἄλλων κακῶν μεστὴν οὖσαν, παύσας ταῦτα καὶ διαλλάξας τὰς πόλεις πρὸς ἀλλήλας ὑπέδειξε τοῖς ἐπιγιγνομένοις, μεθ' ὧν χρὴ καὶ πρὸς οὓς δεῖ τοὺς πολέμους ἐκφέρειν. Ποιησάμενος γὰρ στρατείαν 105 ἐπὶ Τροίαν, ἥπερ εἶχε τότε μεγίστην δύναμιν τῶν a περὶ τὴν Ἀσίαν, τοσοῦτον διήνεγκε τῇ στρατηγίᾳ τῶν πρὸς τὴν αὐτὴν ταύτην ὕστερον πολεμησάντων, (112) ὅσον οἱ μὲν μετὰ τῆς τῶν Ἑλλήνων δυνάμεως ἐν ἔτεσι δέκα μόλις αὐτὴν ἐξεπολιόρκησαν, ὁ δ' ἐν ἡμέραις ἐλάττοσιν ἢ τοσαύταις καὶ μετ' ὀλίγων στρατεύσας ῥᾳδίως αὐτὴν κατὰ κράτος εἷλεν. Καὶ μετὰ ταῦτα τοὺς βασιλέας τῶν ἐθνῶν τῶν ἐφ' ἑκατέρας τῆς ἠπείρου τὴν παραλίαν κατοικούντων ἅπαντας ἀπέκτεινεν· οὓς οὐδέ- b ποτ' ἂν διέφθειρεν, εἰ μὴ καὶ τῆς δυνάμεως αὐτῶν ἐκράτησεν. Ταῦτα δὲ πράξας τὰς στήλας τὰς Ἡρακλέους καλουμένας ἐποιήσατο, τρόπαιον μὲν τῶν βαρβάρων, μνημεῖον δὲ τῆς ἀρετῆς τῆς αὑτοῦ καὶ τῶν κινδύνων, ὅρους δὲ τῆς τῶν Ἑλλήνων χώρας.

113. Τούτου δ' ἕνεκά σοι περὶ τούτων διῆλθον, ἵνα γνῷς ὅτι σε τυγχάνω τῷ λόγῳ παρακαλῶν ἐπὶ τοιαύτας πράξεις, ἃς ἐπὶ τῶν ἔργων οἱ πρόγονοί σου φαίνον- c ται καλλίστας προκρίναντες. Ἅπαντας μὲν οὖν χρὴ τοὺς νοῦν ἔχοντας τὸν κράτιστον ὑποστησαμένους πειρᾶσθαι γίγνεσθαι τοιούτους, μάλιστα δὲ σοὶ προσήκει. Τὸ γὰρ μὴ δεῖν ἀλλοτρίοις χρῆσθαι παραδείγμασιν, ἀλλ' οἰκεῖον ὑπάρχειν, πῶς οὐκ εἰκὸς ὑπ' αὐτοῦ σε παροξύνεσθαι, καὶ φιλονικεῖν ὅπως τῷ προγόνῳ σαυτὸν ὅμοιον παρασκευάσεις; (114) λέγω δ' οὐχ ὡς δυνησόμενον ἁπάσας σε μιμήσασθαι τὰς Ἡρακλέους πράξεις d (οὐδὲ γὰρ ἂν τῶν θεῶν ἔνιοι δυνηθεῖεν), ἀλλὰ κατά γε τὸ τῆς ψυχῆς ἦθος καὶ τὴν φιλανθρωπίαν καὶ τὴν εὔνοιαν, ἣν εἶχεν εἰς τοὺς Ἕλληνας, δύναι' ἂν ὁμοιωθῆναι τοῖς ἐκείνου βουλήμασιν. Ἔστι δέ σοι πεισθέντι

109. Herculis vero alii quidem fortitudinem divinis laudibus celebrare et certamina enumerare non desistunt; aliorum vero quæ animo insunt bonorum nemo vel poetarum vel scriptorum mentionem fecisse reperietur. Ego vero locum peculiarem video et inelaboratum, non parvum neque sterilem, sed multis laudibus et honestis actionibus refertum; ejus generis tamen, qui virum desideret non parva eloquentia præditum: (110) in quem si junior incidissem, vestræ familiæ auctorem et prudentia et laudis appetitione et justitia plus antecelluisse superiorum temporum hominibus omnibus quam robore corporis facile demonstrassem. Nunc ubi ad illum accessi et quam multa dicendo explicanda insint, vidi, quum ingenii facultatem, quæ hoc tempore mihi est, imparem esse argumenti gravitati intelligo, tum orationem duplo hac, quæ nunc a me recitatur, fore longiorem animadverto. Ceteris igitur omnibus his de causis præteritis, unam inde actionem delegi, quæ quidem cognata et conveniens his est quæ antea dicta sunt, et spatio quam maxime congruit iis quæ nunc dicuntur.

111. Nam is quum vidisset Græciam fervere bellis et seditionibus et multis aliis calamitatibus, sopitis illis malis et pace inter urbes facta, demonstravit posteris, quibus sociis ascitis contra quos bella gerenda essent. Expeditione enim adversus Trojam suscepta, quæ tum in Asia potentissima erat, tanto dux præstantior fuit iis qui post eandem oppugnarunt, (112) ut quam illi totius Græciæ viribus contractis vix anno decimo expugnarunt, hic paucioribus diebus quam illi annis, quum paucos omnino milites haberet, facile per vim ceperit. Deinde reges gentium in utriusque continentis ora accolentes universos occidit; quos nunquam pereempturus fuit, nisi et copias illorum vicisset. His rebus gestis columnas illas, quas Herculeas vocant, constituit, ut et tropæum de barbaris essent et monumentum virtutis suæ ac præliorum, denique ditionis Græcorum limites.

113. Hæc ea de causa tibi commemoravi, ut non alias res suadere tibi orationem meam intelligeres, quam quas majores tui factis ipsis declararunt se ceteris omnibus summa laude dignissimas anteposuisse. Itaque quum reliquos omnes decet in optimum quemque intuentes conari illum imitando assequi, tum vero te vel inprimis. Nam quum exemplis tibi non alienis utendum sit, sed domesticum in promptu habeas, annon illud te excitabit ut summa contentione par esse tui generis conditori studeas? (114) Neque vero te omnia Herculis facta imitari posse dico (nam id vel deorum quidam nequirent), sed si tantum mores ejus facillimos et humanitatem et benevolentiam in Græcos secutus eris, ad institutorum illius similitudinem accesseris.

τοῖς ὑπ' ἐμοῦ λεγομένοις τυχεῖν δόξης, οἵας ἂν αὐτὸς βουληθῇς· (115) ῥᾴδιον γάρ ἐστιν ἐκ τῶν παρόντων κτήσασθαι τὴν καλλίστην, ἢ 'ξ ὧν παρέλαβες ἐπὶ τὴν νῦν ὑπάρχουσαν προελθεῖν. Σκέψαι δ' ὅτι σε τυγχάνω παρακαλῶν, ἐξ ὧν ποιήσει τὰς στρατείας οὐ μετὰ τῶν e βαρβάρων ἐφ' οὓς οὐ δίκαιόν ἐστιν, ἀλλὰ μετὰ τῶν Ἑλλήνων ἐπὶ τούτους πρὸς οὓς προσήκει τοὺς ἀφ' Ἡρακλέους γεγονότας πολεμεῖν.

116. Καὶ μὴ θαυμάσῃς, εἰ διὰ παντός σε τοῦ λόγου 106 πειρῶμαι προτρέπειν ἐπί τε τὰς εὐεργεσίας τὰς τῶν a Ἑλλήνων καὶ πραότητα καὶ φιλανθρωπίαν· ὁρῶ γὰρ τὰς μὲν χαλεπότητας λυπηρὰς οὔσας καὶ τοῖς ἔχουσι καὶ τοῖς ἐντυγχάνουσι, τὰς δὲ πραότητας οὐ μόνον ἐπὶ τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων ἁπάντων εὐδοκιμούσας, (117) ἀλλὰ καὶ τῶν θεῶν τοὺς μὲν τῶν ἀγαθῶν αἰτίους ἡμῖν ὄντας Ὀλυμπίους προσαγορευομένους, τοὺς δ' ἐπὶ ταῖς συμφοραῖς καὶ ταῖς τιμωρίαις τεταγμένους b δυσχερεστέρας τὰς ἐπωνυμίας ἔχοντας, καὶ τῶν μὲν καὶ τοὺς ἰδιώτας καὶ τὰς πόλεις καὶ νεὼς καὶ βωμοὺς ἱδρυμένους, τοὺς δ' οὔτ' ἐν ταῖς εὐχαῖς οὔτ' ἐν ταῖς θυσίαις τιμωμένους, ἀλλ' ἀποπομπὰς αὐτῶν ἡμᾶς ποιουμένους. (118) Ὧν ἐνθυμούμενον ἐθίζειν σαυτὸν χρή, καὶ μελετᾶν ὅπως ἔτι μᾶλλον ἢ νῦν τοιαύτην ἅπαντες περὶ σοῦ τὴν γνώμην ἕξουσιν. Χρὴ δὲ τοὺς μείζονος δόξης τῶν ἄλλων ἐπιθυμοῦντας περιβάλλε- c σθαι μὲν τῇ διανοίᾳ τὰς πράξεις δυνατὰς μέν, εὐχῇ δ' ὁμοίας, ἐξεργάζεσθαι δὲ ζητεῖν αὐτὰς ὅπως ἂν οἱ καιροὶ παραδιδῶσιν.

119. Ἐκ πολλῶν δ' ἂν κατανοήσειας ὅτι δεῖ τοῦτον τὸν τρόπον πράττειν, μάλιστα δ' ἐκ τῶν Ἰάσονι συμβάντων. Ἐκεῖνος γὰρ οὐδὲν τοιοῦτον οἷον σὺ κατεργασάμενος μεγίστης δόξης ἔτυχεν, οὐκ ἐξ ὧν ἔπραξεν, ἀλλ' ἐξ ὧν ἔφησεν· ἐποιεῖτο γὰρ τοὺς λόγους ὡς εἰς τὴν ἤπειρον διαβησόμενος καὶ βασιλεῖ πολεμήσων. (120) d Ὅπου δ' Ἰάσων λόγῳ μόνον χρησάμενος οὕτως αὑτὸν ηὔξησεν, ποίαν τινὰ χρὴ προσδοκᾶν περὶ σοῦ γνώμην αὐτοὺς ἕξειν, ἢν ἔργῳ ταῦτα πράξῃς, καὶ μάλιστα μὲν πειραθῇς ὅλην τὴν βασιλείαν ἑλεῖν, εἰ δὲ μή, χώραν ὅτι πλείστην ἀφορίσασθαι καὶ διαλαβεῖν τὴν Ἀσίαν, ὥς λέγουσί τινες, ἀπὸ Κιλικίας μέχρι Σινώπης, πρὸς δὲ τούτοις κτίσαι πόλεις ἐπὶ τούτῳ τῷ τόπῳ, καὶ κα- e τοικίσαι τοὺς νῦν πλανωμένους δι' ἔνδειαν τῶν καθ' ἡμέραν καὶ λυμαινομένους οἷς ἂν ἐντύχωσιν. (121) Οὓς εἰ μὴ παύσομεν ἀθροιζομένους βίον αὐτοῖς ἱκανὸν πορίσαντες, λήσουσιν ἡμᾶς τοσοῦτοι γενόμενοι τὸ πλῆθος, ὥστε μηδὲν ἧττον αὐτοὺς εἶναι φοβεροὺς τοῖς 107 Ἕλλησιν ἢ τοῖς βαρβάροις· ὧν οὐδεμίαν ποιούμεθα a πρόνοιαν, ἀλλ' ἀγνοοῦμεν κοινὸν φόβον καὶ κίνδυνον ἅπασιν ἡμῖν αὐξανόμενον. (122) Ἔστιν οὖν ἀνδρὸς μέγα φρονοῦντος καὶ φιλέλληνος καὶ πορρωτέρω τῶν ἄλλων τῇ διανοίᾳ καθορῶντος, ἀποχρησάμενον τοῖς τοιούτοις πρὸς τοὺς βαρβάρους, καὶ χώραν ἀποτεμόμενον τοσαύτην ὅσην ὀλίγῳ πρότερον εἰρήκαμεν, ἀπαλλάξαι τε τοὺς ξενιτευομένους τῶν κακῶν ὧν αὐτοί τ'

Quodsi mihi parueris, eam gloriam, quam ipse voles, adipisceris: (115) facilius est enim hoc rerum tuarum statu parare pulcherrimam, quam iis rebus quæ initio tibi contigerunt, eam, qua nunc frueris, consequi. Illud etiam considera, me non ut cum barbaris contra eos ducas exercitum, quos oppugnari nefas est, hortari; sed ut cum Græcis adversus eos bellum suscipias, quos ab Herculis posteris oppugnari decet.

116. Neque vero mireris, cur te per totam orationem et ad demerendos Græcos et ad mansuetudinem et humanitatem adhorter. Nam difficiles mores molestos esse video tum iis apud quos sunt, tum his qui eorum consuetudine utuntur; mansuetudinem vero non in hominibus solum et ceteris animantibus celebrari; (117) sed deorum quoque eos, qui nobis benefaciant, cœlites dici, qui vero calamitatibus et pœnis præsint, atrociora nomina habuere: atque illi quidem et privatim et publice templis arisque honorantur; hos autem neque in precibus neque in sacrificiis coli, sed nobis esse detestabiles constat. (118) Hæc igitur considerans assuefacere te ac meditari debes, ut mortales omnes magis etiam quam nunc talem de te concipiant opinionem. Qui autem eximiam gloriam expetunt, eos animo complecti decet res non quidem eas quæ fieri nequeant, sed quæ voti similes sint, et ita in illis studiose elaborare, ut rerum tulerint occasiones.

119. Multis autem e rebus cognosces ita esse faciendum, sed inprimis ex eis, quæ Iasoni contigerunt. Qui quum nihil tale, quale tu, præstitisset, maximam gloriam non ex iis quæ gessit, sed ex iis quæ dixit, est adeptus. Ita enim verba faciebat, ut qui in Asiam transiturus et regi bellum illaturus esset. (120) Si igitur Iason verbis tantum ita res suas auxit, quam de te opinionem fore censes, si re ipsa ista perfeceris, conatusque fueris maxime quidem universum regnum capere; sin minus, plurimas inde provincias avellere et dividere Asiam, ut quidam aiunt, a Cicilia ad Sinopen usque. Præterea condendæ urbes erunt in loco illo, atque in eas collocandi qui nunc ob rerum necessariarum penuriam oberrant et obvia quæque infestant; (121) quibus nisi obstiterimus, ne in posterum congregentur, victu illis affatim suppeditato, paulatim tanta eorum futura est multitudo, ut nihilo minus Græcis quam barbaris sint metuendi: at nos nihil illos curamus, neque animadvertimus communem metum et periculum nobis omnibus augeri. (122) Est igitur viri magnanimi et Græcorum studiosi et longe præter ceteros in futurum prospicientis, ut abusus talibus hominibus adversus barbaros tantum terræ illis adimat, quantum paulo ante diximus, et mercenarios milites malis liberet, tum iis quæ ipsi

ἔχουσι καὶ τοῖς ἄλλοις παρέχουσι, καὶ πόλεις ἐξ αὐτῶν b συστῆσαι, καὶ ταύταις ὁρίσαι τὴν Ἑλλάδα καὶ προβαλέσθαι πρὸ ἁπάντων ἡμῶν. (123) Ταῦτα γὰρ πράξας οὐ μόνον ἐκείνους εὐδαίμονας ποιήσεις, ἀλλὰ καὶ πάντας ἡμᾶς εἰς ἀσφάλειαν καταστήσεις. Ἢν δ' οὖν τούτων διαμάρτῃς, ἀλλ' ἐκεῖνό γε ῥᾳδίως ποιήσεις, τὰς πόλεις τὰς τὴν Ἀσίαν κατοικούσας ἐλευθερώσεις. Ὅ τι δ' ἂν τούτων πρᾶξαι δυνηθῇς ἢ καὶ μόνον ἐπιχειρήσῃς, οὐκ ἔσθ' ὅπως οὐ μᾶλλον τῶν ἄλλων εὐδοκιμήσεις, c καὶ δικαίως, ἤν περ αὐτός τ' ἐπὶ ταῦθ' ὁρμήσῃς καὶ τοὺς Ἕλληνας προτρέψῃς· (124) ἐπεὶ νῦν γε τίς οὐκ ἂν εἰκότως τὰ συμβεβηκότα θαυμάσειε καὶ καταφρονήσειεν ἡμῶν, ὅπου παρὰ μὲν τοῖς βαρβάροις, οὓς ὑπειλήφαμεν μαλακοὺς εἶναι καὶ πολέμων ἀπείρους καὶ διεφθαρμένους ὑπὸ τῆς τρυφῆς, ἄνδρες ἐγγεγόνασιν οἳ τῆς Ἑλλάδος ἄρχειν ἠξίωσαν, τῶν δ' Ἑλλήνων οὐδεὶς d τοσοῦτον πεφρόνηκεν ὥστ' ἐπιχειρῆσαι τῆς Ἀσίας ἡμᾶς ποιῆσαι κυρίους, (125) ἀλλὰ τοσοῦτον αὐτῶν ἀπολελειμμένοι τυγχάνομεν, ὥστ' ἐκεῖνοι μὲν οὐκ ὤκνησαν οὐδὲ προϋπάρξαι τῆς ἔχθρας τῆς πρὸς τοὺς Ἕλληνας, ἡμεῖς δ' οὐδ' ὑπὲρ ὧν κακῶς ἐπάθομεν ἀμύνεσθαι τολμῶμεν αὐτούς, ἀλλ' ὁμολογούντων ἐκείνων ἐν ἅπασι τοῖς πολέμοις μήτε στρατιώτας ἔχειν μήτε στρατηγοὺς μήτ' ἄλλο μηδὲν τῶν εἰς τοὺς κινδύνους χρησίμων, (126) ἀλλὰ ταῦτα πάντα παρ' ἡμῶν μεταπεμπομένων, εἰς e τοῦθ' ἥκομεν ἐπιθυμίας τοῦ κακῶς ἡμᾶς αὐτοὺς ποιεῖν, ὥστ' ἐξὸν ἡμῖν τἀκείνων ἀδεῶς ἔχειν, πρὸς ἡμᾶς τ' αὐτοὺς περὶ μικρῶν πολεμοῦμεν, καὶ τοὺς ἀφισταμένους τῆς ἀρχῆς τῆς βασιλέως συγκαταστρεφόμεθα, καὶ λε-
108 λήθαμεν ἡμᾶς αὐτοὺς ἐνίοτε μετὰ τῶν πατρικῶν ἐχθρῶν a τοὺς τῆς αὐτῆς συγγενείας μετέχοντας ἀπολλύναι ζητοῦντες.

127. Διὸ καὶ σοὶ νομίζω συμφέρειν οὕτως ἀνάνδρως διακειμένων τῶν ἄλλων προστῆναι τοῦ πολέμου τοῦ πρὸς ἐκεῖνον. Προσήκει δὲ τοῖς μὲν ἄλλοις τοῖς ἀφ' Ἡρακλέους πεφυκόσι καὶ τοῖς ἐν πολιτείᾳ καὶ νόμοις ἐνδεδεμένοις ἐκείνην τὴν πόλιν στέργειν, ἐν ᾗ τυγχάνουσι κατοικοῦντες, σὲ δ' ὥσπερ ἄφετον γεγενημένον ἅπασαν τὴν Ἑλλάδα πατρίδα νομίζειν, ὥσπερ ὁ γεννήσας ὑμᾶς, καὶ κινδυνεύειν ὑπὲρ αὐτῆς ὁμοίως b ὥσπερ ὑπὲρ ὧν μάλιστα σπουδάζεις.

128. Ἴσως δ' ἄν τινες ἐπιτιμῆσαί μοι τολμήσειαν τῶν οὐδὲν ἄλλο δυναμένων ἢ τοῦτο ποιεῖν, ὅτι σὲ προειλόμην παρακαλεῖν ἐπί τε τὴν στρατείαν τὴν ἐπὶ τοὺς βαρβάρους καὶ τὴν ἐπιμέλειαν τὴν τῶν Ἑλλήνων, παραλιπὼν τὴν ἐμαυτοῦ πόλιν. (129) Ἐγὼ δ' εἰ μὲν πρὸς ἄλλους τινὰς πρότερον ἐπεχείρουν διαλέγεσθαι c περὶ τούτων ἢ πρὸς τὴν πατρίδα τὴν αὑτοῦ τὴν τρὶς τοὺς Ἕλληνας ἐλευθερώσασαν, δὶς μὲν ἀπὸ τῶν βαρβάρων, ἅπαξ δ' ἀπὸ τῆς Λακεδαιμονίων ἀρχῆς, ὡμολόγουν ἂν πλημμελεῖν· νῦν δ' ἐκείνην μὲν φανήσομαι πρώτην ἐπὶ ταῦτα προτρέπων ὡς ἠδυνάμην μετὰ πλείστης σπουδῆς, αἰσθανόμενος δ' ἔλαττον αὐτὴν φροντίζουσαν τῶν ὑπ' ἐμοῦ λεγομένων ἢ τῶν ἐπὶ τοῦ βήμα-

ferunt, tum quæ aliis inferunt, et civitates ex eis constituat, quæ Græciæ fines constituant et quasi vallum pro nobis omnibus objiciantur. (123) Nam eo pacto non illos solum felices, sed nos etiam omnes securos reddes. Ut autem hæc tibi non contingant; at illud facile consequeris, ut urbes Græcorum Asiaticas in libertatem vindices. Quodcumque autem horum perfeceris aut tantum conatus fueris, aliis utique gloria et laudibus antecelles, idque optimo jure, ut qui et ipse talia aggrediaris et Græcos ad eadem cohorteris. (124) Nam quæ hactenus quidem facta sunt, quis non jure miretur nosque despiciat, quum apud barbaros, quos molles putabamus et bellicæ rei imperitos luxuque perditos, viri nati sint, qui se Græciæ dignos imperio censuerunt, Græcorum neminem ea esse animi magnitudine, ut vel conetur nos Asiæ dominos facere, (125) sed usque adeo ab eis vinci nos, ut quum illi non dubitarint Græcos ultro lacessere inimicitiis, nos ne de vindicanda quidem injuria cogitemus? quum in omnibus bellis in confesso sit illos neque milites habere neque duces neque quicquam aliud bellis gerendis aptum; (126) et quum ea omnia a nobis accersant, in eam nos venimus cupiditatem injuriis inter nos certandi, ut quamvis illorum opibus secure frui liceret, ipsi inter nos de minutis quibusdam rebus bella geramus, et iis qui a regis imperio defecerunt, sub jugum reducendis navemus operam, neque sentiamus nos paternis hostibus nonnunquam præsto esse ad gentiles et cognatos nostros perdendos.

127. Quare tibi conducere puto, in tanta aliorum ignavia, ut te ducem belli barbarici profitearis. Nam alios quidem ab Hercule ortos, qui reipublicæ legumque vinculis astricti tenentur, ea urbe, in qua habitant, contentos esse decet: te autem tanquam emancipatum totam Græciam patria caritate complecti, ut is fecit qui vos genuit, et non minora illius causa pericula adire, quam propter ea quæ antiquissima tibi sint.

128. Erunt fortasse qui me reprehendere audeant, iique potissimum, qui hoc unum tantum didicerunt, quod, quum te et ad oppugnandos barbaros et ad tuendos Græcos voluerim adhortari, de mea urbe nihil dixerim. (129) Ego vero, si cum ullis aliis prius instituissem his de rebus agere, quam cum patria mea, quæ ter Græciæ libertatem restituit, bis profligatis barbaris, semel jugo Lacedæmoniorum excusso, faterer me deliquisse. Nunc me illam primam ad hæc adhortatum esse, maximo quo potuerim studio, constat. Quam quum minus ea quæ a me dicerentur, curare viderem, quam eorum verba qui pro suggestu insa-

τος μαινομένων, ἐκείνην μὲν εἴασα, τῆς δὲ πραγματείας d
οὐκ ἀπέστην. (130) Διὸ δικαίως ἄν με πάντες ἐπαι-
νοῖεν, ὅτι τῇ δυνάμει ταύτῃ χρώμενος ἣν ἔχων τυγχάνω,
διατετέλεκα πάντα τὸν χρόνον πολεμῶν μὲν τοῖς βαρ-
βάροις, κατηγορῶν δὲ τῶν μὴ τὴν αὐτὴν ἐμοὶ γνώμην
ἐχόντων, προτρέπειν δ' ἐπιχειρῶν οὓς ἂν ἐλπίσω μά-
λιστα δυνήσεσθαι τοὺς μὲν Ἕλληνας ἀγαθόν τι ποιῆ-
σαι, τοὺς δὲ βαρβάρους ἀφελέσθαι τὴν ὑπάρχουσαν
εὐδαιμονίαν. (131) Διόπερ καὶ νῦν πρὸς σὲ ποιοῦμαι e
τοὺς λόγους, οὐκ ἀγνοῶν ὅτι τούτοις ὑπ' ἐμοῦ μὲν λε-
γομένοις πολλοὶ φθονήσουσι, τοῖς δ' αὐτοῖς τούτοις ὑπὸ
σοῦ πραττομένοις ἅπαντες συνησθήσονται. Τῶν μὲν
γὰρ εἰρημένων οὐδεὶς κεκοινώνηκε, τῶν δ' ὠφελειῶν
τῶν κατεργασθησομένων οὐκ ἔστιν ὅστις οὐκ οἰήσεται
μεθέξειν.

109 132. Σκέψαι δ' ὡς αἰσχρὸν περιορᾶν τὴν Ἀσίαν a
ἄμεινον πράττουσαν τῆς Εὐρώπης καὶ τοὺς βαρβάρους
εὐπορωτέρους τῶν Ἑλλήνων ὄντας, ἔτι δὲ τοὺς μὲν
ἀπὸ Κύρου τὴν ἀρχὴν ἔχοντας, ὃν ἡ μήτηρ εἰς τὴν
ὁδὸν ἐξέβαλε, βασιλέας μεγάλους προσαγορευομένους,
τοὺς δ' ἀφ' Ἡρακλέους πεφυκότας, ὃν ὁ γεννήσας διὰ
τὴν ἀρετὴν εἰς θεοὺς ἀνήγαγε, ταπεινοτέροις ὀνόμασιν
ἢ 'κείνους προσαγορευομένους. Ὧν οὐδὲν ἐατέον οὕ-
τως ἔχειν, ἀλλ' ἀναστρεπτέον καὶ μεταστατέον ἅπαντα b
ταῦτ' ἐστίν.

133. Εὖ δ' ἴσθι μηδὲν ἄν με τούτων ἐπιχειρήσαντά
σε πείθειν, εἰ δυναστείαν μόνον καὶ πλοῦτον ἑώρων ἐξ
αὐτῶν γενησόμενον· ἡγοῦμαι γὰρ τά γε τοιαῦτα καὶ
νῦν σοι πλείω τῶν ἱκανῶν ὑπάρχειν καὶ πολλὴν ἀπλη-
στίαν ἔχειν ὅστις προαιρεῖται κινδυνεύειν ὥστ' ἢ ταῦτα
λαβεῖν ἢ στερηθῆναι τῆς ψυχῆς. (134) Ἀλλὰ γὰρ οὐ πρὸς
τὰς τούτων κτήσεις ἀποβλέψας ποιοῦμαι τοὺς λόγους,
ἀλλ' οἰόμενος ἐκ τούτων μεγίστην σοι καὶ καλλί- c
στην γενήσεσθαι δόξαν. Ἐνθυμοῦ δ' ὅτι τὸ μὲν σῶμα
θνητὸν ἅπαντες ἔχομεν, κατὰ δὲ τὴν εὐδοξίαν καὶ τοὺς
ἐπαίνους καὶ τὴν φήμην καὶ τὴν μνήμην τὴν τῷ χρόνῳ
συμπαρακολουθοῦσαν ἀθανασίας μεταλαμβάνομεν, ἧς
ἄξιον ὀρεγομένους καθ' ὅσον οἷοί τ' ἐσμὲν ὁτιοῦν πάσχειν.
(135) Ἴδοις δ' ἂν καὶ τῶν ἰδιωτῶν τοὺς ἐπιεικεστάτους
ὑπὲρ ἄλλου μὲν οὐδενὸς ἂν τὸ ζῆν ἀντικαταλλαξαμέ-
νους, ὑπὲρ δὲ τοῦ τυχεῖν καλῆς δόξης ἀποθνήσκειν ἐν d
τοῖς πολέμοις ἐθέλοντας, ὅλως δὲ τοὺς μὲν τιμῆς ἐπι-
θυμοῦντας ἀεὶ μείζονος ἧς ἔχουσιν ὑπὸ πάντων ἐπαι-
νουμένους, τοὺς δὲ πρὸς ἄλλο τι τῶν ὄντων ἀπλήστως
διακειμένους ἀκρατεστέρους καὶ φαυλοτέρους εἶναι
δοκοῦντας. (136) Τὸ δὲ μέγιστον τῶν εἰρημένων, ὅτι
συμβαίνει τοῦ μὲν πλούτου καὶ τῶν δυναστειῶν πολλά-
κις τοὺς ἐχθροὺς κυρίους γίγνεσθαι, τῆς δ' εὐνοίας τῆς e
παρὰ τῶν πολιτῶν καὶ τῶν ἄλλων τῶν προειρημένων
μηδένας ἄλλους καταλείπεσθαι κληρονόμους πλὴν τοὺς
ἐξ ἡμῶν γεγονότας. Ὥστ' ᾐσχυνόμην ἂν εἰ μὴ τού-
των ἕνεκα συνεβούλευον καὶ τὴν στρατείαν ποιεῖσθαι
110 ταύτην καὶ πολεμεῖν καὶ κινδυνεύειν. a

137. Οὕτω δ' ἄριστα βουλεύσει περὶ τούτων, ἣν

niunt, illam quidem missam feci, a meo autem instituto non recessi. (130) Quare jure laudarer ab omnibus, quod iis copiis, quas habeo, nunquam destiti bellum cum barbaris gerere, et partim eos accusavi, qui non ita, ut ego, sentirent, partim eos quos sperabam et Græcis posse benefacere et barbaris suas opes eripere, sedulo sum hortatus. (131) Qua de causa nunc etiam apud te verba facio, non ignarus fore multos qui meæ orationi invideant, iis autem quæ a te agentur, congratulaturos esse omnes. Nam in eorum quidem, quæ dicta sunt, nemo societatem venit; utilitatum vero quæ inde parabuntur, nemo est quin se quoque fructum percepturum esse putet.

132. Cogita porro, quam turpe sit committere ut Asia meliore conditione sit quam Europa, et barbari sint opulentiores Græcis, et ii qui ad Cyrum genus referunt, quem mater in viam abjecit, amplissimum imperium habeant ac reges magni appellentur, Herculis autem posteri, quem pater ob virtutem inter deos retulit, humilioribus nominibus salutentur. Atqui horum nihil ita relinquendum est, sed hæc omnia invertenda et commovenda sunt.

133. Omnino autem statuere debes me nihil hujusmodi tibi suasurum fuisse, si imperium tantum et divitias inde vidissem parandas. Arbitror enim te jam nunc omnibus copiis harum rerum plus quam satis est circumfluere, eumque prorsus inexplebilem esse, qui subire periculum non recuset, quo aut iis potiatur aut vita privetur. (134) Ego vero non ita hæc dico, ut possessiones eorum spectem, sed quod ex his te putem maximum clarissimumque triumphum consecuturum. Cogites velim mortale corpus omnes nos habere, sed gloria, laudibus, fama et memoriæ perpetuitate fieri compotes immortalitatis, cujus cupiditate omnes vires exserendæ, nulli labores, nulla pericula recusanda sunt. (135) Nam privatorum hominum optimos quosque cernas nulla alia re vitam commutare, at adipiscendi honesti nominis gratia in bellis occumbere non dubitare; denique eos qui semper tenentur augendæ gloriæ studio, laudari ab omnibus; qui autem aliarum rerum nimia cupiditate ducantur, hos et incontinentiores et nequiores haberi. (136) Et maximum est inter ea quæ dixi, quod sæpe accidit ut opibus atque imperiis hostes potiantur; sed benevolentiæ civium et ceterorum quæ memoravimus, non alii hæredes relinquantur quam liberi e nobis procreati. Quare, nisi propter hæc consuluissem militiam hanc suscipiendam esse et bellum gerendum et dimicandum, erubescerem.

137. Sic autem his de rebus rectissime statues, si cogi-

ὑπολάβῃς μὴ μόνον τὸν λόγον τοῦτόν σε παρακαλεῖν, ἀλλὰ καὶ τοὺς προγόνους καὶ τὴν τῶν βαρβάρων ἀνανδρίαν καὶ τοὺς ὀνομαστοτάτους γενομένους καὶ δόξαντας ἡμιθέους εἶναι διὰ τὴν στρατείαν τὴν ἐπ' ἐκείνους, μάλιστα δὲ πάντων τὸν καιρόν, ἐν ᾧ σὺ μὲν τυγχάνεις τοσαύτην δύναμιν κεκτημένος ὅσην οὐδεὶς τῶν τὴν Εὐρώπην κατοικησάντων, πρὸς ὃν δὲ πολεμήσεις, οὕτω b σφόδρα μεμισημένος καὶ καταπεφρονημένος ὑφ' ἁπάντων ὡς οὐδεὶς πώποτε τῶν βασιλευσάντων.

138. Πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην οἷόντ' εἶναι συνεράσαι τοὺς λόγους ἅπαντας τοὺς ὑπ' ἐμοῦ περὶ τούτων εἰρημένους· μᾶλλον γὰρ ἂν ἄξιος οὗτος ἔδοξεν εἶναι τῆς ὑποθέσεως. Οὐ μὴν ἀλλὰ σέ γε χρὴ σκοπεῖν ἐξ ἁπάντων τὰ συντείνοντα καὶ προτρέποντα πρὸς τὸν πόλεμον c τοῦτον· οὕτω γὰρ ἂν ἄριστα βουλεύσαιο περὶ αὐτῶν.

139. Οὐκ ἀγνοῶ δ' ὅτι πολλοὶ τῶν Ἑλλήνων τὴν βασιλέως δύναμιν ἄμαχον εἶναι νομίζουσιν· ὧν ἄξιον θαυμάζειν, εἰ τὴν ὑπ' ἀνθρώπου βαρβάρου καὶ κακῶς τεθραμμένου κατασταθεῖσαν καὶ συναχθεῖσαν ἐπὶ δουλείᾳ, ταύτην ὑπ' ἀνδρὸς Ἕλληνος καὶ περὶ τοὺς πολέμους πολλὴν ἐμπειρίαν ἔχοντος μὴ νομίζουσιν ἂν ἐπ' ἐλευθερίᾳ διαλυθῆναι, καὶ ταῦτ' εἰδότες ὅτι συστῆσαι μέν d ἐστιν ἅπαντα χαλεπόν, διαστῆσαι δὲ ῥᾴδιον.

140. Ἐνθυμοῦ δ' ὅτι μάλιστα τούτους τιμῶσιν ἅπαντες καὶ θαυμάζουσιν, οἵτινες ἀμφότερα δύνανται, καὶ πολιτεύεσθαι καὶ στρατηγεῖν. Ὅταν οὖν ὁρᾷς τοὺς ἐν μιᾷ πόλει ταύτην ἔχοντας τὴν φύσιν εὐδοκιμοῦντας, ποίους τινὰς χρὴ προσδοκᾶν τοὺς ἐπαίνους ἔσεσθαι τοὺς περὶ σοῦ ῥηθησομένους, ὅταν φαίνῃ ταῖς μὲν εὐεργεσίαις ἐν ἅπασι τοῖς Ἕλλησι πεπολιτευμένος, ταῖς δὲ στρατηγίαις e τοὺς βαρβάρους κατεστραμμένος; (141) Ἐγὼ μὲν γὰρ ἡγοῦμαι ταῦτα πέρας ἕξειν· οὐδένα γὰρ ἄλλον ποτὲ δυνήσεσθαι μείζω πρᾶξαι τούτων· οὔτε γὰρ ἐν τοῖς 111 Ἕλλησι γενήσεσθαι τηλικοῦτον ἔργον, ὅσον ἐστὶ τὸ πάντας a ἡμᾶς ἐκ τοσούτων πολέμων ἐπὶ τὴν ὁμόνοιαν προαγαγεῖν, οὔτε τοῖς βαρβάροις εἰκός ἐστι συστῆναι τηλικαύτην δύναμιν, ἣν τὴν νῦν ὑπάρχουσαν καταλύσῃς. (142) Ὥστε τῶν μὲν ἐπιγιγνομένων οὐδ' ἤν τις τῶν ἄλλων διενέγκῃ τὴν φύσιν, οὐδὲν ἕξει ποιῆσαι τοιοῦτον. Ἀλλὰ μὴν τῶν γε προγεγενημένων ἔχω μὲν ὑπερβαλεῖν τὰς b πράξεις τοῖς ἤδη διὰ σοῦ κατειργασμένοις, οὐ γλίσχρως, ἀλλ' ἀληθινῶς· ὅστις γὰρ ἔθνη τοσαῦτα τυγχάνεις κατεστραμμένος ὅσας οὐδεὶς πώποτε τῶν Ἑλλήνων πόλεις εἷλε, πῶς οὐκ ἂν πρὸς ἕκαστον αὐτῶν ἀντιπαραβάλλων ῥᾳδίως ἂν ἐπέδειξα μείζω σε κἀκείνων διαπεπραγμένον; (143) ἀλλὰ γὰρ εἱλόμην ἀποσχέσθαι τῆς τοιαύτης ἰδέας δι' ἀμφότερα, διά τε τοὺς οὐκ εὐκαίρως αὐτῇ χρωμένους, καὶ διὰ τὸ μὴ βούλεσθαι ταπεινοτέρους ποιεῖν c τῶν νῦν ὄντων τοὺς ἡμιθέους εἶναι νομιζομένους.

144. Ἐνθυμοῦ δ', ἵνα τι καὶ τῶν ἀρχαίων εἴπωμεν, ὅτι τὸν Ταντάλου πλοῦτον καὶ τὴν Πέλοπος ἀρχὴν καὶ τὴν Εὐρυσθέως δύναμιν οὐδεὶς ἂν οὔτε λόγων εὑρετὴς οὔτε ποιητὴς ἐπαινέσειεν, ἀλλὰ μετά γε τὴν Ἡρακλέους

tabis non solum hanc orationem esse quæ te hortetur, sed accedere majores quoque tuos et barbarorum ignaviam, et eos etiam qui celeberrimi facti sunt et semidei habiti ob expeditionem contra barbaros susceptam. Inprimis autem excitare te debet occasio, quum et tu tantis opibus et copiis polleas, quantis eorum nemo qui in Europa habitarunt, et is contra quem bellum geres, in tanto sit odio et contemptu omnium, in quanto nemo regum unquam fuit.

138. Vehementer autem velim me posse complecti ea quæ de his rebus dixi omnia: magis enim sic hæc oratio argumento digna videretur. Verum enim te ipsum decet considerare ex omnibus ea quæ huc pertinent et ad bellum hoc adhortantur: sic enim optime de his rebus statues.

139. Neque vero ignoro Græcorum multos in ea opinione esse, ut regem Persarum inexpugnabilem putent. Quos sane mirari æquum est, si id imperium, quod est ab homine barbaro et male instituto constitutum, et ad servitutem collectum, a viro Græco et bellicis in rebus multum exercitato non putant spe recuperandæ libertatis proposita dissolutum iri, præsertim quum sciant constituere omnia quam sit difficile, quam facile vero dissolvere.

140. Cogita porro, in quanta admiratione sint apud omnes, quanto honore afficiantur, qui utrumque possunt, et domi rempublicam gerere et foris bello tueri. Quodsi eos qui in una urbe tali sunt ingenio præditi, maxime celebrari vides: cujusmodi fore laudes censendum est, quæ de te prædicabuntur, si et beneficiis inter omnes Græcos te gessisse rempublicam, et te imperatore barbaros expugnatos esse viderint? (141) Equidem nihil accedere posse credo, neque ullo tempore majora posse ab ullo geri. Neque enim in Græcia ullum tantum facinus exhibebitur, quantum fuerit nos omnes e tantis bellis perduxisse ad concordiam, neque verisimile est unquam in posterum inter barbaros tantam potentiam constitutum iri, si eam quæ nunc est dissiparis. (142) Quare nemo posterorum, etiamsi excellenti præter ceteros natura sit, quicquam tale facere poterit. At vero veterum res gestas superare possum his ipsis, quæ jam a te gesta sunt, non speciose, sed vere. Nam quum tot gentes subegeris, quot urbes nemo Græcorum cepit, nonne si te cum singulis eorum conferrem, facile demonstrarem te majora quam illos perfecisse? (143) Verum hac orationis forma duabus de causis abstinere statui, tum quia plerique parum tempestive ea utuntur, tum quia per me nolo his, qui nunc vivunt, eos, qui semidei putantur, minores existimari.

144. Cogita etiam, ut etiam vetera proferamus, Tantali opes et Pelopis imperium et Eurysthei potentiam a nemine laudari vel oratore vel poeta, sed post Herculis excellentiam

ὑπερβολὴν καὶ τὴν Θησέως ἀρετὴν τοὺς ἐπὶ Τροίαν στρατευσαμένους καὶ τοὺς ἐκείνοις ὁμοίους γενομένους ἅπαντες ἂν εὐλογήσειαν. (145) Καίτοι τοὺς ὀνομαστοτάτους καὶ τοὺς ἀρίστους αὐτῶν ἴσμεν ἐν μικροῖς πολιχνίοις καὶ νησυδρίοις τὰς ἀρχὰς κατασχόντας· ἀλλ' d ὅμως ἰσόθεον καὶ παρὰ πᾶσιν ὀνομαστὴν τὴν αὐτῶν δόξαν κατέλιπον· ἅπαντες γὰρ φιλοῦσιν οὐ τοὺς σφίσιν αὐτοῖς μεγίστην δυναστείαν κτησαμένους, ἀλλὰ τοὺς τοῖς Ἕλλησι πλείστων ἀγαθῶν αἰτίους γεγενημένους.

146. Οὐ μόνον δ' ἐπὶ τούτων αὐτοὺς ὄψει τὴν γνώμην ταύτην ἔχοντας, ἀλλ' ἐπὶ πάντων ὁμοίως· ἐπεὶ καὶ τὴν πόλιν ἡμῶν οὐδεὶς ἂν ἐπαινέσειεν, οὔθ' ὅτι τῆς θαλάττης e ἦρξεν οὔθ' ὅτι τοσοῦτον πλῆθος χρημάτων εἰσπράξασα τοὺς συμμάχους εἰς τὴν ἀκρόπολιν ἀνήνεγκεν, ἀλλὰ μὴν οὐδ' ὅτι πολλῶν πόλεων ἐξουσίαν ἔλαβε, τὰς μὲν ἀναστάτους ποιῆσαι, τὰς δ' αὐξῆσαι, τὰς δ' ὅπως ἐβουλήθη διοικῆσαι· πάντα γὰρ ταῦτα παρῆν αὐτῇ πράττειν· (147) 112 ἀλλ' ἐκ τούτων μὲν πολλαὶ κατηγορίαι κατ' αὐτῆς γε- a γόνασιν, ἐκ δὲ τῆς Μαραθῶνι μάχης καὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας, καὶ μάλισθ' ὅτι τὴν αὐτῶν ἐξέλιπον ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας, ἅπαντες αὐτὴν ἐγκωμιάζουσιν. (148) Τὴν αὐτὴν δὲ γνώμην καὶ περὶ Λακεδαιμονίων ἔχουσιν· καὶ γὰρ ἐκείνων μᾶλλον ἄγανται τὴν ἧτταν τὴν ἐν Θερμοπύλαις ἢ τὰς ἄλλας νίκας, καὶ τὸ τρόπαιον τὸ μὲν κατ' ἐκείνων ὑπὸ τῶν βαρβάρων σταθὲν ἀγαπῶσι καὶ θεωροῦσι, τὰ δ' ὑπὸ b Λακεδαιμονίων κατὰ τῶν ἄλλων οὐκ ἐπαινοῦσιν, ἀλλ' ἀηδῶς ὁρῶσιν· ἡγοῦνται γὰρ τὸ μὲν ἀρετῆς εἶναι σημεῖον, τὰ δὲ πλεονεξίας.

149. Ταῦτ' οὖν ἐξετάσας ἅπαντα καὶ διελθὼν πρὸς αὑτόν, ἢν μέν τι τῶν εἰρημένων ᾖ μαλακώτερον ἢ καταδεέστερον, αἰτιῶ τὴν ἡλικίαν τὴν ἐμήν, ᾗ δικαίως ἂν ἅπαντες συγγνώμην ἔχοιεν· ἢν δ' ὅμοια τοῖς πρότε- c ρον διαδεδομένοις, νομίζειν αὐτὰ χρὴ μὴ τὸ γῆρας τοὐμὸν εὑρεῖν, ἀλλὰ τὸ δαιμόνιον ὑποβαλεῖν, οὐκ ἐμοῦ φροντίζον, ἀλλὰ τῆς Ἑλλάδος κηδόμενον, καὶ βουλόμενον ταύτην τε τῶν κακῶν ἀπαλλάξαι τῶν παρόντων καὶ σοὶ πολὺ μείζω περιθεῖναι δόξαν τῆς νῦν ὑπαρχούσης. (150) Οἶμαι δέ σ' οὐκ ἀγνοεῖν ὃν τρόπον οἱ θεοὶ τὰ τῶν ἀνθρώπων διοικοῦσιν. Οὐ γὰρ αὐτόχειρες οὔτε τῶν d ἀγαθῶν οὔτε τῶν κακῶν γίγνονται τῶν συμβαινόντων αὐτοῖς, ἀλλ' ἑκάστοις τοιαύτην ἔννοιαν ἐμποιοῦσιν, ὥστε δι' ἀλλήλων ἡμῖν ἑκάτερα παραγίγνεσθαι τούτων. (151) Οἷον ἴσως καὶ νῦν τοὺς μὲν λόγους ἡμῖν ἀπένειμαν, ἐπὶ δὲ τὰς πράξεις σὲ τάττουσι, νομίζοντες τούτων μὲν σὲ κάλλιστ' ἂν ἐπιστατῆσαι, τὸν δὲ λόγον τὸν ἐμὸν ἥκιστ' ἂν ὀχληρὸν γενέσθαι τοῖς ἀκούουσιν. Ἡγοῦμαι δὲ καὶ τὰ πεπραγμένα πρότερον οὐκ ἄν ποτέ σοι γενέσθαι τη- e λικαῦτα τὸ μέγεθος, εἰ μή τις θεῶν αὐτὰ συγκατώρθωσεν, (152) οὐχ ἵνα τοῖς βαρβάροις μόνον τοῖς ἐπὶ τῆς Εὐ- 113 ρώπης κατοικοῦσι πολεμῶν διατελῇς, ἀλλ' ὅπως ἂν ἐν a τούτοις γυμνασθεὶς καὶ λαβὼν ἐμπειρίαν καὶ γνωσθεὶς οἷος εἶ τούτων ἐπιθυμήσῃς ὧν ἐγὼ τυγχάνω συμβεβουλευκώς. Αἰσχρὸν οὖν ἐστι καλῶς τῆς τύχης ἡγουμέ-

Theseique virtutem eos qui ad Trojam militarunt quique similes illis exstiterunt, ab omnibus celebrari. (145) Ac maxime quidem insignes illorum et præstantissimos quosque scimus parvis oppidulis et insulis imperasse; tamen prope divinam et latissime patentem sui nominis gloriam reliquerunt. Omnes enim amant non eos qui sibi ipsis maxima imperia pepererunt, sed qui plurima in Græcos beneficia contulerunt.

146. Neque erga hos tantum illos eo animo esse videbis, sed æque in omnes, quum etiam nostram rempublicam nemo eo nomine laudaverit, vel quod maris imperium tenuit, vel quod tantam pecuniam exactam a sociis in arcem retulit, ac ne ob illud quidem, quod in ejus potestate fuit ex multis urbibus alias evertere, alias amplificare, alias suo gubernare arbitratu, (hæc enim ei licuerunt omnia,) (147) verum ob hæc in crimen sæpe venit: sed quum ob Marathoniam pugnam, et navale ad Salaminem prælium, maxime vero quod pro salute Græciæ suam urbem nostri cives reliquerunt, universi eam celebrant. (148) Neque aliter etiam de Lacedæmoniis sentiunt. Nam et illorum cladem in Thermopylis acceptam magis admirantur quam alias eorum victorias, ac tropæum contra illos a barbaris erectum amant et spectant: Lacedæmoniorum autem tropæa contra alios collocata non laudant invitique vident. Nam illud quidem virtuti, hæc avaritiæ tribuuntur.

149. Hæc igitur omnia perpendenda et seorsum tibi excutienda sunt et, si quid mollius aut minus accurate dictum fuerit, ætatem meam accusato, cui merito veniam dabunt omnes: sin iis similia, quæ superioribus temporibus a me edita sunt, videbuntur, existimandum erit ea non senectuti meæ accepta referenda, sed dei alicujus benevolentiæ, qui non de me sit sollicitus, sed Græciæ salutem cura sua complectatur, quique studeat tam urgentibus eam malis liberare, tum tibi parare gloriam ea quam nunc habes longe majorem. (150) Arbitror autem te non ignorare, quo pacto dii res humanas administrent. Non enim ipsi auctores vel bonorum vel malorum quæ hominibus accidant, sese præbent, sed eam mentem dant singulis, ut utrisque ultro citroque se ipsi afficiant. (151) Ad hunc modum fieri potuit ut nobis orationem tribuerint, te vero gerendis rebus præfecerint, existimantes et te pulcherrime ista obiturum et meam orationem audientibus minime gravem et molestam futuram. Ac ne superiorum quidem temporum res gestas tuas tantas fuisse futuras existimo, nisi deorum aliquem propitium et adjutorem habuisses, (152) non profecto, ut barbaros Europæos solum bellis perpetuis infestares, sed ut illis initiis exercitatus partaque peritia et nobilitata virtute tua, hæc quæ ego nunc tibi suadeo, expeteres, ad eaque capessenda animum extolleres. Turpe igitur fuerit fortunam recte

νης απολειφθῆναι, καὶ μὴ παρασχεῖν σαυτὸν εἰς ὃ βούλεταί σε προαγαγεῖν.

153. Νομίζω δὲ χρῆναί σε πάντας μὲν τιμᾶν τοὺς περὶ τῶν σοι πεπραγμένων ἀγαθόν τι λέγοντας, κάλλιστα μέντοι νομίζειν ἐκείνους ἐγκωμιάζειν, τοὺς μειζόνων ἔργων ἢ τηλικούτων τὴν σὴν φύσιν ἀξιοῦντας, καὶ b τοὺς μὴ μόνον ἐν τῷ παρόντι κεχαρισμένως διειλεγμένους, ἀλλ' οἵτινες ἂν τοὺς ἐπιγιγνομένους οὕτω ποιήσωσι τὰς σὰς πράξεις θαυμάζειν ὡς οὐδενὸς ἄλλου τῶν προγεγενημένων. Πολλὰ δὲ βουλόμενος τοιαῦτα λέγειν οὐ δύναμαι· τὴν δ' αἰτίαν δι' ἥν, πλεονάκις τοῦ δέοντος εἴρηκα.

154. Λοιπὸν οὖν ἐστι τὰ προειρημένα συναγαγεῖν, ἵν' ὡς ἐν ἐλαχίστοις κατίδῃς τὸ κεφάλαιον τῶν συμβεβου- c λευμένων. Φημὶ γὰρ χρῆναί σε τοὺς μὲν Ἕλληνας εὐεργετεῖν, Μακεδόνων δὲ βασιλεύειν, τῶν δὲ βαρβάρων ὡς πλείστων ἄρχειν. Ἢν γὰρ ταῦτα πράττῃς, ἅπαντές σοι χάριν ἕξουσιν, οἱ μὲν Ἕλληνες ὑπὲρ ὧν εὖ πάσχουσι, Μακεδόνες δ' ἢν βασιλικῶς ἀλλὰ μὴ τυραννικῶς αὐτῶν ἐπιστατῇς, τὸ δὲ τῶν ἄλλων γένος, ἢν διὰ σὲ βαρβαρικῆς δεσποτείας ἀπαλλαγέντες Ἑλληνικῆς d ἐπιμελείας τύχωσι. (155) Ταῦθ' ὅπως μὲν γέγραπται τοῖς καιροῖς καὶ ταῖς ἀκριβείαις, παρ' ὑμῶν τῶν ἀκουόντων πυνθάνεσθαι δίκαιόν ἐστιν· ὅτι μέντοι βελτίω τούτων καὶ μᾶλλον ἁρμόττοντα τοῖς ὑπάρχουσιν οὐδεὶς ἄν σοι συμβουλεύσειεν, σαφῶς εἰδέναι νομίζω.

præeuntem non alacriter sequi, neque ultro ad majora te vocanti obtemperare.

153. Æquum autem esse censeo ut omnibus iis honorem habeas, qui res a te gestas prædicant; at eorum verissimis te celebrari laudibus existimes, qui naturam tuam majoribus negotiis quam his parem esse censent, neque auribus tantum in præsentia blandiuntur, sed qui efficient ut apud posteros ob res a te gestas in tanta sis admiratione, in quanta nemo unquam fuit. In hanc sententiam plura quidem cupio disserere, sed non possum: quam ob causam vero id facere nequeam, plus satis est dictum.

154. Restat igitur ut in summam omnia cogam, ut quam paucissimis perspicias totius consilii caput. Aio igitur et Græcos beneficiis tibi adjungendos esse, et imperium in Macedones exercendum, et barbaris quamplurimis imperandum. Quæ si facias, omnes tibi gratiam habebunt, Græci ob accepta beneficia; Macedones ob regiam, non tyrannicam sui gubernationem; reliquæ nationes, quod barbarico dominatu liberatæ Græcorum curæ ac fidei salutem suam commendatam viderint. (155) Hæc quam temporibus apte quave diligentia scripta sint, e vobis, qui audieritis, cognoscendum erit: sed meliora his et ad hunc rerum statum magis accommodata tibi suasurum esse neminem, satis mihi scire videor.

6.

ΑΡΧΙΔΑΜΟΣ.

ΥΠΟΘΕΣΙΣ.

114 Μετὰ τὰ Λευκτρικὰ κατέτρεχον τὴν Λακεδαίμονα Θηβαῖοι, καὶ πολλάκις αὐτὴν ἐκάκωσαν, ὡς καὶ τὰς Λακεδαιμονίων γυναῖκας ἀπαντῆσαι Λακεδαιμονίοις συνεχῶς φεύγουσι, καὶ εἰπεῖν « ἢ καὶ δεύτερον ὑμᾶς ἔχομεν ἐν τῇ γαστρὶ δέξασθαι; » καὶ οὕτω συστραφέντες ἐν Μαντινείᾳ ἐνίκησαν, τῶν Ἀθηναίων ἱππέων καλῶς παραταξαμένων. Μετὰ τὰ ἐν Μαντινείᾳ οὖν ἔπεμψαν Λακεδαιμόνιοι πρὸς Θηβαίους, αἰτοῦντες αὐτοὺς τὴν εἰρήνην· οἱ δὲ ὑπέσχοντο αὐτοῖς ἡσυχάσειν, εἰ Μεσσήνην ἀνοικίσωσι καὶ αὐτόνομον ἐάσωσι. Τῶν οὖν ἄλλων συμβουλευόντων Λακεδαιμονίοις ἀνοικίσαι, Ἀρχίδαμος ὁ νεώτερος συμβουλεύει Λακεδαιμονίοις μὴ ἀνοικίσαι. Κατάγεται δ' οὕτως ὁ μικρὸς Ἀρχίδαμος· Ζευξίδαμος, οὗ Ἀρχίδαμος, οὗ Ἆγις, οὗ Ἀγησίλαος, οὗ Ἀρχίδαμος. Καὶ οἱ μὲν λέγουσιν ὅτι πέμψας Ἀρχίδαμος ἐν Ἀθήναις τὸν λόγον παρὰ Ἰσοκράτους ἐδέξατο· ἄλλοι δέ φασι γυμνασίαν εἶναι τὸν λόγον Ἰσοκράτους, τίνας ἂν εἴποι λόγους Ἀρχίδαμος συμβουλεύων Λακεδαιμονίοις. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, στάσις δὲ τῷ λόγῳ πραγματική, κεφάλαιον δὲ τὸ ξυμφέρον.

116 Ἴσως τινὲς ὑμῶν θαυμάζουσιν ὅτι τὸν ἄλλον χρόνον a ἐμμεμενηκὼς τοῖς τῆς πόλεως νομίμοις ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν ἡλικιωτῶν, τοσαύτην πεποίημαι τὴν μεταβολὴν ὥστε περὶ ὧν ὀκνοῦσιν οἱ πρεσβύτεροι λέγειν, περὶ τούτων νεώτερος ὢν παρελήλυθα συμβουλεύσων. (2) Ἐγὼ δ', εἰ μέν τις τῶν εἰθισμένων ἐν ὑμῖν ἀγορεύειν ἀξίως ἦν τῆς πόλεως εἰρηκώς, πολλὴν ἂν ἡσυχίαν

6.

ARCHIDAMUS.

ARGUMENTUM.

Post pugnam Leuctricam Thebani Lacedæmonem incursabant et multis cladibus afficiebant: adeo ut Lacedæmoniis subinde fugientibus uxores occurrentes dicerent: « Numquid denuo vos in uteros recipere possumus? » Itaque in hostem conversi ad Mantineam vicerunt, ab equitatu Atheniensium strenue adjuti. Post res ad Mantineam gestas per legatos a Thebanis pacem petiere: qui se illam daturos ea conditione promiserunt, si Messenam instaurarent et liberam esse paterentur. Quod quum alii non recusandum censerent, Archidamus junior adversatur. Hoc autem minoris Archidami genus est: Zeuxidamus, Archidamus, Agis, Agesilaus, e quo natus est hic Archidamus. Sunt qui dicant Archidamum Athenis hanc orationem ab Isocrate accersivisse. Alii sentiunt scriptam esse ab Isocrate exercendi ingenii gratia: ut ostenderet, quidnam ab Archidamo in senatu Lacedæmoniorum dicendum fuisse videretur. Et argumentum quidem orationis hoc est. Pertinet autem ad genus deliberativum, et loco utilitatis præcipue nititur.

Vestrûm aliqui fortasse mirantur, cur ego, qui hactenus instituta nostræ urbis ut haud scio an quisquam alius meorum æqualium servavi, tantam mutationem fecerim, ut, quibus de rebus seniores verba facere verentur, de iis ego adolescens sententiam dicere aggrediar. (2) Ego vero, si quis eorum, qui apud vos concionari solent, pro dignitate reipublicæ dixisset, tacuissem: nunc quum videam alios

ἦγον· νῦν δ' ὁρῶν τοὺς μὲν συναγορεύοντας οἷς οἱ πολέμιοι προστάττουσι, τοὺς δ' οὐκ ἐρρωμένως ἐναντιου- b μένους, τοὺς δὲ παντάπασιν ἀποσεσιωπηκότας, ἀνέστην ἀποφανούμενος ἃ γιγνώσκω περὶ τούτων, αἰσχρὸν νομίσας, εἰ τὴν ἰδίαν τοῦ βίου τάξιν διαφυλάττων περιόψομαι τὴν πόλιν ἀνάξια ψηφισαμένην ἑαυτῆς.

3. Ἡγοῦμαι δ', εἰ καὶ περὶ τῶν ἄλλων πρέπει τοὺς τηλικούτους σιωπᾶν, περί γε τοῦ πολεμεῖν ἢ μὴ προσήκειν τούτους μάλιστα συμβουλεύειν, οἵπερ καὶ τῶν κινδύνων πλεῖστον μέρος μεθέξουσιν, ἄλλως τε δὴ καὶ τοῦ c γνῶναί τι τῶν δεόντων ἐν κοινῷ καθεστῶτος ἡμῖν. (4) Εἰ μὲν γὰρ ἦν δεδειγμένον, ὥστε τοὺς μὲν πρεσβυτέρους περὶ ἁπάντων εἰδέναι τὸ βέλτιστον, τοὺς δὲ νεωτέρους μηδὲ περὶ ἑνὸς ὀρθῶς γιγνώσκειν, καλῶς ἂν εἶχεν ἀπείργειν ἡμᾶς τοῦ συμβουλεύειν· ἐπειδὴ δ' οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ διαφέρομεν ἀλλή- 117 λων, ἀλλὰ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις, πῶς οὐκ a ἀμφοτέρων χρὴ τῶν ἡλικιῶν πεῖραν λαμβάνειν, ἵν' ἐξ ἁπάντων ὑμῖν ἐξῇ τῶν ῥηθέντων ἑλέσθαι τὰ συμφορώτατα; (5) Θαυμάζω δ' ὅσοι τριήρων μὲν ἡγεῖσθαι καὶ στρατοπέδων ἄρχειν ἀξιοῦσιν ἡμᾶς, ὑπὲρ ὧν μὴ καλῶς βουλευσάμενοι πολλαῖς ἂν συμφοραῖς καὶ μεγάλαις τὴν πόλιν περιβάλοιμεν, εἰπεῖν δ' ἃ γιγνώσκομεν περὶ ὧν ὑμεῖς μέλλετε κρίνειν οὐκ οἴονται δεῖν ἡμᾶς, ἐν οἷς κατορθώσαντες μὲν ἅπαντας ὑμᾶς ὠφελήσομεν, δια- b μαρτόντες δὲ τῆς ὑμετέρας γνώμης αὐτοὶ μὲν ἴσως φαυλότεροι δόξομεν εἶναι, τὸ δὲ κοινὸν οὐδὲν ἂν ζημιώσαιμεν. (6) Οὐ μὴν ὡς ἐπιθυμῶν τοῦ λέγειν, οὐδ' ὡς ἄλλως πως παρεσκευασμένος ζῆν ἢ τὸν παρελθόντα χρόνον, οὕτως εἴρηκα περὶ τούτων, ἀλλὰ βουλόμενος ὑμᾶς προτρέψαι μηδεμίαν ἀποδοκιμάζειν τῶν ἡλικιῶν, ἀλλ' ἐν ἁπάσαις ζητεῖν εἴ τίς τι δύναται περὶ τῶν παρόν- c των πραγμάτων εἰπεῖν ἀγαθόν· (7) ὡς ἐξ οὗ τὴν πόλιν οἰκοῦμεν, οὐδεὶς οὔτε κίνδυνος οὔτε πόλεμος περὶ τοσούτων τὸ μέγεθος ἡμῖν γέγονε, περὶ ὅσων νυνὶ βουλευσόμενοι συνεληλύθαμεν. Πρότερον μὲν γὰρ ὑπὲρ τοῦ τῶν ἄλλων ἄρχειν ἠγωνιζόμεθα, νῦν δ' ὑπὲρ τοῦ μὴ ποιεῖν αὐτοὶ τὸ προσταττόμενον· ὃ σημεῖον ἐλευθερίας ἐστίν, ὑπὲρ ἧς οὐδὲν ὅ τι τῶν δεινῶν οὐχ ὑπομενετέον, d οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς μὴ λίαν ἀνάνδρως διακειμένοις ἀλλὰ καὶ κατὰ μικρὸν ἀρετῆς ἀντιποιουμένοις. (8) Ἐγὼ μὲν οὖν, εἰ δεῖ τοὐμὸν ἴδιον εἰπεῖν, ἑλοίμην ἂν ἀποθανεῖν ἤδη μὴ ποιήσας τὸ προσταττόμενον μᾶλλον ἢ πολλαπλάσιον χρόνον ζῆν τοῦ τεταγμένου ψηφισάμενος ἃ Θηβαῖοι κελεύουσιν· αἰσχυνοίμην γὰρ ἄν, εἰ γεγονὼς μὲν ἀφ' Ἡρακλέους, τοῦ δὲ πατρὸς βασιλεύοντος, αὐτὸς δ' ἐπίδοξος ὢν τυχεῖν τῆς e τιμῆς ταύτης, περιίδοιμι, καθ' ὅσον ἐστὶν ἐπ' ἐμοί, τὴν χώραν ἣν ἡμῖν οἱ πατέρες κατέλιπον, ταύτην τοὺς οἰκέτας τοὺς ἡμετέρους ἔχοντας. (9) Ἀξιῶ δὲ καὶ ὑμᾶς τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχειν, ἐνθυμηθέντας ὅτι μέχρι μὲν ταυτησὶ τῆς ἡμέρας δεδυστυχηκέναι δοκοῦμεν ἐν 118 τῇ μάχῃ τῇ πρὸς Θηβαίους, καὶ τοῖς μὲν σώμασι a κρατηθῆναι διὰ τὸν οὐκ ὀρθῶς ἡγησάμενον, τὰς δὲ ψυ-

hostium imperatis patrocinari, alios non fortiter adversari, alios prorsus obmutuisse, surrexi, ut, quod his de rebus sentio, exponerem, turpe existimans, si ego vitæ meæ privatum ordinem tenerem, incuria committere ut respublica salutis rationem sine dignitate haberet.

3. Puto vero, etiamsi aliis de rebus deceat adolescentes tacere, bellum certe vel suadere vel dissuadere iis maxime convenire, ad quos periculorum pars maxima redundabit, quum præsertim, quid facto sit opus, videre atque intelligere in medio sit nobis omnibus positum. (4) Nam si exploratum esset seniores de omnibus rebus rectissime judicare, adolescentes autem ubique falli, non immerito nobis dicendæ sententiæ jus adimeretur. Sed quum non annorum spatium, sed ingenium et diligentia in causa sit, ut alios alii prudentia superemus, quomodo non utriusque ætatis periculum faciendum est, ut ex omnibus iis quæ dicta fuerint, vobis deligere liceat utilissima? (5) Perabsurdum autem esse judico, si qui sunt qui censeant nos quidem posse terra marique exercitibus cum imperio præesse, ubi per mala consilia multis et magnis cladibus rempublicam afficeremus; dicere autem quæ sentiamus, ubi totius rei judicium et potestas penes vos est, non posse, ubi quidem si rectum attigerimus, utilitas publice ad vos omnes; sin minus vestram sententiam simus assecuti, ipsi quidem fortasse imperitiores esse videbimur, ad rempublicam autem nullum detrimentum redundabit. (6) Neque vero vel ulla dicendi cupiditate vel pristinæ meæ vitæ mutandæ consilio impulsus hæc commemoravi : sed vos hortari volui, ne ullam ætatem improbaretis, sed in omnibus potius quæreretis, si quis forte exsisteret qui de præsenti statu rerum utiliter admoneret. (7) Nec enim ab urbe condita vel periculum oblatum vel bellum susceptum est, de quantis nunc deliberamus. Nam antehac quidem de imperio in alios exercendo dimicabamus; nunc autem hoc agitur, ne ipsi imperata faciamus : quod signum libertatis est, pro cujus defensione nullæ acerbitates, nulla pericula sunt recusanda, non nobis tantum, sed etiam aliis omnibus, qui se viros esse meminerunt, neque virtutis laudem prorsus aspernantur. (8) Ego certe, si quid de me privatim dicendum est, emori jam detracto imperio malim, quam ætatem longe ultra naturæ fines producere, si iis quæ Thebani jubent, suffragatus essem. Puderet enim me, et ex Herculis familia natum, et patris regis filium, cui dignitatis idem gradus propositus est, committere, quantum in me quidem fuerit, quem majores nostri agrum nobis reliquerunt, eum servi nostri ut obtinerent. (9) Sed etiam vos in eadem, qua ego sum, sententia esse velim, illud reputantes nos in hunc usque diem adversus Thebanos dimicantes iniqua fortuna usos, et corporibus quidem ducis culpa superatos,

χὰς ἔτι καὶ νῦν ἀηττήτους ἔχειν, (10) εἰ δὲ φοβηθέντες τοὺς ἐπιόντας κινδύνους προησόμεθά τι τῶν ἡμετέρων αὐτῶν, βεβαιώσομεν τὰς Θηβαίων ἀλαζονείας καὶ πολὺ σεμνότερον τρόπαιον τοῦ περὶ Λεῦκτρα καὶ φανερώτερον στήσομεν καθ' ἡμῶν αὐτῶν· τὸ μὲν γὰρ ἀτυχίας, τὸ δὲ τῆς ἡμετέρας διανοίας ἔσται γεγενημένον. Μηδεὶς οὖν ὑμᾶς πείσῃ τοιαύταις αἰσχύναις τὴν πόλιν περιβαλεῖν.

11. Καίτοι λίαν προθύμως οἱ σύμμαχοι συμβεβου- b λεύκασιν ὑμῖν ὡς χρὴ Μεσσήνην ἀφέντας ποιήσασθαι τὴν εἰρήνην. Οἷς ὑμεῖς δικαίως ἂν ὀργίζοισθε πολὺ μᾶλλον ἢ τοῖς ἐξ ἀρχῆς ἀποστᾶσιν ἡμῶν. Ἐκεῖνοι μὲν γὰρ ἀφέμενοι τῆς ἡμετέρας φιλίας τὰς αὑτῶν πόλεις ἀπώλεσαν, εἰς στάσεις καὶ σφαγὰς καὶ πολιτείας πονηρὰς ἐμβαλόντες, οὗτοι δ' ἡμᾶς ἥκουσι κακῶς ποιήσοντες· (12) τὴν γὰρ δόξαν, ἣν ἡμῖν οἱ πρόγονοι μετὰ πολλῶν c κινδύνων ἐν ἑπτακοσίοις ἔτεσι κτησάμενοι κατέλιπον, ταύτην ἐν ὀλίγῳ χρόνῳ πείθουσιν ἡμᾶς ἀποβαλεῖν, ἧς οὔτ' ἀπρεπεστέραν τῇ Λακεδαίμονι συμφορὰν οὔτε δεινοτέραν οὐδέποτ' ἂν εὑρεῖν ἠδυνήθησαν. (13) Εἰς τοῦτο δ' ἥκουσι πλεονεξίας καὶ τοσαύτην ἡμῶν κατεγνώκασιν ἀνανδρίαν, ὥστε πολλάκις ἡμᾶς ἀξιώσαντες ὑπὲρ τῆς αὑτῶν πολεμεῖν, ὑπὲρ Μεσσήνης οὐκ οἴονται δεῖν κινδυνεύειν, ἀλλ' ἵν' αὐτοὶ τὴν σφετέραν αὐτῶν ἀσφαλῶς d καρπῶνται, πειρῶνται διδάσκειν ἡμᾶς ὡς χρὴ τοῖς ἐχθροῖς τῆς ἡμετέρας παραχωρῆσαι, καὶ πρὸς τοῖς ἄλλοις ἐπαπειλοῦσιν ὡς εἰ μὴ ταῦτα συγχωρήσομεν ποιησόμενοι τὴν εἰρήνην κατὰ σφᾶς αὐτούς. (14) Ἐγὼ δ' οὐ τοσούτῳ χαλεπώτερον ἡγοῦμαι τὸν κίνδυνον ἡμῖν ἔσεσθαι τὸν ἄνευ τούτων, ὅσῳ κάλλιω καὶ λαμπρότερον καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστότερον· τὸ γὰρ μὴ δι' ἑτέρων ἀλλὰ δι' ἡμῶν αὐτῶν πειρᾶσθαι σώζεσθαι e καὶ περιγενέσθαι τῶν ἐχθρῶν ὁμολογούμενον τοῖς ἄλλοις τοῖς τῆς πόλεως ἔργοις ἐστίν.

15. Οὐδὲ πώποτε δὲ λόγους ἀγαπήσας, ἀλλ' ἀεὶ νομίζων τοὺς περὶ τοῦτο διατρίβοντας ἀργοτέρους εἶναι 119 πρὸς τὰς πράξεις, νῦν οὐδὲν ἂν περὶ πλείονος ποιησαίμην a ἢ δυνηθῆναι περὶ τῶν προκειμένων ὡς βούλομαι διελθεῖν· ἐν γὰρ τῷ παρόντι διὰ τούτων ἐλπίζω μεγίστων ἀγαθῶν αἴτιος ἂν γενέσθαι τῇ πόλει. (16) Πρῶτον μὲν οὖν οἶμαι δεῖν διαλεχθῆναι πρὸς ὑμᾶς ὃν τρόπον ἐκτησάμεθα Μεσσήνην καὶ δι' ἃς αἰτίας ἐν Πελοποννήσῳ κατῳκήσατε Δωριεῖς τὸ παλαιὸν ὄντες. Διὰ τοῦτο δὲ προλήψομαι πορρωτέρωθεν, ἵν' ἐπίστησθ' ὅτι ταύτην ὑμᾶς τὴν χώραν ἐπιχειροῦσιν ἀποστερεῖν, ἣν ὑμεῖς b οὐδὲν ἧττον ἢ τὴν ἄλλην Λακεδαίμονα κέκτησθε δικαίως.

17. Ἐπειδὴ γὰρ Ἡρακλῆς μετήλλαξε τὸν βίον θεὸς ἐκ θνητοῦ γενόμενος, κατὰ μὲν ἀρχὰς οἱ παῖδες αὐτοῦ διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἐν πολλοῖς πλάνοις καὶ κινδύνοις ἦσαν, τελευτήσαντος δ' Εὐρυσθέως κατῴκησαν ἐν Δωριεῦσιν. Ἐπὶ δὲ τρίτης γενεᾶς εἰς Δελφοὺς ἀφίκοντο, χρήσασθαι τῷ μαντείῳ περί τινων βουληθέντες. Ὁ δὲ θεὸς περὶ μὲν ὧν ἐπηρώτησαν οὐκ ἀνεῖλεν, ἐκέ- c

animos autem adhuc invictos et erectos gerere videri. (10) Si vero metu imminentium periculorum quicquam de jure nostro concesserimus, insolentiam Thebanorum confirmabimus et tropæum Leuctrico illo multo gravius et illustrius contra nos ipsi erigemus. Nam illud quidem adversæ fortunæ, hoc autem nostræ ignaviæ tribuetur. Neminem igitur vos inducere patiamini, ut tantum dedecus publice suscipiatis.

11. At vero socii nimis propere quidem illi vobis consuluerunt omissa Messena pacem ut feceritis: quibus vos multo æquius et gravius irascamini, quam iis qui initio a nobis defecerunt. Illi enim quum ab amicitia nostra se removissent, suas ipsi urbes exagitatas seditionibus et cædibus mutatoque statu in deterius everterunt; hi vero nobis nocere instituunt, (12) qui auctores esse non dubitent, ut gloriam per septingentos annos magnis laboribus et periculis majorum partam nobisque per manus traditam exiguo momento temporis abjiciamus, quo Lacedæmoni neque contumeliosius nec acerbius quicquam excogitare potuissent. (13) Adeo porro sui compendii cum nostro incommodo studiosi sunt, nosque ita ignavos esse censent, ut quos sæpe ad bellum pro suis agris gerendum impulerunt, eosdem nunc de Messena pugnare vetent; at quo ipsi suis opibus secure fruantur, persuadere studeant hostibus de nostro jure cedendum esse; neque his contenti minitentur etiam, nisi assentiamur, se pacem pro sese facturos. (14) Ego vero sic existimo, non tam fore nobis sine istis belli discrimen gravius, quam honestius et illustrius et apud omnes mortales gloriosius. Nam si non aliorum ope freti, sed nostris subnixi viribus esse incolumes victoresque hostium studeamus, id ceteris nostræ civitatis facinoribus est consentaneum.

15. Etsi vero eloquentiam nunquam suspexi, sed istos qui in eo studii genere versarentur, in rebus gerendis ignaviores esse existimavi, nunc tamen nihil mihi perinde in votis est, quam ut de propositis rebus ex animi mei sententia verba facere possim. Quod si essem assecutus, me reipublicæ plurimum hoc tempore sperarem profuturum. (16) Ac primum exponendum vobis est quo pacto Messena in vestram potestatem venerit et quas ob causas in Peloponneso, quum Dorienses a prima sitis origine, consederitis. Altius autem rem totám propterea repetam, ut intelligatis eam provinciam vobis eripi, quam non deteriore jure quam reliquam Lacedæmonem possidetis.

17. Quum enim Hercules e rebus humanis sublatus immortale cum diis ævum agere cœpisset, initio liberi ejus ob inimicorum potentiam variis erroribus agebantur; post obitum autem Eurysthei apud Dorienses consederunt. Tertia demum ætate certis de rebus oraculum petituri Delphos sunt profecti. Verum Apollo ad quæstiones propositas nihil respondit, sed in patriam terram eos abire

λευσε δ' αὐτοὺς ἐπὶ τὴν πατρῴαν ἰέναι χώραν. (18)
Σκοπούμενοι δὲ τὴν μαντείαν, εὕρισκον Ἄργος μὲν κατ'
ἀγχιστείαν αὐτῶν γιγνόμενον (Εὐρυσθέως γὰρ ἀποθα-
νόντος μόνοι Περσειδῶν ἦσαν καταλελειμμένοι), Λακε-
δαίμονα δὲ κατὰ δόσιν (ἐκβληθεὶς γὰρ Τυνδάρεως ἐκ
τῆς ἀρχῆς, ἐπειδὴ Κάστωρ καὶ Πολυδεύκης ἐξ ἀνθρώ- d
πων ἠφανίσθησαν, καταγαγόντος αὐτὸν Ἡρακλέους δί-
δωσιν αὐτῷ τὴν χώραν διά τε τὴν εὐεργεσίαν ταύτην καὶ
διὰ τὴν συγγένειαν τὴν πρὸς τοὺς παῖδας), (19) Μεσσή-
νην δὲ δοριάλωτον ληφθεῖσαν (συληθεὶς γὰρ Ἡρακλῆς
τὰς βοῦς τὰς ἐκ τῆς Ἐρυθείας ὑπὸ Νηλέως καὶ τῶν
παίδων, πλὴν ὑπὸ Νέστορος, λαβὼν αὐτὴν αἰχμάλωτον
τοὺς μὲν ἀδικήσαντας ἀπέκτεινεν, Νέστορι δὲ παρακα-
τατίθεται τὴν πόλιν, νομίσας αὐτὸν εὖ φρονεῖν ὅτι νεώ- e
τατος ὢν οὐ συνεξήμαρτε τοῖς ἀδελφοῖς). (20) Ὑπολα-
βόντες δ' οὕτως ἔχειν τὴν μαντείαν, καὶ τοὺς προγόνους
τοὺς ὑμετέρους παραλαβόντες καὶ στρατόπεδον συστη-
σάμενοι, τὴν μὲν ἰδίαν χώραν εἰς τὸ κοινὸν τοῖς συνα-
120 κολουθήσασιν ἔδοσαν, τὴν δὲ βασιλείαν ἐξαίρετον αὐτοὶ a
παρ' ἐκείνων ἔλαβον, ἐπὶ δὲ τούτοις πίστεις ἀλλήλοις
δόντες ἐποιοῦντο τὴν στρατείαν. (21) Τοὺς μὲν οὖν
κινδύνους τοὺς ἐν τῇ πορείᾳ γενομένους καὶ τὰς ἄλλας
πράξεις τὰς οὐδὲν πρὸς τὸ παρὸν φερούσας τί δεῖ λέ-
γοντα διατρίβειν; πολέμῳ δὲ κρατήσαντες τοὺς ἐν τοῖς
τόποις τοῖς εἰρημένοις κατοικοῦντας τριχῇ διείλοντο τὰς
βασιλείας. Ὑμεῖς μὲν οὖν μέχρι ταυτησὶ τῆς ἡμέρας
ἐμμένετε ταῖς συνθήκαις καὶ τοῖς ὅρκοις, οὓς ἐποιήσασθε b
πρὸς τοὺς προγόνους τοὺς ἡμετέρους· (22) διὸ καὶ τὸν πα-
ρελθόντα χρόνον ἄμεινον τῶν ἄλλων ἐφέρεσθε, καὶ τὸν
ἐπιόντα προσδοκᾶν χρὴ τοιούτους ὄντας βέλτιον ἢ νῦν
πράξειν. Μεσσήνιοι δ' εἰς τοῦτ' ἀσεβείας ἦλθον, ὥστ'
ἐπιβουλεύσαντες ἀπέκτειναν Κρεσφόντην, τὸν οἰκιστὴν
μὲν τῆς πόλεως, κύριον δὲ τῆς χώρας, ἔκγονον δ' Ἡρα-
κλέους, αὐτῶν δ' ἡγεμόνα γεγενημένον. (23) Διαφυ-
γόντες δ' οἱ παῖδες αὐτοῦ τοὺς κινδύνους ἱκέται κατέ- c
στησαν ταυτησὶ τῆς πόλεως, ἀξιοῦντες βοηθεῖν τῷ
τεθνεῶτι καὶ τὴν χώραν διδόντες ἡμῖν, ἐπερόμενοι δὲ
τὸν θεόν, κἀκείνου προστάξαντος δέχεσθαι ταῦτα καὶ
τιμωρεῖν τοῖς ἠδικημένοις, ἐκπολιορκήσαντες Μεσση-
νίους οὕτως ἐκτήσασθε τὴν χώραν.

24. Περὶ μὲν οὖν τῶν ἐξ ἀρχῆς ὑπαρξάντων ἡμῖν
ἀκριβῶς μὲν οὐ διῆλθον (ὁ γὰρ παρὼν καιρὸς οὐκ ἐᾷ
μυθολογεῖν, ἀλλ' ἀναγκαῖον ἦν συντομώτερον ἢ σαφέ- d
στερον διαλεχθῆναι περὶ αὐτῶν), οὐ μὴν ἀλλὰ καὶ διὰ
τούτων οἶμαι πᾶσι φανερὸν εἶναι διότι τὴν ὁμολογου-
μένην ἡμετέραν εἶναι χώραν οὐδὲν διαφερόντως κεκτη-
μένοι τυγχάνομεν ἢ τὴν ἀμφισβητουμένην. Ταύτην
τε γὰρ οἰκοῦμεν δόντων μὲν Ἡρακλειδῶν, ἀνελόντος
δὲ τοῦ θεοῦ, πολέμῳ δὲ κρατήσαντες τοὺς ἔχοντας·
ἐκείνην τ' ἐλάβομεν παρὰ τῶν αὐτῶν καὶ τὸν αὐτὸν
τρόπον καὶ ταῖς μαντείαις χρησάμενοι ταῖς αὐταῖς. (25) e
Εἰ μὲν οὖν οὕτως ἔχομεν ὥστε μηδὲ περὶ ἑνὸς ἀντιλέγειν,
μηδ' ἐὰν αὐτὴν τὴν Σπάρτην ἐκλιπεῖν προστάττωσιν
ἡμῖν, περίεργόν ἐστιν ὑπὲρ Μεσσήνης σπουδάζειν· εἰ

jussit. (18) Considerato igitur oraculo Argos propinquitatis jure ad se rediisse (nam exstincto Eurystheo soli de Persei progenie supererant), Lacedæmonem vero dono suam (nam Tyndareus Castore et Polluce exstinctis regno pulsus et ab Hercule restitutus, illi regionem tradiderat quum ob beneficium hoc, tum ob cognationem liberorum suorum), (19) Messenam autem vi expugnatam in potestatemque suam redactam repererunt : Hercules enim bobus ex Erythea abactis a Neleo et ejus filiis, Nestore excepto, spoliatus quum urbe potitus esset, eos quidem a quibus erat affectus injuria, interfecit; Nestoris autem fidei oppidum commisit, cordatum hominem esse ratus, quod etsi natu minimus fraterni delicti socius esse noluisset. (20) Quum igitur oraculi sententia hæc esse videretur, adhibitis vestris majoribus exercituque comparato regionem suam inter commilitones distribuerunt, et regni prærogativam ab illis receperunt, atque his conditionibus fide data et accepta expeditionem susceperunt. (21) Atque itineris discrimina et ceteras res gestas, quæ ad institutum non pertinent, quid necesse est prolixius commemorare? Bello autem victis eorum locorum, quæ diximus, incolis regna tripartito diviserunt. Et vos quidem in hunc usque diem pacta et jusjurandum majoribus nostris datum servatis. (22) Quapropter et superiori tempore feliciores aliis fuistis, et in posterum, quum tales sitis, bona spes est melius quam nunc actum iri vobiscum. Messeniorum autem tanta fuit impietas, ut Cresphontem, et conditorem urbis et provinciæ dominum et ex Herculis posteritate ortum et ducem suum, per insidias occiderint. (23) Cujus liberi vitato periculo supplices ad hanc urbem venerunt, traditaque regione petierunt ut patris necem ulcisceremini. Vos igitur consulto oraculo jussi et accipere quæ offerrentur et opem ferre affectis injuria, victis bello Messeniis, sic eorum agrum in vestram potestatem redegistis.

24. Ac de primo quidem nostro jure etsi non accurate disserui (nec enim hoc tempus patitur antiqua persequi, sed necesse est brevitatis potius quam perspicuitatis rationem habere), ex his ipsis tamen omnibus perspicuum esse arbitror, non aliam fuisse rationem ejus regionis acquirendæ, quam nostram esse confitentur omnes, quam ejus de cujus possessione controversia orta est. Et hanc enim colimus ab Herculis posteritate datam et Delphico oraculo confirmatam et incolis ejus bello superatis, et illam ab iisdem eodemque modo accepimus et iisdem usi vaticinationibus. (25) Quodsi hoc animo sumus, ut nulla in re eis repugnemus, etiamsi Spartam deserere nos jusserint, supervacaneum est de Messena magnopere laborare : sin nemo vestrûm est qui

δὲ μηδεὶς ἂν ὑμῶν ἀξιώσειε ζῆν ἀποστερούμενος τῆς πατρίδος, προσήκει καὶ περὶ ἐκείνης τὴν αὐτὴν ὑμᾶς 121 γνώμην ἔχειν· τὰ γὰρ αὐτὰ δικαιώματα καὶ τοὺς a αὐτοὺς λόγους περὶ ἀμφοτέρων αὐτῶν ἔχομεν εἰπεῖν.

26. Ἀλλὰ μὴν οὐδ' ἐκεῖν' ὑμᾶς λέληθεν, ὅτι τὰς κτήσεις καὶ τὰς ἰδίας καὶ τὰς κοινάς, ἂν ἐπιγένηται πολὺς χρόνος, κυρίας καὶ πατρῴας ἅπαντες εἶναι νομίζουσιν. Ἡμεῖς τοίνυν Μεσσήνην εἵλομεν πρὶν Πέρσας λαβεῖν τὴν βασιλείαν καὶ κρατῆσαι τῆς ἠπείρου, καὶ πρὶν οἰκισθῆναί τινας τῶν πόλεων τῶν Ἑλληνίδων. (27) Καὶ b τούτων ἡμῖν ὑπαρχόντων τῷ μὲν βαρβάρῳ τὴν Ἀσίαν ὡς πατρῴαν οὖσαν ἀποδιδόασιν, ὃς οὔπω διακόσι' ἔτη κατέσχηκε τὴν ἀρχήν, ἡμᾶς δὲ Μεσσήνην ἀποστεροῦσιν, οἳ πλέον διπλάσιον χρόνον ἢ τοσοῦτον τυγχάνομεν ἔχοντες αὐτήν· καὶ Θεσπιὰς μὲν καὶ Πλαταιὰς ἐχθὲς καὶ πρῴην ἀναστάτους πεποιήκασι, ταύτην δὲ διὰ τετρακοσίων ἐτῶν μέλλουσι κατοικίζειν, ἀμφότερα παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας πράττοντες. (28) Καὶ c εἰ μὲν τοὺς ὡς ἀληθῶς Μεσσηνίους κατῆγον, ἠδίκουν μὲν ἄν, ὅμως δ' εὐλογωτέρως ἂν εἰς ἡμᾶς ἐξημάρτανον· νῦν δὲ τοὺς Εἵλωτας ὁμόρους ἡμῖν παρακατοικίζουσιν, ὥστε μὴ τοῦτ' εἶναι χαλεπώτατον, εἰ τῆς χώρας στερησόμεθα παρὰ τὸ δίκαιον, ἀλλ' εἰ τοὺς δούλους τοὺς ἡμετέρους ἐποψόμεθα κυρίους αὐτῆς ὄντας.

29. Ἔτι τοίνυν ἐκ τῶν ἐχομένων γνώσεσθε σαφέστε- d ρον ὅτι καὶ νῦν δεινὰ πάσχομεν καὶ τότε Μεσσήνην εἴχομεν δικαίως. Πολλῶν γὰρ κινδύνων ἡμῖν γεγενημένων ἤδη ποτὲ ποιήσασθαι τὴν εἰρήνην ἠναγκάσθημεν πολὺ χεῖρον πράττοντες τῶν πολεμίων· ἀλλ' ὅμως ἐν τοιούτοις καιροῖς γιγνομένων τῶν συνθηκῶν, ἐν οἷς οὐχ οἷόν τ' ἦν πλεονεκτεῖν, (30) περὶ μὲν ἄλλων τινῶν ἀμφισβητήσεις ἐγίγνοντο, περὶ δὲ Μεσσήνης οὔτε βασιλεὺς οὔθ' ἡ τῶν Ἀθηναίων πόλις οὐδὲ e πώποθ' ἡμῖν ἐνεκάλεσεν ὡς ἀδίκως κεκτημένοις αὐτήν. Καίτοι πῶς ἂν περὶ τοῦ δικαίου κρίσιν ἀκριβεστέραν ταύτης εὕροιμεν τῆς ὑπὸ μὲν τῶν ἐχθρῶν ἐγνωσμένης, ἐν δὲ ταῖς ἡμετέραις δυσπραξίαις γεγενημένης;

122 31. Τὸ τοίνυν μαντεῖον, ὃ πάντες ἂν ὁμολογήσειαν a ἀρχαιότατον εἶναι καὶ κοινότατον καὶ πιστότατον, οὐ μόνον ἔγνω τόθ' ἡμετέραν εἶναι Μεσσήνην, ὅτε διδόντων ἡμῖν αὐτὴν τῶν Κρεσφόντου παίδων προσέταξε δέχεσθαι τὴν δωρεὰν καὶ βοηθεῖν τοῖς ἀδικουμένοις, ἀλλὰ καὶ τοῦ πολέμου μακροῦ γιγνομένου πεμψάντων ἀμφοτέρων εἰς Δελφούς, κἀκείνων μὲν σωτηρίαν αἰτούντων, ἡμῶν δ' ἐπερωτώντων ὅτῳ τρόπῳ τάχιστ' ἂν κρατήσαιμεν τῆς πόλεως, τοῖς μὲν οὐδὲν ἀνεῖλεν ὡς οὐ δικαίαν b ποιουμένοις τὴν αἴτησιν, ἡμῖν δ' ἐδήλωσε καὶ τὰς θυσίας ἃς ἔδει ποιήσασθαι καὶ βοήθειαν παρ' ὧν μεταπέμψασθαι.

32. Καίτοι πῶς ἄν τις μαρτυρίαν μείζω καὶ σαφεστέραν τούτων παράσχοιτο; φαινόμεθα γὰρ πρῶτον μὲν παρὰ τῶν κυρίων τὴν χώραν λαβόντες (οὐδὲν γὰρ κωλύει πάλιν διὰ βραχέων περὶ αὐτῶν διελθεῖν), ἔπειτα

patria spoliatus vivere sustineat, non aliter etiam de illa debetis esse animati: idem enim utrimque jus, eadem defensio nobis est.

26. Præterea ne illud quidem vos præterit possessiones, sive privatas sive publicas præscriptione longi temporis et confirmari et patrimonii loco habendas persuasum esse omnibus. Nos autem Messenam cepimus, priusquam Persæ regno potirentur Asiamque subigerent et priusquam pleræque Græcæ urbes conderentur. (27) Et quum tanta nostræ causæ sit æquitas, Thebani Barbaro Asiam tanquam patrimonium adjudicant, qui nondum ducentos annos rerum potitur; nobis autem Messenam, quam duplo longius tenuimus, ereptum eunt; ac Thespias quidem et Platæas nuper admodum everterunt, hanc autem post trecentos annos instaurare volunt, horum utroque jusjurandum et fœdera violantes. (28) Quodsi germanos Messenios restituerent, injuste quidem facerent, sed minus queri tamen de eorum injuria possemus: nunc Helotas in vicinia nostra collocant. Quare non hoc gravissimum est, si præter jus et æquum nostra possessio nobis adimetur, sed si dominos illius esse videbimus nostros servos.

29. Jam ex his quæ sequuntur, magis etiam perspicietis et nunc inique tractari nos et tunc Messenam jure tenuisse. Nam post multa prælia commissa tandem pacem facere coacti sumus, quum quidem multo pejore fortuna conflictaremur quam hostes: attamen quum iis temporibus conditiones ferrentur, quibus fieri non poterat ut nos meliore conditione essemus, (30) de aliis quibusdam rebus contentiones inciderunt, sed Messenam injuste nos tenere neque rex Persarum neque civitas Atheniensium nobis unquam objecerunt. Quod autem evidentius de jure judicium eo queat esse, quod et ab ipsis hostibus et adversis nostris rebus est editum?

31. Præterea oraculum, quod omnes et antiquissimum et æquissimum et fide maxime dignum esse fatebuntur, non eo solum tempore nostram esse Messenam statuit, quum Cresphontæ liberis dantibus accipere nos donum et oppressis injuria opem ferre jussit, sed tunc etiam, quum bellum longius traheretur et utrique Delphos misissemus (nam illi quidem de salute sua consulebant, nos vero de expeditissima urbis capiendæ ratione), illis ut iniqua petentibus nihil respondit, nobis vero significavit et quæ sacra facienda et auxilia unde accersenda essent.

32. Quod igitur testimonium majus et evidentius his afferri potest? quum declaratum sit nos primum ab iis quorum erat, hunc agrum accepisse, (quid enim vetat eadem denuo paucis perstringere?) deinde bello cepisse, quomodo

κατὰ πόλεμον αὐτὴν ἑλόντες, ὅνπερ τρόπον αἱ πλεῖσται c τῶν πόλεων περὶ ἐκείνους τοὺς χρόνους ᾠκίσθησαν, ἔτι δὲ τοὺς ἠσεβηκότας εἰς τοὺς παῖδας τοὺς Ἡρακλέους ἐκβεβληκότες, οἳ δικαίως ἂν ἐξ ἁπάσης τῆς οἰκουμένης ὑπερωρίσθησαν, πρὸς δὲ τούτοις καὶ τῷ πλήθει τοῦ χρόνου καὶ τῇ τῶν ἐχθρῶν κρίσει καὶ ταῖς τοῦ θεοῦ μαντείαις προσηκόντως ἔχοντες αὐτήν. (33) Ὧν ἓν ἕκαστον ἱκανόν ἐστι διαλῦσαι τοὺς λόγους τῶν τολμώντων κατηγορεῖν ὡς ἢ νῦν διὰ πλεονεξίαν d οὐ ποιούμεθα τὴν εἰρήνην, ἢ τότε τῶν ἀλλοτρίων ἐπιθυμοῦντες ἐπολεμήσαμεν πρὸς Μεσσηνίους. Περὶ μὲν οὖν τῆς κτήσεως ἔνεστι μὲν ἴσως πλείω τούτων εἰπεῖν, οὐ μὴν ἀλλὰ καὶ ταῦθ' ἱκανῶς εἰρῆσθαι νομίζω.

34. Λέγουσι δ' οἱ συμβουλεύοντες ἡμῖν ποιεῖσθαι τὴν εἰρήνην, ὡς χρὴ τοὺς εὖ φρονοῦντας μὴ τὴν αὐτὴν γνώμην ἔχειν περὶ τῶν πραγμάτων εὐτυχοῦντας καὶ e δυστυχοῦντας, ἀλλὰ πρὸς τὸ παρὸν ἀεὶ βουλεύεσθαι καὶ ταῖς τύχαις ἐπακολουθεῖν καὶ μὴ μεῖζον φρονεῖν τῆς δυνάμεως, μηδὲ τὸ δίκαιον ἐν τοῖς τοιούτοις καιροῖς ἀλλὰ τὸ συμφέρον ζητεῖν. (35) Ἐγὼ δὲ περὶ μὲν τῶν ἄλλων ὁμολογῶ τούτοις, ὅπως δὲ χρὴ τοῦ δικαίου ποιεῖσθαί τι προὐργιαίτερον οὐδείς ἄν με λέγων
123 πείσειεν. Ὁρῶ γὰρ καὶ τοὺς νόμους ἕνεκα τούτου a κειμένους, καὶ τοὺς ἄνδρας τοὺς καλοὺς κἀγαθοὺς ἐπὶ τούτῳ φιλοτιμουμένους, καὶ τὰς εὖ πολιτευομένας πόλεις περὶ τούτου μάλιστα σπουδαζούσας, (36) ἔτι δὲ τοὺς πολέμους τοὺς προγεγενημένους οὐ κατὰ τὰς δυνάμεις ἀλλὰ κατὰ τὸ δίκαιον τὸ τέλος ἅπαντας εἰληφότας, ὅλως δὲ τὸν βίον τὸν τῶν ἀνθρώπων διὰ μὲν κακίαν ἀπολλύμενον, δι' ἀρετὴν δὲ σῳζόμενον. Ὥστ' οὐκ ἀθυμεῖν δεῖ τοὺς ὑπὲρ τῶν δικαίων κινδυνεύειν b μέλλοντας, ἀλλὰ πολὺ μᾶλλον τοὺς ὑβρίζοντας καὶ τοὺς τὰς εὐτυχίας μὴ μετρίως φέρειν ἐπισταμένους. (37) Ἔπειτα κἀκεῖνο χρὴ σκοπεῖν· νυνὶ γὰρ περὶ μὲν τοῦ δικαίου πάντες τὴν αὐτὴν γνώμην ἔχομεν, περὶ δὲ τοῦ συμφέροντος ἀντιλέγομεν. Δυοῖν δὲ προτεινομένοιν ἀγαθοῖν, καὶ τοῦ μὲν ὄντος προδήλου, τοῦ δ' ἀγνοουμένου, πῶς οὐκ ἂν ποιήσαιτε καταγέλαστον, εἰ τὸ μὲν ὁμολογούμενον ἀποδοκιμάσαιτε, τὸ δ' ἀμφισβητούμενον c ἑλέσθαι δόξειεν ὑμῖν, ἄλλως τε καὶ τῆς αἱρέσεως τοσοῦτον διαφερούσης; (38) ἐν μὲν γὰρ τοῖς ἐμοῖς λόγοις ἔνεστι μηδὲν μὲν προέσθαι τῶν ὑμετέρων αὐτῶν μηδ' αἰσχύνῃ μηδεμιᾷ τὴν πόλιν περιβαλεῖν, ὑπὲρ δὲ τῶν δικαίων κινδυνεύοντας ἐλπίζειν ἄμεινον ἀγωνιεῖσθαι τῶν ἐχθρῶν, ἐν δὲ τοῖς τούτων ἀφεστάναι μὲν ἤδη Μεσσήνης, προεξαμαρτόντας δὲ τοῦτ' εἰς ὑμᾶς αὐτοὺς τυχὸν καὶ τοῦ συμφέροντος καὶ τοῦ δικαίου καὶ τῶν d ἄλλων ἁπάντων ὧν προσδοκᾶτε διαμαρτεῖν. (39) Καὶ γὰρ οὐδὲ τοῦτό πω φανερόν ἐστιν, ὡς ἂν ποιήσωμεν τὰ κελευόμενα, βεβαίως ἤδη τὴν εἰρήνην ἕξομεν. Οἶμαι γὰρ ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι πάντες εἰώθασι πρὸς μὲν τοὺς ἀμυνομένους περὶ τῶν δικαίων διαλέγεσθαι, τοῖς δὲ λίαν ἑτοίμως ποιοῦσι τὸ προσταττόμενον ἀεὶ πλείω

pleræque urbes illis temporibus constitutæ sunt; postea eos qui Herculis liberos nefario scelere violarant, ejecisse, quos quidem æquum fuerat ex universo terrarum orbe exterminari; denique et longitudine temporis et hostium judicio et dei oraculis jure eam obtinere; (33) quorum singula calumnias eorum satis refutant, qui crimini dare audent nos aut nunc pacem ex avaritia repudiaret aut olim alienarum rerum cupiditate inflammatos bellum cum Messeniis gessisse. Ac de Messenæ quidem possessione plura his dici fortasse queant, sed et hæc sufficere arbitror.

34. Qui autem faciendæ pacis nobis auctores sunt, negant viris sapientibus idem sentiendum in rebus secundis et adversis, sed e re nata semper consilium capiendum et fortunam sequendam esse, neque plus animorum esse oportere quam virium, neque talibus temporibus quid justum sit, sed quid expediat, quærendum. (35) Ego vero quod ad cetera quidem attinet, non repugno; sed justiciæ præferendam ulla ex parte esse utilitatem, nemo mihi dicendo persuadebit. Nam et leges ideo latas esse video, et probos honestosque viros hoc sibi laudi ducere et urbes, quæ bene administrantur, in hoc maxime studere; (36) quia etiam superiorum temporum omnia bella eos exitus habuisse, non qui a viribus solum, sed etiam a justitia penderent, denique vitam humanam interire flagitiis, virtute conservari. Quare non abjectis animis eos esse decet, qui juris sui defendendi causa pericula sunt adituri; illos potius timere sibi decet, qui elati superbia, res secundas moderate ferre non possunt. (37) Deinde nec illud negligendum est, quod de jure omnes consentimus, de utilitate litigamus. Propositis autem duabus rebus bonis, quarum altera evidens est, altera obscura: nonne ridiculum fuerit vos certam repudiare, quæ autem in controversia sit, eam velle amplecti, præsertim quum in ipsa optione tantum intersit? (38) Mea enim oratio huc pertinet, ut ne quid vestri amittatis neque dedecus aliquod publice suscipiatis; in spe bona vos, etiamsi justitiæ causa pugnandum sit, hostibus fore superiores: illi autem quid tandem dicunt nisi jam Messena cedendum esse? quum hoc delicto in vosmetipsos admisso illud etiam fieri possit, ut et utilitate et justitia et ceteris quæ exspectatis omnibus frustremini. (39) Nam ne hoc quidem ullo modo exploratum est, si ea quæ jubent hostes, fecerimus, nos firmam pacem habituros. Arbitror enim non ignorare vos, cum iis qui ad vim propulsandam parati sint, omnes de jure disputare; illis autem qui nimis expedite imperata

προσεπιβάλλειν οἷς ἂν ἐξ ἀρχῆς διανοηθῶσιν, ὥστε συμβαίνειν βελτίονος εἰρήνης [e] τυγχάνειν τοὺς πολεμικῶς διακειμένους τῶν ῥᾳδίως τὰς ὁμολογίας ποιουμένων.

40. Ἵνα δὲ μὴ δοκῶ περὶ ταῦτα πολὺν χρόνον διατρίβειν, ἁπάντων τῶν τοιούτων ἀφέμενος ἐπὶ τὸν ἁπλούστατον ἤδη τρέψομαι τῶν λόγων. Εἰ μὲν γὰρ [124 a] μηδένες πώποτε τῶν δυστυχησάντων ἀνέλαβον αὐτοὺς μηδ' ἐπεκράτησαν τῶν ἐχθρῶν, οὐδ' ἡμᾶς εἰκὸς ἐλπίζειν περιγενήσεσθαι πολεμοῦντας· εἰ δὲ πολλάκις γέγονεν ὥστε καὶ τοὺς μείζω δύναμιν ἔχοντας ὑπὸ τῶν ἀσθενεστέρων κρατηθῆναι καὶ τοὺς πολιορκοῦντας ὑπὸ τῶν κατακεκλειμένων διαφθαρῆναι, τί θαυμαστὸν εἰ καὶ τὰ νῦν καθεστῶτα λήψεταί τινα μετάστασιν; (41) [b] Ἐπὶ μὲν οὖν τῆς ἡμετέρας πόλεως οὐδὲν ἔχω τοιοῦτον εἰπεῖν· ἐν γὰρ τοῖς ἐπέκεινα χρόνοις οὐδένες πώποτε κρείττους ἡμῶν εἰς ταύτην τὴν χώραν εἰσέβαλον· ἐπὶ δὲ τῶν ἄλλων πολλοῖς ἄν τις παραδείγμασι χρήσαιτο, καὶ μάλιστ' ἐπὶ τῆς πόλεως τῆς Ἀθηναίων. (42) Τούτους γὰρ εὑρήσομεν, ἐξ ὧν μὲν τοῖς ἄλλοις προσέταττον, πρὸς τοὺς Ἕλληνας διαβληθέντας, ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας ἠμύναντο, παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντας. Τοὺς μὲν οὖν παλαιοὺς κινδύνους εἰ διεξιοίην, [c] οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας ἢ Θρᾷκας ἢ Πελοποννησίους τοὺς μετ' Εὐρυσθέως εἰς τὴν χώραν αὐτῶν εἰσβαλόντας, ἴσως ἀρχαῖα καὶ πόρρω τῶν νῦν παρόντων λέγειν ἂν δοκοίην· ἐν δὲ τῷ Περσικῷ πολέμῳ τίς οὐκ οἶδεν ἐξ οἵων συμφορῶν εἰς ὅσην εὐδαιμονίαν κατέστησαν; (43) μόνοι γὰρ τῶν ἔξω Πελοποννήσου κατοικούντων, ὁρῶντες τὴν τῶν βαρβάρων δύναμιν ἀνυπόστατον οὖσαν, οὐκ ἠξίωσαν βουλεύσασθαι περὶ [d] τῶν προσταττομένων αὐτοῖς, ἀλλ' εὐθὺς εἵλοντο περιιδεῖν ἀνάστατον τὴν πόλιν γεγενημένην μᾶλλον ἢ δουλεύουσαν. Ἐκλιπόντες δὲ τὴν χώραν, καὶ πατρίδα μὲν τὴν ἐλευθερίαν νομίσαντες, κοινωνήσαντες δὲ τῶν κινδύνων ἡμῖν, τοσαύτης μεταβολῆς ἔτυχον, ὥστ' ὀλίγας ἡμέρας στερηθέντες τῶν αὑτῶν πολὺν χρόνον τῶν ἄλ- [e] λων δεσπόται κατέστησαν.

44. Οὐ μόνον δ' ἐπὶ ταύτης ἄν τις τῆς πόλεως ἐπιδείξειε τὸ τολμᾶν ἀμύνεσθαι τοὺς ἐχθροὺς ὡς πολλῶν ἀγαθῶν αἴτιόν ἐστιν, ἀλλὰ καὶ Διονύσιος ὁ τύραννος καταστὰς εἰς πολιορκίαν ὑπὸ Καρχηδονίων, οὐδεμιᾶς αὐτῷ σωτηρίας ὑποφαινομένης, ἀλλὰ καὶ τῷ πολέμῳ [125 a] κατεχόμενος καὶ τῶν πολιτῶν δυσκόλως πρὸς αὐτὸν διακειμένων, αὐτὸς μὲν ἐμέλλησεν ἐκπλεῖν, τῶν δὲ χρωμένων τινὸς τολμήσαντος εἰπεῖν ὡς καλόν ἐστιν ἐντάφιον ἡ τυραννίς, (45) αἰσχυνθεὶς ἐφ' οἷς διενοήθη καὶ πάλιν ἐπιχειρήσας πολεμεῖν πολλὰς μὲν μυριάδας Καρχηδονίων διέφθειρεν, ἐγκρατεστέραν δὲ τὴν ἀρχὴν τὴν τῶν πολιτῶν κατεστήσατο, πολὺ δὲ μείζω τὴν δύναμιν τὴν αὐτοῦ τῆς πρότερον ὑπαρχούσης ἐκτήσατο, τυραννῶν δὲ τὸν βίον διετέλεσε, καὶ τὸν υἱὸν ἐν ταῖς [b] αὐταῖς τιμαῖς καὶ δυναστείαις, ἐν αἷσπερ αὐτὸς ἦν, κατέλιπεν.

faciunt, semper plura ad ea, quæ ab initio cogitarint, onera imponere solere. Unde fit ut ad gerendum bellum parati qui sunt, æquiorem pacem impetrent, quam ii qui leviter et prompte pactiones faciunt.

40. Ne vero in his diutius immorari videar, ejusmodi omni disputatione omissa, id jam dicam, quod est omnium simplicissimum : si nulli unquam post clades acceptas vires renovassent neque superavissent tandem hostes : ne nobis quidem bellum gerentibus victoriæ spes proposita esse deberet : sin autem sæpe usu venit ut et qui majores copias haberent, ab imbecillioribus vincerentur, et qui urbem circumsederant, ab obsessis perderentur : quid miri erit, si etiam harum rerum mutatio aliqua eveniet? (41) Ac de nostra quidem republica nihil tale habeo dicere : nam superioribus temporibus nulli, qui nobis essent fortiores, in nostros agros invaserunt; alii vero populi permulta nobis exempla suppeditant, ac vel maxime quidem Athenienses, (42) quos apud Græcos in crimen ex eo venisse constat, quod aliis imperarent; quum autem iidem injurios ulciscerentur, a mortalibus omnibus gloriam consecutos. Quodsi vetera pericula, quæ in bellis adversus Amazones ant Thraces aut Peloponnesios gestis adierunt, quum Eurystheus in eorum agrum duxisset exercitum, recenseam, obsoleta fortassis et nimium a præsentibus rebus remota commemorare videbor : in Persico autem bello, quis nescit post quæ mala quam sint felicitatem adepti? (43) Nam soli eorum qui extra Peloponnesum habitant, quum barbarorum copias sustineri non posse cernerent, de imperatis faciendis sibi deliberandum esse non censuerunt, sed urbem eversam quam servitute oppressam videre statim maluerunt. Relicta igitur natali terra (nam patriam illi quidem libertatem esse censebant) et periculorum societate nobiscum inita, tantam mutationem effecerunt, ut, quum paucos dies suis rebus caruissent, per multos annos aliis imperarint.

44. Neque vero quanta bona pariat ulciscendi hostes audacia, hujus urbis tantum, sed etiam Dionysii tyranni exemplo demonstratur. Qui obsidione clausus a Carthaginiensibus, quum nulla spes salutis esset reliqua (nam et ab hostibus premebatur et civibus invisus erat) fuga, salutem quærere decreverat : quum autem quidam e familiaribus ausus fuisset dicere, honestissimum sepulcrum esse imperium, (45) improbato turpi fugæ consilio belloque repetito non modo ingentem hostium numerum cecidit, sed etiam dominationem in cives suam confirmavit et potentiam pristinam plurimum auxit et vitam in imperio exegit et eosdem honores eandemque potestatem, quibus ipse fuerat usus, filio reliquit.

46. Παραπλήσια δὲ τούτοις Ἀμύντας ὁ Μακεδόνων βασιλεὺς ἔπραξεν. Ἡττηθεὶς γὰρ ὑπὸ τῶν βαρβάρων τῶν προσοικούντων μάχῃ καὶ πάσης Μακεδονίας ἀποστερηθεὶς τὸ μὲν πρῶτον ἐκλιπεῖν τὴν χώραν διενοήθη καὶ τὸ σῶμα διασώζειν, ἀκούσας δέ τινος ἐπαινοῦντος τὸ πρὸς Διονύσιον ῥηθέν, καὶ μεταγνοὺς ὥσπερ ἐκεῖνος, χωρίον μικρὸν καταλαβὼν καὶ βοήθειαν ἐνθένδε μετα- c πεμψάμενος ἐντὸς μὲν τριῶν μηνῶν κατέσχεν ἅπασαν Μακεδονίαν, τὸν δ' ἐπίλοιπον χρόνον βασιλεύων γήρᾳ τὸν βίον ἐτελεύτησεν.

47. Ἀπείποιμεν δ' ἂν ἀκούοντές τε καὶ λέγοντες, εἰ πάσας τὰς τοιαύτας πράξεις ἐξετάζοιμεν, ἐπεὶ καὶ τῶν περὶ Θήβας πραχθέντων εἰ μνησθείημεν, ἐπὶ μὲν τοῖς γεγενημένοις ἂν λυπηθεῖμεν, περὶ δὲ τῶν μελλόντων βελτίους ἐλπίδας ἂν λάβοιμεν. Τολμησάντων γὰρ d αὐτῶν ὑπομεῖναι τὰς εἰσβολὰς καὶ τὰς ἀπειλὰς τὰς ἡμετέρας, εἰς τοῦθ' ἡ τύχη τὰ πράγματ' αὐτῶν περιέστησεν, ὥστε τὸν ἄλλον χρόνον ὑφ' ἡμῖν ὄντες νῦν ἡμῖν προστάττειν ἀξιοῦσιν.

48. Ὅστις οὖν ὁρῶν τοσαύτας μεταβολὰς γεγενημένας ἐφ' ἡμῶν οἴεται παύσεσθαι, λίαν ἀνόητός ἐστιν· ἀλλὰ δεῖ καρτερεῖν ἐπὶ τοῖς παροῦσι καὶ θαρρεῖν περὶ τῶν μελλόντων, ἐπισταμένους ὅτι τὰς τοιαύτας συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ καὶ ταῖς e περὶ τὸν πόλεμον ἐμπειρίαις. Περὶ ὧν οὐδεὶς ἂν τολμήσειεν ἀντειπεῖν, ὡς οὐ τὴν μὲν ἐμπειρίαν μᾶλλον τῶν ἄλλων ἔχομεν, πολιτείαν δ' οἵαν εἶναι χρή, παρὰ 126 μόνοις ἡμῖν ἐστιν. Ὧν ὑπαρχόντων οὐκ ἔστιν ὅπως a οὐκ ἄμεινον πράξομεν τῶν μηδετέρου τούτων πολλὴν ἐπιμέλειαν πεποιημένων.

49. Κατηγοροῦσι δέ τινες τοῦ πολέμου, καὶ διεξέρχονται τὴν ἀπιστίαν αὐτοῦ, τεκμηρίοις ἄλλοις τε πολλοῖς χρώμενοι καὶ μάλιστα τοῖς περὶ ἡμᾶς γεγενημένοις, καὶ θαυμάζουσιν εἴ τινες οὕτω χαλεπῷ καὶ παραβόλῳ πράγματι πιστεύειν ἀξιοῦσιν. Ἐγὼ δὲ πολλοὺς μὲν οἶδα διὰ τὸν πόλεμον μεγάλην εὐδαιμονίαν κτησαμένους, πολλοὺς δὲ τῆς ὑπαρχούσης ἀπο- b στερηθέντας διὰ τὴν εἰρήνην· (50) οὐδὲν γὰρ τῶν τοιούτων ἐστὶν ἀποτόμως οὔτε κακὸν οὔτ' ἀγαθόν, ἀλλ' ὡς ἂν χρήσηταί τις τοῖς πράγμασι καὶ τοῖς καιροῖς, οὕτως ἀνάγκη καὶ τὸ τέλος ἐκβαίνειν ἐξ αὐτῶν. Χρὴ δὲ τοὺς μὲν εὖ πράττοντας τῆς εἰρήνης ἐπιθυμεῖν· ἐν ταύτῃ γὰρ τῇ καταστάσει πλεῖστον ἄν τις χρόνον τὰ παρόντα διαφυλάξειεν· τοὺς δὲ δυστυχοῦντας τῷ πολέμῳ προσέχειν τὸν νοῦν· ἐκ γὰρ τῆς c ταραχῆς καὶ τῆς καινουργίας θᾶττον ἂν μεταβολῆς τύχοιεν. (51) Ὧν ἡμεῖς δέδοικα μὴ τἀναντία πράττοντες φανῶμεν· ὅτε μὲν γὰρ ἐξῆν ἡμῖν τρυφᾶν, πλείους τοὺς πολέμους ἐποιούμεθα τοῦ δέοντος, ἐπειδὴ δ' εἰς ἀνάγκην καθέσταμεν ὥστε κινδυνεύειν, ἡσυχίας ἐπιθυμοῦμεν καὶ περὶ ἀσφαλείας βουλευόμεθα. Καίτοι χρὴ τοὺς βουλομένους ἐλευθέρους εἶναι τὰς μὲν ἐκ τῶν ἐπιταγμάτων συνθήκας φεύγειν ὡς ἐγγὺς δουλείας d οὔσας, ποιεῖσθαι δὲ τὰς διαλλαγάς, ὅταν ἢ περιγέ-

46. Similia his Amyntas Macedonum rex fecit. Victus enim prælio a vicinis barbaris amissaque tota Macedonia primum de regno deserendo cogitavit, ut vitam conservaret; deinde quum audisset a quodam illud laudari, quod Dionysio dictum fuerat, mutata, ut ille, sententia parvum quoddam castellum occupavit, et hinc accersitis auxiliis trimestri spatio Macedoniam universam recepit, et in regia dignitate senio confectus decessit.

47. Quodsi omnia talia facta conquirenda sint, et ego dicendo, et audiendo vos defatigaremini. Nam si vel ea quæ Thebano bello acciderunt recordemur, fieri quidem non poterit quin calamitate nostra doleamus; sed iidem etiam de cetero spem concipiemus meliorem. Quum enim ausi essent illi nostras irruptiones et minas sustinere, ita fortuna res eorum mutavit, ut qui ante nobis paruissent, jam nobis imperandi potestatem sibi arrogent.

48. Qui igitur tantas mutationes accidisse quidem, at nostro tempore nullas fore putat, non satis est consideratus : sed et præsentia æquis animis ferenda sunt, et de futuris bene sperandum. Constat enim a civitatibus tales casus, si domi consilium et disciplina, foris arma et peritia rei militaris vigeant, emendari. Neque vero quisquam refragabitur quin et scientia rei militaris præstemus et apud nos solos talis respublica sit, qualem esse decet. Quæ quum ita sint, fieri omnino nequit quin feliciores futuri simus iis quibus neutrum horum magnæ curæ fuit.

49. At quidam in bellum invehuntur ejusque perfidiam accusant, argumentis utentes quum aliis, tum iis ipsis quæ nobis acciderunt, seque mirari dictitant, quenquam esse qui rei tam sævæ ac temerariæ fidem habendam censeat. Ego vero novi multos qui sibi magnam bello felicitatem pepererunt, multos item qui eandem pace amiserunt. (50) Nihil enim harum rerum per se omnino vel malum est vel bonum, sed ut quisque rebus atque occasionibus utitur, ita necesse est eventus consimiles inde consequi. Est autem felicibus expetenda pax (nam eo statu parta bona diutissime conservantur), calamitosis ad gerendum bellum animus adjiciendus : nam tumultu bellico novisque rebus movendis afflictæ res celerius eriguntur. (51) Quorum ego vereor ne contrarium facere videamur. Nam quum in abundantia rerum omnium vivere nobis liceret, plura quam oportebat bella gerebamus : nunc necessitate periculi subeundi urgente, otium expetimus et de securitate consultamus. Atqui iis qui libertatem cupiant, fœdera cum imperato conjuncta fugienda sunt; non multum enim differunt a servitute: tum vero demum de conditionibus agendum,

νωνται τῶν ἐχθρῶν ἢ τὴν δύναμιν τὴν αὐτῶν ἐξισώσωσιν τῇ τῶν πολεμίων· ὡς τοιαύτην ἕκαστοι τὴν εἰρήνην ἕξουσιν, οἵαν περ ἂν τοῦ πολέμου ποιήσωνται τὴν κατάλυσιν.

52. Ὧν ἐνθυμουμένους χρὴ μὴ προπετῶς ὑμᾶς αὐτοὺς ἐμβαλεῖν εἰς αἰσχρὰς ὁμολογίας, μηδὲ ῥαθυμότερον ὑπὲρ τῆς πατρίδος ἢ τῶν ἄλλων φανῆναι βουλευομένους. Ἀναμνήσθητε δὲ πρὸς ὑμᾶς αὐτοὺς ὅτι τὸν e παρελθόντα χρόνον, εἰ πολιορκουμένῃ τινὶ τῶν πόλεων τῶν συμμαχίδων εἷς μόνος Λακεδαιμονίων βοηθήσειεν, ὑπὸ πάντων ἂν ὡμολογεῖτο παρὰ τοῦτον γενέσθαι τὴν σωτηρίαν αὐτοῖς. Καὶ τοὺς μὲν πλείστους τῶν τοιού-
127 των ἀνδρῶν παρὰ τῶν πρεσβυτέρων ἄν τις ἀκούσειεν, a τοὺς δ' ὀνομαστοτάτους ἔχω κἀγὼ διελθεῖν. (53) Πεδάριτος μὲν γὰρ εἰς Χίον εἰσπλεύσας τὴν πόλιν αὐτῶν διέσωσε· Βρασίδας δ' εἰς Ἀμφίπολιν εἰσελθών, ὀλίγους περὶ αὑτὸν τῶν πολιορκουμένων συνταξάμενος, πολλοὺς ὄντας τοὺς πολιορκοῦντας ἐνίκησε μαχόμενος· Γύλιππος δὲ Συρακοσίοις βοηθήσας οὐ μόνον ἐκείνους διέσωσεν, ἀλλὰ καὶ τὴν δύναμιν τὴν κρατοῦσαν αὐτῶν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἅπασαν αἰχμάλωτον b ἔλαβεν. (54) Καίτοι πῶς οὐκ αἰσχρὸν τότε μὲν ἕκαστον ἡμῶν ἱκανὸν εἶναι τὰς ἀλλοτρίας πόλεις διαφυλάττειν, νυνὶ δὲ πάντας μηδὲ πειρᾶσθαι τὴν ἡμετέραν αὐτῶν διασώζειν; καὶ τὴν μὲν Εὐρώπην καὶ τὴν Ἀσίαν μεστὴν πεποιηκέναι τροπαίων ὑπὲρ τῶν ἄλλων πολεμοῦντας, ὑπὲρ δὲ τῆς πατρίδος οὕτω φανερῶς ὑβριζομένης μηδὲ μίαν μάχην ἀξίαν λόγου φαίνεσθαι μεμαχημένους; (55) ἀλλ' ἑτέρας μὲν πόλεις ὑπὲρ τῆς c ἡμετέρας ἀρχῆς τὰς ἐσχάτας ὑπομεῖναι πολιορκίας, αὐτοὺς δ' ἡμᾶς, ὑπὲρ τοῦ μηδὲν ἀναγκασθῆναι παρὰ τὸ δίκαιον ποιεῖν, μηδὲ μικρὰν οἴεσθαι δεῖν ὑπενεγκεῖν κακοπάθειαν, ἀλλὰ ζεύγη μὲν ἵππων ἀδηφαγούντων ἔτι καὶ νῦν ὁρᾶσθαι τρέφοντας, ὥσπερ δὲ τοὺς εἰς τὰς δεινοτάτας ἀνάγκας ἀφιγμένους καὶ τῶν καθ' ἡμέραν ἐνδεεῖς ὄντας, οὕτω ποιεῖσθαι τὴν εἰρήνην;

56. Ὃ δὲ πάντων σχετλιώτατον, εἰ φιλοπονώτατοι d δοκοῦντες εἶναι τῶν Ἑλλήνων ῥαθυμότερον τῶν ἄλλων βουλευσόμεθα περὶ τούτων. Τίνας γὰρ ἴσμεν, ὧν καὶ ποιήσασθαι μνείαν ἄξιόν ἐστιν, οἵτινες ἅπαξ ἡττηθέντες καὶ μιᾶς εἰσβολῆς γενομένης οὕτως ἀνάνδρως ὡμολόγησαν πάντα τὰ προσταττόμενα ποιήσειν; πῶς δ' ἂν οἱ τοιοῦτοι πολὺν χρόνον δυστυχοῦντες ἀντάρκεσειαν; (57) τίς δ' οὐκ ἂν ἐπιτιμήσειεν ἡμῖν, εἰ Μεσσηνίων e ὑπὲρ ταύτης τῆς χώρας εἴκοσιν ἔτη πολιορκηθέντων ἡμεῖς οὕτω ταχέως κατὰ συνθήκας αὐτῆς ἀποσταίημεν, καὶ μηδὲ τῶν προγόνων μνησθείημεν, ἀλλ' ἣν ἐκεῖνοι μετὰ πολλῶν πόνων καὶ κινδύνων ἐκτήσαντο, ταύτην
128 ἡμεῖς ὑπὸ λόγων πεισθέντες ἀποβάλοιμεν; a

58. Ὧν οὐδὲν ἔνιοι φροντίσαντες, ἀλλὰ πάσας τὰς αἰσχύνας ὑπεριδόντες, τοιαῦτα συμβουλεύουσιν ὑμῖν, ἐξ ὧν εἰς ὀνείδη τὴν πόλιν καταστήσουσιν. Οὕτω δὲ προθύμως ἐπάγουσιν ὑμᾶς πρὸς τὸ παραδοῦναι Μεσσήνην, ὥστε καὶ διεξελθεῖν ἐτόλμησαν τήν τε τῆς πό-

quum aut hostium copias vicerint, aut suum robur illorum viribus æquarint. Nam talem quidem omnes pacem habituri sunt, qualem belli finem fecerint.

52. Hæc cogitanda vobis sunt, neque committendum ut temere vos in turpes pactiones conjiciatis, aut pejus de patria, quam de aliis soletis, mereamini; sed illud recordandum, superiori tempore, quum e sociis civitatibus alicui circumsessæ vel unus Lacedæmoniorum opem tulisset, fuisse neminem qui dubitaret quin ea per illum conservata esset. Ac talium virorum permulti a senioribus commemorantur; celeberrimos autem ego quoque referre possum. (53) Pedaritus enim Chium profectus urbem conservavit. Brasidas Amphipolim ingressus et instructa ex paucis eorum qui obsidebantur acie, multos, qui obsidebant, prælio vicit. Gylippus Syracusanis auxiliatus non illos solum conservavit, sed hostium etiam copias, terra marique superiores, in potestatem suam redegit universas. (54) Quid vero dictu fœdius est quam, quum olim singuli nostrûm alienas civitates tueri potuerint, nunc universos de nostra patria defendenda dubitare ac ne conari quidem? Quum bellis pro aliorum salute gestis et Europam et Asiam tropæis repleverimus, pro patria, quæ tam insigni non injuria, sed contumelia afficitur, ne unum quidem prælium aliquo nomine dignum commisisse? (55) Quum aliæ civitates nostri tuendi imperii causa extremas obsidiones tolerarint, nos ipsos, ne quid præter jus et æquum facere cogamur, eo esse animo, ut ne parvum quidem incommodum ferendum nobis arbitremur, sed quum insignes equos etiam nunc alamus, pacem ita faciamus, ut qui extrema necessitate conflictantur omniumque rerum inopia laborant?

56. Illud autem omnium indignissimum est, quod qui tolerantissimi laborum inter omnes Græcos habiti sumus, his de rebus segnius quam ceteri deliberamus. Quos enim scimus, qui quidem aliquo in numero habendi sunt, qui semel victi unaque irruptione facta adeo effeminate imperata se facturos esse polliciti sint? Quo pacto tales diuturnam calamitatem tolerarent? (57) quum Messenii viginti annos pro hac regione obsessi fuerint, qui nos non reprehenderent, si tam celeriter per pactiones ea urbe cederemus, ne majorum quidem memores sed quam illi multis laboribus et periculis paraverunt, eam nos adducti verbis dimitteremus?

58. Quibus omnibus nonnulli neglectis nullaque multiplicis dedecoris habita ratione vobis consulunt ea quæ reipublicæ nostræ contumeliosa futura sunt. Ac tam cupide vos ad Messenam tradendam hortantur, ut et nostræ urbis im-

λεως ἀσθένειαν καὶ τὴν τῶν πολεμίων δύναμιν, καὶ κελεύουσιν ἀποκρίνασθαι τοὺς ἐναντιουμένους αὐτοῖς, b πόθεν βοήθειαν προσδοκῶντες ἥξειν διακελευόμεθα πολεμεῖν. (59) Ἐγὼ δὲ μεγίστην ἡγοῦμαι συμμαχίαν εἶναι καὶ βεβαιοτάτην τὸ τὰ δίκαια πράττειν (εἰκὸς γὰρ καὶ τὴν τῶν θεῶν εὔνοιαν γενέσθαι μετὰ τούτων, εἴπερ χρὴ περὶ τῶν μελλόντων τεκμαίρεσθαι τοῖς ἤδη γεγενημένοις), πρὸς δὲ ταύτῃ τὸ καλῶς πολιτεύεσθαι καὶ c σωφρόνως ζῆν καὶ μάχεσθαι τοῖς πολεμίοις ἐθέλειν καὶ μηδὲν οὕτω δεινὸν νομίζειν ὡς τὸ κακῶς ἀκούειν ὑπὸ τῶν πολιτῶν· ἃ μᾶλλον ἡμῖν ἢ τοῖς ἄλλοις ἀνθρώποις ὑπάρχει. (60) Μεθ' ὧν ἐγὼ πολὺ ἂν ἥδιον πολεμοίην ἢ μετὰ πολλῶν μυριάδων· οἶδα γὰρ καὶ τοὺς πρώτους ἡμῶν εἰς ταύτην τὴν χώραν ἀφικομένους οὐ τῷ πλήθει τῶν ἄλλων περιγενομένους, ἀλλὰ ταῖς ἀρεταῖς ταῖς ὑπ' ἐμοῦ προειρημέναις. Ὥστ' οὐκ ἄξιον διὰ τοῦτο φοβεῖσθαι τοὺς πολεμίους, ὅτι πολλοὶ τυγχάνουσιν ὄντες, ἀλλὰ πολὺ μᾶλλον ἐπ' ἐκείνοις θαρρεῖν, ὅταν ὁρῶμεν ἡμᾶς d μὲν αὐτοὺς οὕτως ἐνηνοχότας τὰς συμφορὰς ὡς οὐδένες ἄλλοι πώποτε, (61) καὶ τοῖς τε νόμοις καὶ τοῖς ἐπιτηδεύμασιν ἐμμένοντας οἷς ἐξ ἀρχῆς κατεστησάμεθα, τοὺς δὲ μηδὲ τὰς εὐτυχίας φέρειν δυναμένους, ἀλλὰ διατεταραγμένους, καὶ τοὺς μὲν τὰς συμμαχίδας πόλεις καταλαμβάνοντας, τοὺς δὲ τἀναντία τούτοις πράττοντας, ἄλλους δὲ περὶ χώρας τοῖς ὁμόροις ἀμφισβητοῦν- e τας, τοὺς δὲ μᾶλλον ἀλλήλοις φθονοῦντας ἢ πρὸς ἡμᾶς πολεμοῦντας. Ὥστε θαυμάζω τῶν μείζω συμμαχίαν ζητούντων, ὧν οἱ πολέμιοι τυγχάνουσιν ἐξαμαρτάνοντες.

62. Εἰ δὲ δεῖ καὶ περὶ τῶν ἔξωθεν βοηθειῶν εἰπεῖν,
129 ἡγοῦμαι πολλοὺς ἔσεσθαι τοὺς βουλομένους ἐπαμύνειν a ἡμῖν. Ἐπίσταμαι γὰρ πρῶτον μὲν Ἀθηναίους, εἰ καὶ μὴ πάντα μεθ' ἡμῶν εἰσιν, ἀλλ' ὑπέρ γε τῆς σωτηρίας τῆς ἡμετέρας ὁτιοῦν ἂν ποιήσοντας· ἔπειτα τῶν ἄλλων πόλεων ἔστιν ἃς ὁμοίως ἂν ὑπὲρ τῶν ἡμῖν συμφερόντων ὥσπερ τῶν αὑταῖς βουλευσομένας· (63) ἔτι δὲ Διονύσιον τὸν τύραννον καὶ τὸν Αἰγυπτίων βασιλέα καὶ τοὺς ἄλλους τοὺς κατὰ τὴν Ἀσίαν δυνάστας, καθ' ὅσον ἕκαστοι δύνανται, προθύμως ἂν ἡμῖν ἐπικουρήσοντας· πρὸς δὲ τούτοις καὶ τῶν Ἑλλήνων τοὺς ταῖς οὐσίαις b προέχοντας καὶ ταῖς δόξαις πρωτεύοντας καὶ βελτίστων πραγμάτων ἐπιθυμοῦντας, εἰ καὶ μήπω συνεστήκασιν, ἀλλὰ ταῖς γ' εὐνοίαις μεθ' ἡμῶν ὄντας, ἐν οἷς περὶ τῶν μελλόντων εἰκότως ἂν μεγάλας ἐλπίδας ἔχοιμεν. (64) Οἶμαι δὲ καὶ τὸν ἄλλον ὄχλον τὸν ἐν Πελοποννήσῳ καὶ τὸν δῆμον, ὃν οἰόμεθα μάλιστα πολεμεῖν ἡμῖν, ποθεῖν ἤδη τὴν ἡμετέραν ἐπιμέλειαν. Οὐδὲν γὰρ αὐτοῖς ἀποστᾶσι γέγονεν ὧν προσεδόκησαν, ἀλλ' ἀντὶ c μὲν τῆς ἐλευθερίας τοὐναντίον ἀποβέβηκεν (ἀπολέσαντες γὰρ αὐτῶν τοὺς βελτίστους ἐπὶ τοῖς χειρίστοις τῶν πολιτῶν γεγόνασιν), ἀντὶ δὲ τῆς αὐτονομίας εἰς πολλὰς καὶ δεινὰς ἀνομίας ἐμπεπτώκασιν, (65) εἰθισμένοι δὲ τὸν ἄλλον χρόνον μεθ' ἡμῶν ἐφ' ἑτέρους ἰέναι, νῦν τοὺς ἄλλους ὁρῶσιν ἐφ' αὑτοὺς στρατευομένους, καὶ τὰς

becillitatem et hostium potentiam commemorare non dubitarint, et adversarios respondere sibi jubeant, unde auxilia ventura exspectantes vobis belli suscipiendi auctores simus. (59) Ego vero in nullis sociis plus esse præsidii et constantiæ puto quam in justis actionibus. Consentaneum est enim etiam deorum immortalium benevolentiam his non defuturam, siquidem e præteritis conjectura futurorum capienda est. Præter hanc plurimi æstimanda est reipublicæ bona administratio recteque instituta vita, et animus bello paratus quique nihil horrendum magis esse ducat quam male audire a suis: quæ omnia nostri moris sunt magis quam ullorum mortalium. (60) Quales ego multo malim belli socios habere quam infinitam turbam aliorum. Nam eos quoque qui primi nostrûm hanc regionem occuparunt, scio non multitudine fretos, sed iis quas recensui virtutibus. Quare non eo hostes formidare, quod multi sunt, sed multo magis ea re freti esse debemus, quum nos ita videmus tulisse calamitates, ut nulli alii tulerunt unquam, (61) et leges et instituta majorum intemerata conservasse, dum isti prosperam fortunam ferre non possint et in maxima perturbatione versentur: atque alii sociorum urbes occupent, alii illis adversentur, alii de finibus cum vicinis ambigant, alii mutua potius inter ipsos invidia flagrent quam nobiscum bellum gerant. Unde mirari subit eos, qui majora præsidia requirunt iis quæ delicta hostium suppeditant.

62. Quodsi de externis etiam auxiliis dicendum est, multos futuros puto qui nos salvos atque incolumes esse velint. Primum enim Athenienses, etiamsi non omnino nobiscum faciant, salutis tamen nostræ causa omnia facturos esse novi: deinde ceterarum urbium nonnullas non minus hoc tempore nostris commodis quam suis consulturas. (63) Præterea neque Dionysius tyrannus neque Ægyptiorum rex neque alii Asiæ principes suis opibus et auxiliis nobis defuturi sunt; Græcorum denique locupletissimi et celeberrimi et optimarum rerum studiosissimi quique, etsi nobiscum se nondum conjunxerunt, at benevolentia sunt nobiscum, in quibus de cetero magna spes nobis debet esse. (64) Existimo etiam turbam Peloponnesiorum et populum, quem opinamur maxime bellum nobis illaturum, nostram jam curam desiderare. Nihil enim e defectione tale sunt consecuti, quale exspectarant. Nam dum libertatem petunt, servitute sunt oppressi. Amissis enim suorum optimis in potestatem pessimorum civium ceciderunt; dum suis legibus uti student, in multa et acerba quæ contraria legibus essent, inciderunt; (65) quum hactenus nobiscum aliis inferre bella consueverint, nunc ab aliis oppugnantur; et

στάσεις, ἃς ἐπυνθάνοντο πρότερον παρ' ἑτέροις οὔσας, d νῦν παρ' αὐτοῖς ὀλίγου δεῖν καθ' ἑκάστην τὴν ἡμέραν γιγνομένας, οὕτω δ' ὡμαλισμένοι ταῖς συμφοραῖς εἰσιν, ὥστε μηδένα διαγνῶναι δύνασθαι τοὺς κάκιστα πράττοντας αὐτῶν· οὐδεμία γάρ ἐστι τῶν πόλεων ἀκέραιος, οὐδ' ἥτις οὐχ ὁμόρους ἔχει τοὺς κακῶς ποιήσοντας, ὥστε τετμῆσθαι μὲν τὰς χώρας, πεπορθῆσθαι δὲ τὰς πόλεις, ἀναστάτους δὲ γεγενῆσθαι τοὺς οἴκους τοὺς ἰδίους, ἀνεστράφθαι δὲ τὰς πολιτείας καὶ καταλελύσθαι e τοὺς νόμους, μεθ' ὧν οἰκοῦντες εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν. (67) Οὕτω δ' ἀπίστως τὰ πρὸς σφᾶς αὐτοὺς καὶ δυσμενῶς ἔχουσιν, ὥστε μᾶλλον τοὺς πολίτας ἢ τοὺς πολεμίους δεδίασιν· ἀντὶ δὲ τῆς ἐφ' ἡμῶν ὁμονοίας καὶ τῆς παρ' ἀλλήλων εὐπορίας εἰς τοσαύτην
130 ἀμιξίαν ἐληλύθασιν, ὥσθ' οἱ μὲν κεκτημένοι τὰς οὐσίας a ἥδιον ἂν εἰς τὴν θάλατταν τὰ σφέτερ' αὐτῶν ἐκβάλοιεν ἢ τοῖς δεομένοις ἐπαρκέσειαν, οἱ δὲ καταδεέστερον πράττοντες οὐδ' ἂν εὑρεῖν δέξαιντο μᾶλλον ἢ τὰ τῶν ἐχόντων ἀφελέσθαι· (68) καταλύσαντες δὲ τὰς θυσίας ἐπὶ τῶν βωμῶν σφάττουσιν ἀλλήλους· πλείους δὲ φεύγουσι νῦν ἐκ μιᾶς πόλεως ἢ πρότερον ἐξ ἁπάσης τῆς Πελοποννήσου. Καὶ τοσούτων ἀπηριθμημένων κακῶν, πολὺ πλείω τὰ παραλελειμμένα τῶν εἰρημένων ἐστίν· οὐδὲν γὰρ ὅ τι b τῶν δεινῶν ἢ χαλεπῶν οὐκ ἐνταῦθα συνδεδράμηκεν. (69) Ὧν οἱ μὲν ἤδη μεστοὶ τυγχάνουσιν ὄντες, οἱ δὲ διὰ ταχέων ἐμπλησθήσονται, καὶ ζητήσουσί τινα τῶν παρόντων πραγμάτων εὑρεῖν ἀπαλλαγήν. Μὴ γὰρ οἴεσθ' αὐτοὺς μενεῖν ἐπὶ τούτοις· οἵτινες γὰρ εὖ πράττοντες ἀπεῖπον, πῶς ἂν οὗτοι κακοπαθοῦντες πολὺν χρόνον καρτερήσειαν; ὥστ' οὐ μόνον ἢν μαχόμενοι νικήσωμεν, ἀλλ' ἐὰν ἡσυχίαν ἔχοντες περιμείνωμεν, ὄψεσθ' αὐτοὺς c μεταβαλλομένους καὶ τὴν ἡμετέραν συμμαχίαν σωτηρίαν αὐτῶν εἶναι νομίζοντας. Τὰς μὲν οὖν ἐλπίδας ἔχω τοιαύτας.

70. Τοσοῦτον δ' ἀπέχω τοῦ ποιῆσαί τι τῶν προσταττομένων, ὥστ' εἰ μηδὲν γίγνοιτο τούτων μηδὲ βοηθείας μηδαμόθεν τυγχάνοιμεν, ἀλλὰ τῶν Ἑλλήνων οἱ μὲν ἀδικοῖεν ἡμᾶς, οἱ δὲ περιορῷεν, οὐδ' ἂν οὕτω μεταγνοίην, ἀλλὰ πάντας ἂν τοὺς ἐκ τοῦ πολέμου κινδύνους d ὑπομείναιμι πρὶν ποιήσασθαι τὰς ὁμολογίας ταύτας. Αἰσχυνθείην γὰρ ἂν ὑπὲρ ἀμφοτέρων, εἴτε καταγνοίημεν τῶν προγόνων ὡς ἀδίκως Μεσσηνίους ἀφείλοντο τὴν χώραν, εἴτ' ἐκείνων ὀρθῶς κτησαμένων καὶ προσηκόντως ἡμεῖς παρὰ τὸ δίκαιον συγχωρήσαιμέν τι περὶ αὐτῆς. (71) Τούτων μὲν οὖν οὐδέτερον ποιητέον, σκεπτέον δ' ὅπως ἀξίως ἡμῶν αὐτῶν πολεμήσομεν, καὶ μὴ τοὺς εἰθισμένους ἐγκωμιάζειν τὴν πόλιν ἐλέγξομεν e ψευδεῖς ὄντας, ἀλλὰ τοιούτους ἡμᾶς αὐτοὺς παρασχήσομεν, ὥστε δοκεῖν ἐκείνους ἐλάττω τῶν ὑπαρχόντων εἰρηκέναι περὶ ἡμῶν. (72) Οἶμαι μὲν οὖν οὐδὲν συμβήσεσθαι δεινότερον τῶν νῦν παρόντων, ἀλλὰ τοὺς
131 ἐχθροὺς τοιαῦτα βουλεύσεσθαι καὶ πράξειν, ἐξ ὧν ἐπα- a νορθώσουσιν ἡμᾶς· ἂν δ' ἄρα ψευσθῶμεν τῶν ἐλπίδων καὶ πανταχόθεν ἐξειργώμεθα καὶ μηδὲ τὴν πόλιν ἔτι

seditiones, quas prius apud alios esse audiebant, nunc apud semetipsos singulis fere diebus cooriri vident: sic denique malis exæquati sunt, ut nec dijudicare possint, quinam sint inter ipsos calamitosissimi. (66) Nulla enim urbs non afflicta est, nulla cui a vicinis pericula non immineant, ut et agri vastati sint et civitates, eversæ, et privatæ ædes desolatæ, et inversæ respublicæ, et leges abrogatæ, quibus dum utebantur, felicissimi Græcorum fuerunt. (67) Tantopere autem aliis alii diffidunt adeoque sunt odiis exacerbati, ut cives suos magis quam hostes metuant et pro concordia, qua nobis imperantibus florebant, ac facilitate commercii, qua inter ipsos utebantur, sic a congressibus omnique humanitate abhorrent, ut et ii qui rem habent, pecuniam in mare demergere malint quam indigentibus impertiri, et tenuiores a locupletioribus eripere quam comparare magis optent. (68) Sacris abrogatis in aris sese mactant, et nunc plures unius civitatis exules sunt, quam antehac totius Peloponnesi. Et quum tot mala enumerata sint, plura prætermisimus quam recensuimus. Nihil enim duri aut acerbi dici potest, quod non ibi concurrerit: (69) quorum quia jam alios cepit, alios brevi satietas capiet et aliquod iis malis remedium invenire studebunt. Neque enim putare debetis fore ut in istis rebus acquiescant. Nam quos secundæ res fatigarunt, adversas longo tempore qui tolerabunt? Quare non tantum si pugnando vicerimus, sed etiam si quieti exspectaverimus, eos mutata sententia videbitis suam salutem in nostra societate collocaturos. Et quæ sperem, hæc sunt.

70. Tantum autem abest ut aliquid eorum quæ imperantur facere velim, ut si nihil horum fieret, neque ulla nobis auxilia præsto essent, Græcorumque alii nos læderent, alii contemnerent, ne sic quidem de sententia decederem, sed omnia pericula belli potius exspectarem, quam ad tam turpes pactiones descenderem. Nam utriusque rei me puderet, sive majores damnaremus, quasi per injuriam Messeniis agros ademissent, sive nos, si illi recte et ut decuit tenuissent, præter jus et æquum quicquam de illis concederemus. (71) Quorum neutrum faciendum est, sed id spectandum, ut pro dignitate nostra bellum administremus, neque eos qui urbem nostram celebrant, mendacii arguamus. Ita vero gerere nos debemus, ut illi magnitudinem laudum nostrarum non videantur assecuti. (72) Equidem existimo graviora his malis non esse metuenda, sed hostes ea et deliberaturos et acturos esse, quibus nos erigent. Quodsi spe frustrati et ab omni parte circumventi fuerimus, ac ne urbem quidem amplius tueri potuerimus: gravia

δυνώμεθα διαφυλάττειν, χαλεπὰ μέν ἐστιν ἃ μέλλω λέγειν, ὅμως δ' οὐκ ὀκνήσω παρρησιάσασθαι περὶ αὐτῶν. Καὶ γὰρ ἐξαγγελθῆναι τοῖς Ἕλλησι καλλίω ταῦτ' ἐστί, καὶ μᾶλλον ἁρμόττοντα τοῖς ἡμετέροις φρονήμασιν, ὧν ἔνιοί τινες ἡμῖν συμβουλεύουσιν.

73. Φημὶ γὰρ χρῆναι τοὺς μὲν γονέας τοὺς ἡμετέρους b αὐτῶν καὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας καὶ τὸν ὄχλον τὸν ἄλλον ἐκ τῆς πόλεως ἐκπέμψαι, τοὺς μὲν εἰς Σικελίαν καὶ Ἰταλίαν, τοὺς δ' εἰς Κυρήνην, τοὺς δ' εἰς τὴν ἤπειρον (ἄσμενοι δ' αὐτοὺς ἅπαντες οὗτοι δέξονται καὶ χώρᾳ πολλῇ καὶ ταῖς ἄλλαις ταῖς περὶ τὸν βίον εὐπορίαις, οἱ μὲν χάριν ἀποδιδόντες ὧν εὖ πεπόνθασιν, οἱ δὲ κομιεῖσθαι προσδοκῶντες ὧν ἂν προϋπάρξωσιν), c (74) ὑπολειφθέντας δὲ τοὺς βουλομένους καὶ δυναμένους κινδυνεύειν τῆς μὲν πόλεως ἀφέσθαι καὶ τῶν ἄλλων κτημάτων, πλὴν ὅσ' ἂν οἷοίτ' ὦμεν ἀπενέγκασθαι μεθ' ἡμῶν αὐτῶν, καταλαβόντας δὲ χωρίον, ὅ τι ἂν ἐχυρώτατον ᾖ καὶ πρὸς τὸν πόλεμον συμφορώτατον, ἄγειν καὶ φέρειν τοὺς πολεμίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἕως ἂν παύσωνται τῶν ἡμετέρων ἀμφισβητοῦντες. (75) Καὶ ταῦτ' ἐὰν τολμήσωμεν καὶ μὴ κατοκνήσωμεν, ὄψεσθε τοὺς νῦν ἐπιτάττοντας ἱκετεύοντας d καὶ δεομένους ἡμῶν Μεσσήνην ἀπολαβεῖν καὶ ποιήσασθαι τὴν εἰρήνην. Ποία γὰρ ἂν τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ τοιοῦτον πόλεμον ὑπομείνειεν, οἷον εἰκὸς γενέσθαι βουληθέντων ἡμων; τίνες δ' οὐκ ἂν ἐκπλαγεῖεν καὶ δείσαιεν στρατόπεδον συνιστάμενον τοιαῦτα μὲν διαπεπραγμένον, δικαίως δὲ τοῖς αἰτίοις τούτων ὠργισμένον, ἀπονενοημένως δὲ πρὸς τὸ ζῆν διακείμενον, e (76) καὶ τῷ μὲν σχολὴν ἄγειν καὶ μηδὲ περὶ ἓν ἄλλο διατρίβειν ἢ περὶ τὸν πόλεμον τοῖς ξενικοῖς στρατεύμασιν ὡμοιωμένον, ταῖς δ' ἀρεταῖς καὶ τοῖς ἐπιτηδεύμασι τοιοῦτον οἷον ἐξ ἁπάντων ἀνθρώπων οὐδεὶς ἂν συντάξειεν, ἔτι δὲ μηδεμιᾷ πολιτείᾳ τεταγμένῃ χρώμενον, 132 a ἀλλὰ θυραυλεῖν καὶ πλανᾶσθαι κατὰ τὴν χώραν δυνάμενον καὶ ῥᾳδίως μὲν ὅμορον οἷς ἂν βούληται γιγνόμενον, τοὺς δὲ τόπους ἅπαντας τοὺς πρὸς τὸν πόλεμον συμφέροντας πατρίδας εἶναι νομίζον; (77) Ἐγὼ μὲν γὰρ οἶμαι τῶν λόγων μόνον ῥηθέντων τούτων καὶ διασπαρέντων εἰς τοὺς Ἕλληνας εἰς πολλὴν ταραχὴν καταστήσεσθαι τοὺς ἐχθροὺς ἡμῶν, ἔτι δὲ μᾶλλον, ἢν καὶ τέλος ἐπιθεῖναι τούτοις ἀναγκασθῶμεν. Τίνα γὰρ οἰηθῶμεν αὐτοὺς γνώμην ἕξειν, ὅταν αὐτοὶ μὲν κακῶς πάσχωσιν, ἡμᾶς δὲ μηδὲν δύνωνται ποιεῖν; (78) καὶ b τὰς μὲν αὐτῶν πόλεις ἴδωσιν εἰς πολιορκίαν καθεστηκυίας, τὴν δ' ἡμετέραν οὕτω διεσκευασμένην ὥστε μηκέτι τῇ συμφορᾷ ταύτῃ περιπεσεῖν; ἔτι δὲ τὴν τῶν σωμάτων τροφὴν ἡμῖν μὲν ῥᾳδίαν οὖσαν ἔκ τε τῶν ὑπαρχόντων καὶ τῶν ἐκ τοῦ πολέμου γιγνομένων, αὐτοῖς δὲ χαλεπὴν διὰ τὸ μὴ ταὐτὸν εἶναι στρατόπεδόν τε τοιοῦτον διοικεῖν καὶ τοὺς ὄχλους τοὺς ἐν ταῖς πόλεσι διατρέφειν; (79) ὃ δὲ πάντων ἄλγιστον ἐκείνοις, ὅταν c τοὺς μὲν ἡμετέρους οἰκείους ἐν πολλαῖς εὐπορίαις πυνθάνωνται γεγενημένους, τοὺς δ' αὐτῶν ὁρῶσιν καθ'

quidem sunt quæ dicam, sed dicam tamen et libere aperteque dicam. Etenim honestius est ea prædicari apud exteros Græcos nostraque virtute dignius, quam ea quæ nobis quidam suadent.

73. Sic enim censeo: parentes nostros cum uxoribus et liberis, et reliquam bello inutilem turbam e civitate mittendam esse, et ex his alios in Siciliam, alios in Italiam, alios Cyrenen, alios in Asiam. Quos hi omnes libenter suscipient et agro amplo assignando et ceteris ad victum necessariis rebus suppeditandis, alii ut gratiam pro acceptis beneficiis referant, alii spe gratias se accepturos, si qua in nos beneficia collocarint. (74) Ceteris autem qui pugnare et volent et poterunt, deserenda erit et urbs et aliæ possessiones, iis tantum exceptis quæ ipsi nobiscum auferre poterimus. Occupandum deinde castellum aliquod quam firmissimum erit et ad gerendum bellum maxime opportunum, ut terra marique hostes spoliemus et infestemus, usquedum eos pœniteat nostra sibi vindicasse. (75) Quæ si abjecta omni cunctatione ausi fuerimus, eos qui nunc superbe imperant, ultro nobis supplicantes videbitis, ut Messenam recipiamus et pacis conditiones accipiamus. Quæ enim Peloponnesi civitas tale sustinebit bellum, quale, si nos voluerimus, futurum esse consentaneum est? qui non exhorrescent et expavescent tales copias constitutas, quæ et talem animum induerint, et harum rerum auctoribus non injuria irascantur, neque vitæ suæ parcant, (76) et, quod ad aliarum rerum vacationem attinet soliusque bellicæ rei occupationem, conductitiis militibus similes sint, ceterum si fortitudo et instituta vetera spectentur, tales, quales ex universo humano genere colligi nequeant, prætereaque nullam certam vivendi rationem teneant, sed et sub dio agere et passim oberrare et arma circumferre possint, facileque vicini fieri quibus voluerint et omnia loca bello opportuna patriam judicent? (77) Equidem puto, si sermones hi tantum dicantur et in Græcia spargantur, hostes nostros in maxima perturbatione futuros, multoque in majore, si ea quæ decreta fuerint re ipsa præstare cogemur. Nam quo animo eos fore putatibus, si a nobis cladibus affici poterunt, nocere nobis vicissim non poterunt? (78) si suas quidem urbes obsideri, nostræ vero eam esse rationem videbunt, ut ab omni oppugnationis periculo sit immunis? præterea nobis quum ex nostris rebus, tum ex manubiis victum fore facilem et expeditum, ipsis vero difficilem et impeditum, quod alia res est talem exercitum alere atque oppidanam turbam sustentare? (79) Jam quid acerbius illis accidere poterit, quam si nostros domesticos audierint opibus florere, suos autem quo-

ἑκάστην τὴν ἡμέραν τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας, καὶ μηδ' ἐπικουρῆσαι δύνωνται τοῖς κακοῖς τούτοις, ἀλλ' ἐργαζόμενοι μὲν τὴν χώραν τὰ σπέρματα προσαπολλύωσιν, ἀργὸν δὲ περιορῶντες μηδένα χρόνον ἀνταρκεῖν οἷοί τ' ὦσιν;

80. Ἀλλὰ γὰρ ἴσως ἀθροισθέντες καὶ κοινὸν ποιησάμενοι [d] στρατόπεδον παρακολουθήσουσι, καὶ κωλύσουσιν ἡμᾶς κακῶς ποιεῖν αὐτούς. Καὶ τί ἂν εὐξαίμεθα μᾶλλον ἢ λαβεῖν πλησιάζοντας καὶ παρατεταγμένους καὶ περὶ τὰς αὐτὰς δυσχωρίας ἡμῖν ἀντιστρατοπεδεύοντας ἀνθρώπους ἀτάκτους καὶ μιγάδας καὶ πολλοῖς ἄρχουσι χρωμένους; οὐδὲν γὰρ ἂν πολλῆς πραγματείας δεήσειεν, ἀλλὰ ταχέως ἂν αὐτοὺς ἐξαναγκάσαιμεν [e] ἐν τοῖς ἡμετέροις καιροῖς ἀλλὰ μὴ τοῖς αὐτῶν ποιήσασθαι τοὺς κινδύνους.

81. Ἐπιλίποι δ' ἂν τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ τὰς πλεονεξίας τὰς ἐσομένας λέγειν ἐπιχειρήσαιμεν. Ἐκεῖνο δ' οὖν πᾶσι φανερόν, ὅτι τῶν Ἑλλήνων διενηνόχαμεν οὐ τῷ μεγέθει τῆς πόλεως οὐδὲ τῷ πλήθει
133 τῶν ἀνθρώπων, ἀλλ' ὅτι τὴν πολιτείαν ὁμοίαν κατε- [a] στησάμεθα στρατοπέδῳ καλῶς διοικουμένῳ καὶ πειθαρχεῖν ἐθέλοντι τοῖς ἄρχουσιν. Ἢν οὖν εἰλικρινὲς τοῦτο ποιήσωμεν, ὃ μιμησαμένοις ἡμῖν συνήνεγκεν, οὐκ ἄδηλον ὅτι ῥᾳδίως τῶν πολεμίων ἐπικρατήσομεν. (82) Ἴσμεν δὲ καὶ τοὺς οἰκιστὰς ταυτησὶ τῆς πόλεως γενομένους, ὅτι μικρὸν μὲν στρατόπεδον εἰς τὴν Πελοπόννησον εἰσῆλθον ἔχοντες, πολλῶν δὲ καὶ μεγάλων πόλεων ἐκράτησαν. [b] Καλὸν οὖν μιμήσασθαι τοὺς προγόνους, καὶ πάλιν ἐπὶ τὴν ἀρχὴν ἐπανελθόντας, ἐπειδὴ προσεπταίκαμεν, πειραθῆναι τὰς τιμὰς καὶ τὰς δυναστείας ἀναλαβεῖν, ἃς πρότερον ἐτυγχάνομεν ἔχοντες. (83) Πάντων δ' ἂν δεινότατον ποιήσαιμεν, εἰ συνειδότες Ἀθηναίοις ἐκλιποῦσι τὴν αὑτῶν χώραν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἡμεῖς μηδ' ὑπὲρ τῆς ἡμετέρας αὐτῶν σωτηρίας ἀφέσθαι τῆς πόλεως τολμήσαι- [c] μεν, ἀλλὰ δέον ἡμᾶς παράδειγμα τῶν τοιούτων ἔργων τοῖς ἄλλοις παρέχειν, μηδὲ μιμήσασθαι τὰς ἐκείνων πράξεις ἐθελήσαιμεν. (84) Ἔτι δὲ τούτου καταγελαστότερον, εἰ Φωκαεῖς μὲν φεύγοντες τὴν βασιλέως τοῦ μεγάλου δεσποτείαν, ἐκλιπόντες τὴν Ἀσίαν εἰς Μασσαλίαν ἀπῴκησαν, ἡμεῖς δ' εἰς τοσοῦτον μικροψυχίας ἔλθοιμεν, ὥστε τὰ προστάγματα τούτων ὑπομείναιμεν, ὧν ἄρχοντες ἅπαντα τὸν χρόνον διετελέσαμεν.

85. Χρὴ δὲ μὴ περὶ τὴν ἡμέραν ταύτην ταῖς ψυχαῖς [d] διατρίβειν, ἐν ᾗ δεήσει χωρίζειν τοὺς οἰκειοτάτους ἀφ' ἡμῶν αὐτῶν, ἀλλ' ἐπ' ἐκείνους τοὺς χρόνους ἀφορᾶν, ἐν οἷς περιγενόμενοι τῶν ἐχθρῶν ἀνορθώσομεν μὲν τὴν πόλιν, κομιούμεθα δὲ τοὺς ἡμετέρους αὐτῶν, ἐπιδειξόμεθα δὲ πᾶσιν ὅτι νῦν μὲν ἀδίκως δεδυστυχήκαμεν, τὸν δὲ παρελθόντα χρόνον δικαίως τῶν ἄλλων πλέον ἔχειν ἠξιοῦμεν. (86) Ἔχει δ' οὕτως. Ἐγὼ τούτους εἴρηκα τοὺς λόγους οὐχ ὡς δέον ἡμᾶς ἤδη ταῦτα [e] πράττειν, οὐδ' ὡς οὐδεμιᾶς ἄλλης ἐνούσης ἐν τοῖς πρά-

tidie viderint fame laborare, ac ne opem quidem eis ferre poterunt, sed sive agros colere instituerint, etiam sementis jacturam facient, sive terram jacere incultam patientur, statim unde vivant, non habebunt?

80. At enim fortasse coactis in unum copiis et communi expeditione suscepta insequentur nosque nocere sibi prohibebunt. Et quid optabilius nobis esse queat, quam ut congressi cominus in aciem descendant et iisdem locorum difficultatibus circumventi quibus nos castra locent homines illi incompositi et ex colluvione quadam conflati et multis utentes imperatoribus? Nullo modo enim multo labore opus erit, sed quamprimum eos cogemus in nostris locis non quæ illis sint opportuna, dimicare.

81. Dies me defecerit, si quæ commoda nobis futura sint explicare aggrediar. Illud certe quidem omnibus constat, nos reliquis Græcis antecellere non magnitudine urbis nec multitudine virorum, sed eo quod nostra respublica exercitui similis est bene constituto et parere ducibus volenti. Quodsi id repræsentabimus, cujus simulacrum quoddam ita nobis profuit, quis dubitet quin hostibus facile superiores futuri simus? (82) Nec enim ignoramus eos etiam qui hanc urbem condiderunt, exiguo in Peloponnesum ducto exercitu multa et magna oppida in potestatem suam redegisse. Præclarum igitur fuerit, nos majores nostros imitari et ad principium regressos, quoniam impegimus, dare operam ut pristinam dignitatem et potestatem recuperemus. (83) Omnium profecto indignissimum nobis fuerit, quum sciamus Athenienses pro libertate Græciæ patriam deseruisse, nos pro nostra salute urbem relinquere non audere, et quum aliis exemplum præbere debeamus hujusmodi facinorum, ne imitari quidem velle res illorum gestas. (84) Quo etiam illud magis deridendum est, quum Phocæenses magni regis dominationem fugientes relicta Asia Massiliam se contulerint, nos tam abjectis esse animis, ut illis parere velimus, quibus perpetuo imperavimus?

85. Neque vero animis nostris illa dies obversari usque adeo debet, qua carissimi quique statim a nobis segregandi erunt; sed illuc respicere debemus, fore tempus quo victis hostibus atque urbe in integrum restituta et domesticos nostros recipiamus et omnibus probemus nos et nunc nullo nostro merito fuisse calamitosos, et superiori tempore non immerito principatum nobis vindicasse. (86) Sic autem se res habet. Hæc quæ dixi, non sic accipienda sunt, quasi ea mox fieri velim aut rebus aliter consuli nequeat, sed ut

γμασι σωτηρίας, ἀλλὰ βουλόμενος ὑμῶν προτρέψα-
σθαι τὰς γνώμας, ὡς καὶ ταύτας τὰς συμφορὰς καὶ
πολὺ δεινοτέρας τούτων ὑπομενετέον ἡμῖν, πρὶν ὑπὲρ
Μεσσήνης ποιήσασθαι συνθήκας οἵας κελεύουσιν ἡμᾶς.

134 87. Οὐχ οὕτω δ' ἂν προθύμως ἐπὶ τὸν πόλεμον ὑμᾶς a
παρεκάλουν, εἰ μὴ τὴν εἰρήνην ἑώρων ἐξ ὧν μὲν ἐγὼ
λέγω καλὴν καὶ βεβαίαν γενησομένην, ἐξ ὧν δ' ἔνιοί
τινες συμβουλεύουσιν, οὐ μόνον αἰσχρὰν ἐσομένην,
ἀλλ' οὐδὲ χρόνον οὐδένα παραμενοῦσαν. Ἢν γὰρ πα-
ρακατοικισώμεθα τοὺς Εἵλωτας καὶ τὴν πόλιν ταύτην
περιίδωμεν αὐξηθεῖσαν, τίς οὐκ οἶδεν ὅτι πάντα τὸν
βίον ἐν ταραχαῖς καὶ κινδύνοις διατελοῦμεν ὄντες;
ὥσθ' οἱ περὶ ἀσφαλείας διαλεγόμενοι λελήθασιν αὑτοὺς b
τὴν μὲν εἰρήνην ὀλίγας ἡμέρας ἡμῖν ποιοῦντες, τὸν δὲ
πόλεμον εἰς ἅπαντα τὸν χρόνον κατασκευάζοντες.

88. Ἡδέως δ' ἂν αὐτῶν πυθοίμην, ὑπὲρ τίνων οἴον-
ται χρῆναι μαχομένους ἡμᾶς ἀποθνήσκειν· οὐχ ὅταν
οἱ πολέμιοι προστάττωσί τι παρὰ τὸ δίκαιον καὶ τῆς
χώρας ἀποτέμνωνται καὶ τοὺς οἰκέτας ἐλευθερῶσι; καὶ
τούτους μὲν κατοικίζωσιν εἰς ταύτην ἣν ἡμῖν οἱ πα- c
τέρες κατέλιπον, ἡμᾶς δὲ μὴ μόνον τῶν ὄντων ἀποστε-
ρῶσιν, ἀλλὰ καὶ πρὸς τοῖς ἄλλοις κακοῖς εἰς ὀνείδη
καθιστῶσιν; (89) Ἐγὼ μὲν γὰρ ὑπὲρ τούτων οὐ μόνον
πόλεμον ἀλλὰ καὶ φυγὰς καὶ θανάτους οἶομαι προσήκειν
ἡμῖν ὑπομένειν· πολὺ γὰρ κρεῖττον ἐν ταῖς δόξαις αἷς
ἔχομεν τελευτῆσαι τὸν βίον μᾶλλον ἢ ζῆν ἐν ταῖς ἀτι-
μίαις, ἃς ληψόμεθα ποιήσαντες ἃ προστάττουσιν ἡμῖν.
Ὅμως δ' εἰ δεῖ μηδὲν ὑποστειλάμενον εἰπεῖν, αἱρετώ- d
τερον ἡμῖν ἐστιν ἀναστάτοις γενέσθαι μᾶλλον ἢ κατα-
γελάστοις ὑπὸ τῶν ἐχθρῶν. Τοὺς γὰρ ἐν ἀξιώμασι
καὶ φρονήμασι τηλικούτοις βεβιωκότας δυοῖν δεῖ θάτε-
ρον, ἢ πρωτεύειν ἐν τοῖς Ἕλλησιν, ἢ παντάπασιν ἀνη-
ρῆσθαι, μηδὲν ταπεινὸν διαπραξαμένους, ἀλλὰ καλὴν
τὴν τελευτὴν τοῦ βίου ποιησαμένους.

90. Ἃ χρὴ διαλογισαμένους μὴ φιλοψυχεῖν, μηδ'
ἐπακολουθεῖν ταῖς τῶν συμμάχων γνώμαις, ὧν ἡγεῖ-
σθαι πρότερον ἠξιοῦμεν, ἀλλ' αὐτοὺς σκεψαμένους ἑλέ- e
σθαι μὴ τὸ τούτοις ῥᾷστον, ἀλλ' ὃ πρέπον ἔσται τῇ
Λακεδαίμονι καὶ τοῖς πεπραγμένοις ἡμῖν. Περὶ γὰρ
τῶν αὐτῶν οὐχ ὁμοίως ἅπασι βουλευτέον, ἀλλ' ὡς ἂν
ἐξ ἀρχῆς ἕκαστοι τοῦ βίου ποιήσωνται τὴν ὑπόθεσιν.
135 (91) Ἐπιδαυρίοις μὲν γὰρ καὶ Κορινθίοις καὶ Φλια- a
σίοις οὐδεὶς ἂν ἐπιπλήξειεν, εἰ μηδενὸς ἄλλου φροντί-
ζοιεν ἢ τοῦ διαγενέσθαι καὶ περιποιῆσαι σφᾶς αὐτούς·
Λακεδαιμονίους δ' οὐχ οἷόντ' ἐστὶν ἐκ παντὸς τρόπου
ζητεῖν τὴν σωτηρίαν, ἀλλ' ἂν μὴ προσῇ τὸ καλῶς τῷ
σώζεσθαι, τὸν θάνατον ἡμῖν μετ' εὐδοξίας αἱρετέον
ἐστί. Τοῖς γὰρ ἀρετῆς ἀμφισβητοῦσιν ὑπὲρ οὐδενὸς
οὕτω σπουδαστέον, ὡς ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν φανῆ-
ναι πράττοντας. (92) Εἰσὶ δ' αἱ τῶν πόλεων κακίαι
καταφανεῖς οὐχ ἧττον ἐν τοῖς τοιούτοις βουλεύμασιν ἢ b
τοῖς ἐν τῷ πολέμῳ κινδύνοις. Τῶν μὲν γὰρ ἐκεῖ γι-
γνομένων τὸ πλεῖστον μέρος τῇ τύχῃ μέτεστι, τὸ δ'
ἐνθάδε γνωσθὲν αὐτῆς τῆς διανοίας σημεῖόν ἐστιν.

animos vestros quasi præpararem, ut sentiretis et has et longe acerbiores calamitates vobis potius sustinendas esse, quam ad talem de Messena conditionem, qualem illi præscribunt, descendendum.

87. Neque vero ad bellum tanto studio vos hortarer, nisi prospicerem, ex his quæ ego dico pacem firmiorem fore; ex illis vero quæ alii suadent, non modo cum turpitudine conjunctam, sed ne diuturna quidem. Etenim si Helotas in vicinia nostra collocamus et hujus urbis incrementum negligimus, quis non videt nos in perpetuis tumultibus et periculis futuros esse? Qui igitur de securitate disputant, illi non animadvertunt se paucorum dierum pacem bello perpetuo redempturos.

88. Ego vero ex eis audire cupio, pro quibus rebus in acie putent mortem nobis oppetendam: non quum nobis hostes injusta imperant? non quum agrum eripiunt servosque nostros manumittunt? quum in ea terra collocant illos, quam nobis patres reliquerunt? quum nos non tantum opibus nostris spoliant, sed etiam contumeliis afficiunt? (89) Ego vero harum rerum causa non bellum tantum, sed etiam exilia et mortes nobis esse perpetiendas arbitror. Longe enim præstat in ea laude et gloria, qua floremus, potius emori, quam cum omni vivere dedecore, quo afficiemur faciendo quod nobis imperant. Quodsi nihil dissimulandum est, planeque dicendum quod sentio: præstiterit nos deleri, quam ab hostibus derideri. Quos enim tantis ornatos fuisse honoribus animorumque magnitudine tanta constat, eos aut principes esse Græciæ oportet, aut prorsus exstingui, modo incolumi dignitate et glorioso vitæ exitu.

90. Hæc igitur animis versanda sunt abjecta nimia vitæ cupiditate, neque sociorum sententiis temere assentiendum, quorum nos duces antehac fuimus. Quin ipsi potius re considerata non quod illis erit expeditissimum, sed quod et Lacedæmone et egregiis nostris facinoribus dignum erit, eligamus. Nam iisdem de rebus non eodem modo est deliberandum omnibus, sed pro eo, ut suæ quique vitæ fundamenta jecerunt. (91) Epidauriis quidem, et Corinthiis, et Phliasiis nemo vitio verterit, si nulla alia re sollicitentur, nisi de vita quocunque modo conservanda et propaganda: Lacedæmoniis vero non licet quavis ratione saluti consulere, cui nisi dignitas adjuncta est, mors cum laude potius nobis oppetenda est. Nam qui virtutis studio ducuntur, iis nihil æque providendum est atque illud, ne quid turpe admisisse videantur. (92) Civitatum porro ignavia e talibus consiliis non minus elucet quam e periculis bellicis, in quibus eorum quæ fiunt maximam fortuna sibi partem vindicat; quæ vero hic deliberantur, signa

Ὥσθ' ὁμοίως ἡμῖν φιλονικητέον ἐστὶν ὑπὲρ τῶν ἐνθάδε ψηφισθησομένων, ὥσπερ ὑπὲρ τῶν ἐν τοῖς ὅπλοις ἀγώνων.

93. Θαυμάζω δὲ τῶν ὑπὲρ μὲν τῆς ἰδίας δόξης ἀποθνήσκειν ἐθελόντων, ὑπὲρ δὲ τῆς κοινῆς μὴ τὴν αὐτὴν γνώμην ἐχόντων· ὑπὲρ ἧς ὁτιοῦν πάσχειν ἄξιον, ὥστε c μὴ καταισχῦναι τὴν πόλιν, μηδὲ περιιδεῖν τὴν τάξιν λιποῦσαν, εἰς ἣν οἱ πατέρες κατέστησαν αὐτήν. Πολλῶν δὲ πραγμάτων ἡμῖν καὶ δεινῶν ἐφεστώτων, ἃ δεῖ διαφυγεῖν, ἐκεῖνο μάλιστα φυλακτέον, ὅπως μηδὲν ἀνάνδρως φανησόμεθα διαπραττόμενοι μηδὲ συγχωροῦντες τοῖς πολεμίοις παρὰ τὸ δίκαιον. (94) Αἰσχρὸν γὰρ τοὺς ἄρξαι τῶν Ἑλλήνων ἀξιωθέντας ὀφθῆναι τὸ προσταττόμενον ποιοῦντας, καὶ τοσοῦτον ἀπο- d λειφθῆναι τῶν προγόνων, ὥστε τοὺς μὲν ὑπὲρ τοῦ τοῖς ἄλλοις ἐπιτάττειν ἐθέλειν ἀποθνήσκειν, ἡμᾶς δ' ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ κελευόμενον μὴ τολμᾶν διακινδυνεύειν.

95. Ἄξιον δὲ καὶ τὴν Ὀλυμπιάδα καὶ τὰς ἄλλας αἰσχυνθῆναι πανηγύρεις, ἐν αἷς ἕκαστος ἡμῶν ζηλωτότερος ἦν καὶ θαυμαστότερος τῶν ἀθλητῶν τῶν ἐν τοῖς ἀγῶσι τὰς νίκας ἀναιρουμένων. Εἰς ἃς τίς ἂν ἐλθεῖν e τολμήσειεν, ἀντὶ μὲν τοῦ τιμᾶσθαι καταφρονηθησόμενος, ἀντὶ δὲ τοῦ περίστατος ὑπὸ πάντων δι' ἀρετὴν εἶναι περίβλεπτος ὑπὸ τῶν αὐτῶν ἐπὶ κακίᾳ γενησόμενος,
136 (96) ἔτι δὲ πρὸς τούτοις ὀψόμενος μὲν τοὺς οἰκέτας ἀπὸ a τῆς χώρας ἧς οἱ πατέρες ἡμῖν κατέλιπον ἀπαρχὰς καὶ θυσίας μείζους ἡμῶν ποιουμένους, ἀκουσόμενος δ' αὐτῶν τοιαύταις βλασφημίαις χρωμένων, οἵαις περ εἰκὸς τοὺς χαλεπώτερον μὲν τῶν ἄλλων δεδουλευκότας, ἐξ ἴσου δὲ νῦν τὰς συνθήκας τοῖς δεσπόταις πεποιημένους· ἐφ' αἷς ἕκαστος ἡμῶν οὕτως ἂν ἀλγήσειεν, ὡς οὐδεὶς ἂν τῶν ζώντων διὰ λόγου δηλώσειεν. (97) Ὑπὲρ ὧν χρὴ βουλεύεσθαι, καὶ μὴ τότ' ἀγανακτεῖν ὅτ' οὐδὲν b ἡμῖν ἔσται πλέον, ἀλλὰ νῦν σκοπεῖν ὅπως μηδὲν συμβήσεται τοιοῦτον. Ὡς ἔστιν ἓν τῶν αἰσχρῶν πρότερον μὲν μηδὲ τὰς τῶν ἐλευθέρων ἰσηγορίας ἀνέχεσθαι, νῦν δὲ καὶ τὴν τῶν δούλων παρρησίαν ὑπομένοντας φαίνεσθαι. (98) Δόξομεν γὰρ τὸν παρελθόντα χρόνον ἀλαζονεύεσθαι, καὶ τὴν μὲν φύσιν ὅμοιοι τοῖς ἄλλοις εἶναι, ταῖς δ' αὐθαδείαις καὶ ταῖς σεμνότησιν οὐκ ἀληθιναῖς ἀλλὰ πεπλασμέναις κεχρῆσθαι. Μηδὲν οὖν ἐν- c δῶμεν τοιοῦτον τοῖς εἰθισμένοις ἡμᾶς κακολογεῖν, ἀλλὰ τοὺς λόγους αὐτῶν ἐξελέγξαι πειραθῶμεν, ὅμοιοι γενόμενοι τοῖς τῶν προγόνων ἔργοις.

99. Ἀναμνήσθητε δὲ τῶν ἐν Διπαίᾳ πρὸς Ἀρκάδας ἀγωνισαμένων, οὕς φασιν ἐπὶ μιᾶς ἀσπίδος παραταξαμένους τρόπαιον στῆσαι πολλῶν μυριάδων, καὶ τῶν τριακοσίων τῶν ἐν Θυρέαις ἅπαντας Ἀργείους d μάχῃ νικησάντων, καὶ τῶν χιλίων τῶν εἰς Θερμοπύλας ἀπαντησάντων, (100) οἳ πρὸς ἑβδομήκοντα μυριάδας τῶν βαρβάρων συμβαλόντες οὐκ ἔφυγον οὐδ' ἡττήθησαν, ἀλλ' ἐνταῦθα τὸν βίον ἐτελεύτησαν οὗπερ ἐτάχθησαν, τοιούτους αὑτοὺς παρασχόντες ὥστε τοὺς

sunt ipsorum animorum. Quare nihilo minore in æmulatione laudis posita esse debent ea quæ hic decernuntur, quam prælia quæ armis fiunt.

93. Equidem miror esse qui, quum ad privatam sententiam tuendam mori non dubitent, de patria non eodem modo sentiant, pro qua nihil periculi recusandum est, ne quod respublica dedecus suscipiat, aut locum, in quo a parentibus posita sit, deserat. Quum autem multæ res sint multaque pericula, quæ nos urgeant atque effugienda sint, illud maxime cavendum est, ne quid molliter et effeminate facere aut hostibus de jure nostro cedere videamur. (94) Turpe profecto fuerit eos imperata facientes conspici, qui principatum Græciæ tenuerunt, tantumque a virtute majorum degenerasse, ut quum illi, quo aliis imperarent, mortem oppetere non recusarint, nos ne imperata faciamus adire pericula non audere.

95. Pudere nos etiam debet et Olympicæ festivitatis et aliorum celebrium conventuum, in quibus unusquisque nostrûm præclarior et admirabilior est habitus, quam pugiles qui in certaminibus victores fuerunt. Quis enim nostrûm audeat ad eas celebritates accedere, quum potius contemnatur quam honore afficiatur ab omnibus, quum antea ob virtutem suspiceretur, jam ob ignaviam propalam derisui sit; (96) præterea si servos nostros majores offerre primitias et victimas ex ea regione viderit, quam parentes nobis reliquerunt, quam nos, taliaque convicia illos facere audierit, qualia iis in promptu fore credibile est, qui, quum duriorem quam alii servierint servitutem, nunc æquo jure cum dominis pacta fecerint: quibus unus quisque nostrûm ita dolore afficiatur, ut dicendo id mortalium consequi nemo queat. (97) Hisce de rebus nunc consultandum est, et non tum graviter ferendum, quum quiritari nihil proderit: nunc potius advigilare decet, ne querela dignum aliquid eveniat. Est enim una ex rebus turpissimis, quum antehac ne ingenuos quidem exæquari nobiscum passi fuerimus, nunc servorum etiam in loquendo licentiam tolerare. (98) Nam superiorum temporum acta ostentationi nostræ tribuentur, qui quum ingeniis nihil alios excelleremus, pertinacia et fastu, non vera gravitate simus usi. Ne quam igitur materiem præbeamus nostris obtrectatoribus, sed eorum maledicentiam factis refutemus, ut nos majorum vestigiis religiose appareat institisse.

99. Recordamini ut majores nostri ad Dipæam adversus Arcades dimicarint, quos aiunt ita instructa acie, ut phalanx uno viro densior non esset, in fugam multa millia vertisse. Recordamini trecentos illos, qui ad Thyreas Argivos universos superarunt et mille virorum, qui in Thermopylis (100) cum septies centenis barbarorum millibus congressi neque terga verterunt neque victi sunt; sed quo in gradu collocati fuerant, in eo oppetierunt, itaque se gesse-

μετὰ τέχνης ἐγκωμιάζοντας μὴ δύνασθαι τοὺς ἐπαίνους ἐξισῶσαι ταῖς ἐκείνων ἀρεταῖς. (101) Ἁπάντων οὖν τούτων ἀναμνησθέντες ἐρρωμενέστερον ἀντιλαβώμεθα e τοῦ πολέμου, καὶ μὴ περιμένωμεν ὡς ἄλλων τινῶν τὰς παρούσας ἀτυχίας ἰασομένων, ἀλλ' ἐπειδή περ ἐφ' ἡμῶν γεγόνασιν, ἡμεῖς αὐτὰς καὶ διαλῦσαι πειραθῶ- 137 μεν. Χρὴ δὲ τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐν τοῖς τοι- a οὐτοις καιροῖς φαίνεσθαι διαφέροντας· (102) αἱ μὲν γὰρ εὐτυχίαι καὶ τοῖς φαύλοις τῶν ἀνθρώπων τὰς κακίας συγκρύπτουσιν, αἱ δὲ δυσπραξίαι ταχέως καταφανεῖς ποιοῦσιν, ὁποῖοί τινες ἕκαστοι τυγχάνουσιν ὄντες· ἐν αἷς ἡμῖν ἐπιδεικτέον ἐστίν, εἴ τι τῶν ἄλλων ἄμεινον τεθράμμεθα καὶ πεπαιδεύμεθα πρὸς ἀρετήν.

103. Ἔστι δ' οὐδὲν ἀνέλπιστον ἐκ τῶν νῦν παρόντων συμβῆναί τι τῶν δεόντων ἡμῖν. Οἶμαι γὰρ ὑμᾶς οὐκ b ἀγνοεῖν ὅτι πολλαὶ πράξεις ἤδη τοιαῦται γεγόνασιν, ἃς ἐν ἀρχῇ μὲν ἅπαντες ὑπέλαβον εἶναι συμφοράς, καὶ τοῖς παθοῦσι συνηχθέσθησαν, ὕστερον δὲ τὰς αὐτὰς ταύτας ἔγνωσαν μεγίστων ἀγαθῶν αἰτίας γεγενημένας. (104) Καὶ τί δεῖ τὰ πόρρω λέγειν; ἀλλὰ καὶ νῦν τὰς πόλεις τάς γε πρωτευούσας, λέγω δὲ τὴν Ἀθηναίων καὶ Θηβαίων, εὕροιμεν ἂν οὐκ ἐκ τῆς εἰρήνης μεγάλην c ἐπίδοσιν λαβούσας, ἀλλ' ἐξ ὧν ἐν τῷ πολέμῳ προδυστυχήσασαι πάλιν αὐτὰς ἀνέλαβον, ἐκ δὲ τούτων τὴν μὲν ἡγεμόνα τῶν Ἑλλήνων καταστᾶσαν, τὴν δ' ἐν τῷ παρόντι τηλικαύτην γεγενημένην ὅσην οὐδεὶς πώποτ' ἔσεσθαι προσεδόκησεν· αἱ γὰρ ἐπιφάνειαι καὶ λαμπρότητες οὐκ ἐκ τῆς ἡσυχίας ἀλλ' ἐκ τῶν ἀγώνων γίγνεσθαι φιλοῦσιν. (105) Ὧν ἡμᾶς ὀρέγεσθαι προσήκει, μήτε τῶν σωμάτων μήτε τῆς ψυχῆς μήτε τῶν ἄλλων ὧν d ἔχομεν μηδενὸς φειδομένους. Ἢν γὰρ κατορθώσωμεν καὶ τὴν πόλιν εἰς ταὐτὰ καταστῆσαι δυνηθῶμεν, ἐξ ὧνπερ ἐκπέπτωκε, καὶ τῶν προγεγενημένων μᾶλλον θαυμασθησόμεθα, καὶ τοῖς ἐπιγιγνομένοις οὐδεμίαν ὑπερβολὴν ἀνδραγαθίας καταλείψομεν, ἀλλὰ καὶ τοὺς βουλομένους εὐλογεῖν ἡμᾶς ἀπορεῖν ποιήσομεν, ὅ τι τῶν πεπραγμένων ἡμῖν ἄξιον ἐροῦσιν. (106) Δεῖ δὲ μηδὲ e τοῦτο λανθάνειν ὑμᾶς, ὅτι πάντες τῷ συλλόγῳ τούτῳ καὶ τοῖς γνωσθησομένοις ὑφ' ἡμῶν προσέχουσι τὸν νοῦν. Ὥσπερ οὖν ἐν κοινῷ θεάτρῳ τῶν Ἑλλήνων διδοὺς ἔλεγχον ἕκαστος ὑμῶν τῆς αὑτοῦ φύσεως, οὕτω διακείσθω τὴν γνώμην.

138 107. Ἔστι δ' ἁπλοῦν τὸ καλῶς βουλεύσασθαι περὶ a τούτων. Ἢν μὲν γὰρ ἐθέλωμεν ἀποθνήσκειν ὑπὲρ τῶν δικαίων, οὐ μόνον εὐδοκιμήσομεν, ἀλλὰ καὶ τὸν ἐπίλοιπον χρόνον ἀσφαλῶς ἡμῖν ἐξέσται ζῆν· εἰ δὲ φοβησόμεθα τοὺς κινδύνους, εἰς πολλὰς ταραχὰς καταστήσομεν ἡμᾶς αὐτούς. (108) Παρακαλέσαντες οὖν ἀλλήλους ἀποδῶμεν τὰ τροφεῖα τῇ πατρίδι, καὶ μὴ περιίδωμεν ὑβρισθεῖσαν τὴν Λακεδαίμονα καὶ καταφρονηθεῖσαν, μηδὲ ψευσθῆναι ποιήσωμεν τῶν ἐλπίδων τοὺς εὔνους b ἡμῖν ὄντας, μηδὲ περὶ πλείονος φανῶμεν ποιούμενοι τὸ ζῆν τοῦ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμεῖν, (109) ἐνθυμηθέντες ὅτι κάλλιόν ἐστιν ἀντὶ θνητοῦ σώματος ἀθάνατον

runt, ut qui arte res gestas ornare solent, nullas illorum virtutibus laudes æquare possint. (101) Hæc igitur omnia cogitatione complexi bellum fortius administremus, neque exspectemus dum alii malis nostris medicinam adhibeant, sed quando nostra ætate evenere, ea ipsi etiam propulsare studeamus. Præstantes enim viros talibus temporibus excellere decet. (102) Nam secundæ quidem res etiam ignavorum hominum vitia contegunt; adversæ autem, quales quique sint, statim ostendunt. In his igitur demonstrandum est, si quid nos aliis rectius et educati et instructi simus ad virtutem.

103. Neque vero desperandum est ex iis quæ nunc adsunt, fore ut aliqua contingant quæ nobis conveniant. Neque enim ignoratis, opinor, multa jam talia accidisse, quæ initio quidem in malis omnes numerarent, et eorum quibus illa usu venerant, vicem dolerent, quum ea post maximorum bonorum causas fuisse intelligerent. (104) Et quid opus est exemplis longe accersitis? quum etiam nunc principes urbes, Atheniensium inquam et Thebanorum, non pace ad tantam magnitudinem pervenisse, sed ex belli calamitatibus pristinam dignitatem recuperasse videamus: unde altera principatum Græcorum obtinuit, altera tanta in præsentia facta est, quantam eam fore nemo unquam crediderat. Neque enim ex ignavo otio, sed ex magnis periculis magna gloria splendorque nasci solet. (105) Quas quidem res dum appetimus neque corporibus nostris neque vitæ neque ceteris omnibus, quæ habemus, parcendum est. Nam si virtuti nostræ fortuna faverit, remque publicam in pristinum amissæ dignitatis gradum restituemus et veterum admirationem superabimus, neque posteris quidquam, quo gloria nobis fortitudinis antecellant, reliqui faciemus, atque eis etiam qui res gestas nostras laudare voluerint, magnam dubitationem relinquemus, quidnam pro dignitate factorum nostrorum dicant. (106) Sed neque illud ignorare debetis, multos erectos atque alacres exspectare quid in hoc concilio statuatur. Proinde sibi quisque apud animum suum proponat, se quasi in communi Græciæ theatro specimen ingenii animique sui præbiturum.

107. Neque vero multiplex est his de rebus deliberandi ratio. Nam si ob jus nostrum tuendum oppetere mortem voluerimus, non tantum laude et gloria, sed etiam securitate in posterum fruemur: sin pericula metuerimus, multis turbis ipsi nos implicabimus. (108) Itaque alios alii cohortati patriæ nutricationis mercedem persolvamus, nec Lacedæmonem contumeliose tractari et contemni patiamur, neque spem et exspectationem eorum qui nobis bene cupiunt, frustremur, neque vitam pluris quam gloriam apud omnes homines faciamus, (109) quum reputemus præclarius esse mortale et fragile corpus cum immortali gloria commu-

δόξαν ἀντικαταλλάξασθαι, καὶ ψυχῆς ἣν οὐχ ἕξομεν ὀλίγων ἐτῶν πρίασθαι τοιαύτην εὔκλειαν, ἣ πάντα τὸν αἰῶνα τοῖς ἐξ ἡμῶν γενομένοις παραμενεῖ, πολὺ μᾶλλον ἢ μικροῦ χρόνου γλιχομένους μεγάλαις αἰσχύναις ἡμᾶς αὐτοὺς περιβαλεῖν. (110) Ἡγοῦμαι δ' οὕτως ἂν ὑμᾶς c μάλιστα παροξυνθῆναι πρὸς τὸν πόλεμον, εἰ ταῖς διανοίαις ὥσπερ παρεστῶτας ἴδοιτε τοὺς γονέας καὶ τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν, τοὺς μὲν παρακελευομένους μὴ καταισχῦναι τὸ τῆς Σπάρτης ὄνομα, μηδὲ τοὺς νόμους ἐν οἷς ἐπαιδεύθημεν, μηδὲ τὰς μάχας τὰς ἐφ' αὐτῶν γενομένας, τοὺς δ' ἀπαιτοῦντας τὴν χώραν ἣν d οἱ πρόγονοι κατέλιπον, καὶ τὴν δυναστείαν τὴν ἐν τοῖς Ἕλλησι, καὶ τὴν ἡγεμονίαν ἥνπερ αὐτοὶ παρὰ τῶν πατέρων παρελάβομεν· πρὸς οὓς οὐδὲν ἂν ἔχοιμεν εἰπεῖν ὡς οὐκ ἀμφότεροι δίκαια τυγχάνουσι λέγοντες.

111. Οὐκ οἶδ' ὅ τι δεῖ μακρολογεῖν, πλὴν τοσοῦτον, ὡς πλείστων τῇ πόλει ταύτῃ πολέμων καὶ κινδύνων γεγενημένων οὐδεπώποθ' οἱ πολέμιοι τρόπαιον ἡμῶν ἔστησαν ἡγουμένου βασιλέως ἐκ τῆς οἰκίας τῆς ἡμετέρας. Ἔστι δὲ νοῦν ἐχόντων ἀνδρῶν, οἷσπερ ἂν ἐν ταῖς e μάχαις ἡγεμόσι χρώμενοι κατορθῶσι, τούτοις καὶ περὶ τῶν μελλόντων κινδύνων συμβουλεύουσι μᾶλλον ἢ τοῖς ἄλλοις πείθεσθαι.

tare : et vitæ quam non habebimus paucis annis pretio talem laudem multo potius comparare, qua omnis nostra posteritas perfruatur perpetuo, quam exigui temporis cupiditate ductos magno nos involvere dedecore. (110) Arbitror autem vos non alia ratione ad bellum suscipiendum incendi magis et inflammari posse, quam si animis intueamini tanquam astantes parentes liberosque vestros, quorum illi hortentur, ne turpem nomini Spartano aut legibus in quibus educati sumus, aut pugnis sua ætate commissis, notam inuratis; hi autem agrum quem majores reliquerunt, reposcant et potentiam ac principatum Græciæ quem ipsi a patribus acceperimus. Quibus dicere non poterimus vel hos vel illos iniqua postulare.

111. Quid multis opus est? Hoc unum dicam : quum nostra civitas plurimis bellis et periculis sit conflictata, nunquam hostes tropæum de nobis erexerunt duce rege e nostra familia. Prudentium autem virorum est, quibus ducibus in bellis victoria potiuntur, iis etiam, quum bella suscipienda suadent, potius quam aliis obtemperare.

7.

ΑΡΕΟΠΑΓΙΤΙΚΟΣ.

140 Πολλοὺς ὑμῶν οἶμαι θαυμάζειν ἥντινά ποτε γνώμην a ἔχων περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην, ὥσπερ τῆς πόλεως ἐν κινδύνοις οὔσης ἢ σφαλερῶς αὐτῇ τῶν πραγμάτων καθεστηκότων, ἀλλ' οὐ πλείους μὲν τριήρεις ἢ διακοσίας κεκτημένης, εἰρήνην δὲ καὶ τὰ περὶ τὴν χώραν ἀγούσης, καὶ τῶν κατὰ θάλατταν ἀρχούσης, (2) ἔτι δὲ συμμάχους ἐχούσης πολλοὺς μὲν τοὺς ἑτοίμως b ἡμῖν, ἤν τι δέῃ, βοηθήσοντας, πολὺ δὲ πλείους τοὺς τὰς συντάξεις ὑποτελοῦντας καὶ τὸ προσταττόμενον ποιοῦντας· ὧν ὑπαρχόντων ἡμᾶς μὲν ἄν τις φήσειεν εἰκὸς εἶναι θαρρεῖν ὡς πόρρω τῶν κινδύνων ὄντας, τοῖς δ' ἐχθροῖς τοῖς ἡμετέροις προσήκειν δεδιέναι καὶ βουλεύεσθαι περὶ τῆς αὑτῶν σωτηρίας. (3) Ὑμεῖς μὲν οὖν οἶδ' ὅτι τούτῳ χρώμενοι τῷ λογισμῷ καὶ τῆς ἐμῆς προσόδου καταφρονεῖτε, καὶ πᾶσαν ἐλπίζετε τὴν Ἑλλάδα c ταύτῃ τῇ δυνάμει κατασχήσειν· ἐγὼ δὲ δι' αὐτὰ ταῦτα τυγχάνω δεδιώς. Ὁρῶ γὰρ τῶν πόλεων τὰς ἄριστα πράττειν οἰομένας κάκιστα βουλευομένας καὶ τὰς μάλιστα θαρρούσας εἰς πλείστους κινδύνους καθισταμένας. (4) Αἴτιον δὲ τούτων ἐστίν, ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ παραγίγνεται τοῖς ἀνθρώποις, d ἀλλὰ συντέτακται καὶ συνακολουθεῖ τοῖς μὲν πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια καὶ μετὰ ταύτης ἀκολασία, ταῖς δ' ἐνδείαις καὶ ταῖς ταπεινότησι σωφροσύνη a
141 καὶ πολλὴ μετριότης. (5) Ὥστε χαλεπὸν εἶναι διαγνῶναι ποτέραν ἄν τις δέξαιτο τῶν μερίδων τούτων τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν. Ἴδοιμεν γὰρ ἂν ἐκ μὲν τῆς φαυ-

7.

AREOPAGITICUS.

Multos ego vestrûm mirari puto, quidnam in mentem mihi veniat, ut de salute providendum esse moneam, quasi res publica vel bellis urgeatur vel rebus dubiis conflictetur, quum et triremes amplius ducentas possideat et agrum pacatum habeat et maris imperium teneat, (2) et societate munita sit quum multorum, qui, si res postulet, alacriter nos adjuvent, tum longe plurium, qui et tributa pendant et imperata exsequantur. Quæ quum ita sint, nos quidem dixerit aliquis non immerito magnis esse animis, ut qui longe a periculis absimus; hostes autem nostros causas habere timoris ac saluti suæ consulere oportere. (3) Tametsi autem non ignoro, vos ista cogitantes et orationem meam contemnere et sperare his copiis totius Græciæ potituros; mihi tamen hæc ipsa metum incutiunt, quippe qui videam florentissimas (ut sibi persuaserunt) civitates pessimis uti consiliis, et eas quæ securissimæ sunt, plurimis periculis circumveniri. (4) In causa illud est, quod neque secundæ nec adversæ res ullæ mortalibus solæ contingunt, sed ita comparatum est, ut opes et potentiam dementia et cum hac insolentia comitetur; inopiam autem et humilitatem prudentia et multa moderatio. (5) Quare difficile judicatu est, utram istarum partium liberis quispiam suis relinquere post mortem velit. Siquidem ex ea quæ deterior habetur

λοτέρας εἶναι δοκούσης ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπιδιδούσας, ἐκ δὲ τῆς κρείττονος φαινομένης ἐπὶ τὸ χεῖρον εἰθισμένας μεταπίπτειν. (6) Καὶ τούτων ἐνεγκεῖν ἔχω παραδείγματα πλεῖστα μὲν ἐκ τῶν ἰδιωτικῶν πραγμάτων (πυκνοτάτας γὰρ ταῦτα λαμβάνει τὰς μεταβολάς), οὐ μὴν ἀλλὰ μείζω γε καὶ φανερώτερα b τοῖς ἀκούουσιν ἐκ τῶν ἡμῖν καὶ Λακεδαιμονίοις συμβάντων. Ἡμεῖς τε γὰρ ἀναστάτου μὲν τῆς πόλεως ὑπὸ τῶν βαρβάρων γεγενημένης διὰ τὸ δεδιέναι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασιν ἐπρωτεύσαμεν τῶν Ἑλλήνων, ἐπειδὴ δ' ἀνυπέρβλητον ᾠήθημεν τὴν δύναμιν ἔχειν, παρὰ μικρὸν ἤλθομεν ἐξανδραποδισθῆναι· (7) Λακεδαιμόνιοί τε τὸ μὲν παλαιὸν ἐκ φαύλων καὶ ταπεινῶν πόλεων ὁρμηθέντες διὰ τὸ σωφρόνως ζῆν καὶ στρατιω- c τικῶς κατέσχον Πελοπόννησον, μετὰ δὲ ταῦτα μεῖζον φρονήσαντες τοῦ δέοντος, καὶ λαβόντες καὶ τὴν κατὰ γῆν καὶ τὴν κατὰ θάλατταν ἀρχήν, εἰς τοὺς αὐτοὺς κινδύνους κατέστησαν ἡμῖν. (8) Ὅστις οὖν εἰδὼς τοσαύτας μεταβολὰς γεγενημένας καὶ τηλικαύτας δυνάμεις οὕτω ταχέως ἀναιρεθείσας πιστεύει τοῖς παροῦσι, λίαν ἀνόητός ἐστιν, ἄλλως τε καὶ τῆς μὲν πόλεως ἡμῶν πολὺ καταδεέστερον νῦν πραττούσης ἢ κατ' ἐκεῖνον τὸν d χρόνον, τοῦ δὲ μίσους τοῦ τῶν Ἑλλήνων καὶ τῆς ἔχθρας τῆς πρὸς βασιλέα πάλιν ἀνακεκαινισμένης, ἃ τότε κατεπολέμησεν ἡμᾶς.

9. Ἀπορῶ δὲ πότερον ὑπολάβω μηδὲν μέλειν ὑμῖν τῶν κοινῶν πραγμάτων ἢ φροντίζειν μὲν αὐτῶν, εἰς τοῦτο δ' ἀναισθησίας ἥκειν, ὥστε λανθάνειν ὑμᾶς εἰς ὅσην ταραχὴν ἡ πόλις καθέστηκεν. Ἐοίκατε γὰρ οὕτω e διακειμένοις ἀνθρώποις, οἵτινες ἁπάσας μὲν τὰς πόλεις τὰς ἐπὶ Θρᾴκης ἀπολωλεκότες, πλείω δ' ἢ χίλια τάλαντα μάτην εἰς τοὺς ξένους ἀνηλωκότες, (10) πρὸς δὲ τοὺς Ἕλληνας διαβεβλημένοι καὶ τῷ βαρβάρῳ πολέμιοι γεγονότες, ἔτι δὲ τοὺς μὲν Θηβαίων φίλους σῴζειν ἠναγκασμένοι, τοὺς δ' ἡμετέρους αὐτῶν συμμάχους
142 ἀπολωλεκότες, ἐπὶ τοιαύταις πράξεσιν εὐαγγέλια μὲν a δὶς ἤδη τεθύκαμεν, ῥᾳθυμότερον δὲ περὶ αὐτῶν ἐκκλησιάζομεν τῶν πάντα τὰ δέοντα πραττόντων. (11) Καὶ ταῦτ' εἰκότως καὶ ποιοῦμεν καὶ πάσχομεν· οὐδὲν γὰρ οἷόν τε γίγνεσθαι κατὰ τρόπον τοῖς μὴ καλῶς περὶ ὅλης τῆς διοικήσεως βεβουλευμένοις, ἀλλ' ἐὰν καὶ κατορθώσωσι περί τινας τῶν πράξεων ἢ διὰ τύχην ἢ δι' ἀνδρὸς ἀρετήν, b μικρὸν διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς ἀπορίας κατέστησαν. Καὶ ταῦτα γνοίη τις ἂν ἐκ τῶν περὶ ἡμᾶς γεγενημένων· (12) ἁπάσης γὰρ τῆς Ἑλλάδος ὑπὸ τὴν πόλιν ἡμῶν ὑποπεσούσης καὶ μετὰ τὴν Κόνωνος ναυμαχίαν καὶ μετὰ τὴν Τιμοθέου στρατηγίαν, οὐδένα χρόνον τὰς εὐτυχίας κατασχεῖν ἠδυνήθημεν, ἀλλὰ ταχέως διεσκαριφησάμεθα καὶ διελύσαμεν αὐτάς. Πολιτείαν γὰρ τὴν ὀρθῶς ἂν τοῖς πράγμασι χρησαμένην οὔτ' ἔχομεν c οὔτε καλῶς ζητοῦμεν. (13) Καίτοι τὰς εὐπραγίας ἅπαντες ἴσμεν καὶ παραγιγνομένας καὶ παραμενούσας οὐ τοῖς τὰ τείχη κάλλιστα καὶ μέγιστα περιβεβλημένοις, οὐδὲ τοῖς μετὰ πλείστων ἀνθρώπων εἰς τὸν αὐτὸν

res plerumque videmus incrementa sumere felicitatis; et altera vero quæ præstantior putatur, recidere solere in deterius. (6) Quarum rerum plurima exempla suppeditat quum privatæ res, quæ frequentissimis obnoxiæ sunt mutationibus, tum vero majora et auditoribus evidentiora casus nostri et Lacedæmoniorum. Nam et nos eversa urbe a barbaris quia metuebamus et negotiis recte administrandis mentem applicabamus, principes Græcorum evasimus; Quum autem nos potentia esse præditos insuperabili putaremus, non multum abfuit quin sub hasta venderemur: (7) et Lacedæmonii ex obscuris olim et parvis oppidulis progressi vitæ modestia et disciplina militari Peloponnesum subegerunt; post autem fastu et superbia elati, quum terræ marisque imperium adepti essent, eadem quæ nos discrimina subierunt. (8) Quisquis igitur hujusmodi mutationes non ignorat, et quum tantas opes tam subito eversas videat, præsenti statui tamen fidit, nimis incogitans est, præsertim quum nostræ urbis res deteriore loco sint, quam illo tempore, renovatis Græcorum odiis regisque Persarum inimicitiis, quæ tum nos debellarunt.

9. Sum equidem animi dubius, utrum existimem nulla vos affici reipublicæ cura, an, quum eam curetis, non tamen animadvertere, in quantis turbis civitas nostra versetur. Nam vos hominibus hac mente præditis comparandi estis, qui et urbibus Thraciis omnibus amissis, et pecunia ultra mille talentûm in stipendia militum profusa, (10) Græcis suspecti et hostes facti Barbaro, et Thebanorum amicos servare coacti, et sociis nostris privati, ob talia facta bis jam, quasi re bene gesta, supplicationes decrevimus; ac negligentius pro concione deliberamus, quam hi quibus omnia secundissima acciderunt. (11) Neque vero mirum est nos his actionibus casibusque implicari. Nihil enim rite ab ullis perfici potest, nisi de summa republica recte deliberarint. Etsi enim nonnulla prospere processere, seu fortuito seu virtute viri alicujus, paulo post tamen in easdem difficultates incurrunt. Id quod e nostris eventibus cernitur. (12) Quum enim universa Græcia post navale Cononis prælium et Timothei imperium in nostræ civitatis potestatem cecidisset, res secundas diutius retinere non potuimus, sed celeriter destruximus eas et dissipavimus. Rempublicam enim qua quicquam recte administretur, nec habemus nec consequi recte studemus. (13) Atqui scimus omnes felicitatem potissimum et parare et retinere non eos qui maxima et pulcherrima sibi mœnia circumdederunt aut qui maximam hominum turbam in locum eundem conduxerunt, sed eos,

τόπον συνηθροισμένοις, ἀλλὰ τοῖς ἄριστα καὶ σωφρονέστατα τὴν αὐτῶν πόλιν διοικοῦσιν. (14) Ἔστι γὰρ ψυχὴ πόλεως οὐδὲν ἕτερον ἢ πολιτεία, τοσαύτην ἔχουσα δύναμιν ὅσην περ ἐν σώματι φρόνησις. Αὕτη γάρ ἐστιν ἡ βουλευομένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ d διαφυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύγουσα· ταύτῃ καὶ τοὺς νόμους καὶ τοὺς ῥήτορας καὶ τοὺς ἰδιώτας ἀναγκαῖόν ἐστιν ὁμοιοῦσθαι, καὶ πράττειν οὕτως ἑκάστους οἵαν περ ἂν ταύτην ἔχωσιν. (15) Ἧς ἡμεῖς διεφθαρμένης οὐδὲν φροντίζομεν, οὐδὲ σκοποῦμεν ὅπως ἐπανορθώσομεν αὐτήν· ἀλλ' ἐπὶ μὲν τῶν ἐργαστηρίων καθίζοντες κατηγοροῦμεν τῶν καθεστώτων, καὶ λέγομεν ὡς οὐδέποτ' ἐν δημοκρατίᾳ κάκιον ἐπολιτεύθημεν, ἐν δὲ τοῖς πράγμασι καὶ ταῖς διανοίαις αἷς ἔχομεν μᾶλλον e αὐτὴν ἀγαπῶμεν τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης. Ὑπὲρ ἧς ἐγὼ καὶ τοὺς λόγους μέλλω ποιεῖσθαι
143 καὶ τὴν πρόσοδον ἀπεγραψάμην. (16) Εὑρίσκω γὰρ a ταύτην μόνην ἂν γενομένην καὶ τῶν μελλόντων κινδύνων ἀποτροπὴν καὶ τῶν παρόντων κακῶν ἀπαλλαγήν, ἢν ἐθελήσωμεν ἐκείνην τὴν δημοκρατίαν ἀναλαβεῖν, ἣν Σόλων μὲν ὁ δημοτικώτατος γενόμενος ἐνομοθέτησε, Κλεισθένης δ' ὁ τοὺς τυράννους ἐκβαλὼν καὶ τὸν δῆμον καταγαγὼν πάλιν ἐξ ἀρχῆς κατέστησεν· (17) ἧς οὐκ ἂν εὕροιμεν οὔτε δημοτικωτέραν οὔτε τῇ πόλει μᾶλλον συμφέρουσαν. Τεκμήριον δὲ μέγιστον· οἱ μὲν b γὰρ ἐκείνῃ χρώμενοι, πολλὰ καὶ καλὰ διαπραξάμενοι καὶ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντες, παρ' ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἔλαβον, οἱ δὲ τῆς νῦν παρούσης ἐπιθυμήσαντες, ὑπὸ πάντων μισηθέντες καὶ πολλὰ καὶ δεινὰ παθόντες, μικρὸν ἀπέλιπον τοῦ μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν. (18) Καίτοι πῶς χρὴ ταύτην τὴν πολιτείαν ἐπαινεῖν ἢ στέργειν τὴν τοσούτων μὲν κακῶν αἰτίαν πρότερον γενομένην, νῦν c δὲ καθ' ἕκαστον τὸν ἐνιαυτὸν ἐπὶ τὸ χεῖρον φερομένην; πῶς δ' οὐ χρὴ δεδιέναι μὴ τοιαύτης ἐπιδόσεως γιγνομένης τελευτῶντες εἰς τραχύτερα πράγματα τῶν τότε γενομένων ἐξοκείλωμεν;

19. Ἵνα δὲ μὴ συλλήβδην μόνον ἀκηκοότες, ἀλλ' ἀκριβῶς εἰδότες ποιῆσθε καὶ τὴν αἵρεσιν καὶ τὴν κρίσιν αὐτῶν, ὑμέτερον μὲν ἔργον ἐστὶ παρασχεῖν ὑμᾶς αὐτοὺς προσέχοντας τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις, d ἐγὼ δ' ὡς ἂν δύνωμαι συντομώτατα περὶ ἀμφοτέρων τούτων πειράσομαι διελθεῖν πρὸς ὑμᾶς.

20. Οἱ γὰρ κατ' ἐκεῖνον τὸν χρόνον τὴν πόλιν διοικοῦντες κατεστήσαντο πολιτείαν οὐκ ὀνόματι μὲν τῷ κοινοτάτῳ καὶ πρᾳοτάτῳ προσαγορευομένην, ἐπὶ δὲ τῶν πράξεων οὐ τοιαύτην τοῖς ἐντυγχάνουσι φαινομένην, οὐδ' ἣ τοῦτον τὸν τρόπον ἐπαίδευε τοὺς πολίτας ὥσθ' ἡγεῖσθαι τὴν μὲν ἀκολασίαν δημοκρατίαν, τὴν δὲ παρανομίαν ἐλευθερίαν, τὴν δὲ παρρησίαν ἰσονομίαν, e τὴν δ' ἐξουσίαν τοῦ ταῦτα ποιεῖν εὐδαιμονίαν, ἀλλὰ μισοῦσα καὶ κολάζουσα τοὺς τοιούτους, βελτίους καὶ σωφρονεστέρους ἅπαντας τοὺς πολίτας ἐποίησεν. (21) Μέγιστον δ' αὐτοῖς συνεβάλετο πρὸς τὸ καλῶς οἰκεῖν

qui suam urbem optime ac prudentissime gubernant. (14) Nec enim alia civitatis anima est, quam forma reipublicæ, quæ vim eandem habet, quam in corpore prudentia. Siquidem hæc est quæ de rebus omnibus deliberet, quæ et secundas res tueatur et calamitates evitet. Ad hanc et leges et oratores et homines privatos semet accommodare et ea quoque fortuna uti necesse est, qualem habuerint civitatem. (15) Quæ quum depravata sit, nihil nos hoc movet, neque de ea corrigenda cogitamus, sed in judiciis sedentes statum hunc accusamus, dictitantes, ex quo penes populum summa imperii fuisset, nunquam rempublicam æque fuisse perturbatam: sed si res ipsa nostrique animi spectentur, magis ea delectamur, quam illa quæ nobis a majoribus fuit relicta. De qua ego verba faciam, proptereaque me huc accessurum denunciavi. (16) Nam hanc unam rationem invenio qua et imminentia pericula declinentur et mala urgentia removeantur, si eam democratiam revocare voluerimus, quam et Solon, quo nemo fuit populi studiosior, legibus suis constituit, et Clisthenes tyrannis ejectis populoque in urbem reducto in integrum restituit. (17) Qua nec populariorem nec reipublicæ utiliorem reperiemus. Cujus illud argumentum est maximum, quod qui ea usi sunt, rebus multis præclare gestis et apud omnes maximam adepti gloriam, imperium a Græcis ultro delatum acceperunt: qui autem ei quæ nunc obtinet student, omnibus invisi et acerba multa perpessi extrema discrimina vix evitarunt. (18) Quis vero eam politiam laudet aut amplectatur, quæ et antehac tot malis causam præbuit, et nunc quotannis præceps fertur in deterius? An non metuendum est ne tantis calamitatum incrementis postremo in acerbiores clades, quam olim, incidamus?

19. Ne vero summatim tantum hæc audieritis, sed singulis plane cognitis et rectius his de rebus judicetis et potiora eligatis: vestri quidem officii est me dicentem attente audire; ego vero, quam potero brevissime, conabor de his utrisque apud vos disserere.

20. Nam qui civitatem illo tempore gubernabant, rempublicam instituerunt non quæ nomine quidem humanissimo et lenissimo appellaretur, re ipsa vero experientibus alia videretur, neque sic cives erudierunt, ut in petulantia democratiam, in legum neglectu libertatem, in confidenti oratione æqualitatem et in hac licentia felicitatem esse positam existimarent, sed quum tales odissent et punirent, cives universos meliores et modestiores effecerunt. (21) Plurimum autem ad statum felicem civitatis illud eis con-

144 τὴν πόλιν, ὅτι δυοῖν ἰσοτήτοιν νομιζομέναιν εἶναι, καὶ a τῆς μὲν ταὐτὸν ἅπασιν ἀπονεμούσης, τῆς δὲ τὸ προσῆκον ἑκάστοις, οὐκ ἠγνόουν τὴν χρησιμωτέραν, ἀλλὰ τὴν μὲν τῶν αὐτῶν ἀξιοῦσαν τοὺς χρηστοὺς καὶ τοὺς πονηροὺς ἀπεδοκίμαζον ὡς οὐ δικαίαν οὖσαν, (22) τὴν δὲ κατὰ τὴν ἀξίαν ἕκαστον τιμῶσαν καὶ κολάζουσαν προῃροῦντο, καὶ διὰ ταύτης ᾤκουν τὴν πόλιν, οὐκ ἐξ ἁπάντων τὰς ἀρχὰς κληροῦντες, ἀλλὰ τοὺς βελτίστους καὶ τοὺς ἱκανωτάτους ἐφ' ἕκαστον τῶν ἔργων προκρίνοντες. b Τοιούτους γὰρ ἤλπιζον ἔσεσθαι καὶ τοὺς ἄλλους, οἷοίπερ ἂν ὦσιν οἱ τῶν πραγμάτων ἐπιστατοῦντες. (23) Ἔπειτα καὶ δημοτικωτέραν ἐνόμιζον εἶναι ταύτην τὴν κατάστασιν ἢ τὴν διὰ τοῦ λαγχάνειν γιγνομένην· ἐν μὲν γὰρ τῇ κληρώσει τὴν τύχην βραβεύσειν, καὶ πολλάκις λήψεσθαι τὰς ἀρχὰς τοὺς ὀλιγαρχίας ἐπιθυμοῦντας, ἐν δὲ τῷ προκρίνειν τοὺς ἐπιεικεστάτους τὸν δῆμον ἔσεσθαι κύριον ἑλέσθαι τοὺς ἀγαπῶντας μάλιστα c τὴν καθεστῶσαν πολιτείαν. (24) Αἴτιον δ' ἦν τοῦ ταῦτα τοῖς πολλοῖς ἀρέσκειν καὶ μὴ περιμαχήτους εἶναι τὰς ἀρχάς, ὅτι μεμαθηκότες ἦσαν ἐργάζεσθαι καὶ φείδεσθαι, καὶ μὴ τῶν μὲν οἰκείων ἀμελεῖν, τοῖς δ' ἀλλοτρίοις ἐπιβουλεύειν, μηδ' ἐκ τῶν δημοσίων τὰ σφέτερ' αὐτῶν διοικεῖν, ἀλλ' ἐκ τῶν ἑκάστοις ὑπαρχόντων, εἴ ποτε δεήσειε, τοῖς κοινοῖς ἐπαρκεῖν, μηδ' ἀκριβέστερον εἰδέναι τὰς ἐκ τῶν ἀρχείων προσόδους ἢ τὰς ἐκ τῶν d ἰδίων γιγνομένας αὑτοῖς. (25) Οὕτω δ' ἀπείχοντο σφόδρα τῶν τῆς πόλεως, ὥστε χαλεπώτερον ἦν ἐν ἐκείνοις τοῖς χρόνοις εὑρεῖν τοὺς βουλομένους ἄρχειν ἢ νῦν τοὺς μηδὲν δεομένους· οὐ γὰρ ἐμπορίαν ἀλλὰ λειτουργίαν ἐνόμιζον εἶναι τὴν τῶν κοινῶν ἐπιμέλειαν, οὐδ' ἀπὸ τῆς πρώτης ἡμέρας ἐσκόπουν ἐλθόντες εἴ τι λῆμμα παραλελοίπασιν οἱ πρότερον ἄρχοντες, ἀλλὰ πολὺ μᾶλλον εἴ τινος πράγματος κατημελήκασι τῶν τέλος e ἔχειν κατεπειγόντων. (26) Ὡς δὲ συντόμως εἰπεῖν, ἐκεῖνοι διεγνωκότες ἦσαν ὅτι δεῖ τὸν μὲν δῆμον ὥσπερ τύραννον καθιστάναι τὰς ἀρχὰς καὶ κολάζειν τοὺς ἐξαμαρτάνοντας καὶ κρίνειν περὶ τῶν ἀμφισβητουμένων, 145 τοὺς δὲ σχολὴν ἄγειν δυναμένους καὶ βίον ἱκανὸν κε- a κτημένους ἐπιμελεῖσθαι τῶν κοινῶν ὥσπερ οἰκέτας, (27) καὶ δικαίους μὲν γενομένους ἐπαινεῖσθαι καὶ στέργειν ταύτῃ τῇ τιμῇ, κακῶς δὲ διοικήσαντας μηδεμιᾶς συγγνώμης τυγχάνειν, ἀλλὰ ταῖς μεγίσταις ζημίαις περιπίπτειν. Καίτοι πῶς ἄν τις εὕροι ταύτης βεβαιοτέραν ἢ δικαιοτέραν δημοκρατίαν, τῆς τοὺς μὲν δυνατωτάτους ἐπὶ τὰς πράξεις καθιστάσης, αὐτῶν δὲ τούτων τὸν δῆμον κύριον ποιούσης; b

28. Τὸ μὲν οὖν σύνταγμα τῆς πολιτείας τοιοῦτον ἦν αὐτοῖς· ῥᾴδιον δ' ἐκ τούτων καταμαθεῖν ὡς καὶ τὰ καθ' ἡμέραν ἑκάστην ὀρθῶς καὶ νομίμως πράττοντες διετέλεσαν. Ἀνάγκη γὰρ τοῖς περὶ ὅλων τῶν πραγμάτων καλὰς τὰς ὑποθέσεις πεποιημένοις καὶ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἐκείνοις.

29. Καὶ πρῶτον μὲν τὰ περὶ τοὺς θεούς (ἐντεῦθεν γὰρ c ἄρχεσθαι δίκαιον) οὐκ ἀνωμάλως οὐδ' ἀτάκτως οὔτ'

ferebat, quod, quum duo æqualitatis putentur esse genera, quorum alterum idem omnibus, alterum singulis pro dignitate tribuit: non ignorarunt, utra esset utilior, sed hac æqualitate, quæ nullum discrimen inter bonos et improbos facit, ut iniqua repudiata, (22) illam quæ pro suo quemque merito et honorat et punit, amplexi et in gerenda republica secuti, non promiscue omnes ad societatem magistratuum admiserunt, sed optimum quemque et singulis muneribus obeundis aptissimum adhibito judicio prætulerunt. Nam ad eorum exemplum, penes quos summa rerum esset, etiam ceteros se comparaturos sperabant. (23) Deinde populariorem putarunt hanc rationem ea quæ sorte magistratus creat. Nam sortitionis gubernatrix fortuna futura est et sæpe magistratus contingent paucorum potentiæ studiosis. Quum autem integerrimi quique delectu habito potiores habeantur, in populi potestate futurum est eos eligere, qui præsentem statum maxime conservatum volent. (24) Ut autem hæc multitudini placerent, nullæque de magistratibus contentiones orirentur, in causa illud erat, quod laboribus et frugalitati assueverant, neque sua negligebant, alienis inhiabant, nec e publico rem privatam stabiliebant, sed de suo quisque, si forte res postulabat, rempublicam juvabat, nec melius sciebant quos e curia quam quos e suo reditus haberent. (25) Quin etiam a vectigalibus civitatis tantopere abstinebant, ut illis temporibus difficilius esset invenire qui rempublicam capessere vellent, quam nunc qui ejus administratione carere possint. Nec enim reipublicæ curam negotiationem, sed munus existimabant, nec a primo die, quum adepti essent honorem, computabant an priores magistratus sordidi aliquid lucelli reliquissent, sed multo magis, an aliquid neglexissent, quod primo quoque tempore conficiendum esset. (26) Denique ut paucis absolvam, ita statuebant, oportere populum, tanquam dominum, constituere magistratus et punire delinquentes et judicare de controversiis; iis autem qui otium agere possent, quique haberent unde viverent, ita curandam esse rempublicam, ut qui ejus servi essent. (27) Qui si munus suum recte administrassent, laudandos esse eoque honore contentos esse debere: sin male rem gessissent, nullam eis veniam tribuendam, sed mulctas maximas irrogandas. Enimvero quænam aut firmior aut justior democratia invenietur ea, quæ potentissimos quosque summæ rerum præficit et eorum ipsorum populum dominum constituit?

28. Ac respublica eorum hoc modo fuit ordinata: unde facile intelligitur, eos etiam in quotidianæ vitæ ratione honestatis ac legum perpetuo fuisse studiosos. Aliter enim fieri non potest, quin qui summæ rerum fundamenta rite jecerunt, etiam singulas partes eodem modo exstruant.

29. Ac primum quod ad deos immortales attinet (hinc enim jure ordiendum est), non inæqualiter, non perturbate

ἐθεράπευον οὔτ' ὠργίαζον· οὐδ' ὁπότε μὲν δόξειεν αὐτοῖς, τριακοσίους βοῦς ἔπεμπον, ὁπότε δὲ τύχοιεν, τὰς πατρίους θυσίας ἐξέλειπον· οὐδὲ τὰς μὲν ἐπιθέτους ἑορτάς, αἷς ἑστίασίς τις προσείη, μεγαλοπρεπῶς ἦγον, ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν ἀπὸ μισθωμάτων ἔθυον· (30) ἀλλ' ἐκεῖνο μόνον ἐτήρουν, ὅπως μηδὲν μήτε τῶν πατρίων καταλύσουσι μήτ' ἔξω τῶν νομιζομένων προσ- d θήσουσιν· οὐ γὰρ ἐν ταῖς πολυτελείαις ἐνόμιζον εἶναι τὴν εὐσέβειαν, ἀλλ' ἐν τῷ μηδὲν κινεῖν ὧν αὐτοῖς οἱ πρόγονοι παρέδοσαν. Καὶ γάρ τοι καὶ τὰ παρὰ τῶν θεῶν οὐκ ἐμπλήκτως οὐδὲ ταραχωδῶς αὐτοῖς συνέβαινεν, ἀλλ' εὐκαίρως καὶ πρὸς τὴν ἐργασίαν τῆς χώρας καὶ πρὸς τὴν συγκομιδὴν τῶν καρπῶν.

31. Παραπλησίως δὲ τοῖς εἰρημένοις καὶ τὰ πρὸς σφᾶς αὐτοὺς διῴκουν. Οὐ γὰρ μόνον περὶ τῶν κοινῶν e ὡμονόουν, ἀλλὰ καὶ περὶ τὸν ἴδιον βίον τοσαύτην ἐποιοῦντο πρόνοιαν ἀλλήλων, ὅσην περ χρὴ τοὺς εὖ 146 φρονοῦντας καὶ πατρίδος κοινωνοῦντας. Οἵ τε γὰρ a πενέστεροι τῶν πολιτῶν τοσοῦτον ἀπεῖχον τοῦ φθονεῖν τοῖς πλείω κεκτημένοις, (32) ὥσθ' ὁμοίως ἐκήδοντο τῶν οἴκων τῶν μεγάλων ὥσπερ τῶν σφετέρων αὐτῶν, ἡγούμενοι τὴν ἐκείνων εὐδαιμονίαν αὑτοῖς εὐπορίαν ὑπάρχειν· οἵ τε τὰς οὐσίας ἔχοντες οὐχ ὅπως ὑπερεώρων τοὺς καταδεέστερον πράττοντας, ἀλλ' ὑπολαμβάνοντες αἰσχύνην αὑτοῖς εἶναι τὴν τῶν πολιτῶν ἀπορίαν ἐπήμυνον ταῖς ἐνδείαις, τοῖς μὲν γεωργίας ἐπὶ μετρίαις b μισθώσεσι παραδιδόντες, τοὺς δὲ κατ' ἐμπορίαν ἐκπέμποντες, τοῖς δ' εἰς τὰς ἄλλας ἐργασίας ἀφορμὴν παρέχοντες. (33) Οὐ γὰρ ἐδεδίεσαν μὴ δυοῖν θάτερον πάθοιεν, ἢ πάντων στερηθεῖεν, ἢ πολλὰ πράγματα σχόντες μέρος τι κομίσαιντο τῶν προεθέντων· ἀλλ' ὁμοίως ἐθάρρουν περὶ τῶν ἔξω δεδομένων ὥσπερ περὶ τῶν ἔνδον κειμένων. Ἑώρων γὰρ τοὺς περὶ τῶν συμβολαίων κρίνοντας οὐ ταῖς ἐπιεικείαις χρωμένους, ἀλλὰ τοῖς νόμοις πειθομένους, (34) οὐδ' ἐν τοῖς τῶν ἄλλων c ἀγῶσιν αὑτοῖς ἀδικεῖν ἐξουσίαν παρασκευάζοντας, ἀλλὰ μᾶλλον ὀργιζομένους τοῖς ἀποστεροῦσιν αὐτῶν τῶν ἀδικουμένων, καὶ νομίζοντας διὰ τοὺς ἄπιστα τὰ συμβόλαια ποιοῦντας μείζω βλάπτεσθαι τοὺς πένητας τῶν πολλὰ κεκτημένων· τοὺς μὲν γάρ, ἢν παύσωνται προϊέμενοι, μικρῶν προσόδων ἀποστερηθήσεσθαι, τοὺς δ', ἢν ἀπορήσωσι τῶν ἐπαρκούντων, εἰς τὴν ἐσχάτην ἔνδειαν καταστήσεσθαι. (35) Καὶ γάρ τοι διὰ τὴν d γνώμην ταύτην οὐδεὶς οὔτ' ἀπεκρύπτετο τὴν οὐσίαν οὔτ' ὤκνει συμβάλλειν, ἀλλ' ἥδιον ἑώρων τοὺς δανειζομένους ἢ τοὺς ἀποδιδόντας. Ἀμφότερα γὰρ αὐτοῖς συνέβαινεν, ἅπερ ἂν βουληθεῖεν ἄνθρωποι νοῦν ἔχοντες· ἅμα γὰρ τούς τε πολίτας ὠφέλουν καὶ τὰ σφέτερ' αὐτῶν ἐνεργὰ καθίστασαν. Κεφάλαιον δὲ τοῦ καλῶς ἀλλήλοις ὁμιλεῖν· αἱ μὲν γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν, e οἷσπερ κατὰ τὸ δίκαιον ὑπῆρχον, αἱ δὲ χρήσεις κοιναὶ πᾶσι τοῖς δεομένοις τῶν πολιτῶν.

36. Ἴσως ἂν οὖν τις ἐπιτιμήσειε τοῖς εἰρημένοις, ὅτι τὰς μὲν πράξεις ἐπαινῶ τὰς ἐν ἐκείνοις τοῖς χρόνοις

vel ipsos colebant vel eorum festa celebrabant, nec, si quando visum eis esset, taurorum trecentorum pompam instituebant, alias levi quapiam de causa patria sacra omittebant, neque peregrinas ferias, quibus epulæ adhibentur, splendide agitabant, in religiosissimis autem sacris locatione sumptuum facta sacrificabant: (30) sed illud accurate observabant, ne a patribus acceptum quicquam vel abrogarent vel ultra consueta adjicerent. Nec enim magnitudine sumptuum religionem metiebantur, sed eorum rituum accurata observatione, quos eis majores tradidissent. Quapropter etiam quæ a diis dantur, iis non temere neque sine ordine contigerunt, sed suo tempore, ut et ad agros colendos et ad fruges percipiendas accommodata essent.

31. Consimilem ad modum etiam inter sese agebant. Nec enim de republica tantum consentiebant: sed in privata quoque vita sic alios alii curabant, ut cordatos viros decet et communitate patriæ devinctos. Nam et tenuiores cives adeo non invidebant ditioribus, (32) ut æque solliciti essent de magnis familiis ac de suis, existimantes illorum divitias suas esse copias, et locupletes tantum aberat ut despicerent eos qui re minus lauta essent, ut civium inopiam dedecori sibi esse putantes, illorum necessitatibus subvenirent, aliis agros colendos mediocri pecunia locando, alios ad negotiationem ablegando, aliis sortem ad alios quæstus suppeditando. (33) Nec enim metuebant ne alterutrum sibi usu veniret, ut vel totius summæ jacturam facerent vel magnis molestiis partem aliquam datæ pecuniæ recuperarent: sed non minus tutam putabant pecuniam aliis mutuo datam, quam domi repositam. Videbant enim eos qui de rebus privatis judicarent non abuti lenitate, sed legibus obtemperare, (34) neque sibi in aliorum periculis delinquendi securitatem præparare, sed magis irasci fraudantibus, quam eos ipsos quibus fiebat injuria. Nam qui fidem contractuum violarent, eos pauperibus censebant plus nocere quam opulentis: hos enim, si a negotiis sese abstinerent, parvis reditibus spoliatum iri; illos, si deessent qui opem ferrent, extrema inopia laboraturos. (35) Itaque quum his animis essent, neque opes suas celabat quisquam, neque contrahere cum aliis recusabat; imo libentius videbant eos qui mutuum petebant, quam qui reddebant. Utraque enim illis usu veniebant, quæ prudentes homines expetenda censeant, ut simul et civibus prodessent et sua re familiari quæstum facerent; et quod summum est et ad civilem consuetudinem aptissimum, ut et possessiones in tuto essent iis qui eas jure tenebant, et usus earum ex æquo communis civibus omnibus qui indigerent.

36. Fortasse autem erunt qui hæc quæ diximus reprehendant, quod actiones illorum temporum laudem, causas

147 γεγενημένας, τὰς δ' αἰτίας οὐ φράζω, δι' ἃς οὕτω κα- a λῶς καὶ τὰ πρὸς σφᾶς αὐτοὺς εἶχον καὶ τὴν πόλιν διῴκουν. Ἐγὼ δ' οἶμαι μὲν εἰρηκέναι τι καὶ τοιοῦτον, οὐ μὴν ἀλλ' ἔτι πλείω καὶ σαφέστερον πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

37. Ἐκεῖνοι γὰρ οὐκ ἐν μὲν ταῖς παιδείαις πολλοὺς τοὺς ἐπιστατοῦντας εἶχον, ἐπειδὴ δ' εἰς ἄνδρας δοκιμασθεῖεν, ἐξῆν αὐτοῖς ποιεῖν ὅ τι βουληθεῖεν, ἀλλ' ἐν αὐταῖς ταῖς ἀκμαῖς πλείονος ἐπιμελείας ἐτύγχανον ἢ παῖδες b ὄντες. Οὕτω γὰρ ἡμῶν οἱ πρόγονοι σφόδρα περὶ τὴν σωφροσύνην ἐσπούδαζον, ὥστε τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐπέστησαν ἐπιμελεῖσθαι τῆς εὐκοσμίας, ἧς οὐχ οἷόν τ' ἦν μετασχεῖν πλὴν τοῖς καλῶς γεγονόσι καὶ πολλὴν ἀρετὴν ἐν τῷ βίῳ καὶ σωφροσύνην ἐνδεδειγμένοις, ὥστ' εἰκότως αὐτὴν διενεγκεῖν τῶν ἐν τοῖς Ἕλλησι συνεδρίων. (38) Σημείοις δ' ἄν τις χρήσαιτο περὶ c τῶν τότε καθεστώτων καὶ τοῖς ἐν τῷ παρόντι γιγνομένοις· ἔτι γὰρ καὶ νῦν ἁπάντων τῶν περὶ τὴν αἵρεσιν καὶ τὴν δοκιμασίαν κατημελημένων ἴδοιμεν ἂν τοὺς ἐν τοῖς ἄλλοις πράγμασιν οὐκ ἀνεκτοὺς ὄντας, ἐπειδὰν εἰς Ἄρειον πάγον ἀναβῶσιν, ὀκνοῦντας τῇ φύσει χρῆσθαι καὶ μᾶλλον τοῖς ἐκεῖ νομίμοις ἢ ταῖς αὑτῶν κακίαις ἐμμένοντας. Τοσοῦτον φόβον ἐκεῖνοι τοῖς πονηροῖς ἐνειργάσαντο, καὶ τοιοῦτον μνημεῖον ἐν τῷ τόπῳ τῆς αὑτῶν ἀρετῆς καὶ σωφροσύνης ἐγκατέλιπον. d

39. Τὴν δὴ τοιαύτην, ὥσπερ εἶπον, κυρίαν ἐποίησαν ἐπιμελεῖσθαι τῆς εὐταξίας, ἣ τοὺς μὲν οἰομένους ἐνταῦθα βελτίστους ἄνδρας γίγνεσθαι, παρ' οἷς οἱ νόμοι μετὰ πλείστης ἀκριβείας κείμενοι τυγχάνουσιν, ἀγνοεῖν ἐνόμιζεν· οὐδὲν γὰρ ἂν κωλύειν ὁμοίους ἅπαντας εἶναι τοὺς Ἕλληνας ἕνεκά γε τοῦ ῥᾴδιον εἶναι τὰ γράμματα λαβεῖν παρ' ἀλλήλων. (40) Ἀλλὰ γὰρ οὐκ ἐκ τούτων e τὴν ἐπίδοσιν εἶναι τῆς ἀρετῆς, ἀλλ' ἐκ τῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων· τοὺς γὰρ πολλοὺς ὁμοίους τοῖς ἤθεσιν ἀποβαίνειν, ἐν οἷς ἂν ἕκαστοι παιδευθῶσιν. Ἐπεὶ τά γε πλήθη καὶ τὰς ἀκριβείας τῶν νόμων σημεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν πόλιν 148 ταύτην· ἐμφράγματα γὰρ αὐτοὺς ποιουμένους τῶν a ἁμαρτημάτων πολλοὺς τίθεσθαι τοὺς νόμους ἀναγκάζεσθαι. (41) Δεῖν δὲ τοὺς ὀρθῶς πολιτευομένους οὐ τὰς στοὰς ἐμπιπλάναι γραμμάτων, ἀλλ' ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον· οὐ γὰρ τοῖς ψηφίσμασιν ἀλλὰ τοῖς ἤθεσι καλῶς οἰκεῖσθαι τὰς πόλεις, καὶ τοὺς μὲν κακῶς τεθραμμένους καὶ τοὺς ἀκριβῶς τῶν νόμων ἀναγεγραμμένους τολμήσειν παραβαίνειν, τοὺς δὲ καλῶς πεπαιδευμένους καὶ τοῖς ἁπλῶς κειμένοις ἐθελήσειν b ἐμμένειν. (42) Ταῦτα διανοηθέντες οὐ τοῦτο πρῶτον ἐσκόπουν, δι' ὧν κολάσουσι τοὺς ἀκοσμοῦντας, ἀλλ' ἐξ ὧν παρασκευάσουσι μηδὲν αὐτοὺς ἄξιον ζημίας ἐξαμαρτάνειν· ἡγοῦντο γὰρ τοῦτο μὲν αὑτῶν ἔργον εἶναι, τὸ δὲ περὶ τὰς τιμωρίας σπουδάζειν τοῖς ἐχθροῖς προσήκειν.

43. Ἁπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν, μάλιστα δὲ τῶν νεωτέρων. Ἑώρων γὰρ τοὺς τηλικού-

autem, propter quas et inter sese tam pacate vixerint et urbem tam præclare gubernarint, non explicem. Ego vero etsi nonnihil ejus quoque generis me dixisse puto, plura tamen et dilucidius his de rebus disserere conabor.

37. Nam illi quidem non, ut puerilis institutionis magnam curam suscipiebant, sic adultis omnem quidvis agendi licentiam dabant; sed qui jam integra ætate erant, diligentius observabantur quam in pueritia. Adeo enim majores nostri modestiæ diligenter rationem habuerunt, ut senatum Areopagiticum censuræ morum præfecerint, in quem ordinem admitti non poterant nisi et honesto loco nati et virtute ac vitæ integritate spectatissimi. Quare non mirum est eum senatum totius Græciæ conciliis antecelluisse. (38) Quæ autem olim ejus loci ratio fuerit, ex his quæ etiam hodie fiunt, intelligitur, quum nunc etiam, quamquam omnis diligentia in eligendo explorandoque omittitur, videamus eos qui ceteris in rebus intolerabiles sint, ubi in Areopagum ascenderint, non audere naturæ suæ indulgere, sed illius institutis potius uti quam pravitati suæ immorari. Tantum illi metum improbis injecerunt ac tam illustre suæ virtutis et prudentiæ monumentum in eo loco reliquerunt.

39. Hunc igitur talem, ut dixi, senatum censuræ morum præfecerunt qui eos, qui ibi præstantissimos viros fore putarent, ubi leges exquisitissimæ haberentur, prorsus a vero aberrare judicabat; nihil enim impedire quominus omnes Græci æquales essent, quum proclive sit leges alios ab aliis exscriptas mutuari. (40) Verum non has virtutis afferre incrementa, sed quotidianæ vitæ consuetudinem. Nam plerosque iis moribus similes evadere quibus singuli educati fuerint; multitudinem autem et accuratiorem legum constitutionem signum esse mali status reipublicæ. Nam dum delicta quasi aggeribus objectis coercere conentur, necessario cumulari leges. (41) Decere autem prudentes magistratus non porticus implere legibus, sed efficere ut cives animis insitum habeant justitiæ studium. Non enim senatusconsulta aut plebiscita, sed præclara instituta felicem efficere civitatem. Nam homines male institutos leges etiam exquisitissimas negligere audere; qui autem recte educati sint, vel simplicissimis legibus ac mori majorum velle obtemperare. (42) Hæc illi cogitantes non hoc primum spectabant, quibus modis insolentiam punirent; sed qua ratione cives adduci possent, ut ne quid pœna dignum admitterent. Hoc enim ad se pertinere existimabant; suppliciis infligendis invigilare, hostium esse.

43. Curabant igitur quum omnes cives, tum vero adolescentes in primis. Videbant enim eam ætatem turbulen-

τους ταραχωδέστατα διακειμένους καὶ πλείστων γέ- c
μοντας ἐπιθυμιῶν, καὶ τὰς ψυχὰς αὐτῶν μάλιστα δα-
μησθῆναι δεομένας ἐπιμελείαις καλῶν ἐπιτηδευμάτων
καὶ πόνοις ἡδονὰς ἔχουσιν· ἐν μόνοις γὰρ ἂν τούτοις
ἐμμεῖναι τοὺς ἐλευθέρως τεθραμμένους καὶ μεγαλοφρο-
νεῖν εἰθισμένους. (44) Ἅπαντας μὲν οὖν ἐπὶ τὰς
αὐτὰς ἄγειν διατριβὰς οὐχ οἷόντ' ἦν, ἀνωμάλως τὰ
περὶ τὸν βίον ἔχοντας· ὡς δὲ πρὸς τὴν οὐσίαν ἥρμοττεν, d
οὕτως ἑκάστοις προσέταττον. Τοὺς μὲν γὰρ ὑποδεέ-
στερον πράττοντας ἐπὶ τὰς γεωργίας καὶ τὰς ἐμπορίας
ἔτρεπον, εἰδότες τὰς ἀπορίας μὲν διὰ τὰς ἀργίας γι-
γνομένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας· (45)
ἀναιροῦντες οὖν τὴν ἀρχὴν τῶν κακῶν ἀπαλλάξειν
ᾤοντο καὶ τῶν ἄλλων ἁμαρτημάτων τῶν μετ' ἐκείνην
γιγνομένων. Τοὺς δὲ βίον ἱκανὸν κεκτημένους περὶ
τὴν ἱππικὴν καὶ τὰ γυμνάσια καὶ τὰ κυνηγέσια καὶ τὴν e
φιλοσοφίαν ἠνάγκασαν διατρίβειν, ὁρῶντες ἐκ τούτων
τοὺς μὲν διαφέροντας γιγνομένους, τοὺς δὲ τῶν πλεί-
στων κακῶν ἀπεχομένους. (46) Καὶ ταῦτα νομοθε-
τήσαντες οὐδὲ τὸν λοιπὸν χρόνον ὠλιγώρουν, ἀλλὰ διε-
149λόμενοι τὴν μὲν πόλιν κατὰ κώμας, τὴν δὲ χώραν κατὰ a
δήμους, ἐθεώρουν τὸν βίον τὸν ἑκάστου, καὶ τοὺς ἀκο-
σμοῦντας ἀνῆγον εἰς τὴν βουλήν. Ἡ δὲ τοὺς μὲν
ἐνουθέτει, τοῖς δ' ἠπείλει, τοὺς δ' ὡς προσῆκεν ἐκό-
λαζεν. Ἠπίσταντο γὰρ ὅτι δύο τρόποι τυγχάνουσιν
ὄντες οἱ καὶ προτρέποντες ἐπὶ τὰς ἀδικίας καὶ παύον-
τες τῶν πονηριῶν· (47) παρ' οἷς μὲν γὰρ μήτε φυλακὴ
μηδεμία τῶν τοιούτων καθέστηκε μήθ' αἱ κρίσεις ἀκρι-
βεῖς εἰσι, παρὰ τούτοις μὲν διαφθείρεσθαι καὶ τὰς b
ἐπιεικεῖς τῶν φύσεων· ὅπου δὲ μήτε λαθεῖν τοῖς ἀδι-
κοῦσι ῥᾴδιόν ἐστι μήτε φανεροῖς γενομένοις συγγνώμης
τυχεῖν, ἐνταῦθα δ' ἐξιτήλους γίγνεσθαι τὰς κακοηθείας.
Ἅπερ ἐκεῖνοι γιγνώσκοντες ἀμφοτέροις κατεῖχον τοὺς
πολίτας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις· το-
σούτου γὰρ ἔδεον αὐτοὺς λανθάνειν οἱ κακόν τι δεδρα-
κότας, ὥστε καὶ τοὺς ἐπιδόξους ἁμαρτήσεσθαί τι προῃ-
σθάνοντο. (48) Τοιγαροῦν οὐκ ἐν τοῖς σκιραφείοις οἱ c
νεώτεροι διέτριβον, οὐδ' ἐν ταῖς αὐλητρίσιν, οὐδ' ἐν τοῖς
τοιούτοις συλλόγοις ἐν οἷς νῦν διημερεύουσιν· ἀλλ' ἐν
τοῖς ἐπιτηδεύμασιν ἔμενον ἐν οἷς ἐτάχθησαν, θαυμά-
ζοντες τοὺς ἐν τούτοις πρωτεύοντας. Οὕτω δ' ἔφευγον
τὴν ἀγοράν, ὥστ' εἴ καί ποτε διελθεῖν ἀναγκασθεῖεν,
μετὰ πολλῆς αἰδοῦς καὶ σωφροσύνης ἐφαίνοντο τοῦτο
ποιοῦντες. (49) Ἀντειπεῖν δὲ τοῖς πρεσβυτέροις ἢ λοι-
δορήσασθαι δεινότερον ἐνόμιζον ἢ νῦν περὶ τοὺς γονέας d
ἐξαμαρτεῖν. Ἐν καπηλείῳ δὲ φαγεῖν ἢ πιεῖν οὐδεὶς
οὐδ' ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμησεν· σεμνύνεσθαι γὰρ
ἐμελέτων, ἀλλ' οὐ βωμολοχεύεσθαι. Καὶ τοὺς εὐ-
τραπέλους δὲ καὶ τοὺς σκώπτειν δυναμένους, οὓς νῦν
εὐφυεῖς προσαγορεύουσιν, ἐκεῖνοι δυστυχεῖς ἐνόμιζον.

50. Καὶ μηδεὶς οἰέσθω με δυσκόλως διακεῖσθαι πρὸς e
τοὺς ταύτην ἔχοντας τὴν ἡλικίαν. Οὔτε γὰρ ἡγοῦμαι
τούτους αἰτίους εἶναι τῶν γιγνομένων, σύνοιδά τε τοῖς
πλείστοις αὐτῶν ἥκιστα χαίρουσι ταύτῃ τῇ καταστάσει,

tissimis affectibus agitari et plurimis redundare cupiditatibus, maximeque necessarium esse illorum animos honestis studiis et temperatis voluptate laboribus subigi. Eos enim qui liberaliter educati et magnitudini animorum assuefacti essent, in solis illis rebus perseveraturos. (44) Universis porro easdem exercitationes præscribere in tanta rei familiaris inæqualitate non potuerunt, sed ut singulorum facultates ferebant, ita singulis præcipiebant. Nam tenuiores ad agriculturam et negotiationes deducebant, non ignari et inopiæ causam esse pigritiam et ad mala facinora per inopiam plerosque impelli. (45) Quare fonte malorum sublato, etiam cetera delicta, quæ inde velut ebullirent, censebant posse præcaveri. Locupletes autem animum ad rem equestrem, ad gymnasia, ad venationes et philosophiam adjungere cogebant. Hoc enim eam vim habere perspiciebant, ut alii virtutibus excellerent, alii flagitiis plurimis abstinerent. (46) Neque, quum hæc legibus sanxissent, reliquo tempore negligentes erant, sed civitate in vicos, agro in municipia distributo, uniuscujusque vitam spectabant et insolentes in senatum ducebant. Is vero alios monebat, aliis minitabatur, alios ut par erat puniebat. Duas enim sciebant esse rationes, quæ et ad injurias incitarent et a sceleribus revocarent. (47) Nam apud quos nemo studium habeat flagitia cavendi, ubi severa judicia nulla exerceantur, ibi etiam bona ingenia corrumpi. Ubi autem delinquentes neque facile delitescant, neque convicti veniæ spem habeant, ibi demum naturæ morumque pravitatem paulatim aboleri. Illi igitur, his cognitis, utraque re cives in officio continebant, et pœna, et diligentia. Tantum enim aberat ut laterent hi qui deliquissent, ut ante animadverterent, quosnam verisimile esset peccaturos esse. (48) Quare non in lustris adolescentes aleam ludebant, nec versabantur apud tibicinas aut in hujusmodi conventiculis, in quibus nunc totos dies conterunt; sed iis studiis immorabantur, quibus erant destinati; et qui principem in illis locum tenebant, eos admirabantur et sectabantur. Forum autem ita fugiebant, ut, si quando transire cogerentur, id magna cum verecundia et modestia facere viderentur. (49) Senioribus vero contradicere aut maledicere gravius esse putabant, quam nunc parentes violare. Jam in caupona edere aut bibere nemo ne servus quidem frugi audebat. Gravitati, non scurrilitati studebant, et homines dicaces et ad irridendum paratos, quos nunc facetos vocant, illi calamitosos judicabant.

50. Neque vero me quisquam existimet iratum esse isti ætati. Neque enim quicquam harum rerum adolescentibus est imputandum, et plurimos eorum scio ista ratione minime

δι' ἣν ἔξεστιν αὐτοῖς ἐν ταῖς ἀκολασίαις ταύταις διατρίβειν· ὥστ' οὐκ ἂν εἰκότως τούτοις ἐπιτιμῴην, ἀλλὰ πολὺ 150 δικαιότερον τοῖς ὀλίγῳ πρὸ ἡμῶν τὴν πόλιν διοικήσασιν. a (51) Ἐκεῖνοι γὰρ ἦσαν οἱ προτρέψαντες ἐπὶ ταύτας τὰς ὀλιγωρίας καὶ καταλύσαντες τὴν τῆς βουλῆς δύναμιν· ἧς ἐπιστατούσης οὐ δικῶν οὐδ' ἐγκλημάτων οὐδ' εἰσφορῶν οὐδὲ πενίας οὐδὲ πολέμων ἡ πόλις ἔγεμεν, ἀλλὰ καὶ πρὸς ἀλλήλους ἡσυχίαν εἶχον καὶ πρὸς τοὺς ἄλλους ἅπαντας εἰρήνην ἦγον. Παρεῖχον γὰρ σφᾶς αὐτοὺς τοῖς μὲν Ἕλλησι πιστούς, τοῖς δὲ βαρβάροις φοβερούς· (52) b τοὺς μὲν γὰρ σεσωκότες ἦσαν, παρὰ δὲ τῶν δίκην τηλικαύτην εἰληφότες, ὥστ' ἀγαπᾶν ἐκείνους εἰ μηδὲν ἔτι κακὸν πάσχοιεν. Τοιγάρτοι διὰ ταῦτα μετὰ τοσαύτης ἀσφαλείας διῆγον, ὥστε καλλίους εἶναι καὶ πολυτελεστέρας τὰς οἰκήσεις καὶ τὰς κατασκευὰς τὰς ἐπὶ τῶν ἀγρῶν ἢ τὰς ἐντὸς τείχους, καὶ πολλοὺς τῶν πολιτῶν μηδ' εἰς τὰς ἑορτὰς εἰς ἄστυ καταβαίνειν, ἀλλ' αἱρεῖσθαι μένειν c ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς μᾶλλον ἢ τῶν κοινῶν ἀπολαύειν. (53) Οὐδὲ γὰρ τὰ περὶ τὰς θεωρίας, ὧν ἕνεκ' ἄν τις ἦλθεν, ἀσελγῶς οὐδ' ὑπερηφάνως ἀλλὰ νοῦν ἐχόντως ἐποίουν. Οὐ γὰρ ἐκ τῶν πομπῶν οὐδ' ἐκ τῶν περὶ τὰς χορηγίας φιλονικιῶν οὐδ' ἐκ τῶν τοιούτων ἀλαζονειῶν τὴν εὐδαιμονίαν ἐδοκίμαζον, ἀλλ' ἐκ τοῦ σωφρόνως οἰκεῖν καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν καὶ τοῦ μηδένα d τῶν πολιτῶν ἀπορεῖν τῶν ἐπιτηδείων. Ἐξ ὧνπερ χρὴ κρίνειν τοὺς ὡς ἀληθῶς εὖ πράττοντας καὶ μὴ φορτικῶς πολιτευομένους· (54) ἐπεὶ νῦν γε τίς οὐκ ἂν ἐπὶ τοῖς γιγνομένοις τῶν εὖ φρονούντων ἀλγήσειεν, ὅταν ἴδῃ πολλοὺς τῶν πολιτῶν αὐτοὺς μὲν περὶ τῶν ἀναγκαίων, εἴθ' ἕξουσιν εἴτε μή, πρὸ τῶν δικαστηρίων κληρουμένους, τῶν δ' Ἑλλήνων τοὺς ἐλαύνειν τὰς ναῦς βουλομένους τρέφειν ἀξιοῦντας, καὶ χορεύοντας μὲν ἐν χρυσοῖς ἱμα- e τίοις, χειμάζοντας δ' ἐν τοιούτοις ἐν οἷς οὐ βούλομαι λέγειν, καὶ τοιαύτας ἄλλας ἐναντιώσεις περὶ τὴν διοίκησιν γιγνομένας, αἳ μεγάλην αἰσχύνην τῇ πόλει ποιοῦσιν; (55) Ὧν οὐδὲν ἦν ἐπ' ἐκείνης τῆς βουλῆς· ἀπήλλαξε γὰρ τοὺς μὲν πένητας τῶν ἀποριῶν ταῖς ἐργασίαις 151 καὶ ταῖς παρὰ τῶν ἐχόντων ὠφελείαις, τοὺς δὲ νεωτέ- a ρους τῶν ἀκολασιῶν τοῖς ἐπιτηδεύμασι καὶ ταῖς αὐτῶν ἐπιμελείαις, τοὺς δὲ πολιτευομένους τῶν πλεονεξιῶν ταῖς τιμωρίαις καὶ τῷ μὴ λανθάνειν τοὺς ἀδικοῦντας, τοὺς δὲ πρεσβυτέρους τῶν ἀθυμιῶν ταῖς τιμαῖς ταῖς πολιτικαῖς καὶ ταῖς παρὰ τῶν νεωτέρων θεραπείαις. Καίτοι πῶς ἂν γένοιτο ταύτης πλείονος ἀξία πολιτεία, τῆς οὕτω καλῶς ἁπάντων τῶν πραγμάτων ἐπιμεληθείσης;

56. Περὶ μὲν οὖν τῶν ποτε καθεστώτων τὰ μὲν πλεῖ- b στα διεληλύθαμεν· ὅσα δὲ παραλελοίπαμεν, ἐκ τῶν εἰρημένων, ὅτι κἀκεῖνα τὸν αὐτὸν τρόπον εἶχε τούτοις, ῥᾴδιόν ἐστι καταμαθεῖν. Ἤδη δέ τινες ἀκούσαντές μου ταῦτα διεξιόντος ἐπῄνεσαν μὲν ὡς οἷόντε μάλιστα, καὶ τοὺς προγόνους ἐμακάρισαν ὅτι τὸν τρόπον τοῦτον τὴν πόλιν διῴκουν, (57) οὐ μὴν ὑμᾶς γ' ᾤοντο πεισθήσεσθαι χρῆσθαι τούτοις, ἀλλ' αἱρήσεσθαι διὰ τὴν συν- c ήθειαν ἐν τοῖς καθεστηκόσι πράγμασι κακοπαθεῖν

delectari, qua impune licet tam petulanter agitare. Quare iniquum fuerit eis succensere; illi potius accusandi sunt, qui paulo ante nos rempublicam gesserunt. (51) Isti sunt qui huic licentiæ locum fracta senatus auctoritate dederunt, penes quem dum summa rerum esset, non accusationibus, non criminationibus, non exactionibus, non paupertate, neque bellis civitas redundabat, sed cives et inter se concordes et tranquilli erant, et cum aliis universis pacate vivebant. Præbebant enim se et Græcis fideles et barbaris formidabiles. (52) Nam illos quidem conservarant, hos autem sic ulti erant, ut bene secum agi putarent, si nullis præterea malis afficerentur. Unde etiam factum est ut in magna securitate degerent, et pulchriora ac sumptuosiora essent ædificia et apparatus in agris quam intra mœnia, multique civium nec in solemnibus festis in urbem descenderent, sed sua re familiari quam publicis spectaculis frui mallent. (53) Nec enim solemnes sacrificiorum pompas, quarum gratia venisset aliquis, luxuriose aut superbe, sed sapienter instruebant; nam felicitatem non pomparum splendore aut choragiorum contentionibus aut simili quapiam insolentia metiebantur, sed quotidianæ vitæ modestia, et tali rerum necessariarum copia, ut ne qui cives egerent. Quibus e rebus æstimandi sunt vere felices et non importune gerentes rempublicam. (54) Nam quis quæso vir prudens est, quem hic qui nunc obtinet status non magno dolore afficiat, quum viderit multos cives, utrum ipsi habituri sint ad victum necessaria necne, ante tribunalia sortem ducere, et ex Græcis eos qui remos agere voluerint, ali jubere? in aureis vestimentis saltare, in iis hibernare, quæ ego dicere nolo, sicut et alia multa prætereo, quæ inter sese minime consentiunt in gerenda republica magnumque ei dedecus imprimunt? (55) Quarum rerum illo senatu vigente nihil erat. Levabat enim is inopia tenuiores publicis operibus et locupletum adjumentis; juventutis intemperantiam honestis institutis et acri animadversione coercebat; magistratuum avaritiæ frenos injiciebat suppliciis et indagatione sollerti injuriarum; senibus diffidentiam excutiebat honoribus gerendorum magistratuum et adolescentum observantia. Quæ igitur respublica melius constitui queat ea quæ rerum omnium curam tam diligentem suscepit?

56. Atque instituta quidem illius ætatis pleraque recensuimus; si qua vero prætermisimus, illorum quoque consimilem fuisse rationem, de hisce facile intelligitur. Non defuerunt autem qui audita hac oratione tum me maximis laudibus extulerint, tum majorum nostrorum felicitatem prædicarint, qui hanc gerendæ reipublicæ rationem secuti essent, (57) non tamen existimarint vos eam æmulaturos, sed fore, ut vi consuetudinis impulsi malitis isto rerum statu acerba complura perpeti, quam emendatione

μᾶλλον ἢ μετὰ πολιτείας ἀκριβεστέρας ἄμεινον τὸν βίον διάγειν. Εἶναι δ' ἔφασαν ἐμοὶ καὶ κίνδυνον, μὴ τὰ βέλτιστα συμβουλεύων μισόδημος εἶναι δόξω καὶ τὴν πόλιν ζητεῖν εἰς ὀλιγαρχίαν ἐμβαλεῖν. (58) Ἐγὼ δ' εἰ μὲν περὶ πραγμάτων ἀγνοουμένων καὶ μὴ κοινῶν τοὺς λόγους ἐποιούμην, καὶ περὶ τούτων ἐκέλευον ὑμᾶς ἑλέσθαι συνέδρους ἢ συγγραφέας, δι' ὧν ὁ δῆμος κατελύθη d τὸ πρότερον, εἰκότως ἂν εἶχον ταύτην τὴν αἰτίαν· νῦν δ' οὐδὲν εἴρηκα τοιοῦτον, ἀλλὰ διείλεγμαι περὶ διοικήσεως οὐκ ἀποκεκρυμμένης, ἀλλὰ πᾶσι φανερᾶς, (59) ἣν πάντες ἴστε καὶ πατρίαν ἡμῖν οὖσαν καὶ πλείστων ἀγαθῶν καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις Ἕλλησιν αἰτίαν γεγενημένην, πρὸς δὲ τούτοις ὑπὸ τοιούτων ἀνδρῶν νομοθετηθεῖσαν καὶ κατασταθεῖσαν, οὓς οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειε δημοτικωτάτους γεγενῆσθαι τῶν πολιτῶν. e Ὥστε πάντων ἄν μοι συμβαίη δεινότατον, εἰ τοιαύτην πολιτείαν εἰσηγούμενος νεωτέρων δόξαιμι πραγμάτων ἐπιθυμεῖν. (60) Ἔπειτα κἀκεῖθεν ῥᾴδιον γνῶναι τὴν ἐμὴν διάνοιαν· ἐν γὰρ τοῖς πλείστοις τῶν λόγων τῶν
152 εἰρημένων ὑπ' ἐμοῦ φανήσομαι ταῖς μὲν ὀλιγαρχίαις a καὶ ταῖς πλεονεξίαις ἐπιτιμῶν, τὰς δ' ἰσότητας καὶ τὰς δημοκρατίας ἐπαινῶν, οὐ πάσας, ἀλλὰ τὰς καλῶς καθεστηκυίας, οὐδ' ὡς ἔτυχον, ἀλλὰ δικαίως καὶ λόγον ἐχόντως. (61) Οἶδα γὰρ τούς τε προγόνους τοὺς ἡμετέρους ἐν ταύτῃ τῇ καταστάσει πολὺ τῶν ἄλλων διενεγκόντας, καὶ Λακεδαιμονίους διὰ τοῦτο κάλλιστα πολιτευομένους, ὅτι μάλιστα δημοκρατούμενοι τυγχάνουσιν· ἐν γὰρ b τῇ τῶν ἀρχῶν αἱρέσει καὶ τῷ βίῳ τῷ καθ' ἡμέραν καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασιν ἴδοιμεν ἂν παρ' αὐτοῖς τὰς ἰσότητας καὶ τὰς ὁμοιότητας μᾶλλον ἢ παρὰ τοῖς ἄλλοις ἰσχυούσας· οἷς αἱ μὲν ὀλιγαρχίαι πολεμοῦσιν, οἱ δὲ καλῶς δημοκρατούμενοι διατελοῦσιν. (62) Τῶν τοίνυν ἄλλων πόλεων ταῖς ἐπιφανεστάταις καὶ μεγίσταις, ἣν ἐξετάζειν βουληθῶμεν, εὑρήσομεν τὰς δημοκρατίας c μᾶλλον ἢ τὰς ὀλιγαρχίας συμφερούσας· ἐπεὶ καὶ τὴν ἡμετέραν πολιτείαν, ἣ πάντες ἐπιτιμῶσιν, ἣν παραβάλωμεν αὐτὴν μὴ πρὸς τὴν ὑπ' ἐμοῦ ῥηθεῖσαν, ἀλλὰ πρὸς τὴν ὑπὸ τῶν τριάκοντα κατασταᾶσαν, οὐδεὶς ὅστις οὐκ ἂν θεοποίητον εἶναι νομίσειεν.

63. Βούλομαι δ', εἰ καί τινές με φήσουσιν ἔξω τῆς ὑποθέσεως λέγειν, δηλῶσαι καὶ διελθεῖν ὅσον αὕτη τῆς τότε διήνεγκεν, ἵνα μηδεὶς οἴηταί με τὰ μὲν ἁμαρτήματα d τοῦ δήμου λίαν ἀκριβῶς ἐξετάζειν, εἰ δέ τι καλὸν ἢ σεμνὸν διαπέπρακται, ταῦτα δὲ παραλείπειν. Ἔσται δ' ὁ λόγος οὔτε μακρὸς οὔτ' ἀνωφελὴς τοῖς ἀκούουσιν.

64. Ἐπειδὴ γὰρ τὰς ναῦς τὰς περὶ Ἑλλήσποντον ἀπωλέσαμεν καὶ ταῖς συμφοραῖς ἐκείναις ἡ πόλις περιέπεσε, τίς οὐκ οἶδε τῶν πρεσβυτέρων τοὺς μὲν δημοτικοὺς καλουμένους ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προσταττόμενον, καὶ δεινὸν ἡγουμένους e εἴ τις ὄψεται τὴν πόλιν τὴν τῶν Ἑλλήνων ἄρξασαν, ταύτην ὑφ' ἑτέροις οὖσαν, τοὺς δὲ τῆς ὀλιγαρχίας ἐπιθυμήσαντας ἑτοίμως καὶ τὰ τείχη καθαιροῦντας καὶ τὴν δουλείαν ὑπομένοντας; (65) καὶ τότε μέν, ὅτε τὸ

reipublicæ vitam degere feliciorem. Addebant etiam esse mihi periculum ne, dum optima consulerem, infensus plebi et oligarchiæ instituendæ cupidus viderer. (58) Ego vero, si de rebus ignotis et non communibus verba facerem et ad illas constituendas vos creare consessores aut scribas deligere juberem, per quos antehac popularis status abrogatus est, jure hoc nomine accusarer : nunc tale nihil dixi, sed de gubernatione disserui non occulta, sed omnibus manifesta, (59) quam scitis omnes et patriam nobis esse et quum reipublicæ nostræ, tum ceteris Græcis plurimas peperisse utilitates, atque etiam ab iis viris sancitam et constitutam, quos nemo est quin civium maxime fuisse populares fateatur. Quare mecum iniquissime ageretur, si talis reipublicæ suasor novarum rerum cupidus existimarer. (60) Deinde vel ex eo mea mens facile perspicitur, quod e plerisque meis orationibus apparet oligarchias et injustas prærogativas a me vituperatas, æqualitatem vero et democratias laudatas esse, non quidem omnes, sed recte ordinatas, neque id a me factum esse temere aut fortuito, sed jure atque prudenter. (61) Nam et majores nostros ea ratione longe aliis præstitisse, et Lacedæmoniorum ob hoc maxime rempublicam scio florere, quod populari statu maxime utuntur. Nam et in magistratuum creatione et in quotidianæ vitæ consuetudine ceterisque studiis apud eos æquitatem et æqualitatem plus valere videmus quam apud ceteros : quæ quidem instituta uti sunt oligarchiis contraria, sic in bonis democratiis usitata. (62) Quodsi rem accurate perpenderimus, clarissimis et maximis civitatibus democratias utiliores oligarchiis esse inveniemus. Etenim vel nostram rempublicam, quæ ab omnibus reprehendi solet, si conferatur non cum ea quam modo recensui, sed cum illa quæ sub triginta tyrrannis exstitit, nemo erit quin divinitus esse factam arbitretur.

63. Lubet autem (licet ab instituto alienum videri queat) significare et commemorare, quantum inter hanc nostram et illam intersit, ne me quis existimet in populi delicta quidem nimis severe inquirere, si quid autem præclare magnificeque ab eo gestum sit, præterire. Erit autem hæc commemoratio neque longa nec inutilis audientibus.

64. Nam quum navibus ad Hellespontum amissis illas respublica clades accepisset, quis e natu majoribus ignorat eos qui populares vocabantur quidvis perpeti pro tenenda libertate fuisse paratos, atque indignissimum judicasse eam civitatem, quæ Græcis imperasset, aliorum imperio parere, paucorum autem potentiæ studiosos non recusasse, quominus et mœnia diruerent et in servitutem se traderent? (65)

153 πλῆθος ἦν κύριον τῶν πραγμάτων, ἡμᾶς τὰς τῶν ἄλλων a ἀκροπόλεις φρουροῦντας, ἐπειδὴ δ' οἱ τριάκοντα παρέλαβον τὴν πολιτείαν, τοὺς πολεμίους τὴν ἡμετέραν ἔχοντας; καὶ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον δεσπότας ἡμῶν ὄντας Λακεδαιμονίους, ἐπειδὴ δ' οἱ φεύγοντες κατελθόντες πολεμεῖν ὑπὲρ τῆς ἐλευθερίας ἐτόλμησαν καὶ Κόνων ναυμαχῶν ἐνίκησε, πρέσβεις ἐλθόντας παρ' αὐτῶν καὶ διδόντας τῇ πόλει τὴν ἀρχὴν τὴν τῆς θαλάττης; (66) Καὶ μὲν δὴ καὶ τάδε τίς οὐ μνημονεύει τῶν ἡλικιωτῶν τῶν ἐμῶν, τὴν μὲν δημοκρατίαν οὕτω κοσμήσασαν b τὴν πόλιν καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις, ὥστ' ἔτι καὶ νῦν τοὺς ἀφικνουμένους νομίζειν αὐτὴν ἀξίαν εἶναι μὴ μόνον τῶν Ἑλλήνων ἄρχειν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, τοὺς δὲ τριάκοντα τῶν μὲν ἀμελήσαντας, τὰ δὲ συλήσαντας, τοὺς δὲ νεωσοίκους ἐπὶ καθαιρέσει τριῶν ταλάντων ἀποδομένους, εἰς οὓς ἡ πόλις ἀνήλωσεν οὐκ ἐλάττω χιλίων ταλάντων; (67) Ἀλλὰ μὴν οὐδὲ τὴν c πραότητα δικαίως ἄν τις ἐπαινέσειε τὴν ἐκείνων μᾶλλον ἢ τὴν τοῦ δήμου. Οἱ μὲν γὰρ ψηφίσματι παραλαβόντες τὴν πόλιν πεντακοσίους μὲν καὶ χιλίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, εἰς δὲ τὸν Πειραιᾶ φυγεῖν πλείους ἢ πεντακισχιλίους ἠνάγκασαν· οἱ δὲ κρατήσαντες καὶ μεθ' ὅπλων κατιόντες, αὐτοὺς τοὺς αἰτιωτάτους d τῶν κακῶν ἀνελόντες, οὕτω τὰ πρὸς τοὺς ἄλλους καλῶς καὶ νομίμως διῴκησαν, ὥστε μηδὲν ἔλαττον ἔχειν τοὺς ἐκβαλόντας τῶν κατελθόντων. (68) Ὃ δὲ πάντων κάλλιστον καὶ μέγιστον τεκμήριον τῆς ἐπιεικείας τοῦ δήμου· δανεισαμένων γὰρ τῶν ἐν ἄστει μεινάντων ἑκατὸν τάλαντα παρὰ Λακεδαιμονίων εἰς τὴν πολιορκίαν τῶν τὸν Πειραιᾶ κατασχόντων, ἐκκλησίας γενομένης περὶ ἀποδόσεως τῶν χρημάτων, καὶ λεγόντων πολλῶν ὡς δίκαιόν ἐστι διαλύειν τὰ πρὸς Λακεδαιμονίους e μὴ τοὺς πολιορκουμένους, ἀλλὰ τοὺς δανεισαμένους, ἔδοξε τῷ δήμῳ κοινὴν ποιήσασθαι τὴν ἀπόδοσιν. (69) Καὶ γάρ τοι διὰ ταύτην τὴν γνώμην εἰς τοιαύτην ἡμᾶς ὁμόνοιαν κατέστησαν καὶ τοσοῦτον ἐπιδοῦναι τὴν πόλιν ἐποίησαν, ὥστε Λακεδαιμονίους, τοὺς ἐπὶ τῆς
154 ὀλιγαρχίας ὀλίγου δεῖν καθ' ἑκάστην τὴν ἡμέραν προστάττοντας a ἡμῖν, ἐλθεῖν ἐπὶ τῆς δημοκρατίας ἱκετεύσοντας καὶ δεησομένους μὴ περιιδεῖν αὐτοὺς ἀναστάτους γενομένους. Τὸ δ' οὖν κεφάλαιον τῆς ἑκατέρων διανοίας τοιοῦτον ἦν· οἱ μὲν γὰρ ἠξίουν τῶν μὲν πολιτῶν ἄρχειν, τοῖς δὲ πολεμίοις δουλεύειν, οἱ δὲ τῶν μὲν ἄλλων ἄρχειν, τοῖς δὲ πολίταις ἴσον ἔχειν.

70. Ταῦτα δὲ διῆλθον δυοῖν ἕνεκα, πρῶτον μὲν ἐμαυτὸν b ἐπιδεῖξαι βουλόμενος οὐχ ὀλιγαρχιῶν οὐδὲ πλεονεξιῶν ἀλλὰ δικαίας καὶ κοσμίας ἐπιθυμοῦντα πολιτείας, ἔπειτα τὰς δημοκρατίας τάς τε κακῶς καθεστηκυίας ἐλαττόνων συμφορῶν αἰτίας γιγνομένας, τάς τε καλῶς πολιτευομένας προεχούσας τῷ δικαιοτέρας εἶναι καὶ κοινοτέρας καὶ τοῖς χρωμένοις ἡδίους.

71. Τάχ' οὖν ἄν τις θαυμάσειε, τί βουλόμενος ἀντὶ τῆς πολιτείας τῆς οὕτω πολλὰ καὶ καλὰ διαπεπραγμένης c ἑτέραν ὑμᾶς πείθω μεταλαβεῖν, καὶ τίνος ἕνεκα νῦν

ac tum quidem, quum summa rerum penes multitudinem esset, nos aliorum arcibus imposuisse præsidia; quum autem triginta illi rempublicam gererent, ab hostibus nostram arcem occupatam? illo tempore Lacedæmonios fuisse nostros dominos; postquam vero exules reversi pro libertate pugnare ausi fuerunt et Conon prælio navali vicit, legatos ab eis venisse, qui nostræ civitati maris darent imperium? (66) Jam quis meorum æqualium non meminit in illa democratia urbem sic exornatam fuisse et templis et aliis ædificiis, ut, qui etiamnum huc adveniunt, eam esse dignam censeant non Græciæ tantum, sed totius etiam orbis imperio? triginta vero tyrannos et profana neglexisse et fana expilasse, et navalia tribus talentis destruenda vendidisse, quæ reipublicæ non minus mille talentis constiterunt? (67) Ac ne clementiam quidem illorum quisquam laudarit magis, quam popularium. Nam illi quidem ex senatusconsulto summa rerum potiti mille et quingentos cives indicta causa occiderunt, in Piræeum amplius quinque millia fugere coegerunt : hi autem consecuti victoriam et armis recuperata patria non nisi nocentissimis e medio sublatis suas controversias ea moderatione animorum et æquitate composuerunt, ut qui ceteros ejecerant, æquali jure cum iis viverent, qui sese ipsi restituissent. (68) Illud certe maximum est et pulcherrimum æquitatis et mansuetudinis populi argumentum : nam iis qui in urbe remanserant, talenta centum a Lacedæmoniis ad eos obsidendos, qui Piræeum occuparant, mutuatis, indicta de reddenda pecunia concione, quum multi æquum esse dicerent, ut Lacedæmoniis satisfacerent, non ii qui obsidionem tolerassent, sed qui mutuo sumpsissent : populus, ut communiter ab omnibus solutio fieret, decrevit. (69) Enimvero quum his animis essent, in tantam nos concordiam redegerunt et sic rempublicam auxerunt, ut Lacedæmonii, qui in oligarchia singulis fere diebus nobis aliquid imperabant, in democratia supplices orarent, ne se a Thebanis funditus exscindi pateremur. Summa autem hæc utriusque propositi fuit, ut alteri civibus imperare, hostibus servire vellent; alteri aliis imperare, cum civibus pari et æquo jure vivere studerent.

70. Hæc duabus de causis recensui, primum ut ostenderem me nec oligarchiæ nec ullius injustæ prærogativæ suasorem esse, sed rempublicam justam et bene temperatam desiderare : deinde ut perspiceretur, etiam male constitutas democratias pauciores gignere calamitates, et eas quæ bene administrentur, hoc ipso excellere, quod et justiores sint et humaniores, et civibus jucundiores.

71. Sed aliquis fortasse mirabitur, quid in mentem mihi venerit, qui vobis auctor esse non dubitem ejus reipublicæ, quæ tanta et tam præclara fecerit, mutandæ, alias tantopere

μὲν οὕτω καλῶς ἐγκεκωμίακα τὴν δημοκρατίαν, ὅταν δὲ
τύχω, πάλιν μεταβαλὼν ἐπιτιμῶ καὶ κατηγορῶ τῶν
καθεστώτων; (72) Ἐγὼ δὲ καὶ τῶν ἰδιωτῶν τοὺς ὀλίγα
μὲν κατορθοῦντας πολλὰ δ' ἐξαμαρτάνοντας μέμφομαι
καὶ νομίζω φαυλοτέρους εἶναι τοῦ δέοντος, καὶ πρός γε
τούτοις τοὺς γεγονότας ἐκ καλῶν κἀγαθῶν ἀνδρῶν, καὶ
μικρῷ μὲν ὄντας ἐπιεικεστέρους τῶν ὑπερβαλλόν- d
των ταῖς πονηρίαις, πολὺ δὲ χείρους τῶν πατέρων,
λοιδορῶ, καὶ συμβουλεύσαιμ' ἂν αὐτοῖς παύσασθαι
τοιούτοις οὖσιν. (73) Τὴν αὐτὴν οὖν γνώμην ἔχω καὶ
περὶ τῶν κοινῶν· ἡγοῦμαι γὰρ δεῖν ἡμᾶς οὐ μέγα φρο-
νεῖν οὐδ' ἀγαπᾶν εἰ κακοδαιμονησάντων καὶ μανέντων
ἀνθρώπων νομιμώτεροι γεγόναμεν, ἀλλὰ πολὺ μᾶλλον
ἀγανακτεῖν καὶ βαρέως φέρειν εἰ χείρους τῶν προγό-
νων τυγχάνοιμεν ὄντες· πρὸς γὰρ τὴν ἐκείνων ἀρετήν, e
ἀλλ' οὐ πρὸς τὴν τῶν τριάκοντα πονηρίαν ἁμιλλητέον
ἡμῖν ἐστιν, ἄλλως τε καὶ προσῆκον ἡμῖν βελτίστοις
ἁπάντων ἀνθρώπων εἶναι. (74) Καὶ τοῦτον εἴρηκα τὸν
155 λόγον οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις ἤδη καὶ πρὸς πολ- a
λούς. Ἐπίσταμαι γὰρ ἐν μὲν τοῖς ἄλλοις τόποις φύσεις
ἐγγιγνομένας καρπῶν καὶ δένδρων καὶ ζῴων ἰδίας ἐν
ἑκάστοις καὶ πολὺ τῶν ἄλλων διαφερούσας, τὴν δ' ἡμε-
τέραν χώραν ἄνδρας φέρειν καὶ τρέφειν δυναμένην οὐ
μόνον πρὸς τὰς τέχνας καὶ τὰς πράξεις καὶ τοὺς λόγους
εὐφυεστάτους, ἀλλὰ καὶ πρὸς ἀνδρείαν καὶ πρὸς ἀρετὴν
πολὺ διαφέροντας. (75) Τεκμαίρεσθαι δὲ δίκαιόν ἐστι τοῖς
τε παλαιοῖς ἀγῶσιν, οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας καὶ b
Θρᾷκας καὶ Πελοποννησίους ἅπαντας, καὶ τοῖς κινδύνοις
τοῖς περὶ τὰ Περσικὰ γενομένοις, ἐν οἷς καὶ μόνοι καὶ μετὰ
Πελοποννησίων, καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες,
νικήσαντες τοὺς βαρβάρους ἀριστείων ἠξιώθησαν· ὧν
οὐδὲν ἂν ἔπραξαν, εἰ μὴ πολὺ τὴν φύσιν διήνεγκαν.

76. Καὶ μηδεὶς οἰέσθω ταύτην τὴν εὐλογίαν ἡμῖν
προσήκειν τοῖς νῦν πολιτευομένοις, ἀλλὰ πολὺ τοὐναν- c
τίον. Εἰσὶ γὰρ οἱ τοιοῦτοι τῶν λόγων ἔπαινος μὲν τῶν
ἀξίους σφᾶς αὐτοὺς τῆς τῶν προγόνων ἀρετῆς παρεχόν-
των, κατηγορία δὲ τῶν τὰς εὐγενείας ταῖς αὐτῶν ῥαθυ-
μίαις καὶ κακίαις καταισχυνόντων. Ὅπερ ἡμεῖς
ποιοῦμεν· εἰρήσεται γὰρ τἀληθές. Τοιαύτης γὰρ ἡμῖν
τῆς φύσεως ὑπαρχούσης, οὐ διεφυλάξαμεν αὐτήν, ἀλλ'
ἐμπεπτώκαμεν εἰς ἄνοιαν καὶ ταραχὴν καὶ πονηρῶν
πραγμάτων ἐπιθυμίαν. (77) Ἀλλὰ γὰρ ἢν ἐπακολουθῶ d
τοῖς ἐνοῦσιν ἐπιτιμῆσαι καὶ κατηγορῆσαι τῶν ἐνεστώ-
των πραγμάτων, δέδοικα μὴ πόρρω λίαν τῆς ὑποθέσεως
ἀποπλανηθῶ. Περὶ μὲν οὖν τούτων καὶ πρότερον
εἰρήκαμεν, καὶ πάλιν ἐροῦμεν, ἢν μὴ πείσωμεν ὑμᾶς
παύσασθαι τοιαῦτ' ἐξαμαρτάνοντας· περὶ δ' ὧν ἐξ ἀρχῆς
τὸν λόγον κατεστησάμην, βραχέα διαλεχθεὶς παραχω- e
ρῶ τοῖς βουλομένοις ἔτι συμβουλεύειν περὶ τούτων.

78. Ἡμεῖς γὰρ ἢν μὲν οὕτως οἰκῶμεν τὴν πόλιν
ὥσπερ νῦν, οὐκ ἔστιν ὅπως οὐ καὶ βουλευσόμεθα καὶ
πολεμήσομεν καὶ βιωσόμεθα καὶ σχεδὸν ἅπαντα καὶ
156 πεισόμεθα καὶ πράξομεν, ἅπερ ἐν τῷ παρόντι καιρῷ a
καὶ τοῖς παρελθοῦσι χρόνοις· ἢν δὲ μεταβάλωμεν τὴν

democratiam laudem, alias temere mutata rursum sententia præsentem statum increpem et reprehendam? (72) Ego vero etiam privatos homines, qui pauca recte agunt, in multis delinquunt, accuso et deteriores existimo quam deceat, eos item qui ex integerrimis viris nati hominibus nequissimis et improbissimis paulo quidem probiores sunt, sed a virtute parentum longe degenerarunt, vitupero, eosque monitos velim, ut tales præbere se desistant. (73) Idem et de statu publico sentio: ac nullam nobis causam esse cur superbiamus et præclare nobiscum agi putemus, si paulo major sit apud nos legum reverentia, quam apud homines illos nefarios et insanos; imo indignari potius atque ægre ferre debemus nos majoribus nostris esse deteriores. Nec enim cum triginta tyrannorum improbitate, sed cum horum virtute certandum nobis est, præsertim quum bonitate universis mortalibus nos deceat antecellere. (74) Ad hunc modum non nunc primum, sed sæpe jam et apud multos disserui. Nam in singulis aliis locis peculiari quodam genio fructus et arbores et animantium innasci sua genera scio, quæ longe aliis præstent: nostram autem tellurem viros et gignere et educare posse tum ad artes tractandas et res gerendas et dicendas ingeniosissimos, tum fortitudine et virtute longe præstantissimos. (75) Idque et ex vestutis prœliis judicandum est, quæ cum Amazonibus et Thracibus et Peloponnesiis universis commiserunt, et ex periculis, quæ bellis Persicis adierunt, in quibus et soli et Peloponnesiis sociis tam pedestribus quam navalibus pugnis, barbaris superatis, præter ceteros fortitudinis laudem clarissimis facinoribus editis meruerunt. Neque vero quicquam ejusmodi fecissent, nisi natura longe aliis præstitissent.

76. Ceterum nemo putet ad nos, qui nunc urbem tenemus, laudationem hanc pertinere. Longe aliter se res habet. Nam tales orationes ut iis laudi sunt, qui se dignos virtute majorum præbuerunt: sic ad eos accusandos valent, qui nobilitati suæ ignavia et flagitiis labem aliquam asperserunt; id quos nos facimus. Nec enim dissimulanda veritas est. Quum enim talis nostra natura esset, eam non conservavimus, sed in ignorationem incidimus et tumultum et malarum rerum cupiditatem. (77) Verum si dicendo persequor, quæ in præsenti statu reipublicæ reprehendi et accusari possint, vereor ne longius ab instituto aberrem. Ac de illis quidem rebus et ante diximus, et iterum dicemus, nisi vobis persuasero, ut talibus delictis modum faciatis: de his autem, quæ ab initio institui, ubi pauca disseruero, locum dabo aliis qui præterea dare consilium volent.

78. Nos si rempublicam ita geremus ut nunc fit, aliter fieri non poterit, quin consimilem ad modum et consultemus et belligeremus et vivamus et fere omnia tum feramus tum faciamus, quæ et in præsentia et olim acciderunt: sin rempublicam mutaverimus, eadem ratione consenta-

πολιτείαν, δῆλον ὅτι κατὰ τὸν αὐτὸν λόγον, οἷά περ ἦν τοῖς προγόνοις τὰ πράγματα, τοιαῦτ' ἔσται καὶ περὶ ἡμᾶς· ἀνάγκη γὰρ ἐκ τῶν αὐτῶν πολιτευμάτων καὶ τὰς πράξεις ὁμοίας ἀεὶ καὶ παραπλησίας ἀποβαίνειν. (79) Δεῖ δὲ τὰς μεγίστας αὐτῶν παρ' ἀλλήλας θέντας βουλεύσασθαι, ποτέρας ἡμῖν αἱρετέον ἐστίν. Καὶ πρῶτον μὲν σκεψώμεθα τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους, πῶς πρὸς ἐκείνην τὴν πολιτείαν διέκειντο καὶ b πῶς νῦν ἔχουσι πρὸς ἡμᾶς· οὐ γὰρ ἐλάχιστον μέρος τὰ γένη ταῦτα συμβάλλεται πρὸς εὐδαιμονίαν, ὅταν ἔχῃ κατὰ τρόπον ἡμῖν.

neum est tales nostras quoque res fore, quales majorum nostrorum fuerunt. Ex eadem enim gubernandi ratione actiones etiam semper æquales et consimiles exsistere necesse est. (79) Deliberandum est igitur maximarum rerum contentione facta, utræ nobis sint eligendæ. Ac primum videndum quomodo tum Græci tum barbari erga illum reipublicæ statum affecti fuerint, et qui nunc illorum animi sint erga nos. Nec enim hæc genera minimam partem conferunt ad felicitatem, quando, ut oportet, erga nos se habeant.

80. Οἱ μὲν τοίνυν Ἕλληνες οὕτως ἐπίστευον τοῖς κατ' ἐκεῖνον τὸν χρόνον πολιτευομένοις, ὥστε τοὺς πλείστους αὐτῶν ἑκόντας ἐγχειρίσαι τῇ πόλει σφᾶς αὐτούς· οἱ δὲ βάρβαροι τοσοῦτον ἀπεῖχον τοῦ πολυπραγμονεῖν περὶ τῶν Ἑλληνικῶν πραγμάτων, ὥστ' οὔτε μακροῖς c πλοίοις ἐπὶ τάδε Φασήλιδος ἔπλεον οὔτε στρατοπέδοις ἐντὸς Ἅλυος ποταμοῦ κατέβαινον, ἀλλὰ πολλὴν ἡσυχίαν ἦγον. (81) Νῦν δ' εἰς τοῦτο τὰ πράγματα περιέστηκεν, ὥσθ' οἱ μὲν μισοῦσι τὴν πόλιν, οἱ δὲ καταφρονοῦσιν ἡμῶν. Καὶ περὶ μὲν τοῦ μίσους τῶν Ἑλλήνων αὐτῶν ἀκηκόατε τῶν στρατηγῶν· ὡς δὲ βασιλεὺς ἔχει πρὸς ἡμᾶς, ἐκ τῶν ἐπιστολῶν ὧν ἔπεμψεν ἐδήλωσεν.

80. Græci igitur sic illo tempore nostris magistratibus fidebant, ut eorum plurimi ultro nostræ civitati se traderent; barbari vero tantum aberat ut se rebus Græcorum admiscerent, ut neque longis navibus citra Phaselidem procederent, neque cum exercitu intra Halyn amnem descenderent, sed in summo otio se continerent. (81) Nunc eo res redierunt, ut alteri nostram urbem oderint, alteri nos contemnant. Ac de Græcorum quidem odio prætores ipsos audivistis : rex Persarum autem quo erga nos animo sit, literis missis declaravit.

82. Ἔτι πρὸς τούτοις ὑπὸ μὲν ἐκείνης τῆς εὐταξίας d οὕτως ἐπαιδεύθησαν οἱ πολῖται πρὸς ἀρετήν, ὥστε σφᾶς μὲν αὐτοὺς μὴ λυπεῖν, τοὺς δ' εἰς τὴν χώραν εἰσβάλλοντας ἅπαντας μαχόμενοι νικᾶν. Ἡμεῖς δὲ τοὐναντίον· ἀλλήλοις μὲν γὰρ κακὰ παρέχοντες οὐδεμίαν ἡμέραν διαλείπομεν, τῶν δὲ περὶ τὸν πόλεμον οὕτω κατημελήκαμεν, ὥστ' οὐδ' εἰς ἐξετάσεις ἰέναι τολμῶμεν, ἢν μὴ λαμβάνωμεν ἀργύριον. (83) Τὸ δὲ μέγιστον· τότε μὲν οὐδεὶς ἦν τῶν πολιτῶν ἐνδεὴς τῶν ἀναγκαίων, οὐδὲ προσαιτῶν τοὺς ἐντυγχάνοντας τὴν πόλιν e κατῄσχυνε, νῦν δὲ πλείους εἰσὶν οἱ σπανίζοντες τῶν ἐχόντων· οἷς ἄξιόν ἐστι πολλὴν συγγνώμην ἔχειν, εἰ μηδὲν τῶν κοινῶν φροντίζουσιν, ἀλλὰ τοῦτο σκοποῦσιν 157 a ὁπόθεν τὴν ἀεὶ παροῦσαν ἡμέραν διάξουσιν.

82. Etiam illud addendum est : dum ille præclarus ordo in republica servabatur, ita cives ad virtutem fuisse institutos, ut inter ipsos nullæ injuriæ orirentur, qui vero in Atticam impetum fecissent, eos omnes pugnando superarent. Nos contrà alii alios lacessere nullum diem intermittimus; rem vero militarem ita negligimus, ut nec militiæ dare nomina audeamus nisi accepta pecunia. (83) Et quod maximum est : illo tempore nemo civis rei familiaris penuria laborabat, neque ab obviis stipe roganda urbem probro afficiebat; nunc plures sunt qui egeant, quam qui rem habeant. Quibus profecto vitio verti non debet, si rempublicam nihil omnino curant, sed semper in hoc unum sunt intenti, quibus rationibus urgentem quotidie famem depellere liceat.

84. Ἐγὼ μὲν οὖν ἡγούμενος, ἢν μιμησώμεθα τοὺς προγόνους, καὶ τῶν κακῶν ἡμᾶς τούτων ἀπαλλαγήσεσθαι καὶ σωτῆρας οὐ μόνον τῆς πόλεως ἀλλὰ καὶ τῶν Ἑλλήνων ἁπάντων γενήσεσθαι, τήν τε πρόσοδον ἐποιησάμην καὶ τοὺς λόγους εἴρηκα τούτους· ὑμεῖς δὲ πάντα λογισάμενοι ταῦτα χειροτονεῖθ' ὅ τι ἂν ὑμῖν δοκῇ μάλιστα συμφέρειν τῇ πόλει.

84. Ego igitur, quum nos putarem, si majores nostros imitaremur, et his malis liberatum iri, nec nostræ tantum civitati, sed universis etiam Græcis fore saluti; ea de causa et huc accessi et hanc orationem habui. Vos autem his omnibus consideratis ea decernite, quæ e republica fore maxime videantur.

8.

ΠΕΡΙ ΕΙΡΗΝΗΣ

ΥΠΟΘΕΣΙΣ.

Πεμφθεὶς ὁ Χάρης καταδουλώσασθαι τὴν Ἀμφίπολιν, αὐτονομουμένην κατ' ἐκεῖνον τὸν χρόνον καὶ καθ' ἑαυτὴν γενομένην, ὡς τῶν Λακεδαιμονίων μὲν κακῶς διακειμένων μετὰ τὰ Λευκτρικά, τῶν Ἀθηναίων δ' ἀσθενῶν ὄντων, οὗτος νομίζων εὐχερῶς αὐτὴν ὅτε δή ποτε λαβεῖν, καὶ μᾶλλον βουλόμενος τὴν ἀρχαίαν δύναμιν περιποιῆσαι τοῖς Ἀθηναίοις, ἐπεχείρησε

8.

ORATIO DE PACE.

ARGUMENTUM.

Missus Chares ad Amphipolim, quæ tum libera suique juris erat, subigendam (nam et Lacedæmonios afflixerat clades Leuctrica, et Athenienses parum valebant), quum se illius urbis quovis tempore facile potiturum crederet, ac veteris potentiæ Atheniensibus restituendæ cupidior esset, Chios et

Χίοις καὶ Ῥοδίοις καὶ τοῖς λοιποῖς συμμάχοις. Εἶτα ἐκεῖνοι ἀντέστησαν, καὶ ἡττήθη ὁ Χάρης οὕτως ὥστε λοιπὸν αὐτὸν ἀπορεῖν τί δεῖ ποιῆσαι· καὶ γὰρ εἰ ἀνεχώρησεν ἐξ αὐτῶν καὶ ἦλθεν εἰς Ἀμφίπολιν, αὐτοὶ ἂν ἀμυνόμενοι ἤρχοντο εἰς τὴν Ἀττικήν. Ταῦτα δὲ οἱ Ἀθηναῖοι ἀκούσαντες ᾔτησαν σπονδάς, καὶ εὐθὺς οἱ Χῖοι καὶ Ῥόδιοι σὺν τοῖς ἄλλοις συνέθεντο. Καὶ οὗτός ἐστιν ὁ συμμαχικὸς πόλεμος. Νῦν οὖν πρόκειται ἐκκλησία περὶ τοῦ καταθέσθαι τὸν πόλεμον, καὶ ἀνίσταται ὁ Ἰσοκράτης συμβουλεύων ὡς δεῖ μὴ πολυπραγμονεῖν, ἀλλ' ἡσυχάζειν. Καὶ μερίζει τὸν λόγον εἰς δύο, ἓν μὲν τὸ καὶ τοὺς Χίους καὶ τοὺς ἄλλους ἐᾶσαι αὐτονόμους, ἓν δὲ τὸ ἐᾶσαι τὴν ἡγεμονίαν τὴν κατὰ θάλατταν. Κατὰ τοῦτο δὲ τὸ μέρος λέγεται Ἀριστείδης ἐπαφεῖναι τὸν ἀντιρρητικὸν τῆς εἰρήνης. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, κεφάλαιον δὲ τοῦ λόγου τὸ συμφέρον, ἡ δὲ στάσις πραγματική· συμβουλὴ γὰρ περὶ τῆς εἰρήνης.

Ἐὰν δέ ποτε ἀναγκασθῇς κοινὸν προοίμιον εἰπεῖν, τὴν κατασκευὴν αὐτῷ ἰδίαν πρόσαγε, ὡς ἐν τῷδε τῷ περὶ εἰρήνης Ἰσοκράτους ἡ κατασκευὴ ἰδία προσετέθη, ὅπου φησί « περὶ μεγάλων ἥκομεν· περὶ γὰρ πολέμου καὶ εἰρήνης. » Κάλλιστον δὲ ἐν τούτοις καὶ τὸ τῆς μεθόδου, εἰ μεθοδεύοιμεν αὐτὰ ἐπισημαινόμενοι, εἰ καὶ πᾶσιν εἰωθὼς ὁ λόγος εἴη.

Rhodios ceterosque socios bello adortus, et illis resistentibus ita victus est, ut inops consilii nesciret quo se verteret : nam si, omissis illis, Amphipolim petiisset, ipsi Atticam invasuri erant ad ulciscendas injurias. His Athenienses auditis, pacem petierunt : quam Chii et Rhodii ceterique statim dederunt. Et hoc bellum illud est quod Sociale dicitur. Quum igitur, indicta concione, de bello componendo deliberaretur, Isocrates in medium progressus, suadet, omissis negotiis non necessariis, otium esse complectendum. Bipertita est oratio. Id enim agit, partim ut Chiis ceterisque sociis libertas permittatur; partim, ut maris imperio abstineatur. Contra posteriorem hanc partem fertur Aristides edidisse orationem qua huic de pace inscriptæ contradicit. Hæc summa orationis est : præcipuum argumentum ab utili ducitur. Deliberativi generis est oratio, quum pax suadeatur.

Quodsi quando communi exordio uti cogeris, tractationem tamen peculiarem adhibeto, ut hic fecit Isocrates, quum dicit : « De magnis rebus deliberaturi accessimus, pace nimirum et bello. » Pulcherrimum autem in his, si tractationem propriam reddamus, etiamsi res sit ab omnibus trita.

159 Ἅπαντες μὲν εἰώθασιν οἱ παριόντες ἐνθάδε ταῦτα a
μέγιστα φάσκειν εἶναι καὶ μάλιστα σπουδῆς ἄξια τῇ
πόλει, περὶ ὧν ἂν αὐτοὶ μέλλωσι συμβουλεύσειν· οὐ
μὴν ἀλλ' εἰ καὶ περὶ ἄλλων τινῶν πραγμάτων ἥρμοσε
τοιαῦτα προειπεῖν, δοκεῖ μοι πρέπειν καὶ περὶ τῶν νῦν
παρόντων ἐντεῦθεν ποιήσασθαι τὴν ἀρχήν. (2) Ἥκο-
μεν γὰρ ἐκκλησιάσοντες περὶ πολέμου καὶ εἰρήνης, ἃ b
μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων,
καὶ περὶ ὧν ἀνάγκη τοὺς ὀρθῶς βουλευομένους ἄμεινον
τῶν ἄλλων πράττειν. Τὸ μὲν οὖν μέγεθος, ὑπὲρ ὧν
συνεληλύθαμεν, τηλικοῦτόν ἐστιν.
3. Ὁρῶ δ' ὑμᾶς οὐκ ἐξ ἴσου τῶν λεγόντων τὴν ἀκρόα-
σιν ποιουμένους, ἀλλὰ τοῖς μὲν προσέχοντας τὸν νοῦν,
τῶν δ' οὐδὲ τὴν φωνὴν ἀνεχομένους. Καὶ θαυμαστὸν
οὐδὲν ποιεῖτε· καὶ γὰρ τὸν ἄλλον χρόνον εἰώθατε πάντας c
τοὺς ἄλλους ἐκβάλλειν, πλὴν τοὺς συναγορεύοντας ταῖς
ὑμετέραις ἐπιθυμίαις. (4) Ὃ καὶ δικαίως ἄν τις ὑμῖν
ἐπιτιμήσειεν, ὅτι συνειδότες πολλοὺς καὶ μεγάλους
οἴκους ὑπὸ τῶν κολακευόντων ἀναστάτους γεγενημέ-
νους, καὶ μισοῦντες ἐπὶ τῶν ἰδίων τοὺς ταύτην ἔχοντας
τὴν τέχνην, ἐπὶ τῶν κοινῶν οὐχ ὁμοίως διάκεισθε πρὸς
αὐτούς, ἀλλὰ κατηγοροῦντες τῶν προσιεμένων καὶ χαι-
ρόντων τοῖς τοιούτοις αὐτοὶ φαίνεσθε μᾶλλον τούτοις d
πιστεύοντες ἢ τοῖς ἄλλοις πολίταις. (5) Καὶ γάρ τοι
πεποιήκατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ
μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέσκοντας
ὑμῖν λόγους ἐροῦσιν· ἐφ' οὓς καὶ νῦν τὸ πλῆθος αὐτῶν
ἐρρύηκεν. Πᾶσι γὰρ ἦν φανερὸν ὅτι μᾶλλον ἡσθήσεσθε
τοῖς παρακαλοῦσιν ὑμᾶς ἐπὶ τὸν πόλεμον ἢ τοῖς περὶ
τῆς εἰρήνης συμβουλεύουσιν. (6) Οἱ μὲν γὰρ προσδο-
κίαν ἐμποιοῦσιν ὡς καὶ τὰς κτήσεις τὰς ἐν ταῖς πόλεσι e
κομιούμεθα, καὶ τὴν δύναμιν ἀναληψόμεθα πάλιν, ἣν
πρότερον ἐτυγχάνομεν ἔχοντες· οἱ δ' οὐδὲν τοιοῦτον ὑπο-
τείνουσιν, ἀλλ' ὡς ἡσυχίαν ἔχειν δεῖ καὶ μὴ μεγάλων
ἐπιθυμεῖν παρὰ τὸ δίκαιον, ἀλλὰ στέργειν τοῖς παροῦ-
160 σιν, ὃ χαλεπώτατον πάντων τοῖς πλείστοις τῶν ἀνθρώ- a

Solent omnes qui ex hoc loco verba faciunt, ea dicere, de quibus ipsi consilium daturi sint, maximi esse momenti et reipublicæ plurimum interesse. Verum si ullis aliis negotiis tale convenit exordium, eo nobis in præsentia vel inprimis utendum esse censeo. (2) Nam in hoc conventu de pace et bello deliberaturi sumus, quæ duæ res maximam in vita mortalium vim habent, aliisque feliciores necessario reddunt eos, a quibus prudenter administrantur. Res igitur de qua in hoc conventu agitur, tanta est.

3. Non simili tamen studio vos omnium orationes audire video, sed aliis auscultare, aliorum ne vocem quidem tolerare. Id quod equidem nihil miror. Nam superiore etiam tempore soliti fuistis ceteros omnes ejicere præter eos qui cupiditates vestras defenderent. (4) In quo certe reprehendendi estis, quod quum multas et magnas familias ab assentatoribus funditus eversas esse sciatis, et privatis in rebus eos qui istam assentandi rationem sequantur, oderitis, in republica non eodem modo in illos estis animati; sed quum eos reprehendatis, qui istos admittunt eorumque consuetudine delectantur, vos ipsos plus illis credere quam reliquis civibus apparet. (5) Etenim effecistis ut oratores meditentur et exquirant non ea quæ futura sint e republica, sed ut orationes habeant vobis gratas, ob quas etiam nunc eorum multitudo confluxit. Omnibus enim perspicuum est, vos iis studere magis qui ad bellum adhortentur, quam iis qui pacem suadeant. (6) Nam illi quidem spem faciunt et possessionum, quæ sunt in urbibus, recipiendarum et veteris potentiæ recuperandæ; hi tale nihil ostentant, sed quiescendum esse dicunt neque res magnas per injuriam appetendas, sed in iis quæ adsunt acquiescendum : quo maximæ hominum parti factu nihil est diffici-

πων ἐστίν. (7) Οὕτω γὰρ ἐξηρτήμεθα τῶν ἐλπίδων καὶ πρὸς τὰς δοκούσας εἶναι πλεονεξίας ἀπλήστως ἔχομεν, ὥστ' οὐδ' οἱ κεκτημένοι τοὺς μεγίστους πλούτους μένειν ἐπὶ τούτοις ἐθέλουσιν, ἀλλ' ἀεὶ τοῦ πλέονος ὀρεγόμενοι περὶ τῶν ὑπαρχόντων κινδυνεύουσιν. Ὅπερ ἄξιόν ἐστι δεδιέναι, μὴ καὶ νῦν ἡμεῖς ἔνοχοι γενώμεθα ταύταις ταῖς ἀνοίαις· (8) λίαν γάρ τινές μοι δοκοῦσιν ὡρμῆσθαι b πρὸς τὸν πόλεμον, ὥσπερ οὐ τῶν τυχόντων συμβεβουλευκότων, ἀλλὰ τῶν θεῶν ἀκηκοότες ὅτι κατορθώσομεν ἅπαντα καὶ ῥᾳδίως ἐπικρατήσομεν τῶν ἐχθρῶν. Χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ μὲν ὧν ἴσασι μὴ βουλεύεσθαι (περίεργον γάρ), ἀλλὰ πράττειν ὡς ἐγνώκασι, περὶ ὧν δ' ἂν βουλεύωνται, μὴ νομίζειν εἰδέναι τὸ συμβησόμενον, ἀλλ' ὡς δόξῃ μὲν χρωμένους, ὅ τι ἂν τύχῃ δὲ γενησόμενον, οὕτω διανοεῖσθαι περὶ c αὐτῶν. (9) Ὧν ὑμεῖς οὐδέτερον τυγχάνετε ποιοῦντες, ἀλλ' ὡς οἷόν τε ταραχωδέστατα διάκεισθε. Συνεληλύθατε μὲν γὰρ ὡς δέον ὑμᾶς ἐξ ἁπάντων τῶν ῥηθέντων ἐκλέξασθαι τὸ βέλτιστον, ὥσπερ δ' ἤδη σαφῶς εἰδότες ὃ πρακτέον ἐστίν, οὐκ ἐθέλετ' ἀκούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων. (10) Καίτοι προσῆκεν ὑμᾶς, εἴπερ ἠβούλεσθε ζητεῖν τὸ τῇ πόλει συμφέρον, μᾶλλον d τοῖς ἐναντιουμένοις ταῖς ὑμετέραις γνώμαις προσέχειν τὸν νοῦν ἢ τοῖς καταχαριζομένοις, εἰδότας ὅτι τῶν ἐνθάδε παριόντων οἱ μὲν ἃ βούλεσθε λέγοντες ῥᾳδίως ἐξαπατᾶν δύνανται (τὸ γὰρ πρὸς χάριν ῥηθὲν ἐπισκοτεῖ τῷ καθορᾶν ὑμᾶς τὸ βέλτιστον), ὑπὸ δὲ τῶν μὴ πρὸς ἡδονὴν συμβουλευόντων οὐδὲν ἂν πάθοιτε τοιοῦτον· (11) οὐ γὰρ ἔστιν ὅπως ἂν μεταπεῖσαι δυνηθεῖεν ὑμᾶς, μὴ φανερὸν τὸ συμφέρον ποιήσαντες. Χωρὶς δὲ τούτων πῶς ἂν ἄνθρωποι καλῶς δυνηθεῖεν ἢ κρῖναι περὶ τῶν γεγενημένων e ἢ βουλεύσασθαι περὶ τῶν μελλόντων, εἰ μὴ τοὺς μὲν λόγους τοὺς τῶν ἐναντιουμένων παρ' ἀλλήλους 161 ἐξετάζοιεν, αὐτοὶ δὲ αὐτοὺς κοινοὺς ἀμφοτέροις ἀκροατὰς a τὰς παράσχοιεν;

12. Θαυμάζω δὲ τῶν τε πρεσβυτέρων, εἰ μηκέτι μνημονεύουσι, καὶ τῶν νεωτέρων, εἰ μηδενὸς ἀκηκόασιν, ὅτι διὰ μὲν τοὺς παραινοῦντας ἀντέχεσθαι τῆς εἰρήνης οὐδὲν πώποτε κακὸν ἐπάθομεν, διὰ δὲ τοὺς ῥᾳδίως τὸν πόλεμον αἱρουμένους πολλαῖς ἤδη καὶ μεγάλαις συμφοραῖς περιεπέσομεν. Ὧν ἡμεῖς οὐδεμίαν ποιούμεθα μνείαν, ἀλλ' ἑτοίμως ἔχομεν, μηδὲν εἰς τοὔμπροσθεν ἡμῖν αὐτοῖς πράττοντες, τριήρεις πληροῦν καὶ χρημάτων εἰσφορὰς ποιεῖσθαι καὶ βοηθεῖν b καὶ πολεμεῖν οἷς ἂν τύχωμεν, ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει κινδυνεύοντες. (13) Τούτων δ' αἴτιόν ἐστιν, ὅτι προσῆκον ὑμᾶς ὁμοίως ὑπὲρ τῶν κοινῶν ὥσπερ ὑπὲρ τῶν ἰδίων σπουδάζειν, οὐ τὴν αὐτὴν γνώμην ἔχετε περὶ αὐτῶν, ἀλλ' ὅταν μὲν ὑπὲρ τῶν ἰδίων βουλεύησθε, ζητεῖτε συμβούλους τοὺς ἄμεινον φρονοῦντας ὑμῶν αὐτῶν, ὅταν δ' ὑπὲρ τῆς πόλεως ἐκκλησιάζητε, τοῖς c μὲν τοιούτοις ἀπιστεῖτε καὶ φθονεῖτε, τοὺς δὲ πονηροτάτους τῶν ἐπὶ τὸ βῆμα παριόντων ἀσκεῖτε, καὶ νομίζετε δημοτικωτέρους εἶναι τοὺς μεθύοντας τῶν νη-

lius. (7) Sic enim e spe plerique pendemus et insatiabili cupiditate rerum, quæ aliquam vel injusti lucri speciem habent, tenemur, ut ne locupletissimi quidem sua sorte contenti sint, sed in appetitione majorum copiarum partas opes in discrimen adducant. Et quidem providendum hoc est, ne in similem nos quoque amentiam incidamus. (8) Nimis enim mihi quidam ad bellum videntur incitati, non quasi plebeius aliquis consuluisset, sed tanquam deus quispiam prosperrima quæque nobis et facilem hostium victoriam promisisset. Est autem prudentium hominum, de his quæ comperta habent, non deliberare (supervacaneum enim fuerit), sed quæ decreverint exsequi, quibus vero de rebus consultant, earum eventum non exploratum sibi esse putare, sed ita statuere debent, ut qui conjectura utantur, et eventurum sciant quod fors ferat. (9) Quorum vos neutrum facitis, sed in quanta maxima fieri potest versamini perturbatione. Nam ita quidem convenistis, quasi ex omnium sententiis id sit eligendum, quod sit e republica maxime; sic autem, tanquam satis jam noveritis quid factu sit optimum, audire non vultis nisi eos qui ad gratiam concionantur. (10) Enimvero decebat vos, si publicam utilitatem spectaretis, attentius eos audire, qui voluntatibus vestris adversantur, quam illos qui assentantur omnia. Nec enim ignoratis ab his qui ea, quæ vultis, ex hoc loco dicunt, facile vos posse decipi (nam ad voluptatem audientis instituta oratio quasi tenebras circumfundit, quo minus id quod optimum sit, perspiciatis); ab his autem qui consulendo vestram gratiam non aucupantur, nihil esse tale metuendum. (11) Nullo enim modo vos a sententia abducent, nisi, quid expediat, evidentissime demonstrarint. Præterea qui fieri potest ut illi vel de præteritis recte judicent, vel de futuris prudenter deliberent, nisi contrarias inter se rationes conferant et æquos utrisque auditores se præbeant?

12. Miror equidem neque senes adhuc meminisse neque adolescentes ex quoquam audivisse, per eos qui pacem retinendam esse monuerunt, nihil unquam nobis accidisse mali; eos autem qui bella temere susceperunt, nos in multas jam et magnas clades conjecisse. Quæ nos minime in memoriam revocamus, sed quum rebus nostris ea ratione haudquaquam consulatur, tamen parati sumus et classem in mare deducere et tributa conferre et auxiliari et bella inferre sine discrimine quibusvis, quasi alienæ urbis periculo dimicemus. (13) Hujus rei causa hæc est, quod, quum respublica non minori curæ nobis esse debeat quam res privata, vos erga has non eodem animo affecti estis, sed quum vestris de rebus deliberatis, in consilium adhibetis eos qui prudentia vobis antecellunt; quum autem de republica convenistis, talibus quidem diffiditis et invidetis, improbissimos vero eorum qui suggestum conscendunt, colitis et populariores esse ducitis ebrios quam sobrios, et amentes quam bene

φόντων καὶ τοὺς νοῦν οὐκ ἔχοντας τῶν εὖ φρονούντων καὶ τοὺς τὰ τῆς πόλεως διανεμομένους τῶν ἐκ τῆς ἰδίας οὐσίας ὑμῖν λειτουργούντων. Ὥστ' ἄξιον θαυμάζειν, εἴ τις ἐλπίζει τὴν πόλιν τοιούτοις συμβούλοις χρωμένην ἐπὶ τὸ βέλτιον ἐπιδώσειν. d

14. Ἐγὼ δ' οἶδα μὲν ὅτι πρόσαντές ἐστιν ἐναντιοῦσθαι ταῖς ὑμετέραις διανοίαις, καὶ ὅτι δημοκρατίας οὔσης οὐκ ἔστι παρρησία, πλὴν ἐνθάδε μὲν τοῖς ἀφρονεστάτοις καὶ μηδὲν ὑμῶν φροντίζουσιν, ἐν δὲ τῷ θεάτρῳ τοῖς κωμῳδοδιδασκάλοις (ὃ καὶ πάντων ἐστὶ δεινότατον, ὅτι τοῖς μὲν ἐκφέρουσιν εἰς τοὺς ἄλλους Ἕλληνας τὰ τῆς πόλεως ἁμαρτήματα τοσαύτην ἔχετε χάριν ὅσην οὐδὲ τοῖς εὖ ποιοῦσι, πρὸς δὲ τοὺς ἐπι- e πλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε δυσκόλως ὥσπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους)· (15) ὅμως δὲ καὶ τούτων ὑπαρχόντων οὐκ ἂν ἀποσταίην ὧν διενοήθην. Παρελήλυθα γὰρ οὐ 162 χαριούμενος ὑμῖν οὐδὲ χειροτονίαν μνηστεύσων, ἀλλ' a ἀποφανούμενος ἃ τυγχάνω γιγνώσκων πρῶτον μὲν περὶ ὧν οἱ πρυτάνεις προτιθέασιν, ἔπειτα περὶ τῶν ἄλλων τῶν τῆς πόλεως πραγμάτων· οὐδὲν γὰρ ὄφελος ἔσται τῶν νῦν περὶ τῆς εἰρήνης γνωσθέντων, ἢν μὴ καὶ περὶ τῶν λοιπῶν ὀρθῶς βουλευσώμεθα.

16. Φημὶ δ' οὖν χρῆναι ποιεῖσθαι τὴν εἰρήνην μὴ μόνον πρὸς Χίους καὶ Ῥοδίους καὶ Βυζαντίους, ἀλλὰ πρὸς ἅπαντας ἀνθρώπους, καὶ χρῆσθαι ταῖς συνθή- b καις μὴ ταύταις αἷς νῦν τινες γεγράφασιν, ἀλλὰ ταῖς γενομέναις μὲν πρὸς βασιλέα καὶ Λακεδαιμονίους, προσταττούσαις δὲ τοὺς Ἕλληνας αὐτονόμους εἶναι καὶ τὰς φρουρὰς ἐκ τῶν ἀλλοτρίων πόλεων ἐξιέναι καὶ τὴν αὑτῶν ἔχειν ἑκάστους. Τούτων γὰρ οὔτε δικαιοτέρας εὑρήσομεν οὔτε μᾶλλον τῇ πόλει συμφερούσας.

17. Ἢν μὲν οὖν ἐνταῦθα καταλίπω τὸν λόγον, οἶδ' c ὅτι δόξω τὴν πόλιν ἐλαττοῦν, εἰ Θηβαῖοι μὲν ἕξουσι Θεσπιὰς καὶ Πλαταιὰς καὶ τὰς ἄλλας πόλεις ἃς παρὰ τοὺς ὅρκους κατειλήφασιν, ἡμεῖς δ' ἔξιμεν μηδεμιᾶς ἀνάγκης οὔσης ἐξ ὧν τυγχάνομεν ἔχοντες· ἢν δὲ διὰ τέλους ἀκούσητέ μου προσέχοντες τὸν νοῦν, οἶμαι πάντας ὑμᾶς καταγνώσεσθαι πολλὴν ἄνοιαν καὶ μανίαν τῶν τὴν ἀδικίαν πλεονεξίαν εἶναι νομιζόντων, καὶ τῶν τὰς ἀλλοτρίας πόλεις βίᾳ κατεχόντων, καὶ μὴ λο- d γιζομένων τὰς συμφορὰς τὰς ἐκ τῶν τοιούτων ἔργων γιγνομένας. (18) Ταῦτα μὲν οὖν διὰ παντὸς τοῦ λόγου πειρασόμεθα διδάσκειν ὑμᾶς, περὶ δὲ τῆς εἰρήνης πρῶτον διαλεχθῶμεν, καὶ σκεψώμεθα τί ἂν ἐν τῷ παρόντι γενέσθαι βουληθεῖμεν ἡμῖν. Ἢν γὰρ ταῦτα καλῶς ὁρισώμεθα καὶ νοῦν ἐχόντως, πρὸς ταύτην τὴν ὑπόθεσιν ἀποβλέποντες ἄμεινον βουλευσόμεθα καὶ περὶ e τῶν ἄλλων.

19. Ἆρ' οὖν ἂν ἐξαρκέσειεν ἡμῖν, εἰ τήν τε πόλιν ἀσφαλῶς οἰκοῖμεν καὶ τὰ περὶ τὸν βίον εὐπορώτεροι γιγνοίμεθα καὶ τά τε πρὸς ἡμᾶς αὐτοὺς ὁμονοοῖμεν καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμοῖμεν; ἐγὼ μὲν γὰρ ἡγοῦ-

consultos, et eos qui publicam pecuniam inter ipsos dividunt quam hos qui de sua re familiari munera vobis obeunt. Quare mirum est quenquam esse qui speret, dum hi consultores audiantur, melius actum iri cum republica.

14. Ego vero, quam arduum sit adversari vestris cupiditatibus, non ignoro, et, quum popularis respublica sit, non esse libertatem dicendi nisi hoc quidem loco stolidissimis vestrique contemptoribus, in theatro autem comœdiarum poetis: idque omnium acerbissimum est, in tanta apud vos eos esse gratia, qui delicta urbis nostræ foras ad alios Græcos efferunt, quanta ne eos quidem qui de vobis bene merentur; his vero qui castigant aut monent, tam infensos et iniquos esse vos, quam iis qui contra rempublicam faciunt. (15) Quamvis igitur hæc ita sint, non tamen ab instituto meo recedam. Non enim huc prodii gratificandi gratia aut magistratus ambiendi causa, sed ut ea quæ sentio dicerem, primum de his, de quibus Prytanes referunt, postea de ceteris reipublicæ negotiis. Nec enim ulla erit decretæ pacis utilitas, nisi de reliquis etiam rebus recte consuluerimus.

16. Pacem igitur esse faciendam censeo non modo cum Chiis et Rhodiis et Byzantiis, sed cum universis hominibus, et pactionibus utendum non his quas nunc quidam scripserunt, sed illis quæ cum rege Persarum et Lacedæmoniis intercesserunt, quæ jubent Græcos esse liberos et præsidia ex alienis urbibus deduci, et suas singulos civitates tenere. His enim neque justiores reperiemus neque reipublicæ utiliores.

17. Scio equidem, si hic dicendi finem fecero, me visum iri opes et dignitatem reipublicæ imminuere. Quis enim æquum esse censeat ut Thebani Thespias et Platæas ceterasque urbes, quas contra jusjurandum occuparunt, teneant; nos vero nulla coacti necessitate iis quas habemus cedamus? Sed si ab initio ad finem usque me disserentem attente audieritis, summæ amentiæ, opinor, et insaniæ condemnabitis eos, qui injustitiam lucrosam esse putant et alienas urbes vi tenent, neque considerant quantæ calamitates talem agendi rationem consequi soleant. (18) Et hæc sunt quæ per totam orationem vobis ostendere conabimur. Primum autem de pace disputemus, ac dispiciamus quidnam illud sit quod in præsentia expetamus. Quo vere prudenterque constituto de aliis quoque, in hoc negotium velut exemplar quoddam intuentes, rectius consultabimus.

19. An vero non bene agi nobiscum statuemus, si et respublica nostra in tuto collocetur, et eorum, quæ ad vitam degendam attinent, copiis augeamur, et inter nos ipsi consentiamus, et apud Græcos gloria floreamus? Ego certe

163 μαι τούτων ὑπαρξάντων τελέως τὴν πόλιν εὐδαιμονήσειν. a Ὁ μὲν τοίνυν πόλεμος ἁπάντων ἡμᾶς τῶν εἰρημένων ἀπεστέρηκεν· καὶ γὰρ πενεστέρους πεποίηκε, καὶ πολλοὺς κινδύνους ὑπομένειν ἠνάγκασε, καὶ πρὸς τοὺς Ἕλληνας διαβέβληκε, καὶ πάντας τρόπους τεταλαιπώρηκεν ἡμᾶς. (20) Ἢν δὲ τὴν εἰρήνην ποιησώμεθα, καὶ τοιούτους ἡμᾶς αὐτοὺς παράσχωμεν οἵους αἱ κοιναὶ συνθῆκαι προστάττουσι, μετὰ πολλῆς μὲν ἀσφαλείας τὴν πόλιν οἰκήσομεν, ἀπαλλαγέντες πολέμων b καὶ κινδύνων καὶ ταραχῆς, εἰς ἣν νῦν πρὸς ἀλλήλους καθέσταμεν, καθ' ἑκάστην δὲ τὴν ἡμέραν πρὸς εὐπορίαν ἐπιδώσομεν, ἀναπεπαυμένοι μὲν τῶν εἰσφορῶν καὶ τῶν τριηραρχιῶν καὶ τῶν ἄλλων τῶν περὶ τὸν πόλεμον λειτουργιῶν, ἀδεῶς δὲ γεωργοῦντες καὶ τὴν θάλατταν πλέοντες καὶ ταῖς ἄλλαις ἐργασίαις ἐπιχειροῦντες, αἳ νῦν διὰ τὸν πόλεμον ἐκλελοίπασιν. (21) Ὀψόμεθα δὲ τὴν πόλιν διπλασίας μὲν ἢ νῦν τὰς προσόδους c λαμβάνουσαν, μεστὴν δὲ γιγνομένην ἐμπόρων καὶ ξένων καὶ μετοίκων, ὧν νῦν ἐρήμη καθέστηκεν. Τὸ δὲ μέγιστον, συμμάχους ἕξομεν ἅπαντας ἀνθρώπους, οὐ βεβιασμένους, ἀλλὰ πεπεισμένους, οὐδ' ἐν ταῖς μὲν ἀσφαλείαις διὰ τὴν δύναμιν ἡμᾶς ὑποδεχομένους, ἐν δὲ τοῖς κινδύνοις ἀποστησομένους, ἀλλ' οὕτω διακειμένους d ὥσπερ χρὴ τοὺς ὡς ἀληθῶς συμμάχους καὶ φίλους ὄντας. (22) Πρὸς δὲ τούτοις, ἃ νῦν ἀπολαβεῖν οὐ δυνάμεθα διὰ πολέμου καὶ πολλῆς δαπάνης, ταῦτα διὰ πρεσβείας ῥᾳδίως κομιούμεθα. Μὴ γὰρ οἴεσθε μήτε Κερσοβλέπτην ὑπὲρ Χερρονήσου μήτε Φίλιππον ὑπὲρ Ἀμφιπόλεως πολεμήσειν, ὅταν ἴδωσιν ἡμᾶς μηδενὸς τῶν ἀλλοτρίων ἐφιεμένους. (23) Νῦν μὲν γὰρ εἰκότως φοβοῦνται γείτονα ποιήσασθαι τὴν πόλιν (ὁρῶσι γὰρ ἡμᾶς οὐ στέργοντας ἐφ' οἷς ἂν ἔχωμεν, ἀλλ' ἀεὶ τοῦ e πλέονος ὀρεγομένους), ἢν δὲ μεταβαλώμεθα τὸν τρόπον καὶ δόξαν βελτίω λάβωμεν, οὐ μόνον ἀποστήσονται τῆς ἡμετέρας, ἀλλὰ καὶ τῆς αὑτῶν προσδώσουσι· λυσιτελήσει γὰρ αὐτοῖς θεραπεύουσι τὴν δύναμιν τὴν τῆς πόλεως ἀσφαλῶς ἔχειν τὰς ἑαυτῶν βασιλείας. (24) Καὶ μὲν δὴ καὶ τῆς Θρᾴκης ἡμῖν ἐξέσται τοσαύτην ἀποτε-
164 μέσθαι χώραν, ὥστε μὴ μόνον αὐτοὺς ἄφθονον ἔχειν, a ἀλλὰ καὶ τοῖς δεομένοις τῶν Ἑλλήνων καὶ δι' ἀπορίαν πλανωμένοις ἱκανὸν δύνασθαι βίον παρασχεῖν. Ὅπου γὰρ Ἀθηνόδωρος καὶ Καλλίστρατος, ὁ μὲν ἰδιώτης ὤν, ὁ δὲ φυγάς, οἰκίσαι πόλεις οἷοίτε γεγόνασιν, ἦ που βουληθέντες ἡμεῖς πολλοὺς ἂν τόπους τοιούτους κατασχεῖν δυνηθεῖμεν. Χρὴ δὲ τοὺς πρωτεύειν ἐν τοῖς Ἕλλησιν ἀξιοῦντας τοιούτων ἔργων ἡγεμόνας γίγνεσθαι b πολὺ μᾶλλον ἢ πολέμου καὶ στρατοπέδων ξενικῶν, ὧν νῦν ἐπιθυμοῦντες ἡμεῖς τυγχάνομεν.

25. Περὶ μὲν οὖν ὧν οἱ πρέσβεις ἐπαγγέλλονται, καὶ ταῦθ' ἱκανά, καὶ πόλλ' ἂν ἴσως τις προσθείη τούτοις· ἡγοῦμαι δὲ δεῖν ἡμᾶς οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν, ἀλλὰ καὶ βουλευσαμένους ὅπως ἄξομεν αὐτήν, καὶ μὴ ποιήσομεν ὅπερ εἰώθαμεν, c ὀλίγον χρόνον διαλιπόντες πάλιν εἰς τὰς αὐτὰς

quidem existimo, si hæc nobis contigerint, urbem nostram prorsus fore felicissimam. At bellum his rebus omnibus nos spoliavit: nam et opes nostras minuit, et in pericula multa nos conjecit, et apud Græcos in odium adduxit, omnibus denique modis afflixit. (20) Si autem pace facta ea præstiterimus, quæ communi fœdere præcipiuntur: et republica nostra sine ullius periculi metu fruemur, liberati bellis et pugnis et tumultu, quo nunc inter nos conflictamur, et in dies opes nostras augebimus, levati tributis et trierarchiis ceterisque belli muneribus, et agros secure colemus, et mare navigabimus, et reliqua negotia tractabimus, quæ nunc propter bellum neglecta jacent. (21) Urbis præterea reditus conduplicari videbimus et mercatores tam peregrinos quam inquilinos, qui nulli nunc adsunt, frequentes huc confluere. Et quod maximum est, socii nobis erunt omnes homines, non coacti, sed volentes; neque illi nos in rebus secundis observabunt propter potentiam, in periculis autem deserent, sed vere et sancte societatem atque amicitiam colent. (22) Ad hæc, quæ nunc bello et magnis sumptibus recuperare non possumus, ea per legationes facillime recipiemus. Ne enim putetis vel Cersoblepten propter Chersonesum vel de Amphipoli Philippum bellum facturum, si a rerum alienarum cupiditate nos esse viderint alienos. (23) Nam nunc quidem, dum nos opibus nostris non contentos plura semper appetere cernunt, non injuria metuunt nostram urbem suisque esse nolunt futuram regnis vicinam: si vero mutatis nostris moribus melius de nobis existimare cœperint, non tantum nostra sibi non vindicabunt, sed etiam de suo nobis aliquid largientur. Est enim eis utile futurum, ut florentis nostræ civitatis amicitia freti suis imperiis secure potiantur. (24) Quin etiam Thraciæ tantam partem vindicare nobis poterimus, ut non nobis tantum victus abunde suppetat, sed egentium quoque Græcorum necessitatibus et ob paupertatem incertis sedibus vagantium consulatur. Nam quum Athenodorus et Callistratus, alter homo privatus, alter etiam exul, urbes condere potuerint: quanto nos magis, modo velimus, talia loca multa occupabimus? Multo autem gloriosius est eos qui Græciæ principatum sibi vindicant, talium operum duces et auctores esse, quam bella conflare et conductitios exercitus alere, quæ quidem nos nunc appetimus.

25. Ac de his quæ legati pollicentur, et hæc sufficiunt et plura adjungi possunt. Sic autem censeo, non tantum decreta pace e concione abeundum esse, sed inita etiam ratione, qua eam conservemus, neque committendum, ut more nostro non multo post iisdem tumultibus agitemur, aut

καταστησόμεθα ταραχάς, μηδ' ἀναβολὴν ἀλλ' ἀπαλλαγὴν εὑρήσομέν τινα τῶν κακῶν τῶν παρόντων. (26) Οὐδὲν δὲ τούτων οἷόν τ' ἐστὶ γενέσθαι πρότερον, πρὶν ἂν πεισθῆτε τὴν μὲν ἡσυχίαν ὠφελιμωτέραν καὶ κερδαλεωτέραν εἶναι τῆς πολυπραγμοσύνης, τὴν δὲ δικαιοσύνην τῆς ἀδικίας, τὴν δὲ τῶν ἰδίων ἐπιμέλειαν τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας. Περὶ ὧν οὐδεὶς πώποτε τῶν ῥητόρων εἰπεῖν ἐν ὑμῖν ἐτόλμησεν· ἐγὼ δὲ περὶ d αὐτῶν τούτων τοὺς πλείστους τῶν λόγων μέλλω ποιεῖσθαι πρὸς ὑμᾶς· ὁρῶ γὰρ τὴν εὐδαιμονίαν ἐν τούτοις ἐνοῦσαν, ἀλλ' οὐκ ἐν οἷς νῦν τυγχάνομεν πράττοντες. (27) Ἀνάγκη δὲ τὸν ἔξω τῶν εἰθισμένων ἐπιχειροῦντα δημηγορεῖν καὶ τὰς ὑμετέρας γνώμας μεταστῆσαι βουλόμενον πολλῶν πραγμάτων ἅψασθαι καὶ διὰ μακροτέρων τοὺς λόγους ποιήσασθαι, καὶ τὰ μὲν ἀναμνῆσαι, τῶν δὲ κατηγορῆσαι, τὰ δ' ἐπαινέσαι, περὶ δὲ τῶν e συμβουλεῦσαι· μόλις γὰρ ἄν τις ὑμᾶς ἐξ ἁπάντων τούτων ἐπὶ τὸ βέλτιον φρονῆσαι δυνηθείη προαγαγεῖν.

28. Ἔχει γὰρ οὕτως. Ἐμοὶ δοκοῦσιν ἅπαντες μὲν ἐπιθυμεῖν τοῦ συμφέροντος καὶ τοῦ πλέον ἔχειν τῶν 165 ἄλλων, οὐκ εἰδέναι δὲ τὰς πράξεις τὰς ἐπὶ ταῦτα φε- a ρούσας, ἀλλὰ ταῖς δόξαις διαφέρειν ἀλλήλων· οἱ μὲν γὰρ ἔχειν ἐπιεικεῖς καὶ στοχάζεσθαι τοῦ δέοντος δυναμένας, οἱ δ' ὡς οἷόν τε πλεῖστον τοῦ συμφέροντος διαμαρτανούσας. Ὅπερ καὶ τῇ πόλει συμβέβηκεν. (29) Ἡμεῖς γὰρ οἰόμεθα μέν, ἢν τὴν θάλατταν πλέωμεν πολλαῖς τριήρεσι καὶ βιαζώμεθα τὰς πόλεις συντάξεις διδόναι καὶ συνέδρους ἐνθάδε πέμπειν, διαπράξασθαί τι τῶν δεόντων· πλεῖστον δὲ διεψεύσμεθα τῆς ἀληθείας. b Ὧν μὲν γὰρ ἠλπίζομεν, οὐδὲν ἀποβέβηκεν, ἔχθραι δ' ἡμῖν ἐξ αὐτῶν καὶ πόλεμοι καὶ δαπάναι μεγάλαι γεγόνασιν, εἰκότως· (30) καὶ γὰρ τὸ πρότερον ἐκ μὲν τῆς τοιαύτης πολυπραγμοσύνης εἰς τοὺς ἐσχάτους κινδύνους κατέστημεν, ἐκ δὲ τοῦ δικαίαν τὴν πόλιν παρέχειν καὶ βοηθεῖν τοῖς ἀδικουμένοις καὶ μὴ τῶν ἀλλοτρίων ἐπιθυμεῖν παρ' ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἐλάβομεν· ὧν νῦν ἀλογίστως καὶ λίαν εἰκῇ c πολὺν ἤδη χρόνον καταφρονοῦμεν. (31) Εἰς τοῦτο γάρ τινες ἀνοίας ἐληλύθασιν, ὥσθ' ὑπειλήφασι τὴν μὲν ἀδικίαν ἐπονείδιστον μὲν εἶναι, κερδαλέαν δὲ καὶ πρὸς τὸν βίον τὸν καθ' ἡμέραν συμφέρουσαν, τὴν δὲ δικαιοσύνην εὐδόκιμον μέν, ἀλυσιτελῆ δὲ καὶ μᾶλλον δυναμένην τοὺς ἄλλους ὠφελεῖν ἢ τοὺς ἔχοντας αὐτήν, (32) κακῶς εἰδότες ὡς οὔτε πρὸς χρηματισμὸν οὔτε πρὸς δόξαν οὔτε πρὸς ἃ δεῖ πράττειν οὔθ' ὅλως πρὸς εὐδαιμονίαν οὐδὲν d ἂν συμβάλοιτο τηλικαύτην δύναμιν ὅσην περ ἀρετὴ καὶ τὰ μέρη ταύτης. Τοῖς γὰρ ἀγαθοῖς οἷς ἔχομεν ἐν τῇ ψυχῇ, τούτοις κτώμεθα καὶ τὰς ἄλλας ὠφελείας, ὧν δεόμενοι τυγχάνομεν· ὥσθ' οἱ τῆς αὑτῶν διανοίας ἀμελοῦντες λελήθασι σφᾶς αὐτοὺς ἅμα τοῦ τε φρονεῖν ἄμεινον καὶ τοῦ πράττειν βέλτιον τῶν ἄλλων ὀλιγωροῦντες. (33) Θαυμάζω δ' εἴ τις οἴεται τοὺς τὴν εὐσέ- e βειαν καὶ τὴν δικαιοσύνην ἀσκοῦντας καρτερεῖν καὶ μένειν ἐν τούτοις ἐλπίζοντας ἔλαττον ἕξειν τῶν πονηρῶν,

moram tantum aliquam his malis producamus, sed ut eis omnino liberemur. (26) Quarum rerum nihil fieri poterit, priusquam persuaderi vobis patiamini plus utilitatis et lucri esse in tranquillitate, quam in conatu supervacaneo multarum rerum agendarum, et justitiam præstare injuriæ, suarumque rerum curam appetitioni alienarum. Quibus de rebus quum oratorum nemo unquam apud vos verba facere ausus fuerit, orationis meæ maxima pars in his ipsis consumetur. Hinc enim pendere felicitatem video, et non in iis sitam esse rebus quas nunc agitamus. (27) Omnino autem necesse est eum qui a consueta dicendi ratione recesserit et a sententia nos deducere studuerit, multarum rerum facere mentionem et prolixiori oratione uti, et alia vobis in memoriam redigere, alia reprehendere, quædam laudare, de nonnullis consilium dare. Quæ si quis omnia præstiterit, tamen illi haud promptum erit vos ad meliorem mentem revocare.

28. Sic enim res habet. Mea quidem sententia, universi mortales utilitatis suæ studiosi sunt et in eo elaborant, ut plus possint aliis; verum quibus rationibus id assequantur, in eo falluntur plerique et differunt inter se opinionibus. Nam alii recte judicant et bono consilio id deligunt, quod est rebus atque temporibus maxime accommodatum; alii a ratione utilitatis quam longissime aberrant: id quod nostræ civitati usu venit. (29) Nam in ea sumus opinione, si multis triremibus mare teneamus et urbes tributa pendere cogamus atque huc mittere assessores, nos aliquod fecisse operæ pretium: in quo sane a veritate plurimum aberravimus. Quod enim spe nostra præcepimus, in eo prorsus frustrati sumus, illæque ipsæ res et inimicitiarum et bellorum et magnorum sumptuum causæ nobis exstiterunt. Neque vero mirum id est; (30) nam prius etiam hujusmodi inquieta consilia nos in extrema discrimina conjecerunt: quum autem publice justitiæ studeremus opemque ferremus oppressis, nec quidquam alieni concupisceremus, Græci principatum ultro nobis detulerunt; quos nunc longo jam tempore inconsiderate nimisque petulanter contemnimus. (31) Quidam enim eo dementiæ venerunt, ut existiment injustitiam probrosam quidem esse, sed afferre lucrum et in quotidiana vita cumprimis esse conducibilem; justitiam vero, etsi laudari soleat, nihil emolumenti parere et aliis utiliorem esse, quam iis qui ea præditi sint. (32) Verum illi non intelligunt neque ad parandas opes neque ad gloriam consequendam neque ad rem bene gerendam nec denique ad felicitatem adipiscendam tantam esse vim in injuria, quanta est in virtute et ejus partibus. Nam his bonis quæ in animo insunt, etiam ceteras utilitates, quibus opus est, paramus. Quare qui mentem suam negligunt, hi non animadvertunt se id negligere, ut aliis neque rectius sentiant nec meliore fortuna utantur. (33) Miror autem si quis putet eos, qui pietatem et justitiam colant, in hoc studio perseverare et manere, quin se deteriore conditione fore prævideant quam improbos, nec futurum arbitrentur,

ἀλλ' οὐχ ἡγουμένους καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις πλέον οἴσεσθαι τῶν ἄλλων. Ἐγὼ μὲν γὰρ πέ-
166 πεισμαι τούτους μόνους ὧν δεῖ πλεονεκτεῖν, τοὺς δ' a
ἄλλους ὧν οὐ βέλτιόν ἐστιν. (34) Ὁρῶ γὰρ τοὺς μὲν τὴν ἀδικίαν προτιμῶντας καὶ τὸ λαβεῖν τι τῶν ἀλλοτρίων μέγιστον ἀγαθὸν νομίζοντας ὅμοια πάσχοντας τοῖς δελεαζομένοις τῶν ζῴων, καὶ κατ' ἀρχὰς μὲν ἀπολαύοντας ὧν ἂν λάβωσιν, ὀλίγῳ δ' ὕστερον ἐν τοῖς μεγίστοις κακοῖς ὄντας, τοὺς δὲ μετ' εὐσεβείας καὶ δικαιοσύνης ζῶντας ἔν τε τοῖς παροῦσι χρόνοις ἀσφαλῶς b
διάγοντας καὶ περὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχοντας. (35) Καὶ ταῦτ' εἰ μὴ κατὰ πάντων οὕτως εἴθισται συμβαίνειν, ἀλλὰ τό γ' ὡς ἐπὶ τὸ πολὺ τοῦτον γίγνεται τὸν τρόπον. Χρὴ δὲ τοὺς εὖ φρονοῦντας, ἐπειδὴ τὸ μέλλον ἀεὶ συνοίσειν οὐ καθορῶμεν, τὸ πολλάκις ὠφελοῦν, τοῦτο φαίνεσθαι προαιρουμένους. Πάντων δ' ἀλογώτατον πεπόνθασιν ὅσοι κάλλιον μὲν ἐπιτήδευμα νομίζουσιν εἶναι καὶ θεοφιλέστερον τὴν δικαιοσύνην τῆς ἀδικίας, χεῖρον δ' οἴονται βιώσεσθαι c
τοὺς ταύτῃ χρωμένους τῶν τὴν πονηρίαν προῃρημένων.

36. Ἠβουλόμην δ' ἄν, ὥσπερ πρόχειρόν ἐστιν ἐπαινέσαι τὴν ἀρετήν, οὕτω ῥᾴδιον εἶναι πεῖσαι τοὺς ἀκούοντας ἀσκεῖν αὐτήν· νῦν δὲ δέδοικα μὴ μάτην τὰ τοιαῦτα λέγω. Διεφθάρμεθα γὰρ πολὺν ἤδη χρόνον ὑπ' ἀνθρώπων οὐδὲν ἀλλ' ἢ φενακίζειν δυναμένων, οἳ τοσοῦτον d
τοῦ πλήθους καταπεφρονήκασιν ὥσθ', ὁπόταν βουληθῶσι πόλεμον πρός τινας ἐξενεγκεῖν, αὐτοὶ χρήματα λαμβάνοντες λέγειν τολμῶσιν ὡς χρὴ τοὺς προγόνους μιμεῖσθαι, καὶ μὴ περιορᾶν ἡμᾶς αὐτοὺς καταγελωμένους μηδὲ τὴν θάλατταν πλέοντας τοὺς μὴ τὰς συντάξεις ἐθέλοντας ἡμῖν ὑποτελεῖν. (37) Ἡδέως ἂν οὖν αὐτῶν πυθοίμην, τίσιν ἡμᾶς τῶν προγεγενημένων κελεύουσιν ὁμοίους γίγνεσθαι, πότερον τοῖς περὶ τὰ Περσικὰ γενομένοις, ἢ τοῖς πρὸ τοῦ πολέμου τοῦ Δεκελεικοῦ τὴν e
πόλιν διοικήσασιν; εἰ μὲν γὰρ τούτοις, οὐδὲν ἀλλ' ἢ συμβουλεύουσιν ἡμῖν πάλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύειν· (38) εἰ δὲ τοῖς ἐν Μαραθῶνι τοὺς βαρβάρους
167 νικήσασι καὶ τοῖς πρὸ τούτων γενομένοις, πῶς οὐ πάν- a
των ἀναισχυντότατοι τυγχάνουσιν ὄντες, εἰ τοὺς τότε πολιτευομένους ἐπαινοῦντες τἀναντία πράττειν ἐκείνοις πείθουσιν ἡμᾶς, καὶ τοιαῦτ' ἐξαμαρτάνειν περὶ ὧν ἀπορῶ τι ποιήσω, πότερα χρήσωμαι ταῖς ἀληθείαις ὥσπερ περὶ τῶν ἄλλων, ἢ κατασιωπήσω, δείσας τὴν πρὸς ὑμᾶς ἀπέχθειαν; δοκεῖ μὲν γάρ μοι βέλτιον εἶναι διαλεχθῆναι περὶ αὐτῶν, ὁρῶ δ' ὑμᾶς χαλεπώτερον διατιθεμένους πρὸς τοὺς ἐπιτιμῶντας ἢ πρὸς τοὺς αἰτίους b
τῶν κακῶν γεγενημένους. (39) Οὐ μὴν ἀλλ' αἰσχυνθείην ἄν, εἰ φανείην μᾶλλον φροντίζων τῆς ἐμαυτοῦ δόξης ἢ τῆς κοινῆς σωτηρίας. Ἐμὸν μὲν οὖν ἔργον ἐστί, καὶ τῶν ἄλλων τῶν κηδομένων τῆς πόλεως, προαιρεῖσθαι τῶν λόγων μὴ τοὺς ἡδίστους, ἀλλὰ τοὺς ὠφελιμωτάτους· ὑμᾶς δὲ χρὴ πρῶτον μὲν τοῦτο γιγνώσκειν, ὅτι τῶν μὲν περὶ τὸ σῶμα νοσημάτων πολλαὶ θεραπεῖαι καὶ παντοδαπαὶ τοῖς ἰατροῖς εὕρηνται, ταῖς δὲ ψυχαῖς c

ut ceteris majora beneficia a diis hominibusque impetrent. Ego vero persuasum habeo solos hos iis rebus antecellere, quæ veras utilitates pariant; reliquos falsa quadam et inani specie boni gloriari. (34) Nam qui injustitiam pluris faciunt et summum bonum in eo ponunt, ut alienis opibus potiantur, eos similes esse video feris quæ inescantur, atque initio quidem his quæ prehenderint, cum voluptate frui, sed paulo post in maximis esse malis: eos autem qui pietatem et justitiam colunt, et perpetuo in tuto esse et de reliquo ævi spatio universo spem habere meliorem. (35) Quæ si non in omnibus ita evenire consueverunt, at plerumque hoc modo fiunt. Est autem cordatorum hominum officium, quoniam quid profuturum sit semper, non perspicimus, quod frequentius prosit, id amplecti. Omnium autem est eorum opinio absurdissima, qui quum honestiorem et deo gratiorem existiment justitiam injuria, eorum qui illa utuntur vitam fore miseriorem censent, quam eorum qui se improbitati dediderunt.

36. Utinam vero tam facile esset auditoribus persuadere ut virtutem colant, quam eam facile est collaudare. Nunc metuo, ne frustra hæc a me dicantur. Corrupti enim et depravati sumus jam longo tempore ab hominibus quorum omne artificium in decipiendo consumitur, quique populum usque adeo contemnunt, ut, quum largitionibus ipsi corrupti bellum aliquibus inferre student, majores esse imitandos audeant dicere neque committendum ut ludibrio simus aliis, aut ullis mare pateat, qui nobis pendere tributa nolint. (37) Ego vero perquam ex illis audire cupio, quorum superioris ætatis hominum nos similes esse jubeant: eorumne qui circa bellum Persicum fuerunt? an illorum qui ante obsidionem Deceleicam rempublicam gesserunt? Quodsi hos imitari jubent, quid quæso suadent aliud quam denuo periculum excidii esse adeundum? (38) Sin illorum vos similes esse volunt, qui vel ad Marathonem barbaros vicerunt, vel eorum qui ante illos fuerunt; an non sunt omnium impudentissimi, quum eos laudent, qui tum rempublicam gesserunt, et nunc contraria nobis facienda censeant et ad ea delicta nos impellant, de quibus quid faciam, equidem dubito? utrum, ut in ceteris, id quod res est, dicam; an metu vestræ offensionis illa silentio præteream? Nam potius quidem esse judico de iis disserere; sed idem vos iis solere gravius irasci video, qui reprehendunt, quam iis qui vos in calamitates conjecerunt. (39) Verum utcumque res ceciderit, turpe mihi duco meæ famæ potius quam salutis publicæ rationem ducere. Ut igitur et meum et ceterorum, qui rempublicam curant, officium est ea dicere, non quæ auditu jucundissima, sed quæ utilissima factu sunt: sic vos contra statuere debetis, quum morborum corporis multæ et variæ curationes sint a medicis inventæ animis ignaris et malarum cupiditatum plenis unicum su

ταῖς ἀγνοούσαις καὶ γεμούσαις πονηρῶν ἐπιθυμιῶν οὐδέν ἐστιν ἄλλο φάρμακον πλὴν λόγος ὁ τολμῶν τοῖς ἁμαρτανομένοις ἐπιπλήττειν, (40) ἔπειθ' ὅτι καταγέλαστόν ἐστι τὰς μὲν καύσεις καὶ τὰς τομὰς τῶν ἰατρῶν ὑπομένειν, ἵνα πλειόνων ἀλγηδόνων ἀπαλλαγῶμεν, τοὺς δὲ λόγους ἀποδοκιμάζειν πρὶν εἰδέναι σαφῶς εἰ τοιαύτην ἔχουσι τὴν δύναμιν ὥστ' ὠφελῆσαι τοὺς ἀκούοντας.

41. Τούτου δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι περὶ τῶν d λοιπῶν οὐδὲν ὑποστειλάμενος ἀλλὰ παντάπασιν ἀνειμένως μέλλω τοὺς λόγους ποιεῖσθαι πρὸς ὑμᾶς. Τίς γὰρ ἄλλοθεν ἐπελθὼν καὶ μήπω συνδιεφθαρμένος ἡμῖν, ἀλλ' ἐξαίφνης ἐπιστὰς τοῖς γιγνομένοις, οὐκ ἂν μαίνεσθαι καὶ παραφρονεῖν ἡμᾶς νομίσειεν, οἳ φιλοτιμούμεθα μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις καὶ τὴν πόλιν ἐκ τῶν τότε πραχθέντων ἐγκωμιάζειν ἔχομεν, οὐδὲν δὲ τῶν αὐτῶν ἐκεί- e νοις πράττομεν, ἀλλὰ πᾶν τοὐναντίον; (42) Οἱ μὲν γὰρ ὑπὲρ τῶν Ἑλλήνων τοῖς βαρβάροις πολεμοῦντες διετέλεσαν, ἡμεῖς δὲ τοὺς ἐκ τῆς Ἀσίας τὸν βίον πορι ζομέ- 168 νους ἐκεῖθεν ἀναστήσαντες ἐπὶ τοὺς Ἕλληνας ἠγάγομεν· a κἀκεῖνοι μὲν ἐλευθεροῦντες τὰς πόλεις τὰς Ἑλληνίδας καὶ βοηθοῦντες αὐταῖς τῆς ἡγεμονίας ἠξιώθησαν, ἡμεῖς δὲ καταδουλούμενοι καὶ τἀναντία τοῖς τότε πράττοντες ἀγανακτοῦμεν, εἰ μὴ τὴν αὐτὴν τιμὴν ἐκείνοις ἕξομεν, (43) οἳ τοσοῦτον ἀπολελείμμεθα καὶ τοῖς ἔργοις καὶ ταῖς διανοίαις τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, ὅσον οἱ μὲν ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας τήν τε πατρίδα τὴν αὑτῶν ἐκλιπεῖν ἐτόλμησαν, καὶ μαχόμενοι b καὶ ναυμαχοῦντες τοὺς βαρβάρους ἐνίκησαν, ἡμεῖς δ' οὐδ' ὑπὲρ τῆς ἡμετέρας αὐτῶν πλεονεξίας κινδυνεύειν ἀξιοῦμεν, (44) ἀλλ' ἄρχειν μὲν ἁπάντων ζητοῦμεν, στρατεύεσθαι δ' οὐκ ἐθέλομεν, καὶ πόλεμον μὲν μικροῦ δεῖν πρὸς ἅπαντας ἀνθρώπους ἀναιρούμεθα, πρὸς δὲ τοῦτον οὐχ ἡμᾶς αὐτοὺς ἀσκοῦμεν, ἀλλ' ἀνθρώπους τοὺς μὲν ἀπόλιδας, τοὺς δ' αὐτομόλους, τοὺς δ' ἐκ τῶν c ἄλλων κακουργιῶν συνερρυηκότας, οἷς ὁπόταν τις διδῷ πλείω μισθόν, μετ' ἐκείνων ἐφ' ἡμᾶς ἀκολουθήσουσιν· (45) ἀλλ' ὅμως οὕτως αὐτοὺς ἀγαπῶμεν, ὥσθ' ὑπὲρ μὲν τῶν παίδων τῶν ἡμετέρων, εἰ περί τινας ἐξαμάρτοιεν, οὐκ ἂν ἐθελήσαιμεν δίκας ὑποσχεῖν, ὑπὲρ δὲ τῆς ἐκείνων ἁρπαγῆς καὶ βίας καὶ παρανομίας μελλόντων τῶν ἐγκλημάτων ἐφ' ἡμᾶς ἥξειν οὐχ ὅπως ἀγανακτοῦμεν, ἀλλὰ καὶ χαίρομεν ὅταν ἀκούσωμεν αὐτούς τοιοῦτόν d τι διαπεπραγμένους. (46) Εἰς τοῦτο δὲ μωρίας ἐληλύθαμεν, ὥστ' αὐτοὶ μὲν ἐνδεεῖς τῶν καθ' ἡμέραν ἐσμέν, ξενοτροφεῖν δ' ἐπικεχειρήκαμεν, καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους αὐτῶν ἰδίους λυμαινόμεθα καὶ δασμολογοῦμεν, ἵνα τοῖς ἁπάντων ἀνθρώπων κοινοῖς ἐχθροῖς τὸν μισθὸν ἐκπορίζωμεν. (47) Τοσούτῳ δὲ χείρους ἐσμὲν τῶν προγόνων, οὐ μόνον τῶν εὐδοκιμησάντων, ἀλλὰ καὶ τῶν μισηθέντων, ὅσον ἐκεῖνοι μὲν εἰ πολεμεῖν πρός τινας ψηφίσαιντο, μεστῆς οὔσης ἀργυρίου καὶ χρυσίου e τῆς ἀκροπόλεως, ὅμως ὑπὲρ τῶν δοξάντων τοῖς αὑτῶν σώμασιν ᾤοντο δεῖν κινδυνεύειν, ἡμεῖς δ' εἰς τοσαύτην

peresse remedium, orationem, quæ libere delicta reprehendat; (40) deinde absurdum et ridiculum esse ustiones et sectiones medicorum tolerare, ut pluribus cruciatibus liberemur; orationes autem, antequam plane cognitum sit an eam vim habeant, ut audientibus prosint, improbare.

41. Hæc eo præfatus sum, quod de ceteris sine omni dissimulatione et prorsus aperte apud vos dicere decrevi. Quis enim, obsecro, est qui peregre adveniens et nostri erroris expers adhuc, si his rebus de improviso interveniat, non delirare nos et insanire arbitretur? qui quum res præclare a majoribus gestas laudi nobis ducamus et rempublicam nostram eo nomine celebrare possimus, tantum abest ut eos ulla ex parte imitemur, ut plane contraria faciamus? (42) Nam illi quidem pro Græcis contra barbaros pugnare non destiterunt; nos vero eos, qui in Asia victum quæritabant, huc retractos contra Græcos duximus: illi dum Græcis urbibus libertatem restituunt, dum opem ferunt, Græciæ principatum acceperunt; nos qui easdem servitute premimus, qui plane diversum agimus, indignamur eundem honorem nobis non haberi, (43) quum inter dicta et facta nostra atque illorum tantum intersit, ut illi pro conservandis Græcis patriam deserere non dubitarint et terra marique barbaros vicerint, nos vero ne pro nostra quidem avaritia dimicare velimus. (44) Imperare quidem studemus omnibus, sed militare nolumus, ac nemo fere est mortalium omnium, quem bello non lacessamus; rei vero militaris exercitationem prorsus ipsi negligimus, sed partim exules, partim transfugas, partim omni flagitiorum genere coopertos, qui huc confluxerint, conducimus, sic animatos ut si quis plus stipendii numeret, ejus ductu nos oppugnaturi sint; (45) adeo tamen eos diligimus, ut pro liberis quidem nostris, si forte vim aut injuriam fecerint, pœnas dare nolimus; de illorum vero rapinis et violentia et legum contemptu quum in nostra capita casura sit expostulatio et culpa, adeo non succenseamus, ut lætemur etiam, si quid eos ejusmodi perpetrasse audierimus. (46) In eam denique stultitiam incidimus, ut ipsi annonæ penuria laborantes peregrinum alere militem studeamus et sociis nostris ipsis injurias inferamus et tributa exigamus, quo mercedem communibus omnium mortalium hostibus numeremus. (47) Postremo tanto deteriores sumus majoribus nostris non laudatis illis tantum, sed iis etiam qui in odio fuerunt, ut illi, si quibus inferre bellum decrevissent, quamvis argento et auro refertum esset ærarium in arce, tamen suis corporibus exsequenda quæ statuerant, censerent; nos ad tantam egestatem redacti, in

ἀπορίαν ἐληλυθότες καὶ τοσοῦτοι τὸ πλῆθος ὄντες ὥσπερ βασιλεὺς ὁ μέγας μισθωτοῖς χρώμεθα τοῖς στρατοπέ- 169 δοις. (48) Καὶ τότε μὲν εἰ τριήρεις πληροῖεν, τοὺς μὲν a ξένους καὶ τοὺς δούλους ναύτας εἰσεβίβαζον, τοὺς δὲ πολίτας μεθ' ὅπλων ἐξέπεμπον· νῦν δὲ τοῖς μὲν ξένοις ὁπλίταις χρώμεθα, τοὺς δὲ πολίτας ἐλαύνειν ἀναγκάζομεν, ὥσθ' ὁπόταν ἀποβαίνωσιν εἰς τὴν τῶν πολεμίων, οἱ μὲν ἄρχειν τῶν Ἑλλήνων ἀξιοῦντες ὑπηρέσιον ἔχοντες ἐκβαίνουσιν, οἱ δὲ τοιοῦτοι τὰς φύσεις ὄντες οἵους ὀλίγῳ πρότερον διῆλθον, μεθ' ὅπλων κινδυνεύουσιν. b

49. Ἀλλὰ γὰρ τὰ κατὰ τὴν πόλιν ἄν τις ἰδὼν καλῶς διοικούμενα περὶ τῶν ἄλλων θαρρήσειεν, ἀλλ' οὐκ ἂν ἐπ' αὐτοῖς τούτοις μάλιστ' ἀγανακτήσειεν; οἵτινες αὐτόχθονες μὲν εἶναί φαμεν καὶ τὴν πόλιν ταύτην προτέραν οἰκισθῆναι τῶν ἄλλων, προσῆκον δ' ἡμᾶς ἅπασιν εἶναι παράδειγμα τοῦ καλῶς καὶ τεταγμένως πολιτεύεσθαι, c χεῖρον καὶ ταραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν τῶν ἄρτι τὰς πόλεις οἰκιζόντων, (50) καὶ σεμνυνόμεθα μὲν καὶ μέγα φρονοῦμεν ἐπὶ τῷ βέλτιον γεγονέναι τῶν ἄλλων, ῥᾴδιον δὲ μεταδίδομεν τοῖς βουλομένοις ταύτης τῆς εὐγενείας ἢ Τριβαλλοὶ καὶ Λευκανοὶ τῆς δυσγενείας· πλείστους δὲ τιθέμενοι νόμους οὕτως ὀλίγον αὐτῶν φροντίζομεν (ἐν γὰρ ἀκούσαντες γνώσεσθε καὶ περὶ τῶν ἄλλων) ὥστε θανάτου τῆς ζημίας ἐπικειμένης, ἥν τις ἁλῷ δεκάζων, τοὺς τοῦτο φανερώτατα ποι- d οῦντας στρατηγοὺς χειροτονοῦμεν, καὶ τὸν πλείστους διαφθεῖραι τῶν πολιτῶν δυνηθέντα, τοῦτον ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων καθίσταμεν· (51) σπουδάζοντες δὲ περὶ τὴν πολιτείαν οὐχ ἧττον ἢ περὶ τὴν σωτηρίαν ὅλης τῆς πόλεως, καὶ τὴν δημοκρατίαν εἰδότες ἐν μὲν ταῖς ἡσυχίαις καὶ ταῖς ἀσφαλείαις αὐξανομένην καὶ διαμένουσαν, ἐν δὲ τοῖς πολέμοις δὶς ἤδη καταλυθεῖσαν, πρὸς μὲν τοὺς τῆς εἰρήνης ἐπιθυμοῦντας ὡς πρὸς ὀλιγαρχι- e κοὺς ὄντας δυσκόλως ἔχομεν, τοὺς δὲ τὸν πόλεμον ποιοῦντας ὡς τῆς δημοκρατίας κηδομένους εὔνους εἶναι νομίζομεν· (52) ἐμπειρότατοι δὲ λόγων καὶ πραγμάτων 170 ὄντες οὕτως ἀλογίστως ἔχομεν, ὥστε περὶ τῶν αὐτῶν a τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ γιγνώσκομεν, ἀλλ' ὧν μὲν πρὶν εἰς τὴν ἐκκλησίαν ἀναβῆναι κατηγοροῦμεν, ταῦτα συνελθόντες χειροτονοῦμεν, οὐ πολὺν δὲ χρόνον διαλιπόντες τοῖς ἐνθάδε ψηφισθεῖσιν, ἐπειδὰν ἀπίωμεν, πάλιν ἐπιτιμῶμεν· προσποιούμενοι δὲ σοφώτατοι τῶν Ἑλλήνων εἶναι τοιούτοις χρώμεθα συμβούλοις, ὧν οὐκ ἔστιν ὅστις οὐκ ἂν καταφρονήσειεν, καὶ τοὺς αὐτοὺς τούτους κυρίους ἁπάντων τῶν κοινῶν καθίσταμεν, οἷς b οὐδεὶς ἂν οὐδὲν τῶν ἰδίων ἐπιτρέψειεν. (53) Ὃ δὲ πάντων σχετλιώτατον· οὓς γὰρ ὁμολογήσαιμεν ἂν πονηροτάτους εἶναι τῶν πολιτῶν, τούτους πιστοτάτους φύλακας ἡγούμεθα τῆς πολιτείας εἶναι· καὶ τοὺς μὲν μετοίκους τοιούτους εἶναι νομίζομεν, οἵους περ ἂν τοὺς προστάτας νέμωσιν, αὐτοὶ δ' οὐκ οἰόμεθα τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς προεστῶσιν ἡμῶν. (54) Τοσοῦτον c δὲ διαφέρομεν τῶν προγόνων, ὅσον ἐκεῖνοι μὲν τοὺς αὐτοὺς προστάτας τε τῆς πόλεως ἐποιοῦντο καὶ στρατη-

tanta civium multitudine, perinde ut magnus rex, conductitiis exercitibus utamur. (48) Illi classe in mare deducta peregrinos et servos navibus agendis præficiebant, cives armis ornatos mittebant; nos conductitiis militibus gravem armaturam damus, cives remigare cogimus. Unde fit ut in hostilem agrum egressi, qui sibi imperium in Græcos arrogant, nauticum pulvillum gestent; illi vero talibus ingeniis præditi, qualia paulo ante descripsimus, armati in acie versentur.

49. At enim si quis rempublicam domi bene administratam viderit, etiam de reliquis bene speret; nonne vero his ipsis maxime indignetur? Qui quum nos indigenas esse atque hanc urbem ante ceteras esse conditam dicamus et nos universis exemplum præbere conveniat bonæ ordinatæque reipublicæ: nostram civitatem deterius et perturbatius administramus iis qui oppida modo condunt; (50) qui splendore porro natalium superbimus et aliis generosiores esse volumus, sed facilius quibusvis hanc nobilitatem impertimus, quam Triballi aut Lucani suam ignobilitatem; qui leges plurimas ferimus, sed easdem ita contemnimus, ut quum pœna capitis in eum constituta sit (ex uno enim etiam cetera judicabitis) qui ambitus sit convictus, eos qui largitionem palam faciunt, imperatores deligamus, et quo quisqne plures cives corruperit, eo majoribus præficiatur rebus a nobis. (51) Præterea quum de reipublicæ forma non minus solliciti simus quam de salute totius civitatis, nec ignoremus popularem statum tranquillis et pacatis rebus crescere et confirmari, bellis vero jam bis sublatum esse, pacis studiosos, quasi qui omnia ad paucorum arbitrium revocare conentur, odimus; qui autem bella concitant, hos demum et populares et benevolos esse putamus. (52) Quamvis orationum rerumque gerendarum peritissimi, ea temeritate sumus, ut eodem die de rebus iisdem non eadem decernamus, sed quæ priusquam in concionem ascendimus damnabamus, illa ipsa in concione suffragiis nostris comprobemus, et paulo post domum regressi, quæ hic decreta sunt, denuo cavillemur. Quum nos Græcorum sapientissimos esse profiteamur, ab eorum consiliis pendemus, quos nemo est qui non aspernetur, et summæ rerum omnium illos ipsos præficimus, quibus nemo privatim quicquam commiserit. (53) Quodque omnium acerbissimum est, quos civium improbissimos esse profiteamur, hos reipublicæ custodes fidelissimos arbitramur. Inquilinos quidem tales esse credimus, quales sibi patronos delegerint; nos ipsos autem non existimari similes censemus gubernatoribus nostris. (54) Tam longe autem a more majorum recessimus, ut eosdem illi et summæ reipublicæ præficerent et imperatores crea-

γοὺς ᾑροῦντο, νομίζοντες τὸν ἐπὶ τοῦ βήματος τὰ βέλτιστα συμβουλεῦσαι δυνάμενον, τὸν αὐτὸν τοῦτον ἄριστ' ἂν βουλεύσασθαι καὶ καθ' αὑτὸν γενόμενον, (55) ἡμεῖς δὲ τοὐναντίον τούτων ποιοῦμεν· οἷς μὲν γὰρ περὶ τῶν μεγίστων συμβούλοις χρώμεθα, τούτους μὲν οὐκ ἀξιοῦμεν στρατηγοὺς χειροτονεῖν ὡς νοῦν οὐκ ἔχοντας, οἷς δ' οὐδεὶς ἂν οὔτε περὶ τῶν ἰδίων οὔτε περὶ τῶν κοινῶν d συμβουλεύσαιτο, τούτους δ' αὐτοκράτορας ἐκπέμπομεν ὡς ἐκεῖ σοφωτέρους ἐσομένους καὶ ῥᾷον βουλευσομένους περὶ τῶν Ἑλληνικῶν πραγμάτων ἢ περὶ τῶν ἐνθάδε προτιθεμένων. (56) Λέγω δὲ ταῦτ' οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς λεγομένοις ὄντων. Ἐπιλίποι δ' ἄν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ πάσας τὰς πλημμελείας τὰς ἐν τοῖς πράγμασιν ἐγγεγενημένας e ἐξετάζειν ἐπιχειροίην.

57. Τάχ' οὖν ἄν τις τῶν σφόδρα τοῖς λεγομένοις ἐνόχων ὄντων ἀγανακτήσας ἐρωτήσειε « πῶς, εἴπερ οὕτω κακῶς βουλευόμεθα, σωζόμεθα καὶ δύναμιν οὐδεμιᾶς 171 πόλεως ἐλάττω κεκτημένοι τυγχάνομεν; » Ἐγὼ δὲ πρὸς a ταῦτ' ἀποκριναίμην ἂν ὅτι τοὺς ἀντιπάλους ἔχομεν οὐδὲν βέλτιον ἡμῶν φρονοῦντας. (58) Εἰ γὰρ μετὰ τὴν μάχην, ἣν ἐνίκησαν Θηβαῖοι Λακεδαιμονίους, ἐκεῖνοι μὲν ἐλευθερώσαντες τὴν Πελοπόννησον καὶ τοὺς ἄλλους Ἕλληνας αὐτονόμους ποιήσαντες ἡσυχίαν εἶχον, ἡμεῖς δὲ τοιαῦτ' ἐξημαρτάνομεν, οὔτ' ἂν οὗτος ἔσχε ταύτην ποιήσασθαι τὴν ἐρώτησιν, ἡμεῖς τ' ἂν ἔγνωμεν ὅσῳ κρεῖττόν ἐστι τὸ σωφρονεῖν τοῦ πολυπραγμονεῖν. (59) Νῦν δ' ἐνταῦθα τὰ πράγματα περιέστηκεν, b ὥστε Θηβαῖοι μὲν ἡμᾶς σώζουσιν, ἡμεῖς δὲ Θηβαίους, καὶ συμμάχους ἐκεῖνοι μὲν ἡμῖν ποιοῦσιν, ἡμεῖς δ' ἐκείνοις. Ὥστ' εἰ νοῦν ἔχοιμεν, ἀλλήλοις ἂν εἰς τὰς ἐκκλησίας ἀργύριον παρέχοιμεν· ὁπότεροι γὰρ ἂν πλεονάκις συλλεγῶσιν, οὗτοι τοὺς ἐναντίους ἄμεινον πράττειν ποιοῦσιν. (60) Χρὴ δὲ τοὺς καὶ μικρὰ λογίζεσθαι δυναμένους οὐκ ἐν τοῖς τῶν ἐχθρῶν ἁμαρτήμασι τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, ἀλλ' ἐν τοῖς c αὑτῶν πράγμασι καὶ ταῖς αὑτῶν διανοίαις· τὸ μὲν γὰρ διὰ τὴν ἐκείνων ἀμαθίαν συμβαῖνον ἡμῖν ἀγαθὸν τυχὸν ἂν παύσαιτο καὶ λάβοι μεταβολήν, τὸ δὲ δι' ἡμᾶς αὐτοὺς γιγνόμενον βεβαιοτέρως ἂν ἔχοι καὶ μᾶλλον παραμείνειεν ἡμῖν.

61. Πρὸς μὲν οὖν τοὺς εἰκῇ τὰς ἐπιλήψεις ποιουμένους οὐ χαλεπὸν ἀντειπεῖν· εἰ δὲ δή τίς μοι παραστὰς d τῶν ἐπιεικέστερον διακειμένων ἀληθῆ μὲν λέγειν με προσομολογήσειε καὶ προσηκόντως ἐπιτιμᾶν τοῖς γιγνομένοις, δίκαιον δ' εἶναι φαίη τοὺς ἐπ' εὐνοίᾳ νουθετοῦντας μὴ μόνον κατηγορεῖν τῶν πεπραγμένων, (62) ἀλλὰ καὶ συμβουλεύειν τίνων ἀπεχόμενοι καὶ ποίων ὀρεγόμενοι παυσαίμεθ' ἂν ταύτην ἔχοντες τὴν γνώμην καὶ τοιαῦτ' ἐξαμαρτάνοντες, οὗτος ὁ λόγος ἀπορεῖν ἄν με ποιήσειεν ἀποκρίσεως, οὐχ ἀληθοῦς καὶ συμφερούσης, ἀλλ' ἀρεσκούσης ὑμῖν. Οὐ μὴν ἀλλ' ἐπειδή περ e ἀποκεκαλυμμένως ὥρμημαι λέγειν, οὐκ ἀποκνητέον ἀποφήνασθαι καὶ περὶ τούτων.

rent, quod existimabant, qui pro concione optima suaderet, eundem nihilo deterius etiam per sese deliberaturum : (55) Nos contra, quorum consiliis gravissimis in rebus utimur, illis tanquam stolidis imperium non deferimus; qui vero ejus generis sunt, ut nemo publice privatimve illorum consilium expetat, hos duces summo imperio mittimus, quasi illic sapientiores futuri sint et facilius deliberaturi de totius Græciæ statu quam de rebus quæ hic considerandæ proponuntur. (56) Neque tamen hæc æque ad omnes pertinere volo, sed ad eos qui tales sunt, quales jam diximus. Dies vero me defecerit, si in omnia nostrarum actionum delicta coner severius inquirere.

57. Fortasse autem exsistet eorum aliquis, ad quos hæc crimina maxime pertinent, qui cum indignatione interroget, qui fiat, si tam male consulamus, ut non incolumes tantum, sed etiam nulla urbe opibus et potentia inferiores simus? Expedita responsio est : id adversariorum nostrorum consiliis nihilo prudentioribus acceptum esse referendum. (58) Nam si Thebani victis Lacedæmoniis Peloponnesum liberassent et ceteris Græcis jure suo restituto quievissent, nos autem hæc peccassemus : neque iste nos hoc modo rogare posset, et nos intelligeremus, quantum prudentia turbulentis et inquietis consiliis præstet. (59) Nunc res eo rediit, ut Thebani nobis, nos Thebanis vicissim saluti simus, et illi nobis, nos illis auxilia comparemus. Quare si saperemus, mutuo pecuniam ad indicendas conciones dilargiremur. Nam utri nostrûm sæpius conveniunt, hi alterorum successus promovent. (60) Decet autem eos, qui vel mediocri sunt prudentia præditi, spem salutis non in hostium erratis, sed in suis recte factis consiliisque suis collocare. Nam quæ commoda ex adversariorum inscitia capimus, ea, si fors ferat, desinant mutenturque; quod autem a nobis ipsis proficiscitur, firmius nobis maneat habeatque plus constantiæ.

61. Atque eos quidem refutare qui dicta nostra temere cavillantur, difficile non est. Si quis autem paulo æquior me vera quidem dicere nec injuria reprehendere ea quæ fiunt assentiatur, sed æquum esse dicat eos, qui ex animo consultum aliis velint, non tantum acta improbare, (62) sed etiam monere quæ fugienda, quæ sequenda sint, ut ita sentire et ad hunc modum delinquere desinamus : ejus oratio non id profecto efficiet, ut vere utiliterque respondere nequeam, sed illud vereor, ut satis vobis placeat quod dixero. Verum quoniam semel plane aperteque dicere aggressus sum, etiam de his meam interponere sententiam non dubitabo.

63. Ἃ μὲν οὖν ὑπάρχειν δεῖ τοῖς μέλλουσιν εὐδαιμονήσειν, τὴν εὐσέβειαν καὶ τὴν σωφροσύνην καὶ τὴν 172 ἄλλην ἀρετὴν ὀλίγῳ πρότερον εἰρήκαμεν· ὡς δ' ἂν τά- a χιστα πρὸς τὸ τοιοῦτοι γενέσθαι παιδευθεῖμεν, ἀληθὲς μέν ἐστι τὸ ῥηθησόμενον, ἴσως δ' ἂν ἀκούσασιν ὑμῖν δεινὸν εἶναι δόξειε καὶ παρὰ πολὺ τῆς τῶν ἄλλων ἐξηλλαγμένον διανοίας. (64) Ἐγὼ γὰρ ἡγοῦμαι καὶ τὴν πόλιν ἡμᾶς ἄμεινον οἰκήσειν καὶ βελτίους αὐτοὺς ἔσεσθαι καὶ πρὸς ἁπάσας τὰς πράξεις ἐπιδώσειν, ἢν παυσώμεθα τῆς ἀρχῆς τῆς κατὰ θάλατταν ἐπιθυμοῦντες. Αὕτη γάρ ἐστιν ἡ καὶ νῦν εἰς ταραχὴν ἡμᾶς καθι- b στᾶσα, καὶ τὴν δημοκρατίαν ἐκείνην καταλύσασα μεθ' ἧς οἱ πρόγονοι ζῶντες εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν, καὶ σχεδὸν ἁπάντων αἰτία τῶν κακῶν ὧν αὐτοί τ' ἔχομεν καὶ τοῖς ἄλλοις παρέχομεν. (65) Οἶδα μὲν οὖν ὅτι χαλεπόν ἐστι δυναστείας ὑπὸ πάντων ἐρωμένης καὶ περιμαχήτου γεγενημένης κατηγοροῦντα δοκεῖν ἀνεκτόν τι λέγειν, ὅμως δ' ἐπειδή περ ὑπεμείνατε καὶ τοὺς ἄλλους λόγους, ἀληθεῖς μὲν ὄντας, φιλαπεχθήμονας c δέ, καὶ τοῦτον ὑμῶν ἀνασχέσθαι δέομαι, (66) καὶ μὴ καταγνῶναί μου τοιαύτην μανίαν, ὡς ἄρ' ἐγὼ προειλόμην ἂν διαλεχθῆναι πρὸς ὑμᾶς περὶ πραγμάτων οὕτω παραδόξων, εἰ μή τι λέγειν ἀληθὲς εἶχον περὶ αὐτῶν. Νῦν δ' οἶμαι πᾶσι φανερὸν ποιήσειν ὡς οὔτε δικαίας ἀρχῆς ἐπιθυμοῦμεν οὔτε γενέσθαι δυνατῆς οὔτε συμφερούσης ἡμῖν.

67. Ὅτι μὲν οὖν οὐ δικαίας, παρ' ὑμῶν μαθὼν d ὑμᾶς ἔχω διδάσκειν. Ὅτε γὰρ Λακεδαιμόνιοι ταύτην εἶχον τὴν δύναμιν, ποίους λόγους οὐκ ἀνηλώσαμεν κατηγοροῦντες μὲν τῆς ἐκείνων ἀρχῆς, διεξιόντες δ' ὡς δίκαιόν ἐστιν αὐτονόμους εἶναι τοὺς Ἕλληνας; (68) τίνας δὲ τῶν πόλεων τῶν ἐλλογίμων οὐ παρεκαλέσαμεν ἐπὶ τὴν συμμαχίαν τὴν ὑπὲρ τούτων συστᾶσαν; πόσας δὲ πρεσβείας ὡς βασιλέα τὸν μέγαν ἀπεστείλαμεν, διδα- e ξούσας αὐτὸν ὡς οὔτε δίκαιόν ἐστιν οὔτε συμφέρον μίαν πόλιν κυρίαν εἶναι τῶν Ἑλλήνων; οὐ πρότερον δ' ἐπαυσάμεθα πολεμοῦντες καὶ κινδυνεύοντες καὶ κατὰ γῆν 173 καὶ κατὰ θάλατταν, πρὶν ἠθέλησαν Λακεδαιμόνιοι a ποιήσασθαι τὰς συνθήκας τὰς περὶ τῆς αὐτονομίας. (69) Ὅτι μὲν οὖν οὐ δίκαιόν ἐστι τοὺς κρείττους τῶν ἡττόνων ἄρχειν, ἐν ἐκείνοις τε τοῖς χρόνοις τυγχάνομεν ἐγνωκότες, καὶ νῦν ἐπὶ τῆς πολιτείας τῆς παρ' ἡμῖν καθεστηκυίας· ὡς δ' οὐδ' ἂν δυνηθεῖμεν τὴν ἀρχὴν ταύτην καταστήσασθαι, ταχέως οἶμαι δηλώσειν. Ἣν γὰρ μετὰ μυρίων ταλάντων οὐχ οἷοί τ' ἦμεν διαφυλάξαι, πῶς ἂν ταύτην ἐκ τῆς παρούσης ἀπορίας κτήσασθαι δυνηθεῖμεν, ἄλλως τε καὶ χρώμενοι τοῖς ἤθεσιν οὐχ b οἷς ἐλάβομεν ἀλλ' οἷς ἀπωλέσαμεν αὐτήν; (70) Ὡς τοίνυν οὐδὲ δέξασθαι διδομένην τῇ πόλει συμφέρει, δοκεῖτέ μοι τάχιστ' ἂν ἐκεῖθεν καταμαθεῖν. Μᾶλλον δὲ καὶ περὶ τούτων βούλομαι μικρὰ προειπεῖν· δέδοικα γὰρ μὴ διὰ τὸ πολλοῖς ἐπιτιμᾶν δόξω τισὶ προῃρῆσθαι τῆς πόλεως κατηγορεῖν.

71. Ἐγὼ δ' εἰ μὲν πρὸς ἄλλους τινὰς ἐπεχείρουν

63. Quibus igitur rebus instructos esse deceat eos qui felices futuri sint, pietate nimirum, temperantia ceterisque virtutibus, paulo ante dictum est. Quæ autem expeditissima ratio sit institutionis ejus quæ tales efficiat, vere quidem omnino a me dicetur; sed idem fortasse vobis auditu grave videbitur et plurimum a reliquorum sententiis abhorrere. (74) Ego enim censeo et tranquilliorem rempublicam nostram et nos ipsos meliores fore et incrementis rerum nostrarum omnium auctum iri, si maris imperium concupiscere destiterimus. Hoc enim illud est quod et in hos tumultus nos conjecit et veterem illam democratiam, in qua majores nostri felicitate Græcis omnibus præstiterunt, evertit, et malorum fere omnium, quæ et ipsi ferimus et aliis inferimus, causa fuit. (65) Equidem non ignoro quam difficile sit, ejus orationem, qui potentiam accuset, quam omnes adamarunt armisque vindicandam censent, videri tolerabilem. Verumtamen quum superiora, vera illa quidem, sed odiosa, tuleritis tamen, rogo ut ea etiam quæ restant, non audire gravemini, (66) neque me tanto furore percitum existimetis, ut instituerim de rebus tam abhorrentibus a sensu multitudinis verba facere, nisi in veritate orationis aliquid mihi præsidii esse statuissem. Persuasum enim habeo me planum facturum omnibus, nos id imperium affectare, quod sine injuria parare non liceat, quod contingere nobis non possit, quod nobis non sit profuturum.

67. Ac primum injustum id esse, vos iis docere possum rationibus, quas a vobis didici. Nam quum istam potentiam Lacedæmonii tenerent, quæ verba non consumpsimus, tum eorum principatu accusando, tum æquum esse Græcos libertate frui commemorando? (68) quas vero urbes ex iis quæ alicujus momenti essent, non concitavimus ad societatem belli ob hæc suscepti? quoties legatos ad magnum regem misimus, qui docerent neque justum esse neque utile civitatem unam dominari Græcis? neque prius acquievimus aut oppugnare Lacedæmonios terra marique destitimus, quam consentire in fœdera de libertate facta voluissent. (69) Ac non esse justum ut potentiores dominentur imbecillioribus, et illis temporibus sensimus et nunc republica apud nos recepta declaramus. Jam hoc imperium non posse vos constituere, quamprimum opinor expediam. Nam quod, quum centum millia talentum in ærario haberemus tueri non potuimus, quinam idem in tanta penuria et inopi recipiemus? quum præsertim iis institutis utamur, non qui bus id paravimus, sed quibus amisimus. (70) Quod ultro reipublicæ nostræ deferretur, ne sic quidem fore acc piendum, ex eo mihi posse videmini quamprimum intell gere. Sed præstat etiam de his pauca præfari. Nam du multa reprehendo, vereri mihi subit, ne qui me putent a cusationem nostræ civitatis de industria instituisse.

71. Ego vero si apud exteros hoc modo his de rebus di

οὕτω διεξιέναι περὶ τῶν πραγμάτων, εἰκότως ἂν εἶχον τὴν αἰτίαν ταύτην· νῦν δὲ πρὸς ὑμᾶς ποιοῦμαι τοὺς c λόγους, οὐ διαβάλλειν ἑτέροις ἐπιθυμῶν, ἀλλ' αὐτοὺς βουλόμενος παῦσαι τῶν τοιούτων ἔργων, καὶ τὴν εἰρήνην, περὶ ἧς ἅπας ὁ λόγος ἐστί, βεβαίως καὶ τὴν πόλιν καὶ τοὺς ἄλλους Ἕλληνας ἀγαγεῖν. (72) Ἀνάγκη δὲ τοὺς νουθετοῦντας καὶ τοὺς κατηγοροῦντας τοῖς μὲν λόγοις χρῆσθαι παραπλησίοις, τὰς δὲ διανοίας ἔχειν ἀλλήλοις ὡς οἷόντ' ἐναντιωτάτας. Ὥστε περὶ τῶν ταὐτὰ λε- d γόντων οὐκ ἀεὶ προσήκει τὴν αὐτὴν ὑμᾶς γνώμην ἔχειν, ἀλλὰ τοὺς μὲν ἐπὶ βλάβῃ λοιδοροῦντας μισεῖν ὡς κακόνους ὄντας τῇ πόλει, τοὺς δ' ἐπ' ὠφελείᾳ νουθετοῦντας ἐπαινεῖν καὶ βελτίστους τῶν πολιτῶν νομίζειν, (73) καὶ τούτων αὐτῶν μάλιστα τὸν ἐναργέστατα δυνάμενον δηλῶσαι τὰς πονηρὰς τῶν πράξεων καὶ τὰς συμφορὰς τὰς ἀπ' αὐτῶν γιγνομένας· οὗτος γὰρ ἂν τάχιστα ποιήσειεν ὑμᾶς, μισήσαντας ἃ δεῖ, βελτιόνων ἐπιθυμῆσαι e πραγμάτων. Ὑπὲρ μὲν οὖν τῆς τῶν λόγων τραχύτητος καὶ τῶν εἰρημένων καὶ τῶν ῥηθήσεσθαι μελλόντων ταῦτ' ἔχω λέγειν πρὸς ὑμᾶς· ὅθεν δ' ἀπέλιπον, πάλιν ποιήσομαι τὴν ἀρχήν.

174 74. Ἔφασκον γὰρ ἐκεῖθεν κάλλιστ' ἂν ὑμᾶς κατα- a μαθεῖν ὡς οὐ συμφέρει λαβεῖν τὴν κατὰ θάλατταν ἀρχήν, εἰ σκέψαισθε τίνα τρόπον ἡ πόλις διέκειτο πρὶν τὴν δύναμιν ταύτην κτήσασθαι, καὶ πῶς ἐπειδὴ κατέσχεν αὐτήν· ἢν γὰρ ταῦτα παρ' ἄλληλα τῇ διανοίᾳ θεωρήσητε, γνώσεσθ' ὅσων κακῶν αἰτία τῇ πόλει γέγονεν.

75. Ἡ μὲν τοίνυν πολιτεία τοσούτῳ βελτίων ἦν καὶ b κρείττων ἡ τότε τῆς ὕστερον καταστάσης, ὅσῳ περ Ἀριστείδης καὶ Θεμιστοκλῆς καὶ Μιλτιάδης ἄνδρες ἀμείνους ἦσαν Ὑπερβόλου καὶ Κλεοφῶντος καὶ τῶν νῦν δημηγορούντων· τὸν δὲ δῆμον εὑρήσετε τὸν τότε πολιτευόμενον οὐκ ἀργίας οὐδ' ἀπορίας οὐδ' ἐλπίδων κενῶν ὄντα μεστόν, (76) ἀλλὰ νικᾶν μὲν δυνάμενον ἐν ταῖς μάχαις ἅπαντας τοὺς εἰς τὴν χώραν εἰσβάλλοντας, ἀριστείων δ' ἀξιούμενον ἐν τοῖς ὑπὲρ τῆς Ἑλλάδος κιν- c δύνοις, οὕτω δὲ πιστευόμενον ὥστε τὰς πλείστας αὐτῷ τῶν πόλεων ἑκούσας ἐγχειρίσαι σφᾶς αὐτάς. (77) Τούτων δ' ὑπαρχόντων, ἀντὶ μὲν τῆς πολιτείας τῆς παρὰ πᾶσιν εὐδοκιμούσης ἐπὶ τοιαύτην ἀκολασίαν ἡ δύναμις ἡμᾶς αὕτη προήγαγεν, ἣν οὐδεὶς ἂν ἀνθρώπων ἐπαινέσειεν· ἀντὶ δὲ τοῦ νικᾶν τοὺς ἐπιστρατεύοντας οὕτω τοὺς πολίτας ἐπαίδευσεν, ὥστε μηδὲ πρὸ τῶν τειχῶν τολμᾶν ἐπεξιέναι τοῖς πολεμίοις· (78) ἀντὶ δὲ τῆς εὐνοίας τῆς παρὰ τῶν συμμάχων αὐτοῖς ὑπαρχούσης καὶ τῆς δόξης τῆς παρὰ τῶν ἄλλων Ἑλλήνων εἰς τοσοῦτον d μῖσος κατέστησεν, ὥστε παρὰ μικρὸν ἐλθεῖν ἐξανδραποδισθῆναι τὴν πόλιν, εἰ μὴ Λακεδαιμονίων τῶν ἐξ ἀρχῆς πολεμούντων εὐνουστέρων ἐτύχομεν ἢ τῶν πρότερον ἡμῖν συμμάχων ὄντων. (79) Οἷς οὐκ ἂν δικαίως ἐγκαλοῖμεν, ὅτι χαλεπῶς πρὸς ἡμᾶς διετέθησαν· οὐ γὰρ ὑπάρχοντες ἀλλ' ἀμυνόμενοι καὶ πολλὰ καὶ δεινὰ παθόντες τοιαύτην γνώμην ἔσχον περὶ ἡμᾶς· τίς γὰρ ἂν e

sererem, eo nomine culparer haud injuria: nunc vero ad vos mea se convertit oratio, quos non apud alios traducere studeo, sed istis factis abstinere cupio, uti pax, de qua omnis oratio est, constanter et a vobis et ab reliquis Græcis agatur. (72) Fieri autem non potest quin et qui monent et qui accusant, verbis utantur non fere dissimilibus, quum vis tamen utriusque orationis quam longissime discrepet. Quare vos non decet de his, qui eadem dicunt, eodem modo semper sentire; sed qui nocendi voluntate conviciantur, ut qui rempublicam eversam cupiant, digni odio sunt; qui autem vestræ utilitatis causa monent, laudandi et optimi cives judicandi, (73) atque inter hos is maxime, qui evidentissime possit malas actiones et ortas inde calamitates suis quasi coloribus depingere. Hic enim quamprimum effecerit ut et oderitis ea quæ oportet et res meliores desideretis. Et hæc sunt quæ pro defensione asperioris orationis tam habendæ quam habitæ afferenda in medium censui. Nunc eo redeo, unde sum digressus.

74. Inde igitur, inquam, rectissime perspicietis non esse e republica ut capiatis maris imperium, si consideraveritis quo pacto ante partam istam potentiam urbs constituta fuerit, et quomodo, quum eam jam teneremus. Quæ si apud animos vestros inter se contuleritis, quantum inde malorum in urbem invaserit, perspicietis.

75. Respublica certe superiore tempore tanto melior et præstantior fuit, quam ea quæ secuta est, quanto viri meliores fuerunt Aristides et Themistocles et Miltiades Hyperbolo et Cleophonte et istis qui nunc concionantur. Populus autem, qui tum rempublicam gessit, non socordiæ, non inopiæ, non inanis spei plenus, (76) sed is fuisse comperietur, qui et profligare posset omnes qui Atticam invasissent, et in adeundis pro Græcia periculis primas ferret ob fortitudinem, tantamque sibi fidem adjungeret, ut plurimæ civitates ultro se in fidem ejus conferrent. (77) Quæ quum ita essent, dominatus iste nos amissa veteris reipublicæ apud omnes gloria in eam intemperantiam impulit, quam mortalium nemo laudaverit, et quum antea eos, qui bellum inferrent, armis vinceremus, sic cives nostros instituit, ut ne pro mœnibus quidem in conspectum hostium prodire audeamus. (78) Porro quum majores nostri et apud socios benevolentia et apud ceteros Græcos gloria floruissent, dominatus iste tantum nobis odium concitavit, ut non multum abesset quin urbs exscinderetur, nisi Lacedæmonios, veteres hostes, benevolentiores habuissemus quam socios pridem nostros. (79) Quos jure accusare non possumus, quod infensi nobis fuerunt: neque enim vim inferentes, sed propulsantes et multa graviaque mala perpessi tales in nos animos habuerunt. Quis enim patrum nostrorum petulan-

ὑπέμεινε τὴν ἀσέλγειαν τῶν πατέρων τῶν ἡμετέρων, οἳ
συναγαγόντες ἐξ ἁπάσης τῆς Ἑλλάδος τοὺς ἀργοτάτους
καὶ τοὺς ἁπασῶν τῶν πονηριῶν μετέχοντας, πληροῦν-
τες τούτων τὰς τριήρεις, ἀπηχθάνοντο τοῖς Ἕλλησι,
175 καὶ τοὺς μὲν βελτίστους τῶν ἐν ταῖς ἄλλαις πόλεσιν a
ἐξέβαλλον, τοῖς δὲ πονηροτάτοις τῶν Ἑλλήνων τἀκεί-
νων διένεμον; (80) Ἀλλὰ γὰρ εἰ τολμήσαιμι περὶ τῶν
ἐν ἐκείνοις τοῖς χρόνοις γενομένων ἀκριβῶς διελθεῖν,
ὑμᾶς μὲν ἴσως ἂν ποιήσαιμι βέλτιον βουλεύσασθαι
περὶ τῶν παρόντων, αὐτὸς δ' ἂν διαβληθείην· εἰώθατε
γὰρ μισεῖν οὐχ οὕτω τοὺς αἰτίους τῶν ἁμαρτημάτων
ὡς τοὺς κατηγοροῦντας αὐτῶν. (81) Τοιαύτην οὖν
ὑμῶν γνώμην ἐχόντων, δέδοικα μὴ πειρώμενος ὑμᾶς b
εὐεργετεῖν αὐτὸς ἀπολαύσω τι φλαῦρον. Οὐ μὴν
ἀποστήσομαι παντάπασιν ὧν διενοήθην, ἀλλὰ τὰ μὲν
πικρότατα καὶ μάλιστ' ἂν ὑμᾶς λυπήσοντα παραλείψω,
μνησθήσομαι δὲ τούτων μόνον ἐξ ὧν γνώσεσθε τὴν
ἄνοιαν τῶν τότε πολιτευομένων.

82. Οὕτω γὰρ ἀκριβῶς εὕρισκον ἐξ ὧν ἄνθρωποι
μάλιστ' ἂν μισηθεῖεν, ὥστ' ἐψηφίσαντο τὸ περιγιγνό-
μενον ἐκ τῶν φόρων ἀργύριον, διελόντες κατὰ τάλαντον, c
εἰς τὴν ὀρχήστραν τοῖς Διονυσίοις εἰσφέρειν, ἐπειδὰν
πλῆρες ᾖ τὸ θέατρον· καὶ τοῦτ' ἐποίουν, καὶ παρεισῆ-
γον τοὺς παῖδας τῶν ἐν τῷ πολέμῳ τετελευτηκότων,
ἀμφοτέροις ἐπιδεικνύοντες, τοῖς μὲν συμμάχοις τὰς
τιμὰς τῆς οὐσίας αὐτῶν ὑπὸ μισθωτῶν εἰσφερομένας,
τοῖς δ' ἄλλοις Ἕλλησι τὸ πλῆθος τῶν ὀρφανῶν καὶ τὰς
συμφορὰς τὰς διὰ τὴν πλεονεξίαν ταύτην γιγνομένας.
(83) Καὶ ταῦτα δρῶντες αὐτοί τε τὴν πόλιν εὐδαιμόνι- d
ζον, καὶ πολλοὶ τῶν νοῦν οὐκ ἐχόντων ἐμακάριζον αὐ-
τήν, τῶν μὲν συμβήσεσθαι διὰ ταῦτα μελλόντων οὐδε-
μίαν ποιούμενοι πρόνοιαν, τὸν δὲ πλοῦτον θαυμάζοντες
καὶ ζηλοῦντες, ὃς ἀδίκως εἰς τὴν πόλιν εἰσελθὼν καὶ
τὸν δικαίως ὑπάρξαντα διὰ ταχέων ἤμελλε προσαπο-
λεῖν. (84) Εἰς τοῦτο γὰρ κατέστησαν τῶν μὲν οἰκείων
ἀμελείας, τῶν δ' ἀλλοτρίων ἐπιθυμίας, ὥστε Λακεδαι- e
μονίων εἰσβεβληκότων εἰς τὴν χώραν καὶ τοῦ τείχους
ἤδη τοῦ Δεκελειᾶσιν ἑστηκότος εἰς Σικελίαν τριήρεις
ἐπλήρουν, καὶ οὐκ ᾐσχύνοντο τὴν μὲν πατρίδα τεμνο-
μένην καὶ πορθουμένην περιορῶντες, ἐπὶ δὲ τοὺς οὐδὲν
πώποτ' εἰς ἡμᾶς ἐξαμαρτόντας στρατιὰν ἐκπέμποντες,
176 ἀλλ' εἰς τοῦτ' ἀφροσύνης ἦλθον, ὥστε τῶν προαστείων a
τῶν οἰκείων οὐ κρατοῦντες Ἰταλίας καὶ Σικελίας καὶ
Καρχηδόνος ἄρξειν προσεδόκησαν. Τοσοῦτον δὲ διή-
νεγκαν ἀνοίᾳ πάντων ἀνθρώπων, ὥστε τοὺς μὲν ἄλλους
αἱ συμφοραὶ συστέλλουσι καὶ ποιοῦσιν ἐμφρονεστέρους,
ἐκεῖνοι δ' οὐδ' ὑπὸ τούτων ἐπαιδεύθησαν. (86) Καίτοι
πλείοσι καὶ μείζοσι περιέπεσον ἐπὶ τῆς ἀρχῆς ταύτης
τῶν ἐν ἅπαντι τῷ χρόνῳ τῇ πόλει γεγενημένων. Εἰς b
Αἴγυπτον μέν γε διακόσιαι πλεύσασαι τριήρεις αὐτοῖς
τοῖς πληρώμασι διεφθάρησαν, περὶ δὲ Κύπρον πεντή-
κοντα καὶ ἑκατόν· ἐν Δάτῳ δὲ μυρίους ὁπλίτας αὐτῶν
καὶ τῶν συμμάχων ἀπώλεσαν, ἐν Σικελίᾳ δὲ τέτταρας
μυριάδας καὶ τριήρεις τετταράκοντα καὶ διακοσίας, τὸ

tiam tolerasset, qui congregatos ex universa Græcia ignavissimos quosque omnique genere flagitiorum inquinatos triremibus imponebant, ut Græcorum odium de industria quæsisse viderentur, et optimis civibus aliarum urbium ejectis illorum opes improbissimis Græcorum dilargiebantur? (80) Verum si auderem ea, quæ illis temporibus acta sunt, accurate percensere, fortasse efficerem ut vos iis rebus, quæ nunc instant, rectius consuleretis, sed ipse in crimen venirem. Non enim peccatorum auctores tam odisse soletis quam eorundem reprehensores. (81) Quo animo quum sitis, verendum mihi est ne, dum vobis bene facere conor, de me ipso male merear. Non tamen omnino desistam ab iis quæ institui, sed acerbissimis quibusque, quæque molestissima vobis esse queant, omissis, ea solum commemorabo, unde amentiam eorum, qui illo tempore capessiverunt rempublicam, intelligatis.

82. Nam tanto studio exquisiverunt ea propter quæ maxima hominum odia suscipiuntur, ut decernerent pecuniam, quæ tributorum nomine coacta esset, in singula talenta distributam Bacchanalibus in orchestram inferendam theatro jam repleto. Et hoc quidem quod dixi faciebant et liberos eorum qui in bellis ceciderant, introducebant, utrisque demonstrantes et sociis æstimationem opum suarum, quæ a mercenariis inferebatur, et Græcis ceteris multitudinem orborum et clades ob illam avaritiam acceptas. (83) Quæ dum facerent, quum ipsi tum multitudo amens urbis felicitatem prædicabant, ex illis rebus quid futurum esset, minime prospicientes, sed admiratione opum attoniti, quæ urbem injuste ingressæ etiam eas, quæ jure tenebantur, parvo temporis spatio secum una eversuræ erant. (84) Usque adeo enim et sua neglexerunt et aliena appetiverunt, ut quum Lacedæmoniorum exercitus in Attica versaretur, et Deceliæ murus jam staret, classe Siciliam peterent, neque erubescerent in conspectu suo patriam dilacerari et vastari, et contra illos exercitum mittere, a quibus nulla unquam erant injuria lacessiti. (85) Quin eo dementiæ processerant, ut quamvis suburbia sua non tenerent, tamen imperium Italiæ et Siciliæ et Carthaginis affectarent. Tantum denique mortales omnes amentia superarunt, ut, quum alios calamitates erudiant et prudentiores reddant, eos ne hæc quidem correxerint. (86) Quanquam ab urbe condita plura et graviora mala in illo dominatu acciderunt, quam quæ omni ætate rempublicam afflixerant. Nam ducentæ triremes in Ægyptum missæ una cum vectoribus interierunt; circa Cyprum centum et quinquaginta; in Dato gravis armaturæ decem millia partim civium partim sociorum amisere; at in Sicilia virorum quadraginta millia et triremes ducentas et quadraginta, postremo in Hellesponto

δὲ τελευταῖον ἐν Ἑλλησπόντῳ διακοσίας. (87) Τὰς δὲ κατὰ δέκα καὶ πέντε καὶ πλείους τούτων ἀπολλυμένας c καὶ τοὺς κατὰ χιλίους καὶ δισχιλίους ἀποθνήκοντας τίς ἂν ἐξαριθμήσειεν; πλὴν ἓν ἦν τοῦτο τῶν ἐγκυκλίων, ταφὰς ποιεῖν καθ' ἕκαστον τὸν ἐνιαυτόν, εἰς ἃς πολλοὶ καὶ τῶν ἀστυγειτόνων καὶ τῶν ἄλλων Ἑλλήνων ἐφοίτων, οὐ συμπενθήσοντες τοὺς τεθνεῶτας, ἀλλὰ συνησθησόμενοι ταῖς ἡμετέραις συμφοραῖς. (88) Τελευτῶντες δ' ἔλαθον σφᾶς αὐτοὺς τοὺς μὲν τάφους τοὺς δημοσίους τῶν πολιτῶν ἐμπλήσαντες, τὰς δὲ φρατρίας καὶ τὰ d γραμματεῖα τὰ ληξιαρχικὰ τῶν οὐδὲν τῇ πόλει προσηκόντων. Γνοίη δ' ἄν τις ἐκεῖθεν μάλιστα τὸ πλῆθος τῶν ἀπολλυμένων· τὰ γὰρ γένη τῶν ἀνδρῶν τῶν ὀνομαστοτάτων καὶ τοὺς οἴκους τοὺς μεγίστους, οἳ καὶ τὰς τυραννικὰς στάσεις καὶ τὸν Περσικὸν πόλεμον διέφυγον, εὑρήσομεν ἐπὶ τῆς ἀρχῆς, ἧς ἐπιθυμοῦμεν, ἀναστάτους γεγενημένους. (89) Ὥστ' εἴ τις σκοπεῖσθαι βούλοιτο e περὶ τῶν ἄλλων, ὥσπερ πρὸς δεῖγμα τοῦτ' ἀναφέρων, φανεῖμεν ἂν μικροῦ δεῖν ἀντηλλαγμένοι. Καίτοι χρὴ πόλιν μὲν εὐδαιμονίζειν μὴ τὴν ἐξ ἁπάντων ἀνθρώπων εἰκῇ πολλοὺς πολίτας ἀθροίζουσαν, ἀλλὰ τὴν τὸ γένος τῶν ἐξ ἀρχῆς τὴν πόλιν οἰκισάντων μᾶλλον τῶν ἄλλων διασώζουσαν, ἄνδρας δὲ ζηλοῦν μὴ τοὺς τὰς τυραννίδας 177 κατέχοντας μηδὲ τοὺς μείζω δυναστείαν τοῦ δικαίου κεκτημένους, a ἀλλὰ τοὺς ἀξίους μὲν ὄντας τῆς μεγίστης τιμῆς, στέργοντας δ' ἐπὶ ταῖς ὑπὸ τοῦ πλήθους διδομέναις. (90) Ταύτης γὰρ ἕξιν οὔτ' ἀνὴρ οὔτε πόλις λαβεῖν ἂν δύναιτο σπουδαιοτέραν οὐδ' ἀσφαλεστέραν οὐδὲ πλείονος ἀξίαν· ἥνπερ οἱ περὶ τὰ Περσικὰ γενόμενοι σχόντες οὐχ ὁμοίως τοῖς λῃσταῖς ἐβίωσαν, τοτὲ μὲν πλείω τῶν ἱκανῶν ἔχοντες, τοτὲ δ' ἐν σιτοδείαις καὶ πολιορκίαις b καὶ τοῖς μεγίστοις κακοῖς καθεστῶτες, ἀλλὰ περὶ μὲν τὴν τροφὴν τὴν καθ' ἡμέραν οὔτ' ἐν ἐνδείαις οὔτ' ἐν ὑπερβολαῖς ὄντες, ἐπὶ δὲ τῇ τῆς πολιτείας δικαιοσύνῃ καὶ ταῖς ἀρεταῖς ταῖς αὐτῶν φιλοτιμούμενοι καὶ τὸν βίον ἥδιον τῶν ἄλλων διάγοντες. (91) Ὧν ἀμελήσαντες οἱ γενόμενοι μετ' ἐκείνους οὐκ ἄρχειν ἀλλὰ τυραννεῖν ἐπεθύμησαν, ἃ δοκεῖ μὲν τὴν αὐτὴν ἔχειν δύναμιν, c πλεῖστον δ' ἀλλήλων κεχώρισται· τῶν μὲν γὰρ ἀρχόντων ἔργον ἐστὶ τοὺς ἀρχομένους ταῖς αὑτῶν ἐπιμελείαις ποιεῖν εὐδαιμονεστέρους, τοῖς δὲ τυράννοις ἔθος καθέστηκε τοῖς τῶν ἄλλων πόνοις καὶ κακοῖς αὑτοῖς ἡδονὰς παρασκευάζειν. Ἀνάγκη δὲ τοὺς τοιούτοις ἔργοις ἐπιχειροῦντας τυραννικαῖς καὶ ταῖς συμφοραῖς περιπίπτειν, καὶ τοιαῦτα πάσχειν οἷά περ ἂν καὶ τοὺς ἄλλους δράσωσιν. Ἃ καὶ τῇ πόλει συνέπεσεν· (92) ἀντὶ μὲν γὰρ τοῦ φρουρεῖν τὰς τῶν ἄλλων ἀκροπόλεις τῆς αὑτῶν ἐπεῖδον τοὺς πολεμίους κυρίους γενομένους· d ἀντὶ δὲ τοῦ παῖδας ὁμήρους λαμβάνειν, ἀποσπῶντες ἀπὸ πατέρων καὶ μητέρων, πολλοὶ τῶν πολιτῶν ἠναγκάσθησαν τοὺς αὑτῶν ἐν τῇ πολιορκίᾳ χεῖρον παιδεύειν καὶ τρέφειν ἢ προσῆκεν αὐτοῖς· ἀντὶ δὲ τοῦ γεωργεῖν τὰς χώρας τὰς ἀλλοτρίας, πολλῶν ἐτῶν οὐδ' ἰδεῖν αὐτοῖς ἐξεγένετο τὴν αὑτῶν. (93) Ὥστ' εἴ

ducentas. (87) Denas autem et quinas et plures hoc numero amissas et millenos vel bis millenos interfectos quisnam enumeret? Præterea unum erat hoc ex solemnibus anniversariis, ut publicas sepulturas facerent, ad quas multi e finitimis aliisque Græcis conveniebant, non ut peremptos una lugerent, sed ut nostris cladibus inter ipsos lætarentur. (88) Tandem eo res rediere, ut paulatim sepulcra publica civibus, tribus autem et censum civitatis alienigenis implevisse se non viderent. Quanta vero multitudo perierit, ex eo facillime cernitur, quod gentes celeberrimorum virorum amplissimasque familias, quæ et tyrannicas dissensiones et bellum Persicum effugerant, in eo quod tantopere concupiscimus imperio exstirpatas reperiemus. (89) Quare si quis cetera consideret et ad hoc velut exemplar referat, propemodum alii facti esse videamur. At vero ea demum et civitas felix est habenda, non quæ e promiscua hominum omnigenarum colluvie multos cives temere colligit, sed quæ familias eorum, qui urbem condiderunt, maxime conservat; et ii viri in præclaris numerandi sunt, non qui vi potiuntur imperiis aut majores opes quam æquum est possident, sed qui et maximis honoribus digni sunt et iis contenti vivunt, quos populi beneficio consecuti sunt. (90) Nam tali conditione neque privatus neque civitas honestiorem aut tutiorem aut pretii majoris aut magis expetendam obtinere queat: hac qui circa bella Persica erant usi non latronum more vixerunt, alias copia rerum abundantes, alias annonæ penuria laborantes et obsidionibus et malis ingentibus circumventi, sed quum victus eis neque deesset neque superesset, æquitatem gerendæ reipublicæ suasque virtutes laudi sibi ducentes, etiam vitam quam alii suaviorem exegerunt. (91) Qui autem eos proxime secuti sunt, his neglectis non imperium obtinere, sed tyrannidem exercere concupiverunt: quæ quum eandem vim habere videantur, longissimis intervallis distant. Nam eorum qui cum imperio sunt officium est eos qui parent industria sua reddere feliciores, tyrannorum vero ea consuetudo est, suas voluptates ex aliorum ærumnis et cladibus comparare. Necesse est autem eos qui talibus rebus incumbunt, etiam in tyrannicas incidere calamitates et quales se erga alios præbuerint, tales in se quoque alios experiri; id quod et nostræ urbi accidit. (92) Nam pro eo, ut arces aliarum urbium præsidiis occuparent, suam in hostium esse potestate viderunt; deinde quum liberos a parentum complexibus avulsos obsides antea accepissent, multi civium coacti sunt suos liberos in obsidione pejus et alere et instituere, quam eis conveniebat; denique pro eo, ut aliena prædia colerent, multis annis sua ne videre quidem potuerunt.

τις ἡμᾶς ἐρωτήσειεν εἰ δεξαίμεθ' ἂν τοσοῦτον χρόνον e ἄρξαντες τοιαῦτα παθοῦσαν τὴν πόλιν ἐπιδεῖν, τίς ἂν ὁμολογήσειε, πλὴν εἴ τις παντάπασιν ἀπονενοημένος ἐστὶ καὶ μήθ' ἱερῶν μήτε γονέων μήτε παίδων μήτ' ἄλλου μηδενὸς φροντίζει πλὴν τοῦ χρόνου μόνου τοῦ καθ' 178 ἑαυτόν; ὧν οὐκ ἄξιον τὴν διάνοιαν ζηλοῦν, ἀλλὰ πολὺ a μᾶλλον τῶν πολλὴν πρόνοιαν ποιουμένων, καὶ μηδὲν ἧττον ὑπὲρ τῆς κοινῆς δόξης ἢ τῆς ἰδίας φιλοτιμουμένων, καὶ προαιρουμένων μέτριον βίον μετὰ δικαιοσύνης μᾶλλον ἢ μέγαν πλοῦτον μετ' ἀδικίας. (94) Καὶ γὰρ οἱ πρόγονοι τοιούτους αὑτοὺς παρασχόντες τήν τε πόλιν εὐδαιμονεστάτην τοῖς ἐπιγιγνομένοις παρέδοσαν καὶ τῆς αὑτῶν ἀρετῆς ἀθάνατον τὴν μνήμην κατέλιπον. Ἐξ ὧν ἀμφότερα ῥᾴδιόν ἐστι καταμαθεῖν, καὶ τὴν χώραν b ἡμῶν, ὅτι δύναται τρέφειν ἄνδρας ἀμείνους τῶν ἄλλων, καὶ τὴν καλουμένην μὲν ἀρχήν, οὖσαν δὲ συμφοράν, ὅτι πέφυκε χείρους ἅπαντας ποιεῖν τοὺς χρωμένους αὐτῇ.

95. Μέγιστον δὲ τεκμήριον· οὐ γὰρ μόνον ἡμᾶς ἀλλὰ καὶ τὴν Λακεδαιμονίων πόλιν διέφθειρεν, ὥστε τοῖς εἰθισμένοις ἐπαινεῖν τὰς ἐκείνων ἀρετὰς οὐχ οἷόν τ' ἐστὶν εἰπεῖν τοῦτον τὸν λόγον, ὡς ἡμεῖς μὲν διὰ τὸ δημοκρα- c τεῖσθαι κακῶς ἐχρησάμεθα τοῖς πράγμασιν, εἰ δὲ Λακεδαιμόνιοι ταύτην τὴν δύναμιν παρέλαβον, εὐδαίμονας ἂν καὶ τοὺς ἄλλους καὶ σφᾶς αὐτοὺς ἐποίησαν. Πολὺ γὰρ θᾶττον ἐν ἐκείνοις ἐπεδείξατο τὴν φύσιν τὴν αὑτῆς· τὴν γὰρ πολιτείαν ἣν ἐν ἑπτακοσίοις ἔτεσιν οὐδεὶς οἶδεν οὔθ' ὑπὸ κινδύνων οὔθ' ὑπὸ συμφορῶν κινηθεῖσαν, ταύτην ἐν ὀλίγῳ χρόνῳ σαλεῦσαι καὶ λυθῆναι παρὰ μικρὸν d ἐποίησεν. (96) Ἀντὶ γὰρ τῶν καθεστώτων παρ' αὐτοῖς ἐπιτηδευμάτων τοὺς μὲν ἰδιώτας ἐνέπλησεν ἀδικίας, ῥᾳθυμίας, ἀνομίας, φιλαργυρίας, τὸ δὲ κοινὸν τῆς πόλεως ὑπεροψίας μὲν τῶν συμμάχων, ἐπιθυμίας δὲ τῶν ἀλλοτρίων, ὀλιγωρίας δὲ τῶν ὅρκων καὶ τῶν συνθηκῶν. Τοσοῦτον γὰρ ὑπερεβάλοντο τοὺς ἡμετέρους τοῖς εἰς τοὺς Ἕλληνας ἁμαρτήμασιν, ὅσον πρὸς τοῖς πρότερον ὑπάρχουσι σφαγὰς καὶ στάσεις ἐν ταῖς πόλεσιν ἐποίησαν, ἐξ e ὧν ἀειμνήστους τὰς ἔχθρας πρὸς ἀλλήλους ἕξουσιν. (97) Οὕτω δὲ φιλοπολέμως καὶ φιλοκινδύνως διετέθησαν, τὸν ἄλλον χρόνον πρὸς τὰ τοιαῦτα πεφυλαγμένως μᾶλλον 179 τῶν ἄλλων ἔχοντες, ὥστ' οὐδὲ τῶν συμμάχων οὐδὲ a τῶν εὐεργετῶν ἀπέσχοντο τῶν σφετέρων αὐτῶν, ἀλλὰ βασιλέως μὲν αὐτοῖς εἰς τὸν πρὸς ἡμᾶς πόλεμον πλέον ἢ πεντακισχίλια τάλαντα παρασχόντος, Χίων δὲ προθυμότατα πάντων τῶν συμμάχων τῷ ναυτικῷ συγκινδυνευσάντων, (98) Θηβαίων δὲ μεγίστην δύναμιν εἰς τὸ πεζὸν συμβαλομένων, οὐκ ἔφθασαν τὴν ἀρχὴν κατασχόντες, καὶ Θηβαίοις μὲν εὐθὺς ἐπεβούλευσαν, ἐπὶ δὲ τὸν βασιλέα Κλέαρχον καὶ στρατιὰν ἀνέπεμψαν, Χίων b δὲ τοὺς μὲν πρώτους τῶν πολιτῶν ἐφυγάδευσαν, τὰς δὲ τριήρεις ἐκ τῶν νεωρίων ἐξελκύσαντες ἁπάσας ᾤχοντο λαβόντες. (99) Οὐκ ἐξήρκεσε δ' αὐτοῖς ταῦτ' ἐξαμαρτεῖν, ἀλλὰ περὶ τοὺς αὐτοὺς χρόνους ἐπόρθουν μὲν τὴν ἤπειρον, ὕβριζον δὲ τὰς νήσους, ἀνῄρουν δὲ τὰς ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ πολιτείας καὶ τυράννους καθίστασαν,

(93) Itaque si quis nos rogaret, num vellemus ob imperium tantilli temporis rempublicam tantis cladibus affectam intueri, quisnam eam conditionem acciperet, nisi forte quispiam plane desperatus, qui neque sacra neque parentes neque liberos neque quicquam aliud curet, nisi solum vitæ suæ tempus? Quorum nos æmulari mentem indignum est, eoque multo magis imitari decet, qui multa circumspectione ducuntur neque minorem existimationis reipublicæ curam quam suæ susceperunt, quique mediocrem vitæ statum cum æquitate conjunctum magnis opibus male partis anteponunt. (94) Etenim majores nostri quum tales se præbuissent, et posteris florentissimam rempublicam tradiderunt et immortalem virtutis suæ memoriam reliquerunt. Unde utrumque facile perspicitur, tum nostram urbem viros ceteris præstantiores alere posse, tum imperium illud nomine, revera infortunium, omnes, qui eo potiti sunt, reddere deteriores.

95. Cujus rei illud maximum signum est, quod non nos solum, sed etiam Lacedæmoniorum urbem ita corrupit, ut qui virtutes eorum prædicant, jam non possint dicere nos ob popularem statum male rem gessisse, Lacedæmonios autem, si eandem potestatem suscepissent, et semet ipsos et alios felices fuisse reddituros. Nam quod suum esset ingenium, in illis multo celerius declaravit. Quam enim rempublicam septingentorum annorum spatio nemo neque bellis neque casibus aliis labefactatam esse norat, eam exiguo tempore ita concussit, ut parum abesset quin funditus everteretur. (96) Etenim institutis veterum abolitis quum privatos homines injustitia, ignavia, iniquitate, avaritia, tum ipsam rempublicam et contemptu sociorum et appetitione alienorum et neglectu jurisjurandi atque fœderum replevit. Nam tanto gravius Græcos, quam nostri, afflixerunt, ut præter ceteras injurias cædibus etiam et seditionibus turbarent civitates; unde immortales inimicitias inter ipsos habituri sunt. (97) Belli certe quidem adeo cupidi, adeo temerarii facti sunt, ut quum superioribus temporibus cautiores aliis fuissent in ejusmodi rebus, neque societatis jus, nec acceptorum beneficiorum memoria ab inferendis armis eos deterreret: sed quum eis rex Persarum ad bellum contra nos susceptum amplius quinque millia talentum suppeditasset; quum Chii ex omnibus sociis illorum causa promptissime navali prælio dimicassent; (98) quum Thebani maxima vi peditum eis præsto fuissent: non prius principatum obtinuerunt quam Thebanis insidiati sunt et contra Persarum regem Clearchum cum exercitu miserunt et Chiorum principes cives in exilium egerunt et triremes omnes e navalibus abstractas secum averterunt. (99) Nec his delictis contenti, iisdem temporibus Asiam vastarunt, et insulas vexarunt, et Italicas et Siculas respublicas abrogarunt et tyrannos instituerunt, et Pelopo

ἐλυμαίνοντο δὲ τὴν Πελοπόννησον καὶ μεστὴν στάσεων καὶ πολέμων ἐποίησαν. Ἐπὶ ποίαν γὰρ τῶν πόλεων c οὐκ ἐστράτευσαν; ἢ περὶ τίνας αὐτῶν οὐκ ἐξήμαρτον; (100) οὐχ Ἠλείων μὲν μέρος τι τῆς χώρας ἀφείλοντο, τὴν δὲ γῆν τὴν Κορινθίων ἔτεμον, Μαντινέας δὲ διῴκισαν, Φλιασίους δ' ἐξεπολιόρκησαν, εἰς δὲ τὴν Ἀργείων εἰσέβαλον, οὐδὲν δ' ἐπαύσαντο τοὺς μὲν ἄλλους κακῶς ποιοῦντες, αὑτοῖς δὲ τὴν ἧτταν τὴν ἐν Λεύκτροις παρασκευάζοντες; ἥν φασί τινες αἰτίαν γεγενῆσθαι τῇ Σπάρτῃ τῶν κακῶν, οὐκ ἀληθῆ λέγοντες· οὐ γὰρ διὰ ταύτην ὑπὸ d τῶν συμμάχων ἐμισήθησαν, ἀλλὰ διὰ τὰς ὕβρεις τὰς ἐν τοῖς ἔμπροσθεν χρόνοις καὶ ταύτην ἡττήθησαν καὶ περὶ τῆς αὑτῶν ἐκινδύνευσαν. (101) Χρὴ δὲ τὰς αἰτίας ἐπιφέρειν οὐ τοῖς κακοῖς ἐπιγιγνομένοις, ἀλλὰ τοῖς πρώτοις τῶν ἁμαρτημάτων, ἐξ ὧν ἐπὶ τὴν τελευτὴν ταύτην κατηνέχθησαν. Ὥστε πολὺ ἄν τις ἀληθέστερα τυγχάνοι λέγων, εἰ φαίη τότε τὴν ἀρχὴν αὐτοῖς γεγενῆσθαι e τῶν συμφορῶν, ὅτε τὴν ἀρχὴν τῆς θαλάττης παρελάμβανον· ἐκτῶντο γὰρ δύναμιν οὐδὲν ὁμοίαν τῇ πρότερον ὑπαρχούσῃ. (102) Διὰ μὲν γὰρ τὴν κατὰ γῆν ἡγεμονίαν καὶ τὴν εὐταξίαν καὶ τὴν καρτερίαν τὴν ἐν αὐτῇ μελε-
180 τωμένην ῥᾳδίως τῆς κατὰ θάλατταν δυνάμεως ἐπεκράτησαν, a διὰ δὲ τὴν ἀκολασίαν τὴν ὑπὸ ταύτης τῆς ἀρχῆς αὐτοῖς ἐγγενομένην ταχέως κἀκείνης τῆς ἡγεμονίας ἀπεστερήθησαν. Οὐ γὰρ ἔτι τοὺς νόμους ἐφύλαττον οὓς παρὰ τῶν προγόνων παρέλαβον, οὐδ' ἐν τοῖς ἤθεσιν ἔμενον οἷς πρότερον εἶχον, (103) ἀλλ' ὑπολαβόντες ἐξεῖναι ποιεῖν αὐτοῖς ὅ τι ἂν βουληθῶσιν, εἰς πολλὴν ταραχὴν κατέστησαν. Οὐ γὰρ ᾔδεσαν τὴν ἐξουσίαν ἧς πάντες εὔχονται τυχεῖν, ὡς δύσχρηστός ἐστιν, οὐδ' ὡς παραφρονεῖν ποιεῖ τοὺς ἀγαπῶντας αὐτήν, οὐδ' ὅτι τὴν φύσιν b ὁμοίαν ἔχει ταῖς ἑταίραις ταῖς ἐρᾶν μὲν αὑτῶν ποιούσαις, τοὺς δὲ χρωμένους ἀπολλυούσαις. (104) Καίτοι φανερῶς ἐπιδέδεικται ταύτην ἔχουσα τὴν δύναμιν· τοὺς γὰρ ἐν πλείσταις ἐξουσίαις γεγενημένους ἴδοι τις ἂν ταῖς μεγίσταις συμφοραῖς περιπεπτωκότας, ἀρξαμένους ἀφ' ἡμῶν καὶ Λακεδαιμονίων. Αὗται γὰρ αἱ πόλεις καὶ πολιτευόμεναι πρότερον σωφρονέστατα καὶ δόξαν ἔχουσαι c καλλίστην, ἐπειδὴ ταύτης ἔτυχον καὶ τὴν ἀρχὴν ἔλαβον, οὐδὲν ἀλλήλων διήνεγκαν, ἀλλ' ὥσπερ προσήκει τοὺς ὑπὸ τῶν αὐτῶν ἐπιθυμιῶν καὶ τῆς αὐτῆς νόσου διεφθαρμένους, καὶ ταῖς πράξεσι ταῖς αὐταῖς ἐπεχείρησαν καὶ τοῖς ἁμαρτήμασι παραπλησίοις ἐχρήσαντο καὶ τὸ τελευταῖον ὁμοίαις ταῖς συμφοραῖς περιέπεσον. (105) Ἡμεῖς τε γὰρ μισηθέντες ὑπὸ τῶν συμμάχων καὶ περὶ d ἀνδραποδισμοῦ κινδυνεύσαντες ὑπὸ Λακεδαιμονίων ἐσώθημεν, ἐκεῖνοί τε πάντων αὐτοὺς ἀπολέσαι βουληθέντων ἐφ' ἡμᾶς καταφυγόντες δι' ἡμῶν τῆς σωτηρίας ἔτυχον. Καίτοι πῶς χρὴ τὴν ἀρχὴν ταύτην ἐπαινεῖν τὴν τὰς τελευτὰς οὕτω πονηρὰς ἔχουσαν; ἢ πῶς οὐ μισεῖν καὶ φεύγειν τὴν πολλὰ καὶ δεινὰ ποιεῖν ἀμφοτέρας τὰς πόλεις ἐπάρασαν καὶ παθεῖν ἀναγκάσασαν;

106. Οὐκ ἄξιον δὲ θαυμάζειν, εἰ τὸν ἄλλον χρόνον e ἐλάνθανεν ἅπαντας τοσούτων οὖσα κακῶν αἰτία τοῖς

nesum afflixerunt et bellis ac seditionibus compleverunt. Quam enim illi civitatem non oppugnarunt? quos e sociis non injuria læserunt? (100) nonne Eleis agri partem ademerunt? non Corinthiorum agrum populati sunt? non Mantineam in vicos redegerunt? non Phliuntem expugnarunt? non Argivorum agrum incursarunt? unquamne et alios exagitare et cladem sibi Leuctricam præparare destiterunt? Quam qui malorum Spartæ fuisse causam aiunt, verum non dicunt: nec enim ob eam sociorum odia susceperunt, sed ob superiorum temporum injurias et tum superati sunt et de aris ac focis dimicarunt. (101) Neque enim causæ malorum in ea transferendæ sunt, quæ secuta sunt, sed in prima delicta, quæ insecutis infortuniis quasi materiam præbuerunt. Quare si quis dixerit, tunc eis omnium malorum exstitisse principium, quum adepti sunt maris principatum, multo rectius dixerit; potestatem enim susceperunt nulla re illi veteri similem. (102) Nam ob terrestre imperium et disciplinam ac laborum, qua in eo exercebantur, tolerantiam facile etiam maris principatum obtinuerunt, et illud quoque imperium ob hujus principatus insolentiam celeriter amiserunt. Nec enim leges a majoribus acceptas conservabant, neque instituta vetera retinebant; (103) sed quod libuisset, idem sibi licere existimantes in turbas maximas inciderunt. Non enim intelligebant, quam res intractabilis sit potestas, quam omnes exoptant; neque quam facile ii, qui eam concupiverunt, a statu mentis dimoveantur, neque denique, idem esse ejus, quod meretriciularum, ingenium, quæ, quum ad sui amorem alliciant, amatores perdunt. (104) Atqui hanc suam esse vim et naturam perspicue declaravit. Eos enim, qui plurimas potestates et imperia gesserunt, in maximas incidisse videas, sumpto a nobis et Lacedæmoniis initio, calamitates. Nam hæ duæ urbes quum ante moderatione summa rempublicam gererent et optima existimatione essent, quum primum hanc potestatem adeptæ sunt et hoc imperium acceperunt, nihil prorsus diversa conditione fuerunt; sed ut ii qui iisdem libidinibus eodemque morbo constricti tenentur, eadem, ita uti par est, aggressæ facinora paribusque delictis involutæ simili tandem ruina prostratæ conciderunt. (105) Nam et nos odiis sociorum susceptis et republica in extremum imminentis servitutis discrimen adducta a Lacedæmoniis conservati sumus; et illi, quum in eorum exitium omnes conspirassent, ad nos confugerunt et salutem a nobis acceperunt. Quanquam quomodo laudandum est hoc imperium, cujus sunt tam mali exitus? an non odio dignum est, quod ambas urbes multas et acerbas res ut susciperent impulerit et tolerare coegerit?

106. Neque vero mirandum est superiori tempore animadvertisse neminem, quantum malorum importaret, aut

ἔχουσιν αὐτήν, οὐδ' εἰ περιμάχητος ἦν ὑφ' ἡμῶν καὶ Λακεδαιμονίων· εὑρήσετε γὰρ τοὺς πλείστους τῶν ἀνθρώπων περὶ τὰς αἱρέσεις τῶν πραγμάτων ἁμαρτάνον-
181 τας, καὶ πλείους μὲν ἐπιθυμίας ἔχοντας τῶν κακῶν ἢ a
τῶν ἀγαθῶν, ἄμεινον δὲ βουλευομένους ὑπὲρ τῶν ἐχθρῶν ἢ σφῶν αὐτῶν. (107) Καὶ ταῦτ' ἴδοι τις ἂν ἐπὶ τῶν μεγίστων· τί γὰρ οὐχ οὕτω γέγονεν; οὐχ ἡμεῖς μὲν τοιαῦτα προῃρούμεθα πράττειν, ἐξ ὧν Λακεδαιμόνιοι δεσπόται τῶν Ἑλλήνων κατέστησαν, ἐκεῖνοι δ' οὕτω κακῶς προὔστησαν τῶν πραγμάτων, ὥσθ' ἡμᾶς οὐ πολλοῖς ἔτεσιν ὕστερον πάλιν ἐπιπολάσαι καὶ κυρίους γενέσθαι b
τῆς ἐκείνων σωτηρίας; (108) οὐχ ἡ μὲν τῶν ἀττικιζόντων πολυπραγμοσύνη λακωνίζειν τὰς πόλεις ἐποίησεν, ἡ δὲ τῶν λακωνιζόντων ὕβρις ἀττικίζειν τὰς αὐτὰς ταύτας ἠνάγκασεν; οὐ διὰ μὲν τὴν τῶν δημηγορούντων πονηρίαν αὐτὸς ὁ δῆμος ἐπεθύμησε τῆς ὀλιγαρχίας τῆς ἐπὶ τῶν τετρακοσίων καταστάσης, διὰ δὲ τὴν τῶν τριάκοντα μανίαν ἅπαντες δημοτικώτεροι γεγόναμεν τῶν Φυλὴν καταλαβόντων; (109) Ἀλλὰ γὰρ ἐπὶ τῶν c
ἐλαττόνων καὶ τοῦ βίου τοῦ καθ' ἡμέραν ἐπιδείξειεν ἄν τις τοὺς πολλοὺς χαίροντας μὲν καὶ τῶν ἐδεσμάτων καὶ τῶν ἐπιτηδευμάτων τοῖς καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν βλάπτουσιν, ἐπίπονα δὲ καὶ χαλεπὰ νομίζοντας ἀφ' ὧν ἀμφότερα ταῦτ' ἂν ὠφελοῖτο καὶ καρτερικοὺς εἶναι δοκοῦντας τοὺς ἐν τούτοις ἐμμένοντας. (110) Οἵτινες οὖν, ἐν οἷς ἀεὶ ζῶσι καὶ περὶ ὧν αὐτοῖς μᾶλλον μέλει, τὰ χείρω φαίνονται προαιρούμενοι, τί θαυμαστὸν d
εἰ περὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν ἀγνοοῦσι καὶ μάχονται πρὸς ἀλλήλους, περὶ ἧς μηδεὶς πώποτ' αὐτοῖς λογισμὸς εἰσῆλθεν;

111. Ὁρᾶτε δὲ καὶ τὰς μοναρχίας τὰς ἐν ταῖς πόλεσι καθισταμένας, ὅσους ἔχουσι τοὺς ἐπιθυμητὰς καὶ τοὺς
182 ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν ὥστε κατασχεῖν αὐτάς· αἷς τί τῶν δεινῶν ἢ τῶν χαλεπῶν οὐ πρόσεστιν; οὐχ εὐθὺς ἐπειδὰν λάβωσι τὰς δυναστείας, ἐν τοσούτοις ἐμπεπλεγμένοι κακοῖς εἰσιν, (112) ὥστ' ἀναγκάζεσθαι πο- e
λεμεῖν μὲν ἅπασι τοῖς πολίταις, μισεῖν δ' ὑφ' ὧν οὐδὲν κακὸν πεπόνθασιν, ἀπιστεῖν δὲ τοῖς φίλοις καὶ τοῖς ἑταίροις τοῖς αὐτῶν, παρακατατίθεσθαι δὲ τὴν τῶν a
σωμάτων σωτηρίαν μισθοφόροις ἀνθρώποις, οὓς οὐδὲ πώποτ' εἶδον, μηδὲν δ' ἧττον φοβεῖσθαι τοὺς φυλάττοντας ἢ τοὺς ἐπιβουλεύοντας, οὕτω δ' ὑπόπτως πρὸς ἅπαντας ἔχειν ὥστε μηδὲ τοῖς οἰκειοτάτοις θαρρεῖν πλησιάζοντας; (113) εἰκότως· συνίσασι γὰρ τοὺς πρὸ αὐτῶν τετυραννευκότας τοὺς μὲν ὑπὸ τῶν γονέων ἀνῃρημένους, τοὺς δ' ὑπὸ τῶν παίδων, τοὺς δ' ὑπ' ἀδελφῶν, b
τοὺς δ' ὑπὸ γυναικῶν, ἔτι δὲ τὸ γένος αὐτῶν ἐξ ἀνθρώπων ἠφανισμένον. Ἀλλ' ὅμως ὑπὸ τοσαύτας τὸ πλῆθος συμφορὰς ἑκόντες σφᾶς αὐτοὺς ὑποβάλλουσιν. Ὅπου δ' οἱ πρωτεύοντες καὶ δόξας μεγίστας ἔχοντες τοσούτων κακῶν ἐρῶσι, τί δεῖ θαυμάζειν τοὺς ἄλλους, εἰ τοιούτων ἑτέρων ἐπιθυμοῦσιν;

114. Οὐκ ἀγνοῶ δ' ὅτι τὸν μὲν περὶ τῶν τυράννων λόγον ἀποδέχεσθε, τὸν δὲ περὶ τῆς ἀρχῆς δυσκόλως

nos et Lacedæmonios armis de eo contendisse. Nam plurimos mortalium in expetendarum rerum judicio decipi et vehementiore malarum rerum quam bonarum flagrare desiderio et hostibus melius consulere quam sibimetipsis reperietis : (107) id quod maximis in rebus cernitur. Quid enim non ita factum est? an non et nos ea suscepimus agenda, quibus effectum est ut Lacedæmonii Græciæ dominatu potirentur? non illi sua tam infeliciter curarunt, ut nos paucis annis elapsis emergeremus et salus eorum in potestate nostra sita esset? (108) Non Atheniensium improbi conatus effecerunt ut urbes Lacedæmoniorum partes sequerentur? non injuriæ Laconum easdem studere Atheniensibus coegerunt? non ob oratorum improbitatem ipse populus oligarchiam concupivit temporibus Quadringentorum constitutam? non ob triginta tyrannorum insaniam popularis status cupidiores facti sumus omnes quam ii qui Phylen occuparunt? (109) Atque adeo minoribus etiam in rebus et in quotidiana vita cernitur multos iis et cibis et exercitationibus delectari, quibus et corpus et animum lædant; contraque ab iis, quibus utraque hæc juvarentur, tanquam laboriosis et molestis abhorrere, idque fieri cum quadam opinione constantiæ, si in iis perseverarint. (110) Qui igitur in ea vitæ conditione, qua semper vivunt, in iisque rebus quas maxime curant, deteriora præferunt, quid miri est, si, quale sit maris imperium, ignorant deque eo inter se pugnant, de quo nullam unquam cogitationem susceperunt?

111. Regna item videte, quæ in liberis civitatibus constituuntur, quam multos habeant amatores, qui dum ea obtineant, quidvis perpeti non recusent! quibus quid periculorum, quid ærumnarum non inest? An non statim dominatu suscepto tot malis implicantur, (112) ut necesse habeant cum universis civibus bellum gerere, et eos odisse a quibus offensi non sunt? et amicis sociisque suis diffidere ac salutem suam mercenariorum militum fidei credere, quos nunquam viderunt, et custodes non minus formidare quam insidiatores, et ita suspectos habere omnes, ut conjunctissimorum etiam congressus horreant? (113) Nec id san[e] injuria, quum non ignorent superioris ætatis tyrannos mal[e] periisse alios a parentibus, alios a liberis, alios a fratribus alios ab uxoribus interfectos, et genus etiam ipsorum fundi[tus] esse exstirpatum. Tamen infinitas ultro calamitat[es] subeunt. Quodsi viri principes et maxima præditi auctor[i]tate tanta mala sic adamarunt, ceteros talia alia desidera[re] quis miretur?

114. Neque vero ignoro vos, quum orationem de tyrann[is] approbetis, imperii dissuasionem iniquis animis accipe[re]

ἀκούετε· πεπόνθατε γὰρ πάντων αἴσχιστον καὶ ῥαθυμότατον· ἃ γὰρ ἐπὶ τῶν ἄλλων ὁρᾶτε, ταῦτ' ἐφ' ὑμῶν c αὐτῶν ἀγνοεῖτε. Καίτοι τῶν φρονίμως διακειμένων οὐκ ἐλάχιστον τοῦτο σημεῖόν ἐστιν, ἢν τὰς αὐτὰς πράξεις ἐπὶ πάντων τῶν ὁμοίων φαίνωνται γνωρίζοντες. (115) Ὧν ὑμῖν οὐδὲν πώποτ' ἐμέλησεν, ἀλλὰ τὰς μὲν τυραννίδας ἡγεῖσθε χαλεπὰς εἶναι καὶ βλαβερὰς οὐ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ τοῖς ἔχουσιν αὐτάς, τὴν δ' ἀρχὴν τὴν κατὰ θάλατταν μέγιστον τῶν ἀγαθῶν, τὴν οὐδὲν οὔτε τοῖς πάθεσιν οὔτε ταῖς πράξεσι τῶν d μοναρχιῶν διαφέρουσαν. Καὶ τὰ μὲν Θηβαίων πράγματα νομίζετε πονηρῶς ἔχειν, ὅτι τοὺς περιοίκους ἀδικοῦσιν, αὐτοὶ δ' οὐδὲν βέλτιον τοὺς συμμάχους διοικοῦντες ἢ 'κεῖνοι τὴν Βοιωτίαν, ἡγεῖσθε πάντα τὰ δέοντα πράττειν.

116. Ἢν οὖν ἐμοὶ πεισθῆτε, παυσάμενοι τοῦ παντάπασιν εἰκῇ βουλεύεσθαι προσέξετε τὸν νοῦν ὑμῖν αὐτοῖς καὶ τῇ πόλει, καὶ φιλοσοφήσετε καὶ σκέψεσθε τί τὸ ποιῆσάν ἐστι τὼ πόλη τούτω, λέγω δὲ τὴν ἡμετέ- e ραν καὶ τὴν Λακεδαιμονίων, ἐκ ταπεινῶν μὲν πραγμάτων ἑκατέραν ὁρμηθεῖσαν ἄρξαι τῶν Ἑλλήνων, ἐπεὶ δ' ἀνυπέρβλητον τὴν δύναμιν ἔλαβον, περὶ ἀνδραπο-
183 δισμοῦ κινδυνεῦσαι· (117) καὶ διὰ τίνας αἰτίας Θετταλοὶ a μέν, μεγίστους πλούτους παραλαβόντες καὶ χώραν ἀρίστην καὶ πλείστην ἔχοντες, εἰς ἀπορίαν καθεστήκασι, Μεγαρεῖς δέ, μικρῶν αὐτοῖς καὶ φαύλων τῶν ἐξ ἀρχῆς ὑπαρξάντων, καὶ γῆν μὲν οὐκ ἔχοντες οὐδὲ λιμένας οὐδ' ἀργυρεῖα, πέτρας δὲ γεωργοῦντες, μεγίστους οἴκους τῶν Ἑλλήνων κέκτηνται· (118) κἀκείνων μὲν τὰς ἀκροπόλεις ἄλλοι τινὲς ἀεὶ κατέχουσιν, ὄντων αὐτοῖς πλέον τρισχιλίων ἱππέων καὶ πελταστῶν ἀνα- b ριθμήτων, οὗτοι δὲ μικρὰν δύναμιν ἔχοντες τὴν αὑτῶν ὅπως βούλονται διοικοῦσιν· καὶ πρὸς τούτοις οἱ μὲν σφίσιν αὐτοῖς πολεμοῦσιν, οὗτοι δὲ μεταξὺ Πελοποννησίων καὶ Θηβαίων καὶ τῆς ἡμετέρας πόλεως οἰκοῦντες εἰρήνην ἄγοντες διατελοῦσιν. (119) Ἢν γὰρ ταῦτα καὶ τὰ τοιαῦτα διεξίητε πρὸς ὑμᾶς αὐτούς, εὑρήσετε τὴν μὲν ἀκολασίαν καὶ τὴν ὕβριν τῶν κακῶν αἰτίαν γιγνομένην, τὴν δὲ σωφροσύνην τῶν ἀγαθῶν· c ἣν ὑμεῖς ἐπὶ μὲν τῶν ἰδιωτῶν ἐπαινεῖτε, καὶ νομίζετε τοὺς ταύτῃ χρωμένους ἀσφαλέστατα ζῆν καὶ βελτίστους εἶναι τῶν πολιτῶν, τὸ δὲ κοινὸν ἡμῶν οὐκ οἴεσθε δεῖν τοιοῦτον παρασκευάζειν. (120) Καίτοι προσήκει τὰς ἀρετὰς ἀσκεῖν καὶ τὰς κακίας φεύγειν πολὺ μᾶλλον ταῖς πόλεσιν ἢ τοῖς ἰδιώταις. Ἀνὴρ μὲν γὰρ ἀσεβὴς καὶ πονηρὸς τυχὸν ἂν φθάσειε τελευτήσας πρὶν δοῦναι δίκην τῶν ἡμαρτημένων· αἱ δὲ πόλεις διὰ τὴν ἀθανασίαν d ὑπομένουσι καὶ τὰς παρὰ τῶν ἀνθρώπων καὶ τὰς παρὰ τῶν θεῶν τιμωρίας.

121. Ὧν ἐνθυμουμένους χρὴ μὴ προσέχειν τὸν νοῦν τοῖς ἐν τῷ παρόντι μὲν χαριζομένοις, τοῦ δὲ μέλλοντος χρόνου μηδεμίαν ἐπιμέλειαν ποιουμένοις, μηδὲ τοῖς φιλεῖν μὲν τὸν δῆμον φάσκουσιν, ὅλην δὲ τὴν πόλιν λυμαινομένοις· ὡς καὶ πρότερον, ἐπειδὴ παρέλαβον οἱ

Usu enim vobis venit omnium turpissimum et inconsideratissimum : nam quæ in aliis acute perspicitis, ea in vobis ipsis ignoratis. Atqui prudentiæ non minimum illud signum est de iisdem rebus ad eundem modum in omnibus judicare. (115) Quorum nobis nihil unquam curæ fuit. Nam imperia quidem tyrannica et molesta et perniciosa non aliis tantum, sed ipsis etiam tyrannis putatis; imperium vero maris ut maximum bonorum admiramini, quum revera nihil a monarchiis differat, sed easdem prorsus et actiones et calamitates secum trahat. Thebanorum quidem res male se habere putatis, quod finitimis molesti sint; vos autem, quum nihilo sitis in socios æquiores quam illi in Bœotios, nulla in re ab officio aberrare persuasum habetis.

116. Quare si me quidem audire volueritis, in vos ipsos et rempublicam, repudiatis omnino inanibus consiliis, mentem applicabitis, singularique studio prudentissimeque indagabitis, quidnam illud sit, quod ambas urbes (nostram inquam et Lacedæmoniorum) eo provexerit, ut ab exiguis profectæ initiis Græcis imperarint, ac deinde in immensum aucta potentia in summum discrimen adactæ fuerint; (117) quasnam item ob causas Thessali maximis opibus acceptis et amplissima præditi maximaque potentia eo redacti sint, ut nesciant quo se vertant; Megarenses autem, quum opes eorum per se parvæ ac tenues sint (nam neque agrum habent neque portus neque argentifodinas, sed saxa excolunt), amplissimas facultates inter omnes Græcos pararint; (118) atque illorum quidem arces semper alii quidam teneant, quum ultra tria millia equitum habeant et parmatos innumeros; hi autem, quum parvæ eorum copiæ sint, suam rempublicam suo arbitratu administrent; ad hæc cur illi bella intestina gerant, hi quum inter Peloponnesios et Thebanos et nostram urbem medii habitent, in pace perpetuo vivant? (119) Nam si hæc et quæ hujus generis sunt, animo percurreritis, intemperantiam et superbiam malorum, modestiam bonorum exstitisse causam reperietis, quam vos in privatis laudatis et ejus studiosos maxime in tuto esse et reliquis civibus præstare creditis, sed a republica removendam esse ducitis. (120) Decet autem virtutes exercere et aversari vitia non privatos homines solum, sed civitates multo magis. Nam homo sceleratus atque impius fortassis obierit priusquam det scelerum pœnas, urbes vero, quæ quodammodo immortales sunt, nec divinam nec humanam animadversionem effugiunt.

121. Hæc igitur consideranda sunt, nec iis auscultandum qui, dum in præsentia grata dicant, posteritatis nullam rationem habent, quique se populo studere profitentur, quum totam rempublicam evertant. Nam olim etiam istud hominum genus suggestus et concionum dominatione ac

τοιοῦτοι τὴν ἐπὶ τοῦ βήματος δυναστείαν, εἰς τοσαύτην e
ἄνοιαν προήγαγον τὴν πόλιν, ὥστε παθεῖν αὐτὴν οἷά
περ ὀλίγῳ πρότερον ὑμῖν διηγησάμην. (122) Ἃ καὶ
πάντων μάλιστ' ἄν τις θαυμάσειεν, ὅτι προχειρίζεσθε
184 δημαγωγοὺς οὐ τοὺς τὴν αὐτὴν γνώμην ἔχοντας τοῖς a
μεγάλην τὴν πόλιν ποιήσασιν, ἀλλὰ τοὺς ὅμοια καὶ
λέγοντας καὶ πράττοντας τοῖς ἀπολέσασιν αὐτήν, καὶ
ταῦτ' εἰδότες οὐ μόνον ἐν τῷ ποιῆσαι τὴν πόλιν εὐδαί-
μονα τοὺς χρηστοὺς τῶν πονηρῶν διαφέροντας, (123)
ἀλλὰ καὶ τὴν δημοκρατίαν ἐπὶ μὲν ἐκείνων ἐν πολλοῖς
ἔτεσιν οὔτε κινηθεῖσαν οὔτε μεταστᾶσαν, ἐπὶ δὲ τούτων
ἐν ὀλίγῳ χρόνῳ δὶς ἤδη καταλυθεῖσαν, καὶ τὰς φυγὰς
τὰς ἐπὶ τῶν τυράννων καὶ τὰς ἐπὶ τῶν τριάκοντα γενο- b
μένας οὐ διὰ τοὺς συκοφάντας κατελθούσας, ἀλλὰ διὰ
τοὺς μισοῦντας τοὺς τοιούτους καὶ μεγίστην ἐπ' ἀρετῇ
δόξαν ἔχοντας.

124. Ἀλλ' ὅμως τηλικούτων ἡμῖν ὑπομνημάτων κα-
ταλελειμμένων ὡς ἐφ' ἑκατέρων αὐτῶν ἡ πόλις ἔπρατ-
τεν, οὕτω χαίρομεν ταῖς τῶν ῥητόρων πονηρίαις, ὥσθ'
ὁρῶντες διὰ τὸν πόλεμον καὶ τὰς ταραχάς, ἃς οὗτοι
πεποιήκασι, τῶν μὲν ἄλλων πολιτῶν πολλοὺς ἐκ τῶν
πατρῴων ἐκπεπτωκότας, τούτους δ' ἐκ πενήτων πλου- c
σίους γεγενημένους, οὐκ ἀγανακτοῦμεν οὐδὲ φθονοῦμεν
ταῖς εὐπραγίαις αὐτῶν, (125) ἀλλ' ὑπομένομεν τὴν μὲν
πόλιν διαβολὰς ἔχουσαν ὡς λυμαίνεται καὶ δασμολογεῖ
τοὺς Ἕλληνας, τούτους δὲ τὰς ἐπικαρπίας λαμβάνον-
τας, καὶ τὸν μὲν δῆμον, ὅν φασιν οὗτοι δεῖν τῶν ἄλλων
ἄρχειν, χεῖρον πράττοντα τῶν ταῖς ὀλιγαρχίαις δου-
λευόντων, οἷς δ' οὐδὲν ὑπῆρχεν ἀγαθόν, τούτους δὲ διὰ
τὴν ἄνοιαν τὴν ἡμετέραν ἐκ ταπεινῶν εὐδαίμονας γε- d
γενημένους. (126) Καίτοι Περικλῆς ὁ πρὸ τῶν τοιού-
των δημαγωγὸς καταστάς, παραλαβὼν τὴν πόλιν χεῖρον
μὲν φρονοῦσαν ἢ πρὶν κατασχεῖν τὴν ἀρχήν, ἔτι δ'
ἀνεκτῶς πολιτευομένην, οὐκ ἐπὶ τὸν ἴδιον χρηματισμὸν
ὥρμησεν, ἀλλὰ τὸν μὲν οἶκον ἐλάττω τὸν αὑτοῦ κατέ-
λιπεν ἢ παρὰ τοῦ πατρὸς παρέλαβεν, εἰς δὲ τὴν ἀκρό-
πολιν ἀνήγαγεν ὀκτακισχίλια τάλαντα χωρὶς τῶν e
ἱερῶν. (127) Οὗτοι δὲ τοσοῦτον ἐκείνου διενηνόχασιν,
ὥστε λέγειν μὲν τολμῶσιν ὡς διὰ τὴν τῶν κοινῶν ἐπι-
μέλειαν οὐ δύνανται τοῖς αὑτῶν ἰδίοις προσέχειν τὸν
νοῦν, φαίνεται δὲ τὰ μὲν ἀμελούμενα τοσαύτην εἰλη-
185 φότα τὴν ἐπίδοσιν, ὅσην οὐδ' ἂν εὔξασθαι τοῖς θεοῖς a
πρότερον ἠξίωσαν, τὸ δὲ πλῆθος ἡμῶν, οὗ κήδεσθαί
φασιν, οὕτω διακείμενον ὥστε μηδένα τῶν πολιτῶν
ἡδέως ζῆν μηδὲ ῥᾳθύμως, ἀλλ' ὀδυρμῶν μεστὴν εἶναι
τὴν πόλιν. (128) Οἱ μὲν γὰρ τὰς πενίας καὶ τὰς ἐν-
δείας ἀναγκάζονται διεξιέναι καὶ θρηνεῖν πρὸς σφᾶς
αὐτούς, οἱ δὲ τὸ πλῆθος τῶν προσταγμάτων καὶ τῶν
λειτουργιῶν καὶ τὰ κακὰ τὰ περὶ τὰς συμμορίας
καὶ τὰς ἀντιδόσεις· ἃ τοιαύτας ἐμποιεῖ λύπας, ὥστ'
ἄλγιον ζῆν τοὺς τὰς οὐσίας κεκτημένους ἢ τοὺς συνεχῶς b
πενομένους.

129. Θαυμάζω δ' εἰ μὴ δύνασθε συνιδεῖν ὅτι γένος
οὐδέν ἐστι κακονούστερον τῷ πλήθει πονηρῶν ῥητόρων

regno suscepto in eam dementiam urbem perduxit, ut calamitates eas pateretur, quas paulo ante commemoravi. (122) Maxime igitur mirum est vos duces populi non illos eligere qui eodem animo sint quo ii qui rempublicam amplificarunt, sed eos qui non alia et dicunt et agunt, quam qui everterunt, quum præsertim sciatis non eo solum præstare improbis bonos viros, quod hi civitatem beatam reddunt, (123) sed democratiam etiam iis gubernantibus per multos annos neque motam neque mutatam esse, sub istis parvo spatio temporis bis jam dissolutam, et qui tyrannorum et trigintavirorum tempore in exilium acti essent, eos non per sycophantas ab exilio esse revocatos, sed eorum ope restitutos, qui et istis infensissimi sint et ob virtutem celeberrimi.

124. Etsi autem nobis tanta monumenta relicta sunt clareque perspicitur, quid ex utrorumque gubernatione respublica vel commodi vel detrimenti ceperit: sic tamen oratorum improbitate delectamur, ut, quum videamus ob bella et tumultus ab istis excitatos ceterorum civium permultos paternis bonis spoliatos, ipsos e pauperibus divites esse factos, non indignemur nec successibus eorum invideamus, (125) sed convicia æquis animis feramus, quæ nostræ urbi dicantur, ab ipsa affligi et vexari exactionibus Græcos, quarum illi fructus percipiant, et populum, quem isti aliis imperare oportere dictitant, infeliciorem esse iis qui in oligarchiis serviant; qui autem omni bono caruerint, eos per amentiam nostram ex humilibus factos beatos esse. (126) At Pericles, qui ante istos populo præfuit, quum urbem administrandam suscepisset, non quidem ita sanam et moderatam, ut ante adeptum principatum, sed mediocriter tamen adhuc constitutam, non suis opibus augendis intentus fuit, sed minorem censum reliquit quam a patre acceperat; in arcem vero talenta octies mille retulit præter sacram pecuniam et ornamenta templorum. (127) Inter istos autem et illum tantum interest, ut, quum dicere audeant se ob reipublicæ administrationem non vacare posse curandæ rei familiari, tamen ea, quæ negliguntur scilicet, tanta incrementa sumpsisse constet, quanta olim ne a diis quidem precari ausi fuissent, plerosque autem nostrûm sic esse malis oppressos, ut nemo civium suaviter et tranquillo animo vivat, sed lamentationum plena tota sit civitas. (128) Nam alii secum paupertatem et inopiam queri suam coguntur; alii multiplicia edicta et munera, et calamitates symmoriorum, et opum permutationes miserantur, quæ tantas molestias pariunt, ut insuavius ii vivant qui rem habent, quam qui in paupertate perpetua degunt.

129. Mirum profecto est, vos non perspicere tandem, nullum hominum genus malevolentius esse multitudini

και δημαγωγῶν· πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς καὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην ἀναγκαίων οὗτοι μάλιστα βούλονται σπανίζειν ὑμᾶς, ὁρῶντες τοὺς μὲν ἐκ τῶν ἰδίων δυναμένους τὰ σφέτερ' αὐτῶν διοικεῖν τῆς πόλεως ὄντας καὶ τῶν τὰ βέλτιστα λεγόντων, (130) τοὺς δ' ἀπὸ τῶν δικαστηρίων ζῶντας καὶ τῶν ἐκκλησιῶν καὶ τῶν c ἐντεῦθεν λημμάτων ὑφ' αὑτοῖς διὰ τὴν ἔνδειαν ἠναγκασμένους εἶναι, καὶ πολλὴν χάριν ἔχοντας ταῖς εἰσαγγελίαις καὶ ταῖς γραφαῖς καὶ ταῖς ἄλλαις συκοφαντίαις ταῖς δι' αὐτῶν γιγνομέναις. (131) Ἐν οὖν ταῖς ἀπορίαις, ἐν αἷς αὐτοὶ δυναστεύουσιν, ἐν ταύταις ἥδιστ' ἂν ἴδοιεν ἅπαντας ὄντας τοὺς πολίτας. Τεκμήριον δὲ μέγιστον· οὐ γὰρ τοῦτο σκοποῦσιν, ἐξ οὗ τρόπου τοῖς δεομένοις βίον ἐκποριοῦσιν, ἀλλ' ὅπως τοὺς ἔχειν d τι δοκοῦντας τοῖς ἀπόροις ἐξισώσουσιν.

132. Τίς οὖν ἀπαλλαγὴ γένοιτ' ἂν τῶν κακῶν τῶν παρόντων; Διείλεγμαι μὲν τὰ πλεῖστα περὶ αὐτῶν τούτων, οὐκ ἐφεξῆς, ἀλλ' ὡς ἕκαστον τῷ καιρῷ συνέπιπτεν· μᾶλλον δ' ἂν ὑμῖν ἐγγένοιτο μνημονεύειν, εἰ συναγαγὼν τὰ μάλιστα κατεπείγοντα πάλιν ἐπανελθεῖν αὐτὰ πειραθείην.

133. Ἔστι δ' ἐξ ὧν ἂν ἐπανορθώσαιμεν τὰ τῆς πόλεως καὶ βελτίω ποιήσαιμεν, πρῶτον μὲν ἢν συμβούe λους ποιώμεθα τοιούτους περὶ τῶν κοινῶν, οἵους περ ἂν περὶ τῶν ἰδίων ἡμῖν εἶναι βουληθεῖμεν, καὶ παυσώμεθα δημοτικοὺς μὲν εἶναι νομίζοντες τοὺς συκοφάντας, 186 ὀλιγαρχικοὺς δὲ τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν, a γνόντες ὅτι φύσει μὲν οὐδεὶς οὐδέτερον τούτων ἐστίν, ἐν ᾗ δ' ἂν ἕκαστοι τιμῶνται, ταύτην βούλονται καθεστάναι τὴν πολιτείαν· (134) δεύτερον δ' ἢν ἐθελήσομεν χρῆσθαι τοῖς συμμάχοις ὁμοίως ὥσπερ τοῖς φίλοις, καὶ μὴ λόγῳ μὲν αὐτονόμους ἀφιῶμεν, ἔργῳ δὲ τοῖς στρατηγοῖς αὐτοὺς ὅ τι ἂν βούλωνται ποιεῖν ἐκδιδῶμεν, μηδὲ δεσποτικῶς ἀλλὰ συμμαχικῶς αὐτῶν ἐπιστατῶμεν, ἐκεῖνο καταμαθόντες, ὅτι μιᾶς μὲν ἑκάστης τῶν b πόλεων κρείττους ἐσμέν, ἁπασῶν δ' ἥττους· (135) τρίτον ἢν μηδὲν περὶ πλείονος ἡγῆσθε, μετά γε τὴν περὶ τοὺς θεοὺς εὐσέβειαν, τοῦ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· τοῖς γὰρ οὕτω διακειμένοις ἑκόντες καὶ τὰς δυναστείας καὶ τὰς ἡγεμονίας διδόασιν.

136. Ἢν οὖν ἐμμείνητε τοῖς εἰρημένοις, καὶ πρὸς τούτοις ὑμᾶς αὐτοὺς παράσχητε πολεμικοὺς μὲν ὄντας ταῖς μελέταις καὶ ταῖς παρασκευαῖς, εἰρηνικοὺς δὲ τῷ c μηδὲν παρὰ τὸ δίκαιον πράττειν, οὐ μόνον εὐδαίμονα ποιήσετε ταύτην τὴν πόλιν, ἀλλὰ καὶ τοὺς Ἕλληνας ἅπαντας. (137) Οὐδὲ γὰρ ἄλλη τῶν πόλεων οὐδεμία τολμήσει περὶ αὐτοὺς ἐξαμαρτάνειν, ἀλλ' ὀκνήσουσι καὶ πολλὴν ἡσυχίαν ἄξουσιν, ὅταν ἴδωσιν ἐφεδρεύουσαν τὴν δύναμιν τὴν ἡμετέραν καὶ παρεσκευασμένην τοῖς ἀδικουμένοις βοηθεῖν. Οὐ μὴν ἀλλ' ὁπότερον ἂν ποιήσωσι, τό γ' ἡμέτερον καλῶς ἕξει καὶ συμφερόντως. (138) Ἤν τε γὰρ δόξῃ τῶν πόλεων ταῖς προεχούσαις d ἀπέχεσθαι τῶν ἀδικημάτων, ἡμεῖς τούτων τῶν ἀγαθῶν τὴν αἰτίαν ἕξομεν· ἤν τ' ἐπιχειρῶσιν ἀδικεῖν, ἐφ' ἡμᾶς

quam improbos oratores et plebis concitatores. Nam præter mala cetera etiam annonæ vos laborare penuria hi maxime optant. Vident enim eos qui de suo habent unde vivant, reipublicæ addictos esse et cum iis facere qui rectissime consulunt; (130) qui autem de judiciis et de concionibus victitant et quæ inde percipiuntur emolumentis, eos inopia coactos a se pendere et magnam habere gratiam delationibus et accusationibus et reliquis calumniis, quarum isti sunt auctores. (131) Quum igitur regnum sibi stabiliri civium inopia videant, eos omnes vellent esse quam egentissimos. Cujus rei signum illud certissimum est, quod non tam inopiæ tenuiorum student succurrere, quam eos qui aliquid habere videntur, egentibus exæquare.

132. Quod igitur his malis remedium invenietur? Disserui jam quidem de his fere omnibus, non ordine, sed uti singula se tempori offerre videbantur: quæ facilius memoria custodietis, si maxime necessaria collecta in unum locum repetiverimus.

133. Prima igitur hæc est emendandæ et erigendæ reipublicæ ratio, si de publicis negotiis deliberaturi tales in consilium adhibuerimus, quales in privatis rebus adhibere velimus, et desierimus calumniatores existimare populares honestosque viros oligarchicos. Illud enim tenendum est natura neminem vel popularem vel paucorum esse potentiæ studiosum, sed eam quemque reipublicæ formam expetere maxime, in qua maxime honoretur. (134) Secundo vero loco tales debemus erga socios nos præbere, quales erga amicos; non autem verbo libertatem dare, re ipsa vero ducibus nostris omnem in eos grassandi licentiam proponere, neque eis præesse ut domini servis, sed ita ut sociis dignum est, illud edocti, nos singulis urbibus superiores esse viribus, universis inferiores. (135) Tertium est, ut, secundum pietatem in deos, nihil pluris faciatis quam ut apud Græcos maximam laudem adipiscamini. Nam quos illi sic animatos viderint, his ultro imperia et principatum deferunt.

136. Quodsi ea quæ diximus præstiteritis et ita vos comparaveritis, ut et rei militaris exercitatione atque apparatu sitis bellicosi, et nihil præter jus et æquum agendo pacis studiosi: non hanc modo urbem felicem reddetis, sed etiam Græcos universos. (137) Nec enim ulla ceterarum urbium eos lædere audebit, sed verebuntur solliciteque cavebunt, ne quid moveant, quando viderint nostram potentiam imminentem paratamque quæ injuria affectis opituletur. Sed utrum illæ fecerint, reipublicæ nostræ res recte ac præclare se habebunt. (138) Sive enim potentioribus urbibus visum fuerit abstinere injuriis, ea felicitas nobis imputabitur; sive grassari illæ cœperint, omnes qui in metu et malis

ἅπαντες οἱ δεδιότες καὶ κακῶς πάσχοντες καταφεύξονται, πολλὰς ἱκετείας καὶ δεήσεις ποιούμενοι, καὶ διδόντες οὐ μόνον τὴν ἡγεμονίαν ἀλλὰ καὶ σφᾶς αὐτούς· (139) ὥστ' οὐκ ἀπορήσομεν μεθ' ὧν κωλύσομεν τοὺς ἐξαμαρτάνοντας, ἀλλὰ πολλοὺς ἕξομεν τοὺς ἑτοίμως καὶ προθύμως συναγωνιζομένους ἡμῖν. Ποία γὰρ πόλις ἢ τίς ἀνθρώπων οὐκ ἐπιθυμήσει μετασχεῖν τῆς e φιλίας καὶ τῆς συμμαχίας τῆς ἡμετέρας, ὅταν ὁρῶσι τοὺς αὐτοὺς ἀμφότερα καὶ δικαιοτάτους ὄντας καὶ 187 μεγίστην δύναμιν κεκτημένους, καὶ τοὺς μὲν ἄλλους a σώζειν καὶ βουλομένους καὶ δυναμένους, αὐτοὺς δὲ μηδεμιᾶς βοηθείας δεομένους; (140) πόσην δὲ χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς πόλεως λήψεσθαι, τοιαύτης εὐνοίας ἡμῖν παρὰ τῶν ἄλλων ὑπαρξάσης; πόσον δὲ πλοῦτον εἰς τὴν πόλιν εἰσρυήσεσθαι, δι' ἡμῶν ἁπάσης τῆς Ἑλλάδος σωζομένης; τίνας δ' οὐκ ἐπαινέσεσθαι τοὺς τοσούτων καὶ τηλικούτων ἀγαθῶν αἰτίους γεγενημένους; (141) Ἀλλὰ γὰρ οὐ δύναμαι διὰ τὴν ἡλικίαν b ἅπαντα τῷ λόγῳ περιλαβεῖν, ἃ τυγχάνω τῇ διανοίᾳ καθορῶν, πλὴν ὅτι καλόν ἐστιν ἐν ταῖς τῶν ἄλλων ἀδικίαις καὶ μανίαις πρώτους εὖ φρονήσαντας προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ σωτῆρας ἀλλὰ μὴ λυμεῶνας αὐτῶν κληθῆναι, καὶ περιβλέπτους ἐπ' ἀρετῇ γενομένους τὴν δόξαν τὴν τῶν προγόνων ἀναλαβεῖν.

142. Κεφάλαιον δὲ τούτων ἐκεῖν' ἔγω λέγειν, εἰς ὃ πάντα τὰ προειρημένα συντείνει καὶ πρὸς ὃ χρὴ βλέ- c ποντας τὰς πράξεις τὰς τῆς πόλεως δοκιμάζειν. Δεῖ γὰρ ἡμᾶς, εἴπερ βουλόμεθα διαλύσασθαι μὲν τὰς διαβολὰς ἃς ἔχομεν ἐν τῷ παρόντι, παύσασθαι δὲ τῶν πολέμων τῶν μάτην γιγνομένων, κτήσασθαι δὲ τῇ πόλει τὴν ἡγεμονίαν εἰς τὸν ἅπαντα χρόνον, μισῆσαι μὲν ἁπάσας τὰς τυραννικὰς ἀρχὰς καὶ τὰς δυναστείας, ἀναλογισαμένους τὰς συμφορὰς τὰς ἐξ αὐτῶν γεγενημένας, ζηλῶσαι δὲ καὶ μιμήσασθαι τὰς ἐν Λακε- d δαίμονι βασιλείας. (143) Ἐκείνοις γὰρ ἀδικεῖν μὲν ἧττον ἔξεστιν ἢ τοῖς ἰδιώταις, τοσούτῳ δὲ μακαριστότεροι τυγχάνουσιν ὄντες τῶν βίᾳ τὰς τυραννίδας κατεχόντων, ὅσον οἱ μὲν τοὺς τοιούτους ἀποκτείναντες τὰς μεγίστας δωρεὰς παρὰ τῶν συμπολιτευομένων λαμβάνουσιν, ὑπὲρ ἐκείνων δ' οἱ μὴ τολμῶντες ἐν ταῖς μάχαις ἀποθνήσκειν ἀτιμότεροι γίγνονται τῶν τὰς e τάξεις λειπόντων καὶ τὰς ἀσπίδας ἀποβαλλόντων. (144) Ἄξιον οὖν ὀρέγεσθαι τῆς τοιαύτης ἡγεμονίας. Ἔνεστι δὲ τοῖς πράγμασιν ἡμῶν τυχεῖν παρὰ τῶν Ἑλλήνων τῆς τιμῆς ταύτης, ἥνπερ ἐκεῖνοι παρὰ τῶν πολιτῶν ἔχουσιν, ἢν ὑπολάβωσι τὴν δύναμιν τὴν ἡμετέραν μὴ 188 δουλείας ἀλλὰ σωτηρίας αἰτίαν αὐτοῖς ἔσεσθαι. a

145. Πολλῶν δὲ καὶ καλῶν λόγων ἐνόντων περὶ τὴν ὑπόθεσιν ταύτην, ἐμοὶ μὲν ἀμφότερα συμβουλεύει παύσασθαι λέγοντι, καὶ τὸ μῆκος τοῦ λόγου καὶ τὸ πλῆθος τῶν ἐτῶν τῶν ἐμῶν· τοῖς δὲ νεωτέροις καὶ μᾶλλον ἀκμάζουσιν ἢ 'γὼ παραινῶ καὶ παρακελεύομαι τοιαῦτα καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν τὰς μεγίστας

erunt, ad nos confugient et supplices a nobis auxilium magna contentione expetent, nec principatum tantum, sed semetipsos etiam nobis tradent. (139) Quare non defuturi sunt quorum ope delinquentes coerceamus, sed multos habebimus, qui strenuam et paratam operam nobis navent. Quæ enim urbs, imo quis mortalium nostram amicitiam et societatem non ducet expetendam, quum eosdem utraque re et insigni justitia et maxima potentia viderint præditos itaque paratos, ut aliis saluti esse et possint et velint, quum ipsi nullis auxiliis egeant? (140) Quanta vero nostræ urbis incrementa erunt, ubi aliorum tanta erit erga nos benevolentia? quantis opibus affluet etiam respublica, universa Græcia per nos conservata? qui nos non efferent laudibus, tot ac tantorum bonorum auctores? (141) Sed ego propter ætatem oratione mea non omnia complecti possum quæ animo perspicio, nisi quod præclarum est nos in aliorum injuriis et insania primos ad sanam mentem reversos Græcorum salutis et libertatis curam suscipere potius quam pestes illorum appellari, et virtute illustres avitam gloriam recuperare.

142. Nunc id dicam quod horum caput est, quo et superiora omnia pertinent, et in quod intuentes omnes nostræ urbis actiones probare debemus. Nam si maledicta, quibus nunc petimur, exstinguere, si temeraria bella sopire, si principatum perpetuo reipublicæ nostræ comparare studemus: omnia tyrannica imperia et potestates odio sunt habendæ, consideratis calamitatibus, quæ inde exortæ sunt, et regnum duplicatum Lacedæmoniorum admirandum atque imitandum. (143) Quorum regibus minor delinquendi potestas est quam hominibus privatis; tanto autem feliciores sunt iis qui vi tenent imperia, ut tyrannorum quidem interfectoribus maxima præmia publice constituta sint, pro illis vero qui mortem in præliis oppetere dubitant, ignominiosiores habeantur quam qui deseruerunt ordines aut clypeos abjecerunt. (144) Operæ pretium est igitur talem expetere principatum. Harum autem rerum nostrarum ea natura est, ut a Græcis per eas honorem eundem consequamur, qui Spartanis regibus a civibus habetur, si nostram potentiam non ad opprimendam, sed ad conservandam Græciam pertinere existimarint.

145. Etsi autem de hoc argumento et multa et varia dici possunt, tamen ut dicendi finem faciam, utraque me admonent, et orationis longitudo, et annorum meorum multitudo. Adolescentes autem et per ætatem me robustiores moneo et hortor, ut ea et dicant et scribant, quibus maximæ urbes

τῶν πόλεων καὶ τὰς εἰθισμένας ταῖς ἄλλαις κακὰ παρέχειν προτρέψουσιν ἐπ' ἀρετὴν καὶ δικαιοσύνην, ὡς ἐν ταῖς τῆς Ἑλλάδος εὐπραγίαις συμβαίνει καὶ τὰ τῶν φιλοσόφων πράγματα πολλῷ βελτίω γίγνεσθαι.

ΕΥΑΓΟΡΑΣ.

189 Ὁρῶν, ὦ Νικόκλεις, τιμῶντά σε τὸν τάφον τοῦ πα- a τρὸς οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν ἐπιφερομένων, ἀλλὰ καὶ χοροῖς καὶ μουσικῇ καὶ γυμνικοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις ἵππων τε καὶ τριήρων ἁμίλλαις, καὶ λείποντ' οὐδεμίαν τῶν τοιούτων ὑπερβολήν, (2) ἡγησάμην Εὐαγόραν, εἴ τις ἐστὶν αἴσθησις τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων, εὐμενῶς μὲν b ἀποδέχεσθαι καὶ ταῦτα, καὶ χαίρειν ὁρῶντα τήν τε περὶ αὐτὸν ἐπιμέλειαν καὶ τὴν σὴν μεγαλοπρέπειαν, πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν ἢ τοῖς ἄλλοις ἅπασιν, εἴ τις δυνηθείη περὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ καὶ τῶν κινδύνων ἀξίως διελθεῖν τῶν ἐκείνῳ πεπραγμένων· (3) εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους, ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκόλως c αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην καταλείψουσιν. (4) Αἱ μὲν οὖν δαπάναι τῶν μὲν τοιούτων οὐδὲν ἐξεργάζονται, τοῦ δὲ πλούτου σημεῖόν εἰσιν· ὁ δὲ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν τὰς δυνάμεις τὰς αὑτῶν οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι, σφᾶς αὐτοὺς ἐντι- d μοτέρους κατέστησαν· ὁ δὲ λόγος εἰ καλῶς διέλθοι τὰς ἐκείνου πράξεις, ἀείμνηστον ἂν τὴν ἀρετὴν τὴν Εὐαγόρου παρὰ πᾶσιν ἀνθρώποις ποιήσειεν.

5. Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ' αὑτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵν' οἵ τε δυνάμενοι τὰ τῶν ἄλλων ἔργα κοσμεῖν ἐν εἰδόσι ποιούμενοι 190 τοὺς λόγους ταῖς ἀληθείαις ἐχρῶντο περὶ αὐτῶν, οἵ τε a νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς τὴν ἀρετήν, εἰδότες ὅτι τούτων εὐλογήσονται μᾶλλον, ὧν ἂν ἀμείνους σφᾶς αὐτοὺς παράσχωσιν. (6) Νῦν δὲ τίς οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ Τρωικὰ καὶ τοὺς ἐπέκεινα γενομένους ὑμνουμένους καὶ τραγῳδουμένους, αὑτὸν δὲ προειδῇ, μηδ' ἂν ὑπερβάλλῃ τὰς ἐκείνων ἀρετάς, μηδέποτε τοιούτων ἐπαίνων ἀξιωθη- b σόμενον; Τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ τοῦτο μόνον ἀγαθὸν πρόσεστιν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. Οὕτω γάρ τινες δυσκόλως πεφύκασιν, ὥσθ' ἥδιον ἂν εὐλογουμένων ἀκούοιεν οὓς οὐκ ἴσασιν εἰ γεγόνασιν, ἢ τούτων ὑφ' ὧν εὖ πεπονθότες αὐτοὶ τυγχάνουσιν. (7) Οὐ μὴν δουλευτέον τοὺς νοῦν ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσιν, ἀλλὰ τῶν μὲν τοιούτων ἀμελητέον, τοὺς δ' ἄλλους ἐθιστέον ἀκούειν περὶ ὧν καὶ c λέγειν δίκαιόν ἐστιν, ἄλλως τ' ἐπειδὴ καὶ τὰς ἐπιδόσεις ἴσμεν γιγνομένας καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάν-

et aliis nocere solitæ ad virtutem et justitiam incitentur: nam in rebus Græciæ secundis evenit ut eruditorum etiam hominum res multo fiant meliores.

9.

EUAGORAS.

Quum te viderem patris tui funus ornare, Nicocles, non magnifico tantum et splendido apparatu, sed et choris et fidibus et ludis gymnicis, atque etiam equorum triremiumque certaminibus, nihil denique prætermittere, quo quidquam ad talium rerum amplitudinem addi posset: (2) equidem Euagoram (si quid eorum quæ hic fiunt, defuncti sentirent) existimabam, quum ista benigne approbare et libenter spectare istam sui curam tuamque magnificentiam, tum ei multo majorem etiam quam ceteris omnibus gratiam habiturum, qui de institutis ejus discriminibusque dicere posset pro dignitate rerum ab ipso gestarum. (3) Honoris enim cupidos viros et magnanimos non tantum istis rebus laudem anteponere constat, sed æquo animo obitum etiam vitæ præferre, ac gloriæ quam salutis studiosiores esse, omniaque facere ut immortalem sui memoriam relinquant. (4) Sumptus autem nihil ejusmodi præstant, sed divitiarum sunt argumentum, et qui artibus aliisque studiis operam dant, suis partim viribus, partim artificiis ostentatis semetipsos honoratiores effecerunt: qui autem res ejus gestas ornata oratione recenseret, is Euagoræ virtutem immortali omnium hominum memoriæ commendaret.

5. Laudare igitur etiam alii debebant eos qui temporibus ipsorum strenue se gessissent, ut et ii qui facta aliorum ornare possent, apud eos, qui scirent, verba facientes, res auditoribus vere narrarent, et adolescentes, quum scirent se iis fore illustriores, quibus recte factis præstitissent, majore studio virtutis incitarentur. (6) Nunc vero quis animum non despondeat, quum eos qui circa Trojana et ante illa tempora vixerunt, et hymnis et tragœdiis celebrari videat, se vero sciat, tametsi illorum excellentiam superasset, nunquam tales laudes consecuturum? Hujus autem rei culpam invidia sustinet, quæ id solum habet boni, quod sibimet ipsi plurimum affert mali. Sunt enim quidam ita præfractis ingeniis, ut eos laudari libentius audiant, quos utrum nati sint ignorant, quam eos, a quibus ipsi beneficiis sunt affecti. (7) Enimvero non decet cordatos quidem viros istorum servire tantæ amentiæ, sed et negligendi sunt tales, et assuefaciendi ceteri ad ea, quæ dici etiam æquum est, audienda, præsertim quum et artes et omnia cetera esse aucta sciamus non per eos qui usitata retinue-

των οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν, ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας καὶ τολμῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων.

8. Οἶδα μὲν οὖν ὅτι χαλεπόν ἐστιν ὃ μέλλω ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. Σημεῖον δὲ μέγιστον· περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες, περὶ δὲ τῶν τοιούτων οὐδεὶς πώποτ' αὐτῶν συγγράφειν ἐπε- d χείρησεν. Καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην. (9) Τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι· καὶ γὰρ πλησιάζοντας τοὺς θεοὺς τοῖς ἀνθρώποις οἷόν τ' αὐτοῖς ποιῆσαι, καὶ διαλεγομένους καὶ συναγωνιζομένους οἷς ἂν βουληθῶσι, καὶ περὶ τούτων δηλῶσαι μὴ μόνον τοῖς τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξένοις, τὰ δὲ καινοῖς, τὰ δὲ μεταφοραῖς, καὶ μηδὲν παραλιπεῖν, ἀλλὰ πᾶσι e τοῖς εἴδεσι διαποικῖλαι τὴν ποίησιν· (10) τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων, ἀλλ' ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς μόνον καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ αὐτὰς τὰς πράξεις ἀναγκαῖόν ἐστι 191 χρῆσθαι. Πρὸς δὲ τούτοις οἱ μὲν μετὰ μέτρων καὶ a ῥυθμῶν ἅπαντα ποιοῦσιν, οἱ δ' οὐδενὸς τούτων κοινωνοῦσιν· ἃ τοσαύτην ἔχει χάριν, ὥστ' ἂν καὶ τῇ λέξει καὶ τοῖς ἐνθυμήμασιν ἔχῃ κακῶς, ὅμως αὐταῖς ταῖς εὐρυθμίαις καὶ ταῖς συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας. (11) Γνοίη δ' ἄν τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν· ἢν γάρ τις τῶν ποιημάτων τῶν εὐδοκιμούντων τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας καταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ καταδεέστερα τῆς δόξης b ἧς νῦν ἔχομεν περὶ αὐτῶν. Ὅμως δέ, καίπερ τοσοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ ὀκνητέον, ἀλλ' ἀποπειρατέον τῶν λόγων ἐστίν, εἰ καὶ τοῦτο δυνήσονται, τοὺς ἀγαθοὺς ἄνδρας εὐλογεῖν μηδὲν χεῖρον τῶν ἐν ταῖς ᾠδαῖς καὶ τοῖς μέτροις ἐγκωμιαζόντων.

12. Πρῶτον μὲν οὖν περὶ τῆς φύσεως τῆς Εὐαγόρου, c καὶ τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίστανται, δοκεῖ μοι πρέπειν κἀμὲ τῶν ἄλλων ἕνεκα διελθεῖν περὶ αὐτῶν, ἵνα πάντες εἰδῶσιν ὅτι καλλίστων αὐτῷ καὶ μεγίστων παραδειγμάτων καταλειφθέντων οὐδὲν καταδεέστερον αὑτὸν ἐκείνων παρέσχεν. (13) Ὁμολογεῖται μὲν γὰρ τοὺς ἀπὸ Διὸς εὐγενεστάτους τῶν ἡμιθέων εἶναι, τούτων δ' αὐτῶν οὐκ ἔστιν ὅστις οὐκ ἂν Αἰακίδας προκρίνειεν· ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσιν εὑρή- d σομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δὲ καταδεεστέρους ὄντας, οὗτοι δ' ἅπαντες ὀνομαστότατοι τῶν καθ' ἑαυτοὺς γεγόνασιν. (14) Τοῦτο μὲν γὰρ Αἰακὸς ὁ Διὸς μὲν ἔκγονος, τοῦ δὲ γένους τοῦ Τευκριδῶν πρόγονος, τοσοῦτον διήνεγκεν ὥστε γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι καὶ πολλῶν ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερέβαλλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτόν, νομίζοντες διὰ e τῆς συγγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγήν. (15) Σωθέντες δὲ καὶ τυχόντες ὧν ἐδεήθησαν, ἱερὸν ἐν Αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν Ἑλλήνων, οὗ-

runt, sed eorum opera qui correxerunt semperque loco movere prava omnia non dubitarunt.

8. Equidem scio quam sit difficile (id quod facturus ego sum) viri virtutem oratione celebrare : cujus rei signum illud est maximum, quod homines eruditi de aliis multis variisque rebus dicere audent; in hoc vero genere nemo illorum unquam scribendum quicquam suscepit. Id quod eis plane ignoscendum esse censeo. (9) Nam poetis ornamenta multa concessa sunt : his enim licet deos miscere hominum cœtibus colloquentesque introducere et adjuvantes in prœliis quoslibet, atque hæc eadem explicare verbis non tantum usitatis, sed alia peregrinis, alia novis, alia translatis, nihil denique prætermittere, quo carmina queant figurarum omni genere variare : (10) oratores vero nullam hujusmodi facultatem habent, sed quum verbis vulgatis, tum iis solum uti sententiis, quas res ipsæ suppeditant, omnino coguntur. Ad hæc illi versibus et numeris devinciunt omnia; hi nullum tale adjumentum habent : quibus in rebus tantum venustatis inest, ut, etsi neque verba poematum neque sententiæ præclaræ fuerint, ipsa tamen concinnitas numerorum aptæque dimensiones demulceant auditores. (11) Quæ quid valeant, vel ex eo perspicitur, quod etiam laudata poemata, si quis eorum verba sententiasque reliquerit, versum autem dissolverit, ea quam nunc de eis habemus opinione multo inferiora videantur. Quanquam autem carmina tantas commoditates suppeditant, non propterea tamen verendum, sed periculum faciendum est, num etiam oratione fortes viri celebrari possint nihilo deterius, quam ab iis qui carminibus et versibus eos ornant.

12. Ac primum de ortu atque natalibus Euagoræ, tametsi complures ante norunt, tamen mihi etiam aliquid ceterorum causa dicendum esse videtur, ut omnes intelligant eum a pulcherrimis et maximis exemplis, quæ relicta ipsi fuerant, nihil degenerasse. (13) Nam in confesso est oriundos a Jove, semideorum esse nobilissimos; inter hos ipsos autem nemo est quin Æacidis principatum deferat. In aliis enim familiis alios præstantiores, alios deteriores inveniemus; hi vero suis temporibus omnes omnium fuere celeberrimi. (14) Hac quidem in re Æacus, et Jovis filius et generis Teucridarum auctor, tantum excelluit, ut siccitate premente Græciam multisque mortalibus exstinctis, quum jam nihil ad calamitatis magnitudinem posset accedere, magistratus urbium supplices eum adierint, existimantes per generis affinitatem ipsiusque pietatem celerrime u gentium malorum a diis remedium impetraturos. (15) Salutem porro adepti votorumque facti compotes in Ægina templum omnium Græcorum nomine ædificarunt, quo i

περ ἐκεῖνος ἐποιήσατο τὴν εὐχήν. Καὶ κατ' ἐκεῖνόν τε 192 τὸν χρόνον, ἕως ἦν μετ' ἀνθρώπων, μετὰ καλλίστης a ὢν δόξης διετέλεσεν, ἐπειδὴ δὲ μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλούτωνι καὶ Κόρῃ μεγίστας τιμὰς ἔχων παρεδρεύειν ἐκείνοις. (16) Τούτου δὲ παῖδες ἦσαν Τελαμὼν καὶ Πηλεύς, ὧν ὁ μὲν ἕτερος μεθ' Ἡρακλέους ἐπὶ Λαομέδοντα στρατευσάμενος ἀριστείων ἠξιώθη, Πηλεὺς δ' ἔν τε τῇ μάχῃ τῇ πρὸς Κενταύρους ἀριστεύσας καὶ κατὰ πολλοὺς ἄλλους κινδύνους εὐδοκιμήσας Θέτιδι τῇ Νηρέως, θνητὸς ὢν ἀθανάτῃ, συνῴκησε, b καὶ μόνου τούτου φασὶ τῶν προγεγενημένων ὑπὸ θεῶν ἐν τοῖς γάμοις ὑμέναιον ᾀσθῆναι. (17) Τούτοιν δ' ἑκατέρου, Τελαμῶνος μὲν Αἴας καὶ Τεῦκρος ἐγενέσθην, Πηλέως δ' Ἀχιλλεύς, οἳ μέγιστον καὶ σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὑτῶν ἀρετῆς· οὐ γὰρ ἐν ταῖς αὑτῶν πόλεσι μόνον ἐπρώτευσαν, οὐδ' ἐν τοῖς τόποις ἐν οἷς κατῴκουν, ἀλλὰ στρατείας τοῖς Ἕλλησιν ἐπὶ τοὺς βαρβάρους γενομένης, καὶ πολλῶν μὲν ἑκατέρωθεν ἀθροισθέντων, (18) οὐδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέν- c τος, ἐν τούτοις τοῖς κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν, Αἴας δὲ μετ' ἐκεῖνον ἠρίστευσε, Τεῦκρος δὲ τῆς τε τούτων συγγενείας ἄξιος καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ Τροίαν συνεξεῖλεν, ἀφικόμενος εἰς Κύπρον Σαλαμῖνά τε κατῴκισεν, ὁμώνυμον ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος οὔσης, καὶ τὸ γέ- d νος τὸ νῦν βασιλεῦον κατέλιπεν.

19. Τὰ μὲν οὖν ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ τῶν προγόνων ὑπάρξαντα τηλικαῦτα τὸ μέγεθός ἐστι. Τοῦτον δὲ τὸν τρόπον τῆς πόλεως κατοικισθείσης, κατὰ μὲν ἀρχὰς οἱ γεγονότες ἀπὸ Τεύκρου τὴν βασιλείαν εἶχον· χρόνῳ δ' ὕστερον ἀφικόμενος ἐκ Φοινίκης ἀνὴρ φυγάς, καὶ πιστευθεὶς ὑπὸ τοῦ τότε βασιλεύοντος καὶ μεγάλας δυναστείας λαβών, (20) οὐ χάριν ἔσχε τούτων, ἀλλὰ κα- e κὸς μὲν γενόμενος περὶ τὸν ὑποδεξάμενον, δεινὸς δὲ πρὸς τὸ πλεονεκτῆσαι, τὸν μὲν εὐεργέτην ἐξέβαλεν, αὐτὸς δὲ τὴν βασιλείαν κατέσχεν. Ἀπιστῶν δὲ τοῖς πεπραγμένοις, καὶ βουλόμενος ἀσφαλῶς κατασκευάσασθαι τὰ περὶ αὑτόν, τήν τε πόλιν ἐξεβαρβάρωσε καὶ τὴν νῆσον ὅλην βασιλεῖ τῷ μεγάλῳ κατεδούλωσεν. (21) Οὕτω δὲ 193 καὶ τῶν πραγμάτων καθεστώτων καὶ τῶν ἐκγόνων τῶν a ἐκείνου τὴν ἀρχὴν ἐχόντων, Εὐαγόρας γίγνεται· περὶ οὗ τὰς μὲν φήμας καὶ τὰς μαντείας καὶ τὰς ὄψεις τὰς ἐν τοῖς ὕπνοις γενομένας, ἐξ ὧν μειζόνως ἂν φανείη γεγονὼς ἢ κατ' ἄνθρωπον, αἱροῦμαι παραλιπεῖν, οὐχ ἀπιστῶν τοῖς λεγομένοις, ἀλλ' ἵνα πᾶσι ποιήσω φανερὸν ὅτι τοσούτου δέω πλασάμενος εἰπεῖν τι περὶ τῶν ἐκείνῳ πεπραγμένων, ὥστε καὶ τῶν ὑπαρχόντων ἀφίημι τὰ τοιαῦτα περὶ ὧν ὀλίγοι τινὲς ἐπίστανται καὶ μὴ πάντες οἱ πολῖται συνίσασιν. Ἄρξομαι δ' ἐκ τῶν ὁμολογου- b μένων λέγειν περὶ αὐτοῦ.

22. Παῖς μὲν γὰρ ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην, ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς τηλικούτοις ἐστίν. Καὶ τούτων μάρτυρας ἄν τις ποιήσαιτο, τῆς μὲν σωφροσύνης τοὺς συμπαιδευθέντας τῶν

loco votum ille nuncuparat. Is igitur et dum vixit, inter homines maxima semper gloria fuit, et post obitum Plutoni et Proserpinæ maximis honoribus præditus assidere perhibetur. (16) Hujus filii fuerunt Telamon et Peleus, quorum alter Herculis socius expeditione contra Laomedontem suscepta primis pro virtute dignus est habitus honoribus; Peleus autem re contra Centauros bene gesta et multis aliis discriminibus spectatus Thetidis Nereidos, mortalis ipse, immortalis conjugio potitus est, et solius hujus ex omni vetustatis memoria in nuptiis hymenæum deos cecinisse memoriæ proditum est. (17) Hi ambo filios habuerunt, Telamon Ajacem et Teucrum, Peleus Achillem, qui maximum et clarissimum virtutis suæ specimen ediderunt. Nec enim in suis urbibus tantum principem locum tenuere, nec iis in locis quæ incoluerunt, sed expeditione a Græcis suscepta contra barbaros et multis utrimque congregatis, (18) quum nullus vir illustris mansisset domi, in illis periculis ut Achilles omnibus antecelluit, sic Ajax secundum ab eo virtutis locum obtinuit; Teucer vero et horum cognatione dignus et nemine ceterorum inferior quum in expugnanda Troja strenuam operam navasset, Cyprum advectus et Salaminem condidit prioris ei patriæ nomine imposito, et eam quæ nunc regnat, familiam reliquit.

19. Tanta igitur est Euagoræ a majoribus accepta præstantia. Urbe autem sic condita regnum initio Teucri posteri tenuerunt. Insecutis vero temporibus quidam exul e Phœnice profectus et ab eo, qui tunc regnabat, in fidem receptus magnamque potentiam nactus, (20) non gratiam pro his retulit; sed et ingratus in eum, qui illum hospitio receperat et commodis suis augendis nimis callidus ejecto rege bene de se merito ipse regnum occupavit. Quum vero rebus suis minus confideret salutemque suam in tuto collocare vellet, urbem barbaris implevit totamque insulam servituti regis Persarum subjecit. (21) Tali statu rerum, quum illius soboles regnum teneret, Euagoras nascitur : de quo quæ omina, quæ vaticinationes, quæ visiones somniorum fuerint, quibus rebus majore splendore quam pro humana sorte natus esse videatur, omittere statui, non quin ea vera esse putem quæ dicuntur, sed ut omnibus probem tantum abesse ut rebus ejus gestis quicquam affingam, ut etiam e veris ea prætererim, quæ in paucorum notitia et non in omnium civium conscientia versantur. Exordium autem de eo dicendi capiam a rebus quæ sunt extra omnem dubitationem positæ.

22. Puer igitur et forma et viribus et modestia, quæ bona eam ætatem maxime decent, excelluit. Atque iis de rebus testimonium perhibebunt hi : de modestia cives una

πολιτῶν, τοῦ δὲ κάλλους ἅπαντας τοὺς ἰδόντας, τῆς δὲ ῥώμης τοὺς ἀγῶνας ἐν οἷς ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν. (23) Ἀνδρὶ δὲ γενομένῳ ταῦτά τε πάντα c συνηυξήθη, καὶ πρὸς τούτοις ἀνδρεία προσεγένετο καὶ σοφία καὶ δικαιοσύνη, καὶ ταῦτ' οὐ μέσως οὐδ' ὥσπερ ἑτέροις τισίν, ἀλλ' ἕκαστον αὐτῶν εἰς ὑπερβολήν· τοσοῦτον γὰρ καὶ ταῖς τοῦ σώματος καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν, (24) ὥσθ' ὁπότε μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς, ἡγουμένους οὐχ οἷόν τ' εἶναι τὸν τοιοῦτον τὴν φύσιν ἐν ἰδιώτου μέρει διαγαγεῖν, ὁπότε δ' εἰς τοὺς d τρόπους ἀποβλέψαιεν, οὕτω σφόδρα πιστεύειν ὥστ' εἰ καί τις ἄλλος τολμῴη περὶ αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς ἔσεσθαι βοηθόν. (25) Καὶ τοσοῦτον τῆς δόξης παραλλαττούσης, οὐδετέρου τούτων ἐψεύσθησαν· οὔτε γὰρ ἰδιώτης ὢν διετέλεσεν οὔτε περὶ ἐκείνους ἐξήμαρτεν, ἀλλὰ τοσαύτην ὁ δαίμων ἔσχεν αὐτοῦ πρόνοιαν, ὅπως καλῶς λήψεται τὴν βασιλείαν, ὥσθ' ὅσα μὲν ἀναγκαῖον ἦν παρασκευασθῆναι δι' ἀσε- e βείας, ταῦτα μὲν ἕτερος ἔπραξεν, ἐξ ὧν δ' οἷόν τ' ἦν ὁσίως καὶ δικαίως λαβεῖν τὴν ἀρχήν, Εὐαγόρᾳ διεφύλαξεν. (26) Εἷς γὰρ τῶν δυναστευόντων ἐπιβουλεύσας τόν τε τύραννον ἀπέκτεινε καὶ συλλαβεῖν Εὐαγόραν ἐπεχείρησεν, ἡγούμενος οὐ δυνήσεσθαι κατασχεῖν τὴν ἀρχήν, εἰ μὴ κἀκεῖνον ἐκποδὼν ποιήσαιτο. (27)
194 Διαφυγὼν δὲ τὸν κίνδυνον, καὶ σωθεὶς εἰς Σόλους τῆς a Κιλικίας, οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς ταῖς τοιαύταις συμφοραῖς περιπίπτουσιν. Οἱ μὲν γὰρ ἄλλοι, κἂν ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας ταπεινοτέρας τὰς ψυχὰς ἔχουσιν· ἐκεῖνος δ' εἰς τοσοῦτον μεγαλοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον χρόνον ἰδιώτης ὤν, ἐπειδὴ φεύγειν ἠναγκάσθη, τυραννεῖν ᾠήθη δεῖν. (28) Καὶ τοὺς μὲν πλάνους τοὺς φυγαδικούς, καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κάθοδον καὶ θεραπεύειν αὑτοῦ χεί- b ρους, ὑπερεῖδεν· λαβὼν δὲ ταύτην ἀφορμὴν ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους, ἀμύνεσθαι καὶ μὴ προτέρους ὑπάρχειν, καὶ προελόμενος ἢ κατορθώσας τυραννεῖν ἢ διαμαρτὼν ἀποθανεῖν, παρακαλέσας ἀνθρώπους (ὡς οἱ τοὺς πλείστους λέγοντες) περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο ποιεῖσθαι τὴν κάθοδον. (29) Ὅθεν καὶ μάλιστ' ἄν τις καὶ τὴν φύσιν τὴν ἐκείνου καὶ τὴν δόξαν ἣν εἶχε παρὰ τοῖς ἄλλοις θεωρήσειεν· c μέλλων τε γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην πόλιν τὸ μέγεθος, καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων, οὔτ' ἐκεῖνος ἠθύμησεν οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀποστῆναι τῶν κινδύνων ἠξίωσεν, ἀλλ' οἱ μὲν ὥσπερ θεῷ συνακολουθοῦντες ἅπαντες ἐνέμειναν τοῖς ὡμολογημένοις, ὁ δ' ὥσπερ ἢ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπάλων, ἢ προειδὼς τὸ συμβησόμενον, οὕτω d διέκειτο τὴν γνώμην. (30) Δῆλον δ' ἐκ τῶν ἔργων· ἀποβὰς γὰρ εἰς τὴν νῆσον οὐχ ἡγήσατο δεῖν χωρίον ὀχυρὸν καταλαβὼν καὶ τὸ σῶμ' ἐν ἀσφαλείᾳ καταστήσας περιιδεῖν εἴ τινες αὐτῷ τῶν πολιτῶν βοηθήσουσιν· ἀλλ' εὐθύς, ὥσπερ εἶχε, ταύτης τῆς νυκτὸς διελὼν τοῦ

cum eo instituti, de pulchritudine omnes qui viderunt, de viribus, certamina in quibus æquales superavit. (23) Quum vero adolevisset, et hæc una creverunt omnia et eis accessit fortitudo et sapientia et justitia, neque hæ virtutes, ut in aliis quibusdam, mediocres, sed singulæ excellentes. Tantum enim et corporis et animi virtutibus præstitit, (24) ut ii qui tum regnabant, quoties eum videbant, perturbarentur regnoque metuerent, existimantes non posse fieri ut qui tali esset ingenio, in privatæ vitæ obscuritate delitesceret: quum vero mores ejus intuebantur, tantam ei fidem haberent, ut Euagoram sibi etiam contra insidias aliorum adjutorem fore confiderent. (25) Ac quum tantum inter utramque opinionem discrimen intercederet, neutra eos opinio fefellit. Nec enim privatus perpetuo mansit, neque adversus illos deliquit, sed ei deus tam sollicite prospexit, quo honeste regno potiretur, ut et ea quæ pie peragi non poterant, alius perpetrarit, et Euagoræ ea reservarit, per quæ imperium juste sancteque susciperet. (26) Quidam enim procerum et per insidias tyrannum occidit et Euagoram comprehendere conatus est, imperium obtinere se non posse ratus, nisi et illum e medio sustulisset. (27) Hoc vero periculo evitato quum incolumis Solos, Ciliciæ oppidum, perfugisset, non eo fuit animo, quo alii esse solent in hujusmodi calamitatibus. Ceteri enim, etiam ii qui regnum amiserunt, fracti fortunæ impetu animos habent abjectiores; ille autem fuit tam excelso animo, ut quum ante privatam vitam egisset, in exilium actus regnum sibi appetendum esse arbitraretur. (28) Atque erronibus quidem fugitivis despectis neque per alios reditum quærere neque se ipso deteriores colere voluit; sed ea usus occasione, quæ sanctos homines decet, qui acceptas injurias ulcisci, non ipsi facere injuriam volunt, aut re bene gesta imperare aut voto frustratus mortem oppetere statuit, adhibitisque hominibus, ut ii qui plurimos memorant, referunt, circiter quinquaginta, horum ope sibi reditum in patriam patefacere est conatus. (29) Unde inprimis et qui animus et quanta ejus apud socios fuerit auctoritas, perspicitur. Navigaturus enim cum tam paucis adversus tantam urbem, quamvis acerbissima quæque in conspectu essent, tamen neque ipse abjecit animum neque commilitonum quisqam periculorum societatem detrectavit; sed et illi tanquam deum ducem secuti, omnes in fide manserunt, et ipse, quasi aut firmiorem quam adversarii haberet exercitum, aut futurorum esset præscius, sic animo affectus fuit; (30) id quod rebus gestis apparuit. Ad insulam enim nave appulsus non castellum aliquod firmum occupandum censuit, ut corpore suo in tuto collocato circumspiceret, essentne aliqui civium opitulaturi; sed illico, ut erat paratus, eadem nocte parva quadam muri

τείχους πυλίδα καὶ ταύτῃ τοὺς μεθ' αὐτοῦ διαγαγὼν προσέβαλε πρὸς τὸ βασίλειον. (31) Καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς γιγνομένους καὶ τοὺς e
φόβους τοὺς τῶν ἄλλων καὶ τὰς παρακελεύσεις τὰς ἐκείνου τί δεῖ λέγοντα διατρίβειν; γενομένων δ' αὐτῷ τῶν μὲν περὶ τὸν τύραννον ἀνταγωνιστῶν, τῶν δ' ἄλλων
195 πολιτῶν θεατῶν (δεδιότες γὰρ τοῦ μὲν τὴν ἀρχήν, τοῦ a
δὲ τὴν ἀρετὴν ἡσυχίαν εἶχον), (32) οὐ πρότερον ἐπαύσατο μαχόμενος καὶ μόνος πρὸς πολλοὺς καὶ μετ' ὀλίγων πρὸς ἅπαντας τοὺς ἐχθρούς, πρὶν ἑλὼν τὸ βασίλειον καὶ τοὺς ἐχθροὺς ἐτιμωρήσατο καὶ τοῖς φίλοις ἐβοήθησεν, ἔτι δὲ τῷ γένει τὰς τιμὰς τὰς πατρίους ἐκομίσατο, καὶ τύραννον αὐτὸν τῆς πόλεως κατέστησεν.

33. Ἡγοῦμαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλου μνη- b
σθείην, ἀλλ' ἐνταῦθα καταλείποιμι τὸν λόγον, ῥᾴδιον ἐκ τούτων εἶναι γνῶναι τήν τ' ἀρετὴν τὴν Εὐαγόρου καὶ τὸ μέγεθος τῶν ἐκείνῳ πεπραγμένων· οὐ μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων οἴομαι δηλώσειν. (34) Τοσούτων γὰρ τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην κάλλιον ἐκείνου κτησάμενος. Εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις τὰς Εὐαγόρου c
παραβάλλοιμεν, οὔτ' ἂν ὁ λόγος ἴσως τοῖς καιροῖς ἁρμόσειεν, οὔτ' ἂν ὁ χρόνος τοῖς λεγομένοις ἀρκέσειεν· ἢν δὲ προελόμενοι τοὺς εὐδοκιμωτάτους, ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν μὲν χεῖρον ἐξετῶμεν, πολὺ δὲ συντομώτερον διαλεχθησόμεθα περὶ αὐτῶν.

35. Τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παραλαβόντων τίς οὐκ ἂν τοὺς Εὐαγόρου κινδύνους προκρίνειεν; οὐδεὶς γάρ ἐστιν οὕτω ῥᾴθυμος, ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παραλαβεῖν d
μᾶλλον ἢ κτησάμενος ὥσπερ ἐκεῖνος τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν. (36) Καὶ μὴν τῶν γε παλαιῶν καθόδων αὗται μάλιστ' εὐδοκιμοῦσιν, ἃς παρὰ τῶν ποιητῶν ἀκούομεν· οὗτοι γὰρ οὐ μόνον τῶν γεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν, ἀλλὰ καὶ παρ' αὑτῶν καινὰς συντιθέασιν. Ἀλλ' ὅμως οὐδεὶς αὐτῶν μεμυθολόγηκεν, ὅστις οὕτω δεινοὺς καὶ φοβεροὺς ποιη- e
σάμενος τοὺς κινδύνους εἰς τὴν αὑτοῦ κατῆλθεν· ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς βασιλείας, οἱ δὲ μετὰ δόλου καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν. (37) Ἀλλὰ μὴν τῶν γ' ἐπὶ τάδε γεγενημένων, ἴσως δὲ καὶ τῶν ἁπάντων, Κῦρον τὸν Μήδων μὲν ἀφελόμενον τὴν ἀρχήν, Πέρσαις δὲ κτησάμενον, καὶ
196 πλεῖστοι καὶ μάλιστα θαυμάζουσιν. Ἀλλ' ὁ μὲν τῷ a
Περσῶν στρατοπέδῳ τὸ Μήδων ἐνίκησεν, ὃ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ῥᾳδίως ἂν ποιήσειαν· ὁ δὲ διὰ τῆς ψυχῆς τῆς ἑαυτοῦ καὶ τοῦ σώματος τὰ πλεῖστα φαίνεται τῶν προειρημένων διαπραξάμενος. (38) Ἔπειτ' ἐκ μὲν τῆς Κύρου στρατηγίας οὔπω δῆλον ὅτι καὶ τοὺς Εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν, ἐκ δὲ τῶν τούτῳ πεπραγμένων ἅπασι φανερὸν ὅτι ῥᾳδίως ἂν κἀκείνοις τοῖς ἔργοις ἐπεχείρησε. Πρὸς δὲ τούτοις τῷ b
μὲν ὁσίως καὶ δικαίως ἅπαντα πέπρακται, τῷ δ' οὐχ

porta perfracta sociisque per eam introductis impetum in regiam fecit. (31) Tumultus autem, qui hujusmodi temporibus incidunt, et ceterorum trepidationem et exhortationes illius multis referre quorsum attinet? quum vero tyranni quidem satellites ei resisterent, reliqui autem cives spectatores essent (nam alterius imperium, alterius virtutem metuentes quiescebant) (32) non prius pugnare destitit et solus contra multos et cum paucis adversus hostes universos, quam capta regia et hostes ultus esset, et amicis opem tulisset, et familiæ suæ patrios honores restituisset, et ipse dominum civitatis sese constituisset.

33. Equidem existimo, etiamsi nihil adderem, sed hic finem dicendi facerem, tamen ex his et Euagoræ virtutem et magnitudinem rerum ab eo gestarum facile cognosci posse. Verum utraque hæc per ea quæ sequuntur, dilucidius arbitror me declaraturum. (34) Nam quum tot omnibus temporibus reges fuerint, nemo reperietur qui honorem hunc pulchrius illo pararit. Quodsi res gestas Euagoræ cum singulis illorum factis conferamus, fortasse nec rerum conditioni oratio conveniret, neque tempus iis quæ dicerentur sufficeret; sin eum cum præstantissimis quibusque comparaverimus, ut nihilo minus eum explorabimus, ita majore compendio rem absolvemus.

35. Quis igitur Euagoræ pericula non illis anteferret, qui patria regna susceperunt? Nemo enim ita socors et ignavus est, qui hoc imperium a majoribus accipere malit, quam sancte partum, ut ab illo factum est, liberis suis relinquere. (36) Atque inter veteres patrii regni recuperationes eæ maxime celebrantur, quas a poetis accipimus. Hi enim nobis non solum pulcherrimas superiorum temporum commemorant, sed etiam ipsi novas comminiscuntur. Nemo tamen illorum de ullo fabulatus est, qui per tam atrocia et horrenda pericula in regnum redierit: nam plerosque introduxerunt fortuito potitos regnis; alios, qui dolo et fraude vicerunt hostes. (37) Ex posterioribus autem et fortassis inter omnes Cyrum, qui Medis imperium eripuit Persisque tradidit, et plurimi et maxime admirantur. Is vero exercitu Persarum copias Medorum vicit, quod multi et Græci et barbari facile perfecissent: hunc vero animo suo et corpore maximam partem eorum quæ diximus, transegisse constat. (38) Deinde e Cyri expeditione nondum perspicuum est eum etiam Euagoræ pericula sustinere potuisse; ex rebus autem ab hoc gestis manifestum est omnibus eum facile illa quoque facinora fuisse obiturum. Præterea hic sancte et juste peregit omnia; illi vero nonnulla violata pietate contigerunt:

πολιτῶν, τοῦ δὲ κάλλους ἅπαντας τοὺς ἰδόντας, τῆς δὲ ῥώμης τοὺς ἀγῶνας ἐν οἷς ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν. (23) Ἀνδρὶ δὲ γενομένῳ ταῦτά τε πάντα c συνηυξήθη, καὶ πρὸς τούτοις ἀνδρεία προσεγένετο καὶ σοφία καὶ δικαιοσύνη, καὶ ταῦτ' οὐ μέσως οὐδ' ὥσπερ ἑτέροις τισίν, ἀλλ' ἕκαστον αὐτῶν εἰς ὑπερβολήν· τοσοῦτον γὰρ καὶ ταῖς τοῦ σώματος καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν, (24) ὥσθ' ὁπότε μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς, ἡγουμένους οὐχ οἷόν τ' εἶναι τὸν τοιοῦτον τὴν φύσιν ἐν ἰδιώτου μέρει διαγαγεῖν, ὁπότε δ' εἰς τοὺς d τρόπους ἀποβλέψαιεν, οὕτω σφόδρα πιστεύειν ὥστ' εἰ καί τις ἄλλος τολμῴη περὶ αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς ἔσεσθαι βοηθόν. (25) Καὶ τοσοῦτον τῆς δόξης παραλλαττούσης, οὐδετέρου τούτων ἐψεύσθησαν· οὔτε γὰρ ἰδιώτης ὢν διετέλεσεν οὔτε περὶ ἐκείνους ἐξήμαρτεν, ἀλλὰ τοσαύτην ὁ δαίμων ἔσχεν αὐτοῦ πρόνοιαν, ὅπως καλῶς λήψεται τὴν βασιλείαν, ὥσθ' ὅσα μὲν ἀναγκαῖον ἦν παρασκευασθῆναι δι' ἀσε- e βείας, ταῦτα μὲν ἕτερος ἔπραξεν, ἐξ ὧν δ' οἷόν τ' ἦν ὁσίως καὶ δικαίως λαβεῖν τὴν ἀρχήν, Εὐαγόρᾳ διεφύλαξεν. (26) Εἷς γὰρ τῶν δυναστευόντων ἐπιβουλεύσας τόν τε τύραννον ἀπέκτεινε καὶ συλλαβεῖν Εὐαγόραν ἐπεχείρησεν, ἡγούμενος οὐ δυνήσεσθαι κατασχεῖν τὴν ἀρχήν, εἰ μὴ κἀκεῖνον ἐκποδὼν ποιήσαιτο. (27)
194 Διαφυγὼν δὲ τὸν κίνδυνον, καὶ σωθεὶς εἰς Σόλους τῆς a Κιλικίας, οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς ταῖς τοιαύταις συμφοραῖς περιπίπτουσιν. Οἱ μὲν γὰρ ἄλλοι, κἂν ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας ταπεινοτέρας τὰς ψυχὰς ἔχουσιν· ἐκεῖνος δ' εἰς τοσοῦτον μεγαλοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον χρόνον ἰδιώτης ὤν, ἐπειδὴ φεύγειν ἠναγκάσθη, τυραννεῖν ᾠήθη δεῖν. (28) Καὶ τοὺς μὲν πλάνους τοὺς φυγαδικούς, καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κάθοδον καὶ θεραπεύειν αὑτοῦ χεί- b ρους, ὑπερεῖδεν· λαβὼν δὲ ταύτην ἀφορμὴν ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους, ἀμύνεσθαι καὶ μὴ προτέρους ὑπάρχειν, καὶ προελόμενος ἢ κατορθώσας τυραννεῖν ἢ διαμαρτὼν ἀποθανεῖν, παρακαλέσας ἀνθρώπους (ὡς οἱ τοὺς πλείστους λέγοντες) περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο ποιεῖσθαι τὴν κάθοδον. (29) Ὅθεν καὶ μάλιστ' ἄν τις καὶ τὴν φύσιν τὴν ἐκείνου καὶ τὴν δόξαν ἣν εἶχε παρὰ τοῖς ἄλλοις θεωρήσειεν· c μέλλων τε γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην πόλιν τὸ μέγεθος, καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων, οὔτ' ἐκεῖνος ἠθύμησεν οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀποστῆναι τῶν κινδύνων ἠξίωσεν, ἀλλ' οἱ μὲν ὥσπερ θεῷ συνακολουθοῦντες ἅπαντες ἐνέμειναν τοῖς ὡμολογημένοις, ὁ δ' ὥσπερ ἢ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπάλων, ἢ προειδὼς τὸ συμβησόμενον, οὕτω d διέκειτο τὴν γνώμην. (30) Δῆλον δ' ἐκ τῶν ἔργων· ἀποβὰς γὰρ εἰς τὴν νῆσον οὐχ ἡγήσατο δεῖν χωρίον ὀχυρὸν καταλαβὼν καὶ τὸ σῶμ' ἐν ἀσφαλείᾳ καταστήσας περιιδεῖν εἴ τινες αὐτῷ τῶν πολιτῶν βοηθήσουσιν· ἀλλ' εὐθύς, ὥσπερ εἶχε, ταύτης τῆς νυκτὸς διελὼν τοῦ

cum eo instituti, de pulchritudine omnes qui viderunt, de viribus, certamina in quibus æquales superavit. (23) Quum vero adolevisset, et hæc una creverunt omnia et eis accessit fortitudo et sapientia et justitia, neque hæ virtutes, ut in aliis quibusdam, mediocres, sed singulæ excellentes. Tantum enim et corporis et animi virtutibus præstitit, (24) ut ii qui tum regnabant, quoties eum videbant, perturbarentur regnoque metuerent, existimantes non posse fieri ut qui tali esset ingenio, in privatæ vitæ obscuritate delitesceret: quum vero mores ejus intuebantur, tantam ei fidem haberent, ut Euagoram sibi etiam contra insidias aliorum adjutorem fore confiderent. (25) Ac quum tantum inter utramque opinionem discrimen intercederet, neutra eos opinio fefellit. Nec enim privatus perpetuo mansit, neque adversus illos deliquit, sed ei deus tam sollicite prospexit, quo honeste regno potiretur, ut et ea quæ pie peragi non poterant, alius perpetrarit, et Euagoræ ea reservarit, per quæ imperium juste sancteque susciperet. (26) Quidam enim procerum et per insidias tyrannum occidit et Euagoram comprehendere conatus est, imperium obtinere se non posse ratus, nisi et illum e medio sustulisset. (27) Hoc vero periculo evitato quum incolumis Solos, Ciliciæ oppidum, perfugisset, non eo fuit animo, quo alii esse solent in hujusmodi calamitatibus. Ceteri enim, etiam ii qui regnum amiserunt, fracti fortunæ impetu animos habent abjectiores; ille autem fuit tam excelso animo, ut quum ante privatam vitam egisset, in exilium actus regnum sibi appetendum esse arbitraretur. (28) Atque erronibus quidem fugitivis despectis neque per alios reditum quærere neque se ipso deteriores colere voluit; sed ea usus occasione, quæ sanctos homines decet, qui acceptas injurias ulcisci, non ipsi facere injuriam volunt, aut re bene gesta imperare aut voto frustratus mortem oppetere statuit, adhibitisque hominibus, ut ii qui plurimos memorant, referunt, circiter quinquaginta, horum ope sibi reditum in patriam patefacere est conatus. (29) Unde inprimis et qui animus et quanta ejus apud socios fuerit auctoritas, perspicitur. Navigaturus enim cum tam paucis adversus tantam urbem, quamvis acerbissima quæque in conspectu essent, tamen neque ipse abjecit animum neque commilitonum quisqam periculorum societatem detrectavit; sed et illi tanquam deum ducem secuti, omnes in fide manserunt, et ipse, quasi aut firmiorem quam adversarii haberet exercitum, aut futurorum esset præscius, sic animo affectus fuit; (30) id quod rebus gestis apparuit. Ad insulam enim nave appulsus non castellum aliquod firmum occupandum censuit, ut corpore suo in tuto collocato circumspiceret, essentne aliqui civium opitulaturi; sed illico, ut erat paratus, eadem nocte parva quadam muri

τείχους πυλίδα καὶ ταύτῃ τοὺς μεθ' αὑτοῦ διαγαγὼν προσέβαλε πρὸς τὸ βασίλειον. (31) Καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς γιγνομένους καὶ τοὺς [e] φόβους τοὺς τῶν ἄλλων καὶ τὰς παρακελεύσεις τὰς ἐκείνου τί δεῖ λέγοντα διατρίβειν; γενομένων δ' αὐτῷ τῶν μὲν περὶ τὸν τύραννον ἀνταγωνιστῶν, τῶν δ' ἄλλων [195] πολιτῶν θεατῶν (δεδιότες γὰρ τοῦ μὲν τὴν ἀρχήν, τοῦ [a] δὲ τὴν ἀρετὴν ἡσυχίαν εἶχον), (32) οὐ πρότερον ἐπαύσατο μαχόμενος καὶ μόνος πρὸς πολλοὺς καὶ μετ' ὀλίγων πρὸς ἅπαντας τοὺς ἐχθρούς, πρὶν ἑλὼν τὸ βασίλειον καὶ τοὺς ἐχθροὺς ἐτιμωρήσατο καὶ τοῖς φίλοις ἐβοήθησεν, ἔτι δὲ τῷ γένει τὰς τιμὰς τὰς πατρίους ἐκομίσατο, καὶ τύραννον αὑτὸν τῆς πόλεως κατέστησεν.

33. Ἡγοῦμαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλου μνη- [b] σθείην, ἀλλ' ἐνταῦθα καταλείποιμι τὸν λόγον, ῥᾴδιον ἐκ τούτων εἶναι γνῶναι τήν τ' ἀρετὴν τὴν Εὐαγόρου καὶ τὸ μέγεθος τῶν ἐκείνῳ πεπραγμένων· οὐ μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων οἴομαι δηλώσειν. (34) Τοσούτων γὰρ τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην κάλλιον ἐκείνου κτησάμενος. Εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις τὰς Εὐαγόρου [c] παραβάλλοιμεν, οὔτ' ἂν ὁ λόγος ἴσως τοῖς καιροῖς ἁρμόσειεν, οὔτ' ἂν ὁ χρόνος τοῖς λεγομένοις ἀρκέσειεν· ἢν δὲ προελόμενοι τοὺς εὐδοκιμωτάτους, ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν μὲν χεῖρον ἐξετῶμεν, πολὺ δὲ συντομώτερον διαλεχθησόμεθα περὶ αὐτῶν.

35. Τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παραλαβόντων τίς οὐκ ἂν τοὺς Εὐαγόρου κινδύνους προκρίνειεν; οὐδεὶς γάρ ἐστιν οὕτω ῥᾴθυμος, ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παραλαβεῖν [d] μᾶλλον ἢ κτησάμενος ὥσπερ ἐκεῖνος τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν. (36) Καὶ μὴν τῶν γε παλαιῶν καθόδων αὗται μάλιστ' εὐδοκιμοῦσιν, ἃς παρὰ τῶν ποιητῶν ἀκούομεν· οὗτοι γὰρ οὐ μόνον τῶν γεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν, ἀλλὰ καὶ παρ' αὑτῶν καινὰς συντιθέασιν. Ἀλλ' ὅμως οὐδεὶς αὐτῶν μεμυθολόγηκεν, ὅστις οὕτω δεινοὺς καὶ φοβεροὺς ποιη- [e] σάμενος τοὺς κινδύνους εἰς τὴν αὑτοῦ κατῆλθεν· ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς βασιλείας, οἱ δὲ μετὰ δόλου καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν. (37) Ἀλλὰ μὴν τῶν γ' ἐπὶ τάδε γεγενημένων, ἴσως δὲ καὶ τῶν ἁπάντων, Κῦρον τὸν Μήδων μὲν ἀφελόμενον τὴν ἀρχήν, Πέρσαις δὲ κτησάμενον, καὶ [196] πλεῖστοι καὶ μάλιστα θαυμάζουσιν. Ἀλλ' ὁ μὲν τῷ [a] Περσῶν στρατοπέδῳ τὸ Μήδων ἐνίκησεν, ὃ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ῥᾳδίως ἂν ποιήσειαν· ὁ δὲ διὰ τῆς ψυχῆς τῆς ἑαυτοῦ καὶ τοῦ σώματος τὰ πλεῖστα φαίνεται τῶν προειρημένων διαπραξάμενος. (38) Ἔπειτ' ἐκ μὲν τῆς Κύρου στρατηγίας οὔπω δῆλον ὅτι καὶ τοὺς Εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν, ἐκ δὲ τῶν τούτῳ πεπραγμένων ἅπασι φανερὸν ὅτι ῥᾳδίως ἂν κἀκείνοις τοῖς ἔργοις ἐπεχείρησε. Πρὸς δὲ τούτοις τῷ [b] μὲν ὁσίως καὶ δικαίως ἅπαντα πέπρακται, τῷ δ' οὐκ

porta perfracta sociisque per eam introductis impetum in regiam fecit. (31) Tumultus autem, qui hujusmodi temporibus incidunt, et ceterorum trepidationem et exhortationes illius multis referre quorsum attinet? quum vero tyranni quidem satellites ei resisterent, reliqui autem cives spectatores essent (nam alterius imperium, alterius virtutem metuentes quiescebant) (32) non prius pugnare destitit et solus contra multos et cum paucis adversus hostes universos, quam capta regia et hostes ultus esset, et amicis opem tulisset, et familiæ suæ patrios honores restituisset, et ipse dominum civitatis sese constituisset.

33. Equidem existimo, etiamsi nihil adderem, sed hic finem dicendi facerem, tamen ex his et Euagoræ virtutem et magnitudinem rerum ab eo gestarum facile cognosci posse. Verum utraque hæc per ea quæ sequuntur, dilucidius arbitror me declaraturum. (34) Nam quum tot omnibus temporibus reges fuerint, nemo reperietur qui honorem hunc pulchrius illo pararit. Quodsi res gestas Euagoræ cum singulis illorum factis conferamus, fortasse nec rerum conditioni oratio conveniret, neque tempus iis quæ dicerentur sufficeret; sin eum cum præstantissimis quibusque comparaverimus, ut nihilo minus eum explorabimus, ita majore compendio rem absolvemus.

35. Quis igitur Euagoræ pericula non illis anteferret, qui patria regna susceperunt? Nemo enim ita socors et ignavus est, qui hoc imperium a majoribus accipere malit, quam sancte partum, ut ab illo factum est, liberis suis relinquere. (36) Atque inter veteres patrii regni recuperationes eæ maxime celebrantur, quas a poetis accipimus. Hi enim nobis non solum pulcherrimas superiorum temporum commemorant, sed etiam ipsi novas comminiscuntur. Nemo tamen illorum de ullo fabulatus est, qui per tam atrocia et horrenda pericula in regnum redierit: nam plerosque introduxerunt fortuito potitos regnis; alios, qui dolo et fraude vicerunt hostes. (37) Ex posterioribus autem et fortassis inter omnes Cyrum, qui Medis imperium eripuit Persisque tradidit, et plurimi et maxime admirantur. Is vero exercitu Persarum copias Medorum vicit, quod multi et Græci et barbari facile perfecissent: hunc vero animo suo et corpore maximam partem eorum quæ diximus, transegisse constat. (38) Deinde e Cyri expeditione nondum perspicuum est eum etiam Euagoræ pericula sustinere potuisse; ex rebus autem ab hoc gestis manifestum est omnibus eum facile illa quoque facinora fuisse obiturum. Præterea hic sancte et juste peregit omnia; illi vero nonnulla violata pietate contigerunt:

εὐσεβῶς ἔνια συμβέβηκεν· ὁ μὲν γὰρ τοὺς ἐχθροὺς ἀπώλεσε, Κῦρος δὲ τὸν πατέρα τὸν τῆς μητρὸς ἀπέκτεινεν. Ὥστ' εἴ τινες βούλοιντο μὴ τὸ μέγεθος τῶν συμβάντων ἀλλὰ τὴν ἀρετὴν τὴν ἑκατέρου κρίνειν, δικαίως ἂν Εὐαγόραν καὶ τούτου μᾶλλον ἐπαινέσειαν. (39) Εἰ δὲ δεῖ συντόμως καὶ μηδὲν ὑποστειλάμενον μηδὲ δείσαντα τὸν φθόνον, ἀλλὰ παρρησίᾳ χρησάμενον εἰπεῖν· c οὐδεὶς οὔτε θνητὸς οὔθ' ἡμίθεος οὔτ' ἀθάνατος εὑρεθήσεται κάλλιον οὐδὲ λαμπρότερον οὐδ' εὐσεβέστερον λαβὼν ἐκείνου τὴν βασιλείαν. Καὶ τούτοις ἐκείνως ἄν τις μάλιστα πιστεύσειεν, εἰ σφόδρα τοῖς λεγομένοις ἀπιστήσας ἐξετάζειν ἐπιχειρήσειεν ὅπως ἕκαστος ἐτυράννευσεν· φανήσομαι γὰρ οὐκ ἐκ παντὸς τρόπου μεγάλα λέγειν προθυμούμενος, ἀλλὰ διὰ τὴν τοῦ πράγματος ἀλήθειαν οὕτω περὶ αὐτοῦ θρασέως εἰρηκώς. d

40. Εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων ἂν καὶ τῶν λόγων αὐτῷ προσῆκεν ἀξιοῦσθαι· νῦν δ' ἅπαντες ἂν ὁμολογήσειαν τυραννίδα καὶ τῶν θείων ἀγαθῶν καὶ τῶν ἀνθρωπίνων μέγιστον καὶ σεμνότατον καὶ περιμαχητότατον εἶναι. Τὸν δὴ τὸ κάλλιστον τῶν ὄντων κάλλιστα κτησάμενον τίς ἂν ῥήτωρ ἢ ποιητὴς ἢ λόγων εὑρετὴς ἀξίως τῶν πεπραγμένων ἐπαινέσειεν;

41. Οὐ τοίνυν ἐν τούτοις ὑπερβαλλόμενος ἐν τοῖς e ἄλλοις εὑρεθήσεται καταδεέστερος γενόμενος, ἀλλὰ πρῶτον μὲν εὐφυέστατος ὢν τὴν γνώμην καὶ πλεῖστα κατορθοῦν δυνάμενος ὅμως οὐκ ᾠήθη δεῖν ὀλιγωρεῖν οὐδ' αὐτοσχεδιάζειν περὶ τῶν πραγμάτων, ἀλλ' ἐν τῷ
197 ζητεῖν καὶ φροντίζειν καὶ βουλεύεσθαι τὸν πλεῖστον τοῦ a χρόνου διέτριβεν, ἡγούμενος μέν, εἰ καλῶς τὴν αὑτοῦ φρόνησιν παρασκευάσειε, καλῶς αὐτῷ καὶ τὴν βασιλείαν ἕξειν, θαυμάζων δ' ὅσοι τῶν μὲν ἄλλων ἕνεκα τῆς ψυχῆς ποιοῦνται τὴν ἐπιμέλειαν, αὐτῆς δὲ ταύτης μηδὲν τυγχάνουσι φροντίζοντες. (42) Ἔπειτα καὶ περὶ τῶν πραγμάτων τὴν αὐτὴν διάνοιαν εἶχεν· ὁρῶν γὰρ τοὺς ἄριστα τῶν ὄντων ἐπιμελουμένους ἐλάχιστα λυπου- b μένους, καὶ τὰς ἀληθινὰς τῶν ῥᾳθυμιῶν οὐκ ἐν ταῖς ἀργίαις ἀλλ' ἐν ταῖς εὐπραγίαις καὶ καρτερίαις ἐνούσας, οὐδὲν ἀνεξέταστον παρέλιπεν, ἀλλ' οὕτως ἀκριβῶς καὶ τὰς πράξεις ᾔδει καὶ τῶν πολιτῶν ἕκαστον ἐγίγνωσκεν, ὥστε μήτε τοὺς ἐπιβουλεύοντας αὐτῷ φθάνειν μήτε τοὺς ἐπιεικεῖς ὄντας λανθάνειν, ἀλλὰ πάντας τυγχάνειν τῶν προσηκόντων· οὐ γὰρ ἐξ ὧν ἑτέρων ἤκουεν, οὔτ' ἐκόλα- c ζεν οὔτ' ἐτίμα τοὺς πολίτας, ἀλλ' ἐξ ὧν αὐτὸς συνῄδει, τὰς κρίσεις ἐποιεῖτο περὶ αὐτῶν. (43) Ἐν τοιαύταις δ' ἐπιμελείαις ἑαυτὸν καταστήσας, οὐδὲ περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων οὐδὲ περὶ ἓν πεπλανημένως εἶχεν, ἀλλ' οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε τοὺς εἰσαφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν ἢ τοὺς ἄλλους τῆς ὑπ' ἐκείνου βασιλείας· ἅπαντα γὰρ τὸν χρόνον διετέλε- d σεν οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν, καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ τοὺς ἐξαμαρτόντας κολάζων· (44) οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος· πολλὰ μὲν τῶν

noster enim hostes suos occidit; Cyrus vero matris suæ patrem interemit. Quare, si qui spectare velint non eventuum magnitudinem, sed virtutem quæ in utroque fuerit, judicare, jure etiam illi Euagoram prætulerint. (39) Quodsi breviter et sine dissimulatione et absque invidiæ metu libereque dicendum est, nemo neque mortalis neque semideus nec immortalis invenietur, qui illo pulchrius et splendidius aut majore pietate regnum sit adeptus. Atque hæc ea ratione facillime quis credet, si his quæ dicimus prorsus abrogata fide, exquirere instituerit, quomodo regnis singuli sint potiti. Apparebit enim me non de industria captasse magniloquentiam, sed rei veritate adductum ita confidenter de eo disseruisse.

40. Jam si quidem parvis rebus excelluisset, tales etiam orationes de eo haberi fuisset æquum. Nunc regnum omnium divinorum et humanorum bonorum esse maximum et splendidissimum et summa vel armorum contentione dignissimum omnes fateantur. Eum igitur, qui re in tota rerum natura longe pulcherrima pulcherrime potitus est, quis orator aut poeta aut verborum opifex pro rerum gestarum dignitate collaudarit?

41. Neque vero, quum in his excelluisset, in ceteris inferior fuisse comperietur. Nam primum, quamvis ingenio felicissimo esset plurimaque rite conficere valeret, non tamen negligenter ac temere quicquam agendum sibi censuit, sed in inquirendo et cogitando et deliberando plurimum temporis consumpsit, existimans, si mentem probe exercuisset, regnum quoque suum fore præclarum, eorumque mores demiratus, qui ceterarum rerum causa mentis curam susciperent, ipsam vero mentem prorsus negligerent. (42) Deinde in rebus administrandis idem plane sensit. Quum enim videret eos qui suas res diligentissime curarent, molestiis affici minimis, et veras animi remissiones non in ignavia esse positas, sed recte factis et tolerantia laborum constare: nihil inexploratum reliquit, sed ita perfecte res tenebat, ita cives singulos norat, ut nec ab insidiatoribus opprimeretur, nec bonos ignoraret, sed omnes quod æquum esset, pro merito obtinerent. Non enim cives aut puniebat aut honorabat ex aliorum sermonibus, sed pro sua scientia de eis judicabat. (43) Quum igitur in hujusmodi curationes se collocasset, ne in uno quidem eorum negotiorum, quæ in dies incidunt, deceptus est, sed civitati tanta et pietate et humanitate præfuit, ut advenæ non magis Euagoram, qui imperaret, quam ceteros, quod illum regem haberent, fortunatos judicarent. Nam hoc perpetuum ejus studium fuit, neminem injuria lædere et bonos honorare, et pro imperii quidem auctoritate cum omnibus agere, sed delinquentes legitimis suppliciis coercere. (44) Nihil ille quidem consiliariis indigebat, sed tamen amicorum sententias de

χρωμένων ἡττώμενος, ἅπαντα δὲ τῶν ἐχθρῶν περιγι-
γνόμενος· σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς,
ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς· οὐδὲ πρὸς ἓν ἀτάκτως e
οὐδ' ἀνωμάλως διακείμενος, ἀλλ' ὁμοίως τὰς ἐν τοῖς
ἔργοις ὁμολογίας ὥσπερ τὰς ἐν τοῖς λόγοις διαφυλάττων·
(45) μέγα φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην, ἀλλ' ἐπὶ τοῖς
δι' αὐτὸν γιγνομένοις· τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις
198 ὑφ' αὑτῷ ποιούμενος, τοὺς δ' ἄλλους τῇ μεγαλοψυχίᾳ a
καταδουλούμενος· φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαί-
νειν, ἀλλὰ τῷ πολὺ τὴν τῶν ἄλλων φύσιν ὑπερβάλλειν·
ἡγούμενος τῶν ἡδονῶν, ἀλλ' οὐκ ἀγόμενος ὑπ' αὐτῶν·
ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας κτώμενος, ἀλλ' οὐ διὰ
μικρὰς ῥᾳθυμίας μεγάλους πόνους ὑπολειπόμενος· (46)
ὅλως οὐδὲν παραλείπων ὧν προσεῖναι δεῖ τοῖς βασιλεῦ-
σιν, ἀλλ' ἐξ ἑκάστης τῆς πολιτείας ἐξειλεγμένος τὸ b
βέλτιστον, καὶ δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θερα-
πείᾳ, πολιτικὸς δὲ τῇ τῆς πόλεως ὅλης διοικήσει, στρα-
τηγικὸς δὲ τῇ πρὸς τοὺς κινδύνους εὐβουλίᾳ, μεγαλό-
φρων δὲ τῷ πᾶσι τούτοις διαφέρειν. Καὶ ταῦθ' ὅτι
προσῆν Εὐαγόρᾳ, καὶ πλείω τούτων, ἐξ αὐτῶν τῶν ἔρ-
γων ῥᾴδιον καταμαθεῖν.

47. Παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην,
καὶ διὰ τὴν τῶν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας c
προσδεχομένην οὔτε τέχνας ἐπισταμένην οὔτ' ἐμπορίῳ
χρωμένην οὔτε λιμένα κεκτημένην, ταῦτά τε πάντα
διώρθωσε, καὶ πρὸς τούτοις καὶ χώραν πολλὴν προσε-
κτήσατο καὶ τείχη προσπεριεβάλετο καὶ τριήρεις
ἐναυπηγήσατο, καὶ ταῖς ἄλλαις κατασκευαῖς οὕτως
ηὔξησε τὴν πόλιν ὥστε μηδεμιᾶς τῶν Ἑλληνίδων ἀπο-
λελεῖφθαι, καὶ δύναμιν τοσαύτην ἐνεποίησεν ὥστε πολ-
λοὺς φοβεῖσθαι τῶν πρότερον καταφρονούντων αὐτῆς. d
(48) Καίτοι τηλικαύτας ἐπιδόσεις τὰς πόλεις λαμβάνειν
οὐχ οἷόντ' ἐστίν, ἢν μή τις αὐτὰς διοικῇ τοιούτοις ἤθεσιν
οἵοις Εὐαγόρας μὲν εἶχεν, ἐγὼ δ' ὀλίγῳ πρότερον ἐπει-
ράθην διελθεῖν. Ὥστ' οὐ δέδοικα μὴ φανῶ μείζω
λέγων τῶν ἐκείνῳ προσόντων, ἀλλὰ μὴ πολὺ λίαν ἀπο-
λειφθῶ τῶν πεπραγμένων αὐτῷ. (49) Τίς γὰρ ἂν ἐφί-
κοιτο τοιαύτης φύσεως, ὃς οὐ μόνον τὴν ἑαυτοῦ πόλιν
πλείονος ἀξίαν ἐποίησεν, ἀλλὰ καὶ τὸν τόπον ὅλον τὸν
περιέχοντα τὴν νῆσον ἐπὶ πρᾳότητα καὶ μετριότητα e
προήγαγεν; Πρὶν μέν γε λαβεῖν Εὐαγόραν τὴν ἀρχὴν
οὕτως ἀπροσοίστως καὶ χαλεπῶς εἶχον, ὥστε καὶ τῶν
ἀρχόντων τούτους ἐνόμιζον εἶναι βελτίστους, οἵτινες
ὠμότατα πρὸς τοὺς Ἕλληνας διακείμενοι τυγχάνοιεν·
199 (50) νῦν δὲ τοσοῦτον μεταπεπτώκασιν, ὥσθ' ἁμιλλᾶσθαι a
μὲν οἵτινες αὐτῶν δόξουσι φιλέλληνες εἶναι μάλιστα,
παιδοποιεῖσθαι δὲ τοὺς πλείστους αὐτῶν γυναῖκας
λαμβάνοντας παρ' ἡμῶν, χαίρειν δὲ καὶ τοῖς κτήμασι
καὶ τοῖς ἐπιτηδεύμασι τοῖς Ἑλληνικοῖς μᾶλλον ἢ τοῖς
παρὰ σφίσιν αὐτοῖς, πλείους δὲ καὶ τῶν περὶ τὴν μου-
σικὴν καὶ περὶ τὴν ἄλλην παίδευσιν ἐν τούτοις τοῖς
τόποις διατρίβειν ἢ παρ' οἷς πρότερον εἰωθότες ἦσαν.
Καὶ τούτων ἁπάντων οὐδεὶς ὅστις οὐκ ἂν Εὐαγόραν b
αἴτιον εἶναι προσομολογήσειεν.

rebus omnibus audiebat. Amicis sæpe de jure suo concedebat, semper autem hostes superabat. Majestatem tuebatur non contracto supercilio, sed vitæ instituto. Nulla in re ordinem constantiamve negligebat; sed quicquid rebus concessisset, non minus servabat, quam quæ verbis promisisset. (45) Animosus non ob fortunæ munera, sed factorum conscientia, amicos beneficiis sibi devinciebat, ceteros animi magnitudine subigebat. Terribilis erat non quod in multos sæviret, sed quia ingenia aliorum longe superabat; voluptatibus imperabat, non serviebat. Paucis laboribus multum otii parabat, non ob parvas oblectationes magnos labores cumulabat. (46) Denique nihil prætermittebat quod in regibus inesse deceat; sed e singulis rerumpublicarum formis præstantissima quæque deligebat: qui et popularis esset observantia multitudinis, et civilium rerum peritus gubernatione totius civitatis, et imperatorius recto in periculis consilio, et magnanimus harum rerum omnium excellentia. Atque hæc in Euagora fuisse et plura etiam his, ex ipsis factis facile intelligetur.

47. Nam quum civitatem barbara multitudine deformatam suscepisset, quæ ob Phœnicum imperium nec Græcos admitteret, nec artes sciret, nec emporio uteretur, nec portum haberet: non solum hæc optime instauravit omnia, sed agri etiam multum adjecit, urbemque muro circumdedit, et triremes ædificavit, et reliquis apparatibus sic auxit, ut cum quavis Græcarum urbium certare posset, tantisque copiis munivit, ut multi nunc eam timeant, qui prius contemnebant. (48) Neque vero fieri potest ut urbes ita crescant, nisi talibus moribus gubernentur, quales Euagoras habuit, atque ego paulo ante studui commemorare. Quare non metuo ne majora quam pro ejus virtute dicere videar, sed illud verendum potius, ne magnitudinem rerum ab eo gestarum oratione mea nequaquam attingam. (49) Quis enim satis prædicet virum tali præditum ingenio, qui non suam tantum urbem bonis institutis excoluit, sed etiam omnem illam regionem, quæ insulæ finitima est, ad mansuetudinem et moderationem deduxit? Priusquam enim Euagoras regno potiretur, ea fuerunt sævitia et immanitate, ut eos etiam principes putarent optimos, qui Græcos crudelissime tractarent: (50) nunc vero usque adeo sunt alii facti, ut inter se certent, quinam ex eis Græcorum amantiores videantur, eorumque plurimi nostratibus uxoribus ductis liberos quærant, et magis quum supellectili tum institutis Græcanicis gaudeant, quam patriis et domesticis, pluresque literis ceterisque artibus eruditi his in locis versentur, quam apud eos, ubi antea degere soliti fuerant. Neque vero quisquam est, quin hæc accepta esse Euagoræ referenda fateatur.

51. Μέγιστον δὲ τεκμήριον καὶ τοῦ τρόπου καὶ τῆς ὁσιότητος τῆς ἐκείνου· τῶν γὰρ Ἑλλήνων πολλοὶ καὶ καλοὶ κἀγαθοὶ τὰς ἑαυτῶν πατρίδας ἀπολιπόντες ἦλθον εἰς Κύπρον οἰκήσοντες, ἡγούμενοι κουφοτέραν καὶ νομιμωτέραν εἶναι τὴν Εὐαγόρου βασιλείαν τῶν οἴκοι πολιτειῶν· ὧν τοὺς μὲν ἄλλους ὀνομαστὶ διελθεῖν πολὺ ἂν ἔργον εἴη· (52) Κόνωνα δὲ τὸν διὰ πλείστας ἀρετὰς πρωτεύσαντα τῶν Ἑλλήνων τίς οὐκ οἶδεν, ὅτι δυστυ- c χησάσης τῆς πόλεως ἐξ ἁπάντων ἐκλεξάμενος ὡς Εὐαγόραν ἦλθε, νομίσας καὶ τῷ σώματι βεβαιοτάτην εἶναι τὴν παρ' ἐκείνῳ καταφυγήν, καὶ τῇ πόλει τάχιστ' ἂν αὐτὸν γενέσθαι βοηθόν. Καὶ πολλὰ πρότερον ἤδη κατωρθωκώς, οὐδὲ περὶ ἑνὸς πώποτε πράγματος ἔδοξεν ἄμεινον ἢ περὶ τούτου βουλεύσασθαι· (53) συνέβη γὰρ αὐτῷ διὰ τὴν ἄφιξιν τὴν εἰς Κύπρον καὶ ποιῆσαι καὶ παθεῖν πλεῖστ' ἀγαθά. Πρῶτον μὲν γὰρ οὐκ ἔφθασαν d ἀλλήλοις πλησιάσαντες, καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς αὐτοὺς ἢ τοὺς πρότερον οἰκείους ὄντας· ἔπειτα περί τε τῶν ἄλλων ὁμονοοῦντες ἅπαντα τὸν χρόνον διετέλεσαν, καὶ περὶ τῆς ἡμετέρας πόλεως τὴν αὐτὴν γνώμην εἶχον. (54) Ὁρῶντες γὰρ αὐτὴν ὑπὸ Λακεδαιμονίοις οὖσαν καὶ μεγάλῃ μεταβολῇ κεχρημένην λυπηρῶς καὶ βαρέως ἔφερον, ἀμφότεροι προσήκοντα ποιοῦντες· τῷ μὲν γὰρ ἦν φύσει πατρίς, τὸν δὲ διὰ πολλὰς καὶ e μεγάλας εὐεργεσίας νόμῳ πολίτην ἐπεποίηντο. Σκοπουμένοις δ' αὐτοῖς ὅπως τῶν συμφορῶν αὐτὴν ἀπαλλάξουσι, ταχὺν τὸν καιρὸν Λακεδαιμόνιοι παρεσκεύασαν· ἄρχοντες
200 γὰρ τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, εἰς a τοῦτ' ἀπληστίας ἦλθον ὥστε καὶ τὴν Ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν. (55) Λαβόντες δ' ἐκεῖνοι τοῦτον τὸν καιρόν, καὶ τῶν στρατηγῶν τῶν βασιλέως ἀπορούντων ὅ τι χρήσωνται τοῖς πράγμασιν, ἐδίδασκον αὐτοὺς μὴ κατὰ γῆν ἀλλὰ κατὰ θάλατταν ποιεῖσθαι τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους, νομίζοντες, εἰ μὲν πεζὸν καταστήσαιντο στρατόπεδον καὶ τούτῳ περιγένοιντο, τὰ περὶ τὴν ἤπειρον μόνον καλῶς ἕξειν, εἰ δὲ κατὰ θάλατταν κρατήσαιεν, b ἅπασαν τὴν Ἑλλάδα τῆς νίκης ταύτης μεθέξειν. (56) Ὅπερ συνέβη· πεισθέντων γὰρ ταῦτα τῶν στρατηγῶν καὶ ναυτικοῦ συλλεγέντος Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν καὶ τῆς ἀρχῆς ἀπεστερήθησαν, οἱ δ' Ἕλληνες ἠλευθερώθησαν, ἡ δὲ πόλις ἡμῶν τῆς τε παλαιᾶς δόξης μέρος τι πάλιν ἀνέλαβε καὶ τῶν συμμάχων ἡγεμὼν κατέστη. Καὶ ταῦτ' ἐπράχθη Κόνωνος μὲν στρατηγοῦντος, Εὐαγόρου δ' αὐτόν τε παρασχόντος καὶ c τῆς δυνάμεως τὴν πλείστην παρασκευάσαντος. (57) Ὑπὲρ ὧν ἡμεῖς μὲν αὐτοὺς ἐτιμήσαμεν ταῖς μεγίσταις τιμαῖς, καὶ τὰς εἰκόνας αὐτῶν ἐστήσαμεν οὗπερ τὸ τοῦ Διὸς ἄγαλμα τοῦ Σωτῆρος, πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν, ἀμφοτέρων ὑπόμνημα, καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας καὶ τῆς φιλίας τῆς πρὸς ἀλλήλους. Βασιλεὺς δ' οὐ τὴν αὐτὴν γνώμην ἔσχε περὶ αὐτῶν, ἀλλ' ὅσῳ μείζω καὶ πλέονος ἄξια κατειργάσαντο, τοσούτῳ μᾶλ- d λον ἔδεισεν αὐτούς. Περὶ μὲν οὖν Κόνωνος ἄλλος ἡμῖν ἔσται λόγος· ὅτι δὲ πρὸς Εὐαγόραν οὕτως ἔσχεν, οὐδ'

51. Illud autem certissimum signum est et morum et sanctitatis ejus, quod Græcorum complures optimi et honestissimi viri patria relicta habitatum in Cyprum concesserunt, quum existimarent regnum Euagoræ plus otii et æquitatis habere, quam suas domi respublicas. Atque ceteros quidem nominatim recensere perquam operosum est : (52) Cononem autem, qui virtutibus plurimis princeps Græcorum fuit, quis ignorat, quum nostra urbs cladem accepisset, ad Euagoram selectum e ceteris omnibus se contulisse? quod putabat se apud eum et saluti suæ rectissime consulturum, et reipublicæ erigendæ adjutorem quamprimum habiturum. Et quum prius multis de rebus recta consilia iniisset, nulla tamen de re unquam visus est, quam de hac, melius statuisse. (53) Ita enim contigit, ut propter adventum in Cyprum plurima beneficia et daret et acciperet. Primum enim statim ut congressi sunt, pluris uterque alterum fecit quam vetustate amicitiæ conjunctos. Deinde quum ceteris de rebus perpetuo consenserunt, tum de nostra civitate in eadem sententia erant. (54) Quam quum viderent ingenti mutatione facta parere Lacedæmoniis, graviter molesteque tulerunt, facientes quod utrumque decuit. Nam alteri natura erat patria, alterum ob multa et magna beneficia lege in civitatem ascripserant. Cogitantibus igitur eis, quomodo e calamitatibus eam eriperent, statim opportunitatem Lacedæmonii præbuerunt. Qui quum Græcis terra marique imperarent, insatiabili cupiditate incitati Asiam quoque vastare cœperunt. (55) Ea igitur hi occasione arrepta regios duces, quid consilii capiendum esset dubitantes, docuerunt non terra, sed mari aggrediendos esse Lacedæmonios, existimantes, si pedestri exercitu comparato terra vicissent, Asianis solum consultum fore; sin mari superassent, totam Græciam ex ea victoria fructus esse capturam. (56) Id quod evenit. Nam quum duces huic consilio paruissent classemque comparassent, et Lacedæmonii navali prælio victi et imperio privati sunt, et Græci libertatem recuperarunt, et nostra urbs antiquæ gloriæ partem quandam denuo recepit sociorumque dux facta est. Atque hæc gesta sunt Conone quidem duce, Euagora vero et ipso strenuam operam navante, et maximam copiarum partem comparante. (57) Pro quibus meritis nos eis maximos honores decrevimus et statuas posuimus in eo loco, in quo Jovis Servatoris simulacrum est, et prope hanc et inter ipsas vicinas, quod utriusque rei monumentum esset, et maximi beneficii, et amicitiæ quæ fuit inter ipsos. Rex vero Persarum non eodem modo erga eos affectus fuit, sed quo res majores et illustriores gesserant, eo magis eos formidavit. Ac de Conone alio loco dicemus : quæ vero mens ejus erga Euagoram fuerit, ne ipse quidem dissimu-

αὐτὸς λαθεῖν ἐζήτησεν. (58) Φαίνεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν Κύπρῳ πόλεμον ἢ περὶ τοὺς ἄλλους ἅπαντας, μείζω δὲ καὶ χαλεπώτερον ἐκεῖνον ἀνταγωνιστὴν νομίσας ἢ Κῦρον τὸν περὶ τῆς βασι- e
λείας ἀμφισβητήσαντα. Μέγιστον δὲ τεκμήριον· τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευὰς τοσοῦτον κατεφρόνησεν, ὥστε διὰ τὸ μὴ φροντίζειν μικροῦ δεῖν ἔλαθεν αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς· πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔσχεν, ὥστε μεταξὺ πάσχων εὖ πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε, δίκαια μὲν οὐ ποιῶν, οὐ
201 μὴν παντάπασιν ἀλόγως βουλευσάμενος. (59) Ἠπί- a
στατο μὲν γὰρ πολλοὺς καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐκ ταπεινῶν καὶ φαύλων πραγμάτων μεγάλας δυναστείας κατεργασαμένους, ᾐσθάνετο δὲ τὴν Εὐαγόρου μεγαλοψυχίαν καὶ τὰς ἐπιδόσεις αὐτῷ καὶ τῆς δόξης καὶ τῶν πραγμάτων οὐ κατὰ μικρὸν γιγνομένας, ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον ἔχοντα καὶ τὴν τύχην αὐτῷ συναγωνιζομένην· (60) ὥστ' οὐχ ὑπὲρ τῶν γεγενημένων ὀργιζόμενος, ἀλλὰ περὶ τῶν μελλόντων b
φοβούμενος, οὐδὲ περὶ Κύπρου μόνον δεδιώς, ἀλλὰ πολὺ περὶ μειζόνων, ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν. Οὕτω δ' οὖν ὥρμησεν, ὥστ' εἰς τὴν στρατείαν ταύτην πλέον ἢ τάλαντα πεντακισχίλια καὶ μύρια κατηνάλωσεν.

61. Ἀλλ' ὅμως Εὐαγόρας, πάσαις ἀπολελειμμένος ταῖς δυνάμεσιν, ἀντιτάξας τὴν αὑτοῦ γνώμην πρὸς τὰς οὕτως ὑπερμεγέθεις παρασκευάς, ἐπέδειξεν αὑτὸν ἐν τούτοις πολὺ θαυμαστότερον ἢ τοῖς ἄλλοις τοῖς προει- c
ρημένοις. Ὅτε μὲν γὰρ αὐτὸν εἴων εἰρήνην ἄγειν, τὴν αὑτοῦ πόλιν μόνην εἶχεν· (62) ἐπειδὴ δ' ἠναγκάσθη πολεμεῖν, τοιοῦτος ἦν καὶ τοιοῦτον εἶχε Πνυταγόραν τὸν υἱὸν τὸν ἑαυτοῦ συναγωνιστήν, ὥστε μικροῦ μὲν ἐδέησε Κύπρον ἅπασαν κατασχεῖν, Φοινίκην δ' ἐπόρθησε, Τύρον δὲ κατὰ κράτος εἷλε, Κιλικίαν δὲ βασιλέως ἀπέστησε, τοσούτους δὲ τῶν πολεμίων ἀπώλεσεν ὥστε πολλοὺς Περσῶν, πενθοῦντας τὰς ἑαυτῶν συμφοράς, d
μεμνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνου· (63) τελευτῶν δ' οὕτως ἐνέπλησεν αὐτοὺς τοῦ πολεμεῖν ὥστ' εἰθισμένων τὸν ἄλλον χρόνον τῶν βασιλέων μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι πρὶν κύριοι γένοιντο τῶν σωμάτων, ἄσμενοι τὴν εἰρήνην ἐποιήσαντο λύσαντες μὲν τὸν νόμον τοῦτον, οὐδὲν δὲ κινήσαντες τῆς Εὐαγόρου τυραννίδος. (64) Καὶ Λακεδαιμονίων μὲν τῶν καὶ δόξαν καὶ δύναμιν μεγίστην ἐχόντων κατ' ἐκεῖνον τὸν χρόνον ἐντὸς τριῶν e
ἐτῶν ἀφείλετο τὴν ἀρχήν· Εὐαγόρᾳ δὲ πολεμήσας ἔτη δέκα τῶν αὐτῶν κύριον αὐτὸν κατέλιπεν, ὧνπερ ἦν καὶ πρὶν εἰς τὸν πόλεμον εἰσελθεῖν. Ὃ δὲ πάντων δεινό-
202 τατον· τὴν γὰρ πόλιν ἣν Εὐαγόρας ἑτέρου τυραννοῦντος a
μετὰ πεντήκοντ' ἀνδρῶν εἷλε, ταύτην βασιλεὺς ὁ μέγας τοσαύτην δύναμιν ἔχων οὐχ οἷός τ' ἐγένετο χειρώσασθαι.

65. Καίτοι πῶς ἄν τις τὴν ἀνδρείαν ἢ τὴν φρόνησιν ἢ σύμπασαν τὴν ἀρετὴν Εὐαγόρου φανερώτερον ἐπιδείξειεν ἢ διὰ τοιούτων ἔργων καὶ κινδύνων; οὐ γὰρ μόνον

lare studuit. (58) Constat enim eum in bellum Cyprium majore conatu incubuisse quam in cetera omnia, et hunc majorem ac graviorem adversarium judicasse quam Cyrum, qui cum eo de regno decertavit. Cujus rei hoc maximum signum est, quod auditis fratris apparatibus adeo securus fuit, ut non multum abesset quin ob incuriam in ipsa prope regia opprimeretur; alterum vero tam diu ante formidavit, ut quanquam interdum beneficia ab eo acceperat, bellum adversus eum moliretur, non ille quidem justitiæ studio, sed tamen non stulto prorsus consilio. (59) Sciebat enim multos tum Græcorum tum barbarorum a contemptis initiis profectos maxima imperia evertisse; intelligebat etiam Euagoræ magnanimitatem atque incrementa et gloriæ et rerum gestarum non lente ei obvenisse videbat, sed et insuperabili eum esse ingenio et fortunam habere adjutricem. (60) Quare non iratus ob ante facta, sed de futuris sollicitus, neque Cypro tantum metuens, sed rebus multo majoribus timens, bellum contra eum suscepit, idque tanta mole, ut in eam expeditionem amplius quindecim millia talentûm insumpserit.

61. Euagoras tamen omnibus copiis inferior, opposito suo consilio contra tam immensos apparatus, se in his multo admirabiliorem præbuit, quam in iis omnibus quæ supra diximus. Dum enim eum pace frui patiebantur, suam solam urbem habuit : (62) postquam vero armis se defendere coactus est, talem se præbuit talemque adjutorem filium Pnytagoram habuit, ut non multum abesset quin tota Cypro potiretur. Phœnicen vero vastavit, Tyrum vi cepit, Ciliciam ad defectionem a rege impulit, et tantam hostium stragem edidit, ut multi Persarum sua mala deplorantes virtutem illius recordentur; (63) eo denique rem redegit, ut eos tanta belli satietas caperet, ut, quum reges superiori tempore non redire in gratiam cum iis, qui defecerant, consuevissent, antequam corporibus eorum potiti essent, cupide pacem fecerint, soluta quidem lege illa, sed nihil mutato Euagoræ imperio. (64) Ac Lacedæmoniis quidem, qui ea tempestate et gloria et potentia excellebant, intra triennium eripuit imperium; sed Euagoram bello hoc in decimum usque annum prorogato, dominum earundem rerum reliquit, quas ante illatum bellum habuerat. Et quod admiratione maxima dignum est, quam urbem Euagoras altero regnante cum quinquaginta viris ceperat, eam magnus rex tantis copiis instructus subigere non potuit.

65. Enimvero qua ratione vel fortitudo vel prudentia vel universa virtus Euagoræ dilucidius ostendi possit, quam talibus factis et pugnis? Non enim cetera bella tantum,

φανεῖται τοὺς ἄλλους πολέμους ἀλλὰ καὶ τὸν τῶν ἡρώων ὑπερβαλόμενος, τὸν ὑπὸ πάντων ἀνθρώπων ὑμνούμενον. Οἱ μὲν γὰρ μεθ' ἁπάσης τῆς Ἑλλάδος Τροίαν b μόνην εἷλον, ὁ δὲ μίαν πόλιν ἔχων πρὸς ἅπασαν τὴν Ἀσίαν ἐπολέμησεν· ὥστ' εἰ τοσοῦτοι τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν ἐβουλήθησαν ὅσοι περ ἐκείνους, πολὺ ἂν μείζω καὶ τὴν δόξαν αὐτῶν ἔλαβεν. (66) Τίνα γὰρ εὑρήσομεν τῶν τότε γενομένων, εἰ τοὺς μύθους ἀφέντες τὴν ἀλήθειαν σκοποῖμεν, τοιαῦτα διαπεπραγμένον, ἢ τίνα τοσούτων μεταβολῶν ἐν τοῖς πράγμασιν αἴτιον γεγενημένον; c ὃς αὐτὸν μὲν ἐξ ἰδιώτου τύραννον κατέστησε, τὸ δὲ γένος ἅπαν ἀπεληλαμένον τῆς πολιτείας εἰς τὰς προσηκούσας τιμὰς πάλιν ἐπανήγαγε, τοὺς δὲ πολίτας ἐκ βαρβάρων μὲν Ἕλληνας ἐποίησεν, ἐξ ἀνάνδρων δὲ πολεμικούς, ἐξ ἀδόξων δ' ὀνομαστούς, (67) τὸν δὲ τόπον ἄμικτον ὅλον παραλαβὼν καὶ παντάπασιν ἐξηγριωμένον ἡμερώτερον καὶ πραότερον κατέστησεν, ἔτι δὲ πρὸς τούτοις εἰς ἔχθραν μὲν βασιλεῖ καταστὰς d οὕτως αὐτὸν ἠμύνατο καλῶς, ὥστ' ἀείμνηστον γεγενῆσθαι τὸν πόλεμον τὸν περὶ Κύπρον, ὅτε δ' ἦν αὐτῷ σύμμαχος, τοσούτῳ χρησιμώτερον αὐτὸν παρέσχε τῶν ἄλλων, (68) ὥσθ' ὁμολογουμένως μεγίστην αὐτῷ συμβαλέσθαι δύναμιν εἰς τὴν ναυμαχίαν τὴν περὶ Κνίδον, ἧς γενομένης βασιλεὺς μὲν ἁπάσης τῆς Ἀσίας κύριος κατέστη, Λακεδαιμόνιοι δ' ἀντὶ τοῦ τὴν ἤπειρον πορθεῖν περὶ τῆς αὐτῶν κινδυνεύειν ἠναγκάσθησαν, οἱ δ' Ἕλληνες ἀντὶ δουλείας αὐτονομίας ἔτυχον, Ἀθηναῖοι e δὲ τοσοῦτον ἐπέδοσαν ὥστε τοὺς πρότερον αὐτῶν ἄρχοντας ἐλθεῖν αὐτοῖς τὴν ἀρχὴν δώσοντας. (69) Ὥστ' εἴ τις ἔροιτό με τί νομίζω μέγιστον εἶναι τῶν Εὐαγόρᾳ
203 πεπραγμένων, πότερον τὰς ἐπιμελείας καὶ τὰς παρα- a σκευὰς τὰς πρὸς Λακεδαιμονίους, ἐξ ὧν τὰ προειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον, ἢ τὴν κατάληψιν τῆς βασιλείας, ἢ τὴν ὅλην τῶν πραγμάτων διοίκησιν, εἰς πολλὴν ἀπορίαν ἂν κατασταίην· ἀεὶ γάρ μοι δοκεῖ μέγιστον εἶναι καὶ θαυμαστότατον, καθ' ὅ τι ἂν αὐτῶν ἐπιστήσω τὴν γνώμην.

70. Ὥστ' εἴ τινες τῶν προγεγενημένων δι' ἀρετὴν ἀθάνατοι γεγόνασιν, οἶμαι κἀκεῖνον ἠξιῶσθαι ταύτης τῆς b δωρεᾶς, σημείοις χρώμενος ὅτι καὶ τὸν ἐνθάδε χρόνον εὐτυχέστερον καὶ θεοφιλέστερον ἐκείνων διαβεβίωκεν. Τῶν μὲν γὰρ ἡμιθέων τοὺς πλείστους καὶ τοὺς ὀνομαστοτάτους εὑρήσομεν ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας, Εὐαγόρας δ' οὐ μόνον θαυμαστότατος ἀλλὰ καὶ μακαριώτατος ἐξ ἀρχῆς ὢν διετέλεσεν. (71) Τί γὰρ ἀπέλιπεν εὐδαιμονίας, ὃς τοιούτων μὲν προγόνων ἔτυχεν οἵων οὐδεὶς ἄλλος, πλὴν εἴ τις ἀπὸ τῶν αὐτῶν ἐκείνῳ c γέγονεν, τοσοῦτον δὲ καὶ τῷ σώματι καὶ τῇ γνώμῃ τῶν ἄλλων διήνεγκεν ὥστε μὴ μόνον Σαλαμῖνος ἀλλὰ καὶ τῆς Ἀσίας ἁπάσης ἄξιος εἶναι τυραννεῖν, κάλλιστα δὲ κτησάμενος τὴν βασιλείαν, ἐν ταύτῃ διετέλεσε τὸν βίον, θνητὸς δὲ γενόμενος ἀθάνατον τὴν περὶ αὐτοῦ μνήμην κατέλιπε, τοσοῦτον δ' ἐβίω χρόνον ὥστε μήτε τοῦ γήρως ἄμοιρος γενέσθαι μήτε τῶν νόσων μετασχεῖν τῶν

sed illud etiam ab heroibus gestum, quod ab omnibus mortalibus celebratum est, superavit. Nam illi quidem cum universa Græcia Trojam solam ceperunt; hic vero quum unam tantum haberet urbem, bellum totius Asiæ toleravit. Quare si tot eum laudare voluissent, quot illos, multo majorem etiam quam illi gloriam adeptus esset. (66) Quem enim inveniemus illius sæculi, si nunc omissis fabulis rem ipsam spectemus, qui talia perfecerit, aut qui tantarum in rebus mutationum fuerit effector? qui e privata vita ad regnum sua virtute ascendit, et suum genus plane pulsum a republica in convenientem dignitatis gradum restituit, et cives e barbaris Græcos, ex effeminatis bellicosos, ex obscuris celeberrimos effecit; (67) præterea locum eum quum abhorrentem a commerciis et prorsus efferatum invenisset, mansuetiorem et mitiorem reddidit : post susceptis cum rege inimicitiis tam præclare quum ultus est, ut bellum in Cypro gestum nulla oblivione queat aboleri : dum vero socius regis esset, tanto plus in eo quam ceteris præsidii fuit, (68) ut sine ulla dubitatione ad Cnidium navale prælium maximas ei vires contulerit. Quo confecto non modo rex totius Asiæ dominatu potitus est, sed etiam Lacedæmonii, qui ante Asiam vastabant, de aris et focis dimicare sunt coacti, et Græci, excusso jugo servitutis, libertatem recuperaverunt, et Atheniensium opes ita creverunt, ut qui prius illis imperarant, ad ipsos venirent imperium tradituri. (69) Quare si quis me interroget, quam inter Euagoræ res gestas maximam esse judicem, num navatam operam et apparatus contra Lacedæmonios, quibus hæc quæ diximus evenerunt, an extremum bellum, an occupationem regni, an totam rerum administrationem, quid respondeam, non mihi sit in promptu. Nam singula, quæ accuratius cum animo meo expendo, semper maxima et maxime admirabilia mihi videntur.

70. Quare si qui veterum immortalitatem virtute sibi pepererunt, illum etiam eo munere dignatum esse censeo : his argumentis adductus, quod hanc quoque vitam felicius et deo longe acceptius, quam illi, ad obitum usque exegit. Nam semideorum plerosque et eos quidem celeberrimos in maximas scimus incidisse calamitates : Euagoras vero non admiratione dignissimus tantum jam inde ab initio permansit, sed etiam beatissimus. (71) Quid enim illius felicitati defuit, qui tales majores habuit, quales nemo alius, nisi ex eadem familia oriundus? qui tantum et corpore et anima ceteris præstitit, ut non Salaminis tantum, sed totius Asiæ dignus esset imperio? deinde in regno, quod pulcherrime paraverat, vitam exegit, et quum mortalis esset natus, immortalem nominis sui memoriam reliquit, et eo usque vixit, ut neque senectutis esset expers, neque morbis qui hanc æta-

διὰ ταύτην τὴν ἡλικίαν γιγνομένων; (72) Πρὸς δὲ τού- [d] τοις, ὃ δοκεῖ σπανιώτατον εἶναι καὶ χαλεπώτατον, εὐπαιδίας τυχεῖν ἅμα καὶ πολυπαιδίας, οὐδὲ τούτου διήμαρτεν, ἀλλὰ καὶ τοῦτ' αὐτῷ συνέπεσεν. Καὶ τὸ μέγιστον, ὅτι τῶν ἐξ αὐτοῦ γεγονότων οὐδένα κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον, ἀλλὰ τὸν μὲν βασιλέα καλούμενον, τοὺς δ' ἄνακτας, τὰς δ' ἀνάσσας. Ὥστ' εἴ τινες τῶν ποιητῶν περί τινος τῶν προγεγενημένων ὑπερβολαῖς κέχρηνται, λέγοντες ὡς ἦν θεὸς ἐν [e] ἀνθρώποις ἢ δαίμων θνητός, ἅπαντα τὰ τοιαῦτα περὶ τὴν ἐκείνου φύσιν ῥηθῆναι μάλιστ' ἂν ἁρμόσειεν.

73. Τῶν μὲν οὖν εἰς Εὐαγόραν πολλὰ μὲν οἶμαι πα- [204] ραλιπεῖν· ὑστερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτοῦ, μεθ' [a] ἧς ἀκριβέστερον καὶ φιλοπονώτερον ἐξειργασάμην ἂν τὸν ἔπαινον τοῦτον· οὐ μὴν ἀλλὰ καὶ νῦν, ὅσον κατὰ τὴν ἐμὴν δύναμιν, οὐκ ἀνεγκωμίαστός ἐστιν. Ἐγὼ, δ', ὦ Νικόκλεις, ἡγοῦμαι καλὰ μὲν εἶναι μνημεῖα καὶ τὰς τῶν σωμάτων εἰκόνας, πολὺ μέντοι πλέονος ἀξίας τὰς τῶν πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειεν. (74) Προκρίνω δὲ ταύτας πρῶτον μὲν εἰδὼς τοὺς καλοὺς κἀγαθοὺς τῶν [b] ἀνδρῶν οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους ὡς ἐπὶ τοῖς ἔργοις καὶ τῇ γνώμῃ φιλοτιμουμένους· ἔπειθ' ὅτι τοὺς μὲν τύπους ἀναγκαῖον παρὰ τούτοις εἶναι μόνοις παρ' οἷς ἂν σταθῶσι, τοὺς δὲ λόγους ἐξενεχθῆναι οἷόντ' ἐστὶν εἰς τὴν Ἑλλάδα, καὶ διαδοθέντας ἐν ταῖς τῶν εὖ φρονούντων διατριβαῖς ἀγαπᾶσθαι, παρ' οἷς κρεῖττόν ἐστιν ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν· (75) πρὸς δὲ τούτοις ὅτι τοῖς μὲν πε- [c] πλασμένοις καὶ γεγραμμένοις οὐδεὶς ἂν τὴν τοῦ σώματος φύσιν ὁμοιώσειε, τοὺς δὲ τρόπους τοὺς ἀλλήλων καὶ τὰς διανοίας τὰς ἐν τοῖς λεγομένοις ἐνούσας ῥᾴδιόν ἐστι μιμεῖσθαι τοῖς μὴ ῥᾳθυμεῖν αἱρουμένοις, ἀλλὰ χρηστοῖς εἶναι βουλομένοις. (76) Ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γράφειν τὸν λόγον τοῦτον, ἡγούμενος καὶ σοὶ καὶ τοῖς σοῖς παισὶ καὶ τοῖς ἄλλοις τοῖς ἀπ' Εὐαγόρου γεγονόσι πολὺ καλλίστην ἂν γενέσθαι ταύτην παράκλη- [d] [62] σιν, εἴ τις ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνου καὶ τῷ λόγῳ κοσμήσας παραδοίη θεωρεῖν ὑμῖν καὶ συνδιατρίβειν αὐταῖς. (77) Τοὺς μὲν γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν ἑτέρους ἐπαινοῦντες, ἵνα ζηλοῦντες τοὺς εὐλογουμένους τῶν αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν· ἐγὼ δὲ σὲ καὶ τοὺς σοὺς οὐκ ἀλλοτρίοις παραδείγμασι χρώμενος ἀλλ' οἰκείοις παρακαλῶ, καὶ συμ- [e] βουλεύω προσέχειν τὸν νοῦν, ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσει τῶν Ἑλλήνων.

78. Καὶ μὴ νόμιζέ με καταγιγνώσκειν ὡς νῦν ἀμελεῖς, ὅτι πολλάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν. Οὐ γὰρ οὔτ' ἐμὲ λέληθας οὔτε τοὺς ἄλλους, ὅτι καὶ πρῶτος [207] καὶ μόνος τῶν ἐν τυραννίδι καὶ πλούτῳ καὶ τρυφαῖς ὄντων φιλοσοφεῖν καὶ πονεῖν ἐπικεχείρηκας, οὐδ' ὅτι πολλοὺς τῶν βασιλέων ποιήσεις ζηλώσαντας τὴν σὴν παίδευσιν τούτων τῶν διατριβῶν ἐπιθυμεῖν, ἀφεμένους ἐφ' οἷς νῦν λίαν χαίρουσιν. (79) Ἀλλ' ὅμως ἐγὼ ταῦτ'

tem comitari solent, premeretur? (72) Præterea, quod rarissimum et difficillimum habetur, ut idem et multos et felices liberos suscipiat, ne id quidem ei defuit, sed hoc quoque ipsi contigit; et, quod maximum est, neminem e se natum reliquit, qui privatis nominibus salutetur, sed alium regem, alios principes, alias principum uxores. Quare si qui poetarum de veterum quoquam magnificentius locuti deum aliquem esse inter homines dixerunt, aut numen mortale: ea universa de illius natura et ingenio convenientissime dicantur.

73. Ac multa quidem me, quæ dicenda essent de Euagora, prætermisisse arbitror: desidero enim vigorem ætatis, cujus ope accuratius et studiosius laudationem hanc perfecissem: veruntamen etiam nunc, quantum in meis viribus fuit, non defuit ei laudatio. Ego vero, Nicocles, pulchra monumenta esse statuo etiam corporum imagines; sed multo majoris pretii esse puto simulacra mentis et actionum, quæ in artificiosis solum orationibus conspiciuntur. (74) Quas ego ideo ceteris rebus antepono, primum quod scio præstantes virtute viros non tam forma corporis superbire, quam res gestas sapientiamque sibi laudi ducere; tum quia necesse est expressas corporum formas apud eos solos esse, apud quos positæ fuerint; orationes autem in Græcia vulgari possunt, et in cœtus eruditorum editæ magni fieri ac diligi; apud quos esse in gloria præstat, quam apud alios universos. (75) Deinde ad fictarum et pictarum imaginum formas nemo naturam corporis sui expresserit; mores autem aliorum et cogitationes quæ oratione declarantur facile est imitari, si qui ignavia repudiata viri boni esse velint. (76) Quo libentius etiam orationem hanc scribendam suscepi, quod existimabam et tibi et tuis liberis et ceteris ab Euagora oriundis longe pulcherrimam fore adhortationem, si quis congregatas ejus virtutes et verbis exornatas vobis spectandas quotidieque versandas manibus atque animis tradidisset. (77) Nam ceteros ad sapientiæ studium laudibus aliorum propositis exhortamur, ut earum laudum æmulatione incitati earundem etiam virtutum desiderio inflammentur: ego vero te ac tuos non alienis exemplis usus, sed domesticis hortor, ut in eo elabores, ne vel eloquentia vel sapienti rerum administratione ab ullo Græcorum supereris.

78. Neque vero putes te accusari a me ignaviæ, quod te ad easdem res toties exhortor. Nec enim vel me vel ceteros præterit te et solum et primum eorum qui regia dignitate præditi opibus et deliciis circumfluunt, sapientiæ studium amplexum honestos labores promptissime capessere. Neque illud etiam obscurum est, abs te effectum iri ut multi reges exemplo doctrinæ tuæ incitati omissis iis rebus quibus nunc impense gaudeant, istud studiorum et disciplinæ genus expetant. (79) Verum ego, quamvis hæc sciam, nihilomi-

εἰδὼς οὐδὲν ἧττον καὶ ποιῶ καὶ ποιήσω ταὐτὸν ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ θεαταί· καὶ γὰρ ἐκεῖνοι παρακελεύονται τῶν δρομέων οὐ τοῖς ἀπολελειμμένοις, ἀλλὰ τοῖς περὶ τῆς νίκης ἁμιλλωμένοις.

80. Ἐμὸν μὲν οὖν ἔργον καὶ τῶν ἄλλων φίλων τοιαῦτα λέγειν καὶ γράφειν, ἐξ ὧν μέλλομέν σε παροξύνειν ὀρέγεσθαι τούτων ὧνπερ καὶ νῦν τυγχάνεις ἐπιθυμῶν· σοὶ δὲ προσήκει μηδὲν ἐλλείπειν, ἀλλ' ὥσπερ ἐν τῷ παρόντι καὶ τὸν λοιπὸν χρόνον ἐπιμελεῖσθαι, καὶ τὴν ψυχὴν ἀσκεῖν, ὅπως ἄξιος ἔσει καὶ τοῦ πατρὸς καὶ τῶν ἄλλων προγόνων. Ὡς ἅπασι μὲν προσήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρόνησιν, μάλιστα δ' ὑμῖν τοῖς πλείστων καὶ μεγίστων κυρίοις οὖσιν. (81) Χρὴ δ' οὐκ ἀγαπᾶν εἰ τῶν παρόντων τυγχάνεις ὢν ἤδη κρείττων, ἀλλ' ἀγανακτεῖν εἰ τοιοῦτος μὲν ὢν αὐτὸς τὴν φύσιν, γεγονὼς δὲ τὸ μὲν παλαιὸν ἐκ Διός, τὸ δ' ὑπογυιότατον ἐξ ἀνδρὸς τοιούτου τὴν ἀρετήν, μὴ πολὺ διοίσεις καὶ τῶν ἄλλων καὶ τῶν ἐν ταῖς αὐταῖς σοι τιμαῖς ὄντων. Ἔστι δ' ἐπὶ σοὶ μὴ διαμαρτεῖν τούτων· ἂν γὰρ ἐμμένῃς τῇ φιλοσοφίᾳ καὶ τοσοῦτον ἐπιδιδῷς ὅσον περ νῦν, ταχέως γενήσει τοιοῦτος οἷόν σε προσήκει.

nus tamen et facio et faciam idem, quod in ludis gymnicis a spectatoribus fieri solet: nam illi acclamant cursoribus non iis qui relicti desistunt, sed iis qui strenue pro victoria contendant.

80. Quare meum et ceterorum amicorum officium est, ea et dicere et scribere, per quæ te acuamus ad ea appetenda quæ tibi etiam nunc placent. Te vero decet nihil prætermittere, sed ut in præsentia, sic in posterum quoque curam tui gerere, et exercere ingenium, ut et patre dignum te præbeas et ceteris tuis majoribus. Nam quum omnibus convenit magni facere sapientiam, tum vobis, qui in multos habetis imperium, inprimis. (81) Non autem eo contentus esse debes, si iis qui nunc sunt, jam sis præstantior, sed indignari, si ipse et tali præditus ingenio et, si prima origo repetatur, Jove, sin ad proxima veniamus, viro virtute præstantissimo natus, non multum antecellas quum ceteris, tum iis etiam qui in pari dignitatis gradu sunt collocati. Est autem in te situm, ne his frustreris: nam si in studio sapientiæ perseveraris et tantos usque progressus facias, quantos hactenus, celeriter talis evades, qualem te esse decet.

10.

ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ.

208 a Εἰσί τινες οἳ μέγα φρονοῦσιν, ἢν ὑπόθεσιν ἄτοπον καὶ παράδοξον ποιησάμενοι περὶ ταύτης ἀνεκτῶς εἰπεῖν δυνηθῶσι· καὶ καταγεγηράκασιν οἱ μὲν οὐ φάσκοντες οἷόν τ' εἶναι ψευδῆ λέγειν οὐδ' ἀντιλέγειν οὐδὲ δύω λόγω περὶ τῶν αὐτῶν πραγμάτων ἀντειπεῖν, οἱ δὲ διεξιόντες ὡς ἀνδρεία καὶ σοφία καὶ δικαιοσύνη ταὐτόν ἐστι, καὶ φύσει μὲν οὐδὲν αὐτῶν ἔχομεν, μία δ' ἐπιστήμη καθ' b ἁπάντων ἐστίν· ἄλλοι δὲ περὶ τὰς ἔριδας διατρίβουσι τὰς οὐδὲν μὲν ὠφελούσας, πράγματα δὲ παρέχειν τοῖς πλησιάζουσι δυναμένας. (2) Ἐγὼ δ' εἰ μὲν ἑώρων νεωστὶ τὴν περιεργίαν ταύτην ἐν τοῖς λόγοις ἐγγεγενημένην καὶ τούτους ἐπὶ τῇ καινότητι τῶν εὑρημένων φιλοτιμουμένους, οὐκ ἂν ὁμοίως ἐθαύμαζον αὐτῶν· νῦν δὲ τίς ἐστιν οὕτως ὀψιμαθὴς ὅστις οὐκ οἶδε Πρωταγόραν c καὶ τοὺς κατ' ἐκεῖνον τὸν χρόνον γενομένους σοφιστάς, ὅτι καὶ τοιαῦτα καὶ πολὺ τούτων πραγματωδέστερα συγγράμματα κατέλιπον ἡμῖν; (3) πῶς γὰρ ἄν τις ὑπερβάλοιτο Γοργίαν τὸν τολμήσαντα λέγειν ὡς οὐδὲν τῶν ὄντων ἔστιν, ἢ Ζήνωνα τὸν ταὐτὰ δυνατὰ καὶ πάλιν ἀδύνατα πειρώμενον ἀποφαίνειν, ἢ Μέλισσον, ὃς ἀπείρων τὸ πλῆθος πεφυκότων τῶν πραγμάτων ὡς ἑνὸς d ὄντος τοῦ παντὸς ἐπεχείρησεν ἀποδείξεις εὑρίσκειν; (4) Ἀλλ' ὅμως οὕτω φανερῶς ἐκείνων ἐπιδειξάντων ὅτι ῥᾴδιόν ἐστι περὶ ὧν ἄν τις πρόθηται ψευδῆ μηχανήσασθαι λόγον, ἔτι περὶ τὸν τόπον τοῦτον διατρίβουσιν· οὓς 209 ἐχρῆν ἀφεμένους ταύτης τῆς τερθρείας, τῆς ἐν μὲν τοῖς a λόγοις ἐξελέγχειν προσποιουμένης, ἐν δὲ τοῖς ἔργοις πολὺν ἤδη χρόνον ἐξεληλεγμένης, τὴν ἀλήθειαν διώκειν, (5) καὶ περὶ τὰς πράξεις ἐν αἷς πολιτευόμεθα

10.

HELENÆ LAUDATIO.

Sunt qui sibi valde placeant, si argumentum absurdum et admirabile aggressi de eo tolerabiliter dicere queant; et per omnem ætatem in ore habent alii non posse mentiri quenquam neque contradicere neque duas de rebus iisdem contrarias orationes habere; alii fortitudinem et sapientiam et justitiam idem esse, neque nos istarum rerum natura quicquam habere, sed unam esse scientiam, qua hæc omnia tradantur; alii tempus rixis terunt, quæ quidem utilitatis nihil afferunt, sed negotia facessere possunt auditoribus. (2) Ego vero, si nuper ineptias istas in eloquentiæ studium invectas viderem illosque inventorum novitate gloriari, eorum insolentiam non perinde mirarer. Nunc quis adeo tardus est ingenio qui nesciat Protagoram illiusque temporis sophistas et talia et his longe operosiora scripta nobis reliquisse? (3) Nam qui superari ab ullo posset Gorgias, qui nihil in rerum natura esse dixit quod sit? aut Zeno, qui probare conatur eadem et posse et non posse fieri? aut Melissus, qui, quum res infinitæ sint, rationes invenire conatus est, quibus demonstraret unum quiddam esse totam rerum universitatem? (4) Quum vero illi tam evidenter ostenderint facile esse de quacunque re falsam orationem comminisci, adhuc tamen in eo loco immorantur isti, quos decuit omissis præstigiis illis, quæ quum verbis alios convincere se profiteantur, re ipsa jam olim ipsæ convictæ sunt, veritati studere, (5) et suos auditores in iis rebus, quæ in

τοὺς συνόντας παιδεύειν, καὶ περὶ τὴν ἐμπειρίαν τὴν τούτων γυμνάζειν, ἐνθυμουμένους ὅτι πολὺ κρεῖττόν ἐστι περὶ τῶν χρησίμων ἐπιεικῶς δοξάζειν ἢ περὶ τῶν ἀχρήστων ἀκριβῶς ἐπίστασθαι, καὶ μικρὸν προέχειν ἐν τοῖς μεγάλοις μᾶλλον ἢ πολὺ διαφέρειν ἐν τοῖς μικροῖς καὶ b τοῖς μηδὲν πρὸς τὸν βίον ὠφελοῦσιν. (6) Ἀλλὰ γὰρ οὐδενὸς αὐτοῖς ἄλλου μέλει, πλὴν τοῦ χρηματίζεσθαι παρὰ τῶν νεωτέρων. Ἔστι δ' ἡ περὶ τὰς ἔριδας φιλοσοφία δυναμένη τοῦτο ποιεῖν· οἱ γὰρ μήτε τῶν ἰδίων πω μήτε τῶν κοινῶν φροντίζοντες τούτοις μάλιστα χαίρουσι τῶν λόγων, οἳ μηδὲ πρὸς ἓν χρήσιμοι τυγχάνουσιν ὄντες.

7. Τοῖς μὲν οὖν τηλικούτοις πολλὴ συγγνώμη ταύ- c την ἔχειν τὴν διάνοιαν· ἐπὶ γὰρ ἁπάντων τῶν πραγμάτων πρὸς τὰς περιττότητας καὶ τὰς θαυματοποιίας οὕτω διακείμενοι διατελοῦσι· τοῖς δὲ παιδεύειν προσποιουμένοις ἄξιον ἐπιτιμᾶν, ὅτι κατηγοροῦσι μὲν τῶν ἐπὶ τοῖς ἰδίοις συμβολαίοις ἐξαπατώντων καὶ μὴ δικαίως τοῖς λόγοις χρωμένων, αὐτοὶ δ' ἐκείνων δεινότερα ποιοῦσιν. Οἱ μὲν γὰρ ἄλλους τινὰς ἐζημίωσαν, οὗτοι δὲ τοὺς συνόντας μάλιστα βλάπτουσιν.

8. Τοσοῦτον δ' ἐπιδεδωκέναι πεποιήκασι τὸ ψευδο- d λογεῖν, ὥστ' ἤδη τινές, ὁρῶντες τούτους ἐκ τῶν τοιούτων ὠφελουμένους, τολμῶσι γράφειν ὡς ἔστιν ὁ τῶν πτωχευόντων καὶ φευγόντων βίος ζηλωτότερος ἢ ὁ τῶν ἄλλων ἀνθρώπων. Καὶ ποιοῦνται τεκμήριον ὡς, εἰ περὶ πονηρῶν πραγμάτων ἔχουσί τι λέγειν, περί γε τῶν καλῶν κἀγαθῶν ῥᾳδίως εὐπορήσουσιν. (9) Ἐμοὶ δὲ δοκεῖ πάντων εἶναι καταγελαστότατον τὸ διὰ τούτων e τῶν λόγων ζητεῖν πείθειν ὡς περὶ τῶν πολιτικῶν ἐπιστήμην ἔχουσιν, ἐξὸν ἐν αὐτοῖς οἷς ἐπαγγέλλονται τὴν ἐπίδειξιν ποιεῖσθαι· τοὺς γὰρ ἀμφισβητοῦντας τοῦ φρο-
210 νεῖν καὶ φάσκοντας εἶναι σοφιστὰς οὐκ ἐν τοῖς ἠμελη- a μένοις ὑπὸ τῶν ἄλλων, ἀλλ' ἐν οἷς ἅπαντές εἰσιν ἀνταγωνισταὶ προσήκει διαφέρειν καὶ κρείττους εἶναι τῶν ἰδιωτῶν. (10) Νῦν δὲ παραπλήσιον ποιοῦσιν, ὥσπερ ἂν εἴ τις προσποιοῖτο κράτιστος εἶναι τῶν ἀθλητῶν ἐνταῦθα καταβαίνων οὗ μηδεὶς ἂν ἄλλος ἀξιώσειεν. Τίς γὰρ ἂν τῶν εὖ φρονούντων συμφορὰς ἐπαινεῖν ἐπιχειρήσειεν; ἀλλὰ δῆλον ὅτι δι' ἀσθένειαν ἐνταῦθα καταφεύγουσιν. (11) Ἔστι γὰρ τῶν μὲν τοιούτων συγγραμμάτων μία τις ὁδός, ἣν οὔθ' εὑρεῖν οὔτε μαθεῖν οὔτε b μιμήσασθαι δύσκολόν ἐστιν· οἱ δὲ κοινοὶ καὶ πιστοὶ καὶ τούτοις ὅμοιοι τῶν λόγων διὰ πολλῶν ἰδεῶν καὶ καιρῶν δυσκαταμαθήτων εὑρίσκονταί τε καὶ λέγονται, καὶ τοσούτῳ χαλεπωτέραν ἔχουσι τὴν σύνθεσιν, ὅσῳ περ τὸ σεμνύνεσθαι τοῦ σκώπτειν καὶ τὸ σπουδάζειν τοῦ παίζειν ἐπιπονώτερόν ἐστιν. (12) Σημεῖον δὲ μέγιστον· τῶν μὲν γὰρ τοὺς βομβυλιοὺς καὶ τοὺς ἅλας καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν οὐδεὶς πώποτε λόγων ἠπόρησεν, οἱ δὲ c περὶ τῶν ὁμολογουμένων ἀγαθῶν ἢ καλῶν ἢ τῶν διαφερόντων ἐπ' ἀρετῇ λέγειν ἐπιχειρήσαντες πολὺ καταδεέστερον τῶν ὑπαρχόντων ἅπαντες εἰρήκασιν. (13) Οὐ γὰρ τῆς αὐτῆς γνώμης ἐστὶν ἀξίως εἰπεῖν περὶ ἑκατέρων αὐτῶν, ἀλλὰ τὰ μὲν μικρὰ ῥᾴδιον τοῖς λόγοις

vita communi usum habent, erudire atque in actionibus civilibus earumque peritia exercere, illud cogitantes, multo præstabilius esse de rebus utilibus commodas opiniones habere, quam supervacanearum exquisitam cognitionem, et potius aliis paulo superiorem esse in magnis, quam in parvis et præsertim iis, quæ vitam nihil adjuvant, multum excellere. (6) Verum istis nihil aliud curæ est, nisi ut ab adolescentibus pecuniam auferant, idque præstare potest philosophia quæ in dialecticis versatur. Nam qui neque publicam neque privatam rem curant, hi disputationibus illis delectantur maxime, quæ prorsus omni carent utilitate.

7. Atque adolescentibus quidem omnino venia hujus erroris danda est, quum omnibus in rebus ea maximi faciant, quæ supervacanea sunt et a communi sensu abhorrent: qui autem magistros se perhiberi volunt, reprehendendi sunt, quod, quum eos accusent qui in privatis negotiis alios fallunt et sermone ad injurias abutuntur, ipsi multo gravius delinquunt. Nam illi quidem damnum inferunt alienis, hi vero suis familiaribus potissimum incommoda exhibent.

8. Mentiendi vero licentia tantopere ab iis aucta est, ut jam quidam, dum istos hujusmodi rebus ditari vident, scribere audeant mendicorum et exulum vitam magis expetendam esse quam hominum ceterorum. Jam si de rebus ita improbatis verba suppetent, id argumento esse volunt se ad res præclaras exponendas luculenta oratione facile abundaturos. (9) Mihi vero nihil æque ridiculum videtur, ac quod istis rationibus probare student se rerum civilium peritos esse, quum in iis ipsis quæ pollicentur, specimen eruditionis suæ præbere possent. Nam qui prudentia præstare ceteris et sophistæ videri volunt, excellere ac superare indoctos debent non rebus quas alii negligunt, sed iis in quibus universi æmulantur. (10) Nunc perinde faciunt ac si is, qui se pugilum præstantissimum esse profiteatur, eum in locum descendat, quo nemo sequi dignetur. Quis enim sanæ mentis homo calamitates laudare instituat? Facile igitur cernitur eos ob ingeniorum infirmitatem huc confugere. (11) Est enim ejusmodi scriptionum una quædam via nec ad inveniendum nec ad discendum nec ad imitandum difficilis. Communes autem et fide dignæ et his similes orationes per multas formas et observationes cognitu difficiles tum inveniuntur, tum discuntur; ac tanto difficilius componuntur, quanto gravitas scurrarum levitate, res seria ludis et jocis est laboriosior. (12) Idque ex eo intelligitur, quod neminem unquam, qui apiculas et salem et reliqua ejus generis laudare voluit, verba defecerunt: qui vero de rebus omnium confessione præclaris et bonis, aut viris virtute præstantibus aliquid dicere conati sunt, hi universi longe tenuius dixerunt, quam argumenti magnitudo postulabat. (13) Non enim ejusdem est ingenii pro utrorumque dicere dignitate, sed ut expeditum parva oratione superare, sic præclaræ laudis

ὑπερβαλέσθαι, τῶν δὲ χαλεπὸν τοῦ μεγέθους ἐφικέσθαι· καὶ περὶ μὲν τῶν δόξαν ἐχόντων σπάνιον εὑρεῖν ἃ μηδεὶς πρότερον εἴρηκε, περὶ δὲ τῶν φαύλων καὶ ταπεινῶν ὅ τι d ἄν τις τύχῃ φθεγξάμενος, ἅπαν ἴδιόν ἐστιν.

14. Διὸ καὶ τὸν γράψαντα περὶ τῆς Ἑλένης ἐπαινῶ μάλιστα τῶν εὖ λέγειν τι βουληθέντων, ὅτι περὶ τοιαύτης ἐμνήσθη γυναικός, ἣ καὶ τῷ γένει καὶ τῷ κάλλει καὶ τῇ δόξῃ πολὺ διήνεγκεν. Οὐ μὴν ἀλλὰ καὶ τοῦτον μικρόν τι παρέλαθεν· φησὶ μὲν γὰρ ἐγκώμιον γεγραφέναι περὶ αὐτῆς, τυγχάνει δ' ἀπολογίαν εἰρηκὼς ὑπὲρ τῶν ἐκείνῃ πεπραγμένων. (15) Ἔστι δ' οὐκ ἐκ τῶν αὐτῶν e ἰδεῶν οὐδὲ περὶ τῶν αὐτῶν ἔργων ὁ λόγος, ἀλλὰ πᾶν τοὐναντίον· ἀπολογεῖσθαι μὲν γὰρ προσήκει περὶ τῶν
211 ἀδικεῖν αἰτίαν ἐχόντων, ἐπαινεῖν δὲ τοὺς ἐπ' ἀγαθῷ τινι a διαφέροντας.

Ἵνα δὲ μὴ δοκῶ τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾶν τοῖς ἄλλοις μηδὲν ἐπιδεικνὺς τῶν ἐμαυτοῦ, πειράσομαι περὶ τῆς αὐτῆς ταύτης εἰπεῖν, παραλιπὼν ἅπαντα τὰ τοῖς ἄλλοις εἰρημένα.

16. Τὴν μὲν οὖν ἀρχὴν τοῦ λόγου ποιήσομαι τὴν ἀρχὴν τοῦ γένους αὐτῆς. Πλείστων γὰρ ἡμιθέων ὑπὸ Διὸς γεννηθέντων μόνης ταύτης γυναικὸς πατὴρ ἠξίωσε b κληθῆναι. Σπουδάσας δὲ μάλιστα περί τε τὸν ἐξ Ἀλκμήνης καὶ τοὺς ἐκ Λήδας, τοσούτῳ μᾶλλον Ἑλένην Ἡρακλέους προὐτίμησεν, ὥστε τῷ μὲν ἰσχὺν ἔδωκεν, ἣ βίᾳ τῶν ἄλλων κρατεῖν δύναται, τῇ δὲ κάλλος ἀπένειμεν, ὃ καὶ τῆς ῥώμης αὐτῆς ἄρχειν πέφυκεν. (17) Εἰδὼς δὲ τὰς ἐπιφανείας καὶ τὰς λαμπρότητας οὐκ ἐκ τῆς ἡσυχίας ἀλλ' ἐκ τῶν πολέμων καὶ τῶν ἀγώνων γιγνομένας, καὶ βουλόμενος αὐτῶν μὴ μόνον τὰ σώματ' c εἰς θεοὺς ἀναγαγεῖν, ἀλλὰ καὶ τὰς δόξας ἀειμνήστους καταλιπεῖν, τοῦ μὲν ἐπίπονον καὶ φιλοκίνδυνον τὸν βίον κατέστησε, τῆς δὲ περίβλεπτον καὶ περιμάχητον τὴν φύσιν ἐποίησεν. (18) Καὶ πρῶτον μὲν Θησεύς, ὁ λεγόμενος μὲν Αἰγέως, γενόμενος δ' ἐκ Ποσειδῶνος, ἰδὼν αὐτὴν οὔπω μὲν ἀκμάζουσαν, ἤδη δὲ τῶν ἄλλων διαφέρουσαν, τοσοῦτον ἡττήθη τοῦ κάλλους ὁ κρατεῖν τῶν ἄλλων εἰθισμένος, ὥσθ' ὑπαρχούσης αὐτῷ καὶ πατρίδος d μεγίστης καὶ βασιλείας ἀσφαλεστάτης ἡγησάμενος οὐκ ἄξιον εἶναι ζῆν ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς ἄνευ τῆς πρὸς ἐκείνην οἰκειότητος, (19) ἐπειδὴ παρὰ τῶν κυρίων οὐχ οἷός τ' ἦν αὐτὴν λαβεῖν, ἀλλ' ἐπέμενον τήν τε τῆς παιδὸς ἡλικίαν καὶ τὸν χρησμὸν τὸν παρὰ τῆς Πυθίας, ὑπεριδὼν τὴν ἀρχὴν τὴν Τυνδάρεω, καὶ καταφρονήσας τῆς ῥώμης τῆς Κάστορος καὶ Πολυδεύκους, καὶ πάντων τῶν ἐν Λακεδαίμονι δεινῶν ὀλιγωρήσας, e βίᾳ λαβὼν αὐτὴν εἰς Ἄφιδναν τῆς Ἀττικῆς κατέθετο, (20) καὶ τοσαύτην χάριν ἔσχε Πειρίθῳ τῷ μετασχόντι τῆς ἁρπαγῆς, ὥστε βουληθέντος αὐτοῦ μνηστεῦσαι Κόρην τὴν Διὸς καὶ Δήμητρος, καὶ παρακαλοῦντος αὐτὸν ἐπὶ τὴν εἰς Ἅδου κατάβασιν, ἐπειδὴ
212 συμβουλεύων οὐχ οἷός τ' ἦν ἀποτρέπειν, προδήλου τῆς a συμφορᾶς οὔσης ὅμως αὐτῷ συνηκολούθησε, νομίζων ὀφείλειν τοῦτον τὸν ἔρανον, μηδενὸς ἀποστῆναι τῶν

æquare dicendo magnitudinem difficile. Ac de rebus luculentis difficile est aliquid afferre in medium, quod nemo ante usurparit; de rebus autem contemptis et humilibus, vel quicquid in buccam venerit, omne proprium fuerit.

14. Quapropter eum, qui de Helena scripsit, maxime laudo inter eos qui dicendo aliquid illustrare voluerunt, quod eam mulierem celebrandam duxit, quæ et genere et forma et gloria multum excelluit. Sed et illum tamen parvum quiddam fefellit. Nam quum se laudationem scribere profiteatur, defensionem potius factorum illius edidit. (15) Neque vero ejusdem generis est nec de rebus iisdem habetur oratio; imo nihil fieri posset magis contrarium. Defendendi enim sunt, qui criminis alicujus accusantur; laudandi, qui bono quopiam aliis antecellunt.

Ne vero id, quod facillimum est, facere videar, ut in reprehensione aliorum nihil ipse meum proferam : de hac ipsa facere verba conabor prætermissis omnibus iis quæ ceteri dixerunt.

16. Orationis autem a primordio generis ipsius ducam exordium. Nam quum semidei plurimi a Jove procreati sint, solius hujus mulieris pater vocari voluit; et quamvis Alcmenæ filium et ex Leda natos fecerit maximi, tanto plus tamen honoris Helenæ habuit, ut robur dederit Herculi, quod vi ceteros vincere potest; huic vero pulchritudinem attribuerit, quæ ipsi robori solet imperare. (17) Quia vero non quiete et otio, sed bellis et periculis splendorem atque excellentiam comparari sciebat, nec eorum corpora tantum immortalitate donare, sed ipsos etiam perpetuitate nominis ornare decreverat : alterius vitam laboribus et periculis plurimis obnoxiam esse voluit; alterius naturam illustrem et vel bellis expetendam reddidit. (18) Ac primum Theseus, Ægei verbo, re ipsa Neptuni filius, visa ea, dum quidem immatura esset adhuc, sed jam tum ceteris forma præstaret, usque adeo pulchritudine ejus superatus est is, qui alios vincere solebat, ut, quum patriam haberet amplissimam et regnum tutissimum, in illis ipsis bonis absque hujus familiaritate vitam sibi acerbam fore putaret. (19) Sed quia eorum voluntate, quorum erat auctoritas, ea potiri non poterat (nam illi et ætatem puellæ et oraculum Delphicum exspectabant) despecto Tyndarei regno et Castoris Pollucisque viribus et periculis omnibus, quæ a Lacedæmoniis impendebant, neglectis, Aphidnam, Atticæ oppidum, vi raptam pertulit, (20) tantoque se Pirithoi beneficio, qui ejus rapiendæ socius fuerat, affectum esse putavit, ut, quum ille ambire Proserpinam, Jovis et Cereris filiam, vellet eumque ut secum ad inferos descenderet, rogaret, quum ipse dehortando et dissuadendo nihil profecisset, quanquam in conspectu erat calamitas, tamen eum comitatus sit, existimans hanc mercedem ejus deberi meritis, ut ne ulla Pi-

ὑπὸ Πειρίθου προσταχθέντων ἀνθ' ὧν ἐκεῖνος αὐτῷ συνεκινδύνευσεν.

21. Εἰ μὲν οὖν ὁ ταῦτα πράξας εἷς ἦν τῶν τυχόντων, ἀλλὰ μὴ τῶν πολὺ διενεγκόντων, οὐκ ἄν πω δῆλος ἦν ὁ λόγος, πότερον Ἑλένης ἔπαινος ἢ κατηγορία Θησέως ἐστίν· νῦν δὲ τῶν μὲν ἄλλων τῶν εὐδοκιμησάντων εὑρή- b σομεν τὸν μὲν ἀνδρείας, τὸν δὲ σοφίας, τὸν δ' ἄλλου τινὸς τῶν τοιούτων μερῶν ἀπεστερημένον, τοῦτον δὲ μόνον οὐδενὸς ἐνδεᾶ γενόμενον, ἀλλὰ παντελῆ τὴν ἀρετὴν κτησάμενον. (22) Δοκεῖ δέ μοι πρέπειν περὶ αὐτοῦ καὶ διὰ μακροτέρων εἰπεῖν· ἡγοῦμαι γὰρ ταύτην μεγίστην εἶναι πίστιν τοῖς βουλομένοις Ἑλένην ἐπαινεῖν, ἢν ἐπιδείξωμεν τοὺς ἀγαπήσαντας καὶ θαυμάσαντας ἐκείνην αὐτοὺς τῶν ἄλλων θαυμαστοτέρους ὄντας. Ὅσα c μὲν γὰρ ἐφ' ἡμῶν γέγονεν, εἰκότως ἂν ταῖς δόξαις ταῖς ἡμετέραις αὐτῶν διακρίνοιμεν, περὶ δὲ τῶν οὕτω παλαιῶν προσήκει τοῖς κατ' ἐκεῖνον τὸν χρόνον εὖ φρονήσασιν ὁμονοοῦντας ἡμᾶς φαίνεσθαι.

23. Κάλλιστον μὲν οὖν ἔχω περὶ Θησέως τοῦτ' εἰπεῖν, ὅτι κατὰ τὸν αὐτὸν χρόνον Ἡρακλεῖ γενόμενος ἐνάμιλλον τὴν αὑτοῦ δόξαν πρὸς τὴν ἐκείνου κατέστησεν. Οὐ γὰρ μόνον τοῖς ὅπλοις ἐκοσμήσαντο παραπλησίοις, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν ἐχρήσαντο τοῖς αὐτοῖς, d πρέποντα τῇ συγγενείᾳ ποιοῦντες. Ἐξ ἀδελφῶν γὰρ γεγονότες, ὁ μὲν ἐκ Διός, ὁ δ' ἐκ Ποσειδῶνος, ἀδελφὰς καὶ τὰς ἐπιθυμίας ἔσχον. Μόνοι γὰρ οὗτοι τῶν προγεγενημένων ὑπὲρ τοῦ βίου τοῦ τῶν ἀνθρώπων ἀθληταὶ κατέστησαν. (24) Συνέβη δὲ τὸν μὲν ὀνομαστοτέρους καὶ μείζους, τὸν δ' ὠφελιμωτέρους καὶ τοῖς Ἕλλησιν οἰκειοτέρους ποιήσασθαι τοὺς κινδύνους. Τῷ μὲν γὰρ Εὐρυσθεὺς προσέταττε τάς τε βοῦς τὰς ἐκ τῆς Ἐρυθείας e ἀγαγεῖν καὶ τὰ μῆλα τὰ τῶν Ἑσπερίδων ἐνεγκεῖν καὶ τὸν Κέρβερον ἀναγαγεῖν καὶ τοιούτους ἄλλους πόνους, ἐξ ὧν ἤμελλεν οὐ τοὺς ἄλλους ὠφελήσειν, ἀλλ' αὐτὸς 213 κινδυνεύσειν· (25) ὁ δ' αὐτὸς αὑτοῦ κύριος ὢν τούτους a προῃρεῖτο τῶν ἀγώνων, ἐξ ὧν ἤμελλεν ἢ τῶν Ἑλλήνων ἢ τῆς αὑτοῦ πατρίδος εὐεργέτης γενήσεσθαι. Καὶ τόν τε ταῦρον τὸν ἀνεθέντα μὲν ὑπὸ Ποσειδῶνος, τὴν δὲ χώραν λυμαινόμενον, ὃν πάντες οὐκ ἐτόλμων ὑπομένειν, μόνος χειρωσάμενος μεγάλου φόβου καὶ πολλῆς ἀπορίας τοὺς οἰκοῦντας τὴν πόλιν ἀπήλλαξεν· (26) καὶ μετὰ ταῦτα Λαπίθαις σύμμαχος γενόμενος καὶ στρατευσάμενος ἐπὶ Κενταύρους τοὺς διφυεῖς, οἳ τάχει καὶ ῥώμῃ b καὶ τόλμῃ διενεγκόντες τὰς μὲν ἐπόρθουν, τὰς δ' ἤμελλον, ταῖς δ' ἠπείλουν τῶν πόλεων, τούτους μάχῃ νικήσας εὐθὺς μὲν αὐτῶν τὴν ὕβριν ἔπαυσεν, οὐ πολλῷ δ' ὕστερον χρόνῳ τὸ γένος ἐξ ἀνθρώπων ἠφάνισεν. (27) Περὶ δὲ τοὺς αὐτοὺς χρόνους τὸ τέρας τὸ τραφὲν μὲν ἐν Κρήτῃ, γενόμενον δ' ἐκ Πασιφάης τῆς Ἡλίου θυγατρός, ᾧ κατὰ μαντείαν δασμὸν τῆς πόλεως δὶς ἑπτὰ παῖδας ἀποστελλούσης, ἰδὼν αὐτοὺς ἀγομένους καὶ πανδημεὶ προπεμ- c πομένους ἐπὶ θάνατον ἄνομον καὶ προὖπτον καὶ πενθουμένους ἔτι ζῶντας, οὕτως ἠγανάκτησεν ὥσθ' ἡγήσατο κρεῖττον εἶναι τεθνάναι μᾶλλον ἢ ζῆν ἄρχων τῆς πόλεως

rithoi jussa detrectaret, quum illud periculum una secum suscepisset.

21. Quodsi is qui hæc egit, vulgaris aliquis fuisset et non vir excellentissimus, nondum constaret, utrum hæc oratio laus Helenæ, an Thesei potius esset accusatio: nunc inter ceteros illustres viros alium fortitudinis, alium sapientiæ laude, alios aliis hujusmodi virtutibus caruisse reperias; huic vero soli defuisse nihil, sed virtutem numeris omnibus absolutam contigisse. (22) Decere autem videtur de eo dicere prolixius. Nam laudatores Helenæ hoc argumento maximam sibi fidem conciliaturos existimo, si ostenderint amatores et admiratores ejus ipsos aliis admirabiliores exstitisse. Nam quæ nostra ætate facta sunt, de iis haud injuria nostrum judicium interponimus: in rebus vero a nostra memoria ita remotis, par nos est illorum temporum prudentibus viris assentiri.

23. Ac pulcherrimum de Theseo dicere illud habeo, quod Herculis temporibus natus ita se gessit, ut parem cum illo gloriam consequeretur. Nec enim simili armorum genere solum sese ornarunt, sed eadem quoque studia coluerunt, ut decebat eorum necessitudinem. E fratribus enim geniti alter Jove, Neptuno alter, fraternas etiam cupiditates habuerunt. Nam hi soli ex omni memoria pro defensione humani generis, pugilum instar, semper velut in procinctu steterunt. (24) Sic autem contigit, ut alter celebriora et majora, alter utiliora et conjunctiora Græcis certamina subiret. Nam illi Eurystheus imperabat, ut boves ex Erythea abigeret, ut mala Hesperidum afferret, ut Cerberum adduceret, aliosque ejus generis labores susciperet, quibus nihil aliis commodaret, sed ipse in discrimen vocaretur: (25) hic vero quum sui juris esset, ea certamina delegit, quibus vel Græciam vel patriam suam beneficiis sibi obligaret. Proinde et taurum a Neptuno immissum Atticamque vastantem, cum quo universi congredi non audebant, solus ipse domuit, magnoque metu et magna eos qui urbem incolebant trepidatione liberavit: (26) et inita cum Lapithis societate et expeditione contra Centauros bimembres celeritate et viribus et audacia præstantes suscepta, qui urbes alias vastarant, aliis imminebant, aliis minitabantur: his prælio victis statim et eorum ferociæ modum statuit, neque multo post genus omne prorsus delevit. (27) Circa eadem tempora quum monstrum illud in Creta educatum atque ex Pasiphae Solis filia natum exstitisset, cui tributi nomine nostra urbs bis septenos pueros ex oraculo mittebat, quum videret eos duci toto populo comitante ad necem indignam certamque, et viventes adhuc lugeri pro mortuis: tanta indignatione exarsit, ut satius esse duxerit emori potius quam vivere imperantem civitati, quæ tam miserabile tri-

τῆς οὕτως οἰκτρὸν τοῖς ἐχθροῖς φόρον ὑποτελεῖν ἠναγκασμένης. (28) Σύμπλους δὲ γενόμενος, καὶ κρατήσας φύσεως ἐξ ἀνδρὸς μὲν καὶ ταύρου μεμιγμένης, τὴν δ' ἰσχὺν ἐχούσης οἵαν προσήκει τὴν ἐκ τοιούτων σωμάτων συγκειμένην, τοὺς μὲν παῖδας διασώσας τοῖς γονεῦσιν d ἀπέδωκε, τὴν δὲ πόλιν οὕτως ἀνόμου καὶ δεινοῦ καὶ δυσαπαλλάκτου προστάγματος ἠλευθέρωσεν.

29. Ἀπορῶ δ' ὅ τι χρήσωμαι τοῖς ἐπιλοίποις· ἐπιστὰς γὰρ ἐπὶ τὰ Θησέως ἔργα καὶ λέγειν ἀρξάμενος περὶ αὐτῶν ὀκνῶ μὲν μεταξὺ παύσασθαι, καὶ παραλιπεῖν τήν τε Σκίρωνος καὶ Κερκυόνος καὶ τῶν ἄλλων τῶν e τοιούτων παρανομίαν, πρὸς οὓς ἀνταγωνιστὴς γενόμενος ἐκεῖνος πολλῶν καὶ μεγάλων συμφορῶν τοὺς Ἕλληνας ἀπήλλαξεν, αἰσθάνομαι δ' ἐμαυτὸν ἔξω φερόμενον τῶν καιρῶν, καὶ δέδοικα μή τισι δόξω περὶ τούτου μᾶλλον σπουδάζειν ἢ περὶ ἧς τὴν ἀρχὴν ὑπεθέμην. (30) Ἐξ 214 ἀμφοτέρων οὖν τούτων αἱροῦμαι τὰ μὲν πλεῖστα παραλιπεῖν a διὰ τοὺς δυσκόλως ἀκροωμένους, περὶ δὲ τῶν ἄλλων ὡς ἂν δύνωμαι συντομώτατα διελθεῖν, ἵνα τὰ μὲν ἐκείνοις τὰ δ' ἐμαυτῷ χαρίσωμαι, καὶ μὴ παντάπασιν ἡττηθῶ τῶν εἰθισμένων φθονεῖν καὶ τοῖς λεγομένοις ἅπασιν ἐπιτιμᾶν.

31. Τὴν μὲν οὖν ἀνδρείαν ἐν τούτοις ἐπεδείξατο τοῖς ἔργοις, ἐν οἷς αὐτὸς καθ' αὑτὸν ἐκινδύνευσε, τὴν δ' ἐπιστήμην ἣν εἶχε πρὸς τὸν πόλεμον, ἐν ταῖς μάχαις ἐν b αἷς μεθ' ὅλης τῆς πόλεως ἠγωνίσατο, τὴν δ' εὐσέβειαν τὴν πρὸς τοὺς θεοὺς ἔν τε ταῖς Ἀδράστου καὶ ταῖς τῶν παίδων τῶν Ἡρακλέους ἱκετείαις (τοὺς μὲν γὰρ μάχῃ νικήσας Πελοποννησίους διέσωσε, τῷ δὲ τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας βίᾳ Θηβαίων θάψαι παρέδωκε), τὴν δ' ἄλλην ἀρετὴν καὶ σωφροσύνην ἔν τε τοῖς προειρημένοις καὶ μάλιστ' ἐν οἷς τὴν πόλιν διῴκησεν. (32) Ὁρῶν γὰρ τοὺς βίᾳ τῶν πολιτῶν ζητοῦντας ἄρχειν c ἑτέροις δουλεύοντας, καὶ τοὺς ἐπικίνδυνον τὸν βίον τοῖς ἄλλοις καθιστάντας αὐτοὺς περιδεῶς ζῶντας καὶ πολεμεῖν ἀναγκαζομένους μετὰ μὲν τῶν πολιτῶν πρὸς τοὺς πολεμίους, μετὰ δ' ἄλλων τινῶν πρὸς τοὺς συμπολιτευομένους, (33) ἔτι δὲ συλῶντας μὲν τὰ τῶν θεῶν, ἀποκτείνοντας δὲ τοὺς βελτίστους τῶν πολιτῶν, ἀπιστοῦντας δὲ τοῖς οἰκειοτάτοις, οὐδὲν δὲ ῥᾳθυμότερον ζῶντας τῶν ἐπὶ θανάτῳ συνειλημμένων, ἀλλὰ τὰ μὲν d ἔξω ζηλουμένους, αὐτοὺς δὲ παρ' αὑτοῖς μᾶλλον τῶν ἄλλων λυπουμένους, (34) (τί γάρ ἐστιν ἄλγιον ἢ ζῆν δεδιότα μή τις αὐτὸν τῶν παρεστώτων ἀποκτείνῃ, καὶ μηδὲν ἧττον φοβούμενον τοὺς φυλάττοντας ἢ τοὺς ἐπιβουλεύοντας;) τούτων ἁπάντων καταφρονήσας, καὶ νομίσας οὐκ ἄρχοντας ἀλλὰ νοσήματα τῶν πόλεων εἶναι τοὺς τοιούτους, ἐπέδειξεν ὅτι ῥᾴδιόν ἐστιν ἅμα τυραννεῖν καὶ μηδὲν χεῖρον διακεῖσθαι τῶν ἐξ ἴσου πολιτευομένων. e (35) Καὶ πρῶτον μὲν τὴν πόλιν σποράδην καὶ κατὰ κώμας οἰκοῦσαν εἰς ταὐτὸ συναγαγὼν τηλικαύτην 215 ἐποίησεν, ὥστ' ἔτι καὶ νῦν ἀπ' ἐκείνου τοῦ χρόνου μεγίστην a τῶν Ἑλληνίδων εἶναι· μετὰ δὲ ταῦτα κοινὴν τὴν πατρίδα καταστήσας, καὶ τὰς ψυχὰς τῶν συμπολιτευο-

butum hostibus pendere cogeretur. (28) Conscenso igitur una cum illis navigio et ea natura superata, quæ quidem e viro et tauro conflata esset tantoque robore polleret, quanto par est eam quæ talibus corporibus constat, non pueros solum parentibus incolumes restituit, sed urbem etiam tam injusto tamque acerbo et inevitabili tributo liberavit.

29. Equidem sum animi dubius, quid consilii de reliquis capiam. Posteaquam enim ad Thesei facinora perveni, deque illis dicere cœpi, vereor ut deceat in medio veluti cursu oratione abrupta Scironis et Cercyonis aliorumque ejus generis immanitatem prætermittere, quibus ille fortiter superatis multarum et magnarum calamitatum Græcis remedium attulit: sed me excedere modum ac providendum esse video, ne qui me putent de hoc laborare magis quam de ea, propter quam hæc instituta fuit oratio. (30) Quæ utraque quum ita se habeant, plurima transire silentio statui propter morosos auditores, ac cetera quam potero brevissime percurrere, ut partim illis partim mihi ipse gratificer, neque prorsus illis cedam, qui obtrectare atque omnia quæ dicuntur cavillari consueverunt.

31. Fortitudinis igitur suæ specimen in his facinoribus edidit, in quibus ipse solus pugnavit; rei militaris autem scientiam in præliis ostendit, quæ totius civitatis copiis munitus fecit; pietatem porro erga deos immortales et in Adrasti et liberorum Herculis supplicationibus (nam hos prælio victis Peloponnesiis conservavit; illi eos qui sub Cadmea ceciderant, Thebanis invitis sepeliendos tradidit), et reliquas virtutes et prudentiam quum in his quæ jam diximus, tum maxime in urbis administrandæ ratione. (32) Quum enim animadverteret eos qui civibus invitis imperare studerent, servire aliis, et qui ceteris vitam periculosam redderent, ipsos metu perterritos vivere cogique bella gerere civibus quidem adjutoribus contra hostes, copiis vero aliunde paratis contra ipsos cives, (33) præterea spoliare templa deorum et optimos quosque cives interficere, et diffidere conjunctissimis et nihilo vivere tranquillius quam eos, qui in vincula conjecti judicium capitis subituri sunt; et quum foris felices videantur, ipsos intra sese pluribus quam alios confici molestiis, (34) (quid enim acerbius est quam vivere metu perterritum, ne a proximo quoque juguleris et custodes non minus formidare quam insidiatores?) his igitur omnibus contemptis, quum id genus hominum non esse principes sed pestes civitatum existimaret, facile esse demonstravit simul et imperare et nihilo deteriore esse conditione, quam eos qui pari et æquo jure vivunt cum ceteris civibus. (35) Ac primum civitatem quæ prius sparsim et vicatim habitabat, in unum locum congregatam effecit tantam, ut etiam nunc ex eo tempore Græcarum urbium sit amplissima: deinde patriam communem omnibus constituit et liberatis civium animis, in contentione honorum parem omnibus æmulatio-

μένων ἐλευθερώσας, ἐξ ἴσου τὴν ἅμιλλαν αὐτοῖς περὶ τῆς ἀρετῆς ἐποίησε, πιστεύων μὲν ὁμοίως αὐτῶν προέξειν ἀσκούντων ὥσπερ ἀμελούντων, εἰδὼς δὲ τὰς τιμὰς ἡδίους οὔσας τὰς παρὰ τῶν μέγα φρονούντων ἢ τὰς παρὰ τῶν δουλευόντων. (36) Τοσούτου δ' ἐδέησεν b ἀκόντων τι ποιεῖν τῶν πολιτῶν, ὥσθ' ὁ μὲν τὸν δῆμον καθίστη κύριον τῆς πολιτείας, οἱ δὲ μόνον αὐτὸν ἄρχειν ἠξίουν, ἡγούμενοι πιστοτέραν καὶ κοινοτέραν εἶναι τὴν ἐκείνου μοναρχίαν τῆς αὑτῶν δημοκρατίας. Οὐ γὰρ ὥσπερ ἕτεροι τοὺς μὲν πόνους ἄλλοις προσέταττε, τῶν δ' ἡδονῶν αὐτὸς μόνος ἀπέλαυεν, ἀλλὰ τοὺς μὲν κινδύνους ἰδίους ἐποιεῖτο, τὰς δ' ὠφελείας ἅπασιν εἰς τὸ κοινὸν ἀπεδίδου. (37) Καὶ γάρ τοι διετέλεσε τὸν βίον οὐκ ἐπιβουλευόμενος, ἀλλ' ἀγαπώμενος, οὐδ' ἐπακτῷ c δυνάμει τὴν ἀρχὴν διαφυλάττων, ἀλλὰ τῇ τῶν πολιτῶν εὐνοίᾳ δορυφορούμενος, τῇ μὲν ἐξουσίᾳ τυραννῶν, ταῖς δ' εὐεργεσίαις δημαγωγῶν. Οὕτω γὰρ νομίμως καὶ καλῶς διῴκει τὴν πόλιν, ὥστ' ἔτι καὶ νῦν ἴχνος τῆς ἐκείνου πρᾳότητος ἐν τοῖς ἤθεσιν ἡμῶν καταλελεῖφθαι.

38. Τὴν δὴ γεννηθεῖσαν μὲν ὑπὸ Διός, κρατήσασαν δὲ τοιαύτης ἀρετῆς καὶ σωφροσύνης, πῶς οὐκ ἐπαινεῖν d χρὴ καὶ τιμᾶν καὶ νομίζειν πολὺ τῶν πώποτε γενομένων διενεγκεῖν; οὐ γὰρ δὴ μάρτυρά γε πιστότερον οὐδὲ κριτὴν ἱκανώτερον ἕξομεν ἐπαγαγέσθαι περὶ τῶν Ἑλένῃ προσόντων ἀγαθῶν τῆς Θησέως διανοίας. Ἵνα δὲ μὴ δοκῶ δι' ἀπορίαν περὶ τὸν αὐτὸν τόπον διατρίβειν, μηδ' ἀνδρὸς ἑνὸς δόξῃ καταχρώμενος ἐπαινεῖν αὐτήν, βούλομαι καὶ περὶ τῶν ἐχομένων διελθεῖν. e

39. Μετὰ γὰρ τὴν Θησέως εἰς Ἅδου κατάβασιν ἐπανελθούσης αὐτῆς εἰς Λακεδαίμονα καὶ πρὸς τὸ μνηστεύεσθαι λαβούσης ἡλικίαν, ἅπαντες οἱ τότε βασιλεύοντες καὶ δυναστεύοντες τὴν αὐτὴν γνώμην ἔσχον περὶ
216 αὐτῆς· ἐξὸν γὰρ αὐτοῖς λαμβάνειν ἐν ταῖς αὑτῶν πόλεσι a γυναῖκας τὰς πρωτευούσας, ὑπεριδόντες τοὺς οἴκοι γάμους ἦλθον ἐκείνην μνηστεύσοντες. (40) Οὔπω δὲ κεκριμένου τοῦ μέλλοντος αὐτῇ συνοικήσειν, ἀλλ' ἔτι κοινῆς τῆς τύχης οὔσης, οὕτω πρόδηλος ἦν ἅπασιν ἐσομένη περιμάχητος, ὥστε συνελθόντες πίστεις ἔδοσαν ἀλλήλοις ἦ μὴν βοηθήσειν, εἴ τις ἀποστεροίη τὸν ἀξιωθέντα λαβεῖν αὐτήν, νομίζων ἕκαστος τὴν ἐπικουρίαν ταύτην αὑτῷ παρασκευάζειν. (41) Τῆς b μὲν οὖν ἰδίας ἐλπίδος πλὴν ἑνὸς ἀνδρὸς ἅπαντες ἐψεύσθησαν, τῆς δὲ κοινῆς δόξης ἧς ἔσχον περὶ ἐκείνης οὐδεὶς αὐτῶν διήμαρτεν. Οὐ πολλοῦ γὰρ χρόνου διελθόντος, γενομένης ἐν θεοῖς περὶ κάλλους ἔριδος ἧς Ἀλέξανδρος ὁ Πριάμου κατέστη κριτής, καὶ διδούσης Ἥρας μὲν ἁπάσης αὐτῷ τῆς Ἀσίας βασιλεύειν, Ἀθηνᾶς δὲ κρατεῖν ἐν τοῖς πολέμοις, Ἀφροδίτης δὲ τὸν γάμον τὸν Ἑλένης, (42) τῶν μὲν σωμάτων οὐ δυνηθεὶς λαβεῖν c διάγνωσιν, ἀλλ' ἡττηθεὶς τῆς τῶν θεῶν ὄψεως, τῶν δὲ δωρεῶν ἀναγκασθεὶς γενέσθαι κριτής, εἵλετο τὴν οἰκειότητα τὴν Ἑλένης ἀντὶ τῶν ἄλλων ἁπάντων, οὐ πρὸς τὰς ἡδονὰς ἀποβλέψας, — καίτοι καὶ τοῦτο τοῖς εὖ φρονοῦσι πολλῶν αἱρετώτερόν ἐστιν, ἀλλ' ὅμως οὐκ ἐπὶ

nem esse voluit. Confidebat enim se non minus fore principem, si sese exercerent, quam si ignavia torperent, nec ignorabat eos honores longe suaviores esse, qui a viris magnanimis deferrentur, quam eos qui a servitute oppressis haberentur. (36) Tantum autem abfuit ut quicquam civibus invitis ageret, ut et ipse summam rerum administrare populum juberet, et illi solum eum regnare vellent existimantes, ejus monarchiam fideliorem et æquiorem esse, quam suam democratiam. Non enim, quod alii solent, labores civibus mandabat, voluptates solus ipse capiebat; sed pericula sibi privatim vindicabat, utilitates in commune conferebat. (37) Itaque vitam et sine ullis insidiis et summa omnium caritate peregit, non peregrino milite imperium muniendo, sed benevolentia civium se tuendo: potestate rex, beneficiis popularis. Tanta enim æquitate et tam præclare urbem administravit, ut etiam hodie quoddam ejus mansuetudinis vestigium in nostris institutis reliquum animadvertatur.

38. Eam igitur quæ et Jove nata et tantæ virtuti ac prudentiæ dominata est, nonne laudari decet honorarique longeque omnibus omnium temporum hominibus anteferri? Nec enim testem fide digniorem neque judicem magis idoneum bonorum, quibus Helena prædita fuit, quam Thesei mentem adducere poterimus. Ne vero ex inopia huic loco immorari aut viri unius ad eam laudandam abuti gloria videar, ea quæ restant explicabo.

39. Nam quum post Thesei descensum ad inferos Lacedæmonem reversa jam nubilis esset, universi reges illius temporis et principes urbium idem quod Theseus de ea senserunt. Etsi enim potestas eis dabatur primarias e suis urbibus mulieres deligendi, spretis tamen domesticis nuptiis ad eam profecti sunt petendi gratia. (40) Quum vero nondum esset constitutum, quis eam esset in matrimonium ducturus, sed par adhuc esset fortuna, adeo tamen nemo erat qui vocaret in dubium quin armis de ea dimicandum foret, ut congressi fidem inter se mutuo dederint se omnino adjuturos eum, qui connubio illius potiretur, si quis eam per vim abduxisset. Putabat enim quisque se sibi præsidium illud parare. (41) Ac spe quidem privata uno viro excepto sunt omnes frustrati; communis autem, quæ de ea fuit opinio, fefellit neminem. Post parvum enim temporis spatium quum orta inter deas lis esset de præstantia formæ, et ejus arbiter Priami filius Alexander delectus, is Junone regnum Asiæ, Minerva victoriam in bellis, Venere conjugium Helenæ pollicente, (42) quum non posset corpora dijudicare neque divinorum vultuum fulgorem sustinere, ac munerum potius esse judex cogeretur, consuetudinem Helenæ ceteris omnibus anteposuit, non quod voluptates præcipue spectaret (etsi eas quoque viri sapientes multis aliis rebus præferunt; non tamen eo

τοῦθ' ὥρμησεν, ἀλλ' ἐπεθύμησε Διὸς γενέσθαι κηδεστής, (43) νομίζων πολὺ μείζω καὶ καλλίω ταύτην εἶναι τὴν τιμὴν ἢ τὴν τῆς Ἀσίας βασιλείαν, καὶ μεγάλας d μὲν ἀρχὰς καὶ δυναστείας καὶ φαύλοις ἀνθρώποις ποτὲ παραγίγνεσθαι, τοιαύτης δὲ γυναικὸς οὐδένα τῶν ἐπιγιγνομένων ἀξιωθήσεσθαι, πρὸς δὲ τούτοις οὐδὲν ἂν κτῆμα κάλλιον καταλιπεῖν τοῖς παισὶν ἢ παρασκευάσας αὐτοῖς ὅπως μὴ μόνον πρὸς πατρὸς ἀλλὰ καὶ πρὸς μητρὸς ἀπὸ Διὸς ἔσονται γεγονότες. (44) Ἠπίστατο γὰρ τὰς μὲν ἄλλας εὐτυχίας ταχέως μεταπιπτούσας, τὴν δ' εὐγένειαν ἀεὶ τοῖς αὐτοῖς παραμένουσαν, ὥστε e ταύτην μὲν τὴν αἵρεσιν ὑπὲρ ἅπαντος τοῦ γένους ἔσεσθαι, τὰς δ' ἑτέρας δωρεὰς ὑπὲρ τοῦ χρόνου μόνον τοῦ καθ' αὑτόν.

45. Τῶν μὲν οὖν εὖ φρονούντων οὐδεὶς ἂν τοῖς λο- 217 γισμοῖς τούτοις ἐπιτιμήσειεν, τῶν δὲ μηδὲν πρὸ τοῦ a πράγματος ἐνθυμουμένων ἀλλὰ τὸ συμβαῖνον μόνον σκοπουμένων ἤδη τινὲς ἐλοιδόρησαν αὐτόν· ὧν τὴν ἄνοιαν ἐξ ὧν ἐβλασφήμησαν περὶ ἐκείνου ῥᾴδιον ἅπασι καταμαθεῖν. (46) Πῶς γὰρ οὐ καταγέλαστον πεπόνθασιν, εἰ τὴν αὑτῶν φύσιν ἱκανωτέραν εἶναι νομίζουσι τῆς ὑπὸ τῶν θεῶν προκριθείσης; οὐ γὰρ δή που, περὶ ὧν εἰς τοσαύτην ἔριν κατέστησαν, τὸν τυχόντα διαγνῶναι κύριον ἐποίησαν, ἀλλὰ δῆλον ὅτι τοσαύτην ἔσχον σπου- b δὴν ἐκλέξασθαι κριτὴν τὸν βέλτιστον, ὅσην περὶ αὐτοῦ τοῦ πράγματος ἐπιμέλειαν ἐποιήσαντο. (47) Χρὴ δὲ σκοπεῖν ὁποῖός τις ἦν καὶ δοκιμάζειν αὐτὸν οὐκ ἐκ τῆς ὀργῆς τῆς τῶν ἀποτυχουσῶν, ἀλλ' ἐξ ὧν ἅπασαι βουλευσάμεναι προείλοντο τὴν ἐκείνου διάνοιαν. Κακῶς μὲν γὰρ παθεῖν ὑπὸ τῶν κρειττόνων οὐδὲν κωλύει καὶ τοὺς μηδὲν ἐξημαρτηκότας· τοιαύτης δὲ τιμῆς τυχεῖν ὥστε θνητὸν ὄντα θεῶν γενέσθαι κριτήν, οὐχ οἷόντε c μὴ οὐ τὸν πολὺ τῇ γνώμῃ διαφέροντα.

48. Θαυμάζω δ' εἴ τις οἴεται κακῶς βεβουλεῦσθαι τὸν μετὰ ταύτης ζῆν ἑλόμενον, ἧς ἕνεκα πολλοὶ τῶν ἡμιθέων ἀποθνήσκειν ἠθέλησαν. Πῶς δ' οὐκ ἂν ἦν ἀνόητος, εἰ τὰς θεὰς εἰδὼς περὶ κάλλους φιλονεικούσας αὐτὸς κάλλους κατεφρόνησε, καὶ μὴ ταύτην ἐνόμισε μεγίστην εἶναι τῶν δωρεῶν, περὶ ἧς κἀκείνας ἑώρα μάλιστα σπουδαζούσας;

49. Τίς δ' ἂν τὸν γάμον τὸν Ἑλένης ὑπερεῖδεν, ἧς d ἁρπασθείσης οἱ μὲν Ἕλληνες οὕτως ἠγανάκτησαν ὥσπερ ὅλης τῆς Ἑλλάδος πεπορθημένης, οἱ δὲ βάρβαροι τοσοῦτον ἐφρόνησαν ὅσον περ ἂν εἰ πάντων ἡμῶν ἐκράτησαν; Δῆλον δὲ ὡς ἑκάτεροι διετέθησαν· πολλῶν γὰρ αὐτοῖς πρότερον ἐγκλημάτων γενομένων περὶ μὲν τῶν ἄλλων ἡσυχίαν ἦγον, ὑπὲρ δὲ ταύτης τηλικοῦτον συνεστήσαντο πόλεμον οὐ μόνον τῷ μεγέθει τῆς ὀργῆς, ἀλλὰ καὶ τῷ μήκει τοῦ χρόνου καὶ τῷ πλήθει τῶν πα- e ρασκευῶν, ὅσος οὐδείς πώποτε γέγονεν. (50) Ἐξὸν δὲ τοῖς μὲν ἀποδοῦσιν Ἑλένην ἀπηλλάχθαι τῶν παρόντων 218 κακῶν, τοῖς δὲ ἀμελήσασιν ἐκείνης ἀδεῶς οἰκεῖν τὸν a ἐπίλοιπον χρόνον, οὐδέτεροι ταῦτ' ἠθέλησαν· ἀλλ' οἱ μὲν περιεώρων καὶ πόλεις ἀναστάτους γιγνομένας καὶ

impulsus est), sed Jovis gener fieri studuit, (43) quem honorem multo majorem et præclariorem, quam Asiæ regnum existimabat: magna enim imperia et potentiam etiam nihili hominibus interdum obventura; tali vero muliere ex omni posteritate dignatum iri neminem. Animadvertit etiam se nullum pulchrius patrimonium suis liberis posse relinquere, quam si non solum paternam, sed etiam maternam originem ad Jovem referrent, (44) quippe qui sciret cetera fortunæ commoda celeriter aut interire aut transire ad alios; nobilitatem vero semper apud eosdem permanere. Quare hunc delectum in totius sui generis commodum cessurum prospiciebat, quum cetera munera non ultra sui ævi terminos duratura essent.

45. Nemo itaque vir cordatus est, quin hæc prudentissime cogitata fateatur. Quidam autem ex eorum numero, qui nihil quod rem antecessit considerant, sed ex eventu judicant omnia, conviciis eum incessere non dubitarunt; quorum amentia ex ipsis maledictis animadverti ab omnibus facile potest. (46) Quomodo enim non sit ridiculum, si sua ingenia illi antecellere putent, cui primas deæ detulerunt? Nec enim quibus de rebus tanta inter ipsas orta erat contentio, eas cujuslibet auctoritati dijudicandas permiserunt; sed de optimo judice deligendo non eas minus fuisse sollicitas, quam de re ipsa laborasse, facile apparet. (47) Considerandum est autem, qualis fuerit, et judicium de eo faciendum non e victarum iracundia, sed ex illarum omnium sententia, quum ejus mentem præter ceteros delegerunt. Nihil enim prohibet a potentioribus male accipi etiam innocentes; talem vero honorem adipisci, ut qui mortalis est, dearum judex fiat, id certe contingere non potest, nisi viro laude sapientiæ præstantissimo.

48. Miror autem esse quenquam, qui male sibi consuluisse illum putet, qui cum ea vivere decreverit, propter quam multi ex semideis emori voluerunt. An vero non desipuisset, qui deas de forma contendere sciret, si formam ipse sprevisset, nec id maximum esse donum existimasset, quod ab illis quoque maximi fieri vidisset?

49. Quis vero conjugium Helenæ aspernatus esset, qua rapta Græci non secus ac si tota Græcia vastata fuisset, indignati sunt, et barbari ita superbierunt, quasi nos omnes superassent? Neque vero obscurum est quibus animis utrique fuerint. Nam quum ante alteri alteris multa crimina intulissent, propter alia nihil moverunt; ob hanc autem tantum bellum concitarunt non solum iræ magnitudine, sed etiam diuturnitate temporis et apparatuum amplitudine, quantum ad eum diem nullum fuerat unquam. (50) Etsi autem potestas dabatur alteris Helena reddita urgentibus malis liberari, alteris ea neglecta omne deinceps tempus ætatis domi secure degere, neutri tamen hæc voluerunt; sed illi et

τὴν χώραν πορθουμένην, ὥστε μὴ προέσθαι τοῖς Ἕλ-
λησιν αὐτήν, οἱ δ' ἡροῦντο μένοντες ἐπὶ τῆς ἀλλοτρίας
καταγηράσκειν καὶ μηδέποτε τοὺς αὑτῶν ἰδεῖν μᾶλλον
ἢ 'κείνην καταλιπόντες εἰς τὰς αὑτῶν πατρίδας ἐπα- b
νελθεῖν. (51) Καὶ ταῦτ' ἐποίουν οὐχ ὑπὲρ Ἀλεξάνδρου καὶ
Μενελάου φιλονεικοῦντες, ἀλλ' οἱ μὲν ὑπὲρ τῆς Ἀσίας,
οἱ δ' ὑπὲρ τῆς Εὐρώπης, νομίζοντες, ἐν ὁποτέρᾳ τὸ
σῶμα τοὐκείνης κατοικήσειε, ταύτην εὐδαιμονεστέραν
τὴν χώραν ἔσεσθαι.

52. Τοσοῦτος δ' ἔρως ἐνέπεσε τῶν πόνων καὶ τῆς
στρατείας ἐκείνης οὐ μόνον τοῖς Ἕλλησι καὶ τοῖς βαρ-
βάροις, ἀλλὰ καὶ τοῖς θεοῖς, ὥστ' οὐδὲ τοὺς ἐξ αὑτῶν
γεγονότας ἀπέτρεψαν τῶν ἀγώνων τῶν περὶ Τροίαν, c
ἀλλὰ Ζεὺς μὲν προειδὼς τὴν Σαρπηδόνος εἱμαρμένην,
Ἠὼς δὲ τὴν Μέμνονος, Ποσειδῶν δὲ τὴν Κύκνου, Θέ-
τις δὲ τὴν Ἀχιλλέως, ὅμως αὐτοὺς συνεξώρμησαν καὶ
συνέπεμψαν, (53) ἡγούμενοι κάλλιον αὐτοῖς εἶναι τεθνά-
ναι μαχομένοις περὶ τῆς Διὸς θυγατρὸς μᾶλλον ἢ ζῆν
ἀπολειφθεῖσι τῶν περὶ ἐκείνης κινδύνων. Καὶ τί δεῖ
θαυμάζειν ἃ περὶ τῶν παίδων διενοήθησαν; αὐτοὶ γὰρ
πολὺ μείζω καὶ δεινοτέραν ἐποιήσαντο παράταξιν τῆς
πρὸς Γίγαντας αὐτοῖς γενομένης· πρὸς μὲν γὰρ ἐκείνους d
μετ' ἀλλήλων ἐμαχέσαντο, περὶ δὲ ταύτης πρὸς σφᾶς
αὐτοὺς ἐπολέμησαν.

54. Εὐλόγως δὲ κἀκεῖνοι ταῦτ' ἔγνωσαν, κἀγὼ τη-
λικαύταις ὑπερβολαῖς ἔχω χρήσασθαι περὶ αὐτῆς· κάλ-
λους γὰρ πλεῖστον μέρος μετέσχεν, ὃ σεμνότατον καὶ
τιμιώτατον καὶ θειότατον τῶν ὄντων ἐστίν. Ῥᾴδιον
δὲ γνῶναι τὴν δύναμιν αὐτοῦ· τῶν μὲν γὰρ ἀνδρείας ἢ
σοφίας ἢ δικαιοσύνης μὴ μετεχόντων πολλὰ φανήσεται e
τιμώμενα μᾶλλον ἢ τούτων ἕκαστον, τῶν δὲ κάλλους
ἀπεστερημένων οὐδὲν εὑρήσομεν ἀγαπώμενον, ἀλλὰ
πάντα καταφρονούμενα πλὴν ὅσα ταύτης τῆς ἰδέας
κεκοινώνηκε, καὶ τὴν ἀρετὴν διὰ τοῦτο μάλιστ' εὐδο-
κιμοῦσαν, ὅτι κάλλιστον τῶν ἐπιτηδευμάτων ἐστίν.
217 (55) Γνοίη δ' ἄν τις κἀκεῖθεν ὅσον διαφέρει τῶν ὄντων, a
ἐξ ὧν αὐτοὶ διατιθέμεθα πρὸς ἕκαστον αὐτῶν. Τῶν
μὲν γὰρ ἄλλων, ὧν ἂν ἐν χρείᾳ γενώμεθα, τυχεῖν
μόνον βουλόμεθα, περαιτέρω δὲ περὶ αὐτῶν οὐδὲν τῇ
ψυχῇ προσπεπόνθαμεν· τῶν δὲ καλῶν ἔρως ἡμῖν ἐγγί-
γνεται, τοσούτῳ μείζω τοῦ βούλεσθαι ῥώμην ἔχων, ὅσῳ
περ καὶ τὸ πρᾶγμα κρεῖττόν ἐστιν. (56) Καὶ τοῖς μὲν
κατὰ σύνεσιν ἢ κατ' ἄλλο τι προέχουσι φθονοῦμεν, ἢν
μὴ τῷ ποιεῖν ἡμᾶς εὖ καθ' ἑκάστην τὴν ἡμέραν προσ- b
αγάγωνται καὶ στέργειν σφᾶς αὐτοὺς ἀναγκάσωσι·
τοῖς δὲ καλοῖς εὐθὺς ἰδόντες εὖνοι γιγνόμεθα, καὶ μό-
νους αὐτοὺς ὥσπερ τοὺς θεοὺς οὐκ ἀπαγορεύομεν θερα-
πεύοντες, (57) ἀλλ' ἥδιον δουλεύομεν τοῖς τοιούτοις ἢ
τῶν ἄλλων ἄρχομεν, πλείω χάριν ἔχοντες τοῖς πολλὰ
προστάττουσιν ἢ τοῖς μηδὲν ἐπαγγέλλουσιν. Καὶ τοὺς
μὲν ὑπ' ἄλλῃ τινὶ δυνάμει γιγνομένους λοιδοροῦμεν καὶ
κόλακας ἀποκαλοῦμεν, τοὺς δὲ τῷ κάλλει λατρεύοντας
φιλοκάλους καὶ φιλοπόνους εἶναι νομίζομεν. (58) Το- c
σαύτῃ δ' εὐσεβείᾳ καὶ προνοίᾳ χρώμεθα περὶ τὴν

urbes exscindi et agros vastari siverunt, ne Græcis eam redderent; hi peregre consenescere et suos nunquam intueri, quam hac relicta domum reverti maluerunt. (51) Et hæc egerunt, non quod vel Alexandrum vel Menelaum tanti facerent; sed alteri pro Europa, alteri pro Asia dimicabant, existimantes, in utra corpus ejus incoleret, eam regionem feliciorem fore.

52. Tanta certe cupiditas incessit laborum et expeditionis illius non Græcis et tantum barbaris, sed diis etiam, ut ne filios quidem suos a Trojani belli discriminibus abesse vellent. Nam quamvis prævidisset Juppiter fatum Sarpedonis, Aurora Memnonis, Neptunus Cycni, Thetis Achillis: tamen eos cohortati cum ceteris miserunt, (53) existimantes gloriosius eis fore, si de filia Jovis dimicantes occumberent, quam si periculorum de illa subeundorum expertes domi consenescerent. Quis vero miretur eos de suis filiis ita statuisse, quum ipsi eo bello multo acrius et vehementius præliati sint, quam contra Gigantes? Nam adversus illos quidem conjunctis viribus dimicarunt; propter hanc ipsi inter sese bellum gesserunt.

54. Recte autem et illi sic senserunt et hæc mihi grandiloquentia concessa est. Nam insigni pulchritudine prædita fuit, qua in tota rerum natura nihil est augustius, nihil pretiosius, nihil divinius. Cujus vires hinc facile intelliguntur, quod multa sunt quæ in iis, qui vel fortitudine vel sapientia vel justitia non sint præditi, pluris habeantur, quam unaquæque illarum virtutum; eorum autem quæ pulchritudine destituuntur, nihil diligi, sed contemni potius omnia quæ hujus boni expertia sint, et virtutem eo potissimum celebrari, quod omnium actionum pulcherrima sit, reperiemus. (55) Quantum autem pulchritudo antecellat omnibus rebus, ex ea animi affectione, qua singula suscipimus, potest intelligi. Nam ceteris rebus, quarum usus aliquis nobis esse potest, tantum potiri volumus, neque ulterius animi propensione progredimur; at pulchrorum amor natura nobis est insitus, cujus tanto majores vires sunt, quam voluntatis illius, quanto res ipsa est præstantior. (56) Atque iis quidem qui vel sapientia vel alia quapiam facultate præcellunt, invidemus, nisi quotidianis nos beneficiis alliciant et sui amorem quasi extorqueant; formosis autem a primo statim aspectu benevolentia conjungimur, et solos eos, quemadmodum deos, colendo non defatigamur, (57) sed libentius eis inservimus, quam aliis imperamus, majoremque illis gratiam habemus, si multa imperent, quam si nihil faciendum denuncient. Jam si qui alteri cuipiam dominationi obnoxii sunt, eos conviciis insectamur et adulatores nominamus, servos autem pulchritudinis elegantes et industrios existimamus. (58) Tanta denique pietate et cura formam complectimur, ut,

ἰδέαν τὴν τοιαύτην, ὥστε καὶ τῶν ἐχόντων τὸ κάλλος τοὺς μὲν μισθαρνήσαντας καὶ κακῶς βουλευσαμένους περὶ τῆς αὑτῶν ἡλικίας μᾶλλον ἀτιμάζομεν ἢ τοὺς εἰς τὰ τῶν ἄλλων σώματ' ἐξαμαρτόντας· ὅσοι δ' ἂν τὴν αὑτῶν ὥραν διαφυλάξωσιν, ἄβατον τοῖς πονηροῖς ὥσπερ ἱερὸν ποιήσαντες, τούτους εἰς τὸν ἐπίλοιπον χρόνον d ὁμοίως τιμῶμεν ὥσπερ τοὺς ὅλην τὴν πόλιν ἀγαθόν τι ποιήσαντας.

59. Καὶ τί δεῖ τὰς ἀνθρωπίνας δόξας λέγοντα διατρίβειν; ἀλλὰ Ζεὺς ὁ κρατῶν πάντων ἐν μὲν τοῖς ἄλλοις τὴν αὑτοῦ δύναμιν ἐνδείκνυται, πρὸς δὲ τὸ κάλλος ταπεινὸς γιγνόμενος ἀξιοῖ πλησιάζειν. Ἀμφιτρύωνι μὲν γὰρ εἰκασθεὶς ὡς Ἀλκμήνην ἦλθε, χρυσὸς δὲ ῥυεὶς Δανάῃ συνεγένετο, κύκνος δὲ γενόμενος εἰς τοὺς Νεμέ- e σεως κόλπους κατέφυγε, τούτῳ δὲ πάλιν ὁμοιωθεὶς Λήδαν ἐνύμφευσεν· ἀεὶ δὲ μετὰ τέχνης ἀλλ' οὐ μετὰ βίας θηρώμενος φαίνεται τὴν φύσιν τὴν τοιαύτην. (60)
218 Τοσούτῳ δὲ μᾶλλον προτετίμηται τὸ κάλλος παρ' a ἐκείνοις ἢ παρ' ἡμῖν, ὥστε καὶ ταῖς γυναιξὶ ταῖς αὑτῶν ὑπὸ τούτου κρατουμέναις συγγνώμην ἔχουσι· καὶ πολλὰς ἄν τις ἐπιδείξειε τῶν ἀθανάτων αἳ θνητοῦ κάλλους ἡττήθησαν, ὧν οὐδεμία λαθεῖν τὸ γεγενημένον ὡς αἰσχύνην ἔχον ἐζήτησεν, ἀλλ' ὡς καλῶν ὄντων τῶν πεπραγμένων ὑμνεῖσθαι μᾶλλον ἢ σιωπᾶσθαι περὶ αὑτῶν ἐβουλήθησαν. Μέγιστον δὲ τῶν εἰρημένων τεκμήριον· πλείους γὰρ ἂν εὕροιμεν διὰ τὸ κάλλος ἀθανά- b τους γεγενημένους ἢ διὰ τὰς ἄλλας ἀρετὰς ἁπάσας.

61. Ὧν Ἑλένη τοσούτῳ πλέον ἔσχεν, ὅσῳ περ καὶ τὴν ὄψιν αὐτῶν διήνεγκεν. Οὐ γὰρ μόνον ἀθανασίας ἔτυχεν, ἀλλὰ καὶ τὴν δύναμιν ἰσόθεον λαβοῦσα πρῶτον μὲν τοὺς ἀδελφοὺς ἤδη κατεχομένους ὑπὸ τῆς πεπρωμένης εἰς θεοὺς ἀνήγαγε, βουλομένη δὲ πιστὴν ποιῆσαι τὴν μεταβολήν, οὕτως αὐτοῖς τὰς τιμὰς ἐναργεῖς ἔδωκεν, ὥσθ' ὁρωμένους ὑπὸ τῶν ἐν τῇ θαλάττῃ κινδυ- c νευόντων σώζειν οἵτινες ἂν αὐτοὺς εὐσεβῶς καταχαλέσωνται· (62) μετὰ δὲ ταῦτα τοσαύτην Μενελάῳ χάριν ἀπέδωκεν ὑπὲρ τῶν πόνων καὶ τῶν κινδύνων οὓς δι' ἐκείνην ὑπέμεινεν, ὥστε τοῦ γένους ἅπαντος τοῦ Πελοπιδῶν διαφθαρέντος καὶ κακοῖς ἀνηκέστοις περιπεσόντος οὐ μόνον αὐτὸν τῶν συμφορῶν τούτων ἀπήλλαξεν, ἀλλὰ καὶ θεὸν αὐτὸν ἀντὶ θνητοῦ ποιήσασα σύνοικον αὑτῇ καὶ πάρεδρον εἰς ἅπαντα τὸν αἰῶνα κατεστήσατο. (63) Καὶ τούτοις ἔχω τὴν πόλιν τὴν Σπαρτιατῶν τὴν d μάλιστα τὰ παλαιὰ διασώζουσαν ἔργῳ παρασχέσθαι μαρτυροῦσαν· ἔτι γὰρ καὶ νῦν ἐν Θεράπναις τῆς Λακωνικῆς θυσίας αὐτοῖς ἁγίας καὶ πατρίας ἀποτελοῦσιν οὐχ ὡς ἥρωσιν, ἀλλ' ὡς θεοῖς ἀμφοτέροις οὖσιν.

64. Ἐνεδείξατο δὲ καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν ἑαυτῆς δύναμιν· ὅτε μὲν γὰρ ἀρχόμενος τῆς ᾠδῆς e ἐβλασφήμησέ τι περὶ αὐτῆς, ἀνέστη τῶν ὀφθαλμῶν ἐστερημένος, ἐπειδὴ δὲ γνοὺς τὴν αἰτίαν τῆς συμφορᾶς τὴν καλουμένην παλινῳδίαν ἐποίησε, πάλιν αὐτὸν εἰς τὴν αὐτὴν φύσιν κατέστησε. (65) Λέγουσι δέ τινες καὶ τῶν Ὁμηριδῶν ὡς ἐπιστᾶσα τῆς νυκτὸς Ὁμήρῳ προσέταξε

si qui formosorum pulchritudinem quæstui habuerint maloque consilio florem ætatis prostituerint, severiore censura notemus, quam eos qui aliena corpora violarunt : qui vero ita suam formam custodiunt, ut, tanquam in templum, nullus improbis pateat aditus, eos reliqua ætate perinde ac si toti civitati benefecissent, honoramus.

59. Et quid opus est humanis opinionibus recensendis immorari, quum Juppiter optimus maximus in aliis potentiam suam demonstret, ad pulchritudinem vero humili persona suscepta accedendum esse censeat? Amphitryoni enim factus similis ad Alcmenam venit, in aureum imbrem mutatus cum Danae congressus est; oloris figura in sinum Nemesis confugit, atque iterum ejusdem avis speciem quum haberet, Ledam sibi despondit; denique semper arte quapiam, nunquam vi talem naturam eum consectatum esse constat. (60) Et apud deos forma tanto est quam apud nos honoratior, ut etiam suis uxoribus, quum ab ea vincuntur, ignoscant : ac multæ dearum immortalium proferri possunt, quæ quum humanæ formæ succumberent, tantum abfuit ut ulla rem eam sibi dedecori esse putaret, aut clam habere studeret, ut tanquam re bene ac laudabiliter gesta hymnis celebrari potius quam sileri voluerint. Cujus rei signum illud evidentissimum est, quod plures ob formæ præstantiam immortalitatem adeptos esse scimus quam propter virtutes ceteras universas.

61. Quibus Helena tanto meliore conditione fuit, quanto eis etiam facie præstitit. Non enim immortalitatem tantum adepta est, sed etiam potestatem divinam consecuta primum fratres, qui fato jam concesserant, inter deos retulit : cui mutationi quum auctoritatem et fidem afferre vellet, honores ita manifestos eis dedit, ut in mari conspecti periclitantes servent, quicumque ipsos pie invocarint : (62) deinde Menelao tantam gratiam retulit pro laboribus et periculis sua causa susceptis, ut, quum genus omne Pelopidarum interisset malis inexplicabilibus oppressum, non tantum ex illis calamitatibus eum eripuerit, sed etiam mortalem ejus sortem divinitate mutarit, eumque contubernalem sibi et assessorem in omne ævum constituerit. (63) Quarum mihi rerum Spartiatarum urbs, diligentissima vetustatis custos, re ipsa testimonium perhibebit : nam in hunc usque diem Therapnis in Laconia patrio ritu sancte illis sacra faciunt, non ut heroibus, sed utrique ut divis.

64. Ostendit etiam Stesichoro poetæ suam potentiam, qui quum initio sui carminis eam nonnihil perstrinxisset maledictis, surrexit oculis orbatus : sed ubi causa ejus calamitatis intellecta palinodiam quam vocant fecerat, illius beneficio visum recepit. (65) Quin etiam Homeridarum quidam aiunt eam noctu Homero astitisse, ac mandasse

ποιεῖν περὶ τῶν στρατευσαμένων ἐπὶ Τροίαν, βουλο-
219 μένη τὸν ἐκείνων θάνατον ζηλωτότερον ἢ τὸν βίον τὸν a
τῶν ἄλλων καταστῆσαι· καὶ μέρος μέν τι διὰ τὴν Ὁμήρου τέχνην, μάλιστα δὲ διὰ ταύτην οὕτως ἐπαφρόδιτον καὶ παρὰ πᾶσιν ὀνομαστὴν αὐτοῦ γενέσθαι τὴν ποίησιν.

66. Ὡς οὖν καὶ δίκην λαβεῖν καὶ χάριν ἀποδοῦναι δυναμένην, τοὺς μὲν τοῖς χρήμασι προέχοντας ἀναθήμασι καὶ θυσίαις καὶ ταῖς ἄλλαις προσόδοις ἱλάσκεσθαι
καὶ τιμᾶν αὐτὴν χρή, τοὺς δὲ φιλοσόφους πειρᾶσθαί τι b
λέγειν περὶ αὐτῆς ἄξιον τῶν ὑπαρχόντων ἐκείνῃ· τοῖς γὰρ πεπαιδευμένοις πρέπει τοιαύτας ποιεῖσθαι τὰς ἀπαρχάς.

67. Πολὺ δὲ πλείω τὰ παραλελειμμένα τῶν εἰρημένων ἐστίν. Χωρὶς γὰρ τεχνῶν καὶ φιλοσοφιῶν καὶ τῶν ἄλλων ὠφελειῶν, ἃς ἔχοι τις ἂν εἰς ἐκείνην καὶ τὸν πόλεμον τὸν Τρωικὸν ἀνενεγκεῖν, δικαίως ἂν καὶ τοῦ μὴ δουλεύειν ἡμᾶς τοῖς βαρβάροις Ἑλένην αἰτίαν εἶναι
νομίζοιμεν. Εὑρήσομεν γὰρ τοὺς Ἕλληνας δι' αὐτὴν c
ὁμονοήσαντας καὶ κοινὴν στρατείαν ἐπὶ τοὺς βαρβάρους ποιησαμένους, καὶ τότε πρῶτον τὴν Εὐρώπην τῆς Ἀσίας τρόπαιον στήσασαν· (68) ἐξ ὧν τοσαύτης μεταβολῆς ἐτύχομεν, ὥστε τὸν μὲν ἐπέκεινα χρόνον οἱ δυστυχοῦντες ἐν τοῖς βαρβάροις τῶν Ἑλληνίδων πόλεων ἄρχειν ἠξίουν, καὶ Δαναὸς μὲν ἐξ Αἰγύπτου φυγὼν Ἄργος κατέσχε, Κάδμος δὲ Σιδώνιος Θηβῶν ἐβασί-
λευσε, Κᾶρες δὲ τὰς νήσους κατῴκουν, Πελοποννήσου d
δὲ συμπάσης ὁ Ταντάλου Πέλοψ ἐκράτησεν, μετὰ δ' ἐκεῖνον τὸν πόλεμον τοσαύτην ἐπίδοσιν τὸ γένος ἡμῶν ἔλαβεν, ὥστε καὶ πόλεις μεγάλας καὶ χώραν πολλὴν ἀφελέσθαι τῶν βαρβάρων. (69) Ἢν οὖν τινες βούλωνται ταῦτα διεργάζεσθαι καὶ μηκύνειν, οὐκ ἀπορήσουσιν ἀφορμῆς ὅθεν Ἑλένην ἔξω τῶν εἰρημένων ἕξουσιν ἐπαινεῖν, ἀλλὰ πολλοῖς καὶ καινοῖς λόγοις ἐντεύξονται περὶ αὐτῆς.

ut de iis scriberet, qui ad Trojam militassent, quo mors eorum optabilior, quam aliorum vita, redderetur, ac poesim ejus ex parte quidem Homeri sollertia, inprimis vero propter Helenam ita gratiosam et apud omnes celebrem esse factam.

66. Illa igitur quoniam et pœnam irrogare et gratiam referre valet, eos qui opibus pollent, donariis et sacrificiis et supplicationibus ceterisque cultibus placare eam et honorare decet; eruditos autem, ut scribere aliquid de ea conentur dignum virtutibus ejus : nam liberaliter inst itutos tales offerre primitias convenit.

67. Plura sunt autem quæ præterii, quam quæ commemoravi. Nam præter artes et ingeniose excogitatas disciplinas ceterasque utilitates quæ ad illam Trojanumque bellum referri possunt, jure id quoque Helenæ ascribetur, quod barbaris non servimus. Constat enim, quum propter eam Græci concordiam iniissent et communem expeditionem contra Barbaros suscepissent, tum primum Europam de Asia triumphasse. (68) Unde res nostræ ita mutatæ sunt, ut superioribus temporibus ii qui apud barbaros calamitate premebantur, imperium in Græcas urbes sibi arrogarent (Danaus enim ex Ægypto profugus Argos occupavit; Cadmus Sidonius Thebis imperavit; Cares insulas tenuerunt; Pelops Tantali filius universam Peloponnesum subegit), post illud autem bellum nostræ gentis opes ita auctæ sint, ut et magnas urbes et multas provincias barbaris eripuerit. (69) Quare si qui sunt qui hæc velint expolire et dilatare, non defutura est eis occasio Helenæ præter ea quæ diximus laudandæ, sed multa et nova de ea dicendi materia suppeditabitur.

11.

ΒΟΥΣΙΡΙΣ.

ΥΠΟΘΕΣΙΣ.

220 Τοῦτον τὸν λόγον γράφει πρὸς Πολυκράτη τινὰ σοφιστήν, ἐξ ἀνάγκης ἐλθόντα ἐπὶ τὸ σοφιστεύειν διὰ πενίαν, Ἀθηναῖον μὲν τῷ γένει, σοφιστεύοντα δὲ νῦν ἐν Κύπρῳ. Γράφει δὲ αὐτῷ ὡς φίλος, ἐπανορθούμενος αὐτὸν δῆθεν ὡς σφαλέντα ἐν τούτοις τοῖς λόγοις οἷς ἔγραφεν, ἔν τε τῷ ἐγκωμίῳ τοῦ Βουσίριδος καὶ ἐν τῇ κατηγορίᾳ τοῦ Σωκράτους. Αὐτὸς γάρ ἐστιν ὁ παρασχὼν τὸν λόγον τῆς κατηγορίας Σωκράτους τοῖς περὶ Ἄνυτον καὶ Μέλητον, ἵνα κατηγορηθεὶς ἀποθάνῃ. Κατηγόρουν δὲ αὐτοῦ ὡς ὅτι καινὰ δαιμόνια εἰσφέρει τοῖς Ἀθηναίοις, λέγων δεῖν σέβειν ὄρνεα καὶ κύνας καὶ τὰ τοιαῦτα, καὶ διὰ τοῦτο διαφθείρει τοὺς νέους τοὺς μανθάνοντας. Ἐζήτησαν δέ τινες διὰ ποίαν αἰτίαν μὴ φανερῶς τὸν κατ' αὐτοῦ λόγον εἰσῆλθεν, εἴ γε φείδεται τοῦ διδασκάλου; καὶ λέγομεν, ἵνα μὴ ὀργισθῶσιν οἱ Ἀθηναῖοι, ἀρτίως Σωκράτους καταψηφισάμενοι. Δοκεῖ οὖν διὰ τούτου ὥσπερ ἐλέγχειν αὐτοὺς ὡς κακῶς καταψηφισαμένους. Καὶ γὰρ καὶ αὐτοὶ μετέγνωσαν ὕστερον, ὅτι ἀσεβῶς ἔπραξαν καταψηφισάμενοι Σωκράτους, εἶτα καὶ σωφρονισθέντες διὰ τοῦ λοιμοῦ τοῦ

11.

BUSIRIS.

ARGUMENTUM.

Hæc oratio ad Polycratem sophistam quendam scribitur, paupertate ad docendam rhetoricam adactum : qui quum genere Atheniensis esset, tunc in Cypro docebat. Scribit autem Isocrates ut amicus, ad ea ejus errata corrigenda, quæ in orationibus duabus, Laudatione Busiridis, et Accusatione Socratis, admiserat. Hic enim est qui Anyto et Melito eam orationem suppeditavit, qua Socrates capitis accusatus est. Accusationis autem capita fuerunt hæc, quod novos deos apud Athenienses introduceret, atque aviculas et canes et ejus generis alia coli juberet : eoque pacto studiosos adolescentes corrumperet. Quæsiverunt quidam, cur non aperte contra illum disputarit : an forte magistro illi pepercerit? Respondemus, eum iram esse veritum Atheniensium, qui Socratem recens condemnarant, quos hac oratione velut arguere videtur injustæ condemnationis. Nam et ipsos postquam impie Socratem supplicio affecerant, pœnitentia cepit : et gravi pestilentia afflicti, necis illius pœnas dederunt. Periit autem Lachete ar-

ἐγκατασκήψαντος αὐτοῖς διὰ τὸν Σωκράτους θάνατον. Ἀπέθανε δὲ ἐπὶ Λάχητος ἄρχοντος. Ὅθεν λοιπὸν ἐκέλευσαν μηδένα δημοσίᾳ, οἷον ἐν κοινῷ θεάτρῳ, λέγειν περὶ Σωκράτους. Ἀμέλει λέγεταί τι τοιοῦτον, ὡς ὅτι Εὐριπίδου βουλομένου εἰπεῖν περὶ αὐτοῦ καὶ δεδιότος, ἀναπλάσασθαι Παλαμήδην, ἵνα διὰ τούτου σχοίη καιρὸν τοῦ αἰνίξασθαι εἰς τὸν Σωκράτη καὶ εἰς τοὺς Ἀθηναίους « ἐκάνετε, ἐκάνετε τῶν Ἑλλήνων τὸν ἄριστον » ὃ ἐστιν ἐφονεύσατε. Καὶ νοῆσαν τὸ θέατρον ἅπαν ἐδάκρυσε, διότι περὶ Σωκράτους ᾐνίττετο. Γράφει οὖν αὐτῷ τὸν λόγον τοῦτον, ὥσπερ εἴπομεν, ἐπιλαμβανόμενος αὐτοῦ. Εἰ δέ τις ζητήσει τὴν αἰτίαν διὰ τί μὴ καὶ τὸν ἄλλον λόγον εἶπεν εἰς τὸν Σωκράτην, λέγομεν, ὡς ἤδη περὶ τούτου προειρήκαμεν, ἵνα μὴ ὀργισθῶσιν αὐτῷ οἱ Ἀθηναῖοι ἔναγχος καταψηφισάμενοι.

Ἡ δ' ὑπόθεσις τοῦ Βουσίριδος τοιαύτη. Βούσιρις τῆς Λιβύης καὶ Ποσειδῶνος ἐγένετο παῖς· οὗτος τεχθεὶς ἐν Λιβύῃ τῇ χώρᾳ, ὑπεριδὼν τῆς ἐκεῖ οἰκήσεως εἵλετο τὴν ἐν Αἰγύπτῳ, καὶ κτίζει πόλιν ὁμώνυμον αὐτῷ Βούσιριν, ἥτις καὶ νῦν οὕτω κέκληται. Αἰτίαν δ' ἔσχεν ὡς ξενηλάτης καὶ ὡς θύων τοὺς ξένους. Ὁ οὖν Πολυκράτης, ἅτε δὴ καὶ σοφιστὴς καὶ λογογράφος, ἠθέλησε καὶ ἀπολογίαν γράψαι ὑπὲρ τοῦ Βουσίριδος καὶ ὑπὲρ τούτων ὧν ἐνεκαλεῖτο· εἰς ἣν αὐτοῦ ὁ Ἰσοκράτης ἐπιλαμβάνεται, καὶ ὑποτίθεται αὐτὸς πῶς ἔδει αὐτὸν γράψαι τὸ ἐγκώμιον. Διὸ καὶ ὁ λόγος οὗτος τῶν τεσσάρων ἐγκωμίων ἐστίν.

choute. Unde post edixerunt, ne quis in posterum Socratis publice, ut in communi theatro, meminisset. Narratur autem hujusmodi quiddam accidisse: Euripidem, quum aliquid de eo dicere vellet, nec id tamen auderet, finxisse fabulam de Palamede, ut sub ejus persona occasionem haberet obscure ad Socratis interitum et factum Atheniensium alludendi, his verbis: « Occidistis, occidistis Græcorum optimum. » Animadvertente autem populo, hæc verba ad Socratem pertinere, ortam in toto theatro esse comploratiouem. Scribit igitur Isocrates hanc orationem ad Polycratem, reprehendendi causa. Si quis autem requirat, cur non et altera oratio de Socrate sit ab auctore nostro exposita, is meminerit, quod jam diximus, vitandæ offensionis Atheniensium ergo, qui recens illum condemnarant, id esse prætermissum.

Busiridis argumentum hoc est: Busiris, Libyæ et Neptuni filius, natus in Libya regione, spreta patria, in Ægyptum profectus, urbem sibi cognominem, Busirim, condidit: quæ id nomen etiam hodie retinet. Crimini autem ei datum est, quod non tantum non admitteret hospites, sed etiam sacrificaret. Polycrates igitur, ut sophista et scriptor orationum, defensionem Busiridis et criminum quæ illi objiciebantur purgationem scribere instituit: in quo ab Isocrate reprehenditur, qua ratione scribenda fuisset laudatio admonente. Quare et hæc oratio inter quattuor laudationes numeratur.

221 Τὴν μὲν ἐπιείκειαν τὴν σήν, ὦ Πολύκρατες, καὶ τὴν τοῦ βίου μεταβολὴν παρ' ἄλλων πυνθανόμενος οἶδα· τῶν δὲ λόγων τινὰς ὧν γέγραφας αὐτὸς ἀνεγνωκὼς ἥδιστα μὲν ἄν σοι περὶ ὅλης ἐπαρρησιασάμην τῆς παιδεύσεως περὶ ἣν ἠνάγκασαι διατρίβειν (ἡγοῦμαι γὰρ τοῖς ἀναξίως μὲν δυστυχοῦσιν, ἐκ δὲ φιλοσοφίας χρηματίζεσθαι ζητοῦσιν ἅπαντας τοὺς πλείω πεπραγματευμένους καὶ μᾶλλον ἀπηκριβωμένους προσήκειν ἐθελοντὰς τοῦτον εἰσφέρειν τὸν ἔρανον), (2) ἐπειδὴ δ' οὔπω περιτετυχήκαμεν ἀλλήλοις, περὶ μὲν τῶν ἄλλων, ἤν ποτ' εἰς ταὐτὸν ἔλθωμεν, τόθ' ἡμῖν ἐξέσται διὰ πλειόνων ποιήσασθαι τὴν συνουσίαν, ἃ δ' ἐν τῷ παρόντι δυναίμην ἂν εὐεργετῆσαί σε, ταῦτα δ' ᾠήθην χρῆναι σοὶ μὲν ἐπιστεῖλαι, πρὸς δὲ τοὺς ἄλλους ὡς οἷόν τε μάλιστ' ἀποκρύψασθαι. (3) Γιγνώσκω μὲν οὖν ὅτι τοῖς πλείστοις τῶν νουθετουμένων ἔμφυτόν ἐστι μὴ
222 πρὸς τὰς ὠφελείας ἀποβλέπειν, ἀλλὰ τοσούτῳ χαλεπώ- a
τερον ἀκούειν τῶν λεγομένων, ὅσῳ περ ἂν αὐτῶν τις ἀκριβέστερον ἐξετάζῃ τὰς ἁμαρτίας· ὅμως δ' οὐκ ὀκνητέον ὑπομένειν τὴν ἀπέχθειαν ταύτην τοῖς εὐνοϊκῶς πρός τινας ἔχουσιν, ἀλλὰ πειρατέον μεθιστάναι τὴν δόξαν τῶν οὕτω πρὸς τοὺς συμβουλεύοντας διακειμένων. (4) Αἰσθόμενος οὖν οὐχ ἥκιστά σε μεγαλαυχούμενον ἐπί τε τῇ Βουσίριδος ἀπολογίᾳ καὶ τῇ Σωκράτους κατηγορίᾳ, πειράσομαί σοι ποιῆσαι καταφανὲς ὅτι πολὺ b
τοῦ δέοντος ἐν ἀμφοτέροις τοῖς λόγοις διήμαρτες. Ἁπάντων γὰρ εἰδότων ὅτι δεῖ τοὺς μὲν εὐλογεῖν τινας βουλομένους πλείω τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς προσόντ' ἀποφαίνειν, τοὺς δὲ κατηγοροῦντας τἀναντία τούτων ποιεῖν, τοσούτου δέεις οὕτω κεχρῆσθαι τοῖς λόγοις, (5) ὥσθ' ὑπὲρ μὲν Βουσίριδος ἀπολογήσασθαι φάσκων οὐχ ὅπως τῆς ὑπαρχούσης αὐτὸν διαβολῆς ἀπήλλαξας, ἀλλὰ καὶ τηλικαύτην αὐτῷ τὸ μέγεθος c
παρανομίαν προσῆψας, ἧς οὐκ ἔσθ' ὅπως ἄν τις δεινο-

Quum mediocritatem tuam, Polycrates, mutatamque vitæ conditionem ex aliis cognovissem, orationum autem tuarum quasdam ipse legissem, de tota quidem docendi ratione, ad quam necessitate compulsus es, cupidissime tecum ac libere disseruissem (arbitror enim omnium esse officium, qui et exercitatiores sunt et solidiorem rei cognitionem habent, ut hanc quasi stipem ultro conferant ad eos sublevandos, qui nulla sua culpa calamitosi, philosophia docenda rem facere conantur); (2) sed quia nondum ita contigit ut conveniremus, cetera quidem differemus, dum coram copiosius colloqui licuerit: quæ vero in præsentia tibi conferre possem, ea ut ad te scribenda, sic ceteros summo studio celanda esse duxi. (3) Etsi intelligo plerisque velut innatum esse, ut, quum admonentur, non ad secuturas utilitates respiciant, sed reprehensiones tanto iniquioribus animis ferant, quanto severiore censura in errata inquisitum fuerit: subeundæ tamen hæ sunt offensiones his qui aliquibus ex animo bene volunt, operaque danda est, ut qui hoc modo erga consiliarios affecti sunt, ab ista opinione deducantur. (4) Quum igitur animadverterim defensione Busiridis et Socratis accusatione te vel inprimis gloriari, ostendere tibi conabor te in utraque oratione longe ab oratoris officio aberrasse. Nam quum nemo ignoret ei quem laudare volumus, tribuenda esse plura bona quam revera habeat, in vituperando autem contrariam viam esse insistendam, tantum abest ut eam in dicendo rationem tu secutus sis, (5) ut Busiridis defensionem professus non modo crimina quæ illi objiciuntur, non refutaris, sed etiam tam insignem ei notam immanitatis inusseris, ut nihil contumeliosius

τέραν ἐξευρεῖν δυνηθείη· τῶν γὰρ ἄλλων τῶν ἐπιχειρησάντων ἐκεῖνον λοιδορεῖν τοσοῦτον μόνον περὶ αὐτοῦ βλασφημούντων, ὡς ἔθυε τῶν ξένων τοὺς ἀφικνουμένους, σὺ καὶ κατεσθίειν αὐτὸν τοὺς ἀνθρώπους ᾐτιάσω· Σωκράτους δὲ κατηγορεῖν ἐπιχειρήσας, ὥσπερ ἐγκωμιάσαι βουλόμενος Ἀλκιβιάδην ἔδωκας αὐτῷ μαθητήν· ὃν ὑπ' ἐκείνου μὲν οὐδεὶς ᾔσθετο παιδευόμενον, ὅτι δὲ d πολὺ διήνεγκε τῶν ἄλλων, ἅπαντες ἂν ὁμολογήσειαν. (6) Τοιγαροῦν εἰ γένοιτ' ἐξουσία τοῖς τετελευτηκόσι βουλεύσασθαι περὶ τῶν εἰρημένων, ὁ μὲν ἄν σοι τοσαύτην ἔχοι χάριν ὑπὲρ τῆς κατηγορίας ὅσην οὐδενὶ τῶν ἐπαινεῖν αὐτὸν εἰθισμένων, ὁ δ' εἰ καὶ περὶ τοὺς ἄλλους πραότατος ἦν, ἀλλ' οὖν ἐπί γε τοῖς ὑπὸ σοῦ λεγομένοις οὕτως ἂν ἀγανακτήσειεν, ὥστε μηδεμιᾶς ἂν ἀποσχέσθαι τιμωρίας. Καίτοι πῶς οὐκ αἰσχύνεσθαι μᾶλλον ἢ σεμνύνεσθαι προσήκει τὸν παρὰ τοῖς λοιδορουμένοις e ὑφ' αὐτοῦ μᾶλλον ἀγαπώμενον ἢ παρὰ τοῖς ἐγκωμιαζομένοις; (7) Οὕτω δ' ἠμέλησας εἰ μηδὲν ὁμολογούμενον ἐρεῖς, ὥστε φῂς μὲν αὐτὸν τὴν Αἰόλου καὶ τὴν Ὀρφέως ζηλῶσαι δόξαν· ἀποφαίνεις δ' οὐδὲν τῶν αὐτῶν ἐκείνοις ἐπιτηδεύσαντα. Πότερα γὰρ τοῖς περὶ Αἰόλου λεγομένοις αὐτὸν παρατάξωμεν; ἀλλ' ἐκεῖνος 223 μὲν τῶν ξένων τοὺς ἐπὶ τὴν χώραν ἐκπίπτοντας εἰς τὰς a αὐτῶν πατρίδας ἀπέστελλεν, ὁ δ', εἰ χρὴ τοῖς ὑπὸ σοῦ λεγομένοις πιστεύειν, θύσας κατήσθιεν. (8) Ἢ τοῖς Ὀρφέως ἔργοις ὁμοιώσωμεν; ἀλλ' ὁ μὲν ἐξ Ἅδου τοὺς τεθνεῶτας ἀνῆγεν, ὁ δὲ πρὸ μοίρας τοὺς ζῶντας ἀπώλλυεν. Ὥσθ' ἡδέως ἂν εἰδείην τί ποτ' ἂν ἐποίησεν, εἰ καταφρονῶν αὐτῶν ἐτύγχανεν, ὃς θαυμάζων τὴν ἀρετὴν τὴν ἐκείνων ἅπαντα φαίνεται τἀναντία δια- b πραττόμενος. Ὃ δὲ πάντων ἀτοπώτατον, ὅτι περὶ τὰς γενεαλογίας ἐσπουδακὼς ἐτόλμησας εἰπεῖν ὡς τούτους ἐζήλωσεν, ὧν οὐδ' οἱ πατέρες πω κατ' ἐκεῖνον τὸν χρόνον γεγονότες ἦσαν.

9. Ἵνα δὲ μὴ δοκῶ τὸ προχειρότατον ποιεῖν, ἐπιλαμβάνεσθαι τῶν εἰρημένων μηδὲν ἐπιδεικνὺς τῶν ἐμαυτοῦ, πειράσομαί σοι διὰ βραχέων δηλῶσαι περὶ τὴν αὐτὴν ὑπόθεσιν, καίπερ οὐ σπουδαίαν οὖσαν οὐδὲ c σεμνοὺς λόγους ἔχουσαν, ἐξ ὧν ἔδει καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν ποιήσασθαι.

10. Περὶ μὲν οὖν τῆς Βουσίριδος εὐγενείας τίς οὐκ ἂν δυνηθείη ῥᾳδίως εἰπεῖν; ὃς πατρὸς μὲν ἦν Ποσειδῶνος, μητρὸς δὲ Λιβύης τῆς Ἐπάφου τοῦ Διός, ἥν φασι πρώτην γυναῖκα βασιλεύσασαν ὁμώνυμον αὐτῇ τὴν χώραν καταστῆσαι. Τυχὼν δὲ τοιούτων προγόνων οὐκ ἐπὶ τούτοις μόνοις μέγ' ἐφρόνησεν, ἀλλ' ᾠήθη δεῖν καὶ d τῆς ἀρετῆς τῆς αὑτοῦ μνημεῖον εἰς ἅπαντα τὸν χρόνον καταλιπεῖν. (11) Τὴν μὲν οὖν μητρῴαν ἀρχὴν ὑπερεῖδεν, ἐλάττω νομίσας ἢ κατὰ τὴν αὑτοῦ φύσιν εἶναι, πλείστους δὲ καταστρεψάμενος καὶ μεγίστην δύναμιν κτησάμενος ἐν Αἰγύπτῳ κατεστήσατο τὴν βασιλείαν, οὐκ ἐκ τῶν παρουσῶν μόνον ἀλλ' ἐξ ἁπασῶν προκρίνας τὴν ἐκεῖ πολὺ διαφέρειν οἴκησιν. (12) Ἑώρα γὰρ τοὺς e μὲν ἄλλους τόπους οὐκ εὐκαίρως οὐδ' εὐαρμόστως πρὸς

excogitari queat. Nam quum alii, quibus illi maledicere visum est, unam in eo mactationem hospitum exsecrentur, tu etiam devorare homines solitum es criminatus. Quum vero Socratem accusare instituisses, Alcibiadem ei, quasi laudare velles, discipulum tribuisti, quem ab eo fuisse eruditum nemo norat, sed longe aliis antecelluisse omnes confitentur. (6) Itaque si defunctis potestas daretur suo arbitratu de tuis orationibus statuendi, alter tibi gratiam quod accusasses tantam haberet, quantam nulli eorum qui laudare solent; alter, etiamsi in alios fuit humanissimus, sic indignaretur, ut tua verba quovis supplicio vindicaret. An vero non erubescendum potius est illi quam gloriandum, qui magis ab iis diligatur quos vituperarit, quam ab iis quos laudandos susceperit? (7) Adeo autem tibi curæ non fuit consentanea loqui, ut dixeris eum Æoli et Orphei gloriam æmulatum esse, idemque demonstres nihil illi studio fuisse, quod cum eorum congrueret institutis. Numquid enim facinora istius cum factis Æoli, quæ memorantur, conferemus? At is quidem hospites in suum litus ejectos in patriam quemque suam reducendos curavit; iste vero (si tibi quidem habenda fides est) hospites immolatos devoravit. (8) An eum cum Orphei factis comparabimus? At is mortuos ab inferis reduxit; iste viventes ante fatum Orco tradidit. Quare magnopere scire velim, quid is facturus fuisset, si eos contempsisset, quem in admiratione virtutis eorum omnia contraria studio habuisse constat. Illud autem omnium est absurdissimum, quod in genealogiis versatus dicere non dubitasti eum illos esse æmulatum, quorum ne patres quidem illis jam temporibus nati erant.

9. Ne vero id quod cuivis in promptu est facere videar, ut tua dicta reprehendam meorumque nihil proferam, conabor tibi paucis ostendere in hoc ipso argumento (quanquam id minime quidem probum est neque honestam orationem suppeditat) quæ sit quum laudandi tum defendendi ratio ineunda.

10. De nobilitate igitur Busiridis quis non facile dixerit, cui pater Neptunus, Libye Jovis ex Epapho neptis mater fuit? quam mulierem primam ferunt regno potitam regioni suum nomen indidisse. Quum autem tales ei parentes contigissent, non splendore natalium solum superbiit, sed suæ virtutis etiam perpetuum monumentum esse relinquendum existimavit. (11) Quare maternum imperium aspernatus ut naturæ suæ præstantia minus, multis vi armorum subactis maximaque potentia parta in Ægypto regnum constituit, ratus sedem illam non iis tantum quas obtineret, sed et universis regionibus multum præstare. (12) Videbat enim cetera loca non commode nec convenienter ad universi

τὴν τοῦ σύμπαντος φύσιν ἔχοντας, ἀλλὰ τοὺς μὲν ὑπ' ὄμβρων καταχλυζομένους, τοὺς δ' ὑπὸ καυμάτων διαφθειρομένους, ταύτην δὲ τὴν χώραν ἐν καλλίστῳ μὲν τοῦ κόσμου κειμένην, πλεῖστα δὲ καὶ παντοδαπώτατα 224 φέρειν δυναμένην, ἀθανάτῳ δὲ τείχει τῷ Νείλῳ τετει- a χισμένην, (13) ὃς οὐ μόνον φυλακὴν ἀλλὰ καὶ τροφὴν ἱκανὴν αὐτῇ παρέχειν πέφυκεν, ἀνάλωτος μὲν ὢν καὶ δύσμαχος τοῖς ἐπιβουλεύουσιν, εὐαγωγὸς δὲ καὶ πρὸς πολλὰ χρήσιμος τοῖς ἐντὸς αὐτοῦ κατοικοῦσιν. Πρὸς γὰρ τοῖς προειρημένοις καὶ τὴν δύναμιν αὐτῶν πρὸς τὴν τῆς γῆς ἐργασίαν ἰσόθεον πεποίηκεν· τῶν γὰρ ὄμβρων καὶ τῶν αὐχμῶν τοῖς μὲν ἄλλοις ὁ Ζεὺς ταμίας ἐστίν, ἐκείνων δ' ἕκαστος ἀμφοτέρων τούτων αὐτὸς αὑτῷ κύριος καθέ- b στηκεν. (14) Εἰς τοσαύτην δ' ὑπερβολὴν εὐδαιμονίας ἥκουσιν, ὥστε τῇ μὲν ἀρετῇ καὶ τῇ φύσει τῆς χώρας καὶ τῷ πλήθει τῶν πεδίων ἤπειρον καρποῦνται, τῇ δὲ τῶν περιόντων διαθέσει καὶ τῇ τῶν ἐλλειπόντων κομιδῇ διὰ τὴν τοῦ ποταμοῦ δύναμιν νῆσον οἰκοῦσιν· κύκλῳ γὰρ αὐτὴν περιέχων καὶ πᾶσαν διαρρέων πολλὴν αὐτοῖς εὐπορίαν ἀμφοτέρων τούτων πεποίηκεν.

16. Ἤρξατο μὲν οὖν ἐντεῦθεν ὅθεν περ χρὴ τοὺς εὖ φρονοῦντας, ἅμα τόν τε τόπον ὡς κάλλιστον καταλα- c βεῖν καὶ τροφὴν ἱκανὴν τοῖς περὶ αὐτὸν ἐξευρεῖν· μετὰ δὲ ταῦτα διελόμενος χωρὶς ἑκάστους, τοὺς μὲν ἐπὶ τὰς ἱερωσύνας κατέστησε, τοὺς δ' ἐπὶ τὰς τέχνας ἔτρεψε, τοὺς δὲ τὰ περὶ τὸν πόλεμον μελετᾶν ἠνάγκασεν, ἡγούμενος τὰ μὲν ἀναγκαῖα καὶ τὰς περιουσίας ἔκ τε τῆς χώρας καὶ τῶν τεχνῶν δεῖν ὑπάρχειν, τούτων δ' εἶναι φυλακὴν ἀσφαλεστάτην τήν τε περὶ τὸν πόλεμον ἐπιμέλειαν καὶ τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν. (16) Ἅπαντας d δὲ τοὺς ἀριθμοὺς περιλαβὼν ἐξ ὧν ἄριστ' ἄν τις τὰ κοινὰ διοικήσειεν, ἀεὶ τοῖς αὐτοῖς τὰς αὐτὰς πράξεις μεταχειρίζεσθαι προσέταξεν, εἰδὼς τοὺς μὲν μεταβαλλομένους τὰς ἐργασίας οὐδὲ πρὸς ἓν τῶν ἔργων ἀκριβῶς ἔχοντας, τοὺς δ' ἐπὶ ταῖς αὐταῖς πράξεσι συνεχῶς διαμένοντας εἰς ὑπερβολὴν ἕκαστον ἀποτελοῦντας. (17) Τοιγαροῦν καὶ πρὸς τὰς τέχνας εὑρήσομεν αὐτοὺς πλέον διαφέρον- e τας τῶν περὶ τὰς αὐτὰς ἐπιστήμας ἢ τοὺς ἄλλους δημιουργοὺς τῶν ἰδιωτῶν, καὶ πρὸς τὴν σύνταξιν, δι' ἧς τήν τε βασιλείαν καὶ τὴν ἄλλην πολιτείαν διαφυλάττουσιν, οὕτω καλῶς ἔχοντας, ὥστε καὶ τῶν φιλοσόφων τοὺς ὑπὲρ τῶν τοιούτων λέγειν ἐπιχειροῦντας καὶ μάλιστ' 225 εὐδοκιμοῦντας τὴν ἐν Αἰγύπτῳ προαιρεῖσθαι πολιτείαν a ἐπαινεῖν, καὶ Λακεδαιμονίους μέρος τι τῶν ἐκεῖθεν μιμουμένους ἄριστα διοικεῖν τὴν αὑτῶν πόλιν. (18) Καὶ γὰρ τὸ μηδένα τῶν μαχίμων ἄνευ τῆς τῶν ἀρχόντων γνώμης ἀποδημεῖν καὶ τὰ συσσίτια καὶ τὴν τῶν σωμάτων ἄσκησιν, ἔτι δὲ τὸ μηδένας τῶν ἀναγκαίων ἀποροῦντας τῶν κοινῶν προσταγμάτων ἀμελεῖν, μηδ' ἐπὶ ταῖς ἄλλαις τέχναις διατρίβειν, ἀλλὰ τοῖς ὅπλοις καὶ ταῖς στρατείαις τὸν νοῦν προσέχειν, ἐκεῖθεν ἅπαντα b ταῦτ' εἰλήφασιν. (19) Τοσούτῳ δὲ χεῖρον κέχρηνται τούτοις τοῖς ἐπιτηδεύμασιν, ὅσον οὗτοι μὲν ἅπαντες στρατιῶται καταστάντες βίᾳ τὰ τῶν ἄλλων λαμβάνειν

mundi naturam posita, partim imbribus inundari, partim fervoribus infestari; hanc vero provinciam in commodissima orbis parte sitam plurimorum variorumque fructuum esse feracissimam, et Nilo, immortali muro, circumdatam, (13) qui eam non tantum muniat, sed insita vi etiam liberaliter alat, insuperabilis et inexpugnabilis insidiatoribus, iis autem qui intra eum habitant ad derivationes et alia complura opportunus. Nam præter ea quæ diximus, potentiam quoque eorum in cultura terræ prope divinam effecit: imbrium enim et siccitatum aliis Juppiter dispensator est, horum vero utrorumque potestatem quivis apud illos per se habet. (14) Ac tam immensa felicitate sunt, ut si præstantiam species naturamque regionis et campos latissime patentes, terra continente fruantur; exportatione autem rerum quibus abundant, et importatione quarum egent, ob fluminis hujus commoditatem insulam incolant: nam circumcirca eam ambiens et totam interfluens magnam eis opportunitatem utriusque rei suppeditat.

15. Inde igitur auspicatus, unde sapientes ordiri decet, locum quam amœnissimum occupavit eumque talem, unde incolis omnia ad victum necessaria abunde suppeterent. Deinde civibus ordine distributis alios sacris præfecit, alios opificiis destinavit, alios rei militari vacare coegit, existimans res necessarias et opes tum e terræ cultu, tum ex opificiis suppeditari oportere; earum autem custodiam tutissimam esse et rei militaris exercitationem et pietatem erga deos. (16) Omnes igitur numeros earum rerum, per quas optime respublica constitui queat, absolvit. Nam ut singuli easdem res perpetuo tractarent, imperavit, haud ignarus eos, qui subinde aliud atque aliud munus susciperent, ne ad unum quidem satis exercitatos esse; eos autem qui rebus iisdem perpetuo essent occupati, in suo scientiæ genere plurimum excellere. (17) Unde hoc consecuti sunt, ut et in singulis artibus longe plus aliis artificibus præstent quam ceteri artifices hominibus illarum ignaris, et ordinem, quo regnum ceteraque reipublicæ munia tuentur, tam præclarum servent, ut etiam philosophi celeberrimi, quum his de rebus disputationes instituunt, Ægyptiam reipublicæ formam ceteris anteponant, et Lacedæmonii, qui partem quandam inde ad se transtulerunt, suam rempublicam optime administrent. (18) Nam ut militum nemo sine venia magistratuum peregre abeat, et concœnationes et corporum exercitationem, prætereaque ne qui inopia rerum necessariarum coacti publica munia negligant aut aliis artibus occupentur, sed omnem ætatem, omne studium in armis et expeditionibus consumant, ab Ægyptiis hæc omnia petierunt. (19) Tanto autem pejus his institutis utuntur, quod ipsi omnes militiæ dediti vi aliis sua eripere student;

ἀξιοῦσιν, ἐκεῖνοι δ' οὕτως οἰκοῦσιν ὥσπερ χρὴ τοὺς μήτε τῶν ἰδίων ἀμελοῦντας μήτε τοῖς ἀλλοτρίοις ἐπιβουλεύοντας. Γνοίη δ' ἄν τις ἐνθένδε τὸ διάφορον ἑκατέρας τῆς πολιτείας· (20) εἰ μὲν γὰρ ἅπαντες μιμησαίμεθα τὴν Λακεδαιμονίων ἀργίαν καὶ πλεονεξίαν, εὐθὺς ἂν c ἀπολοίμεθα καὶ διὰ τὴν ἔνδειαν τῶν καθ' ἡμέραν καὶ διὰ τὸν πόλεμον τὸν πρὸς ἡμᾶς αὐτούς· εἰ δὲ τοῖς Αἰγυπτίων νόμοις χρῆσθαι βουληθείημεν, καὶ τοῖς μὲν ἐργάζεσθαι, τοῖς δὲ τὰ τούτων σώζειν δόξειεν, ἕκαστοι τὴν αὑτῶν ἔχοντες εὐδαιμόνως ἂν τὸν βίον διατελοῖμεν.

21. Καὶ μὲν δὴ καὶ τῆς περὶ τὴν φρόνησιν ἐπιμελείας εἰκότως ἄν τις ἐκεῖνον αἴτιον νομίσειεν. Τοῖς γὰρ ἱερεῦσι παρεσκεύασεν εὐπορίαν μὲν ταῖς ἐκ τῶν ἱερῶν d προσόδοις, σωφροσύνην δὲ ταῖς ἁγνείαις ταῖς ὑπὸ τῶν νόμων προστεταγμέναις, σχολὴν δὲ ταῖς τῶν κινδύνων καὶ τῶν ἄλλων ἔργων ἀτελείαις· (22) μεθ' ὧν ἐκεῖνοι βιοτεύοντες τοῖς μὲν σώμασιν ἰατρικὴν ἐξεῦρον ἐπικουρίαν, οὐ διακεκινδυνευμένοις φαρμάκοις χρωμένην, ἀλλὰ τοιούτοις ἃ τὴν μὲν ἀσφάλειαν ὁμοίαν ἔχει τῇ τροφῇ τῇ καθ' ἡμέραν, τὰς δ' ὠφελείας τηλικαύτας ὥστ' ἐκεί- e νους ὁμολογουμένως ὑγιεινοτάτους εἶναι καὶ μακροβιωτάτους, ταῖς δὲ ψυχαῖς φιλοσοφίας ἄσκησιν κατέδειξαν, ἣ καὶ νομοθετῆσαι καὶ τὴν φύσιν τῶν ὄντων ζητῆσαι δύναται. (23) Καὶ τοὺς μὲν πρεσβυτέρους ἐπὶ τὰ μέγιστα τῶν πραγμάτων ἔταξαν, τοὺς δὲ νεωτέρους ἀμε-
226 λήσαντας τῶν ἡδονῶν ἐπ' ἀστρολογίᾳ καὶ λογισμοῖς a καὶ γεωμετρίᾳ διατρίβειν ἔπεισαν, ὧν τὰς δυνάμεις οἱ μὲν ὡς πρὸς ἕτερα χρησίμους ἐπαινοῦσιν, οἱ δ' ὡς πλεῖστα πρὸς ἀρετὴν συμβαλλομένας ἀποφαίνειν ἐπιχειροῦσιν.

24. Μάλιστα δ' ἄξιον ἐπαινεῖν καὶ θαυμάζειν τὴν εὐσέβειαν αὐτῶν καὶ τὴν περὶ τοὺς θεοὺς θεραπείαν. Ὅσοι μὲν γὰρ σφᾶς αὐτοὺς οὕτω κατεσχηματίσαν, ὥστ' ἢ κατὰ σοφίαν ἢ κατ' ἄλλην τιν' ἀρετὴν ὑπολαμβάνε- b σθαι μειζόνως ἢ κατὰ τὴν ἀξίαν, οὗτοι μὲν βλάπτουσι τοὺς ἐξαπατηθέντας· ὅσοι δὲ τῶν θείων πραγμάτων οὕτω προέστησαν, ὥστε καὶ τὰς ἐπιμελείας καὶ τὰς τιμωρίας δοκεῖν εἶναι μείζους τῶν συμβαινόντων, οἱ δὲ τοιοῦτοι πλεῖστα τὸν βίον τὸν τῶν ἀνθρώπων ὠφελοῦσιν. (25) Καὶ γὰρ τὴν ἀρχὴν οἱ τὸν φόβον ἡμῖν ἐνεργασάμενοι τούτων αἴτιοι γεγόνασι τοῦ μὴ παντάπασι θηριωδῶς διακεῖσθαι πρὸς ἀλλήλους. Ἐκεῖνοι τοίνυν οὕτως ἁγίως c περὶ ταῦτα καὶ σεμνῶς ἔχουσιν, ὥστε καὶ τοὺς ὅρκους πιστοτέρους εἶναι τοὺς ἐν τοῖς ἐκείνων ἱεροῖς ἢ τοὺς παρὰ τοῖς ἄλλοις καθεστῶτας, καὶ τῶν ἁμαρτημάτων ἕκαστον οἴεσθαι παραχρῆμα δώσειν δίκην, ἀλλ' οὐ διαλήσειν τὸν παρόντα χρόνον, οὐδ' εἰς τοὺς παῖδας ἀναβληθήσεσθαι τὰς τιμωρίας. (26) Καὶ ταῦτ' εἰκότως δοξάζουσιν· πολλὰς γὰρ αὐτοῖς καὶ παντοδαπὰς ἀσκήσεις τῆς ὁσιότητος ἐκεῖνος κατέστησεν, ὅστις καὶ τῶν ζῴων τῶν παρ' d ἡμῖν καταφρονουμένων ἔστιν ἃ σέβεσθαι καὶ τιμᾶν ἐνομοθέτησεν, οὐκ ἀγνοῶν τὴν δύναμιν αὐτῶν, ἀλλ' ἅμα μὲν ἐθίζειν οἰόμενος δεῖν τὸν ὄχλον ἐμμένειν ἅπασι τοῖς ὑπὸ τῶν ἀρχόντων παραγγελλομένοις, (27) ἅμα δὲ βου-

illi autem ita vivunt, ut eos decet, qui nec sua negligunt nec insidiantur alienis. Quantum porro inter utramque gerendæ reipublicæ rationem intersit, ex eo perspici potest, (20) quod si omnes pigritiam et avaritiam Lacedæmoniorum imitemur, mox quum ob annonæ penuriam, tum propter intestina bella perierimus; sin Ægyptiorum instituta secuti alii opus facere, alii horum opes tueri voluerimus, suis quique contenti finibus beatam vitam exigemus.

21. Atque etiam sapientiæ studium illi merito acceptum referetur. Nam sacerdotibus ita prospexit, ut e sacris reditibus opes acquirerent, continentiam sanctimonia legibus præscripta, otium immunitate a militia reliquisque laboribus. (22) Quibus illi usi commoditatibus ad corpora juvanda medicinam invenerunt, non eam quæ periculosis medicamentis utitur, sed ejusmodi, quæ quum æque tuto sumi possint ut cibi quotidiani, tantas utilitates habeant, ut nemo neget eos et saluberrimis esse corporibus et diutissime vivere: ingeniis autem philosophiæ exercitationem demonstrarunt, quæ quum leges sancire, tum rerum naturam indagare potest. (23) Ac senes quidem maximis rebus præposuerunt; adolescentibus autem persuaserunt, ut omisso voluptatum studio in astronomia et arithmetica et geometria versarentur, quarum facultatem alii ut ad alia conducibilem laudant, alii eas ad virtutem quoque consequendam adjumenti plurimum afferre contendunt.

24. Maximis autem laudibus et admiratione digna est eorum religio et deorum immortalium cultus. Nam qui ita se pararunt, ut vel scientiæ vel alius cujuscumque virtutis nomine majorem de se quam pro dignitate opinionem excitarint, hi deceptis nocent: qui autem divinis rebus ita præsunt, ut et auxilia et pœnæ majores quam sunt esse videantur, hi vero vitæ mortalium plurimum prosunt. (25) Nam qui ab initio timorem nobis injecerunt illarum rerum, in causa fuere, ne inter nos plane bestiarum more viveremus. Illi igitur hæc ita sancte augusteque administrant, ut etiam jurisjurandi religio illorum sacris interpositis sanctior sit, quam quæ apud alios recepta est; et ut existiment singulis peccatis confestim paratam esse pœnam, neque fore ut in præsentia delitescant aut ultio in liberos ipsorum differatur. (26) Neque temere sic opinantur. Multas enim eis et varias divinitatis exercitationes ille constituit, ut qui quædam ex animalibus apud nos contemptis coli et honorari lege lata voluerit, non quod eorum vim ignoraret, sed partim vulgus assuefaciendum esse ad observanda omnia principum edicta

λόμενος πεῖραν λαμβάνειν ἐν τοῖς φανεροῖς, ἥντινα περὶ
τῶν ἀφανῶν διάνοιαν ἔχουσιν. Ἐνόμιζε γὰρ τοὺς μὲν
τούτων ὀλιγωροῦντας τυχὸν καὶ τῶν μειζόνων καταφρο-
νήσειν, τοὺς δ' ἐπὶ πάντων ὁμοίως ἐμμένοντας τῇ τάξει e
βεβαίως ἔσεσθαι τὴν αὐτῶν εὐσέβειαν ἐπιδεδειγμένους.

28. Ἔχοι δ' ἄν τις μὴ σπεύδειν ὡρμημένοις πολλὰ
καὶ θαυμαστὰ περὶ τῆς ὁσιότητος αὐτῶν διελθεῖν, ἣν
οὔτε μόνος οὔτε πρῶτος ἐγὼ τυγχάνω καθεωρακώς, ἀλλὰ
πολλοὶ καὶ τῶν ὄντων καὶ τῶν προγεγενημένων, ὧν καὶ
227 Πυθαγόρας ὁ Σάμιός ἐστιν· ὃς ἀφικόμενος εἰς Αἴγυπτον a
καὶ μαθητὴς ἐκείνων γενόμενος τήν τ' ἄλλην φιλοσοφίαν
πρῶτος εἰς τοὺς Ἕλληνας ἐκόμισε, καὶ τὰ περὶ τὰς
θυσίας καὶ τὰς ἁγιστείας τὰς ἐν τοῖς ἱεροῖς ἐπιφανέστε-
ρον τῶν ἄλλων ἐσπούδασεν, ἡγούμενος, εἰ καὶ μηδὲν
αὐτῷ διὰ ταῦτα πλέον γίγνοιτο παρὰ τῶν θεῶν, ἀλλ'
οὖν παρά γε τοῖς ἀνθρώποις ἐκ τούτων μάλιστ' εὐδοκι- b
μήσειν. Ὅπερ αὐτῷ καὶ συνέβη· (29) τοσοῦτον γὰρ
εὐδοξίᾳ τοὺς ἄλλους ὑπερέβαλεν, ὥστε καὶ τοὺς νεωτέ-
ρους ἅπαντας ἐπιθυμεῖν αὐτοῦ μαθητὰς εἶναι, καὶ τοὺς
πρεσβυτέρους ἥδιον ὁρᾶν τοὺς παῖδας τοὺς αὐτῶν ἐκείνῳ
συγγιγνομένους ἢ τῶν οἰκείων ἐπιμελουμένους. Καὶ
τούτοις οὐχ οἷόντ' ἀπιστεῖν· ἔτι γὰρ καὶ νῦν τοὺς προσ-
ποιουμένους ἐκείνου μαθητὰς εἶναι μᾶλλον σιγῶντας
θαυμάζουσιν ἢ τοὺς ἐπὶ τῷ λέγειν μεγίστην δόξαν ἔχον- c
τας.

30. Ἴσως ἂν οὖν τοῖς εἰρημένοις ἀπαντήσειας, ὅτι
τὴν μὲν χώραν καὶ τοὺς νόμους καὶ τὴν εὐσέβειαν, ἔτι
δὲ τὴν φιλοσοφίαν ἐπαινῶ τὴν Αἰγυπτίων, ὡς δὲ τού-
των αἴτιος ἦν ὃν ὑπεθέμην, οὐδεμίαν ἔχω λέγειν ἀπό-
δειξιν. Ἐγὼ δ' εἰ μὲν ἄλλος τίς μοι τὸν τρόπον τοῦτον
ἐπέπληττεν, ἡγούμην ἂν αὐτὸν πεπαιδευμένως ἐπιτι-
μᾶν· σοὶ δ' οὐ προσήκει ταύτην ποιεῖσθαι τὴν ὑπόλη-
ψιν. (31) Βουληθεὶς γὰρ Βούσιριν εὐλογεῖν προείλου
λέγειν ὡς τόν τε Νεῖλον περὶ τὴν χώραν περιέρρηξε καὶ d
τῶν ξένων τοὺς ἀφικνουμένους θύων κατήσθιεν· ὡς δὲ
ταῦτ' ἐποίησεν, οὐδεμίαν πίστιν εἴρηκας. Καίτοι πῶς
οὐ καταγέλαστόν ἐστι ταῦτα παρὰ τῶν ἄλλων ἀπαι-
τεῖν, οἷς αὐτὸς μηδὲ κατὰ μικρὸν τυγχάνεις κεχρημένος;
(32) Ἀλλὰ τοσούτῳ πλέον ἡμῶν ἀπέχεις τοῦ πιστὰ λέ-
γειν, ὅσον ἐγὼ μὲν οὐδενὸς αὐτὸν αἰτιῶμαι τῶν ἀδυνά-
των, ἀλλὰ νόμων καὶ πολιτείας, αἵπερ εἰσὶ πράξεις τῶν
καλῶν κἀγαθῶν· σὺ δὲ τοιούτων δημιουργὸν ἀποφαίνεις, e
ὧν οὐδέτερον οὐδεὶς ἂν ἀνθρώπων ποιήσειεν, ἀλλὰ τὸ
μὲν τῆς τῶν θηρίων ὠμότητος, τὸ δὲ τῆς τῶν θεῶν δυ-
νάμεως ἔργον ἐστίν. (33) Ἔπειτ' εἰ καὶ τυγχάνομεν
228 ἀμφότεροι ψευδῆ λέγοντες, ἀλλ' οὖν ἐγὼ μὲν κέχρημαι a
τούτοις τοῖς λόγοις οἷσπερ χρὴ τοὺς ἐπαινοῦντας, σὺ δ'
οἷς προσήκει τοὺς λοιδοροῦντας· ὥστ' οὐ μόνον τῆς ἀλη-
θείας αὐτῶν, ἀλλὰ καὶ τῆς ἰδέας ὅλης, δι' ἧς εὐλογεῖν
δεῖ, φαίνει διημαρτηκώς.

34. Χωρὶς δὲ τούτων, εἰ δεῖ τῶν σῶν ἀπαλλαγέντα
τὸν ἐμὸν λόγον ἐξετάζειν, οὐδεὶς ἂν αὐτῷ δικαίως ἐπι-
πλήξειεν. Εἰ μὲν γὰρ ἄλλος τις ἦν φανερὸς ταῦτα
πράξας ἁγώ φημι γεγενῆσθαι δι' ἐκεῖνον, ὁμολογῶ λίαν

existimavit, (27) partim in rebus manifestis experiri voluit, quid de occultis sentirent. Nam qui hæc negligerent, eos fortassis etiam majora contempturos; qui autem æque in omnibus ordinem conservarent, eos jam edidisse specimen suæ in colenda religione constantiæ arbitrabatur.

28. Multa, nisi festinatio prohiberet, et admiranda de sanctitate Ægyptiorum commemorari possent, quæ ego neque solus neque primus perspexi, sed multi quum nostræ tum superioris ætatis homines, quorum de numero fuit etiam Samius ille Pythagoras. Qui quum in Ægyptum profectus illorum disciplinæ se tradidisset, tum reliquam philosophiam primus in Græciam intulit, tum sacrificiorum et consecrationum in templis majus quam ceteri studium habuit, existimans, etiamsi propterea nihilo plus a diis impetrasset, at maximam celebritatem apud homines ea re se consecuturum: id quod ei etiam contigit. (29) Tantum enim nobilitate ceteris excelluit, ut et adolescentes omnes ejus discipuli esse cuperent, et senes cum eo vivere mallent suos liberos quam rem familiarem curare. Atque his abrogari fides non potest: nam etiam nunc, qui se discipulos ejus esse profitentur, ii magis tacentes admirationi sunt, quam alii qui eloquentiæ maximam gloriam sunt consecuti.

30. Fortassis autem iis quæ diximus respondebis me regionem quidem et leges et pietatem atque etiam sapientiam Ægyptiorum laudare, sed harum rerum auctorem eum esse, quem posuerim, nulla ratione demonstrare posse. Ego vero, si quis alius hoc mihi opponeret, erudite me ab eo reprehendi putarem: at tibi sic argumentari minime convenit. (31) Quum enim Busiridem laudare voluisses, dicere non dubitasti eum et Nilum vi ab suo cursu abruptum regionem circumfluere coegisse, et exteros qui eo advenissent immolatos devorasse nec ullum argumentum, quo probaretur hæc ab eo esse facta, protulisti. Nonne igitur ridiculum fuerit te ab aliis exigere, quæ tute ne minima quidem ex parte præstitisti? (32) At tanto longius abes a vero, quam nos, quod nos illi, quod fieri nequeat, nihil tribuimus, sed leges et reipublicæ constitutionem, quæ præstantium virorum opera sunt; tu vero talium facinorum opificem eum nobis exhibes, quorum neutrum quisquam mortalium fecerit: nam alterum belluinæ immanitatis est, alterum potentiæ divinæ. (33) Deinde ut falsa uterque dicamus, ego tamen his verbis usus sum quæ laudantium sunt, tu iis quæ vituperantibus conveniunt. Quare non modo veritatem rerum neglexisti, sed etiam a tota forma laudationum aberrasti.

34. Jam si tuis omissis mea oratio excutienda est, nemo ei jure fidem abrogabit. Nam si quem alium hæc fecisse constaret, quæ ego illi tribuo, ne ipse quidem negarim me

εἶναι τολμηρός, εἰ περὶ ὧν ἅπαντες ἐπίστανται, περὶ b τούτων μεταπείθειν ἐπιχειρῶ. (35) Νῦν δ', ἐν κοινῷ τῶν πραγμάτων ὄντων, καὶ δοξάσαι δέον περὶ αὐτῶν, τίν' ἄν τις τῶν ἐκεῖ καθεστώτων ἐκ τῶν εἰκότων σκοπούμενος αἰτιώτερον εἶναι νομίσειεν ἢ τὸν ἐκ Ποσειδῶνος μὲν γεγονότα, πρὸς δὲ μητρὸς ἀπὸ Διὸς ὄντα, μεγίστην δὲ δύναμιν τῶν καθ' αὑτὸν κτησάμενον καὶ παρὰ τοῖς Ἕλλησιν ὀνομαστότατον γεγενημένον; οὐ γὰρ δή που τοὺς ἁπάντων τούτων ἀπολελειμμένους προσήκει μᾶλλον c ἢ 'κεῖνον τηλικούτων ἀγαθῶν εὑρετὰς γενέσθαι. (36) Καὶ μὴν δὴ καὶ τοῖς χρόνοις ῥᾳδίως ἄν τις τοὺς λόγους τοὺς τῶν λοιδορούντων ἐκεῖνον ψευδεῖς ὄντας ἐπιδείξειεν. Οἱ γὰρ αὐτοὶ τῆς τε Βουσίριδος ξενοφονίας κατηγοροῦσι, καί φασιν αὐτὸν ὑφ' Ἡρακλέους ἀποθανεῖν· (37) ὁμολογεῖται δὲ παρὰ πάντων τῶν λογοποιῶν Περσέως τοῦ Διὸς καὶ Δανάης Ἡρακλέα μὲν εἶναι τέτταρσι γενεαῖς νεώτερον, Βούσιριν δὲ πλέον ἢ διακοσίοις ἔτεσι πρε- d σβύτερον. Καίτοι τὸν βουλόμενον ἀπολύσασθαι τὴν ὑπὲρ ἐκείνου διαβολὴν πῶς οὐκ ἄτοπόν ἐστι ταύτην τὴν πίστιν παραλιπεῖν, τὴν οὕτως ἐναργῆ καὶ τηλικαύτην δύναμιν ἔχουσαν;

38. Ἀλλὰ γὰρ οὐδέν σοι τῆς ἀληθείας ἐμέλησεν, ἀλλὰ ταῖς τῶν ποιητῶν βλασφημίαις ἐπηκολούθησας, οἳ δεινότερα μὲν πεποιηκότας καὶ πεπονθότας ἀποφαίνουσι τοὺς ἐκ τῶν ἀθανάτων γεγονότας ἢ τοὺς ἐκ τῶν ἀνθρώπων τῶν ἀνοσιωτάτων, τοιούτους δὲ λόγους περὶ e αὐτῶν τῶν θεῶν εἰρήκασιν, οἵους οὐδεὶς ἂν περὶ τῶν ἐχθρῶν εἰπεῖν τολμήσειεν· οὐ γὰρ μόνον κλοπὰς καὶ μοιχείας καὶ παρ' ἀνθρώποις θητείας αὐτοῖς ὠνείδισαν, 229 ἀλλὰ καὶ παίδων βρώσεις καὶ πατέρων ἐκτομὰς καὶ a μητέρων δεσμοὺς καὶ πολλὰς ἄλλας ἀνομίας κατ' αὐτῶν ἐλογοποίησαν. (39) Ὑπὲρ ὧν τὴν μὲν ἀξίαν δίκην οὐκ ἔδοσαν, οὐ μὴν ἀτιμώρητοί γε διέφυγον, ἀλλ' οἱ μὲν αὐτῶν ἀλῆται καὶ τῶν καθ' ἡμέραν ἐνδεεῖς κατέστησαν, οἱ δ' ἐτυφλώθησαν, ἄλλος δὲ φεύγων τὴν πατρίδα καὶ τοῖς οἰκειοτάτοις πολεμῶν ἅπαντα τὸν χρόνον διετέλεσεν, Ὀρφεὺς δέ, ὁ μάλιστα τούτων τῶν λόγων ἁψάμενος, διασπασθεὶς τὸν βίον ἐτελεύτησεν· (40) ὥστ', b ἢν σωφρονῶμεν, οὐ μιμησόμεθα τοὺς λόγους τοὺς ἐκείνων, οὐδὲ περὶ μὲν τῆς πρὸς ἀλλήλους κακηγορίας νομοθετήσομεν, τῆς δ' εἰς τοὺς θεοὺς παρρησίας ὀλιγωρήσομεν, ἀλλὰ φυλαξόμεθα καὶ νομιοῦμεν ὁμοίως ἀσεβεῖν τούς τε λέγοντας τὰ τοιαῦτα καὶ τοὺς πιστεύοντας αὐτοῖς.

41. Ἐγὼ μὲν οὖν οὐχ ὅπως τοὺς θεούς, ἀλλ' οὐδὲ τοὺς ἐξ ἐκείνων γεγονότας οὐδεμιᾶς ἡγοῦμαι κακίας μετασχεῖν, ἀλλ' αὐτούς τε πάσας ἔχοντας τὰς ἀρετὰς φῦναι, c καὶ τοῖς ἄλλοις τῶν καλλίστων ἐπιτηδευμάτων ἡγεμόνας καὶ διδασκάλους γεγενῆσθαι. Καὶ γὰρ ἄλογον, εἰ τῆς μὲν ἡμετέρας εὐπαιδίας εἰς τοὺς θεοὺς τὴν αἰτίαν ἀναφέρομεν, τῆς δὲ σφετέρας αὐτῶν μηδὲν αὐτοὺς φροντίζειν νομίζοιμεν. (42) Ἀλλ' εἰ μὲν ἡμῶν τις τῆς τῶν ἀνθρώπων φύσεως κατασταίη κύριος, οὐδ' ἂν τοὺς οἰκέτας ἐάσειεν εἶναι πονηρούς· ἐκείνων δὲ καταγιγνώσκομεν

nimis audacem esse, qui notam omnibus veritatem extorquere studerem. (35) Nunc quum res in medio posita et conjectura niti necesse sit quæ de ea dicantur, quemnam aliquis institutorum et legum quæ apud Ægyptios sunt, si verisimilitudo spectetur, auctorem potius esse credat quam eum qui sit et Neptuno genitus et maternum genus ad Jovem referat, et maxima potentia præditus et apud Græcos nominatissimus fuerit? nec enim consentaneum est his rebus inferiores aliquos potius quam illum tanta bona invenisse. (36) Quin etiam ipsa ratione temporum conviciatorum verba mendacii facile convincuntur. Nam iidem sunt qui Busiridem et cæsorum hospitum accusent et ab Hercule interfectum esse dicant. (37) Constat autem inter omnes historicos Perseo Jovis et Danaæ filio quattuor ætatibus Herculem esse juniorem, Busiridem vero plus quam ducentis annis seniorem. At vero quid absurdius te, quum factas illi calumnias refutare institueres, argumentum hoc tam evidens et tam firmum prætermisisse?

38. Verum tu veritatis nulla ratione habita poetarum maledicta secutus es, qui ex diis immortalibus genitos atrociora tum perpetrasse tum perpessos esse asserunt, quam filios hominum nefariorum, talesque fabulas de ipsis diis commenti sunt, quales nemo in suos inimicos dicere audeat. Nec enim furta solum et adulteria et apud homines servitutes eis exprobrarunt, sed et liberorum devorationes et patrum exsectiones et matrum vincula et multa alia tetra facinora de illis confinxerunt. (39) Quorum nondum illi quidem meritas pœnas dederunt, non tamen omne supplicium effugerunt : nam alii errones et mendici fuerunt; alii cæcati sunt; alius pulsus patria bellum perpetuum contra domesticos suos gessit; Orpheus autem, harum fabularum præcipuus auctor, in frusta discerptus interiit. (40) Quare, si sapimus, illorum deliramenta non imitabimur, neque quum leges tulerimus, ne alter alteri maledicat, committemus ut omnis licentia quidvis de diis effutiendi detur, sed cavebimus potius, et tam eos qui talia dicunt, quam qui credunt, æqua impietate obstrictos esse putabimus.

41. Ego vero non deos tantum, sed illorum filios etiam nullo scelere teneri puto, sed et ipsos natura omnes virtutes insitas habere, et aliis ad honestissima et præclarissima quæque studia duces et magistros exstitisse. Absurdum enim est, quum nostræ sobolis prosperitatem diis acceptam referamus, eos existimare suam ipsorum nihil curare. (42) Quodsi cui nostrûm potestas naturæ humanæ moderandæ daretur, quis est qui famulos suos improbos esse pateretur?

ὡς καὶ τοὺς ἐξ αὐτῶν γεγονότας περιεῖδον οὕτως ἀσεβεῖς d καὶ παρανόμους ὄντας. Καὶ σὺ μὲν οἴει καὶ τοὺς μηδὲν προσήκοντας, ἥν σοι πλησιάσωσι, βελτίους ποιήσειν, τοὺς δὲ θεοὺς οὐδεμίαν ἡγεῖ τῆς τῶν παίδων ἀρετῆς ἔχειν ἐπιμέλειαν. (43) Καίτοι κατὰ τὸν σὸν λόγον δυοῖν τοῖς αἰσχίστοιν οὐ διαμαρτάνουσιν· εἰ μὲν γὰρ μηδὲν δέονται χρηστοὺς αὐτοὺς εἶναι, χείρους εἰσὶ τῶν ἀνθρώπων τὴν διάνοιαν, εἰ δὲ βούλονται μέν, ἀποροῦσι e δ' ὅπως ποιήσουσιν, ἐλάττω τῶν σοφιστῶν τὴν δύναμιν ἔχουσιν.

44. Πολλῶν δ' ἐνόντων εἰπεῖν ἐξ ὧν ἄν τις καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν μηκύνειεν, οὐχ ἡγοῦμαι δεῖν μακρολογεῖν· οὐ γὰρ ἐπίδειξιν τοῖς ἄλλοις ποιού-230μενος, ἀλλ' ὑποδεῖξαί σοι βουλόμενος ὡς χρὴ τούτων a ἑκάτερον ποιεῖν, διείλεγμαι περὶ αὐτῶν, ἐπεὶ τόν γε λόγον ὃν συνέγραψας οὐκ ἀπολογίαν ὑπὲρ Βουσίριδος, ἀλλ' ὁμολογίαν τῶν ἐπικαλουμένων δικαίως ἄν τις εἶναι νομίσειεν. (45) Οὐ γὰρ ἀπολύεις αὐτὸν τῶν αἰτιῶν, ἀλλ' ἀποφαίνεις ὡς καὶ τῶν ἄλλων τινὲς ταὐτὰ πεποιήκασι, ῥᾳθυμοτάτην τοῖς ἁμαρτάνουσιν εὑρίσκων καταφυγήν. Εἰ γὰρ τῶν μὲν ἀδικημάτων μὴ ῥᾴδιον b εὑρεῖν ὃ μήπω τυγχάνει γεγενημένον, τοὺς δ' ἐφ' ἑκάστοις αὐτῶν ἁλισκομένους μηδὲν ἡγοίμεθα δεινὸν ποιεῖν, ὅταν ἕτεροι ταὐτὰ φαίνωνται διαπεπραγμένοι, πῶς οὐκ ἂν καὶ τὰς ἀπολογίας ἅπασι ῥᾳδίας ποιήσαιμεν, καὶ τοῖς βουλομένοις εἶναι πονηροῖς πολλὴν ἐξουσίαν παρασκευάσαιμεν; (46) Μάλιστα δ' ἂν κατίδοις τὴν εὐήθειαν τῶν εἰρημένων ἐπὶ σαυτοῦ θεωρήσας. Ἐνθυμήθητι γάρ· εἰ μεγάλων καὶ δεινῶν αἰτιῶν περὶ σὲ c γενομένων τοῦτόν τις τὸν τρόπον σοι συνείποι, πῶς ἂν διατεθείης; ἐγὼ μὲν γὰρ οἶδ' ὅτι μᾶλλον ἂν αὐτὸν μισήσειας ἢ τοὺς κατηγοροῦντας. Καίτοι πῶς οὐκ αἰσχρὸν τοιαύτας ὑπὲρ τῶν ἄλλων ποιεῖσθαι τὰς ἀπολογίας, ἐφ' αἷς ὑπὲρ σαυτοῦ λεγομέναις μάλιστ' ἂν ὀργισθείης;

47. Σκέψαι δὲ κἀκεῖνο, καὶ δίελθε πρὸς αὑτόν. Εἴ τις τῶν νῦν σοι συνόντων ἐπαρθείη ποιεῖν ἃ σὺ τυγχάνεις εὐλογῶν, πῶς οὐκ ἂν ἀθλιώτατος εἴη καὶ τῶν ὄντων καὶ τῶν πώποτε γεγενημένων; Ἆρ' οὖν χρὴ d τοιούτους λόγους γράφειν, οἷς τοῦτο προσέσται μέγιστον ἀγαθόν, ἢν μηδένα πεῖσαι τῶν ἀκουσάντων δυνηθῶσιν;

48. Ἀλλὰ γὰρ ἴσως ἂν εἴποις ὡς οὐδὲ σὲ τοῦτο παρέλαθεν, ἀλλ' ἐβουλήθης τοῖς φιλοσόφοις παράδειγμα καταλιπεῖν ὡς χρὴ περὶ τῶν αἰσχρῶν αἰτιῶν καὶ δυσχερῶν πραγμάτων ποιεῖσθαι τὰς ἀπολογίας. Ἀλλ' εἰ καὶ πρότερον ἠγνόεις, οἶμαί σοι νῦν γεγενῆσθαι φανερὸν ὅτι e πολὺ θᾶττον ἄν τις σωθείη μηδὲν φθεγξάμενος ἢ τοῦτον τὸν τρόπον ἀπολογησάμενος. (49) Καὶ μὲν δὴ καὶ τοῦτο δῆλον, ὅτι τῆς φιλοσοφίας ἐπικήρως διακειμένης καὶ φθονουμένης, διὰ τοὺς τοιούτους τῶν λόγων ἔτι μᾶλλον αὐτὴν μισήσουσιν.

231 Ἢν οὖν ἐμοὶ πείθῃ, μάλιστα μὲν οὐ ποιήσει τοῦ λοιποῦ πονηρὰς ὑποθέσεις, εἰ δὲ μή, τοιαῦτα ζητήσεις

et illos arbitramur pati ex sese genitos tanta esse impietate et improbitate! Tu quidem te putas etiam tibi prorsus alienos, si te magistro utantur, meliores esse redditurum; deos vero nullam prorsus existimas curam habere virtutis suorum liberûm. (43) At ista ratione a duobus turpissimis criminibus non absunt. Nam si bonos eos ne esse quidem volunt, deteriore sunt quam homines ingenio: sin, quum velint, qua ratione id efficiant, non habent, sophistis sunt imbecilliores.

44. Quum autem multa in re insint, per quæ et laudatio et defensio dilatari possit, non tamen pluribus verbis opus esse censeo. Nec enim apud alios ostentandi mei, sed erudiendi tui causa, utque ostenderem quomodo horum utrumque fieri deberet, hæc disserui. Nam oratio quidem a te conscripta non defensio Busiridis, sed criminum confessio recte existimari potest. (45) Nec enim vacare eum culpa ostendis, sed alios nonnullos eadem illa fecisse declaras, facillimo delinquentibus refugio excogitato. Quum enim non facile sit ullum reperire scelus, quod nondum sit perpetratum, si facinorum convictos nihil grave admisisse putabimus, modo alios eadem fecisse constet, nonne omnibus expeditas defensiones faciemus et male cogitantibus omnem licentiam concedemus? (46) Optime autem perspicies, quam stulte ista dicta sint, si ad te ipsum omnia retuleris. Illud enim cogita: si de magnis et nefariis criminibus accusatus ad istum modum ab aliquo defenderere, quid animi tibi fore censes? Equidem enim scio te illi multo infensiorem futurum, quam ipsis accusatoribus. An vero turpe non est alios ita defendere, quemadmodum te defendi iniquissimo animo ferres?

47. Illud quoque considera et apud animum tuum cogita: si quis tuorum familiarium induci se pateretur ad ea facienda quæ tu laudas, an non miserrimus esset omnium et qui nunc sunt et qui unquam fuerunt? Scribendæne sunt ejusmodi orationes, quarum id summum bonum sit, si nemini auditorum persuadere possint?

48. Fortassis autem dices nec te id fefellisse, sed exemplum studiosis relinquere voluisse, quomodo fœda crimina et causæ difficiles defendendæ essent. Verum si prius ignorabas, nunc saltem te intellexisse arbitror multo facilius aliquem absolutum iri, si ne os quidem aperuerit, quam si isto modo suam causam egerit. (49) Jam quum studia literarum adeo reprehensioni pateant et in odio sint: istius generis orationibus majorem etiam in illa invidiam concitatum iri constat.

Itaque si mihi obtemperare volueris, aut in posterum (idque potissimum fuerit) nulla improba argumenta tracta-

λέγειν, ἐξ ὧν μήτ' αὐτὸς χείρων εἶναι δόξεις μήτε τοὺς μιμουμένους λυμανεῖ μήτε τὴν περὶ τοὺς λόγους παίδευσιν διαβαλεῖς.

50. Καὶ μὴ θαυμάσῃς εἰ νεώτερος ὢν καὶ μηδέν σοι προσήκων οὕτω προχείρως ἐπιχειρῶ σε νουθετεῖν· ἡγοῦμαι γὰρ οὐ τῶν πρεσβυτάτων οὐδὲ τῶν οἰκειοτάτων, ἀλλὰ τῶν πλεῖστ' εἰδότων καὶ βουλομένων ὠφελεῖν ἔργον εἶναι περὶ τῶν τοιούτων συμβουλεύειν.

bis, aut operam certe dabis, ut ea dicas, per quæ nec tuam existimationem imminuas, nec imitatores tui corrumpas, nec eloquentiæ disciplinæ crimen confles.

50. Neque vero mirari debes me et natu minorem, nec ulla necessitudine tibi devinctum, monere te adeo alacriter instituisse. Nam hujusmodi de rebus dare consilia neque natu maximorum, neque conjunctissimorum, sed eorum esse munus existimo, qui prodesse plurimum et volunt et possunt.

12.

ΠΑΝΑΘΗΝΑΙΚΟΣ.

232 Νεώτερος μὲν ὢν προῃρούμην γράφειν τῶν λόγων οὐ τοὺς μυθώδεις οὐδὲ τοὺς τερατείας καὶ ψευδολογίας μεστούς, οἷς οἱ πολλοὶ μᾶλλον χαίρουσιν ἢ τοῖς περὶ τῆς αὑτῶν σωτηρίας λεγομένοις, οὐδὲ τοὺς τὰς παλαιὰς πράξεις καὶ τοὺς πολέμους τοὺς Ἑλληνικοὺς ἐξηγουμένους, καίπερ εἰδὼς δικαίως αὐτοὺς ἐπαινουμένους, οὐδ'
233 αὖ τοὺς ἁπλῶς δοκοῦντας εἰρῆσθαι καὶ μηδεμιᾶς κομ- a ψότητος μετέχοντας, οὓς οἱ δεινοὶ περὶ τοὺς ἀγῶνας παραινοῦσι τοῖς νεωτέροις μελετᾶν, εἴπερ βούλονται πλέον ἔχειν τῶν ἀντιδίκων, (2) ἀλλὰ πάντας τούτους ἐάσας περὶ ἐκείνους ἐπραγματευόμην τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει καὶ τοῖς ἄλλοις Ἕλλησι συμβουλεύοντας, καὶ πολλῶν μὲν ἐνθυμημάτων γέμοντας, οὐκ ὀλίγων δ' ἀντιθέσεων καὶ παρισώσεων καὶ b τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν καὶ τοὺς ἀκούοντας ἐπισημαίνεσθαι καὶ θορυβεῖν ἀναγκαζουσῶν· νῦν δ' οὐδ' ὁπωσοῦν τοὺς τοιούτους. (3) Ἡγοῦμαι γὰρ οὐχ ἁρμόττειν οὔτε τοῖς ἔτεσι τοῖς ἐνενήκοντα καὶ τέτταρσιν, ἃ γὼ τυγχάνω γεγονώς, οὔθ' ὅλως τοῖς ἤδη πολιὰς ἔχουσιν, ἐκεῖνον τὸν τρόπον ἔτι λέγειν, ἀλλ' ὡς ἅπαντες μὲν ἂν ἐλπίσειαν εἰ βουληθεῖεν, οὐδεὶς c δ' ἂν δυνηθείη ῥᾳδίως πλὴν τῶν πονεῖν ἐθελόντων καὶ σφόδρα προσεχόντων τὸν νοῦν. (4) Τούτου δ' ἕνεκεν ταῦτα προεῖπον, ἵν' ἤν τισιν ὁ μέλλων δειχθήσεσθαι λόγος μαλακώτερος ὢν φαίνηται τῶν πρότερον διαδεδομένων, μὴ παραβάλλωσι πρὸς τὴν ἐκείνων ποικιλίαν, ἀλλὰ πρὸς τὴν ὑπόθεσιν αὐτὸν κρίνωσι τὴν ἐν τῷ παρόντι δεδοκιμασμένην.

5. Διαλέξομαι δὲ περί τε τῶν τῇ πόλει πεπραγμένων καὶ περὶ τῆς τῶν προγόνων ἀρετῆς, οὐκ ἀπὸ τούτων d ἀρξάμενος, ἀλλ' ἀπὸ τῶν ἐμοὶ συμβεβηκότων· ἐντεῦθεν γὰρ οἶμαι μᾶλλον κατεπείγειν. Πειρώμενος γὰρ ἀναμαρτήτως ζῆν καὶ τοῖς ἄλλοις ἀλύπως, οὐδένα διαλέλοιπα χρόνον ὑπὸ μὲν τῶν σοφιστῶν τῶν ἀδοκίμων καὶ πονηρῶν διαβαλλόμενος, ὑπ' ἄλλων δέ τινων οὐχ οἷός εἰμι γιγνωσκόμενος, ἀλλὰ τοιοῦτος ὑπολαμβανόμενος οἷον ἂν παρ' ἑτέρων ἀκούσωσιν. (6) Βούλομαι οὖν προδιαλεχθῆναι περί τ' ἐμαυτοῦ καὶ περὶ τῶν οὕτω e πρός με διακειμένων, ἵν' ἤν πως οἷός τε γένωμαι, τοὺς μὲν παύσω βλασφημοῦντας, τοὺς δ' εἰδέναι ποιήσω περὶ ἃ τυγχάνω διατρίβων· ἢν γὰρ ταῦτα τῷ λόγῳ δυνηθῶ διοικῆσαι κατὰ τρόπον, ἐλπίζω τὸν ἐπίλοιπον

12.

PANATHENAICUS.

Quum junior essem, orationes scribere institui non fabulosas neque portenti mendaciique plenas, quibus vulgus magis gaudet quam ad salutem suam pertinentibus, neque eas, in quibus res olim gestæ et bella Græcorum explicantur, quamvis scirem eas jure laudari, nec eas etiam, quæ simplices habentur et omni ostentatione carent, quas causidici adolescentibus meditandas esse censent, si quidem vincere studeant adversarios : (2) sed his omnibus omissis illas tractabam, quæ quid et reipublicæ nostræ et Græcis omnibus expediret, ostenderent, et quum enthymematis multis refertæ essent, tum non pauca contraposita et comparia continerent ceterasque figuras quæ in eloquentiæ studio effulgent, atque auditores gestu et voce applaudere cogerent. Nunc vero longe alia mea ratio est. (3) Nec enim annis nonaginta quattuor, quos ego natus sum, nec omnino iis qui canos jam habent, convenire arbitror ut eo modo adhuc dicant, sed ita potius, quemadmodum omnes sperent si velint, nemo facile possit, nisi et tolerare labores et vehementer ingenium intendere voluerit. (4) Hæc propterea sum præfatus, si quibus hæc oratio, quæ nunc recitabitur, mollior prius editis videbitur, ne eam cum illarum varietate conferant, sed ea ratione, quam probari nobis in præsentia ostendimus, de ea judicent.

5. Disseram autem de rebus nostræ urbis gestis et de virtute majorum, non ab illis ducto exordio, sed ab his quæ ipsi mihi evenerunt. Inde enim potius ut incipiam rem postulare censeo. Ego quum honeste ac sine cujusquam molestia vivere studuerim, ab obscuris et improbis quibusdam sophistis nullo non tempore sum calumniis exagitatus, unde, quum alii me non satis pernossent, talem judicarunt, qualem esse ab aliis audierant. (6) Primum igitur et de me ipso dicam et de illis, qui sic de me sentiunt, ut, si forte id consequi liceat, et illorum maledicta reprimam, et his ostendam, in quibus versari studiis consueverim. Quæ si oratione consentanea explicare potuero, spes

231 χρόνον αὐτός τ' ἀλύπως διάξειν, καὶ τῷ λόγῳ τῷ a
μέλλοντι ῥηθήσεσθαι τοὺς παρόντας μᾶλλον προσέξειν
τὸν νοῦν.

7. Οὐχ ὀκνήσω δὲ κατειπεῖν οὔτε τὴν νῦν ἐγγιγνο-
μένην ἐν τῇ διανοίᾳ μοι ταραχήν, οὔτε τὴν ἀτοπίαν ὧν
ἐν τῷ παρόντι τυγχάνω γιγνώσκων, οὔτ' εἴ τι πράττω
τῶν δεόντων. Ἐγὼ γὰρ μετεσχηκὼς τῶν μεγίστων
ἀγαθῶν, ὧν ἅπαντες ἂν εὔξαιντο μεταλαβεῖν, πρῶτον
μὲν τῆς περὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ὑγιείας οὐχ ὡς b
ἔτυχον, ἀλλ' ἐναμίλλως τοῖς μάλιστα περὶ ἑκάτερον
τούτων εὐτυχηκόσιν, ἔπειτα τῆς περὶ τὸν βίον εὐπορίας,
ὥστε μηδενὸς πώποτ' ἀπορῆσαι τῶν μετρίων μηδ' ὧν
ἄνθρωπος ἂν νοῦν ἔχων ἐπιθυμήσειεν, (8) ἔτι τοῦ μὴ
τῶν καταβεβλημένων εἷς εἶναι μηδὲ τῶν κατημελημέ-
νων, ἀλλ' ἐκείνων περὶ ὧν οἱ χαριέστατοι τῶν Ἑλλήνων
καὶ μνησθεῖεν ἂν καὶ διαλεχθεῖεν ὡς σπουδαίων ὄντων, c
— τούτων ἁπάντων μοι συμβεβηκότων τῶν μὲν ὑπερ-
βαλλόντως, τῶν δ' ἐξαρκούντως, οὐκ ἀγαπῶ ζῶν ἐπὶ
τούτοις, ἀλλ' οὕτω τὸ γῆράς ἐστι δυσάρεστον καὶ
μικρολόγον καὶ μεμψίμοιρον, ὥστε πολλάκις ἤδη τήν
τε φύσιν τὴν ἐμαυτοῦ κατεμεμψάμην, ἣς οὐδεὶς ἄλλος
καταπεφρόνηκε, καὶ τὴν τύχην ὠδυράμην, (9) ταύτῃ
μὲν οὐδὲν ἔχων ἐπικαλεῖν ἄλλο πλὴν ὅτι περὶ τὴν φι-
λοσοφίαν ἣν προειλόμην ἀτυχίαι τινὲς καὶ συκοφαντίαι d
γεγόνασι, τὴν δὲ φύσιν εἰδὼς πρὸς μὲν τὰς πράξεις ἀρ-
ρωστοτέραν καὶ μαλακωτέραν οὖσαν τοῦ δέοντος, πρὸς
δὲ τοὺς λόγους οὔτε τελείαν οὔτε πανταχῇ χρησίμην,
ἀλλὰ δοξάσαι μὲν περὶ ἑκάστου τὴν ἀλήθειαν μᾶλλον
δυναμένην τῶν εἰδέναι φασκόντων, εἰπεῖν δὲ περὶ τῶν
αὐτῶν τούτων ἐν συλλόγῳ πολλῶν ἀνθρώπων ἁπασῶν
ὡς ἔπος εἰπεῖν ἀπολελειμμένην. (10) Οὕτω γὰρ ἐνδεὴς e
ἀμφοτέρων ἐγενόμην τῶν μεγίστην δύναμιν ἐχόντων
παρ' ἡμῖν, φωνῆς ἱκανῆς καὶ τόλμης, ὡς οὐκ οἶδ' εἴ τις
ἄλλος τῶν πολιτῶν· ὧν οἱ μὴ τυχόντες ἀτιμότεροι πε-
ριέρχονται πρὸς τὸ δοκεῖν ἄξιοί τινος εἶναι τῶν ὀφειλόν-
235 των τῷ δημοσίῳ· τοῖς μὲν γὰρ ἐκτίσειν τὸ καταγνω- a
σθὲν ἐλπίδες ὕπεισιν, οἱ δ' οὐδέποτ' ἂν τὴν φύσιν με-
ταβάλοιεν. (11) Οὐ μὴν ἐπὶ τούτοις ἀθυμήσας περιεῖδον
ἐμαυτὸν ἄδοξον οὐδ' ἀφανῆ παντάπασι γενόμενον, ἀλλ'
ἐπειδὴ τοῦ πολιτεύεσθαι διήμαρτον, ἐπὶ τὸ φιλοσοφεῖν
καὶ πονεῖν καὶ γράφειν ἃ διανοηθείην κατέφυγον, οὐ
περὶ μικρῶν τὴν προαίρεσιν ποιούμενος οὐδὲ περὶ τῶν
ἰδίων συμβολαίων οὐδὲ περὶ ὧν ἄλλοι τινὲς ληροῦσιν,
ἀλλὰ περὶ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν καὶ πολιτικῶν b
πραγμάτων, δι' ἃ προσήκειν ᾤμην μοι τοσούτῳ μᾶλ-
λον τιμᾶσθαι τῶν ἐπὶ τὸ βῆμα παριόντων, ὅσῳ περ
περὶ μειζόνων καὶ καλλιόνων ἢ 'κεῖνοι τοὺς λόγους
ἐποιούμην. (12) Ὧν οὐδὲν ἡμῖν ἀποβέβηκεν. Καίτοι
πάντες ἴσασι τῶν μὲν ῥητόρων τοὺς πολλοὺς οὐχ ὑπὲρ
τῶν τῇ πόλει συμφερόντων, ἀλλ' ὑπὲρ ὧν αὐτοὶ λή-
ψεσθαι προσδοκῶσι, δημηγορεῖν τολμῶντας, ἐμὲ δὲ καὶ
τοὺς ἐμοὺς οὐ μόνον τῶν κοινῶν ἀπεχομένους μᾶλλον c
τῶν ἄλλων, ἀλλὰ καὶ τῶν ἰδίων εἰς τὰς τῆς πόλεως
χρείας ὑπὲρ τὴν δύναμιν τὴν ἡμετέραν αὐτῶν δαπανω-

mihi est et reliqui ævi sine molestia exigendi et hujus orationis cum attentione majore eorum qui adsunt absolvendæ.

7. Non autem eloqui verebor tum perturbationem in animo meo nunc exortam, tum absurditatem eorum quæ nunc percipio, neque disputabo an recte faciam. Ego enim maxima bona consecutus, quibus se præditos esse omnes optent, primum sanam mentem in sano corpore, nec ea mediocriter, sed ut cum illis certare possem, quorum in his rebus singularis felicitas esse putatur; deinde tantas rei familiaris copias, ut nulla unquam re mediocri, quamve homo prudens expetendam censeat, caruerim; (8) denique illud etiam, ne unus ex abjectis et contemptis essem, sed ex eorum numero, de quibus eruditissimi et honestissimi quique Græcorum, ut de viris bonis et doctis et sentiunt et loquuntur: quæ omnia quum mihi contigerint, alia excellenter, alia sufficienter, tamen mihi vitam jucundam non efficiunt; sed senectus ita morosa, ita pusilla, ita querula est, ut sæpe et ingenium meum mihi displicuerit, quod nemo alius contempsit, et fortunam meam sim miseratus, (9) quum nihil haberem aliud in quo hanc accusarem, nisi quod philosophiæ studium quædam calamitates et calumniæ interpellarunt, ingenium vero meum scirem et ad res gerendas infirmius ac mollius esse quam oporteat, et ad eloquentiam neque perfectum neque ab omni parte idoneum. Quod etsi cujusque rei veritatem conjectura melius indagare potest, quam ii qui scientiam profitentur; tamen si in conventu multorum hominum illis ipsis de rebus dicendum sit, omnium est, ut ingenue fatear, ineptissimum. (10) Nam quæ duæ res in civitate plurimum possunt, vocis magnitudo et audacia, eæ sic mihi desunt, ut haud scio an ulli civium: quibus facultatibus qui destituuntur, contemptiores apparent in publico, ut ullius esse pretii putentur, quam qui ærario pecuniam debent. His enim spes aliqua subest mulctæ dissolvendæ, illi naturam haud unquam mutaverint. (11) Non tamen propter hæc animo abjecto commisi, ut prorsus inglorius et in obscuro viverem, sed quum mihi capessendæ Reipublicæ facultas negata esset, ad sapientiæ vehemens studium et ad ea scribenda, quæ cogitando eruissem, confugi, neque minuta quædam aut privata negotia, neque ea de quibus nonnulli nugantur, tractanda suscepi, sed de statu Græciæ, de regiis et reipublicæ negotiis disserui, proptereaque me jure tanto honoratiorem futurum iis, qui suggestum conscenderent, speravi, quanto majoribus et pulchrioribus de rebus, quam illi, dicerem. (12) Verum nihil tale mihi contigit: quanquam nemo ignorat multos oratorum ea esse audacia, ut non reipublicæ utilitatem, sed quæstum et sordes suas spectent in concionibus habendis; me autem et meos non tantum a peculatu alieniores esse quam alios, sed et de nostra re familiari, ut consulamus civitatis necessitatibus, majores quam pro opibus nostris sumptus

μένους, (13) ἔτι δὲ τοὺς μὲν ἢ λοιδορουμένους ἐν ταῖς ἐκκλησίαις περὶ μεσεγγυώματος σφίσιν αὐτοῖς ἢ λυμαινομένους τοὺς συμμάχους ἢ τῶν ἄλλων ὃν ἂν τύχωσι συκοφαντοῦντας, ἐμὲ δὲ τῶν λόγων ἡγεμόνα τούτων γεγενημένον, τῶν παρακαλούντων τοὺς Ἕλληνας ἐπί τε τὴν ὁμόνοιαν τὴν πρὸς ἀλλήλους καὶ τὴν στρατείαν d τὴν ἐπὶ τοὺς βαρβάρους, (14) καὶ τῶν συμβουλευόντων ἀποικίαν ἐκπέμπειν κοινῇ πάντας ἡμᾶς ἐπὶ τοσαύτην χώραν καὶ τοιαύτην, περὶ ἧς ὅσοι περ ἀκηκόασιν ὁμολογοῦσιν ἡμᾶς τε, εἰ σωφρονήσαιμεν καὶ παυσαίμεθα τῆς πρὸς ἀλλήλους μανίας, ταχέως ἂν ἄνευ πόνων καὶ κινδύνων κατασχεῖν αὐτήν, ἐκείνην τε ῥᾳδίως ἂν ἅπαντας δέξασθαι τοὺς ἐνδεεῖς ἡμῶν ὄντας τῶν ἐπιτηδείων· ὧν πράξεις, εἰ πάντες συνελθόντες ζητοῖεν, οὐδέποτ' ἂν εὕροιεν καλλίους οὐδὲ μείζους οὐδὲ μᾶλλον e ἅπασιν ἡμῖν συμφερούσας.

15. Ἀλλ' ὅμως οὕτω πολὺ τῇ διανοίᾳ διεστώτων 236 ἡμῶν, καὶ τοσούτῳ σπουδαιοτέραν ἐμοῦ πεποιημένου a τὴν αἵρεσιν, οὐ δικαίως οἱ πολλοὶ περὶ ἡμῶν ὑπειλήφασιν, ἀλλὰ ταραχωδῶς καὶ παντάπασιν ἀλογίστως. Τῶν μὲν γὰρ ῥητόρων τὸν τρόπον ψέγοντες προστάτας αὐτοὺς τῆς πόλεως ποιοῦνται καὶ κυρίους ἁπάντων καθιστᾶσιν, ἐμοῦ δὲ τοὺς λόγους ἐπαινοῦντες αὐτῷ μοι φθονοῦσι, δι' οὐδὲν ἕτερον ἢ διὰ τούτους οὓς ἀποδεχόμενοι τυγχάνουσιν· οὕτως ἀτυχῶς φέρομαι παρ' αὐτοῖς.

16. Καὶ τί δεῖ θαυμάζειν τῶν πρὸς ἁπάσας τὰς ὑπερ- b οχὰς οὕτω διακεῖσθαι πεφυκότων, ὅπου καὶ τῶν οἰομένων διαφέρειν καὶ ζηλούντων ἐμὲ καὶ μιμεῖσθαι γλιχομένων τινὲς ἔτι δυσμενέστερον ἔχουσί μοι τῶν ἰδιωτῶν; ὧν τίνας ἂν τις εὕροι πονηροτέρους (εἰρήσεται γάρ, εἰ καί τισι δόξω νεώτερα καὶ βαρύτερα λέγειν τῆς ἡλικίας), οἵτινες οὔτε φράζειν οὐδὲν μέρος ἔχοντες τοῖς μαθηταῖς τῶν εἰρημένων ὑπ' ἐμοῦ, τοῖς τε λόγοις παραδείγμασι χρώμενοι τοῖς ἐμοῖς καὶ ζῶντες ἐντεῦθεν το- c σούτου δέουσι χάριν ἔχειν τούτων, ὥστ' οὐδ' ἀμελεῖν ἡμῶν ἐθέλουσιν, ἀλλ' ἀεί τι φλαῦρον περὶ ἐμοῦ λέγουσιν.

17. Ἕως μὲν οὖν τοὺς λόγους μου ἐλυμαίνοντο, παραναγιγνώσκοντες ὡς δυνατὸν κάκιστα τοῖς ἑαυτῶν καὶ διαιροῦντες οὐκ ὀρθῶς καὶ κατακνίζοντες καὶ πάντα τρόπον διαφθείροντες, οὐδὲν ἐφρόντιζον τῶν ἀπαγγελλομένων, d ἀλλὰ ῥαθύμως εἶχον· μικρὸν δὲ πρὸ τῶν Παναθηναίων τῶν μεγάλων ἠχθέσθην δι' αὐτούς. (18) Ἀπαντήσαντες γάρ τινές μοι τῶν ἐπιτηδείων ἔλεγον ὡς ἐν τῷ Λυκείῳ συγκαθεζόμενοι τρεῖς ἢ τέτταρες τῶν ἀγελαίων σοφιστῶν καὶ πάντα φασκόντων εἰδέναι καὶ ταχέως πανταχοῦ γιγνομένων διαλέγοιντο περί τε τῶν ἄλλων ποιητῶν καὶ τῆς Ἡσιόδου καὶ τῆς Ὁμήρου ποιήσεως, οὐδὲν μὲν παρ' αὐτῶν λέγοντες, τὰ δ' ἐκείνων ῥαψῳδοῦντες καὶ τῶν πρότερον ἄλλοις τισὶν εἰρημένων τὰ χαριέστατα e μνημονεύοντες· (19) ἀποδεξαμένων δὲ τῶν περιεστώτων τὴν διατριβὴν αὐτῶν ἕνα τὸν τολμηρότατον ἐπιχειρῆσαί με διαβάλλειν, λέγονθ' ὡς ἐγὼ πάντων κατα- 237 φρονῶ τῶν τοιούτων, καὶ τάς τε φιλοσοφίας τὰς τῶν a

facere; (13) præterea illos pro suggesto aut propter pecunias apud sequestrem depositas invicem convicia dicere, aut sociis esse molestos, aut sine discrimine quosvis calumniari; me vero earum orationum auctorem exstitisse, quæ Græcos tum ad concordiam inter ipsos, tum ad expeditionem contra barbaros suscipiendam exhortantur, (14) et suadent communiter ab omnibus colonias in talem et tantam regionem deducendas esse, quam, qui de ea audivere, fatentur et nos, si omissa ista insania resipuerimus, celeriter et sine laboribus atque periculis occupaturos et illam facile sedes et victum suppeditaturam omnibus nobis, qui rerum necessariarum penuria laboremus. His actionibus, si omnes in unum congregati diligentissime vestigarent, nunquam vel pulcriores vel majores vel magis nobis omnibus conducibiles invenirent.

15. Quamvis igitur inter meum et illorum animum tantum distet tantoque meum institutum sit honestius, non tamen æqua sunt populi de nobis judicia, sed perturbata et plane inconsiderata. Qui quum alios oratores, quorum mores vituperat, summæ reipublicæ præesse velit eisque parere non recuset, meas autem orationes laudet, ipsi mihi invidet non ob aliud, nisi ob eas quas probat. Adeo in nulla gratia sum apud vulgus hominum.

16. Quid vero mireris eos, qui ita nati sunt, ut nullam excellentiam ferre possint, cum illi etiam qui se præclaros esse putant meque et magni faciunt et imitari cupiunt, longe infensiores mihi sint indoctis? quibus quosnam improbiores invenias (dicam enim, tametsi audacius atque acerbius, quam pro ætate mea, dicere videbor), qui quum nullam artis rhetoricæ partem suis discipulis sine his quæ a me dicta sunt explicare queant, et exemplis mearum orationum utantur et inde victitent, tantum abest ut mihi gratiam habeant, ut me ne negligere quidem velint, sed semper obtrectare studeant.

17. Dum igitur meas orationes male tractarent et quam pessime fieri poterat, eas cum suis conferentes legerent et non recte distinguerent et divellerent, omnibus denique modis corrumperent: non curavi ea quæ mihi nunciabantur, sed æquo animo tuli. Paulum autem ante magna Panathenæa propter eos graviter commotus sum. (18) Quidam enim familiarium meorum obviam facti mihi dicebant tres aut quattuor gregarios sophistas, qui se omnia scire profitentur et celeriter quovis in loco sunt, in Lyceo considentes quum de aliis poetis, tum de Homeri et Hesiodi poesi disserere, nihil quidem suum afferentes, sed et horum carmina rhapsodorum more decantantes et elegantissima quæque dicta veterum referentes. (19) Quum autem corona circumstantium disputationem eorum approbasset, unum quendam inter eos audacissimum cœpisse me calumniari, quum diceret me ejus generis omnia contemnere et studia et

ἄλλων καὶ τὰς παιδείας ἁπάσας ἀναιρῶ, καί φημι πάντας ληρεῖν πλὴν τοὺς μετεσχηκότας τῆς ἐμῆς διατριβῆς· τούτων δὲ ῥηθέντων ἀηδῶς τινας τῶν παρόντων διατεθῆναι πρὸς ἡμᾶς. (20) Ὡς μὲν οὖν ἐλυπήθην καὶ συνεταράχθην ἀκούσας ἀποδέξασθαί τινας τοὺς λόγους τούτους, οὐκ ἂν δυναίμην εἰπεῖν· ᾤμην γὰρ οὕτως ἐπιφανὴς εἶναι τοῖς ἀλαζονευομένοις πολεμῶν καὶ περὶ ἐμαυτοῦ μετρίως διειλεγμένος, μᾶλλον δὲ ταπεινῶς, b ὥστε μηδέν' ἄν ποτε γενέσθαι πιστὸν τῶν λεγόντων ὡς ἐγὼ τοιαύταις ἀλαζονείαις ἐχρησάμην. (21) Ἀλλὰ γὰρ οὐκ ἀλόγως ὠδυράμην ἐν ἀρχῇ τὴν ἀτυχίαν τὴν παρακολουθοῦσάν μοι πάντα τὸν χρόνον ἐν τοῖς τοιούτοις· αὕτη γάρ ἐστιν αἰτία καὶ τῆς ψευδολογίας τῆς περί με γιγνομένης καὶ τῶν διαβολῶν καὶ τοῦ φθόνου καὶ τοῦ μὴ δύνασθαί με τυχεῖν τῆς δόξης ἧς ἄξιός εἰμι, μηδὲ τῆς ὁμολογουμένης, μηδ' ἣν ἔχουσί τινες τῶν πεπλησιακότων c μοι καὶ πανταχῇ τεθεωρηκότων ἡμᾶς. (22) Ταῦτα μὲν οὖν οὐχ οἷόντ' ἄλλως ἔχειν, ἀλλ' ἀνάγκη στέργειν τοῖς ἤδη συμβεβηκόσι· πολλῶν δέ μοι λόγων ἐφεστώτων, ἀπορῶ πότερον ἀντικατηγορῶ τῶν εἰθισμένων ἀεί τι ψεύδεσθαι περί μου καὶ λέγειν ἀνεπιτήδειον τολμώντων· ἀλλ' εἰ φανείην σπουδάζων καὶ πολλοὺς λόγους ποιούμενος περὶ ἀνθρώπων οὓς οὐδεὶς ὑπείληφεν ἀξίους d εἶναι λόγου, δικαίως ἂν μωρὸς εἶναι δοκοίην. (23) Ἀλλὰ τούτους ὑπεριδὼν ἀπολογῶμαι πρὸς τοὺς ἀδίκως μοι τῶν ἰδιωτῶν φθονοῦντας, καὶ πειρῶμαι διδάσκειν αὐτοὺς ὡς οὐ δικαίως οὐδὲ προσηκόντως περί μου ταύτην ἔχουσι τὴν γνώμην; Καὶ τίς οὐκ ἂν καταγνοίη μου πολλὴν ἄνοιαν, εἰ τοὺς μηδὲν δι' ἕτερον δυσκόλως πρός με διακειμένους ἢ διὰ τὸ δοκεῖν χαριέντως εἰρηκέναι περί τινων, τούτους οἰηθείην ὁμοίως διαλεχθεὶς ὥσπερ πρότερον παύσειν ἐπὶ τοῖς λεγομένοις λυπουμένους, ἀλλ' οὐ e μᾶλλον ἀλγήσειν, ἄλλως τε κἂν φανῶ μηδὲ νῦν πω τηλικοῦτος ὢν πεπαυμένος παραληρῶν; (24) Ἀλλὰ μὴν οὐδ' ἐκεῖνο ποιεῖν οὐδεὶς ἄν μοι συμβουλεύσειεν, 228 ἀμελήσαντι τούτων καὶ μεταξὺ καταβαλόντι περαίνειν τὸν a λόγον, ὃν προῄρημαι βουλόμενος ἐπιδεῖξαι τὴν πόλιν ἡμῶν πλειόνων ἀγαθῶν αἰτίαν γεγενημένην τοῖς Ἕλλησιν ἢ τὴν Λακεδαιμονίων· εἰ γὰρ τοῦτ' ἤδη ποιοίην μήτε τέλος ἐπιθεὶς τοῖς γεγραμμένοις μήτε συγκλείσας τὴν ἀρχὴν τῶν ῥηθήσεσθαι μελλόντων τῇ τελευτῇ τῶν ἤδη προειρημένων, ὅμοιος ἂν εἶναι δόξαιμι τοῖς εἰκῇ καὶ φορτικῶς καὶ χύδην ὅ τι ἂν ἐπέλθη λέγουσιν· ἃ φυλακτέον ἡμῖν ἐστιν. (25) Κράτιστον οὖν ἐξ ἁπάντων b τούτων, περὶ ὧν τὸ τελευταῖόν με διέβαλλον ἀποφηνάμενον ἃ δοκεῖ μοι, τότ' ἤδη λέγειν περὶ ὧν ἐξ ἀρχῆς διενοήθην· οἶμαι γάρ, ἣν ἐξενέγκω γράψας καὶ ποιήσω φανερὰν ἣν ἔχω γνώμην περί τε τῆς παιδείας καὶ τῶν ποιητῶν, παύσειν αὐτοὺς ψευδεῖς πλάττοντας αἰτίας καὶ λέγοντας ὅ τι ἂν τύχωσιν.

26. Τῆς μὲν οὖν παιδείας τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης τοσούτου δέω καταφρονεῖν, ὥστε καὶ τὴν ἐφ' ἡμῶν κατασταθεῖσαν ἐπαινῶ, λέγω δὲ τήν τε γεωμετρίαν καὶ τὴν ἀστρολογίαν καὶ τοὺς διαλόγους τοὺς

institutionem aliorum omnium evertere, qui omnes delirare dicam, præter eos qui a me sint instituti. Quæ quum dicta fuissent, quosdam ex iis qui adessent, a me fuisse alienatos. (20) Ego vero quantopere doluerim ac perturbatus sim, quum audivissem aliquos illa tanquam a me dicta comprobasse, dicendo consequi non possum. Putabam enim ita esse notum me cum gloriosis istis bellum gerere et de me ipso modice vel potius submisse dicere, ut nemini unquam talem insolentiam suis mihi verbis affingenti fides haberetur. (21) Verum initio non sine causa deploravi meam infelicitatem, quæ in his studiis perpetuo me secuta est. Hæc enim causa est et mendaciorum, quibus mea fama contaminatur, et calumniarum et invidiæ, eademque obstitit, ne de me pro merito meo existimetur, neque ita ut in confesso est, utque discipuli mei et familiares de me sentiunt, qui nos ab omni parte perspexerunt. (22) Verum hæc mutari non possunt, sed ea quæ præterierunt, boni consulere necesse est. Quum autem multa in mentem mihi veniant, incertus sum, an recriminari debeam illos, qui de me perpetuo mentiri solent, eaque in me conferre, a quibus sum prorsus alienus, non dubitant. Sed si rem seriam agere instituerem ac prolixam de iis hominibus haberem orationem, quorum nemo sibi ullam censet habendam esse rationem, jure stultus esse viderer. (23) Neglectis vero istis num me adversus imperitos, qui injuria mihi invideant, defendam, illosque docere coner, neque jure ipsos nec merito meo ita de me sentire? Quis enim non stultissimum me esse pronunciet, si eos qui non aliam ob rem infensi mihi sunt, nisi quod eleganter quædam dicere visus sum, placatiores mihi fore putem, si eodem modo, quo prius, disseruero, ac non acerbiores potius futuros, præsertim ubi viderint ne in extrema quidem senectute desinere me delirare? (24) Ac ne illud quidem faciendum mihi quisquam censuerit, ut his neglectis et abrupta disputatione hac'eam orationem absolvam, quam institui quaque ostendere decrevi nostram urbem plura in Græcos beneficia contulisse quam Lacedæmonios. Quod si jam facerem, neque his quæ scripsi finem imponerem, neque secuturæ orationis exordium conclusioni horum quæ jam diximus, commode apteque attexerem : similis eorum viderer, qui temere et importune et confuse, quicquid in buccam venit, effutiunt. Quæ cavenda nobis sunt. (25) Optimum igitur ex his omnibus fuerit, postquam de iis, propter quæ postremo me calumniati sunt, sententiam meam dixerim, ea explicare, quæ initio dicere constitui. Si enim scripto publicaro atque ostendero, quæ sit mea de institutione deque poetis sententia, desituros eos arbitror falsas causas comminisci et quidvis garrire.

26. Atque institutionem quidem puerorum, quæ nobis a majoribus tradita est, tantum abest ut contemnam, ut etiam illam, quæ a nobis constituta est, laudem, geometriam dico et astrologiam et dialecticam, qua arte adole-

ἐριστικοὺς καλουμένους, οἷς οἱ μὲν νεώτεροι μᾶλλον χαίρουσι τοῦ δέοντος, τῶν δὲ πρεσβυτέρων οὐδεὶς ἔστιν ὅστις ἂν ἀνεκτοὺς αὐτοὺς εἶναι φήσειεν. (27) Ἀλλ' ὅμως ἐγὼ τοῖς ὡρμημένοις ἐπὶ ταῦτα παρακελεύομαι πονεῖν καὶ προσέχειν τὸν νοῦν ἅπασι τούτοις, λέγων c ὡς εἰ καὶ μηδὲν ἄλλο δύναται τὰ μαθήματα ταῦτα ποιεῖν ἀγαθόν, ἀλλ' οὖν ἀποτρέπει γε τοὺς νεωτέρους πολλῶν ἄλλων ἁμαρτημάτων. Τοῖς μὲν οὖν τηλικούτοις οὐδέποτ' ἂν εὑρεθῆναι νομίζω διατριβὰς ὠφελιμωτέρας τούτων οὐδὲ μᾶλλον πρεπούσας· (28) τοῖς δὲ πρεσβυτέροις καὶ τοῖς εἰς ἄνδρας δεδοκιμασμένοις οὐκέτι φημὶ τὰς μελέτας ταύτας ἁρμόττειν. Ὁρῶ γὰρ ἐνίους τῶν ἐπὶ τοῖς μαθήμασι τούτοις οὕτως ἀπηκριβωμένων ὥστε καὶ d τοὺς ἄλλους διδάσκειν, οὔτ' εὐκαίρως ταῖς ἐπιστήμαις αἷς ἔχουσι χρωμένους, ἔν τε ταῖς ἄλλαις πραγματείαις ταῖς περὶ τὸν βίον ἀφρονεστέρους ὄντας τῶν μαθητῶν· ὀκνῶ γὰρ εἰπεῖν τῶν οἰκετῶν. (29) Τὴν αὐτὴν δὲ γνώμην ἔχω καὶ περὶ τῶν δημηγορεῖν δυναμένων καὶ τῶν περὶ τὴν γραφὴν τὴν τῶν λόγων εὐδοκιμούντων, ὅλως δὲ περὶ ἁπάντων τῶν περὶ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις διαφερόντων. Οἶδα γὰρ καὶ τού- e των τοὺς πολλοὺς οὔτε τὰ περὶ σφᾶς αὐτοὺς καλῶς διῳκηκότας οὔτ' ἐν ταῖς ἰδίαις συνουσίαις ἀνεκτοὺς ὄντας, τῆς τε δόξης τῆς τῶν συμπολιτευομένων ὀλιγωροῦντας, ἄλλων τε πολλῶν καὶ μεγάλων ἁμαρτημάτων γέμοντας·
239 ὥστ' οὐδὲ τούτους ἡγοῦμαι μετέχειν τῆς ἕξεως περὶ ἧς a ἐγὼ τυγχάνω διαλεγόμενος. (30) Τίνας οὖν καλῶ πεπαιδευμένους, ἐπειδὴ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις ἀποδοκιμάζω; Πρῶτον μὲν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι, καὶ τὴν δόξαν ἐπιτυχῆ τῶν καιρῶν ἔχοντας καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος· (31) ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι, καὶ τὰς μὲν τῶν ἄλ- b λων ἀηδίας καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας, σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας· ἔτι τοὺς τῶν μὲν ἡδονῶν ἀεὶ κρατοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους, ἀλλ' ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους καὶ τῆς φύσεως ἀξίως ἧς μετέχοντες τυγχάνομεν· (32) τέταρτον, ὅπερ μέγιστον, τοὺς μὴ διαφθειρομένους ὑπὸ τῶν εὐπραγιῶν μηδ' ἐξισταμένους αὑτῶν μηδ' ὑπερη- c φάνους γιγνομένους, ἀλλ' ἐμμένοντας τῇ τάξει τῇ τῶν εὖ φρονούντων, καὶ μὴ μᾶλλον χαίροντας τοῖς διὰ τύχην ὑπάρξασιν ἀγαθοῖς ἢ τοῖς διὰ τὴν αὑτῶν φύσιν καὶ φρόνησιν ἐξ ἀρχῆς γιγνομένοις. Τοὺς δὲ μὴ μόνον πρὸς ἓν τούτων ἀλλὰ καὶ πρὸς ἅπαντα ταῦτα τὴν ἕξιν τῆς ψυχῆς εὐάρμοστον ἔχοντας, τούτους φημὶ καὶ φρονίμους εἶναι καὶ τελέους ἄνδρας καὶ πάσας ἔχειν τὰς ἀρετάς. (33) Περὶ μὲν οὖν τῶν πεπαιδευμένων τυγχάνω ταῦτα d γιγνώσκων.

Περὶ δὲ τῆς Ὁμήρου καὶ τῆς Ἡσιόδου καὶ τῆς τῶν ἄλλων ποιήσεως ἐπιθυμῶ μὲν εἰπεῖν (οἶμαι γὰρ ἂν παῦσαι τοὺς ἐν τῷ Λυκείῳ ῥαψῳδοῦντας τἀκείνων καὶ

scentes magis quam æquum est, delectantur, senum autem nemo est qui eam ferendam esse putet. (27) Verumtamen ego moneo illos qui avide ista amplectuntur, ut laborent et ad ista omnia animum intendant. Dico enim disciplinas illas, ut nihil aliud afferant boni, dehortari tamen adolescentes et avertere a multis aliis delictis; nec ullas huic ætati inveniri posse utiliores exercitationes aut magis convenientes. (28) Verum natu majoribus et iis qui jam ad virilem ætatem pervenerunt, studia ista apta esse nego. Nonnullos enim video, qui disciplinas istas ita perfecte cognitas habeant, ut et alios docere queant, sua illa scientia nec tempestive uti et in aliis vitæ negotiis discipulis esse imprudentiores, nec enim audeo dicere servis. (29) Idem etiam sentio de iis qui conciones habere possunt et de his qui conscriptione orationum laudem invenerunt, denique de omnibus qui aliqua vel arte vel scientia vel facultate præcellunt. Novi enim etiam ex isto genere multos qui neque suas res probe gesserunt, neque in privatis congressibus tolerari possunt, et reliquorum civium judicia negligunt, et aliis multis et magnis peccatis constricti tenentur. Quare ne hos quidem existimo eo habitu esse præditos, de quo ego dissero. (30) Quos igitur eruditos voco, quando et artes et disciplinas et facultates improbo? Primum eos qui recte utuntur negotiis quotidie incidentibus, et occasiones modumque rerum prudenter animadvertunt, et plerumque id deligere possunt, quod utilissimum sit. (31) Deinde, qui ita ut decet et ut æquum est, omnes eos quovis tempore tractant, cum quibus aliquid rei habent, quique quum aliorum acerbitatem et importunitatem æquis animis et facile ferant, ipsi moribus facillimis sunt et quam moderatissimis in vitæ consuetudine. Præterea qui semper voluptatibus imperant, et rebus adversis non nimium franguntur, sed in iis et officii humani et naturæ virilis, qua nati sint, meminerunt. (32) Quarto, qui secundis rebus, quod maximum est, non corrumpuntur nec a semet ipsis discedunt nec animis efferuntur, sed moderationem prudentium virorum propriam retinent, nec magis fortunæ muneribus quam natura insitis ingenii et prudentiæ insignibus delectantur. Qui autem non ad horum singula, sed ad hæc universa simul animis bene compositis sunt, eos affirmo et prudentes esse et perfectos viros et omnibus virtutibus ornatos. (33) Ac de eruditis quæ statuam, hæc sunt.

Quod autem ad Homeri et Hesiodi ceterorumque poesim attinet, equidem aliquid dicere cupio (arbitror enim me effecturum ut isti in Lyceo versus illorum canere et de eis

ληροῦντας περὶ αὐτῶν), αἰσθάνομαι δ' ἐμαυτὸν ἔξω φερόμενον τῆς συμμετρίας τῆς συντεταγμένης τοῖς προοιμίοις. (34) Ἔστι δ' ἀνδρὸς νοῦν ἔχοντος μὴ τὴν εὐπορίαν ἀγαπᾶν, ἣν ἔχῃ τις περὶ τῶν αὐτῶν πλείω τῶν ἄλλων εἰπεῖν, ἀλλὰ τὴν εὐκαιρίαν διαφυλάττειν ὑπὲρ e ὧν ἂν ἀεὶ τυγχάνῃ διαλεγόμενος· ὅπερ ἐμοὶ ποιητέον ἐστίν. Περὶ μὲν οὖν τῶν ποιητῶν αὖθις ἐροῦμεν, ἢν μή με προανέλῃ τὸ γῆρας, ἢ περὶ σπουδαιοτέρων πραγμάτων ἔχω τι λέγειν ἢ τούτων.

240 35. Περὶ δὲ τῶν τῆς πόλεως εὐεργεσιῶν τῶν εἰς τοὺς a Ἕλληνας ἤδη ποιήσομαι τοὺς λόγους, οὐχ ὡς οὐ πλείους ἐπαίνους πεποιημένος περὶ αὐτῆς ἢ σύμπαντες οἱ περὶ τὴν ποίησιν καὶ τοὺς λόγους ὄντες· οὐ μὴν ὁμοίως καὶ νῦν. Τότε μὲν γὰρ ἐν λόγοις περὶ ἑτέρων πραγμάτων ἐμεμνήμην αὐτῆς, νῦν δὲ περὶ ταύτης τὴν ὑπόθεσιν ποιησάμενος. (36) Οὐκ ἀγνοῶ δ' ἡλίκος ὢν ὅσον ἔργον ἐνίσταμαι τὸ μέγεθος, ἀλλ' ἀκριβῶς εἰδὼς καὶ πολλάκις εἰρηκὼς ὅτι τὰ μὲν μικρὰ τῶν πραγμάτων ῥᾴδιον τοῖς b λόγοις αὐξῆσαι, τοῖς δ' ὑπερβάλλουσι τῶν ἔργων καὶ τῷ μεγέθει καὶ τῷ κάλλει χαλεπὸν ἐξισῶσαι τοὺς ἐπαίνους. (37) Ἀλλ' ὅμως οὐδὲν μᾶλλον ἀποστατέον αὐτῶν ἐστιν, ἀλλ' ἐπιτελεστέον, ἤν περ ἔτι ζῆν δυνηθῶμεν, ἄλλως τε καὶ πολλῶν με παροξυνόντων γράφειν αὐτόν, πρῶτον μὲν τῶν εἰθισμένων ἀσελγῶς κατηγορεῖν τῆς πόλεως ἡμῶν, ἔπειτα τῶν χαριέντως μὲν ἀπειροτέρως δὲ c καὶ καταδεέστερον ἐπαινούντων αὐτήν, (38) ἔτι δὲ τῶν ἑτέρων μᾶλλον εὐλογεῖν τολμώντων οὐκ ἀνθρωπίνως, ἀλλ' οὕτως ὥστε πολλοὺς ἀντιτάττεσθαι πρὸς αὐτούς, πάντων δὲ μάλιστα τῆς ἡλικίας τῆς παρούσης, ἣ τοὺς ἄλλους πέφυκεν ἀποτρέπειν· ἐλπίζω γάρ, ἢν μὲν κατορθώσω, μείζω λήψεσθαι δόξαν τῆς ὑπαρχούσης, ἢν δ' ἐνδεέστερον τύχω διαλεχθείς, πολλῆς συγγνώμης τεύξεσθαι παρὰ τῶν ἀκουόντων.

39. Ἃ μὲν οὖν ἐβουλήθην καὶ περὶ ἐμαυτοῦ καὶ περὶ d τῶν ἄλλων ὥσπερ χορὸς πρὸ τοῦ ἀγῶνος προαναβαλέσθαι ταῦτ' ἐστίν. Ἡγοῦμαι δὲ χρῆναι τοὺς βουλομένους ἐγκωμιάσαι τινὰ τῶν πόλεων ἀκριβῶς καὶ δικαίως μὴ μόνον περὶ αὐτῆς ποιεῖσθαι τοὺς λόγους ἧς προῃρημένοι τυγχάνουσιν, ἀλλ' ὥσπερ τὴν πορφύραν καὶ τὸν χρυσὸν θεωροῦμεν καὶ δοκιμάζομεν ἕτερα παραδεικνύοντες τῶν καὶ τὴν ὄψιν ὁμοίαν ἐχόντων καὶ τῆς e τιμῆς τῆς αὐτῆς ἀξιουμένων, (40) οὕτω καὶ ταῖς πόλεσι παριστάναι μὴ τὰς μικρὰς ταῖς μεγάλαις, μηδὲ τὰς πάντα τὸν χρόνον ὑφ' ἑτέραις οὔσας ταῖς ἄρχειν εἰθι-
241 σμέναις, μηδὲ τὰς σώζεσθαι δεομένας πρὸς τὰς σώζειν a δυναμένας, ἀλλὰ τὰς παραπλησίαν καὶ τὴν δύναμιν ἐχούσας καὶ περὶ τὰς αὐτὰς πράξεις γεγενημένας καὶ ταῖς ἐξουσίαις ὁμοίαις κεχρημένας· οὕτω γὰρ ἂν μάλιστα τῆς ἀληθείας τύχοιεν. (41) Ἣν δή τις ἡμᾶς τὸν τρόπον τοῦτον σκοπῆται καὶ παραβάλλῃ μὴ πρὸς τὴν τυχοῦσαν πόλιν, ἀλλὰ πρὸς τὴν Σπαρτιατῶν, ἣν οἱ μὲν πολλοὶ μετρίως ἐπαινοῦσιν, ἔνιοι δέ τινες ὥσπερ τῶν ἡμιθέων b ἐκεῖ πεπολιτευμένων μέμνηνται περὶ αὐτῶν, φανησόμεθα καὶ τῇ δυνάμει καὶ ταῖς πράξεσι καὶ ταῖς εὐεργεσίαις

nugari desinant); sed animadverto me eum modum impetu quodam prætervehi, qui exordiis est præfinitus. (34) Est autem viri prudentis non indulgere dicendi copiæ, si superare aliorum possit inopiam, sed conservare modum earum rerum, de quibus quovis tempore disserat: idque mihi faciendum est. De poetis igitur alias dicemus, nisi me senium prius abstulerit aut de rebus gravioribus, quam istæ sunt, dicendum duxerim.

35. Verba autem faciam de beneficiis in Græcos a nostra civitate collatis, non quin eam plus laudarim, quam omnes et poetæ et oratores, sed quia nunc idem aliter quam olim facere decrevi. Tum enim in orationibus, aliis de rebus institutis, mentionem ejus faciebam, hanc autem orationem de ea ipsa institui. (36) Neque vero ignoro, quam provecta ætate quam ingenti de re dicere aggrediar, sed quum et optime sciam et sæpe dixerim, res exiguas oratione facile posse amplificari, difficillimum autem esse facta excellenti magnitudine et pulchritudine laudando æquare; (37) tamen ab incepto desistendum non est, sed perficiendum quod suscepimus, si quidem vita suppetet, præsertim quum multa me ad hanc orationem scribendam incitent, atque illi quidem primum, qui nostram urbem petulanter accusare solent, deinde qui bono quidem studio, sed imperite nec pro dignitate eam prædicant; (38) præterea, qui magis illam quam ceteri prædicare non dubitant non humano more, sed sic, ut eis multi se opponant; omnium vero maxime hæc ætas, quæ alios dehortari solet. Spero enim, si mihi prospere successerit, gloriæ meæ aliquid accessurum; sin tenuius forte, quam oportuerit, dixero, me facile ab auditoribus veniam impetraturum.

39. Ac quæ tum de me ipso tum de aliis, ut musici antequam canere incipiant, quasi præludii causa, præfari volui, hæc sunt. Eorum autem qui urbem aliquam accurate ac pro merito laudare voluerint, officium esse puto, non ipsius tantum, de qua dicere instituerunt, facere mentionem, sed, quemadmodum purpuram atque aurum probamus aliis collata rebus, quæ et speciem eandem præ se ferunt et ejusdem esse pretii putantur, (40) sic urbibus etiam e regione collocandas esse, non parvas magnis, neque aliis perpetuo parere solitas iis quæ perpetuo imperare consueverunt, nec quæ aliorum ope indigent, iis quæ opem ferre possunt; sed eas quæ et consimili potentia et iisdem in negotiis versatæ sunt et parem potestatem habuerunt. Sic enim de eis verissime statuetur. (41) Si quis ergo nos hoc modo spectet et conferat non cum qualibet, sed cum Spartana civitate, quam plerique moderate sane laudant, nonnulli autem, tanquam illic semidei habitent, sic de ea meminerunt, eos et potentia et rebus gestis et beneficiis

ταῖς περὶ τοὺς Ἕλληνας πλέον ἀπολελοιπότες αὐτοὺς ἢ 'κεῖνοι τοὺς ἄλλους.

42. Τοὺς μὲν οὖν παλαιοὺς ἀγῶνας τοὺς ὑπὲρ τῶν Ἑλλήνων γεγενημένους ὕστερον ἐροῦμεν, νῦν δὲ ποιήσομαι περὶ ἐκείνων τοὺς λόγους ἀρξάμενος, ἐπειδὴ κατέσχον τὰς πόλεις τὰς Ἀχαιίδας καὶ πρὸς Ἀργείους καὶ [c] Μεσσηνίους διείλοντο τὴν χώραν· ἐντεῦθεν γὰρ προσήκει διαλέγεσθαι περὶ αὐτῶν. Οἱ μὲν τοίνυν ἡμέτεροι πρόγονοι φανήσονται τήν τε πρὸς τοὺς Ἕλληνας ὁμόνοιαν καὶ τὴν πρὸς τοὺς βαρβάρους ἔχθραν, ἣν παρέλαβον ἐκ τῶν Τρωικῶν, διαφυλάττοντες καὶ μένοντες ἐν τοῖς αὐτοῖς. (43) Καὶ πρῶτον μὲν τὰς Κυκλάδας νήσους, περὶ ἃς ἐγένοντο πολλαὶ πραγματεῖαι κατὰ τὴν Μίνω τοῦ Κρητὸς δυναστείαν, ταύτας τὸ τελευταῖον ὑπὸ Καρῶν κατεχομένας, ἐκβαλόντες ἐκείνους οὐκ ἐξιδιώσασθαι [d] τὰς χώρας ἐτόλμησαν, ἀλλὰ τοὺς μάλιστα βίου τῶν Ἑλλήνων δεομένους κατῴκισαν εἰς αὐτάς· (44) καὶ μετὰ ταῦτα πολλὰς πόλεις ἐφ' ἑκατέρας τῶν ἠπείρων καὶ μεγάλας ἔκτισαν, καὶ τοὺς μὲν βαρβάρους ἀνέστειλαν ἀπὸ τῆς θαλάττης, τοὺς δ' Ἕλληνας ἐδίδαξαν ὃν τρόπον διοικοῦντες τὰς αὑτῶν πατρίδας καὶ πρὸς οὓς πολεμοῦντες μεγάλην ἂν τὴν Ἑλλάδα ποιήσειαν. (45) Λακεδαιμόνιοι [e] δὲ περὶ τὸν αὐτὸν χρόνον τοσοῦτον ἀπέσχον τοῦ πράττειν τι τῶν αὐτῶν τοῖς ἡμετέροις καὶ τοῦ τοῖς μὲν βαρβάροις πολεμεῖν, τοὺς δ' Ἕλληνας εὐεργετεῖν, ὥστ' οὐδ' ἡσυχίαν ἄγειν ἠθέλησαν, ἀλλ' ἔχοντες πόλιν ἀλλοτρίαν καὶ χώραν οὐ μόνον ἱκανήν, ἀλλ' [242] ὅσην οὐδεμία πόλις τῶν Ἑλληνίδων, οὐκ ἔστερξαν ἐπὶ [a] τούτοις, (46) ἀλλὰ μαθόντες ἐξ αὐτῶν τῶν συμβεβηκότων κατὰ μὲν τοὺς νόμους τάς τε πόλεις καὶ τὰς χώρας τούτων εἶναι δοκούσας, τῶν ὀρθῶς καὶ νομίμως κτησαμένων, κατὰ δὲ τὴν ἀλήθειαν τούτων γιγνομένας, τῶν τὰ περὶ τὸν πόλεμον μάλιστ' ἀσκούντων καὶ νικᾶν ἐν ταῖς μάχαις τοὺς πολεμίους δυναμένων, ταῦτα διανοηθέντες, ἀμελήσαντες γεωργιῶν καὶ τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων, οὐδὲν ἐπαύοντο κατὰ μίαν ἑκάστην [b] τῶν πόλεων τῶν ἐν Πελοποννήσῳ πολιορκοῦντες καὶ κακῶς ποιοῦντες, ἕως ἁπάσας κατεστρέψαντο πλὴν τῆς Ἀργείων. (47) Συνέβαινεν οὖν ἐξ ὧν μὲν ἡμεῖς ἐπράττομεν, αὐξάνεσθαί τε τὴν Ἑλλάδα καὶ τὴν Εὐρώπην κρείττω γίγνεσθαι τῆς Ἀσίας, καὶ πρὸς τούτοις τῶν μὲν Ἑλλήνων τοὺς ἀποροῦντας πόλεις λαμβάνειν καὶ χώρας, τῶν δὲ βαρβάρων τοὺς εἰθισμένους ὑβρίζειν ἐκπίπτειν ἐκ τῆς αὑτῶν καὶ φρονεῖν ἔλαττον ἢ πρότερον· [c] ἐξ ὧν δὲ Σπαρτιᾶται, τὴν ἐκείνων μόνην μεγάλην γίγνεσθαι, καὶ πασῶν μὲν τῶν ἐν Πελοποννήσῳ πόλεων ἄρχειν, ταῖς δ' ἄλλαις φοβερὰν εἶναι καὶ πολλῆς θεραπείας τυγχάνειν παρ' αὐτῶν. (48) Ἐπαινεῖν μὲν οὖν δίκαιόν ἐστι τὴν τοῖς ἄλλοις πολλῶν ἀγαθῶν αἰτίαν γεγενημένην, δεινὴν δὲ νομίζειν τὴν αὑτῇ τὰ συμφέροντα διαπραττομένην, καὶ φίλους μὲν ποιεῖσθαι τοὺς ὁμοίως αὑτοῖς τε καὶ τοῖς ἄλλοις χρωμένους, φοβεῖσθαι [d] δὲ καὶ δεδιέναι τοὺς πρὸς σφᾶς μὲν αὐτοὺς ὡς δυνατὸν οἰκειότατα διακειμένους, πρὸς δὲ τοὺς ἄλλους

in Græcos collatis longiore intervallo a nobis relictos esse constabit, quam ab eis ceteros.

42. Ac veteres quidem dimicationes pro Græcis susceptas postea narrabimus; nunc autem de illis dicere instituam inde exorsus orationem, quum Achaicas urbes occuparunt et regionem cum Argivis et Messeniis partiti sunt. Hinc enim sunt nobis dicendi capienda primordia. Nostros igitur majores apparebit et concordiam Græcorum et inimicitias barbarorum jam inde a Trojanis temporibus susceptas conservare et in iisdem studiis perseverare. (43) Ac primum Cyclades insulas, de quibus Minoe Cretensi rerum potiente multa certamina fuerunt, Caribus, qui postremo eas omnes occuparant, ejectis, non in suam ditionem redigere ausi sunt, sed Græcorum egentissimis colendas tradiderunt. (44) Deinde in utraque continente multis et magnis urbibus conditis quum barbaros a mari pepulerunt, tum Græcos docuerunt, quo pacto suas urbes gubernare et contra quos bella gerere deberent, si Græciam vellent amplificare. (45) Lacedæmonii vero circa idem tempus tantum abfuit ut aliquid majorum nostrorum operibus simile præstarent sive barbaros oppugnando sive Græcis benefaciendo, ut ne quiescere quidem voluerint; sed quum et urbem alienam et agri non modo quod satis esset, sed quantum nulla Græca urbs, haberent, his contenti non fuerint, (46) sed ipso eventu edocti, si leges spectemus, urbes et regiones eorum videri, qui eas juste legitimeque partas possiderent; revera autem eorum fieri, qui maxime rem militarem exercerent et in præliis hostes superare possent: hæc inquam cum suis animis cogitantes, agricultura neglecta et opificiis et rebus ceteris omnibus, nunquam destiterunt singulatim quasque Peloponnesi civitates oppugnare et vexare usque eo, dum omnes evertissent Argivorum urbe excepta. (47) Nostras igitur actiones illud consecutum est, ut et Græciæ opes augerentur et major esset Europæ quam Asiæ potentia, et inopes Græci urbes caperent atque agros, barbari vero, quorum ante magna ferocia fuerat, patria pulsi animis humilioribus essent; Spartanorum autem, ut ipsorum urbs sola augeretur, et omnium Peloponnesi civitatum imperio potiretur, et apud ceteros formidabilis esset magnaque cum observantia coleretur. (48) Itaque laudanda est ea urbs, quæ multa in alios beneficia contulit; quæ autem suum tantum compendium spectat, iniqua existimanda; eorumque amicitia expetenda est qui alios æque tractant ac semetipsos; metui vero et formidari par est eos qui, quum semetipsos amantissime complectantur, suam urbem sic administrant,

ἀλλοτρίως καὶ πολεμικῶς τὴν αὑτῶν διοικοῦντας. Τὴν μὲν οὖν ἀρχὴν ἑκατέρα τοῖν πολέοιν τοιαύτην ἐποιήσατο.

49. Χρόνῳ δ' ὕστερον γενομένου τοῦ Περσικοῦ πολέμου, καὶ Ξέρξου τοῦ τότε βασιλεύοντος τριήρεις μὲν συναγαγόντος τριακοσίας καὶ χιλίας, τῆς δὲ πεζῆς στρατιᾶς πεντακοσίας μὲν μυριάδας τῶν ἁπάντων, e ἑβδομήκοντα δὲ τῶν μαχίμων, τηλικαύτῃ δὲ δυνάμει στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας, (50) Σπαρτιᾶται μὲν ἄρχοντες Πελοποννησίων εἰς τὴν ναυμαχίαν τὴν ποιήσασαν ῥοπὴν ἅπαντος τοῦ πολέμου δέκα μόνον συνεβάλοντο τριήρεις, οἱ δὲ πατέρες ἡμῶν ἀνάστατοι γενόμενοι a καὶ τὴν πόλιν ἐκλελοιπότες διὰ τὸ μὴ τετειχίσθαι κατ' ἐκεῖνον τὸν χρόνον πλείους ναῦς παρέσχοντο καὶ μείζω δύναμιν ἐχούσας ἢ σύμπαντες οἱ συγκινδυνεύσαντες· (51) καὶ στρατηγὸν οἱ μὲν Εὐρυβιάδην, ὃς εἰ τέλος ἐπέθηκεν οἷς διενοήθη πράττειν, οὐδὲν ἂν ἐκώλυεν ἀπολωλέναι τοὺς Ἕλληνας, οἱ δ' ἡμέτεροι Θεμιστοκλέα τὸν ὁμολογουμένως ἅπασιν αἴτιον εἶναι δόξαντα καὶ τοῦ τὴν ναυμαχίαν γενέσθαι κατὰ τρόπον καὶ τῶν b ἄλλων ἁπάντων τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ κατορθωθέντων. (52) Τεκμήριον δὲ μέγιστον· ἀφελόμενοι γὰρ Λακεδαιμονίους τὴν ἡγεμονίαν οἱ συγκινδυνεύσαντες τοῖς ἡμετέροις παρέδοσαν. Καίτοι τίνας ἄν τις κριτὰς ἱκανωτέρους ποιήσαιτο καὶ πιστοτέρους τῶν τότε πραχθέντων ἢ τοὺς ἐν αὐτοῖς τοῖς ἀγῶσι παραγενομένους; τίνα δ' ἄν τις εὐεργεσίαν εἰπεῖν ἔχοι ταύτης μείζω, τῆς ἅπασαν τὴν Ἑλλάδα σῶσαι δυνηθείσης; c

53. Μετὰ ταῦτα τοίνυν συνέβη κυρίαν ἑκατέραν γενέσθαι τῆς ἀρχῆς τῆς κατὰ θάλατταν, ἣν ὁπότεροι ἂν κατάσχωσιν, ὑπηκόους ἔχουσι τὰς πλείστας τῶν πόλεων. Ὅλως μὲν οὖν οὐδετέραν ἐπαινῶ· πολλὰ γὰρ ἄν τις αὐταῖς ἐπιτιμήσειεν· οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν ἐπιμέλειαν ταύτην οὐχ ἔλαττον αὐτῶν διηνέγκαμεν ἢ περὶ τὰς πράξεις τὰς ὀλίγῳ πρότερον εἰρημένας. (54) Οἱ μὲν γὰρ ἡμέτεροι πατέρες ἔπειθον τοὺς συμμάχους d ποιεῖσθαι πολιτείαν ταύτην, ἥνπερ αὐτοὶ διετέλουν ἀγαπῶντες· ὃ σημεῖόν ἐστιν εὐνοίας καὶ φιλίας, ὅταν τινὲς παραινῶσι τοῖς ἄλλοις χρῆσθαι τούτοις, ἅπερ ἂν σφίσιν αὐτοῖς συμφέρειν ὑπολάβωσιν· Λακεδαιμόνιοι δὲ κατέστησαν οὔθ' ὁμοίαν τῇ παρ' αὐτοῖς οὔτε ταῖς ἄλλοθί που γεγενημέναις, ἀλλὰ δέκα μόνους ἄνδρας κυρίους ἑκάστης τῆς πόλεως ἐποίησαν, ὧν ἐπιχειρήσας ἄν τις κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς οὐδὲν ἂν e μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνοις ἡμαρτημένων. (55) Καθ' ἕκαστον μὲν οὖν διεξιέναι περὶ τῶν τοιούτων καὶ τοσούτων τὸ πλῆθος ἀνόητόν ἐστιν· ὀλίγα δὲ καθ' ἁπάντων 244 εἰπεῖν, ἃ τοῖς ἀκούσασιν ὀργὴν ἀξίαν ἐμποιήσειεν a ἂν τῶν πεπραγμένων, νεώτερος μὲν ὢν ἴσως ἂν ἐξεῦρον, νῦν δ' οὐδὲν ἐπέρχεταί μοι τοιοῦτον, ἀλλ' ἅπερ ἅπασιν, ὅτι τοσοῦτον ἐκεῖνοι διήνεγκαν ἀνομίᾳ καὶ πλεονεξίᾳ τῶν προγεγενημένων, ὥστ' οὐ μόνον αὑτοὺς ἀπώλεσαν καὶ τοὺς φίλους καὶ τὰς πατρίδας τὰς αὑτῶν, ἀλλὰ καὶ Λακεδαιμονίους πρὸς τοὺς συμμάχους διαβα-

ut alieni ab aliis et hostilibus in eos animis esse videantur. Hæc igitur fundamenta ab utraque urbe jacta sunt.

49. Post exorto bello Persico, quum Xerxes, qui tum regnabat, triremes mille et trecentas, pedestris exercitus quinquies millies millia universorum, septies centena millia bellicosorum coegisset, tantisque viribus bellum Græcis intulisset: (50) Spartiatæ quidem, quum Peloponnesiis imperarent, ad navale prælium, quod belli totius inclinatio secuta est, decem tantum triremes contulerunt; patres vero nostri extorres facti urbeque relicta, quod illo tempore munita non esset, meliores naves præbuerunt et majoribus copiis instructas, quam universi qui eo prælio pugnarunt. (51) Ac ducem Eurybiadem illi miserunt, qui si ea quæ destinarat, perfecisset, nihil obstitisset quominus Græci periissent; nostri Themistoclem, qui sine controversia omnibus visus est in causa fuisse, ut et navale prælium rite conficeretur, et ceterorum omnium illius temporis successuum auctor. (52) Idque ex eo maxime perspicitur, quod ii qui periculorum socii fuerant, ademptum Lacedæmoniis imperium ad nostros detulerunt. Enimvero quinam peritiores judices et integriores rerum eo tempore gestarum constitui queant, quam ii qui ipsis certaminibus interfuerunt? quod vero beneficium majus dici potest eo, quod totam Græciam potuit conservare?

53. His rebus gestis evenit ut utraque civitas maris imperio potiretur, quod utri tenuerint, urbes fere omnes dicto audientes habent. Ac neutram quidem civitatem omnino laudo: in multis enim ambæ reprehendendæ sunt. Verum in hac quoque curatione non minus eis antecelluimus, quam in actionibus paulo ante commemoratis. (54) Nostri enim patres sociis persuaserunt ut eam formam reipublicæ amplecterentur, qua ipsi perpetuo usi fuerant: quod signum est benevolentiæ et amicitiæ, si qui aliis auctores fuerint iisdem institutis utendi, quæ sibi prodesse putarint. Lacedæmonii vero rempublicam constituerunt neque suæ nec aliarum urbium similem, sed decemviros solos singulis urbibus præfecerunt, quos qui per triduum aut quatriduum continenter accusarit, nullam partem exposuisse videatur injuriarum. (55) Singulatim igitur tot et tantas velle recensere, dementiæ fuerit; pauca vero de omnibus dicere, quæ auditores justa indignatione commoverunt, si junior essem, fortasse potuissem; nunc nihil tale in mentem mihi venit, sed quod inter omnes constat illos injustitia et rapacitate veteres ita superasse, ut, quum sibimet ipsis et amicis et patriæ suæ interitum accersiverint, tum Lacedæmonios apud socios in crimen et odium adductos in

λόντες εἰς τοιαύτας καὶ τοσαύτας συμφορὰς ἐνέβαλον, b ὅσας οὐδεὶς πώποτ' αὐτοῖς γενήσεσθαι προσεδόκησεν.

56. Μάλιστα μὲν οὖν ἐντεῦθεν ἄν τις δυνηθείη κατιδεῖν ὅσῳ μετριώτερον καὶ πρᾳότερον ἡμεῖς τῶν πραγμάτων ἐπεμελήθημεν, δεύτερον δ' ἐκ τοῦ ῥηθήσεσθαι μέλλοντος· Σπαρτιᾶται μὲν γὰρ ἔτη δέκα μόλις ἐπεστάτησαν αὐτῶν, ἡμεῖς δὲ πέντε καὶ ἑξήκοντα συνεχῶς κατέσχομεν τὴν ἀρχήν. Καίτοι πάντες ἴσασι τὰς c πόλεις τὰς ὑφ' ἑτέροις γιγνομένας, ὅτι πλεῖστον χρόνον τούτοις παραμένουσιν ὑφ' ὧν ἂν ἐλάχιστα κακὰ πάσχουσαι τυγχάνωσιν.

57. Ἐκ τούτων τοίνυν ἀμφότεραι μισηθεῖσαι κατέστησαν εἰς πόλεμον καὶ ταραχήν, ἐν ᾗ τὴν μὲν ἡμετέραν εὕροι τις ἄν, ἁπάντων αὐτῇ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐπιθεμένων, ἔτη δέκα τούτοις ἀντισχεῖν δυνηθεῖσαν, Λακεδαιμονίους δὲ κρατοῦντας ἔτι κατὰ γῆν, πρὸς Θηβαίους μόνους πολεμήσαντας καὶ d μίαν μάχην ἡττηθέντας, ἁπάντων ἀποστερηθέντας ὧν εἶχον, καὶ παραπλησίαις ἀτυχίαις χρησαμένους καὶ συμφοραῖς αἷσπερ ἡμεῖς, (58) καὶ πρὸς τούτοις τὴν μὲν ἡμετέραν πόλιν ἐν ἐλάττοσιν ἔτεσιν ἀναλαβοῦσαν αὑτὴν ἢ κατεπολεμήθη, Σπαρτιάτας δὲ μετὰ τὴν ἧτταν μηδ' ἐν πολλαπλασίῳ χρόνῳ δυνηθέντας καταστῆσαι σφᾶς αὐτοὺς εἰς τὴν αὐτὴν ἕξιν ἐξ ἧς περ ἐξέπεσον, ἀλλ' e ὁμοίως ἔτι καὶ νῦν ἔχοντας.

59. Τὰ τοίνυν πρὸς τοὺς βαρβάρους ὡς ἑκάτεροι προσηνέχθημεν, δηλωτέον· ἔτι γὰρ τοῦτο λοιπόν ἐστιν. Ἐπὶ μὲν γὰρ τῆς ἡμετέρας δυναστείας οὐκ ἐξῆν αὐτοῖς οὔτ' ἐντὸς Ἅλυος πεζῷ στρατοπέδῳ καταβαίνειν οὔτε μακροῖς πλοίοις ἐπὶ τάδε πλεῖν Φασήλιδος· ἐπὶ δὲ τῆς
245 Λακεδαιμονίων οὐ μόνον τοῦ πορεύεσθαι καὶ πλεῖν a ὅποι βουληθεῖεν ἐξουσίαν ἔλαβον, ἀλλὰ καὶ δεσπόται πολλῶν Ἑλληνίδων πόλεων κατέστησαν.

60. Τὴν δὴ καὶ τὰς συνθήκας τὰς πρὸς βασιλέα γενναιοτέρας καὶ μεγαλοφρονεστέρας ποιησαμένην, καὶ τῶν πλείστων καὶ μεγίστων τοῖς μὲν βαρβάροις κακῶν, τοῖς δ' Ἕλλησιν ἀγαθῶν αἰτίαν γεγενημένην, ἔτι δὲ τῆς Ἀσίας τὴν παραλίαν καὶ πολλὴν ἄλλην χώραν τοὺς b μὲν πολεμίους ἀφελομένην, τοῖς δὲ συμμάχοις κτησαμένην, (61) καὶ τοὺς μὲν ὑβρίζοντας, τοὺς δ' ἀποροῦντας παύσασαν, πρὸς δὲ τούτοις ὑπὲρ αὑτῆς τε πολεμήσασαν ἄμεινον τῆς εὐδοκιμούσης περὶ τὰ τοιαῦτα καὶ τὰς συμφορὰς θᾶττον διαλυσαμένην τῶν αὐτῶν τούτων, πῶς οὐ δίκαιον ἐπαινεῖν καὶ τιμᾶν μᾶλλον ἢ τὴν ἐν ἅπασι τούτοις ἀπολελειμμένην; Περὶ μὲν οὖν c τῶν πραχθέντων παρ' ἄλληλα καὶ τῶν κινδύνων τῶν ἅμα καὶ πρὸς τοὺς αὐτοὺς γενομένων ἐν τῷ παρόντι ταῦτ' εἶχον εἰπεῖν.

62. Οἶμαι δὲ τοὺς ἀηδῶς ἀκούοντας τῶν λόγων τούτων τοῖς μὲν εἰρημένοις οὐδὲν ἀντερεῖν ὡς οὐκ ἀληθέσιν οὖσιν, οὐδ' αὖ πράξεις ἑτέρας ἕξειν εἰπεῖν περὶ ἃς Λακεδαιμόνιοι γενόμενοι πολλῶν ἀγαθῶν αἴτιοι τοῖς Ἕλλησι κατέστησαν, κατηγορεῖν δὲ τῆς πόλεως ἡμῶν

tot tantasque calamitates conjecerint, quot et quantas nemo unquam eis eventuras esse credidit.

56. In primis igitur hinc perspici poterit, quanto nos moderatius et clementius omnia gesserimus; secundo loco ex eo etiam quod jam dicetur. Nam Spartiatæ vix decem annos sociis præfuerunt; nos per quinque et sexaginta perpetuos principatum tenuimus. Enimvero sciunt omnes, urbes aliis subjectas diutissime in eorum fide permanere, a quibus minimis malis afficiuntur.

57. His igitur de causis ambæ susceptis odiis in bella et tumultus inciderunt, in quibus nostra urbs, quum et Græci et barbari omnes eam invasissent, decennium resistere potuit; Lacedæmonii vero, dum adhuc terra imperium tenebant, cum Thebanis solis bello gesto unoque prælio superati, omnibus opibus amissis, non minoribus infortuniis et calamitatibus quam nos conflictati sunt. (58) Præterea nostra urbs paucioribus annis vires suas recepit quam bello subacta fuerat; Spartiatæ vero post cladem acceptam ne multiplici quidem temporis spatio se in integrum restituere pristinumque dignitatis gradum recuperare potuerunt, sed in iisdem malis adhuc versantur.

59. Nunc quales utrique nos contra barbaros præbuerimus, explicandum est; hoc enim restat. Sub nostro igitur imperio non licuit eis neque pedestribus copiis intra Halyn fluvium descendere, neque longis navibus citra Phaselidem appellere; Lacedæmoniis autem imperantibus non tantum eis potestas data est eundi et navigandi quo vellent, sed dominatu etiam multarum Græcarum urbium sunt aucti.

60. An non igitur ea urbs, quæ et fœdus cum rege generosius atque animosius fecit, quæ maximis plurimisque quum barbaros cladibus, tum Græcos beneficiis affecit, quæ oram Asiæ maritimam ac multas alias provincias et hostibus ademit et sociis tribuit, (61) quæ tam illorum ferociam compescuit quam horum inopiæ consuluit, quæ in bellis pro sua salute gestis fortius dimicavit quam illa quæ ob rem militarem maxime celebratur, quæ calamitates celerius quam isti ipsi propulsavit, magis laudanda est et honoranda quam illa quæ in his rebus omnibus fuit inferior? Ac de rebus gestis et periculis simul et contra eosdem aditis hæc habui in præsentia quæ dicerem.

62. Arbitror autem eos qui hæc inviti audiunt, vera esse non negaturos, neque etiam facta pulchriora commemoraturos, per quæ Lacedæmonii multis Græcos beneficiis affecerint; sed nostram urbem accusaturos esse (id quod semi-

ἐπιχειρήσειν, ὅπερ ἀεὶ ποιεῖν εἰώθασι, (63) καὶ διεξιέναι d τὰς δυσχερεστάτας τῶν πράξεων τῶν ἐπὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν γεγενημένων, καὶ τάς τε δίκας καὶ τὰς κρίσεις τὰς ἐνθάδε γιγνομένας τοῖς συμμάχοις καὶ τὴν τῶν φόρων εἴσπραξιν διαβαλεῖν, καὶ μάλιστα διατρίψειν περὶ τὰ Μηλίων πάθη καὶ Σκιωναίων καὶ Τορωναίων, οἰομένους ταῖς κατηγορίαις ταύταις καταρρυπανεῖν τὰς τῆς πόλεως εὐεργεσίας τὰς ὀλίγῳ πρότερον εἰρημένας. (64) Ἐγὼ δὲ πρὸς ἅπαντα μὲν τὰ δικαίως ἂν ῥηθέντα κατὰ τῆς πόλεως οὔτ' ἂν δυναίμην e ἀντειπεῖν οὔτ' ἂν ἐπιχειρήσαιμι τοῦτο ποιεῖν· καὶ γὰρ ἂν αἰσχυνοίμην, ὅπερ εἶπον ἤδη καὶ πρότερον, εἰ τῶν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους εἶναι νομιζόντων ἐγὼ γλιχοίμην καὶ πειρῴμην πείθειν ὡς περὶ οὐδὲν 246 πώποτε τὸ κοινὸν ἡμῶν πεπλημμέληκεν· (65) οὐ μὴν a ἀλλ' ἐκεῖνό γ' οἴομαι ποιήσειν, τήν τε πόλιν τὴν Σπαρτιατῶν ἐπιδείξειν περὶ τὰς πράξεις τὰς προειρημένας πολὺ πικροτέραν καὶ χαλεπωτέραν τῆς ἡμετέρας γεγενημένην, τούς θ' ὑπὲρ ἐκείνων βλασφημοῦντας καθ' ἡμῶν ὡς δυνατὸν ἀφρονέστατα διακειμένους καὶ τοῦ κακῶς ἀκούειν ὑφ' ἡμῶν τοὺς φίλους αὐτῶν αἰτίους ὄντας· (66) ἐπειδὰν γὰρ τὰ τοιαῦτα κατηγορῶσιν, οἷς ἔνοχοι Λακεδαιμόνιοι μᾶλλον τυγχάνουσιν ὄντες, οὐκ ἀποροῦμεν τοῦ περὶ ἡμῶν ῥηθέντος μεῖζον ἁμάρτημα καθ' ἐκείνων εἰπεῖν. Οἷον καὶ νῦν, ἢν μνησθῶσι τῶν b ἀγώνων τῶν τοῖς συμμάχοις ἐνθάδε γιγνομένων, τίς ἐστιν οὕτως ἀφυής, ὅστις οὐχ εὑρήσει πρὸς τοῦτ' ἀντειπεῖν ὅτι πλείους Λακεδαιμόνιοι τῶν Ἑλλήνων ἀκρίτους ἀπεκτόνασι τῶν παρ' ἡμῖν, ἐξ οὗ τὴν πόλιν οἰκοῦμεν, εἰς ἀγῶνα καὶ κρίσιν καταστάντων;

67. Τοιαῦτα δὲ καὶ περὶ τῆς εἰσπράξεως τῶν φόρων ἤν τι λέγωσιν, ἕξομεν εἰπεῖν· πολὺ γὰρ ἐπιδείξομεν c συμφορώτερα πράξαντας τοὺς ἡμετέρους ἢ Λακεδαιμονίους ταῖς πόλεσι ταῖς τὸν φόρον ἐνεγκούσαις. Πρῶτον μὲν γὰρ οὐ προσταχθὲν ὑφ' ἡμῶν τοῦτ' ἐποίουν, ἀλλ' αὐτοὶ γνόντες, ὅτε περ τὴν ἡγεμονίαν ἡμῖν τὴν κατὰ θάλατταν ἔδοσαν· (68) ἔπειτ' οὐχ ὑπὲρ τῆς σωτηρίας τῆς ἡμετέρας ἔφερον, ἀλλ' ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ἐλευθερίας τῆς αὑτῶν καὶ τοῦ μὴ περιπεσεῖν ὀλιγαρχίας γενομένης τηλικούτοις κακοῖς τὸ μέγεθος, d ἡλίκοις ἐπὶ τῶν δεκαδαρχιῶν καὶ τῆς δυναστείας τῆς Λακεδαιμονίων. Ἔτι δ' οὐκ ἐκ τούτων ἔφερον ἐξ ὧν αὐτοὶ διέσωσαν, ἀλλ' ἀφ' ὧν δι' ἡμᾶς εἶχον· (69) ὑπὲρ ὧν, εἰ καὶ μικρὸς λογισμὸς ἐνῆν αὐτοῖς, δικαίως ἂν χάριν εἶχον ἡμῖν. Παραλαβόντες γὰρ τὰς πόλεις αὐτῶν τὰς μὲν παντάπασιν ἀναστάτους γεγενημένας ὑπὸ τῶν βαρβάρων, τὰς δὲ πεπορθημένας, εἰς τοῦτο προηγάγομεν, ὥστε μικρὸν μέρος τῶν γιγνομένων ἡμῖν διδόντας μηδὲν e ἐλάττους ἔχειν τοὺς οἴκους Πελοποννησίων τῶν οὐδένα φόρον ὑποτελούντων.

70. Περὶ τοίνυν τῶν ἀναστάτων γεγενημένων ὑφ' ἑκατέρας τῶν πόλεων, ὃ μόνοις τινὲς ἡμῖν ὀνειδίζουσιν, 247 ἐπιδείξομεν πολὺ δεινότερα πεποιηκότας οὓς ἐπαινοῦν- a τες διατελοῦσιν. Ἡμῖν μὲν γὰρ συνέπεσε περὶ νησύ-

per studio sibi habent), (63) eaque narraturos, quæ, dum maris imperium teneremus, acerbissima acciderunt; accusationes item et judicia quæ socii hic acceperunt, et tributorum exactionem criminaturos, maxime autem Meliorum et Scionæorum et Toronæorum malis immoraturos, existimantes se urbis nostræ beneficiis paulo ante commemoratis quasi labem et maculam criminationibus illis aspersuros esse. (64) Ego vero ea omnia, quæ urbi nostræ vere objiciuntur, neque refutare dicendo possim, nec id facere instituam. Nam quum (id quod prius etiam alicubi dixi) alii ne deos quidem expertes omnis peccati esse putent, erubescerem, si studerem et persuadere conarer rempublicam nostram in nulla unquam re deliquisse. (65) Illud tamen me facturum puto, ut ostendam Spartanorum urbem in iisdem illis rebus nostra multo fuisse acerbiorem ac sæviorem, et eos qui in illorum gratiam nobis maledicunt, omnium stolidissimos, et ut a nobis ipsorum amici male audiant, in causa esse. (66) Quum enim in iis nos accusarint, quæ in Lacedæmonios potius cadunt, non deerit nobis occasio majora crimina quam in nos collata fuerint, in illos regerendi. Veluti nunc etiam, si de sociis hic in judicium adductis mentionem fecerint, quis adeo stupidus est quin facile respondeat, plures Græcos a Lacedæmoniis indicta causa esse interfectos quam a nobis, ex quo urbem incolimus, in jus vocatos et causam dicere coactos?

67. Eodemque modo, si de tributorum exactione aliquid dixerint, respondere poterimus. Ostendemus enim nostros civitatum, quæ tributa pependerint, commodis longe melius consuluisse quam Lacedæmonios. Primum enim nullo edicto nostro, sed suo potius decreto id fecerunt, quum maris imperium nobis offerrent; (68) deinde non nostræ salutis causa pependerunt, sed ut popularem statum libertatemque tuerentur suam, neve ad paucorum potentiam summa rerum revocata in tam ingentia mala inciderent, quanta sub decemviratu et violentia Lacedæmoniorum tolerarant. Præterea nihil contulerunt ex iis quæ ipsi conservarant, sed ex his quæ nostra ope illis relicta erant. (69) De quibus si vel modica prudentia essent, merito gratiam nobis habuissent. Quum enim urbes eorum suscepissemus partim a barbaris omnino eversas, partim vastatas, eo illas perduximus, ut, quum de suis proventibus exiguam partem nobis impertirent, nihilo pauperiores essent Peloponnesiis nihil tributi pendentibus.

70. Jam quod ad eos attinet qui ab utraque urbe sunt eversi, quod nonnulli nobis solis exprobrant, ostendemus eos, quos illi nunquam laudare desinunt, multo crudeliora perpetrasse. Nobis enim usuvenit, ut quasdam insululas,

δρια τοιαῦτα καὶ τηλικαῦτα τὸ μέγεθος ἐξαμαρτεῖν, ἃ πολλοὶ τῶν Ἑλλήνων οὐδ' ἴσασιν, ἐκεῖνοι δὲ τὰς μεγίστας πόλεις τῶν ἐν Πελοποννήσῳ καὶ τὰς πανταχῇ προεχούσας τῶν ἄλλων ἀναστάτους ποιήσαντες αὐτοὶ τἀκείνων ἔχουσιν, (71) ἃς ἄξιον ἦν, εἰ καὶ μηδὲν αὐταῖς πρότερον ὑπῆρχεν ἀγαθόν, τῆς μεγίστης δωρεᾶς παρὰ τῶν Ἑλλήνων τυχεῖν διὰ τὴν στρατείαν τὴν ἐπὶ Τροίαν, b ἐν ᾗ σφᾶς τ' αὐτὰς παρέσχον πρωτευούσας καὶ τοὺς ἡγεμόνας ἀρετὰς ἔχοντας οὐ μόνον τὰς τοιαύτας ὧν πολλοὶ καὶ τῶν φαύλων κοινωνοῦσιν, ἀλλὰ κἀκείνας ὧν οὐδεὶς ἂν πονηρὸς ὢν δυνηθείη μετασχεῖν. (72) Μεσσήνη μὲν γὰρ Νέστορα παρέσχε τὸν φρονιμώτατον ἁπάντων τῶν κατ' ἐκεῖνον τὸν χρόνον γενομένων, Λακεδαίμων δὲ Μενέλαον τὸν διὰ σωφροσύνην καὶ δικαιοσύνην μόνον ἀξιωθέντα Διὸς γενέσθαι κηδεστήν, ἡ δ' c Ἀργείων πόλις Ἀγαμέμνονα τὸν οὐ μίαν οὐδὲ δύο σχόντα μόνον ἀρετάς, ἀλλὰ πάσας ὅσας ἂν ἔχοι τις εἰπεῖν, καὶ ταύτας οὐ μετρίως ἀλλ' ὑπερβαλλόντως· (73) οὐδένα γὰρ εὑρήσομεν τῶν ἁπάντων οὔτ' ἰδιωτέρας πράξεις μεταχειρισάμενον οὔτε καλλίους οὔτε μείζους οὔτε τοῖς Ἕλλησιν ὠφελιμωτέρας οὔτε πλειόνων ἐπαίνων ἀξίας. Καὶ τούτοις οὕτω μὲν ἀπηριθμημένοις εἰκότως ἄν τινες ἀπιστήσειαν, μικρῶν δὲ περὶ d ἑκάστου ῥηθέντων ἅπαντες ἂν ἀληθῆ με λέγειν ὁμολογήσειαν.

74. Οὐ δύναμαι δὲ κατιδεῖν, ἀλλ' ἀπορῶ ποίοις ἂν λόγοις μετὰ ταῦτα χρησάμενος ὀρθῶς εἴην βεβουλευμένος. Αἰσχύνομαι μὲν γάρ, εἰ τοσαῦτα περὶ τῆς Ἀγαμέμνονος ἀρετῆς προειρηκὼς μηδενὸς μνησθήσομαι τῶν ὑπ' ἐκείνου πεπραγμένων, ἀλλὰ δόξω τοῖς ἀκούουσιν ὅμοιος εἶναι τοῖς ἀλαζονευομένοις καὶ λέγουσιν ὅ τι ἂν τύχωσιν· ὁρῶ δὲ τὰς πράξεις τὰς ἔξω λεγομένας τῶν e ὑποθέσεων οὐκ ἐπαινουμένας, ἀλλὰ ταραχώδεις εἶναι δοκούσας, καὶ πολλοὺς μὲν ὄντας τοὺς κακῶς χρωμένους αὐταῖς, πολὺ δὲ πλείους τοὺς ἐπιτιμῶντας. (75) Διὸ 248 δέδοικα μὴ καὶ περὶ ἐμὲ συμβῇ τι τοιοῦτον. Οὐ μὴν a ἀλλ' αἱροῦμαι βοηθῆσαι τῷ ταὐτὸν ἐμοί τε καὶ πολλοῖς πεπονθότι, καὶ διημαρτηκότι τῆς δόξης ἧς προσῆκε τυχεῖν αὐτόν, καὶ μεγίστων μὲν ἀγαθῶν αἰτίῳ γεγενημένῳ περὶ ἐκεῖνον τὸν χρόνον, ἧττον δ' ἐπαινουμένῳ τῶν οὐδὲν ἄξιον λόγου διαπεπραγμένων.

76. Τί γὰρ ἐκεῖνος ἐνέλιπεν, ὃς τηλικαύτην μὲν ἔσχε τιμήν, ἧς εἰ πάντες συνελθόντες μείζω ζητοῖεν, οὐδέποτ' ἂν εὑρεῖν δυνηθεῖεν; μόνος γὰρ ἁπάσης τῆς Ἑλλάδος b ἠξιώθη γενέσθαι στρατηγός· ὁπότερον δέ, εἴθ' ὑπὸ πάντων αἱρεθεὶς εἴτ' αὐτὸς κτησάμενος, οὐκ ἔχω λέγειν. Ὁποτέρως δ' οὖν συμβέβηκεν, οὐδεμίαν ὑπερβολὴν λέλοιπε τῆς περὶ αὐτὸν δόξης τοῖς ἄλλως πως τιμηθεῖσιν. (77) Ταύτην δὲ λαβὼν τὴν δύναμιν οὐκ ἔστιν ἥντινα τῶν Ἑλληνίδων πόλεων ἐλύπησεν, ἀλλ' οὕτως ἦν πόρρω τοῦ περί τινας ἐξαμαρτεῖν, ὥστε παραλαβὼν τοὺς Ἕλληνας ἐν πολέμῳ καὶ ταραχαῖς καὶ πολλοῖς κακοῖς ὄντας, τούτων μὲν αὐτοὺς ἀπήλλαξεν, εἰς ὁμόνοιαν δὲ καταστή- c σας τὰ μὲν περιττὰ τῶν ἔργων καὶ τερατώδη καὶ μηδὲν

tales utique et tantas, ut Græci plerique eas ignorent, læderemus; illi autem maximis Peloponnesi urbibus, quæ omnibus modis inter alias excellunt, eversis earum opes ipsi tenent; (71) quas, etsi antiquitus earum nulla merita exstarent, maximis a Græcis affici præmiis ob expeditionem Trojanam decuit, in qua pro principibus se gesserunt, ducibus missis qui virtutibus præditi fuere, non iis modo quæ in plerisque etiam contemptis hominibus inveniantur, sed illis, quæ improbo nemini contingere queant. (72) Messena enim Nestorem præbuit, omnium sua ætate prudentissimum; Lacedæmon Menelaum, qui ob modestiam et justitiam solus meruit Jovis gener esse; Argivorum civitas Agamemnonem non una atque altera virtute præditum, sed omnibus quas nominare queas, neque iis mediocriter, sed excellenter: (73) neminem enim ex omnibus inveniemus, qui res vel magis officio suo convenientes vel pulchriores vel majores vel Græcis utiliores aut pluribus laudibus dignas gerendas susceperit. Et his quidem ita simpliciter enumeratis non mirum fuerit a quibusdam fidem derogari: si vero singula paucis explicentur, omnes me vera dicere fateantur.

74. Equidem perspicere non possum, sed dubito quibus deinceps mihi verbis utendum sit, ut recte statuisse videar. Pudet enim de virtute Agamemnonis tam multa præfatum nullum ejus præclarum facinus afferre in medium, ne auditoribus ex illorum esse genere videar, qui magna fastidiosi professi, quidquid in buccam venerit, effundunt. Contrà vero ea quæ per digressionem commemorantur, non laudari solere video, sed et molestiam parere, et quum multos esse qui eas importune usurpent, tum multo plures qui reprehendant. (75) Quare vereor, ne mihi etiam tale aliquid usu veniat. Verum decrevi opem illi ferre, cui idem quod mihi et multis accidit, ut ea gloria fraudaretur, quæ meritis ejus debebatur. Qui quum illis temporibus optime de Græcia meritus fuerit, minus laudatur quam qui nihil unquam memorabile gesserunt.

76. Quid enim ei defuit, qui tantum honorem sit adeptus, quo si omnes in unum congressi majores quærant, nequaquam sint inventuri? Solus enim qui Græciæ totius imperator esset dignus est habitus, delectusne ab omnibus, an ea dignitate per sese parta, dicere non possum: sed sive hoc sive illo modo imperium fuerit assecutus, ceteris nihil reliqui fecit, qui alio quopiam modo fuerunt honorati, quod ad suæ gloriæ excellentiam addi posset. (77) Hanc vero potentiam nactus nulla Græcarum urbium est cui molestus fuerit, sed ab ea re adeo fuit alienus, ut Græcos, qui bello et turbis et multis malis agitabantur, illis incommodis liberarit. Quibus inter se reconciliatis et omnibus rebus quæ ostentationis et monstri plus habent quam pu-

ὠφελοῦντα τοὺς ἄλλους ὑπερεῖδε, στρατόπεδον δὲ συστήσας ἐπὶ τοὺς βαρβάρους ἤγαγεν. (78) Τούτου δὲ κάλλιον στρατήγημα καὶ τοῖς Ἕλλησιν ὠφελιμώτερον οὐδεὶς φανήσεται πράξας οὔτε τῶν κατ' ἐκεῖνον τὸν χρόνον εὐδοκιμησάντων οὔτε τῶν ὕστερον ἐπιγενομένων. Ἃ 'κεῖνος πράξας καὶ τοῖς ἄλλοις ὑποδείξας οὐχ οὕτως εὐδοκίμησεν, ὡς προσῆκεν αὐτόν, διὰ τοὺς μᾶλλον d ἀγαπῶντας τὰς θαυματοποιίας τῶν εὐεργεσιῶν καὶ τὰς ψευδολογίας τῆς ἀληθείας, ἀλλὰ τοιοῦτος γενόμενος ἐλάττω δόξαν ἔχει τῶν οὐδὲ μιμήσασθαι τολμησάντων αὐτόν.

79. Οὐ μόνον δ' ἐπὶ τούτοις ἄν τις ἐπαινέσειεν αὐτόν, ἀλλὰ καὶ ἐφ' οἷς περὶ τὸν αὐτὸν χρόνον ἔπραξεν. Εἰς τοῦτο γὰρ μεγαλοφροσύνης ἦλθεν, ὥστ' οὐκ ἀπέχρησεν αὐτῷ λαβεῖν στρατιώτας τῶν ἰδιωτῶν ὁπόσους ἐξ ἑκάστης ἐβουλήθη τῆς πόλεως, ἀλλὰ τοὺς βασιλεῖς τοὺς ποιοῦντας ἐν ταῖς αὐτῶν ὅ τι βουληθεῖεν e καὶ τοῖς ἄλλοις προστάττοντας, τούτους ἔπεισεν ὑφ' αὐτῷ γενέσθαι, καὶ συνακολουθεῖν ἐφ' οὓς ἂν ἡγῆται, καὶ ποιεῖν τὸ προσταττόμενον, καὶ βασιλικὸν βίον ἀφέντας στρατιωτικῶς ζῆν, (80) ἔτι δὲ κινδυνεύειν καὶ 249 πολεμεῖν οὐχ ὑπὲρ τῆς σφετέρας αὐτῶν πατρίδος καὶ a βασιλείας, ἀλλὰ λόγῳ μὲν ὑπὲρ Ἑλένης τῆς Μενελάου γυναικός, ἔργῳ δ' ὑπὲρ τοῦ μὴ τὴν Ἑλλάδα πάσχειν ὑπὸ τῶν βαρβάρων μήτε τοιαῦτα μήθ' οἷα πρότερον αὐτῇ συνέπεσε περὶ τὴν Πέλοπος μὲν ἁπάσης Πελοποννήσου κατάληψιν, Δαναοῦ δὲ τῆς πόλεως τῆς Ἀργείων, Κάδμου δὲ Θηβῶν· ὧν τίς ἄλλος φανήσεται b προνοηθείς, ἢ τίς ἐμποδὼν καταστὰς τοῦ μηδὲν ἔτι γενέσθαι τοιοῦτον, πλὴν τῆς ἐκείνου φύσεως καὶ δυνάμεως; (81) Τὸ τοίνυν ἐχόμενον, ὃ τῶν μὲν προειρημένων ἔλαττόν ἐστι, τῶν δὲ πολλάκις ἐγκεκωμιασμένων μεῖζον καὶ λόγου μᾶλλον ἄξιον· στρατόπεδον γὰρ συνεληλυθὸς ἐξ ἁπασῶν τῶν πόλεων, τοσοῦτον τὸ πλῆθος ὅσον εἰκός, ὃ πολλοὺς εἶχεν ἐν αὐτῷ τοὺς μὲν ἀπὸ θεῶν, τοὺς δ' ἐξ αὐτῶν τῶν θεῶν γεγονότας, οὐχ ὁμοίως διακειμένους τοῖς πολλοῖς οὐδ' ἴσον φρονοῦντας τοῖς ἄλ- c λοις, ἀλλ' ὀργῆς καὶ θυμοῦ καὶ φθόνου καὶ φιλοτιμίας μεστούς, (82) ἀλλ' ὅμως τὸ τοιοῦτον ἔτη δέκα κατέσχεν οὐ μισθοφοραῖς μεγάλαις οὐδὲ χρημάτων δαπάναις, αἷς νῦν ἅπαντες δυναστεύουσιν, ἀλλὰ τῷ καὶ τῇ φρονήσει διαφέρειν καὶ δύνασθαι τροφὴν ἐκ τῶν πολεμίων τοῖς στρατιώταις πορίζειν, καὶ μάλιστα τῷ δοκεῖν ἐκεῖνον ἄμεινον ὑπὲρ τῆς τῶν ἄλλων βουλεύεσθαι σωτηρίας ἢ τοὺς ἄλλους περὶ σφῶν αὐτῶν. (83) Τὸ τοίνυν τέλος, ὃ πᾶσι τούτοις ἐπέθηκεν, οὐδενὸς ἧττον προσήκει d θαυμάζειν· οὐ γὰρ ἀπρεπὲς οὐδ' ἀνάξιον τῶν προειρημένων φανήσεται ποιησάμενος, ἀλλὰ λόγῳ μὲν πρὸς μίαν πόλιν πολεμήσας, ἔργῳ δ' οὐ μόνον πρὸς ἅπαντας τοὺς τὴν Ἀσίαν κατοικοῦντας, ἀλλὰ καὶ πρὸς ἄλλα γένη πολλὰ τῶν βαρβάρων κινδυνεύων οὐκ ἀπεῖπεν οὐδ' ἀπῆλθε, πρὶν τήν τε πόλιν τοῦ τολμήσαντος ἐξαμαρτεῖν ἐξηνδραποδίσατο καὶ τοὺς βαρβάρους ἔπαυσεν e ὑβρίζοντας.

blicæ utilitatis, despectis, exercitum contraxit et contra barbaros duxit. (78) Quo nullum strategema præstantius aut Græcis utilius ostendi potest vel celeberrimorum ejus ætatis vel cujusquam ex omni posteritate. Quæ quum ille gesserit et exemplum aliis reliquerit, non ita celebratus est ut merebatur, eorum culpa qui portenta beneficiis, mendacia veritati præferunt, tantaque præstantia vir illis etiam est minore gloria, qui eum ne imitari quidem sunt ausi.

79. Neque vero propter hæc tantum laudandus est, sed ob ea etiam quæ circa idem tempus gessit. Nam tanta in eo fuit animi magnitudo, ut non contentus e singulis urbibus tot privatæ conditionis milites delegisse, quot libitum fuit, regibus etiam, qui in suis urbibus faciunt quæ volunt et aliis imperant, sibi ut parerent persuaserit et contra quoscunque duxisset sequerentur et imperata facerent et regia vita omissa more militari viverent, (80) atque etiam pericula adirent et bellum gererent non pro sua patria et regno, sed verbo pro Helena Menelai uxore, re ipsa pro eo, ne Græciam barbari vel eodem modo tractarent vel ita ut olim tractarant, quum Pelops totam Peloponnesum, Danaus urbem Argivorum, Cadmus Thebas occupasset: quæ quis alius animo prospexisse aut quis obstitisse videri potest, ne quid ejusmodi postea fieret, nisi illius ingenium et potentia? (81) Jam id quod sequitur, minus quidem est quam ea quæ ante diximus, sed majus tamen iis, quæ sæpe laudari solent, memoriaque dignius. Quum enim exercitus ex omnibus urbibus convenisset tanta multitudine, quantam consentaneum est eum habere qui multos in se contineret partim e familia deorum, partim ex ipsis diis prognatos, nec ita ut vulgus affectos nec iisdem ingeniis præditos, quibus alii solent, sed iracundia et impetu et invidia et ambitione plenos, (82) tamen eos ipsos decem annos continuit, non magnitudine stipendiorum neque pecuniarum sumptibus, quæ nunc conciliandæ retinendæque potentiæ ratio est; sed quum ea re, quod et prudentia ceteris longe præstabat, et commeatum ex hostili agro militibus suppeditare poterat, tum vero, quod aliorum saluti rectius quam alii sibi ipsi consulere putabatur. (83) Proinde finis, quem his rebus imposuit, vel inprimis admiratione dignus est: nec enim indecorus neque a supra commemoratis abhorrens is fuit. Nam verbo quidem contra unam civitatem bello gerendo, re vera autem non tantum contra omnes eos qui Asiam incolunt, sed contra multas etiam alias gentes barbaras dimicando nullis periculis defatigatus est, non prius discessit, quam ejus urbem, qui delinquere ausus fuerat, excidisset et ferociam injuriasque barbarorum coercuisset.

84. Οὐκ ἀγνοῶ δὲ τὸ πλῆθος τῶν εἰρημένων περὶ τῆς Ἀγαμέμνονος ἀρετῆς, οὐδ' ὅτι τούτων καθ' ἓν μὲν ἕκαστον εἴ τινες σκοποῖντο τί ἂν ἀποδοκιμάσαιεν, οὐ-
250 δεὶς ἂν οὐδὲν αὐτῶν ἀφελεῖν τολμήσειεν, ἐφεξῆς δ' a ἀναγιγνωσκομένων ἅπαντες ἂν ἐπιτιμήσαιεν ὡς πολὺ πλείοσιν εἰρημένοις τοῦ δέοντος. (85) Ἐγὼ δ' εἰ μὲν ἔλαθον ἐμαυτὸν πλεονάζων, ᾐσχυνόμην ἄν, εἰ γράφειν ἐπιχειρῶν περὶ ὧν μηδεὶς ἂν ἄλλος ἐτόλμησεν, οὕτως ἀναισθήτως διεκείμην· νῦν δ' ἀκριβέστερον ᾔδειν τῶν ἐπιπλήττειν μοι τολμησόντων, ὅτι πολλοὶ τούτοις ἐπιτιμήσουσιν· ἀλλὰ γὰρ ἡγησάμην οὐχ οὕτως ἔσεσθαι δεινόν, ἣν ἐπὶ τοῦ μέρους τούτου δόξω τισὶ τῶν καιρῶν b ἀμελεῖν, ὡς ἢν περὶ ἀνδρὸς τοιούτου διαλεγόμενος παραλίπω τι τῶν ἐκείνῳ τε προσόντων ἀγαθῶν κἀμοὶ προσηκόντων εἰπεῖν. (86) Ὤμην δὲ καὶ παρὰ τοῖς χαριεστάτοις τῶν ἀκροατῶν εὐδοκιμήσειν, ἢν φαίνωμαι περὶ ἀρετῆς μὲν τοὺς λόγους ποιούμενος, ὅπως δὲ ταύτης ἀξίως ἐρῶ μᾶλλον σπουδάζων ἢ περὶ τὴν τοῦ λόγου συμμετρίαν, καὶ ταῦτα σαφῶς εἰδὼς τὴν μὲν περὶ τὸν λόγον ἀκαιρίαν ἀδοξότερον ἐμὲ ποιήσουσαν, τὴν δὲ περὶ τὰς c πράξεις εὐβουλίαν αὐτοὺς τοὺς ἐπαινουμένους ὠφελήσουσαν· ἀλλ' ὅμως ἐγὼ τὸ λυσιτελὲς ἐάσας τὸ δίκαιον εἱλόμην. (87) Οὐ μόνον δ' ἂν εὑρεθείην ἐπὶ τοῖς νῦν λεγομένοις ταύτην ἔχων τὴν διάνοιαν, ἀλλ' ὁμοίως ἐπὶ πάντων, ἐπεὶ καὶ τῶν πεπλησιακότων μοι φανείην ἂν μᾶλλον χαίρων τοῖς ἐπὶ τῷ βίῳ καὶ ταῖς πράξεσιν εὐδοκιμοῦσιν ἢ τοῖς περὶ τοὺς λόγους δεινοῖς εἶναι δοκοῦσιν. Καίτοι τῶν μὲν εὖ ῥηθέντων, εἰ καὶ μηδὲν συμβαλοίμην, d ἅπαντες ἂν ἐμοὶ τὴν αἰτίαν ἀναθεῖεν, τῶν δ' ὀρθῶς πραττομένων εἰ καὶ πάντες εἰδεῖέν με σύμβουλον γεγενημένον, οὐδεὶς ὅστις οὐκ ἂν αὐτὸν τὸν μεταχειριζόμενον τὰς πράξεις ἐπαινέσειεν.

88. Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅποι τυγχάνω φερόμενος· ἀεὶ γὰρ οἰόμενος δεῖν προστιθέναι τὸ τῶν προειρημένων ἐχό- e μενον, παντάπασι πόρρω γέγονα τῆς ὑποθέσεως. Λοιπὸν οὖν ἐστιν οὐδὲν ἄλλο, πλὴν αἰτησάμενον τῷ γήρᾳ συγγνώμην ὑπὲρ τῆς λήθης καὶ τῆς μακρολογίας, τῶν εἰθισμένων παραγίγνεσθαι τοῖς τηλικούτοις, ἐπανελθεῖν εἰς τὸν τόπον ἐκεῖνον ἐξ οὗπερ εἰσέπεσον εἰς τὴν περιττολογίαν
251 ταύτην. (89) Οἶμαι δ' ἤδη καθορᾶν ὅθεν ἐπλανήθην· a τοῖς γὰρ ὀνειδίζουσιν ἡμῶν τῇ πόλει τὰς Μηλίων καὶ τὰς τῶν τοιούτων πολιχνίων συμφορὰς ἀντέλεγον, οὐχ ὡς οὐχ ἡμαρτημένων τούτων, ἀλλ' ἐπιδεικνύων τοὺς ἀγαπωμένους ὑπ' αὐτῶν πολὺ πλείους πόλεις καὶ μείζους ἡμῶν ἀναστάτους πεποιηκότας, ἐν οἷς καὶ περὶ τῆς ἀρετῆς τῆς Ἀγαμέμνονος καὶ Μενελάου καὶ Νέστορος διελέχθην, ψεῦδος μὲν οὐδὲν λέγων, πλείω δ' ἴσως τῶν μετρίων. b (90) Τοῦτο δ' ἐποίουν ὑπολαβὼν οὐδενὸς ἔλαττον ἁμάρτημα τοῦτο δόξειν εἶναι τῶν τολμησάντων ἀναστάτους ποιῆσαι τὰς πόλεις τὰς γεννησάσας καὶ θρεψάσας τοιούτους ἄνδρας, περὶ ὧν καὶ νῦν ἔχοι τις ἂν πολλοῖς καὶ καλοῖς χρήσασθαι λόγοις. Ἀλλὰ γὰρ ἴσως ἀνόητόν ἐστι περὶ μίαν πρᾶξιν διατρίβειν, ὥσπερ ἀπορίας οὔσης τί ἂν ἔχοι τις εἰπεῖν περὶ τῆς ὠμότητος καὶ χαλεπότη-

84. Neque vero ignoro, quam multa de Agamemnonis virtute dicta sint, neque illud me præterit, si qui sigillatim ea considerent, quidnam esset improbandum, qui detrahere quicquam audeat, fore neminem, sed si ordine omnia simul legantur, omnes reprehensuros ut multo prolixiora quam oportuerit. (85) Ego vero si quidem ignorassem me modum excedere, erubescerem me, qui de rebus quas nemo alius conari audeat, scribere sim aggressus, usque adeo esse stupidum : nunc certius scivi quam isti qui me reprehendere audebunt, hæc in multorum esse reprehensionem incursura; sed gravius fore censui, si de tali viro disserens aliquas ejus laudes, quas mei officii esset exponere, præterirem, quam si in hac parte quibusdam temporis et modi rationem non habere viderer. (86) Atque etiam apud elegantissimos auditores laudi mihi fore censui, si de virtute verba faciens magis in eo elaborarem, ut pro dignitate illius dicerem, quam pro æquabilitate orationis contenderem, idque quum satis scirem neglectum quidem orationis modum meam gloriam imminuturum, at prudens de ipsis rebus consilium istis, quos laudarem, profuturum : tamen utilitate neglecta, justum quod esset delegi. (87) Neque vero solum in his quæ nunc dicta sunt me hoc animo fuisse apparebit, sed prorsus in omnibus. Notum enim est me etiam inter discipulos meos iis magis delectatum esse, qui vitæ probitate et rebus gerendis excelluerunt, quam qui eloquentia claruerunt. Enimvero eorum quæ bene dicta essent, etiamsi nihil in illis meum esset, omnes me auctorem dicerent; recte factorum autem, tametsi omnes me fuisse suasorem scirent, nemo tamen est quin eum ipsum qui res perfecisset, potius laudandum duceret.

88. Verum nescio quo abripiar; semper enim quum ad supra dicta adjicienda ea esse putarem, quæ restent, longissime ab instituto digressa est oratio. Nihil igitur aliud restat, nisi ut petita senectuti meæ oblivionis et loquacitatis venia, quæ vitia nostram ætatem comitantur, ad illum locum redeam, ex quo in hanc garrulitatem incidi. (89) Jam igitur circumspiciendum est unde aberrarim. Nam istis qui nostræ urbi Meliorum et talium oppidulorum calamitates opprobrant, respondi, non quod in illis rebus nullum peccatum inesset; sed ostendi eos quos isti diligunt, multo plures et majores urbes quam nos evertisse : inter quæ etiam de virtute Agamemnonis et Menelai et Nestoris disserui, mendacium quidem nullum, sed plura fortasse quam decuit locutus. (90) Hoc vero suscepi, insignem ratus injuriam illorum esse apparituram, qui ausi fuissent eas urbes evertere, quæ tales viros genuissent et educassent : de quibus plura etiam eaque præclara dici possent. Sed stultum fortassis est uni facto immorari, quasi anxie exquirendum

τος τῆς Λακεδαιμονίων, ἀλλ' οὐ πολλῆς ἀφθονίας ὑπαρ- c χούσης· (91) οἷς οὐκ ἐξήρκεσε περὶ τὰς πόλεις ταύτας καὶ τοὺς ἄνδρας τοὺς τοιούτους ἐξαμαρτεῖν, ἀλλὰ καὶ περὶ τοὺς ἐκ τῶν αὐτῶν ὁρμηθέντας καὶ κοινὴν τὴν στρατείαν ποιησαμένους καὶ τῶν αὐτῶν κινδύνων μετασχόντας, λέγω δὲ περὶ Ἀργείων καὶ Μεσσηνίων. Καὶ γὰρ τούτους ἐπεθύμησαν ταῖς αὐταῖς συμφοραῖς περιβαλεῖν αἷσπερ ἐκείνους· καὶ Μεσσηνίους μὲν πολιορκοῦντες οὐ πρότερον ἐπαύσαντο, πρὶν ἐξέβαλον ἐκ τῆς χώρας, Ἀργείοις δ' ὑπὲρ τῶν αὐτῶν τούτων ἔτι d καὶ νῦν πολεμοῦσιν. (92) Ἃ τοίνυν περὶ Πλαταιᾶς ἔπραξαν, ἄτοπος ἂν εἴην, εἰ ταῦτ' εἰρηκὼς ἐκείνων μὴ μνησθείην· ὧν ἐν τῇ χώρᾳ στρατοπεδευσάμενοι μεθ' ἡμῶν καὶ τῶν ἄλλων συμμάχων, καὶ παραταξάμενοι τοῖς πολεμίοις, καὶ θυσάμενοι τοῖς θεοῖς τοῖς ὑπ' ἐκείνων ἱδρυμένοις, (93) οὐ μόνον ἠλευθερώσαμεν τῶν Ἑλλήνων τοὺς μεθ' ἡμῶν ὄντας, ἀλλὰ καὶ τοὺς ἀναγκασθέντας e γενέσθαι μετ' ἐκείνων, καὶ ταῦτ' ἐπράξαμεν Πλαταιέας λαβόντες μόνους Βοιωτῶν συναγωνιστάς· οὓς οὐ πολὺν χρόνον διαλιπόντες Λακεδαιμόνιοι, χαριζόμενοι Θηβαίοις, ἐκπολιορκήσαντες ἅπαντας ἀπέκτειναν πλὴν τῶν

252 ἀποδρᾶναι δυνηθέντων. Περὶ οὓς ἡ πολις ἡμῶν οὐδὲν a ὁμοία γέγονεν ἐκείνοις· (94) οἱ μὲν γὰρ περί τε τοὺς εὐεργέτας τῆς Ἑλλάδος καὶ τοὺς συγγενεῖς τοὺς αὑτῶν τὰ τοιαῦτ' ἐξαμαρτάνειν ἐτόλμησαν, οἱ δ' ἡμέτεροι Μεσσηνίων μὲν τοὺς διασωθέντας εἰς Ναύπακτον κατῴκισαν, Πλαταιέων δὲ τοὺς περιγενομένους πολίτας ἐποιήσαντο καὶ τῶν ὑπαρχόντων αὐτοῖς ἁπάντων μετέδοσαν. Ὥστ' εἰ μηδὲν εἴχομεν ἄλλο περὶ τοῖν πολέοιν εἰπεῖν, ἐκ τούτων ῥᾴδιον εἶναι καταμαθεῖν τὸν b τρόπον ἑκατέρας αὐτῶν, καὶ ποτέρα πλείους πόλεις καὶ μείζους ἀναστάτους πεποίηκεν.

95. Αἰσθάνομαι δὲ πάθος μοι συμβαῖνον ἐναντίον τοῖς ὀλίγῳ πρότερον εἰρημένοις· τότε μὲν γὰρ εἰς ἄγνοιαν καὶ πλάνον καὶ λήθην ἐνέπεσον, νῦν δ' οἶδα σαφῶς ἐμαυτὸν οὐκ ἐμμένοντα τῇ πραότητι τῇ περὶ τὸν λόγον, ἣν εἶχον ὅτ' ἠρχόμην γράφειν αὐτόν, ἀλλὰ λέγειν τ' ἐπιχειροῦντα περὶ ὧν οὐκ ᾤμην ἐρεῖν, θρα- c σύτερόν τε διακείμενον ἢ κατ' ἐμαυτόν, ἀκρατῆ τε γι-

252 γνόμενον ἐνίων ὧν λέγω διὰ τὸ πλῆθος τῶν εἰπεῖν ἐπιρρεόντων. (96) Ἐπειδή περ οὖν ἐπελήλυθέ μοι τὸ παρρησιάζεσθαι, καὶ λέλυκα τὸ στόμα, καὶ τοιαύτην τὴν ὑπόθεσιν ἐποιησάμην ὥστε μήτε καλὸν εἶναί μοι μήτε δυνατὸν παραλιπεῖν τὰς τοιαύτας πράξεις, ἐξ ὧν οἷόν τ' ἐστὶν ἐπιδεικνύναι πλέονος ἀξίαν τὴν πόλιν ἡμῶν γεγενημένην περὶ τοὺς Ἕλληνας τῆς Λακεδαιμονίων, οὐ κατασιωπητέον οὐδὲ περὶ τῶν ἄλλων κακῶν τῶν οὔπω μὲν εἰρημένων, ἐν δὲ τοῖς Ἕλλησι γεγενημένων, d ἀλλ' ἐπιδεικτέον τοὺς μὲν ἡμετέρους ὀψιμαθεῖς αὐτῶν γεγενημένους, Λακεδαιμονίους δὲ τὰ μὲν πρώτους, τὰ δὲ μόνους ἐξαμαρτόντας.

97. Πλεῖστοι μὲν οὖν κατηγοροῦσιν ἀμφοῖν τοῖν πολέοιν, ὅτι προσποιούμεναι κινδυνεῦσαι πρὸς τοὺς βαρβάρους ὑπὲρ τῶν Ἑλλήνων οὐκ εἴασαν τὰς πόλεις αὐ-

sit, quidnam de crudelitate et sævitia Lacedæmoniorum dici queat et non maxima copia suppetat. (91) Qui non contenti erga has urbes et tales viros deliquisse, eos etiam qui ex eodem loco oriundi communem cum eis expeditionem susceperunt et eadem pericula subierunt (de Argivis et Messeniis loquor), iisdem cladibus, quibus illos, afficere studuerunt. Ac Messenios quidem non prius oppugnasse destiterunt, quam regione ejecissent; cum Argivis easdem ob res etiam nunc bellum gerunt. (92) Jam quemadmodum cum Platæensibus egerint, absurde facerem, si his commemoratis eorum non meminissem, in quorum agro nobiscum et cum aliis sociis castrametati sunt et quo in loco nos, quum aciem contra hostes instruxissemus et sacra diis, quos illi consecrarant, fecissemus, (93) non iis modo Græcis qui nobiscum conjuncti, sed illis etiam qui partes hostium sequi coacti fuerant, libertatem restituimus. Et hæc egimus, quum solos Platæenses ex omnibus Bœotiis adjutores haberemus, quos non longo temporis spatio post in Thebanorum gratiam Lacedæmonii urbe capta interfecerunt omnes, iis exceptis qui fuga salutem quæsiverunt. Erga hos igitur nostra urbs se longe aliam quam Spartani præbuit: (94) illi enim in bene meritos de Græcia et cognatos suos ita grassati sunt; nostri vero et Messeniorum reliquiis Naupactum habitandum dederunt, et Platæenses, quicunque advenerant, civitate donarunt et rerum omnium pari jure secum frui permiserunt. Quare si nihil aliud de his urbibus dicere possemus, ex his tamen utriusque mores facile perspicerentur, planumque fieret utra plures et majores civitates evertisset.

95. Sed nunc accidere mihi quiddam sentio contrarium iis quæ paulo ante dixi. Tunc enim in ignorantiam et errorem et oblivionem incidebam; nunc plane scio me ab ea lenitate orationis deficere, quam, quum primum scribere cœpissem, mihi proposueram; et de rebus quas prætermittere decreveram, velle disputare, et audaciorem esse factum, quam pro natura mea, et in quibusdam de quibus loquor, temperare mihi non posse, idque propter copiam eorum quæ dicenda mihi affluunt. (96) Postquam igitur audacter loqui cœptum osque solutum est et tale fundamentum orationis meæ jactum, ut ea a me silentio præteriri neque debeant neque possint, per quæ demonstrari potest nostram urbem de Græcis melius esse meritam quam Lacedæmonios: non reticenda sunt etiam cetera mala, quæ nondum quidem recitata, sed inter Græcos facta sunt, et ostendendum nostros ea sero didicisse, Lacedæmonios vero quædam primos, quædam solos admisisse.

97. Plurimi sane utramque urbem accusant, quod, quum videri velint pro Græcis contra barbaros dimicasse, civitatibus ut sui juris essent et quemadmodum singulis expediret,

τονόμους εἶναι καὶ διοικῆσαι τὰ σφέτερ' αὐτῶν ὅπως ἑκάστῃ συνέφερεν, ἀλλ' ὥσπερ αἰχμαλώτους εἰληφυῖαι e διελόμεναι κατεδουλώσαντο πάσας αὐτάς, καὶ παραπλήσιον ἐποίησαν τοῖς παρὰ μὲν τῶν ἄλλων τοὺς οἰκέτας εἰς ἐλευθερίαν ἀφαιρουμένοις, σφίσι δ' αὐτοῖς δουλεύειν ἀναγκάζουσιν. (98) Τοῦ δὲ λέγεσθαι ταῦτα καὶ 253 πολὺ πλείω καὶ πικρότερα τούτων οὐχ ἡμεῖς αἴτιοι γε- a γόναμεν, ἀλλ' οἱ νῦν μὲν ἐν τοῖς λεγομένοις ἡμῖν ἀντιτεταγμένοι, τὸν δ' ἄλλον χρόνον ἐν τοῖς πραττομένοις ἅπασιν. Τοὺς μὲν γὰρ ἡμετέρους προγόνους οὐδεὶς ἂν ἐπιδείξειεν ἐν τοῖς ἐπέκεινα χρόνοις τοῖς ἀναριθμήτοις οὐδεμιᾶς πόλεως οὔτε μείζονος οὔτ' ἐλάττονος ἄρχειν ἐπιχειρήσαντας· Λακεδαιμονίους δὲ πάντες ἴσασιν, ἀφ' οὗ περ εἰς Πελοπόννησον εἰσῆλθον, οὐδὲν ἄλλο πράτ- b τοντας οὐδὲ βουλευομένους πλὴν ὅπως μάλιστα μὲν ἁπάντων ἄρξουσιν, εἰ δὲ μή, Πελοποννησίων. (99) Ἀλλὰ μὴν καὶ τὰς στάσεις καὶ τὰς σφαγὰς καὶ τὰς τῶν πολιτειῶν μεταβολάς, ἃς ἀμφοτέροις τινὲς ἡμῖν ἐπιφέρουσιν, ἐκεῖνοι μὲν ἂν φανεῖεν ἁπάσας τὰς πόλεις πλὴν ὀλίγων μεστὰς πεποιηκότες τῶν τοιούτων συμφορῶν καὶ νοσημάτων, τὴν δ' ἡμετέραν πόλιν οὐδεὶς ἂν οὐδ' εἰπεῖν τολμήσειε πρὸ τῆς ἀτυχίας τῆς ἐν Ἑλλησ- c πόντῳ γενομένης ὡς τοιοῦτον ἐν τοῖς συμμάχοις τι διαπραξαμένην. (100) Ἀλλ' ἐπειδὴ Λακεδαιμόνιοι κύριοι καταστάντες τῶν Ἑλλήνων πάλιν ἐξέπιπτον ἐκ τῶν πραγμάτων, ἐν τούτοις τοῖς καιροῖς στασιαζουσῶν τῶν ἄλλων πόλεων δύ' ἢ τρεῖς τῶν στρατηγῶν τῶν ἡμετέρων (οὐ γὰρ ἀποκρύψομαι τἀληθές) ἐξήμαρτον περί τινας αὐτῶν ἐλπίζοντες, ἢν μιμήσωνται τὰς Σπαρτιατῶν πράξεις, μᾶλλον αὐτὰς δυνήσεσθαι κατασχεῖν. (101) d Ὥστε δικαίως ἂν ἐκείνοις μὲν ἅπαντες ἐγκαλέσειαν ὡς ἀρχηγοῖς γεγενημένοις καὶ διδασκάλοις τῶν τοιούτων ἔργων, τοῖς δ' ἡμετέροις, ὥσπερ τῶν μαθητῶν τοῖς ὑπὸ τῶν ὑπισχνουμένων ἐξηπατημένοις καὶ διημαρτηκόσι τῶν ἐλπίδων, εἰκότως ἂν συγγνώμην ἔχοιεν.

102. Τὸ τοίνυν τελευταῖον, ὃ μόνοι καὶ καθ' αὑτοὺς ἔπραξαν, τίς οὐκ οἶδεν ὅτι κοινῆς ἡμῖν τῆς ἔχθρας ὑπαρχούσης τῆς πρὸς τοὺς βαρβάρους καὶ τοὺς βασι- e λέας αὐτῶν, ἡμεῖς μὲν ἐν πολέμοις πολλοῖς γιγνόμενοι καὶ μεγάλαις συμφοραῖς ἐνίοτε περιπίπτοντες καὶ τῆς χώρας ἡμῶν θαμὰ πορθουμένης καὶ τεμνομένης οὐδεπώποτ' ἐβλέψαμεν πρὸς τὴν ἐκείνων φιλίαν καὶ συμμαχίαν, ἀλλ' ὑπὲρ ὧν τοῖς Ἕλλησιν ἐπεβούλευσαν μισοῦντες αὐτοὺς διετελέσαμεν μᾶλλον ἢ τοὺς ἐν τῷ παρόντι κακῶς ἡμᾶς ποιοῦντας· (103) Λακεδαιμόνιοι 254 δ' οὔτε πάσχοντες κακὸν οὐδὲν οὔτε μέλλοντες οὔτε δε- a διότες εἰς τοῦτ' ἀπληστίας ἦλθον, ὥστ' οὐκ ἐξήρκεσεν αὐτοῖς ἔχειν τὴν κατὰ γῆν ἀρχήν, ἀλλὰ καὶ τὴν κατὰ θάλατταν δύναμιν οὕτως ἐπεθύμησαν λαβεῖν, ὥστε κατὰ τοὺς αὐτοὺς χρόνους τούς τε συμμάχους τοὺς ἡμετέρους ἀφίστασαν, ἐλευθερώσειν αὐτοὺς ὑπισχνούμενοι, καὶ βασιλεῖ περὶ φιλίας διελέγοντο καὶ συμμαχίας, παραδώσειν αὐτῷ φάσκοντες ἅπαντας τοὺς ἐπὶ τῆς b Ἀσίας κατοικοῦντας· (104) πίστεις δὲ δόντες τούτοις

sua componerent, non permiserint, sed tanquam bello captas partitæ, sic omnes servitute oppresserint, quod perinde sit ac si qui servos ab aliis abductos atque in libertatem assertos sibi servire cogant. (98) Ut autem hæc et longe plura his atque acerbiora dicerentur, non in causa nos fuimus; sed illi, qui et nunc verbis nostris se opponunt et superiore tempore nostris actionibus omnibus sunt adversati. Nostros enim majores infinitis superiorum temporum spatiis nemo demonstrabit vel unam urbem sive majorem sive minorem oppressisse; Lacedæmonios vero norunt omnes, ex quo in Peloponnesum venerunt, nihil aliud agere aut moliri, nisi ut vel omnibus imperent, vel, si id fieri nequeat, saltem Peloponnesiis. (99) Præterea seditionibus et cædibus et mutationibus rerumpublicarum, quas utrisque exprobrant, his illi calamitatibus et ærumnis omnes urbes paucis exceptis impleverunt; nostræ vero urbi ante cladem Hellespontiacam objicere nemo ne audet quidem ullum tale facinus in socios commissum. (100) Sed quum Lacedæmonii adepti Græciæ dominatum summa rerum denuo exciderent, iisque temporibus reliquæ urbes seditiosæ essent, duo aut tres nostrorum ducum (nec enim veritatem dissimulabo) in earum quasdam injurii fuerunt, sperantes se morem Lacedæmoniorum imitatos facilius eas in officio continere posse. (101) Quare jure omnes illos potius accusent, ut talium operum auctores et doctores; nostratibus autem ut discipulis, quos pollicitationes deceperunt et spes frustrata est, merito venia dabitur.

102. Postremum autem illud, quod etiam soli per se egerunt, quis ignorat, quum communes inimicitiæ nobis cum Barbaris eorumque regibus intercedant, nos multis petitos bellis et interdum gravibus conflictatos malis, quum etiam ager noster subinde vastaretur excidereturque, nunquam ad eorum amicitiam et societatem respexisse, sed propter insidias Græcis per eos structas constantius eos odisse quam illos qui nos in præsentia infestarent; (103) Lacedæmonios autem nec accepto ullo malo, neque accepturos ullum aut metuentes, tam insatiabili cupiditate flagrasse, ut imperio terrestri non contenti maris etiam dominatum desiderarint, iisdemque temporibus et socios nostros ad defectionem impulerint libertatem polliciti, et cum rege de amicitia et societate egerint, affirmantes se illi omnes Asiæ incolas tradituros: (104) dataque utrisque fide nobisque debellatis,

ἀμφοτέροις καὶ καταπολεμήσαντες ἡμᾶς, οὓς μὲν ἐλευθερώσειν ὤμοσαν, κατεδουλώσαντο μᾶλλον ἢ τοὺς Εἵλωτας, βασιλεῖ δὲ τοιαύτην χάριν ἀπέδοσαν ὥστ' ἔπεισαν τὸν ἀδελφὸν αὐτοῦ Κῦρον ὄντα νεώτερον ἀμφισβητεῖν τῆς βασιλείας, καὶ στρατόπεδον αὐτῷ συναγαγόντες καὶ στρατηγὸν Κλέαρχον ἐπιστήσαντες ἀνέπεμψαν ἐπ' ἐκεῖνον· (105) ἀτυχήσαντες δ' ἐν τούτοις c καὶ γνωσθέντες ὧν ἐπεθύμουν, καὶ μισηθέντες ὑπὸ πάντων, εἰς πόλεμον καὶ ταραχὰς τοσαύτας κατέστησαν ὅσας εἰκὸς τοὺς καὶ περὶ τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους ἐξημαρτηκότας. Περὶ ὧν οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγοντα διατρίβειν, πλὴν ὅτι καταναυμαχηθέντες ὑπό τε τῆς βασιλέως δυνάμεως καὶ τῆς Κόνωνος στρατηγίας τοιαύτην ἐποιήσαντο τὴν εἰρήνην, (106) ἧς οὐδεὶς ἂν ἐπιδείξειεν οὔτ' αἰσχίω πώποτε γενομένην οὔτ' ἐπονειδιστο- d τέραν οὔτ' ὀλιγωροτέραν τῶν Ἑλλήνων οὔτ' ἐναντιωτέραν τοῖς λεγομένοις ὑπό τινων περὶ τῆς ἀρετῆς τῆς Λακεδαιμονίων· οἵτινες, ὅτε μὲν αὐτοὺς ὁ βασιλεὺς δεσπότας τῶν Ἑλλήνων κατέστησεν, ἀφελέσθαι τὴν βασιλείαν αὐτοῦ καὶ τὴν εὐδαιμονίαν ἅπασαν ἐπεχείρησαν, ἐπειδὴ δὲ καταναυμαχήσας ταπεινοὺς ἐποίησεν, οὐ μικρὸν μέρος αὐτῷ τῶν Ἑλλήνων παρέδωκαν, ἀλλὰ πάντας τοὺς τὴν Ἀσίαν οἰκοῦντας, διαρρήδην γράψαντες χρῆσθαι τοῦθ' ὅ τι ἂν αὐτὸς βούληται, (107) καὶ e οὐκ ᾐσχύνθησαν τοιαύτας ποιούμενοι τὰς ὁμολογίας περὶ ἀνδρῶν οἷς χρώμενοι συμμάχοις ἡμῶν τε περιεγένοντο καὶ τῶν Ἑλλήνων κύριοι κατέστησαν καὶ τὴν Ἀσίαν 255 ἅπασαν ἤλπισαν κατασχήσειν, ἀλλὰ τὰς τοιαύτας συν- a θήκας αὐτοί τ' ἐν τοῖς ἱεροῖς τοῖς σφετέροις αὐτῶν ἀνέγραψαν καὶ τοὺς συμμάχους ἠνάγκασαν.

108. Τοὺς μὲν οὖν ἄλλους οὐκ οἴομαι πράξεων ἑτέρων ἐπιθυμήσειν ἀκούειν, ἀλλ' ἐκ τῶν εἰρημένων ἱκανῶς μεμαθηκέναι νομιεῖν ὁποία τις τοῖν πολέοιν ἑκατέρα περὶ τοὺς Ἕλληνας γέγονεν· ἐγὼ δ' οὐχ οὕτω τυγχάνω διακείμενος, ἀλλ' ἡγοῦμαι τὴν ὑπόθεσιν ἣν ἐποιησάμην ἄλλων τε πολλῶν προσδεῖσθαι λόγων, καὶ μάλιστα τῶν b ἐπιδειξόντων τὴν ἄνοιαν τῶν ἀντιλέγειν τοῖς εἰρημένοις ἐπιχειρησόντων· οὓς οἴομαι ῥᾳδίως εὑρήσειν. (109) Τῶν γὰρ ἀποδεχομένων ἁπάσας τὰς Λακεδαιμονίων πράξεις, τοὺς μὲν βελτίστους αὐτῶν ἡγοῦμαι καὶ πλεῖστον νοῦν ἔχοντας τὴν μὲν Σπαρτιατῶν πολιτείαν ἐπαινέσεσθαι καὶ τὴν αὐτὴν γνώμην ἕξειν περὶ αὐτῆς ἥνπερ πρότερον, περὶ δὲ τῶν εἰς τοὺς Ἕλληνας πεπραγμένων ὁμονοήσειν τοῖς ὑπ' ἐμοῦ λεγομένοις, (110) τοὺς c δὲ φαυλοτέρους οὐ μόνον τούτων ὄντας, ἀλλὰ καὶ τῶν πολλῶν, καὶ περὶ μὲν ἄλλου πράγματος οὐδενὸς ἂν οἵουστε γενομένους ἀνεκτῶς εἰπεῖν, περὶ δὲ Λακεδαιμονίων οὐ δυναμένους σιωπᾶν, ἀλλὰ προσδοκῶντας, ἢν ὑπερβάλλοντας τοὺς ἐπαίνους περὶ ἐκείνων ποιῶνται, τὴν αὐτὴν λήψεσθαι δόξαν τοῖς ἁδροτέροις αὐτῶν καὶ πολὺ βελτίοσιν εἶναι δοκοῦσι· (111) τοὺς δὴ τοιούτους, ἐπειδὰν αἴσθωνται τοὺς τόπους ἅπαντας προκατειλημ- d μένους καὶ μηδὲ πρὸς ἓν ἀντειπεῖν ἔχωσι τῶν εἰρημένων, ἐπὶ τὸν λόγον οἶμαι τρέψεσθαι τὸν περὶ τῶν πολι-

quibus libertatem sese reddituros juraverant, eos graviore servitute quam Helotes oppressisse, eamque regi gratiam retulisse, ut ejus fratri Cyro natu minori persuaserint, ut cum eo de regno armis contenderet, collectoque exercitu Clearchum ducem contra eum miserint; (105) frustratos autem in his spe sua et cognitos quales essent, et omnium odiis susceptis bello petitos et tantis turbis agitatos esse, quantis eos consentaneum est, qui et Græcos et barbaros violarint. Quibus de rebus haud scio plura dicere quorsum attineat, nisi quod navali prælio tum a regis exercitibus, tum imperatoria Cononis sollertia superati talem pacem fecerunt, (106) qua nemo demonstrare potest neque turpiorem ullam unquam esse factam, neque contumeliosiorem neque Græcorum negligentiorem aut magis eorum verbis contrariam, qui virtutem prædicant Lacedæmoniorum. Nam quum rex dominos Græcorum eos effecisset, regnum ei et fortunas omnes eripere studuerunt; postquam vero navali prælio superatos humiles reddidit, non parvam illi partem Græcorum tribuerunt, sed omnes eos qui Asiam incolerent, et apertis verbis in literas retulerunt, ut illis suo arbitratu ipse uteretur, (107) nec erubuerunt tales pactiones facere de viris quorum societate usi et nos subegerant et Græcos in suam potestatem redegerant et in spem venerant Asiæ totius occupandæ; sed tale fœdus et in suis templis descripserunt et socios idem facere coegerunt.

108. At ceteros quidem non desideraturos puto longiorem orationem, quum ex his ipsis quæ dicta sint, abunde intellexisse sibi videantur, cujusmodi urbs utraque in Græcos fuerit. Ego vero non in eadem sententia sum, sed argumentum hoc a me institutum quum alia verba multa requirere arbitror, tum vero ea quæ illorum amentiam demonstrent, qui his, quæ dicta sunt, adversari aggredientur: quæ quidem facile me inventurum reor. (109) Nam inter eos qui facta Laconum omnia probant, optimos quosque et prudentissimos Spartanorum rempublicam esse laudaturos existimo, et quod ad eam sane rem attinet, in vetere sententia permansuros; de rebus autem in Græcos designatis meæ orationi assensuros: (110) qui vero non his modo, sed vulgo etiam deteriores sunt, et quum nulla de re alia tolerabiliter dicere queant, de Lacedæmoniis tacere non possunt, sed, si eos immensis laudibus extulerint, se eadem fore gloria censent, qua ii florent qui longe illis copiosiores et præstantiores habentur, (111) hos igitur, ubi occupata loca esse omnia et ne unum quidem nostræ orationis caput se refutare posse viderint, disputationem de rebuspubli-

τειῶν, καὶ παραβάλλοντας τἀκεῖ καθεστῶτα τοῖς ἐνθάδε,
καὶ μάλιστα τὴν σωφροσύνην καὶ πειθαρχίαν πρὸς τὰς
παρ' ἡμῖν ὀλιγωρίας, ἐκ τούτων ἐγκωμιάσειν τὴν Σπάρ-
την. (112) Ἢν δὴ τοιοῦτον ἐπιχειρῶσί τι ποιεῖν, προσ- e
ήκει τοὺς εὖ φρονοῦντας ληρεῖν νομίζειν αὐτούς. Ἐγὼ
γὰρ ὑπεθέμην οὐχ ὡς περὶ τῶν πολιτειῶν διαλεξόμενος,
ἀλλ' ὡς ἐπιδείξων τὴν πόλιν ἡμῶν πολὺ πλείονος ἀξίαν
Λακεδαιμονίων περὶ τοὺς Ἕλληνας γεγενημένην. Ἢν
μὲν οὖν ἀναιρῶσί τι τούτων, ἢ πράξεις ἑτέρας κοινὰς
λέγωσι περὶ ἃς ἐκεῖνοι βελτίους ἡμῶν γεγόνασιν, εἰκό-
256τως ἂν ἐπαίνου τυγχάνοιεν· ἢν δὲ λέγειν ἐπιχειρῶσι a
περὶ ὧν ἐγὼ μηδεμίαν μνείαν ποιησαίμην, δικαίως ἂν
ἅπασιν ἀναισθήτως ἔχειν δοκοῖεν. (113) Οὐ μὴν ἀλλ'
ἐπειδή περ αὐτοὺς οἴομαι τὸν λόγον τὸν περὶ τῶν πο-
λιτειῶν εἰς τὸ μέσον ἐμβαλεῖν, οὐκ ὀκνήσω διαλεχθῆναι
περὶ αὐτῶν· οἶμαι γὰρ ἐν αὐτοῖς τούτοις τὴν πόλιν
ἡμῶν ἐπιδείξειν πλέον διενεγκοῦσαν ἢ τοῖς ἤδη προει-
ρημένοις.

114. Καὶ μηδεὶς ὑπολάβῃ με ταῦτ' εἰρηκέναι περὶ b
ταύτης, ἣν ἀναγκασθέντες μετελάβομεν, ἀλλὰ περὶ
τῆς τῶν προγόνων, ἧς οὐ καταφρονήσαντες οἱ πατέρες
ἡμῶν ἐπὶ τὴν νῦν καθεστῶσαν ὥρμησαν, ἀλλὰ περὶ μὲν
τὰς ἄλλας πράξεις πολὺ σπουδαιοτέραν ἐκείνην προ-
κρίναντες, περὶ δὲ τὴν δύναμιν τὴν κατὰ θάλατταν
ταύτην χρησιμωτέραν εἶναι νομίζοντες, ἣν λαβόντες
καὶ καλῶς ἐπιμεληθέντες οἷοί τ' ἐγένοντο καὶ τὰς ἐπι-
βουλὰς τὰς Σπαρτιατῶν ἀμύνασθαι καὶ τὴν Πελοπον-
νησίων ἁπάντων ῥώμην, ὧν κατήπειγε τὴν πόλιν περὶ c
ἐκεῖνον τὸν χρόνον μάλιστα περιγενέσθαι πολεμοῦσαν.
(115) Ὥστε οὐδεὶς ἂν δικαίως ἐπιτιμήσειε τοῖς ἑλομένοις
αὐτήν· οὐ γὰρ διήμαρτον τῶν ἐλπίδων, οὐδ' ἠγνόησαν
οὐδὲν οὔτε τῶν ἀγαθῶν οὔτε τῶν κακῶν τῶν προσ-
όντων ἑκατέρᾳ τῶν δυνάμεων, ἀλλ' ἀκριβῶς ᾔδεσαν
τὴν μὲν κατὰ γῆν ἡγεμονίαν ὑπ' εὐταξίας καὶ σωφρο-
σύνης καὶ πειθαρχίας καὶ τῶν ἄλλων τῶν τοιούτων
μελετωμένην, τὴν δὲ κατὰ θάλατταν δύναμιν οὐκ ἐκ d
τούτων αὐξανομένην, (116) ἀλλ' ἔκ τε τῶν τεχνῶν
τῶν περὶ τὰς ναῦς καὶ τῶν ἐλαύνειν αὐτὰς δυναμένων
καὶ τῶν τὰ σφέτερα μὲν αὐτῶν ἀπολωλεκότων, ἐκ δὲ
τῶν ἀλλοτρίων πορίζεσθαι τὸν βίον εἰθισμένων· ὧν εἰσ-
πεσόντων εἰς τὴν πόλιν οὐκ ἄδηλος ἦν ὅ τε κόσμος ὁ
τῆς πολιτείας τῆς πρότερον ὑπαρχούσης λυθησόμενος,
ἥ τε τῶν συμμάχων εὔνοια ταχέως ληψομένη μεταβο-
λήν, ὅταν οἷς πρότερον χώρας ἐδίδοσαν καὶ πόλεις,
τούτους ἀναγκάζωσι συντάξεις καὶ φόρους ὑποτελεῖν, e
ἵν' ἔχωσι μισθὸν διδόναι τοῖς τοιούτοις οἵους ὀλίγῳ πρό-
τερον εἶπον. (117) Ἀλλ' ὅμως οὐδὲν ἀγνοοῦντες τῶν
προειρημένων ἐνόμιζον τῇ πόλει τῇ τηλικαύτῃ μὲν τὸ
μέγεθος, τοιαύτην δ' ἐχούσῃ δόξαν, λυσιτελεῖν καὶ πρέ-
πειν ἁπάσας ὑπομεῖναι τὰς δυσχερείας μᾶλλον ἢ τὴν
257Λακεδαιμονίων ἀρχήν· δυοῖν γὰρ πραγμάτοιν προτεινο- a
μένοιν μὴ σπουδαίοιν, κρείττω τὴν αἵρεσιν εἶναι τοῦ
δεινὰ ποιεῖν ἑτέρους ἢ πάσχειν αὐτοὺς καὶ τοῦ μὴ δι-
καίως τῶν ἄλλων ἄρχειν μᾶλλον ἢ φεύγοντας τὴν αἰτίαν

cis arrepturos et instituta illorum cum nostris in contentionem adducturos esse reor, ac temperantiam inprimis et obedientiam cum negligentia nostra, ob easque res Spartam laudaturos. (112) Quodsi tale quid facere instituerint, cordati viri eos nugas agere judicare debebunt. Ego enim non disputationem de rebuspublicis institui, sed illud probare volui, nostram urbem de Græcia melius esse meritam quam Lacedæmonios. Quo ex numero si quid convellerint aut alia communia facta protulerint, quibus illi nos superarint, merito laudabuntur; si vero ea dicere cœperint, de quibus ego nullam prorsus mentionem feci, jure stupidi omnibus videbuntur. (113) Verumtamen quum eos orationem de rebuspublicis in medium allaturos putem, non gravabor ea quoque de re disserere: spero enim me ostensurum illo ipso nostram urbem magis excellere quam iis quæ supra diximus.

114. Neque vero quisquam opinetur de mutata hac republica me dicturum, qua uti coacti sumus, sed de ea quæ apud majores nostros fuit; qua nostri patres non contempta hanc arripuerunt, sed in aliis quidem rebus illam longe præclariorem, ad maris vero imperium hanc utiliorem esse judicarunt; quo suscepto et recte administrato tum a Spartanorum insidiis, tum a Peloponnesiorum omnium robore defendere sese valuerunt: nam hæc duo ut urbs nostra illis temporibus bellando superaret, rerum conditio maxime urgebat. (115) Quare nemo jure culpaverit eos, qui hanc delegerunt. Neque enim spe sua frustrati sunt nec ignorarunt, quid utrique imperio vel bonorum vel malorum inesset; sed satis norant terrestrem principatum boni ordinis, modestiæ, obedientiæ ceterarumque rerum ejus generis studium requirere; potentiam vero marinam non his rebus augeri, (116) sed et artibus nauticis et hominibus qui remos agere possent, quique quum sua perdidissent, ex alieno victum quæritare consuevissent. Quod hominum genus quum in urbem confluxisset, satis apparebat et veteris reipublicæ disciplinam dissolutum iri et sociorum benevolentiam cito illos perdituros esse, ubi eos quibus prius urbes et agros dederant, vectigalia et tributa pendere cogerent ad solvendam istis mercedem, quos paulo ante dixi. (117) Sed tamen quum eorum quæ prius posita sunt, nihil ignorarent, urbi tanta et magnitudine et gloria expedire et convenire quasvis difficultates potius existimabant quam Lacedæmoniorum imperium perpeti, et quum duæ res, quarum neutra bona esset, proponerentur, optionem eam præstare putabant, ut ipsi aliis male facerent, quam ut grassationes aliorum tolerarent, et contra jus aliis potius imperarent, quam ut hujus culpæ fuga injuste Lacedæmoniis servirent.

ταύτην ἀδίκως Λακεδαιμονίοις δουλεύειν. (118) Ἅπερ ἅπαντες μὲν ἂν οἱ νοῦν ἔχοντες ἕλοιντο καὶ βουληθεῖεν, ὀλίγοι δ' ἄν τινες τῶν προσποιουμένων εἶναι σοφῶν ἐρωτηθέντες οὐκ ἂν φήσαιεν. Αἱ μὲν οὖν αἰτίαι δι' ἃς b μετέλαβον τὴν πολιτείαν τὴν ὑπό τινων ψεγομένην ἀντὶ τῆς ὑπὸ πάντων ἐπαινουμένης, διὰ μακροτέρων μὲν αὐτὰς διῆλθον, αὗται δ' οὖν ἦσαν.

119. Ἤδη δὲ περὶ ἧς τε ὑπεθέμην καὶ τῶν προγόνων ποιήσομαι τοὺς λόγους, ἐκείνων τῶν χρόνων ἐπιλαβόμενος ὅτ' οὐκ ἦν οὔτ' ὀλιγαρχίας οὔτε δημοκρατίας ὄνομά πω λεγόμενον, ἀλλὰ μοναρχίαι καὶ τὰ γένη τὰ c τῶν βαρβάρων καὶ τὰς πόλεις τὰς Ἑλληνίδας ἁπάσας διῴκουν. (120) Διὰ τοῦτο δὲ προειλόμην πορρωτέρωθεν ποιήσασθαι τὴν ἀρχήν, πρῶτον μὲν ἡγούμενος προσήκειν τοῖς ἀμφισβητοῦσιν ἀρετῆς εὐθὺς ἀπὸ γενεᾶς διαφέροντας εἶναι τῶν ἄλλων, ἔπειτ' αἰσχυνόμενος εἰ περὶ ἀνδρῶν ἀγαθῶν μέν, οὐδὲν δέ μοι προσηκόντων πλείω διαλεχθεὶς τῶν μετρίων, περὶ τῶν προγόνων τῶν τὴν πόλιν κάλλιστα διοικησάντων μηδὲ μικρὰν ποιήσομαι d μνείαν, (121) οἳ τοσοῦτον βελτίους ἐγένοντο τῶν τοιαύτας δυναστείας ἐχόντων, ὅσον περ ἄνδρες οἱ φρονιμώτατοι καὶ πρᾳότατοι διενέγκοιεν ἂν θηρίων τῶν ἀγριωτάτων καὶ πλείστης ὠμότητος μεστῶν. Τί γὰρ οὐκ ἂν εὕροιμεν τῶν ὑπερβαλλόντων ἀνοσιότητι καὶ δεινότητι πεπραγμένον ἐν ταῖς ἄλλαις πόλεσι, καὶ μάλιστ' ἐν ταῖς μεγίσταις καὶ τότε νομιζομέναις καὶ νῦν e εἶναι δοκούσαις; οὐ φόνους ἀδελφῶν καὶ πατέρων καὶ ξένων παμπληθεῖς γεγενημένους; (122) οὐ σφαγὰς μητέρων καὶ μίξεις καὶ παιδοποιίας ἐξ ὧν ἐτύγχανον αὐτοὶ πεφυκότες; οὐ παίδων βρῶσιν ὑπὸ τῶν οἰκειοτάτων ἐπιβεβουλευμένην; οὐκ ἐκβολὰς ὧν ἐγέννησαν, καὶ κατα-
258 ποντισμοὺς καὶ τυφλώσεις καὶ τοσαύτας τὸ πλῆθος a κακοποιίας, ὥστε μηδένα πώποτ' ἀπορῆσαι τῶν εἰθισμένων καθ' ἕκαστον τὸν ἐνιαυτὸν εἰσφέρειν εἰς τὸ θέατρον τὰς τότε γεγενημένας συμφοράς;

123. Ταῦτα δὲ διῆλθον οὐκ ἐκείνους λοιδορῆσαι βουλόμενος, ἀλλ' ἐπιδεῖξαι παρὰ τοῖς ἡμετέροις οὐ μόνον οὐδὲν τοιοῦτον γεγενημένον· τοῦτο μὲν γὰρ ἂν σημεῖον ἦν οὐκ ἀρετῆς, ἀλλ' ὡς οὐχ ὅμοιοι τὰς φύσεις ἦσαν τοῖς ἀνοσιωτάτοις γεγενημένοις· δεῖ δὲ τοὺς ἐπιχειροῦντας καθ' ὑπερβολήν τινας ἐπαινεῖν μὴ τοῦτο μόνον b ἐπιδεικνύναι, μὴ πονηροὺς ὄντας αὐτούς, ἀλλ' ὡς ἁπάσαις ταῖς ἀρεταῖς καὶ τῶν τότε καὶ τῶν νῦν διήνεγκαν. Ἅπερ ἔχοι τις ἂν καὶ περὶ τῶν προγόνων τῶν ἡμετέρων εἰπεῖν. (124) Οὕτω γὰρ ὁσίως καὶ καλῶς καὶ τὰ περὶ τὴν πόλιν καὶ τὰ περὶ σφᾶς αὐτοὺς διῴκησαν, ὥσπερ προσῆκον ἦν τοὺς ἀπὸ θεῶν μὲν γεγονότας, πρώτους δὲ καὶ πόλιν οἰκήσαντας καὶ νόμοις χρησαμένους, ἅπαντα δὲ τὸν χρόνον ἠσκηκότας εὐσέβειαν μὲν c περὶ τοὺς θεούς, δικαιοσύνην δὲ περὶ τοὺς ἀνθρώπους, ὄντας δὲ μήτε μιγάδας μήτ' ἐπήλυδας, (125) ἀλλὰ μόνους αὐτόχθονας τῶν Ἑλλήνων, καὶ ταύτην ἔχοντας τὴν χώραν τροφὸν ἐξ ἧσπερ ἔφυσαν, καὶ στέργοντας αὐτὴν ὁμοίως ὥσπερ οἱ βέλτιστοι τοὺς πατέρας καὶ τὰς μητέρας

(118) Quæ utique omnes viri prudentes et præoptarent et vellent, sed pauci quidam, qui sapientes scilicet videri volunt, si rogarentur, repudiaturi essent. Causas igitur, propter quas eam rempublicam, quæ a quibusdam reprehenditur, ei quæ ab omnibus laudatur, prætulerunt, paulo copiosius in hisce exposui.

119. Nunc et de hac quam institui, et de majoribus nostris verba faciam, ab illis temporibus exorsus, quum tam democratiæ quam oligarchiæ nomen ignoraretur, sed et barbaricæ gentes et omnes Græciæ civitates regibus parerent. (120) Rem autem altius propterea repetere volui, primum quod existimo convenire ut qui de laude virtutis contendunt, a primo statim ortu aliis antecellant, deinde, quum de viris præstantibus quidem illis, sed nulla mihi necessitudine conjunctis plura quam decuit disseruerim, majorum nostrorum, qui rempublicam pulcherrime administrarunt, puderet me ne brevem quidem facere mentionem, (121) qui tanto illis, qui principatus tenent, præstantiores fuerunt, quanto viri mansuetissimi et prudentissimi bestiis immanissimis et sævissimis antecellunt. Quod enim infandum et nefarium facinus tum in aliis urbibus, tum vero in his potissimum quæ maximæ et sunt et habentur, non fuisse perpetratum inveniemus? nonne cædes fratrum et patrum et hospitum plurimæ factæ? (122) non mactationes matrum, et incesti concubitus, indeque suscepti liberi unde ipsi nati erant? non devoratio liberûm conjunctissimorum insidiis concinnata? non ejectiones eorum quos genuerant, et submersiones, et excæcationes, et tanta maleficiorum multitudo, ut eorum nemini unquam materia defuerit, qui in singulos annos illorum temporum calamitates in theatrum producere solent?

123. Hæc non eo recensui, quo illos vituperarem, sed ut ostenderem, apud nostros non tantum tale nihil esse factum: hoc enim non virtutis, sed paulo minoris quam qua scelestissimi quique sunt, improbitatis signum esset: decet autem eos qui aliquos insignibus laudibus ornare student, non id solum demonstrare, non improbos eos esse, sed omni genere virtutum et superioris et nostræ ætatis hominibus præstitisse. Quæ eadem de nostris quoque majoribus dici possunt. (124) Nam ita sancte et præclare tam civitatem quam rem suam familiarem administrarunt, ut illis dignum fuit qui et a diis geniti erant, et primi tum urbem condiderant, tum legibus usi erant, et omni tempore studuerant ut erga deos pietati, sic erga homines æquitati. Neque enim permixti aliis aut advenæ, (125) sed soli Græcorum indigenæ fuerunt, eandemque regionem nutricem habuerunt, e qua nati essent, et perinde ut optimi quique patres et matres

τὰς αὐτῶν, πρὸς δὲ τούτοις οὕτω θεοφιλεῖς ὄντας, ὥσθ'
ὃ δοκεῖ χαλεπώτατον εἶναι καὶ σπανιώτατον, εὑρεῖν τι-
νας τῶν οἴκων τῶν τυραννικῶν καὶ βασιλικῶν ἐπὶ τέτ- d
ταρας ἢ πέντε γενεὰς διαμείναντας, καὶ τοῦτο συμβῆναι
μόνοις ἐκείνοις. (126) Ἐριχθόνιος μὲν γὰρ ὁ φὺς ἐξ
Ἡφαίστου καὶ Γῆς παρὰ Κέκροπος ἄπαιδος ὄντος ἀρ-
ρένων παίδων τὸν οἶκον καὶ τὴν βασιλείαν παρέλαβεν·
ἐντεῦθεν δ' ἀρξάμενοι πάντες οἱ γενόμενοι μετ' ἐκεῖνον,
ὄντες οὐκ ὀλίγοι, τὰς κτήσεις τὰς αὑτῶν καὶ τὰς δυνα-
στείας τοῖς αὑτῶν παισὶ παρέδοσαν μέχρι Θησέως.
Περὶ οὗ πρὸ πολλοῦ ἂν ἐποιησάμην μὴ διειλέχθαι e
πρότερον περὶ τῆς ἀρετῆς καὶ τῶν πεπραγμένων αὐτῷ·
πολὺ γὰρ ἂν μᾶλλον ἥρμοσεν ἐν τῷ λόγῳ τῷ περὶ
τῆς πόλεως διελθεῖν περὶ αὐτῶν. (127) Ἀλλὰ γὰρ
χαλεπὸν ἦν, μᾶλλον δ' ἀδύνατον, τὰ κατ' ἐκεῖνον
259 ἐπελθόντα τὸν χρόνον εἰς τοῦτον ἀποθέσθαι τὸν καιρόν, a
ὃν οὐ προῄδειν ἐσόμενον. Ἐκεῖνα μὲν οὖν ἐάσομεν,
ἐπειδὴ πρὸς τὸ παρὸν αὐτοῖς κατεχρησάμην, μιᾶς δὲ
μόνον μνησθήσομαι πράξεως, ἣ συμβέβηκε μήτ' εἰρῆ-
σθαι πρότερον μήτε πεπρᾶχθαι μηδ' ὑφ' ἑνὸς ἄλλου
πλὴν ὑπὸ Θησέως, σημεῖον δ' εἶναι μέγιστον τῆς ἀρετῆς
τῆς ἐκείνου καὶ φρονήσεως. (128) Ἔχων γὰρ βασι-
λείαν ἀσφαλεστάτην καὶ μεγίστην, ἐν ᾗ πολλὰ καὶ καλὰ
διαπεπραγμένος ἦν καὶ κατὰ πόλεμον καὶ περὶ διοίκη- b
σιν τῆς πόλεως, ἅπαντα ταῦθ' ὑπερεῖδεν, καὶ μᾶλλον
εἵλετο τὴν δόξαν τὴν ἀπὸ τῶν πόνων καὶ τῶν ἀγώνων εἰς
ἅπαντα τὸν χρόνον μνημονευθησομένην ἢ τὴν ῥᾳθυμίαν
καὶ τὴν εὐδαιμονίαν τὴν διὰ τὴν βασιλείαν ἐν τῷ πα-
ρόντι γιγνομένην. (129) Καὶ ταῦτ' ἔπραξεν οὐκ ἐπειδὴ
πρεσβύτερος γενόμενος ἀπολελαυκὼς ἦν τῶν ἀγαθῶν
τῶν παρόντων, ἀλλ' ἀκμάζων, ὡς λέγεται, τὴν μὲν πό-
λιν διοικεῖν τῷ πλήθει παρέδωκεν, αὐτὸς δ' ὑπὲρ ταύ- c
της τε καὶ τῶν ἄλλων Ἑλλήνων διετέλει κινδυνεύων.

130. Περὶ μὲν οὖν τῆς Θησέως ἀρετῆς νῦν μὲν ὡς
οἷόν τ' ἦν ἀνεμνήσαμεν, πρότερον δ' ἁπάσας αὐτοῦ τὰς
πράξεις οὐκ ἀμελῶς διήλθομεν· περὶ δὲ τῶν παραλαβόν-
των τὴν τῆς πόλεως διοίκησιν, ἣν ἐκεῖνος παρέδωκεν,
οὐκ ἔχω τίνας ἐπαίνους εἰπὼν ἀξίους ἂν εἴην εἰρηκὼς τῆς
ἐκείνων διανοίας. Οἵτινες ἄπειροι πολιτειῶν ὄντες, οὐ
διήμαρτον αἱρούμενοι τῆς ὑπὸ πάντων ἂν ὁμολογηθείσης d
οὐ μόνον εἶναι κοινοτάτης καὶ δικαιοτάτης, ἀλλὰ καὶ
συμφορωτάτης ἅπασι καὶ τοῖς χρωμένοις ἡδίστης. (131)
Κατεστήσαντο γὰρ δημοκρατίαν, οὐ τὴν εἰκῇ πολιτευο-
μένην καὶ νομίζουσαν τὴν μὲν ἀκολασίαν ἐλευθερίαν
εἶναι, τὴν δ' ἐξουσίαν ὅ τι βούλεταί τις ποιεῖν εὐδαιμο-
νίαν, ἀλλὰ τὴν τοῖς τοιούτοις μὲν ἐπιτιμῶσαν, ἀριστο- e
κρατίᾳ δὲ χρωμένην· ἣν οἱ μὲν πολλοὶ χρησιμωτάτην
οὖσαν ὥσπερ τὴν ἀπὸ τῶν τιμημάτων ἐν ταῖς πολιτείαις
ἀριθμοῦσιν, οὐ δι' ἀμαθίαν ἀγνοοῦντες, ἀλλὰ διὰ τὸ μη-
δὲν πώποτ' αὐτοῖς μελῆσαι τῶν δεόντων. (132) Ἐγὼ
δὲ φημὶ τὰς μὲν ἰδέας τῶν πολιτειῶν τρεῖς εἶναι μόνας,
260 ὀλιγαρχίαν, δημοκρατίαν, μοναρχίαν, τῶν δ' ἐν ταύ- a
ταις οἰκούντων ὅσοι μὲν εἰώθασιν ἐπὶ τὰς ἀρχὰς καθι-
στάναι καὶ τὰς ἄλλας πράξεις τοὺς ἱκανωτάτους τῶν

suas dilexerunt, diis immortalibus ita cari, ut, quod difficillimum et rarissimum esse creditur, inveniri quasdam tyrannicas et regias familias, quæ quattuor ætates et quinque permanserint, id quoque illis contigerit. (126) Nam Erichthonius Vulcano et Tellure genitus a Cecrope, qui masculis liberis orbus decesserat, hæreditatem et regnum accepit. Ab hoc initio omnes eum secuti non pauci numero opes et imperia per successionem suis liberis reliquerunt usque ad Theseum; de cujus equidem virtute rebusque gestis magnopere velim me prius nihil disseruisse : multo enim aptius in oratione hac de urbe nostra instituta de eo diceretur. (127) Sed difficile fuit, vel potius fieri non potuit, ut ea, quæ illo tempore in mentem veniebant, ad hanc occasionem quam mihi oblatum iri ignorabam, reservarem. Illa igitur omittemus, quoniam olim in ejus temporis usum convertimus, et unius tantum facti mentionem faciemus, quod ita accidit ut neque sit prius expositum, neque factum ab ullo alio nisi a Theseo, et virtutis ejus prudentiæque insigne præbeat documentum. (128) Nam quum regnum haberet tutissimum et maximum, in quo multas et præclaras res gesserat tum bella suscipiendo, tum civitatem administrando, omnia hæc despexit, et gloriam laboribus certaminibusque partam, quam neque vetustas obrueret nec oblivio deleret, ignavæ beatæque vitæ prætulit, qua propter regnum in præsentia frui licuisset. (129) Et hæc egit non ubi consenuisset, fastidio quodam et satietate bonorum illorum adductus, sed in ipso ætatis flore, urbem, ut ferunt, multitudini regendam permisit, ipse autem tum pro ea, tum pro aliis Græcis adire pericula non destitit.

130. Ac de Thesei quidem virtute nunc, ut licuit, admonere auditores voluimus, olim facinora ejus omnia non negligenter persecuti. De illorum autem laudibus, qui urbis administrationem ab eo susceperunt, nescio quid dicendum sit animorum tanta præstantia dignum. Qui quum rerum publicarum distinctiones ignorarent, in deligendo non aberrarunt ab ea republica, quæ confessione omnium non humanissima tantum et æquissima esset, sed etiam omnibus utilissima et iis qui ea uterentur jucundissima. (131) Democratiam enim constituerunt non eam quæ temere misceret omnia et in petulantia libertatem, in licentia quidvis agendi felicitatem collocaret; sed quæ talia improbaret atque aristocratia uteretur : quæ quum utilissima sit, a vulgo ut ea, in qua census ratio habetur, in rebuspublicis numeratur, non quod ex inscitia ignorent, sed quia nihil unquam cogitationis de eo, quod deberent, susceperunt. (132) Ego vero formas rerum publicarum tres tantum esse dico : oligarchiam, democratiam, monarchiam. Qui igitur his utuntur, si magistratus et cetera munia civium

πολιτῶν καὶ τοὺς μέλλοντας ἄριστα καὶ δικαιότατα τῶν πραγμάτων ἐπιστατήσειν, τούτους μὲν ἐν ἁπάσαις ταῖς πολιτείαις καλῶς οἰκήσειν καὶ πρὸς σφᾶς αὐτοὺς καὶ πρὸς τοὺς ἄλλους· (133) τοὺς δὲ τοῖς θρασυτάτοις καὶ πονηροτάτοις ἐπὶ ταῦτα χρωμένους, καὶ τῶν μὲν b τῇ πόλει συμφερόντων μηδὲν φροντίζουσιν, ὑπὲρ δὲ τῆς αὑτῶν πλεονεξίας ἑτοίμοις οὖσιν ὁτιοῦν πάσχειν, τὰς δὲ τούτων πόλεις ὁμοίως οἰκήσεσθαι ταῖς τῶν προεστώτων πονηρίαις· τοὺς δὲ μήθ' οὕτω μήθ' ὡς πρότερον εἶπον, ἀλλ' ὅταν μὲν θαρρῶσι, τούτους μάλιστα τιμῶντας, τοὺς πρὸς χάριν λέγοντας, ὅταν δὲ δείσωσιν, ἐπὶ τοὺς βελτίστους καὶ φρονιμωτάτους καταφεύγοντας, c τοὺς δὲ τοιούτους ἐναλλὰξ τοτὲ μὲν χεῖρον τοτὲ δὲ βέλτιον πράξειν.

134. Αἱ μὲν οὖν φύσεις καὶ δυνάμεις τῶν πολιτειῶν οὕτως ἔχουσιν, ἡγοῦμαι δὲ ταῦτα μὲν ἑτέροις πολὺ πλείους λόγους παρέξειν τῶν νῦν εἰρημένων, ἐμοὶ δ' οὐκέτι περὶ ἁπασῶν αὐτῶν εἶναι διαλεκτέον, ἀλλὰ περὶ μόνης τῆς τῶν προγόνων· ταύτην γὰρ ὑπεσχόμην ἐπιδείξειν σπουδαιοτέραν καὶ πλειόνων ἀγαθῶν αἰτίαν οὖσαν τῆς ἐν Σπάρτῃ καθεστηκυίας. (135) Ἔσται δ' ὁ d λόγος τοῖς μὲν ἡδέως ἂν ἀκούσασι πολιτείαν χρηστὴν ἐμοῦ διεξιόντος οὔτ' ὀχληρὸς οὔτ' ἄκαιρος, ἀλλὰ σύμμετρος καὶ προσήκων τοῖς πρότερον εἰρημένοις, τοῖς δὲ μὴ χαίρουσι τοῖς μετὰ πολλῆς σπουδῆς εἰρημένοις, ἀλλὰ τοῖς ἐν ταῖς πανηγύρεσι μάλιστα μὲν λοιδορουμένοις, ἢν δ' ἀπόσχωνται τῆς μανίας ταύτης, ἐγκωμιάζουσιν ἢ τὰ φαυλότατα τῶν ὄντων ἢ τοὺς παρανομωτάτους τῶν γεγενημένων, τούτοις δ' αὐτὸν οἶμαι δόξειν πολὺ μα- e κρότερον εἶναι τοῦ δέοντος. (136) Ἐμοὶ δὲ τῶν μὲν τοιούτων ἀκροατῶν οὐδὲν πώποτ' ἐμέλησεν, οὐδὲ τοῖς ἄλλοις τοῖς εὖ φρονοῦσιν, ἐκείνων δὲ τῶν ἅ τε προεῖπον πρὸ ἅπαντος τοῦ λόγου μνημονευσάντων, τῷ τε πλήθει τῶν λεγομένων οὐκ ἐπιτιμησόντων, οὐδ' ἢν μυρίων ἐπῶν a ᾖ τὸ μῆκος, ἀλλ' ἐφ' αὑτοῖς εἶναι νομιούντων τοσοῦτον ἀναγνῶναι μέρος καὶ διελθεῖν ὁπόσον ἂν αὐτοὶ βουληθῶσιν, πάντων δὲ μάλιστα τῶν οὐδενὸς ἂν ἥδιον ἀκουόν- 261 των ἢ λόγου διεξιόντος ἀνδρῶν ἀρετὰς καὶ πόλεως τρόπον καλῶς οἰκουμένης, (137) ἅπερ εἰ μιμήσασθαί τινες βουληθεῖεν καὶ δυνηθεῖεν, αὐτοί τ' ἂν ἐν μεγάλῃ δόξῃ τὸν βίον διαγάγοιεν καὶ τὰς πόλεις τὰς αὑτῶν εὐδαίμονας ποιήσειαν. Οἵους μὲν οὖν εὐξαίμην ἂν εἶναι τοὺς ἀκου- b σομένους τῶν ἐμῶν, εἴρηκα, δέδοικα δὲ μὴ τοιούτων γενομένων πολὺ καταδεέστερον εἴπω τῶν πραγμάτων περὶ ὧν μέλλω ποιεῖσθαι τοὺς λόγους. Ὅμως δ' οὕτως ὅπως ἂν οἷός τ' ὦ πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

138. Τοῦ μὲν οὖν διαφερόντως τῶν ἄλλων οἰκεῖσθαι τὴν πόλιν ἡμῶν κατ' ἐκεῖνον τὸν χρόνον δικαίως ἂν ἐπενέγκοιμεν τὴν αἰτίαν τοῖς βασιλεύσασιν αὐτῆς, περὶ ὧν ὀλίγῳ πρότερον διελέχθην. c Ἐκεῖνοι γὰρ ἦσαν οἱ παιδεύσαντες τὸ πλῆθος ἐν ἀρετῇ καὶ δικαιοσύνῃ καὶ πολλῇ σωφροσύνῃ, καὶ διδάξαντες ἐξ ὧν διῴκουν, ἅπερ ἐγὼ φανείην ἂν ὕστερον εἰρηκὼς ἢ 'κεῖνοι πράξαντες, ὅτι πᾶσα πολιτεία ψυχὴ πόλεώς ἐστι, τοσαύτην ἔχουσα

prudentissimis et optime ac justissime curaturis omnia mandent, eos in quavis republica tum inter se, tum erga alios felici statu futuros : (133) qui vero audacissimos et improbissimos deligunt, qui quum reipublicæ utilitatem negligant, tum ad explendam suam avaritiam quidvis parati sint et facere et perpeti : horum urbes certum est ita administrari, ut est magistratuum improbitas; qui autem neque sic, neque ut prius dixi, sese parant, sed quum securi sunt, eos maxime honorant, qui ad gratiam loquuntur, in metu vero et periculis ad optimos et prudentissimos quosque confugiunt, eos per vices alias feliciores fore, alias calamitosiores.

134. Hæc igitur natura et vis est rerumpublicarum. Atque hæc aliis multo plura verba suppeditatura existimo, quam nos fecimus, mihi vero non de omnibus illis, sed de sola majorum nostrorum republica esse disserendum. Hanc enim pollicitus sum demonstraturum majoris esse pretii, quam eam quæ Spartæ constituta est. (135) Erit autem oratio iis qui me libenter de bona republica dicentem audituri sunt, neque molesta nec intempestiva, sed apta et conveniens superioribus; illis vero qui gravem et severam orationem aspernantes, iis maxime delectantur, qui in conventibus solemnibus convicia dicunt, vel, si furore illo abstinuerint, aut res omnium vilissimas aut mortalium nequissimos laudant : iis eam visum iri puto, quam oporteat, multo prolixiorem. (136) Verum ego nihil unquam ejusmodi auditores curavi, ut nec alius quisquam vir prudens; sed eorum rationem habui, qui et illa quæ jam dixi, præter omnia alia memoriæ mandaturi neque disputationis prolixitatem, etiam si decies mille versuum ea fuerit, reprehensuri sunt; sed sui arbitrii esse putabunt tantum legere et percensere, quantum ipsi volent, omniumque maxime eorum qui nihil libentius audiant ea oratione, qua vel præstantium virorum virtutes vel Reipublicæ bene constitutæ mores commemorentur. (137) Quæ si quidam imitari vellent et possent, quum ipsi magna gloria ætatem exigerent, tum suas urbes felices redderent. Ac quales mihi auditores dari optarim, dixi; vereor autem, etiamsi tales contigerint, ne longe tenuius quam pro rerum gravitate, de quibus disserere institui, dicam. Sic tamen, ut potero, de eis verba facere aggrediar.

138. Quod igitur nostra urbs illis temporibus melius quam aliæ administrata fuit, id regibus, de quibus paulo ante dixi, acceptum referri debet. Hi enim fuerunt qui populum ad virtutem, ad justitiam, magnamque obedientiam instituerint, et suis actionibus id docuerint, quod ego posterius dico quam ipsi fecerunt, QUAMVIS REIPUBLICÆ FORMAM

δύναμιν ὅσην περ ἐν σώματι φρόνησις· αὕτη γάρ ἐστιν
ἡ βουλευομένη περὶ ἁπάντων, καὶ τὰ μὲν ἀγαθὰ δια-
φυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύγουσα, καὶ πάν-
των αἰτία τῶν ταῖς πόλεσι συμβαινόντων. (139) Ἃ d
μαθὼν ὁ δῆμος οὐκ ἐπελάθετο διὰ τὴν μεταβολήν, ἀλλὰ
μᾶλλον τούτῳ προσεῖχεν ἢ τοῖς ἄλλοις, ὅπως λήψεται
τοὺς ἡγεμόνας δημοκρατίας μὲν ἐπιθυμοῦντας, τὸ δ'
ἦθος τοιοῦτον ἔχοντας οἷόν περ οἱ πρότερον ἐπιστατοῦν-
τες αὐτῶν, καὶ μὴ λήσουσι σφᾶς αὐτοὺς κυρίους ἁπάν-
των τῶν κοινῶν καταστήσαντες οἷς οὐδεὶς ἂν οὐδὲν τῶν
ἰδίων ἐπιτρέψειεν, (140) μηδὲ περιόψονται πρὸς τὰ τῆς
πόλεως προσιόντας τοὺς ὁμολογουμένως ὄντας πονηρούς, e
μηδ' ἀνέξονται τὴν φωνὴν τῶν τὰ μὲν σώματα τὰ σφέτερ'
αὐτῶν ἐπονειδίστως διατιθεμένων, συμβουλεύειν δὲ τοῖς
ἄλλοις ἀξιούντων ὃν τρόπον τὴν πόλιν διοικοῦντες σωφρο-
262 νοῖεν ἂν καὶ βέλτιον πράττοιεν, μηδὲ τῶν ἃ μὲν παρὰ a
τῶν πατέρων παρέλαβον εἰς αἰσχρὰς ἡδονὰς ἀνηλωκότων,
ἐκ δὲ τῶν κοινῶν ταῖς ἰδίαις ἀπορίαις βοηθεῖν ζητούν-
των, μηδὲ τῶν πρὸς χάριν μὲν ἀεὶ λέγειν γλιχομένων,
εἰς πολλὰς δ' ἀηδίας καὶ λύπας τοὺς πειθομένους ἐμβαλ-
λόντων, (141) ἀλλὰ τούς τε τοιούτους ἅπαντας ἀπείρ-
γειν ἀπὸ τοῦ συμβουλεύειν ἕκαστος οἰήσεται δεῖν, καὶ
πρὸς τούτοις ἐκείνους τοὺς τὰ μὲν τῶν ἄλλων κτήματα
τῆς πόλεως εἶναι φάσκοντας, τὰ δὲ ταύτης ἴδια κλέ- b
πτειν καὶ διαρπάζειν τολμῶντας, καὶ φιλεῖν μὲν τὸν δῆ-
μον προσποιουμένους, ὑπὸ δὲ τῶν ἄλλων ἁπάντων αὐτὸν
μισεῖσθαι ποιοῦντας, (142) καὶ λόγῳ μὲν δεδιότας
ὑπὲρ τῶν Ἑλλήνων, ἔργῳ δὲ λυμαινομένους καὶ συκο-
φαντοῦντας καὶ διατιθέντας αὐτοὺς οὕτω πρὸς ἡμᾶς,
ὥστε τῶν πόλεων τὰς εἰς τὸν πόλεμον καθισταμένας
ἥδιον ἂν καὶ θᾶττον ἐνίας εἰσδέξασθαι τοὺς πολιορκοῦν-
τας ἢ τὴν παρ' ἡμῶν βοήθειαν. Ἀπείποι δ' ἄν τις c
γράφων, εἰ πάσας τὰς κακοηθείας καὶ πονηρίας ἐξαρι-
θμεῖν ἐπιχειρήσειεν· (143) ἃς ἐκεῖνοι μισήσαντες καὶ
τοὺς ἔχοντας αὐτάς, ἐποιοῦντο συμβούλους καὶ προστά-
τας οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς βελτίστους καὶ φρονι-
μωτάτους καὶ κάλλιστα βεβιωκότας, καὶ τοὺς αὐτοὺς
τούτους στρατηγοὺς ᾑροῦντο καὶ πρέσβεις (εἴ που δεή-
σειεν) ἔπεμπον, καὶ πάσας τὰς ἡγεμονίας τὰς τῆς πό-
λεως αὐτοῖς παρεδίδοσαν, νομίζοντες τοὺς ἐπὶ τοῦ βή-
ματος βουλομένους καὶ δυναμένους τὰ βέλτιστα συμ- d
βουλεύειν, τούτους καὶ καθ' αὑτοὺς γενομένους ἐν ἅπασι
τοῖς τόποις καὶ περὶ ἁπάσας τὰς πράξεις τὴν αὐτὴν
γνώμην ἕξειν· ἅπερ αὐτοῖς συνέβαινεν. (144) Διὰ γὰρ
τὸ ταῦτα γιγνώσκειν ἐν ὀλίγαις ἡμέραις ἑώρων τούς τε
νόμους ἀναγεγραμμένους, οὐχ ὁμοίους τοῖς νῦν κειμέ-
νοις, οὐδὲ τοσαύτης ταραχῆς καὶ τοσούτων ἐναντιώσεων
μεστοὺς ὥστε μηδέν' ἂν δυνηθῆναι συνιδεῖν μήτε τοὺς
χρησίμους μήτε τοὺς ἀχρήστους αὐτῶν, ἀλλὰ πρῶτον e
μὲν ὀλίγους, ἱκανοὺς δὲ τοῖς χρῆσθαι μέλλουσι καὶ ῥα-
δίους συνιδεῖν, ἔπειτα δικαίους καὶ συμφέροντας καὶ
σφίσιν αὐτοῖς ὁμολογουμένους, καὶ μᾶλλον ἐσπουδασμέ-
263 νους τοὺς περὶ τῶν κοινῶν ἐπιτηδευμάτων ἢ τοὺς περὶ a
τῶν ἰδίων συμβολαίων, οἵους περ εἶναι χρὴ παρὰ τοῖς

CIVITATIS ESSE ANIMAM, cujus ea vis sit, quæ mentis in corpore. Nam hæc est quæ et omnibus de rebus deliberet, et res secundas tueatur, et effugiat adversas, effectrix omnium quæ civitatibus contingunt. (139) Quibus cognitis populus ejus rei propter mutationem non oblitus est, sed in hoc magis quam in alia incubuit, ut duces sortiretur qui et statum popularem expeterent et iis moribus essent præditi, quibus illi qui olim regnassent, ne per incuriam summæ rerum omnium eos præficeret, quibus nemo privatim quicquam mandatum vellet, (140) aut committeret ut illi ad gubernacula civitatis sederent, quorum in confesso esset improbitas, aut vocem illorum ferret, qui quum sua ipsi corpora probris affecissent, aliis præscribere studerent quemadmodum rempublicam administrantes prudenter agerent felicioresque fierent; aut illis in republica locus daretur, qui patrimoniis in fœdas voluptates profusis peculatu et rapinis inopiæ suæ consultum vellent; aut illis, qui quum ad gratiam semper loqui cuperent, in multa ingrata et molesta conjicerent eos qui ipsis obtemperassent. (141) Nam et hujus quidem generis homines omnes a consiliis esse removendos, nemo est omnium quin existimet; et ad hos illos quoque, qui quum aliorum possessiones reipublicæ esse dicant, proprias civitatis opes depeculari ac diripere audent, et se amare populum simulant, quem apud omnes alios in odium adducunt; (142) qui quum Græcis verbo metuant, eos re vexant et calumniantur, et efficiunt ut ita erga nos affecti sint, ut pleræque civitates bellis conflictantes malint obsessoribus portas quamprimum aperire, quam nostra præsidia intromittere. Nemo scribendo enumerare possit omnem improbitatem et scelera istorum : (143) quæ quum illi non minus quam qui iis tenerentur vitiis, odissent, non temere quosvis ad consilia et magistratus admittebant, sed optimos et prudentissimos quosque et vitæ integritate spectatissimos. Atque hos ipsos tum imperatores creabant, tum, sicubi necesse esset, legatos mittebant tum magistratus urbanos omnes illis mandabant, existimantes, qui pro concione optima suadere et vellent et possent, eosdem etiam seorsum omnibus in locis et de omnibus negotiis eodem animo parique prudentia futuros. Neque vero opinione sua frustrati sunt. (144) Nam quum hac mente essent, paucis diebus leges in tabulas relatas et publice propositas viderunt, non his, quas nunc habemus, similes neque confusionis plenas et inter sese pugnantes, ita ut nemo quæ ratæ habendæ quæque rejiciendæ sint, distinguere possit; sed primum paucas, sic tamen ut et satisfacerent et cognitu faciles essent iis qui usuri erant illis; deinde justas et utiles et inter se consentientes, et magis in hoc intentas, ut publica instituta præclara essent, quam ut privata commercia siue fraude fierent, quales esse decet in republica bene consti-

καλῶς πολιτευομένοις. (145) Περὶ δὲ τοὺς αὐτοὺς χρόνους καθίστασαν ἐπὶ τὰς ἀρχὰς τοὺς προκριθέντας ὑπὸ τῶν φυλετῶν καὶ δημοτῶν, οὐ περιμαχήτους αὐτὰς ποιήσαντες οὐδ' ἐπιθυμίας ἀξίας, ἀλλὰ πολὺ μᾶλλον λειτουργίαις ὁμοίας ταῖς ἐνοχλούσαις μὲν οἷς ἂν προσταχθῶσι, τιμὴν δέ τινα περιτιθείσαις αὐτοῖς· ἔδει γὰρ τοὺς ἄρχειν αἱρεθέντας τῶν τε κτημάτων τῶν ἰδίων ἀμελεῖν, καὶ τῶν λημ- b μάτων τῶν εἰθισμένων δίδοσθαι ταῖς ἀρχαῖς ἀπέχεσθαι μηδὲν ἧττον ἢ τῶν ἱερῶν (ἃ τίς ἂν ἐν τοῖς νῦν καθεστῶσιν ὑπομείνειεν;), (146) καὶ τοὺς μὲν ἀκριβεῖς περὶ ταύτας γιγνομένους μετρίως ἐπαινεθέντας ἐφ' ἑτέραν ἐπιμέλειαν τάττεσθαι τοιαύτην, τοὺς δὲ καὶ μικρὸν παραβάντας ταῖς ἐσχάταις αἰσχύναις καὶ μεγίσταις ζημίαις περιπίπτειν· ὥστε μηδένα τῶν πολιτῶν ὥσπερ νῦν δια- c κεῖσθαι πρὸς τὰς ἀρχάς, ἀλλὰ μᾶλλον τότε ταύτας φεύγειν ἢ νῦν διώκειν, (147) καὶ πάντας νομίζειν μηδέποτ' ἂν γενέσθαι δημοκρατίαν ἀληθεστέραν μηδὲ βεβαιοτέραν μηδὲ μᾶλλον τῷ πλήθει συμφέρουσαν τῆς τῶν μὲν τοιούτων πραγματειῶν ἀτέλειαν τῷ δήμῳ διδούσης, τοῦ δὲ τὰς ἀρχὰς καταστῆσαι καὶ λαβεῖν δίκην παρὰ τῶν ἐξαμαρτόντων κύριον ποιούσης, ἅπερ ὑπάρχει καὶ τῶν τυράννων τοῖς εὐδαιμονεστάτοις. (148) Σημεῖον d δὲ μέγιστον ὅτι ταῦτ' ἠγάπων μᾶλλον ἢ γὼ λέγω· φαίνεται γὰρ ὁ δῆμος ταῖς μὲν ἄλλαις πολιτείαις ταῖς οὐκ ἀρεσκούσαις μαχόμενος καὶ καταλύων καὶ τοὺς προεστῶτας αὐτῶν ἀποκτείνων, ταύτῃ δὲ χρώμενος οὐκ ἐλάττω χιλίων ἐτῶν, ἀλλ' ἐμμείνας ἀφ' οὗπερ ἔλαβε μέχρι τῆς Σόλωνος μὲν ἡλικίας, Πεισιστράτου δὲ δυναστείας, ὃς δημαγωγὸς γενόμενος καὶ πολλὰ τὴν πόλιν λυμηνάμενος καὶ τοὺς βελτίστους τῶν πολιτῶν ὡς ὀλι- e γαρχικοὺς ὄντας ἐκβαλών, τελευτῶν τόν τε δῆμον κατέλυσε καὶ τύραννον αὑτὸν κατέστησεν.

149. Τάχ' οὖν ἄν τινες ἄτοπον εἶναί με φήσειαν (οὐδὲν γὰρ κωλύει διαλαβεῖν τὸν λόγον), ὅτι τολμῶ λέγειν
164 ὡς ἀκριβῶς εἰδὼς περὶ πραγμάτων οἷς οὐ παρῆν πρατ- a τομένοις. Ἐγὼ δ' οὐδὲν τούτων ἄλογον οἶμαι ποιεῖν. Εἰ μὲν γὰρ μόνος ἐπίστευον τοῖς τε λεγομένοις περὶ τῶν παλαιῶν καὶ τοῖς γράμμασι τοῖς ἐξ ἐκείνου τοῦ χρόνου παραδεδομένοις ἡμῖν, εἰκότως ἂν ἐπιτιμῴμην· νῦν δὲ πολλοὶ καὶ νοῦν ἔχοντες ταὐτὸν ἐμοὶ φανεῖεν ἂν πεπονθότες. (150) Χωρὶς δὲ τούτων, εἰ κατασταίην εἰς ἔλεγχον καὶ λόγον, δυνηθείην ἂν ἐπιδεῖξαι πάντας ἀνθρώπους πλείους ἐπιστήμας ἔχοντας διὰ τῆς ἀκοῆς ἢ τῆς ὄψεως, b καὶ μείζους πράξεις καὶ καλλίους εἰδότας ἃς παρ' ἑτέρων ἀκηκόασιν ἢ 'κείνας αἷς αὐτοὶ παραγεγενημένοι τυγχάνουσιν. Ἀλλὰ γὰρ οὔτ' ἀμελεῖν καλῶς ἔχει τῶν τοιούτων ὑπολήψεων (τυχὸν γὰρ μηδενὸς ἀντειπόντος λυμήναιντ' ἂν τὴν ἀλήθειαν), οὔτ' αὖ πολὺν χρόνον ἀντιλέγοντας διατρίβειν ἐν αὐταῖς, ἀλλ' ὅσον ὑποδείξαντας μόνον τοῖς ἄλλοις ἐξ ὧν ληροῦντας ἂν αὐτοὺς ἐπιδείξαιεν, πάλιν ἐπανελθόντας περαίνειν καὶ λέγειν ὅθεν c ἀπέλιπον· ὅπερ ἐγὼ ποιήσω.

151. Τὸ μὲν οὖν σύνταγμα τῆς τότε πολιτείας, καὶ τὸν χρόνον ὅσον αὐτῇ χρώμενοι διετέλεσαν ἐξαρκούν-

tuta. (145) Circa eadem tempora magistratus creabant eos qui a tribulibus et municipalibus delecti erant. Neque enim dignitates tales fecerant, quæ magnopere ambiendæ aut expetendæ essent, sed multo magis muneribus similes, iis quibus mandata fuerint, sane molestis, sed etiam honoris aliquid afferentibus. Oportebat enim eos qui delecti erant, et rem familiarem negligere, et largitionibus quæ magistratibus dari solent, non minus quam donariis templorum abstinere (quæ quis est qui his moribus ferre velit?), (146) et si qui officio functi essent, eos mediocriter collaudatos aliam talem curationem suscipere oportebat; qui vero paululum de via declinassent, summis probris et maximis suppliciis affici. Quare nemo civium, ut nunc fit, magistratus appetebat, sed magis fugiebant quam nunc appetunt; (147) omnesque putabant nunquam exsistere posse veriorem democratiam aut firmiorem aut multitudini utiliorem ea quæ et talium quidem functionum populo immunitatem daret, legendorum autem magistratuum auctoritatem et puniendi delinquentes tribueret; quæ non alia potestas est quam felicissimorum tyrannorum. (148) Et hæc, quam ego dico, pluris eos fecisse illud maximo argumento est, quod populus alias reipublicæ formas, quæ displicent, oppugnare et destruere et magistratus occidere solet; hac vero usus est non paucioribus quam mille annis, in eaque perseveravit ab illo tempore quo accepit usque ad Solonis ætatem Pisistratique principatum: qui populi gubernator factus quum reipublicæ multum nocuisset optimosque cives tanquam oligarchicos ejecisset, tandem populari statu abrogato tyrannidem occupavit.

149. Fortasse autem aliqui me absurde facere dicent (nihil enim vetat hanc orationem interpellare), qui hæc dicere audeam tanquam de rebus perfecte mihi cognitis, quibus, dum gererentur, non interfuerim. Sed ego me nihil horum temere facere puto. Nam si ego solus sermonibus de veterum institutis et scriptis, quæ ab illo tempore ad nos pervenerunt, fidem haberem, non injuria reprehenderer; nunc multos eosque prudentes viros facere idem, quod me, apparet. (150) Præterea si argumenta a me et rationes postulentur, probare queam omnes homines auribus plura quam oculis cognoscere, et majores et pulchriores res scire, quas ab aliis audierint, quam quibus ipsi interfuerint. Ceterum hujusmodi reprehensiones neque negligendæ sunt (nam si a nemine diluerentur, fortasse veritatem læderent), neque refutandis illis diutius immorandum; sed ubi tantum aliis subindicatum fuerit, ex quo adversarios nugas agere ostendatur, ad propositum redeundum et absolvendum id est quod institutum fuit. Quod ego quoque faciam.

151. Ordinationem igitur reipublicæ, quæ olim fuit, et tempus per quod ea sunt usi, quantum satis est, exposui-

τως δεδηλώκαμεν· λοιπὸν δ' ἡμῖν τὰς πράξεις τὰς ἐκ
τοῦ καλῶς πολιτεύεσθαι γεγενημένας διελθεῖν. Ἐκ τού-
των γὰρ ἔτι μᾶλλον ἔσται καταμαθεῖν ὅτι καὶ τὴν πο-
λιτείαν εἶχον ἡμῶν οἱ πρόγονοι βελτίω τῶν ἄλλων καὶ
σωφρονεστέραν, καὶ προστάταις καὶ συμβούλοις ἐχρῶντο d
τοιούτοις οἵοις χρὴ τοὺς εὖ φρονοῦντας. (152) Οὐ μὴν
οὐδὲ ταῦτά μοι πρότερον λεκτέον ἐστί, πρὶν ἂν μικρὰ
προείπω περὶ αὐτῶν. Ἢν γὰρ ὑπεριδὼν τὰς ἐπιτιμή-
σεις τὰς τῶν οὐδὲν ἄλλο ποιεῖν ἢ τοῦτο δυναμένων ἐφε-
ξῆς διηγῶμαι περί τε τῶν ἄλλων τῶν πεπραγμένων καὶ
τῶν ἐπιτηδευμάτων τῶν περὶ τὸν πόλεμον, οἷς οἱ πρό-
γονοι χρώμενοι τῶν τε βαρβάρων περιεγένοντο καὶ
παρὰ τοῖς Ἕλλησιν εὐδοκίμησαν, οὐκ ἔστιν ὅπως οὐ e
φήσουσί τινές με διεξιέναι τοὺς νόμους οὓς Λυκοῦργος
μὲν ἔθηκε, Σπαρτιᾶται δ' αὐτοῖς χρώμενοι τυγχάνου-
σιν. (153) Ἐγὼ δὲ ὁμολογῶ μὲν ἐρεῖν πολλὰ τῶν ἐκεῖ
καθεστώτων, οὐχ ὡς Λυκούργου τι τούτων εὑρόντος ἢ
265 διανοηθέντος, ἀλλ' ὡς μιμησαμένου τὴν διοίκησιν ὡς a
δυνατὸν ἄριστα τὴν τῶν προγόνων τῶν ἡμετέρων, καὶ
τήν τε δημοκρατίαν καταστήσαντος παρ' αὐτοῖς τὴν
ἀριστοκρατίᾳ μεμιγμένην, ἥπερ ἦν παρ' ἡμῖν, καὶ τὰς
ἀρχὰς οὐ κληρωτὰς ἀλλ' αἱρετὰς ποιήσαντος, (154)
καὶ τὴν τῶν γερόντων αἵρεσιν τῶν ἐπιστατούντων ἅπασι
τοῖς πράγμασι μετὰ τοσαύτης σπουδῆς ποιεῖσθαι νομο-
θετήσαντος, μεθ' ὅσης πέρ φασι καὶ τοὺς ἡμετέρους
περὶ τῶν εἰς Ἄρειον πάγον ἀναβήσεσθαι μελλόντων, ἔτι b
δὲ καὶ τὴν δύναμιν αὐτοῖς περιθέντος τὴν αὐτήν, ἥνπερ
ᾔδει καὶ τὴν βουλὴν ἔχουσαν τὴν παρ' ἡμῖν.

155. Ὅτι μὲν οὖν τὸν αὐτὸν τρόπον τἀκεῖ καθέστηκεν
ὥσπερ εἶχε τὸ παλαιὸν καὶ τὰ παρ' ἡμῖν, παρὰ πολ-
λῶν ἔσται πυθέσθαι τοῖς εἰδέναι βουλομένοις· ὡς δὲ καὶ
τὴν ἐμπειρίαν τὴν περὶ τὸν πόλεμον οὐ πρότερον ἤσκη-
σαν οὐδ' ἄμεινον ἐχρήσαντο Σπαρτιᾶται τῶν ἡμετέρων,
ἐκ τῶν ἀγώνων καὶ τῶν πολέμων τῶν ὁμολογουμένων c
γενέσθαι κατ' ἐκεῖνον τὸν χρόνον οὕτως οἶμαι σαφῶς
ἐπιδείξειν, ὥστε μήτε τοὺς ἀνοήτως λακωνίζοντας ἀν-
τειπεῖν δυνήσεσθαι τοῖς ῥηθεῖσι, μήτε τοὺς [τὰ ἡμέτερα]
ἅμα τε θαυμάζοντας καὶ βασκαίνοντας καὶ μιμεῖσθαι
γλιχομένους. (156) Ποιήσομαι δὲ τὴν ἀρχὴν τῶν λε-
χθησομένων ἀκοῦσαι μὲν ἴσως τισὶν ἀηδῆ, ῥηθῆναι δ'
οὐκ ἀσύμφορον. Εἰ γάρ τις φαίη τὼ πόλεε τούτω πλεί- d
στων ἀγαθῶν αἰτίας γεγενῆσθαι τοῖς Ἕλλησι καὶ με-
γίστων κακῶν μετὰ τὴν Ξέρξου στρατείαν, οὐκ ἔστιν
ὅπως οὐκ ἀληθῆ δόξειεν ἂν λέγειν τοῖς εἰδόσι τι περὶ τῶν
τότε γεγενημένων. (157) Ἠγωνίσαντό τε γὰρ ὡς δυνατὸν
ἄριστα πρὸς τὴν ἐκείνου δύναμιν, ταῦτά τε πράξασαι,
προσῆκον αὐταῖς καὶ περὶ τῶν ἐχομένων βουλεύσασθαι
καλῶς, εἰς τοῦτ' ἦλθον οὐκ ἀνοίας, ἀλλὰ μανίας, ὥστε e
πρὸς μὲν τὸν ἐπιστρατεύσαντα καὶ βουληθέντα τὼ μὲν
πόλεε τούτω παντάπασιν ἀνελεῖν, τοὺς δ' ἄλλους Ἕλ-
ληνας καταδουλώσασθαι, (158) πρὸς μὲν τὸν τοιοῦτον,
κρατήσασαι ῥᾳδίως ἂν αὐτοῦ καὶ κατὰ γῆν καὶ κατὰ
θάλατταν, εἰρήνην εἰς ἅπαντα συνεγράψαντο τὸν χρό-
νον ὥσπερ πρὸς εὐεργέτην γεγενημένον, φθονήσασαι δὲ

mus. Restat igitur ut quæ actiones bonum civitatis statum secutæ sint, explicemus. Ex his enim rectius intelligetur nostros majores rempublicam meliorem habuisse tum quam alios, rectiusque etiam temperatam, atque iis consiliariis esse usos, quorum auctoritati parere prudentiæ est. (152) Sed ne hæc quidem prius dicenda mihi sunt, quam pauca de iis præfatus ero. Si enim neglectis eorum reprehensionibus, qui hoc unum didicerunt, vel de aliis rebus gestis vel de militari disciplina, quibus usi majores et barbaros superarunt et a Græcis bene audierunt, ordine narravero: fieri non poterit quin aliqui me dicant leges recitare, quas et Lycurgus tulerit et Spartani observent. (153) Ego vero me dicturum esse multa fateor, quæ illic recepta sunt, non quo Lycurgus illa vel invenerit vel excogitarit; sed quod majorum nostrorum gubernationem quam optime imitatus domi democratiam instituit aristocratia temperatam, qualis apud nos fuit, et magistratus non sortito, sed per suffragia creari voluit, (154) legemque tulit, ut seniores, qui rebus omnibus præessent, tanto studio et cura legerentur, quanta ferunt a majoribus nostris Areopagitas esse lectos, et eandem illis auctoritatem tribuit, quam sciret senatum apud nos habuisse.

155. Lacedæmoniorum igitur eam esse rempublicam, quæ apud nos olim quoque fuerit, e multis audire licet, si qui scire id cupiunt. Jam rei militaris peritiam non prius excoluisse neque melius tractasse Spartanos quam nostros, certaminibus et bellis quæ facta esse illis temporibus omnes confitentur, me ita perspicue ostensurum arbitror, ut nec Laconum inepte studiosi habituri sint in quo meis verbis contradicant, nec illi etiam, qui nostra simul et mirantur et invident et imitari cupiunt. (156) Ab eo autem exordiar, quod auditu fortasse non omnibus jucundum, sed dictu tamen non erit inutile. Si quis enim dicat duas has urbes plurima beneficia in Græciam contulisse atque maximis malis eandem post Xerxis expeditionem affecisse, non poterit non dixisse verum iis videri, qui res gestas illorum temporum cognitas habent. (157) Nam et quam fortissime fieri potest contra ejus potentiam dimicarunt, et eo facto, quum decuisset etiam de iis, quæ restabant, optime consultare, in eam non amentiam, sed insaniam sunt impulsæ, ut cum eo, qui ipsas oppugnarat, qui utramque urbem delere funditus, qui ceteros Græcos servitute opprimere destinarat, (158) tali præsertim, quem facile terra marique superassent, pacem in omne tempus tanquam cum bene merito fecerint, et altera alterius

266 ταῖς ἀρεταῖς ταῖς αὐτῶν, εἰς πόλεμον καταστᾶσαι πρὸς a ἀλλήλας καὶ φιλονεικίαν, οὐ πρότερον ἐπαύσαντο σφᾶς τ' αὐτὰς ἀπολλύουσαι καὶ τοὺς ἄλλους Ἕλληνας, πρὶν κύριον ἐποίησαν τὸν κοινὸν ἐχθρὸν τήν τε πόλιν τὴν ἡμετέραν εἰς τοὺς ἐσχάτους καταστῆσαι κινδύνους διὰ τῆς δυνάμεως τῆς Λακεδαιμονίων, καὶ πάλιν τὴν ἐκείνων διὰ τῆς πόλεως τῆς ἡμετέρας. (159) Καὶ τοσοῦτον ἀπολειφθέντες τῆς τοῦ βαρβάρου φρονήσεως, οὔτ' ἐν ἐκείνοις τοῖς χρόνοις ἤλγησαν ἀξίως ὧν ἔπαθον οὐδ' ὡς b προσῆκεν αὐτούς, οὔτε νῦν αἱ μέγισται τῶν Ἑλληνίδων πόλεων αἰσχύνονται διακολακευόμεναι πρὸς τὸν ἐκείνου πλοῦτον, ἀλλ' ἡ μὲν Ἀργείων καὶ Θηβαίων Αἴγυπτον αὐτῷ συγκατεπολέμησεν, ἵν' ὡς μεγίστην ἔχων δύναμιν ἐπιβουλεύῃ τοῖς Ἕλλησιν, ἡμεῖς δὲ καὶ Σπαρτιᾶται, συμμαχίας ἡμῖν ὑπαρχούσης, ἀλλοτριώτερον ἔχομεν πρὸς ἡμᾶς αὐτοὺς ἢ πρὸς οὓς ἑκάτεροι πολεμοῦντες τυγ- c χάνομεν. (160) Σημεῖον δ' οὐ μικρόν· κοινῇ μὲν γὰρ οὐδὲ περὶ ἑνὸς πράγματος βουλευόμεθα, χωρὶς δ' ἑκάτεροι πρέσβεις πέμπομεν ὡς ἐκεῖνον, ἐλπίζοντες, ὁποτέροις ἂν οἰκειότερον διατεθῇ, κυρίους τούτους γενήσεσθαι τῆς ἐν τοῖς Ἕλλησι πλεονεξίας, κακῶς εἰδότες ὡς τοὺς μὲν θεραπεύοντας αὐτὸν ὑβρίζειν εἴθισται, πρὸς δὲ τοὺς ἀντιταττομένους καὶ καταφρονοῦντας τῆς ἐκείνου δυνάμεως ἐκ παντὸς τρόπου διαλύεσθαι πειρᾶται d τὰς διαφοράς.

161. Ταῦτα δὲ διῆλθον οὐκ ἀγνοῶν ὅτι λέγειν τινὲς τολμήσουσιν ὡς ἔξω τῆς ὑποθέσεως τοῖς λόγοις τούτοις ἐχρησάμην. Ἐγὼ δ' οὐδέποτ' ἂν οἶμαι τοῖς προειρημένοις οἰκειοτέρους λόγους ῥηθῆναι τούτων, οὐδ' ἐξ ὧν ἄν τις σαφέστερον ἐπιδείξειε τοὺς προγόνους ἡμῶν φρονιμωτέρους ὄντας περὶ τὰ μέγιστα τῶν τήν τε πόλιν τὴν ἡμετέραν καὶ τὴν Σπαρτιατῶν μετὰ τὸν πόλεμον τὸν πρὸς Ξέρξην διοικησάντων. (162) Αὗται μὲν γὰρ e ἂν φανεῖεν ἐν ἐκείνοις τε τοῖς χρόνοις πρὸς μὲν τοὺς βαρβάρους εἰρήνην ποιησάμεναι, σφᾶς δ' αὐτὰς καὶ 267 τὰς ἄλλας πόλεις ἀπολλύουσαι, νῦν τε τῶν μὲν Ἑλλή- a νων ἄρχειν ἀξιοῦσαι, πρὸς δὲ τὸν βασιλέα πρέσβεις πέμπουσαι περὶ φιλίας καὶ συμμαχίας· οἱ δὲ τότε τὴν πόλιν οἰκοῦντες οὐδὲν τούτων ἔπραττον, ἀλλὰ πᾶν τοὐναντίον· (163) τῶν μὲν γὰρ Ἑλληνίδων πόλεων οὕτως αὐτοῖς ἀπέχεσθαι σφόδρα δεδογμένον ἦν ὥσπερ τοῖς εὐσεβέσι τῶν ἐν τοῖς ἱεροῖς ἀνακειμένων, τῶν δὲ πολέμων ὑπελάμβανον ἀναγκαιότατον μὲν εἶναι καὶ δικαιότατον τὸν μετὰ πάντων ἀνθρώπων πρὸς τὴν ἀγριό- b τητα τῶν θηρίων γιγνόμενον, δεύτερον δὲ τὸν μετὰ τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους τοὺς καὶ φύσει πολεμίους ὄντας καὶ πάντα τὸν χρόνον ἐπιβουλεύοντας ἡμῖν. (164) Τοῦτον δ' εἴρηκα τὸν λόγον οὐκ αὐτὸς εὑρών, ἀλλ' ἐκ τῶν ἐκείνοις πεπραγμένων συλλογισάμενος. Ὁρῶντες γὰρ τὰς μὲν ἄλλας πόλεις ἐν πολλοῖς κακοῖς καὶ πολέμοις καὶ ταραχαῖς οὔσας, τὴν δ' αὐτῶν μόνην καλῶς διοικουμένην, οὐχ ἡγήσαντο δεῖν τοὺς ἀμείνον c τῶν ἄλλων φρονοῦντας καὶ πράττοντας ἀμελεῖν οὐδὲ περιορᾶν τὰς τῆς αὐτῆς συγγενείας μετεχούσας ἀπολ-

virtutibus invidentes bello suscepto tanta æmulatione inter se contenderint, ut et sese mutuo et ceteros Græcos perdere non prius destiterint, quam communi hosti eam potestatem dedissent, ut is nostram urbem per Lacedæmoniorum potentiam in summum discrimen adduceret, ac rursum Lacedæmonios, per nostram urbem. (159) Quamvis autem barbarus eas prudentia tam longe superasset, tamen neque illis temporibus ob acceptas clades, ita uti par fuit ipsasque decuit, doluerunt, neque nunc Græcarum urbium maximas opum causa adulari eum pudet. Nam Argivi quidem et Thebani Ægyptum illi missis auxiliis subegerunt, ut quam maxima potentia munitus Græcis insidiaretur; nos autem et Spartani, quum societate conjuncti simus, alieniores alteri ab alteris animos habemus quam ab iis, contra quos utrique bella gerimus. (160) Cujus rei non parvum illud signum est, quod nec ulla de re communi consilio deliberamus, et utrique seorsum legatos ad illum mittimus, sperantes, utri eum magis propitium habuerint, in eorum potestate fore Græciæ dominatum, adeoque sumus amentes, ut non animadvertamus solere eum illos a quibus colatur, contumeliose tractare; cum iis autem qui se ei opponant et ejus potentiam contemnant, omni modo dare operam ut redeat in gratiam.

161. Hæc recensui, quum satis scirem non defuturos qui dicere auderent ea quæ dixerim, nihil ad institutum pertinere. Ego vero nunquam quicquam esse dictum existimo, quod supra dictis magis conveniat, aut quo manifestius demonstretur majores nostros maximis in rebus fuisse prudentiores illis, qui tum nostram, tum Spartanorum urbem post bellum cum Xerxe gestum gubernarunt. (162) Satis enim constat eas et illis temporibus cum barbaris fecisse et quum se ipsas, tum alias civitates perdidisse, et nunc Græcis imperare velle, et legatos ad regem mittere ad expetendam ejus amicitiam et societatem : qui vero quondam nostram urbem tenuerunt, nihil tale fecerunt, sed omnia contraria. (163) Nam Græcis urbibus abstinere tam constanter eis decretum fuit, quam religiosis hominibus donariis templorum. Bellum autem maxime necessarium et justissimum, a quo mortalium nemo immunis esse deberet, id putabant, quod contra immanitatem belluarum gereretur; proximum, quod Græcorum auxilio inferretur barbaris, qui et natura essent hostes et perpetuo nobis insidiarentur. (164) Hæc vero quæ dixi, non ipse excogitavi, sed ex illorum rebus gestis sum ratiocinatus. Nam quum alias urbes in multis malis et bellis et turbis versari, suam vero solam recte gubernari viderent, non existimarunt eorum esse officii, qui et rectius saperent et rebus secundioribus uterentur, connivere ac pati cognatas urbes interire, sed et rationem ineundam et

λυμήνας, ἀλλὰ σκεπτέον εἶναι καὶ πρακτέον ὅπως ἁπάσας ἀπαλλάξουσι τῶν κακῶν τῶν παρόντων. (165) Ταῦτα δὲ διανοηθέντες τῶν μὲν ἧττον νοσουσῶν πρεσβείαις καὶ λόγοις ἐξαιρεῖν ἐπειρῶντο τὰς διαφοράς, εἰς δὲ τὰς μᾶλλον στασιαζούσας ἐξέπεμπον τῶν πολιτῶν τοὺς μεγίστην παρ' αὐτοῖς δόξαν ἔχοντας, οἵ περί τε d τῶν παρόντων πραγμάτων αὐταῖς συνεβούλευον, καὶ συγγιγνόμενοι τοῖς τε μὴ δυναμένοις ἐν ταῖς αὑτῶν ζῆν καὶ τοῖς χεῖρον γεγονόσιν ὧν οἱ νόμοι προστάττουσιν, οἵπερ ὡς ἐπὶ τὸ πολὺ λυμαίνονται τὰς πόλεις, ἔπειθον μεθ' αὑτῶν στρατεύεσθαι καὶ βίον ζητεῖν βελτίω τοῦ παρόντος. (166) Πολλῶν δὲ γιγνομένων τῶν ταῦτα βουλομένων καὶ πειθομένων, στρατόπεδα συνιστάντες e ἐξ αὐτῶν, τούς τε τὰς νήσους κατέχοντας τῶν βαρβάρων καὶ τοὺς ἐφ' ἑκατέρας τῆς ἠπείρου τὴν παραλίαν κατοικοῦντας καταστρεφόμενοι, καὶ πάντας ἐκβαλόντες, τοὺς μάλιστα βίου δεομένους τῶν Ἑλλήνων κατῴκιζον. Καὶ
268 ταῦτα πράττοντες καὶ τοῖς ἄλλοις ὑποδεικνύοντες διε- a τέλουν, ἕως ἤκουσαν Σπαρτιάτας τὰς πόλεις τὰς ἐν Πελοποννήσῳ κατοικούσας, ὥσπερ εἶπον, ὑφ' αὑτοῖς πεποιημένους· μετὰ δὲ ταῦτα τοῖς ἰδίοις ἠναγκάζοντο προσέχειν τὸν νοῦν.

167. Τί οὖν ἐστι τὸ συμβεβηκὸς ἀγαθὸν ἐκ τοῦ πολέμου τοῦ περὶ τὰς ἀποικίας καὶ πραγματείας; τοῦτο γὰρ οἶμαι μάλιστα ποθεῖν ἀκοῦσαι τοὺς πολλούς. Τοῖς μὲν Ἕλλησιν εὐπορωτέροις γενέσθαι τὰ περὶ τὸν βίον καὶ μᾶλλον ὁμονοεῖν τοσούτων τὸ πλῆθος καὶ b τοιούτων ἀνθρώπων ἀπαλλαγεῖσι, τοῖς δὲ βαρβάροις ἐκπίπτειν ἐκ τῆς αὑτῶν καὶ φρονεῖν ἔλαττον ἢ πρότερον, τοῖς δ' αἰτίοις τούτων γεγενημένοις εὐδοκιμεῖν καὶ δοκεῖν διπλασίαν πεποιηκέναι τὴν Ἑλλάδα τῆς ἐξ ἀρχῆς συστάσης.

168. Μεῖζον μὲν οὖν εὐεργέτημα τούτου καὶ κοινότερον τοῖς Ἕλλησι γεγενημένον παρὰ τῶν προγόνων τῶν ἡμετέρων οὐκ ἂν δυναίμην ἐξευρεῖν· οἰκειότερον c δὲ τῇ περὶ τὸν πόλεμον ἐπιμελείᾳ καὶ δόξης οὐκ ἐλάττονος ἄξιον καὶ πᾶσι φανερώτερον ἴσως ἕξομεν εἰπεῖν. Τίς γὰρ οὐκ οἶδεν, ἢ τίς οὐκ ἀκήκοε τῶν τραγῳδοδιδασκάλων Διονυσίοις, τὰς Ἀδράστῳ γενομένας ἐν Θήβαις συμφοράς, (169) ὅτι κατάγειν βουληθεὶς τὸν Οἰδίπου μὲν υἱόν, αὑτοῦ δὲ κηδεστήν, παμπληθεῖς μὲν Ἀργείων ἀπώλεσεν, ἅπαντας δὲ τοὺς λοχαγοὺς ἐπεῖδε διαφθαρέντας, αὐτὸς δ' ἐπονειδίστως σωθείς, ἐπειδὴ σπονδῶν οὐχ οἷός τ' d ἦν τυχεῖν οὐδ' ἀνελέσθαι τοὺς τετελευτηκότας, ἱκέτης γενόμενος τῆς πόλεως, ἔτι Θησέως αὐτὴν διοικοῦντος, ἐδεῖτο μὴ περιιδεῖν τοιούτους ἄνδρας ἀτάφους γενομένους μηδὲ παλαιὸν ἔθος καὶ πάτριον νόμον καταλυόμενον, ᾧ πάντες ἄνθρωποι χρώμενοι διατελοῦσιν οὐχ ὡς ὑπ' ἀνθρωπίνης κειμένῳ φύσεως, ἀλλ' ὡς ὑπὸ δαιμονίας προστεταγμένῳ δυνάμεως. (170) Ὧν ἀκούσας οὐδένα χρόνον ἐπισχὼν ὁ δῆμος ἔπεμψε πρεσβείαν εἰς e Θήβας, περί τε τῆς ἀναιρέσεως συμβουλεύσοντας αὐτοῖς ὁσιώτερον βουλεύσασθαι καὶ τὴν ἀπόκρισιν νομιμωτέραν ποιήσασθαι τῆς πρότερον γενομένης, κἀκεῖν'

operam esse dandam, ut universas malis illis liberarent. (165) His cogitationibus susceptis dissidia saniorum civitatum legationibus et disceptationibus tollere studuerunt: si quæ vero seditiosiores erant, cives summæ apud se auctoritatis ablegarunt, qui et consiliis eas in rebus illis juvarent et congressi tum cum iis qui ob egestatem in patria vivere non poterant, tum cum iis quorum insita ferocia legum decretis adversabatur (quod hominum genus urbibus plerumque perniciosum est), persuaserunt ut secum in militiam profecti vitam illa meliorem quærerent. (166) Quum igitur multi essent qui ea vellent et obtemperarent, constituto ex illis exercitu, et barbaros qui insulas occuparant expulerunt, et eos qui utramque Asiæ Europæque oram tenebant aggressi, omnibus ejectis, egentissimos Græcorum ibi collocarunt. Hæc et ipsi agere et aliis ad imitandum proponere non destiterunt, donec audissent Spartanos Peloponnesi urbes, ut dixi, subegisse. Tum vero sua tueri coacti sunt.

167. Quid igitur boni bella illa et occupationes mittendi colonias secutum est? hoc enim existimo plerosque potissimum audire velle. Hoc nimirum, ut Græci ditiores et copiosiores fierent, magisque consentirent tanta et tali multitudine hominum liberati; ut barbari extorres et profligati submissioribus animis essent, quam prius; ut harum rerum auctores insignem caperent gloriam, duploque majorem Græciam fecisse viderentur quam initio fuerat.

168. Quo majus quidem beneficium et communius Græcis a nostris majoribus datum reperire non possum. Quod autem sit cum peritia rei militaris conjunctius, nec minore prædicatione dignum, et omnibus manifestius, habituri forte sumus quod dicamus. Quis enim ignorat aut Dionysiis e Tragicis actoribus non audivit, quas Adrastus clades ad Thebas acceperit? (169) qui Œdipi filium, suum generum, in regnum restituere conatus maximas Argivorum copias amisit et omnes ductores vidit interemptos, ipse per dedecus servatus: et quia nec fœdus impetrare nec cæsos afficere sepultura poterat, supplex urbi nostræ factus Theseo adhuc eam gubernante oravit, ne tales viros insepultos jacere aut vetus institutum et patriam legem apud universos homines receptam abrogari sineret, quæ non mortali prodita ingenio, sed a divina potentia imperata videretur. (170) Quibus populus auditis nulla mora interposita legatos Thebas misit, qui suaderent ut et de reddendis cadaveribus sanctius consilium inirent, et æquius responsum quam prius darent, atque illud subindicarent nostram

ὑποδείξοντας, ὡς ἡ πόλις αὐτοῖς οὐκ ἐπιτρέψει παραβαίνουσι τὸν νόμον τὸν κοινὸν ἁπάντων τῶν Ἑλλή-
269 νων. (171) Ὧν ἀκούσαντες οἱ κύριοι τότε Θηβῶν a ὄντες οὐχ ὁμοίως ἔγνωσαν οὔτε ταῖς δόξαις αἷς ἔχουσί τινες περὶ αὐτῶν, οὔθ' οἷς ἐβουλεύσαντο πρότερον, ἀλλὰ μετρίως περὶ αὐτῶν τε διαλεχθέντες καὶ τῶν ἐπιστρατευσάντων κατηγορήσαντες ἔδοσαν τῇ πόλει τὴν ἀναίρεσιν.

172. Καὶ μηδεὶς οἰέσθω μ' ἀγνοεῖν ὅτι τἀναντία τυγχάνω λέγων οἷς ἐν τῷ Πανηγυρικῷ λόγῳ φανείην ἂν περὶ τῶν αὐτῶν τούτων γεγραφώς· ἀλλὰ γὰρ οὐδένα νομίζω τῶν ταῦτα συνιδεῖν ἂν δυνηθέντων· τοσαύτης b ἀμαθίας εἶναι καὶ φθόνου μεστόν, ὅστις οὐκ ἂν ἐπαινέσειέ με καὶ σωφρονεῖν ἡγήσαιτο τότε μὲν ἐκείνως νῦν δ' οὕτω διαλεχθέντα περὶ αὐτῶν. (173) Περὶ μὲν οὖν τούτων οἶδ' ὅτι καλῶς γέγραφα καὶ συμφερόντως· ὅσον δ' ἡ πόλις ἡμῶν διέφερε τὰ περὶ τὸν πόλεμον κατ' ἐκεῖνον τὸν χρόνον (τοῦτο γὰρ ἀποδεῖξαι βουλόμενος διῆλθον τὰ γενόμενα Θήβησιν), ἡγοῦμαι τὴν πρᾶξιν ἐκείνην ἅπασι σαφῶς δηλοῦν, τὴν τὸν μὲν βασιλέα τὸν Ἀρ- c γείων ἀναγκάσασαν ἱκέτην γενέσθαι τῆς πόλεως τῆς ἡμετέρας, (174) τοὺς δὲ κυρίους ὄντας Θηβῶν οὕτω διαθεῖσαν, ὥσθ' ἑλέσθαι μᾶλλον αὐτοὺς ἐμμεῖναι τοῖς λόγοις τοῖς ὑπὸ τῆς πόλεως πεμφθεῖσιν ἢ τοῖς νόμοις τοῖς ὑπὸ τοῦ δαιμονίου κατασταθεῖσιν· ὧν οὐδὲν ἂν οἷατ' ἐγένετο διοικῆσαι κατὰ τρόπον ἡ πόλις ἡμῶν, εἰ μὴ καὶ τῇ δόξῃ καὶ τῇ δυνάμει πολὺ διήνεγκε τῶν ἄλλων.

175. Ἔχων δὲ πολλὰς καὶ καλὰς πράξεις περὶ τῶν d προγόνων εἰπεῖν, σκοποῦμαι τίνα τρόπον διαλεχθῶ περὶ αὐτῶν. Μέλει γάρ μοι τούτων μᾶλλον ἢ τῶν ἄλλων· τυγχάνω γὰρ ὢν περὶ τὴν ὑπόθεσιν ἣν ἐποιησάμην τελευταίαν, ἐν ᾗ προεῖπον ὡς ἐπιδείξω τοὺς προγόνους ἡμῶν ἐν τοῖς πολέμοις καὶ ταῖς μάχαις πλέον διενεγκόντας Σπαρτιατῶν ἢ τοῖς ἄλλοις ἅπασιν. (176) Ἔσται δ' ὁ λόγος παράδοξος μὲν τοῖς πολλοῖς, ὁμοίως e δ' ἀληθὴς τοῖς ἄλλοις. Ἄρτι μὲν οὖν ἠπόρουν ποτέρων διεξίω πρότερον τοὺς κινδύνους καὶ τὰς μάχας, τὰς Σπαρτιατῶν ἢ τὰς τῶν ἡμετέρων· νῦν δὲ προαιροῦμαι λέγειν τὰς ἐκείνων, ἵν' ἐν ταῖς καλλίοσι καὶ δικαιοτέραις καταλύω τὸν λόγον τὸν περὶ τούτων.

270 177. Ἐπειδὴ γὰρ Δωριέων οἱ στρατεύσαντες εἰς a Πελοπόννησον τριχῇ διείλοντο τὰς πόλεις καὶ τὰς χώρας ἀφείλοντο τοὺς δικαίως κεκτημένους, οἱ μὲν Ἄργος λαχόντες καὶ Μεσσήνην παραπλησίως διῴκουν τὰ σφέτερ' αὐτῶν τοῖς ἄλλοις Ἕλλησι, τὸ δὲ τρίτον μέρος αὐτῶν, οὓς καλοῦμεν νῦν Λακεδαιμονίους, στασιάσαι μέν φασιν αὐτοὺς οἱ τἀκείνων ἀκριβοῦντες ὡς οὐδένας ἄλλους τῶν Ἑλλήνων, περιγενομένους δὲ τοὺς μεῖζον τοῦ πλήθους φρονοῦντας οὐδὲν τῶν αὐτῶν βουλεύσα- b σθαι περὶ τῶν συμβεβηκότων τοῖς τοιαῦτα διαπεπραγμένοις· (178) τοὺς μὲν γὰρ ἄλλους συνοίκους ἔχειν ἐν τῇ πόλει τοὺς στασιάσαντας καὶ κοινωνοὺς ἁπάντων πλὴν τῶν ἀρχῶν καὶ τῶν τιμῶν· οὓς οὐκ εὖ φρονεῖν ἡγεῖσθαι Σπαρτιατῶν τοὺς νοῦν ἔχοντας εἰ νομίζουσιν

urbem eis non permissuram ut communem omnium Græcorum legem violarent. (171) Qui vero tum Thebis imperabant, his acceptis non eo modo statuerunt quemadmodum et plerique de eis sentiunt et ipsi prius decreverant; sed et modeste suam causam egerunt, et accusatis iis a quibus oppugnati essent, nostræ urbi cadavera tollenda tradiderunt.

172. At nemo putet me iis, quæ in oratione Panegyrica de his ipsis scripsisse videar, ex inscitia dicere contraria. Ego enim existimo neminem eorum, qui hæc perspicere potuerunt, tanta esse væcordia et invidia refertum, qui me non laudet ac prudenter facere censeat, quod tunc illo, nunc hoc modo de eis disseruerim. (173) De his igitur scio me recte scripsisse atque utiliter. Quantum autem nostra urbs illo tempore bellica fortitudine præstiterit (nam ut hoc demonstrarem, ea recensui quæ Thebis facta sunt), id existimo ista ipsa re omnibus planissimum fieri, quæ et regem Argivorum urbi nostræ supplicem fieri coegerit, (174) et Thebanorum dominos eo redegerit, ut maluerint nostræ urbis præceptis quam legibus a deo latis obtemperare. Quorum urbs nostra nihil rite perficere potuisset, nisi et auctoritate et potentia ceteris longe præstitisset.

175. Quum autem multa et præclara majorum facinora dicenda habeam, dispicio qua ratione de eis disseram. Nam hæc majori mihi curæ sunt, quam cætera. Jam enim in ultima propositi mei parte versor, quo me probaturum asserui majores nostros in bellis et prœliis magis antecelluisse Spartanis, quam ceteris rebus omnibus. (176) Erit autem hæc oratio ab opinione multorum abhorrens illa quidem, sed non minus vera tamen videatur ceteris. Modo equidem dubitabam, utrorum dimicationes et pugnæ, num Spartanorum an vero nostrorum civium, prius recensendæ essent. Nunc ab illis ordiri placet, ut ad finem disputationis hujus res gestas reservem præclariores et æquiores.

177. Posteaquam igitur Dorienses in Peloponnesum cum exercitu profecti pulsis per injuriam veteribus incolis eorumque agris occupatis trifariam civitates diviserunt; qui Argos et Messenam sortiti erant, eo fere modo civitates suas administrarunt, quo reliqui Græci: tertiam autem eorum partem, quos nunc Lacedæmonios dicimus, ita seditiosos fuisse ab iis qui res illorum perquirunt, est proditum, ut nullos aliorum Græcorum; quum vero ii qui supra plebem animo sese extulerunt, superiores evasissent, longe hos aliam rationem et ab aliorum omnium, qui similes turbas experti essent, consuetudine abhorrentem pacandorum tumultuum constituendæque reipublicæ inivisse. (178) Nam ceteros adversam factionem in eadem civitate vivere et omnium commodorum societate, magistratibus

ἀσφαλῶς πολιτεύεσθαι μετὰ τούτων οἰκοῦντες, περὶ
οὓς τὰ μέγιστα τυγχάνουσιν ἐξημαρτηκότες· αὐτοὺς δ' c
οὐδὲν τούτων ποιεῖν, ἀλλὰ παρὰ σφίσι μὲν αὐτοῖς
ἰσονομίαν καταστῆσαι καὶ δημοκρατίαν τοιαύτην, οἵαν
περ χρὴ τοὺς μέλλοντας ἅπαντα τὸν χρόνον ὁμονοήσειν,
τὸν δὲ δῆμον περιοίκους ποιήσασθαι, καταδουλωσαμέ-
νους αὐτῶν τὰς ψυχὰς οὐδὲν ἧττον ἢ τὰς τῶν οἰκετῶν·
(179) ταῦτα δὲ πράξαντας τῆς χώρας, ἧς προσῆκεν
ἴσον ἔχειν ἕκαστον, αὐτοὺς μὲν λαβεῖν ὀλίγους ὄντας
οὐ μόνον τὴν ἀρίστην, ἀλλὰ καὶ τοσαύτην ὅσην οὐδένες
τῶν Ἑλλήνων ἔχουσι, τῷ δὲ πλήθει τηλικοῦτον ἀπο- d
νεῖμαι μέρος τῆς χειρίστης ὥστ' ἐπιπόνως ἐργαζομένους
μόλις ἔχειν τὸ καθ' ἡμέραν· μετὰ δὲ ταῦτα διελόντας
τὸ πλῆθος αὐτῶν ὡς οἷόν τ' ἦν εἰς ἐλαχίστους εἰς τόπους
κατοικίσαι μικροὺς καὶ πολλούς, ὀνόμασι μὲν προσα-
γορευομένους ὡς πόλεις οἰκοῦντας, τὴν δὲ δύναμιν
ἔχοντας ἐλάττω τῶν δήμων τῶν παρ' ἡμῖν· (180) ἁπάν-
των δ' ἀποστερήσαντας αὐτοὺς ὧν προσήκει μετέχειν
τοὺς ἐλευθέρους, τοὺς πλείστους ἐπιθεῖναι τῶν κινδύνων e
αὐτοῖς· ἔν τε γὰρ ταῖς στρατείαις αἷς ἡγεῖται βασι-
271 λεύς, κατ' ἄνδρα συμπαρατάττεσθαι σφίσιν αὐτοῖς, a
ἐνίους δὲ καὶ τῆς πρώτης τάττειν, ἐάν τέ που δεῆσαν
αὐτοὺς ἐκπέμψαι βοήθειαν φοβηθῶσιν ἢ τοὺς πόνους ἢ
τοὺς κινδύνους ἢ τὸ πλῆθος τοῦ χρόνου, τούτους ἀπο-
στέλλειν προκινδυνεύσοντας τῶν ἄλλων. (181) Καὶ τί
δεῖ μακρολογεῖν ἁπάσας διεξιόντα τὰς ὕβρεις τὰς περὶ
τὸ πλῆθος γιγνομένας, ἀλλὰ μὴ τὸ μέγιστον εἰπόντα b
τῶν κακῶν ἀπαλλαγῆναι τῶν ἄλλων; τῶν γὰρ οὕτω
μὲν ἐξ ἀρχῆς δεινὰ πεπονθότων, ἐν δὲ τοῖς παροῦσι και-
ροῖς χρησίμων ὄντων, ἔξεστι τοῖς ἐφόροις ἀκρίτους ἀπο-
κτεῖναι τοσούτους ὁπόσους ἂν βουληθῶσιν· ἃ τοῖς ἄλλοις
Ἕλλησιν οὐδὲ τοὺς πονηροτάτους τῶν οἰκετῶν ὅσιόν
ἐστι μιαιφονεῖν.

182. Τούτου δ' ἕνεκα περὶ τῆς οἰκειότητος καὶ τῶν
ἡμαρτημένων εἰς αὐτοὺς διὰ πλειόνων διῆλθον, ἵν'
ἔρωμαι τοὺς ἀποδεχομένους ἁπάσας τὰς Σπαρτιατῶν c
πράξεις, εἰ καὶ ταύτας ἀποδέχονται, καὶ τὰς μάχας
εὐσεβεῖς εἶναι νομίζουσι καὶ καλὰς τὰς πρὸς τούτους
γεγενημένας. (183) Ἐγὼ μὲν γὰρ ἡγοῦμαι μεγάλας
μὲν αὐτὰς γεγενῆσθαι καὶ δεινὰς καὶ πολλῶν αἰτίας
τοῖς μὲν ἡττηθεῖσι κακῶν, τοῖς δὲ κατορθώσασι λημμά-
των, ὧνπερ ἕνεκα πολεμοῦντες ἅπαντα τὸν χρόνον
διατελοῦσιν, οὐ μὴν ὁσίας οὐδὲ καλὰς οὐδὲ πρεπούσας
τοῖς ἀρετῆς ἀντιποιουμένοις, μὴ τῆς ἐπὶ τῶν τεχνῶν
ὀνομαζομένης καὶ πολλῶν ἄλλων, ἀλλὰ τῆς τοῖς κα-
λοῖς κἀγαθοῖς τῶν ἀνδρῶν ἐν ταῖς ψυχαῖς μετ' εὐσε- d
βείας καὶ δικαιοσύνης ἐγγιγνομένης, περὶ ἧς ἅπας ὁ
λόγος ἐστίν. (184) Ἧς ὀλιγωροῦντές τινες ἐγκωμιά-
ζουσι τοὺς πλείω τῶν ἄλλων ἡμαρτηκότας, καὶ οὐχ
αἰσθάνονται τὰς διανοίας ἐπιδεικνύντες τὰς σφετέρας
αὐτῶν, ὅτι κἀκείνους ἂν ἐπαινέσειαν, τοὺς πλείω μὲν
κεκτημένους τῶν ἱκανῶν, ἀποκτεῖναι δ' ἂν τολμήσαν-
τας τοὺς ἀδελφοὺς τοὺς ἑαυτῶν καὶ τοὺς ἑταίρους καὶ e
τοὺς κοινωνοὺς ὥστε καὶ τἀκείνων λαβεῖν· ὅμοια γὰρ

solum et honoribus exceptis, frui pati, quos Spartanorum prudentissimos recte sapere negare, si existiment sibi et reipublicæ nihil ab iis esse periculi, quos insignibus injuriis affecerint : ipsos vero nihil tale facere, sed inter sese æqualitatem et democratiam ejusmodi constituisse, qualis deceat eos qui perpetuo concordes esse debeant; plebem autem circum se in vicinia collocasse, servitute oppressis illorum animis non minus quam servorum. (179) Quæ quum perfecissent, agri, quem inter omnes æqualiter esse distributum oportuerat, ipsos qui pauci essent, non optimam modo, sed etiam tantam vindicasse partem, quantam nulli Græcorum habeant, et multitudini tantum deterrimæ terræ impertiisse, ut magno labore vix excolere possint, quantum ad vitam sustentandam sit necessarium : postea divisa inopi multitudine in paucissimos, in parvis et multis oppidulis collocasse, qui quum iis nominibus appellentur quasi civitates incolant, revera minus auctoritatis et opum habeant quam nostri pagi. (180) Quum autem eis eripuissent omnia quæ liberis hominibus permittenda sunt, maximam periculorum partem in eos inclinasse. Nam in expeditionibus quæ ductu regis fiant, viritim in acie juxta Spartanos stare, quosdam etiam deligi, qui in prima phalange collocentur, et si, quum aliquo supplementa mittenda sunt, vel labores, vel pericula, vel moras belli metuant, hos mittere moris esse, ut sua capita pro aliorum salute periculis objectent. (181) Et quid multis opus est omnes recensere injurias, quibus multitudo afficiatur? quin potius maximo malo prolato cetera missa facimus? Nam eorum qui et ab initio tantas acerbitates perpessi sunt et ad quasvis occasiones operam ita strenuam navant, Ephoris licet indicta causa tot occidere, quot libitum eis fuerit : quæ quidem sanguinaria crudelitas apud ceteros Græcos nefarium scelus habetur, si vel in perditissimos servos exerceatur.

182. De Spartanorum autem in cives olim suos sævitia et peccatis in eos admissis ideo pluribus disserui, ut interrogarem eos qui facta illorum omnia probant, num etiam hæc laudent et prælia cum istis gesta sancta et præclara putent. (183) Ego quidem magna illa existimo fuisse et acerba, quæ, ut victis ingentia mala, sic victoribus emolumenta plurima peperere, propter quæ isti bella perpetuo gerunt; sed neque sancta neque honesta neque decora iis qui præstantiam illam sibi vindicant, non quæ in artibus et multis aliis rebus sic dicitur, sed veræ virtutis, quæ viris bonis et honestis cum pietate et justitia in animis innascitur, de qua omnis oratio est. (184) Qua quidam neglecta eos laudant qui plura quam alii peccata contraxerunt, nec animadvertunt se mentem suam aperire illudque prodere, quod eos etiam laudaturi sint, qui maximis quidem opibus polleant, sed et fratres suos et amicos et socios occidere

τὰ τοιαῦτα τῶν ἔργων ἐστὶ τοῖς ὑπὸ Σπαρτιατῶν πεπραγμένοις, ἃ τοὺς ἀποδεχομένους ἀναγκαῖόν ἐστι καὶ περὶ τῶν εἰρημένων ἄρτι τὴν αὐτὴν ἔχειν γνώμην.

272 185. Θαυμάζω δ' εἴ τινες τὰς μάχας καὶ τὰς νίκας a τὰς παρὰ τὸ δίκαιον γιγνομένας μὴ νομίζουσιν αἰσχίους εἶναι καὶ πλειόνων ὀνειδῶν μεστὰς ἢ τὰς ἥττας τὰς ἄνευ κακίας συμβαινούσας, καὶ ταῦτ' εἰδότες ὅτι μεγάλαι δυνάμεις πονηραὶ δὲ πολλάκις γίγνονται κρείττους ἀνδρῶν σπουδαίων καὶ κινδυνεύειν ὑπὲρ τῆς πατρίδος αἱρουμένων· (186) οὓς πολὺ ἂν δικαιότερον ἐπαινοῖμεν ἢ τοὺς περὶ τῶν ἀλλοτρίων ἑτοίμως ἀποθνήσκειν ἐθέλοντας καὶ τοῖς ξενικοῖς στρατεύμασιν b ὁμοίους ὄντας· ταῦτα μὲν γὰρ ἔστιν ἔργα πονηρῶν ἀνθρώπων, τὸ δὲ τοὺς χρηστοὺς ἐνίοτε χεῖρον ἀγωνίζεσθαι τῶν ἀδικεῖν βουλομένων θεῶν ἄν τις ἀμέλειαν εἶναι φήσειεν. (187) Ἔχοιμι δ' ἂν τῷ λόγῳ τούτῳ χρήσασθαι καὶ περὶ τῆς συμφορᾶς τῆς Σπαρτιάταις ἐν Θερμοπύλαις γενομένης, ἣν ἅπαντες ὅσοι περ ἀκηκόασιν ἐπαινοῦσι καὶ θαυμάζουσι μᾶλλον ἢ τὰς μάχας καὶ τὰς νίκας τὰς κρατησάσας μὲν τῶν ἐναντίων, πρὸς c οὓς δ' οὐκ ἐχρῆν γεγενημένας· ἃς εὐλογεῖν τινες τολμῶσι, κακῶς εἰδότες ὡς οὐδὲν οὔθ' ὅσιον οὔτε καλόν ἐστι τῶν μὴ μετὰ δικαιοσύνης καὶ λεγομένων καὶ πραττομένων. (188) Ὧν Σπαρτιάταις μὲν οὐδὲν πώποτ' ἐμέλησεν· βλέπουσι γὰρ εἰς οὐδὲν ἄλλο πλὴν ὅπως ὡς πλεῖστα τῶν ἀλλοτρίων κατασχήσουσιν· οἱ δ' ἡμέτεροι περὶ οὐδὲν οὕτω τῶν ὄντων ἐσπούδαζον ὡς τὸ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν· ἡγοῦντο γὰρ οὐδεμίαν d ἂν γενέσθαι κρίσιν οὔτ' ἀληθεστέραν οὔτε δικαιοτέραν τῆς ὑπὸ παντὸς τοῦ γένους γνωσθείσης. (189) Δῆλοι δ' ἦσαν οὕτως ἔχοντες ἔν τε τοῖς ἄλλοις οἷς διῴκουν τὴν πόλιν, καὶ τοῖς μεγίστοις τῶν πραγμάτων. Τριῶν γὰρ πολέμων γενομένων ἄνευ τοῦ Τρωικοῦ τοῖς Ἕλλησι πρὸς τοὺς βαρβάρους, ἐν ἅπασι τούτοις πρωτεύουσαν αὐτὴν παρέσχον. Ὧν εἷς μὲν ἦν ὁ πρὸς Ξέρξην, ἐν ᾧ πλέον διήνεγκαν Λακεδαιμονίων ἐν ἅπασι τοῖς κινδύνοις e ἢ 'κεῖνοι τῶν ἄλλων, (190) δεύτερος δ' ὁ περὶ τὴν κτίσιν τῶν ἀποικιῶν, εἰς ὃν Δωριέων μὲν οὐδεὶς ἦλθε συμπολεμήσων, ἡ δὲ πόλις ἡμῶν ἡγεμὼν καταστᾶσα
273 τῶν οὐκ εὐπορούντων καὶ τῶν ἄλλων τῶν βουλομένων a τοσοῦτον τὰ πράγματα μετέστησεν, ὥστ' εἰθισμένων τῶν βαρβάρων τὸν ἄλλον χρόνον τὰς μεγίστας πόλεις τῶν Ἑλληνίδων καταλαμβάνειν ἐποίησε τοὺς Ἕλληνας, ἃ πρότερον ἔπασχον, ταῦτα δύνασθαι ποιεῖν.

191. Περὶ μὲν οὖν τοῖν δυοῖν πολέμοιν ἐν τοῖς ἔμπροσθεν ἱκανῶς εἰρήκαμεν, περὶ δὲ τοῦ τρίτου ποιήσομαι τοὺς λόγους, ὃς ἐγένετο τῶν μὲν Ἑλληνίδων πόλεων ἄρτι κατῳκισμένων, τῆς δ' ἡμετέρας ἔτι βασιλευομένης· ἐφ' ὧν καὶ πόλεμοι πλεῖστοι καὶ κίνδυνοι b μέγιστοι συνέπεσον, οὓς ἅπαντας μὲν οὔθ' εὑρεῖν οὔτ' εἰπεῖν ἂν δυνηθείην, (192) παραλιπὼν δὲ τὸν πλεῖστον ὄχλον τῶν ἐν ἐκείνῳ μὲν τῷ χρόνῳ πραχθέντων, ῥηθῆναι δὲ νῦν οὐ κατεπειγόντων, ὡς ἂν δύνωμαι

non dubitent, ut illorum quoque pecunia potiantur. Nam talia facinora similia sunt factis Spartanorum: quæ qui probant, eos necesse est idem de iis etiam sentire, quæ modo commemoravimus.

185. Miror autem, si qui sunt, qui prælia et victorias præter jus et æquum partas non esse turpiores et pluribus probris scatere censeant, quam clades sine ignavia acceptas, præsertim quum sciant magnos exercitus quamvis sceleratos sæpe superiores esse viris honestis, qui pro patria pugnare non dubitant: (186) quos multo laudari justius est quam eos qui alienarum opum cupiditate mortem oppetere non recusant conductitiisque militibus sunt similes. Nam hæc improborum hominum opera sunt; quod vero boni viri nonnunquam infelicius, quam qui student injuriis inferendis, præliantur, id incuriæ deorum fortasse est tribuendum. (187) Et hac ratione uti queam etiam de calamitate quam Spartani ad Thermopylas acceperunt, quam quicunque audiverunt, laudant omnes et admirantur magis quam prælia et victorias, quibus adversarii quidem superati, sed illi violati sunt, quos minime oportebat. Et sunt tamen qui ea laudare non dubitent, ignari nimirum nihil neque sanctum neque honestum esse, nisi quod cum justitia et dicatur et fiat; (188) quæ res Spartanis nunquam curæ fuerunt. Nihil enim aliud spectant, nisi ut aliena quam plurima occupent. Nostri autem nihil omnium rerum ita expetiverunt, nisi ut apud Græcos gloria florerent, existimantes nullum posse judicium fieri vel verius vel æquius illo, quod a tota gente pronunciatum esset. (190) Eos autem ita sensisse quum ex aliis eorum actis quibus rempublicam administrarunt, tum ex maximis rebus gestis perspicitur. Nam quum Græci tria bella præter Trojanum cum barbaris gesserint, in his omnibus suam urbem principem exhibuerunt. Quorum unum fuit adversus Xerxem, in quo quicquid periculi adeundum fuit, multo magis virtute Lacedæmonios superarunt, quam illi alios; (190) alterum eo tempore quo coloniæ condebantur ortum, ad cujus societatem Doriensium nemo venit. Nostra vero urbs se ducem professa tenuiorum et quorumvis aliorum rem mutavit eoque redegit ut, quum barbari ceteris temporibus soliti fuissent maximas quasque Græcarum urbium occupare, Græci ea, quæ prius patiebantur, possent facere.

191. Ac de duobus quidem bellis satis antea diximus. Nunc de tertio verba faciam, quod conflatum est quum et Græcæ urbes nuper conditæ essent et nostra civitas adhuc regibus pareret: in quorum tempora et bella plurima et maxima pericula inciderunt, quæ omnia neque cogitatione complecti neque oratione explicare queam. (192) Omissis igitur eorum plurimis, quæ tum facta sunt eademque dictu

συντομώτατα πειράσομαι δηλῶσαι τούς τ' ἐπιστρατεύσαντας τῇ πόλει καὶ τὰς μάχας τὰς ἀξίας μνημονευθῆναι καὶ ῥηθῆναι καὶ τοὺς ἡγεμόνας αὐτῶν, ἔτι δὲ τὰς προφάσεις ἃς ἔλεγον, καὶ τὴν δύναμιν τῶν γενῶν τῶν c συνακολουθησάντων αὐτοῖς· ἱκανὰ γὰρ ἔσται ταῦτ' εἰπεῖν πρὸς οἷς περὶ τῶν ἐναντίων εἰρήκαμεν.

193. Θρᾷκες μὲν γὰρ μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος εἰσέβαλον εἰς τὴν χώραν ἡμῶν, ὃς ἠμφισβήτησεν Ἐρεχθεῖ τῆς πόλεως, φάσκων Ποσειδῶ πρότερον Ἀθηνᾶς καταλαβεῖν αὐτήν· Σκύθαι δὲ μετ' Ἀμαζόνων τῶν ἐξ Ἄρεως γενομένων, αἳ τὴν στρατείαν ἐφ' Ἱππολύτην ἐποιήσαντο, τὴν τούς τε νόμους παραβᾶσαν τοὺς παρ' d αὐταῖς κειμένους, ἐρασθεῖσάν τε Θησέως καὶ συνακολουθήσασαν ἐκεῖθεν καὶ συνοικήσασαν αὐτῷ· (194) Πελοποννήσιοι δὲ μετ' Εὐρυσθέως, ὃς Ἡρακλεῖ μὲν οὐκ ἔδωκε δίκην ὧν ἡμάρτανεν εἰς αὐτόν, στρατεύσας δ' ἐπὶ τοὺς ἡμετέρους προγόνους ὡς ἐκληψόμενος βίᾳ τοὺς ἐκείνου παῖδας (παρ' ἡμῖν γὰρ ἦσαν καταπεφευγότες) ἔπαθεν ἃ e προσῆκεν αὐτόν· τοσούτου γὰρ ἐδέησε κύριος γενέσθαι τῶν ἱκετῶν, ὥσθ' ἡττηθεὶς μάχῃ καὶ ζωγρηθεὶς ὑπὸ τῶν ἡμετέρων, αὐτὸς ἱκέτης γενόμενος τούτων οὓς ἐξαιτῶν ἦλθε, τὸν βίον ἐτελεύτησεν. (195) Μετὰ δὲ τοῦτον οἱ πεμφθέντες ὑπὸ Δαρείου τὴν Ἑλλάδα πορθή-274σοντες, ἀποβάντες εἰς Μαραθῶνα, πλείοσι κακοῖς καὶ a μείζοσι συμφοραῖς περιπεσόντες ὧν ἤλπισαν τὴν πόλιν ἡμῶν ποιήσειν, ᾤχοντο φεύγοντες ἐξ ἁπάσης τῆς Ἑλλάδος.

196. Τούτους δ' ἅπαντας οὓς διῆλθον, οὐ μετ' ἀλλήλων εἰσβαλόντας οὐδὲ κατὰ τοὺς αὐτοὺς χρόνους, ἀλλ' ὡς οἵ τε καιροὶ καὶ τὸ συμφέρον ἑκάστοις καὶ τὸ βούλεσθαι συνέπιπτε, μάχῃ νικήσαντες καὶ τῆς ὕβρεως παύσαντες, οὐκ ἐξέστησαν αὐτῶν τηλικαῦτα διαπρα- b ξάμενοι τὸ μέγεθος, οὐδ' ἔπαθον ταὐτὸ τοῖς διὰ μὲν τὸ καλῶς καὶ φρονίμως βουλεύσασθαι καὶ πλούτους μεγάλους καὶ δόξας καλὰς κτησαμένοις, διὰ δὲ τὰς ὑπερβολὰς τὰς τούτων ὑπερηφάνοις γενομένοις καὶ τὴν φρόνησιν διαφθαρεῖσι καὶ κατενεχθεῖσιν εἰς χείρω πράγματα καὶ ταπεινότερα τῶν πρότερον αὐτοῖς ὑπαρχόντων, (197) ἀλλὰ πάντα τὰ τοιαῦτα διαφυγόντες ἐνέμειναν τοῖς ἤθεσιν οἷς εἶχον διὰ τὸ πολι- c τεύεσθαι καλῶς, μεῖζον φρονοῦντες ἐπὶ τῇ τῆς ψυχῆς ἕξει καὶ ταῖς διανοίαις ταῖς αὐτῶν ἢ ταῖς μάχαις ταῖς γεγενημέναις, καὶ μᾶλλον ὑπὸ τῶν ἄλλων θαυμαζόμενοι διὰ τὴν καρτερίαν ταύτην καὶ σωφροσύνην ἢ διὰ τὴν ἀνδρείαν τὴν ἐν τοῖς κινδύνοις αὐτοῖς παραγενομένην· (198) ἑώρων γὰρ πάντες τὴν μὲν εὐψυχίαν τὴν πολεμικὴν πολλοὺς ἔχοντας καὶ τῶν ταῖς κακουργίαις ὑπερβαλλόντων, τῆς δὲ χρησίμης ἐπὶ πᾶσι καὶ πάντας d δυναμένης ὠφελεῖν οὐ κοινωνοῦντας τοὺς πονηρούς, ἀλλὰ μόνοις ἐγγιγνομένην τοῖς καλῶς γεγονόσι καὶ τεθραμμένοις καὶ πεπαιδευμένοις, ἅπερ προσῆν τοῖς τότε τὴν πόλιν διοικοῦσι καὶ τῶν εἰρημένων ἀγαθῶν ἁπάντων αἰτίοις καταστᾶσιν.

199. Τοὺς μὲν οὖν ἄλλους ὁρῶ περὶ τὰ μέγιστα τῶν

non ita necessaria, quam brevissime potero, referre conabor, tum eos qui nostram urbem oppugnarunt, tum pugnas memorabiles ducesque nostros memoratu dignos, tum causas quas hostes prætexebant, potentiamque gentium quæ illos secutæ fuerunt. Hæc enim satis multa erunt, quæ cum commemoratis adversariorum factis comparentur.

193. Nam Thraces cum Eumolpo, Neptuni filio, in agros nostros irruperunt, qui cum Erechtheo de urbe contendens, Neptunum prius eam occupasse quam Minervam asserebat; porro Scythæ cum Amazonibus, Martis filiabus, quæ propter Hippolytam bellum faciebant, quæ patriis legibus violatis Thesei amore capta et inde eum secuta ac nupta illi fuerat; (194) denique Peloponnesii cum Eurystheo, qui quum Herculi pœnas injuriarum non dedisset, bello contra majores nostros suscepto, ut ejus liberos dedititios hinc vi abduceret (ad nos enim confugerant), ea pertulit quæ merebatur: tantum enim abfuit ut supplices in potestatem suam redegerit, ut prælio superatus et captus a nostris ipse supplex illis factus, quos sibi dedendos postularat, occubuerit. (195) Post hunc qui missi a Dario fuerant ad vastandam Græciam, exscensu ad Marathonem facto, pluribus et majoribus cladibus acceptis quam ipsi nostræ urbi se allaturos sperarant, fuga se ex universa Græcia proripuerunt.

196. His omnibus igitur quos recensui, qui non una irruptionem fecerunt nec iisdem temporibus, sed ut et occasiones et singulorum utilitates et voluntates tulerant, prælio superatis illorumque injuriis propulsatis non a statu suo post tantas res gestas declinarunt, neque id eis accidit, quod iis qui, quum prudenter consulendo et recte agendo magnas opes insignemque gloriam sint adepti, post ob successuum magnitudinem elati superbia et sana mente amissa in deteriorem etiam et humiliorem priore fortunam deferuntur: (197) sed talibus omnibus evitatis instituta vetera ob rectam reipublicæ administrationem retinuerunt, magis freti animi sui virtute suaque prudentia quam præliis commissis, majoreque in admiratione fuerunt apud alios ob constantiam hanc et sobrietatem, quam propter tolerantiam laborum et periculorum. (198) Omnes enim videbant multos etiam maleficiis coopertos animosos esse in præliis; moderationis vero et prudentiæ, quæ rebus in omnibus utilis, omnes juvare possit, expertes esse improbos, sed hanc propriam eorum esse laudem, qui bene nati, bene educati et instituti sint, cujusmodi fuerunt illi qui tum urbem rexerunt, quibus successus illi, quos diximus, omnes sunt accepti referendi.

199. Equidem video alios maximis facinoribus et inpri-

ἔργων καὶ μάλιστα μνημονευθησόμενα τοὺς λόγους
καταλύοντας, ἐγὼ δὲ σωφρονεῖν μὲν νομίζω τοὺς ταῦτα
γιγνώσκοντας καὶ πράττοντας, οὐ μὴν συμβαίνει μοι e
ταὐτὸ ποιεῖν ἐκείνοις, ἀλλ' ἔτι λέγειν ἀναγκάζομαι.
Τὴν δ' αἰτίαν δι' ἥν, ὀλίγον ὕστερον ἐρῶ, μικρὰ πάνυ
προδιαλεχθείς.

200. Ἐπηνώρθουν μὲν γὰρ τὸν λόγον τὸν μέχρι τῶν
ἀναγνωσθέντων γεγραμμένον μετὰ μειρακίων τριῶν ἢ
275 τεττάρων τῶν εἰθισμένων μοι συνδιατρίβειν· ἐπειδὴ a
δὲ διεξιοῦσιν ἡμῖν ἐδόκει καλῶς ἔχειν καὶ προσδεῖσθαι
τελευτῆς μόνον, ἔδοξέ μοι μεταπέμψασθαί τινα τῶν
ἐμοὶ μὲν πεπλησιακότων, ἐν ὀλιγαρχίᾳ δὲ πεπολιτευ-
μένον, προῃρημένον δὲ Λακεδαιμονίους ἐπαινεῖν, ἵν' εἴ
τι παρέλαθεν ἡμᾶς ψεῦδος εἰρημένον, ἐκεῖνος κατιδὼν
δηλώσειεν ἡμῖν. (201) Ἐλθὼν δ' ὁ κληθεὶς καὶ δια-
ναγνοὺς τὸν λόγον (τὰ γὰρ μεταξὺ τί δεῖ λέγοντα δια-
τρίβειν;), ἐδυσχέρανε μὲν ἐπ' οὐδενὶ τῶν γεγραμμέ- b
νων, ἐπῄνεσε δ' ὡς δυνατὸν μάλιστα, καὶ διελέχθη
περὶ ἑκάστου τῶν μερῶν παραπλησίως οἷς ἡμεῖς ἐγι-
γνώσκομεν· οὐ μὴν ἀλλὰ φανερὸς ἦν οὐχ ἡδέως ἔχων
ἐπὶ τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις. (202) Ἐδή-
λωσε δὲ διὰ ταχέων· ἐτόλμησε γὰρ εἰπεῖν ὡς εἰ καὶ
μηδὲν ἄλλο πεποιήκασι τοὺς Ἕλληνας ἀγαθόν, ἀλλ'
οὖν ἐκείνου γε δικαίως ἂν αὐτοῖς ἅπαντες χάριν ἔχοιεν,
ὅτι τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων εὑρόντες αὐτοί τε
χρῶνται καὶ τοῖς ἄλλοις κατέδειξαν. (203) Τοῦτο δὲ c
ῥηθὲν οὕτω βραχὺ καὶ μικρὸν αἴτιον ἐγένετο τοῦ μήτε
καταλῦσαί με τὸν λόγον ἐφ' ὧν ἐβουλήθην, ὑπολαβεῖν
θ' ὡς αἰσχρὸν ποιήσω καὶ δεινόν, εἰ παρὼν περιόψομαί
τινα τῶν ἐμοὶ πεπλησιακότων πονηροῖς λόγοις χρώμε-
νον. Ταῦτα δὲ διανοηθεὶς ἠρόμην αὐτὸν εἰ μηδὲν
φροντίζει τῶν παρόντων, μηδ' αἰσχύνεται λόγον εἰρη-
κὼς ἀσεβῆ καὶ ψευδῆ καὶ πολλῶν ἐναντιώσεων μεστόν.
(204) « Γνώσει δ' ὡς ἔστι τοιοῦτος, ἢν ἐρωτήσῃς τινὰς d
τῶν εὖ φρονούντων ποῖα τῶν ἐπιτηδευμάτων κάλλιστα
νομίζουσιν εἶναι, καὶ μετὰ ταῦτα πόσος χρόνος ἐστὶν
ἐξ οὗ Σπαρτιᾶται τυγχάνουσιν ἐν Πελοποννήσῳ κα-
τοικοῦντες. Οὐδεὶς γὰρ ὅστις οὐ τῶν μὲν ἐπιτηδευ-
μάτων προκρινεῖ τὴν εὐσέβειαν τὴν περὶ τοὺς θεοὺς
καὶ τὴν δικαιοσύνην τὴν περὶ τοὺς ἀνθρώπους καὶ τὴν
φρόνησιν τὴν περὶ τὰς ἄλλας πράξεις, Σπαρτιάτας δ'
ἐνταῦθα κατοικεῖν οὐ πλείω φήσουσιν ἐτῶν ἑπτακο- e
σίων. (205) Τούτων δ' οὕτως ἐχόντων, εἰ μὲν τυγχά-
νεις ἀληθῆ λέγων τούτους φάσκων εὑρετὰς γεγενῆσθαι
τῶν καλλίστων ἐπιτηδευμάτων, ἀναγκαῖόν ἐστι τοὺς
πολλαῖς γενεαῖς πρότερον γεγονότας, πρὶν Σπαρτιάτας
276 ἐνταῦθα κατοικῆσαι, μὴ μετέχειν αὐτῶν, μήτε τοὺς a
ἐπὶ Τροίαν στρατευσαμένους μήτε τοὺς περὶ Ἡρακλέα
καὶ Θησέα γεγονότας μήτε Μίνω τὸν Διὸς μήτε Ῥα-
δάμανθυν μήτ' Αἰακὸν μήτε τῶν ἄλλων μηδένα τῶν
ὑμνουμένων ἐπὶ ταῖς ἀρεταῖς ταύταις, ἀλλὰ ψευδῆ τὴν
δόξαν ταύτην ἅπαντας ἔχειν· (206) εἰ δὲ σὺ μὲν φλυα-
ρῶν τυγχάνεις, προσήκει δὲ τοὺς ἀπὸ θεῶν γεγονότας
καὶ χρῆσθαι ταύταις μᾶλλον τῶν ἄλλων καὶ καταδεῖ- b

mis memorabilibus concludere solere orationes, atque eos qui sic judicant et agunt, sapere censeo; sed tamen ita accidit ut ego aliter faciam et plura dicere necesse habeam. Quod cur a me fiat, paullo post ostendam, ubi pauca omnino prius dixero.

200. Tantam hujus orationis partem perscriptam, quanta jam recitata est, cum adolescentulis tribus aut quattuor familiariter mecum vivere solitis corrigebam. Quæ quum nobis recensentibus probata conclusione tantum indigere videretur, consultum esse duxi quendam qui me præceptore usus atque in oligarchia versatus eo animo erat, ut perpetuo laudaret Lacedæmonios, accersere, ut si quid forte falso dictum nos præteriisset, id ille animadversum nobis indicaret. (201) Venit igitur ille vocatus, et lecta oratione (nam quæ alia intercesserunt, quid multis dicere attinet?) ceterorum quæ scripseram nihil moleste ferebat, sed etiam summis laudibus efferebat et de singulis partibus eadem fere dicebat, quæ nos quoque sentiebamus; non obscuram tamen significationem dabat sibi displicere ea quæ de Lacedæmoniis dixissemus, (202) idque mox ostendit. Ausus est enim dicere, etiamsi nullum aliud in Græcos beneficium contulissent, ob illud tamen eis jure omnes gratiam habituros, quod pulcherrimis institutis inventis eadem et ipsi usurparent et aliis demonstrassent. (203) Hoc ita breviter et paucis dictum in causa fuit, ne ibi finirem orationem, ubi decreveram, ac turpe fore ducerem minimeque ferendum, si quenquam ex meis discipulis in conspectu meo verbis improbis uti paterer. Hæc cogitans interrogabam, nihilne curaret eos qui adessent, nec impia et falsa et multis contradictionibus referta dicere erubesceret. (204) « Intelliges autem, inquam, ita esse, si recte sentientes interrogaris, quæ instituta pulcherrima esse putent, deinde quantum temporis effluxerit ex quo Spartani in Peloponneso consederunt. Nemo enim est quin religiosum cultum deorum et justitiam erga homines et prudentiam in aliis rebus omnium pulcherrima instituta esse censeat; Spartanos autem non amplius septingentis annis cum locum tenere consentiat. (205) Quæ quum ita sint, si quidem tu vera prædicas, quum pulcherrima instituta eos invenisse dicis, necesse est alios, qui multis ante seculis fuerunt quam Spartani sedes istas occuparent, eorum expertes fuisse, neque eos solum, qui Trojam expugnarunt, et Herculis et Thesei æquales, Minoem item Jovis filium, et Rhadamanthum et Æacum, sed etiam reliquos omnes qui ab universis propter istas virtutes divinis laudibus celebrantur, falsaque frui gloria. (206) Si vero tu nugas agis et omnino par est diis genitos virtutibus istis magis et ipsos esse usos et posteris imitandas eas proposuisse, fieri

ξαι τοῖς ἐπιγιγνομένοις, οὐκ ἔστιν ὅπως οὐ μαίνεσθαι δόξεις ἅπασι τοῖς ἀκούσασιν, οὕτως εἰκῇ καὶ παρανόμως οὓς ἂν τύχῃς ἐπαινῶν. Ἔπειτ' εἰ μὲν εὐλόγεις αὐτοὺς οὐδὲν ἀκηκοὼς τῶν ἐμῶν, ἐλήρεις μὲν ἄν, οὐ μὴν ἐναντία γε λέγων ἐφαίνου σαυτῷ· (207) νῦν δ' ἐπῃνεκότι σοι τὸν ἐμὸν λόγον, τὸν ἐπιδεικνύντα πολλὰ καὶ δεινὰ Λακεδαιμονίους περί τε τοὺς συγγενεῖς τοὺς αὑτῶν καὶ περὶ τοὺς ἄλλους Ἕλληνας διαπεπραγμέ- c νους, πῶς οἷόντ' ἦν ἔτι σοὶ λέγειν τοὺς ἐνόχους ὄντας τούτοις, ὡς τῶν καλλίστων ἐπιτηδευμάτων ἡγεμόνες γεγόνασιν; (208) Πρὸς δὲ τούτοις κἀκεινό σε λέληθεν, ὅτι τὰ παραλελειμμένα τῶν ἐπιτηδευμάτων καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων οὐχ οἱ τυχόντες εὑρίσκουσιν, ἀλλ' οἱ τάς τε φύσεις διαφέροντες καὶ μαθεῖν πλεῖστα τῶν πρότερον εὑρημένων δυνηθέντες καὶ προσέχειν τὸν νοῦν τῷ ζητεῖν μᾶλλον τῶν ἄλλων ἐθελή- d σαντες· (209) ὧν Λακεδαιμόνιοι πλέον ἀπέχουσι τῶν βαρβάρων· οἱ μὲν γὰρ ἂν φανεῖεν πολλῶν εὑρημάτων καὶ μαθηταὶ καὶ διδάσκαλοι γεγονότες, οὗτοι δὲ τοσοῦτον ἀπολελειμμένοι τῆς κοινῆς παιδείας καὶ φιλοσοφίας εἰσίν, ὥστ' οὐδὲ γράμματα μανθάνουσιν, ἃ τηλικαύτην ἔχει δύναμιν ὥστε τοὺς ἐπισταμένους καὶ χρωμένους αὐτοῖς μὴ μόνον ἐμπείρους γίγνεσθαι τῶν ἐπὶ τῆς ἡλικίας τῆς αὑτῶν πραχθέντων, ἀλλὰ καὶ τῶν πώποτε e γενομένων. (210) Ἀλλ' ὅμως σὺ καὶ τοὺς τῶν τοιούτων ἀμαθεῖς ὄντας ἐτόλμησας εἰπεῖν ὡς εὑρεταὶ τῶν καλλίστων ἐπιτηδευμάτων γεγόνασι, καὶ ταῦτ' εἰδὼς ὅτι τοὺς παῖδας τοὺς ἑαυτῶν ἐθίζουσι περὶ τοιαύτας πραγματείας διατρίβειν, ἐξ ὧν ἐλπίζουσιν αὐτοὺς οὐκ

277 εὐεργέτας γενήσεσθαι τῶν ἄλλων, ἀλλὰ κακῶς ποιεῖν a μάλιστα δυνήσεσθαι τοὺς Ἕλληνας. (211) Ἃς πάσας μὲν διεξιὼν πολὺν ὄχλον ἐμαυτῷ τ' ἂν παράσχοιμι καὶ τοῖς ἀκούουσιν, μίαν δὲ μόνον εἰπών, ἣν ἀγαπῶσι καὶ περὶ ἣν μάλιστα σπουδάζουσιν, οἶμαι δηλώσειν ἅπαντα τὸν τρόπον αὐτῶν. Ἐκεῖνοι γὰρ καθ' ἑκάστην τὴν ἡμέραν εὐθὺς ἐξ εὐνῆς ἐκπέμπουσι τοὺς παῖδας, μεθ' ὧν ἂν ἕκαστοι βουληθῶσι, λόγῳ μὲν ἐπὶ θήραν, ἔργῳ δ' ἐπὶ κλωπείαν τῶν ἐν τοῖς ἀγροῖς κατοικούντων· b (212) ἐν ᾗ συμβαίνει τοὺς μὲν ληφθέντας ἀργύριον ἀποτίνειν καὶ πληγὰς λαμβάνειν, τοὺς δὲ πλεῖστα κακουργήσαντας καὶ λαθεῖν δυνηθέντας ἔν τε τοῖς παισὶν εὐδοκιμεῖν μᾶλλον τῶν ἄλλων, ἐπειδὰν δ' εἰς ἄνδρας συντελῶσιν, ἢν ἐμμείνωσι τοῖς ἤθεσιν οἷς παῖδες ὄντες ἐμελέτησαν, ἐγγὺς εἶναι τῶν μεγίστων ἀρχῶν. (213) Καὶ ταύτης ἤν τις ἐπιδείξῃ παιδείαν μᾶλλον ἀγαπωμένην ἢ σπουδαιοτέραν παρ' αὐτοῖς εἶναι νομι- c ζομένην, ὁμολογῶ μηδὲν ἀληθὲς εἰρηκέναι μηδὲ περὶ ἑνὸς πώποτε πράγματος. Καίτοι τί τῶν τοιούτων ἔργων καλόν ἐστιν ἢ σεμνόν, ἀλλ' οὐκ αἰσχύνης ἄξιον; πῶς δ' οὐκ ἀνοήτους χρὴ νομίζειν τοὺς ἐπαινοῦντας τοὺς τοσοῦτον τῶν νόμων τῶν κοινῶν ἐξεστηκότας καὶ μηδὲν τῶν αὐτῶν μήτε τοῖς Ἕλλησι μήτε τοῖς βαρβάροις γιγνώσκοντας; (214) οἱ μὲν γὰρ ἄλλοι τοὺς κατηγοροῦντας καὶ κλέπτοντας πονηροτάτους τῶν οἰ-

non potest quin furere videaris omnibus audientibus, qui adeo temere quosvis et inique laudes. Deinde si eos commendares, quum quid ego dixissem, plane non audisses, delirares quidem, at tibi tamen ipse contrarius esse non videreris: (207) nunc, quum meam orationem laudaveris, qua ostendi multa crudeliter et nefarie Lacedæmonios et in cognatos suos et in alios Græcos fecisse, qui tibi dicere licuit eos, qui his criminibus obnoxii sunt, pulcherrimorum institutorum principes exstitisse? (208) Præterea illud etiam te fugit, si qua desint vel institutis vel artibus vel quibusvis aliis rebus, ea non excogitari a quibuslibet, sed ab his, qui et ingeniis excellunt et e veterum inventis discere plurima potuerunt et investigationi rerum majore studio incumbere voluerunt: (209) a quibus rebus Lacedæmonii multo barbaris sunt alieniores. Hos enim appareat multorum inventorum fuisse tum discipulos tum doctores; istos vero a communi institutione ac studiis tam longe abesse, ut ne literas quidem discant, quæ tantam vim habent, ut qui iis instructi sint recteque utantur, non ea solum cognoscant quæ sua ætate gerantur, sed illa etiam quæ ab omni memoria facta sint. (210) Tu tamen (inquam) earum ignaros pulcherrimarum disciplinarum inventores esse affirmare non dubitasti, quamvis scires eos ad tales exercitationes liberos suos assuefacere, per quas sperent eos aliis non esse benefacturos, sed Græcis maxima detrimenta importaturos. (211) Quæ si omnia percensere velim, et mihi et auditoribus magnum fastidium ea parerent: sed ubi unum solum recitaro, quod et amant et studio inprimis habent, omne ingenium et mores eorum me declaraturum arbitror. Illi enim quotidie pueros statim a lecto, cum quibus singulis libitum est, ablegant verbo ad venationem, re ad eos per furtum spoliandos, qui ruri habitant; (212) in quo accidit ut deprehensi et numos solvant et plagas accipiant: qui vero scelera plurima admiserunt eaque celare potuerunt, hi tum inter pueros aliis præferuntur, tum viri facti, si in illis studiis permanserint, quæ pueri meditati erant, aditum sibi ad summos honores patefecerunt. (213) Quodsi quis ostenderit disciplinam ullam apud eos in majore pretio aut honoratiorem esse, fatebor me nihil veri unquam ulla de re dixisse. Enimvero quidnam istiusmodi facinorum vel pulchrum vel honestum est ac non potius erubescendum? An non igitur amentes habendi sunt qui eos laudant, qui a communibus legibus tam longe recesserunt, neque in ulla re vel cum Græcis vel cum barbaris consentiunt? (214) Alii enim maleficiis et furtis deditos servis nequiores judicant; illi autem istorum facinorum principes

κετῶν νομίζουσιν, ἐκεῖνοι δὲ τοὺς ἐν τοῖς τοιούτοις τῶν d ἔργων πρωτεύοντας βελτίστους εἶναι τῶν παίδων ὑπολαμβάνουσι καὶ μάλιστα τιμῶσιν. Καίτοι τίς ἂν τῶν εὖ φρονούντων οὐκ ἂν τρὶς ἀποθανεῖν ἕλοιτο μᾶλλον, ἢ διὰ τοιούτων ἐπιτηδευμάτων γνωσθῆναι τὴν ἄσκησιν τῆς ἀρετῆς ποιούμενος ; »

215. Ταῦτ' ἀκούσας θρασέως μὲν οὐδὲ πρὸς ἓν ἀντεῖπε τῶν εἰρημένων, οὐδ' αὖ παντάπασιν ἀπεσιώπησεν, ἀλλ' ἔλεγεν ὅτι « σὺ μὲν πεποίησαι τοὺς λόγους » ἐμὲ λέγων « ὡς ἅπαντ' ἀποδεχομένου μου τἀκεῖ καὶ καλῶς e ἔχειν νομίζοντος· ἐμοὶ δὲ δοκεῖς περὶ μὲν τῆς τῶν παίδων αὐτονομίας καὶ περὶ ἄλλων πολλῶν εἰκότως ἐπιτιμᾶν ἐκείνοις, ἐμοῦ δ' οὐ δικαίως κατηγορεῖν. (216) Ἐγὼ γὰρ ἐλυπήθην μὲν τὸν λόγον ἀναγιγνώσκων ἐπὶ 278 τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις, οὐ μὴν οὕτως ὡς a ἐπὶ τῷ μηδὲν ἀντειπεῖν ὑπὲρ αὐτῶν δύνασθαι τοῖς γεγραμμένοις, εἰθισμένος τὸν ἄλλον χρόνον ἐπαινεῖν. Εἰς τοιαύτην δ' ἀπορίαν καταστὰς εἶπον ὅπερ ἦν λοιπόν, ὡς εἰ καὶ μηδὲν δι' ἄλλο, διά γ' ἐκεῖνο δικαίως ἂν αὐτοῖς ἅπαντες χάριν ἔχοιμεν, ὅτι τοῖς καλλίστοις τῶν ἐπιτηδευμάτων χρώμενοι τυγχάνουσιν. (217) Ταῦτα δ' εἶπον οὐ πρὸς τὴν εὐσέβειαν οὐδὲ πρὸς τὴν δικαιοσύνην οὐδὲ πρὸς τὴν φρόνησιν ἀποβλέψας, ἃ σὺ b διῆλθες, ἀλλὰ πρὸς τὰ γυμνάσια τἀκεῖ καθεστηκότα καὶ πρὸς τὴν ἄσκησιν τῆς ἀνδρείας καὶ τὴν ὁμόνοιαν καὶ συνόλως τὴν περὶ τὸν πόλεμον ἐπιμέλειαν, ἅπερ ἅπαντες ἂν ἐπαινοῖεν, καὶ μάλιστ' ἂν αὐτοῖς ἐκείνους χρῆσθαι φήσειαν. »

218. Ταῦτα δ' αὐτοῦ διαλεχθέντος ἀπεδεξάμην μέν, οὐχ ὡς διαλυόμενόν τι τῶν κατηγορημένων, ἀλλ' ὡς ἀποκρυπτόμενον τὸ πικρότατον τῶν τότε ῥηθέντων οὐκ c ἀπαιδεύτως ἀλλὰ νοῦν ἐχόντως, καὶ περὶ τῶν ἄλλων ἀπολελογημένον σωφρονέστερον ἢ τότε παρρησιασάμενον· οὐ μὴν ἀλλ' ἐκεῖν' ἐάσας περὶ αὐτῶν τούτων ἔφασκον κατηγορίαν ἔχειν πολὺ δεινοτέραν ἢ περὶ τῆς τῶν παίδων κλωπείας. (219) « Ἐκείνοις μὲν γὰρ τοῖς ἐπιτηδεύμασιν ἐλυμαίνοντο τοὺς αὐτῶν παῖδας, οἷς δ' ὀλίγῳ πρότερον σὺ διῆλθες, τοὺς Ἕλληνας ἀπώλλυσαν. Ῥᾴδιον δ', ὡς οὕτως εἶχε ταῦτα, συνιδεῖν. Οἶμαι γὰρ d ἅπαντας ἂν ὁμολογῆσαι κακίστους ἄνδρας εἶναι καὶ μεγίστης ζημίας ἀξίους, ὅσοι τοῖς πράγμασι τοῖς εὑρημένοις ἐπ' ὠφελείᾳ, τούτοις ἐπὶ βλάβῃ χρώμενοι τυγχάνουσι, (220) μὴ πρὸς τοὺς βαρβάρους μηδὲ πρὸς τοὺς ἁμαρτάνοντας μηδὲ πρὸς τοὺς εἰς τὴν αὑτῶν χώραν εἰσβάλλοντας, ἀλλὰ πρὸς τοὺς οἰκειοτάτους καὶ τῆς αὐτῆς συγγενείας μετέχοντας· ἅπερ ἐποίουν Σπαρτιᾶται. Καίτοι πῶς ὅσιόν ἐστι φάσκειν καλῶς χρῆσθαι τοῖς περὶ τὸν πόλεμον ἐπιτηδεύμασιν, οἵτινες οὓς προσ- e ῆκε σώζειν, τούτους ἀπολλύοντες ἅπαντα τὸν χρόνον διετέλεσαν; (221) Ἀλλὰ γὰρ οὐ σὺ μόνος ἀγνοεῖς τοὺς καλῶς χρωμένους τοῖς πράγμασιν, ἀλλὰ σχεδὸν οἱ πλεῖστοι τῶν Ἑλλήνων. Ἐπειδὰν γάρ τινας ἴδωσιν 279 ἢ πύθωνται παρά τινων ἐπιμελῶς διατρίβοντας περὶ τὰ a δοκοῦντ' εἶναι καλὰ τῶν ἐπιτηδευμάτων, ἐπαινοῦσι

inter pueros excellere et maxime honorandos esse putant. Quis vero sanæ mentis homo non ter emori malit, quam de se famam dissipari quod per hujusmodi studia virtutis exercitationem meditetur? »

215. His ille auditis nihil omnino, quod dixeram, confidenter refutavit, nec tamen obticuit prorsus : sed « Tua quidem, » me innuens, inquit, « oratio eo pertinet, quasi ego omnia illorum probem et præclara esse putem. Ego vero et puerorum licentiam, quæ apud illos est, et alia multa jure abs te culpari censeo, me autem accusari injuria. (216) Nam quum orationem legerem, quum ea quæ de Lacedæmoniis dicta essent, ægre ferebam, tum illud multo magis, quod nullam pro eis afferre defensionem possem, quos hactenus laudare consuevissem. Hac animi inopia quum tenerer, id afferebam quod reliquum erat, scilicet, si non ob aliud, propter illud saltem habendam eis esse gratiam a nobis omnibus, quod pulcherrimis institutis constanter utentur. (217) Eaque verba neque ad pietatem, neque ad justitiam aut prudentiam, quæ tu percensuisti, referebam, sed ad gymnasia ibi recepta, ad exercitationem fortitudinis, ad concordiam, ad studium denique rei militaris singulare : quæ omnes et laudibus ferant et illis usitatissima esse fateantur. »

218. Quæ quum mihi respondisset, acquievi, non quod ullum accusationis caput diluisset, sed quod id, quod acerbissime dictum fuerat, occultaret, non ineruditè, sed sapienter : et cætera modestius defendisset, quam dudum jactarat. Verumtamen ut illud omitterem, me habere dicebam, cur illa ipsa multo gravius quam puerorum furacitatem accusarem. (219) « Illis enim studiis, inquam, suos liberos corruperunt; iis vero quæ tu modo commemorasti, Græcos perdiderunt : quod ita esse, facile perspicitur. Existimo enim confessione omnium pessimos viros esse gravissimaque pœna dignos, qui res ad hominum salutem inventas ad aliorum perniciem convertunt, (220) et iis neque contra barbaros neque contra delinquentes neque contra eos qui in agros ipsorum impetum faciunt, sed contra conjunctissimos et cognatos suos abutuntur. Id quod Spartiatæ fecerunt. Nam qui dici fas est illos re militari recte uti, qui, quos conservatos oportuit, eos perdere non destiterunt? (221) Neque vero tu solus ignoras qui rebus bene utantur, sed Græcorum pars fere maxima. Nam si quos viderint aut ex aliquibus audierint studiose versari in iis

καὶ πολλοὺς λόγους ποιοῦνται περὶ αὐτῶν, οὐκ εἰδότες
τὸ συμβησόμενον. (222) Χρὴ δὲ τοὺς ὀρθῶς δοκιμάζειν
βουλομένους περὶ τῶν τοιούτων ἐν ἀρχῇ μὲν ἡσυχίαν
ἄγειν καὶ μηδεμίαν δόξαν ἔχειν περὶ αὐτῶν, ἐπειδὰν δ'
εἰς τὸν χρόνον ἐκεῖνον ἔλθωσιν, ἐν ᾧ καὶ λέγοντας καὶ
πράττοντας αὐτοὺς ὄψονται καὶ περὶ τῶν ἰδίων καὶ
περὶ τῶν κοινῶν, τότε θεωρεῖν ἀκριβῶς ἕκαστον αὐτῶν, b
(223) καὶ τοὺς μὲν νομίμως καὶ καλῶς χρωμένους οἷς
ἐμελέτησαν ἐπαινεῖν καὶ τιμᾶν, τοὺς δὲ πλημμελοῦντας
καὶ κακουργοῦντας ψέγειν καὶ μισεῖν καὶ φυλάττεσθαι
τὸν τρόπον αὐτῶν, ἐνθυμουμένους ὡς οὐχ αἱ φύσεις αἱ
τῶν πραγμάτων οὔτ' ὠφελοῦσιν οὔτε βλάπτουσιν ἡμᾶς,
ἀλλ' ὡς αἱ τῶν ἀνθρώπων χρήσεις καὶ πράξεις ἁπάντων
ἡμῖν αἴτιαι τῶν συμβαινόντων εἰσίν. (224) Γνοίη δ'
ἄν τις ἐκεῖθεν· τὰ γὰρ αὐτὰ πανταχῇ καὶ μηδαμῇ δια- c
φέροντα τοῖς μὲν ὠφέλιμα, τοῖς δὲ βλαβερὰ γίγνεται.
Καίτοι τὴν μὲν φύσιν ἔχειν ἕκαστον τῶν ὄντων τὴν
ἐναντίαν αὐτὴν αὑτῇ καὶ μὴ τὴν αὐτὴν οὐκ εὔκολόν
ἐστιν· τὸ δὲ μηδὲν τῶν αὐτῶν συμβαίνειν τοῖς ὀρθῶς
καὶ δικαίως πράττουσι καὶ τοῖς ἀσελγῶς τε καὶ κακῶς,
τίνι τῶν ὀρθῶς λογιζομένων οὐκ ἂν εἰκότως ταῦτα γί-
γνεσθαι δόξειεν; (225) Ὁ δ' αὐτὸς οὗτος λόγος καὶ περὶ
τὰς ὁμονοίας ἂν ἁρμόσειεν· καὶ γὰρ ἐκεῖναι τὴν φύσιν
εἰσὶν οὐκ ἀνόμοιοι τοῖς εἰρημένοις, ἀλλὰ τὰς μὲν αὐτῶν d
εὕροιμεν ἂν πλείστων ἀγαθῶν αἰτίας γιγνομένας, τὰς
δὲ τῶν μεγίστων κακῶν καὶ συμφορῶν. Ὧν μίαν
εἶναί φημι καὶ τὴν Σπαρτιατῶν· εἰρήσεται γὰρ τἀληθές,
εἰ καί τισι δόξω λίαν παράδοξα λέγειν. (226) Οὗτοι
γὰρ τῷ ταὐτὰ γιγνώσκειν περὶ τῶν ἔξω πραγμάτων
ἀλλήλοις στασιάζειν τοὺς Ἕλληνας, ὥσπερ τέχνην
ἔχοντες, ἐποίουν, καὶ τὸ χαλεπώτατον ταῖς ἄλλαις πό-
λεσι τῶν κακῶν γιγνόμενον, τοῦθ' αὑτοῖς ἁπάντων συμ- e
φορώτατον ἐνόμιζον εἶναι· τὰς γὰρ οὕτω διακειμένας
ἐξῆν αὐτοῖς, ὅπως ἠβούλοντο, διοικεῖν. Ὥστ' οὐδεὶς
ἂν αὐτοὺς διά γε τὴν ὁμόνοιαν δικαίως ἐπαινέσειεν,
280 οὐδὲν μᾶλλον ἢ τοὺς καταποντιστὰς καὶ λῃστὰς καὶ a
τοὺς περὶ τὰς ἄλλας ἀδικίας ὄντας· καὶ γὰρ ἐκεῖνοι
σφίσιν αὐτοῖς ὁμονοοῦντες τοὺς ἄλλους ἀπολλύουσιν.
(227) Εἰ δέ τισι δοκῶ τὴν παραβολὴν ἀπρεπῆ πεποιῆ-
σθαι πρὸς τὴν ἐκείνων δόξαν, ταύτην μὲν ἐῶ, λέγω δὲ
Τριβαλλούς, οὓς ἅπαντές φασιν ὁμονοεῖν μὲν ὡς οὐδέ-
νας ἄλλους ἀνθρώπους, ἀπολλύναι δ' οὐ μόνον τοὺς
ὁμόρους καὶ τοὺς πλησίον οἰκοῦντας, ἀλλὰ καὶ τοὺς
ἄλλους ὅσων ἂν ἐφικέσθαι δυνηθῶσιν. (228) Οὓς οὐ b
χρὴ μιμεῖσθαι τοὺς ἀρετῆς ἀντιποιουμένους, ἀλλὰ πολὺ
μᾶλλον τὴν τῆς σοφίας καὶ τῆς δικαιοσύνης καὶ τῶν
ἄλλων ἀρετῶν δύναμιν. Αὗται μὲν γὰρ οὐ τὰς σφετέρας
αὐτῶν φύσεις εὐεργετοῦσιν, ἀλλ' οἷς ἂν παραγενόμεναι
παραμείνωσιν, εὐδαίμονας καὶ μακαρίους ποιοῦσιν· Λα-
κεδαιμόνιοι δὲ τοὐναντίον, οἷς μὲν ἂν πλησιάσωσιν,
ἀπολλύουσι, τὰ δὲ τῶν ἄλλων ἀγαθὰ πάντα περὶ σφᾶς
αὐτοὺς ποιοῦνται. »

229. Ταῦτ' εἰπὼν κατέσχον πρὸς ὃν τοὺς λόγους c
ἐποιούμην, ἄνδρα δεινὸν καὶ πολλῶν ἔμπειρον καὶ περὶ

studiis quæ pulchra habentur, laudant illos et multa verba de eis faciunt, quum ignorent quid eventurum sit. (222) Decet autem veros istorum æstimatores initio etiam tranquillos esse ac nullam de eis habere opinionem; quum vero ad id tempus venerint, quo eos et dicentes et agentes videant sive privatis sive publicis de rebus, tum demum singulos acute contemplari, (223) atque eos qui juste et honeste illis utuntur, quæ meditati sunt, laudare et honorare; delinquentes autem et improbos reprehendere et odisse et cavere sibi ab eorum moribus, qui eam esse naturam rerum sciant, ut nobis per se neque prosint neque obsint, sed usum hominum et actiones causam nobis esse omnium eventuum. (224) Idque inde perspicitur, quod ubique terrarum eædem res planeque nihil differentes aliis prosunt, aliis obsunt. Ut autem cum ratione haud consentit, singulas res naturam sibi ipsis contrariam nec eandem habere, sic prorsus diversa usuvenire his qui recte et juste agunt et iis qui libidinose vivunt ac turpiter, quis homo prudens absurdum esse existimaverit? (225) Quod ipsum de concordia quoque dici potest: nam hujus etiam non est aliud, quam ceterarum rerum ingenium. Quandam enim concordiam plurima bona peperisse reperiemus, quandam ingentibus malis et calamitatibus præbuisse occasionem; cujusmodi et Spartanorum istam esse dico. Non enim dissimulabo veritatem, tametsi quibusdam supra modum incredibilia dicere videbor. (226) Hi enim quum de rebus exteris omnes idem sentiant, Græcis inter ipsos, tanquam hæc illorum ars esset, dissidia excitarunt, et, quod aliis civitatibus omnium malorum gravissimum est, id omnium utilissimum sibi esse credebant. Quæ civitates igitur factionibus distractæ erant, eas ipsi arbitratu suo tractare poterant. Quare nemo eos propter concordiam jure laudaverit, nihilo magis quam piratas aut latrones aut eos qui in omni genere injuriarum versantur: nam hi quoque inter se consentientes alios interficiunt. (227) Si quibus autem hæc collatio indecora videtur neque illorum existimationi esse consentanea, hac omissa de Triballis dico, quos omnes aiunt concordiores esse quam ullos alios homines, sed non finitimos tantum et in vicinia sua habitantes perdere, sed eos omnes, ad quos penetrare possunt. (228) Neque vero decet ut virtutis studium professi illos imitentur, sed vim potius ac naturam sapientiæ et justitiæ ceterarumque virtutum. Hæ enim non sibimetipsis benefaciunt, sed quorum animis constanter insederint, eos felices reddunt et beatos: Lacedæmonii contra, quoscumque accesserint, perdunt aliorumque bona omnia ad se pertrahunt. »

229. His dictis eum, cum quo colloquebar, repressi, virum acrem et multarum rerum peritum, et in arte oratoria

τὸ λέγειν γεγυμνασμένον οὐδενὸς ἧττον τῶν ἐμοὶ πεπλησιακότων. Οὐ μὴν τὰ μειράκια τὰ πᾶσι παραγεγενημένα τούτοις τὴν αὐτὴν ἐμοὶ γνώμην ἔσχεν, ἀλλ' ἐμὲ μὲν ἐπῄνεσαν ὡς διειλεγμένον τε νεαρωτέρως ἢ προσεδόκησαν ἠγωνισμένον τε καλῶς, ἐκείνου δὲ κατεφρόνησαν, οὐκ ὀρθῶς γιγνώσκοντες, ἀλλὰ διημαρτηκότες ἀμφοτέρων ἡμῶν. (230) Ὁ μὲν γὰρ ἀπῄει d φρονιμώτερος γεγενημένος καὶ συνεσταλμένην ἔχων τὴν διάνοιαν, ὥσπερ χρὴ τοὺς εὖ φρονοῦντας, καὶ πεπονθὼς τὸ γεγραμμένον ἐν Δελφοῖς, αὑτόν τ' ἐγνωκὼς καὶ τὴν Λακεδαιμονίων φύσιν μᾶλλον ἢ πρότερον· ἐγὼ δ' ὑπελειπόμην ἐπιτυχῶς μὲν ἴσως διειλεγμένος, ἀνοητότερος δὲ δι' αὐτὸ τοῦτο γεγενημένος, καὶ φρονῶν μεῖζον ἢ προσῆκε τοὺς τηλικούτους, καὶ ταραχῆς μειρακιώδους μεστὸς ὤν. (231) Δῆλος δ' ἦν οὕτω διακεί- e μενος· ἐπειδὴ γὰρ ἡσυχίας ἐπελαβόμην, οὐ πρότερον ἐπαυσάμην πρὶν ὑπέβαλον τῷ παιδὶ τὸν λόγον, ὃν ὀλίγῳ μὲν πρότερον μεθ' ἡδονῆς διῆλθον, μικρῷ δ'
281 ὕστερον ἤμελλέ με λυπήσειν. Τριῶν γὰρ ἢ τεττάρων a ἡμερῶν διαλειφθεισῶν ἀναγιγνώσκων αὐτὰ καὶ διεξιών, ἐπὶ μὲν οἷς περὶ τῆς πόλεως ἦν εἰρηκώς, οὐκ ἠχθόμην (καλῶς γὰρ καὶ δικαίως ἦν ἅπαντα περὶ αὐτῆς γεγραφώς), (232) ἐπὶ δὲ τοῖς περὶ Λακεδαιμονίων ἐλυπήθην καὶ βαρέως ἔφερον· οὐ γὰρ μετρίως ἐδόκουν μοι διαλέχθαι περὶ αὐτῶν οὐδ' ὁμοίως τοῖς ἄλλοις, ἀλλ' ὀλιγώρως καὶ λίαν πικρῶς καὶ παντάπασιν ἀνοήτως· ὥστε πολλάκις ὁρμήσας ἐξαλείφειν αὐτὸν ἢ κατακάειν μετεγίγνω- b σκον, ἐλεῶν τὸ γῆρας τοὐμαυτοῦ καὶ τὸν πόνον τὸν περὶ τὸν λόγον γεγενημένον.

233. Ἐν τοιαύτῃ δέ μοι ταραχῇ καθεστηκότι καὶ μεταβολὰς ποιουμένῳ πολλὰς ἔδοξε κράτιστον εἶναι παρακαλέσαντι τῶν πεπλησιακότων τοὺς ἐπιδημοῦντας βουλεύσασθαι μετ' αὐτῶν, πότερον ἀφανιστέος παντάπασίν ἐστιν ἢ διαδοτέος τοῖς βουλομένοις λαμβάνειν, ὁπότερα δ' ἂν ἐκείνοις δόξῃ, ταῦτα ποιεῖν. Τούτων c γνωσθέντων οὐδεμίαν διατριβὴν ἐποιησάμην, ἀλλ' εὐθὺς παρεκέκληντο μὲν οὓς εἶπον, προειρηκὼς δ' ἦν αὐτοῖς ἐφ' ἃ συνεληλυθότες ἦσαν, ἀνέγνωστο δ' ὁ λόγος, ἐπῃνημένος δ' ἦν καὶ τεθορυβημένος καὶ τετυχηκὼς ὧνπερ οἱ κατορθοῦντες ἐν ταῖς ἐπιδείξεσιν. (234) Ἁπάντων δὲ τούτων ἐπιτετελεσμένων οἱ μὲν ἄλλοι διελέγοντο πρὸς σφᾶς αὐτούς, δῆλον ὅτι περὶ τῶν ἀναγνωσθέντων· ὃν δ' ἐξ ἀρχῆς μετεπεμψάμεθα σύμβουλον, τὸν Λακεδαιμονίων ἐπαινέτην, πρὸς ὃν πλείω διελέ- d χθην τοῦ δέοντος, σιωπὴν ποιησάμενος καὶ πρὸς ἐμὲ βλέψας ἀπορεῖν ἔφασκεν ὅ τι χρήσηται τοῖς παροῦσιν· οὔτε γὰρ ἀπιστεῖν βούλεσθαι τοῖς ὑπ' ἐμοῦ λεγομένοις, οὔτε πιστεύειν δύνασθαι παντάπασιν αὐτοῖς. (235) « Θαυμάζω γὰρ εἴθ' οὕτως ἐλυπήθης καὶ βαρέως ἔσχες, ὥσπερ φῄς, ἐπὶ τοῖς περὶ Λακεδαιμονίων εἰρημένοις (οὐδὲν γὰρ ἐν αὐτοῖς ὁρῶ τοιοῦτον γεγραμμένον), εἴτε συμβούλοις περὶ τοῦ λόγου χρήσασθαι βουλόμενος e ἡμᾶς συνήγαγες, οὓς οἶσθ' ἀκριβῶς ἅπαν ὅ τι ἂν σὺ λέγῃς ἢ πράττῃς ἐπαινοῦντας. Εἰθισμένοι δ' εἰσὶν οἱ

non minus exercitatum quam quemvis meorum discipulorum. Ceterum adolescentuli, qui his omnibus interfuerant, non idem senserunt quod ego. Nam me quidem la arunt, ut qui juveniiius exspectatione ipsorum disseruissem, et in eo certamine me præclare gessissem; illum autem contempserunt, non vero judicio, sed errore de utroque nostrûm. (230) Nam ille quidem discedebat prudentior factus et animo ita contracto modestoque, ut sapientes decet, et quod Delphis scriptum est, et se ipsum et Lacedæmoniorum ingenium magis quam prius cognoverat : ego vero, ut fortasse non inepte disputaram, sic ob hoc ipsum amentior factus eram et sanimosior quam nostram ætatem decebat, et plenus perturbatione ac tumultu juvenili. (231) Ac me sic affectum esse satis apparebat. Nam quum animo sua tranquillitas restituta nonnihil esset, non prius conquievi, quam eum sermonem, quem modo cum voluptate habueram, paulo post molestum mihi futurum, puero dictassem. Quum vero triduum aut quatriduum intercessisset, relegens eadem et ordine considerans ea quæ de nostra urbe dixeram, non culpabam (nam omnia recte præclareque de ea scripseram); (232) quum vero ad Lacedæmoniorum res venissem, indolui ac graviter tuli. Nec enim moderate de eis disseruisse videbar nec ita ut de aliis, sed temere et negligenter nimisque acerbe ac prorsus inconsiderate. Quare sæpe incitatus cupiditate vel delendi vel comburendi eam orationis partem, mutabam consilium, misertus senectutis meæ et laboris, quem illi conficiendæ impenderam.

233. Dum vero his curis æstuarem ac multa mutarem, consultissimum esse duxi, ut meorum auditorum iis, qui in urbe essent, accersitis, deliberarem, utrum hæc oratio prorsus delenda esset an vero edenda, ut a volentibus legeretur; atque omnino decreveram, utrum illis visum esset, id facere. His decretis nulla mora interposita statim convocati erant quos dixi, et denunciatum, qua de causa convenissent; et lecta oratio, atque laudata et cum plausu excepta, et ea consecuta sunt omnia, quæ successum declamationum sequuntur. (234) His omnibus peractis alii inter se disputabant de iis nimirum quæ lecta erant; sed is quem initio in consilium adhibueram, laudatorem illum Lacedæmoniorum dico, cum quo plura quam decuit disserui, silentio facto defixis in me oculis, « Equidem, inquit, dubito quid in præsentia mihi sit faciendum. Nec enim negare volo, quæ dixisti, nec omnino possum credere. (235) Miror enim, sive ita doluisti ac tam graviter tulisti, ut dicis, dicta illa de Lacedæmoniis (nihil enim tale in iis scriptum esse video), sive consultoribus de oratione ista uti quum velles, nos convocasti, quos satis nosti, quicquid tu dixeris aut feceris, collaudare. Quum autem pruden-

νοῦν ἔχοντες ἀνακοινοῦσθαι, περὶ ὧν ἂν σπουδάζωσι, μάλιστα μὲν τοῖς ἄμεινον αὐτῶν φρονοῦσιν, εἰ δὲ μή,
282 τοῖς μέλλουσιν ἀποφαίνεσθαι τὴν αὐτῶν γνώμην· ὧν a
τἀναντία σὺ πεποίηκας. (236) Τούτων μὲν οὖν οὐδέτερον ἀποδέχομαι τῶν λόγων, δοκεῖς δέ μοι ποιήσασθαι τήν τε παράκλησιν τὴν ἡμετέραν καὶ τὸν ἔπαινον τὸν τῆς πόλεως οὐχ ἁπλῶς, οὐδ' ὡς διείλεξαι πρὸς ἡμᾶς, ἀλλ' ἡμῶν μὲν πεῖραν λαβεῖν βουλόμενος, εἰ φιλοσοφοῦμεν καὶ μεμνήμεθα τῶν ἐν ταῖς διατριβαῖς λεγομένων καὶ συνιδεῖν δυνηθεῖμεν ἂν ὃν τρόπον ὁ λόγος τυγ- b
χάνει γεγραμμένος, (237) τὴν δὲ πόλιν ἐπαινεῖν προελέσθαι τὴν σαυτοῦ σωφρονῶν, ἵνα τῷ τε πλήθει τῷ τῶν πολιτῶν χαρίσῃ καὶ παρὰ τοῖς εὐνοϊκῶς πρὸς ὑμᾶς διακειμένοις εὐδοκιμήσῃς. Ταῦτα δὲ γνοὺς ὑπέλαβες ὡς εἰ μὲν περὶ μόνης αὐτῆς ποιήσει τοὺς λόγους καὶ τὰ μυθώδη περὶ αὐτῆς ἐρεῖς ἃ πάντες θρυλοῦσιν, ὅμοια φανεῖται τὰ λεγόμενα τοῖς ὑπὸ τῶν ἄλλων γεγραμμένοις, ἐφ' ᾧ σὺ μάλιστ' ἂν αἰσχυνθείης καὶ λυ- c
πηθείης· (238) ἐὰν δ' ἐάσας ἐκεῖνα λέγῃς τὰς πράξεις τὰς ὁμολογουμένας καὶ πολλῶν ἀγαθῶν αἰτίας τοῖς Ἕλλησι γεγενημένας, καὶ παραβάλλῃς αὐτὰς πρὸς τὰς Λακεδαιμονίων, καὶ τὰς μὲν τῶν προγόνων ἐπαινῇς, τῶν δ' ἐκείνοις πεπραγμένων κατηγορῇς, ὅ τε λόγος ἐναργέστερος εἶναι δόξει τοῖς ἀκούουσι καὶ σὺ μενεῖς ἐν τοῖς αὐτοῖς, ὃ μᾶλλον ἄν τινες θαυμάσειαν τῶν τοῖς ἄλλοις γεγραμμένων. (239) Ἐν ἀρχῇ μὲν οὖν οὕτω μοι φαίνει τάξαι καὶ βουλεύσασθαι περὶ αὐτῶν, εἰδὼς d
δὲ σαυτὸν ἐπηνεκότα τὴν Σπαρτιατῶν διοίκησιν ὡς οὐδεὶς ἄλλος, φοβεῖσθαι τοὺς ἀκηκοότας, μὴ δόξῃς ὅμοιος εἶναι τοῖς λέγουσιν ὅ τι ἂν τύχωσι καὶ τούτους νῦν ψέγειν οὓς πρότερον ἐπῄνεις μᾶλλον τῶν ἄλλων· ταῦτ' ἐνθυμηθεὶς σκοπεῖσθαι ποίους τινὰς ἂν ἑκατέρους εἶναι φήσας ἀληθῆ τε λέγειν δόξειας περὶ ἀμφοτέρων, ἔχοις τ' ἂν τοὺς μὲν προγόνους ἐπαινεῖν, οὕσπερ βούλει, Σπαρτιατῶν δὲ δοκεῖν μὲν κατηγορεῖν τοῖς ἀηδῶς e
πρὸς αὐτοὺς διακειμένοις, μηδὲν δὲ ποιεῖν τοιοῦτον, ἀλλὰ λανθάνειν ἐπαινῶν αὐτούς· ζητῶν δὲ τὰ τοιαῦτα ῥᾳδίως εὑρεῖν λόγους ἀμφιβόλους καὶ μηδὲν μᾶλλον μετὰ τῶν ἐπαινούντων ἢ τῶν ψεγόντων ὄντας, ἀλλ'
283 ἐπαμφοτερίζειν δυναμένους καὶ πολλὰς ἀμφισβητήσεις a
ἔχοντας, (240) οἷς χρῆσθαι περὶ μὲν συμβολαίων καὶ περὶ πλεονεξίας ἀγωνιζόμενον αἰσχρὸν καὶ πονηρίας οὐ μικρὸν σημεῖον, περὶ δὲ φύσεως ἀνθρώπων διαλεγόμενον καὶ πραγμάτων καλὸν καὶ φιλόσοφον. (241) Οἷός περ ὁ λόγος ὁ διαναγνωσθείς ἐστιν, ἐν ᾧ πεποίηκας τοὺς μὲν σοὺς προγόνους εἰρηνικοὺς καὶ φιλέλληνας καὶ τῆς ἰσότητος τῆς ἐν ταῖς πολιτείαις ἡγεμόνας, Σπαρτιάτας b
δ' ὑπεροπτικοὺς καὶ πολεμικοὺς καὶ πλεονέκτας, οἵους περ αὐτοὺς εἶναι πάντες ὑπειλήφασιν· τοιαύτην δ' ἑκατέρων ἐχόντων τὴν φύσιν, τοὺς μὲν ὑπὸ πάντων ἐπαινεῖσθαι καὶ δοκεῖν εὔνους εἶναι τῷ πλήθει, τοῖς δὲ τοὺς μὲν πολλοὺς φθονεῖν καὶ δυσμενῶς ἔχειν, ἔστι δ' οὓς καὶ ἐπαινεῖν αὐτοὺς καὶ θαυμάζειν, (242) καὶ τολμᾶν λέγειν ὡς ἀγαθὰ μείζω τυγχάνουσιν ἔχοντες τῶν τοῖς προγόνοις

tiores omnes ea, in quæ magno studio incumbunt, communicare soleant aut cum sapientioribus aut certe cum iis qui sententiam suam pronunciaturi sunt; tu fecisti contrarium. (236) Ac neutram quidem harum rationum ego probo; sed et nos callide convocasse et laudationem civitatis fecisse videris, non simpliter neque ita ut nobiscum collocutus es, sed periclitari nos voluisse, an serio in studia incumberemus et ea meminissemus quæ inter docendum dici solent, ac perspicere queamus, qua ratione scripta sit oratio; (237) tuam vero urbem laudare instituisse prudenti consilio, ut et multitudini civium gratificareris et laudem apud eos invenires, qui vos benevolentia prosequuntur. In isto igitur proposito cogitasti, si de ea sola verba faceres et fabulosa illa diceres, quæ omnibus in ore sunt, quicquid diceretur, simile visum iri iis quæ ab aliis scripta essent; id quod tu tibi turpissimum et molestissimum esse duceres: (238) sin his omissis ea facta recitares, quæ confessione omnium vera sunt et Græcis plurimum profuerunt, et cum rebus gestis Lacedæmoniorum conferres et majorum tuorum laudes cum illorum vituperatione conjungeres; tum orationem evidentiorem visum iri audientibus, tum in iisdem te mansurum; quod majori quibusdam admirationi futurum esset, quam ea quæ ab aliis scripta essent. (239) Initio igitur videris ita disposuisse et deliberasse de rebus; quum autem scires te Spartanorum urbem ita laudasse, ut nemo alius fecit, metuisse ne auditores iis te similem esse ducerent, qui quicquid in buccam venerit effutiunt, atque eos vituperare, quos prius ultra ceteros laudibus extulisses. Hæc cogitans, considerasti quidnam de utrisque dicendum esset, ut et vera diceres de ambobus et tuos majores laudare arbitratu tuo posses, et Spartanos iis, quibus invisi sunt, accusare videreris: quod minime tu faceres, sed clam et obscure commendares. Talia dum inquireres, facile reperisti ambigua dicta, quæ nihilo plus cum laudantibus quam cum vituperantibus facerent, sed in utramque partem flecti ac multas admittere disceptationes possent, (240) qualibus uti, si de privatis negotiis et emolumentis litiges, turpe sit et magnum signum improbitatis; quum autem de natura hominum rebusque disceptares, præclarum et præstantis ingenii argumentum. (241) Cujus generis est ista, quam audivimus, oratio, qua tuos majores pacis fecisti studiosos et Græcorum amantes et æqualitatis in rebus publicis duces; Spartanos vero superbos et bellicosos et primas ubique sibi vindicantes; cujusmodi omnes eos esse existimant. Talibus igitur ingeniis quum utrique sint, alteros ab omnibus laudari et videri bene velle multitudini; alteris multos invidere et infensos esse: (242) nec deesse tamen qui eos laudent et mirentur ac dicere ausint majoribus bonis eos præditos, quam sint ea quæ in majoribus tuis in-

τοῖς σοῖς προσόντων· τήν τε γὰρ ὑπεροψίαν σεμνότητος c μετέχειν, εὐδοκίμου πράγματος, καὶ δοκεῖν ἅπασι μεγαλοφρονεστέρους εἶναι τοὺς τοιούτους ἢ τοὺς τῆς ἰσότητος προεστῶτας, τούς τε πολεμικοὺς πολὺ διαφέρειν τῶν εἰρηνικῶν· τοὺς μὲν γὰρ οὔτε κτητικοὺς εἶναι τῶν οὐκ ὄντων οὔτε φύλακας δεινοὺς τῶν ὑπαρχόντων, τοὺς δ' ἀμφότερα δύνασθαι, καὶ λαμβάνειν ὧν ἂν ἐπιθυμῶσι καὶ σώζειν ἅπερ ἂν ἅπαξ κατάσχωσιν· ἃ ποιοῦσιν οἱ d τέλειοι δοκοῦντες εἶναι τῶν ἀνδρῶν. (243) Ἀλλὰ μὴν καὶ περὶ τῆς πλεονεξίας καλλίους ἔχειν οἴονται λόγους τῶν εἰρημένων· τοὺς μὲν γὰρ ἀποστεροῦντας τὰ συμβόλαια καὶ τοὺς παρακρουομένους καὶ παραλογιζομένους οὐχ ἡγοῦνται δικαίως καλεῖσθαι πλεονεκτικούς (διὰ γὰρ τὸ πονηρὰν ἔχειν τὴν δόξαν ἐν ἅπασιν αὐτοὺς ἐλαττοῦσθαι τοῖς πράγμασι), τὰς δὲ Σπαρτιατῶν πλεονεξίας καὶ τὰς τῶν βασιλέων καὶ τὰς τῶν τυράννων e εὐκτὰς μὲν εἶναι, καὶ ἅπαντας αὐτῶν ἐπιθυμεῖν, (244) οὐ μὴν ἀλλὰ λοιδορεῖσθαι καὶ καταρᾶσθαι τοῖς τὰς τηλικαύτας ἔχουσι δυναστείας· οὐδένα δὲ τοιοῦτον εἶναι τὴν φύσιν ὅστις οὐκ ἂν εὔξαιτο τοῖς θεοῖς μάλιστα μὲν 284 αὐτὸς τυχεῖν τῆς ἐξουσίας ταύτης, εἰ δὲ μή, τοὺς οἰκειοτάτους a · ᾧ καὶ φανερόν ἐστιν ὅτι μέγιστον τῶν ἀγαθῶν ἅπαντες εἶναι νομίζομεν τὸ πλέον ἔχειν τῶν ἄλλων. Τὴν μὲν οὖν περιβολὴν τοῦ λόγου δοκεῖς μοι ποιήσασθαι μετὰ τοιαύτης διανοίας.

245. « Εἰ μὲν οὖν ἡγούμην ἀφέξεσθαί σε τῶν εἰρημένων καὶ παραλείψειν ἀνεπιτίμητον τὸν λόγον τοῦτον, οὐδ' ἂν αὐτὸς ἔτι λέγειν ἐπεχείρουν· νῦν δ' ὅτι μὲν οὐκ ἀπεφηνάμην περὶ ὧν παρεκλήθην σύμβουλος, οὐδὲν b οἶμαί σοι μελήσειν (οὐδὲ γὰρ ὅτε συνῆγες ἡμᾶς, ἐδόκεις μοι σπουδάζειν περὶ αὐτῶν), (246) ὅτι δὲ προελόμενος συνθεῖναι λόγον μηδὲν ὅμοιον τοῖς ἄλλοις, ἀλλὰ τοῖς μὲν ῥαθύμως ἀναγιγνώσκουσιν ἁπλοῦν εἶναι δόξοντα καὶ ῥᾴδιον καταμαθεῖν, τοῖς δ' ἀκριβῶς διεξιοῦσιν αὐτόν, καὶ πειρωμένοις κατιδεῖν ὃ τοὺς ἄλλους λέληθεν, χαλεπὸν φανούμενον καὶ δυσκαταμάθητον καὶ πολλῆς μὲν ἱστορίας γέμοντα καὶ φιλοσοφίας, παντοδαπῆς δὲ c μεστὸν ποικιλίας καὶ ψευδολογίας, οὐ τῆς εἰθισμένης μετὰ κακίας βλάπτειν τοὺς συμπολιτευομένους, ἀλλὰ τῆς δυναμένης μετὰ παιδιᾶς ὠφελεῖν ἢ τέρπειν τοὺς ἀκούοντας, — (247) ὧν οὐδὲν ἐάσαντά με φήσεις τὸν τρόπον τοῦτον ἔχειν ὡς ἐβουλεύσω σὺ περὶ αὐτῶν, ἀλλὰ τήν τε δύναμιν τῶν λεγομένων διδάσκοντα καὶ τὴν σὴν διάνοιαν ἐξηγούμενον οὐκ αἰσθάνεσθαι τοσούτῳ τὸν λόγον ἀδοξότερον δι' ἐμὲ γιγνόμενον, ὅσῳ περ d αὐτὸν φανερώτερον ἐποίουν καὶ γνωριμώτερον τοῖς ἀναγιγνώσκουσιν· ἐπιστήμην γὰρ τοῖς οὐκ εἰδόσιν ἐνεργαζόμενον ἔρημον τὸν λόγον με ποιεῖν καὶ τῆς τιμῆς ἀποστερεῖν τῆς γιγνομένης ἂν αὐτῷ διὰ τοὺς πονοῦντας καὶ πράγματα σφίσιν αὐτοῖς παρέχοντας. (248) Ἐγὼ δ' ὁμολογῶ μὲν ἀπολελεῖφθαι τὴν ἐμὴν φρόνησιν τῆς σῆς ὡς δυνατὸν πλεῖστον, οὐ μὴν ἀλλ' ὥσπερ τοῦτ' e οἶδα, κἀκεῖνο τυγχάνω γιγνώσκων, ὅτι τῆς πόλεως τῆς ὑμετέρας βουλευομένης περὶ τῶν μεγίστων οἱ μὲν

sunt. Nam et superbiam a majestate, laudata re, non abhorrere, et qui tales sint, omnibus magnificentiores videri, quam qui æqualitatem introducant, et homines bellicosos multo præstare pacis studiosis, qui neque parare possint quæ non habeant, nec ea quæ habeant fortiter tueri; illos autem utrumque posse, tum capere quæ desiderent, tum servare quæ semel occuparint : quæ perfectorum virorum officia esse videantur. (243) Verum etiam de præcellendi studio pulchriora etiam dicere se posse censent, quam quæ nunc dicta sunt. Nam qui contractarum rerum fidem frangant et alios circumveniant et falsis ratiunculis deludant, eos jure præcellentes vocari non putant; quia enim male de ipsis existimetur, omnibus in rebus esse eos deteriore conditione : Spartanorum vero præcellendi studium et regum et tyrannorum, quum optabile esse atque ab omnibus expeti, (244) tum neminem incessere conviciis aut exsecrari eos, quorum tantæ sint facultates atque opes; neque inveniri tam abjecto ingenio quenquam, quin optet talem a diis potestatem tribui sibi inprimis, aut saltem sibi conjunctissimis. Unde perspicuum est summum bonum videri nobis aliis antecellere. Ambitum igitur tuæ orationis in hanc sententiam complexus mihi esse videris.

245. « Quodsi putassem te parsurum esse his quæ dicta sunt et hanc orationem sine reprehensione prætermissurum, ne ipse quidem plura dicenda mihi censuissem : nunc quia nihil de his pronunciavi, quorum gratia in consilium advocatus sum, id tibi curæ non fore arbitror (nec enim, quum nos convocares, ea res serio abs te agi videbatur), (246) sed quod instituisti, opinor, orationem ceteris nulla re similem, quæ quidem segniter et otiose legentibus simplex videretur intellectuque facilis, diligenter autem intuentibus et id quod alios fugisset perspicere conantibus difficilis appareret, nec cujusvis intelligentiæ exposita multisque historiis et recondita eruditione referta, plena etiam omnigena varietate et (ut ita dicam) mendaciloquentia, non ea quæ cives improbe lædere consuevit, sed quæ cum urbanitate juvare et oblectare possit auditores : (247) quorum nihil ita se habere me sivisse dices, ut ea tu se habere volueris; sed si ego, quæ vis sit orationis, edocuero et tuum consilium exposuero, me non animadvertere affirmabis orationem per me tanto contemptiorem reddi, quanto eam dilucidiorem fecerim et legentibus notiorem; quum enim ignorantibus scientiam tradam, me efficere ut oratio inanis sit eoque honore privetur, qui accessisset ab illis qui ipsi laborant et sibi negotium facessunt. (248) Ego vero me prudentia, quam longissime fieri possit, te esse inferiorem fateor; sed tamen ut hoc scio, sic illud etiam non ignoro, urbe vestra maximis de rebus deliberante,

ἄριστα φρονεῖν δοκοῦντες ἐνίοτε διαμαρτάνουσι τοῦ συμφέροντος, τῶν δὲ φαύλων νομιζομένων εἶναι καὶ 285 καταφρονουμένων ἔστιν ὅτε κατώρθωσεν ὁ τυχὼν καὶ a βέλτιστα λέγειν ἔδοξεν· (249) ὥστ' οὐδὲν θαυμαστὸν εἰ καὶ περὶ τοῦ νῦν ἐνεστῶτος τοιοῦτόν τι συμβέβηκεν, ὅπου σὺ μὲν οἴει μάλιστ' εὐδοκιμήσειν, ἣν ὡς πλεῖστον χρόνον διαλάθῃς ἣν ἔχων γνώμην τὰ περὶ τὸν λόγον ἐπραγματεύθης, ἐγὼ δ' ἡγοῦμαι βέλτιστά σε πράξειν, ἢν δυνηθῇς τὴν διάνοιαν, ᾗ χρώμενος αὐτὸν συνέθηκας, ὡς τάχιστα φανερὰν ποιῆσαι τοῖς τ' ἄλλοις ἅπασι καὶ b Λακεδαιμονίοις, περὶ ὧν πεποίησαι πολλοὺς λόγους, τοὺς μὲν δικαίους καὶ σεμνούς, τοὺς δ' ἀσελγεῖς καὶ λίαν φιλαπεχθήμονας· (250) οὓς εἴ τις ἐπέδειξεν αὐτοῖς πρὶν ἐμὲ διαλεχθῆναι περὶ αὐτῶν, οὐκ ἔστιν ὅπως οὐκ ἂν ἐμίσησαν καὶ δυσκόλως πρὸς σὲ διετέθησαν ὡς κατηγορίαν γεγραφότα καθ' αὐτῶν. Νῦν δ' οἴομαι τοὺς μὲν πλείστους Σπαρτιατῶν ἐμμενεῖν τοῖς ἤθεσιν οἷσπερ καὶ τὸν ἄλλον χρόνον, τοῖς δὲ λόγοις τοῖς ἐνθάδε γρα- c φομένοις οὐδὲν μᾶλλον προσέξειν τὸν νοῦν ἢ τοῖς ἔξω τῶν Ἡρακλέους στηλῶν λεγομένοις, (251) τοὺς δὲ φρονιμωτάτους αὐτῶν καὶ τῶν λόγων τινὰς ἔχοντας τῶν σῶν καὶ θαυμάζοντας, τούτους, ἢν λάβωσι τὸν ἀναγνωσόμενον καὶ χρόνον ὥστε συνδιατρῖψαι σφίσιν αὐτοῖς, οὐδὲν ἀγνοήσειν τῶν λεγομένων, ἀλλὰ καὶ τῶν ἐπαίνων αἰσθήσεσθαι τῶν μετ' ἀποδείξεως εἰρημένων περὶ τῆς πόλεως τῆς ἑαυτῶν, καὶ τῶν λοιδοριῶν καταφρονήσειν τῶν εἰκῇ μὲν τοῖς πράγμασι λεγομένων, πικρῶς δὲ τοῖς ὀνόμασι κεχρημένων, καὶ νομιεῖν τὰς d μὲν βλασφημίας τὰς ἐνούσας ἐν τῷ βιβλίῳ τὸν φθόνον ὑποβαλεῖν, (252) τὰς δὲ πράξεις καὶ τὰς μάχας, ἐφ' αἷς αὐτοί τε μέγα φρονοῦσι καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμοῦσι, σὲ γεγραφέναι καὶ μνημονεύεσθαι πεποιηκέναι, συναγαγόντα πάσας αὐτὰς καὶ θέντα παρ' ἀλλήλας, αἴτιον δ' εἶναι καὶ τοῦ πολλοὺς ποθεῖν ἀναγνῶναι καὶ διελθεῖν αὐτάς, οὐ τὰς ἐκείνων ἐπιθυμοῦντας ἀκοῦσαι e πράξεις, ἀλλὰ πῶς σὺ διείλεξαι περὶ αὐτῶν μαθεῖν βουλομένους. (253) Ταῦτ' ἐνθυμουμένους καὶ διεξιόντας οὐδὲ τῶν παλαιῶν ἔργων ἀμνημονήσειν, δι' ὧν ἐγκε- 286 κωμίακας τοὺς προγόνους αὐτῶν, ἀλλὰ καὶ πολλάκις a διαλέξεσθαι πρὸς σφᾶς αὐτούς, πρῶτον μὲν ὅτι Δωριεῖς ὄντες, ἐπειδὴ κατεῖδον τὰς πόλεις τὰς ἑαυτῶν ἀδόξους καὶ μικρὰς καὶ πολλῶν ἐνδεεῖς οὔσας, ὑπεριδόντες ταύτας ἐστράτευσαν ἐπὶ τὰς ἐν Πελοποννήσῳ πρωτευούσας, ἐπ' Ἄργος καὶ Λακεδαίμονα καὶ Μεσσήνην, (254) μάχῃ δὲ νικήσαντες τοὺς μὲν ἡττηθέντας ἔκ τε τῶν πόλεων καὶ τῆς χώρας ἐξέβαλον, αὐτοὶ δὲ τὰς κτή- b σεις ἁπάσας τὰς ἐκείνων τότε κατασχόντες ἔτι καὶ νῦν ἔχουσιν, οὗ μεῖζον ἔργον καὶ θαυμαστότερον οὐδεὶς ἐπιδείξει κατ' ἐκεῖνον τὸν χρόνον γενόμενον, οὐδὲ πρᾶξιν εὐτυχεστέραν καὶ θεοφιλεστέραν τῆς τοὺς χρησαμένους τῆς μὲν οἰκείας ἀπορίας ἀπαλλαξάσης, τῆς δ' ἀλλοτρίας εὐδαιμονίας κυρίους ποιησάσης. (255) Καὶ ταῦτα μὲν μετὰ πάντων συστρατευσαμένων ἔπραξαν· ἐπειδὴ δὲ πρὸς Ἀργείους καὶ Μεσσηνίους τὴν χώραν c

eos, qui sapientissimi esse videantur, interdum a communi utilitate aberrare, et fieri nonnunquam ut forte fortuna quispiam e vilium contemptorumque numero et recte sensisse et optime dixisse videatur. (249) Quare mirandum non erit, si in hoc quoque negotio tale aliquid nunc evenerit, ubi tu existimas te maximam laudem consecuturum, si quam diutissime obscurum fuerit quo animo orationem composueris: ego vero tecum optime actum iri puto, si sententiam, qua in ea conficienda usus es, quam citissime perspicuam reddere possis tum aliis universis, tum Lacedæmoniis, de quibus multa verba fecisti, quorum nonnulla justa sunt et gravia, quædam petulantia et nimis odiosa. (250) Quæ si quis eis ostendisset, antequam ego meum judicium interposuissem, fieri non potuisset quin et offensi et irati tibi essent, ut qui accusationem contra ipsos scripsisses. Nunc Spartanorum plerosque nihil de vetere sua consuetudine puto mutaturos neque orationes, quæ hic scribantur, magis curaturos esse, quam ea quæ extra columnas Herculis dicantur; (251) eorum autem prudentissimos, qui orationum tuarum aliquas habent et admirantur, si quem nacti lectorem fuerint et tempus, ut inter se ipsi diligenter omnia perpendant, nihil ignoraturos eorum quæ dicuntur, sed et laudes animadversuros, quæ in urbem suam enumeratis rebus gestis conferuntur, et convicia contempturos, quæ temere et sine re dicuntur verborumque tantum asperitatem habent, et existimaturos maledicta quæ in libro insint, ab invidia esse profecta, (252) res vero gestas et prælia, propter quæ et ipsi multum sibi tribuunt et ab aliis tribui vident, te scripsisse et ab oblivione vindicasse, collectis seorsum omnibus et per collationem explicatis. Illud quoque tibi acceptum referent, si ea multi et legere et percensere velint, non quod illorum res gestas audire desiderent, sed quod cognoscere studeant quomodo tu de eis disserueris. (253) Hæc cum animis suis cogitantes et repetentes neque veterum facinorum obliviscentur, ob quæ majores ipsorum laudasti, sed hæc etiam sæpe secum ipsi reputabunt: primum se, quum Dorienses essent, ac suas urbes inglorias et parvas esse viderent multarumque rerum egentes, illis neglectis bellum intulisse civitatibus Peloponnesi primariis, Argis, Lacedæmoni et Messenæ, (254) victoriaque parta et urbibus et regione eos exegisse, quos superassent, ac possessiones illorum omnes occupasse, quas etiam nunc tenent: quo majus facinus et admirabilius nemo ostendet illis temporibus editum, aut quicquam esse gestum felicius, aut diis magis propitiis, quam id, per quod et suæ inopiæ consuluerunt et alienam felicitatem in suam potestatem redegerunt. (255) Atque hæc cum omnibus expeditionis illius sociis gesserunt. Postquam autem cum Argivis et Messeniis regionem partiti Spartam

διείλοντο καὶ καθ' αὑτοὺς ἐν Σπάρτῃ κατῴκησαν, ἐν τούτοις τοῖς καιροῖς τοσοῦτον φρονῆσαι φῄς αὐτούς, ὥστ' ὄντας οὐ πλείους τότε δισχιλίων οὐχ ἡγήσασθαι σφᾶς αὐτοὺς ἀξίους εἶναι ζῆν, εἰ μὴ δεσπόται πασῶν τῶν ἐν Πελοποννήσῳ πόλεων γενέσθαι δυνηθεῖεν, (256) ταῦτα δὲ διανοηθέντας καὶ πολεμεῖν ἐπιχειρήσαντας οὐκ ἀπειπεῖν, ἐν πολλοῖς κακοῖς καὶ κινδύνοις γιγνομένους, πρὶν ἁπάσας ταύτας ὑφ' αὑτοῖς ἐποιήσαντο πλὴν τῆς Ἀργείων πόλεως, ἔχοντας δ' ἤδη καὶ χώραν πλείστην d καὶ δύναμιν μεγίστην καὶ δόξαν τοσαύτην ὅσην προσήκει τοὺς τηλικαῦτα διαπεπραγμένους, οὐχ ἧττον διακεῖσθαι φιλοτίμως, ὅτι λόγος ὑπῆρχεν αὐτοῖς ἴδιος καὶ καλὸς μόνοις τῶν Ἑλλήνων· (257) ἐξεῖναι γὰρ εἰπεῖν αὐτοῖς ὅτι σφεῖς μὲν ὄντες οὕτως ὀλίγοι τὸν ἀριθμὸν οὐδεμιᾷ πώποτε τῶν μυριάνδρων πόλεων ἠκολούθησαν οὐδ' ἐποίησαν τὸ προσταττόμενον, ἀλλ' αὐτόνομοι διετέλεσαν e ὄντες, αὐτοὶ δ' ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς βαρβάρους πάντων τῶν Ἑλλήνων ἡγεμόνες κατέστησαν, καὶ τῆς τιμῆς ταύτης ἔτυχον οὐκ ἀλόγως, ἀλλὰ διὰ τὸ μάχας ποιησάμενοι πλείστας ἀνθρώπων κατ' ἐκεῖνον τὸν χρόνον μηδεμίαν ἡττηθῆναι τούτων ἡγουμένου βασιλέως, ἀλλὰ νενικηκέναι πάσας, (258) οὗ 287 τεκμήριον οὐδεὶς ἂν δύναιτο μεῖζον εἰπεῖν ἀνδρείας καὶ a χαρτερίας καὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας, πλὴν ἢ τὸ ῥηθήσεσθαι μέλλον· τοσούτων γὰρ τὸ πλῆθος τῶν πόλεων τῶν Ἑλληνίδων οὐσῶν, τῶν μὲν ἄλλων οὐδεμίαν εἰπεῖν οὐδ' εὑρεῖν, ἥτις οὐ περιπέπτωκε ταῖς συμφοραῖς ταῖς εἰθισμέναις γίγνεσθαι ταῖς πόλεσιν, (259) ἐν δὲ τῇ Σπαρτιατῶν οὐδεὶς ἂν ἐπιδείξειεν οὔτε στάσιν οὔτε σφαγὰς οὔτε φυγὰς ἀνόμους γεγενημένας, οὐδ' ἁρπαγὰς χρημάτων οὐδ' αἰσχύνας γυναικῶν καὶ παίδων, ἀλλ' b οὐδὲ πολιτείας μεταβολὴν οὐδὲ χρεῶν ἀποκοπὰς οὐδὲ γῆς ἀναδασμὸν οὐδ' ἄλλ' οὐδὲν τῶν ἀνηκέστων κακῶν. Περὶ ὧν διεξιόντας οὐκ ἔστιν ὅπως οὐ καὶ σοῦ, τοῦ τ' ἀθροίσαντος καὶ διαλεχθέντος οὕτω καλῶς περὶ αὐτῶν, μεμνήσεσθαι καὶ πολλὴν χάριν ἕξειν.

260. « Οὐ τὴν αὐτὴν δὲ γνώμην ἔχω περὶ σοῦ νῦν καὶ πρότερον. Ἐν μὲν γὰρ τοῖς παρελθοῦσι χρόνοις ἐθαύμαζόν σου τήν τε φύσιν καὶ τὴν τοῦ βίου τάξιν c καὶ τὴν φιλοπονίαν καὶ μάλιστα τὴν ἀλήθειαν τῆς φιλοσοφίας, νῦν δὲ ζηλῶ σε καὶ μακαρίζω τῆς εὐδαιμονίας· δοκεῖς γάρ μοι ζῶν μὲν λήψεσθαι δόξαν οὐ μείζω μὲν ἧς ἄξιος εἶ (χαλεπὸν γάρ), παρὰ πλείοσι δὲ καὶ μᾶλλον ὁμολογουμένην τῆς νῦν ὑπαρχούσης, τελευτήσας δὲ τὸν βίον μεθέξειν ἀθανασίας, οὐ τῆς τοῖς θεοῖς παρούσης, ἀλλὰ τῆς τοῖς ἐπιγιγνομένοις περὶ τῶν διενεγκόντων ἐπί τινι τῶν καλῶν ἔργων μνήμην ἐμποιούσης. d (261) Καὶ δικαίως τεύξει τούτων· ἐπῄνεκας γὰρ τὰς πόλεις ἀμφοτέρας καλῶς καὶ προσηκόντως, τὴν μὲν κατὰ τὴν δόξαν τὴν τῶν πολλῶν, ἧς οὐδεὶς τῶν ὀνομαστῶν ἀνδρῶν καταπεφρόνηκεν, ἀλλ' ἐπιθυμοῦντες τυχεῖν αὐτῆς οὐκ ἔστιν ὅντινα κίνδυνον οὐχ ὑπομένουσι, τὴν δὲ κατὰ τὸν λογισμὸν τῶν πειρωμένων στοχάζεσθαι

seorsum se contulerint, illis temporibus animorum tanta magnitudine eos fuisse dicis, ut, quum non plures bis mille essent, se vita indignos judicarent, nisi omnibus Peloponnesi urbibus potiri possent: (256) quo consilio quum bellum suscepissent, quamquam multis miseriis et periculis conflictati non abjecerunt animos priusquam eas omnes, Argivorum urbe excepta, subegissent. Quum autem jam et ditionem amplissimam et potentiam maximam et tantam gloriam consecuti essent, quantam eos par est qui res tantas gesserint, hoc sibi non minus laudi duxerunt, quod soli Græcorum omnium hac peculiari et præclara prærogativa gloriari possent, (257) se tam paucos numero nullius unquam urbis quantumvis amplæ ductum secutos esse aut imperata fecisse, sed sua libertate perpetuo retenta bello barbarico Græcorum omnium duces constitutos, eoque honore non sine causa affectos, sed propterea quod ex universo genere mortalium illis temporibus in plurimis præliis versati in nullo succubuissent suo rege duce, sed omnes superassent. (258) Quo nullum majus ac certius signum dici possit fortitudinis et tolerantiæ et consensionis inter ipsos, eo quod jam dicetur excepto. Nam quum tanta multitudo sit Græcarum civitatum, ceterarum nulla dici aut inveniri potest, quæ non in calamitates illas inciderit quæ urbibus accidere soleant: (259) Spartæ autem nemo possit ostendere factam esse vel seditionem vel cædes vel exilia injusta vel direptiones pecuniarum vel stupra uxorum et liberûm, imo ne reipublicæ quidem mutationem neque novas tabulas neque agrorum divisionem neque quicquam aliud insignium calamitatum. Quæ quum reputabunt, fieri non poterit quin tui etiam, qui ista congesseris et tam eleganter dissserueris, recordaturi et magnam tibi gratiam habituri sint.

260. « Non autem nunc idem, quod prius, de te sentio. Nam superiori tempore quum ingenium tuum, et vitæ ordinem et industriam, tum vero philosophiæ veritatem inprimis mirabar: nunc vero te felicissimum et beatissimum judico. Videris enim mihi vivens etiam gloria fore non quidem majore quam merearis (vix enim id fieri potest), apud plures tamen et evidentiore hac qua nunc flores; defunctus autem immortalitatis particeps futurus, non ejus qua dii fruuntur, sed illius qua memoria eorum, qui re aliqua memorabili alios superant, ad posteros propagatur. (261) Et hæc jure tibi contingent. Nam utramque urbem præclare laudasti et convenienter, alteram ex opinione multitudinis, quam nulli viri celebres contempserunt, sed dum eam consequi student, omnia pericula subierunt; alteram secundum rationes eorum, qui veritatem attingere

τῆς ἀληθείας, παρ' οἷς εὐδοκιμεῖν ἂν τινες ἕλοιντο μᾶλλον ἢ παρὰ τοῖς ἄλλοις διπλασίοις γενομένοις ἢ e νῦν εἰσιν.

262. « Ἀπλήστως δὲ διακείμενος ἐν τῷ παρόντι πρὸς τὸ λέγειν, καὶ πόλλ' ἂν εἰπεῖν ἔχων ἔτι καὶ περὶ σοῦ καὶ περὶ τοῖν πολέοιν καὶ περὶ τοῦ λόγου, ταῦτα 288 μὲν ἐάσω, περὶ ὧν δὲ παρακληθῆναί με σὺ φῄς, a περὶ τούτων ἀποφανοῦμαι. Συμβουλεύω γάρ σοι μήτε κατακάειν τὸν λόγον μήτ' ἀφανίζειν, ἀλλ' εἴ τινος ἐνδεής ἐστι, διορθώσαντα καὶ προσγράψαντα πάσας τὰς διατριβὰς τὰς περὶ αὐτὸν γεγενημένας διδόναι τοῖς βουλομένοις λαμβάνειν, (263) εἴπερ βούλει χαρίσασθαι μὲν τοῖς ἐπιεικεστάτοις τῶν Ἑλλήνων καὶ τοῖς ὡς ἀληθῶς φιλοσοφοῦσιν ἀλλὰ μὴ προσποιουμένοις, λυ- b πῆσαι δὲ τοὺς θαυμάζοντας μὲν τὰ σὰ μᾶλλον τῶν ἄλλων, λοιδορουμένους δὲ τοῖς λόγοις τοῖς σοῖς ἐν τοῖς ὄχλοις τοῖς πανηγυρικοῖς, ἐν οἷς πλείους εἰσὶν οἱ καθεύδοντες τῶν ἀκροωμένων, καὶ προσδοκῶντας, ἢν παρακρούσωνται τοὺς τοιούτους, ἐναμίλλους τοὺς αὐτῶν γενήσεσθαι τοῖς ὑπὸ σοῦ γεγραμμένοις, κακῶς εἰδότας ὅτι πλέον ἀπολελειμμένοι τῶν σῶν εἰσιν ἢ τῆς Ὁμήρου δόξης οἱ περὶ τὴν αὐτὴν ἐκείνῳ ποίησιν c γεγονότες. »

264. Ταῦτ' εἰπόντος αὐτοῦ καὶ τοὺς παρόντας ἀξιώσαντος ἀποφήνασθαι περὶ ὧν παρεκλήθησαν, οὐκ ἐθορύβησαν, ὃ ποιεῖν εἰώθασιν ἐπὶ τοῖς χαριέντως διειλεγμένοις, ἀλλ' ἀνεβόησαν ὡς ὑπερβαλλόντως εἰρηκότος, καὶ περιστάντες αὐτὸν ἐπῄνουν, ἐζήλουν, ἐμακάριζον, καὶ προσθεῖναι μὲν οὐδὲν εἶχον τοῖς εἰρημένοις οὐδ' ἀφελεῖν, συναπεφαίνοντο δὲ καὶ συνεβούλευόν μοι ποιεῖν ἅπερ ἐκεῖνος παρῄνεσεν. (265) Οὐ μὴν οὐδ' ἐγὼ παρεστὼς ἐσιώπων, ἀλλ' ἐπῄνεσα τήν τε φύσιν αὐτοῦ καὶ τὴν ἐπιμέλειαν, περὶ δὲ τῶν ἄλλων οὐδὲν ἐφθεγξάμην d ὧν εἶπεν, οὔθ' ὡς ἔτυχε ταῖς ὑπονοίαις τῆς ἐμῆς διανοίας οὔθ' ὡς διήμαρτεν, ἀλλ' εἴων αὐτὸν οὕτως ἔχειν ὥσπερ αὐτὸς αὑτὸν διέθηκεν.

266. Περὶ μὲν οὖν ὧν ὑπεθέμην ἱκανῶς εἰρῆσθαι νομίζω· τὸ γὰρ ἀναμιμνήσκειν καθ' ἕκαστον τῶν εἰρημένων οὐ πρέπει τοῖς λόγοις τοῖς τοιούτοις· βούλομαι δὲ διαλεχθῆναι περὶ τῶν ἰδίᾳ μοι περὶ τὸν λόγον συμβε- e βηκότων. Ἐγὼ γὰρ ἐνεστησάμην μὲν αὐτὸν ἔτη γεγονὼς ὅσα περ ἐν ἀρχῇ προεῖπον· (267) ἤδη δὲ τῶν ἡμισέων γεγραμμένων ἐπιγενομένου μοι νοσήματος 289 ῥηθῆναι μὲν οὐκ εὐπρεποῦς, δυναμένου δ' ἀναιρεῖν οὐ a μόνον τοὺς πρεσβυτέρους ἐν τρισὶν ἢ τέτταρσιν ἡμέραις, ἀλλὰ καὶ τῶν ἀκμαζόντων πολλούς, τούτῳ διατελῶ τρί' ἔτη μαχόμενος, οὕτω φιλοπόνως ἑκάστην τὴν ἡμέραν διάγων, ὥστε τοὺς εἰδότας καὶ τοὺς παρὰ τούτων πυνθανομένους μᾶλλόν με θαυμάζειν διὰ τὴν καρτερίαν ταύτην ἢ δι' ἃ πρότερον ἐπῃνούμην. (268) Ἤδη δ' ἀπειρηκότος καὶ διὰ τὴν νόσον καὶ διὰ τὸ γῆρας, τῶν b ἐπισκοπούντων τινές με καὶ πολλάκις ἀνεγνωκότων τὸ μέρος τοῦ λόγου τὸ γεγραμμένον, ἐδέοντό μου καὶ συνεβούλευον μὴ καταλιπεῖν αὐτὸν ἡμιτελῆ μηδ' ἀδιέρ-

conjectura student, apud quos in magna existimatione esse quidam præferant quam apud ceteros, si duplo plures quam nunc sunt, exsistant.

262. « Quum autem inexplebili hoc tempore dicendi cupiditate flagrem et multa habeam quæ dicam tum de te, tum de utraque urbe, tum de oratione hac; tamen omissis illis de eo sententiam dicam, cujus gratia me accersitum esse dicis. Tibi enim acutor sum ut hanc orationem neque comburas neque aboleas, sed sicubi aliquid deest, corrigas et omnibus disputationibus, quæ de ea habitæ sunt, adscriptis legere volentibus impertias, (263) si modo rem gratam facere studes optimis viris inter Græcos et quam verissime, non simulate, philosophantibus, et illos afficere molestia, qui quum tua magis quam alii mirentur, orationes tuas in hominum frequentia proscindunt, in qua plures sunt qui dormiant quam qui auscultent, quique sperant, si vulgus hominum deceperint, suas declamatiunculas cum scriptis a te orationibus posse contendere, ignari nimirum se longius abesse ab excellentia tua, quam a gloria Homeri illos qui in eodem genere poesis elaborarunt. »

264. Quæ quum ille dixisset et ab iis, qui aderant, petiisset ut ea de re, cujus gratia convocati essent, sententiam dicerent, illi non applauserunt, quod iis, qui eleganter disseruerunt, facere solent, sed exclamarunt, quasi excellenter perorasset, factaque circa eum corona laudabant, mirabantur, beatum prædicabant; atque ejus quidem orationi quæ adjicerent, aut demerent, nihil habebant, sed ejus sententiæ assensi ea mihi facienda censebant, quæ ille monuisset. (265) Verum ne ego quidem tacitus astabam, sed quum ingenium ejus laudabam, tum diligentiam. De ceteris autem quæ dixerat, nihil locutus sum, nec quam prope conjecturis suis ad meam sententiam accessisset, nec quam longe aberrasset, sed eam persuasionem, quam a se ipse acceperat, eum tenere sinebam.

266. Ac vero de his quæ proposui, satis dictum esse puto; nam singula quæ prius dicta sunt repetere, alienum est ab hoc genere orationum. Dicam autem de his quæ in hac oratione mihi privatim acciderunt, quam ego scribere institui tot annos natus, quot initio dixi: (267) quum vero dimidia pars scripta esset, morbus me invasit, qui ut nominari verecunde non potest, sic non seniores tantum triduo aut quatriduo tollere potest, sed multos etiam integræ ætatis. Cum quo perpetuum triennium ego sum luctatus, et ea tolerantia singulos dies transegi, ut et ii qui sciunt, et qui e scientibus audiverunt, meam illam tolerantiam mirentur magis, quam ea quæ superiori tempore mihi laudem pepererunt. (268) Quum vero jam et animum despondissem et viribus destitutus essem tum morbo tum senectute, quidam eorum qui me visebant et eam orationis partem, quæ scripta erat, sæpe legerant, rogarunt et suaserunt ne dimidiatam et inelaboratam relinquerem, sed parvi tempo-

γαστον, ἀλλὰ πονῆσαι μικρὸν χρόνον καὶ προσέχειν τοῖς λοιποῖς τὸν νοῦν. (269) Οὐχ ὁμοίως δὲ διελέγοντο περὶ τούτων τοῖς ἀφοσιουμένοις, ἀλλ' ὑπερεπαινοῦντες μὲν τὰ γεγραμμένα, τοιαῦτα δὲ λέγοντες, ὧν εἴ τινες c ἤκουον μήτε συνήθεις ἡμῖν ὄντες μήτ' εὔνοιαν μηδεμίαν ἔχοντες, οὐκ ἔστιν ὅπως οὐκ ἂν ὑπέλαβον τοὺς μὲν φενακίζειν, ἐμὲ δὲ διεφθάρθαι καὶ παντάπασιν εἶναι μωρόν, εἰ πείσομαι τοῖς λεγομένοις. (270) Οὕτω δ' ἔχων ἐφ' οἷς εἰπεῖν ἐτόλμησαν ἐπείσθην (τί γὰρ δεῖ μακρολογεῖν;) γενέσθαι πρὸς τῇ τῶν λοιπῶν πραγματείᾳ γεγονὼς μὲν ἔτη τρία μόνον ἀπολείποντα τῶν ἑκατόν, οὕτω δὲ διακείμενος ὡς ἕτερος ἔχων οὐχ d ὅπως γράφειν ἂν λόγον ἐπεχείρησεν, ἀλλ' οὐδ' ἄλλου δεικνύοντος καὶ πονήσαντος ἠθέλησεν ἀκροατὴς γενέσθαι.

271. Τίνος οὖν ἕνεκα ταῦτα διῆλθον; οὐ συγγνώμης τυχεῖν ἀξιῶν ὑπὲρ τῶν εἰρημένων (οὐ γὰρ οὕτως οἴομαι διειλέχθαι περὶ αὐτῶν), ἀλλὰ δηλῶσαι βουλόμενος τά τε περὶ ἐμὲ γεγενημένα, καὶ τῶν ἀκροατῶν ἐπαινέσαι μὲν τούς τόν τε λόγον ἀποδεχομένους τοῦτον καὶ τῶν ἄλλων σπουδαιοτέρους καὶ φιλοσοφωτέρους εἶναι νομίζοντας e τοὺς διδασκαλικοὺς καὶ τεχνικοὺς τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμμένων, καὶ τοὺς τῆς ἀληθείας στοχαζομένους τῶν τὰς δόξας τῶν ἀκροωμένων 290 παρακρούεσθαι ζητούντων, καὶ τοὺς ἐπιπλήττοντας τοῖς ἁμαρτανομένοις καὶ νουθετοῦντας τῶν πρὸς ἡδονὴν καὶ χάριν λεγομένων, (272) συμβουλεῦσαι δὲ τοῖς τἀναντία τούτων γιγνώσκουσι πρῶτον μὲν μὴ πιστεύειν ταῖς αὑτῶν γνώμαις, μηδὲ νομίζειν ἀληθεῖς εἶναι τὰς κρίσεις τὰς ὑπὸ τῶν ῥαθυμούντων γιγνομένας, ἔπειτα μὴ προπετῶς ἀποφαίνεσθαι περὶ ὧν οὐκ ἴσασιν, ἀλλὰ περιμένειν ἕως ἂν ὁμονοῆσαι δυνηθῶσι τοῖς τῶν ἐπιδεικνυμένων πολλὴν ἐμπειρίαν ἔχουσιν· τῶν γὰρ οὕτω διοικούντων τὰς ἑαυτῶν διανοίας οὐκ ἔστιν ὅστις ἂν τοὺς τοιούτους ἀνοήτους εἶναι νομίσειεν.

ris labore suscepto etiam reliquis absolvendis animum adjicerem. (269) Neque vero ita loquebantur, ut defungendi causa id facerent, sed et quæ scripseram laudibus efferebant et ea dicebant, quæ si qui audivissent neque familiaritate neque benevolentia nobiscum conjuncti, fieri non potuisset, quin existimassent et illos fucum mihi facere et me errore mentis affici et fore stultum, si verbis eorum fidem habuissem. (270) Quanquam autem sic affectus eram, iis, quæ dicere ausi sunt, parui (quid enim prolixa oratione opus est?) ut ad eam partem orationis, quæ deesset, animum applicarem, quum quidem triennio tantum ab anno ætatis centesimo abessem et sic afflicta valetudine, qua alius tantum abest ut orationem scribere instituisset, ut ne ab alio quidem elaboratam et ostensam audire voluisset.

271. Cur vero hæc commemoro? Non utique ut orationi meæ veniam petam (nec enim sic disseruisse mihi videor), sed primum ut ostendam quid mihi usu venerit, deinde, ut eos auditores laudem, qui hanc orationem probant quique existimant eas orationes, quæ docent et artem monstrant, iis quæ vel ad ostentationem vel ad forensia certamina comparatæ sunt præferendas et eruditiores judicandas esse; eas item quæ veritati studeant illis esse potiores quæ auditorum mentibus fucum facere conentur; pluris etiam eas fieri debere, quæ delicta reprehendant atque admoneant, quam quæ voluptati et auræ populari serviant. (272) Eos autem, qui diversum ab his sentiunt, monere volui, primum, ne suis sententiis plus æquo tribuant, neque vera eorum judicia esse putent, qui sunt animis otiosis; secundo loco, ne temere pronuncient de his quæ prorsus ignorant, sed tantisper exspectent ac differant, dum illis assentiri queant, qui de iis quæ ostenduntur orationibus peritissime judicant: nemo enim eos qui hac modestia judicia sua retineant, ineptos et stolidos judicabit.

13.

ΚΑΤΑ ΤΩΝ ΣΟΦΙΣΤΩΝ.

291 Εἰ πάντες ἤθελον οἱ παιδεύειν ἐπιχειροῦντες ἀληθῆ a λέγειν, καὶ μὴ μείζους ποιεῖσθαι τὰς ὑποσχέσεις ὧν ἔμελλον ἐπιτελεῖν, οὐκ ἂν κακῶς ἤκουον ὑπὸ τῶν ἰδιωτῶν· νῦν δ' οἱ τολμῶντες λίαν ἀπερισκέπτως ἀλαζονεύεσθαι πεποιήκασιν ὥστε δοκεῖν ἄμεινον βουλεύεσθαι τοὺς ῥαθυμεῖν αἱρουμένους τῶν περὶ τὴν φιλοσοφίαν διατριβόντων. Τίς γὰρ οὐκ ἂν μισήσειεν ἅμα καὶ b καταφρονήσειε πρῶτον μὲν τῶν περὶ τὰς ἔριδας διατριβόντων, οἳ προσποιοῦνται μὲν τὴν ἀλήθειαν ζητεῖν, εὐθὺς δ' ἐν ἀρχῇ τῶν ἐπαγγελμάτων ψευδῆ λέγειν ἐπιχειροῦσιν; (2) οἶμαι γὰρ ἅπασιν εἶναι φανερὸν ὅτι τὰ μέλλοντα προγιγνώσκειν οὐ τῆς ἡμετέρας φύσεώς ἐστιν, ἀλλὰ τοσοῦτον ἀπέχομεν ταύτης τῆς φρονήσεως, ὥσθ' Ὅμηρος ὁ μεγίστην ἐπὶ σοφίᾳ δόξαν εἰληφὼς καὶ τοὺς θεοὺς πεποίηκεν ἔστιν ὅτε βουλευομένους ὑπὲρ αὐτῶν, c

13.

CONTRA SOPHISTAS ORATIO.

Si omnes isti qui docere instituunt, vera dicere vellent neque majora promitterent quam præstare solent, vulgo non male audirent. Nunc eorum audacia, qui se nimis inconsiderate jactant, factum est ut rectius sibi consulere videantur ii qui in otio degere malunt quam sapientiæ studiosi. Quis enim non simul et oderit et contemnat primum eos qui in rixis versantur, qui quum veritatis indagationem præ se ferant, statim ab initio suarum pollicitationum mentiri non dubitent? (2) Omnibus enim perspicuum esse arbitror futurarum rerum prænotionem non esse nostri ingenii, sed humanæ prudentiæ captum usque adeo excedere, ut Homerus, palmam sapientiæ maximam consecutus, etiam deos aliquoties de futuris deliberantes introduxe-

οὐ τὴν ἐκείνων γνώμην εἰδώς, ἀλλ' ἡμῖν ἐνδείξασθαι βουλόμενος ὅτι τοῖς ἀνθρώποις ἓν τοῦτο τῶν ἀδυνάτων ἐστίν. (3) Οὗτοι τοίνυν εἰς τοῦτο τόλμης ἐληλύθασιν, ὥστε πειρῶνται πείθειν τοὺς νεωτέρους ὡς, ἢν αὐτοῖς πλησιάζωσιν, ἅ τε πρακτέον ἐστὶν εἴσονται καὶ διὰ ταύτης τῆς ἐπιστήμης εὐδαίμονες γενήσονται. Καὶ τηλικούτων ἀγαθῶν αὑτοὺς διδασκάλους καὶ κυρίους καταστήσαντες, οὐκ αἰσχύνονται τρεῖς ἢ τέτταρας d μνᾶς ὑπὲρ τούτων αἰτοῦντες. (4) Ἀλλ' εἰ μέν τι τῶν ἄλλων κτημάτων πολλοστοῦ μέρους τῆς ἀξίας ἐπώλουν, οὐκ ἂν ἠμφεσβήτησαν ὡς οὐκ εὖ φρονοῦντες τυγχάνουσι, σύμπασαν δὲ τὴν ἀρετὴν καὶ τὴν εὐδαιμονίαν οὕτως ὀλίγου τιμῶντες, ὡς νοῦν ἔχοντες διδάσκαλοι τῶν ἄλλων ἀξιοῦσι γίγνεσθαι· καὶ λέγουσι μὲν ὡς οὐδὲν δέονται χρημάτων, ἀργυρίδιον καὶ χρυσίδιον τὸν πλοῦτον ἀποκαλοῦντες, μικροῦ δὲ κέρδους ὀρεγόμενοι e μόνον οὐκ ἀθανάτους ὑπισχνοῦνται τοὺς συνόντας ποιήσειν. (5) Ὃ δὲ πάντων καταγελαστότατον, ὅτι παρὰ μὲν ὧν δεῖ λαβεῖν αὐτούς, τούτοις μὲν ἀπιστοῦσιν, οἷς
292 μέλλουσι τὴν δικαιοσύνην παραδώσειν, ὧν δ' οὐδεπώ- a ποτε διδάσκαλοι γεγόνασι, παρὰ τούτοις τὰ παρὰ τῶν μαθητῶν μεσεγγυοῦνται, πρὸς μὲν τὴν ἀσφάλειαν εὖ βουλευόμενοι, τῷ δ' ἐπαγγέλματι τἀναντία πράττοντες. (6) Τοὺς μὲν γὰρ ἄλλο τι παιδεύοντας προσήκει διακριβοῦσθαι περὶ τῶν διαφερόντων (οὐδὲν γὰρ κωλύει τοὺς περὶ ἕτερα δεινοὺς γενομένους μὴ χρηστοὺς εἶναι περὶ τὰ συμβόλαια)· τοὺς δὲ τὴν ἀρετὴν καὶ τὴν σωφροσύνην b ἐνεργαζομένους πῶς οὐκ ἄλογόν ἐστι μὴ τοῖς μαθηταῖς μάλιστα πιστεύειν; οὐ γὰρ δήπου περὶ τοὺς ἄλλους ὄντες καλοὶ κἀγαθοὶ καὶ δίκαιοι περὶ τούτους ἐξαμαρτήσονται, δι' οὓς τοιοῦτοι γεγόνασιν.

7. Ἐπειδὰν οὖν τῶν ἰδιωτῶν τινες, ἅπαντα ταῦτα συλλογισάμενοι, κατίδωσι τοὺς τὴν σοφίαν διδάσκοντας καὶ τὴν εὐδαιμονίαν παραδιδόντας αὐτούς τε πολλῶν δεομένους καὶ τοὺς μαθητὰς μικρὸν πραττομένους, καὶ τὰς ἐναντιώσεις ἐπὶ μὲν τῶν λόγων τηροῦντας, ἐπὶ δὲ c τῶν ἔργων μὴ καθορῶντας, ἔτι δὲ περὶ μὲν τῶν μελλόντων εἰδέναι προσποιουμένους, (8) περὶ δὲ τῶν παρόντων μηδὲν τῶν δεόντων μήτ' εἰπεῖν μήτε συμβουλεῦσαι δυναμένους, ἀλλὰ μᾶλλον ὁμονοοῦντας καὶ πλείω κατορθοῦντας τοὺς ταῖς δόξαις χρωμένους ἢ τοὺς τὴν ἐπιστήμην ἔχειν ἐπαγγελλομένους, εἰκότως οἶμαι καταφρονοῦσι, καὶ νομίζουσιν ἀδολεσχίαν καὶ μικρολο- d γίαν ἀλλ' οὐ τῆς ψυχῆς ἐπιμέλειαν εἶναι τὰς τοιαύτας διατριβάς.

9. Οὐ μόνον δὲ τούτοις, ἀλλὰ καὶ τοῖς τοὺς πολιτικοὺς λόγους ὑπισχνουμένοις ἄξιον ἐπιτιμῆσαι· καὶ γὰρ ἐκεῖνοι τῆς μὲν ἀληθείας οὐδὲν φροντίζουσιν, ἡγοῦνται δὲ τοῦτ' εἶναι τὴν τέχνην, ἢν ὡς πλείστους τῇ μικρότητι τῶν μισθῶν καὶ τῷ μεγέθει τῶν ἐπαγγελμάτων προσαγάγωνται καὶ λαβεῖν τι παρ' αὐτῶν δυνηθῶσιν· οὕτω δ' ἀναισθήτως αὐτοί τε διάκεινται καὶ τοὺς ἄλλους e ἔχειν ὑπειλήφασιν, ὥστε χεῖρον γράφοντες τοὺς λόγους ἢ τῶν ἰδιωτῶν τινες αὐτοσχεδιάζουσιν, ὅμως ὑπι-

rit: qui etsi animum eorum non perspectum habuit, nobis tamen ostendere voluit, id ex eorum esse numero, quæ vires humanas superarent. (3) Isti autem tanta sunt audacia, ut persuadere conentur adolescentibus eos, si ipsis magistris utantur, et quid agendum sit scituros et per eam scientiam felicitatis fore compotes. Quum autem tantorum bonorum doctores et dominos se constituerint, pro his ternas aut quaternas minas exigere non erubescunt. (4) At si quid aliarum rerum longe infra justum pretium venderent, ne ipsi quidem se desipere negarent; nunc quum virtutem et felicitatem universam tantillo æstimatam venumdent, tanquam sapientes aliorum præceptores esse volunt, et opibus quidem, quum divitias parvulum auri argentique appellent, indigere se negant, dum appetitione parvi lucelli discipulis tantum non immortalitatem pollicentur. (5) Jam quod omnium maxime ridiculum est, iis diffidunt, a quibus numeranda merces est, quibus se justitiam tradituros promittunt; quorum autem magistri nunquam fuerunt, eos pro discipulis spondere jubent. Qua sane re non male sibi cavent, at eadem pollicitationes suas evertunt. (6) Nam qui aliquid aliud docent, eos de iis rebus, quæ in controversiam venire possint, quam accuratissime sibi providere decet (nihil enim impedit quominus ii qui alterius cujuspiam artis peritiam adepti sunt, pacta et conventa violent); eos autem qui et virtutis et temperantiæ præcepta tradunt, quid absurdius quam non discipulis potissimum fidem adhibere? Nam si erga ceteros se bonos et æquos præbuerint, non utique illis injuriam facient, quorum opera tales evaserunt.

7. Quum igitur indoctorum quidam his omnibus consideratis animadvertunt eos qui sapientiam docent et felicitatem tradunt, ipsos angustia rei familiaris premi et a discipulis exiguam mercedem exigere, et quas in sententiis contradictiones observent, easdem in actionibus ipsis non perspicere, et in affectatione scientiæ futurorum, (8) de iis quæ ante pedes sunt nihil opportuni vel dicere posse vel deliberare, sed eos magis inter se consentire et plura dextre perficere, qui opinionibus ducuntur, quam qui se scientiam habere gloriantur: jure, opinor, istos contemnunt, et nugas esse atque ineptiarum studium, non animi eruditionem existimant ejus generis disputationes.

9. Neque vero hi tantum accusandi sunt, sed etiam civilis disciplinæ magistri: qui quum et ipsi veritatem secure negligant, hoc artis esse putant, si quam plurimos et exiguitate mercedum et magnificentia pollicitationum ad se pellexerint, ut aliquid ab eis capere possint; qui adeo stupidi et ipsi sunt et alios esse censent, ut quum deteriores orationes scribant, quam aliqui indocti ex tempore habeant, tamen se discipulos suos ita velle ad artem oratoriam acuere

σχνοῦνται τοιούτους ῥήτορας τοὺς συνόντας ποιήσειν ὥστε μηδὲν τῶν ἐνόντων ἐν τοῖς πράγμασι παραλιπεῖν.

293 (10) Καὶ ταύτης τῆς δυνάμεως οὐδὲν οὔτε ταῖς ἐμ- a πειρίαις οὔτε τῇ φύσει τῇ τοῦ μαθητοῦ μεταδιδόασιν, ἀλλά φασιν ὁμοίως τὴν τῶν λόγων ἐπιστήμην ὥσπερ τὴν τῶν γραμμάτων παραδώσειν, ὡς μὲν ἔχει τούτων ἑκάτερον, οὐκ ἐξετάσαντες, οἰόμενοι δὲ διὰ τὰς ὑπερβολὰς τῶν ἐπαγγελμάτων αὐτοί τε θαυμασθήσεσθαι καὶ τὴν παίδευσιν τὴν τῶν λόγων πλέονος ἀξίαν δόξειν εἶναι, κακῶς εἰδότες ὅτι μεγάλας ποιοῦσι τὰς τέχνας οὐχ οἱ τολμῶντες ἀλαζονεύεσθαι περὶ αὐτῶν, b ἀλλ' οἵτινες ἄν, ὅσον ἔνεστιν ἐν ἑκάστῃ, τοῦτ' ἐξευρεῖν δυνηθῶσιν.

11. Ἐγὼ δὲ πρὸ πολλῶν μὲν ἂν χρημάτων ἐτιμησάμην τηλικοῦτον δύνασθαι τὴν φιλοσοφίαν, ὅσον οὗτοι λέγουσιν (ἴσως γὰρ οὐκ ἂν ἡμεῖς πλεῖστον ἀπελείφθημεν, οὐδ' ἂν ἐλάχιστον μέρος ἀπελαύσαμεν αὐτῆς)· ἐπειδὴ δ' οὐχ οὕτως ἔχει, βουλοίμην ἂν παύσασθαι τοὺς φλυαροῦντας· ὁρῶ γὰρ οὐ μόνον περὶ τοὺς ἐξαμαρτάνοντας τὰς βλασφημίας γιγνομένας, ἀλλὰ καὶ τοὺς c ἄλλους ἅπαντας συνδιαβαλλομένους τοὺς περὶ τὴν αὐτὴν διατριβὴν ὄντας.

12. Θαυμάζω δ' ὅταν ἴδω τούτους μαθητῶν ἀξιουμένους, οἳ ποιητικοῦ πράγματος τεταγμένην τέχνην παράδειγμα φέροντες λελήθασι σφᾶς αὐτούς. Τίς γὰρ οὐκ οἶδε πλὴν τούτων ὅτι τὸ μὲν τῶν γραμμάτων ἀκινήτως ἔχει καὶ μένει κατὰ ταὐτόν, ὥστε τοῖς αὐτοῖς ἀεὶ περὶ τῶν αὐτῶν χρώμενοι διατελοῦμεν, τὸ δὲ τῶν λόγων πᾶν τοὐναντίον πέπονθεν· τὸ γὰρ ὑφ' ἑτέρου ῥη- d θὲν τῷ λέγοντι μετ' ἐκεῖνον οὐχ ὁμοίως χρήσιμόν ἐστιν, ἀλλ' οὗτος εἶναι δοκεῖ τεχνικώτατος, ὅστις ἂν ἀξίως μὲν λέγῃ τῶν πραγμάτων, μηδὲν δὲ τῶν αὐτῶν τοῖς ἄλλοις εὑρίσκειν δύνηται. (13) Μέγιστον δὲ σημεῖον τῆς ἀνομοιότητος αὐτῶν· τοὺς μὲν γὰρ λόγους οὐχ οἷόν τε καλῶς ἔχειν, ἢν μὴ τῶν καιρῶν καὶ τοῦ πρεπόντως καὶ τοῦ καινῶς ἔχειν μετάσχωσιν, τοῖς δὲ γράμμασιν οὐδενὸς τούτων προσεδέησεν. Ὥσθ' οἱ χρώμενοι τοῖς τοιούτοις παραδείγμασι πολὺ ἂν δικαιότερον e ἀποτίνοιεν ἢ λαμβάνοιεν ἀργύριον, ὅτι πολλῆς ἐπιμελείας αὐτοὶ δεόμενοι παιδεύειν τοὺς ἄλλους ἐπιχειροῦσιν.

14. Εἰ δὲ δεῖ μὴ μόνον κατηγορεῖν τῶν ἄλλων, ἀλλὰ

294 καὶ τὴν ἐμαυτοῦ δηλῶσαι διάνοιαν, ἡγοῦμαι πάντας ἄν a μοι τοὺς εὖ φρονοῦντας συνειπεῖν ὅτι πολλοὶ μὲν τῶν φιλοσοφησάντων ἰδιῶται διετέλεσαν ὄντες, ἄλλοι δέ τινες οὐδενὶ πώποτε συγγενόμενοι τῶν σοφιστῶν καὶ λέγειν καὶ πολιτεύεσθαι δεινοὶ γεγόνασιν. Αἱ μὲν γὰρ δυνάμεις καὶ τῶν λόγων καὶ τῶν ἄλλων ἔργων ἁπάντων ἐν τοῖς εὐφυέσιν ἐγγίγνονται καὶ τοῖς περὶ τὰς ἐμπειρίας γεγυμνασμένοις· (15) ἡ δὲ παίδευσις τοὺς μὲν τοιούτους τεχνικωτέρους καὶ πρὸς τὸ ζητεῖν εὐπορωτέ- b ρους ἐποίησεν (οἷς γὰρ νῦν ἐντυγχάνουσι πλανώμενοι, ταῦτ' ἐξ ἑτοιμοτέρου λαμβάνειν αὐτοὺς ἐδίδαξεν), τοὺς δὲ καταδεεστέραν τὴν φύσιν ἔχοντας ἀγωνιστὰς μὲν

polliceantur, ut nihil quod in rebus insit, prætermissuri sint; (10) nec in ea facultate vel usui rerum vel ingenio discipuli quicquam tribuunt, sed eloquentiæ præcepta perinde ut literarum scientiam se tradituros aiunt: quæ utriusque rei natura sit, non considerantes sed, ob excellentiam promissionum rati tum se in admiratione futuros, tum oratoriæ institutioni pretium accessurum esse; in quo certe falluntur, quum nesciant artibus auctoritatem conciliare, non qui multa insolenter de eis jactare audeant, sed qui id eruere ac proferre possint, quod unaquaque continetur.

11. Ego vero tantum posse philosophiam, quantum isti jactant, magnis opibus anteferrem. Fortassis enim neque nos postremi essemus, neque fructus ex ea minimos caperemus. Sed quum non ita se res habeat, nugatores istos tandem conticescere velim. Non enim delinquentibus tantum male dici, sed ceteros quoque universos, qui in eodem studiorum genere versantur, una peti video.

12. Illis vero discipulos committi miror, qui non animadvertunt se ejus artis quæ et ordinata est et opere cernitur, afferre exemplum. Quis enim istis exceptis ignorat literas loco moveri non posse, semperque easdem manere? unde iisdem in iisdem quidem verbis perpetuo utimur, quum eloquentiæ sit diversissima ratio. Nam quod ab alio dictum est, dicenti post illum non perinde expedit; sed is peritissimus artis esse creditur, qui pro dignitate rerum dixerit, eaque protulerit, quæ ab aliis ante inventa non fuerint. (13) Maximum autem hujus dissimilitudinis argumentum illud est, quod orationes præclaræ esse non possunt, nisi temporum et decori et novi diligens habita ratio fuerit; literæ autem horum nihil desiderant. Qui igitur hujusmodi exemplis utuntur, eos multo æquius esset dependere quam accipere pecuniam, qui, quum ipsi doctoris opera in primis egerent, alios erudire aggrediantur.

14. Quodsi non tantum alii accusandi sunt, sed mea quoque sententia explicanda est: omnes mihi assensuros arbitror, multos artibus eruditos privatam vitam exegisse; alios nullo unquam præceptore usos et dicendi peritiam et reipublicæ gerendæ scientiam esse assecutos. Nam tum eloquentiæ tum ceterarum rerum omnium facultates et a natura dantur hominibus ingeniosis et usu rerum atque exercitatione comparantur; (15) institutio autem eosdem et acuit et ad investigandum reddit instructiores (nam ea in quæ hactenus velut errantes inciderant, quasi e penu confestim depromere docet): at si qui sunt infirmioribus ingeniis præditi, hos nunquam eo promovebit, ut vel doxtre

ἀγαθοὺς ἢ λόγων ποιητὰς οὐκ ἂν ἀποτελέσειεν, αὐτοὺς δ' ἂν αὐτῶν προαγάγοι καὶ πρὸς πολλὰ φρονιμωτέρως διακεῖσθαι ποιήσειεν.

16. Βούλομαι δ', ἐπειδή περ εἰς τοῦτο προῆλθον, ἔτι σαφέστερον εἰπεῖν περὶ αὐτῶν. Φημὶ γὰρ ἐγὼ τῶν c μὲν ἰδεῶν, ἐξ ὧν τοὺς λόγους ἅπαντας καὶ λέγομεν καὶ συντίθεμεν, λαβεῖν τὴν ἐπιστήμην οὐκ εἶναι τῶν πάνυ χαλεπῶν, ἤν τις αὑτὸν παραδῷ μὴ τοῖς ῥᾳδίως ὑπισχνουμένοις, ἀλλὰ τοῖς εἰδόσι τι περὶ αὐτῶν· τὸ δὲ τούτων ἐφ' ἑκάστῳ τῶν πραγμάτων ἃς δεῖ προελέσθαι καὶ μῖξαι πρὸς ἀλλήλας καὶ τάξαι κατὰ τρόπον, ἔτι δὲ τῶν καιρῶν μὴ διαμαρτεῖν, ἀλλὰ καὶ τοῖς ἐνθυμήμασι πρεπόντως ὅλον τὸν λόγον καταποικῖλαι καὶ τοῖς ὀνόμασιν d εὐρύθμως καὶ μουσικῶς εἰπεῖν, (17) ταῦτα δὲ πολλῆς ἐπιμελείας δεῖσθαι καὶ ψυχῆς ἀνδρικῆς καὶ δοξαστικῆς ἔργον εἶναι, καὶ δεῖν τὸν μὲν μαθητὴν πρὸς τῷ τὴν φύσιν ἔχειν οἵαν χρὴ τὰ μὲν εἴδη τὰ τῶν λόγων μαθεῖν, περὶ δὲ τὰς χρήσεις αὐτῶν γυμνασθῆναι, τὸν δὲ διδάσκαλον τὰ μὲν οὕτως ἀκριβῶς οἷόντ' εἶναι διελθεῖν ὥστε μηδὲν τῶν διδακτῶν παραλιπεῖν, περὶ δὲ τῶν e λοιπῶν τοιοῦτον αὑτὸν παράδειγμα παρασχεῖν, (18) ὥστε τοὺς ἐκτυπωθέντας καὶ μιμήσασθαι δυναμένους εὐθὺς ἀνθηρότερον καὶ χαριέστερον τῶν ἄλλων φαίνεσθαι λέγοντας. Καὶ τούτων μὲν ἁπάντων συμπεσόντων τε-
295λείως ἕξουσιν οἱ φιλοσοφοῦντες· καθ' ὃ δ' ἂν ἐλλειφθῇ a τι τῶν εἰρημένων, ἀνάγκη ταύτῃ χεῖρον διακεῖσθαι τοὺς πλησιάζοντας.

19. Οἱ μὲν οὖν ἄρτι τῶν σοφιστῶν ἀναφυόμενοι καὶ νεωστὶ προσπεπτωκότες ταῖς ἀλαζονείαις, εἰ καὶ νῦν πλεονάζουσιν, εὖ οἶδ' ὅτι πάντες ἐπὶ ταύτην κατενεχθήσονται τὴν ὑπόθεσιν. Λοιποὶ δ' ἡμῖν εἰσιν οἱ πρὸ ἡμῶν γενόμενοι καὶ τὰς καλουμένας τέχνας γράψαι τολμήσαντες, οὓς οὐκ ἀφετέον ἀνεπιτιμήτους· οἵτινες ὑπέσχοντο δικάζεσθαι διδάξειν, ἐκλεξάμενοι τὸ δυσχε- b ρέστατον τῶν ὀνομάτων, ὃ τῶν φθονούντων ἔργον ἦν λέγειν, ἀλλ' οὐ τῶν προεστώτων τῆς τοιαύτης παιδεύσεως, (20) καὶ ταῦτα τοῦ πράγματος, καθ' ὅσον ἐστὶ διδακτόν, οὐδὲν μᾶλλον πρὸς τοὺς δικανικοὺς λόγους ἢ πρὸς τοὺς ἄλλους ἅπαντας ὠφελεῖν δυναμένου. Τοσούτῳ δὲ χείρους ἐγένοντο τῶν περὶ τὰς ἔριδας καλινδουμένων, ὅσον οὗτοι μὲν τοιαῦτα λογίδια διεξιόντες, οἷς εἴ τις ἐπὶ τῶν πράξεων ἐμμείνειεν, εὐθὺς ἂν ἐν πᾶσιν εἴη κα- c κοῖς, ὅμως ἀρετὴν ἐπηγγείλαντο καὶ σωφροσύνην περὶ αὐτῶν, ἐκεῖνοι δ' ἐπὶ τοὺς πολιτικοὺς λόγους παρακαλοῦντες, ἀμελήσαντες τῶν ἄλλων τῶν προσόντων αὐτοῖς ἀγαθῶν, πολυπραγμοσύνης καὶ πλεονεξίας ὑπέστησαν εἶναι διδάσκαλοι. (21) Καίτοι τοὺς βουλομένους πειθαρχεῖν τοῖς ὑπὸ τῆς φιλοσοφίας ταύτης προσταττομένοις πολὺ ἂν θᾶττον πρὸς ἐπιείκειαν ἢ πρὸς ῥητορείαν ὠφελήσειεν. Καὶ μηδεὶς οἰέσθω με λέγειν ὡς ἔστι d δικαιοσύνη διδακτόν· ὅλως μὲν γὰρ οὐδεμίαν ἡγοῦμαι τοιαύτην εἶναι τέχνην, ἥτις τοῖς κακῶς πεφυκόσι πρὸς ἀρετὴν σωφροσύνην ἂν καὶ δικαιοσύνην ἐμποιήσειεν· οὐ μὴν ἀλλὰ συμπαρακελεύσασθαί γε καὶ συνα-

in rebus gerendis versentur vel elegantes orationes scribant; id quidem fortasse assequentur, ut ipsi sese quodammodo vincant et multis in rebus prudentiores fiant.

16. Libet autem, postquam huc provectus sum, dilucidius hæc exponere. Dico igitur genera illa præceptionum, ad quarum normam orationes omnes et dicimus et componimus, si quis magistrum non facile pollicentem, sed artis peritum invenerit, cognitu non esse perdifficilia. In singulis autem rebus, quæ prius deligendæ et inter se miscendæ et ordine disponendæ sunt, neque a decoro aberrare, sed et argumentis totam orationem decenter variare et verba ita collocare, ut numerosa sint et musicum quendam concentum efficiant, (17) hæc demum curam ingentem postulant et animum generosum atque sagacem requirunt; et necesse est discipulum, præterquam quod ab ingenio non destituatur, etiam genera causarum nosse et in illarum usu exerceri; magistrum vero et explicare præcepta omnia, quam accuratissime fieri potest, oportet, ita ut nihil quod doceri possit, prætermittat, et discipulis tale exemplum rerum ceterarum se præbere, (18) ut qui id expresserint imitarique potuerint, statim ornatius et elegantius quam alii dicere videantur. Quæ omnia si conjuncta fuerint, tum demum studiosi perfectum aliquid habituri sunt: sin quicquam ex his quæ diximus desiderabitur, necesse erit ab ea parte discipulos minus paratos esse.

19. Equidem scio sophistas istos modo subortos et istam arrogantiam recens amplexos, etsi magna est eorum multitudo, omnes tamen ad hoc argumentum esse referendos. Restant ii qui ante nostram ætatem artes, quas vocant, scribere ausi non sine reprehensione dimittendi sunt. Promiserunt enim se docturos, quomodo in judicio contendendum sit, odiosissimo vocabulo delecto; id quod invidos eorum potius, quam hujus doctrinæ principes facere decuit, (20) præsertim quum ea quæ doctrina comprehendi possunt in illa re, nihilo plus ad forenses controversias quam ad cetera genera orationum conferre queant. Tanto autem sunt deteriores iis qui in contentionibus volutantur, quod hi, quum tales oratiunculas recitent, quibus si quis in rebus gerendis insisteret, statim in omnibus esset malis futurus, tamen virtutem et temperantiam iis contineri profitentur; illi autem quum ad gerendæ reipublicæ doctrinam percipiendam adhortentur, neglectis aliis quæ in ea re insunt commoditatibus, curiositatis et avaritiæ se doctores nominare non dubitant. (21) Atqui ii qui doctrinæ istius præceptis obtemperarent, facilius fortassis ad æquitatem quam ad eloquentiam acuerentur. Neque me quisquam in ea opinione esse putet, quasi justitiam posse doceri sentiam: nullam enim prorsus talem artem esse puto, quæ ingeniis ad virtutem non appositis temperantiam et justitiam inserat; sed tamen aptissimam esse puto eloquen-

σκῆσαι μάλιστ' ἂν οἶμαι τὴν τῶν λόγων τῶν πολιτικῶν ἐπιμέλειαν.

tiæ civilis disciplinam ad præparationem quandam et exercitationem virtutis.

22. Ἵνα δὲ μὴ δοκῶ τὰς μὲν τῶν ἄλλων ὑποσχέσεις διαλύειν, αὐτὸς δὲ μείζω λέγειν τῶν ἐνόντων, ἐξ ὧνπερ e αὐτὸς ἐπείσθην οὕτω ταῦτ' ἔχειν, ῥᾳδίως οἶμαι καὶ τοῖς ἄλλοις φανερὸν καταστήσειν.

22. Ne vero et aliorum pollicitationes criminari et ipse rem supra modum exaggerare videar, facile aliis quoque, quibus argumentis in hanc sententiam adductus sim, planum me facturum confido. [*Multa desunt.*]

14.

ΠΛΑΤΑΙΚΟΣ.

296 Εἰδότες ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς ἀδικουμένοις προθύμως βοηθεῖν εἰθισμένους καὶ τοῖς εὐεργέταις
297 μεγίστην χάριν ἀποδιδόντας, ἥκομεν ἱκετεύσοντες μὴ a περιιδεῖν ἡμᾶς εἰρήνης οὔσης ἀναστάτους ὑπὸ Θηβαίων γεγενημένους. Πολλῶν δ' ἤδη πρὸς ὑμᾶς καταφυγόντων καὶ διαπραξαμένων ἅπανθ' ὅσων ἐδεήθησαν, ἡγούμεθα μάλισθ' ὑμῖν προσήκειν περὶ τῆς ἡμετέρας πόλεως ποιήσασθαι πρόνοιαν· (2) οὔτε γὰρ ἂν ἀδικώτερον οὐδένας ἡμῶν εὕροιτε τηλικαύταις συμφοραῖς περιπεπτωκότας, οὔτ' ἐκ πλείονος χρόνου πρὸς τὴν ὑμετέραν πόλιν οἰκειό- b τερον διακειμένους. Ἔτι δὲ τοιούτων δεησόμενοι πάρεσμεν, ἐν οἷς κίνδυνος μὲν οὐδεὶς ἔνεστιν, ἅπαντες δ' ἄνθρωποι νομιοῦσιν ὑμᾶς πειθομένους ὁσιωτάτους καὶ δικαιοτάτους εἶναι τῶν Ἑλλήνων.

14.

PLATAICUS.

Quum sciamus, Athenienses, vos et affectis injuria libenter opitulari solitos et pro acceptis beneficiis cumulate referre gratiam, venimus supplicaturi, ne nos tempore pacis patrio solo a Thebanis pulsos negligatis. Nam quum jam multi ad vestram fidem confugerint et omnia quæ petierant adepti sint; curam urbis nostræ vobis inprimis putamus suscipiendam. (2) Nec enim ullos qui vel injustius quam nos tantis calamitatibus sint oppressi, vel qui vestram urbem diutius et fidelius coluerint, invenietis. Ea præterea petituri sumus, quæ ut periculi prorsus nihil habent, ita si a vobis impetraverimus, omnes vos sanctissimos et justissimos Græcorum judicabunt.

3. Εἰ μὲν οὖν μὴ Θηβαίους ἑωρῶμεν ἐκ παντὸς τρόπου παρεσκευασμένους πείθειν ὑμᾶς ὡς οὐδὲν εἰς ἡμᾶς ἐξημαρτήκασι, διὰ βραχέων ἂν ἐποιησάμεθα τοὺς λόγους· ἐπειδὴ δ' εἰς τοῦθ' ἥκομεν ἀτυχίας, ὥστε μὴ c μόνον ἡμῖν εἶναι τὸν ἀγῶνα πρὸς τούτους, ἀλλὰ καὶ τῶν ῥητόρων πρὸς τοὺς δυνατωτάτους, οὓς ἀπὸ τῶν ἡμετέρων αὑτοῖς οὗτοι παρεσκευάσαντο συνηγόρους, ἀναγκαῖον διὰ μακροτέρων δηλῶσαι περὶ αὐτῶν.

3. Quodsi Thebanos omnino ita esse paratos non videremus, ut vobis persuadere studerent se nulla nos affecisse injuria, nostram orationem paucis absolveremus: quum autem ea nostra sit infelicitas, ut non cum istis tantum nobis conflictandum sit, sed etiam cum eloquentissimis oratoribus quos nostris bonis conciliatos suæ causæ patronos adhibuerunt; necessitas postulat ut rem prolixius explicemus.

4. Χαλεπὸν μὲν οὖν μηδὲν καταδεέστερον εἰπεῖν ὧν πεπόνθαμεν· ποῖος γὰρ ἂν λόγος ἐξισωθείη ταῖς ἡμετέραις δυσπραξίαις, ἢ τίς ἂν ῥήτωρ ἱκανὸς γένοιτο κατηγορῆσαι τῶν Θηβαίοις εἰς ἡμᾶς ἡμαρτημένων; ὅμως δὲ πειρατέον οὕτως ὅπως ἂν δυνώμεθα φανερὰν καταστῆσαι τὴν τούτων παρανομίαν. (5) Πολὺ δὲ d μάλιστ' ἀγανακτοῦμεν, ὅτι τοσούτου δέομεν τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἄλλοις Ἕλλησιν, ὥστ' εἰρήνης οὔσης καὶ συνθηκῶν γεγενημένων οὐχ ὅπως τῆς κοινῆς ἐλευθερίας μετέχομεν, ἀλλ' οὐδὲ δουλείας μετρίας τυχεῖν ἠξιώθημεν.

4. Difficile quidem est non minora dicere quam perpessi sumus. Nam quæ oratio nostris malis æquari queat? aut quis orator Thebanorum in nos crudelitatem satis acriter accuset? Opera tamen danda est ut, sicut possumus, istorum iniquitatem et violentiam patefaciamus. (5) Illud autem maxime indignamur, quod tantum abest ut æqua conditione simus ac ceteri Græci, ut pace constituta fœderibusque sancitis non modo communis libertatis expertes simus, verum ne moderatam quidem servitutem potuerimus impetrare.

6. Δεόμεθ' οὖν ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, μετ' εὐνοίας ἀκροάσασθαι τῶν λεγομένων, ἐνθυμηθέντας ὅτι πάντων ἂν ἡμῖν ἀλογώτατον εἴη συμβεβηκός, εἰ τοῖς μὲν ἅπαντα τὸν χρόνον δυσμενῶς πρὸς τὴν πόλιν ὑμῶν e διακειμένοις αἴτιοι γεγένησθε τῆς ἐλευθερίας, ἡμεῖς δὲ μηδ' ἱκετεύοντες ὑμᾶς τῶν αὐτῶν τοῖς ἐχθίστοις τύχοιμεν.

6. Oramus igitur, Athenienses, ut cum benevolentia nos audiatis, cogitantes nihil accidere nobis posse, quod cum omni ratione tantopere pugnet, quam quum iis, qui urbis vestræ perpetui inimici fuerint, libertatem restitueritis, nos ne supplicantes quidem eadem quæ inimicissimis data sunt, posse adipisci.

298 7. Περὶ μὲν οὖν τῶν γεγενημένων οὐκ οἶδ' ὅ τι δεῖ a μακρολογεῖν· τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ τὴν χώραν ἡμῶν κατανενέμηνται καὶ τὴν πόλιν κατεσκάφασιν; ἃ δὲ λέγοντες ἐλπίζουσιν ἐξαπατήσειν ὑμᾶς, περὶ τούτων πειρασόμεθα διδάσκειν.

7. Atque expositioni rerum actarum longius immorari non video quorsum attineat: quis enim ignorat eos et agrum nostrum divisisse et urbem evertisse? De iis autem vos præmonendos esse ducimus, per quæ se vobis fucum facturos putant.

8. Ἐνίοτε γὰρ ἐπιχειροῦσι λέγειν ὡς διὰ τοῦτο πρὸς ἡμᾶς οὕτω προσηνέχθησαν, ὅτι συντελεῖν αὐτοῖς οὐκ ἠθέλομεν. Ὑμεῖς δ' ἐνθυμεῖσθε πρῶτον μὲν εἰ δίκαιόν b ἐστιν ὑπὲρ τηλικούτων ἐγκλημάτων οὕτως ἀνόμους καὶ δεινὰς ποιεῖσθαι τὰς τιμωρίας, ἔπειτ' εἰ προσήκειν ὑμῖν δοκεῖ μὴ πεισθεῖσαν τὴν Πλαταιέων πόλιν ἀλλὰ βιασθεῖσαν Θηβαίοις συντελεῖν. Ἐγὼ μὲν γὰρ οὐδένας ἡγοῦμαι τολμηροτέρους εἶναι τούτων, οἵτινες τὰς μὲν ἰδίας ἡμῶν ἑκάστων πόλεις ἀφανίζουσι, τῆς δὲ σφετέρας αὐτῶν πολιτείας οὐδὲν δεομένους κοινωνεῖν ἀναγκάζουσι. (9) Πρὸς δὲ τούτοις οὐδ' ὁμολογούμενα φαίνονται διαπραττόμενοι πρός τε τοὺς ἄλλους καὶ πρὸς c ἡμᾶς. Ἐχρῆν γὰρ αὐτούς, ἐπειδὴ πείθειν ἡμῶν τὴν πόλιν οὐχ οἷοί τ' ἦσαν, ὥσπερ τοὺς Θεσπιεῖς καὶ τοὺς Ταναγραίους, συντελεῖν μόνον εἰς τὰς Θήβας ἀναγκάζειν· οὐδὲν γὰρ ἂν τῶν ἀνηκέστων κακῶν ἦμεν πεπονθότες. Νῦν δὲ φανεροὶ γεγόνασιν οὐ τοῦτο διαπράξασθαι βουληθέντες, ἀλλὰ τῆς χώρας ἡμῶν ἐπιθυμήσαντες. (10) Θαυμάζω δὲ πρὸς τί τῶν γεγενημένων d ἀναφέροντες καὶ πῶς ποτε τὸ δίκαιον κρίνοντες ταῦτα φήσουσι προστάττειν ἡμῖν. Εἰ μὲν γὰρ τὰ πάτρια σκοποῦσιν, οὐ τῶν ἄλλων αὐτοῖς ἀρκτέον, ἀλλὰ πολὺ μᾶλλον Ὀρχομενίοις φόρον οἰστέον· οὕτω γὰρ εἶχε τὸ παλαιόν· εἰ δὲ τὰς συνθήκας ἀξιοῦσιν εἶναι κυρίας, ὅπερ ἐστὶ δίκαιον, πῶς οὐχ ὁμολογήσουσιν ἀδικεῖν καὶ παραβαίνειν αὐτάς; ὁμοίως γὰρ τάς τε μικρὰς τῶν πόλεων καὶ τὰς μεγάλας αὐτονόμους κελεύουσιν εἶναι.

11. Οἶμαι δὲ περὶ μὲν τούτων οὐ τολμήσειν αὐτοὺς e ἀναισχυντεῖν, ἐπ' ἐκεῖνον δὲ τρέψεσθαι τὸν λόγον, ὡς μετὰ Λακεδαιμονίων ἐπολεμοῦμεν, καὶ πάσῃ τῇ συμμαχίᾳ διαφθείραντες ἡμᾶς τὰ συμφέροντα πεποιήκασιν. (12) Ἐγὼ δ' ἡγοῦμαι μὲν χρῆναι μηδεμίαν μήτ' αἰ-
299 τίαν μήτε κατηγορίαν μεῖζον δύνασθαι τῶν ὅρκων καὶ a τῶν συνθηκῶν· οὐ μὴν ἀλλ' εἰ δεῖ τινας κακῶς παθεῖν διὰ τὴν Λακεδαιμονίων συμμαχίαν, οὐκ ἂν Πλαταιεῖς ἐξ ἁπάντων τῶν Ἑλλήνων προὐκρίθησαν δικαίως· οὐ γὰρ ἑκόντες, ἀλλ' ἀναγκασθέντες αὐτοῖς ἐδουλεύομεν. (13) Τίς γὰρ ἂν πιστεύσειεν εἰς τοῦθ' ἡμᾶς ἀνοίας ἐλθεῖν, ὥστε περὶ πλείονος ποιήσασθαι τοὺς ἐξανδραποδισαμένους ἡμῶν τὴν πατρίδα μᾶλλον ἢ τοὺς τῆς πόλεως τῆς αὐτῶν μεταδόντας; Ἀλλὰ γάρ, οἶμαι, χαλεπὸν ἦν b νεωτερίζειν αὐτοὺς μὲν μικρὰν πόλιν οἰκοῦντας, ἐκείνων δ' οὕτω μεγάλην δύναμιν κεκτημένων, ἔτι δὲ πρὸς τούτοις ἁρμοστοῦ καθεστῶτος καὶ φρουρᾶς ἐνούσης καὶ τηλικούτου στρατεύματος ὄντος Θεσπιᾶσιν, (14) ὑφ' ὧν οὐ μόνον ἂν θᾶττον ἢ ὑπὸ Θηβαίων διεφθάρημεν, ἀλλὰ καὶ δικαιότερον· τούτους μὲν γὰρ εἰρήνης οὔσης οὐ προσῆκε μνησικακεῖν περὶ τῶν τότε γεγενημένων, ἐκεῖνοι δ' ἐν τῷ πολέμῳ προδοθέντες εἰκότως ἂν παρ' c ἡμῶν τὴν μεγίστην δίκην ἐλάμβανον. (15) Ἡγοῦμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι πολλοὶ καὶ τῶν ἄλλων Ἑλλήνων τοῖς μὲν σώμασι μετ' ἐκείνων ἀκολουθεῖν ἠναγκάζοντο, ταῖς δ' εὐνοίαις μεθ' ὑμῶν ἦσαν. Οὓς τίνα χρὴ

8. Interdum enim dicere instituunt nos propterea sic tractatos esse, quod in eorum concilio esse noluerimus. Vos autem cogitate primum, æquumne sit ob tanta scilicet crimina tam iniquas et acerbas exigere pœnas; deinde an vobis decere videatur Platæensium urbi vim potius fuisse afferendam quam persuadendum, ut cum Thebanis se conjungeret. Equidem nihil istis esse audacius existimo, qui et nostras urbes evertant, et ad suæ reipublicæ communitatem adigant, qua non opus est nobis. (9) Præterea in nos aliter grassantur quam in alios. Quum enim persuadere nostræ urbi non possent, nos, quemadmodum Thespienses et Tanagræos, subigere tantum sub Thebanam jurisdictionem debebant: sic enim intolerabilibus malis oppressi non essemus. Nunc non id eis fuisse propositum, sed agri nostri occupationem, satis apparet. (10) Miror equidem quod vetus exemplum intuentes aut qua juris regula utentes hæc dicturi sint se a nobis postulare. Nam si, quod apud majores in usu fuit, considerant, non aliis imperare, sed Orchomeniis pendere tributum debent; ita enim se res olim habuit. Sin fœdera esse rata volunt, sicut æquum est, negare qui poterunt se per injuriam ea violare? quæ parvas civitates non minus quam magnas suis uti legibus jubeant.

11. Arbitror autem eos non fore tam impudentes, ut hæc negare audeant, sed illam causam arrepturos, nos Lacedæmoniis in bello fuisse conjunctos, se igitur nostro excidio societatis universæ commodis consuluisse. (12) Ego vero æquum esse censeo, ne ullum crimen, ulla excusatio plus valeat fœdere et jurejurando. Verumtamen si qui ob Lacedæmoniorum societatem plectendi sunt, non æquum fuerit Platæenses potissimum ex universis Græcis deligi: nec enim voluntate nostra illis, sed coacti servivimus. (13) Quis vero credat tanta nos fuisse amentia, ut eos qui patriam nostram everterant, iis præferremus, qui sua civitate nos donarant? Enimvero difficile erat, opinor, novis rebus studere, quum et nos pàrvum oppidum haberemus, et tanta esset illorum potentia, atque etiam Harmostes ei cum præsidio præpositus esset, et Thespiis tantus exercitus castra haberet, (14) qui nos non modo citius quam Thebani, sed justius etiam perdidisset. Hos enim non decuit pace constituta veteres offensas ulcisci; illi in bello deserti jure nos maximo supplicio affecissent. (15) Neque illud ignorare nos arbitror, multos etiam ex aliis Græcis coactos esse corporibus illos sequi, animis et benevolentia vobiscum conjunctos fuisse: quibus quid animi fore censendum est, quum au-

προσδοκᾶν γνώμην ἕξειν, ἢν ἀκούσωσιν ὅτι Θηβαῖοι τὸν δῆμον τὸν Ἀθηναίων πεπείκασιν ὡς οὐδενός ἐστι φειστέον τῶν ὑπὸ Λακεδαιμονίοις γενομένων; (16) ὁ γὰρ τούτων λόγος οὐδὲν ἀλλ' ἢ τοῦτο φανήσεται δυνάμενος· d οὐ γὰρ ἰδίαν κατηγορίαν ποιούμενοι κατὰ τῆς πόλεως τῆς ἡμετέρας ἀπολωλέκασιν αὐτήν, ἀλλ' ἣν ὁμοίως καὶ κατ' ἐκείνων ἕξουσιν εἰπεῖν. Ὑπὲρ ὧν βουλεύεσθαι χρή, καὶ σκοπεῖν ὅπως μὴ τοὺς πρότερον μισοῦντας τὴν ἀρχὴν τὴν Λακεδαιμονίων ἡ τούτων ὕβρις διαλλάξει καὶ ποιήσει τὴν ἐκείνων συμμαχίαν αὑτῶν νομίζειν εἶναι σωτηρίαν.

17. Ἐνθυμεῖσθε δ' ὅτι τὸν πόλεμον ἀνείλεσθε τὸν ὑπογυιότατον οὐχ ὑπὲρ τῆς ὑμετέρας οὐδ' ὑπὲρ τῆς e τῶν συμμάχων ἐλευθερίας (ἅπασι γὰρ ὑπῆρχεν ὑμῖν), ἀλλ' ὑπὲρ τῶν παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας τῆς αὐτονομίας ἀποστερουμένων. Ὃ δὴ καὶ πάντων σχετλιώτατον, εἰ τὰς πόλεις ἃς οὐκ ᾤεσθε δεῖν Λακε-300δαιμονίοις δουλεύειν, ταύτας περιόψεσθε νῦν ὑπὸ Θη- a βαίων ἀπολλυμένας, οἳ τοσούτου δέουσι μιμεῖσθαι τὴν πραότητα τὴν ὑμετέραν, (18) ὥσθ' ὃ δοκεῖ πάντων δεινότατον εἶναι, δοριαλώτους γενέσθαι, τοῦτο κρεῖττον ἦν ἡμῖν παθεῖν ὑπὸ ταύτης τῆς πόλεως ἢ τούτων τυχεῖν ὁμόρους ὄντας· οἱ μὲν γὰρ ὑφ' ὑμῶν κατὰ κράτος ἁλόντες εὐθὺς μὲν ἁρμοστοῦ καὶ δουλείας ἀπηλλάγησαν, νῦν δὲ τοῦ συνεδρίου καὶ τῆς ἐλευθερίας μετέχουσιν· οἱ δὲ τούτων πλησίον οἰκοῦντες οἱ μὲν οὐδὲν ἧττον τῶν ἀρ- b γυρωνήτων δουλεύουσι, τοὺς δ' οὐ πρότερον παύσονται πρὶν ἂν οὕτως ὥσπερ ἡμᾶς διαθῶσιν. (19) Καὶ Λακεδαιμονίων μὲν κατηγοροῦσιν ὅτι τὴν Καδμείαν κατέλαβον καὶ φρουρὰς εἰς τὰς πόλεις καθίστασαν, αὐτοὶ δ' οὐ φύλακας εἰσπέμποντες, ἀλλὰ τῶν μὲν τὰ τείχη κατασκάπτοντες, τοὺς δ' ἄρδην ἀπολλύοντες οὐδὲν οἴονται δεινὸν ποιεῖν, ἀλλ' εἰς τοῦτ' ἀναισχυντίας ἐληλύθασιν, c ὥστε τῆς μὲν αὑτῶν σωτηρίας τοὺς συμμάχους ἅπαντας ἀξιοῦσιν ἐπιμελεῖσθαι, τῆς δὲ τῶν ἄλλων δουλείας αὑτοὺς κυρίους καθιστᾶσι. (20) Καίτοι τίς οὐκ ἂν μισήσειε τὴν τούτων πλεονεξίαν, οἳ τῶν μὲν ἀσθενεστέρων ἄρχειν ζητοῦσι, τοῖς δὲ κρείττοσιν ἴσον ἔχειν οἴονται δεῖν, καὶ τῇ μὲν ὑμετέρᾳ πόλει τῆς γῆς ὑπ' Ὠρωπίων δεδομένης φθονοῦσιν, αὐτοὶ δὲ βίᾳ τὴν ἀλλοτρίαν χώραν κατανέμονται;

21. Καὶ πρὸς τοῖς ἄλλοις κακοῖς λέγουσιν ὡς ὑπὲρ d τοῦ κοινοῦ τῶν συμμάχων ταῦτ' ἔπραξαν. Καίτοι χρῆν αὐτούς, ὄντος ἐνθάδε συνεδρίου καὶ τῆς ὑμετέρας πόλεως ἄμεινον βουλεύεσθαι δυναμένης ἢ τῆς Θηβαίων, οὐχ ὑπὲρ τῶν πεπραγμένων ἥκειν ἀπολογησομένους, ἀλλὰ πρὶν ποιῆσαί τι τούτων ἐλθεῖν ὡς ὑμᾶς βουλευσομένους. (22) Νῦν δὲ τὰς μὲν οὐσίας τὰς ἡμετέρας ἰδίᾳ διηρπάκασι, τῆς δὲ διαβολῆς ἅπασι τοῖς συμμάχοις ἥκουσι μεταδώσοντες. Ἣν ὑμεῖς, ἢν σωφρο- e νῆτε, φυλάξεσθε· πολὺ γὰρ κάλλιον τούτους ἀναγκάσαι μιμήσασθαι τὴν ὁσιότητα τὴν ὑμετέραν, ἢ τῆς τούτων παρανομίας αὐτοὺς πεισθῆναι μετασχεῖν, οἳ μηδὲν τῶν αὐτῶν τοῖς ἄλλοις γιγνώσκουσιν. (23) Οἶ-

dierint Thebanos Atheniensi populo persuasisse, nemini esse parcendum, qui subactus a Lacedæmoniis fuerit? (16) non enim alio, quam huc istorum spectare videtur oratio. Nec enim ob crimen aliquod peculiare nostram urbem everterunt, sed idem hoc illis etiam objicere poterunt. Quare cogitandum est et providendum, ne istorum insolentia multos, qui prius Lacedæmoniorum imperium oderunt, reconciliet, atque efficiat ut suam salutem in illorum societate positam arbitrentur.

17. Recordamini porro vos proximum suscepisse bellum non propter vestram aut sociorum libertatem (omnes enim eam habebatis) sed eorum causa, quibus contra jusjurandum et fœdus libertas erepta erat. Acerbissimum igitur fuerit, si eas urbes, quas Lacedæmoniis servire iniquum putastis, nunc a Thebanis everti patiemini, qui vestram clementiam adeo non imitantur, (18) ut, quod omnium miserrimum habetur, bello capi, illud ipsum ab hac urbe nos perpessos esse præstitisset, quam istos vicinos habuisse. Nam quorum vos urbes vi expugnastis, hi statim præfecto Laconico et servitute a se repulsa, nunc concilii par jus et libertatem receperunt; qui autem prope istos habitant, hi partim nihilo minus quam ære empta mancipia serviunt, partim isti prius non desinent quam eos in eandem conditionem quam nos redegerint. (19) Ac Lacedæmonios quidem accusant ob Cadmeam occupatam et præsidia urbibus imposita; ipsi autem se nihil grave committere putant, qui non præsidia imponunt, sed aliorum mœnia subruunt, alios funditus perdunt, tantaque sunt impudentia, ut suæ salutis curam haberi ab omnibus sociis postulent, quum alios servitute opprimendi potestatem sibi arrogent. (20) Quis igitur non oderit cupiditatem istorum, qui et dominari student imbecillioribus et cum potentioribus æquum jus affectant, et vestræ quidem urbi agrum ab Oropiis datum invident, ipsi autem alienum vi partiuntur?

21. Neque hac improbitate contenti se propter communem sociorum utilitatem hæc egisse dictitant. Quum autem hic concilium sit et vestra urbs prudentius quam Thebana deliberare possit, eos non huc venire ad purganda sua facta, sed priusquam hujusmodi quicquam agerent, ad vos consilii capiendi causa profectos esse decuit. (22) Verum nunc, ubi nostras opes ipsi privatim diripuerunt, adveniunt, crimen cum omnibus sociis communicaturi: quod vos, si sapitis, non admittetis. Multo enim honestius est eos ad vestram sanctitatem imitandam cogi, quam persuaderi vobis, ut participes sitis injuriarum quas illi faciunt, qui nihil decernunt, quod cum judiciis aliorum consentiat. (23) Inter omnes enim constare arbitror, prudentium homi-

301 μαι γὰρ ἅπασι φανερὸν εἶναι διότι προσήκει τοὺς εὖ a φρονοῦντας ἐν μὲν τῷ πολέμῳ σκοπεῖν ὅπως ἐκ παντὸς τρόπου πλέον ἕξουσι τῶν ἐχθρῶν, ἐπειδὰν δ' εἰρήνη γένηται, μηδὲν περὶ πλείονος ποιεῖσθαι τῶν ὅρκων καὶ τῶν συνθηκῶν. (24) Οὗτοι δὲ τότε μὲν ἐν ἁπάσαις ταῖς πρεσβείαις ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας ἐποιοῦντο τοὺς λόγους· ἐπειδὴ δὲ νομίζουσιν αὑτοῖς ἄδειαν γεγενῆσθαι, πάντων τῶν ἄλλων ἀμελήσαντες ὑπὲρ τῶν ἰδίων κερδῶν καὶ τῆς αὑτῶν βίας λέ- b γειν τολμῶσι, (25) καὶ φασὶ τὸ Θηβαίους ἔχειν τὴν ἡμετέραν, τοῦτο συμφέρον εἶναι τοῖς συμμάχοις, κακῶς εἰδότες ὡς οὐδὲν τοῖς παρὰ τὸ δίκαιον πλεονεκτοῦσιν οὐδὲ πώποτε συνήνεγκεν, ἀλλὰ πολλοὶ δὴ τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσαντες περὶ τῆς αὑτῶν δικαίως εἰς τοὺς μεγίστους κινδύνους κατέστησαν.

26. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνό γ' ἕξουσι λέγειν, ὡς αὐτοὶ μὲν μεθ' ὧν ἂν γένωνται πιστοὶ διατελοῦσιν ὄντες, c ἡμᾶς δ' ἄξιον φοβεῖσθαι, μὴ κομισάμενοι τὴν χώραν πρὸς Λακεδαιμονίους ἀποστῶμεν· εὑρήσετε γὰρ ἡμᾶς μὲν δὶς ἐκπεπολιορκημένους ὑπὲρ τῆς φιλίας τῆς ὑμετέρας, τούτους δὲ πολλάκις εἰς ταύτην τὴν πόλιν ἐξημαρτηκότας. (27) Καὶ τὰς μὲν παλαιὰς προδοσίας πολὺ ἂν ἔργον εἴη λέγειν· γενομένου δὲ τοῦ Κορινθιακοῦ πολέμου διὰ τὴν ὕβριν τὴν τούτων, καὶ Λακεδαιμονίων μὲν ἐπ' αὐτοὺς στρατευσάντων, δι' ὑμᾶς δὲ σωθέντες, οὐχ ὅπως τούτων χάριν ἀπέδοσαν, ἀλλ' d ἐπειδὴ διελέλυσθε τὸν πόλεμον, ἀπολιπόντες ὑμᾶς εἰς τὴν Λακεδαιμονίων συμμαχίαν εἰσῆλθον. (28) Καὶ Χῖοι μὲν καὶ Μυτιληναῖοι καὶ Βυζάντιοι συμπαρέμειναν, οὗτοι δὲ τηλικαύτην πόλιν οἰκοῦντες οὐδὲ κοινοὺς σφᾶς αὐτοὺς παρασχεῖν ἐτόλμησαν, ἀλλ' εἰς τοῦτ' ἀνανδρίας καὶ πονηρίας ἦλθον, ὥστ' ὤμοσαν ἦ μὴν ἀκολουθήσειν μετ' ἐκείνων ἐφ' ὑμᾶς τοὺς διασώσαντας e τὴν πόλιν αὐτῶν· ὑπὲρ ὧν δόντες τοῖς θεοῖς δίκην τῆς Καδμείας καταληφθείσης ἠναγκάσθησαν ἐνθάδε καταφυγεῖν· ὅθεν καὶ μάλιστ' ἐπεδείξαντο τὴν αὑτῶν ἀπιστίαν· (29) σωθέντες γὰρ πάλιν διὰ τῆς ὑμετέρας δυνάμεως καὶ κατελθόντες εἰς τὴν αὑτῶν οὐδένα χρόνον 302 ἐνέμειναν, ἀλλ' εὐθὺς εἰς Λακεδαίμονα πρέσβεις ἀπέ- a στελλον, ἕτοιμοι δουλεύειν ὄντες καὶ μηδὲν κινεῖν τῶν πρότερον πρὸς αὐτοὺς ὡμολογημένων. Καὶ τί δεῖ μακρολογεῖν; εἰ γὰρ μὴ προσέταττον ἐκεῖνοι τούς τε φεύγοντας καταδέχεσθαι καὶ τοὺς αὐτόχειρας ἐξείργειν, οὐδὲν ἂν ἐκώλυεν αὐτοὺς μετὰ τῶν ἠδικηκότων ἐφ' ὑμᾶς τοὺς εὐεργέτας στρατεύεσθαι.

30. Καὶ τοιοῦτοι μὲν νεωστὶ περὶ τὴν πόλιν τήνδε γεγενημένοι, τὸ δὲ παλαιὸν ἁπάσης τῆς Ἑλλάδος προ- b δόται καταστάντες, αὐτοὶ μὲν ὑπὲρ οὕτως ἑκουσίων καὶ μεγάλων ἀδικημάτων συγγνώμης τυχεῖν ἠξιώθησαν, ἡμῖν δ' ὑπὲρ ὧν ἠναγκάσθημεν οὐδεμίαν ἔχειν οἴονται δεῖν συγγνώμην, ἀλλὰ τολμῶσιν ὄντες Θηβαῖοι λακωνισμὸν ἑτέροις ὀνειδίζειν, οὓς πάντες ἴσμεν πλεῖστον χρόνον Λακεδαιμονίοις δεδουλευκότας καὶ προθυμότερον ὑπὲρ τῆς ἐκείνων ἀρχῆς ἢ τῆς αὑτῶν σωτηρίας πεπολε-

num esse munus dare operam ut et in bello quovis modo sint hostibus superiores, et pace constituta, nihil pluris faciant fœderibus et jurejurando. (24) Isti autem tum in omnibus legationibus nihil nisi libertatem, nisi leges singulis usitatas jactabant; postquam vero impunitatem sibi datam esse censent, neglectis ceteris omnibus privata compendia et violentiam suam defendere audent, (25) ac dicere, quod Thebani nostras fortunas occuparint, id vero esse e republica sociorum, suo malo ignorantes nihil unquam injusta lucra cuiquam profuisse; sed multos qui aliena per injuriam appetiverunt, de suis in maxima pericula jure devenisse.

26. Jam ne illud quidem dicere poterunt, se fidem constanter servare iis, cum quibus se conjunxerint; metuendum autem esse, ne recuperata patria nos ad Lacedæmonios deficiamus. Nostrum enim oppidum bis expugnatum esse propter amicitiam vestram, istos sæpe hanc urbem injuriis affecisse reperietis. (27) Ac veteres proditiones recensere operosum fuerit; sed Corinthiaco bello propter istorum injurias conflato quum Lacedæmonii contra eos exercitum duxissent, a vobis conservati non modo gratiam non retulerunt; sed, quum bellum composuissetis, relictis vobis ad Lacedæmonios se contulerunt. (28) Ac Chii quidem et Mytilenæi et Byzantii in fide manserunt; isti autem, qui tantam urbem incolerent, ne quiescere quidem ac neutrarum esse partium sunt ausi: sed ea ignavia et improbitate fuerunt, ut fide data affirmarint se illos contra vos, qui urbem ipsorum servaveratis, secuturos esse. Propterea divinitus illis pœna hæc inflicta est, ut occupata Cadmea sint ad vos confugere coacti. Unde etiam perfidia eorum maxime perspecta est. (29) Nam denuo vestris auxiliis conservati et in patriam restituti, ne minimum quidem tempus in fide manserunt; sed mox legatis Lacedæmonem missis ultro servituti se obtulerunt, parati servare omnia quæ pridem illis promisissent. Quid multis opus est? Nisi enim illi jussissent et exules recipi et facinorosos urbe pelli, nihil obstitisset quominus inita cum Lacedæmoniis, a quibus læsi erant, societate vos optime de se meritos bello petiissent.

30. Qui igitur et nuper erga vestram urbem se tales præbuerunt et olim totam Græciam prodiderunt, veniam tamen adeo voluntariis et magnis injuriis impetrarunt, hi nobis eorum quæ coacti fecimus, nullam gratiam faciendam censent, sed, quum Thebani sint, Laconum studium aliis objicere non dubitant, quos omnes scimus diutissime Lacedæmoniis serviisse et pro illorum imperio promptius

μηκότας. (31) Ποίας γὰρ εἰσβολῆς ἀπελείφθησαν τῶν c εἰς ταύτην τὴν χώραν γεγενημένων; ἢ τίνων οὐκ ἐχθίους ὑμῖν καὶ δυσμενέστεροι διετέλεσαν ὄντες; οὐκ ἐν τῷ Δεκελεικῷ πολέμῳ πλεόνων αἴτιοι κακῶν ἐγένοντο τῶν ἄλλων τῶν συνεισβαλόντων; οὐ δυστυχησάντων ὑμῶν μόνοι τῶν συμμάχων ἔθεντο τὴν ψῆφον ὡς χρὴ τήν τε πόλιν ἐξανδραποδίσασθαι καὶ τὴν χώραν ἀνεῖναι μηλόβοτον ὥσπερ τὸ Κρισαῖον πεδίον; (32) ὥστ' εἰ Λακεδαιμόνιοι τὴν αὐτὴν γνώμην ἔσχον Θηβαίοις, οὐδὲν d ἂν ἐκώλυε τοὺς ἅπασι τοῖς Ἕλλησιν αἰτίους τῆς σωτηρίας γενομένους αὐτοὺς ὑπὸ τῶν Ἑλλήνων ἐξανδραποδισθῆναι καὶ ταῖς μεγίσταις συμφοραῖς περιπεσεῖν. Καίτοι τίνα τηλικαύτην εὐεργεσίαν ἔχοιεν ἂν εἰπεῖν, ἥτις ἱκανὴ γενήσεται διαλῦσαι τὴν ἔχθραν τὴν ἐκ τούτων δικαίως ἂν ὑπάρχουσαν πρὸς αὐτούς;

33. Τούτοις μὲν οὖν οὐδεὶς λόγος ὑπολείπεται τηλικαῦτα τὸ μέγεθος ἐξημαρτηκόσι, τοῖς δὲ συναγορεύειν βουλομένοις ἐκεῖνος μόνος, ὡς νῦν μὲν ἡ Βοιωτία προπολεμεῖ e τῆς ὑμετέρας χώρας, ἢν δὲ διαλύσησθε τὴν πρὸς τούτους φιλίαν, ἀσύμφορα τοῖς συμμάχοις διαπράξεσθε· μεγάλην γὰρ ἔσεσθαι τὴν ῥοπήν, εἰ μετὰ Λακεδαιμονίων ἡ τούτων γενήσεται πόλις. (34) Ἐγὼ δ'
303 οὔτε τοῖς συμμάχοις ἡγοῦμαι λυσιτελεῖν τοὺς ἀσθενεστέρους a τοῖς κρείττοσι δουλεύειν (καὶ γὰρ τὸν παρελθόντα χρόνον ὑπὲρ τούτων ἐπολεμήσαμεν), οὔτε Θηβαίους εἰς τοῦτο μανίας ἥξειν ὥστ' ἀποστάντας τῆς συμμαχίας Λακεδαιμονίοις ἐνδώσειν τὴν πόλιν, οὐχ ὡς πιστεύων τοῖς τούτων ἤθεσιν, ἀλλ' οἶδ' ὅτι γιγνώσκουσιν ὡς δυοῖν θάτερον ἀναγκαῖόν ἐστιν αὐτοῖς, ἢ μένοντας ἀποθνήσκειν καὶ πάσχειν οἷά περ ἐποίησαν, ἢ φεύγοντας b ἀπορεῖν καὶ τῶν ἐλπίδων ἁπασῶν ἐστερῆσθαι. (35) Πότερα γὰρ τὰ πρὸς τοὺς πολίτας αὐτοῖς ἔχει καλῶς, ὧν τοὺς μὲν ἀποκτείναντες, τοὺς δ' ἐκ τῆς πόλεως ἐκβαλόντες διηρπάκασι τὰς οὐσίας, ἢ τὰ πρὸς τοὺς ἄλλους Βοιωτούς, ὧν οὐκ ἄρχειν μόνον ἀδίκως ἐπιχειροῦσιν, ἀλλὰ τῶν μὲν τὰ τείχη κατεσκάφασι, τῶν δὲ καὶ τὴν χώραν ἀπεστερήκασιν; (36) ἀλλὰ μὴν οὐδ' ἐπὶ τὴν ὑμετέραν πόλιν οἷόν τ' αὐτοῖς ἐπανελθεῖν ἐστιν, ἣν οὕτω συνεχῶς φανήσονται προδιδόντες. Ὥστ' οὐκ ἔστιν c ὅπως βουλήσονται πρὸς ὑμᾶς ὑπὲρ τῆς ἀλλοτρίας διενεχθέντες τὴν αὑτῶν πόλιν οὕτως εἰκῇ καὶ προδήλως ἀποβαλεῖν, ἀλλὰ πολὺ κοσμιώτερον διακείσονται πρὸς ἁπάσας τὰς πράξεις, καὶ τοσούτῳ πλείω ποιήσονται θεραπείαν ὑμῶν, ὅσῳ περ ἂν μᾶλλον περὶ σφῶν αὐτῶν δεδίωσιν. (37) Ἐπεδείξαντο δ' ὑμῖν ὡς χρὴ τῇ φύσει χρῆσθαι τῇ τούτων, ἐξ ὧν ἔπραξαν περὶ Ὠρωπόν· ὅτε d μὲν γὰρ ἐξουσίαν ἤλπισαν αὐτοῖς ἔσεσθαι ποιεῖν ὅ τι ἂν βουληθῶσιν, οὐχ ὡς συμμάχοις ὑμῖν προσηνέχθησαν, ἀλλ' ἅπερ ἂν εἰς τοὺς πολεμιωτάτους ἐξαμαρτεῖν ἐτόλμησαν· ἐπειδὴ δ' ἐκσπόνδους αὐτοὺς ἀντὶ τούτων ἐψηφίσασθε ποιῆσαι, παυσάμενοι τῶν φρονημάτων ἦλθον ὡς ὑμᾶς, ταπεινότερον διατεθέντες ἢ νῦν ἡμεῖς τυγχάνομεν ἔχοντες. (38) Ὥστ' ἤν τινες ὑμᾶς ἐκφοβῶσι τῶν e ῥητόρων ὡς κίνδυνός ἐστι μὴ μεταβάλωνται καὶ γένων-

quam de sua salute dimicasse. (31) Cui enim incursioni hanc in regionem factæ non interfuerunt? qui vobis perpetuo inimiciores et infestiores quam isti fuerunt? nonne in Deceleico bello vos gravius afflixerunt quam ii qui vestros fines populabantur? nonne quum cladem accepissetis, soli e sociis decreverunt vestram urbem et evertendam esse et agrum in ovium pascua convertendum, quemadmodum Crisæum campum? (32) Itaque si Lacedæmonii Thebanis auscultassent, nihil obstitisset quominus eos, qui Græcos omnes conservarunt, ipsi a Græcis patria et libertate spoliarentur et in maximas calamitates inciderent. Quod vero tantum beneficium commemorabunt, quod ad exstinguendas vestras inimicitias sufficiet, quas his de causis jure subiissent?

33. Nulla igitur istis post tanta delicta excusatio superest. At patronis eorum hoc unum relinquitur, ut dicant Bœotiam nunc propugnare pro vestra regione; si vero vos ab eorum amicitia removeritis, id sociis male cessurum esse : magnum enim in hoc momentum fore, utrum horum urbs cum Lacedæmoniis se conjunxerit. (34) Ego vero nec e re sociorum esse puto ut imbecilliores potentioribus serviant (etenim superiori tempore propter hanc rem bella gessimus), nec Thebanos in eum furorem deventuros, ut vestra societate repudiata Lacedæmoniorum potestati suam urbem permittant, non quod eorum ingeniis fidendum putem, sed quia scio ipsos intelligere alterutrum necessario futurum, vel ut in urbe manentes occidantur et quæ perpetravere simili pœna luant, vel ut in exilium euntes egeant, spe prorsus omni destituti. (35) Num enim cum civibus eis bene convenit, quorum alios interfecerunt, alios urbe ejecerunt direpta eorum re familiari? aut cum ceteris Bœotiis, quibus non modo per injuriam imperare conantur, sed quorundam mœnia subruerunt, quibusdam etiam agros ademerunt? (36) Neque etiam ad vestram civitatem quasi postliminio redire poterunt, toties a se tam aperte proditam et desertam. Quare fieri non potest ut pro alieno oppido vestris susceptis inimicitiis, suam urbem adeo temere ac indubitanter velint amittere, sed in omnibus actionibus multo moderatiores erunt et vos tanto magis observabunt, quanto magis sibimetipsis timuerint. (37) Quibus autem ingeniis et quomodo tractandi sint, rebus de Oropo actis ostenderunt. Nam dum potestatem sibi datam esse putarunt faciendi quod libuisset, vobiscum non ut cum sociis egerunt, sed ut infestissimis hostibus insultare ausi sunt : quum autem ob ea delicta fœderibus eos decreto facto exclusissetis, abjecta superbia et ferocia ad vos humiliore gestu magisque supplices veuerunt, quam nos hoc tempore. (38) Quare si qui oratorum vos perterrefacere conabuntur, periculum esse dicentes ne mutata sententia cum hostibus se conjungant,

ται μετὰ τῶν πολεμίων, οὐ χρὴ πιστεύειν· τοιαῦται
γὰρ αὐτοὺς ἀνάγκαι κατειλήφασιν, ὥστε πολὺ ἂν θᾶτ-
τον τὴν ὑμετέραν ἀρχὴν ἢ τὴν Λακεδαιμονίων συμμα-
χίαν ὑπομείναιεν.

304 39. Εἰ δ' οὖν καὶ τἀναντία μέλλοιεν ἅπαντα πρά- a
ξειν, οὐδ' οὕτως ἡγοῦμαι προσήκειν ὑμῖν τῆς Θηβαίων
πόλεως πλείω ποιήσασθαι λόγον ἢ τῶν ὅρκων καὶ τῶν
συνθηκῶν, ἐνθυμουμένους πρῶτον μὲν ὡς οὐ τοὺς κιν-
δύνους ἀλλὰ τὰς ἀδοξίας καὶ τὰς αἰσχύνας φοβεῖσθαι
πάτριον ὑμῖν ἐστιν, ἔπειθ' ὅτι συμβαίνει κρατεῖν ἐν
τοῖς πολέμοις οὐ τοὺς βίᾳ τὰς πόλεις καταστρεφομένους,
ἀλλὰ τοὺς ὁσιώτερον καὶ πρᾳότερον τὴν Ἑλλάδα διοι- b
κοῦντας. (40) Καὶ ταῦτ' ἐπὶ πλειόνων μὲν ἄν τις πα-
ραδειγμάτων ἔχοι διελθεῖν· τὰ δ' οὖν ἐφ' ἡμῶν γενόμενα
τίς οὐκ οἶδεν, ὅτι Λακεδαιμόνιοι τὴν δύναμιν τὴν ὑμε-
τέραν ἀνυπόστατον δοκοῦσαν εἶναι κατέλυσαν μικρὰς
μὲν ἀφορμὰς εἰς τὸν πόλεμον τὸν κατὰ θάλατταν τὸ
πρῶτον ἔχοντες, διὰ δὲ τὴν δόξαν ταύτην προσαγόμε-
νοι τοὺς Ἕλληνας, καὶ πάλιν ὑμεῖς τὴν ἀρχὴν ἀφεί-
λεσθε τὴν ἐκείνων ἐξ ἀτειχίστου μὲν τῆς πόλεως ὁρμη- c
θέντες καὶ κακῶς πραττούσης, τὸ δὲ δίκαιον ἔχοντες
σύμμαχον; (41) καὶ τούτων ὡς οὐ βασιλεὺς αἴτιος ἦν, ὁ
τελευταῖος χρόνος σαφῶς ἐπέδειξεν· ἔξω γὰρ αὐτοῦ τῶν
πραγμάτων γεγενημένου, καὶ τῶν μὲν ὑμετέρων ἀνελ-
πίστως ἐχόντων, Λακεδαιμονίοις δὲ σχεδὸν ἁπασῶν
τῶν πόλεων δουλευουσῶν, ὅμως αὐτῶν τοσοῦτον περιε-
γένεσθε, πολεμοῦντες, ὥστ' ἐκείνους ἀγαπητῶς ἰδεῖν τὴν
εἰρήνην γενομένην.

42. Μηδεὶς οὖν ὑμῶν ὀρρωδείτω μετὰ τοῦ δικαίου d
ποιούμενος τοὺς κινδύνους, μηδ' οἰέσθω συμμάχων ἀ-
πορήσειν, ἐὰν τοῖς ἀδικουμένοις ἐθέλητε βοηθεῖν, ἀλλὰ
μὴ Θηβαίοις μόνοις· οἷς νῦν τἀναντία ψηφισάμενοι
πολλοὺς ἐπιθυμεῖν ποιήσετε τῆς ὑμετέρας φιλίας. Ἢν
γὰρ ἐνδείξησθ' ὡς ὁμοίως ἅπασιν ὑπὲρ τῶν συνθηκῶν
παρεσκεύασθε πολεμεῖν, (43) τίνες εἰς τοῦτ' ἀνοίας ἥξου-
σιν ὥστε βούλεσθαι μετὰ τῶν καταδουλουμένων εἶναι
μᾶλλον ἢ μεθ' ὑμῶν τῶν ὑπὲρ τῆς αὑτῶν ἐλευθερίας e
ἀγωνιζομένων; εἰ δὲ μή, τί λέγοντες, ἢν πάλιν γένηται
πόλεμος, ἀξιώσετε προσάγεσθαι τοὺς Ἕλληνας, εἰ τὴν
αὐτονομίαν προτείνοντες ἐνδώσετε πορθεῖν Θηβαίοις ἥν-
305 τιν' ἂν βούλωνται τῶν πόλεων; (44) πῶς δ' οὐ τἀναντία a
φανήσεσθε πράττοντες ὑμῖν αὐτοῖς, εἰ Θηβαίους μὲν μὴ
διακωλύσετε παραβαίνοντας τοὺς ὅρκους καὶ τὰς συν-
θήκας, πρὸς δὲ Λακεδαιμονίους ὑπὲρ τῶν αὐτῶν τούτων
προσποιήσεσθε πολεμεῖν; καὶ τῶν μὲν κτημάτων τῶν
ὑμετέρων αὐτῶν ἀπέστητε, βουλόμενοι τὴν συμμαχίαν
ὡς μεγίστην ποιῆσαι, τούτους δὲ τὴν ἀλλοτρίαν ἔχειν
ἐάσετε καὶ τοιαῦτα ποιεῖν ἐξ ὧν ἅπαντες χείρους ὑμᾶς b
νομιοῦσιν εἶναι; (45) ὃ δὲ πάντων δεινότατον, εἰ τοῖς μὲν
συνεχῶς μετὰ Λακεδαιμονίων γεγενημένοις δεδογμένον
ὑμῖν ἐστι βοηθεῖν, ἤν τι παράσπονδον αὐτοῖς ἐκεῖνοι
προστάττωσιν, ἡμᾶς δ', οἳ τὸν μὲν πλεῖστον χρόνον
μεθ' ὑμῶν ὄντες διατετελέκαμεν, τὸν δὲ τελευταῖον μόνον
πόλεμον ὑπὸ Λακεδαιμονίοις ἠναγκάσθημεν γενέσθαι,

nihil ea re moveri debetis. Ea enim necessitate premuntur, ut multo libentius vestrum imperium quam societatem Lacedæmoniorum sint subituri.

39. Ut autem contraria omnia facturos concedamus, tamen ne sic quidem decere arbitror majori curæ vobis esse urbem Thebanorum quam fœdus et jusjurandum. Cogitandum enim primum a majoribus vos accepisse ut non pericula, sed probra et dedecus metuatis, deinde usuvenire, ut in bello superiores sint non qui civitates evertant, sed qui sanctius et clementius Græciam administrent. (40) Et hæc pluribus exemplis demonstrari queunt. Sed quis est qui vel ea quæ nostris acciderunt temporibus ignoret, Lacedæmonios vestram potentiam, quæ insuperabilis videbatur, repressisse, quanquam initio non optime ad navale bellum instructos, sed tantum opinione hac Græcis ad se pellectis? vicissim et vos imperium eis eripuisse, quanquam urbem non munitam et rebus adversis conflictatam haberetis, justitiæ societate et præsidio fretos? (41) Atque illa regi Persarum non esse ascribenda, his postremis temporibus est manifesto declaratum. Nam quum ille rerum gestarum expers esset, vos omni spe destituti, omnibus pæne civitatibus Laconum servitute oppressis, bello tamen eis tanto superiores fuistis, ut pacem cupidissime sint amplexi.

42. Nemo igitur vestrûm cohorrescat si pericula propter justitiam adeunda fuerint, neque sibi socios defore putet, si opitulari volueritis injuria oneratis, et non solis Thebanis; contra quos si nunc sententiam tuleritis, ut ad vestram amicitiam multi se conferre velint, efficietis. Ubi enim vos paratos esse bella æque contra omnes pro defensione fœderum suscipere ostenderitis, (43) quinam tam erunt amentes, ut cum oppressoribus se conjungere malint quam vobiscum, libertatis ipsorum defensoribus? Sin aliter animati estis, quibus verbis Græcos allicietis bello iterum ingruente, si libertatem prætendentes Thebanorum libidini quaslibet civitates vastandas permiseritis? (44) quo pacto levitatis et inconstantiæ crimen effugietis, si Thebanos jusjurandum et fœdera violare sinetis, pro quibus ipsis sanciendis vos Lacedæmoniis inferre bellum profiteamini? quum ipsi vestris possessionibus cedere volueritis, ut societatem quam maximam redderetis, istosne aliena tenere et ea facere sinetis, propter quæ universi pejus de vobis existimabunt? (45) Illud autem omnium indignissimum est, si vobis deliberatum erit istis opem ferre, qui continenter a Lacedæmoniis steterunt, si quid eis fœderi contrarium illi imperarint, nos vero, qui longissimo tempore vos constanter secuti sumus, in extremo solum bello parere Lacedæmoniis coacti

διὰ ταύτην τὴν πρόφασιν ἀθλιώτατα πάντων ἀνθρώπων c περιόψεσθε διακειμένους. (46) Τίνας γὰρ ἂν ἡμῶν εὕροι τις δυστυχεστέρους, οἵτινες καὶ πόλεως καὶ χώρας καὶ χρημάτων ἐν μιᾷ στερηθέντες ἡμέρᾳ, πάντων τῶν ἀναγκαίων ὁμοίως ἐνδεεῖς ὄντες ἀλῆται καὶ πτωχοὶ καθέσταμεν, ἀποροῦντες ὅποι τραπώμεθα καὶ πάσας δυσχεραίνοντες τὰς οἰκήσεις· ἤν τε γὰρ δυστυχοῦντας καταλάβωμεν, ἀλγοῦμεν ἀναγκαζόμενοι πρὸς τοῖς οἰκείοις κακοῖς καὶ τῶν ἀλλοτρίων κοινωνεῖν· (47) ἤν θ' d ὡς εὖ πράττοντας ἔλθωμεν, ἔτι χαλεπώτερον ἔχομεν, οὐ ταῖς ἐκείνων φθονοῦντες εὐπορίαις, ἀλλὰ μᾶλλον ἐν τοῖς τῶν πέλας ἀγαθοῖς τὰς ἡμετέρας αὐτῶν συμφορὰς καθορῶντες, ἐφ' αἷς ἡμεῖς οὐδεμίαν ἡμέραν ἀδακρυτὶ διάγομεν, ἀλλὰ πενθοῦντες τὴν πατρίδα καὶ θρηνοῦντες τὴν μεταβολὴν τὴν γεγενημένην ἅπαντα τὸν χρόνον διατελοῦμεν. (48) Τίνα γὰρ ἡμᾶς e οἴεσθε γνώμην ἔχειν ὁρῶντας καὶ τοὺς γονέας αὑτῶν ἀναξίως γηροτροφουμένους καὶ τοὺς παῖδας οὐκ ἐπὶ ταῖς ἐλπίσιν αἷς ἐποιησάμεθα παιδευομένους, ἀλλὰ πολλοὺς μὲν μικρῶν ἕνεκα συμβολαίων δουλεύοντας, 306 ἄλλους δ' ἐπὶ θητείαν ἰόντας, τοὺς δ' ὅπως ἕκαστοι δύ- a νανται τὸ καθ' ἡμέραν ποριζομένους, ἀπρεπῶς καὶ τοῖς τῶν προγόνων ἔργοις καὶ ταῖς αὑτῶν ἡλικίαις καὶ τοῖς φρονήμασι τοῖς ἡμετέροις. (49) Ὃ δὲ πάντων ἄλγιστον, ὅταν τις ἴδῃ χωριζομένους ἀπ' ἀλλήλων μὴ μόνον πολίτας ἀπὸ πολιτῶν, ἀλλὰ καὶ γυναῖκας ἀπ' ἀνδρῶν καὶ θυγατέρας ἀπὸ μητέρων, καὶ πᾶσαν τὴν συγγένειαν διαλυομένην, ὃ πολλοῖς τῶν ἡμετέρων πολιτῶν διὰ τὴν ἀπορίαν συμβέβηκεν· ὁ γὰρ κοινὸς βίος ἀπολωλὼς ἰδίας b τὰς ἐλπίδας ἕκαστον ἡμῶν ἔχειν πεποίηκεν. (50) Οἶμαι δ' ὑμᾶς οὐδὲ τὰς ἄλλας αἰσχύνας ἀγνοεῖν τὰς διὰ πενίαν καὶ φυγὴν γιγνομένας, ἃς ἡμεῖς τῇ μὲν διανοίᾳ χαλεπώτερον τῶν ἄλλων φέρομεν, τῷ δὲ λόγῳ παραλείπομεν, αἰσχυνόμενοι λίαν ἀκριβῶς τὰς ἡμετέρας αὐτῶν ἀτυχίας ἐξετάζειν.

51. Ὧν αὐτοὺς ὑμᾶς ἀξιοῦμεν ἐνθυμουμένους ἐπιμέλειάν τινα ποιήσασθαι περὶ ἡμῶν. Καὶ γὰρ οὐδ' ἀλλότριοι τυγχάνομεν ὑμῖν ὄντες, ἀλλὰ ταῖς μὲν εὐ- c νοίαις ἅπαντες οἰκεῖοι, τῇ δὲ συγγενείᾳ τὸ πλῆθος ἡμῶν· διὰ γὰρ τὰς ἐπιγαμίας τὰς δοθείσας ἐκ πολιτίδων ὑμετέρων γεγόναμεν· ὥστ' οὐχ οἷόνθ' ὑμῖν ἀμελῆσαι περὶ ὧν ἐληλύθαμεν δεησόμενοι. (52) Καὶ γὰρ ἂν πάντων εἴη δεινότατον, εἰ πρότερον μὲν ἡμῖν μετέδοτε τῆς πατρίδος τῆς ὑμετέρας αὐτῶν, νῦν δὲ μηδὲ τὴν ἡμετέραν ἀποδοῦναι δόξειεν ὑμῖν. Ἔπειτ' οὐδ' εἰκὸς ἕνα μὲν ἕκαστον ἐλεεῖσθαι τῶν παρὰ τὸ δίκαιον δυστυχούντων, d ὅλην δὲ πόλιν οὕτως ἀνόμως διεφθαρμένην μηδὲ κατὰ μικρὸν οἴκτου δυνηθῆναι τυχεῖν, ἄλλως τε καὶ πρὸς ὑμᾶς καταφυγοῦσαν, οἷς οὐδὲ τὸ πρότερον αἰσχρῶς οὐδ' ἀκλεῶς ἀπέβη τοὺς ἱκέτας ἐλεήσασιν. (53) Ἐλθόντων γὰρ Ἀργείων ὡς τοὺς προγόνους ὑμῶν καὶ δεηθέντων ἀνελέσθαι τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας, πεισθέντες ὑπ' ἐκείνων καὶ Θηβαίους ἀναγκάσαντες βουλεύσασθαι νομιμώτερον οὐ μόνον αὐτοὶ κατ' ἐκείνους e

propter hanc causam mortalium omnium miserrimos esse patiemini. (46) Quos enim nobis miseriores quisquam inveniat, qui et urbe et agro et opibus uno die spoliati, rebus omnibus necessariis æque omnes destituti errones et mendici facti sumus, ignari quo nos convertamus, et omnes habitationes ægre ferentes? sive enim calamitosos aliquos invenerimus, dolemus, qui præter mala domestica etiam alienorum fieri participes cogamur; (47) sive ad felices perventum est, dolor noster recrudescit, non quod illorum opibus invideamus, sed quia in aliorum rebus secundis nostras miserias, quantæ sint, perspicimus, quæ nos nullam diem sine lacrimis exigere sinunt, sed et patriam lugere et hanc mutationem lamentari nullo tempore desistimus. (48) Quid enim nobis animi esse censetis, quum videmus parentes nostros senio confectos longe aliter quam pro dignitate tractari, neque liberos nostros ea spe, qua eos suscepimus, educari, sed multos ob parvas quasdam ratiunculas servire, alios ire mercede locatum suam operam, alios, ut quisque potest, victum quæritare, indigne et aliter quam et gloria majorum et sua ætas et nostrorum animorum magnitudo postulabat. (49) Illud autem omnem doloris acerbitatem vincit, si quis videat a se invicem divelli non cives tantum a civibus, sed et uxores a maritis, et filias a matribus, et totam cognationem dissipari, quod nostrorum civium multis ob egestatem usuvenit. Victus enim communis amissus effecit ut spe privata singuli nitantur. (50) Ac vos ne cetera quidem probra ignorare arbitror, quæ paupertas et exilium afferunt; quæ nos etsi molestius animo quam cetera ferimus, tamen silentio præterimus, non nimis accurate in calamitates nostras inquirendum esse rati.

51. Oramus autem ut ipsi vos illa considerantes aliquam nostri curam suscipiatis. Nec enim vobis alieni sumus, sed quum benevolentia universi vobiscum conjuncti, tum cognatione maxima nostrum pars. Nam propter concessum connubium e vestrorum civium filiabus plerique nati sumus. Quare vobis non licet ea negligere quæ petituri venimus. (52) Quid enim fieret inconvenientius, quam vos, quum olim vestræ patriæ jus nobis dederitis, nunc nostram urbem restituendam non censere? Deinde nec illud consentaneum est, quum singulorum, quos vel fortunæ temeritas afflixit vel hominum injuriæ, misereamini, totam urbem sic contra omnem æquitatem eversam nihil omnino misericordiæ posse a vobis impetrare quum præsertim ad vestram fidem confugerit, quibus etiam antehac semper gloriosum et honorificum fuerit supplicum misereri. (53) Nam majores vestri Argivorum precibus, qui supplices petierant ut sub Cadmea interfectos tollerent, adducti Thebanos æquiora sequi consilia quum coegissent, non ipsi solum illis temporibus clarue-

τοὺς καιροὺς εὐδοκίμησαν, ἀλλὰ καὶ τῇ πόλει δόξαν
ἀείμνηστον εἰς ἅπαντα τὸν χρόνον κατέλιπον, ἧς οὐκ
307 ἄξιον προδότας γενέσθαι. Καὶ γὰρ αἰσχρὸν φιλοτι- a
μεῖσθαι μὲν ἐπὶ τοῖς τῶν προγόνων ἔργοις, φαίνεσθαι
δ' ἐκείνοις τἀναντία περὶ τῶν ἱκετῶν πράττοντας. (54)
Καίτοι πολὺ περὶ μειζόνων καὶ δικαιοτέρων ἥκομεν
ποιησόμενοι τὰς δεήσεις· οἱ μὲν γὰρ ἐπὶ τὴν ἀλλοτρίαν
στρατεύσαντες ἱκέτευον ὑμᾶς, ἡμεῖς δὲ τὴν ἡμετέραν
αὐτῶν ἀπολωλεκότες, κἀκεῖνοι μὲν παρεκάλουν ἐπὶ τὴν
τῶν νεκρῶν ἀναίρεσιν, ἡμεῖς δ' ἐπὶ τὴν τῶν λοιπῶν
σωτηρίαν. (55) Ἔστι δ' οὐκ ἴσον κακὸν οὐδ' ὅμοιον
τοὺς τεθνεῶτας ταφῆς εἴργεσθαι καὶ τοὺς ζῶντας πα- b
τρίδος ἀποστερεῖσθαι καὶ τῶν ἄλλων ἀγαθῶν ἁπάντων,
ἀλλὰ τὸ μὲν δεινότερον τοῖς κωλύουσιν ἢ τοῖς ἀτυχοῦ-
σιν, τὸ δὲ μηδεμίαν ἔχοντα καταφυγήν, ἀλλ' ἄπολιν
γενόμενον καθ' ἑκάστην τὴν ἡμέραν κακοπαθεῖν καὶ
τοὺς αὐτοῦ περιορᾶν, μὴ δυνάμενον ἐπαρκεῖν, τί δεῖ
λέγειν ὅσον τὰς ἄλλας συμφορὰς ὑπερβέβληκεν;

56. Ὑπὲρ ὧν ἅπαντας ὑμᾶς ἱκετεύομεν ἀποδοῦναι
τὴν χώραν ἡμῖν καὶ τὴν πόλιν, τοὺς μὲν πρεσβυτέρους c
ὑπομιμνήσκοντες ὡς οἰκτρὸν τοὺς τηλικούτους ὁρᾶσθαι
δυστυχοῦντας καὶ τῶν καθ' ἡμέραν ἀποροῦντας, τοὺς
δὲ νεωτέρους ἀντιβολοῦντες καὶ δεόμενοι βοηθῆσαι τοῖς
ἡλικιώταις καὶ μὴ περιιδεῖν ἔτι πλείω κακὰ τῶν εἰρη-
μένων παθόντας. (57) Ὀφείλετε δὲ μόνοι τῶν Ἑλλή-
νων τοῦτον τὸν ἔρανον, ἀναστάτοις ἡμῖν γενομένοις ἐ-
παμῦναι. Καὶ γὰρ τοὺς ἡμετέρους προγόνους φασίν,
ἐκλιπόντων τῶν ὑμετέρων πατέρων ἐν τῷ Περσικῷ d
πολέμῳ ταύτην τὴν χώραν, μόνους τῶν ἔξω Πελοπον-
νήσου κοινωνοὺς ἐκείνοις τῶν κινδύνων γενομένους συν-
ανασῶσαι τὴν πόλιν αὐτοῖς· ὥστε δικαίως ἂν τὴν αὐτὴν
εὐεργεσίαν ἀπολάβοιμεν, ἥνπερ αὐτοὶ τυγχάνομεν εἰς
ὑμᾶς ὑπάρξαντες. (58) Εἰ δ' οὖν καὶ μηδὲν ὑμῖν τῶν
σωμάτων τῶν ἡμετέρων δέδοκται φροντίζειν, ἀλλὰ τήν
γε χώραν οὐ πρὸς ὑμῶν ἐστιν ἀνέχεσθαι πεπορθημένην, e
ἐν ᾗ μέγιστα σημεῖα τῆς ἀρετῆς τῆς ὑμετέρας καὶ τῶν
ἄλλων τῶν συναγωνισαμένων καταλείπεται· (59) τὰ
μὲν γὰρ ἄλλα τρόπαια πόλει πρὸς πόλιν γέγονεν, ἐκεῖνα
δ' ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς ὅλην τὴν ἐκ τῆς
308 Ἀσίας δύναμιν ἕστηκεν. Ἃ Θηβαῖοι μὲν εἰκότως ἀ- a
φανίζουσι (τὰ γὰρ μνημεῖα τῶν τότε γενομένων αἰσχύνη
τούτοις ἐστίν), ὑμῖν δὲ προσήκει διασώζειν· ἐξ ἐκείνων
γὰρ τῶν ἔργων ἡγεμόνες κατέστητε τῶν Ἑλλήνων.
(60) Ἄξιον δὲ καὶ τῶν θεῶν καὶ τῶν ἡρώων μνησθῆναι
τῶν ἐκεῖνον τὸν τόπον κατεχόντων, καὶ μὴ περιορᾶν
τὰς τιμὰς αὐτῶν καταλυομένας, οἷς ὑμεῖς καλλιερησά-
μενοι τοιοῦτον ὑπέστητε κίνδυνον, ὃς καὶ τούτους καὶ b
τοὺς ἄλλους ἅπαντας Ἕλληνας ἠλευθέρωσεν. Χρὴ
δὲ καὶ τῶν προγόνων ποιήσασθαί τινα πρόνοιαν, καὶ
μὴ παραμελῆσαι μηδὲ τῆς περὶ ἐκείνους εὐσεβείας,
(61) οἳ πῶς ἂν διατεθεῖεν, εἴ τις ἄρα τοῖς ἐκεῖ φρόνησίς
ἐστι περὶ τῶν ἐνθάδε γιγνομένων, εἰ κυρίων ὑμῶν ὄντων
αἴσθοιντο τοὺς μὲν δουλεύειν τοῖς βαρβάροις ἀξιώσαντας
δεσπότας τῶν ἄλλων καθισταμένους, ἡμᾶς δὲ τοὺς ὑπὲρ

runt, sed urbi etiam vestræ immortalem gloriam in omne deinceps tempus reliquerunt, quæ vobis nunc temere amittenda non est. Etenim turpe sit facta majorum sibi laudi ducentes interim secus de supplicibus statuere. (54) Atqui nos propter res multo majores et æquiores vobis supplicamus. Nam illi quum prius alienam ditionem oppugnassent, vos rogarunt; nos patria nostra amissa: illi vos ad mortuorum sepulturam vocabant, nos ad reliquiarum conservationem. (55) Neque vero par ac simile est sepultura prohiberi mortuos et viventes patria fortunisque ceteris omnibus spoliari; sed illud quidem iis qui prohibent contumeliosius est, quam iis qui prohibentur; sed sine ullo receptu carentem patria singulis diebus affligi et suis opem adeo ferre non posse, ut cura de eis abjicienda sit, quorsum dicere attinet, quanto sit aliis calamitatibus acerbius?

56. Quapropter vobis universis supplicamus, ut nobis nostrum agrum et urbem restituatis; ac seniores commonefacimus ut cogitent quam miserabile sit hac ætate calamitosum conspici et quotidiani victus penuria laborantem; adolescentes oramus et obtestamur ut æquales suos juvent, neve eos despiciant, quum plura mala quam diximus tulerint. (57) Debetis autem nobis soli Græcorum hanc veluti stipem, quibus patria eversa opitulemini. Etenim majores nostros aiunt, quum vestri patres bello Persico hac terra excessissent, solos ex his qui extra Peloponnesum habitant societate periculorum adita conservandæ civitatis adjutores fuisse. Itaque jure nobis idem beneficium reddetis, quod priores in vos contulimus. (58) Quodsi vobis decretum esset corpora nostra omnino negligere, tamen a vestra virtute alienum fuerit committere ut ea regio vasta et inculta jaceret, in qua clarissima vestræ virtutis, ac cetérorum qui illi prælio interfuere, monumenta sint relicta. (59) Nam reliqua tropæa ab alia civitate contra aliam sunt erecta; illa pro tota Græcia contra totius Asiæ potentiam sunt constituta. Quæ quidem Thebani jure aboleverint, quibus illorum operum memoria contumeliosa est; vobis autem conservanda sunt, quod illa facinora vos Græciæ duces effecerunt. (60) Neque vero deorum atque heroum qui locum illum tenent, obliviscendum est, cavendumque ne illorum honores intercidant, quibus vos quum litassetis, id periculum subiistis, quo et hos et ceteros Græcos omnes in libertatem vindicastis. Est etiam majorum quædam habenda ratio, neque pietatis in illos officia sunt prorsus negligenda, (61) qui quo animo essent (si modo defuncti aliquid rerum nostrarum intelligunt) si animadverterent vobis rerum potientibus eos qui barbaris servire voluerunt, aliorum dominos

τῆς ἐλευθερίας συναγωνισαμένους μόνους τῶν Ἑλλήνων ἀναστάτους γεγενημένους, καὶ τοὺς μὲν τῶν συγκινδυνευ- c σάντων τάφους μὴ τυγχάνοντας τῶν νομιζομένων σπάνει τῶν ἐποισόντων, Θηβαίους δὲ τοὺς τἀναντία παραταξαμένους κρατοῦντας τῆς χώρας ἐκείνης; (62) ἐνθυμεῖσθε δ' ὅτι Λακεδαιμονίων μεγίστην ἐποιεῖσθε κατηγορίαν, ὅτι Θηβαίοις χαριζόμενοι, τοῖς τῶν Ἑλλήνων προδόταις, ἡμᾶς τοὺς εὐεργέτας διέφθειραν. Μὴ τοίνυν ἐάσητε ταύτας τὰς βλασφημίας περὶ τὴν ὑμετέραν γενέσθαι πόλιν, μηδὲ τὴν ὕβριν τὴν τούτων ἀντὶ τῆς d παρούσης ἕλησθε δόξης.

63. Πολλῶν δ' ἐνόντων εἰπεῖν ἐξ ὧν ἄν τις ὑμᾶς ἐπαγάγοιτο μᾶλλον φροντίσαι τῆς ἡμετέρας σωτηρίας, οὐ δύναμαι πάντα περιλαβεῖν, ἀλλ' αὐτοὺς χρὴ καὶ τὰ παραλελειμμένα συνιδόντας καὶ μνησθέντας μάλιστα μὲν τῶν ὅρκων καὶ τῶν συνθηκῶν, ἔπειτα δὲ καὶ τῆς ἡμετέρας εὐνοίας καὶ τῆς τούτων ἔχθρας, ψηφίσασθαι τὰ δίκαια περὶ ἡμῶν.

esse factos; nos vero, qui in prœlio pro tuenda liberta e facto strenuam operam navavimus soli e Græcis omnibus, esse vastatos, et virorum pro patria pugnantium monumentis justa non persolvi propterea quod nulli adsint qui id faciant, sed Thebanos, qui ab hostibus steterunt, eam regionem tenere? (62) Illud etiam recordamini, Lacedæmonios a vobis acerrime ob hoc fuisse accusatos, quod Thebanis, Græcorum proditoribus, gratificantes nos bene meritos perdidissent. Ne igitur admittatis ut hæc convicia in vestram urbem retorqueantur, neque istorum libidinem existimationi vestræ præferatis.

63. Etsi autem multa dici possunt quibus ad curam nostræ salutis excitemini, tamen non possum complecti omnia. Quamobrem vos decet tum prætermissa perspicere, tum vero jurisjurandi et fœderum, deinde etiam nostræ benevolentiæ et inimicitiarum, quæ cum istis sunt, recordatos ita statuere de nobis, ut jus et æquum postulabit.

15.

ΠΕΡΙ ΑΝΤΙΔΟΣΕΩΣ.

310 Εἰ μὲν ὅμοιος ἦν ὁ λόγος ὁ μέλλων ἀναγνωσθήσεσθαι a τοῖς ἢ πρὸς τοὺς ἀγῶνας ἢ πρὸς τὰς ἐπιδείξεις γιγνομένοις, οὐδὲν ἂν οἶμαι προδιαλεχθῆναι περὶ αὐτοῦ· νῦν δὲ διὰ τὴν καινότητα καὶ τὴν διαφορὰν ἀναγκαῖόν ἐστι προειπεῖν τὰς αἰτίας, δι' ἃς οὕτως ἀνόμοιον αὐτὸν ὄντα τοῖς ἄλλοις γράφειν προειλόμην· μὴ γὰρ τούτων δηλωθεισῶν πολλοῖς ἂν ἴσως ἄτοπος εἶναι δόξειεν. (2) Ἐγὼ b γὰρ εἰδὼς ἐνίους τῶν σοφιστῶν βλασφημοῦντας περὶ τῆς ἐμῆς διατριβῆς, καὶ λέγοντας ὡς ἔστι περὶ δικογραφίαν, καὶ παραπλήσιον ποιοῦντας ὥσπερ ἂν εἴ τις Φειδίαν τὸν τὸ τῆς Ἀθηνᾶς ἕδος ἐργασάμενον τολμῴη καλεῖν κοροπλάθον, ἢ Ζεῦξιν καὶ Παρράσιον τὴν αὐτὴν ἔχειν φαίη τέχνην τοῖς τὰ πινάκια γράφουσιν, ὅμως οὐδὲ πώποτε τὴν μικρολογίαν ταύτην ἠμυνάμην αὐτῶν, (3) ἡγούμενος τὰς μὲν ἐκείνων φλυαρίας οὐδεμίαν δύναμιν c ἔχειν, αὐτὸς δὲ πᾶσι τοῦτο πεποιηκέναι φανερόν, ὅτι προῄρημαι καὶ λέγειν καὶ γράφειν οὐ περὶ τῶν ἰδίων συμβολαίων, ἀλλ' ὑπὲρ τηλικούτων τὸ μέγεθος καὶ τοιούτων πραγμάτων, ὑπὲρ ὧν οὐδεὶς ἂν ἄλλος ἐπιχειρήσειε, πλὴν τῶν ἐμοὶ πεπλησιακότων ἢ τῶν τούτους μιμεῖσθαι βουλομένων. (4) Μέχρι μὲν οὖν πόρρω τῆς ἡλικίας ᾤόμην καὶ διὰ τὴν προαίρεσιν ταύτην καὶ διὰ d τὴν ἄλλην ἀπραγμοσύνην ἐπιεικῶς ἔχειν πρὸς ἅπαντας τοὺς ἰδιώτας· ἤδη δ' ὑπογύου μοι τῆς τοῦ βίου τελευτῆς οὔσης, ἀντιδόσεως γενομένης περὶ τριηραρχίας
311 καὶ περὶ ταύτης ἀγῶνος ἔγνων καὶ τούτων τινὰς οὐχ a οὕτω πρός με διακειμένους ὥσπερ ἤλπιζον, ἀλλὰ τοὺς μὲν πολὺ διεψευσμένους τῶν ἐμῶν ἐπιτηδευμάτων καὶ ῥέποντας ἐπὶ τὸ πείθεσθαι τοῖς ἀνεπιτήδειόν τι λέγουσι, τοὺς δὲ σαφῶς μὲν εἰδότας περὶ ἃ τυγχάνω διατρίβων, φθονοῦντας δὲ καὶ ταὐτὸν πεπονθότας τοῖς σοφισταῖς καὶ χαίροντας ἐπὶ τοῖς ψευδῆ περί μου δόξαν ἔχουσιν. (5)

15.

ORATIO DE PERMUTATIONE.

Si hæc quæ jam legetur oratio, similis esset iis quæ vel ad forenses controversias vel ad ostentationem scribuntur, nihil fuisse puto me de ea præfatum. Nunc propter novitatem et discrimen necesse est causas prius exponere, cur eam aliis ita dissimilem scribere instituerim. His enim non indicatis, absurda multis fortasse videretur. (2) Ego quum scirem quosdam sophistas mea studia calumniari ac dicere me forenses orationes scribere solere, in quo perinde faciunt ac si quis Phidiam, qui Minervæ simulacrum fecit, puparum fictorem appellare auderet, aut Zeuxidis et Parrhasii eandem esse artem diceret, quæ illorum est qui tabellas pingunt : nunquam tamen illam mei extenuationem ultus sum, (3) quod existimabam nugas illorum nullam vim habere et constare inter omnes me et scribere et dicere instituisse non de privatis negotiis, sed de talibus et tantis rebus, de quibus nemo alius quicquam conetur præter eos qui vel me doctore usi sunt vel hos imitari voluerunt. (4) Longo igitur tempore ætatis meæ putabam tum ob institutum hoc, tum ob perpetuum quietis studium omnes indoctos homines æquos me habere. Nunc quum vitæ finis prope mihi instat, facultatum permutatione ob triremium instruendarum munus facta, eaque de re judicio conflato, etiam illorum quosdam non sic erga me affectos esse animadverti, ut speraveram, sed alios de vitæ meæ ratione falsissima persuasione imbutos eo inclinare, ut iis auscultent, qui absurdi aliquid de me dicunt, alios, quum satis sciant, quibus in rebus verser, invidere mihi non minus quam sophistas et delectari iis qui falsam de me habent opinionem. (5) Atque hanc mentem suam esse declararunt :

Ἐδήλωσαν δ' οὕτω διακείμενοι· τοῦ γὰρ ἀντιδίκου περὶ μὲν ὧν ἡ κρίσις ἦν οὐδὲν λέγοντος δίκαιον, διαβάλ- b λοντος δὲ τὴν τῶν λόγων τῶν ἐμῶν δύναμιν καὶ καταλαζονευομένου περί τε τοῦ πλούτου καὶ τοῦ πλήθους τῶν μαθητῶν, ἔγνωσαν ἐμὴν εἶναι τὴν λειτουργίαν. Τὴν μὲν οὖν δαπάνην οὕτως ἤνεγκα μέν, ὥσπερ προσήκει τοὺς μήτε λίαν ὑπὸ τῶν τοιούτων ἐκταραττομένους μήτε παντάπασιν ἀσώτως μηδ' ὀλιγώρως πρὸς χρήματα διακειμένους· (6) ᾐσθημένος δ' ὥσπερ εἶπον πλείους c ὄντας ὧν ᾤμην τοὺς οὐκ ὀρθῶς περί μου γιγνώσκοντας, ἐνεθυμούμην πῶς ἂν δηλώσαιμι καὶ τούτοις καὶ τοῖς ἐπιγιγνομένοις καὶ τὸν τρόπον ὃν ἔχω καὶ τὸν βίον ὃν ζῶ καὶ τὴν παιδείαν περὶ ἣν διατρίβω, καὶ μὴ περιίδοιμι περὶ τῶν τοιούτων ἄκριτον ἐμαυτὸν ὄντα, μηδ' ἐπὶ τοῖς βλασφημεῖν εἰθισμένοις ὥσπερ νῦν γενόμενον. (7) Σκοπούμενος οὖν εὕρισκον οὐδαμῶς ἂν ἄλλως τοῦτο d διαπραξόμενος, πλὴν εἰ γραφείη λόγος ὥσπερ εἰκὼν τῆς ἐμῆς διανοίας καὶ τῶν ἄλλων τῶν ἐμοὶ βεβιωμένων· διὰ τούτου γὰρ ἤλπιζον καὶ τὰ περὶ ἐμὲ μάλιστα γνωσθήσεσθαι, καὶ τὸν αὐτὸν τοῦτον μνημεῖόν μου καταλειφθήσεσθαι πολὺ κάλλιον τῶν χαλκῶν ἀναθημάτων. (8) Εἰ μὲν οὖν ἐπαινεῖν ἐμαυτὸν ἐπιχειροίην, ἑώρων οὔτε περιλαβεῖν ἅπαντα περὶ ὧν διελθεῖν προῃρούμην οἷός τε γενησόμενος, οὔτ' ἐπιχαρίτως οὐδ' ἀνεπιφθόνως εἰπεῖν e περὶ αὐτῶν δυνησόμενος· εἰ δ' ὑποθείμην ἀγῶνα μὲν καὶ κίνδυνόν τινα περὶ ἐμὲ γιγνόμενον, συκοφάντην δ' ὄντα τὸν γεγραμμένον καὶ τὸν πράγματά μοι παρέχοντα, κἀκεῖνον μὲν ταῖς διαβολαῖς χρώμενον ταῖς ἐπὶ τῆς ἀντιδόσεως ῥηθείσαις, ἐμαυτὸν δ' ἐν ἀπολογίας σχή- 312 ματι τοὺς λόγους ποιούμενον, οὕτως ἂν ἐγγενέσθαι μοι a μάλιστα διαλεχθῆναι περὶ ἁπάντων ὧν τυγχάνω βουλόμενος. (9) Ταῦτα δὲ διανοηθεὶς ἔγραφον τὸν λόγον τοῦτον, οὐκ ἀκμάζων, ἀλλ' ἔτη γεγονὼς δύο καὶ ὀγδοήκοντα. Διόπερ χρὴ συγγνώμην ἔχειν, ἢν μαλακώτερος ὧν φαίνηται τῶν παρ' ἐμοῦ πρότερον ἐκδεδομένων. Καὶ γὰρ οὐδὲ ῥᾴδιος ἦν οὐδ' ἁπλοῦς, ἀλλὰ πολλὴν ἔχων πραγματείαν. (10) Ἔστι γὰρ τῶν γεγραμμένων ἔνια μὲν ἐν δικαστηρίῳ πρέποντα ῥηθῆναι, τὰ δὲ πρὸς μὲν τοὺς τοιούτους ἀγῶνας οὐχ ἁρμόττοντα, περὶ δὲ φιλο- b σοφίας πεπαρρησιασμένα καὶ δεδηλωκότα τὴν δύναμιν αὐτῆς· ἔστι δέ τι καὶ τοιοῦτον ὃ τῶν νεωτέρων τοῖς ἐπὶ τὰ μαθήματα καὶ τὴν παιδείαν ὁρμῶσιν ἀκούσασιν ἂν συνενέγκοι, πολλὰ δὲ καὶ τῶν ὑπ' ἐμοῦ πάλαι γεγραμμένων ἐγκαταμεμιγμένα τοῖς νῦν λεγομένοις οὐκ ἀλόγως οὐδ' ἀκαίρως, ἀλλὰ προσηκόντως τοῖς ὑποκειμένοις. (11) Τοσοῦτον οὖν μῆκος λόγου συνιδεῖν, καὶ τοσαύτας ἰδέας c καὶ τοσοῦτον ἀλλήλων ἀφεστώσας συναρμόσαι καὶ συναγαγεῖν, καὶ τὰς ἐπιφερομένας οἰκειῶσαι ταῖς προειρημέναις, καὶ πάσας ποιῆσαι σφίσιν αὐταῖς ὁμολογουμένας, οὐ πάνυ μικρὸν ἦν ἔργον. Ὅμως δ' οὐκ ἀπέστην, καίπερ τηλικοῦτος ὤν, πρὶν αὐτὸν ἀπετέλεσα, μετὰ πολλῆς μὲν ἀληθείας εἰρημένον, τὰ δ' ἄλλα τοιοῦτον οἷος ἂν εἶναι δόξῃ τοῖς ἀκροωμένοις. (12) Χρὴ δὲ τοὺς διεξιόντας αὐτὸν πρῶτον μὲν ὡς ὄντος μικτοῦ τοῦ λόγου d

nam quum adversarius de ipsa causa nihil æqui diceret, sed et eloquentiæ meæ vim calumniaretur et in multitudinem discipulorum et opulentiam insolenter inveheretur; munus illud mihi obeundum esse judicarunt. Ac sumptus quidem ita tulimus, ut eos decet, qui neque rebus hujusmodi nimis percelluntur, neque pecunias negligenter ac temere abjiciendas censent. (6) Quum vero, ut dixi, plures esse sensissem, qui prave de me judicarent, cogitabam qua ratione et illis et posteris ostenderem, tum qui mei mores essent, tum qualem vitam degerem, tum in quo doctrinæ genere versarer: ne sic velut indicta causa me damnari talium criminum sinerem, nec (ut modo factum) in maledicorum potestate essem. (7) Quæ quum animo agitarem, me non alia ratione id assecuturum animadverti, quam si oratio tanquam imago animi mei et totius vitæ meæ scriberetur. Per eam enim spes erat meas rationes maxime cognitum iri, eandemque mihi fore monumentum multo pulchrius dedicatis æreis tabulis. (8) Ac si me quidem laudare vellem, sentiebam nec omnia me complecti posse quæ decrevissem, nec cum gratia de iis et sine invidia posse dicere: si autem me in judicium esse vocatum et in discrimen adductum ponerem, et qui mihi dicam impegisset ac negotium facesseret, esse calumniatorem, qui quidem iis criminationibus uteretur, quas in judicio permutationis attulisset, me autem verba facere per speciem defensionis; sic mihi demum præclaram occasionem datum iri de rebus omnibus arbitratu meo disserendi. (9) Hæc igitur animo agitans hanc orationem scripsi, non florente ætate, sed natus annos duos et octoginta. Quapropter venia danda erit, si prius a me editis mollior esse videbitur. Nec enim facilis fuit neque simplex, sed multum laboris variamque tractationem postulavit. (10) Nam quæ hic scripta sunt, partim in judiciis dici commode queunt, partim ad talia certamina non quadrant, sed de philosophia libere dicta vim ejus ostendunt. Est etiam tale aliquid, quod adolescentibus disciplinarum et eruditionis cupidis audivisse conducat. Multa quoque olim a me scripta inserta sunt his quæ nunc dicuntur, non temere nec intempestive, sed instituto meo convenienter. (11) Tantam igitur orationis prolixitatem contueri et tot formas adeoque inter se distantes conjungere et componere, et sequentes antegressis adaptare atque efficere ut inter se universæ consentirent, non parvi omnino laboris fuit. Tamen non destiti, quanquam adeo natu grandis, priusquam eam absolvissem, verissimam illam omnino quidem, sed cetera talem, qualis videbitur audientibus. (12) Oportebit autem etiam illos qui eam legent aut recitabunt, primum quasi mixta sit oratio et ad hæc argumenta

καὶ πρὸς ἁπάσας τὰς ὑποθέσεις ταύτας γεγραμμένου ποιεῖσθαι τὴν ἀκρόασιν, ἔπειτα προσέχειν τὸν νοῦν ἔτι μᾶλλον τοῖς λέγεσθαι μέλλουσιν ἢ τοῖς ἤδη προειρημένοις, πρὸς δὲ τούτοις μὴ ζητεῖν εὐθὺς ἐπελθόντας ὅλον αὐτὸν διελθεῖν, ἀλλὰ τοσοῦτον μέρος ὅσον μὴ λυπήσει τοὺς παρόντας. Ἐὰν γὰρ ἐμμείνητε τούτοις, μᾶλλον δυνήσεσθε κατιδεῖν εἴ τι τυγχάνομεν λέγοντες ἄξιον ἡμῶν αὐτῶν. (13) Ἃ μὲν οὖν ἀναγκαῖον ἦν προειπεῖν, ταῦτ' ἐστίν· ἤδη δ' ἀναγιγνώσκετε τὴν ἀπολογίαν τὴν e προσποιουμένην μὲν περὶ κρίσεως γεγράφθαι, βουλομένην δὲ περὶ ἐμοῦ δηλῶσαι τὴν ἀλήθειαν, καὶ τοὺς μὲν ἀγνοοῦντας εἰδέναι ποιῆσαι, τοὺς δὲ φθονοῦντας ἔτι μᾶλ- 313 λον ὑπὸ τῆς νόσου ταύτης λυπεῖσθαι· μείζω γὰρ δίκην a οὐκ ἂν δυναίμην λαβεῖν παρ' αὐτῶν.

14. Πάντων ἡγοῦμαι πονηροτάτους εἶναι καὶ μεγίστης ζημίας ἀξίους, οἵτινες οἷς αὐτοὶ τυγχάνουσιν ὄντες ἔνοχοι, ταῦτα τῶν ἄλλων τολμῶσι κατηγορεῖν· ὅπερ Λυσίμαχος πεποίηκεν. Οὗτος γὰρ αὐτὸς συγγεγραμμένα λέγων περὶ τῶν ἐμῶν συγγραμμάτων πλείω πεποίηται λόγον ἢ περὶ τῶν ἄλλων ἁπάντων, ὅμοιον ἐργαζόμενος ὥσπερ ἂν εἴ τις ἱεροσυλίας ἕτερον διώκων αὐτὸς τὰ τῶν θεῶν ἐν τοῖν χεροῖν ἔχων φανείη. (15) Πρὸ b πολλοῦ δ' ἂν ἐποιησάμην οὕτως αὐτὸν νομίζειν εἶναί με δεινόν, ὥσπερ ἐν ὑμῖν εἴρηκεν· οὐ γὰρ ἄν ποτέ μοι πράγματα ποιεῖν ἐπεχείρησε. Νῦν δὲ λέγει μὲν ὡς ἐγὼ τοὺς ἥττους λόγους κρείττους δύναμαι ποιεῖν, τοσοῦτον δέ μου καταπεφρόνηκεν, ὥστ' αὐτὸς ψευδόμενος ἐμοῦ τἀληθῆ λέγοντος ἐλπίζει ῥᾳδίως ἐπικρατήσειν. (16) Οὕτω δέ μοι δυσκόλως ἅπαντα συμβέβηκεν, ὥσθ' οἱ c μὲν ἄλλοι τοῖς λόγοις διαλύονται τὰς διαβολάς, ἐμοῦ δὲ Λυσίμαχος αὐτοὺς τοὺς λόγους μάλιστα διαβέβληκεν, ἵν' ἢν μὲν ἱκανῶς δόξω λέγειν, ἔνοχος ὢν φανῶ τοῖς ὑπὸ τούτου περὶ τῆς δεινότητος τῆς ἐμῆς προειρημένοις, ἢν δ' ἐνδεέστερον τύχω διαλεχθεὶς ὧν οὗτος ὑμᾶς προσδοκᾶν πεποίηκε, τὰς πράξεις ἡγῆσθέ μου χείρους εἶναι. (17) Δέομαι οὖν ὑμῶν μήτε πιστεύειν πω μήτ' ἀπιστεῖν τοῖς εἰρημένοις, πρὶν ἂν διὰ τέλους ἀκούσητε d καὶ τὰ παρ' ἡμῶν, ἐνθυμουμένους ὅτι οὐδὲν ἂν ἔδει δίδοσθαι τοῖς φεύγουσιν ἀπολογίαν, εἴπερ οἷόντ' ἦν ἐκ τῶν τοῦ διώκοντος λόγων ἐψηφίσθαι τὰ δίκαια. Νῦν δ' εἰ μὲν εὖ τυγχάνει κατηγορηκὼς ἢ κακῶς, οὐδεὶς ἂν τῶν παρόντων ἀγνοήσειεν· εἰ δ' ἀληθέσι κέχρηται τοῖς λόγοις, οὐκέτι τοῦτο τοῖς κρίνουσι γνῶναι ῥᾴδιον ἐξ ὧν ὁ πρότερος εἴρηκεν, ἀλλ' ἀγαπητὸν ἦν ἐξ ἀμφοτέρων τῶν λόγων ἐκλαβεῖν δυνηθῶσι τὸ δίκαιον. (18) Οὐ θαυ- e μάζω δὲ τῶν πλείω χρόνον διατριβόντων ἐπὶ ταῖς τῶν ἐξαπατώντων κατηγορίαις ἢ ταῖς ὑπὲρ αὐτῶν ἀπολογίαις, οὐδὲ τῶν λεγόντων ὡς ἔστι μέγιστον κακὸν δια- a 314 βολή· τί γὰρ ἂν γένοιτο ταύτης κακουργότερον, ἣ ποιεῖ τοὺς μὲν ψευδομένους εὐδοκιμεῖν, τοὺς δὲ μηδὲν ἡμαρτηκότας δοκεῖν ἀδικεῖν, τοὺς δὲ δικάζοντας ἐπιορκεῖν, ὅλως δὲ τὴν μὲν ἀλήθειαν ἀφανίζει, ψευδῆ δὲ δόξαν παραστήσασα τοῖς ἀκούουσιν ὃν ἂν τύχῃ τῶν πολιτῶν ἀδίκως ἀπόλλυσιν; (19) ἃ φυλακτέον ἐστίν, ὅπως μη-

omnia accommodata, sic auscultare; deinde studiosius advertere quid dicendum restet, quam quid ante sit dictum; præterea non id agere, ut primo impetu totam perlegant, sed tantam ejus partem, quæ auditoribus molestiam non pariat. Nam his observatis rectius perspicietis an aliquid dixerimus nostra existimatione dignum. (13) Et hactenus quidem præfandum fuit. Nunc autem defensionem legite, quæ quidem fingitur de judicio esse scripta, sed id propositum habet, ut et veritatem de me ostendat, et ignorantes doceat, et id efficiat, ut qui nobis invideant, magis etiam eo morbo crucientur: gravius enim eis supplicium irrogare non possum.

14. Eos ego improbissimos omnium et maxima pœna dignos esse puto, qui de iis rebus alios accusare audent, quibus ipsi constricti tenentur: quod Lysimachus fecit. Qui quum ipse de scripto dicat, de meis scriptis plura verba fecit, quam ceteris de rebus omnibus, quod perinde est, ac si quis alium sacrilegii reum ageret, qui donaria deorum ipse in manibus haberet. (15) Vehementer autem vellem me ab eo tam eloquentem judicari, quam apud vos dixit. Nunquam enim negotium mihi facessere instituisset. Nunc me, quem causam inferiorem dicendo posse facere superiorem ait, usque adeo contemnit, ut ipse speret se mentientem vera dicente me facile fore superiorem. (16) Tantis equidem ab omni parte difficultatibus conflictor, ut, quum alii calumnias orationibus refutent, meas Lysimachus orationes maxime traduxerit, ut, si quidem satis fecisse causæ videar, in me hærere appareat eloquentiæ crimen ab eo mihi illatum; sin tenuius quam pro ea exspectatione, quam apud vos de me concitavit, disseruero, me causam deteriorem habere putetis. (17) Vos igitur oro, ut verbis adversarii fidem nec habeatis nec abrogetis, antequam defensionem quoque nostram totam audiveritis, cogitantes supervacaneum fuisse reis pro se dicendi potestatem dari, si ex accusatoris oratione recte ferri sententia potuisset. Nunc utrum bene me an male accusaverit, nemo qui adest ignorat; utrum autem vera dixerit, judicibus ex oratione prioris intelligere non ita promptum est, sed boni consulendum, si ex utriusque verbis veritatem elicere possint. (18) Neque vero eos ego miror, qui plus temporis consumunt in accusandis impostoribus, quam in semetipsis defendendis, neque illos etiam, qui dicunt summum malum esse calumniam. Quid enim ea fieri possit maleficentius? quæ facit ut de mentientibus bene existimetur, ut plane innocentes injurii esse videantur, ut judices pejerent, quæ denique veritatem exstinguit, et caligine mendaciorum auditoribus involutis quemvis civium per injuriam interimit? (19) Quare providendum est, ne vobis tale quid usuveniat, aut

δὲν ὑμῖν συμβήσεται τοιοῦτον, μηδ' ἃ τοῖς ἄλλοις ἂν ἐπιτιμήσαιτε, τούτοις αὐτοὶ φανήσεσθε περιπίπτοντες. Οἶμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι τῇ πόλει πολλάκις οὕτως ἤδη μετεμέλησε τῶν κρίσεων τῶν μετ' ὀργῆς καὶ b μὴ μετ' ἐλέγχου γενομένων, ὥστ' οὐ πολὺν χρόνον διαλιποῦσα παρὰ μὲν τῶν ἐξαπατησάντων δίκην λαβεῖν ἐπεθύμησε, τοὺς δὲ διαβληθέντας ἡδέως ἂν εἶδεν ἄμεινον ἢ πρότερον πράττοντας. (20) Ὧν χρὴ μεμνημένους μὴ προπετῶς πιστεύειν τοῖς τῶν κατηγόρων λόγοις, μηδὲ μετὰ θορύβου καὶ χαλεπότητος ἀκροᾶσθαι τῶν ἀπολογουμένων. Καὶ γὰρ αἰσχρὸν ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων ἐλεημονεστάτους ὁμολογεῖσθαι καὶ πρᾳοτάτους c ἁπάντων εἶναι τῶν Ἑλλήνων, ἐπὶ δὲ τοῖς ἀγῶσι τοῖς ἐνθάδε γιγνομένοις τἀναντία τῇ δόξῃ ταύτῃ φαίνεσθαι πράττοντας· (21) καὶ παρ' ἑτέροις μὲν ἐπειδὰν περὶ ψυχῆς ἀνθρώπου δικάζωσι, μέρος τι τῶν ψήφων ὑποβάλλεσθαι τοῖς φεύγουσι, παρ' ὑμῖν δὲ μηδὲ τῶν ἴσων τυγχάνειν τοὺς κινδυνεύοντας τοῖς συκοφαντοῦσιν, ἀλλ' ὀμνύναι μὲν καθ' ἕκαστον τὸν ἐνιαυτὸν ἦ μὴν ὁμοίως ἀκροάσεσθαι τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων, d (22) τοσοῦτον δὲ τὸ μεταξὺ ποιεῖν, ὥστε τῶν μὲν αἰτιωμένων ὅ τι ἂν λέγωσιν ἀποδέχεσθαι, τῶν δὲ τούτους ἐξελέγχειν πειρωμένων ἐνίοτε μηδὲ τὴν φωνὴν ἀκούοντας ἀνέχεσθαι, καὶ νομίζειν μὲν ἀοικήτους εἶναι ταύτας τῶν πόλεων ἐν αἷς ἄκριτοί τινες ἀπόλλυνται τῶν πολιτῶν, ἀγνοεῖν δ' ὅτι τοῦτο ποιοῦσιν οἱ μὴ κοινὴν e τὴν εὔνοιαν τοῖς ἀγωνιζομένοις παρέχοντες. (23) Ὃ δὲ πάντων δεινότατον, ὅταν τις αὐτὸς μὲν κινδυνεύων κατηγορῇ τῶν διαβαλλόντων, ἑτέρῳ δὲ δικάζων μὴ τὴν αὐτὴν ἔχῃ γνώμην περὶ αὐτῶν. Καίτοι χρὴ τοὺς νοῦν ἔχοντας τοιούτους εἶναι κριτὰς τοῖς ἄλλοις, οἵων περ ἂν αὐτοὶ τυγχάνειν ἀξιώσαιεν, λογιζομένους ὅτι διὰ τοὺς 315 συκοφαντεῖν τολμῶντας ἄδηλον ὅστις εἰς κίνδυνον καταστὰς a ἀναγκασθήσεται λέγειν ἅπερ ἐγὼ νῦν πρὸς τοὺς μέλλοντας περὶ ἐμαυτοῦ τὴν ψῆφον διοίσειν. (24) Οὐ γὰρ δὴ τῷ γε κοσμίως ζῆν ἄξιον πιστεύειν ὡς ἀδεῶς ἐξέσται τὴν πόλιν οἰκεῖν· οἱ γὰρ προῃρημένοι τῶν μὲν ἰδίων ἀμελεῖν, τοῖς δ' ἀλλοτρίοις ἐπιβουλεύειν, οὐ τῶν μὲν σωφρόνως πολιτευομένων ἀπέχονται, τοὺς δὲ κακόν τι δρῶντας εἰς ὑμᾶς εἰσάγουσιν, ἀλλ' ἐν τοῖς μηδὲν b ἀδικοῦσιν ἐπιδειξάμενοι τὰς αὑτῶν δυνάμεις, παρὰ τῶν φανερῶς ἐξημαρτηκότων πλέον λαμβάνουσιν ἀργύριον. (25) Ἅπερ Λυσίμαχος διανοηθεὶς εἰς τουτονὶ τὸν κίνδυνόν με κατέστησεν, ἡγούμενος τὸν ἀγῶνα τὸν πρὸς ἐμὲ παρ' ἑτέρων αὐτῷ χρηματισμὸν ποιήσειν, καὶ προσδοκῶν, ἢν ἐμοῦ περιγένηται τοῖς λόγοις, ὅν φησι διδάσκαλον εἶναι τῶν ἄλλων, ἀνυπόστατον τὴν αὑτοῦ δύναμιν ἅπασιν εἶναι δόξειν. (26) Ἐλπίζει δὲ ῥᾳδίως τοῦτο ποιήσειν· ὁρᾷ γὰρ ὑμᾶς μὲν λίαν ταχέως ἀποδεχομένους c τὰς αἰτίας καὶ τὰς διαβολάς, ἐμὲ δ' ὑπὲρ αὐτῶν οὐ δυνησόμενον ἀξίως τῆς δόξης ἀπολογήσασθαι καὶ διὰ τὸ γῆρας καὶ διὰ τὴν ἀπειρίαν τῶν τοιούτων ἀγώνων. (27) Οὕτω γὰρ βεβίωκα τὸν παρελθόντα χρόνον, ὥστε μηδένα μοι πώποτε μήτ' ἐν ὀλιγαρχίᾳ μήτ' ἐν δημο-

ipsi ea committatis, quæ ab aliis facta reprehenderitis. Arbitror autem vos non ignorare nostram urbem sæpe pœnituisse judiciorum quæ per iracundiam potius quam re examinata facta sunt, adeo ut paullo post et impostores punire desiderarit et calumniis oppressos rebus uti secundioribus quam prius optarit. (20) Hæc igitur tenenda sunt, ne verbis accusatorum temere credatis, neque cum tumultu et sævitia reorum excusationibus adversemini. Neque enim decet ut qui aliis in rebus clementiæ nomine præ Græcis omnibus prædicamini, in his judiciis ea videamini facere, quæ isti sint opinioni contraria; (21) et quum alibi moris sit calculorum partem in judiciis capitalibus reis addi, apud vos eos qui in periculum adducti sunt, deteriore etiam esse conditione quam calumniatores; et quum quotannis juretis vos eadem æquitate audituros tam reos quam accusatores, (22) tam longe ab æquabilitate illa recedere, ut quicquid delatores crimini dederint, approbetis; qui vero illos coarguere conentur, eorum aliquando ne vocem quidem toleretis, et quum in iis urbibus habitandum esse non putetis, in quibus indicta causa civium aliqui perimantur, istuc ipsum ab iis fieri ignoretis, qui non eandem reis benevolentiam præstant. (23) Jam illud omnium iniquissimum est, si quis ipse in judicium adductus fuerit, calumniatores accusandos esse censere; quum vero alteri jus dicit, in eadem sententia non permanere. Enimvero sapientis est judicis talem erga alios se præbere, quales in se alios esse velit, quum præsertim in tanta sycophantarum audacia metuendum sit omnibus, ne in idem periculum vocati eadem, quæ ego nunc apud eos qui de me suffragia laturi sint, dicere cogantur. (24) Nec enim vitæ moderatione atque innocentia sua quisquam ita fretus esse debet, ut sibi persuadeat se propterea sine ullius incommodi metu vitam in urbe acturum. Quibus enim et sua negligere et alienis insidiari deliberatum est, non illi quidem civibus modestis parcunt, facinorosos autem ad vos adducunt; sed experti vires suas in innocentibus, ab iis quorum scelera palam sunt, plus argenti extorquent. (25) Quo eodem animo Lysimachus mihi periculum creavit, quum existimaret hoc contra me judicium ab aliis sibi vectigal pariturum, et si me vicisset eloquentia, quem ceterorum magistrum vocat, neminem fore persuasum haberet, qui vim ipsius sustineri posse confideret. (26) Idque se facile confecturum sperat, qui et vos præpropere nimium criminationes atque calumnias approbare videat, et me non ita, ut existimatio mea postulet, easdem posse refutare quum ob senectutem, tum propter imperitiam istiusmodi actionum. (27) Sic enim vixi hactenus, ut nemo unquam vel in oligarchia vel in democratia me ullius vel contumeliæ vel injuriæ accusa-

κρατίᾳ μήθ' ὕβριν μήτ' ἀδικίαν ἐγκαλέσαι, μηδ' εἶναι μήτε διαιτητὴν μήτε δικαστὴν ὅστις περὶ τῶν ἐμοὶ d πεπραγμένων φανήσεται κριτὴς γεγενημένος· ἠπιστάμην γὰρ αὐτὸς μὲν εἰς τοὺς ἄλλους μηδὲν ἐξαμαρτάνειν, ἀδικούμενος δὲ μὴ μετὰ δικαστηρίου ποιεῖσθαι τὰς τιμωρίας, ἀλλ' ἐν τοῖς φίλοις τοῖς ἐκείνων διαλύεσθαι περὶ τῶν ἀμφισβητουμένων. (28) Ὧν οὐδέν μοι πλέον γέγονεν, ἀλλ' ἀνεγκλητεὶ μέχρι ταυτησὶ τῆς ἡλικίας βεβιωκὼς εἰς τὸν αὐτὸν καθέστηκα κίνδυνον, εἰς ὅνπερ ἂν εἰ πάντας ἐτύγχανον ἠδικηκώς. Οὐ μὴν παντάπασιν e ἀθυμῶ διὰ τὸ μέγεθος τοῦ τιμήματος, ἀλλ' ἐάν περ ἐθελήσητε μετ' εὐνοίας ἀκροάσασθαι, πολλὰς ἐλπίδας 316 ἔχω τοὺς μὲν διεψευσμένους τῶν ἐμῶν ἐπιτηδευμάτων a καὶ πεπεισμένους ὑπὸ τῶν βουλομένων βλασφημεῖν ταχέως μεταπεισθήσεσθαι περὶ αὐτῶν, τοὺς δὲ τοιοῦτον εἶναί με νομίζοντας οἷός περ εἰμί, βεβαιότερον ἔτι ταύτην ἕξειν τὴν διάνοιαν. (29) Ἵνα δὲ μὴ λίαν ἐνοχλῶ πολλὰ πρὸ τοῦ πράγματος λέγων, ἀφέμενος τούτων, περὶ ὧν οἴσετε τὴν ψῆφον, ἤδη πειράσομαι διδάσκειν ὑμᾶς. Καί μοι ἀνάγνωθι τὴν γραφήν. b

rit, neque judex neque arbiter fuerit, qui de meis actionibus unquam quicquam pronunciarit. Nam hæ meæ artes fuerunt, ut ne quid ipse erga quenquam delinquerem; mihi vero si qua facta esset injuria, ut non judicio me de inimicis vindicarem, sed controversias eorum amicis dirimendas permitterem. (28) Quorum nihil mihi profuit; sed quum vitam ad hanc usque ætatem sine ullius querela produxerim, in eodem periculo versor, ac si omnes offendissem. Non tamen prorsus abjeci animum ob mulctæ magnitudinem, sed si cum benevolentia me audire volueritis, magnam spem habeo fore ut ii, qui de meæ vitæ ratione falso existimant, et eo inclinant ut assentiantur illis qui de me parum candide loquantur, quam primum de ea opinione deducantur: qui vero me, qualis sum, talem etiam esse putant, in ea sententia confirmentur. (29) Ne vero vobis molestiæ sim, dum multa ante rem dico, his omissis ea vos jam docere conabor, de quibus suffragia inituri estis. Proinde accusationem mihi lege.

ΓΡΑΦΗ.

30. Ἐκ μὲν τοίνυν τῆς γραφῆς πειρᾶταί με διαβάλλειν ὁ κατήγορος ὡς διαφθείρω τοὺς νεωτέρους λέγειν διδάσκων καὶ παρὰ τὸ δίκαιον ἐν τοῖς ἀγῶσι πλεονεκτεῖν, ἐκ δὲ τῶν ἄλλων λόγων ποιεῖ με τηλικοῦτον, ὅσος οὐδεὶς πώποτε γέγονεν οὔτε τῶν περὶ τὰ δικαστήρια καλινδουμένων οὔτε τῶν περὶ τὴν φιλοσοφίαν διατριψάντων· οὐ γὰρ μόνον ἰδιώτας φησί μου γεγενῆσθαι c μαθητάς, ἀλλὰ καὶ ῥήτορας καὶ στρατηγοὺς καὶ βασιλέας καὶ τυράννους, καὶ χρήματα παρ' αὐτῶν παμπληθῆ τὰ μὲν εἰληφέναι, τὰ δ' ἔτι καὶ νῦν λαμβάνειν. (31) Τοῦτον δὲ τὸν τρόπον πεποίηται τὴν κατηγορίαν, ἡγούμενος ἐκ μὲν ὧν καταλαζονεύεταί περί μου καὶ τοῦ πλούτου καὶ τοῦ πλήθους τῶν μαθητῶν φθόνον ἅπασι τοῖς ἀκούουσιν ἐμποιήσειν, ἐκ δὲ τῆς περὶ τὰ δικαστήρια πραγματείας εἰς ὀργὴν καὶ μῖσος ὑμᾶς καταστήσειν· d ἅπερ ὅταν πάθωσιν οἱ κρίνοντες, χαλεπώτατοι τοῖς ἀγωνιζομένοις εἰσίν. Ὡς οὖν τὰ μὲν μείζω τοῦ προσήκοντος εἴρηκε, τὰ δ' ὅλως ψεύδεται, ῥᾳδίως οἶμαι φανερὸν ποιήσειν. (32) Ἀξιῶ δ' ὑμᾶς τοῖς μὲν λόγοις οἷς πρότερον ἀκηκόατε περί μου τῶν βλασφημεῖν καὶ διαβάλλειν βουλομένων μὴ προσέχειν τὸν νοῦν, μηδὲ πιστεύειν τοῖς μήτε μετ' ἐλέγχου μήτε μετὰ e κρίσεως εἰρημένοις, μηδὲ ταῖς δόξαις χρῆσθαι ταῖς ἀδίκως ὑπ' ἐκείνων ὑμῖν ἐγγεγενημέναις, ἀλλ' ὁποῖός τις ἂν ἐκ τῆς κατηγορίας τῆς νῦν καὶ τῆς ἀπολογίας φαίνωμαι, τοιοῦτον εἶναί με νομίζειν· οὕτω γὰρ 317 γιγνώσκοντες αὐτοί τε δόξετε καλῶς κρίνειν καὶ νομίμως, a ἐγώ τε τεύξομαι πάντων τῶν δικαίων. (33) Ὅτι μὲν οὖν οὐδεὶς οὔθ' ὑπὸ τῆς δεινότητος τῆς ἐμῆς οὔθ' ὑπὸ τῶν συγγραμμάτων βέβλαπται τῶν πολιτῶν, τὸν ἐνεστῶτα κίνδυνον ἡγοῦμαι μέγιστον εἶναι τεκμήριον. Εἰ γάρ τις ἦν ἠδικημένος, εἰ καὶ τὸν ἄλλον χρόνον ἡσυ-

ACCUSATIO.

30. Adversarius igitur accusatione ista me in odium conatur adducere, quod corrumpam adolescentes præceptis eloquentiæ tradendis, quibus instructi contra jus et æquum victoriam in judiciis adipiscantur; ceteris autem verbis suis tantum me facit, quantus nemo unquam fuit, neque causidicus in judicum subselliis versatissimus, neque in otio philosophiæ deditissimus. Nec enim privatos solum homines mihi fuisse discipulos ait, sed et oratores et duces et reges et tyrannos, a quibus magnam pecuniæ vim partim acceperim, partim nunc etiam accipiam. (31) Hoc autem modo actionem instituit, quod existimabat ista de me atque opibus et multitudine discipulorum jactitando se mihi apud omnes auditores invidiam conflaturum; judiciorum autem tractatione interserenda vestram iracundiam et odium contra me concitaturum: quibus affectibus judices perturbati reis iniquiores fiunt. Sed ego eum quædam immodice exaggerasse, quædam prorsus ementitum esse facile me probaturum confido. (32) Peto autem a vobis, ne verbis maledicorum et calumniatorum, quæ de me prius audivistis, auscultetis, neve ea credatis, quæ sine ulla probatione, sine judicio dicta fuerint, aut iis opinionibus, in quas illi vos per injuriam adduxerunt, insistatis, sed qualis esse vobis ex hac accusatione et defensione visus ero, ita de me statuatis. Nam hoc pacto decernentes et ipsi recte ac secundum leges judicabitis, et ego jus meum adipiscar. (33) Neminem igitur civium vel eloquentia vel scriptis meis esse læsum, hoc discrimen maximo esse mihi testimonio crediderim. Nam si quem offendissem, is, etsi tempore superiore quievisset, hac certe occasione arrepta me

χίαν εἶχεν, οὐκ ἂν ἠμέλησε τοῦ καιροῦ τοῦ παρόντος, ἀλλ' ἦλθεν ἂν ἤτοι κατηγορήσων ἢ καταμαρτυρήσων. b Ὅπου γὰρ ὁ μηδ' ἀκηκοὼς μηδὲν πώποτε φλαῦρον εἰς ἀγῶνά με τηλικουτονὶ κατέστησεν, ἦπου σφόδρ' ἂν οἱ κακῶς πεπονθότες ἐπειρῶντ' ἂν δίκην παρ' ἐμοῦ λαμβάνειν. (34) Οὐ γὰρ δὴ τοῦτό γ' ἐστὶν οὔτ' εἰκὸς οὔτε δυνατόν, ἐμὲ μὲν περὶ πολλοὺς ἡμαρτηκέναι, τοὺς δὲ ταῖς συμφοραῖς δι' ἐμὲ περιπεπτωκότας ἡσυχίαν ἔχειν καὶ μὴ τολμᾶν ἐγκαλεῖν, ἀλλὰ πρᾳοτέρους ἐν τοῖς ἐμοῖς εἶναι κινδύνοις τῶν μηδὲν ἠδικημένων, ἐξὸν αὐτοῖς δηλώσασιν ἃ πεπόνθασι τὴν μεγίστην παρ' ἐμοῦ c λαβεῖν τιμωρίαν. (35) Ἀλλὰ γὰρ οὔτε πρότερον οὔτε νῦν οὐδείς μοι φανήσεται τοιοῦτον οὐδὲν ἐγκαλέσας. Ὥστ' εἰ συγχωρήσαιμι τῷ κατηγόρῳ καὶ προσομολογήσαιμι πάντων ἀνθρώπων εἶναι δεινότατος, καὶ συγγραφεὺς τῶν λόγων τῶν λυπούντων ὑμᾶς τοιοῦτος οἷος οὐδεὶς ἄλλος γέγονε, πολὺ ἂν δικαιότερον ἐπιεικὴς εἶναι δοκοίην ἢ ζημιωθείην. (36) Τοῦ μὲν γὰρ γενέσθαι προέχοντα τῶν ἄλλων ἢ περὶ τοὺς λόγους ἢ περὶ τὰς πράξεις εἰκότως ἄν τις τὴν τύχην αἰτιάσαιτο, τοῦ d δὲ καλῶς καὶ μετρίως κεχρῆσθαι τῇ φύσει δικαίως ἂν ἅπαντες τὸν τρόπον τὸν ἐμὸν ἐπαινέσειαν. Οὐ μὴν οὐδὲ ταῦτ' ἔχων περὶ ἐμαυτοῦ λέγειν, οὐδ' οὕτω φανήσομαι περὶ τοὺς λόγους τοὺς τοιούτους γεγενημένος. (37) Γνώσεσθε δ' ἐκ τῶν ἐπιτηδευμάτων τῶν ἐμῶν, ἐξ ὧνπερ οἷόν τ' ἐστὶν εἰδέναι τὴν ἀλήθειαν πολὺ μᾶλλον ἢ παρὰ τῶν διαβαλλόντων. Οἶμαι γὰρ οὐδένα τοῦτ' e ἀγνοεῖν, ὅτι πάντες ἄνθρωποι περὶ τὸν τόπον τοῦτον εἰώθασι διατρίβειν, ὅθεν ἂν προῶνται τὸν βίον πορίζεσθαι. (38) Τοὺς μὲν τοίνυν ἀπὸ τῶν συμβολαίων τῶν ὑμετέρων ζῶντας καὶ τῆς περὶ ταῦτα πραγματείας ἴδοιτ' ἂν μόνον οὐκ ἐν τοῖς δικαστηρίοις οἰκοῦντας, ἐμὲ 318 δ' οὐδεὶς πώποθ' ἑώρακεν οὔτ' ἐν τοῖς συνεδρίοις οὔτε a περὶ τὰς ἀνακρίσεις οὔτ' ἐπὶ τοῖς δικαστηρίοις οὔτε πρὸς τοῖς διαιτηταῖς, ἀλλ' οὕτως ἀπέχομαι τούτων ἁπάντων ὡς οὐδεὶς ἄλλος τῶν πολιτῶν. (39) Ἔπειτ' ἐκείνους μὲν ἂν εὕροιτε παρ' ὑμῖν μόνοις χρηματίζεσθαι δυναμένους, εἰ δ' ἄλλοσέ ποι πλεύσειαν, ἐνδεεῖς ἂν ὄντας τῶν καθ' ἡμέραν, ἐμοὶ δὲ τὰς εὐπορίας, περὶ ὧν οὗτος μειζόνως εἴρηκεν, ἔξωθεν ἁπάσας γεγενημένας· ἔτι δὲ τοῖς μὲν πλησιάζοντας ἢ τοὺς ἐν κακοῖς αὐτοὺς b ὄντας ἢ τοὺς ἑτέροις πράγματα παρέχειν βουλομένους, ἐμοὶ δὲ τοὺς πλείστην σχολὴν τῶν Ἑλλήνων ἄγοντας. (40) Ἠκούσατε δὲ καὶ τοῦ κατηγόρου λέγοντος ὅτι παρὰ Νικοκλέους τοῦ Σαλαμινίων βασιλέως πολλὰς ἔλαβον καὶ μεγάλας δωρεάς. Καίτοι τίνι πιστὸν ὑμῶν ἐστιν ὡς Νικοκλῆς ἔδωκέ μοι ταύτας, ἵνα δίκας μανθάνῃ λέγειν, ὃς καὶ τοῖς ἄλλοις περὶ τῶν ἀμφισβητουμένων ὥσπερ δεσπότης ἐδίκαζεν; ὥστ' ἐξ ὧν αὐτὸς οὗτος c εἴρηκε, ῥᾴδιον καταμαθεῖν ὅτι πόρρω τῶν πραγματειῶν εἰμι τῶν περὶ τὰ συμβόλαια γιγνομένων. (41) Ἀλλὰ μὴν κἀκεῖνο πᾶσι φανερόν ἐστιν, ὅτι παμπληθεῖς εἰσιν οἱ παρασκευάζοντες τοὺς λόγους τοῖς ἐν τοῖς δικαστηρίοις ἀγωνιζομένοις. Τούτων μὲν τοίνυν τοσούτων

vel accusaret vel testimonio oppugnaret. Quum enim iste nullo unquam verbo a me læsus in tantum me periculum adduxerit, quanto magis illi, qui a me læsi essent, a me pœnas expetere conarentur? (34) Nam illud quidem neque consentaneum est, nec omnino fieri potest, ut ego multos offenderim, illi vero qui in calamitates per me conjecti sint, quiescant nec accusare audeant, et in periculis meis majore erga me mansuetudine utantur, quam isti quibus nulla est a me orta injuria, quum eis liceret conquestione incommodorum suorum summum mihi supplicium irrogare. (35) At neque prius neque nunc quicquam tale mihi quenquam objecisse constabit. Quare si accusatori concederem et ultro largirer me omnium hominum esse eloquentissimum et orationum, quæ vobis molestæ essent, talem scriptorem, qualis nemo alius exstitisset; humanitatis potius laudem quam pœnam merear. (36) Nam excellere aliis vel eloquentia vel rebus gerendis, fortunæ merito tribuetur; verum ingenio bene et moderate esse usum, probitatis meæ propria laus fuerit. Quanquam autem hæc de me ipso dicere possum, tamen ne sic quidem ejusmodi orationes mihi studio fuisse apparebit. (37) Idque ex vitæ meæ institutis potissimum cognoscetis, quæ veritatem longe certius indicant quam verba calumniatorum. Arbitror enim hoc ignorare neminem, omnes homines in eo loco versari solere, unde victum parare decreverunt. (38) Qui igitur ex negotiis vestris litibusque privatis quæ ex iis oriantur, victum quærunt, eos in foro tantum non habitare videatis: me vero nemo unquam nec in conciliabulis nec in litium contestationibus nec in judiciis nec apud arbitros vidit; quæ ego ita omnia fugio, ut nullus civium aliorum. (39) Deinde illos apud vos solos rem posse agere; si quo autem alio navigarint, nec unde famem depellant habere: mihi autem eas copias, quas iste exaggeravit, ab externis cunctas contigisse reperietis. Præterea istis sese adjungere illos qui vel ipsi in malis sunt, vel aliis negotium exhibere volunt: mihi vero Græcorum omnium otiosissimos. (40) Audistis etiam accusatorem inter alia dicere me a Nicocle Salaminiorum rege multa et magna munera accepisse. Quanquam quis vestrûm est qui credat illa mihi propterea dedisse Nicoclem, ut causas agere disceret, qui controversias aliorum tanquam dominus disceptabat? Ex ipsius igitur adversarii verbis facile intelligitur me a rebus illis alienissimum esse, quæ ad forensia negotia pertinent. (41) At illud etiam notum est omnibus, plurimos esse qui litigantibus in judiciis orationes parent. Quorum neminem, quum tanta turba

ὄντων οὐδεὶς πώποτε φανήσεται μαθητῶν ἠξιωμένος, ἐγὼ δὲ πλείους εἰληφώς, ὥς φησιν ὁ κατήγορος, ἢ σύμπαντες οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες. Καί- d
τοι πῶς εἰκὸς τοὺς τοσοῦτον τοῖς ἐπιτηδεύμασιν ἀλλήλων ἀφεστῶτας περὶ τὰς αὐτὰς πράξεις ἡγεῖσθαι διατρίβειν; (42) Ἔχων δὲ πολλὰς εἰπεῖν διαφορὰς περὶ τοῦ βίου τοῦ τ' ἐμοῦ καὶ τῶν περὶ τὰς δίκας, ἐκείνως ὑμᾶς ἡγοῦμαι τάχιστ' ἂν ἀφέσθαι τῆς δόξης ταύτης, εἴ τις ὑμῖν ἐπιδείξειε μὴ τούτων τῶν πραγμάτων μαθητάς μου γιγνομένους ὧν ὁ κατήγορος εἴρηκε, μηδὲ περὶ e
τοὺς λόγους ὄντα με δεινὸν τοὺς περὶ τῶν ἰδίων συμβολαίων. (43) Οἶμαι γὰρ ὑμᾶς, ἐξελεγχομένης τῆς αἰτίας ἧς εἶχον πρότερον, ζητεῖν ἑτέραν μεταλαβεῖν διάνοιαν, καὶ ποθεῖν ἀκοῦσαι περὶ ποίους ἄλλους λόγους
319 γεγενημένος τηλικαύτην δόξαν ἔλαβον. Εἰ μὲν οὖν a
μοι συνοίσει κατειπόντι τὴν ἀλήθειαν, οὐκ οἶδα· χαλεπὸν γὰρ στοχάζεσθαι τῆς ὑμετέρας διανοίας· οὐ μὴν ἀλλὰ παρρησιάσομαί γε πρὸς ὑμᾶς. (44) Καὶ γὰρ ἂν αἰσχυνθείην τοὺς πλησιάσαντας, εἰ πολλάκις εἰρηκὼς ὅτι δεξαίμην ἂν ἅπαντας εἰδέναι τοὺς πολίτας καὶ τὸν βίον ὃν ζῶ καὶ τοὺς λόγους οὓς λέγω, νῦν μὴ δηλοίην ὑμῖν αὐτούς, ἀλλ' ἀποκρυπτόμενος φανείην. Ὡς οὖν ἀκουσόμενοι τὴν ἀλήθειαν, οὕτω προσέχετε τὸν νοῦν.

45. Πρῶτον μὲν οὖν ἐκεῖνο δεῖ μαθεῖν ὑμᾶς, ὅτι b
τρόποι τῶν λόγων εἰσὶν οὐκ ἐλάττους ἢ τῶν μετὰ μέτρου ποιημάτων. Οἱ μὲν γὰρ τὰ γένη τὰ τῶν ἡμιθέων ἀναζητοῦντες τὸν βίον τὸν αὑτῶν κατέτριψαν, οἱ δὲ περὶ τοὺς ποιητὰς ἐφιλοσόφησαν, ἕτεροι δε τὰς πράξεις τὰς ἐν τοῖς πολέμοις συναγαγεῖν ἐβουλήθησαν, ἄλλοι δέ τινες περὶ τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις γεγόνασιν, οὓς ἀντιλογικοὺς καλοῦσιν. (46) Εἴη δ' ἂν οὐ μικρὸν ἔργον, εἰ πάσας τις τὰς ἰδέας τὰς τῶν λόγων c
ἐξαριθμεῖν ἐπιχειρήσειεν· ἧς δ' οὖν ἐμοὶ προσήκει, ταύτης μνησθεὶς ἐάσω τὰς ἄλλας. Εἰσὶ γάρ τινες οἳ τῶν μὲν προειρημένων οὐκ ἀπείρως ἔχουσι, γράφειν δὲ προῄρηνται λόγους οὐ περὶ τῶν ἰδίων συμβολαίων, ἀλλ' Ἑλληνικοὺς καὶ πολιτικοὺς καὶ πανηγυρικούς, οὓς ἅπαντες ἂν φήσαιεν ὁμοιοτέρους εἶναι τοῖς μετὰ μουσικῆς καὶ ῥυθμῶν πεποιημένοις ἢ τοῖς ἐν δικαστηρίῳ λεγομένοις. (47) Καὶ γὰρ τῇ λέξει ποιητικωτέρᾳ καὶ d
ποικιλωτέρᾳ τὰς πράξεις δηλοῦσι, καὶ τοῖς ἐνθυμήμασιν ὀγκωδεστέροις καὶ καινοτέροις χρῆσθαι ζητοῦσιν, ἔτι δὲ ταῖς ἄλλαις ἰδέαις ἐπιφανεστέραις καὶ πλείοσιν ὅλον τὸν λόγον διοικοῦσιν. Ὧν ἅπαντες μὲν ἀκούοντες χαίρουσιν οὐδὲν ἧττον ἢ τῶν ἐν τοῖς μέτροις πεποιημένων, πολλοὶ δὲ καὶ μαθηταὶ γίγνεσθαι βούλονται, νομίζοντες τοὺς ἐν τούτοις πρωτεύοντας πολὺ σοφωτέρους καὶ βελτίους καὶ μᾶλλον ὠφελεῖν δυναμένους εἶναι e
τῶν τὰς δίκας εὖ λεγόντων. (48) Συνίσασι γὰρ τοῖς μὲν διὰ πολυπραγμοσύνην ἐμπείροις τῶν ἀγώνων γεγενημένοις, τοὺς δ' ἐκ φιλοσοφίας ἐκείνων τῶν λόγων
320 ὧν ἄρτι προεῖπον τὴν δύναμιν εἰληφότας, καὶ τοὺς μὲν a
δικανικοὺς δοκοῦντας εἶναι ταύτην τὴν ἡμέραν μόνην ἀνεκτοὺς ὄντας, ἐν ᾗπερ ἂν ἀγωνιζόμενοι τυγχάνωσι,

sit, dignum esse habitum constat, cujus fidei discipuli mandarentur : ego vero, ut accusator ait, plures habui quam omnes alii qui in studio literarum versantur. Atqui quis credat eos, quorum studia tantum distant et inter sese differunt, in iisdem versari actionibus? (42) Etsi vero multa discrimina meæ vitæ et causidicorum possum ostendere, eo modo tamen potissimum vos ab ista opinione desituros censeo, si quis vobis ostenderit mihi nullos earum rerum discipulos fuisse, de quibus accusator dixit, neque me forensium orationum egregium esse artificem. (43) Arbitror enim vos refutato crimine, quod in me conjectum fuit, priore opinione ultro repudiata cupide audituros, quo genere orationum tractando tantam mihi famam compararim. Ac veritatem quidem dicere an mihi profuturum sit, nescio (difficile enim est vestram intelligere sententiam); sed tamen apud vos nihil dissimulabo. (44) Nam vel discipulorum puderet, quum sæpe dixerim me optare civibus omnibus et vitæ meæ rationem et genus orationum, quod tractem, esse notum, si nunc eas non ostenderem, sed occultarem. Tanquam igitur veritatem audituri sic animum advertite.

45. Atque illud in primis intelligendum est, genera orationum non esse pauciora quam poematum. Nam alii familiis semideorum inquirendis ætatem contriverunt; alii de poetis aliquid meditati sunt; alii res in bellis gestas congerere voluerunt; alii in responsionibus et interrogationibus sunt versati, quos a contradicendi studio Antilogicos appellant. (46) Sed immensi negotii fuerit, si quis omnes orationum formas enumerare velit. Ejus igitur, ad quæ me pertinet, mentione facta ceteras omittam. Sunt enim qui nec ea quæ diximus ignorent, sed orationes eas scribendas susceperint, quæ non de privatis negotiis agunt, sed de statu Græciæ et rerumpublicarum, et quæ in solemnibus cœtibus recitentur : quas nemo est quin carminibus, quæ musica ratione ac numeris constant, quam forensi dictioni similiores esse fateatur. (47) Nam et sermonis genus habent magis poeticum et majorem rerum varietatem continent et argumenta elatiora magisque nova consectantur; atque etiam tota oratio aliis figuris illustrioribus et pluribus adornatur. Quæ qui audiunt, non minore voluptate afficiuntur, quam si recitationi poematum interessent. Ac multi exsistunt qui eadem discere cupiant, existimantes, qui in hoc genere excellant, eos multo sapientiores et meliores esse ac plus prodesse posse quam probatos etiam causidicos : (48) quippe qui sciant hos cupiditate facessendi aliis negotia litigandi peritiam sibi peperisse; illos ex earum orationum, quas modo dicebam, studio facultatem illam consecutos : eos qui litium jura perdidicerunt, eo die solum ferri posse, quo causas agunt; hos in omnibus congressi-

τοὺς δ' ἐν ἁπάσαις ταῖς ὁμιλίαις καὶ παρὰ πάντα τὸν χρόνον ἐντίμους ὄντας καὶ δόξης ἐπιεικοῦς τυγχάνοντας· (49) ἔτι δὲ τοὺς μέν, ἢν ὀφθῶσι δὶς ἢ τρὶς ἐπὶ τῶν δικαστηρίων, μισουμένους καὶ διαβαλλομένους, τοὺς δ' ὅσῳ περ ἂν πλείοσι καὶ πλεονάκις συγγίγνωνται, τοσούτῳ μᾶλλον θαυμαζομένους· πρὸς δὲ τούτοις τοὺς b μὲν περὶ τὰς δίκας δεινοὺς πόρρω τῶν λόγων ἐκείνων ὄντας, τοὺς δ' εἰ βουληθεῖεν ταχέως ἂν ἑλεῖν καὶ τούτους δυνηθέντας. (50) Ταῦτα λογιζόμενοι καὶ πολὺ κρείττω νομίζοντες εἶναι τὴν αἵρεσιν, βούλονται μετασχεῖν τῆς παιδείας ταύτης, ἧς οὐδ' ἂν ἐγὼ φανείην ἀπεληλαμένος, ἀλλὰ πολλῷ χαριεστέραν δόξαν εἰληφώς. Περὶ μὲν οὖν τῆς ἐμῆς εἴτε βούλεσθε καλεῖν δυνάμεως εἴτε φιλοσοφίας εἴτε διατριβῆς, ἀκηκόατε c πᾶσαν τὴν ἀλήθειαν.

51. Βούλομαι δὲ περὶ ἐμαυτοῦ καὶ νόμον θεῖναι χαλεπώτερον ἢ περὶ τῶν ἄλλων, καὶ λόγον εἰπεῖν θρασύτερον ἢ κατὰ τὴν ἐμὴν ἡλικίαν. Ἀξιῶ γὰρ οὐ μόνον, εἰ βλαβεροῖς χρῶμαι τοῖς λόγοις, μηδεμιᾶς συγγνώμης τυγχάνειν παρ' ὑμῶν, ἀλλ' εἰ μὴ τοιούτοις οἵοις οὐδεὶς ἄλλος, τὴν μεγίστην ὑποσχεῖν τιμωρίαν. Οὐχ οὕτω δ' ἂν τολμηρὰν ἐποιησάμην τὴν ὑπόσχεσιν, εἰ μὴ καὶ δείξειν ἤμελλον ὑμῖν καὶ ῥᾳδίαν ποιήσειν τὴν διάγνω- d σιν αὐτῶν. (52) Ἔχει γὰρ οὕτως· ἐγὼ καλλίστην ἡγοῦμαι καὶ δικαιοτάτην εἶναι τὴν τοιαύτην ἀπολογίαν, ἥτις εἰδέναι ποιεῖ τοὺς δικάζοντας ὡς δυνατὸν μάλιστα, περὶ ὧν τὴν ψῆφον οἴσουσι, καὶ μὴ πλανᾶσθαι τῇ διανοίᾳ μηδ' ἀμφιγνοεῖν τοὺς τἀληθῆ λέγοντας. (53) Εἰ μὲν τοίνυν ἠγωνιζόμην ὡς περὶ πράξεις τινὰς ἡμαρτηκώς, οὐκ ἂν οἷόστ' ἦν ἰδεῖν ὑμῖν αὐτὰς παρασχεῖν, ἀλλ' ἀναγκαίως εἴχεν εἰκάζοντας ὑμᾶς ἐκ τῶν εἰρημέ- e νων διαγιγνώσκειν ὅπως ἐτύχετε περὶ τῶν πεπραγμένων· ἐπειδὴ δὲ περὶ τοὺς λόγους ἔχω τὴν αἰτίαν, οἶμαι μᾶλλον ὑμῖν ἐμφανιεῖν τὴν ἀλήθειαν· (54) αὐτοὺς γὰρ ὑμῖν δείξω τοὺς εἰρημένους ὑπ' ἐμοῦ καὶ γεγραμμένους, ὥστ' οὐ δοξάσαντες, ἀλλὰ σαφῶς εἰδότες ὁποῖοί τινές εἰσι
321 τὴν ψῆφον οἴσετε περὶ αὐτῶν. Ἅπαντας μὲν οὖν διὰ a τέλους εἰπεῖν οὐκ ἂν δυναίμην· ὁ γὰρ χρόνος ὁ δεδομένος ἡμῖν ὀλίγος ἐστίν· ὥσπερ δὲ τῶν καρπῶν, ἐξενεγκεῖν ἑκάστου δεῖγμα πειράσομαι· μικρὸν γὰρ μέρος ἀκούσαντες ῥᾳδίως τό τ' ἐμὸν ἦθος γνωριεῖτε καὶ τῶν λόγων τὴν δύναμιν ἁπάντων μαθήσεσθε. (55) Δέομαι δὲ τῶν πολλάκις ἀνεγνωκότων τὰ μέλλοντα ῥηθήσεσθαι μὴ ζητεῖν ἐν τῷ παρόντι παρ' ἐμοῦ καινοὺς λόγους, μηδ' ὀχληρόν με νομίζειν, ὅτι λέγω τοὺς πάλαι παρ' ὑμῖν διατεθρυλημένους. Εἰ μὲν γὰρ ἐπίδειξιν ποιού- b μενος ἔλεγον αὐτούς, εἰκότως ἂν εἶχον τὴν αἰτίαν ταύτην· νῦν δὲ κρινόμενος καὶ κινδυνεύων ἀναγκάζομαι χρῆσθαι τοῦτον τὸν τρόπον αὐτοῖς. (56) Καὶ γὰρ ἂν πάντων εἴην καταγελαστότατος, εἰ τοῦ κατηγόρου διαβάλλοντος ὅτι τοιούτους γράφω λόγους οἳ καὶ τὴν πόλιν βλάπτουσι καὶ τοὺς νεωτέρους διαφθείρουσι, δι' ἑτέρων ποιοίμην τὴν ἀπολογίαν, ἐξὸν αὐτοὺς δείξαντι τούτους ἀπολύσασθαι τὴν διαβολὴν τὴν λεγομένην περὶ ἡμῶν. c

bus et omnibus temporibus in pretio haberi et bonos viros perhiberi; (49) præterea illos, si semel atque iterum in judiciis conspiciantur, in odium et reprehensionem incurrere; hos, quo sæpius et cum pluribus congressi fuerint, eo majore in admiratione esse : ad hæc causidicos illam orationis excellentiam minime posse assequi; hos, si vellent, illos etiam forenses oratores facile superaturos. (50) Hæc illi reputantes et hanc studiorum rationem multo præstantiorem rati, ejus eruditionis participes fieri volunt : id quod mihi quoque non defuit, sed multo etiam gratiosiorem peperit celebritatem. De mea igitur seu facultatem dicere vultis seu philosophiam seu exercitationem, simplicem veritatem audivistis.

51. De me ipso autem legem feram etiam graviorem quam de aliis, et aliquid audacius quam pro ætate mea dicam. Peto enim, non modo si noxiis orationibus operam do, ne mihi quicquam veniæ detis, sed nisi in talibus elaboro, in qualibus nemo alius, ut maximis suppliciis me afficiatis. Neque vero tam confidenter hæc jactarem, nisi vobis eas etiam ostensurus essem, ut quid intersit, facile perspiciatis. (52) Sic enim se res habet. Ego pulcherrimam et justissimam defensionem eam esse duco, quæ quam fieri potest certissime judicibus demonstrat eas res, quibus de rebus suffragia sint ferenda, ut ne in errorem inducantur, aut dubitent utri vera dicant. (53) Quodsi mihi lis intenderetur rei cujuspiam male gestæ, in conspectum ego vestrum eam afferre non possem, sed vobis necesse esset ex oratione rei naturam conjecturis utcumque indagatam dijudicare : quum autem orationes meæ culpentur, puto me veritatem vobis dilucidius expositurum. (54) Ipsas enim vobis ostendam tum dictas a me, tum scriptas, ut non ex opinione, sed ex certa cognitione de eis judicetis. Atque omnes quidem integras recitare non possum (tempus enim nobis datum exiguum est), sed tanquam frugum, sic cujusque specimen quoddam proferre conabor. Parva enim parte audita facile tum mores meos perspicietis, tum vim orationum omnium cognoscetis. (55) Rogo autem, si qui ea quæ jam recitanda sunt, sæpe legerunt, ne a me in præsentia novum aliquid requirant, nec me importunum propterea existiment, quod eas proferam, quibus vestræ aures jam olim personuerunt. Nam si eas ostentationis causa recitarem, jure hoc nomine reprehenderer; nunc in judicium et discrimen vocatus ad hunc modum eis uti cogor. (56) Etenim maxime ridiculus essem, si, quum accusator criminatus sit me orationes scribere quæ et reipublicæ noceant et adolescentes corrumpant, alio modo me defenderem, quum ipsis orationibus prolatis liceat omnem nostri calumniam refutare. Peto igitur,

Ὑμᾶς μὲν οὖν ἀξιῶ μοι διὰ ταῦτα συγγνώμην ἔχειν καὶ συναγωνιστὰς γίγνεσθαι, τοῖς δ' ἄλλοις ἤδη περαίνειν ἐπιχειρήσω, μικρὸν ἔτι προειπὼν, ἵνα ῥᾷον ἐπακολουθῶσι τοῖς λεγομένοις. (57) Ὁ μὲν γὰρ λόγος ὁ μέλλων πρῶτος ὑμῖν δειχθήσεσθαι κατ' ἐκείνους ἐγράφη τοὺς χρόνους, ὅτε Λακεδαιμόνιοι μὲν ἦρχον τῶν Ἑλλήνων, ἡμεῖς δὲ ταπεινῶς ἐπράττομεν. Ἔστι δὲ τοὺς μὲν Ἕλληνας παρακαλῶν ἐπὶ τὴν τῶν βαρβάρων στρατείαν, d Λακεδαιμονίοις δὲ περὶ τῆς ἡγεμονίας ἀμφισβητῶν. (58) Τοιαύτην δὲ τὴν ὑπόθεσιν ποιησάμενος, ἀποφαίνω τὴν πόλιν ἁπάντων τῶν ὑπαρχόντων τοῖς Ἕλλησιν ἀγαθῶν αἰτίαν γεγενημένην. Ἀφορισάμενος δὲ τὸν λόγον τὸν περὶ τῶν τοιούτων εὐεργεσιῶν, καὶ βουλόμενος τὴν ἡγεμονίαν ἔτι σαφέστερον ἀποφαίνειν ὡς ἔστι τῆς πόλεως, ἐνθένδε ποθὲν ἐπιχειρῶ διδάσκειν e περὶ τούτων, ὡς τῇ πόλει τιμᾶσθαι προσήκει πολὺ μᾶλλον ἐκ τῶν περὶ τὸν πόλεμον κινδύνων ἢ τῶν ἄλλων εὐεργεσιῶν. (59) Ὤμην μὲν οὖν αὐτὸς δυνήσεσθαι διελθεῖν περὶ αὐτῶν· νῦν δέ με τὸ γῆρας ἐμποδίζει καὶ 322 ποιεῖ προαπαγορεύειν. Ἵν' οὖν μὴ παντάπασιν ἐκλυθῶ a πολλῶν ἔτι μοι λεκτέων ὄντων, ἀρξάμενος ἀπὸ τῆς παραγραφῆς ἀνάγνωθι τὰ περὶ τῆς ἡγεμονίας αὐτοῖς.

ut propter hæc veniam mihi detis et adjutores sitis; reliquis vero jam orationem absolvere aggrediar paululum quiddam præfatus, ut ea quæ dicentur, facilius assequantur. (57) Nam quæ prima vobis ostendetur oratio, iis est scripta temporibus, quum Lacedæmonii Græcis imperabant, nostræ vero opes tenues erant. Hortatur autem Græcos ad expeditionem contra barbaros suscipiendam, et cum Lacedæmoniis de principatu contendit. (58) Hoc argumento ad tractandum suscepto, quidquid Græcia bonorum habeat, id nostræ urbi acceptum esse referendum ostendo. Oratione autem quæ erat de talibus beneficiis instituta, ad finem perducta quum etiam evidentius principatum nostræ urbis esse vellem demonstrare, inde docere conor reipublicæ nostræ propter bellica pericula plus etiam honoris quam ob cetera merita deberi. (59) Equidem fore putavi ut ista ipse possem recitare : sed senectus me impedit animumque despondere cogit. Ne igitur prorsus deficiam, quum mihi multa dicenda restent, facto ab interductu initio ea recita auditoribus quæ de ipso principatu scripta sunt.

ΕΚ ΤΟΥ ΠΑΝΗΓΥΡΙΚΟΥ.

EX PANEGYRICO.

Ἡγοῦμαι δὲ τοῖς προγόνοις ἡμῶν οὐχ ἧττον ἐκ τῶν κινδύνων τιμᾶσθαι προσήκειν ἢ τῶν ἄλλων εὐεργεσιῶν.

« Arbitror autem majores nostros non minus ob res bello gestas, quam propter alia beneficia esse honorandos... » (§ 51.)

μέχρι τοῦ

usque ad hæc :

332 καὶ τότε προταχθέντες ὑπὲρ ἁπάντων νῦν ἑτέροις ἀκολουθεῖν c ἀναγκασθεῖμεν.

« qui tum pro salute omnium in prima acie stetimus, nunc alios sequi cogamur? » (§ 99.)

60. Περὶ μὲν οὖν τῆς ἡγεμονίας, ὡς δικαίως ἂν εἴη τῆς πόλεως, ῥᾴδιον ἐκ τῶν εἰρημένων καταμαθεῖν. Ἐνθυμήθητε δὲ πρὸς ὑμᾶς αὐτούς, εἰ δοκῶ τοῖς λόγοις διαφθείρειν τοὺς νεωτέρους, ἀλλὰ μὴ προτρέπειν ἐπ' ἀρετὴν καὶ τοὺς ὑπὲρ τῆς πόλεως κινδύνους, ἢ δικαίως ἂν δοῦναι δίκην ὑπὲρ τῶν εἰρημένων, ἀλλ' οὐκ ἂν χάριν κομί- d σασθαι παρ' ὑμῶν τὴν μεγίστην, (61) ὃς οὕτως ἐγκεκωμίακα τὴν πόλιν καὶ τοὺς προγόνους καὶ τοὺς κινδύνους τοὺς ἐν ἐκείνοις τοῖς χρόνοις γεγενημένους, ὥστε τούς τε πρότερον γράψαντας περὶ τὴν ὑπόθεσιν ταύτην ἅπαντας ἠφανικέναι τοὺς λόγους, αἰσχυνομένους ὑπὲρ τῶν εἰρημένων αὐτοῖς, τούς τε νῦν δοκοῦντας εἶναι δεινοὺς μὴ τολμᾶν ἔτι λέγειν περὶ τούτων, ἀλλὰ καταμέμφε- e σθαι τὴν δύναμιν τὴν σφετέραν αὐτῶν.

60. Ac principatum quidem merito nostræ esse civitatis facile ex iis quæ diximus cognoscetur. Cogitate igitur cum animis vestris, corrumperene adolescentes videar, an vero ad virtutem et subeunda pericula pro republica potius adhortari, et æquiusne sit ob hanc mihi orationem mulctam irrogari, an potius maximam a vobis gratiam referri : (61) qui iis laudibus et urbem nostram et majores et illorum temporum res gestas ornarim, ut et ii qui prius idem argumentum tractarant, eorum pudore quæ dixerant, omnes suas orationes deleverint, et qui hodie inter eloquentes habentur, hisce de rebus diffisi ingeniis suis nihil jam dicere audeant.

62. Ἀλλ' ὅμως, τούτων οὕτως ἐχόντων, φανήσονταί τινες τῶν εὑρεῖν μὲν οὐδὲν οὐδ' εἰπεῖν ἄξιον λόγου δυνα- 333 μένων, ἐπιτιμᾶν δὲ καὶ βασκαίνειν τὰ τῶν ἄλλων με- a μελετηκότων, οἳ χαριέντως μὲν εἰρῆσθαι ταῦτα φήσουσι (τὸ γὰρ εὖ φθονήσουσιν εἰπεῖν), πολὺ μέντοι χρησιμωτέρους εἶναι τῶν λόγων καὶ κρείττους τοὺς ἐπιπλήττοντας τοῖς νῦν ἁμαρτανομένοις ἢ τοὺς τὰ πεπραγμένα πρότερον ἐπαινοῦντας, καὶ τοὺς ὑπὲρ ὧν δεῖ πράττειν συμβουλεύοντας ἢ τοὺς τὰ παλαιὰ τῶν ἔργων διεξιόντας. (63) Ἵν' οὖν μηδὲ ταῦτ' ἔχωσιν εἰπεῖν, ἀφέμενος

62. Quæ quum ita sint, tamen exsistent aliqui ex istis qui ipsi quidem excogitare nihil aut dicere possunt, quod audire sit operæ pretium, sed in eo studio ætatem consumpserunt, ut aliorum dicta cavillentur et exagitent, qui eleganter quidem hæc esse dicta fateantur (invidia enim prohibebuntur ne bene dicta esse concedant), longe tamen utiliores eas orationes esse dictitent, quæ ea quæ nunc prave ac temere gerantur, reprehendant, quam quæ res olim gestas laudent, et quæ quid agendum sit suadeant, quam quæ vetera facinora commemorent. (63) Ut igitur neque hæc

τοῦ βοηθεῖν τοῖς εἰρημένοις πειράσομαι μέρος ἑτέρου λόγου τοσοῦτον, ὅσον περ ἄρτι, διελθεῖν ὑμῖν, ἐν ᾧ φα- b νήσομαι περὶ τούτων ἁπάντων πολλὴν ἐπιμέλειαν πεποιημένος. Ἔστι δὲ τὰ μὲν ἐν ἀρχῇ λεγόμενα περὶ τῆς εἰρήνης τῆς πρὸς Χίους καὶ Ῥοδίους καὶ Βυζαντίους, (64) ἐπιδείξας δ' ὡς συμφέρει τῇ πόλει διαλύσασθαι τὸν πόλεμον, κατηγορῶ τῆς δυναστείας τῆς ἐν τοῖς Ἕλλησι καὶ τῆς ἀρχῆς τῆς κατὰ θάλατταν, ἀποφαίνων αὐτὴν οὐδὲν διαφέρουσαν οὔτε ταῖς πράξεσιν οὔτε τοῖς πάθεσι c τῶν μοναρχιῶν· ἀναμιμνήσκω δὲ καὶ τὰ συμβάντα δι' αὐτὴν τῇ πόλει καὶ Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ἅπασι. (65) Διαλεχθεὶς δὲ περὶ τούτων, καὶ τὰς τῆς Ἑλλάδος συμφορὰς ὀδυράμενος, καὶ τῇ πόλει παραινέσας ὡς χρὴ μὴ περιορᾶν αὐτὴν οὕτω πράττουσαν, ἐπὶ τελευτῆς ἐπί τε τὴν δικαιοσύνην παρακαλῶ καὶ τοῖς ἁμαρτανομένοις ἐπιπλήττω καὶ περὶ τῶν μελλόντων συμβουλεύω. Λα- d βὼν οὖν ἀρχὴν ταύτην ὅθεν διαλέγομαι περὶ αὐτῶν, ἀνάγνωθι καὶ τοῦτο τὸ μέρος αὐτοῖς.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

66. Ἡγοῦμαι δὲ δεῖν ἡμᾶς οὐ μόνον ψηφισαμένους τὴν εἰρήνην ἐκ τῆς ἐκκλησίας ἀπελθεῖν, ἀλλὰ καὶ βουλευσαμένους ὅπως ἄξομεν αὐτήν.

μέχρι τοῦ

339 Ἐπιλίποι δ' ἄν με τὸ λοιπὸν μέρος τῆς ἡμέρας, εἰ πάσας τὰς e πλημμελείας τὰς ἐν τοῖς πράγμασιν ἐγγεγενημένας ἐξετάζειν ἐπιχειροίην.

εἶτ' ἐξελὼν τὰ μέσα συνῆψεν οὕτως·

340 Τίς οὖν ἀπαλλαγὴ γενήσεται τῆς ταραχῆς ταύτης; καὶ πῶς a ἂν ἐπανορθωσαίμεθα τὰ τῆς πόλεως πράγματα καὶ βελτίω ποιήσαιμεν; Πρῶτον μὲν ἢν παυσώμεθα δημοτικοὺς μὲν εἶναι νομίζοντες τοὺς συκοφάντας, ὀλιγαρχικοὺς δὲ τοὺς καλοὺς κἀγαθοὺς τῶν ἀνδρῶν, γνόντες ὅτι φύσει μὲν οὐδεὶς αὐτῶν οὐδέτερον τούτων ἐστίν, ἐν ᾗ δ' ἂν ἕκαστοι τιμῶνται, ταύτην βούλονται καθεστάναι τὴν πολιτείαν. Ἢν οὖν ἀσκῆτε καὶ προσδέχησθε τοὺς χρηστοὺς ἀντὶ τῶν πονηρῶν ὥσπερ τὸ παλαιόν, βέλτιον ἕξετε b χρῆσθαι καὶ τοῖς δημαγωγοῖς καὶ τοῖς ἄλλοις τοῖς πολιτευομένοις·

καὶ τὰ λοιπὰ τοῦ βιβλίου.

342 67. Δυοῖν μὲν τοίνυν λόγοιν ἀκηκόατε· βούλομαι δὲ καὶ c τοῦ τρίτου μικρὰ διελθεῖν, ἵν' ὑμῖν ἔτι μᾶλλον γένηται καταφανὲς ὅτι πάντες οἱ λόγοι πρὸς ἀρετὴν καὶ δικαιοσύνην συντείνουσιν. Ἔστι δ' ὁ μέλλων δειχθήσεσθαι Νικοκλεῖ τῷ Κυπρίῳ τῷ κατ' ἐκεῖνον τὸν χρόνον βασιλεύοντι, συμβουλεύων ὡς δεῖ τῶν πολιτῶν ἄρχειν· οὐχ ὁμοίως δὲ γέγραπται τοῖς ἀνεγνωσμένοις. (68) Οὗτοι μὲν γὰρ τὸ λεγόμενον ὁμολογούμενον ἀεὶ τῷ προειρημένῳ καὶ d συγκεκλειμένον ἔχουσιν, ἐν δὲ τούτῳ τοὐναντίον· ἀπολύσας γὰρ ἀπὸ τοῦ προτέρου καὶ χωρίς, ὥσπερ τὰ καλούμενα κεφάλαια, ποιήσας, πειρῶμαι διὰ βραχέων ἕκαστον ὧν συμβουλεύω φράζειν. (69) Τούτου δ' ἕνεκα ταύτην ἐποιησάμην τὴν ὑπόθεσιν, ἡγούμενος ἐκ τοῦ παραινεῖν τήν τε διάνοιαν τὴν ἐκείνου μάλιστ' ὠφελήσειν καὶ τὸν τρόπον τὸν ἐμαυτοῦ τάχιστα δηλώσειν. Διὰ τὴν αὐτὴν δὲ ταύτην πρόφασιν καὶ νῦν αὐτὸν ὑμῖν

possint dicere, omissa defensione superiorum, tantam vobis alius orationis partem recitare conabor, quanta modo recitata est, ex qua me in harum rerum omnium curam sedulo incubuisse constabit. Agitur autem initio de pace facienda cum Chiis, Rhodiis et Byzantiis. (64) Quum enim ostendissem e republica esse ut bellum deponeretur, accuso dominatum in Græcos usurpatum et damno maris imperium, ac nihil id esse aliud pronuncio nisi monarchiam quandam, sive actiones sive clades spectentur. Commemoro etiam quid ex eo nostræ civitati, quid Lacedæmoniis, quid aliis omnibus usu venerit. (65) His explicatis et Græciæ calamitates deploro, et cives admoneo ut malis illis remedium aliquod invenire studeant: denique ad colendam justitiam adhortor, et errata reprehendo, et de republica in posterum ordinanda do consilium. Orsus igitur inde ubi his de rebus disserere incipio, hanc etiam partem auditoribus recita.

EX ORATIONE DE PACE.

66. « Sic autem censeo, pacem non tantum decernendam, sed non prius dimittendam esse concionem, quam ratio fuerit inita, qua per eam agmus. » (§ 25.)

usque ad hæc:

« Diei pars reliqua me defecerit si in omnia nostrarum actionum delicta coner severius inquirere. » (§ 56.)

Deinde mediis omissis hæc annexit

« Qua ratione igitur hoc tumultu liberabimur? quo pacto reipublicæ statum corrigemus et in melius provehemus? Primum, si desierimus calumniatores habere pro popularibus, honestosque viros pro oligarchicis. In qua re illud tenendum est, natura neminem neque popularem neque paucorum esse potentiæ studiosum; sed eam quemque reipublicæ formam expetere maxime, in qua maxime honoretur. Quodsi coletis et amplectemini bonos viros præ malis, sicut olim factum fuit, ad vestras rationes magis accommodatos habebitis duces populi et reliquos qui rempublicam capessunt; » (§133.)

et reliqua libri.

67. Duarum igitur orationum quasdam partes audivistis: sed etiam ex tertia pauca recitabo, ut omnes meas orationes ad virtutem et justitiam referri planius intelligatis. Monet autem hæc quæ jam ostendetur oratio Nicoclem, qui eo tempore Cypri regnum tenebat, quomodo civibus sit imperandum. Neque vero eodem modo scripta est, quo eæ quæ jam lectæ sunt. (68) In illis enim quicquid dicitur, id cum superioribus perpetua serie cohæret ac devinctum est; in hac autem contrarium fit: dissolutas enim et distinctas a prioribus præceptiones in capita quæ vocantur redegi, et omnia, quæ suadeo, paucis verbis studeo explicare. (69) Id autem argumentum propterea tractavi, quod existimabam præcipiendo me et ejus ingenio maximas utilitates allaturum et meos ipsius mores optime demonstraturum. Qua eadem de

δεῖξαι προειλόμην, οὐχ ὡς ἄριστα τῶν λοιπῶν γεγραμ- e
μένον, ἀλλ' ὡς ἐκ τούτου μάλιστα φανερὸς γενησόμενος
ὃν τρόπον εἴθισμαι καὶ τοῖς ἰδιώταις καὶ τοῖς δυνάσταις
πλησιάζειν· (70) φανήσομαι γὰρ πρὸς αὐτὸν ἐλευθέ-
343ρως καὶ τῆς πόλεως ἀξίως διειλεγμένος, καὶ οὐ τὸν ἐκεί- a
νου πλοῦτον οὐδὲ τὴν δύναμιν θεραπεύων, ἀλλὰ τοῖς
ἀρχομένοις ἐπαμύνων, καὶ παρασκευάζων καθ' ὅσον
ἠδυνάμην τὴν πολιτείαν αὐτοῖς ὡς οἷόντε πραοτάτην.
Ὅπου δὲ βασιλεῖ διαλεγόμενος ὑπὲρ τοῦ δήμου τοὺς
λόγους ἐποιούμην, ἦπου τοῖς ἐν δημοκρατίᾳ πολιτευο-
μένοις σφόδρ' ἂν παρακελευσαίμην τὸ πλῆθος θερα-
πεύειν. (71) Ἐν μὲν οὖν τῷ προοιμίῳ καὶ τοῖς πρώτοις b
λεγομένοις ἐπιτιμῶ ταῖς μοναρχίαις, ὅτι δέον αὐτοὺς τὴν
φρόνησιν ἀσκεῖν μᾶλλον τῶν ἄλλων, οἱ δὲ χεῖρον παι-
δεύονται τῶν ἰδιωτῶν. Διαλεχθεὶς δὲ περὶ τούτων, πα-
ραινῶ τῷ Νικοκλεῖ μὴ ῥᾳθυμεῖν μηδ', ὥσπερ ἱερωσύ-
νην εἰληφότα τὴν βασιλείαν, οὕτω τὴν γνώμην ἔχειν,
ἀλλὰ τῶν ἡδονῶν ἀμελήσαντα προσέχειν τὸν νοῦν τοῖς
πράγμασιν. (72) Ἐπιχειρῶ δὲ καὶ τοῦτο πείθειν αὐ-
τόν, ὡς χρὴ δεινὸν νομίζειν, ὅταν ὁρᾷ τοὺς μὲν χείρους c
τῶν βελτιόνων ἄρχοντας καὶ τοὺς ἀνοητοτέρους τοῖς φρο-
νιμωτέροις προστάττοντας, λέγων ὡς ὅσῳ περ ἂν ἐρ-
ρωμενέστερον τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃ, τοσούτῳ
μᾶλλον τὴν ἑαυτοῦ διάνοιαν ἀσκήσει. Ποιησάμενος οὖν
ἀρχὴν ἣν ἐγὼ τελευτήν, ἀνάγνωθι καὶ τούτου τοῦ λόγου
τὸ λοιπὸν μέρος αὐτοῖς.

causa vobis etiam nunc eam ostendere constitui, non quod inter ceteras ornatissime scripta sit, sed quod ex ea optime cognosci queat quo pacto et cum privatis hominibus et cum principibus viris agere soleam. (70) Hinc enim apparebit me libere et e dignitate nostræ civitatis cum eo disseruisse, nec divitiis illius nec potentiæ adulantem, sed populi causam egisse et gubernationem quam fieri potuit ei lenissimam, quantum in me quidem fuit, constituisse. Quum autem cum rege agens populo sim patrocinatus, quanto magis in populari versantibus republica hortator et auctor sim colendæ multitudinis? (71) Atque in exordio quidem et primo veluti limine orationis reprehendo principes, qui, quum excolere mentem et ingenium exercere magis quam alii deberent, pejus instituti sint hominibus privatis. Ea disputatione absoluta, Nicoclem moneo ne socordiæ indulgeat, neve eo animo sit, quasi regnum tanquam sacerdotium suscepisset, sed ut spretis voluptatibus animum rebus gerendis intendat. (72) Illud etiam ei persuadere conor, rem absurdissimam esse existimandum, si deteriores cum imperio præesse videat præstantioribus, ac prudentioribus dare mandata stultiores, atque assero fore ut, quanto magis aliorum inscitiam contemnat, tanto diligentius ingenium suum exerceat. Facto igitur initio ab iis quæ postrema posui, recita auditoribus hujus quoque orationis partem reliquam.

ΕΚ ΤΟΥ ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ.

73. Μάλιστα δ' ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν·

μέχρι τοῦ

Σοφοὺς νόμιζε μὴ τοὺς περὶ μικρῶν ἀκριβῶς ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας. Χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω τούτων.

EX ORATIONE AD NICOCLEM.

73. « Sic vero a temet ipse maxime cohortabere, si absurdum esse duxeris deteriores præstantioribus dominari et stolidiores prudentioribus imperare, » (§ 14)

usque ad hæc :

« Sapientes existima non eos qui de rebus minutis curiose rixantur, sed qui de maximis rebus egregie dicunt. Aut utere præceptis nostris, aut ipse his inveni meliora. (§ 39.)

74. Τῶν μὲν τοίνυν λόγων ἅλις ἡμῖν ἔστω τῶν ἀναγιγνωσκομένων καὶ τηλικοῦτο μῆκος ἐχόντων· ἐπεὶ μικροῦ γε μέρους τῶν πάλαι γεγραμμένων οὐκ ἂν ἀποσχοίμην, ἀλλ' εἴποιμ' ἂν εἴ τί μοι δόξειε πρέπον εἶναι τῷ παρόντι καιρῷ· καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους ἐγὼ μόνος ἀπεχοίμην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων, ἄλλως τε καὶ νῦν ὅτ' οὐ μόνον μικροῖς μέρεσιν ἀλλ' ὅλοις εἴδεσι προειλόμην χρῆσθαι πρὸς ὑμᾶς. Ταῦτα μὲν οὖν, ὅπως ἂν ἡμῖν συμπίπτῃ, ποιήσομεν.

75. Εἶπον δέ που, πρὶν ἀναγιγνώσκεσθαι τούτους, ὡς ἄξιος εἴην οὐ μόνον, εἰ βλαβεροῖς χρῶμαι τοῖς λόγοις, δοῦναι δίκην ὑμῖν, ἀλλ' εἰ μὴ τοιούτοις οἵοις οὐδεὶς ἄλλος, τῆς μεγίστης τυχεῖν τιμωρίας. Εἴ τινες οὖν ὑμῶν ὑπέλαβον τότε λίαν ἀλαζονικὸν εἶναι καὶ μέγα τὸ ῥηθέν, οὐκ ἂν δικαίως ἔτι τὴν γνώμην ταύτην ἔχοιεν· οἶμαι γὰρ ἀποδεδωκέναι τὴν ὑπόσχεσιν καὶ τοιούτους εἶναι τοὺς λόγους τοὺς ἀναγνωσθέντας οἵους περ ἐξ ἀρχῆς ὑπεθέμην. (76) Βούλομαι δ' ὑμῖν διὰ βραχέων ἀπολο-

74. Ex orationibus igitur quod recitatum est sat nobis esto, præsertim quum illæ sint tanta prolixitate; nam vel exiguam partem eorum quæ olim a me scripta sunt, in medium proferre non vererer, sed si quid huic causæ conveniret, aperte dicerem. Etenim absurdus essem, si, quum ab aliis mea usurpare intellexerim, ipse ab iis quæ composui, solus abstinerem; idque hac occasione, qua non tenuibus modo partibus, sed integris generibus uti coram vobis decrevi. Hæc igitur, ut nobis usu venerint, ita faciemus.

75. Dixi vero alicubi, antequam illa recitata sunt, non modo si perniciosas conscriberem orationes, pœna me esse dignum, sed si non tales proferrem, quales alius nemo, summo me esse supplicio afficiendum. Quodsi qui tunc nimis jactanter hoc pronunciatum et superbe dictum putabant, nunc in eadem sententia jure non maneant. Spero enim fidem me datam solvisse, talesque esse orationes recitatas quales ab initio pollicitus sum. (76) Volo autem brevi cujusque

γήσασθαι περὶ ἑκάστου, καὶ ποιῆσαι μᾶλλον ἔτι καταφανὲς ὡς ἀληθῆ καὶ τότε προεῖπον καὶ νῦν λέγω περὶ αὐτῶν. Καὶ πρῶτον μὲν ποῖος γένοιτ' ἂν λόγος ὁσιώτερος ἢ δικαιότερος τοῦ τοὺς προγόνους ἐγκωμιάζοντος ἀξίως τῆς ἀρετῆς τῆς ἐκείνων καὶ τῶν ἔργων τῶν πεπραγμένων αὐτοῖς; (77) ἔπειτα τίς ἂν πολιτικώτερος καὶ μᾶλλον πρέπων τῇ πόλει τοῦ τὴν ἡγεμονίαν ἀποφαίνοντος ἔκ τε τῶν ἄλλων εὐεργεσιῶν καὶ τῶν κινδύνων ἡμετέραν οὖσαν μᾶλλον ἢ Λακεδαιμονίων; ἔτι δὲ τίς ἂν περὶ καλλιόνων καὶ μειζόνων πραγμάτων τοῦ τοὺς Ἕλληνας ἐπί τε τὴν τῶν βαρβάρων στρατείαν παρακαλοῦντος καὶ περὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας συμβουλεύοντος; (78) Ἐν μὲν τοίνυν τῷ πρώτῳ λόγῳ περὶ τούτων τυγχάνω διειλεγμένος, ἐν δὲ τοῖς ὑστέροις περὶ ἐλαττόνων μὲν ἢ τηλικούτων, οὐ μὴν περὶ ἀχρηστοτέρων οὐδ' ἧττον τῇ πόλει συμφερόντων. Γνώσεσθε δὲ τὴν δύναμιν αὐτῶν, ἢν παραβάλλητε πρὸς ἕτερα τῶν εὐδοκιμούντων καὶ τῶν ὠφελίμων εἶναι δοκούντων.

79. Οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι τοὺς νόμους πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίους εἶναι τῷ βίῳ τῶν ἀνθρώπων· ἀλλ' ἡ μὲν τούτων χρῆσις τοῦτ' ὠφελεῖν μόνον πέφυκε, τὰ κατὰ τὴν πόλιν καὶ τὰ συμβόλαια τὰ γιγνόμενα πρὸς ἡμᾶς αὐτούς· εἰ δὲ τοῖς λόγοις πείθοισθε τοῖς ἐμοῖς, ὅλην τὴν Ἑλλάδα καλῶς ἂν διοικοῖτε καὶ δικαίως καὶ τῇ πόλει συμφερόντως· (80) χρὴ δὲ τοὺς νοῦν ἔχοντας περὶ ἀμφότερα μὲν ταῦτα σπουδάζειν, αὐτοῖν δὲ τούτοιν τὸ μεῖζον καὶ τὸ πλέονος ἄξιον προτιμᾶν, ἔπειτα κἀκεῖνο γιγνώσκειν, ὅτι νόμους μὲν θεῖναι μυρίοι καὶ τῶν ἄλλων Ἑλλήνων καὶ τῶν βαρβάρων ἱκανοὶ γεγόνασιν, εἰπεῖν δὲ περὶ τῶν συμφερόντων ἀξίως τῆς πόλεως καὶ τῆς Ἑλλάδος οὐκ ἂν πολλοὶ δυνηθεῖεν· (81) ὧν ἕνεκα τοὺς ἔργον ποιουμένους τοὺς τοιούτους λόγους εὑρίσκειν τοσούτῳ χρὴ περὶ πλείονος ποιεῖσθαι τῶν τοὺς νόμους τιθέντων καὶ γραφόντων, ὅσῳ πέρ εἰσι σπανιώτεροι καὶ χαλεπώτεροι καὶ ψυχῆς φρονιμωτέρας δεόμενοι τυγχάνουσιν, ἄλλως τε δὴ καὶ νῦν. (82) Ὅτε μὲν γὰρ ἤρχετο τὸ γένος τὸ τῶν ἀνθρώπων γίγνεσθαι καὶ συνοικίζεσθαι κατὰ πόλεις, εἰκὸς ἦν παραπλησίαν εἶναι τὴν ζήτησιν αὐτῶν· ἐπειδὴ δ' ἐνταῦθα προεληλύθαμεν ὥστε καὶ τοὺς λόγους τοὺς εἰρημένους καὶ τοὺς νόμους τοὺς κειμένους ἀναριθμήτους εἶναι, καὶ τῶν μὲν νόμων ἐπαινεῖσθαι τοὺς ἀρχαιοτάτους, τῶν δὲ λόγων τοὺς καινοτάτους, οὐκέτι τῆς αὐτῆς διανοίας ἔργον ἐστίν, (83) ἀλλὰ τοῖς μὲν τοὺς νόμους τιθέναι προαιρουμένοις προὔργου γέγονε τὸ πλῆθος τῶν κειμένων (οὐδὲν γὰρ αὐτοὺς δεῖ ζητεῖν ἑτέρους, ἀλλὰ τοὺς παρὰ τοῖς ἄλλοις εὐδοκιμοῦντας πειραθῆναι συναγαγεῖν, ὃ ῥᾳδίως ὅστις ἂν οὖν βουληθεὶς ποιήσειε), τοῖς δὲ περὶ τοὺς λόγους πραγματευομένοις διὰ τὸ προκατειλῆφθαι τὰ πλεῖστα τοὐναντίον συμβέβηκε· λέγοντες μὲν γὰρ ταὐτὰ τοῖς πρότερον εἰρημένοις ἀναισχυντεῖν καὶ ληρεῖν δόξουσι, καινὰ δὲ ζητοῦντες ἐπιπόνως εὑρήσουσι. Διόπερ ἔφασκον ἀμφοτέροις μὲν ἐπαινεῖσθαι

defensione adhibita magis etiam planum facere vobis, me et olim de iis vere dixisse et nunc pronunciare. Ac primum quæ oratio est a pietate laudabilior aut justior quam quæ majores prædicet ut dignum est illorum virtute rebusque gestis? (77) deinde quæ popularior urbique convenientior illa qua principatum quum ceterorum beneficiorum causa, tum propter discrimina quæ adiverimus, nobis potius quam Lacedæmoniis deberi doceat? denique quæ de honestioribus majoribusque rebus dicatur quam quæ Græcos ad bellum barbaris inferendum hortetur, ad concordiamque inter ipsos restituendam vocet? (78) Ac prima quidem oratione de hoc argumento disserui; in posterioribus minores quidem res quam tales tractavi, at quæ non minorem usum habeant minusve reipublicæ prosint. Quarum vim percipietis aliis comparatis, quæ quum magna laude ferantur, tum utilitatem magnam habere videantur.

79. Omnes igitur in eo consentire censeo, leges plurima et maxima beneficia in vitam humanam conferre; at earum usus in iis tantum prodesse solet, quæ ad urbem administrandam et negotia inter nosmet ipsos transigenda pertinent; si vero meis orationibus obtemperaretis, totam Græciam ut et justum est et urbi conducit administraretis. (80) Utrumque vero prudentes homines in animum inducere oportet, horumque quod majus præstantiusque sit præferre, atque illud animadvertere, innumerabiles alios et ceterorum Græcorum et barbarorum ad leges ferendas idoneos esse, dicere autem de rebus, ex quibus fructus percipiantur, pro dignitate urbis Græciæque non multos valere. (81) Quocirca qui in hujusmodi orationibus excogitandis operam ponunt, tanto pluris quam qui leges ferunt et scribunt faciendi sunt, quanto rariores sunt et ægrius fiunt et prudentiore animo indigent, præsertim his temporibus. (82) Quum enim genus humanum primum exsisteret et in urbibus congregari inciperet, æquum erat similem esse utrorumque inventionem; postquam vero eo pervenimus, ut orationes quæ habitæ sint et leges latæ numero infinitæ exstent, et legum antiquissimæ quæque, orationum autem recentissimæ laudentur, non amplius ejusdem mentis opera est, (83) sed legumlatoribus multitudo legum latarum adjumento est, quia non novæ quærendæ sunt, sed illæ tantum, quæ apud alios laudibus feruntur, colligendæ (id quod quilibet faciat); oratoribus vero non eadem copia est, plurimis argumentis ab aliis jam occupatis. Qui si eadem quæ alii antea dixerint, iterum dicant, parum verecunde agere atque delirare videbuntur, nova autem si quærant, ægre invenient. Itaque utrosque laude dignos

προσήκειν, πολὺ δὲ μᾶλλον τοῖς τὸ χαλεπώτερον ἐξεργάζεσθαι δυναμένοις.

84. Ἀλλὰ μὴν καὶ τῶν ἐπὶ τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην προσποιουμένων προτρέπειν ἡμεῖς ἂν ἀληθέστεροι καὶ χρησιμώτεροι φανεῖμεν ὄντες. Οἱ μὲν γὰρ παρακαλοῦσιν ἐπὶ τὴν ἀρετὴν καὶ τὴν φρόνησιν τὴν ὑπὸ τῶν ἄλλων μὲν ἀγνοουμένην, ὑπ' αὐτῶν δὲ τούτων ἀντιλεγομένην, ἐγὼ δ' ἐπὶ τὴν ὑπὸ πάντων ὁμολογουμένην. (85) Κἀκείνοις μὲν ἀπόχρη τοσοῦτον, ἢν ἐπαγαγέσθαι τινὰς τῇ δόξῃ τῇ τῶν ὀνομάτων συνηθῶσιν εἰς τὴν αὐτῶν ὁμιλίαν, ἐγὼ δὲ τῶν μὲν ἰδιωτῶν οὐδένα πώποτε φανήσομαι παρακαλέσας ἐπ' ἐμαυτόν, τὴν δὲ πόλιν ὅλην πειρῶμαι πείθειν τοιούτοις πράγμασιν ἐπιχειρεῖν, ἐξ ὧν αὐτοί τ' εὐδαιμονήσουσι καὶ τοὺς ἄλλους Ἕλληνας τῶν παρόντων κακῶν ἀπαλλάξουσι. (86) Καίτοι τὸν πάντας τοὺς πολίτας προτρέπειν προθυμούμενον πρὸς τὸ βέλτιον καὶ δικαιότερον προστῆναι τῶν Ἑλλήνων, πῶς εἰκὸς τοῦτον τοὺς συνόντας διαφθείρειν; τίς δὲ τοιούτους λόγους εὑρίσκειν δυνάμενος πονηροὺς ἂν καὶ περὶ πονηρῶν πραγμάτων ζητεῖν ἐπιχειρήσειεν, ἄλλως τε καὶ διαπεπραγμένος ἀπ' αὐτῶν ἅπερ ἐγώ; (87) τούτων γὰρ γραφέντων καὶ διαδοθέντων καὶ δόξαν ἔσχον παρὰ πολλοῖς καὶ μαθητὰς πολλοὺς ἔλαβον, ὧν οὐδεὶς ἂν παρέμεινεν, εἰ μὴ τοιοῦτον ὄντα με κατέλαβον οἷόν περ προσεδόκησαν· νῦν δὲ τοσούτων γεγενημένων, καὶ τῶν μὲν ἔτη τρία, τῶν δὲ τέτταρα συνδιαιτηθέντων, οὐδεὶς οὐδὲν φανήσεται τῶν παρ' ἐμοὶ μεμψάμενος, (88) ἀλλ' ἐπὶ τελευτῆς, ὅτ' ἤδη μέλλοιεν ἀποπλεῖν ὡς τοὺς γονέας καὶ τοὺς φίλους τοὺς ἑαυτῶν, οὕτως ἠγάπων τὴν διατριβὴν ὥστε μετὰ πόθου καὶ δακρύων ποιεῖσθαι τὴν ἀπαλλαγήν. Καίτοι πότερα χρὴ πιστεύειν ὑμᾶς τοῖς σαφῶς ἐπισταμένοις καὶ τοὺς λόγους καὶ τὸν τρόπον τὸν ἐμόν, ἢ τῷ μηδὲν μὲν εἰδότι τῶν ἐμῶν, προῃρημένῳ δὲ συκοφαντεῖν; (89) ὃς εἰς τοσοῦτο πονηρίας καὶ τόλμης ἐλήλυθεν, ὥστε γραψάμενος ὡς λόγους διδάσκω δι' ὧν πλεονεκτήσουσι παρὰ τὸ δίκαιον, ἀπόδειξιν μὲν οὐδεμίαν τούτων ἤνεγκε, λέγων δὲ διατετέλεκεν ὡς δεινόν ἐστι διαφθείρεσθαι τοὺς τηλικούτους, ὥσπερ ἀντιλέγοντός τινος περὶ τούτων, ἢ τοῦτο δέον αὐτὸν ἀποφαίνειν ὃ πάντες ὁμολογοῦσιν, ἀλλ' οὐχ ἐκεῖνο μόνον διδάσκειν ὡς ἐγὼ τυγχάνω ταῦτα διαπραττόμενος. (90) Καὶ εἰ μέν τις τοῦτον ἀπαγαγὼν ἀνδραποδιστὴν καὶ κλέπτην καὶ λωποδύτην μηδὲν μὲν αὐτὸν ἀποφαίνοι τούτων εἰργασμένον, διεξίοι δ' ὡς δεινὸν ἕκαστόν ἐστι τῶν κακουργημάτων, ληρεῖν ἂν φαίη καὶ μαίνεσθαι τὸν κατήγορον, αὐτὸς δὲ τοιούτοις λόγοις κεχρημένος οἴεται λανθάνειν ὑμᾶς. (91) Ἐγὼ δ' ἡγοῦμαι τοῦτό γε καὶ τοὺς ἀμαθεστάτους γιγνώσκειν, ὅτι δεῖ πιστὰς εἶναι καὶ μέγα δυναμένας τῶν κατηγοριῶν οὐχ αἷς ἔξεστι χρήσασθαι καὶ περὶ τῶν μηδὲν ἠδικηκότων, ἀλλ' ἃς οὐχ οἷόν τ' εἰπεῖν ἀλλ' ἢ κατὰ τῶν ἡμαρτηκότων· ὧν αὐτὸς ὀλιγωρήσας οὐδὲν προσήκοντας τῇ γραφῇ λόγους εἴρηκεν. (92) Ἔδει γὰρ αὐτὸν καὶ τοὺς λόγους δεικνύναι τοὺς

esse dixi, sed multo majore illos qui quod difficilius est perficere possunt.

84. Porro etiam iis qui ad continentiam justitiamque adhortari se simulant, nos idem et verius et majore cum fructu facere videamur. Illi enim ad virtutem prudentiamque quæ ab aliis ignoretur, et ab his ipsis addubitetur, adhortantur; ego vero ad eam quæ ab omnibus agnoscatur. (85) Atque illis etiam sufficit si quos fama nominis in sui consuetudinem allicere possint; ego vero privatorum hominum neminem unquam ad me vocasse videbor, sed totam civitatem adhortari ad eas res suscipiendas studeo, quibus et ipsi suam felicitatem augeant et ceteros Græcos calamitatibus iis, quibus nunc conflictentur, liberent. (86) At vero quomodo credibile est ab eo qui omnes cives admoneat ut melius justiusque Græcis præsint, familiares corrumpi? Quis, quum tales orationes invenire possit, pravas de pravis rebus quærere aggrediatur, præsertim si talia inde præmia qualia ego perceperit? (87) His enim scriptis et editis et famam apud multos consecutus sum et multos auditores obtinui, quorum nemo apud me restitisset nisi qualem me exspectaverant, talem cognovissent; nunc vero tanto eorum numero nemo, postquam alii tres annos, alii quattuor mecum fuerint, quidquam vitii in me reperit, (88) sed finita institutione, quando ad parentes amicosque suos erant navigaturi, tanto opere consuetudinem meam adamaverunt, ut cum desiderio et lacrimis discederent. At vero utris par est vos credere, iisne qui et orationes et mores meos cognoverunt, an ei qui rerum mearum ignarus calumniari me voluit? (89) qui tanta impudentia et audacia me persequitur, ut quum nomen meum detulerit eo quod rationes doceam quibus jus evertatur, nihil quo crimen probetur protulit, sed continuo effutiit non esse ferendum ut adolescentes corrumpantur, ac si ei quisquam de hac re contradicat, aut hoc in quo omnes consentiunt, demonstrandum sit, nec illud solum docendum, me esse eum qui faciat. (90) Ac si quis hunc, quod homines plagio surripuerit, furatus sit, parietes perfregerit, in jus vocaret, deinde horum criminum nullum probaret, sed quam indignum facinus unumquodque esset recenseret, nonne delirare accusatorem atque insanire diceret, ipse vero hac accusandi ratione usus fallere se posse putat? (91) Ego vero hoc etiam ab imperitissimis intelligi arbitror, accusationes firmas et validas esse oportere non quibus adversus innocentes uti liceat, sed quæ nisi in sontes adhiberi nequeant. Quibus ille neglectis nihil protulit quod accusationi conveniret. (92) Orationes enim meæ,

ἐμούς, οἷς διαφθείρω τοὺς συνόντας, καὶ τοὺς μαθητὰς φράζειν τοὺς χείρους διὰ τὴν συνουσίαν τὴν ἐμὴν γεγενημένους· νῦν δὲ τούτων μὲν οὐδέτερον πεποίηκε, παραλιπὼν δὲ τὴν δικαιοτάτην τῶν κατηγοριῶν ἐξαπατᾶν ὑμᾶς ἐπεχείρησεν. Ἐγὼ δ' ἐξ αὐτῶν τούτων ἐν ὧνπερ προσήκει καὶ δίκαιόν ἐστι, ποιήσομαι τὴν ἀπολογίαν.

93. Καὶ τοὺς μὲν λόγους ὀλίγῳ πρότερον ἀνέγνωμεν ὑμῖν, τοὺς δὲ κεχρημένους ἐκ μειρακίων μοι μέχρι γήρως δηλώσω, καὶ μάρτυρας ὑμῶν αὐτῶν παρέξομαι περὶ ὧν ἂν λέγω τοὺς κατὰ τὴν ἡλικίαν τὴν ἐμὴν γεγενημένους. Ἤρξαντο μὲν οὖν ἐν πρώτοις Εὔνομός μοι καὶ Λυσιθείδης καὶ Κάλλιππος πλησιάζειν, μετὰ δὲ τούτους Ὀνήτωρ, Ἀντικλῆς, Φιλωνίδης, Φιλόμηλος, Χαρμαντίδης. (94) Τούτους ἅπαντας ἡ πόλις χρυσοῖς στεφάνοις ἐστεφάνωσεν, οὐχ ὡς τῶν ἀλλοτρίων ἐφιεμένους, ἀλλ' ὡς ἄνδρας ἀγαθοὺς ὄντας καὶ πολλὰ τῶν ἰδίων εἰς τὴν πόλιν ἀνηλωκότας. Πρὸς οὓς ὅπως βούλεσθε θέτε με διακεῖσθαι· πρὸς γὰρ τὸ παρὸν πανταχῶς ἕξει μοι καλῶς. (95) Ἤν τε γὰρ ὑπολάβητε σύμβουλον εἶναί με καὶ διδάσκαλον τούτων, δικαίως ἂν ἔχοιτέ μοι πλείω χάριν ἢ τοῖς δι' ἀρετὴν ἐν πρυτανείῳ σιτουμένοις· τούτων μὲν γὰρ ἕκαστος αὑτὸν μόνον παρέσχε καλὸν κἀγαθόν, ἐγὼ δὲ τοσούτους τὸ πλῆθος ὅσους ὀλίγῳ πρότερον διῆλθον ὑμῖν. (96) Εἴ τε τῶν μὲν πεπραγμένων ἐκείνοις μηδὲν συναίτιος ἐγενόμην, ὡς ἑταίροις δὲ καὶ φίλοις αὐτοῖς ἐχρώμην, ἱκανὴν ὑπὲρ ὧν φεύγω τὴν γραφὴν ἡγοῦμαι καὶ ταύτην εἶναι τὴν ἀπολογίαν· εἰ γὰρ τοῖς μὲν δι' ἀρετὴν δωρεὰς εἰληφόσιν ἤρεσκον, τῷ δὲ συκοφάντῃ μὴ τὴν αὐτὴν ἔχω γνώμην, πῶς ἂν εἰκότως γνωσθείην τοὺς συνόντας διαφθείρειν; (97) ἢ πάντων γ' ἂν εἴην δυστυχέστατος, εἰ τῶν ἄλλων ἀνθρώπων ἔκ τε τῶν ἐπιτηδευμάτων καὶ τῶν συνουσιῶν τῶν μὲν χείρω τῶν δὲ βελτίω δόξαν λαμβανόντων ἐγὼ μόνος μὴ τύχοιμι τῆς δοκιμασίας ταύτης, ἀλλὰ τοιούτοις μὲν ἀνδράσι συμβεβιωκώς, ἀνέγκλητον δ' ἐμαυτὸν μέχρι ταυτησὶ τῆς ἡλικίας παρεσχηκώς, ὅμοιος εἶναι δόξαιμι τοῖς ἔκ τε τῶν ἐπιτηδευμάτων καὶ τῶν ἄλλων συνουσιῶν διαβεβλημένοις. Ἡδέως δ' ἂν εἰδείην τί ποτ' ἂν ἔπαθον, εἴ τίς μοι τοιοῦτος ἦν συγγεγενημένος οἷός πέρ ἐστιν ὁ κατήγορος, ὃς μισῶν ἅπαντας τοὺς τοιούτους καὶ μισούμενος εἰς τουτονὶ καθέστηκα τὸν κίνδυνον.

98. Καὶ μὴν οὐδ' ἐκεῖνος ὁ λόγος δικαίως ἄν με βλάψειεν, ὃν ἴσως ἄν τινες τολμήσαιεν εἰπεῖν τῶν παντάπασι πρός με δυσκόλως διακειμένων, ὡς τούτοις μὲν οἷς εἴρηκα τοσοῦτον μόνον ἐχρώμην ὅσον ὀφθῆναι διαλεγόμενος, ἕτεροι δέ τινές μοι πολλοὶ καὶ πολυπράγμονες μαθηταὶ γεγόνασιν, οὓς ἀποκρύπτομαι πρὸς ὑμᾶς. (99) Ἀξιῶ γάρ, εἰ μέν τινες τῶν ἐμοὶ συγγεγενημένων ἄνδρες ἀγαθοὶ γεγόνασι περὶ τὴν πόλιν καὶ τοὺς φίλους καὶ τὸν ἴδιον οἶκον, ἐκείνους ὑμᾶς ἐπαινεῖν, ἐμοὶ δὲ μηδεμίαν ὑπὲρ τούτων χάριν ἔχειν, εἰ δὲ πονηροὶ καὶ τοιοῦτοι τὰς φύσεις οἷοι φαίνειν καὶ γράφεσθαι καὶ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, παρ' ἐμοῦ δίκην λαμβάνειν. (100) Καίτοι τίς ἂν πρόκλησις γένοιτο ταύτης ἀνεπιφθονωτέρα, καὶ

quibus auditores meos corrumperem, indicandæ erant, et discipuli nominandi, qui consuetudine mea depravati essent. Quibus ille omissis justissimaque accusandi ratione rejecta in fraudem vos inducere conatus est. Ego autem his ipsis quibus par justumque est innisus causam meam dicam.

93. Atque orationes quidem paullo ante vobis recitavimus; adolescentes vero quorum consuetudine ad senectutem usque usus sim, æqualibus meis ex vobismetipsis verborum meorum testibus adhibitis vobis indicabo. Inter primos Euonymus, et Lysithides, et Callippus ad me venire solebant, et post hos Onetor, Anticles, Philonides, Philomelus, Charmantides: (94) quos civitas omnes aureis coronis ornavit, non quod alienis inhiabant, sed quod boni viri facti ex sua re familiari multa in rempublicam contulerunt. Erga quos facite meam utcumque libuerit conditionem; ad rem præsentem ab omni parte bene sese habebit. (95) Si enim me consiliarium eorum et magistrum censeatis, majorem mihi jure habeatis gratiam quam iis qui virtutis causa in Prytaneo epulantur. Horum enim quisque se tantum virum bonum præstitit, ego vero effeci ut tot essent numero quot paulo ante vobis nominavi. (96) Sin illorum res gestæ nihil ad me pertinent, sed iis tantum amicis et sodalibus usus sum, hanc quoque defensionem adversus crimina in me collata satisfacturam esse arbitror. Si enim hominibus publice ob virtutem donatis placebam, a mente sycophantæ vero abhorrebam, quomodo amicos meos corrupisse videri possim? (97) Aut omnium essem infelicissimus, si quum alii ex institutis suis necessitudinibusque aut melius aut pejus audiant, ego solus ab eodem judicio excluderer, et postquam cum talibus viris vixi integrumque me ad hanc ætatem præbui, iis annumerarer, qui et ob instituta sua et de cetero ob familiares reprehenduntur. Libenter scirem quæ sors mea futura esset, si amicus talis mecum fuisset qualis accusator est, qui omnes tales viros perosus iisque invisus ad hanc accusationem descendit.

98. Ac ne illa quidem accusatio, qua fortasse aliqui ex inimicis meis infensissimis usuri sint, jure me læserit, quod cum illis quos nominaverim, tantum modo temporis fuerim quam diu in publico conspectus sim cum iis versatus; alios autem mihi multos et novarum rerum studiosos discipulos fuisse, quos ego vos celem. (99) Volo enim, si qui familiarium meorum in rempublicam, in amicos, in domum suam boni exstiterunt, hos a vobis laudari, mihi vero eorum causa nullam referri gratiam; sin mali talique ingenio, ut delatores sint et accusent et aliena appetant, de me pœnas sumi. (100) At vero quæ exhortatio hac sit

δικαιοτέρα τῆς τῶν μὲν καλῶν κἀγαθῶν οὐκ ἀμφισβητούσης, εἰ δέ τινες πονηροὶ γεγόνασιν, ὑπὲρ τούτων δίκην ὑποσχεῖν ἐθελούσης; καὶ ταῦτ' οὐ λόγος μάτην εἰρημένος ἐστίν, ἀλλὰ παραχωρῶ καὶ τῷ κατηγόρῳ καὶ τῷ βουλομένῳ τῶν ἄλλων, εἴ τις ἔχει τινὰ φράσαι τοιοῦτον, οὐχ ὡς οὐχ ἡδέως ἄν τινών μου καταψευσαμένων, ἀλλ' ὡς εὐθὺς φανερῶν ἐσομένων ὑμῖν καὶ τῆς ζημίας ἐκείνοις ἀλλ' οὐκ ἐμοὶ γενησομένης.

101. Περὶ μὲν οὖν ὧν φεύγω τὴν γραφὴν καὶ τοῦ μὴ διαφθείρειν τοὺς συνόντας, οὐκ οἶδ' ὅπως ἂν σαφέστερον ἐπιδεῖξαι δυνηθείην· ἐμνήσθη δὲ καὶ τῆς πρὸς Τιμόθεόν μοι φιλίας γεγενημένης, καὶ διαβάλλειν ἡμᾶς ἀμφοτέρους ἐπεχείρησε, καὶ οὐκ ᾐσχύνθη περὶ ἀνδρὸς τετελευτηκότος καὶ πολλῶν ἀγαθῶν αἰτίου τῇ πόλει βλασφήμους καὶ λίαν ἀσελγεῖς λόγους εἰπών. (102) Ἐγὼ δ' ᾤμην μέν, εἰ καὶ φανερῶς ἐξηλεγχόμην ἀδικῶν, διὰ τὴν πρὸς ἐκεῖνον φιλίαν σώζεσθαί μοι προσήκειν· ἐπειδὴ δὲ Λυσίμαχος καὶ τοῖς τοιούτοις ἐπιχειρεῖ με βλάπτειν ἐξ ὧν δικαίως ἂν ὠφελοίμην, ἀναγκαίως ἔχει διαλεχθῆναι περὶ αὐτῶν. Διὰ τοῦτο δ' οὐχ ἅμα περὶ τούτου καὶ τῶν ἄλλων ἐπιτηδείων ἐποιησάμην τὴν μνείαν, ὅτι πολὺ τὰ πράγματα διέφερεν αὐτῶν. (103) Περὶ μὲν γὰρ ἐκείνων οὐδὲν φλαῦρον εἰπεῖν ὁ κατήγορος ἐτόλμησε, περὶ δὲ τὴν Τιμοθέου κατηγορίαν μᾶλλον ἐσπούδασεν ἢ περὶ ὧν ἀπήνεγκε τὴν γραφήν· ἔπειθ' οἱ μὲν ὀλίγων ἐπεστάτησαν, τῶν δ' ἑκάστῳ προσταχθέντων οὕτως ἐπεμελήθησαν ὥστε τυχεῖν τῆς τιμῆς τῆς ὀλίγῳ πρότερον ὑπ' ἐμοῦ λεχθείσης, ὁ δὲ πολλῶν καὶ μεγάλων πραγμάτων καὶ πολὺν χρόνον κατέστη κύριος. Ὥστ' οὐκ ἂν ἥρμοσεν ἅμα περὶ τούτου καὶ τῶν ἄλλων χρήσασθαι τοῖς λόγοις, ἀλλ' ἀναγκαίως εἶχεν οὕτω διελέσθαι καὶ διατάξασθαι περὶ αὐτῶν. (104) Χρὴ δὲ τὸν ὑπὲρ ἐκείνου λόγον οὐκ ἀλλότριον εἶναι νομίζειν τοῖς ἐνεστῶσι πράγμασιν, οὐδ' ἐμὲ λέγειν ἔξω τῆς γραφῆς· τοῖς μὲν γὰρ ἰδιώταις ὑπὲρ ὧν ἕκαστος ἔπραξε προσήκει διαλεχθεῖσι καταβαίνειν ἢ δοκεῖν περιεργάζεσθαι, τοῖς δ' ὑπολαμβανομένοις συμβούλοις εἶναι καὶ διδασκάλοις ὁμοίως ὑπὲρ τῶν συγγεγενημένων ὥσπερ ὑπὲρ αὑτῶν ἀναγκαῖον ποιεῖσθαι τὴν ἀπολογίαν, ἄλλως τ' ἢν καὶ τύχῃ τις διὰ τὴν αἰτίαν ταύτην κρινόμενος· ὅ περ ἐμοὶ συμβέβηκεν. (105) Ἑτέρῳ μὲν οὖν ἀπέχρησεν ἂν τοῦτ' εἰπεῖν, ὡς οὐ δίκαιόν ἐστι μετέχειν εἴ τι Τιμόθεος πράττων μὴ κατώρθωσεν· οὐδὲ γὰρ τῶν δωρεῶν οὐδὲ τῶν τιμῶν οὐδεὶς αὐτῷ μετέδωκε τῶν ἐκείνῳ ψηφισθεισῶν, ἀλλ' οὐδ' ἐπαινέσαι τῶν ῥητόρων οὐδεὶς ἠξίωσεν ὡς σύμβουλον γεγενημένον· εἶναι δὲ δίκαιον ἢ καὶ τῶν ἀγαθῶν κοινωνεῖν ἢ μηδὲ τῶν ἀτυχιῶν ἀπολαύειν. (106) Ἐγὼ δὲ ταῦτα μὲν αἰσχυνθείην ἂν εἰπεῖν, τὴν αὐτὴν δὲ ποιοῦμαι πρόκλησιν ἥνπερ καὶ περὶ τῶν ἄλλων· ἀξιῶ γάρ, εἰ μὲν κακὸς ἀνὴρ γέγονε Τιμόθεος καὶ πολλὰ περὶ ὑμᾶς ἐξήμαρτε, μετέχειν καὶ δίκην διδόναι καὶ πάσχειν ὅμοια τοῖς ἀδικοῦσιν· ἢν δ' ἐπιδειχθῇ καὶ πολίτης ὢν ἀγαθὸς καὶ στρατηγὸς τοιοῦτος οἷος οὐδεὶς ἄλλος ὧν ἡμεῖς ἴσμεν, ἐκεῖνον μὲν οἶμαι δεῖν ὑμᾶς ἐπαινεῖν

minus invidiosa justiorque, quæ de bonis honestisque rebus non contendit; sin mali evaserint, vindicias pro his non recusat? Neque hæc frustra a me dicta sunt, sed et accusatori et ceterorum cuilibet concedo, si quis talem nominare possit, non quasi non libenter aliqui mendaciis me persequantur, sed ut statim a vobis cogniti illi pœna, non ego, afficiantur.

101. Crimen igitur mihi objectum, et quod corrumpam adolescentes, nescio quomodo planius a me possim defendere. Mentione vero etiam meæ cum Timotheo amicitiæ facta calumniare utrumque nostrûm conatus est, non reveritus in virum defunctum multorumque in urbem collatorum beneficiorum auctorem maledicos nimisque petulantes sermones conjicere. (102) Ego vero etiamsi manifesto crimine tenerer, propter illius amicitiam absolvi me oportere existimabam. Sed quia Lysimachus iis me criminibus adortus est, quibus defensio mea jure inniteretur, de his quoque necesse est dicere. Idcircirco autem non simul hujus et ceterorum necessariorum meorum mentionem feci, quod eorum facta valde differunt. (103) Ac de illis quidem accusator mali nihil proferre ausus: sed quo diutius in Timothei accusatione versabatur quam in iis quæ adversus me detulit; deinde illi paucis quidem negotiis præerant, at unoquoque, quod cuique demandatum erat, ita functi sunt, ut eum honorem obtinerent quem paullo ante commemoravi, dum hic et multa et magna negotia eaque diu obibat. Itaque non satis conveniebat et de hoc et de illis simul verba fieri, sed necesse fuit eos sic discerni orationemque divisim institui. (104) Neque vero quisquam mea de illo verba ab instituto negotio aliena neque causam excedere censeat; privatis enim convenit, ubi de rebus suis defensionem finierint, de suggestu descendere aut præter rem laborare videri; qui vero aliorum se consiliarios magistrosque profiteantur, eos æque de necessariis suis ac de se causam dicere necesse est, præsertim si quis, id quod mihi accidit, hanc ipsam ob rem in jus vocatus sit. (105) Atque alii quidem satis erat, si quid Timotheus offendisset, negare ejus delicti jure se fieri participem, quum neque donorum neque honorum, qui illi decreti fuerint, quisquam partem aliquam in se contulerit, neque ullus orator laudaverit, quod Timothei consiliarius fuerit: æquum autem esse aut bonorum fieri participem, aut ab incommodis segregari. (106) Me vero pudet hæc dicere; sed eadem quæ de ceteris palam profiteor: si Timotheus malus vir fuerit multisque in rebus adversus vestram utilitatem publicam offenderit, me nolle ab eo segregari, sed pœnas dare idemque subire supplicium quod delinquentibus constitutum sit: sin et bonus civis et imperator talis, qualem alium nullum cognoverimus, compertus sit, illum censeo

καὶ χάριν ἔχειν αὐτῷ, περὶ δὲ ταυτησὶ τῆς γραφῆς ἐκ τῶν ἐμοὶ πεπραγμένων, ὅτι ἂν ὑμῖν δίκαιον εἶναι δοκῇ, τοῦτο γιγνώσκειν.

107. Ἀθροώτατον μὲν οὖν τοῦτ' εἰπεῖν ἔχω περὶ Τιμοθέου καὶ μάλιστα καθ' ἁπάντων, ὅτι τοσαύτας ᾕρηκε πόλεις κατὰ κράτος ὅσας οὐδεὶς πώποτε τῶν ἐστρατηγηκότων, οὔτε τῶν ἐκ ταύτης τῆς πόλεως οὔτε τῶν ἐκ τῆς ἄλλης Ἑλλάδος, καὶ τούτων ἐνίας, ὧν ληφθεισῶν ἅπας ὁ τόπος ὁ περιέχων οἰκεῖος ἠναγκάσθη τῇ πόλει γενέσθαι· τηλικαύτην ἑκάστη δύναμιν εἶχε. (108) Τίς γὰρ οὐκ οἶδε Κόρκυραν μὲν ἐν ἐπικαιροτάτῳ καὶ κάλλιστα κειμένην τῶν περὶ Πελοπόννησον, Σάμον δὲ τῶν ἐν Ἰωνίᾳ, Σηστὸν δὲ καὶ Κριθώτην τῶν ἐν Ἑλλησπόντῳ, Ποτίδαιαν δὲ καὶ Τορώνην τῶν ἐπὶ Θρᾴκης; ἃς ἐκεῖνος ἁπάσας κτησάμενος παρέδωκεν ὑμῖν, οὐ δαπάναις μεγάλαις, οὐδὲ τοὺς ὑπάρχοντας συμμάχους λυμηνάμενος, οὐδὲ πολλὰς ὑμᾶς εἰσφορὰς ἀναγκάσας εἰσενεγκεῖν, (109) ἀλλ' εἰς μὲν τὸν περίπλουν τὸν περὶ Πελοπόννησον τρία καὶ δέκα μόνον τάλαντα δούσης αὐτῷ τῆς πόλεως καὶ τριήρεις πεντήκοντα, Κόρκυραν εἷλε, πόλιν ὀγδοήκοντα τριήρεις κεκτημένην, καὶ περὶ τὸν αὐτὸν χρόνον Λακεδαιμονίους ἐνίκησε ναυμαχῶν, καὶ ταύτην αὐτοὺς ἠνάγκασε συνθέσθαι τὴν εἰρήνην, ἣ τοσαύτην μεταβολὴν ἑκατέρᾳ τῶν πόλεων ἐποίησεν, (110) ὥσθ' ἡμᾶς μὲν ἀπ' ἐκείνης τῆς ἡμέρας θύειν αὐτῇ καθ' ἕκαστον τὸν ἐνιαυτὸν ὡς οὐδεμιᾶς ἄλλης οὕτω τῇ πόλει συνενεγκούσης, Λακεδαιμονίων δὲ μετ' ἐκεῖνον τὸν χρόνον μηδ' ὑφ' ἑνὸς ἑωρᾶσθαι μήτε ναυτικὸν ἐντὸς Μαλέας περιπλέον μήτε πεζὸν στρατόπεδον διὰ τοῦ Ἰσθμοῦ πορευόμενον, ὅπερ αὐτοῖς τῆς περὶ Λεῦκτρα συμφορᾶς εὕροι τις ἂν αἴτιον γεγενημένον. (111) Μετὰ δὲ ταύτας τὰς πράξεις ἐπὶ Σάμον στρατεύσας, ἣν Περικλῆς ὁ μεγίστην ἐπὶ σοφίᾳ καὶ δικαιοσύνῃ καὶ σωφροσύνῃ δόξαν εἰληφὼς ἀπὸ διακοσίων νεῶν καὶ χιλίων ταλάντων κατεπολέμησε, ταύτην οὔτε πλέον οὔτ' ἔλαττον παρ' ὑμῶν λαβὼν οὔτε παρὰ τῶν συμμάχων ἐκλέξας, ἐν δέκα μησὶν ἐξεπολιόρκησεν ὀκτακισχιλίοις πελτασταῖς καὶ τριήρεσι τριάκοντα, καὶ τούτοις ἅπασιν ἐκ τῆς πολεμίας τὸν μισθὸν ἀπέδωκε. (112) Καίτοι τοιοῦτον ἔργον ἄν τις ἄλλος φανῇ πεποιηκώς, ὁμολογῶ ληρεῖν, ὅτι διαφερόντως ἐπαινεῖν ἐπιχειρῶ τὸν οὐδὲν περιττότερον τῶν ἄλλων διαπεπραγμένον. Ἐντεῦθεν τοίνυν ἀναπλεύσας Σηστὸν καὶ Κριθώτην ἔλαβε, καὶ τὸν ἄλλον χρόνον ἀμελουμένης Χερρονήσου προσέχειν ὑμᾶς αὐτῇ τὸν νοῦν ἐποίησε. (113) Τὸ δὲ τελευταῖον Ποτίδαιαν, εἰς ἣν ἡ πόλις τετρακόσια καὶ δισχίλια τάλαντα τὸ πρότερον ἀνήλωσε, ταύτην εἷλεν ἀπὸ τῶν χρημάτων ὧν αὐτὸς ἐπόρισε καὶ τῶν συντάξεων τῶν ἀπὸ Θρᾴκης· καὶ προσέτι Χαλκιδεῖς ἅπαντας κατεπολέμησεν. Εἰ δὲ δεῖ μὴ καθ' ἕκαστον ἀλλὰ διὰ βραχέων εἰπεῖν, τεττάρων καὶ εἴκοσι πόλεων κυρίους ὑμᾶς ἐποίησεν ἔλαττω δαπανήσας ὧν οἱ πατέρες ἡμῶν εἰς τὴν Μηλίων πολιορκίαν ἀνήλωσαν.

114. Ἠβουλόμην δ' ἄν, ὥσπερ ἐξαριθμῆσαι τὰς πρά-

laude vobis afficiendum esse gratiasque ei agendas, de accusatione vero mea ex rebus gestis meis, quidquid vobis justum visum fuerit, id constituendum.

107. In universum igitur et maxime de omnibus hoc possum dicere, Timotheum tot urbes vi cepisse quot nemo unquam eorum qui exercitus duxerunt, nec modo hujus urbis, sed etiam totius Græciæ, et urbium nonnullas quibus captis tota regio in nostram se fidem dare coacta est, quia tantam quæque potentiam obtinebat. (108) Quis enim nescit inter omnes Corcyram circa Peloponnesum, Samum in Ionia, Sestum et Crithoten in Hellesponto, Potidæam et Toronam in vicinia Thraciæ maxime opportuno pulcherrimoque loco sitas esse? Quas ille omnes captas vobis tradidit, non magno sumptu, neque sociis offensis, neque multis collationibus a vobis exactis, (109) sed quum civitas ei tredecim tantum talenta in circumnavigationem Peloponnesi et triremes quinquaginta dedisset, Corcyram urbem octoginta triremibus instructam cepit, Lacedæmoniosque eodem tempore navali prœlio victos ad hanc pacem ineundam compulit, quæ utrique civitati tantam mutationem attulit, (110) ut nos ab illo inde die sacra pro ea quotannis faceremus ut pro re qua nulla majus emolumentum reipublicæ attulerit; Lacedæmoniorum autem ab illo tempore neque classis intra Maleam circumnavigans neque exercitus per Isthmum proficiscens visus sit, quod causam cladis ad Leuctra acceptæ fuisse jure quis existimaverit. (111) Quibus rebus gestis in Samum profectus, quam Pericles, qui maximam sapientiæ et justitiæ et continentiæ famam consecutus est, ducentis navibus et mille talentis debellavit, hanc nulla a vobis nec majore nec minore impensa facta neque tributis a sociis exactis decem mensibus expugnavit octo millibus ferentariorum et triginta triremibus instructus, quibus ille omnibus ex hostico stipendium solvit. (112) Jam si quis alius tantam rem gesserit, delirare me confiteor, quod eum laudibus extollere studeo, qui ceteris nihil præstantius egerit. Inde igitur navibus profectus Sestum et Crithoten cepit; quo facto nos neglectæ diu Chersonesi rationem habere compulit; (113) postremoque Potidæam, in quam civitas duo millia et quadringenta talenta olim insumpserat, opibus quas ipse sibi comparavit tributisque e Thracia collectis in potestatem suam redegit, et præterea omnes Chalcidenses subegit. Denique si non singula enumeranda sunt, sed breviter dicendum est, urbes viginti quattuor in fidem recepit minore pecunia quam ea erat quam nostri majores in Meliorum obsidionem erogarunt.

114. Vellem autem, ut res gestas enumerare facile fuit,

ξεις ῥᾴδιον γέγονεν, οὕτως οἷόντ' εἶναι συντόμως δηλῶσαι τοὺς καιροὺς ἐν οἷς ἕκαστα τούτων ἐπράχθη, καὶ τὰ τῆς πόλεως ὡς εἶχε, καὶ τὴν τῶν πολεμίων δύναμιν· πολὺ γὰρ ἂν ὑμῖν αἵ τ' εὐεργεσίαι μείζους κἀκεῖνος πλείονος ἄξιος ἔδοξεν εἶναι. (115) Νῦν δὲ ταῦτα μὲν ἐάσω διὰ τὸ πλῆθος, ἡγοῦμαι δ' ὑμᾶς ἡδέως ἂν ἀκοῦσαι διὰ τί ποτε τῶν μὲν εὐδοκιμούντων ἀνδρῶν παρ' ὑμῖν καὶ πολεμικῶν εἶναι δοκούντων οὐδὲ κώμην ἔνιοι λαβεῖν ἠδυνήθησαν, Τιμόθεος δ' οὔτε τὴν τοῦ σώματος φύσιν ἔχων ἐρρωμένην οὔτ' ἐν τοῖς στρατοπέδοις τοῖς πλανωμένοις κατατετριμμένος, ἀλλὰ μεθ' ὑμῶν πολιτευόμενος τηλικαῦτα διεπράξατο τὸ μέγεθος. Ἔστι δ' ὁ λόγος ὁ περὶ τούτων φιλαπεχθήμων μέν, ῥηθῆναι δ' οὐκ ἀσύμφορος. (116) Ἐκεῖνος γὰρ τούτῳ τῶν ἄλλων διήνεγκεν, ὅτι περὶ τῶν Ἑλληνικῶν καὶ συμμαχικῶν πραγμάτων καὶ τῆς ἐπιμελείας τῆς τούτων οὐ τὴν αὐτὴν ὑμῖν γνώμην εἶχεν. Ὑμεῖς μὲν γὰρ χειροτονεῖτε στρατηγοὺς τοὺς εὐρωστοτάτους τοῖς σώμασι καὶ πολλάκις ἐν τοῖς ξενικοῖς στρατεύμασι γεγενημένους, ὡς διὰ τούτων διαπραξόμενοί τι τῶν δεόντων· ὁ δὲ τοῖς μὲν τοιούτοις λοχαγοῖς ἐχρῆτο καὶ ταξιάρχοις, (117) αὐτὸς δὲ περὶ ταῦτα δεινὸς ἦν, περὶ ἅπερ χρὴ φρόνιμον εἶναι τὸν στρατηγὸν τὸν ἀγαθόν. Ἔστι δὲ ταῦτα τίνα δύναμιν ἔχοντα; δεῖ γὰρ οὐχ ἁπλῶς εἰπεῖν, ἀλλὰ σαφῶς φράσαι περὶ αὐτῶν. Πρῶτον μὲν δύνασθαι γνῶναι πρὸς τίνας πολεμητέον καὶ τίνας συμμάχους ποιητέον· ἀρχὴ γὰρ αὕτη στρατηγίας ἐστίν, ἧς ἤν διαμάρτῃ τις, ἀνάγκη τὸν πόλεμον ἀσύμφορον καὶ χαλεπὸν καὶ περίεργον εἶναι. (118) Περὶ τοίνυν τὴν τοιαύτην προαίρεσιν οὐ μόνον οὐδεὶς τοιοῦτος γέγονεν, ἀλλ' οὐδὲ παραπλήσιος. Ῥᾴδιον δ' ἐξ αὐτῶν τῶν ἔργων γνῶναι· πλείστους γὰρ πολέμους ἄνευ τῆς πόλεως ἀνελόμενος, ἅπαντας τούτους κατώρθωσε καὶ δικαίως ἅπασι τοῖς Ἕλλησιν ἔδοξεν αὐτοὺς ποιήσασθαι. Καίτοι τοῦ καλῶς βουλεύσασθαι τίς ἂν ἀπόδειξιν ἔχοι σαφεστέραν καὶ μείζω ταύτης παρασχέσθαι; (119) Δεύτερον τί προσήκει τὸν στρατηγὸν τὸν ἀγαθόν; στρατόπεδον συναγαγεῖν ἁρμόττον τῷ πολέμῳ τῷ παρόντι, καὶ τοῦτο συντάξαι καὶ χρήσασθαι συμφερόντως. Ὡς μὲν τοίνυν ἠπίστατο χρῆσθαι καλῶς, αἱ πράξεις αὐταὶ δεδηλώκασιν· ὡς δὲ καὶ πρὸς τὸ παρασκευάσασθαι μεγαλοπρεπῶς καὶ τῆς πόλεως ἀξίως ἁπάντων διήνεγκεν, οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἂν ἄλλως εἰπεῖν τολμήσειεν. (120) Ἔτι τοίνυν πρὸς τούτοις ἀπορίας ἐνεγκεῖν στρατοπέδου καὶ πενίας, καὶ πάλιν εὐπορίας εὑρεῖν, τίς οὐκ ἂν τῶν συνεστρατευμένων πρὸς ἀμφότερα ταῦτα διαφέρειν ἐκεῖνον προκρίνειεν; συνίσασι γὰρ αὐτῷ κατὰ μὲν ἀρχὰς τῶν πολέμων διὰ τὸ μηδὲν παρὰ τῆς πόλεως λαμβάνειν εἰς τὰς ἐσχάτας ἐνδείας καθιστάμενον, ἐκ δὲ τούτων εἰς τοῦτο τὰ πράγματα περιιστάναι δυνάμενον, ὥστε καὶ τῷ πολέμῳ περιγίγνεσθαι καὶ τοῖς στρατιώταις ἐντελεῖς ἀποδιδόναι τοὺς μισθούς. (121) Οὕτω τοίνυν τούτων μεγάλων ὄντων καὶ σφόδρα κατεπειγόντων, ἐπὶ τοῖς ἐχομένοις δικαίως ἄν τις αὐτὸν ἔτι μᾶλλον ἐπαινέσειεν.

ita etiam breviter me declarare posse quibus quæque res temporibus transacta sit et quæ reipublicæ conditio et hostium potestas fuerit, quo benefacta majora atque ille pluris æstimandus vobis esse videretur. (115) Quibus nunc ob multitudinem omissis, vos tamen libenter audire velle credo cur nonnulli eorum qui magna laude apud vos ferebantur reique militaris peritissimi videbantur, ne vicum quidem capere potuerint; Timotheus contra neque corporis viribus insignis neque in vagis exercitibus versatus, sed vobiscum civis inter cives ætatem agens, tantas res gesserit. Quæ quidem expositio quanquam invidia non caret, tamen non sine fructu audietur. (116) Ille enim ideo ceteris antecelluit, quod de rebus Græcorum sociorumque atque earum administratione a vestra sententia quam maxime recedebat. Vos enim imperatores eligitis corpore validissimos in mercenariisque exercitibus sæpe versatos, ut per hos quod e re sit geratis; his vero ille centurionibus et ordinum ductoribus utebatur, (117) quum ipse illis rebus esset egregius, quibus prudentem et bonum imperatorem excellere necesse est. Atque hæc quidem quamnam vim habent? quæ non sufficit in universum indicasse, sed singula quæque accurate enumeranda sunt. Primum hoc, ut possis cognoscere quibus bellum inferendum quique socii adsciscendi sint. Fundamentum autem illud est artis imperatoriæ, qua in re si quis falsus fuerit, bellum necesse est et inutile fieri et arduum et supervacaneum. (118) In tali igitur consilio nemo non modo talis, sed ne similis quidem fuit: id quod rebus ipsis facile cognoscitur. Plurimis enim bellis injussu civium susceptis rem semper prospere gessit, omnibusque Græcis ea jure fecisse visus est. Prudentis vero consilii quis illo evidentius majusque argumentum exhibere possit? (119) Secundo loco quid convenit bono imperatori? Exercitum posse contrahere bello instanti idoneum, atque ordinare, eumque cum fructu adhibere. Atque scivisse illum exercitu bene uti, res ipsæ documento sunt; deinde apparatu magnifico, ut dignus erat republica, eum omnibus antecelluisse, ne inimicorum quidem quisquam est qui negare ausus sit. (120) Præterea in inopia exercitus toleranda et penuria, et rursus copiis parandis, quis commilitonum eum in utroque excelluisse non judicet? Sciunt enim illum, quum sub initium bellorum, nullo ab urbe commeatu accepto, extrema necessitate laboraret, postea res in eam conditionem adduxisse, ut et bello superior evaderet et militibus stipendium integrum penderet. (121) Quæ quum magna sint atque adeo excellant, ob ea quæ cum his cohæreant, jure illum quis etiam magis prædicet.

Ὁρῶν γὰρ ὑμᾶς τούτους μόνους ἄνδρας νομίζοντας, τοὺς ἀπειλοῦντας καὶ τοὺς ἐκφοβοῦντας τὰς ἄλλας πόλεις καὶ τοὺς ἀεί τι νεωτερίζοντας ἐν τοῖς συμμάχοις, οὐκ ἐπηκολούθησε ταῖς ὑμετέραις γνώμαις, οὐδ' ἠδουλήθη βλάπτων τὴν πόλιν εὐδοκιμεῖν, ἀλλὰ τοῦτ' ἐφιλοσόφει καὶ τοῦτ' ἔπραττεν, ὅπως μηδεμία τῶν πόλεων αὐτὸν φοβήσεται τῶν Ἑλληνίδων, ἀλλὰ πᾶσαι θαρρήσουσι πλὴν τῶν ἀδικουσῶν. (122) Ἠπίστατο γὰρ τούς τε δεδιότας ὅτι μισοῦσι δι' οὓς ἂν τοῦτο πεπονθότες τυγχάνωσι, τήν τε πόλιν διὰ μὲν τὴν φιλίαν τὴν τῶν ἄλλων εὐδαιμονεστάτην καὶ μεγίστην γενομένην, διὰ δὲ τὸ μῖσος μικρὸν ἀπολιποῦσαν τοῦ μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν. Ὧν ἐνθυμούμενος τῇ μὲν δυνάμει τῇ τῆς πόλεως τοὺς πολεμίους κατεστρέφετο, τῷ δ' ἤθει τῷ αὑτοῦ τὴν εὔνοιαν τὴν τῶν ἄλλων προσήγετο, νομίζων τοῦτο στρατήγημα μεῖζον εἶναι καὶ κάλλιον ἢ πολλὰς πόλεις ἑλεῖν καὶ πολλάκις νικῆσαι μαχόμενος. (123) Οὕτω δ' ἐσπούδαζε περὶ τὸ μηδεμίαν τῶν πόλεων μηδὲ μικρὰν ὑποψίαν περὶ αὑτοῦ λαβεῖν ὡς ἐπιβουλεύοντος, ὥσθ' ὁπότε μέλλοι τινὰ παραπλεῖν τῶν μὴ τὰς συντάξεις διδουσῶν, πέμψας προηγόρευε τοῖς ἄρχουσιν, ἵνα μὴ πρὸ τῶν λιμένων ἐξαίφνης ὀφθεὶς εἰς θόρυβον καὶ ταραχὴν αὐτοὺς καταστήσειεν. (124) Εἰ δὲ τύχοι καθορμισθεὶς πρὸς τὴν χώραν, οὐκ ἂν ἐφῆκε τοῖς στρατιώταις ἁρπάζειν καὶ κλέπτειν καὶ πορθεῖν τὰς οἰκίας, ἀλλὰ τοσαύτην εἶχεν ἐπιμέλειαν ὑπὲρ τοῦ μηδὲν γίγνεσθαι τοιοῦτον, ὅσην περ οἱ δεσπόται τῶν χρημάτων· οὐ γὰρ τούτῳ προσεῖχε τὸν νοῦν, ὅπως ἐκ τῶν τοιούτων αὐτὸς εὐδοκιμήσει παρὰ τοῖς στρατιώταις, ἀλλ' ὅπως ἡ πόλις παρὰ τοῖς Ἕλλησιν. (125) Πρὸς δὲ τούτοις τὰς δοριαλώτους τῶν πόλεων οὕτω πρᾴως διῴκει καὶ νομίμως, ὡς οὐδεὶς ἄλλος τὰς συμμαχίδας, ἡγούμενος, εἰ τοιοῦτος ὢν φαίνοιτο περὶ τοὺς πολεμήσαντας, τὴν μεγίστην πίστιν ἔσεσθαι δεδωκὼς ὡς οὐδέποτ' ἂν περί γε τοὺς ἄλλους ἐξαμαρτεῖν τολμήσειεν. (126) Τοιγάρτοι διὰ τὴν δόξαν τὴν ἐκ τούτων γιγνομένην πολλαὶ τῶν πόλεων τῶν πρὸς ὑμᾶς δυσκόλως ἐχουσῶν ἀναπεπταμέναις αὐτὸν ἐδέχοντο ταῖς πύλαις· ἐν αἷς ἐκεῖνος οὐδεμίαν ταραχὴν ἐποίησεν, ἀλλ' ὥσπερ οἰκουμένας αὐτὰς εἰσιὼν κατέλαβεν, οὕτως ἐξιὼν κατέλειπεν. (127) Κεφάλαιον δὲ πάντων τούτων· εἰθισμένων γὰρ τὸν ἄλλον χρόνον πολλῶν γίγνεσθαι καὶ δεινῶν ἐν τοῖς Ἕλλησιν, ἐπὶ τῆς ἐκείνου στρατηγίας οὐδεὶς ἂν οὔτ' ἀναστάσεις εὕροι γεγενημένας οὔτε πολιτειῶν μεταβολὰς οὔτε σφαγὰς καὶ φυγὰς οὔτ' ἄλλ' οὐδὲν τῶν κακῶν τῶν ἀνηκέστων, ἀλλ' οὕτως αἱ τοιαῦται συμφοραὶ κατ' ἐκεῖνον τὸν χρόνον ἐλώφησαν, ὥστε μόνος ὧν ἡμεῖς μνημονεύομεν ἀνέγκλητον τὴν πόλιν τοῖς Ἕλλησι παρέσχε. (128) Καίτοι χρὴ στρατηγὸν ἄριστον νομίζειν οὐχ εἴ τις μιᾷ τύχῃ τηλικοῦτόν τι κατώρθωσεν ὥσπερ Λύσανδρος, ὃ μηδενὶ τῶν ἄλλων διαπράξασθαι συμβέβηκεν, ἀλλ' ὅστις ἐπὶ πολλῶν καὶ παντοδαπῶν καὶ δυσκόλων πραγμάτων ὀρθῶς ἀεὶ πράττων

Quum enim vos videret eos tantummodo viros habere, qui aliis minitarentur ceterasque civitates terrerent, quique in sociis semper novi quid molirentur, vestræ opinioni non obsecutus est, neque cum reipublicæ detrimento gloriam consequi voluit, sed hoc meditatus est curavitque, ut Græca urbs nulla eum metueret, sed omnes bono essent animo iis exceptis quæ injuriam facerent. (122) Neque enim ignorabat, qui metuerent, eos odio flagrare adversus eos per quos in eam animi affectionem adducti essent, urbemque quæ aliarum benevolentia opulentissima et maxima facta esset, odio non multum abfuisse quin in extremos casus incideret. Quibus reputatis, copiis reipublicæ hostes subegit, sua humanitate voluntatem aliorum sibi conciliavit, majus pulchriusque factum imperatorium id esse ratus quam multas urbes cepisse pugnisque sæpe victorias reportasse. (123) Adeo vero studuit ne vel uni urbi vel minimam suspicionem insidiarum præberet, ut si quando adversus ullam civitatem, quæ tributa non pependisset, navibus esset soluturus, missis nunciis id magistratibus indicaverit, ne ante portus subito conspectus in tumultum et trepidationem eos conjiceret. (124) Atque ubi ad regionem classe appulit, non permisit militibus ut libere prædas agerent et furarentur domosque everterent, sed tanta cura cavit ne tale quid fieret, quanta ipsi possessores divitiarum. Neque enim sua tantum interesse judicavit ut hac disciplina bonam famam apud milites adipisceretur, sed urbs etiam ut apud Græcos inclaresceret. (125) Præterea urbes bello captas tam miti animo, tam juste tractavit, ut nemo alius fœderatas, hac sententia ductus, si tantam clementiam ostendisset rebellibus, fore ut maximum documentum daret se nunquam alios esse violaturum (126) Quocirca multæ urbes quæ alieno a vobis animo erant, propter famam illius rebus gestis impetratam apertis portis eum susceperunt, neque ille quidquam in iis turbæ excitavit, sed ut eas ingrediens constitutas repererat, ita eas egrediens reliquit. (127) Quorum omnium summum est quod, quum reliquo tempore multæ gravesque calamitates Græcis accidere solerent, illo imperatore nemo neque seditiones factas neque civitatum immutationes neque cædes neque exilia neque aliud ullum ex gravioribus malis incidisse reperiat: quæ clades illo tempore adeo quieverunt, ut solus omnium nostra memoria urbem nostram invidia liberatam Græcis præstiterit. (128) Atqui non is optimus habendus est imperator, si quis uno fortunæ favore, ut Lysander, ejusmodi rem prospere gesserit, qualis nulli alii contigerit; sed is qui in multis ac variis et asperis rebus

καὶ νοῦν ἐχόντως διατετέλεκεν· ὅπερ Τιμοθέῳ συμβέβηκεν.

129. Οἶμαι οὖν ὑμῶν τοὺς πολλοὺς θαυμάζειν τὰ λεγόμενα καὶ νομίζειν τὸν ἔπαινον τὸν ἐκείνου κατηγορίαν εἶναι τῆς πόλεως, εἰ τοσαύτας μὲν πόλεις ἑλόντα, μηδεμίαν δ' ἀπολέσαντα περὶ προδοσίας ἔκρινε, καὶ πάλιν εἰ διδόντος εὐθύνας αὐτοῦ, καὶ τὰς μὲν πράξεις Ἰφικράτους ἀναδεχομένου, τὸν δ' ὑπὲρ τῶν χρημάτων λόγον Μενεσθέως, τούτους μὲν ἀπέλυσε, Τιμόθεον δὲ τοσούτοις ἐζημίωσε χρήμασιν ὅσοις οὐδένα πώποτε τῶν προγεγενημένων. (130) Ἔχει δ' οὕτως· βούλομαι γὰρ καὶ τὸν ὑπὲρ τῆς πόλεως λόγον εἰπεῖν. Εἰ μὲν ὑμεῖς πρὸς αὐτὸ τὸ δίκαιον ἀποβλέποντες σκέψεσθε περὶ τούτων, οὐκ ἔστιν ὅπως οὐ δεινὰ καὶ σχέτλια πᾶσιν εἶναι δόξει τὰ πεπραγμένα περὶ Τιμόθεον· ἢν δ' ἀναλογίσησθε τὴν ἄγνοιαν ὅσην ἔχομεν πάντες ἄνθρωποι, καὶ τοὺς φθόνους τοὺς ἐπιγιγνομένους ἡμῖν, ἔτι δὲ τὰς ταραχὰς καὶ τὴν τύρβην ἐν ᾗ ζῶμεν, οὐδὲν τούτων ἀλόγως οὐδ' ἔξω τῆς ἀνθρωπίνης φύσεως εὑρεθήσεται γεγενημένον, ἀλλὰ καὶ Τιμόθεος μέρος τι συμβεβλημένος τοῦ μὴ κατὰ τρόπον γνωσθῆναι περὶ αὐτῶν. (131) Ἐκεῖνος γὰρ οὔτε μισόδημος ὢν οὔτε μισάνθρωπος οὔθ' ὑπερήφανος, οὔτ' ἄλλ' οὐδὲν ἔχων τῶν τοιούτων κακῶν, διὰ τὴν μεγαλοφροσύνην τὴν τῇ στρατηγίᾳ μὲν συμφέρουσαν, πρὸς δὲ τὰς χρείας τῶν ἀεὶ προσπιπτόντων οὐχ ἁρμόττουσαν, ἅπασιν ἔδοξεν ἔνοχος εἶναι τοῖς προειρημένοις· οὕτω γὰρ ἀφυὴς ἦν πρὸς τὴν τῶν ἀνθρώπων θεραπείαν ὥσπερ δεινὸς περὶ τὴν τῶν πραγμάτων ἐπιμέλειαν. (132) Καίτοι πολλάκις καὶ παρ' ἐμοῦ τοιούτους λόγους ἤκουσεν, ὡς χρὴ τοὺς πολιτευομένους καὶ βουλομένους ἀρέσκειν προαιρεῖσθαι μὲν τῶν τε πράξεων τὰς ὠφελιμωτάτας καὶ βελτίστας καὶ τῶν λόγων τοὺς ἀληθεστάτους καὶ δικαιοτάτους, οὐ μὴν ἀλλὰ κἀκεῖνο παρατηρεῖν καὶ σκοπεῖν ὅπως ἐπιχαρίτως καὶ φιλανθρώπως ἅπαντα φανήσονται καὶ λέγοντες καὶ πράττοντες, ὡς οἱ τούτων ὀλιγωροῦντες ἐπαχθέστεροι καὶ βαρύτεροι δοκοῦσιν εἶναι τοῖς συμπολιτευομένοις. (133) « Ὁρᾷς δὲ τὴν φύσιν τὴν τῶν πολλῶν ὡς διάκειται πρὸς τὰς ἡδονάς, καὶ διότι μᾶλλον φιλοῦσι τοὺς πρὸς χάριν ὁμιλοῦντας ἢ τοὺς εὖ ποιοῦντας, καὶ τοὺς μετὰ φαιδρότητος καὶ φιλανθρωπίας φενακίζοντας ἢ τοὺς μετ' ὄγκου καὶ σεμνότητος ὠφελοῦντας. Ὧν οὐδέν σοι μεμέληκεν, ἀλλ' ἢν ἐπιεικῶς τῶν ἔξω πραγμάτων ἐπιμεληθῇς, οἴει σοι καὶ τοὺς ἐνθάδε πολιτευομένους καλῶς ἕξειν. (134) Τὸ δ' οὐχ οὕτως, ἀλλὰ τοὐναντίον φιλεῖ συμβαίνειν. Ἢν γὰρ τούτοις ἀρέσκῃς, ἅπαν ὅ τι ἂν πράξῃς οὐ πρὸς τὴν ἀλήθειαν κρινοῦσιν, ἀλλὰ πρὸς τὸ σοὶ συμφέρον ὑπολήψονται, καὶ τὰ μὲν ἁμαρτανόμενα παρόψονται, τὸ δὲ κατορθωθὲν οὐρανόμηκες ποιήσουσιν· ἡ γὰρ εὔνοια πάντας οὕτω διατίθησιν. (135) Ἣν σὺ τῇ μὲν πόλει παρὰ τῶν ἄλλων ἐκ παντὸς τρόπου κτήσασθαι ζητεῖς, ἡγούμενος μέγιστον εἶναι τῶν ἀγαθῶν, αὐτὸς δὲ σαυτῷ παρὰ τῆς πόλεως οὐκ οἴει δεῖν τὴν αὐτὴν ταύτην παρασκευά-

semper omnia recte gesserit prudenterque transegerit : id quod in Timotheo evenit.

129. Puto autem vestrûm plerosque hæc dicta mirari illiusque laudem putare urbis esse reprehensionem, quod illum tot captis urbibus nullaque amissa proditionis crimine in judicium vocavit, et rursum quam rationes ab eo poscerentur et res gestas Iphicrates, pecuniarum rationem Menestheus in se recepisset, hos absolvit, Timotheum vero tanta pecunia mulctavit, quanta nullum unquam alium. (130) Res autem ita se habet; volo enim etiam pro urbe causam dicere. Si vos illud quod justum sit, in hac causa solum respicietis, fieri non poterit quin gravia et indigna ea videantur, quæ Timotheo acciderunt; sin considerabitis ignorantiam, qua omnes tenemur homines, et invidiam, cui omnes obnoxii sumus, deinde tumultus turbasque inter quas vivimus, nihil horum sine ratione neque præter humanæ naturæ legem evenisse reperietur, sed Timotheum etiam nonnihil ipsum attulisse, quo minus de his recte judicaretur. (131) Ille enim, qui neque a populo alienus erat, neque inhumanus, neque superbus, neque alio ejusmodi vitio affectus, propter animi celsitudinem imperatorio quidem muneri aptam, usibus tamen quotidianis non convenientem, omnibus vitiis quæ dixi obnoxius esse videbatur. Tam enim ad homines colendos ineptus videbatur, quam ad res gerendas egregius. (132) At vero sæpe etiam a me verbis hujuscemodi admonitus est : debere eos qui rempublicam capessere plebique placere vellent, res utilissimas et optimas aggredi verbisque uti verissimis æquissimisque; sed illud quoque tenere et spectare, ut omnia eleganter et comiter agere et facere viderentur; quod qui negligerent, importuniores et insolentiores civibus suis videri. (133) « Vides (ita loquebar) multitudinis ingenium ad voluptates pronum, ideoque præferre ad gratiam loquentes iis qui beneficia in rempublicam conferant, magisque eos amare qui cum festivitate et elegantia ipsis illudant, quam qui cum fastu et severitate prosint. Quæ tibi nulla ratione curæ fuerunt, sed si res foris recte administraveris, etiam cives bene in te animatos habiturum putas. (134) Quod hoc modo evenire non solet, sed plane contrario. Si enim his placueris, quodcumque egeris, id non pro rei veritate judicabunt, sed utilitatis tuæ rationem habebunt, et peccata negligent, bene gesta in cœlum laudibus efferent. Benevolentia enim efficitur ut omnes ita animati sint. (135) Quam tu quidem apud ceteros omni ratione inire studes, summum bonum ratus, ipsi vero tibi non putas quærendam apud cives; sed postquam plurima beneficia

ζειν, ἀλλὰ πλείστων ἀγαθῶν αἴτιος γεγενημένος χεῖρον διάκεισαι τῶν οὐδὲν ἄξιον λόγου διαπεπραγμένων. (136) Εἰκότως· οἱ μὲν γὰρ τοὺς ῥήτορας καὶ τοὺς ἐν τοῖς ἰδίοις συλλόγοις λογοποιεῖν δυναμένους καὶ πάντα προσποιουμένους εἰδέναι θεραπεύουσι, σὺ δ' οὐ μόνον ἀμελεῖς, ἀλλὰ καὶ πολεμεῖς τοῖς μέγιστον ἀεὶ δυναμένοις αὐτῶν. Καίτοι πόσους οἴει διὰ τὰς τούτων ψευδολογίας τοὺς μὲν συμφοραῖς περιπεπτωκέναι, τοὺς δ' ἀτίμους εἶναι, πολὺ σπουδαιοτέρους καὶ πλέονος ἀξίους γεγενημένους τῶν ᾀδομένων καὶ τραγῳδουμένων; (137) Ἀλλ' οἱ μέν, οἶμαι, ποιητῶν ἔτυχον καὶ λογοποιῶν, οἱ δ' οὐκ ἔσχον τοὺς ὑμνήσοντας. Ἢν οὖν ἐμοὶ πείθῃ καὶ νοῦν ἔχῃς, οὐ καταφρονήσεις τῶν ἀνδρῶν τούτων, οἷς τὸ πλῆθος εἴθισται πιστεύειν οὐ μόνον περὶ ἑνὸς ἑκάστου τῶν πολιτῶν, ἀλλὰ καὶ περὶ ὅλων τῶν πραγμάτων· ἀλλ' ἐπιμέλειάν τινα ποιήσει καὶ θεραπείαν αὐτῶν, ἵν' εὐδοκιμήσῃς δι' ἀμφότερα, καὶ διὰ τὰς σαυτοῦ πράξεις καὶ διὰ τοὺς τούτων λόγους. » (138) Ταῦτα δ' ἀκούων ὀρθῶς μὲν ἔφασκέ με λέγειν, οὐ μὴν οἷόστ' ἦν τὴν φύσιν μεταβαλεῖν, ἀλλ' ἦν μὲν καλὸς κἀγαθὸς ἀνὴρ καὶ τῆς πόλεως καὶ τῆς Ἑλλάδος ἄξιος, οὐ μὴν σύμμετρός γε τοῖς τοιούτοις τῶν ἀνθρώπων, ὅσοι τοῖς ὑπὲρ αὑτοὺς πεφυκόσιν ἀχθόμενοι τυγχάνουσι. Τοιγαροῦν οἱ μὲν ῥήτορες ἔργον εἶχον αἰτίας περὶ αὐτοῦ πολλὰς καὶ ψευδεῖς πλάττειν, τὸ δὲ πλῆθος ἀποδέχεσθαι τὰς ὑπὸ τούτων λεγομένας. (139) Περὶ ὧν ἡδέως ἂν ἀπελογησάμην, εἰ καιρὸν εἶχον· οἶμαι γὰρ ἂν ὑμᾶς ἀκούσαντας μισῆσαι τούς τε προαγαγόντας τὴν πόλιν ἐπὶ τὴν ὀργὴν τὴν πρὸς ἐκεῖνον καὶ τοὺς φλαῦρόν τι περὶ αὐτοῦ λέγειν τολμῶντας. Νῦν δὲ ταῦτα μὲν ἐάσω, περὶ ἐμαυτοῦ δὲ καὶ τῶν ἐνεστώτων πραγμάτων πάλιν ποιήσομαι τοὺς λόγους.

140. Ἀπορῶ δ' ὅ τι χρήσομαι τοῖς ὑπολοίποις, καὶ τίνος πρώτου μνησθῶ καὶ ποίου δευτέρου· τὸ γὰρ ἐφεξῆς με λέγειν διαπέφευγεν. Ἴσως μὲν οὖν ἀναγκαῖόν ἐστιν, ὡς ἂν ἕκαστον τύχῃ προσπεσόν, οὕτως εἰπεῖν περὶ αὐτῶν· ἃ δ' οὖν μοι νῦν ἐπελήλυθε, καὶ περὶ ὧν ἐγὼ μὲν ἐνόμιζον εἶναι δηλωτέον, ἄλλος δέ τίς μοι συνεβούλευε μὴ λέγειν, οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς. (141) Ἐπειδὴ γὰρ ἀπήνεγκε τὴν γραφήν, ἐσκόπουν περὶ αὐτῶν τούτων ὥσπερ ἂν ὑμῶν ἕκαστος, καὶ τόν τε βίον τὸν ἐμαυτοῦ καὶ τὰς πράξεις ἐξήταζον, καὶ πλεῖστον χρόνον περὶ τὰς τοιαύτας διέτριβον ἐφ' αἷς ᾠόμην ἐπαινεῖσθαί με προσήκειν. Ἀκροώμενος δέ τις τῶν ἐπιτηδείων ἐτόλμησεν εἰπεῖν πρός με λόγον πάντων σχετλιώτατον, ὡς ἄξια μὲν εἴη τὰ λεγόμενα φιλοτιμίας, οὐ μὴν ἀλλ' αὐτός γε δεδιέναι ταῦτα μάλιστα, μὴ πολλοὺς λυπήσῃ τῶν ἀκουόντων. (142) « Οὕτω γάρ » ἔφη « τινὲς ὑπὸ τοῦ φθόνου καὶ τῶν ἀποριῶν ἐξηγρίωνται καὶ δυσμενῶς ἔχουσιν, ὥστ' οὐ ταῖς πονηρίαις ἀλλὰ ταῖς εὐπραγίαις πολεμοῦσι, καὶ μισοῦσιν οὐ μόνον τῶν ἀνθρώπων τοὺς ἐπιεικεστάτους, ἀλλὰ καὶ τῶν ἐπιτηδευμάτων τὰ βέλτιστα, καὶ πρὸς τοῖς ἄλλοις κακοῖς τοῖς μὲν ἀδικοῦσι συναγωνίζονται καὶ συγγνώμην ἔχουσιν, οἷς δ' ἂν φθο-

in eos contulisti, iniquiore es conditione quam qui nihil memoratu dignum gesserunt. (136) Idque tibi nonsine causa accidit. Illi enim oratores eosque qui privatis circulis sermones serere possunt et omnia se scire simulant, magno opere colunt: quos tu non modo negligis, sed etiam oppugnas qui quoque tempore plurimum possunt. At vero quam multos putas horum mendaciis partim in summas calamitates incidisse, partim jus civitatis imminutum habere, ceteroquin multo præstantiores plurisque faciendos quam qui carminibus tragœdiisque celebrantur? (137) Atque illis quidem opinor poetæ contigerunt et historici; hi non habuerunt qui se prædicarent. Si igitur mihi obtemperes prudentemque te præstes, eos viros non spernes, quibus multitudo non solum de singulis civibus, sed etiam de totis negotiis fidem habere solet; sed coles eos et observabis, ut utroque modo inclarescas, et rebus gestis et horum laudibus. » (138) Quibus ille auditis recte quidem me judicare aiebat; indolem vero suam immutare non potuit, sed erat bonus probusque homo et urbe nostra Græciaque dignus, neque vero huic generi hominum congruus, qui viros se præstantiores moleste ferunt. Quocirca oratores in eo operam ponebant, ut crimina de eo multa et falsa comminiscerentur, multitudo autem quæ ab illis conficta essent, acciperet. (139) Quæ libenter defenderem, si opportunum tempus esset. Existimo enim vos defensione audita odio adversus eos accensum iri, qui civitatis iram adversus illum concitarunt et de eo iniqui quid dicere audent. Quibus jam pro tempore omissis et de me et de rebus quæ urgent, denuo verba faciam.

140. Neque vero mihi constat quomodo reliqua persequar, quidque primo loco commemorem et quid secundo : nam ex ordine dicere jam me fugit. Fortasse jam necesse est, ut quidque mihi in mentem venerit, ita de eo dicere. Quod vero nunc mihi suggestum est, quodque ego, quum alius omittendum censuerit, vobis aperiendum duco, vos non celabo. (141) Postquam enim causam detulit, in easdem res quas vestrûm unusquisque inquisivi, vitamque meam et instituta explorabam, plurimumque tempus iis ipsis rebus impendebam, quarum causa laudem mihi deberi putabam. Quæ quum quis ex necessariis meis audivisset, omnium insolentissime judicare ausus est ea quæ dicta essent digna quidem esse æmulatione, verum ipsum hoc maxime timere, ne multi auditores offendantur. (142) « Adeo enim, inquit, nonnulli invidia et inopia efferati sunt et infensis animis, ut non delictis, sed benefactis irascantur, nec solum hominibus honestissimis, sed etiam optimis studiis succenseant, et ad cetera mala delinquentibus auxilio sint veniamque tribuant; quibus vero invideant, eos si possint, interimant.

νήσωσιν ἀπολλύουσιν, ἥν περ δυνηθῶσι. (143) Ταῦτα δὲ δρῶντες οὐκ ἀγνοοῦσι περὶ ὧν τὴν ψῆφον οἴσουσιν, ἀλλ' ἀδικήσειν μὲν ἐλπίζοντες, ὀφθήσεσθαι δ' οὐ προσδοκῶντες· σώζοντες οὖν τοὺς ὁμοίους σφίσιν αὐτοῖς βοηθεῖν νομίζουσι. Τούτου δ' ἕνεκά σοι ταῦτα διῆλθον, ἵνα προειδὼς ἄμεινον προσφέρῃ καὶ τοῖς λόγοις ἀσφαλεστέροις χρῇ πρὸς αὐτούς, ἐπεὶ νῦν γε τίνα χρὴ προσδοκᾶν γνώμην ἕξειν τοὺς τοιούτους, ὅταν τόν τε βίον τὸν σαυτοῦ καὶ τὰς πράξεις διεξίῃς μηδὲ κατὰ μικρὸν ὁμοίας οὔσας ταῖς τούτων, ἀλλ' οἵας περ πρὸς ἐμὲ λέγειν ἐπιχειρεῖς; (144) ἀποφαίνεις γὰρ τούς τε λόγους οὓς γέγραφας οὐ μέμψεως ἀλλὰ χάριτος τῆς μεγίστης ἀξίους ὄντας, τῶν τε πεπλησιακότων σοι τοὺς μὲν οὐδὲν ἠδικηκότας οὐδ' ἡμαρτηκότας, τοὺς δὲ δι' ἀρετὴν ὑπὸ τῆς πόλεως ἐστεφανωμένους, τά τε καθ' ἡμέραν οὕτω κοσμίως καὶ τεταγμένως βεβιωκότα σαυτὸν ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν πολιτῶν, ἔτι δὲ μήτε δεδικασμένον μηδενὶ μήτε πεφευγότα πλὴν περὶ ἀντιδόσεως, μήθ' ἑτέροις συνηγωνισμένον μήτε μεμαρτυρηκότα, μήτ' ἄλλο πεποιηκότα μηδέν, ἐν οἷς ἅπαντες οἱ πολιτευόμενοι τυγχάνουσι. (145) Πρὸς δὲ τούτοις οὕτως ἰδίοις οὖσι καὶ περιττοῖς κἀκεῖνο λέγεις, ὡς τῶν μὲν ἀρχῶν καὶ τῶν ὠφελιῶν τῶν ἐντεῦθεν γιγνομένων καὶ τῶν ἄλλων ἁπάντων τῶν κοινῶν ἐξέστηκας, εἰς δὲ τοὺς διακοσίους καὶ χιλίους τοὺς εἰσφέροντας καὶ λειτουργοῦντας οὐ μόνον αὑτὸν παρέχεις, ἀλλὰ καὶ τὸν υἱόν, καὶ τρὶς μὲν ἤδη τετριηραρχήκατε, τὰς δ' ἄλλας λειτουργίας πολυτελέστερον λελειτουργήκατε καὶ κάλλιον ὧν οἱ νόμοι προστάττουσι. (146) Ταῦτ' ἀκούοντας τοὺς τἀναντία πᾶσι τοῖς προειρημένοις ἐπιτετηδευκότας οὐκ οἴει βαρέως οἴσειν καὶ νομιεῖν ἐλέγχεσθαι τὸν βίον τὸν αὑτῶν οὐ σπουδαῖον ὄντα; καὶ γὰρ εἰ μὲν μετὰ πόνου καὶ ταλαιπωρίας ᾐσθάνοντό σε ποριζόμενον εἴς τε τὰς λειτουργίας καὶ περὶ τὴν ἄλλην διοίκησιν, οὐκ ἂν ὁμοίως ἔμελεν αὐτοῖς· νῦν δὲ τά τε παρὰ τῶν ξένων σοι γιγνόμενα πολὺ πλείω νομίζουσιν εἶναι τῶν διδομένων, (147) αὐτόν τε σὲ ῥᾳθυμότερον ἡγοῦνται ζῆν οὐ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ τῶν περὶ τὴν φιλοσοφίαν καὶ τὴν αὐτήν σοι πραγματείαν ὄντων. Ὁρῶσι γὰρ ἐκείνων μὲν τοὺς πλείστους, πλὴν τῶν τὸν σὸν βίον καὶ τὸν τρόπον ἠγαπηκότων, ἔν τε ταῖς πανηγύρεσι καὶ τοῖς ἰδίοις συλλόγοις ἐπιδείξεις ποιουμένους, διαγωνιζομένους πρὸς ἀλλήλους, καθ' ὑπερβολὴν ὑπισχνουμένους, ἐρίζοντας, λοιδορουμένους, οὐδὲν ἀπολείποντας κακῶν, (148) ἀλλὰ σφίσι μὲν αὐτοῖς πράγματα παρέχοντας, τοῖς δ' ἀκροωμένοις ἐξουσίαν παραδιδόντας τοῖς μὲν καταγελάσαι τῶν λεγομένων, ἐνίοις δ' ἐπαινέσαι, τοῖς δὲ πλείστοις μισῆσαι, τοῖς δ' ὅπως ἕκαστοι βούλονται διατεθῆναι πρὸς αὐτούς· σὲ δ' οὐδενὸς μετέχοντα τούτων, ἀλλ' ἀνομοίως ζῶντα καὶ τοῖς σοφισταῖς καὶ τοῖς ἰδιώταις, καὶ τοῖς πολλὰ κεκτημένοις καὶ τοῖς ἀπόρως διακειμένοις. (149) Ἐφ' οἷς οἱ μὲν λογίζεσθαι δυνάμενοι καὶ νοῦν ἔχοντες ἴσως ἄν σε ζηλώσειαν, οἱ δὲ καταδεέστερον πράττοντες καὶ λυπεῖσθαι μᾶλλον εἰωθότες ἐπὶ ταῖς τῶν ἄλλων ἐπιει-

(143) Quæ quum agant, non ignorant qualia ea sint de quibus ferant sententiam, sentientes quidem se facere injuriam, sed conspectum non iri sperantes: servandis igitur iis, qui ipsis similes sint, sibi prodesse putant. Quæ idcirco tibi exposui, ut sciens melius tibi prospicias et verbis opportunioribus apud illos utaris; quippe nunc quidem quamnam tales mentem habituros putas, quando et vitam tuam et instituta recenseas nullo modo institutis horum congrua, sed qualia mihi exponere studes? (144) Ostendis enim orationes quas scripsisti non reprehensione, sed gratia dignas esse, discipulorumque tuorum alios nullam fecisse injuriam nec ullum commisisse delictum, alios virtutis causa a civitate etiam coronis donatos, vitamque tuam quotidianam tam modestam et compositam, ut nesciam an alius nullus civium ita vixerit; præterea te neque cuiquam diem dixisse neque accusatum esse nisi de permutatione, neque aliis in judiciis auxilio fuisse, neque testimonium dixisse, neque quidquam earum rerum fecisse, in quibus omnes in republica cives versari solent. (145) Præterea ad hæc quæ tibi adeo propria et eximia sunt, etiam illud addis, te abstinuisse a magistratibus emolumentisque inde erogandis et ab omni publica; inter ducentos et mille autem qui tributa pendunt et munera publica obeunt, non te solum perhibes, sed filium quoque, terque vos jam triremes ornasse doces et alia munia majore sumptu exquisitiusque explevisse quam leges jubent. (146) Quibus auditis nonne censes eos qui plane diversum vitæ institutum sequuntur, ægre laturos esse suamque vitam reprehendi existimaturos? Etenim si cum labore et ærumnis te suppeditare quæ in munera ceteramque administrationem requiruntur, cernerent, non perinde curæ haberent; nunc vero tibi ab exteris multo majorem vim pecuniæ quam data est contigisse putant, (147) ipsumque te majore luxuria vivere existimant non solum ceteris hominibus, sed iis etiam qui philosophiæ iisdemque studiis quibus tu operam navant. Vident enim plerosque illorum, præter eos qui tuam vivendi rationem institutumque sequuntur, in solemnibus conventibus privatisque cœtibus orationes ostentationis causa habere, inter se contendere, immania polliceri, certare, conviciari, nihil improbitatis omittere, (148) sed negotia sibi facessere auditoribusque partim opportunitatem dare dicta deridendi, nonnullis laudandi, plurimis aversandi, aliis denique prout quique affecti sint ita de se sentiendi; te vero nullius harum rerum participem, sed vita et a sophistis et ab indoctis hominibus tam opulentis quam egenis discrepantem. (149) Quarum rerum causa te fortasse ii qui quod rectum sit intelligere possunt et mente valent, admirabuntur: qui vero deteriore conditione sunt et alienis

κείαις ἢ ταῖς ἑαυτῶν ἀτυχίαις οὐκ ἔστιν ὅπως οὐ δυσκολανοῦσι καὶ χαλεπῶς οἴσουσιν. Ὡς οὖν οὕτως αὐτῶν διατεθησομένων σκόπει τί σοι λεκτέον τούτων καὶ τί παραλειπτέον ἐστίν. »

150. Ἐγὼ δὲ κἀκείνου τότε ταῦτα λέγοντος καὶ νῦν ἡγοῦμαι πάντων ἀνθρώπων ἀτοπωτάτους εἶναι καὶ σχετλιωτάτους οἵτινες βαρέως ἂν ἀκούοιεν εἰ λειτουργοῦντα μὲν ἐμαυτὸν τῇ πόλει παρέχω καὶ ποιοῦντα τὸ προστιττόμενον, μηδὲν δὲ δέομαι μήτε κληροῦσθαι τῶν ἀρχῶν ἕνεκα, μήτε λαμβάνειν ἃ τοῖς ἄλλοις ἡ πόλις δίδωσι, μήτ' αὖ φεύγειν δίκας μήτε διώκειν. (151) Ταῦτα γὰρ συνεταξάμην οὐ διὰ πλοῦτον οὐδὲ δι' ὑπερηφανίαν, οὐδὲ καταφρονῶν τῶν μὴ τὸν αὐτὸν τρόπον ἐμοὶ ζώντων, ἀλλὰ τὴν μὲν ἡσυχίαν καὶ τὴν ἀπραγμοσύνην ἀγαπῶν, μάλιστα δ' ὁρῶν τοὺς τοιούτους καὶ παρ' ὑμῖν καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμοῦντας, ἔπειτα τὸν βίον ἡδίω νομίσας εἶναι τοῦτον ἢ τὸν τῶν πολλὰ πραττόντων, ἔτι δὲ ταῖς διατριβαῖς ταῖς ἐμαῖς πρεπωδέστερον, αἷς ἐξ ἀρχῆς κατεστησάμην. (152) Τούτων μὲν ἕνεκα τοῦτον τὸν τρόπον ζῆν προειλόμην· τῶν δὲ λημμάτων τῶν παρὰ τῆς πόλεως ἀπεσχόμην, δεινὸν ἡγησάμενος εἰ δυνάμενος ἐκ τῶν ἰδίων τρέφειν ἐμαυτὸν ἐμποδών τῳ γενήσομαι τῶν ἐντεῦθεν ζῆν ἠναγκασμένων λαβεῖν τὸ διδόμενον ὑπὸ τῆς πόλεως, καὶ διὰ τὴν ἐμὴν παρουσίαν ἐνδεής τις γενήσεται τῶν ἀναγκαίων. Ὑπὲρ ὧν ἐπαίνου τυγχάνειν ἄξιος ἦν μᾶλλον ἢ διαβολῆς. (153) Νῦν δ' εἰς πολλὴν ἀπορίαν καθέστηκα, τί δρῶν ἀρέσαι δυνηθείην ἂν τοῖς τοιούτοις. Εἰ γὰρ ἅπαντα τὸν χρόνον ἔργον ποιούμενος ὅπως μηδένα μήτ' ἀδικήσω μήτ' ἐνοχλήσω μήτε λυπήσω, δι' αὐτὰ ταῦτα λυπῶ τινας, τί ποιῶν ἂν χαριζοίμην; ἢ τί λοιπόν ἐστι πλὴν ἐμὲ μὲν ἀτυχῆ, τοὺς δὲ τοιούτους ἀμαθεῖς δοκεῖν εἶναι καὶ δυσκόλους τοῖς συμπολιτευομένοις; (154) Πρὸς μὲν οὖν τοὺς μηδὲν τῶν αὐτῶν τοῖς ἄλλοις γιγνώσκοντας, ἀλλὰ χαλεπωτέρους ὄντας τοῖς μὴ κακῶς πράττουσιν ἢ τοῖς ἀδικοῦσι, μωρόν ἐστιν ἀπολογίαν ζητεῖν· ὅσῳ γὰρ ἄν τις ἐπιεικέστερον αὑτὸν ἐπιδείξῃ, δῆλον ὅτι τοσούτῳ χεῖρον ἀγωνιεῖται παρ' αὐτοῖς· πρὸς δὲ τοὺς ἄλλους, περὶ ὧν Λυσίμαχος διέβαλεν, ὡς παμπληθῆ κεκτήμεθα τὴν οὐσίαν, ἀναγκαῖόν ἐστιν εἰπεῖν, ἵνα μὴ πιστευθεὶς ὁ λόγος εἰς μείζους καὶ πλείους ἡμᾶς ἐμβάλῃ λειτουργίας ὧν ὑπενεγκεῖν ἂν δυνηθεῖμεν. (155) Ὅλως μὲν οὖν οὐδεὶς εὑρεθήσεται τῶν καλουμένων σοφιστῶν πολλὰ χρήματα συλλεξάμενος, ἀλλ' οἱ μὲν ἐν ὀλίγοις, οἱ δ' ἐν πάνυ μετρίοις τὸν βίον διαγαγόντες· ὁ δὲ πλεῖστα κτησάμενος ὧν ἡμεῖς μνημονεύομεν, Γοργίας ὁ Λεοντῖνος, οὗτος διατρίψας μὲν περὶ Θετταλίαν, ὅτ' εὐδαιμονέστατοι τῶν Ἑλλήνων ἦσαν, πλεῖστον δὲ χρόνον βιοὺς καὶ περὶ τὸν χρηματισμὸν τοῦτον γενόμενος, (156) πόλιν δ' οὐδεμίαν καταπαγίως οἰκήσας οὐδὲ περὶ τὰ κοινὰ δαπανηθεὶς οὐδ' εἰσφορὰν εἰσενεγκεῖν ἀναγκασθείς, ἔτι δὲ πρὸς τούτοις οὔτε γυναῖκα γήμας οὔτε παῖδας ποιησάμενος, ἀλλ' ἀτελὴς γενόμενος καὶ ταύτης τῆς λειτουργίας τῆς ἐν-

virtutibus aut suis miseriis dolore affici solent, fieri non potest quin indignentur graviterque ferant. His igitur ita se habentibus, vide quid dicendum sit eorum et quid omittendum tibi. »

150. Ego vero et tunc quum ille hoc dicebat et nunc omnium hominum absurdissimos et nequissimos judico qui ægre audiant si me munera publica subeuntem et imperata facientem urbi exhibeam, nihil vero cupiam neque honores sortiri neque capere quæ aliis urbs attribuit, neque rursus accusari neque alios in jus vocare. (151) Quæ non divitiarum causa neque per superbiam ita constitui, neque ut eos contemnerem qui eodem modo non viverent, sed quia otium et quietem adamo, maxime vero quia homines tales apud vos ceterosque bona fama ferri vidi, deinde talem vitam suaviorem quam eorum qui multa capessant, meisque institutis et vitæ consuetudini ab initio delectæ convenientiorem judicavi. (152) His de causis hoc genus vitæ prætuli; ab emolumentis reipublicæ ideo abstinui, quia indignum putavi si, quum re familiari sustentare me possem, cuique eorum qui inde victum quærere coacti sunt, impedimento essem, quominus quod ab urbe daretur, acciperet meque interveniente necessariis destitueretur. Quamobrem laude eram dignior quam calumnia. (153) Nunc vero vehementer ambigo quanam agendi ratione hominibus ejusmodi possim placere. Etenim si omni tempore summam operam dedi, ne quem offenderem neque molestia aut injuria afficerem, et hac ipsa re nonnullos lædo, quo modo iis gratum quid faciam? aut quid reliquum est nisi me infelicem, hos imperitos et graves suis civibus videri? (154) Et apud eos quidem qui ab aliorum sententiis prorsus dissentiant infensioresque sint innocentibus quam nocentibus, stultum est me defendere: quo enim quis se integriorem exhibuerit, tanto pejus eum apud illos causam dicturum perspicuum est: apud ceteros vero de iis quæ Lysimachus in me calumniatus est, me infinitas divitias possidere, dicere necesse est, ne illius oratio pro vera habita in majora et plura munera, quam quæ sustinere possimus, nos conjiciat. (155) Omnino eorum qui sophistæ appellantur, nemo ullus multas opes collegisse reperietur, sed alii in re tenui, alii valde modica ætatem transegerunt; verum qui plurimas omnium, quorum memoria nobis prodita est, possedit, Gorgias Leontinus, hic quidem in Thessalia commoratus, quum Græcorum illi opulentissimi essent, quique diutissime vixit in hoc quæstu occupatus, (156) neque ullam urbem continuo tempore incoluit, neque in rempublicam impensam facere neque collationem pendere coactus est, præterea neque mulierem duxit neque liberos genuit, sed immunis etiam his impensis omnium maxime continuis et sumptuo-

δελεχεστάτης καὶ πολυτελεστάτης, τοσοῦτον προλαβὼν πρὸς τὸ πλείω κτήσασθαι τῶν ἄλλων, χιλίους μόνους στατῆρας κατέλιπε. (157) Καίτοι χρὴ περὶ τῆς οὐσίας τῆς ἀλλήλων μὴ τοῖς αἰτιωμένοις εἰκῇ πιστεύειν, μηδὲ τὰς ἐργασίας ἴσας νομίζειν τάς τε τῶν σοφιστῶν καὶ τὰς τῶν ὑποκριτῶν, ἀλλὰ τοὺς ἐν ταῖς αὐταῖς τέχναις ὄντας πρὸς ἀλλήλους κρίνειν, καὶ τοὺς ὁμοίαν ἐν ἑκάστῃ δύναμιν λαβόντας παραπλησίαν καὶ τὴν οὐσίαν ἔχειν νομίζειν. (158) Ἢν οὖν ἐξισώσητέ με τῷ πλεῖστον ἐξειργασμένῳ καὶ θῆτε πρὸς ἐκεῖνον, οὔθ' ὑμεῖς παντάπασιν ἀσκέπτως εἰκάζειν δόξετε περὶ τῶν τοιούτων, οὔθ' ἡμεῖς εὑρεθεῖμεν ἂν οὔτε τὰ περὶ τὴν πόλιν οὔτε τὰ περὶ ἡμᾶς αὐτοὺς κακῶς διῳκηκότες, ἀλλ' ἀπ' ἐλαττόνων ζῶντες ὧν εἰς τὰς λειτουργίας ἀνηλώκαμεν. Καίτοι τοὺς εὐτελεστέρους ἐν τοῖς ἰδίοις ἢ τοῖς κοινοῖς ὄντας δίκαιόν ἐστιν ἐπαινεῖν.

159. Ἐνθυμοῦμαι δὲ μεταξὺ λέγων, ὅσον τὰ τῆς πόλεως μεταπέπτωκε, καὶ τὰς διανοίας ὡς οὐδὲν ὁμοίας περὶ τῶν πραγμάτων οἱ νῦν τοῖς πρότερον πεπολιτευμένοις ἔχουσιν. Ὅτε μὲν γὰρ ἐγὼ παῖς ἦν, οὕτως ἐνομίζετο τὸ πλουτεῖν ἀσφαλὲς εἶναι καὶ σεμνόν, ὥστ' ὀλίγου δεῖν πάντες προσεποιοῦντο πλείω κεκτῆσθαι τὴν οὐσίαν ἧς ἔχοντες ἐτύγχανον, βουλόμενοι μετασχεῖν τῆς δόξης ταύτης· (160) νῦν δ' ὑπὲρ τοῦ μὴ πλουτεῖν ὥσπερ τῶν μεγίστων ἀδικημάτων ἀπολογίαν δεῖ παρασκευάζεσθαι καὶ σκοπεῖν εἰ μέλλει τις σωθήσεσθαι. Πολὺ γὰρ δεινότερον καθέστηκε τὸ δοκεῖν εὐπορεῖν ἢ τὸ φανερῶς ἀδικεῖν· οἱ μὲν γὰρ ἢ συγγνώμης ἔτυχον ἢ μικροῖς ἐζημιώθησαν, οἱ δ' ἄρδην ἀπόλλυνται, καὶ πλείους ἂν εὕροιμεν τοὺς ἐκ τῶν ὄντων ἐκπεπτωκότας ἢ τοὺς δίκην ὑπὲρ τῶν ἁμαρτημάτων δεδωκότας. (161) Καὶ τί δεῖ λέγειν περὶ τῶν κοινῶν; αὐτὸς γὰρ οὐ μικρὸν διήμαρτον διὰ ταύτην τὴν μεταβολὴν τῶν ἐμαυτοῦ πραγμάτων. Ὅτε γὰρ ἐπαμύνειν ἠρχόμην τοῖς ἰδίοις, ἀπολομένων ἐν τῷ πολέμῳ τῷ πρὸς Λακεδαιμονίους ἁπάντων τῶν ὑπαρχόντων ἡμῖν, ἀφ' ὧν ὁ πατὴρ ἅμα τῇ τε πόλει χρήσιμον αὑτὸν παρεῖχεν, ἡμᾶς θ' οὕτως ἐπιμελῶς ἐπαίδευσεν ὥστ' ἐπιφανέστερον εἶναί με τότε καὶ γνωριμώτερον ἐν τοῖς ἡλικιώταις καὶ συμπαιδευομένοις ἢ νῦν ἐν τοῖς συμπολιτευομένοις, — (162) ὅτε δ' οὖν, ὥσπερ εἶπον, ἠρχόμην πλησιάζειν τισίν, ᾠόμην, εἰ δυνηθείην πλείω κτήσασθαι καὶ περιποιήσασθαι τῶν ἐπὶ τὸν αὐτὸν βίον ὁρμησάντων, ἀμφότερα δόξειν, καὶ περὶ τὴν φιλοσοφίαν διαφέρειν καὶ κοσμιώτερον βεβιωκέναι τῶν ἄλλων. Ἐμοὶ δὲ τοὐναντίον ἀποβέβηκεν. (163) Εἰ μὲν γὰρ μήτ' ἄξιος μηδενὸς ἐγενόμην μήτε περιεποιησάμην μηδέν, οὐδεὶς ἄν μοι πράγματα παρεῖχεν, ἀλλὰ φανερῶς ἀδικῶν ἀσφαλῶς ἂν ἔζων ἕνεκά γε τῶν συκοφαντῶν· νῦν δ' ἀντὶ τῆς δόξης ἧς προσεδόκων ἀγῶνες περί με καὶ κίνδυνοι καὶ φθόνοι καὶ διαβολαὶ γεγόνασιν. (164) Οὕτω γὰρ ἡ πόλις ἐν τῷ παρόντι χαίρει τοὺς μὲν ἐπιεικεῖς πιέζουσα καὶ ταπεινοὺς ποιοῦσα, τοῖς δὲ πονηροῖς ἐξουσίαν διδοῦσα καὶ λέγειν καὶ ποιεῖν ὅ τι ἂν βουληθῶσιν, ὥστε Λυσίμαχος μὲν ὁ προῃρη-

sissimis fuit : hic igitur tantis commodis ad divitias quærendas ceteris instructior mille tantum nummos aureos reliquit. (157) Atqui de re familiari non temere fides habenda est accusatoribus, neque pares æstimandæ sunt sophistarum et histrionum mercedes, sed ii qui easdem artes exercent, ex mutua inter ipsos comparatione judicandi sunt, eorumque qui similem in quaque arte vim obtinuerunt, similes etiam facultates putandæ. (158) Quare si me ei qui plurimum lucratus est, exæquabitis et cum illo comparabitis, neque vos prorsus inconsiderate de his rebus judicasse videbimini, neque nos sive publica sive privata negotia male administrasse comperiamur, sed minore sumptu vitam sustentasse quam quæ in publica munera impendimus. At vero qui in suis rebus majore parsimonia utantur quam in publicis, jure ac merito laudandi sunt.

159. Dum loquor, in mentem mihi venit quantopere reipublicæ conditio immutata sit, quantumque cives qui nunc sint judicio de rebus gestis ab iis dissentiant, qui olim rempublicam capessiverunt. Puero enim me divitias habere tam tutum et optabile putabatur, ut omnes fere majores opes se habere quam re vero habebant, hujus famæ cupidi simularent. (160) Nunc vero nobis defensio quærenda est qua ostendatur dites nos non esse, tanquam maximum illud esset facinus, videndumque num salvi esse possimus. Nam multo periculosius factum est videri divitiis abundare, quam aperte scelus committere. Hi enim aut veniam impetrant aut leviter mulctantur; illi vero funditus pereunt: pluresque reperiamus facultatibus suis exutos quam scelerum causa punitos. (161) Et quid de publicis negotiis dicendum est? ipse enim non parum per illam mutationem in rationibus meis falsus sum. Quando enim rebus meis prospicere cœpi, facultatibus omnibus in bello adversus Lacedæmonios amissis, illis quibus pater et utilem se reipublicæ exhibuit et nos tam diligenter educavit, ut tunc inter æquales et condiscipulos meos magis conspicerer et innotescerem quam nunc inter cives meos, — (162) quando igitur, inquam, ad quosdam magistros me contuleram, putabam, si plura comparare et alios ejusdem vitæ studiosos superare possem, utramque famam me esse consecuturum, ut et sapientia excellere et ceteris continentius vixisse viderer. At plane contrarium mihi contigit. (163) Si enim homo nihili evasissem neque ulla essem præstantia cognitus, nemo negotia mihi facessivisset; sed etiamsi manifesto improbus essem, a sycophantarum calumniis securus vixissem : nunc vero pro fama, quam exspectabam, judicia et discrimina et invidia et calumniæ mihi evenerunt. (164) Adeo enim præsenti ætate civitas prona est ad bonos cives opprimendos et affligendos, dum improbis dat copiam et dicendi et faciendi quidquid libuerit, ut Lysimachus, qui vitam suam ita instituit, ut

μένος ζῆν ἐκ τοῦ συκοφαντεῖν καὶ κακῶς ἀεί τινα ποιεῖν τῶν πολιτῶν, κατηγορήσων ἡμῶν ἀναβέβηκεν, ἐγὼ δ' ὃς οὐδὲ περὶ ἕνα ποτ' ἐξήμαρτον, ἀλλὰ τῶν μὲν ἐνθένδε λημμάτων ἀπεσχόμην, παρὰ ξένων δὲ καὶ νομιζόντων εὖ πάσχειν ἐπορισάμην τὰς ὠφελείας, ὡς δεινὰ ποιῶν εἰς τηλικουτονὶ καθέστηκα κίνδυνον. (165) Καίτοι προσῆκε τοὺς εὖ φρονοῦντας εὔχεσθαι τοῖς θεοῖς ὡς πλείστοις τῶν πολιτῶν παραγενέσθαι τὴν δύναμιν ταύτην, δι' ἣν ἔμελλον παρ' ἑτέρων λαμβάνοντες χρησίμους αὑτούς, ὥσπερ ἐγώ, τῇ πόλει παρέξειν. Πολλῆς δ' ἀλογίας περί με γεγενημένης πάντων ἂν συμβαίη δεινότατον, εἰ οἱ μὲν δεδωκότες μοι χρήματα τοσαύτην ἔχοιεν χάριν, ὥστ' ἔτι καὶ νῦν με θεραπεύειν, ὑμεῖς δ', εἰς οὓς ἀνήλωκα τἀμαυτοῦ, δίκην ἐπιθυμήσαιτε παρ' ἐμοῦ λαβεῖν. (166) Ἔτι δὲ δεινότερον, εἰ Πίνδαρον μὲν τὸν ποιητὴν οἱ πρὸ ἡμῶν γεγονότες ὑπὲρ ἑνὸς μόνον ῥήματος, ὅτι τὴν πόλιν ἔρεισμα τῆς Ἑλλάδος ὠνόμασεν, οὕτως ἐτίμησαν ὥστε καὶ πρόξενον ποιήσασθαι καὶ δωρεὰν μυρίας αὐτῷ δοῦναι δραχμάς, ἐμοὶ δὲ πολὺ πλείω καὶ κάλλιον ἐγκεκωμιακότι καὶ τὴν πόλιν καὶ τοὺς προγόνους μηδ' ἀσφαλῶς ἐγγένοιτο καταβιῶναι τὸν ἐπίλοιπον χρόνον.

167. Περὶ μὲν οὖν τούτων καὶ τῶν ἄλλων τῶν κατηγορηθέντων ἱκανὴν εἶναι νομίζω τὴν εἰρημένην ἀπολογίαν· οὐκ ὀκνήσω δὲ πρὸς ὑμᾶς οὔθ' ὡς ἔχω νῦν πρὸς τὸν ἐνεστῶτα κίνδυνον κατειπεῖν τὴν ἀλήθειαν, οὔθ' ὡς τὸ πρῶτον διετέθην πρὸς αὐτόν. Ἐγὼ γὰρ ὑπὲρ μὲν τῶν ἰδίων πολλὰς ἐλπίδας εἶχον καλῶς ἀγωνιεῖσθαι· (168) καὶ γὰρ τοῖς βεβιωμένοις καὶ τοῖς πεπραγμένοις ἐπίστευον, καὶ πολλοὺς λόγους καὶ δικαίους ᾤμην ἔχειν ὑπὲρ αὐτῶν· ὁρῶν δ' οὐ μόνον δυσκόλως διακειμένους περὶ τὴν τῶν λόγων παιδείαν τοὺς εἰθισμένους ἅπασι χαλεπαίνειν, ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν πολλοὺς τραχέως πρὸς αὐτὴν διακειμένους, ἐφοβούμην μὴ τὰ μὲν ἴδιά μου παραμεληθῇ, τῆς δὲ κοινῆς τῆς περὶ τοὺς σοφιστὰς διαβολῆς ἀπολαύσω τι φλαῦρον. (169) Ἐπειδὴ δὲ χρόνων ἐγγιγνομένων εἰσέπεσον εἰς τὸ λογίζεσθαι καὶ σκοπεῖν τί χρήσομαι τοῖς παροῦσιν, ἐπαυσάμην τοῦ δέους καὶ τῆς ταραχῆς ταύτης, οὐκ ἀλόγως, ἀλλ' ἐκ τῶν εἰκότων λογισάμενος καὶ παραμυθησάμενος ἐμαυτόν· (170) τούς τε γὰρ ἐπιεικεῖς ὑμῶν, πρὸς οὕσπερ ἐγὼ ποιήσομαι τοὺς λόγους, ἠπιστάμην οὐκ ἐμμένοντας ταῖς δόξαις ταῖς ἀδίκως ἐγγεγενημέναις, ἀλλ' ἐπακολουθοῦντας ταῖς ἀληθείαις καὶ μεταπειθομένους ὑπὸ τῶν λεγόντων τὰ δίκαια, τήν τε φιλοσοφίαν ἐκ πολλῶν ἐνόμιζον ἐπιδείξειν ἀδίκως διαβεβλημένην, καὶ πολὺ ἂν δικαιοτέρως ἀγαπωμένην αὐτὴν ἢ μισουμένην. (171) Ἔχω δὲ καὶ νῦν ἔτι ταύτην τὴν γνώμην. Οὐκ ἄξιον δὲ θαυμάζειν εἴ τι τῶν καλῶν ἐπιτηδευμάτων ἠγνόηται καὶ διαλέληθεν, οὐδ' εἰ διεψευσμένοι τινὲς αὐτοῦ τυγχάνουσι· καὶ γὰρ περὶ ἡμῶν αὐτῶν καὶ περὶ ἄλλων πραγμάτων ἀναριθμήτων οὕτως ἔχοντες ἂν εὑρεθεῖμεν. Ἡ γὰρ πόλις ἡμῶν πολλῶν ἀγαθῶν αἰτία καὶ νῦν οὖσα καὶ πρότερον γεγενημένη καὶ τοῖς πολίταις καὶ τοῖς ἄλλοις Ἑλ-

prævaricando et semper alicui civium injuria inferenda quæstum faceret, ad nos accusandos descenderit: ego vero qui ne uni quidem unquam injuriam fecerim, sed ab honoribus reipublicæ abstinuerim, ab exteris autem iisque qui beneficia a me accepisse putabant, opes meas comparaverim, tanquam sceleribus commissis in tale discrimen vocatus sim. (165) Atqui par erat bonos a diis precari ut quam plurimis civibus talis facultas fieret, qua plurimis muneribus ab aliis acceptis reipublicæ utiles se, ut ego, præstituri essent. Quum vero multa absurda jam mihi contigerint, omnium indignissimum sit, si ii qui mihi pecunias attulerunt, tantam gratiam habeant, ut etiam nunc me colant, vos vero quibus res meas expendi, pœnas a me exigere cupiatis. (166) Etiam indignius illud sit, si Pindarum poetam majores nostri unius verbi causa, quod urbem nostram « propugnaculum Græciæ » vocavit, adeo honoribus extulerunt, ut publicum hospitem suum fecerint et decem millia drachmarum dederint; mihi autem, qui multo pluribus et pulchrioribus præconiis et urbem et majores extuli, vitæ quod reliquum sit, ne secure quidem exigere liceat.

167. Ac de his ceterisque criminibus satis me iis quæ dixi defendisse puto, neque verebor vobis vere exponere et quæ in hoc discrimine mea conditio sit et quomodo ab initio animo de eo affectus fuerim. Ego enim pro mea parte magnas spes conceperam fore ut feliciter causam dicerem. (168) Etenim et vitæ et factis meis fidebam, ac multa et justa, quibus defenderentur, me habere putabam; quum vero non solum eos qui male adversus eloquentiam affecti omnibus infensi esse solent, sed etiam ceterorum civium multos inique adversus eam animatos viderem, metuebam, ne quæ mea essent negligerentur, ex communi autem calumnia et sophistarum infamia mali nonnihil paterer. (169) Progressu autem temporis quum reputarem et inquirerem quomodo negotium, quod instaret, transigerem, hunc metum eamque dubitationem omisi, non temere quidem, sed probabilibus de causis ratione subducta et solatio accepto. (170) Neque enim ignorabam bonos æquosque ex vobis, quibus causam essem expositurus, opinionibus falso conceptis non immanere et vera sequi et de sententia ab iis qui justa defenderent, deduci, et philosophiam multis de causis injuria reprehendi, multoque justius diligi quam odio esse, me ostensurum putabam. (171) Ac nunc quoque hæc mihi manet sententia. Non enim mirandum est si qua bona instituta ignorentur et lateant, neque si qui de iis falsi sint. Nam de nobis quoque ipsis et aliis innumeris eadem nobis usuvenerunt. Quippe urbs nostra, quæ multa beneficia et nunc et olim in cives et ceteros Græcos contulit et multis

λησι, καὶ πολλῶν ἡδονῶν γέμουσα, τοῦτ' ἔχει δυσκολώτατον· (172) διὰ γὰρ τὸ μέγεθος καὶ τὸ πλῆθος τῶν ἐνοικούντων οὐκ εὐσύνοπτός ἐστιν οὐδ' ἀκριβής, ἀλλ' ὥσπερ χειμάρρους, ὅπως ἂν ἕκαστον ὑπολαβοῦσα τύχῃ καὶ τῶν ἀνθρώπων καὶ τῶν πραγμάτων, οὕτω κατήνεγκε, καὶ δόξαν ἐνίοις τὴν ἐναντίαν τῆς προσηκούσης περιέθηκεν· ὅπερ καὶ τῇ παιδείᾳ ταύτῃ συμβέβηκεν. (173) Ὧν ἐνθυμουμένους χρὴ μηδενὸς πράγματος ἄνευ λόγου καταγιγνώσκειν, μηδ' ὁμοίως διακεῖσθαι δικάζοντας ὥσπερ ἐν ταῖς ἰδίαις διατριβαῖς, ἀλλὰ διακριβοῦσθαι περὶ ἑκάστου καὶ τὴν ἀλήθειαν ζητεῖν, μεμνημένους τῶν ὅρκων καὶ τῶν νόμων καθ' οὓς συνεληλύθατε δικάσοντες· ἔστι δ' οὐ περὶ μικρῶν οὔθ' ὁ λόγος οὔθ' ἡ κρίσις ἐν ᾗ καθέσταμεν, ἀλλὰ περὶ τῶν μεγίστων· οὐ γὰρ περὶ ἐμοῦ μέλλετε μόνον τὴν ψῆφον διοίσειν, ἀλλὰ καὶ περὶ ἐπιτηδεύματος ᾧ πολλοὶ τῶν νεωτέρων προσέχουσι τὸν νοῦν. (174) Οἶμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι τὰ πράγματα τῆς πόλεως τοῖς ἐπιγιγνομένοις καὶ τοῖς τοιούτοις οἱ πρεσβύτεροι παραδιδόασι. Τοιαύτης οὖν ἀεὶ τῆς περιόδου γιγνομένης ἀναγκαῖόν ἐστιν, ὅπως ἂν οἱ νεώτεροι παιδευθῶσιν, οὕτω τὴν πόλιν πράττουσαν διατελεῖν· ὥστ' οὐ ποιητέον τοὺς συκοφάντας κυρίους τηλικούτου πράγματος, οὐδὲ τοὺς μὲν μὴ διδόντας τούτοις ἀργύριον τιμωρητέον, παρ' ὧν δ' ἂν λάβωσιν ἐατέον ποιεῖν ὅ τι ἂν βουληθῶσιν, (175) ἀλλ' εἰ μὲν ἡ φιλοσοφία τοιαύτην ἔχει δύναμιν ὥστε διαφθείρειν τοὺς νεωτέρους, οὐ τοῦτον χρὴ μόνον κολάζειν ὃν ἂν γράψηταί τις τούτων, ἀλλὰ πάντας ἐκποδὼν ποιεῖσθαι τοὺς περὶ τὴν διατριβὴν ταύτην ὄντας· εἰ δὲ τοὐναντίον πέφυκεν ὥστ' ὠφελεῖν καὶ βελτίους ποιεῖν τοὺς πλησιάζοντας καὶ πλέονος ἀξίους, τοὺς μὲν διαβεβλημένους πρὸς αὐτὴν παυστέον, τοὺς δὲ συκοφαντοῦντας ἀτιμητέον, τοῖς δὲ νεωτέροις συμβουλευτέον ἐν ταύτῃ διατρίβειν μᾶλλον ἢ τοῖς ἄλλοις ἐπιτηδεύμασι. (176) Πρὸ πολλῶν δ' ἂν ἐποιησάμην, εἴπερ ἦν εἱμαρμένον μοι φεύγειν τὴν γραφὴν ταύτην, ἀκμάζοντί μοι προσπεσεῖν τὸν κίνδυνον· οὐ γὰρ ἂν ἠθύμουν, ἀλλὰ μᾶλλον οἷός τ' ἂν ἐγενόμην καὶ τὸν κατήγορον ἀμύνασθαι καὶ τῇ φιλοσοφίᾳ βοηθῆσαι· νῦν δὲ φοβοῦμαι μὴ διὰ ταύτην ὑπὲρ ἄλλων πραγμάτων ἐπιεικῶς εἰρηκώς, περὶ αὐτῆς ταύτης χεῖρον τύχω διαλεχθεὶς ἢ περὶ ὧν ἧττόν μοι σπουδάσαι προσῆκε. (177) Καίτοι δεξαίμην ἂν (εἰρήσεται γὰρ τἀληθές, εἰ καὶ μωρὸς ὁ λόγος ἐστίν·) ἤδη τελευτῆσαι τὸν βίον ἀξίως εἰπὼν τῆς ὑποθέσεως καὶ πείσας ὑμᾶς τοιαύτην νομίζειν τὴν τῶν λόγων μελέτην οἵα πέρ ἐστι, μᾶλλον ἢ ζῆν πολυπλασίω χρόνον ἐφορῶν οὕτως αὐτὴν ὥσπερ νῦν παρ' ὑμῖν φερομένην. (178) Τῆς μὲν οὖν ἐπιθυμίας οἶδ' ὅτι πολὺ καταδεέστερον ἐροῦμεν· ὅμως δ' ὅπως ἂν δύνωμαι, πειράσομαι διελθεῖν τήν τε φύσιν αὐτῆς καὶ τὴν δύναμιν ἣν ἔχει, καὶ ποίᾳ τῶν ἄλλων τεχνῶν ὁμοιοειδής ἐστι, καὶ τί τοὺς συνόντας ὠφελεῖ, καὶ ποίας τινὰς ἡμεῖς ποιούμεθα τὰς ὑποσχέσεις· οἶμαι γὰρ ὑμᾶς μαθόντας τὴν ἀλήθειαν ἄμεινον καὶ βουλεύσεσθαι καὶ διαγνώσεσθαι περὶ

voluptatibus redundat, hoc habet incommodissimum, (172) quod in tanta amplitudine et multitudine incolentium non facile omnia perspicit, neque accurato judicio utitur, sed torrentis instar ut quid corripuerit sive hominem sive rem, ita deorsum trahit, famamque nonnullis plane contrariam ei quam debeat attribuit: id quod etiam huic disciplinæ accedit. (173) Quæ reputantes nullam rem sine ratione vos decet improbare, neque eodem modo in judicando esse affectos quo in privatis disputationibus, sed in unamquamque rem diligenter inquirere et quid verum sit investigare, jurisjurandi et legum memores, secundum quas in judicium convenistis. Neque vero de parvis rebus oratio est et judicium in quo versamur institutum, sed de maximis; non enim de me solum sententiam estis laturi, sed etiam de instituto vitæ eo, cui multi adolescentes operam dant. (174) Arbitror autem vos non ignorare seniores negotia reipublicæ posteris et talibus tradere. Hæc igitur vicissitudo quum perpetua sit, necesse est, ut adolescentes instituentur, ita fore reipublicæ conditionem. Quare non est committendum ut veteratores hujus negotii disceptationem invadant, neque ut ii qui illis mercedem non pendant, pœna afficiantur, iis vero qui numerent, quidvis faciendi licentia concedatur; (175) sed si philosophia est ejusmodi, ut adolescentes corrumpat, non ille solus puniendus est quem quis horum accusaverit, sed omnes æque de medio tollendi, qui huic studio operam navant; sin illa contraria vi prædita est, ut utilitatem afferat melioresque et laudabiliores reddat discipulos, ii qui eam calumniantur reprimendi sunt, veteratores ignominia afficiendi, adolescentes vero exhortandi ut in hac potius quam aliis disciplinis operam collocent. (176) Ac multo mallem, si quidem in fatis fuit ut in hoc judicium vocarer, adolescentem me in hoc discrimen incidisse. Neque enim animo concidissem, sed multo fuissem et ad accusatorem refutandum et philosophiam defendendam instructior; nunc autem vereor ne, quum ejus ope aliis de rebus satis bene disseruerim, de hac deterius dicam quam de iis quæ minus me curare decebat. (177) Atqui præferrem (dicetur enim quod verum est, etiamsi stulta oratio videatur) jam vitam finire, postquam pro argumenti dignitate disseruerim, vobisque persuaserim ut talem eloquentiæ disciplinam haberetis, qualis est, quam multo diutius vivere illam talem conspiciens, qualis nunc apud vos habetur. (178) Ac non sum nescius me multo inferius dicere quam velim; tamen quomodocumque potero, ejus naturam et vim exponere conabor et quæ affinitas ipsi ceterisque artibus intercedat, et quid sectatores suos juvet, et qualia ea sint quæ nos polliceamur; arbitror enim vos cognito quod verum sit, melius de ea disciplina et consulturos et judicatu-

αὐτῆς. (179) Ἀξιῶ δ' ὑμᾶς, ἢν ἄρα φαίνωμαι λόγους διεξιὼν πολὺ τῶν εἰθισμένων λέγεσθαι παρ' ὑμῖν ἐξηλλαγμένους, μὴ δυσχεραίνειν, ἀλλ' ἔχειν συγγνώμην, ἐνθυμουμένους ὅτι τοὺς περὶ πραγμάτων ἀνομοίων τοῖς ἄλλοις ἀγωνιζομένους ἀναγκαῖόν ἐστι καὶ τοῖς λόγοις τοιούτοις χρῆσθαι περὶ αὐτῶν. Ὑπομείναντες οὖν τὸν τρόπον τῶν λεγομένων καὶ τὴν παρρησίαν, καὶ τὸν χρόνον ἐάσαντες ἀναλῶσαί με τὸν δεδομένον ταῖς ἀπολογίαις, ὅπως ἂν ὑμῶν ἑκάστῳ δοκῇ δίκαιον εἶναι καὶ νόμιμον, οὕτω φέρετε τὴν ψῆφον.

180. Βούλομαι δὲ περὶ τῆς τῶν λόγων παιδείας ὥσπερ οἱ γενεαλογοῦντες πρῶτον διελθεῖν πρὸς ὑμᾶς. Ὁμολογεῖται μὲν γὰρ τὴν φύσιν ἡμῶν ἔκ τε τοῦ σώματος συγκεῖσθαι καὶ τῆς ψυχῆς, αὐτοῖν δὲ τούτοιν οὐδεὶς ἔστιν ὅστις οὐκ ἂν φήσειεν ἡγεμονικωτέραν πεφυκέναι τὴν ψυχὴν καὶ πλέονος ἀξίαν· τῆς μὲν γὰρ ἔργον εἶναι βουλεύσασθαι καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν κοινῶν, τοῦ δὲ σώματος ὑπηρετῆσαι τοῖς ὑπὸ τῆς ψυχῆς γνωσθεῖσιν. (181) Οὕτω δὲ τούτων ἐχόντων ὁρῶντές τινες τῶν πολὺ πρὸ ἡμῶν γεγονότων περὶ μὲν τῶν ἄλλων πολλὰς τέχνας συνεστηκυίας, περὶ δὲ τὸ σῶμα καὶ τὴν ψυχὴν οὐδὲν τοιοῦτον συντεταγμένον, εὑρόντες διττὰς ἐπιμελείας κατέλιπον ἡμῖν, περὶ μὲν τὰ σώματα τὴν παιδοτριβικήν, ἧς ἡ γυμναστικὴ μέρος ἐστί, περὶ δὲ τὰς ψυχὰς τὴν φιλοσοφίαν, περὶ ἧς ἐγὼ μέλλω ποιεῖσθαι τοὺς λόγους, (182) ἀντιστρόφους καὶ σύζυγας καὶ σφίσιν αὐταῖς ὁμολογουμένας, δι' ὧν οἱ προεστῶντες αὐτῶν τάς τε ψυχὰς φρονιμωτέρας καὶ τὰ σώματα χρησιμώτερα παρασκευάζουσιν, οὐ πολὺ διαστησάμενοι τὰς παιδείας ἀπ' ἀλλήλων, ἀλλὰ παραπλησίαις χρώμενοι καὶ ταῖς διδασκαλίαις καὶ ταῖς γυμνασίαις καὶ ταῖς ἄλλαις ἐπιμελείαις. (183) Ἐπειδὰν γὰρ λάβωσι μαθητάς, οἱ μὲν παιδοτρίβαι τὰ σχήματα τὰ πρὸς τὴν ἀγωνίαν εὑρημένα τοὺς φοιτῶντας διδάσκουσιν, οἱ δὲ περὶ τὴν φιλοσοφίαν ὄντες τὰς ἰδέας ἁπάσας, αἷς ὁ λόγος τυγχάνει χρώμενος, διεξέρχονται τοῖς μαθηταῖς. (184) Ἐμπείρους δὲ τούτων ποιήσαντες καὶ διακριβώσαντες ἐν τούτοις πάλιν γυμνάζουσιν αὐτούς, καὶ πονεῖν ἐθίζουσι, καὶ συνείρειν καθ' ἓν ἕκαστον ὧν ἔμαθον ἀναγκάζουσιν, ἵνα ταῦτα βεβαιότερον κατάσχωσι καὶ τῶν καιρῶν ἐγγυτέρω ταῖς δόξαις γένωνται. Τῷ μὲν γὰρ εἰδέναι περιλαβεῖν αὐτοὺς οὐχ οἷόντ' ἐστίν· ἐπὶ γὰρ ἁπάντων τῶν πραγμάτων διαφεύγουσι τὰς ἐπιστήμας, οἱ δὲ μάλιστα προσέχοντες τὸν νοῦν καὶ δυνάμενοι θεωρεῖν τὸ συμβαῖνον ὡς ἐπὶ τὸ πολὺ πλειστάκις αὐτῶν τυγχάνουσι. (185) Τοῦτον δὲ τὸν τρόπον ἐπιμελόμενοι καὶ παιδεύοντες μέχρι μὲν τοῦ γενέσθαι βελτίους αὐτοὺς αὑτῶν τοὺς μαθητὰς καὶ ἔχειν ἄμεινον, τοὺς μὲν τὰς διανοίας, τοὺς δὲ τὰς τῶν σωμάτων ἕξεις, ἀμφότεροι δύνανται προαγαγεῖν· ἐκείνην δὲ τὴν ἐπιστήμην οὐδέτεροι τυγχάνουσιν ἔχοντες, δι' ἧς ἂν οἱ μὲν ἀθλητὰς οὓς βουληθεῖεν, οἱ δὲ ῥήτορας ἱκανοὺς ποιήσαιεν, ἀλλὰ μέρος μὲν ἄν τι συμβάλοιντο, τὸ

ros. (179) Rogo autem vos, si ejusmodi orationem proferam, quæ multum ab iis discrepet quæ apud vos plerumque dicantur, ut ne irascamini; sed veniam mihi tribuatis, reputantes eos qui de rebus multum a ceteris discrepantibus disputant, etiam verbis ejusdem generis uti necesse esse. Ubi igitur genus dicendi et libertatem loquendi tuleritis, meque tantum temporis quantum defensionibus tribuitur, disserere siveritis, utcumque cuique justum rectumque videbitur, sic ferte sententiam.

180. Volo autem de institutione oratoria apud vos non aliter quam qui genealogias scribant disserere. In confesso est enim naturam nostram ex corpore et animo compositam esse, quorum nemo est quin animum principalem plurisque faciendum profiteatur: hujus enim esse consultare et de rebus privatis et de publicis; corporis autem exsequi quæ ab animo decreta sint. (181) Quibus ita comparatis nonnulli eorum qui longe ante nostram memoriam fuerunt, quum aliarum quidem rerum multas artes inventas vidissent, ad animi et corporis cultum autem nihil ejusmodi repertum, duas disciplinas ab ipsis inventas nobis reliquerunt, corpori pædotribicam, cujus gymnastica pars est, animo autem philosophiam, de qua jam dicturus sum; (182) disciplinas invicem sibi respondentes et connexas et consentientes, quibus magistri animas prudentiores et corpora utiliora reddunt, dum disciplinas non multum quidem inter eas dissociant, sed similibus præceptis et exercitiis et ceteris institutionibus utantur. (183) Postquam enim discipulos acceperunt, pædotribæ posituras exercendi causa excogitatas discentibus tradunt; philosophiæ autem doctores omnes figuras, quibus oratio utitur, discipulos docent. (184) Quarum ubi compotes fecerint et diligenter in his formarint, iterum eos exercent et ad laborandum assuefaciunt, quæque didicerint, connectere singula cogunt, quo hæc firmius teneant et sententiis ad opportunitates propius accedant. Quas ut scientia complectantur, doceri non potest; in omnibus enim rebus doctrinam fallunt; qui vero animo quammaxime in eas incumbunt, et quid soleat evenire dispicere possunt, quam sæpissime eas tenent. (185) Hoc igitur modo et instituentes et educantes eo usque utrique discipulos, ut meliores reddantur et hi mentibus, alteri corporibus præstantioribus fiant, doctrina promovere possunt; illam autem scientiam neutri tenent, qua illi quidem athletas quos volunt, hi oratores perfectos faciant, quibus sane partem aliquam attribuant, ceterum hæ fa-

δ' ὅλον αἱ δυνάμεις αὗται παραγίγνονται τοῖς καὶ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις διενεγκοῦσιν.

186. Ὁ μὲν οὖν τύπος τῆς φιλοσοφίας τοιοῦτός τίς ἐστιν· ἡγοῦμαι δ' ὑμᾶς μᾶλλον ἂν ἔτι καταμαθεῖν τὴν δύναμιν αὐτῆς, εἰ διέλθοιμι τὰς ὑποσχέσεις ἃς ποιούμεθα πρὸς τοὺς πλησιάζειν ἡμῖν βουλομένους. (187) Λέγομεν γὰρ ὡς δεῖ τοὺς μέλλοντας διοίσειν ἢ περὶ τοὺς λόγους ἢ περὶ τὰς πράξεις ἢ περὶ τὰς ἄλλας ἐργασίας πρῶτον μὲν πρὸς τοῦτο πεφυκέναι καλῶς, πρὸς ὃ ἂν προῃρημένοι τυγχάνωσιν, ἔπειτα παιδευθῆναι καὶ λαβεῖν τὴν ἐπιστήμην, ἥτις ἂν ᾖ περὶ ἑκάστου, τρίτον ἐντριβεῖς γενέσθαι καὶ γυμνασθῆναι περὶ τὴν χρείαν καὶ τὴν ἐμπειρίαν αὐτῶν· ἐκ τούτων γὰρ ἐν ἁπάσαις ταῖς ἐργασίαις τελείους γίγνεσθαι καὶ πολὺ διαφέροντας τῶν ἄλλων. (188) Εἶναι δὲ τούτων προσῆκον ἑκατέροις, τοῖς τε διδάσκουσι καὶ τοῖς μανθάνουσιν, ἴδιον μὲν τοῖς μὲν εἰσενέγκασθαι τὴν φύσιν οἵαν δεῖ, τοῖς δὲ δύνασθαι παιδεῦσαι τοὺς τοιούτους, κοινὸν δ' ἀμφοτέρων τὸ περὶ τὴν ἐμπειρίαν γυμνάσιον· δεῖν γὰρ τοὺς μὲν ἐπιμελῶς ἐπιστατῆσαι τοῖς παιδευομένοις, τοὺς δ' ἐγκρατῶς ἐμμεῖναι τοῖς προσταττομένοις. (189) Ταῦτα μὲν οὖν ἐστιν ἃ κατὰ πασῶν λέγομεν τῶν τεχνῶν· εἰ δὲ δή τις ἀφέμενος τῶν ἄλλων ἔροιτό με τί τούτων μεγίστην ἔχει δύναμιν πρὸς τὴν τῶν λόγων παιδείαν, ἀποκριναίμην ἂν ὅτι τὸ τῆς φύσεως ἀνυπέρβλητόν ἐστι καὶ πολὺ πάντων διαφέρει· τὸν γὰρ ἔχοντα τὴν μὲν ψυχὴν εὑρεῖν καὶ μαθεῖν καὶ πονῆσαι καὶ μνημονεῦσαι δυναμένην, τὴν δὲ φωνὴν καὶ τὴν τοῦ στόματος σαφήνειαν τοιαύτην ὥστε μὴ μόνοις τοῖς λεγομένοις ἀλλὰ καὶ ταῖς τούτων εὐαρμοστίαις συμπείθειν τοὺς ἀκούοντας, (190) ἔτι δὲ τὴν τόλμαν μὴ τὴν ἀναισχυντίας σημεῖον γιγνομένην, ἀλλὰ τὴν μετὰ σωφροσύνης οὕτω παρασκευάζουσαν τὴν ψυχήν, ὥστε μηδὲν ἧττον θαρρεῖν ἐν δὴ πᾶσι τοῖς πολίταις τοὺς λόγους ποιούμενον ἢ πρὸς αὑτὸν διανοούμενον, τίς οὐκ οἶδεν ὅτι τυχὼν ὁ τοιοῦτος παιδείας μὴ τῆς ἀπηκριβωμένης, ἀλλὰ τῆς ἐπιπολαίου καὶ πᾶσι κοινῆς, τοιοῦτος ἂν εἴη ῥήτωρ οἷος οὐκ οἶδ' εἴ τις τῶν Ἑλλήνων γέγονεν; (191) Καὶ μὲν δὴ κἀκείνους ἴσμεν, τοὺς καταδεεστέραν μὲν τούτων τὴν φύσιν ἔχοντας, ταῖς δ' ἐμπειρίαις καὶ ταῖς ἐπιμελείαις προέχοντας, ὅτι γίγνονται κρείττους οὐ μόνον αὑτῶν, ἀλλὰ καὶ τῶν εὖ μὲν πεφυκότων, λίαν δ' αὑτῶν κατημεληκότων· ὥσθ' ἑκάτερόν τε τούτων δεινὸν ἂν καὶ λέγειν καὶ πράττειν ποιήσειεν, ἀμφότερά τε γενόμενα περὶ τὸν αὐτὸν ἀνυπέρβλητον ἂν τοῖς ἄλλοις ἀποτελέσειεν. (192) Περὶ μὲν οὖν τῆς φύσεως καὶ τῆς ἐμπειρίας ταῦτα γιγνώσκω· περὶ δὲ τῆς παιδείας οὐκ ἔχω τοιοῦτον λόγον εἰπεῖν· οὔτε γὰρ ὁμοίαν οὔτε παραπλησίαν ἔχει τούτοις τὴν δύναμιν. Εἰ γάρ τις διακούσειεν ἅπαντα τὰ περὶ τοὺς λόγους καὶ διακριβωθείη μᾶλλον τῶν ἄλλων, λόγων μὲν ποιητὴς τυχὸν ἂν χαριέστερος γένοιτο τῶν πολλῶν, εἰς ὄχλον δὲ καταστάς, τούτου μόνον ἀποστερηθείς, τοῦ τολμᾶν, οὐδ' ἂν φθέγξασθαι δυνηθείη.

cultates iis contingunt, qui et ingenio et diligentia excellunt.

186. Atque imago philosophiæ hæc fere est. Arbitror autem vos ejus vim magis etiam cognoscere, si exponam quidnam iis, qui discendi causa ad nos accedere volunt, polliceamur. (187) Dicimus enim qui vel dicendo vel agendo vel alia re excellere velint, eos primo a natura ad ea quæ susceperunt, recte formatos esse oportere; deinde institui atque iis præceptis imbui, quæ ad quamque artem pertineant; tertio assuefieri et usu et cognitione exerceri: his enim qualibet in arte fieri perfectos et aliis præstantiores. (188) Oportere autem utrosque, et docentes et discentes, proprium aliquid afferre, hos ingenium, quo opus sit, illos facultatem docendi; communem vero utrisque esse exercitationem ad usum acquirendum; necesse est enim illos studiose præcipere iis qui instituendi sint, hos firmiter tenere præcepta. (189) Atque hæc sunt quæ de omnibus artibus præscribimus. Si autem quis reliquis omissis ex me quæreret quid maximam vim haberet ad institutionem oratoriam, naturæ indolem responderem præstantissimam esse multoque cetera omnia superare. Nam qui habet mentem et ad inveniendum et ad discendum et ad elaborandum et ad recordandum idoneam, deinde vocem et oris facundiam, ut non modo dictis, sed eleganti orationis compositione persuadere et secum trahere auditores possit, (190) deinde audaciam non illam quidem quæ est impudentiæ indicium, sed quæ cum modestia conjuncta ita mentem afficit, ut non minus animo firmo sit qui coram omnibus civibus verba faciat, quam quum secum commentetur: quis nescit hunc etiam exquisita institutione destitutum et tumultuaria illa tantum omnibusque communi instructum, talem facile oratorem futurum esse qualis haud scio an nullus inter Græcos exstiterit? (191) At etiam illos scimus, qui deteriore a natura indole instructi studiis et curæ animum dederunt, non solum ipsos præstantissimos evasisse, sed etiam alios ingenio quidem bono præditos, sed nimis sui negligentes, superasse. Itaque utrumque et ad dicendum et ad agendum egregios efficere potest; si vero ambo in eodem conjungantur, orator exsistat, qui ab aliis superari non possit. (192) De ingenio igitur et exercitatione hæc sentio; de institutione autem idem dicere non licet: nam neque eandem neque similem vim habet. Si quis enim omnia de eloquentia præcepta penitus audierit, eaque accuratissime animo suo impresserit, orationum quidem scriptor fortasse reliquis elegantior evadat; in concionem vero progressus, uno solo destitutus, audaciam dico, nihil quicquam dicere possit.

193. Καὶ μηδεὶς οἰέσθω με πρὸς μὲν ὑμᾶς συστέλλειν τὴν ὑπόσχεσιν, ἐπειδὰν δὲ διαλέγωμαι πρὸς τοὺς συνεῖναί μοι βουλομένους, ἅπασαν ὑπ' ἐμαυτῷ ποιεῖσθαι τὴν δύναμιν· φεύγων γὰρ τὰς τοιαύτας αἰτίας, ὅτ' ἠρχόμην περὶ ταύτην εἶναι τὴν πραγματείαν, λόγον διέδωκα γράψας ἐν ᾧ φανήσομαι τοῖς τε μείζους ποιουμένοις τὰς ὑποσχέσεις ἐπιτιμῶν καὶ τὴν ἐμαυτοῦ γνώμην ἀποφαινόμενος. (194) Ἃ μὲν οὖν κατηγορῶ τῶν ἄλλων παραλείψω· καὶ γάρ ἐστι πλείω τοῦ καιροῦ τοῦ παρόντος· ἃ δ' αὐτὸς ἀποφαίνομαι, πειράσομαι διελθεῖν ὑμῖν. Ἄρχομαι δ' ἐνθένδε ποθέν.

ΕΚ ΤΟΥ ΚΑΤΑ ΣΟΦΙΣΤΩΝ.

Εἰ δὲ δεῖ μὴ μόνον κατηγορεῖν τῶν ἄλλων, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ δηλῶσαι διάνοιαν.

μέχρι τοῦ

καθ' ὃ δ' ἂν ἐλλειφθῇ τι τῶν εἰρημένων, ἀνάγκη ταύτῃ χεῖρον διακεῖσθαι τοὺς πλησιάζοντας.

195. Ταῦτα κομψοτέρως μὲν πέφρασται τῶν ἔμπροσθεν εἰρημένων, βούλεται δὲ ταὐτὰ δηλοῦν ἐκείνοις. Ὃ χρὴ μέγιστον ὑμῖν γενέσθαι τεκμήριον τῆς ἐμῆς ἐπιεικείας· οὐ γάρ, ὅτε μὲν ἦν νεώτερος, ἀλαζονευόμενος φαίνομαι καὶ μεγάλας τὰς ὑποσχέσεις ποιούμενος, ἐπειδὴ δ' ἀπολέλαυκα τοῦ πράγματος καὶ πρεσβύτερος γέγονα, τηνικαῦτα ταπεινὴν ποιῶν τὴν φιλοσοφίαν, ἀλλὰ τοῖς αὐτοῖς λόγοις χρώμενος ἀκμάζων καὶ παυόμενος αὐτῆς, καὶ θαρρῶν καὶ κινδυνεύων, καὶ πρὸς τοὺς βουλομένους πλησιάζειν καὶ πρὸς τοὺς μέλλοντας περί μου τὴν ψῆφον οἴσειν, ὥστ' οὐκ οἶδ' ὅπως ἄν τις ἀληθέστερος ἢ δικαιότερος περὶ αὐτὴν ἐπιδειχθείη γεγενημένος.

196. Ταῦτα μὲν οὖν ἐκείνοις προσκείσθω τοῖς πρότερον περὶ ἡμῶν εἰρημένοις· οὐκ ἀγνοῶ δ' ὅτι τοὺς δυσκόλως διακειμένους οὐδέν πω τῶν εἰρημένων ἱκανόν ἐστιν ἀπαλλάξαι τῆς διανοίας ταύτης, ἀλλὰ πολλῶν ἔτι δέονται λόγων καὶ παντοδαπῶν, εἰ μέλλουσιν ἑτέραν μεταλήψεσθαι δόξαν ἀνθ' ἧς νῦν τυγχάνουσιν ἔχοντες. (197) Δεῖ δὴ μηδ' ἡμᾶς προαπειπεῖν διδάσκοντας καὶ λέγοντας ἐξ ὧν, δυοῖν θάτερον, ἢ μεταστήσομεν τὰς γνώμας αὐτῶν, ἢ τὰς βλασφημίας καὶ κατηγορίας αἷς χρῶνται καθ' ἡμῶν ἐξελέγξομεν ψευδεῖς οὔσας. Εἰσὶ δὲ διτταί. Λέγουσι γὰρ οἱ μὲν ὡς ἔστιν ἡ περὶ τοὺς σοφιστὰς διατριβὴ φλυαρία καὶ φενακισμός· οὐδεμία γὰρ εὕρηται παιδεία τοιαύτη δι' ἧς γένοιτό τις ἂν ἢ περὶ τοὺς λόγους δεινότερος ἢ περὶ τὰς πράξεις φρονιμώτερος, ἀλλ' οἱ προέχοντες ἐν τούτοις τῇ φύσει τῶν ἄλλων διαφέρουσιν· (198) οἱ δὲ δεινοτέρους μὲν ὁμολογοῦσιν εἶναι τοὺς περὶ τὴν μελέτην ταύτην ὄντας, οὐ μὴν ἀλλὰ διαφθείρεσθαι καὶ γίγνεσθαι χείρους· ἐπειδὰν γὰρ λάβωσι δύναμιν, τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν. Ὡς οὖν οὐδὲν ὑγιὲς οὐδ' ἀληθὲς οὐδέτεροι τούτων λέγουσι, πολλὰς ἐλπίδας ἔχω πᾶσι φανερὸν ποιήσειν.

193. Ac ne quis me putet apud vos diminuere quæ profitear, quando vero cum iis qui discendi causa mecum esse velint, colloquar, omnem mihi vim attribuere. Cavens enim ejusmodi cavillationes, quum primum in hoc dicendi negotio versari inciperem, orationem scriptam edidi, in qua cognoscar eos qui majora promittant, vituperare et meam ipsius declarare sententiam. (194) Omissis igitur quæ in aliis arguo (nam præsenti negotio prolixiora sunt,) quid ipse sentiam, vobis recensere tentabo. Ordior autem fere hinc :

EX ORATIONE CONTRA SOPHISTAS.

« Quodsi non tantum alii accusandi sunt, sed mea sententia explicanda est, » (§ 14.)

usque ad hæc :

« Sin quidquam ex his quæ diximus desiderabitur, necesse erit ab ea parte discipulos minus paratos esse. » (§ 18.)

195. Hæc elegantius quidem dicta sunt quam quæ antea recitavi; neque vero alia volunt declarare quam illa : id quod vobis maximum modestiæ meæ argumentum esse debet; non enim adolescens jactator fuisse videbor magnaque promisisse; postquam autem re ipsa expertus ad provectiorem ætatem perveni, tum philosophiam deprimere : sed eadem oratione usus sum et juvenili ætate et jam ab illa disciplina recedens, et incolumis et in discrimine meo, et cum discipulis et judicibus meis, ut nesciam qua quis ratione aut veracior aut justior erga illam ostendatur.

196. Hæc igitur illis addantur quæ prius de nobis dicta sunt; neque vero sum nescius, quæ exposita sint nondum sufficere, ut qui de me inique judicent, de suscepta sententia moveantur, sed multa ac varia oratione opus esse, si commovendi sunt ut aliam quam nunc mentem induant. (197) Oportet igitur ne nos quidem a docendo et dicendo desistere, ex quo, alterum utrum, aut sententias eorum mutabimus, aut calumnias et criminationes, quibus adversus nos utuntur, mendaces esse coarguemus. Est autem duplex accusatio. Aiunt enim alii doctrinam sophistarum nugas esse et ludificationem; nullam enim artem reperiri talem, qua quis evadat aut ad dicendum aut agendum paratior, sed qui in his artibus excellant, ingenio esse ceteris instructiores; (198) alii vero concedunt illi quidem eloquentiores fieri qui curam adhibeant, verum etiam corrumpi et depravari, quoniam ubi dicendi facultatem consecuti sint, alienis insidias tendant. At neutros sani quidquam dicere, magna mihi spes est fore ut vobis ostendam.

199. Πρῶτον δ' ἐνθυμήθητε περὶ τῶν φλυαρίαν φασκόντων εἶναι τὴν παιδείαν, ὡς αὐτοὶ λίαν καταφανῶς ληροῦσι. Διασύρουσι μὲν γὰρ αὐτὴν ὡς οὐδὲν ὠφελεῖν δυναμένην, ἀλλ' ἀπάτην καὶ φεναχισμὸν οὖσαν, ἀξιοῦσι δὲ τοὺς συνόντας ἡμῖν εὐθὺς μὲν προσελθόντας διαφέρειν αὐτοὺς αὑτῶν, (200) ὀλίγας δ' ἡμέρας συνδιατρίψαντας σοφωτέρους ἐν τοῖς λόγοις καὶ χρείττους φαίνεσθαι τῶν καὶ ταῖς ἡλικίαις καὶ ταῖς ἐμπειρίαις προεχόντων, ἐνιαυτὸν δὲ μόνον παραμείναντας ῥήτορας ἅπαντας ἀγαθοὺς εἶναι καὶ τελέους, καὶ μηδὲν φαυλοτέρους τοὺς ἀμελεῖς τῶν πονεῖν ἐθελόντων μηδὲ τοὺς ἀφυεῖς τῶν τὰς ψυχὰς ἀνδριχὰς ἐχόντων. (201) Καὶ ταῦτα προστάττουσιν οὔθ' ἡμῶν ἀκηκοότες τοιαύτας ποιουμένων τὰς ὑποσχέσεις, οὔτ' ἐν ταῖς ἄλλαις τέχναις καὶ παιδείαις οὐδὲν ἑωραχότες τούτων συμβαῖνον, ἀλλὰ μόλις μὲν ἡμῖν τὰς ἐπιστήμας παραγιγνομένας, οὐχ ὁμοίως δ' ἀλλήλοις ὅ τι ἂν μάθωμεν ἐξεργαζομένους, ἀλλὰ δύο μὲν ἢ τρεῖς ἐξ ἁπάντων τῶν διδασχαλείων ἀγωνιστὰς γιγνομένους, τοὺς δ' ἄλλους ἐξ αὐτῶν ἰδιώτας ἀπαλλαττομένους. (202) Καίτοι πῶς οὐχ ἄφρονας εἶναι χρὴ νομίζειν τοὺς τὰς δυνάμεις τὰς ἐν ταῖς ὁμολογουμέναις τῶν τεχνῶν οὐχ ἐνούσας, ταύτας ἀπαιτεῖν τολμῶντας παρὰ ταύτης ἣν οὐχ εἶναί φασι, καὶ πλείους τὰς ὠφελείας ἀξιοῦντας γίγνεσθαι παρὰ τῆς ἀπιστουμένης ὑφ' αὐτῶν ἢ παρὰ τῶν ἀχριδῶς εὑρῆσθαι δοχουσῶν; (203) Χρὴ δὲ τοὺς νοῦν ἔχοντας οὐχ ἀνωμάλως ποιεῖσθαι τὰς χρίσεις περὶ τῶν ὁμοίων πραγμάτων, οὐδ' ἀποδοχιμάζειν τὴν παιδείαν τὴν ταὐτὰ ταῖς πλείσταις τῶν τεχνῶν ἀπεργαζομένην. Τίς γὰρ οὐχ οἶδεν ὑμῶν πολλοὺς τῶν ὑπὸ τοῖς σοφισταῖς γενομένων οὐ φεναχισθέντας οὐδ' οὕτω διατεθέντας ὡς οὗτοι λέγουσιν, (204) ἀλλὰ τοὺς μὲν αὐτῶν ἱχανοὺς ἀγωνιστὰς ἀποτελεσθέντας, τοὺς δὲ παιδεύειν ἑτέρους δυνηθέντας, ὅσοι δ' αὐτων ἰδιωτεύειν ἐβουλήθησαν, ἔν τε ταῖς ὁμιλίαις χαριεστέρους ὄντας ἢ πρότερον ἦσαν, τῶν τε λόγων χριτὰς καὶ συμβούλους ἀχριβεστέρους τῶν πλείστων γεγενημένους; ὥστε πῶς χρὴ τῆς τοιαύτης διατριβῆς καταφρονεῖν, τῆς τοὺς κεχρημένους αὐτῇ τοιούτους παρασκευάζειν δυναμένης; (205) Ἀλλὰ μὴν καὶ τόδε πάντες ἂν ὁμολογήσαιεν, ὅτι τούτους τεχνικωτάτους εἶναι νομίζομεν ἐπὶ πασῶν τῶν τεχνῶν καὶ χειρουργιῶν, οἵτινες ἂν τοὺς μαθητὰς ὡς οἷόνθ' ὁμοιοτάτους ἐργάτας ἀλλήλοις ἀποδείξωσι. Τῇ τοίνυν φιλοσοφίᾳ φανήσεται καὶ τοῦτο συμβεβηκός. (206) Ὅσοι γὰρ ἡγεμόνος ἔτυχον ἀληθινοῦ καὶ νοῦν ἔχοντος, εὑρεθεῖεν ἂν ἐν τοῖς λόγοις οὕτως ὁμοίαν τὴν δύναμιν ἔχοντες, ὥστε πᾶσιν εἶναι φανερὸν ὅτι τῆς αὐτῆς παιδείας μετεσχήκασι. Καίτοι μηδενὸς ἔθους αὐτοῖς ἐγγενομένου κοινοῦ μηδὲ διατριβῆς τεχνικῆς ὑπαρξάσης οὐκ ἔστιν ὅπως ἂν εἰς τὴν ὁμοιότητα ταύτην κατέστησαν. (207) Ἔτι τοίνυν ὑμῶν αὐτῶν οὐδεὶς ἔστιν ὅστις οὐκ ἂν εἰπεῖν ἔχοι πολλοὺς τῶν συμπαιδευθέντων, οἳ παῖδες μὲν ὄντες ἀμαθέστατοι τῶν ἡλικιωτῶν ἔδοξαν εἶναι, πρεσβύτεροι δὲ γενόμενοι πλέον διήνεγκαν πρὸς τὸ φρονεῖν καὶ λέγειν

199. Ac primum quidem considerate qui oratoriam institutionem inter nugas referant, eos nimis perspicue nugari. Nam quanquam eam insectantur, quod nihil commodi afferre possit, sed fraude et illusione constet, eos tamen qui nos audiunt, ubi primum ad nos accesserint, plurimum statim proficere volunt; (200) paucos vero dies moratos instructiores in dicendo et paratiores iis videri qui ætate et usu antecedant; anno denique uno elapso omnes oratores esse bonos et perfectos, nihiloque deteriores eos qui ignavi sint, quam laboriosos, neque ineptos iis qui fortes animos habent. (201) Atque hæc quidem exigunt, quum neque nos talia spondere audierint, neque in ceteris artibus et institutionibus ejusmodi aliquid usuvenire viderint, sed magno labore cognitiones nobis acquiri; neque omnes quodcumque discamus simili modo perficere, sed ex universis ludis duos aut tres ad ipsa causarum discrimina subeunda idoneos prodire, ceteros ex illis non idoneos et velut indoctos discedere. (202) Atqui quomodo non stulti existimandi sunt qui vim, quæ in ceteris artibus haud dubie non insit, eam postulare ab illa audeant, quam artem esse negant, et plures fructus ab ea quæ ab ipsis rejicitur, percipere velint, quam ab iis quæ ex confesso inter artes relatæ sunt. (203) Oportet igitur prudentes homines non inconstanter facere judicia de similibus causis, neque rejicere institutionem quæ idem quod pleræque artes efficit. Quis enim nescit multos ex vobis, qui se sophistis in disciplinam tradiderunt, neque illusos esse neque ita affectos ut hi dicunt, (204) sed alios bonos causidicos evasisse, alios aliis docendis idoneos; qui vero privatam vitam prætulerint, in congressibus et elegantiores esse quam antea essent, et orationum judices consiliariosque acutiores quam plerosque alios esse factos? Itaque quomodo hæc disciplina contemnenda est, quæ eos qui ea utantur, tales reddere possit? (205) At vero etiam hoc inter omnes constet, eos in omnibus artibus atque opificiis judicari absolutissimos, qui discipulos quam simillimos sui artifices efficiant. Id etiam in eloquentiæ studium cadere videtur. (206) Qui enim sincerum et intelligentem magistrum nacti sunt, in orationibus tam similem vim habere inveniantur, ut ejusdem eos institutionis participes fuisse omnibus pateat. Et tamen si nulla esset communitas consuetudinis aut disciplinæ, fieri non poterat ut ad tantam similitudinem pervenissent. (207) Præterea nemo vestrûm est qui non multos ex condiscipulis nominare possit, qui quum pueri inter æquales ineptissimi esse viderentur, adulti in judicando et dicendo eosdem majore intervallo anteirent, quam ab iis pueri relinquebantur

τῶν αὐτῶν τούτων ὧν παῖδες ὄντες ἀπελείφθησαν. Ὅθεν μάλιστ' ἄν τις γνοίη τὴν ἐπιμέλειαν ὅσην ἔχει δύναμιν· δῆλον γὰρ ὅτι τότε μὲν ἅπαντες τοιαύταις ἐχρῶντο ταῖς διανοίαις οἵας περ ἐξ ἀρχῆς ἔφυσαν ἔχοντες, ἄνδρες δὲ γενόμενοι τούτων διήνεγκαν καὶ μετήλλαξαν τὴν φρόνησιν τῷ τοὺς μὲν ἐκκεχυμένως ζῆν καὶ ῥαθύμως, τοὺς δὲ τοῖς τε πράγμασι καὶ σφίσιν αὐτοῖς προσέχειν τὸν νοῦν. (208) Ὅπου δὲ καὶ διὰ τὰς αὑτῶν ἐπιμελείας γίγνονταί τινες βελτίους, πῶς οὐκ ἂν οὗτοι λαβόντες ἐπιστάτην καὶ πρεσβύτερον καὶ πολλῶν πραγμάτων ἔμπειρον, καὶ τὰ μὲν παρειληφότα, τὰ δ' αὐτὸν εὑρηκότα, πολὺ ἂν ἔτι πλέον καὶ σφῶν αὐτῶν καὶ τῶν ἄλλων διήνεγκαν;

209. Οὐ μόνον δ' ἐκ τούτων ἀλλὰ καὶ τῶν λοιπῶν εἰκότως ἂν ἅπαντες τὴν ἄγνοιαν θαυμάσειαν τῶν τολμώντων οὕτως εἰκῇ καταφρονεῖν τῆς φιλοσοφίας· πρῶτον μὲν εἰ πάσας τὰς πράξεις καὶ τὰς τέχνας εἰδότες ταῖς μελέταις καὶ ταῖς φιλοπονίαις ἁλισκομένας πρὸς τὴν τῆς φρονήσεως ἄσκησιν ταῦτα μηδεμίαν ἡγοῦνται δύναμιν ἔχειν, (210) ἔπειτ' εἰ τῶν μὲν σωμάτων μηδὲν οὕτως ἂν φήσαιεν εἶναι φαῦλον, ὅ τι γυμνασθὲν καὶ πονῆσαν οὐκ ἂν εἴη βέλτιον, τὰς δὲ ψυχὰς τὰς ἄμεινον πεφυκυίας τῶν σωμάτων μηδὲν ἂν νομίζουσι γενέσθαι σπουδαιοτέρας παιδευθείσας καὶ τυχούσας τῆς προσηκούσης ἐπιμελείας· (211) ἔτι δ' εἰ περὶ τοὺς ἵππους καὶ τοὺς κύνας καὶ τὰ πλεῖστα τῶν ζῴων ὁρῶντες τέχνας ἔχοντάς τινας, αἷς τὰ μὲν ἀνδρειότερα, τὰ δὲ πραότερα, τὰ δὲ φρονιμώτερα ποιοῦσι, περὶ τὴν τῶν ἀνθρώπων φύσιν μηδεμίαν οἴονται τοιαύτην εὑρῆσθαι παιδείαν, ἥτις ἂν αὐτοὺς ἐπί τι τούτων ὧνπερ καὶ τὰ θηρία δυνηθείη προαγαγεῖν, (212) ἀλλὰ τοσαύτην ἁπάντων ἡμῶν ἀτυχίαν κατεγνώκασιν, ὥσθ' ὁμολογήσειαν μὲν ἂν ταῖς ἡμετέραις διανοίαις ἕκαστον τῶν ὄντων βέλτιον γίγνεσθαι καὶ χρησιμώτερον, αὐτοὺς δ' ἡμᾶς τοὺς ἔχοντας τὴν φρόνησιν ταύτην, ᾗ πάντα πλέονος ἄξια ποιοῦμεν, τολμῶσι λέγειν ὡς οὐδὲν ἂν ἀλλήλους πρὸς ἐπιείκειαν εὐεργετήσαιμεν. (213) Ὃ δὲ πάντων δεινότατον, ὅτι καθ' ἕκαστον τὸν ἐνιαυτὸν θεωροῦντες ἐν τοῖς θαύμασι τοὺς μὲν λέοντας πραότερον διακειμένους πρὸς τοὺς θεραπεύοντας ἢ τῶν ἀνθρώπων ἔνιοι πρὸς τοὺς εὖ ποιοῦντας, τὰς δ' ἄρκτους καλινδουμένας καὶ παλαιούσας καὶ μιμουμένας τὰς ἡμετέρας ἐπιστήμας, (214) οὐδ' ἐκ τούτων δύνανται γνῶναι τὴν παιδείαν καὶ τὴν ἐπιμέλειαν ὅσην ἔχει δύναμιν, οὐδ' ὅτι ταῦτα πολὺ ἂν θᾶττον τὴν ἡμετέραν φύσιν ἢ τὴν ἐκείνων ὠφελήσειεν· ὥστ' ἀπορῶ πότερον ἄν τις δικαιότερον θαυμάσειε τὰς πραότητας τὰς τοῖς χαλεπωτάτοις τῶν θηρίων ἐγγιγνομένας ἢ τὰς ἀγριότητας τὰς ἐν ταῖς ψυχαῖς τῶν τοιούτων ἀνθρώπων ἐνούσας.

215. Ἔχοι δ' ἂν τις πλείω περὶ τούτων εἰπεῖν· ἀλλὰ γὰρ ἢν πολλὰ λίαν λέγω περὶ τῶν παρὰ τοῖς πλείστοις ὁμολογουμένων, δέδοικα μὴ περὶ τῶν ἀμφισβητουμένων ἀπορεῖν δόξω. Παυσάμενος οὖν τούτων ἐπ' ἐκείνους τρέψομαι, τοὺς οὐ καταφρονοῦντας μὲν τῆς φιλο-

tur. Hinc vel maxime aliquis cognoverit quam vim habeat cura et meditatio. Patet enim illos tunc ea mente esse usos, qua initio nati essent: ad virilem autem ætatem provecti inter ipsos digressi sunt mutaveruntque ingenium illi dissolute et temere vivendo, hi rebus gerendis ipsisque excolendis animum applicando. (208) Quodsi nonnulli sua industria ad meliorem conditionem se evexerunt, quomodo hi duce accepto et seniore et multarum rerum perito, qui alia ab aliis addidicerit, alia ipse invenerit, et ipsi suam facultatem non efferant aliisque multum præstent?

209. Nec solum vero ex his quæ dixi, sed etiam ex reliquis omnes jure mirentur inscitiam eorum, qui adeo temere eloquentiæ studium contemnant, primum si, quum omnia opificia et artes cura et labore comprehendi videant, hæc ad ingenii culturam nullam vim habere putant; (210) deinde si corpus nullum adeo pravum esse dicunt, ut exercitatione et actione non melius reddatur, animos autem corporibus natura præstantiores nihilo fieri meliores, si instituantur et idoneam culturam adipiscantur; (211) porro si, quum nonnullos artes invenisse videant quibus equi et canes et plurima animalia alia animosiora, alia mansuetiora, alia prudentiora reddantur, humanæ naturæ nullam hujusmodi artem inventam credant, qua ad unum aliquid, quo etiam belluæ educentur, possit institui, (212) tamque miseram nostrûm omnium conditionem judicent, ut nostra quidem intelligentia pleraque meliora fieri et utiliora fateantur, nosmetipsos autem, qui hanc cognitionem habeamus, qua pleraque meliora reddamus, nihil posse beneficii conferre ad cultum ingenii, dicere audeant. (213) Omnium autem maxime mirandum est quod, quum quotannis leones in spectaculis intueantur mansuetiore erga curatores suos animo quam nonnullos homines erga eos a quibus beneficia acceperunt, et ursos sese volutantes et luctantes et nostra artificia imitantes, (214) ne ex his quidem exemplis cognoscere possunt, quantam vim cura et institutio habeat, hasque multo facilius nostræ indoli quam illorum prodesse. Itaque mihi non constat, utrum quis justius miretur mansuetudinem quæ vel in ferocissimis animalibus reperiatur, an feritatem quæ in animis talium hominum insit.

215. De his multo plura dici possunt: at enim si nimis multa de iis dicam quæ apud plerosque constant, metuo ne de iis quæ dubitentur, ambigere videar quid dicam. His igitur omissis ad illos me convertam, qui quanquam eloquentiæ studium non contemnunt, id tamen multo

σοφίας, πολὺ δὲ πικρότερον κατηγοροῦντας αὐτῆς, καὶ μεταφέροντας τὰς πονηρίας τὰς τῶν φασκόντων μὲν εἶναι σοφιστῶν, ἄλλο δέ τι πραττόντων, ἐπὶ τοὺς οὐδὲν τῶν αὐτῶν ἐκείνοις ἐπιτηδεύοντας. (216) Ἐγὼ δ' οὐχ ὑπὲρ ἁπάντων τῶν προσποιουμένων δύνασθαι παιδεύειν ποιοῦμαι τοὺς λόγους, ἀλλ' ὑπὲρ τῶν δικαίως τὴν δόξαν ταύτην ἐχόντων. Οἶμαι δὲ σαφῶς ἐπιδείξειν τοὺς κατηγοροῦντας ἡμῶν πολὺ τῆς ἀληθείας διημαρτηκότας, ἤν περ ἐθελήσητε διὰ τέλους ἀκοῦσαι τῶν λεγομένων.

217. Πρῶτον μὲν οὖν ὁρίσασθαι δεῖ τίνων ὀρεγόμενοι καὶ τίνος τυχεῖν βουλόμενοι τολμῶσί τινες ἀδικεῖν· ἢν γὰρ ταῦτα καλῶς περιλάβωμεν, ἄμεινον γνώσεσθε τὰς αἰτίας τὰς καθ' ἡμῶν λεγομένας, εἴτ' ἀληθεῖς εἰσιν εἴτε ψευδεῖς. Ἐγὼ μὲν οὖν ἡδονῆς ἢ κέρδους ἢ τιμῆς ἕνεκα φημὶ πάντας πάντα πράττειν· ἔξω γὰρ τούτων οὐδεμίαν ἐπιθυμίαν ὁρῶ τοῖς ἀνθρώποις ἐγγιγνομένην. (218) Εἰ δὴ ταῦθ' οὕτως ἔχει, λοιπόν ἐστι σκέψασθαι τί τούτων ἂν ἡμῖν γίγνοιτο διαφθείρουσι τοὺς νεωτέρους. Πότερ' ἂν ἡσθεῖμεν ὁρῶντες ἢ καὶ πυνθανόμενοι πονηροὺς αὐτοὺς ὄντας καὶ δοκοῦντας τοῖς συμπολιτευομένοις; Καὶ τίς οὕτως ἐστὶν ἀναίσθητος ὅστις οὐκ ἂν ἀλγήσειε τοιαύτης διαβολῆς περὶ αὐτὸν γιγνομένης; (219) Ἀλλὰ μὴν οὐδ' ἂν θαυμασθεῖμεν οὐδὲ τιμῆς μεγάλης τύχοιμεν τοιούτους τοὺς συνόντας ἀποπέμποντες, ἀλλὰ πολὺ ἂν μᾶλλον καταφρονηθεῖμεν καὶ μισηθεῖμεν τῶν ταῖς ἄλλαις πονηρίαις ἐνόχων ὄντων. Καὶ μὴν οὐδ' εἰ ταῦτα παρίδοιμεν, χρήματα πλεῖστ' ἂν λάβοιμεν οὕτω παιδείας προεστῶτες. (220) Οἶμαι γὰρ δήπου τοῦτό γε πάντας γιγνώσκειν, ὅτι σοφιστῇ μισθὸς κάλλιστός ἐστι καὶ μέγιστος, ἢν τῶν μαθητῶν τινες καλοὶ κἀγαθοὶ καὶ φρόνιμοι γένωνται καὶ παρὰ τοῖς πολίταις εὐδοκιμοῦντες· οἱ μὲν γὰρ τοιοῦτοι πολλοὺς μετασχεῖν τῆς παιδείας εἰς ἐπιθυμίαν καθιστᾶσιν, οἱ δὲ πονηροὶ καὶ τοὺς πρότερον συνεῖναι διανοουμένους ἀποτρέπουσιν. Ὥστε τίς ἂν ἐν τούτοις τὸ κρεῖττον ἀγνοήσειεν, οὕτω μεγάλην τὴν διαφορὰν τῶν πραγμάτων ἐχόντων;

221. Ἴσως οὖν ἄν τις πρὸς ταῦτα τολμήσειεν εἰπεῖν ὡς πολλοὶ τῶν ἀνθρώπων διὰ τὰς ἀκρασίας οὐκ ἐμμένουσι τοῖς λογισμοῖς, ἀλλ' ἀμελήσαντες τοῦ συμφέροντος ἐπὶ τὰς ἡδονὰς ὁρμῶσιν. Ἐγὼ δ' ὁμολογῶ καὶ τῶν ἄλλων πολλοὺς καὶ τῶν προσποιουμένων εἶναι σοφιστῶν ἔχειν τινὰς τὴν φύσιν ταύτην, (222) ἀλλ' ὅμως οὐδὲ τῶν τοιούτων οὐδείς ἐστιν οὕτως ἀκρατὴς ὅστις ἂν δέξαιτο καὶ τοὺς μαθητὰς εἶναι τοιούτους· τῶν μὲν γὰρ ἡδονῶν τῶν διὰ τὴν ἀκρασίαν ἐκείνοις συμβαινουσῶν οὐκ ἂν δύναιτο μετασχεῖν, τῆς δὲ δόξης τῆς διὰ τὴν πονηρίαν γιγνομένης αὐτὸς ἂν τὸ πλεῖστον μέρος ἀπολαύσειεν. Ἔπειτα τίνας ἂν καὶ διαφθείραιεν, καὶ τοὺς πῶς διακειμένους λάβοιεν ἂν μαθητάς; ἄξιον γὰρ καὶ ταῦτα διελθεῖν. (223) Πότερον τοὺς ἤδη κακοήθεις ὄντας καὶ πονηρούς; Καὶ τίς ἄν, ἃ παρὰ τῆς αὑτοῦ φύσεως ἐπίσταται, ταῦτα παρ' ἑτέρου μανθάνειν ἐπιχειρήσειεν;

acerbius accusant, pravitatesque eorum qui se sophistas professi aliud quid agunt, in eos transferunt, qui nihil commune cum illis habent. (216) Ego vero non de omnibus qui alios se posse instituere simulant, loquor, sed de iis qui jure hanc famam assecuti sunt. Spero autem fore ut, si ad finem usque me audire volueritis, perspicue ostendam eos qui nos accusent, longe a vero recedere.

217. Primum igitur definiendum est quid appetant quidque consequi studeant qui injuriam nobis facere audent; si enim hæc diligenter constituimus, accusationes, quæ in nos conferantur, rectius perspicietis veræne sint an falsæ. Ego quidem voluptatis aut lucri aut honoris causa omnes omnia facere dico : ultra hæc nullam cupiditatem in homines cadere video. (218) Si autem hæc ita sunt, reliquum est ut videamus, quid horum corrumpendo adolescentes nobis obveniat. Num lætabimur quum eos aut videamus aut audiamus pravos esse et a civibus haberi? Et quis tam obduratus sit qui non doleat, quando in ejusmodi criminationem incidat? (219) At vero admirationi non essemus neque magnum honorem assequeremur, si discipulos ita institutos dimitteremus; sed potius multo magis contemneremur et odio haberemur quam ii qui ceteris improbitatis generibus tenentur. Ac profecto ne si quidem ista despiceremus, maximam mercedem pro institutione, quam ita moderaremur, acciperemus. (220) Arbitror autem id omnes cognoscere, pulcherrimam esse rhetori mercedem et maximam, si quidam ex suis discipulis boni et honesti et frugi fiant et apud cives suos laudibus excellant. Hi enim multos incitent ut ejusdem institutionis participes fieri cupiant; pravi vero etiam eos qui se in eam disciplinam tradere cupiebant, ab illis avertunt. Itaque quis in his, quod melius sit, non cognoverit, quum res tanto intervallo distent?

221. Fortasse autem quispiam ad hæc respondere audeat multos homines propter suam intemperantiam in iis, quæ ratio suadeat, non acquiescere, sed utilitate contempta in cupidines proruere. Ego quidem concedo et alios multos et nonnullos etiam eorum qui sophistas se profiteantur, hoc esse ingenio præditos; (222) at ne horum quidem quisquam est adeo intemperans, ut etiam discipulos suos tales esse velit. Voluptatibus enim quæ ex incontinentia illis orirentur, frui non posset; infamiæ vero ex illorum improbitate contractæ plurima parte laboraret. Deinde quos tandem corrumperet, et quomodo comparatos discipulos reciperet? nam hæc quoque operæ pretium est perquirere. (223) Num male jam morigeratos et depravatos? Et quis unquam quæ domo attulerit, hæc ab alio discere studeat?

Ἀλλὰ τοὺς ἐπιεικεῖς καὶ χρηστῶν ἐπιτηδευμάτων ἐπιθυμοῦντας; Ἀλλ' οὐδ' ἂν εἷς τῶν τοιούτων τοῖς κακόν τι λέγουσιν ἢ πράττουσι διαλεχθῆναι τολμήσειεν.

224. Ἡδέως δ' ἂν κἀκεῖνο πυθοίμην παρὰ τῶν χαλεπῶς ἐχόντων πρὸς ἡμᾶς, τίνα ποτὲ γνώμην ἔχουσι περὶ τῶν ἐκ Σικελίας καὶ τοῦ Πόντου καὶ τῶν ἄλλων τόπων δεῦρο πλεόντων, ἵνα παιδευθῶσι· πότερον αὐτοὺς οἴονται σπανίζοντας ἐκεῖ πονηρῶν ἀνθρώπων ἐνθάδε ποιεῖσθαι τὴν πορείαν; Ἀλλὰ πανταχοῦ πολλὴν ἀφθονίαν εὕροι τις ἂν τῶν συμπονηρεύεσθαι καὶ συνεξαμαρτάνειν βουλομένων. (225) Ἀλλ' ἵνα κακοπράγμονες καὶ συκοφάνται γένωνται, πολλὰ χρήματα τελέσαντες; Ἀλλὰ πρῶτον μὲν οἱ ταύτην ἔχοντες τὴν γνώμην πολὺ ἂν ἥδιον τὰ τῶν ἄλλων λάβοιεν ἢ δοῖεν ἑτέροις ὁτιοῦν τῶν σφετέρων αὐτῶν· ἔτι δὲ τίνες ἂν ὑπὲρ πονηρίας ἀργύριον ἀναλώσαιεν, ἐξὸν αὐτοῖς μηδὲν δαπανηθεῖσιν εἶναι τοιούτοις, ὁπόταν βουληθῶσιν; οὐ γὰρ μαθεῖν ἀλλ' ἐπιχειρῆσαι μόνον δεῖ τοῖς τοιούτοις τῶν ἔργων. (226) Ἀλλὰ δῆλον ὅτι καὶ πλέουσι καὶ χρήματα διδόασι καὶ πάντα ποιοῦσι νομίζοντες αὐτοί τε βελτίους γενήσεσθαι καὶ τοὺς ἐνθάδε παιδεύοντας πολὺ φρονιμωτέρους εἶναι τῶν παρὰ σφίσιν αὐτοῖς· ἐφ' οἷς ἄξιον ἦν ἅπαντας τοὺς πολίτας φιλοτιμεῖσθαι, καὶ περὶ πολλοῦ ποιεῖσθαι τοὺς αἰτίους τῇ πόλει τῆς δόξης ταύτης γενομένους. (227) Ἀλλὰ γὰρ οὕτω τινὲς ἀγνωμόνως ἔχουσιν ὥστ' εἰδότες καὶ τοὺς ξένους τοὺς ἀφικνουμένους καὶ τοὺς προεστῶτας τῆς παιδείας οὐδὲν κακὸν ἐπιτηδεύοντας, ἀλλ' ἀπραγμονεστάτους μὲν ὄντας τῶν ἐν τῇ πόλει καὶ πλείστην ἡσυχίαν ἄγοντας, προσέχοντας δὲ τὸν νοῦν σφίσιν αὐτοῖς καὶ τὰς συνουσίας μετ' ἀλλήλων ποιουμένους, (228) ἔτι δὲ τὰ καθ' ἡμέραν εὐτελέστατα καὶ κοσμιώτατα ζῶντας, καὶ τῶν λόγων ἐπιθυμοῦντας οὐ τῶν ἐπὶ τοῖς ἰδίοις συμβολαίοις λεγομένων οὐδὲ τῶν λυπούντων τινάς, ἀλλὰ τῶν παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμούντων, ὅμως τολμῶσι βλασφημεῖν περὶ αὐτῶν καὶ λέγειν ὡς ταύτην ποιοῦνται τὴν μελέτην, ἵν' ἐν τοῖς ἀγῶσι παρὰ τὸ δίκαιον πλεονεκτῶσι. (229) Καίτοι τίνες ἂν ἀδικίαν καὶ κακίαν ἀσκοῦντες σωφρονέστερον τῶν ἄλλων ζῆν ἐθελήσαιεν; τίνας δὲ πώποθ' ἑωράκασιν οἱ ταῦτα λέγοντες ἀναβαλλομένους καὶ θησαυριζομένους τὰς πονηρίας, ἀλλ' οὐχ εὐθὺς τῇ φύσει τῇ παρούσῃ χρωμένους;

230. Χωρὶς δὲ τούτων, εἴπερ ἡ περὶ τοὺς λόγους δεινότης ποιεῖ τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν, προσῆκεν ἅπαντας τοὺς δυναμένους εἰπεῖν πολυπράγμονας καὶ συκοφάντας εἶναι· τὸ γὰρ αἴτιον ἐν ἅπασι ταὐτὸ πέφυκεν ἐνεργάζεσθαι. (231) Νῦν δ' εὑρήσετε καὶ τῶν ἐν τῷ παρόντι πολιτευομένων καὶ τῶν νεωστὶ τετελευτηκότων τοὺς πλείστην ἐπιμέλειαν τῶν λόγων ποιουμένους βελτίστους ὄντας τῶν ἐπὶ τὸ βῆμα παριόντων, ἔτι δὲ τῶν παλαιῶν τοὺς ἀρίστους ῥήτορας καὶ μεγίστην δόξαν λαβόντας πλείστων ἀγαθῶν αἰτίους τῇ πόλει γεγενημένους, ἀρξαμένους ἀπὸ Σόλωνος. (232) Ἐκεῖνός τε γὰρ προστάτης τοῦ δήμου καταστὰς οὕτως ἐνομοθέτησε καὶ τὰ πράγματα διέταξε καὶ τὴν πόλιν κατεσκεύασεν, ὥστ'

At modestos et bonorum studiorum cupidos? Verum ex talibus ne unus quidem est qui cum iis, qui prava dicant aut faciant, colloqui audeat.

224. Libenter etiam illud ab iis qui inique de nobis sentiunt, resciscam, quid de iis statuant, qui ex Sicilia et Ponto et aliis locis huc navibus veniunt, ut litteris instituantur. Num eos putant inopia pravorum hominum domi impulsos iter suscipere? At ubique magna abundantia hominum reperiatur, qui ad malas pravasque actiones participandas parati sunt. (225) At ut malefici et sycophantæ evadant, magnam pecuniæ vim impendunt? Sed primum qui hac mente sunt, multo libentius aliorum bona caperent quam ex suis quidquam aliis darent; præterea quinam malitiæ acquirendæ pecuniam impenderent, quum iis liceret nulla facta impensa esse talibus, quando voluerint? non enim discenda, sed suscipienda sunt ejusmodi facinora. (226) At perspicuum est eos iter suscipere et pecuniam impendere et omnia ista facere, quia et ipsos se putant meliores fieri, et magistros qui hic sint multo sapientiores esse quam suos. Quibus rebus par erat omnes cives gloriari maximique hujus gloriæ auctores facere. (227) At sunt homines adeo inconsulti, ut, quum sciant et hospites qui peregre veniant et institutionis moderatores nihil improbi agere, sed a negotiis urbanis alienissimos esse et quietissimos suisque rebus vacare et inter ipsos habere conventus, (228) præterea parce et modeste vivere, et orationes quærere non quæ ad negotia transigenda pertineant, neque quæ alies offendant, sed quæ ab omnibus hominibus laudibus efferantur, tamen iis obtrectare audeant, et affirment ideo eos hæc studia sequi, ut contra jus in judiciis causam obtineant. (229) At vero quinam injustitia et pravitate impulsi continentius ceteris vivere velint? quos unquam illi, qui hæc garriunt, pravitatem suam differre et reponere, nec statim indolem suam sequi viderunt?

230. Quibus omissis, si quidem eloquentia efficitur ut qui eloquentes sint, aliis insidientur, necesse est omnes qui dicendo valeant, esse homines male actuosos et insidiatores: eadem enim causa in omnibus idem solet efficere. (231) Nunc vero inter eos qui hoc ipso tempore rempublicam capessant, et inter eos qui nuper vitam morte finiverunt, illos reperietis, qui plurimam operam eloquentiæ navaverint, omnium optimos esse qui in suggestum ascendant; præterea veterum optimos celebratissimosque oratores inde a Solone plurima beneficia in rempublicam contulisse. (232) Solon enim rector populi electus eas leges tulit et ita res ordinavit civitatemque composuit, ut etiam nunc illius con-

ἔτι καὶ νῦν ἀγαπᾶσθαι τὴν διοίκησιν τὴν ὑπ' ἐκείνου συνταχθεῖσαν· μετὰ δὲ ταῦτα Κλεισθένης ἐκπεσὼν ἐκ τῆς πόλεως ὑπὸ τῶν τυράννων, λόγῳ πείσας τοὺς Ἀμφικτυόνας δανεῖσαι τῶν τοῦ θεοῦ χρημάτων αὐτῷ, τόν τε δῆμον κατήγαγε καὶ τοὺς τυράννους ἐξέβαλε καὶ τὴν δημοκρατίαν ἐκείνην κατέστησε, τὴν αἰτίαν τοῖς Ἕλλησι τῶν μεγίστων ἀγαθῶν γενομένην· (233) ἐπὶ δὲ τούτῳ Θεμιστοκλῆς ἡγεμὼν ἐν τῷ πολέμῳ τῷ Περσικῷ γενόμενος, συμβουλεύσας τοῖς προγόνοις ἡμῶν ἐκλιπεῖν τὴν πόλιν (ὃ τίς ἂν οἷός τ' ἐγένετο πεῖσαι μὴ πολὺ τῷ λόγῳ διενεγκών;) εἰς τοῦτ' αὐτῶν τὰ πράγματα προήγαγεν, ὥστ' ὀλίγας ἡμέρας ἀνάστατοι γενόμενοι πολὺν χρόνον δεσπόται τῶν Ἑλλήνων κατέστησαν· (234) τὸ δὲ τελευταῖον Περικλῆς καὶ δημαγωγὸς ὢν ἀγαθὸς καὶ ῥήτωρ ἄριστος οὕτως ἐκόσμησε τὴν πόλιν καὶ τοῖς ἱεροῖς καὶ τοῖς ἀναθήμασι καὶ τοῖς ἄλλοις ἅπασιν, ὥστ' ἔτι καὶ νῦν τοὺς εἰσαφικνουμένους εἰς αὐτὴν νομίζειν μὴ μόνον ἄρχειν ἀξίαν εἶναι τῶν Ἑλλήνων, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, καὶ πρὸς τούτοις εἰς τὴν ἀκρόπολιν οὐκ ἐλάττω μυρίων ταλάντων ἀνήνεγκε. (235) Καὶ τούτων τῶν ἀνδρῶν τῶν τηλικαῦτα διαπραξαμένων οὐδεὶς λόγων ἠμέλησεν, ἀλλὰ τοσούτῳ μᾶλλον τῶν ἄλλων προσέσχον αὐτοῖς τὸν νοῦν, ὥστε Σόλων μὲν τῶν ἑπτὰ σοφιστῶν ἐκλήθη καὶ ταύτην ἔσχε τὴν ἐπωνυμίαν, τὴν νῦν ἀτιμαζομένην καὶ κρινομένην παρ' ὑμῖν, Περικλῆς δὲ δυοῖν ἐγένετο μαθητής, Ἀναξαγόρου τε τοῦ Κλαζομενίου καὶ Δάμωνος, τοῦ κατ' ἐκεῖνον τὸν χρόνον φρονιμωτάτου δόξαντος εἶναι τῶν πολιτῶν. (236) Ὥστ' ἐκ τίνων ἄν τις ὑμῖν σαφέστερον ἐπιδείξειεν ὡς οὐχ αἱ δυνάμεις αἱ τῶν λόγων κακοπράγμονας τοὺς ἀνθρώπους ποιοῦσιν; ἀλλ' οἱ τοιαύτην φύσιν ἔχοντες, οἵαν περ ὁ κατήγορος, πονηροῖς οἶμαι καὶ τοῖς λόγοις καὶ τοῖς πράγμασι χρώμενοι διατελοῦσιν.

237. Ἔχω δὲ δεῖξαι καὶ τόπους ἐν οἷς ἔξεστιν ἰδεῖν τοῖς βουλομένοις τοὺς πολυπράγμονας καὶ τοὺς ταῖς αἰτίαις ἐνόχους ὄντας ἃς αὐτοὶ τοῖς σοφισταῖς ἐπιφέρουσιν. Ἐν γὰρ ταῖς σανίσι ταῖς ὑπὸ τῶν ἀρχόντων ἐκτιθεμέναις ἀναγκαῖόν ἐστιν, ἐν μὲν ταῖς ὑπὸ τῶν θεσμοθετῶν ἀμφοτέρους ἐνεῖναι, τούς τε τὴν πόλιν ἀδικοῦντας καὶ τοὺς συκοφαντοῦντας, ἐν δὲ ταῖς τῶν ἕνδεκα τούς τε κακουργοῦντας καὶ τοὺς τούτοις ἐφεστῶτας, ἐν δὲ ταῖς τῶν τετταράκοντα τούς τ' ἐν τοῖς ἰδίοις πράγμασιν ἀδικοῦντας καὶ τοὺς μὴ δικαίως ἐγκαλοῦντας· (238) ἐν αἷς τοῦτον μὲν καὶ τοὺς τούτου φίλους εὕροιτ' ἂν ἐν πολλαῖς ἐγγεγραμμένους, ἐμὲ δὲ καὶ τοὺς περὶ τὴν αὐτὴν ἐμοὶ διατριβὴν ὄντας οὐδ' ἐν μιᾷ τούτων ἐνόντας, ἀλλ' οὕτω τὰ περὶ ἡμᾶς αὐτοὺς διοικοῦντας ὥστε μηδὲν δεῖσθαι τῶν ἀγώνων τῶν παρ' ὑμῖν. (239) Καίτοι τοὺς μήτ' ἐν ταῖς πραγματείαις ταύταις ὄντας μήτ' ἀκολάστως ζῶντας μήτε περὶ ἄλλην πρᾶξιν μηδεμίαν αἰσχρὰν γεγενημένους πῶς οὐκ ἐπαινεῖσθαι προσήκει μᾶλλον ἢ κρίνεσθαι; δῆλον γὰρ ὅτι τοιαῦτα τοὺς συνόντας παιδεύομεν, οἷά περ αὐτοὶ τυγχάνομεν ἐπιτηδεύοντες.

stitutio magno in pretio habeatur; postea Clisthenes urbe pulsus a tyrannis, ubi Amphictyonibus eloquentia persuasit ut ex dei thesauris pecuniam sibi mutuo darent, et reipublicæ administrationem popularem restituit, et tyrannos expulit, et libertatem populo reddidit, qua impetrata maxima commoda in Græcos redundarunt; (233) post hunc Themistocles dux bello Persico creatus majoribus nostris urbis relinquendæ auctor (quod quis persuasisset, nisi qui eloquentia multum valeret?) eo usque illorum potentiam auxit, ut, quum paucis diebus urbe sua privati fuissent, diuturno tempore Græcorum domini fierent; (234) postremo vero Pericles et rector populi bonus et optimus orator urbem delubris et donariis et ceteris omnibus adeo exornavit, ut advenæ etiam nunc eam, quæ non modo Græcis, sed ceteris omnibus imperet, dignam habeant; et præterea in arce non minus decem millia talentorum reposuit. (235) Atque horum virorum, qui tantas res gesserunt, nemo dicendi facultatem neglexit, ad quam tanto potius ceteris animum applicuerunt, ut Solon unus e septem sophistis vocaretur, idque nomen adipisceretur, quod nunc quidem dedecori habetur et inter vos reprobatur, Pericles autem discipulus duorum fuerit sophistarum, Anaxagoræ Clazomenii et Damonis, qui illo tempore civium sapientissimus esse videbatur. (236) Itaque quomodo quis vobis evidentius ostenderit eloquentiæ facultate homines non fieri maleficos? At vero qui ingenio sunt similes accusatori meo, pravis opinor et orationibus et actionibus nullo non tempore utuntur.

237. Possum vero etiam indicare loca, quibus videre licet volentibus eos qui a se nihil non aversentur iisque criminibus teneantur, quæ hi in sophistas conferunt. Illis enim tabulis, quæ a magistratibus exponuntur, necesse est iis quæ a thesmothetis proponuntur utrosque contineri, et insidiatores reipublicæ et sycophantas; tum tabulis undecimvirorum facinorosos horumque duces; deinde tabulis quadragintavirorum eos qui in privatis negotiis deliquerint injusteve accusaverint: (238) quibus plerisque vos hunc ipsum et hujus necessarios inscriptos reperiatis, me vero eosque qui in iisdem studiis versentur, ne in una quidem notatos, sed ita nostra negotia curantes, ut nihil nobis opus sit contentionibus quæ apud vos disceptantur. (239) At vero qui neque his actionibus occupentur neque dissolute vivant neque ullam aliam turpitudinem suscipiant, quomodo hos non potius laudari convenit quam accusari? Perspicuum est enim familiares nostros nos eadem docere quæ ipsi exerceamus.

240. Ἔτι τοίνυν γνώσεσθε σαφέστερον ἐκ τῶν ῥηθήσεσθαι μελλόντων ὡς πόρρω τοῦ διαφθείρειν τοὺς νεωτέρους ἐσμέν. Εἰ γάρ τι τοιοῦτον ἐποιοῦμεν, οὐκ ἂν Λυσίμαχος ἦν ὁ λυπούμενος ὑπὲρ αὐτῶν οὐδ' ἄλλος οὐδεὶς τῶν τοιούτων, ἀλλὰ τοὺς πατέρας ἂν ἑωρᾶτε τῶν συνόντων ἡμῖν καὶ τοὺς οἰκείους ἀγανακτοῦντας καὶ γραφομένους καὶ δίκην ζητοῦντας παρ' ἡμῶν λαμβάνειν. (241) Νῦν δ' ἐκεῖνοι μὲν συνιστᾶσι τοὺς παῖδας τοὺς αὑτῶν, καὶ χρήματα διδόασι, καὶ χαίρουσιν ὁπόταν ὁρῶσιν αὐτοὺς μεθ' ἡμῶν ἡμερεύοντας, οἱ δὲ συκοφάνται διαβάλλουσι καὶ πράγματα παρέχουσιν ἡμῖν, ὧν τίνες ἂν ἥδιον ἴδοιεν πολλοὺς τῶν πολιτῶν διαφθειρομένους καὶ πονηροὺς γιγνομένους; ἴσασι γὰρ σφᾶς αὐτοὺς ἐν μὲν τοῖς τοιούτοις δυναστεύοντας, ὑπὸ δὲ τῶν καλῶν κἀγαθῶν καὶ νοῦν ἐχόντων ἀπολλυμένους, ὁπόταν ληφθῶσιν. (242) Ὥσθ' οὗτοι μὲν σωφρονοῦσιν ἀναιρεῖν ζητοῦντες ἁπάσας τὰς τοιαύτας διατριβάς, ἐν αἷς ἡγοῦνται βελτίους γενομένους χαλεπωτέρους ἔσεσθαι ταῖς αὑτῶν πονηρίαις καὶ συκοφαντίαις, ὑμᾶς δὲ προσήκει τἀναντία τούτοις πράττειν, καὶ ταῦτα νομίζειν εἶναι κάλλιστα τῶν ἐπιτηδευμάτων οἷς ἂν τούτους ὁρᾶτε μάλιστα πολεμοῦντας.

243. Ἄτοπον δέ τι τυγχάνω πεπονθώς· εἰρήσεται γάρ, εἰ καί τινες λίαν εὐμετάβολον εἶναί με φήσουσιν. Ὀλίγῳ μὲν γὰρ πρότερον ἔλεγον ὡς πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν διεψευσμένοι τῆς φιλοσοφίας τραχύτερον πρὸς αὐτὴν ἔχουσι· νῦν δ' οὕτως ἐναργεῖς ὑπείληφα τοὺς λόγους εἶναι τοὺς εἰρημένους καὶ πᾶσι φανερούς, ὥστ' οὐδεὶς ἀγνοεῖν μοι δοκεῖ τὴν δύναμιν αὐτῆς, οὐδὲ καταγιγνώσκειν ἡμῶν ὡς διαφθείρομεν τοὺς μαθητάς, οὐδὲ πεπονθέναι τοιοῦτον οὐδὲν οἷον αὐτοὺς ὀλίγῳ πρότερον ᾐτιώμην· (244) ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν καὶ τὸ νῦν ἐν τῇ διανοίᾳ μοι παρεστηκός, ἡγοῦμαι πάντας τοὺς φιλοτίμως διακειμένους ἐπιθυμητικῶς ἔχοντας τοῦ φρονεῖν εὖ καὶ λέγειν, αὐτοὺς μὲν ἀμελεῖν τούτων, τοὺς μὲν διὰ ῥαθυμίαν, τοὺς δὲ καταμεμφομένους τὴν φύσιν τὴν αὑτῶν, τοὺς δὲ δι' ἄλλας τινὰς προφάσεις (παμπληθεῖς δ' εἰσί), (245) πρὸς δὲ τοὺς πολλὴν ἐπιμέλειαν ποιουμένους καὶ τυχεῖν βουλομένους ὧν εἰς ἐπιθυμίαν αὐτοὶ καθεστᾶσι, δυσκόλως ἔχειν καὶ ζηλοτυπεῖν καὶ τὰς ψυχὰς τεταραγμένως διακεῖσθαι καὶ πεπονθέναι παραπλήσια τοῖς ἐρῶσι· τίνα γὰρ ἄν τις αὐτοῖς ἐπενεγκεῖν αἰτίαν ἔχοι πρεπωδεστέραν ταύτης; (246) οἵτινες μακαρίζουσι μὲν καὶ ζηλοῦσι τοὺς καλῶς χρῆσθαι τῷ λόγῳ δυναμένους, ἐπιτιμῶσι δὲ τῶν νεωτέρων τοῖς τυχεῖν ταύτης τῆς τιμῆς βουλομένοις. Καὶ τοῖς μὲν θεοῖς οὐδείς ἐστιν ὅστις οὐκ ἂν εὔξαιτο μάλιστα μὲν αὐτὸς δύνασθαι λέγειν, εἰ δὲ μή, τοὺς παῖδας καὶ τοὺς οἰκείους τοὺς αὑτοῦ· (247) τοὺς δὲ πόνῳ καὶ φιλοσοφίᾳ τοῦτο κατεργάσασθαι πειρωμένους, ὃ παρὰ τῶν θεῶν αὐτοὶ βούλονται λαβεῖν, οὐδέν φασι τῶν δεόντων πράττειν, ἀλλ' ἐνίοτε μὲν ὡς ἐξηπατημένων καὶ πεφενακισμένων προσποιοῦνται καταγελᾶν αὐτῶν, ὁπόταν δὲ τύχωσι, μεταβαλόντες ὡς περὶ πλεονεκτεῖν δυναμένων τοὺς λό-

240. Manifestius etiam ex iis quæ dictuři sumus intelligetis quam longe ab eo absimus, ut adolescentes corrumpamus. Nam si tale quid faceremus, non Lysimachus is esset qui eo nomine doleret, neque quisquam ejusdem conditionis, sed patres discipulorum nostrorum et propinquos nobis infensos videretis, et diem dicere, idque agere ut pœnam de nobis sumerent. (241) Nunc vero illi filios curæ nostræ permittunt, pecuniamque pendunt, gaudentque si eos nobiscum versari vident; sycophantæ autem calumniantur, nobisque negotia exhibent, quibus quinam libentius multos cives corruptos et depravatos videant? Sciunt enim se inter tales cives imperium obtinere; a bonis honestisque et cordatis viris autem pessumdari, si deprehensi sint. (242) Itaque hi prudenter agunt, si omnia ejusmodi studia delere studeant, quibus cives meliores factos suis pravitatibus et præstigiis minus opportunos fore credant: vos autem quæ his contraria sunt ea facere decet, et illa studia censere optima, quibus hos potissimum adversari videatis.

243. Absurdum quid mihi accidit; dicetur enim, etiam si qui me valde mobilem esse affirmaturi sint. Paullo ante enim dicebam multos bonos honestosque viros falsis de eloquentiæ studio opinionibus ductos ei disciplinæ infensiores esse; nunc vero tam perspicua et evidentia omnibus verba quæ feci esse censeo, ut nemo vim illius ignorare posse mihi videatur, neque nos eo nomine accusare, quod discipulos corrumpamus, neque eo animi affectu esse, quem paullo ante in iis reprehendebam. (244) At si vera dicere eaque quæ menti meæ obversantur, profiteri licet, omnes qui ambitione ducantur, cupidos esse et sapientiæ et eloquentiæ arbitror, negligere vero has artes partim socordia, partim diffidentia virium suarum, partim aliis de causis, quarum numerus magnus est, (245) eosque qui in illis artibus multam operam ponant eaque quæ ipsi cupiant, consequi studeant, moleste ferre et invidia persequi, et animo in eos esse perturbato, in similique versari conditione atque amantes. Quæ enim hac criminatio decentior iis inferatur? (246) qui quanquam beatos prædicant iisque invident qui recte uti oratione possunt, adolescentes tamen accusant, qui hunc honorem sectentur. Atque nemo est qui hoc votis sibi non potissimum a diis precetur, ut ipse dicendo valeat; sin minus, ut filii et necessarii; (247) qui vero labore et studio id impetrare nituntur, quod ipsi a diis accipere volunt, nihil quod debeant facere aiunt, sed interdum se eos ut deceptos et illusos deridere simulant; postquam vero adolescentes quod quærunt assecuti sunt, mutata sententia tanquam injusta lucra parare sibi possint loquuntur. (248) Et con-

γους ποιοῦνται. (248) Καὶ συμβούλοις μέν, ὅταν κίνδυνός τις καταλάβῃ τὴν πόλιν, τοῖς ἄριστα περὶ τῶν πραγμάτων λέγουσι, τούτοις χρῶνται, καὶ πράττουσιν ὅ τι ἂν οἱ τοιοῦτοι παραινέσωσι· περὶ δὲ τοὺς ἔργον ποιουμένους ὅπως χρησίμους αὑτοὺς ἐν τοῖς καιροῖς τοῖς τοιούτοις τῇ πόλει παρασχήσουσι, βλασφημεῖν οἴονται χρῆναι· καὶ Θηβαίοις μὲν καὶ τοῖς ἄλλοις ἐχθροῖς τὴν ἀμαθίαν ὀνειδίζουσι, τοὺς δ' ἐκ παντὸς τρόπου ζητοῦντας τὴν νόσον ταύτην διαφυγεῖν λοιδοροῦντες διατελοῦσιν. (249) Ὃ δ' οὐ μόνον ταραχῆς σημεῖόν ἐστιν, ἀλλὰ καὶ τῆς περὶ τοὺς θεοὺς ὀλιγωρίας· τὴν μὲν γὰρ Πειθὼ μίαν τῶν θεῶν νομίζουσιν εἶναι, καὶ τὴν πόλιν ὁρῶσι καθ' ἕκαστον τὸν ἐνιαυτὸν θυσίαν αὐτῇ ποιουμένην, τοὺς δὲ τῆς δυνάμεως ἧς ἡ θεὸς ἔχει μετασχεῖν βουλομένους ὡς κακοῦ πράγματος ἐπιθυμοῦντας διαφθείρεσθαί φασιν. (250) Ὃ δὲ πάντων δεινότατον, ὅτι προκρίναιεν μὲν ἂν τὴν ψυχὴν σπουδαιοτέραν εἶναι τοῦ σώματος, οὕτω δὲ γιγνώσκοντες ἀποδέχονται μᾶλλον τοὺς γυμναζομένους τῶν φιλοσοφούντων. Καίτοι πῶς οὐκ ἄλογον τοὺς τοῦ φαυλοτέρου ποιουμένους τὴν ἐπιμέλειαν ἐπαινεῖν μᾶλλον ἢ τοὺς τοῦ σπουδαιοτέρου, καὶ ταῦτα πάντων εἰδότων διὰ μὲν εὐεξίαν σώματος οὐδὲν πώποτε τὴν πόλιν τῶν ἐλλογίμων ἔργων διαπραξαμένην, διὰ δὲ φρόνησιν ἀνδρὸς εὐδαιμονεστάτην καὶ μεγίστην τῶν Ἑλληνίδων πόλεων γενομένην;

251. Πολὺ δ' ἄν τις ἔχοι πλείους τούτων ἐναντιώσεις συναγαγεῖν τῶν ἀκμαζόντων τε μᾶλλον ἠγὼ καὶ τοῦ καιροῦ τοῦ παρόντος μὴ φροντιζόντων· ἐπεὶ καὶ τάδε περὶ τῶν αὐτῶν τούτων ἔνεστιν εἰπεῖν. Φέρε γὰρ εἴ τινες πολλὰ χρήματα παρὰ τῶν προγόνων παραλαβόντες τῇ μὲν πόλει μηδὲν εἶεν χρήσιμοι, τοὺς δὲ πολίτας ὑβρίζοιεν καὶ τούς τε παῖδας καὶ τὰς γυναῖκας αἰσχύνοιεν, ἔστιν ὅστις ἂν τοὺς αἰτίους τοῦ πλούτου μέμψασθαι τολμήσειεν, ἀλλ' οὐκ ἂν αὐτοὺς τοὺς ἐξαμαρτάνοντας κολάζειν ἀξιώσειε; (252) τί δ' εἴ τινες ὁπλομαχεῖν μαθόντες πρὸς μὲν τοὺς πολεμίους μὴ χρῷντο ταῖς ἐπιστήμαις, ἐπανάστασιν δὲ ποιήσαντες πολλοὺς τῶν πολιτῶν διαφθείραιεν, ἢ καὶ πυκτεύειν καὶ παγκρατιάζειν ὡς οἷόν τ' ἄριστα παιδευθέντες τῶν μὲν ἀγώνων ἀμελοῖεν, τοὺς δ' ἀπαντῶντας τύπτοιεν, τίς οὐκ ἂν τούτων τοὺς μὲν διδασκάλους ἐπαινέσειε, τοὺς δὲ κακῶς χρωμένους οἷς ἔμαθον ἀποκτείνειεν; (253) Οὐκοῦν χρὴ καὶ περὶ τῶν λόγων τὴν αὐτὴν ἔχειν διάνοιαν ἥνπερ καὶ περὶ τῶν ἄλλων, καὶ μὴ περὶ τῶν ὁμοίων τἀναντία γιγνώσκειν, μηδὲ πρὸς τοιοῦτο πρᾶγμα δυσμενῶς φαίνεσθαι διακειμένους, ὃ πάντων τῶν ἐνόντων ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιόν ἐστι. Τοῖς μὲν γὰρ ἄλλοις οἷς ἔχομεν, ἅπερ ἤδη καὶ πρότερον εἶπον, οὐδὲν τῶν ἄλλων ζῴων διαφέρομεν, ἀλλὰ πολλῶν καὶ τῷ τάχει καὶ τῇ ῥώμῃ καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν ὄντες· (254) ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν ἀλλήλους καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς περὶ ὧν ἂν βουληθῶμεν, οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν, ἀλλὰ καὶ συνελθόντες πόλεις ᾠκίσαμεν καὶ νόμους ἐθέ-

siliariis quidem, quando periculum urbem invaserit, iis utuntur, qui optime pro rerum conditione verba faciant, exsequunturque quod illi tales suaserint; eos autem qui sedulo id quærunt, ut utiles se reipublicæ ejusmodi temporibus exhibeant, calumniandos esse putant. Ac Thebanis quidem aliisque hostibus ignorantiam exprobrant; qui vero omni modo hoc probrum fugere student, eis conviciantur. (249) Quod vero non solum perturbationis indicium est, sed etiam contemptus deorum, Suadam unam dearum esse existimant, civitatemque quotannis sacra ei facere vident; qui vero illius facultatis, quam dea habet, participes fieri volunt, eos tanquam pravæ rei desiderio impulsos corrumpi dicunt. (250) Quod autem omnium insulsissimum est, animam quidem corpori præferunt; hac tamen sententia imbuti eos laudant potius qui vires corporis exercent quam qui philosophantur. Itaque quomodo non absurdum est, qui deterioris rei curam suscipiant, eos magis laudari quam qui melius studium sequantur, et illud quidem quum nemo ignoret bono corporis habitu nullam egregiam rem a civitate unquam patratam esse, prudentia vero humana urbem beatissimam maximamque inter Græcos factam esse?

251. Ac multo plura quæ ita inter se pugnent, aliquis colligat, qui ætate me valentior sit minusque præsentis temporis rationem habeat: quanquam hæc etiam de his ipsis dicere licet. Age enim si qui magnis opibus a majoribus hereditate acceptis civitati nihil prodessent, cives vexarent, liberis et mulieribus vim inferrent, num quis divitiarum auctores vituperaret nec delinquentes ipsos pœna vellet affici? (252) Quid si qui armis pugnare docti in hostes scientia non uterentur, sed seditione facta multos cives perimerent, aut etiam pugilatu et pancratio optime eruditi certaminibus neglectis obvios ferirent, quis horum magistros non laudaret, ipsos vero arte sua male utentes occideret? (253) Itaque etiam de eloquentia idem sentire oportet quod de reliquis artibus, neque contraria de similibus judicare, neque illam disciplinam videri ægre ferre, qua omnium quæ natura humana continentur plurima bona redundarunt. Ceteris enim facultatibus quas habemus, id quod jam ante dicebam, nihil a reliquis animalibus differimus, sed a multis celeritate, viribus, aliis virtutibus superamur; (254) innata autem nobis persuadendi invicem facultate declarandique quid velimus, non modo a vita animalium recessimus, sed in unum locum congregati urbes condidimus et leges tuli-

μεθα καὶ τέχνας εὕρομεν, καὶ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμηχανημένα λόγος ἡμῖν ἐστιν ὁ συγκατασκευάσας. (255) Οὗτος γὰρ περὶ τῶν δικαίων καὶ τῶν ἀδίκων καὶ τῶν καλῶν καὶ τῶν αἰσχρῶν ἐνομοθέτησεν, ὧν μὴ διαταχθέντων οὐκ ἂν οἷοί τ' ἦμεν οἰκεῖν μετ' ἀλλήλων· τούτῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν καὶ τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν· διὰ τούτου τούς τ' ἀνοήτους παιδεύομεν καὶ τοὺς φρονίμους δοκιμάζομεν· τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα, καὶ λόγος ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστι. (256) Μετὰ τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα· ταῖς γὰρ πίστεσιν αἷς τοὺς ἄλλους λέγοντες πείθομεν, ταῖς αὐταῖς ταύταις βουλευόμενοι χρώμεθα, καὶ ῥητορικοὺς μὲν καλοῦμεν τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένους, εὐβούλους δὲ νομίζομεν οἵτινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν. (257) Εἰ δὲ δεῖ συλλήβδην περὶ τῆς δυνάμεως ταύτης εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνόμενον, ἀλλὰ καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγεμόνα λόγον ὄντα, καὶ μάλιστα χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας. Ὧν οὐδὲν ἐνθυμηθεὶς Λυσίμαχος κατηγορεῖν ἐτόλμησε τῶν ἐπιθυμούντων τοιούτου πράγματος, ὃ τοσούτων τὸ πλῆθος καὶ τηλικούτων τὸ μέγεθος ἀγαθῶν αἴτιον ἐστιν.

258. Καὶ τί δεῖ τούτου θαυμάζειν, ὅπου καὶ τῶν περὶ τὰς ἔριδας σπουδαζόντων ἔνιοί τινες ὁμοίως βλασφημοῦσι περὶ τῶν λόγων τῶν κοινῶν καὶ τῶν χρησίμων ὥσπερ οἱ φαυλότατοι τῶν ἀνθρώπων, οὐκ ἀγνοοῦντες τὴν δύναμιν αὐτῶν, οὐδ' ὅτι τάχιστ' ἂν οὗτοι τοὺς χρωμένους ὠφελήσαιεν, ἀλλ' ἐλπίζοντες, ἢν τούτους διαβάλλωσι, τοὺς αὑτῶν ἐντιμοτέρους ποιήσειν. (259) Περὶ ὧν δυνηθείην μὲν ἂν ἴσως διαλεχθῆναι πολὺ πικρότερον ἢ 'κεῖνοι περὶ ἡμῶν, οὐδέτερον δ' οἶμαι δεῖν, οὔθ' ὅμοιος γίγνεσθαι τοῖς ὑπὸ τοῦ φθόνου διεφθαρμένοις, οὔτε ψέγειν τοὺς μηδὲν μὲν κακὸν τοὺς συνόντας ἐργαζομένους, ἧττον δ' ἑτέρων εὐεργετεῖν δυναμένους. Οὐ μὴν ἀλλὰ μικρά γε μνησθήσομαι περὶ αὐτῶν, μάλιστα μὲν ὅτι κἀκεῖνοι περὶ ἡμῶν, ἔπειθ' ὅπως ἂν ὑμεῖς σαφέστερον εἰδότες τὴν δύναμιν αὐτῶν οὕτω διακέησθε πρὸς ἑκάστους ἡμῶν ὥσπερ δίκαιόν ἐστι, (260) πρὸς δὲ τούτοις ἵνα καὶ τοῦτο ποιήσω φανερόν, ὅτι περὶ τοὺς πολιτικοὺς λόγους ἡμεῖς ὄντες, οὓς ἐκεῖνοί φασιν εἶναι φιλαπεχθήμονας, πολὺ πρᾳότεροι τυγχάνομεν αὐτῶν ὄντες· οἱ μὲν γὰρ ἀεί τι περὶ ἡμῶν φλαῦρον λέγουσιν, ἐγὼ δ' οὐδὲν ἂν εἴποιμι τοιοῦτον, ἀλλὰ ταῖς ἀληθείαις χρήσομαι περὶ αὐτῶν. (261) Ἡγοῦμαι γὰρ καὶ τοὺς ἐν τοῖς ἐριστικοῖς λόγοις δυναστεύοντας καὶ τοὺς περὶ τὴν ἀστρολογίαν καὶ τὴν γεωμετρίαν καὶ τὰ τοιαῦτα τῶν μαθημάτων διατρίβοντας οὐ βλάπτειν ἀλλ' ὠφελεῖν τοὺς συνόντας, ἐλάττω μὲν ὧν ὑπισχνοῦνται, πλείω δ' ὧν τοῖς ἄλλοις δοκοῦσιν. (262) Οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων ὑπειλήφασιν ἀδολεσχίαν καὶ μι-

mus et artes invenimus; atque omnia fere quæ a nobis excogitata sunt, oratio ea est quæ comparavit. (255) Hæc enim quæ justa essent et injusta, quæ honesta et turpia, legibus sancivit, quibus non constitutis una habitare non possemus : hac etiam malos arguimus et laudamus bonos; hac imperitos educamns et exploramus sapientes, nam si quis dicat ut oportet, sapientiæ maximum indicium judicamus, et oratio vera et æqua et justa animi boni et sinceri imago est. (256) Orationis ope etiam de controversis disputamus, et de incognitis inquirimus : argumentis enim quibus dicendo aliis persuademus, iisdem consultantes ipsi utimur; et eloquentes quidem vocamus qui pro concione dicere possunt; bene consultos autem appellamus qui apud se optime de rebus gerendis disputant. (257) Quodsi summatim de hac facultate dicendum est, nihil prudenter factum sine oratione transactum cognoscemus, sed et operum et consiliorum omnium ducem orationem esse, eaque prudentissimos quosque maxime uti. Quarum rerum Lysimachus nulla ratione habita eos accusare ausus est, qui hanc artem consequi student, quæ tot tantorumque bonorum effectrix est.

258. Et quid opus est hoc mirari, ubi etiam nonnulli eorum qui in controversiis versantur, similiter orationes communes et utiles ut stultissimi hominum calumniantur, quanquam neque earum vim ignorant, neque iis eloquentes maxime juvari, sed quod sperant eloquentia contempta suam artem factum iri honoratiorem. (259) De quibus acerbius fortasse disserere possim quam illi de nobis; neutrum vero faciendum esse neque imitandos invidia corruptos neque reprehendendos censeo, qui quum mali nihil discipulis suis inferant, minus iis quam ceteri prodesse possunt. Pauca tamen de iis recordabor, eam potissimum ob causam, quod etiam illi de nobis idem fecerunt, deinde ut vos facultate eorum manifestius cognita de utrisque ita statuatis ut par est; (260) præterea ut hoc quoque planum faciam, in orationibus publicis versantes, quibus illi odia excitari dicunt, multo nos ipsis esse suaviores. Illi enim quum semper iniqui quid de nobis profiteantur, ego nihil tale dicam, sed vera de iis narrabo. (261) Existimo enim et eos qui in controversis orationibus dominantur atque in astrologia et geometria et ejusmodi disciplinis versantur, non nocere, sed prodesse auditoribus, minus quidem quam polliceantur, plus tamen quam aliis videantur. (262) Plurimi enim homines has disciplinas nugas esse et minutias credunt : earum

χρολογίαν εἶναι τὰ τοιαῦτα τῶν μαθημάτων· οὐδὲν γὰρ αὐτῶν οὔτ' ἐπὶ τῶν ἰδίων οὔτ' ἐπὶ τῶν κοινῶν εἶναι χρήσιμον, ἀλλ' οὐδ' ἐν ταῖς μνείαις οὐδένα χρόνον ἐμμένειν ταῖς τῶν μαθόντων διὰ τὸ μήτε τῷ βίῳ παρακολουθεῖν μήτε ταῖς πράξεσιν ἐπαμύνειν, ἀλλ' ἔξω παντάπασιν εἶναι τῶν ἀναγκαίων. (263) Ἐγὼ δ' οὔθ' οὕτως οὔτε πόρρω τούτων ἔγνωκα περὶ αὐτῶν, ἀλλ' οἵ τε νομίζοντες μηδὲν χρησίμην εἶναι τὴν παιδείαν ταύτην πρὸς τὰς πράξεις ὀρθῶς μοι δοκοῦσι γιγνώσκειν, οἵ τε ἐπαινοῦντες αὐτὴν ἀληθῆ λέγειν. Διὰ τοῦτο δ' οὐχ ὁμολογούμενον αὐτὸν αὐτῷ τὸν λόγον εἴρηκα, διότι καὶ ταῦτα τὰ μαθήματα τὴν φύσιν οὐδὲν ὁμοίαν ἔχει τοῖς ἄλλοις οἷς διδασκόμεθα. (264) Τὰ μὲν γὰρ ἄλλα τότ' ὠφελεῖν ἡμᾶς πέφυκεν, ὅταν λάβωμεν αὐτῶν τὴν ἐπιστήμην, ταῦτα δὲ τοὺς μὲν ἀπηκριβωμένους οὐδὲν ἂν εὐεργετήσειε, πλὴν τοὺς ἐντεῦθεν ζῆν προῃρημένους, τοὺς δὲ μανθάνοντας ὀνίνησι· περὶ γὰρ τὴν περιττολογίαν καὶ τὴν ἀκρίβειαν τῆς ἀστρολογίας καὶ γεωμετρίας διατρίβοντες, (265) καὶ δυσκαταμαθήτοις πράγμασιν ἀναγκαζόμενοι προσέχειν τὸν νοῦν, ἔτι δὲ συνεθιζόμενοι λέγειν καὶ πονεῖν ἐπὶ τοῖς λεγομένοις καὶ δεικνυμένοις καὶ μὴ πεπλανημένην ἔχειν τὴν διάνοιαν, ἐν τούτοις γυμνασθέντες καὶ παροξυνθέντες ῥᾷον καὶ θᾶττον τὰ σπουδαιότερα καὶ πλέονος ἄξια τῶν πραγμάτων ἀποδέχεσθαι καὶ μανθάνειν δύνανται. (266) Φιλοσοφίαν μὲν οὖν οὐκ οἶμαι δεῖν προσαγορεύειν τὴν μηδὲν ἐν τῷ παρόντι μήτε πρὸς τὸ λέγειν μήτε πρὸς τὸ πράττειν ὠφελοῦσαν, γυμνασίαν μέντοι τῆς ψυχῆς καὶ παρασκευὴν φιλοσοφίας καλῶ τὴν διατριβὴν τὴν τοιαύτην, ἀνδρικωτέραν μὲν ἧς οἱ παῖδες ἐν τοῖς διδασκαλείοις ποιοῦνται, τὰ δὲ πλεῖστα παραπλησίαν· (267) καὶ γὰρ ἐκείνων οἱ περὶ τὴν γραμματικὴν καὶ τὴν μουσικὴν καὶ τὴν ἄλλην παιδείαν διαπονηθέντες πρὸς μὲν τὸ βέλτιον εἰπεῖν ἢ βουλεύσασθαι περὶ τῶν πραγμάτων οὐδεμίαν πω λαμβάνουσιν ἐπίδοσιν, αὐτοὶ δ' αὑτῶν εὐμαθέστεροι γίγνονται πρὸς τὰ μείζω καὶ σπουδαιότερα τῶν μαθημάτων. (268) Διατρῖψαι μὲν οὖν περὶ τὰς παιδείας ταύτας χρόνον τινὰ συμβουλεύσαιμ' ἂν τοῖς νεωτέροις, μὴ μέντοι περιιδεῖν τὴν φύσιν τὴν αὑτῶν κατασκελετευθεῖσαν ἐπὶ τούτοις, μηδ' ἐξοκείλασαν εἰς τοὺς λόγους τοὺς τῶν παλαιῶν σοφιστῶν, ὧν ὁ μὲν ἄπειρον τὸ πλῆθος ἔφησεν εἶναι τῶν ὄντων, Ἐμπεδοκλῆς δὲ τέτταρα, καὶ νεῖκος καὶ φιλίαν ἐν αὐτοῖς, Ἴων δ' οὐ πλείω τριῶν, Ἀλκμαίων δὲ δύο μόνα, Παρμενίδης δὲ καὶ Μέλισσος ἕν, Γοργίας δὲ παντελῶς οὐδέν. (269) Ἡγοῦμαι γὰρ τὰς μὲν τοιαύτας περιττολογίας ὁμοίας εἶναι ταῖς θαυματοποιίαις, ταῖς οὐδὲν μὲν ὠφελούσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιστάτοις γιγνομέναις, δεῖν δὲ τοὺς προὔργου τι ποιεῖν βουλομένους καὶ τῶν λόγων τοὺς ματαίους καὶ τῶν πράξεων τὰς μηδὲν πρὸς τὸν βίον φερούσας ἀναιρεῖν ἐξ ἁπασῶν τῶν διατριβῶν.

270. Περὶ μὲν οὖν τούτων ἀπόχρη μοι τὸ νῦν εἶναι ταῦτ' εἰρηκέναι καὶ συμβεβουλευκέναι· περὶ δὲ σοφίας

enim nihil neque ad rem privatam neque publicam esse conducibile, neque in memoria discentium ullo tempore insidere, quia neque vitam sequantur, neque rebus gerendis prosint, sed prorsus ex numero rerum necessariarum recedere. (263) De quibus ego neque sic neque multo secus statuo : sed qui hanc institutionem ad res gerendas inutilem esse censent, recte mihi judicare videntur, quique eam laudant vera dicere. Propterea vero hæc minus inter ipsa consentanea dixi, quia etiam hæ disciplinæ alienam ab iis indolem habent, quibus erudimur. (264) Ceteræ enim tunc nobis utilitatem afferre solent, quum earum cognitione imbuti sumus : hæ vero nihil beneficii iis præstant qui eas perfectissime acquisiverint, nisi qui victum inde quærere instituerint; discentes vero juvant. Nam subtili studio et cura astrologiæ et geometriæ ducti, (265) abstrusioribusque disciplinis mentem adhibere coacti, præterea consueti dicere et laborare in præceptis et probationibus, prætereaque mentem habere haudquaquam vagabundam : his igitur rebus exercitati et excitati facilius et celerius utiliores et nobiliores disciplinas percipere et discere possunt. (266) Philosophiam quidem non censeo eam appellandam, quæ præsenti tempore neque ad dicendum neque ad agendum prosit; exercitationem tamen et præparationem philosophiæ voco talem institutionem, robustiorem quidem illam, quam qua pueri in ludis exercentur, similem tamen in plurimis. (267) Etiam ii qui grammaticæ et musicæ et reliquæ puerili institutioni vacant, ut eloquentius dicant aut de rebus accuratius constituant, nihil inde incrementi capiunt; ad majores tamen et nobiliores disciplinas aptiores fiunt. (268) Itaque ut breve tempus huic institutioni insumant, auctor sum adolescentibus; eosdem tamen moneo ne illa ingenium suum exarescere neque ad fabulas veterum sophistarum allidere sinant, quorum alius infinitum esse numerum rerum dixit, Empedocles quattuor elementa et discordiam concordiamque inter ea constituit, Ion haud plura tribus, Alcmæon duo sola, Parmenides et Melissus unum, Gorgias omnino nullum. (269) Existimo enim hujusmodi nugas similes esse præstigiis miraculosis, quæ quanquam nihil prosunt, tamen ab imperitorum corona cinguntur; qui vero aliquid frugi præstare velint, eos oportere et orationes inanes, et actiones quibus nihil commodi in vitam emanet, ex omnibus studiis ejicere.

270. Atque de his quidem rebus hæc mihi sufficit pro tempore et dixisse et suasisse. De Sophiæ autem et Philo-

καὶ φιλοσοφίας τοῖς μὲν περὶ ἄλλων τινῶν ἀγωνιζομένοις οὐκ ἂν ἁρμόσειε λέγειν περὶ τῶν ὀνομάτων τούτων (ἔστι γὰρ ἀλλότρια πάσαις ταῖς πραγματείαις), ἐμοὶ δ' ἐπειδὴ καὶ κρίνομαι περὶ τῶν τοιούτων καὶ τὴν καλουμένην ὑπό τινων φιλοσοφίαν οὐκ εἶναί φημι, προσήκει τὴν δικαίως ἂν νομιζομένην ὁρίσαι καὶ δηλῶσαι πρὸς ὑμᾶς. (271) Ἁπλῶς δέ πως τυγχάνω γιγνώσκων περὶ αὐτῶν. Ἐπειδὴ γὰρ οὐκ ἔνεστιν ἐν τῇ φύσει τῇ τῶν ἀνθρώπων ἐπιστήμην λαβεῖν ἣν ἔχοντες ἂν εἰδεῖμεν ὅ τι πρακτέον ἢ λεκτέον ἐστίν, ἐκ τῶν λοιπῶν σοφοὺς μὲν νομίζω τοὺς ταῖς δόξαις ἐπιτυγχάνειν ὡς ἐπὶ τὸ πολὺ τοῦ βελτίστου δυναμένους, φιλοσόφους δὲ τοὺς ἐν τούτοις διατρίβοντας ἐξ ὧν τάχιστα λήψονται τὴν τοιαύτην φρόνησιν. (272) Ἃ δ' ἐστὶ τῶν ἐπιτηδευμάτων ταύτην ἔχοντα τὴν δύναμιν, ἔχω μὲν εἰπεῖν, ὀκνῶ δὲ λέγειν· οὕτω γάρ ἐστι σφόδρα καὶ παράδοξα καὶ πολὺ τῆς τῶν ἄλλων ἀφεστῶτα διανοίας, ὥστε φοβοῦμαι μὴ τὴν ἀρχὴν αὐτῶν ἀκούσαντες θορύβου καὶ βοῆς ἅπαν ἐμπλήσητε τὸ δικαστήριον. Ὅμως δὲ καίπερ οὕτω διακείμενος ἐπιχειρήσω διαλεχθῆναι περὶ αὐτῶν· αἰσχύνομαι γὰρ εἴ τισι δόξω δεδιὼς ὑπὲρ γήρως καὶ μικροῦ βίου προδιδόναι τὴν ἀλήθειαν. (273) Δέομαι δ' ὑμῶν μὴ προκαταγνῶναί μου τοιαύτην μανίαν, ὡς ἄρ' ἐγὼ κινδυνεύων προειλόμην ἂν λόγους εἰπεῖν ἐναντίους ταῖς ὑμετέραις γνώμαις, εἰ μὴ καὶ τοῖς προειρημένοις ἀκολούθους αὐτοὺς ἐνόμιζον εἶναι, καὶ τὰς ἀποδείξεις ἀληθεῖς καὶ σαφεῖς ᾤμην ἔχειν ὑπὲρ αὐτῶν. (274) Ἡγοῦμαι δὲ τοιαύτην μὲν τέχνην, ἥτις τοῖς κακῶς πεφυκόσιν ἀρετὴν ἐνεργάσαιτ' ἂν καὶ δικαιοσύνην, οὔτε πρότερον οὔτε νῦν οὐδεμίαν εἶναι, τούς τε τὰς ὑποσχέσεις ποιουμένους περὶ αὐτῶν πρότερον ἀπερεῖν καὶ παύσεσθαι ληροῦντας, πρὶν εὑρεθῆναί τινα παιδείαν τοιαύτην, (275) οὐ μὴν ἀλλ' αὐτούς γ' αὑτῶν βελτίους ἂν γίγνεσθαι καὶ πλέονος ἀξίους, εἰ πρός τε τὸ λέγειν εὖ φιλοτίμως διατεθεῖεν, καὶ τοῦ πείθειν δύνασθαι τοὺς ἀκούοντας ἐρασθεῖεν, καὶ πρὸς τούτοις τῆς πλεονεξίας ἐπιθυμήσαιεν, μὴ τῆς ὑπὸ τῶν ἀνοήτων νομιζομένης, ἀλλὰ τῆς ὡς ἀληθῶς τὴν δύναμιν ταύτην ἐχούσης. (276) Καὶ ταῦθ' ὡς οὕτω πέφυκε, ταχέως οἶμαι δηλώσειν. Πρῶτον μὲν γὰρ ὁ λέγειν ἢ γράφειν προαιρούμενος λόγους ἀξίους ἐπαίνου καὶ τιμῆς οὐκ ἔστιν ὅπως ποιήσεται τὰς ὑποθέσεις ἀδίκους ἢ μικρὰς ἢ περὶ τῶν ἰδίων συμβολαίων, ἀλλὰ μεγάλας καὶ καλὰς καὶ φιλανθρώπους καὶ περὶ τῶν κοινῶν πραγμάτων· μὴ γὰρ τοιαύτας εὑρίσκων οὐδὲν διαπράξεται τῶν δεόντων. (277) Ἔπειτα τῶν πράξεων τῶν συντεινουσῶν πρὸς τὴν ὑπόθεσιν ἐκλέξεται τὰς πρεπωδεστάτας καὶ μάλιστα συμφερούσας· ὁ δὲ τὰς τοιαύτας συνεθιζόμενος θεωρεῖν καὶ δοκιμάζειν οὐ μόνον περὶ τὸν ἐνεστῶτα λόγον, ἀλλὰ καὶ περὶ τὰς ἄλλας πράξεις τὴν αὐτὴν ἕξει ταύτην δύναμιν, ὥσθ' ἅμα τὸ λέγειν εὖ καὶ τὸ φρονεῖν παραγενήσεται τοῖς φιλοσόφως καὶ φιλοτίμως πρὸς τοὺς λόγους διακειμένοις. (278) Καὶ μὴν οὐδ' ὁ πείθειν τινὰς βουλόμενος ἀμελήσει τῆς ἀρετῆς, ἀλλὰ τούτῳ μάλιστα προσέξει τὸν νοῦν, ὅπως δόξαν ὡς ἐπιεικεστάτην λήψε-

sophiæ nominibus non conveniat dicere qui aliis de rebus disputant (sunt enim aliena omnibus contentionibus); mihi vero qui his de rebus in judicium vocatus sum philosophiamque eam esse nego, quæ vulgo hoc nomine appellatur, eam definire vobisque declarare convenit, quæ jure philosophia habeatur. (271) Simplex autem mea sententia est. Quia enim in natura humana non inest eam acquirere cognitionem, qua instructi sciamus quid faciendum aut dicendum sit, ex reliquis Sophos (*sapientes*) eos esse censeo, qui sua sententia plerumque optimum quidque assequi possunt; philosophos autem qui in his rebus versantur, quibus celerrime talem scientiam acquirant. (272) Quæ autem studia eam vim habeant, quum dicere possim, declarare vereor; adeo enim nimia sunt et mira et a mente plerorumque abhorrentia, ut metuam ne initio eorum audito tumultu et clamore totum judicium impleatis. Verumtamen, quanquam ista mea conditio est, de iis disserere tentabo; pudet enim si quibusdam senectuti meæ brevique vitæ metuens veritatem prodidisse videar. (273) Obsecro vero vos, ne mihi istam insaniam imputetis, ut in judicium vocatus verba eloquar vestris sententiis contraria, nisi iis quæ antea dicta sunt, consentanea putarem et argumenta eorum vera et evidentia habere existimarem. (274) Puto vero talem artem, quæ male a natura institutis virtutem afferat et justitiam, neque olim ullam fuisse neque nunc ullam esse, eosque qui ista polliceantur, prius desituros a nugisque cessaturos quam talis disciplina inveniatur; (275) verumtamen eos censeo meliores fieri et digniores, si ad dicendum studio ducantur eoque incumbant, ut auditoribus persuadere possint, atque præterea alios antevertere cupiant non illo quidem modo, quo imperitis admirationi sint, sed quo ro vera aliis sint superiores. (276) Atque hæc ita comparata esse, celeriter me ostensurum esse puto. Primum qui dicere aut scribere aggreditur orationes laude et honore dignas, fieri non potest ut materiam injustam aut tenuem aut de privatis negotiis repetitam sumat, sed magnificam et honestam et generi humano utilem et de rebus ad omnes communiter pertinentibus. Quam si non invenerit, nihil quod e re sit perficiet. (277) Deinde rerum quæ cum argumento connexæ sint, honestissimas utilissimasque eliget; qui tales dispicere et perpendere consuevit, non solum orationi instanti, sed etiam quod ad alias res pertinet eandem facultatem retinebit, ut una et bene dicere et sapere iis contingat, qui philosophice et studiose in eloquentiam incumbant. (278) At vero qui aliis persuadere cupit, virtutem non vili pendet, sed ad illud potissimum animum advertet, ut apud cives suos

ται παρὰ τοῖς συμπολιτευομένοις. Τίς γὰρ οὐκ οἶδε καὶ τοὺς λόγους ἀληθεστέρους δοκοῦντας εἶναι τοὺς ὑπὸ τῶν εὖ διακειμένων λεγομένους ἢ τοὺς ὑπὸ τῶν διαβεβλημένων, καὶ τὰς πίστεις μεῖζον δυναμένας τὰς ἐκ τοῦ βίου γεγενημένας ἢ τὰς ὑπὸ τοῦ λόγου πεπορισμένας; ὥσθ' ὅσῳ ἄν τις ἐρρωμενεστέρως ἐπιθυμῇ πείθειν τοὺς ἀκούοντας, τοσούτῳ μᾶλλον ἀσκήσει καλὸς κἀγαθὸς εἶναι καὶ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν. (279) Καὶ μηδεὶς ὑμῶν οἰέσθω τοὺς μὲν ἄλλους ἅπαντας γιγνώσκειν ὅσην ἔχει ῥοπὴν εἰς τὸ πείθειν τὸ τοῖς κρίνουσιν ἀρέσκειν, τοὺς δὲ περὶ τὴν φιλοσοφίαν ὄντας μόνους ἀγνοεῖν τὴν τῆς εὐνοίας δύναμιν· πολὺ γὰρ ἀκριβέστερον τῶν ἄλλων καὶ ταῦτ' ἴσασι, (280) καὶ πρὸς τούτοις ὅτι τὰ μὲν εἰκότα καὶ τὰ τεκμήρια καὶ πᾶν τὸ τῶν πίστεων εἶδος τοῦτο μόνον ὠφελεῖ τὸ μέρος, ἐφ' ᾧ ἂν αὐτῶν ἕκαστον τύχῃ ῥηθέν, τὸ δὲ δοκεῖν εἶναι καλὸν κἀγαθὸν οὐ μόνον τὸν λόγον πιστότερον ἐποίησεν, ἀλλὰ καὶ τὰς πράξεις τοῦ τὴν τοιαύτην δόξαν ἔχοντος ἐντιμοτέρας κατέστησεν, ὑπὲρ οὗ σπουδαστέον ἐστὶ τοῖς εὖ φρονοῦσι μᾶλλον ἢ περὶ τῶν ἄλλων ἁπάντων.

281. Τὸ τοίνυν περὶ τὴν πλεονεξίαν, ὃ δυσχερέστατον ἦν τῶν ῥηθέντων· εἰ μέν τις ὑπολαμβάνει τοὺς ἀποστεροῦντας ἢ παραλογιζομένους ἢ κακόν τι ποιοῦντας πλεονεκτεῖν, οὐκ ὀρθῶς ἔγνωκεν· οὐδένες γὰρ ἐν ἅπαντι τῷ βίῳ μᾶλλον ἐλαττοῦνται τῶν τοιούτων, οὐδ' ἐν πλέοσιν ἀπορίαις εἰσίν, οὐδ' ἐπονειδιστότερον ζῶσιν, οὐδ' ὅλως ἀθλιώτεροι τυγχάνουσιν ὄντες· (282) χρὴ δὲ καὶ νῦν πλέον ἔχειν ἡγεῖσθαι καὶ πλεονεκτήσειν νομίζειν παρὰ μὲν τῶν θεῶν τοὺς εὐσεβεστάτους καὶ τοὺς περὶ τὴν θεραπείαν τὴν ἐκείνων ἐπιμελεστάτους ὄντας, παρὰ δὲ τῶν ἀνθρώπων τοὺς ἄριστα πρὸς τούτους μεθ' ὧν ἂν οἰκῶσι καὶ πολιτεύωνται διακειμένους καὶ τοὺς βελτίστους αὐτοὺς εἶναι δοκοῦντας. (283) Καὶ ταῦτα καὶ ταῖς ἀληθείαις οὕτως ἔχει, καὶ συμφέρει τὸν τρόπον τοῦτον λέγεσθαι περὶ αὐτῶν, ἐπεὶ νῦν γ' οὕτως ἀνέστραπται καὶ συγκέχυται πολλὰ τῶν κατὰ τὴν πόλιν, ὥστ' οὐδὲ τοῖς ὀνόμασιν ἔνιοί τινες ἔτι χρῶνται κατὰ φύσιν, ἀλλὰ μεταφέρουσιν ἀπὸ τῶν καλλίστων πραγμάτων ἐπὶ τὰ φαυλότατα τῶν ἐπιτηδευμάτων. (284) Τοὺς μέν γε βωμολοχευομένους καὶ σκώπτειν καὶ μιμεῖσθαι δυναμένους εὐφυεῖς καλοῦσι, προσῆκον τῆς προσηγορίας ταύτης τυγχάνειν τοὺς ἄριστα πρὸς ἀρετὴν πεφυκότας· τοὺς δὲ ταῖς κακοηθείαις καὶ ταῖς κακουργίαις χρωμένους, καὶ μικρὰ μὲν λαμβάνοντας, πονηρὰν δὲ δόξαν κτωμένους, πλεονεκτεῖν νομίζουσιν, ἀλλ' οὐ τοὺς ὁσιωτάτους καὶ δικαιοτάτους, οἳ περὶ τῶν ἀγαθῶν ἀλλ' οὐ τῶν κακῶν πλεονεκτοῦσι· (285) τοὺς δὲ τῶν μὲν ἀναγκαίων ἀμελοῦντας, τὰς δὲ τῶν παλαιῶν σοφιστῶν τερατολογίας ἀγαπῶντας φιλοσοφεῖν φασιν, ἀμελήσαντες τοὺς τὰ τοιαῦτα μανθάνοντας καὶ μελετῶντας ἐξ ὧν καὶ τὸν ἴδιον οἶκον καὶ τὰ κοινὰ τὰ τῆς πόλεως καλῶς διοικήσουσιν, ὧνπερ ἕνεκα καὶ πονητέον καὶ φιλοσοφητέον καὶ πάντα πρακτέον ἐστίν. Ἀφ' ὧν ὑμεῖς πολὺν ἤδη χρόνον ἀπελαύνετε τοὺς νεωτέρους, ἀποδεχόμενοι τοὺς λόγους τῶν

æquissimam æstimationem obtineat. Quis enim nescit etiam orationes veriores videri, quæ ab hominibus integræ famæ habeantur, quam quæ ab illis qui male audiant, et argumentationes plus valere quæ ex vita repetantur, quam quæ verbis suppeditantur? Itaque quanto quis evidentius auditoribus persuadere cupiat, tanto magis operam dabit ut bonus laudatusque vir sit. (279) Ac nemo vestrûm putet, quum ceteri omnes intelligant quantam vim ad persuadendum illud habeat, ut placeamus judicibus, philosophiæ studiosos solos ignorare benevolentiæ momentum: id quod aliis multo certius sciunt, (280) ac præterea probabilia et conjecturas et omne argumentorum genus eo usque tantum commodi aliquid afferre, quo eorum quodque dicatur; existimatione autem bona et honesta non solum orationem probabiliorem reddi, sed actiones etiam ejus qui tali fama fruatur, honestiores fieri: qua de re prudentibus hominibus magis laborandum est quam de rebus omnibus.

281. Quod igitur ad studium præstandi aliis pertinet, quod difficillimum dictorum erat, jam dictum est: si quis existimat, qui alios fraudent aut decipiant aut mali quid faciant, eos præstare ceteris, næ is recte non judicat; nulli enim per totam vitam talibus inferiores sunt, neque pluribus necessitatibus urgentur, neque contemptius vivunt, aut omnino infeliciore conditione utuntur. (282) Existimandum est vero et nunc plurimum habere et in posterum a diis accepturos esse eos qui maxima pietate excellant maximaque cura illos colant; ab hominibus vero, qui maxima benevolentia erga eos sunt quibuscum habitent unamque urbem incolant, et qui ipsi optimi esse videantur. (283) Quæ quum re vera ita sese habeant, hoc quoque modo de iis loqui conducit, præsertim quum nunc multa in republica perversa sint et confusa, adeo ut quidam ne nominibus quidem, quibus par est, utantur, sed ea a pulcherrimis institutis ad turpissima studia transferant. (284) Scurras enim et cavillatores et mimos ingeniosos vocant, quum eos qui maxime ad virtutem nati sint, hanc appellationem obtinere deceat; eos autem qui vitiis maleficiisque dediti parva quidem emolumenta assequuntur, at malam famam incurrunt, aliis præstare putant, non integerrimos justissimosque, qui bonitate, non improbitate aliis antecellunt; (285) qui necessaria negligunt, at veterum sophistarum præstigiis delectantur, eos philosophari dicunt, contemptis iis qui ea et discunt et exercent, quibus et suam domum et rempublicam bene administraturi sint, quarum rerum causa et laborandum et philosophandum et unum quodque agendum est. A quibus vos jam dudum adolescentes avertitis, dum eorum sermonibus, qui hanc

διαβαλλόντων τὴν τοιαύτην παιδείαν. (286) Καὶ γάρ τοι πεποιήκατε τοὺς μὲν ἐπιεικεστάτους αὐτῶν ἐν πότοις καὶ συνουσίαις καὶ ῥᾳθυμίαις καὶ παιδιαῖς τὴν ἡλικίαν διάγειν, ἀμελήσαντας τοῦ σπουδάζειν ὅπως ἔσονται βελτίους, τοὺς δὲ χείρω τὴν φύσιν ἔχοντας ἐν τοιαύταις ἀκολασίαις ἡμερεύειν, ἐν αἷς πρότερον οὐδ' ἂν οἰκέτης ἐπιεικὴς οὐδεὶς ἐτόλμησεν· (287) οἱ μὲν γὰρ αὐτῶν ἐπὶ τῆς Ἐννεακρούνου ψύχουσιν οἶνον, οἱ δ' ἐν τοῖς καπηλείοις πίνουσιν, ἕτεροι δ' ἐν τοῖς σκιραφείοις κυβεύουσι, πολλοὶ δ' ἐν τοῖς τῶν αὐλητρίδων διδασκαλείοις διατρίβουσι. Καὶ τοὺς μὲν ἐπὶ ταῦτα προτρέποντας οὐδεὶς πώποτε τῶν κήδεσθαι φασκόντων τῆς ἡλικίας ταύτης εἰς ὑμᾶς εἰσήγαγεν· ἡμῖν δὲ κακὰ παρέχουσιν, οἷς ἄξιον ἦν, εἰ καὶ μηδενὸς ἄλλου, τούτου γε χάριν ἔχειν, ὅτι τοὺς συνόντας τῶν τοιούτων ἐπιτηδευμάτων ἀποτρέπομεν. (288) Οὕτω δ' ἐστὶ δυσμενὲς ἅπασι τὸ τῶν συκοφαντῶν γένος, ὥστε τοῖς μὲν λυομένοις εἴκοσι καὶ τριάκοντα μνῶν τὰς μελλούσας καὶ τὸν ἄλλον οἶκον συναναιρήσειν οὐχ ὅπως ἂν ἐπιπλήξειαν, ἀλλὰ καὶ συγχαίρουσι ταῖς ἀσωτίαις αὐτῶν, τοὺς δ' εἰς τὴν αὑτῶν παιδείαν ὁτιοῦν ἀναλίσκοντας διαφθείρεσθαί φασιν. Ὧν τίνες ἂν ἀδικώτερον ἔχοιεν τὴν αἰτίαν ταύτην; (289) οἵτινες ἐν ταύταις μὲν ταῖς ἀκμαῖς ὄντες ὑπερεῖδον τὰς ἡδονάς, ἐν αἷς οἱ πλεῖστοι τῶν τηλικούτων μάλιστ' αὐτῶν ἐπιθυμοῦσιν, ἐξὸν δ' αὐτοῖς ῥᾳθυμεῖν μηδὲν δαπανωμένοις, εἵλοντο πονεῖν χρήματα τελέσαντες, ἄρτι δ' ἐκ παίδων ἐξεληλυθότες ἔγνωσαν ἃ πολλοὶ τῶν πρεσβυτέρων οὐκ ἴσασιν, (290) ὅτι δεῖ τὸν ὀρθῶς καὶ πρεπόντως προεστῶτα τῆς ἡλικίας καὶ καλὴν ἀρχὴν τοῦ βίου ποιούμενον αὑτοῦ πρότερον ἢ τῶν αὑτοῦ ποιήσασθαι τὴν ἐπιμέλειαν, καὶ μὴ σπεύδειν μηδὲ ζητεῖν ἑτέρων ἄρχειν πρὶν ἂν τῆς αὑτοῦ διανοίας λάβῃ τὸν ἐπιστατήσοντα, μηδ' οὕτω χαίρειν μηδὲ μέγα φρονεῖν ἐπὶ τοῖς ἄλλοις ἀγαθοῖς ὡς ἐπὶ τοῖς ἐν τῇ ψυχῇ διὰ τὴν παιδείαν ἐγγιγνομένοις. Καίτοι τοὺς τοιούτῳ λογισμῷ κεχρημένους πῶς οὐκ ἐπαινεῖσθαι χρὴ μᾶλλον ἢ ψέγεσθαι, καὶ νομίζεσθαι βελτίστους εἶναι καὶ σωφρονεστάτους τῶν ἡλικιωτῶν;

291. Θαυμάζω δ' ὅσοι τοὺς μὲν φύσει δεινοὺς ὄντας εἰπεῖν εὐδαιμονίζουσιν ὡς ἀγαθοῦ καὶ καλοῦ πράγματος αὐτοῖς συμβεβηκότος, τοὺς δὲ τοιούτους γενέσθαι βουλομένους λοιδοροῦσιν ὡς ἀδίκου καὶ κακοῦ παιδεύματος ἐπιθυμοῦντας. Καίτοι τί τῶν φύσει καλῶν ὄντων μελέτῃ κατεργασθὲν αἰσχρὸν ἢ κακόν ἐστιν; οὐδὲν γὰρ εὑρήσομεν τοιοῦτον, ἀλλ' ἔν γε τοῖς ἄλλοις ἐπαινοῦμεν τοὺς ταῖς φιλοπονίαις ταῖς αὑτῶν ἀγαθόν τι κτήσασθαι δυνηθέντας μᾶλλον ἢ τοὺς παρὰ τῶν προγόνων παραλαβόντας, εἰκότως· (292) συμφέρει γὰρ ἐπί τε τῶν ἄλλων ἁπάντων, καὶ μάλιστ' ἐπὶ τῶν λόγων, μὴ τὰς εὐτυχίας ἀλλὰ τὰς ἐπιμελείας εὐδοκιμεῖν. Οἱ μὲν γὰρ φύσει καὶ τύχῃ δεινοὶ γενόμενοι λέγειν οὐ πρὸς τὸ βέλτιστον ἀποβλέπουσιν, ἀλλ' ὅπως ἂν τύχωσιν, οὕτω χρῆσθαι τοῖς λόγοις εἰώθασιν· οἱ δὲ φιλοσοφίᾳ καὶ λογισμῷ τὴν δύναμιν ταύτην λαβόντες, οὐδὲν ἀσκέ-

institutionem calumniantur, aures præbetis. (286) Quo jam effecistis ut modestissimi eorum in compotationibus et conviviis et lascivia et lusibus ætatem agant, nulla habita ratione ut meliores fiant, quique deteriore indole sint, ut in hac lascivia totos dies consumant, in qua prius ne servus quidem probus versari ausus est. (287) Atque nonnulli eorum ad Enneacrunum vinum refrigerant, alii in cauponis potant, alii in lustris alea ludunt, multi in tibicinarum ludis commorantur. Atque eos qui ad hanc incontinentiam impellunt, nemo unquam eorum qui hanc se ætatem curare dicunt, apud vos accusavit; nobis vero negotia exhibent, quos, si nullam aliam ob causam, certe hujus rei gratiam inire decuit, quod auditores nostros ab his studiis avertimus. (288) Adeo enim omnibus iniquum est sycophantarum genus, ut eos qui viginti vel triginta minis mulieres, quæ reliquam rem familiarem consumpturæ sint, emunt, nullo modo objurgent, sed hac profusione lætentur, dum eos qui nonnihil in suam educationem impendant, corrumpi dicunt. Quorum quibus iniquius illud crimen objiciatur? (289) qui hac ætate, qua plerique voluptates quam maxime appetunt, eas spernunt et, quum nulla impensa facta genio indulgere liceat, laborare cum dispendio malunt, et nuper e pueris egressi cognoverunt quæ multi seniorum ignorant, (290) oportere eum qui recte et decore ætatem suam instituerit pulchrumque vitæ fundamentum jecerit, se prius quam sua curare, neque festinare neque quærere ut aliis imperet, priusquam suæ mentis rectorem invenerit, neque tam gaudere et exsultare reliquis bonis quam iis quæ educatione in animo oriuntur. Jam qui hac mente sint, quomodo non potius sunt laudandi quam vituperandi, æqualiumque optimi prudentissimique habendi?

291. Miror autem quod nonnulli eos qui natura eloquentes sint, beatos prædicant, quod egregia et præclara res iis contigerit; at illos qui idem student impetrare, conviciis lacessunt, quasi iniquam et pravam institutionem appetant. At vero quidnam quod natura sua inter bona referendum est, si cura compararetur, turpe aut pravum sit? nihil enim tale reperiemus; sed in aliis quidem eos laudamus, qui industria sua potius bonum aliquod efficere possunt quam qui a majoribus acceperunt; idque merito: (292) expedit enim in ceteris omnibus et maxime in orationibus non fortunam propitiam, sed curam laudari. Qui enim natura et fortuna eloquentes facti sunt, non optima quæque sibi proponunt, sed ut natura comparati sunt, ita eloquentia uti solent; qui vero philosophando et meditando eandem

πτως λέγοντες, ἧττον περὶ τὰς πράξεις πλημμελοῦσιν. (293) Ὥσθ' ἅπασι μὲν βούλεσθαι προσήκει πολλοὺς εἶναι τοὺς ἐκ παιδείας δεινοὺς εἰπεῖν γιγνομένους, μάλιστα δ' ὑμῖν· καὶ γὰρ αὐτοὶ προέχετε καὶ διαφέρετε τῶν ἄλλων οὐ ταῖς περὶ τὸν πόλεμον ἐπιμελείαις, οὐδ' ὅτι κάλλιστα πολιτεύεσθε καὶ μάλιστα φυλάττετε τοὺς νόμους οὓς ὑμῖν οἱ πρόγονοι κατέλιπον, ἀλλὰ τούτοις οἷσπερ ἡ φύσις ἡ τῶν ἀνθρώπων τῶν ἄλλων ζῴων, καὶ τὸ γένος τὸ τῶν Ἑλλήνων τῶν βαρβάρων, (294) τῷ καὶ πρὸς τὴν φρόνησιν καὶ πρὸς τοὺς λόγους ἄμεινον πεπαιδεῦσθαι τῶν ἄλλων. Ὥστε πάντων ἂν συμβαίη δεινότατον, εἰ τοὺς βουλομένους τοῖς αὐτοῖς τούτοις διενεγκεῖν τῶν ἡλικιωτῶν, οἷσπερ ὑμεῖς ἁπάντων, διαφθείρεσθαι ψηφίσαισθε, καὶ τοὺς τῇ παιδείᾳ ταύτῃ χρωμένους, ἧς ὑμεῖς ἡγεμόνες γεγένησθε, συμφορᾷ τινι περιβάλοιτε.

295. Χρὴ γὰρ μηδὲ τοῦτο λανθάνειν ὑμᾶς, ὅτι πάντων τῶν δυναμένων λέγειν ἢ παιδεύειν ἡ πόλις ἡμῶν δοκεῖ γεγενῆσθαι διδάσκαλος. Εἰκότως· καὶ γὰρ ἆθλα μέγιστα τιθεῖσαν αὐτὴν ὁρῶσι τοῖς τὴν δύναμιν ταύτην ἔχουσι, καὶ γυμνάσια πλεῖστα καὶ παντοδαπώτατα παρέχουσαν τοῖς ἀγωνίζεσθαι προῃρημένοις καὶ περὶ τὰς τοιαύτας γυμνάζεσθαι βουλομένοις, ἔτι δὲ τὴν ἐμπειρίαν, ἥπερ μάλιστα ποιεῖ δύνασθαι λέγειν, ἐνθένδε πάντας λαμβάνοντας· (296) πρὸς δὲ τούτοις καὶ τὴν τῆς φωνῆς κοινότητα καὶ μετριότητα καὶ τὴν ἄλλην εὐτραπελίαν καὶ φιλολογίαν οὐ μικρὸν ἡγοῦνται συμβαλέσθαι μέρος πρὸς τὴν τῶν λόγων παιδείαν· ὥστ' οὐκ ἀδίκως ὑπολαμβάνουσιν ἅπαντας τοὺς λέγειν ὄντας δεινοὺς τῆς πόλεως εἶναι μαθητάς. (297) Σκοπεῖτ' οὖν μὴ παντάπασιν ᾖ καταγέλαστον τῆς δόξης ταύτης φλαῦρόν τι καταγιγνώσκειν, ἣν ὑμεῖς ἔχετε παρὰ τοῖς Ἕλλησι πολὺ μᾶλλον ἢ 'γὼ παρ' ὑμῖν· οὐδὲν γὰρ ἀλλ' ἢ φανερῶς ὑμῶν αὐτῶν ἔσεσθε κατεψηφισμένοι τὴν τοιαύτην ἀδικίαν, (298) καὶ πεποιηκότες ὅμοιον ὥσπερ ἂν εἰ Λακεδαιμόνιοι τοὺς τὰ περὶ τὸν πόλεμον ἀσκοῦντας ζημιοῦν ἐπιχειροῖεν, ἢ Θετταλοὶ παρὰ τῶν ἱππεύειν μελετώντων δίκην λαμβάνειν ἀξιοῖεν. Ὑπὲρ ὧν φυλακτέον ἐστίν, ὅπως μηδὲν τοιοῦτον ἐξαμαρτήσεσθε περὶ ὑμᾶς αὐτούς, μηδὲ πιστοτέρους ποιήσετε τοὺς λόγους τοὺς τῶν κατηγορούντων τῆς πόλεως ἢ τοὺς τῶν ἐπαινούντων. (299) Οἶμαι δ' ὑμᾶς οὐκ ἀγνοεῖν ὅτι τῶν Ἑλλήνων οἱ μὲν δυσκόλως πρὸς ὑμᾶς ἔχουσιν, οἱ δ' ὡς οἷόντε μάλιστα φιλοῦσι καὶ τὰς ἐλπίδας τῆς σωτηρίας ἐν ὑμῖν ἔχουσι. Καί φασιν οἱ μὲν τοιοῦτοι μόνην εἶναι ταύτην πόλιν, τὰς δ' ἄλλας κώμας, καὶ δικαίως ἂν αὐτὴν ἄστυ τῆς Ἑλλάδος προσαγορεύεσθαι καὶ διὰ τὸ μέγεθος καὶ διὰ τὰς εὐπορίας τὰς ἐνθένδε τοῖς ἄλλοις γιγνομένας καὶ μάλιστα διὰ τὸν τρόπον τῶν ἐνοικούντων· (300) οὐδένας γὰρ εἶναι πραοτέρους οὐδὲ κοινοτέρους οὐδ' οἷς οἰκειότερον ἄν τις τὸν ἅπαντα βίον συνδιατρίψειεν. Οὕτω δὲ μεγάλαις χρῶνται ταῖς ὑπερβολαῖς, ὥστ' οὐδὲ τοῦτ' ὀκνοῦσι λέγειν, ὡς ἥδιον ἂν ὑπ' ἀνδρὸς Ἀθηναίου ζημιωθεῖεν ἢ διὰ τῆς ἑτέρων ὠμότητος εὖ πάθοιεν. Οἱ δὲ ταῦτα μὲν

vim obtinuerunt, hi quum nihil inconsiderate dicant, minus in rebus ipsis falluntur. (293) Itaque omnibus optandum est ut multi institutione eloquentes fiant, maxime vobis; etenim ipsi præstantiores et excellentiores ceteris estis, non bellicis studiis, neque optima reipublicæ administratione, neque legum observantia, quas a majoribus accepistis, sed his rebus quibus humana natura reliquis præstat animantibus et Græci barbaris, (294) quod et ad sapientiam et eloquentiam ceteris rectius instituimini. Itaque omnium gravissimum accideret, si eos qui his ipsis virtutibus inter æquales excellere cupiunt quibus vos inter universos, corrumpi judicaretis, eosque qui hac institutione utantur, cujus vos duces facti estis, calamitate aliqua implicaretis.

295. Oportet enim ne hoc quidem vos fugere, omnium qui dicere aut educare possint, urbem nostram videri magistram fuisse. Merito : etenim maxima præmia eam iis proposuisse vident, qui hanc vim assecuti sunt, et exercitationes plurimas ac maxime varias exhibere iis qui æmulari et in causis orandis exerceri volunt; præterea experientiam, quæ plurimum valet ad eloquentiam, inde acquiri; (296) ad hæc etiam pronunciationis communem usum et moderationem et reliquos lepores et meditandi industriam non parvi momenti esse ad eloquentiam censent. Itaque non injuria omnes eloquentes urbis nostræ esse discipulos putant. (297) Videte igitur ne prorsus ridiculum sit absurdi quid de hac fama decernere, quam vos apud Græcos multo magis quam ego apud vos obtinetis. Nihil enim aliud nisi contra vosmetipsos talem injuriam constitueritis, (298) neque dissimile feceritis ac si Lacedæmonii militiæ studiosos mulctarent, aut Thessali ab iis qui equitandi studio ducuntur, pœnas repeterent. Quare cavendum est ne quid hujusmodi in vos delinquatis, neque veriores eorum orationes reddatis qui urbem vituperant, quam qui laudant. (299) Existimo autem vos non ignorare Græcorum alios vobis infensos esse, alios quammaxime vobis favere ac salutis spem in vobis reponere. Atque hi quidem solam hanc dicunt urbem esse, reliquas vicos et merito hanc Græcorum astu appellari et propter magnitudinem et commoda quæ inde in reliquos redundent, ac maxime propter cultum incolentium; (300) nullos enim humaniores aut affabiliores esse, neque quibuscum quis lubentius totam ætatem degat. Adeo vero laudibus immodici sunt, ut ne illud quidem dicere vereantur, libentius se ab Atheniensi viro puniri quam aliorum immanitate beneficio affici velle. Illi contra hæc

διασύρουσι, διεξιόντες δὲ τὰς τῶν συκοφαντῶν πικρότητας καὶ κακοπραγίας ὅλης τῆς πόλεως ὡς ἀμίκτου καὶ χαλεπῆς οὔσης κατηγοροῦσιν. (301) Ἔστιν οὖν δικαστῶν νοῦν ἐχόντων τοὺς μὲν τῶν τοιούτων λόγων αἰτίους γιγνομένους ἀποκτείνειν ὡς μεγάλην αἰσχύνην τῇ πόλει περιποιοῦντας, τοὺς δὲ τῶν ἐπαίνων τῶν λεγομένων περὶ αὐτῆς μέρος τι συμβαλλομένους τιμᾶν μᾶλλον ἢ τοὺς ἀθλητὰς τοὺς ἐν τοῖς στεφανίταις ἀγῶσι νικῶντας· (302) πολὺ γὰρ καλλίω δόξαν ἐκείνων κτώμενοι τῇ πόλει τυγχάνουσι καὶ μᾶλλον ἁρμόττουσαν. Περὶ μὲν γὰρ τὴν τῶν σωμάτων ἀγωνίαν πολλοὺς τοὺς ἀμφισβητοῦντας ἔχομεν, περὶ δὲ τὴν παιδείαν ἅπαντες ἂν ἡμᾶς πρωτεύειν προκρίνειαν. Χρὴ δὲ τοὺς καὶ μικρὰ λογίζεσθαι δυναμένους τοὺς ἐν τοῖς τοιούτοις τῶν ἔργων διαφέροντας, ἐν οἷς ἡ πόλις εὐδοκιμεῖ, τιμῶντας φαίνεσθαι, καὶ μὴ φθονερῶς ἔχειν, μηδ' ἐναντία τοῖς ἄλλοις Ἕλλησι γιγνώσκειν περὶ αὐτῶν. (303) Ὧν ὑμῖν οὐδὲν πώποτ' ἐμέλησεν, ἀλλὰ τοσοῦτον διημαρτήκατε τοῦ συμφέροντος, ὥσθ' ἥδιον ἔχετε δι' οὓς ἀκούετε κακῶς ἢ δι' οὓς ἐπαινεῖσθε, καὶ δημοτικωτέρους εἶναι νομίζετε τοὺς τοῦ μισεῖσθαι τὴν πόλιν ὑπὸ πολλῶν αἰτίους ὄντας, ἢ τοὺς ἅπαντας οἷς πεπλησιάκασιν εὖ διακεῖσθαι πρὸς αὐτὴν πεποιηκότας. (304) Ἢν οὖν σωφρονῆτε, τῆς μὲν ταραχῆς παύσεσθε ταύτης, οὐχ οὕτω δ' ὥσπερ νῦν οἱ μὲν τραχέως οἱ δ' ὀλιγώρως διακείσεσθε πρὸς τὴν φιλοσοφίαν, ἀλλ' ὑπολαβόντες κάλλιστον εἶναι καὶ σπουδαιότατον τῶν ἐπιτηδευμάτων τὴν τῆς ψυχῆς ἐπιμέλειαν, προτρέψετε τῶν νεωτέρων τοὺς βίον ἱκανὸν κεκτημένους καὶ σχολὴν ἄγειν δυναμένους ἐπὶ τὴν παιδείαν καὶ τὴν ἄσκησιν τὴν τοιαύτην, (305) καὶ τοὺς μὲν πονεῖν ἐθέλοντας καὶ παρασκευάζειν σφᾶς αὐτοὺς χρησίμους τῇ πόλει περὶ πολλοῦ ποιήσεσθε, τοὺς δὲ καταβεβλημένως ζῶντας καὶ μηδενὸς ἄλλου φροντίζοντας πλὴν ὅπως ἀσελγῶς ἀπολαύσονται τῶν καταλειφθέντων, τούτους δὲ μισήσετε καὶ προδότας νομιεῖτε καὶ τῆς πόλεως καὶ τῆς τῶν προγόνων δόξης· μόλις γὰρ ἢν οὕτως ὑμᾶς αἴσθωνται πρὸς ἑκατέρους αὐτῶν διακειμένους, ἐθελήσουσιν οἱ νεώτεροι καταφρονήσαντες τῆς ῥᾳθυμίας προσέχειν σφίσιν αὐτοῖς καὶ τῇ φιλοσοφίᾳ τὸν νοῦν. (306) Ἀναμνήσθητε δὲ τὸ κάλλος καὶ τὸ μέγεθος τῶν ἔργων τῶν τῇ πόλει καὶ τοῖς προγόνοις πεπραγμένων, καὶ διέλθετε πρὸς ὑμᾶς αὐτοὺς καὶ σκέψασθε ποῖός τις ἦν καὶ πῶς γεγονὼς καὶ τίνα τρόπον πεπαιδευμένος ὁ τοὺς τυράννους ἐκβαλὼν καὶ τὸν δῆμον καταγαγὼν καὶ τὴν δημοκρατίαν καταστήσας, ποῖος δέ τις ὁ τοὺς βαρβάρους Μαραθῶνι τῇ μάχῃ νικήσας καὶ τὴν δόξαν τὴν ἐκ ταύτης γενομένην τῇ πόλει κτησάμενος, (307) τίς δ' ἦν ὁ μετ' ἐκεῖνον τοὺς Ἕλληνας ἐλευθερώσας καὶ τοὺς προγόνους ἐπὶ τὴν ἡγεμονίαν καὶ τὴν δυναστείαν ἣν ἔσχον προαγαγών, ἔτι δὲ τὴν φύσιν τὴν τοῦ Πειραιέως κατιδὼν καὶ τὸ τεῖχος ἀκόντων Λακεδαιμονίων τῇ πόλει περιβαλών, τίς δ' ὁ μετὰ τοῦτον ἀργυρίου καὶ χρυσίου τὴν ἀκρόπολιν ἐμπλήσας καὶ τοὺς οἴκους τοὺς ἰδίους μεστοὺς

perstringunt, recensentesque sycophantarum acerbitates et maleficia urbem ut inhospitalem et intractabilem criminantur. (301) Est igitur sagacium judicum, auctores talium sermonum perimere, quod magnum dedecus urbi inferunt; eos vero qui ad laudes, quibus celebratur, pro virili parte contulerunt, majore honore habere quam athletas qui ex certaminibus victores coronas retulerunt: (302) urbi enim multo præclariorem eique convenientiorem famam quam illi comparant. Multos enim habemus qui quod ad corporum exercitationem attinet, nobiscum contendant; in literis vero omnes nobis primas deferunt. Oportet igitur eos qui paulum res æstimare possunt, homines iis rebus, quarum causa urbs laudatur, excellentes honore efferre videri, neque invidia persequi, neque judicare quod ceterorum Græcorum judicio contrarium sit. (303) Quorum nihil unquam vobis curæ fuit, sed tantum a commodo vestro recessistis, ut benevolentiores iis sitis, per quos urbs male audiat, quam per quos laudamini, et populariores eos judicetis, quorum opera factum est ut urbs multis odio sit, quam eos qui omnium quibuscum versantur benevolentiam ei conciliarunt. (304) Si igitur prudenter agere vultis, hoc incommodo eam liberabitis, neque ita ut nunc partim ægre feretis partim contemnetis philosophiam, sed pulcherrimum et honestissimum studium animi cultum rati, adolescentes qui rem habent et in otio vivere possunt, ad hanc institutionem et occupationem hortabimini, (305) eosque qui labores subire seque reipublicæ utiles reddere volunt, magni æstimabitis; qui vero abjecte vivunt neque quidquam aliud cogitant quam ut per luxuriam bonis sibi relictis fruantur, hos odio habebitis, proditoresque et urbis et majorum gloriæ judicabitis. Vix enim, si vos ita erga utrosque animatos viderint, adolescentes lascivia omissa mentem in se philosophiamque convertere volent. (306) In memoriam vero revocate magnitudinem rerum quæ a civitate et majoribus gestæ sunt, atque agitate vobiscum et reputate qualis fuerit et quo loco natus et quomodo institutus qui tyrannos expulit remquepublicam restituit et libertatem instauravit, et qualis ille qui barbaros ad Marathonem pugnando devicit et hanc gloriam illo prælio partam reipublicæ comparavit; (307) quis qui post illum Græcos liberavit, majoribus principatum et imperium quod obtinuerunt comparavit, præterea Piræei opportunitatem cognovit urbemque invitis Lacedæmoniis mœnibus cinxit; quis qui deinde argento auroque arcem implevit domosque privatas ingentibus opibus divitiisque instruxit.

πολλῆς εὐδαιμονίας καὶ πλούτου ποιήσας· (308) εὑρή-
σετε γάρ, ἢν ἐξετάζητε τούτων ἕκαστον, οὐ τοὺς συκο-
φαντικῶς βεβιωκότας οὐδὲ τοὺς ἀμελῶς, οὐδὲ τοὺς τοῖς
πολλοῖς ὁμοίους ὄντας, ταῦτα διαπεπραγμένους, ἀλλὰ
τοὺς διαφέροντας καὶ προέχοντας μὴ μόνον ταῖς εὐγε-
νείαις καὶ ταῖς δόξαις, ἀλλὰ καὶ τῷ φρονεῖν καὶ λέγειν,
τούτους ἁπάντων ἀγαθῶν αἰτίους γεγενημένους. (309)
Ὧν εἰκὸς ὑμᾶς ἐνθυμουμένους ὑπὲρ μὲν τοῦ πλήθους
τοῦτο σκοπεῖν, ὅπως ἔν τε τοῖς ἀγῶσι τοῖς περὶ τῶν
συμβολαίων τῶν δικαίων τεύξονται καὶ τῶν ἄλλων τῶν
κοινῶν μεθέξουσι, τοὺς δ' ὑπερέχοντας καὶ τῇ φύσει καὶ
ταῖς μελέταις, καὶ τοὺς τοιούτους γενέσθαι προθυμου-
μένους, ἀγαπᾶν καὶ τιμᾶν καὶ θεραπεύειν, ἐπισταμέ-
νους ὅτι καὶ τὸ καλῶν καὶ μεγάλων ἡγήσασθαι πραγμά-
των καὶ τὸ δύνασθαι τὰς πόλεις ἐκ τῶν κινδύνων σώζειν
καὶ τὴν δημοκρατίαν διαφυλάττειν ἐν τοῖς τοιούτοις
ἔνεστιν, ἀλλ' οὐκ ἐν τοῖς συκοφάνταις.

343 310. Πολλῶν δ' ἐφεστώτων μοι λόγων ἀπορῶ πῶς c
αὐτοὺς διαθῶμαι· δοκεῖ γάρ μοι καθ' αὐτὸ μὲν ἕκαστον
ὧν διανοοῦμαι ῥηθὲν ἐπιεικὲς ἂν φανῆναι, πάντα δὲ
νυνὶ λεγόμενα πολὺν ἂν ὄχλον ἐμοί τε καὶ τοῖς ἀκούουσι d
παρασχεῖν. Ὅπερ καὶ περὶ τῶν ἤδη προειρημένων
δέδοικα, μὴ τοιοῦτόν τι πάθος αὐτοῖς διὰ τὸ πλῆθος
τυγχάνῃ συμβεβηκός. (311) Οὕτω γὰρ ἀπλήστως ἅπαν-
τες ἔχομεν περὶ τοὺς λόγους, ὥστ' ἐπαινοῦμεν μὲν τὴν
εὐκαιρίαν καὶ φαμὲν οὐδὲν εἶναι τοιοῦτον, ἐπειδὰν δ'
οἰηθῶμεν ὡς ἔχομέν τι λέγειν, ἀμελήσαντες τοῦ μετριά-
ζειν, κατὰ μικρὸν ἀεὶ προστιθέντες εἰς τὰς ἐσχάτας
ἀκαιρίας ἐμβάλλομεν ἡμᾶς αὐτούς· ὅπου γε καὶ λέγων e
ἐγὼ ταῦτα καὶ γιγνώσκων, ὅμως ἔτι βούλομαι διαλε-
χθῆναι πρὸς ὑμᾶς. (312) Ἀγανακτῶ γὰρ ὁρῶν τὴν συ-
κοφαντίαν ἄμεινον τῆς φιλοσοφίας φερομένην, καὶ τὴν
344 μὲν κατηγοροῦσαν, τὴν δὲ κρινομένην· ὃ τίς ἂν τῶν a
παλαιῶν ἀνδρῶν γενήσεσθαι προσεδόκησεν, ἄλλως τε
καὶ παρ' ὑμῖν τοῖς ἐπὶ σοφίᾳ μεῖζον τῶν ἄλλων φρο-
νοῦσιν; (313) Οὔκουν ἐπί γε τῶν προγόνων οὕτως εἶχεν,
ἀλλὰ τοὺς μὲν καλουμένους σοφιστὰς ἐθαύμαζον καὶ
τοὺς συνόντας αὐτοῖς ἐζήλουν, τοὺς δὲ συκοφάντας πλεί-
στων κακῶν αἰτίους ἐνόμιζον εἶναι. Μέγιστον δὲ τε-
κμήριον· Σόλωνα μὲν γάρ, τὸν πρῶτον τῶν πολιτῶν
λαβόντα τὴν ἐπωνυμίαν ταύτην, προστάτην ἠξίωσαν b
τῆς πόλεως εἶναι, περὶ δὲ τῶν συκοφαντῶν χαλεπωτέ-
ρους ἢ περὶ τῶν ἄλλων κακουργιῶν τοὺς νόμους ἔθεσαν.
(314) Τοῖς μὲν γὰρ μεγίστοις τῶν ἀδικημάτων ἐν ἑνὶ
τῶν δικαστηρίων τὴν κρίσιν ἐποίησαν, κατὰ δὲ τούτων
γραφὰς μὲν πρὸς τοὺς θεσμοθέτας, εἰσαγγελίας δ' εἰς
τὴν βουλήν, προβολὰς δ' ἐν τῷ δήμῳ, νομίζοντες τοὺς
ταύτῃ τῇ τέχνῃ χρωμένους ἁπάσας ὑπερβάλλειν τὰς
πονηρίας. (315) Τοὺς μὲν γὰρ ἄλλους ἀλλ' οὖν πειρᾶ- c
σθαί γε λανθάνειν κακουργοῦντας, τούτους δ' ἐν ἅπασιν
ἐπιδείκνυσθαι τὴν αὑτῶν ὠμότητα καὶ μισανθρωπίαν
καὶ φιλαπεχθημοσύνην. Κἀκεῖνοι μὲν οὕτως ἐγίγνω-
σκον περὶ αὐτῶν· ὑμεῖς δὲ τοσοῦτον ἀπέχετε τοῦ κολάζειν
αὐτούς, ὥστε τούτοις χρῆσθε καὶ κατηγόροις καὶ νομο-

(308) Quorum si unumquemque examinaveritis, non eos qui per calumniam aut ignaviam ætatem egerint, neque qui vulgo similes sint, hæc effecisse reperietis, sed eos qui insignes essent non solum nobilitate et fama, sed etiam eloquentia et prudentia præstarent, omnium bonorum auctores exstitisse. (309) Quæ par est vos animis reputantes multitudini providere, ut in causis quæ de privatis negotiis oriantur, jus suum obtineant, et reliquorum bonorum reipublicæ participes reddantur; qui vero ingenio et cura inter ceteros emineant, quique tales fieri cupiant, eos amare et honorare et colere, quum sciatis eosdem bonarum et pulchrarum actionum principes esse, utque urbes ex discriminibus possint servari reique publicæ conditio popularis retineatur, in talibus esse repositum, minime vero in sycophantis.

310. Etsi vero multa in mentem mihi veniunt, nescio tamen quid de eis statuere debeam. Nam singula quæ cogito, per se mihi dictu commoda et æqua videntur: si vero nunc omnia proferantur, magna molestia et me et auditores affectura esse. Atque adeo vereor ut prolixa etiam superiorum commemoratio fastidium effugerit. (311) Omnes enim tam insatiabili dicendi cupiditate tenemur, ut opportunitatem laudemus nec quicquam præstabilius esse dicamus; quum vero aliquid habere videmur quod dicamus, neglecto modo semper aliquid prioribus paullatim adjiciendo in extremam importunitatem incidamus. Nam et ego, qui hæc dico ac sentio, tamen pauca adhuc vobiscum disserere volo. (312) Indignor enim, quum sycophantiam conditione meliore esse video quam philosophiam, et illam quidem accusare, hanc vero causam dicere. Quod quis veterum fuit qui futurum esse crederet, apud vos præsertim, qui sapientiores aliis haberi vultis? (313) Apud majores certe quidem alia ratio fuit; nam eos qui sophistæ dicebantur, magni faciebant eorumque familiares beatos judicabant, sycophantas autem perniciosissimos homines existimabant. Cujus rei maximum signum illud est, quod Solonem, qui primus civium hoc cognomen sortitus fuit, principem civitatis esse voluerunt; in sycophantas autem graviores, quam in alios maleficos, leges tulerunt. (314) De summis enim injuriis in uno judicari judicio constituto voluerunt; hos vero et ad thesmothetas citari, et deferri apud senatum, et apud populum accusari sinunt, existimantes istius generis artifices omnem improbitatem excedere; (315) nam alios id certe studere ut sua maleficia tegant, istos ubique ostentare suam crudelitatem et inhumanitatem odiumque de industria quæsitum. Atque illi quidem sic de eis statuerunt; vos vero tantum abest ut puniatis eos, ut his et accusationes aliorum

θέταις περὶ τῶν ἄλλων. Καίτοι προσῆκεν αὐτοὺς νῦν μισεῖσθαι μᾶλλον ἢ κατ' ἐκεῖνον τὸν χρόνον. (316) Τότε μὲν γὰρ ἐν τοῖς ἐγκυκλίοις μόνον καὶ τοῖς κατὰ τὴν d πόλιν ἔβλαπτον τοὺς συμπολιτευομένους· ἐπειδὴ δ' αὐξηθείσης τῆς πόλεως καὶ λαβούσης τὴν ἀρχὴν οἱ πατέρες ἡμῶν, μᾶλλον θαρρήσαντες τοῦ συμφέροντος, τοῖς μὲν καλοῖς κἀγαθοῖς τῶν ἀνδρῶν καὶ μεγάλην τὴν πόλιν ποιήσασι διὰ τὰς δυναστείας ἐφθόνησαν, πονηρῶν δ' ἀνθρώπων καὶ μεστῶν θρασύτητος ἐπεθύμησαν, (317) οἰηθέντες ταῖς μὲν τόλμαις καὶ ταῖς φιλαπεχθημοσύναις ἱκανοὺς αὐτοὺς ἔσεσθαι διαφυλάττειν τὴν δημοκρατίαν, e διὰ δὲ τὴν φαυλότητα τῶν ἐξ ἀρχῆς αὐτοῖς ὑπαρξάντων οὐ μέγα φρονήσειν οὐδ' ἐπιθυμήσειν ἑτέρας πολιτείας, ἐκ ταύτης τῆς μεταβολῆς τί τῶν δεινῶν οὐ συνέπεσε 345 τῇ πόλει, τί δὲ τῶν μεγίστων κακῶν οἱ ταύτην ἔχοντες a τὴν φύσιν οὐ καὶ λέγοντες καὶ πράττοντες διετέλεσαν; (318) οὐ τοὺς μὲν ἐνδοξοτάτους τῶν πολιτῶν καὶ μάλιστα δυναμένους ποιῆσαί τι τὴν πόλιν ἀγαθόν, ὀλιγαρχίαν ὀνειδίζοντες καὶ λακωνισμόν, οὐ πρότερον ἐπαύσαντο πρὶν ἠνάγκασαν ὁμοίους γενέσθαι ταῖς αἰτίαις ταῖς λεγομέναις περὶ αὐτῶν; τοὺς δὲ συμμάχους λυμαινόμενοι καὶ συκοφαντοῦντες, καὶ τοὺς βελτίστους ἐκ τῶν ὄντων ἐκβάλλοντες, οὕτω διέθεσαν ὥσθ' ἡμῶν μὲν b ἀποστῆναι, τῆς δὲ Λακεδαιμονίων ἐρασθῆναι φιλίας καὶ συμμαχίας; (319) ἐξ ὧν εἰς πόλεμον καταστάντες πολλοὺς ἐπείδομεν τῶν πολιτῶν τοὺς μὲν τελευτήσαντας, τοὺς δ' ἐπὶ τοῖς πολεμίοις γενομένους, τοὺς δ' εἰς ἔνδειαν τῶν ἀναγκαίων καταστάντας, ἔτι δὲ τὴν δημοκρατίαν δὶς καταλυθεῖσαν καὶ τὰ τείχη τῆς πατρίδος κατασκαφέντα, τὸ δὲ μέγιστον, ὅλην τὴν πόλιν περὶ ἀνδραποδισμοῦ κινδυνεύσασαν καὶ τὴν ἀκρόπολιν τοὺς πολεμίους c οἰκήσαντας.

320. Ἀλλὰ γὰρ αἰσθάνομαι, καίπερ ὑπὸ τῆς ὀργῆς βίᾳ φερόμενος, τὸ μὲν ὕδωρ ἡμᾶς ἐπιλεῖπον, αὐτὸς δ' ἐμπεπτωκὼς εἰς λόγους ἡμερησίους καὶ κατηγορίας. Ὑπερβὰς οὖν τὸ πλῆθος τῶν συμφορῶν τῶν διὰ τούτους γεγενημένων, καὶ διωσάμενος τὸν ὄχλον τῶν ἐνόντων εἰπεῖν περὶ τῆς τούτων συκοφαντίας, μικρῶν ἔτι πάνυ μνησθεὶς ἤδη καταλύσω τὸν λόγον. (321) Τοὺς μὲν d οὖν ἄλλους ὁρῶ τοὺς κινδυνεύοντας, ἐπειδὰν περὶ τὴν τελευτὴν ὦσι τῆς ἀπολογίας, ἱκετεύοντας, δεομένους, τοὺς παῖδας, τοὺς φίλους ἀναβιβαζομένους· ἐγὼ δ' οὔτε πρέπειν οὐδὲν ἡγοῦμαι τῶν τοιούτων τοῖς τηλικούτοις, πρός τε τῷ ταῦτα γιγνώσκειν, αἰσχυνθείην ἄν, εἰ δι' ἄλλο τι σῳζοίμην ἢ διὰ τοὺς λόγους τοὺς προειρημένους. Οἶδα γὰρ ἐμαυτὸν οὕτως ὁσίως καὶ δικαίως κεχρημένον e αὐτοῖς καὶ περὶ τὴν πόλιν καὶ περὶ τοὺς προγόνους καὶ μάλιστα περὶ τοὺς θεούς, ὥστε, εἴ τι μέλει τῶν ἀνθρωπίνων αὐτοῖς πραγμάτων, οὐδὲ τῶν νῦν περὶ ἐμὲ γιγνο- 346 μένων οὐδὲν αὐτοὺς οἶμαι λανθάνειν. (322) Διόπερ οὐχ ὀρρωδῶ τὸ μέλλον συμβήσεσθαι παρ' ὑμῶν, ἀλλὰ θαρρῶ καὶ πολλὰς ἐλπίδας ἔχω τότε μοι τοῦ βίου τὴν τελευτὴν ἥξειν, ὅταν μέλλῃ συνοίσειν ἡμῖν, σημείῳ χρώμενος ὅτι καὶ τὸν παρελθόντα χρόνον οὕτω τυγχάνω βεβιωκὼς

mandetis et iisdem legumlatoribus utamini. Atqui decebat eos nunc in odio majore esse quam olim. (316) Tunc enim in pervulgatis solum negotiis nostræ urbis et subinde in orbem redeuntibus nocebant civibus; nunc vero auctis urbis opibus et imperio impetrato, patres nostri audaciores facti quam oportuit, viris bonis ac præstantibus, quorum virtute respublica est amplificata, quam consecuti sunt auctoritatem inviderunt et homines improbos audaciaque plenos expetiverunt, (317) opinati eos, quod et audaces sint et nullas inimicitias reformident, popularem statum posse tueri, et quum ex infimo loco emerserint, non superbos aut novarum rerum fore studiosos: ex hac mutatione quæ pericula in urbem non inciderunt, quæque maxima mala istis ingeniis homines dicendo aut agendo in rempublicam non invexerunt? (318) nonne laudatissimis civibus et reipublicæ maxime profuturis oligarchiæ et Laconum studium objicientes non prius destiterunt, quam eos perpulissent ut objecta crimina vere in se admitterent, et tales fierent, quales esse ab accusatoribus dictitabantur? socios vero vexando et calumniando et optimos quosque re familiari spoliando nonne eo redegerunt, ut a nobis alienati ac repulsi Lacedæmoniorum amicitiam et societatem adamarint? (319) Quibus de rebus bello nobis concitato, multos civium conspeximus partim trucidatos, partim captos ab hostibus, partim rei familiaris penuria oppressos, atque etiam popularem statum bis abrogatum et patriæ mœnia diruta, et quod maximum est, urbem in periculum servitutis et excidii adductam, et arcem ab hostibus habitatam.

320. Sed enim sentio, quanquam efferor iracundia, aquam nos deficere, atque incidisse me in materiam quæ totum diem postularet, et ad accusationem esse delapsum. Præterita igitur hac multitudine calamitatum, quarum isti auctores fuere, et rejecta molestia et turba eorum quæ de istorum calumniis dici possent, paucis omnino adjectis orationem concludam. (321) Alios quidem reos video, ubi jam defensionis finem attigerunt, supplicare, obtestari, liberos suos atque amicos ad deprecandum producere: ego vero neque decere quicquam istius generis hanc meam ætatem existimo, et præter hoc quod ita sentio, etiam erubescerem, si alia res saluti ac præsidio mihi fuisset, quam orationes ante a me recitatæ. Scio enim me ita sancte et juste locutum esse tum de republica, tum de majoribus nostris, tum inprimis de numinibus, ut, si qua illis rerum humanarum cura est, nec ea quæ mihi nunc accidunt, ab iis ignorari putem. (322) Quare nihil exhorresco, quicquid de me statueritis, sed confido, et in spe optima sum, mihi tunc ultimum vitæ diem adventurum, quando id nobis expediet, hoc signo adductus, quod hactenus etiam in hunc usque diem ita vixi,

μέχρι ταύτης τῆς ἡμέρας, ὥσπερ προσήκει τοὺς εὐσεβεῖς καὶ θεοφιλεῖς τῶν ἀνθρώπων. (323) Ὡς οὖν ἐμοῦ ταύτην ἔχοντος τὴν γνώμην, καὶ νομίζοντος ὅ τι ἂν ὑμῖν δόξῃ, τοῦθ' ἕξειν μοι καλῶς καὶ συμφερόντως, ὅπως ἕκαστος ὑμῶν χαίρει καὶ βούλεται, τοῦτον τὸν τρόπον φερέτω τὴν ψῆφον.

quemadmodum pios homines vivere decet, quorum diis mutua cura est. (323) De me igitur, ut qui hoc animo sim quique existimem, quicquid vobis visum fuerit, id e re mea futurum, ut libitum placitumque fuerit, ita vestrûm quisque suffragium ferat.

16.

ΠΕΡΙ ΤΟΥ ΖΕΥΓΟΥΣ.

347 Περὶ μὲν οὖν τοῦ ζεύγους τῶν ἵππων, ὡς οὐκ ἀφελόμενος ὁ πατὴρ Τισίαν εἶχεν, ἀλλὰ πριάμενος παρὰ (a) τῆς πόλεως τῶν Ἀργείων, τῶν τε πρέσβεων τῶν ἐκεῖθεν ἡκόντων καὶ τῶν ἄλλων τῶν εἰδότων ἀκηκόατε μαρτυρούντων· τὸν αὐτὸν δὲ τρόπον ἅπαντές εἰσιν εἰθισμένοι με συκοφαντεῖν. (2) Τὰς μὲν γὰρ δίκας ὑπὲρ τῶν ἰδίων ἐγκλημάτων λαγχάνουσι, τὰς δὲ κατηγορίας (b) ὑπὲρ τῶν τῆς πόλεως πραγμάτων ποιοῦνται, καὶ πλείω χρόνον διατρίβουσι τὸν πατέρα μου διαβάλλοντες ἢ περὶ ὧν ἀντώμοσαν διδάσκοντες, καὶ τοσοῦτον καταφρονοῦσι τῶν νόμων, ὥστε περὶ ὧν ὑμᾶς ὑπ' ἐκείνου φασὶν ἠδικῆσθαι, τούτων αὐτοὶ δίκην παρ' ἐμοῦ λαβεῖν ἀξιοῦσιν. (3) Ἐγὼ δ' ἡγοῦμαι μὲν οὐδὲν προσήκειν τὰς κοινὰς αἰτίας τοῖς ἰδίοις ἀγῶσιν· ἐπειδὴ δὲ Τισίας πολλάκις ὀνειδίζει μοι τὴν φυγὴν τὴν τοῦ πατρός, καὶ (c) μᾶλλον ὑπὲρ τῶν ὑμετέρων ἢ τῶν αὑτοῦ σπουδάζει πραγμάτων, ἀνάγκη πρὸς ταῦτα τὴν ἀπολογίαν ποιεῖσθαι· καὶ γὰρ ἂν αἰσχυνοίμην, εἴ τῳ δόξαιμι τῶν πολιτῶν ἧττον φροντίζειν τῆς ἐκείνου δόξης ἢ τῶν ἐμαυτοῦ κινδύνων.

4. Πρὸς μὲν οὖν τοὺς πρεσβυτέρους βραχὺς ἂν ἐξήρκει λόγος· ἅπαντες γὰρ ἴσασιν ὅτι διὰ τοὺς αὐτοὺς ἄνδρας ἥ τε δημοκρατία κατελύθη κἀκεῖνος ἐκ τῆς πόλεως ἐξέπεσεν· τῶν δὲ νεωτέρων ἕνεκα, οἳ τῶν μὲν (d) πραγμάτων ὕστεροι γεγόνασι, τῶν δὲ διαβαλλόντων πολλάκις ἀκηκόασι, πορρωτέρωθεν ἄρξομαι διδάσκειν.

5. Οἱ γὰρ τὸ πρῶτον ἐπιβουλεύσαντες τῷ δήμῳ καὶ καταστήσαντες τοὺς τετρακοσίους, ἐπειδὴ παρακαλούμενος ὁ πατὴρ οὐκ ἤθελε γενέσθαι μετ' αὐτῶν, ὁρῶντες αὐτὸν καὶ πρὸς τὰς πράξεις ἐρρωμένως ἔχοντα καὶ πρὸς τὸ πλῆθος πιστῶς διακείμενον, οὐχ ἡγοῦντ' οὐδὲν οἷοίτ' εἶναι κινεῖν τῶν καθεστώτων, πρὶν ἐκποδὼν ἐκεῖνος (e) αὐτοῖς γένοιτο. (6) Εἰδότες δὲ τὴν πόλιν τῶν μὲν περὶ τοὺς θεοὺς μάλιστ' ἂν ὀργισθεῖσαν εἴ τις εἰς τὰ μυστήρια φαίνοιτ' ἐξαμαρτάνων, τῶν δ' ἄλλων εἴ τις τὴν δημοκρατίαν τολμῴη καταλύειν, ἀμφοτέρας ταύτας συν-

348 θέντες τὰς αἰτίας εἰσήγγελλον εἰς τὴν βουλήν, λέγοντες (a) ὡς ὁ πατὴρ μὲν συνάγοι τὴν ἑταιρείαν ἐπὶ νεωτέροις πράγμασιν, οὗτοι δ' ἐν τῇ Πουλυτίωνος οἰκίᾳ συνδειπνοῦντες τὰ μυστήρια ποιήσειαν. (7) Ὀρθῆς δὲ τῆς πόλεως γενομένης διὰ τὸ μέγεθος τῶν αἰτιῶν, καὶ διὰ ταχέων συλλεγείσης ἐκκλησίας, οὕτω σαφῶς ἐπέδειξεν αὐτοὺς ψευδομένους, ὥστε παρὰ μὲν τῶν κατηγόρων ἡδέως ἂν ὁ δῆμος

16.

ORATIO DE BIGIS.

[*Desunt quædam.*] De jugo igitur equorum, patrem meum eos habuisse non Tisiæ ereptos, sed de civitate Argivorum emptos tam e legatorum qui illinc venerunt, quam ex ceterorum, qui rem noverunt, testimoniis audivistis. Omnes autem eodem modo me calumniari solent. (2) Quum enim de privatis negotiis me in jus vocent, de rebus ab rempublicam pertinentibus accusant, et plus temporis consumunt patre meo criminando, quam eo de quo ipsi calumniam juraverunt explicando, et leges usque adeo contemnunt, ut injuriarum, quibus ab eo vos affectos esse dicunt, a me pœnas exigant. (3) Ego vero sic existimo, crimina publica nihil attinere ad privatas controversias. Sed quia Tisias patris exilium sæpe mihi objicit, in exquirendis vestris quam suis rebus curiosior; de his ipsis me purgare necesse habeo : erubescerem enim si cui civium minus de illius existimatione quam de meis periculis sollicitus esse viderer.

4. Ac quod ad seniores attinet, res paucis absolvi posset : omnes enim sciunt per eosdem viros et popularem statum sublatum esse et patrem meum urbe pulsum : propter juniores autem qui, quum post res illas gestas nati sint, calumniatores sæpe audiverunt, narrationem altius exordiar.

5. Qui populo pridem insidiati sunt et Quadringentos constituerunt, patrem meum ad coeundam secum societatem vocaverunt. Quod quum ille recusasset, quia virum esse videbant in rebus gerendis acrem et populo fidelem, non putarunt se ulla vetera instituta loco movere posse, nisi illum e medio sustulissent. (6) Quia vero sciebant urbem de religione gravissime irasci solere, si quis Cereris initia violasset, cæteris vero in rebus, si popularem statum abrogaret : utrumque crimen hoc commenti detulerunt ad senatum patrem meum arguentes cœtus habere secum ad res novandas, qui quidem in Pulytionis ædibus concœnantes mysteria celebrarent. (7) Urbe igitur propter criminum magnitudinem concitata et concione celeriter convocata, tam evidenter eos mendaciorum coarguit, ut accusatores populus

δίκην ἔλαβε, τὸν δ' εἰς Σικελίαν στρατηγὸν ἐχειροτόνη- [b] σεν. Μετὰ δὲ ταῦθ' ὁ μὲν ἐξέπλευσεν ὡς ἀπηλλαγμένος ἤδη τῆς διαβολῆς, οἱ δὲ συστήσαντες τὴν βουλὴν καὶ τοὺς ῥήτορας ὑφ' αὑτοῖς ποιησάμενοι πάλιν ἤγειρον τὸ πρᾶγμα καὶ μηνυτὰς εἰσέπεμπον. (8) Καὶ τί δεῖ μακρολογεῖν; οὐ γὰρ πρότερον ἐπαύσαντο, πρὶν τόν τε πατέρα ἐκ τοῦ στρατοπέδου μετεπέμψαντο, καὶ τῶν φίλων αὐτοῦ τοὺς μὲν ἀπέκτειναν, τοὺς δ' ἐκ τῆς πόλεως ἐξέβαλον. Πυθόμενος δὲ τήν τε τῶν ἐχθρῶν δύναμιν καὶ [c] τὰς τῶν ἐπιτηδείων συμφοράς, καὶ νομίζων δεινὰ πάσχειν, ὅτι παρόντα μὲν αὐτὸν οὐκ ἔκρινον, ἀπόντος δὲ κατεγίγνωσκον, οὐδ' ὣς ἀπελθεῖν ἠξίωσεν εἰς τοὺς πολεμίους· (9) ἀλλ' ἐκεῖνος μὲν τοσαύτην πρόνοιαν ἔσχεν ὑπὲρ τοῦ μηδὲ φεύγων μηδὲν ἐξαμαρτεῖν εἰς τὴν πόλιν, ὥστ' εἰς Ἄργος ἐλθὼν ἡσυχίαν εἶχεν· οἱ δ' εἰς τοσοῦτον ὕβρεως ἦλθον, ὥστ' ἔπεισαν ὑμᾶς ἐλαύνειν αὐτὸν ἐξ [d] ἁπάσης τῆς Ἑλλάδος καὶ στηλίτην ἀναγράφειν *καὶ πρέσβεις πέμποντας ἐξαιτεῖν παρ' Ἀργείων. Ἀπορῶν δ' ὅ τι χρήσαιτο τοῖς παροῦσι κακοῖς καὶ πανταχόθεν εἰργόμενος, καὶ σωτηρίας οὐδεμιᾶς ἄλλης αὐτῷ φαινομένης, τελευτῶν ἐπὶ Λακεδαιμονίους ἠναγκάσθη καταφυγεῖν.

10. Καὶ τὰ μὲν γενόμενα ταῦτ' ἐστίν· τοσοῦτον δὲ τοῖς ἐχθροῖς τῆς ὕβρεως περίεστιν, ὥστε οὕτως ἀνόμως τοῦ πατρὸς ἐκπεσόντος ὡς δεινὰ δεδρακότος αὐτοῦ κατη- [e] γοροῦσι καὶ διαβάλλειν ἐπιχειροῦσιν, ὡς Δεκέλειάν τ' ἐπετείχισε καὶ τὰς νήσους ἀπέστησε καὶ τῶν πολεμίων διδάσκαλος κατέστη. Καὶ ἐνίοτε μὲν αὐτοῦ προσποιοῦνται καταφρονεῖν, λέγοντες ὡς οὐδὲν διέφερε τῶν ἄλλων, (11) νυνὶ δ' ἁπάντων αὐτὸν τῶν γεγενημένων αἰτιῶνται, καί φασι παρ' ἐκείνου μαθεῖν Λακεδαιμονίους ὡς χρὴ [349a] πολεμεῖν, οἳ καὶ τοὺς ἄλλους διδάσκειν τέχνην ἔχουσιν. Ἐγὼ δ', εἴ μοι χρόνος ἱκανὸς γένοιτο, ῥᾳδίως ἂν αὐτὸν ἐπιδείξαιμι τὰ μὲν δικαίως πράξαντα, τῶν δ' ἀδίκως αἰτίαν ἔχοντα. Πάντων δ' ἂν εἴη δεινότατον, εἰ τοῦ πατρὸς μετὰ τὴν φυγὴν δωρεὰν λαβόντος ἐγὼ διὰ τὴν ἐκείνου φυγὴν ζημιωθείην.

12. Ἡγοῦμαι δ' αὐτὸν παρ' ὑμῶν δικαίως ἂν πλείστης συγγνώμης τυγχάνειν· ὑπὸ γὰρ τῶν τριάκοντ' ἐκπεσόντες ταῖς αὐταῖς ἐκείνῳ συμφοραῖς ἐχρήσασθε. Ἐξ ὧν ἐνθυμεῖσθαι χρὴ πῶς ἕκαστος ὑμῶν διέκειτο [b] καὶ τίνα γνώμην εἶχε καὶ ποῖον κίνδυνον οὐκ ἂν ὑπέμεινεν, ὥστε παύσασθαι μὲν μετοικῶν, κατελθεῖν δ' εἰς τὴν πατρίδα, τιμωρήσασθαι δὲ τοὺς ἐκβαλόντας. (13) Ἐπὶ τίνα δ' ἢ πόλιν ἢ φίλον ἢ ξένον οὐκ ἤλθετε δεησόμενοι συγκαταγαγεῖν ὑμᾶς; τίνος δ' ἀπέσχεσθε πειρώμενοι κατελθεῖν; οὐ καταλαβόντες τὸν Πειραιᾶ καὶ τὸν σῖτον τὸν ἐν τῇ χώρᾳ διεφθείρετε καὶ τὴν γῆν ἐτέμνετε καὶ τὰ προάστεια ἐνεπρήσατε καὶ τελευτῶντες [c] τοῖς τείχεσι προσεβάλετε; (14) καὶ ταῦθ' οὕτω σφόδρ' ἐνομίζετε χρῆναι ποιεῖν, ὥστε τοῖς ἡσυχίαν ἄγουσι τῶν συμφυγάδων μᾶλλον ὠργίζεσθε ἢ τοῖς αἰτίοις τῶν συμφορῶν γεγενημένοις. Ὥστ' οὐκ εἰκὸς ἐπιτιμᾶν τοῖς τῶν αὐτῶν ὑμῖν ἐπιθυμοῦσιν, οὐδὲ κακοὺς ἄνδρας νομί-

libenter pœna affecisset, ipsum vero ducem in Siciliam creavit. Post hæc ipse nave profectus est quasi jam calumnia liberatus. Isti vero senatu sollicitato et oratoribus qui sibi dediti essent comparatis, rem de integro commoverunt et delatores subornarunt. (8) Quid multis opus est? nec enim prius conquierunt, quam et patrem ab exercitu revocassent, et ex ejus amicis alios occidissent, alios urbe ejecissent. Is igitur, audita et inimicorum potentia et familiarium suorum calamitatibus, quamvis indigne secum agi existimans, quod præsens ne in judicium quidem adductus, absens vero condemnatus esset, ne sic tamen ab se impetravit ut ad hostes deficeret, (9) tantaque diligentia cavit ne patriam re ulla vel in exilio offenderet, ut Argos profectus otium egerit. Illi vero tanta insolentia in eum sævierunt, ut persuaderent vobis eum tota Græcia pellendum esse, nomenque statuæ dedecoris causa inscribendum, ipsumque per legatos ab Argivis exposcendum. Quapropter animi dubius quo se in his malis converteret, exclusus undique nullaque spe salutis alibi relicta, tandem ad Lacedæmonios confugere est coactus.

10. Et res quidem sic acta. Inimicorum vero crudelitas usque eo progreditur, ut, quum pater tanta iniquitate pulsus urbe fuerit, eum tamen, quasi summum scelus admisisset, accusent et crimini dare studeant eum et Deceleam contra rempublicam muniisse et insulas ad defectionem impulisse et magistrum hostium exstitisse. Atque alias eum a se contemni simulant, ut qui nihil reliquis antecelluerit; (11) nunc autem omnia quæcumque acta sunt, ei uni ascribunt et ab eo, quo pacto bella gerenda sint, edoctos esse aiunt Lacedæmonios, qui eam artem ipsi alios docere possunt. Ego vero, nisi temporis angustiis excluderer, facile ostenderem eum alia jure egisse, de aliis injuste in crimen vocari. Quid vero fieri queat iniquius, quam, quum pater meus post fugam præmium acceperit, me propter illius exilium plecti?

12. Censeo autem jure illi omnino veniam a vobis esse tribuendam. Nam a triginta tyrannis expulsi iisdem quibus ille malis conflictati estis. Unde in animum revocandum est ut quisque vestrûm affectus fuerit, et quid animi habuerit, et quid periculi non adierit ut ne inquilini loco diutius esse cogeretur, et ut in patriam reversus pœnas de iis sumeret, qui se ejecissent. (13) Quam urbem, quem amicum, quem hospitem non adistis precaturi ut vobis adjumento essent ad patriam recuperandam? quid a vobis ad parandum reditum omissum est? an non occupato Piræeo et segetes vastastis, et agros cæsis arboribus populati estis? non suburbia incendistis? non muros denique oppugnastis? (14) Hæc ita decere atque ex officio facienda censuistis, ut si qui de numero exulum quieti se dedidissent, illis magis irasceremini quam calamitatum auctoribus. Quamobrem culpandi non sunt qui eadem quæ vos concupiverunt, nec in improborum numero habendi viri qui patria

ζειν ὅσοι φυγόντες κατελθεῖν ἐζήτησαν, ἀλλὰ πολὺ d
μᾶλλον ὅσοι μένοντες φυγῆς ἄξια ἐποίησαν· οὐδ᾽ ἐντεῦ-
θεν ἀρξαμένους κρίνειν ὁποῖός τις ἦν ὁ πατὴρ πολίτης,
ὅτ᾽ οὐδὲν αὐτῷ τῆς πόλεως προσῆκεν, (15) ἀλλ᾽ ἐπ᾽
ἐκείνου τοῦ χρόνου σκοπεῖν, οἷος ἦν πρὶν φυγεῖν περὶ τὸ
πλῆθος, καὶ ὅτι διακοσίους ὁπλίτας ἔχων τὰς μεγίστας
πόλεις τῶν ἐν Πελοποννήσῳ Λακεδαιμονίων μὲν ἀπέ-
στησεν, ὑμῶν δὲ συμμάχους ἐποίησε, καὶ εἰς οἵους
κινδύνους αὐτοὺς κατέστησε, καὶ ὡς περὶ Σικελίαν e
ἐστρατήγησεν. Τούτων μὲν γὰρ ἐκείνῳ προσήκει
χάριν ὑμᾶς ἔχειν· τῶν δ᾽ ἐν τῇ συμφορᾷ γενομένων τοὺς
ἐκβαλόντας αὐτὸν δικαίως ἂν αἰτίους νομίζοιτε.

16. Ἀναμνήσθητε δὲ πρὸς ὑμᾶς αὐτούς, ἐπειδὴ κα-
350 τῆλθεν, ὡς πολλ᾽ ἀγαθὰ τὴν πόλιν ἐποίησεν, ἔτι δὲ a
πρότερον, ὡς ἐχόντων τῶν πραγμάτων αὐτὸν κατεδέ-
ξασθε, καταλελυμένου μὲν τοῦ δήμου, στασιαζόντων
δὲ τῶν πολιτῶν, διαφερομένων δὲ τῶν στρατιωτῶν πρὸς
τὰς ἀρχὰς τὰς ἐνθάδε καθεστηκυίας, εἰς τοῦτο δὲ μανίας
ἀμφοτέρων ἀφιγμένων, ὥστε μηδετέροις μηδεμίαν
ἐλπίδ᾽ εἶναι σωτηρίας· (17) οἱ μὲν γὰρ τοὺς ἔχοντας
τὴν πόλιν ἐχθροὺς ἐνόμιζον μᾶλλον ἢ Λακεδαιμονίους, b
οἱ δὲ τοὺς ἐκ Δεκελείας μετεπέμποντο, ἡγούμενοι
κρεῖττον εἶναι τοῖς πολεμίοις τὴν πατρίδα παραδοῦναι
μᾶλλον ἢ τοῖς ὑπὲρ τῆς πόλεως στρατευομένοις τῆς
πολιτείας μεταδοῦναι. (18) Τοιαύτην μὲν οὖν τῶν πο-
λιτῶν γνώμην ἐχόντων, κρατούντων δὲ τῶν πολεμίων
καὶ τῆς γῆς καὶ τῆς θαλάττης, ἔτι δὲ χρημάτων ὑμῖν
μὲν οὐκ ὄντων, ἐκείνοις δὲ βασιλέως παρέχοντος, πρὸς
δὲ τούτοις ἐνενήκοντα νεῶν ἐκ Φοινίκης εἰς Ἄσπενδον c
ἡκουσῶν καὶ παρεσκευασμένων Λακεδαιμονίοις βοηθεῖν,
ἐν τοσαύταις συμφοραῖς καὶ τοιούτοις κινδύνοις τῆς
πόλεως οὔσης, (19) μεταπεμψαμένων αὐτὸν τῶν στρατη-
γῶν οὐκ ἐσεμνύνατο ἐπὶ τοῖς παροῦσιν, οὐδ᾽ ἐμέμψατο
περὶ τῶν γεγενημένων, οὐδ᾽ ἐβουλεύσατο περὶ τῶν
μελλόντων, ἀλλ᾽ εὐθὺς εἵλετο μετὰ τῆς πόλεως ὁτιοῦν
πάσχειν μᾶλλον ἢ μετὰ Λακεδαιμονίων εὐτυχεῖν, καὶ
πᾶσι φανερὸν ἐποίησεν ὅτι τοῖς ἐκβαλοῦσιν ἀλλ᾽ οὐχ d
ὑμῖν ἐπολέμει, καὶ ὅτι κατελθεῖν ἀλλ᾽ οὐκ ἀπολέσαι
τὴν πόλιν ἐπεθύμει. (20) Γενόμενος δὲ μεθ᾽ ὑμῶν ἔπεισε
μὲν Τισσαφέρνην μὴ παρέχειν χρήματα Λακεδαιμο-
νίοις, ἔπαυσε δὲ τοὺς συμμάχους ὑμῶν ἀφισταμένους,
διέδωκε δὲ παρ᾽ αὑτοῦ μισθὸν τοῖς στρατιώταις, ἀπέ-
δωκε δὲ τῷ δήμῳ τὴν πολιτείαν, διήλλαξε δὲ τοὺς πολί-
τας, ἀπέστρεψε δὲ τὰς ναῦς τὰς Φοινίσσας. (21) Καὶ
μετὰ ταῦτα καθ᾽ ἕκαστον μὲν ὅσας τριήρεις ἔλαβεν ἢ e
μάχας ἐνίκησεν ἢ πόλεις κατὰ κράτος εἷλεν ἢ λόγῳ
πείσας φίλας ὑμῖν ἐποίησε, πολὺ ἂν ἔργον εἴη λέγειν·
πλείστων δὲ κινδύνων τῇ πόλει κατ᾽ ἐκεῖνον τὸν καιρὸν
γενομένων, οὐδεπώποτε τοῦ πατρὸς ἡγουμένου τρόπαιον
ὑμῶν ἔστησαν οἱ πολέμιοι.

351 22. Περὶ μὲν οὖν τῶν ἐστρατηγημένων οἶδα μὲν ὅτι a
πολλὰ παραλείπω, διὰ τοῦτο δ᾽ οὐκ ἀκριβῶς εἴρηκα
περὶ αὐτῶν, ὅτι σχεδὸν ἅπαντες μνημονεύετε τὰ πρα-
χθέντα· λοιδοροῦσι δὲ λίαν ἀσελγῶς καὶ θρασέως καὶ

pulsi redire ab exilio studuerunt, sed illi potius, qui quum domi manserint, exilio digna perpetrarunt. Neque inde ordiendum est, si judicare velitis, qualis pater meus civis fuerit, quum urbs jam nihil ad eum attineret, (15) sed illo tempore considerandum qualem erga populum se præbuerit, antequam in exilium actus est, ut, quum ducentos tantum armatos haberet, maximas Peloponnesi urbes a societate Lacedæmoniorum abductas ad vestram societatem adduxerit, quanta illis pericula intulerit, ut in Siciliam exercitum duxerit. Nam ob hæc vos gratiam ei habere debetis; quæ vero in calamitate acciderunt, illis, per quos exactus est, imputare.

16. Memoria repetite quanta post reditum beneficia in rempublicam contulerit, atque illud prius etiam, quo statu rerum eum susceperitis, quum quidem imperium populi abrogatum esset, quum cives factiosi tumultuarentur, quum milites a magistratibus hic constitutis dissiderent, et utrique in eam insaniam incidissent, ut neutris spes ulla salutis relinqueretur. (17) Nam alteri eos qui urbem tenebant, inimiciores sibi putabant, quam Lacedæmonios; alteri eos qui Deceleæ erant, accersebant, existimantes satius esse patriam hostibus tradere, quam eos in civitatem recipere, qui bella pro republica gerebant. (18) Quum igitur hi civium animi essent et hostes terra marique tenerent omnia, atque etiam vos pecunias non haberetis, rex Persarum autem illis affatim suppeditaret, prætereaque nonaginta naves e Phœnice Aspendum venirent paratæ ad opem ferendam Lacedæmoniis: quum igitur in tantis malis, in tantis periculis civitas versaretur, (19) a ducibus accersitus non fastum præ se tulit ob eas res, non ob ante acta succensuit, neque consilium cepit de futuris, sed statim cum republica quidvis perpeti maluit, quam cum Lacedæmoniis esse felicissimus, ac planum fecit omnibus se bellum gessisse cum suis inimicis, non vobiscum, et in urbem redire, non delere urbem voluisse. (20) Vobiscum autem conjunctus et Tissapherni persuasit ne pecunias suppeditaret Lacedæmoniis, et effecit ne socii a vobis desciscere pergerent, et de suo militibus stipendia solvit, et libertatem populo restituit, et cives inter ipsos reconciliavit, et Phœnissas naves avertit. (21) Post hæc vero quot triremes ceperit, quot prælia vicerit, quot urbes vi expugnarit, quam multis oratione vestram amicitiam persuaserit, singulatim enumerare immensi negotii esset. Quum autem urbs illis temporibus plurima prælia commiserit, nunquam tamen patre meo duce hostes tropæum de nobis erexerunt.

22. Ac rerum illius ductu gestarum equidem scio multas me præterire, quas accurate commemorare propterea nolui, quod fere omnes illas meministis. Invadunt vero etiam in privatam patris mei vitam libidinose nimis et confidenter, nec

τὸν ἄλλον βίον τὸν τοῦ πατρός, καὶ οὐκ αἰσχύνονται
τοιαύτῃ παρρησίᾳ χρώμενοι περὶ τοῦ τεθνεῶτος, ἣν
ἔδεισαν ἂν ποιήσασθαι περὶ ζῶντος, (23) ἀλλ' εἰς τοσοῦ-
τον ἀνοίας ἐληλύθασιν, ὥστ' οἴονται καὶ παρ' ὑμῖν καὶ
παρὰ τοῖς ἄλλοις εὐδοκιμήσειν, ἢν ὡς ἂν δύνωνται πλεῖ- b
στα περὶ αὐτοῦ βλασφημήσωσιν, ὥσπερ οὐ πάντας εἰ-
δότας ὅτι καὶ τοῖς φαυλοτάτοις τῶν ἀνθρώπων ἔξεστιν
οὐ μόνον περὶ τῶν ἀνδρῶν τῶν ἀρίστων, ἀλλὰ καὶ περὶ
τῶν θεῶν ὑβριστικοὺς λόγους εἰπεῖν. (24) Ἴσως μὲν
οὖν ἀνόητόν ἐστιν ἁπάντων τῶν εἰρημένων φροντίζειν·
ὅμως δ' οὐχ ἥκιστ' ἐπιθυμῶ περὶ τῶν ἐπιτηδευμάτων
τῶν τοῦ πατρὸς διελθεῖν πρὸς ὑμᾶς, μικρὸν προλαβὼν
καὶ τῶν προγόνων ἐπιμνησθείς, ἵν' ἐπίστησθ' ὅτι πόρ- c
ρωθεν ἡμῖν ὑπάρχει μέγιστα καὶ κάλλιστα τῶν πολι-
τῶν.

25. Ὁ γὰρ πατὴρ πρὸς μὲν ἀνδρῶν ἦν Εὐπατριδῶν,
ὧν τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾴδιον γνῶ-
ναι, πρὸς γυναικῶν δ' Ἀλκμαιωνιδῶν, οἳ τοῦ μὲν πλού-
του μέγιστον μνημεῖον κατέλιπον (ἵππων γὰρ ζεύγει
πρῶτος Ἀλκμαίων τῶν πολιτῶν Ὀλυμπίασιν ἐνίκησε),
τὴν δ' εὔνοιαν ἣν εἶχον εἰς τὸ πλῆθος, ἐν τοῖς τυραν-
νικοῖς ἐπεδείξαντο· συγγενεῖς γὰρ ὄντες Πεισιστράτου, d
καὶ πρὶν εἰς τὴν ἀρχὴν καταστῆναι μάλιστ' αὐτῷ χρώ-
μενοι τῶν πολιτῶν, οὐκ ἠξίωσαν μετασχεῖν τῆς ἐκείνου
τυραννίδος, ἀλλ' εἵλοντο φυγεῖν μᾶλλον ἢ τοὺς πολίτας
ἰδεῖν δουλεύοντας. (26) Τετταράκοντα δ' ἔτη τῆς στά-
σεως γενομένης, ὑπὸ μὲν τῶν τυράννων τοσούτῳ μᾶλ-
λον τῶν ἄλλων ἐμισήθησαν, ὥσθ' ὁπότε τἀκείνων κρα-
τήσειεν, οὐ μόνον τὰς οἰκίας αὐτῶν κατέσκαπτον, ἀλλὰ e
καὶ τοὺς τάφους ἀνώρυττον, ὑπὸ δὲ τῶν συμφυγάδων
οὕτω σφόδρ' ἐπιστεύθησαν, ὥσθ' ἅπαντα τοῦτον τὸν
χρόνον ἡγούμενοι τοῦ δήμου διετέλεσαν. Καὶ τὸ τε-
λευταῖον Ἀλκιβιάδης καὶ Κλεισθένης, ὁ μὲν πρὸς πατρός,
ὁ δὲ πρὸς μητρὸς ὢν πρόπαππος τοῦ πατρὸς τοὐμοῦ,
352 στρατηγήσαντες τῆς φυγῆς κατήγαγον τὸν δῆμον καὶ a
τοὺς τυράννους ἐξέβαλον, (27) καὶ κατέστησαν ἐκείνην
τὴν δημοκρατίαν, ἐξ ἧς οἱ πολῖται πρὸς μὲν ἀνδρείαν
οὕτως ἐπαιδεύθησαν, ὥστε τοὺς βαρβάρους τοὺς ἐπὶ πᾶ-
σαν ἐλθόντας τὴν Ἑλλάδα μόνοι νικᾶν μαχόμενοι, περὶ
δὲ δικαιοσύνης τοσαύτην δόξαν ἔλαβον, ὥσθ' ἑκόντας
αὐτοῖς τοὺς Ἕλληνας ἐγχειρίσαι τὴν ἀρχὴν τῆς θαλάτ-
της, τὴν δὲ πόλιν τηλικαύτην ἐποίησαν καὶ τῇ δυνάμει
καὶ ταῖς ἄλλαις κατασκευαῖς, ὥστε τοὺς φάσκοντας b
αὐτὴν ἄστυ τῆς Ἑλλάδος εἶναι καὶ τοιαύταις ὑπερβο-
λαῖς εἰθισμένους χρῆσθαι δοκεῖν ἀληθῆ λέγειν.

28. Τὴν μὲν οὖν φιλίαν τὴν πρὸς τὸν δῆμον οὕτω
παλαιὰν καὶ γνησίαν καὶ διὰ τὰς μεγίστας εὐεργεσίας
γεγενημένην παρὰ τῶν προγόνων παρέλαβεν· αὐτὸς
δὲ κατελείφθη μὲν ὀρφανός (ὁ γὰρ πατὴρ αὐτοῦ μαχό-
μενος ἐν Κορωνείᾳ τοῖς πολεμίοις ἀπέθανεν), ἐπετρο-
πεύθη δ' ὑπὸ Περικλέους, ὃν πάντες ἂν ὁμολογήσειαν c
καὶ σωφρονέστατον καὶ δικαιότατον καὶ σοφώτατον γε-
νέσθαι τῶν πολιτῶν. Ἡγοῦμαι γὰρ καὶ τοῦτ' εἶναι
τῶν καλῶν, ἐκ τοιούτων γενόμενον ὑπὸ τοιούτοις ἤθεσιν

ea libertate verborum in mortuum invehi dubitant, qua eo vivente uti non auderent; (23) tantaque dementia illum invadunt, ut existiment se tum apud vos, tum apud alios eo majore gloria futuros, quo plura et majora in eum maledicta congesserint: quasi vero quisquam ignoret etiam nequissimis hominibus licere, non de viris tantum præstantissimis, sed de diis etiam immortalibus contumeliose loqui. (24) Fortasse igitur curare sermones omnium dementiæ fuerit; sed tamen vel inprimis cupio de patris moribus ac studiis verba facere apud vos, re paullo altius repetita et mentione majorum facta, ut intelligatis a prima nobis origine maxima inter cives et pulcherrima ornamenta contigisse.

25. Nam pater meus ex Eupatridis fuit, quorum nobilitas de ipso cognomine facile intelligitur; materna stirpe Alcmæonida, qui divitiarum evidentissimum monumentum reliquerunt: Alcmæon enim primus civium Olympiæ bigis equestribus vicit. Benevolentiam autem suam erga populum tyrannicis temporibus declararunt. Quamvis enim cognatione cum Pisistrato conjuncti essent, et priusquam is imperium cepisset, familiarissime illo uterentur; tamen ejus tyrannidis socii ac participes esse noluerunt, sed exulare quam cives servitute oppressos intueri maluerunt; (26) et quum ea seditio per quadraginta durasset annos, tyrannis tanto magis quam ceteri invisi fuerunt, ut eorum factione victoriam adepta non tantum ædes ipsorum diruerentur, sed sepulchra etiam effoderentur; ab exulibus autem tanta eis fides habita est, ut omni eo tempore populi duces fuerint. Postremo Alcibiades et Clisthenes, alter paternus, alter maternus patris mei proavus, imperatores designati ab exilio populum reduxerunt, et tyrannis ejectis, (27) eam democratiam constituerunt, in qua cives ad fortitudinem ita instituti sunt, ut barbaros, qui contra totam Græciam venerant, soli prælio vincerent, justitiæ autem tanta gloria floruerunt, ut ultro eis Græci maris imperium traderent, denique civitatem tantam reddiderunt quum potentia, tum reliquis copiis, ut qui eam astu esse Græciæ dicunt et aliis magnificis verbis ornare solent, vera dicere videantur.

28. Amorem igitur populi tam vetustum et sincerum et beneficiis maximis ortum a majoribus accepit; ipse vero pupillus relictus est: nam pater ejus in Coronensi prælio cum hostibus dimicans ciciderat. Tutorem autem Periclem habuit, quem omnes utique fateantur omnium civium fuisse et modestissimum et justissimum et sapientissimum. Quod ipsum etiam in præclaris habendum esse duco, si cui talibus orto natalibus tam præstans vir et tutor et educator et

ἐπιτροπευθῆναι καὶ τραφῆναι καὶ παιδευθῆναι. (29) Δοκιμασθεὶς δ' οὐχ ἐνδεέστερος ἐγένετο τῶν προειρημένων, οὐδ' ἠξίωσεν αὐτὸς μὲν ῥᾳθύμως ζῆν, σεμνύνεσθαι δ' ἐπὶ ταῖς τῶν προγόνων ἀρεταῖς, ἀλλ' εὐθὺς οὕτω μέγ' ἐφρόνησεν, ὥστ' ᾠήθη δεῖν δι' αὐτὸν καὶ d τἀκείνων ἔργα μνημονεύεσθαι. Καὶ πρῶτον μέν, ὅτε Φορμίων ἐξήγαγεν ἐπὶ Θρᾴκης χιλίους Ἀθηναίων ὁπλίτας, ἐπιλεξάμενος τοὺς ἀρίστους, μετὰ τούτων στρατευσάμενος τοιοῦτος ἦν ἐν τοῖς κινδύνοις, ὥστε στεφανωθῆναι καὶ πανοπλίαν λαβεῖν παρὰ τοῦ στρατηγοῦ. (30) Καίτοι τί χρὴ τὸν τῶν μεγίστων ἐπαίνων ἄξιον; οὐ μετὰ μὲν τῶν βελτίστων ἐκ τῆς πόλεως στρατευόμενον ἀριστείων ἀξιοῦσθαι, πρὸς δὲ τοὺς κρατίστους e τῶν Ἑλλήνων ἀντιστρατηγοῦντ' ἐν ἅπασι τοῖς κινδύνοις αὐτῶν φαίνεσθαι περιγιγνόμενον; Ἐκεῖνος τοίνυν τῶν μὲν νέος ὢν ἔτυχε, τὰ δ' ἐπειδὴ πρεσβύτερος ἦν ἔπραξεν.

353 31. Μετὰ δὲ ταῦτα τὴν μητέρα τὴν ἐμὴν ἔγημεν· a ἡγοῦμαι γὰρ καὶ ταύτην ἀριστεῖον αὐτὸν λαβεῖν. Ὁ γὰρ πατὴρ αὐτῆς Ἱππόνικος, πλούτῳ μὲν πρῶτος ὢν τῶν Ἑλλήνων, γένει δ' οὐδενὸς ὕστερος τῶν πολιτῶν, τιμώμενος δὲ καὶ θαυμαζόμενος μάλιστα τῶν ἐφ' αὑτοῦ, μετὰ προικὸς δὲ πλείστης καὶ δόξης μεγίστης ἐκδιδοὺς τὴν θυγατέρα, καὶ τοῦ γάμου τυχεῖν εὐχομένων μὲν ἁπάντων, ἀξιούντων δὲ τῶν πρώτων, τὸν πατέρα τὸν ἐμὸν ἐξ ἁπάντων ἐκλεξάμενος κηδεστὴν ἐπεθύμησε b ποιήσασθαι.

32. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους ὁρῶν τὴν ἐν Ὀλυμπίᾳ πανήγυριν ὑπὸ πάντων ἀνθρώπων ἀγαπωμένην καὶ θαυμαζομένην, καὶ τοὺς Ἕλληνας ἐπίδειξιν ἐν αὐτῇ ποιουμένους πλούτου καὶ ῥώμης καὶ παιδεύσεως, καὶ τούς τ' ἀθλητὰς ζηλουμένους καὶ τὰς πόλεις ὀνομαστὰς γιγνομένας τὰς τῶν νικώντων, καὶ πρὸς τούτοις ἡγούμενος τὰς μὲν ἐνθάδε λειτουργίας ὑπὲρ τῶν ἰδίων πρὸς τοὺς πολίτας εἶναι, τὰς δ' εἰς ἐκείνην τὴν πανή- c γυριν ὑπὲρ τῆς πόλεως εἰς ἅπασαν τὴν Ἑλλάδα γίγνεσθαι, (33) ταῦτα διανοηθείς, οὐδενὸς ἀφυέστερος οὐδ' ἀρρωστότερος τῷ σώματι γενόμενος, τοὺς μὲν γυμνικοὺς ἀγῶνας ὑπερεῖδεν, εἰδὼς ἐνίους τῶν ἀθλητῶν καὶ κακῶς γεγονότας καὶ μικρὰς πόλεις οἰκοῦντας καὶ ταπεινῶς πεπαιδευμένους, ἱπποτροφεῖν δ' ἐπιχειρήσας, ὃ τῶν εὐδαιμονεστάτων ἔργον ἐστί, φαῦλος δ' οὐδεὶς ἂν ποιήσειεν, οὐ μόνον τοὺς ἀνταγωνιστὰς ἀλλὰ καὶ τοὺς d πώποτε νικήσαντας ὑπερεβάλετο. (34) Ζεύγη γὰρ καθῆκε τοσαῦτα μὲν τὸν ἀριθμόν, ὅσοις οὐδ' αἱ μέγισται τῶν πόλεων ἠγωνίσαντο, τοιαῦτα δὲ τὴν ἀρετήν, ὥστε καὶ πρῶτος καὶ δεύτερος γενέσθαι καὶ τρίτος. Χωρὶς δὲ τούτων ἐν ταῖς θυσίαις καὶ ταῖς ἄλλαις ταῖς περὶ τὴν ἑορτὴν δαπάναις οὕτως ἀφειδῶς διέκειτο καὶ μεγαλοπρεπῶς, ὥστε φαίνεσθαι τὰ κοινὰ τὰ τῶν ἄλλων ἐλάττω e τῶν ἰδίων τῶν ἐκείνου. Κατέλυσε δὲ τὴν θεωρίαν τὰς μὲν τῶν προτέρων εὐτυχίας μικρὰς πρὸς τὰς αὑτοῦ δόξαι ποιήσας, τοὺς δ' ἐφ' αὑτοῦ νικήσαντας παύσας
354 ζηλουμένους, τοῖς δὲ μέλλουσιν ἱπποτροφεῖν οὐδεμίαν a

vitæ magister contigerit. (29) Quum vero adolevisset, a virtute illorum, quos jam diximus, non degeneravit, nec ipse otio ac luxu diffluens majorum virtute gloriari voluit, sed statim tanta fuit magnitudine animi, ut existimaret oportere se propter semetipsum etiam illorum res gestas celebrari. Ac primum quum Phormio mille Athenienses gravis armaturæ contra Thraces duceret, fortissimis delectis, cum his profectus ita se gessit in prœliis, ut corona ornaretur et ab imperatore panoplia donaretur. (30) Enimvero quodnam ejus officium esse credi debet, qui laudes maximas mereatur? an non cum præstantissimis civibus militantem primas ferre et ducentem contra Græcorum fortissimos exercitum in omnibus pugnis exsistere superiorem? At ille alterum adolescens adeptus est, alterum jam natu grandior præstitit.

31. Post hæc matrem meam uxorem duxit: nam et hanc eum præmii loco propter excellentem virtutem accepisse censeo. Cujus pater Hipponicus et opibus primus inter Græcos et genere nemine civium inferior, et suis temporibus in summo honore et admiratione habitus, filiam cum dote maxima et gloria insigni elocaturus, quum quidem omnes optarent nuptias illas, principes vero tantum ambirent, patrem meum delectum ex omnibus generum adjungere desideravit.

32. Circa eadem tempora quum videret Olympicam celebritatem ab omnibus amari maximique fieri, et Græcos ibi et opes suas et vires et ingeniorum dexteritatem ostentare, nec eos tantum qui se ibi bene gessissent, in admiratione esse, sed eorum etiam qui vicissent urbes celebrari, præterea que munera quæ hic obirentur, civibus deberi opinatus pro re familiari ac privata; quæ vero in illam celebritatem conferrentur, ad omnes pertinere Græcos et pro republica nostra fieri: (33) hæc inquam reputans, quamvis nec ingenio nec robore corporis ulli cederet, gymnica tamen certamina despexit, quum sciret pugilum nonnullos et sordido genere ortos et minime liberaliter institutos esse et in obscuris oppidulis habitare; verum ad alendos equos animum adjecit, quod ut beatissimorum munus est, sic nemo humilis præstare queat: nec eos tantum qui tum cum eo contendebant, sed omnes qui unquam vicerant, superavit. (34) Nam et tot bigas immisit, quot bigis ne maximæ quidem urbes certavêrunt, et tam egregias, ut et primus esset et secundus et tertius. Ad hæc in sacrificiis et aliis quos feriæ illæ solemnes requirunt sumptibus tanta fuit ejus liberalitas et magnificentia, ut aliorum publicæ opes illius privatis minores haberentur. Denique sic ab illa festivitate discessit, ut principum virorum felicitas præ ejus gloria parva videretur, et qui eo tempore vicerant, in admiratione esse desinerent, et iis qui in posterum equos alere instituerent, nihil reliqui faceret, quo excellentiam ipsius superarent.

ὑπερβολὴν καταλιπών. (35) Περὶ δὲ τῶν ἐνθάδε χορηγιῶν καὶ γυμνασιαρχιῶν καὶ τριηραρχιῶν αἰσχύνομαι λέγειν· τοσοῦτον γὰρ ἐν τοῖς ἄλλοις διήνεγκεν, ὥσθ' οἱ μὲν ἐνδεεστέρως ἐκείνου λειτουργήσαντες ἐκ τούτων σφᾶς αὐτοὺς ἐγκωμιάζουσιν, ὑπὲρ ἐκείνου δ' εἴ τις καὶ τῶν τηλικούτων χάριν ἀπαιτοίη, περὶ μικρῶν ἂν δόξειε τοὺς λόγους ποιεῖσθαι.

36. Πρὸς δὲ τὴν πολιτείαν, οὐδὲ γὰρ τοῦτο παραλειπτέον b ὥσπερ οὐδ' ἐκεῖνος αὐτῆς ἠμέλησεν, ἀλλὰ τοσούτῳ τῶν μάλιστ' εὐδοκιμησάντων ἀμείνων περὶ τὸν δῆμον γέγονεν, ὅσον τοὺς μὲν ἄλλους εὑρήσεθ' ὑπὲρ αὑτῶν στασιάσαντας, ἐκεῖνον δ' ὑπὲρ ὑμῶν κινδυνεύοντα. Οὐ γὰρ ἀπελαυνόμενος ἀπὸ τῆς ὀλιγαρχίας, ἀλλὰ παρακαλούμενος, ἦν δημοτικός· καὶ πολλάκις ἐκγενόμενον αὐτῷ μὴ μόνον μετ' ὀλίγων τῶν ἄλλων ἄρχειν, ἀλλὰ καὶ τούτων αὐτῶν πλέον ἔχειν, οὐκ ἠθέλησεν, ἀλλ' εἵλεθ' ὑπὸ τῆς πόλεως ἀδικηθῆναι μᾶλλον ἢ τὴν πολιτείαν c προδοῦναι. (37) Καὶ ταῦθ' ἕως μὲν συνεχῶς ἐδημοκρατεῖσθ', οὐδεὶς ἂν ὑμᾶς λέγων ἔπεισεν· νῦν δ' αἱ στάσεις αἱ γενόμεναι σαφῶς ἐπέδειξαν καὶ τοὺς δημοτικοὺς καὶ τοὺς ὀλιγαρχικούς, καὶ τοὺς οὐδετέρων ἐπιθυμοῦντας καὶ τοὺς ἀμφοτέρων μετέχειν ἀξιοῦντας. Ἐν αἷς δὶς ὑπὸ τῶν ἐχθρῶν τῶν ὑμετέρων ἐξέπεσεν· καὶ τὸ μὲν πρότερον, ἐπειδὴ τάχιστ' ἐκεῖνον ἐκποδὼν d ἐποιήσαντο, τὸν δῆμον κατέλυσαν, τὸ δ' ὕστερον οὐκ ἔφθησαν ὑμᾶς καταδουλωσάμενοι, καὶ πρώτου τῶν πολιτῶν αὐτοῦ φυγὴν κατέγνωσαν· οὕτω σφόδρ' ἥ τε πόλις τῶν τοῦ πατρὸς κακῶν ἀπέλαυσε, κἀκεῖνος τῶν τῆς πόλεως συμφορῶν ἐκοινώνησεν. (38) Καίτοι πολλοὶ τῶν πολιτῶν πρὸς αὐτὸν δυσκόλως εἶχον ὡς πρὸς τυραννεῖν ἐπιβουλεύοντα, οὐκ ἐκ τῶν ἔργων σκοποῦντες, ἀλλ' ἡγούμενοι τὸ μὲν πρᾶγμα ὑπὸ πάντων ζηλοῦσθαι, e δύνασθαι δ' ἂν ἐκεῖνον μάλιστα διαπράξασθαι. Διὸ καὶ δικαίως ἂν αὐτῷ πλείω χάριν ἔχοιτε, ὅτι τὴν μὲν αἰτίαν μόνος τῶν πολιτῶν ἄξιος ἦν ταύτην
355 ἔχειν, τῆς δὲ πολιτείας ἴσον ᾤετο δεῖν καὶ τοῖς ἄλλοις a μετεῖναι.

39. Διὰ δὲ τὸ πλῆθος τῶν ἐνόντων εἰπεῖν ὑπὲρ τοῦ πατρὸς ἀπορῶ τίνος ἐν τῷ παρόντι πρέπει μνησθῆναι καὶ ποῖ' αὐτῶν χρὴ παραλιπεῖν· ἀεὶ γάρ μοι δοκεῖ μεῖζον εἶναι τὸ μήπω πεφρασμένον τῶν ἤδη πρὸς ὑμᾶς εἰρημένων. Ἐπεὶ καὶ τοῦθ' ἡγοῦμαι πᾶσιν εἶναι φανερόν, ὅτι τοῦτον ἀναγκαῖόν ἐστιν εὐνούστατον εἶναι ταῖς τῆς πόλεως εὐτυχίαις, ὅτῳ τὸ πλεῖστον μέρος καὶ b τῶν ἀγαθῶν καὶ τῶν κακῶν μέτεστιν. (40) Ἐκείνου τοίνυν εὖ μὲν πραττούσης τῆς πόλεως τίς εὐδαιμονέστερος ἢ θαυμαστότερος ἢ ζηλωτότερος ἦν τῶν πολιτῶν, δυστυχησάσης δὲ τίς ἐλπίδων μειζόνων ἢ χρημάτων πλειόνων ἢ δόξης καλλίονος ἐστερήθη; οὐ τὸ τελευταῖον ἐπειδὴ κατέστησαν οἱ τριάκονθ', οἱ μὲν ἄλλοι τὴν πόλιν ἔφευγον, ἐκεῖνος δ' ἐξ ἁπάσης τῆς Ἑλλάδος ἐξέπεσεν; οὐ Λακεδαιμόνιοι καὶ Λύσανδρος ὁμοίως ἔργον ἐποιήσαντ' ἐκεῖνον ἀποκτεῖναι καὶ τὴν ὑμετέραν καταλῦσαι c δύναμιν, οὐδεμίαν ἡγούμενοι πίστιν ἕξειν παρὰ τῆς

(35) Jam de ejus in hac urbe choregiis et gymnasiarchiis et trierarchiis dicere me pudet. Tantum enim in reliquis excelluit, ut qui tenuius quam ille rem eam administrarint, id ipsum laudi sibi ducant : pro illo autem si quis etiam talium munerum gratiam repetat, de parvis verba facere videri possit.

36. Quod autem ad rempublicam attinet (nec enim hoc prætermittendum est, quemadmodum eam ne ipse quidem neglexit), multo iis etiam, quorum summa gloria est, in populum benevolentior et beneficentior exstitit. Nam alios propter semetipsos seditiones excitasse, ipsum vero pro vobis pericula subisse reperietis. Non enim quod repelleretur ab oligarchia, sed quum ad eam accerseretur, popularis fuit, et quum sæpe licuisset non tantum aliis imperare cum paucis, sed illis ipsis etiam plus posse, tamen noluit, ac potius esse duxit injuriis a civitate affici, quam rempublicam prodere. (37) Atque hæc, dum summa rerum adhuc penes populum esset, persuadere vobis nemo potuisset : nunc factæ seditiones perspicue ostenderunt qui oligarchici, qui populares, qui neutrius status appetentes, qui utriusque cupidi fuerint. In his seditionibus bis a vestris inimicis pulsus est : atque in priore, quum primum eum removissent, populi per eos prostrata est autoritas; in posteriore statim post vestri oppressionem primus ipse fuit quem exilio mulctarint : usque adeo et urbs mala patris mei perpessa est, et in illius caput publicæ urbis calamitates redundarunt. (38) Enimvero multi civium ei infensi fuerunt, tanquam regnum per insidias affectanti, non quod factis suis ejus rei suspicionem daret, sed quia putabant, quum ipsam rem omnibus expetendam videri, tum eam ejus esse potentiam, ut ea facillime ipse potiretur. Quo majorem ei merito gratiam haberetis, quod quum solus civium is esset, in quem ea suspicio cadere videretur, pari tamen in republica æquoque jure cum ceteris vivere voluit.

39. Tam multa porro sunt quæ pro patre meo dicam, ut dubitem cujus nunc mentio facienda, quæ prætermittenda sint : semper enim ea majora mihi videntur quæ nondum exposita sunt, iis quæ jam apud vos diximus. Nam illud quoque nemini dubium esse arbitror, quin eum necesse sit rebus secundis civitatis maxime gaudere, ad quem pars maxima bonorum et malorum una pertinet. (40) Quis autem florente republica inter omnes cives eo fuit vel felicior vel admirabilior vel fortunatior? quis eadem afflicta vel spe majore vel pluribus opibus vel ampliore gloria est orbatus? an non postremo triginta tyrannis imperantibus alii urbe tantum exularunt, ille vero tota Græcia exterminatus est? an non Lacedæmonii et Lysander non minus laborarunt de eo perimendo quam de imperio vobis adimendo, existimantes muris etiam dirutis se nostræ urbi fidere nihil posse,

πόλεως, εἰ τὰ τείχη καταβάλοιεν, εἰ μὴ καὶ τὸν ἀναστῆσαι δυνάμενον ἀπολέσαιεν; (41) ὥστ' οὐ μόνον ἐξ ὧν ὑμᾶς εὖ πεποίηκεν, ἀλλὰ καὶ ἐξ ὧν δι' ὑμᾶς κακῶς πέπονθε, ῥᾴδιον γνῶναι τὴν εὔνοιαν τὴν ἐκείνου. Φαίνεται γὰρ τῷ δήμῳ βοηθῶν, τῆς αὐτῆς πολιτείας ὑμῖν ἐπιθυμῶν, ὑπὸ τῶν αὐτῶν κακῶς πάσχων, ἅμα τῇ πόλει δυστυχῶν, τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους ὑμῖν [d] νομίζων, ἐκ παντὸς τρόπου κινδυνεύων τὰ μὲν ὑφ' ὑμῶν, τὰ δὲ δι' ὑμᾶς, τὰ δ' ὑπὲρ ὑμῶν, τὰ δὲ μεθ' ὑμῶν, (42) ἀνόμοιος πολίτης Χαρικλεῖ τῷ τούτου κηδεστῇ γεγενημένος, ὃς τοῖς μὲν πολεμίοις δουλεύειν ἐπεθύμει, τῶν δὲ πολιτῶν ἄρχειν ἠξίου, καὶ φεύγων μὲν ἡσυχίαν εἶχε, κατελθὼν δὲ κακῶς ἐποίει τὴν πόλιν. Καίτοι πῶς ἂν γένοιτο ἢ φίλος πονηρότερος ἢ ἐχθρὸς ἐλάττονος ἄξιος; (43) Εἶτα σὺ κηδεστὴς μὲν ὢν ἐκείνου, βεβου- [e] λευκὼς δ' ἐπὶ τῶν τριάκοντα, τολμᾷς ἑτέροις μνησικακεῖν, καὶ οὐκ αἰσχύνει τὰς συνθήκας παραβαίνων, δι' ἃς αὐτὸς οἰκεῖς τὴν πόλιν, οὐδ' ἐνθυμεῖ διότι, ὁπόταν [336] δόξῃ τῶν παρεληλυθότων τιμωρίαν ποιεῖσθαι, σοὶ καὶ [a] προτέρῳ καὶ μᾶλλον ἢ ἐμοὶ κινδυνεύειν ὑπάρχει; (44) οὐ γὰρ δήπου παρ' ἐμοῦ μὲν ὑπὲρ ὧν ὁ πατὴρ ἔπραξε δίκην λήψονται, σοὶ δὲ καὶ ὧν αὐτὸς ἡμάρτηκας συγγνώμην ἕξουσιν. Ἀλλὰ μὴν οὐδ' ὁμοίας ἐκείνῳ φανήσει τὰς προφάσεις ἔχων· οὐ γὰρ ἐκπεσὼν ἐκ τῆς πατρίδος ἀλλὰ συμπολιτευόμενος, οὐδ' ἀναγκασθεὶς ἀλλ' ἑκών, οὐδ' ἀμυνόμενος ἀλλ' ὑπάρχων ἠδίκεις αὐτούς, ὥστ' οὐδ' [b] ἀπολογίας σοι προσήκει τυχεῖν παρ' αὐτῶν.

45. Ἀλλὰ γὰρ περὶ μὲν τῶν Τισίᾳ πεπολιτευμένων ἴσως ποτ' ἐν τοῖς τούτου κινδύνοις ἐγγενήσεται καὶ διὰ μακροτέρων εἰπεῖν· ὑμᾶς δ' ἀξιῶ μὴ προέσθαι με τοῖς ἐχθροῖς, μηδ' ἀνηκέστοις συμφοραῖς περιβαλεῖν. Ἱκανῶς γὰρ καὶ νῦν πεπείραμαι κακῶν, ὃς εὐθὺς μὲν γενόμενος ὀρφανὸς κατελείφθην, τοῦ μὲν πατρὸς φυγόντος, τῆς δὲ μητρὸς τελευτησάσης, οὔπω δὲ τέτταρα ἔτη [c] γεγονὼς διὰ τὴν τοῦ πατρὸς φυγὴν περὶ τοῦ σώματος εἰς κίνδυνον κατέστην, ἔτι δὲ παῖς ὢν ὑπὸ τῶν τριάκοντα ἐκ τῆς πόλεως ἐξέπεσον. (46) Κατελθόντων δὲ τῶν ἐκ Πειραιέως, καὶ τῶν ἄλλων κομιζομένων τὰς οὐσίας, ἐγὼ μόνος τὴν γῆν, ἣν ἡμῖν ἀπέδωκεν ὁ δῆμος ἀντὶ τῶν δημευθέντων χρημάτων, διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἀπεστερήθην. Τοσαῦτα δὲ δεδυστυχηκὼς καὶ δὶς τὴν οὐσίαν ἀπολωλεκὼς νυνὶ πέντε ταλάντων φεύγω [d] δίκην. Καὶ τὸ μὲν ἔγκλημά ἐστι περὶ χρημάτων, ἀγωνίζομαι δ' εἰ χρὴ μετεῖναί μοι τῆς πόλεως. (47) Τῶν γὰρ αὐτῶν τιμημάτων ἐπιγεγραμμένων οὐ περὶ τῶν αὐτῶν ἅπασιν ὁ κίνδυνός ἐστιν, ἀλλὰ τοῖς μὲν χρήματα κεκτημένοις περὶ ζημίας, τοῖς δ' ἀπόρως ὥσπερ ἐγὼ διακειμένοις περὶ ἀτιμίας, ἣν ἐγὼ φυγῆς μείζω συμφορὰν νομίζω· πολὺ γὰρ ἀθλιώτερον παρὰ τοῖς [e] αὑτοῦ πολίταις ἠτιμωμένον οἰκεῖν ἢ παρ' ἑτέροις μετοικεῖν. (48) Δέομαι οὖν ὑμῶν βοηθῆσαί μοι, καὶ μὴ περιιδεῖν ὑπὸ τῶν ἐχθρῶν ὑβρισθέντα μηδὲ τῆς πατρίδος στερηθέντα μηδ' ἐπὶ τοιαύταις τύχαις περίβλεπτον γενόμενον. Δικαίως δ' ἂν ὑφ' ὑμῶν ἐξ αὐτῶν τῶν ἔργων

nisi illum etiam perdidissent, qui eos instaurare posset? (41) Quare non ex ejus beneficiis modo, sed etiam ex infortuniis, quæ propter vos tulit, ejus benevolentia facile perspicitur. Apparet enim eum populo suppetias tulisse, formam reipublicæ vobiscum eandem expetivisse, ab iisdem afflictum esse, una cum civitate fortunam adversam habuisse, eosdem quos vos et amicos et inimicos judicasse, omnis generis periculis functum partim per vos, partim propter vos, partim pro vobis, partim vobiscum, (42) eoque fuisse civem omnino dissimilem Charicli, istius affini, qui servire hostibus, civibus imperare voluit, qui otium in exilio egit, in patriam restitutus urbem afflixit. Quis autem esse queat vel amicus nequior vel hostis magis contemnendus? (43) Tu tamen quum sis affinis illius et sub triginta tyrannis senator fueris, alios incessere non dubitas ac vetera vulnera refricare? neque te pudet ea fœdera violare, quorum beneficio tu in urbe manes? Non cogitas, si decretum fuerit ut veteres offensæ vindicentur; tibi et ante me et majora pericula fore subeunda? (44) nec enim scilicet paternorum delictorum ego pœnas dabo; tibi vero tuorum facinorum gratia fiet. At vero non easdem tibi fuisse causas facile apparet. Non enim patria pulsus, sed rempublicam una gerens; neque coactus, sed ultro; neque ultor, sed auctor injuriarum cives violasti. Quare ne defensionem quidem ab judicibus te impetrare decet.

45. Sed de iis quæ a Tisia gesta sunt, fortasse aliquando in istius periculis dabitur uberior dicendi locus. A vobis autem peto, ne me inimicis omni præsidio destitutum prædæ esse patiamini neque exitio tradatis. Nam ante plus satis malorum perpessus sum, qui quidem quum primum in lucem prodii, orbus sum relictus patre acto in exilium, matre mortua, et annos nondum quattuor natus in vitæ periculo fui, ac puer adhuc a triginta tyrannis urbe sum ejectus. (46) Quum ii vero qui in Piræeum confugerant, redissent aliique suas opes recuperarent, ego solus agro, quem nobis populus pro publicatis pecuniis dederat, inimicorum violentia sum spoliatus. Tot igitur calamitatibus conflictatus et bis amissa re familiari, nunc de quinque talentis causam dico. Et actio quidem instituta est de pecuniis; revera autem id agitur, an in civitate mihi manere liceat. (47) Eædem enim mulctæ quum in tabulas publicas referuntur, non omnes tamen iisdem de rebus in periculum vocantur. Nam divitum quidem de pecunia agitur; inopes vero, qualis ego sum, de civitatis jure periclitantur, cujus jacturam exilio acerbiorem duco. Multo enim miserius est, apud suos cives jure diminuto vivere, quam apud alios agere inquilinum. (48) Vos igitur oro, ut me juvetis, neque ab inimicis contumeliose vexari aut patria spoliari aut hujusmodi cladibus nobilitari patiamini Jure autem res ipsæ mihi a vobis commiserationem

357 ἐλεηθείην, εἰ καὶ τῷ λόγῳ τυγχάνω μὴ δυνάμενος ἐπὶ a τοῦθ' ὑμᾶς ἄγειν, εἴπερ χρὴ τούτους ἐλεεῖν, τοὺς ἀδίκως μὲν κινδυνεύοντας, περὶ δὲ τῶν μεγίστων ἀγωνιζομένους, ἀναξίως δ' αὑτῶν καὶ τῶν προγόνων πράττοντας, πλείστων δὲ χρημάτων ἀπεστερημένους καὶ μεγίστῃ μεταβολῇ τοῦ βίου κεχρημένους.

49. Πολλὰ δ' ἔχων ἐμαυτὸν ὀδύρασθαι μάλιστ' ἐπὶ τούτοις ἀγανακτῶ, πρῶτον μὲν εἰ τούτῳ δώσω δίκην παρ' οὗ λαβεῖν μοι προσήκει, δεύτερον δ' εἰ διὰ τὴν b τοῦ πατρὸς νίκην τὴν Ὀλυμπίασιν ἀτιμωθήσομαι, δι' ἣν τοὺς ἄλλους ὁρῶ δωρεὰν λαμβάνοντας, πρὸς δὲ τούτοις εἰ Τισίας μὲν μηδὲν ἀγαθὸν ποιήσας τὴν πόλιν καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ μέγα δυνήσεται, ἐγὼ δ' εἰ μηδετέρους ἀδικήσας ὑπ' ἀμφοτέρων κακῶς πείσομαι, καὶ περὶ μὲν τῶν ἄλλων τἀναντία τοῖς τριάκοντα πράξετε, περὶ δ' ἐμοῦ τὴν αὐτὴν ἐκείνοις γνώμην c ἕξετε, καὶ τότε μὲν μεθ' ὑμῶν, νῦν δ' ὑφ' ὑμῶν τῆς πόλεως στερήσομαι.

impetrent, etiamsi ego vos eo deducere verbis non possim, si modo commiseratione digni sunt qui nullo suo merito periclitantur, ac maximis de rebus in discrimen vocantur, et fortuna tum se, tum suis majoribus indigna premuntur, et maximis opibus spoliati maximam vitæ mutationem experiuntur.

49. Quanquam autem multa mihi sunt quæ deplorem, ob hæc potissimum tamen indignor, primum si huic pœnas dare cogar, de quo ego sumere debeam; deinde, si propter Olympicam patris victoriam ignominia notabor, ob quam aliis præmia dari video: præterea si Tisias, nunquam de republica bene meritus, et in democratia et in oligarchia magnus ac potens erit; ego quum neutros offenderim, ab utrisque male tractabor; si vos in aliis quidem actionibus diversam a triginta tyrannis rationem secuturi, in me eodem animo, quo illi fuerunt, eritis, egoque tum quidem vobiscum, nunc autem per vos civitate exterminabor.

17.

ΤΡΑΠΕΖΙΤΙΚΟΣ.

358 Ὁ μὲν ἀγών μοι μέγας ἐστίν, ὦ ἄνδρες δικασταί· a οὐ γὰρ μόνον περὶ πολλῶν χρημάτων κινδυνεύω, ἀλλὰ καὶ περὶ τοῦ μὴ δοκεῖν ἀδίκως τῶν ἀλλοτρίων ἐπιθυμεῖν· ὃ ἐγὼ περὶ πλείστου ποιοῦμαι. Οὐσία μὲν γὰρ ἱκανή μοι καταλειφθήσεται καὶ τούτων στερηθέντι· εἰ δὲ δόξω μηδὲν προσῆκον τοσαῦτα χρήματα ἐγκαλέσαι, διαβληθείην ἂν τὸν ἅπαντα βίον.

2. Ἔστι δ', ὦ ἄνδρες δικασταί, πάντων χαλεπώτατον b τοιούτων ἀντιδίκων τυχεῖν. Τὰ μὲν γὰρ συμβόλαια τὰ πρὸς τοὺς ἐπὶ ταῖς τραπέζαις ἄνευ μαρτύρων γίγνεται, τοῖς ἀδικουμένοις δὲ πρὸς τοιούτους ἀνάγκη κινδυνεύειν, οἳ καὶ φίλους πολλοὺς κέκτηνται καὶ χρήματα πολλὰ διαχειρίζουσι καὶ πιστοὶ διὰ τὴν τέχνην δοκοῦσιν εἶναι. Ὅμως δὲ καὶ τούτων ὑπαρχόντων ἡγοῦμαι φανερὸν πᾶσι ποιήσειν ὅτι ἀποστεροῦμαι τῶν χρημάτων c ὑπὸ Πασίωνος.

3. Ἐξ ἀρχῆς οὖν ὑμῖν διηγήσομαι τὰ πεπραγμένα. Ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, πατὴρ μέν ἐστι Σωπαῖος, ὃν οἱ πλέοντες εἰς τὸν Πόντον ἅπαντες ἴσασιν
359 οὕτως οἰκείως πρὸς Σάτυρον διακείμενον, ὥστε πολλῆς a μὲν χώρας ἄρχειν, ἁπάσης δὲ τῆς δυνάμεως ἐπιμελεῖσθαι τῆς ἐκείνου. (4) Πυνθανόμενος δὲ καὶ περὶ τῆσδε τῆς πόλεως καὶ περὶ τῆς ἄλλης Ἑλλάδος ἐπεθύμησ' ἀποδημῆσαι. Γεμίσας οὖν ὁ πατήρ μου δύο ναῦς σίτου καὶ χρήματα δοὺς ἐξέπεμψεν ἅμα κατ' ἐμπορίαν καὶ κατὰ θεωρίαν. Συστήσαντος δέ μοι Πυθοδώρου τοῦ Φοίνικος Πασίωνα, ἐχρώμην τῇ τούτου τραπέζῃ. (5) Χρόνῳ δ' ὕστερον διαβολῆς πρὸς Σάτυρον γενομένης, b ὡς ὁ πατὴρ οὑμὸς ἐπιβουλεύοι τῇ ἀρχῇ κἀγὼ τοῖς φυγάσι συγγιγνοίμην, τὸν μὲν πατέρα μου συλλαμβάνει, ἐπιστέλλει δὲ τοῖς ἐνθάδ' ἐπιδημοῦσιν ἐκ τοῦ Πόντου τά τε χρήματα παρ' ἐμοῦ παραλαβεῖν καὶ αὐτὸν εἰσ-

17.

TRAPEZITICUS.

Magna mea res agitur, judices. Nec enim tantum de magnis pecuniis in discrimen venio, sed existimatio quoque mea, quam ego maximi facio, periclitatur, ne aliena injuste concupiscere videar. Satis enim opum etiam his fraudato mihi relinquetur: sed si absque justa causa tantam pecuniam petere videbor, ea res perpetuæ mihi infamiæ fuerit.

2. Est autem, judices, incommodissimum, in tales incidere adversarios. Nam quicquid cum mensariis agitur, fit sine testibus; at, si quis ab eis circumventus fuerit, adversus eos experiri cogitur, qui et amicos multos habent et multas pecunias tractant et propter artem boni viri ac fide digni existimantur. Quæ quum ita sint, tamen me perspicue probaturum confido a Pasione me tanta pecunia fraudari.

3. Quare ab initio vobis rem omnem recensebo. Mihi, judices, pater Sopæus est, quem omnes qui in Pontum navigant, ita familiarem Satyro esse norunt, ut et amplam provinciam gubernet et toti illius exercitui præsit. (4) Ego vero quum et de hac urbe et de reliqua Græcia audirem, peregre abire desideravi. Pater igitur duabus navibus frumento plenis pecuniaque data me ablegavit simul et mercandi et spectandi gratia; et quia Pythodorus Phœnix Pasionem mihi commendarat, ejus mensa utebar. (5) Aliquanto post quum pater meus regni affectati apud Satyrum accusatus esset, egoque cum exulibus conspirasse dicerer, Satyrus et patrem meum in vincula conjicit et ad Ponticos negociatores huc scribit, ut et pecunias a me auferrent et ipsum redire domum juberent: quod nisi fecissem, a

πλεῖν κελεύειν· ἐὰν δὲ τούτων μηδὲν ποιῶ, παρ' ὑμῶν ἐξαιτεῖν. (6) Ἐν τοσούτοις δὲ κακοῖς ὤν, ὦ ἄνδρες δικασταί, λέγω πρὸς Πασίωνα τὰς ἐμαυτοῦ συμφοράς· οὕτω γὰρ οἰκείως πρὸς αὐτὸν διεκείμην, ὥστε μὴ μόνον c περὶ χρημάτων ἀλλὰ καὶ περὶ τῶν ἄλλων τούτῳ μάλιστα πιστεύειν. [Ἡγούμην δ', εἰ μὲν προοίμην ἅπαντα τὰ χρήματα, κινδυνεύσειν, εἴ τι πάθοι ἐκεῖνος, στερηθεὶς καὶ τῶν ἐνθάδε καὶ τῶν ἐκεῖ, πάντων ἐνδεὴς γενήσεσθαι· εἰ δ' ὁμολογῶν εἶναι ἐπιστείλαντος Σατύρου μὴ παραδοίην, εἰς τὰς μεγίστας διαβολὰς ἐμαυτὸν καὶ τὸν πατέρα καταστήσειν πρὸς Σάτυρον.] (7) Βουλευομένοις οὖν ἡμῖν ἐδόκει βέλτιστον εἶναι [προσομολογεῖν πάντα ποιεῖν, ὅσα Σάτυρος προσέταττε, καὶ] τὰ μὲν d φανερὰ τῶν χρημάτων παραδοῦναι, περὶ δὲ τῶν παρὰ τούτῳ κειμένων μὴ μόνον ἔξαρνον εἶναι, ἀλλὰ καὶ ὀφείλοντά με καὶ τούτῳ καὶ ἑτέροις ἐπὶ τόκῳ φαίνεσθαι, καὶ πάντα ποιεῖν ἐξ ὧν ἐκεῖνοι μάλιστ' ἤμελλον πεισθήσεσθαι μὴ εἶναί μοι χρήματα.

8. Τότε μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐνόμιζόν μοι Πασίωνα δι' εὔνοιαν ἅπαντα ταῦτα συμβουλεύειν· ἐπειδὴ δὲ πρὸς τοὺς παρὰ Σατύρου διεπραξάμην, ἔγνων e αὐτὸν ἐπιβουλεύοντα τοῖς ἐμοῖς. Βουλομένου γὰρ ἐμοῦ κομίσασθαι τἀμαυτοῦ καὶ πλεῖν εἰς Βυζάντιον, ἡγησάμενος οὗτος κάλλιστον καιρὸν παραπεπτωκέναι· τὰ 360 a μὲν γὰρ χρήματα πολλὰ εἶναι τὰ παρ' αὐτῷ κείμενα καὶ ἄξι' ἀναισχυντίας, ἐμὲ δὲ πολλῶν ἀκουόντων ἔξαρνον γεγενῆσθαι μηδὲν κεκτῆσθαι, πᾶσι δ' εἶναι φανερὸν ἀπαιτούμενον καὶ ἑτέροις προσομολογοῦντα ὀφείλειν· (9) — καὶ πρὸς τούτοις, ὦ ἄνδρες δικασταί, ἐνόμιζεν, εἰ μὲν αὐτοῦ μένειν ἐπιχειροίην, ἐκδοθήσεσθαί μ' ὑπὸ τῆς πόλεως Σατύρῳ, εἰ δ' ἄλλοσέ ποι τραποίμην, οὐδὲν b μελήσειν αὐτῷ τῶν ἐμῶν λόγων, εἰ δ' εἰσπλευσοίμην, ἀποθανεῖσθαί με μετὰ τοῦ πατρός, — ταῦτα λογιζόμενος διενοεῖτ' ἀποστερεῖν με τῶν χρημάτων. Καὶ πρὸς μὲν ἐμὲ προσεποιεῖτ' ἀπορεῖν ἐν τῷ παρόντι καὶ οὐκ ἂν ἔχειν ἀποδοῦναι· ἐπειδὴ δὲ βουλόμενος εἰδέναι σαφῶς τὸ πρᾶγμα προσπέμπω Φιλόμηλον αὐτῷ καὶ Μενέξενον, ἔξαρνος γίγνεται πρὸς αὐτοὺς μηδὲν ἔχειν τῶν ἐμῶν. (10) Πανταχόθεν δέ μοι τοσούτων κακῶν συμ- c πεπτωκότων τίν' οἴεσθέ με γνώμην ἔχειν, ᾧ ὑπῆρχε σιγῶντι μὲν ὑπὸ τούτου ἀπεστερῆσθαι τῶν χρημάτων, λέγοντι δὲ ταῦτα μὲν μηδὲν μᾶλλον κομίσασθαι, πρὸς Σάτυρον δ' εἰς τὴν μεγίστην διαβολὴν καὶ ἐμαυτὸν καὶ τὸν πατέρα καταστῆσαι; Κράτιστον οὖν ἡγησάμην εἶναι ἡσυχίαν ἄγειν.

11. Μετὰ δὲ ταῦτ', ὦ ἄνδρες δικασταί, ἀφικνοῦνται ἀπαγγέλλοντες ὅτι ὁ πατὴρ ἀφεῖται, καὶ Σατύρῳ οὕτως ἁπάντων μεταμέλει τῶν πεπραγμένων, ὥστε πίστεις τὰς d μεγίστας αὐτῷ δεδωκὼς εἴη, καὶ τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς ἧς εἶχε πρότερον, καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν εἰληφὼς γυναῖκα τῷ αὑτοῦ υἱεῖ. Πυθόμενος δὲ ταῦτα Πασίων, καὶ εἰδὼς ὅτι φανερῶς ἤδη πράξω περὶ τῶν ἐμαυτοῦ, ἀφανίζει Κίττον τὸν παῖδα, ὃς συνῄδει περὶ τῶν χρημάτων. (12) Ἐπειδὴ δ' ἐγὼ προσελθὼν

vobis exposcerent. (6) Tantis igitur malis, judices, circumventus apud Pasionem fortunas meas deploro. Nam ita eum complectebar familiariter, ut non pecunias tantum, sed alia quoque ejus potissimum fidei crederem. [Existimabam autem, si pecunias universas amisissem et patri meo aliquid accidisset, me et hic et illic opibus spoliatum ad summam inopiam redactum iri : sin esse mihi pecunias faterer et post Satyri literas, eas postulantis, non tradidissem, id et patri et mihi gravissimas calumnias pariturum.] (7) Nobis igitur deliberantibus consultissimum videbatur, ut [dicerem omnia me facturum, quæ Satyrus imperasset, et] pecunias quas in promptu haberem, traderem : quæ vero apud istum essent, eas non modo negarem, sed etiam plures fœnore acceptas tum ab isto tum ab aliis debere me simularem : omnia denique facerem, per quæ illis maxime persuaderetur mihi non esse pecunias.

8. Tunc igitur, judices, putabam Pasionem mihi cuncta hæc suadere ex benevolentia. Re vero cum Satyri legatis transacta eum fortunis meis tetendisse insidias animadverti. Nam quum Byzantium navigaturus mea recipere vellem, iste pulcherrimam sibi occasionem esse datam ratus, quod et pecunia apud se reposita magna esset ac digna impudentiâ, et ego præterea multis audientibus negassem me quicquam habere, nemoque ignoraret me, quum pecunias legati peterent, fassum esse aliis etiam me debere; (9) (et ad hæc, judices, putabat, si hic mansissem, me a civitate Satyro deditum iri; sin alio me contulissem, se facile posse negligere querelas meas : sin redissem in Pontum, me una cum patre periturum :) hæc igitur cogitans me fraudare pecuniis instituit. Atque apud me quidem simulabat se in præsentia minus a pecunia paratum esse et reddere eam non posse; sed quum rem certo cognoscere volens Philomelum et Menexenum ad eum misissem, infitiatus apud eos est se meum quicquam habere. (10) Tantis igitur ab omni parte malis oppresso mihi quid animi fuisse censetis? nam si tacerem, id consequebar, ut ab isto pecuniis fraudarer; sin dicerem, ut nihilo plus eas reciperem et apud Satyrum mihi simulque patri maximum crimen conflarem. Optimum igitur esse duxi quiescere.

11. Post hæc, judices, mihi nunciatur et patrem carcere liberatum esse et Satyrum ita pœnitere omnium quæ fecisset, ut patri et fidem suam arctissime obstrinxerit et prius imperium amplificarit et meam sororem suo filio despondérit. His Pasio auditis, quum me jam aperte jus meum persecuturum sciret, Cittum puerum de medio removit, qui, quid de pecuniis actum esset, conscius erat. (12) Quem quum ego postulaturus accessissem, quod me nullam

ἐζήτουν αὐτόν, ἡγούμενος ἔλεγχον ἂν τοῦτον σαφέστατον γενέσθαι περὶ ὧν ἐνεκάλουν, λέγει λόγον πάντων e δεινότατον, ὡς ἐγὼ καὶ Μενέξενος διαφθείραντες καὶ πείσαντες αὐτὸν ἐπὶ τῇ τραπέζῃ καθήμενον ἓξ τάλαντ' ἀργυρίου λάβοιμεν παρ' αὐτοῦ· ἵνα δὲ μηδεὶς ἔλεγχος μηδὲ βάσανος γένοιτο περὶ αὐτῶν, ἔφασκεν ἡμᾶς ἀφανίσαντας τὸν παῖδ' ἀντεγκαλεῖν αὐτῷ, καὶ ἐξαιτεῖν 361 τοῦτον ὃν αὐτοὶ ἠφανίσαμεν. Καὶ ταῦτα λέγων καὶ a ἀγανακτῶν καὶ δακρύων εἷλκέ με πρὸς τὸν πολέμαρχον, ἐγγυητὰς αἰτῶν, καὶ οὐ πρότερον ἀφῆκεν, ἕως αὐτῷ κατέστησα ἓξ ταλάντων ἐγγυητάς. Καί μοι κάλει τούτων μάρτυρας.

actionis meæ probationem evidentiorem habere posse crederem: orationem affert audacissimam et iniquissimam, me et Menexenum puerum ad mensam sedentem corrupisse et sex ab eo talenta per fraudem abstulisse. Ne vero id facinus argui et per tormenta veritas exquiri posset, dicebat nos occultasse puerum, nunc vero ad se accusandum venire et eum postulare, quem ipsi occuluissemus. Hæc quum diceret, et indignabatur et lacrimabatur et me ad Polemarchum trahebat, sponsores postulans; neque prius destitit quam sex talentûm sponsores ei dedissem. Voca mihi harum rerum testes.

ΜΑΡΤΥΡΕΣ.

TESTES.

13. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες δικασταί· ἐγὼ δὲ τὰ μὲν ἀπολωλεκὼς ἤδη, περὶ δὲ τῶν αἰσχίστας αἰτίας ἔχων, αὐτὸς μὲν εἰς Πελοπόννησον b ᾠχόμην ζητήσων, Μενέξενος δ' εὑρίσκει τὸν παῖδα ἐνθάδε, καὶ ἐπιλαβόμενος ἠξίου αὐτὸν βασανίζεσθαι καὶ περὶ τῆς παρακαταθήκης καὶ περὶ ὧν οὗτος ἡμᾶς ᾐτιάσατο. (14) Πασίων δ' εἰς τοῦτο τόλμης ἀφίκεθ', ὥστ' ἀφῃρεῖτ' αὐτὸν ὡς ἐλεύθερον ὄντα, καὶ οὐκ ᾐσχύνετ' οὐδ' ἐδεδοίκει, ὃν ἔφασκεν ὑφ' ἡμῶν ἠνδραποδίσθαι καὶ παρ' οὗ τοσαῦτα χρήματα ἡμᾶς ἔχειν, τοῦτον ἐξαιρούμενος εἰς ἐλευθερίαν καὶ κωλύων βασανίζεσθαι. Ὃ δὲ πάντων δεινότατον· κατεγγυῶντος γὰρ Μενεξένου c πρὸς τὸν πολέμαρχον τὸν παῖδα, Πασίων αὐτὸν ἑπτὰ ταλάντων διηγγυήσατο. Καί μοι τούτων ἀνάβητε μάρτυρες.

13. Testes audivistis, judices. Ego vero quum alias pecunias perdidissem, de aliis per summam contumeliam accusarer, ipse inquirendi causa in Peloponnesum abii; Menexenus vero puerum hic deprehendit, eumque comprehensum postulat in quæstionem tum depositi gratia, tum ob ea propter quæ iste nos in crimen vocarat. (14) Pasio autem tanta fuit confidentia, ut eum pro libero assereret neque vereretur aut metueret, quem a nobis plagio abductum et a quo nos tantam pecuniam abstulisse dicebat, eundem in libertatem asserere ac prohibere ne torqueretur. Jam quod omnium gravissimum est, quum Menexenus puerum a Polemarcho sponsione facta exposceret, Pasio septem talenta pro eo deposuit. Prodite harum rerum testes.

ΜΑΡΤΥΡΕΣ.

TESTES.

15. Τούτων τοίνυν αὐτῷ πεπραγμένων, ὦ ἄνδρες δικασταί, ἡγούμενος περὶ μὲν τῶν παρεληλυθότων φανερῶς ἡμαρτηκέναι, οἰόμενος δ' ἐκ τῶν λοιπῶν ἐπανορθώσεσθαι, προσῆλθεν ἡμῖν φάσκων ἕτοιμος εἶναι παραδοῦναι βασανίζειν τὸν παῖδα. Ἑλόμενοι δὲ βα- d σανιστὰς ἀπηντήσαμεν εἰς τὸ Ἡφαιστεῖον. Κἀγὼ μὲν ἠξίουν αὐτοὺς μαστιγοῦν τὸν ἐκδοθέντα καὶ στρεβλοῦν, ἕως ἂν τἀληθῆ δόξειεν αὐτοῖς λέγειν· Πασίων δ' οὑτοσὶ οὐ δημοκοίνους ἔφασκεν αὐτοὺς ἑλέσθαι, ἀλλ' ἐκέλευε λόγῳ πυνθάνεσθαι παρὰ τοῦ παιδός, εἴ τι βούλοιντο. (16) Διαφερομένων δ' ἡμῶν οἱ βασανισταὶ αὐτοὶ μὲν οὐκ ἔφασαν βασανιεῖν, ἔγνωσαν δὲ Πασίωνα ἐμοὶ παραδοῦναι τὸν παῖδα. Οὗτος δ' οὕτω σφόδρα e ἔφευγε τὴν βάσανον, ὥστε περὶ μὲν τῆς παραδόσεως οὐκ ἤθελεν αὐτοῖς πείθεσθαι, τὸ δ' ἀργύριον ἕτοιμος ἦν 362 ἀποτίνειν, εἰ καταγνοῖεν αὐτοῦ. Καί μοι κάλει τούτων a μάρτυρας.

15. His peractis, judices, putavit ille et præteritis actionibus manifesto suam improbitatem elucere seque posthac ea delicta correcturum censuit. Itaque ad nos accessit professus se non recusare quominus puerum det in quæstionem. Quæsitoribus delectis ad Vulcani ædem convenimus. Atque equidem petebam, ut deditus puer flagellaretur et torqueretur, donec eum vera dicere putarent. Iste vero Pasio eos a se lectos dicebat non ut carnifices, sed jubebat verbis, si quid vellent, puerum percontari. (16) Orta igitur inter nos controversia quæsitores dixerunt se puerum non esse torturos, sed æquum esse pronunciarunt, ut Pasio mihi puerum traderet. Is vero a quæstione tantopere abhorrebat, ut de tradendo quidem eis parere nollet, sed omne argentum solvere paratus esset, si condemnatus ab eis esset. Voca mihi harum rerum testes.

ΜΑΡΤΥΡΕΣ.

TESTES.

17. Ἐπειδὴ τοίνυν ἐκ τῶν συνόδων, ὦ ἄνδρες δικασταί, πάντες αὐτοῦ κατεγίγνωσκον ἀδικεῖν καὶ δεινὰ ποιεῖν, ὅστις τὸν παῖδα, ὃν ἔφασκον ἐγὼ συνειδέναι περὶ τῶν χρημάτων, πρῶτον μὲν αὐτὸς ἀφανίσας ὑφ' ἡμῶν αὐτὸν ᾐτιᾶτο ἠφανίσθαι, ἔπειτα δὲ συλληφθέντα

17. Quum autem ex conventibus, judices, omnes eum injurium et iniquissimum hominem judicarent, qui puerum, quem ego dixeram scire de pecuniis, quum prius ipse occultasset, a nobis occultatum diceret; postea deprehensum, ut liberum, torquere prohiberet; deinde eundem pro servo

ὡς ἐλεύθερον ὄντα διεκώλυσε βασανίζεσθαι, μετὰ δὲ ταῦθ' ὡς δοῦλον ἐκδοὺς καὶ βασανιστὰς ἑλόμενος λόγῳ μὲν ἐκέλευσε βασανίζειν, ἔργῳ δ' οὐκ εἴα, διὰ ταῦθ' b ἡγούμενος οὐδεμίαν αὐτῷ σωτηρίαν εἶναι, ἐάν περ εἰς ὑμᾶς εἰσέλθῃ, προσπέμπων ἐδεῖτό μου εἰς ἱερὸν ἐλθόνθ' ἑαυτῷ συγγενέσθαι. (18) Καὶ ἐπειδὴ ἤλθομεν εἰς ἀκρόπολιν, ἐγκαλυψάμενος ἔκλαε, καὶ ἔλεγεν ὡς ἠναγκάσθη μὲν δι' ἀπορίαν ἔξαρνος γενέσθαι, ὀλίγου δὲ χρόνου πειράσοιτο τὰ χρήματ' ἀποδοῦναι· ἐδεῖτο δέ μου συγγνώμην ἔχειν αὐτῷ καὶ συγκρύψαι τὴν συμφοράν, ἵνα μὴ παρακαταθήκας δεχόμενος φανερὸς γέ- c νηται τοιαῦτ' ἐξημαρτηκώς. Ἡγούμενος δ' αὐτῷ μεταμέλειν τῶν πεπραγμένων συνεχώρουν, καὶ ἐκέλευον αὐτὸν ἐξευρεῖν ὅντινα ἂν βούληται τρόπον, ὅπως τούτῳ τε καλῶς ἕξει κἀγὼ τἀμαυτοῦ κομιοῦμαι. (19) Τρίτῃ δ' ἡμέρᾳ συνελθόντες πίστιν τ' ἔδομεν ἀλλήλοις ἦ μὴν σιωπήσεσθαι τὰ πραχθέντα (ἣν οὗτος ἔλυσεν, ὡς ὑμεῖς αὐτοὶ προϊόντος τοῦ λόγου γνώσεσθε), καὶ ὡμολόγησεν εἰς τὸν Πόντον μοι συμπλευσεῖσθαι κἀκεῖ τὸ χρυσίον d ἀποδώσειν, ἵν' ὡς πορρωτάτω ἀπὸ τῆσδε τῆς πόλεως διαλύσειε τὸ συμβόλαιον, καὶ τῶν μὲν ἐνθάδε μηδεὶς εἰδείη τὸν τρόπον τῆς ἀπαλλαγῆς, ἐκπλεύσαντι δ' αὐτῷ ἐξείη λέγειν ὅ τι αὐτὸς βούλοιτο· εἰ δὲ μὴ ταῦτα ποιήσειε, δίαιταν ἐπὶ ῥητοῖς ἐπέτρεπε Σατύρῳ, ἐφ' ᾧ τε καταγιγνώσκειν ἡμιόλι' αὐτοῦ τὰ χρήματα. (20) Ταῦτα δὲ συγγράψαντες καὶ ἀναγαγόντες εἰς ἀκρόπολιν Πύρωνα Φεραῖον ἄνδρα, εἰθισμένον εἰσπλεῖν εἰς e τὸν Πόντον, δίδομεν αὐτῷ φυλάττειν τὰς συνθήκας, προστάξαντες αὐτῷ, ἐὰν μὲν διαλλαγῶμεν πρὸς ἡμᾶς αὐτούς, κατακαῦσαι τὸ γραμματεῖον, εἰ δὲ μή, Σατύρῳ ἀποδοῦναι.

21. Τὰ μὲν οὖν ἡμέτερα, ὦ ἄνδρες δικασταί, οὕτω διεπέπρακτο· Μενέξενος δ' ὀργιζόμενος ὑπὲρ τῆς αἰτίας 363 ἧς κἀκεῖνον Πασίων ᾐτιάσατο, λαχὼν δίκην ἐξῄτει τὸν a Κίττον, ἀξιῶν τὴν αὐτὴν Πασίωνι ψευδομένῳ γίγνεσθαι ζημίαν, ἧσπερ ἂν αὐτὸς ἐτύγχανεν, εἴ τι τούτων ἐφαίνετο ποιήσας. Καὶ οὗτος, ὦ ἄνδρες δικασταί, ἐδεῖτό μου ἀπαλλάττειν Μενέξενον, λέγων ὅτι οὐδὲν αὐτῷ πλέον ἔσται, εἰ τὰ μὲν χρήματα ἐκ τῶν συγγεγραμμένων εἰς τὸν Πόντον εἰσπλεύσας ἀποδώσει, αὐτὸς δ' ὁμοίως ἐνθάδε καταγέλαστος ἔσοιτο· ὁ γὰρ παῖς, ἐὰν βασανίζηται, περὶ πάντων τἀληθῆ κατερεῖ. (22) Ἐγὼ δ' ἠξίουν πρὸς μὲν Μενέξενον πράττειν ὅ τι βού- b λοιτο, πρὸς δ' ἐμὲ ποιεῖν αὐτὸν τὰ συγκείμενα. Ἐν ἐκείνῳ μὲν οὖν τῷ χρόνῳ ταπεινὸς ἦν, οὐκ ἔχων ὅ τι χρήσαιτο τοῖς αὑτοῦ κακοῖς. Καὶ γὰρ οὐ μόνον περὶ τῆς βασάνου καὶ τῆς δίκης ἐκείνης ἐδεδοίκει τῆς εἰλη γμένης, ἀλλὰ καὶ περὶ τοῦ γραμματείου, ὅπως μὴ ὑπὸ τοῦ Μενεξένου συλληφθήσοιτο. (23) Ἀπορῶν δέ, καὶ οὐδεμίαν ἄλλην εὑρίσκων ἀπαλλαγήν, πείσας τοῦ ξένου τοὺς παῖδας διαφθείρει τὸ γραμματεῖον, ὃ ἔδει Σάτυρον c λαβεῖν, εἰ μή μ' ἀπαλλάξειεν οὗτος. Καὶ οὐκ ἔφθη διαπραξάμενος ταῦτα, καὶ θρασύτατος ἁπάντων ἀνθρώπων ἐγένετο, καὶ οὔτ' εἰς τὸν Πόντον ἔφη μοι συμ-

deditum tortoribus delectis verbo torquere juberet, re non permitteret: his de causis sibi nullum patere effugium, si in jus ambulasset, existimans, per internuncium me rogavit, ut in templo se convenirem. (18) Quum autem in arcem ventum esset, involuto capite plorabat ac paupertate se adactum dicebat, ut iret infitias; sed brevi daturum operam, ut pecunias redderet meque precabatur, ut sibi ignoscerem calamitatemque tegerem, ne resciseretur se, qui deposita soleret accipere, ad hunc modum deliquisse. Ego vero eum facti pœnitere existimans concedebam jubebamque rationem inire, qua et ipsi consuleretur et mihi satisfieret. (19) Triduo post congressi fidem dedimus omnino tacenda esse quæ acta essent (quam iste solvit, ut vos ipsi progressu orationis audietis), ac pollicitus est se in Pontum mecum navigaturum et ibi aurum redditurum, ut quam longissime ab urbe mihi satisfaceret, neque quisquam, qui hic esset, modum reconciliationis nosset, et ipse peregre profectus dicere posset, quicquid libuisset: quæ nisi fecisset, arbitrium de conventis se ad Satyrum delaturum, ut sesquialteræ partis damnaretur. (20) Conscriptis igitur codicillis in arce congressi Pyroni Pheræo in Pontum navigare solito pacta custodienda damus, ea conditione ut, si inter nos convenisset, scriptum combureret; sin minus, ut Satyro traderet.

21. Hæc, judices, inter nos acta sunt. Menexenus autem iratus ob crimen sibi etiam a Pasione objectum, die illi dicta petiit ut Cittus dederetur, ac Pasioni mentienti mulcta eadem irrogaretur, quæ sibi criminis illius convicto luenda fuisset. Iste vero, judices, me precabatur, ut Menexenum placarem: nihilo enim melius secum actum iri, si ex pacto æs alienum in Ponto mihi dissolvisset, hic vero nihilominus contemptui esset; puerum enim, si torqueretur, omnibus de rebus veritatem dicturum. (22) Ego vero petebam, ut arbitratu suo cum Menexeno transigeret; mihi vero præstaret quod promisisset. Illo igitur tempore humilis erat et quo se malis suis circumventus verteret nesciebat. Nam non de quæstione tantum et constituto judicio sollicitus erat, sed etiam de scripto, ne id a Menexeno deprehenderetur. (23) Quum igitur æstuaret, et nullum aliud remedium inveniret, pueris hospitis in fraudis societatem assumptis tabulas, quæ Satyro reddendæ erant, nisi mihi iste satisfecisset, adulterat. Quod quum primum peregisset, omnium hominum factus audacissimus ait se neque in Pontum navigaturum, neque

πλευσεῖσθαι οὔτ' εἶναι πρὸς ἔμ' αὐτῷ συμβόλαιον οὐδέν, ἀνοίγειν τ' ἐκέλευε τὸ γραμματεῖον ἐναντίον μαρτύρων. Τί ἂν ὑμῖν τὰ πολλὰ λέγοιμι, ὦ ἄνδρες δικασταί; εὑρέθη γὰρ ἐν τῷ γραμματείῳ γεγραμμένον, ἀφειμένος ἁπάντων τῶν ἐγκλημάτων ὑπ' ἐμοῦ. d

24. Τὰ μὲν οὖν γεγενημένα, ὡς ἀκριβέστατα οἷόστ' ἦν, ἅπανθ' ὑμῖν εἴρηκα. Ἡγοῦμαι δὲ Πασίωνα, ὦ ἄνδρες δικασταί, ἐκ τοῦ διεφθαρμένου γραμματείου τὴν ἀπολογίαν ποιήσεσθαι καὶ τούτοις ἰσχυριεῖσθαι μάλιστα. Ὑμεῖς οὖν μοι τὸν νοῦν προσέχετε· οἶμαι γὰρ ἐξ αὐτῶν τούτων φανερὰν ὑμῖν ποιήσειν τὴν τούτου πονηρίαν.

25. Πρῶτον δ' ἐκ τούτου σκοπεῖσθε. Ὅτε γὰρ e ἐδίδομεν τὴν συνθήκην τῷ ξένῳ, καθ' ἣν οὗτος μὲν ἀφεῖσθαί φησι τῶν ἐγκλημάτων, ἐγὼ δ' ὡς ἔδει με παρὰ τούτου κομίσασθαι τὸ χρυσίον, ἐκελεύομεν τὸν ξένον, ἐὰν μὲν διαλλαγῶμεν πρὸς ἡμᾶς αὐτούς, κατακαῦσαι τὸ γραμματεῖον, εἰ δὲ μή, Σατύρῳ ἀποδοῦναι· καὶ ταῦτα ῥηθῆναι ὑπ' ἀμφοτέρων ἡμῶν ὁμολογεῖται. (26)
364 Καίτοι τί μαθόντες, ὦ ἄνδρες δικασταί, προσετάττομεν a ἀποδοῦναι Σατύρῳ τὸ γραμματεῖον, ἐὰν μὴ διαλλαγῶμεν, εἴ περ ἀπηλλαγμένος ἤδη Πασίων ἦν τῶν ἐγκλημάτων καὶ τέλος εἶχεν ἡμῖν τὸ πρᾶγμα; ἀλλὰ δῆλον ὅτι ταύτας τὰς συνθήκας ἐποιησάμεθα ὡς ὑπολοίπων ὄντων ἡμῖν ἔτι πραγμάτων, περὶ ὧν ἔδει τοῦτον πρὸς ἐμὲ κατὰ τὸ γραμματεῖον διαλύσασθαι. (27) Ἔπειτ' ἐγὼ μέν, ὦ ἄνδρες δικασταί, ἔχω τὰς αἰτίας εἰπεῖν, δι' ἃς οὗτος ὡμολόγησεν ἀποδώσειν τὸ χρυσίον· ἐπεὶ γὰρ ἡμεῖς b τε τῶν πρὸς Σάτυρον διαβολῶν ἀπηλλάγημεν καὶ τὸν Κίττον οὐχ οἷόστ' ἐγένετο ἀφανίσαι, τὸν συνειδότα περὶ τῆς παρακαταθήκης, ἡγησάμενος, εἰ μὲν ἐκδοίη τὸν παῖδα βασανίσαι, φανερὸς γενήσεσθαι πανουργῶν, εἰ δὲ μὴ ποιήσειε ταῦτα, ὀφλήσειν τὴν δίκην, ἐβουλήθη πρὸς αὐτὸν ἐμὲ τὴν ἀπαλλαγὴν ποιήσασθαι. (28) Τοῦτον δὲ κελεύσαθ' ὑμῖν ἀποδεῖξαι, τί κερδαίνων ἢ τίνα κίνδυνον φοβηθεὶς ἀφῆκ' αὐτὸν τῶν ἐγκλημάτων; c ἐὰν δὲ μηδὲν ἔχῃ τούτων ὑμῖν ἀποφαίνειν, πῶς οὐκ ἂν δικαίως ἐμοὶ μᾶλλον ἢ τούτῳ περὶ τοῦ γραμματείου πιστεύοιτε; (29) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, καὶ τόδε ῥᾴδιον πᾶσι γνῶναι, ὅτι ἐμοὶ μέν, ὃς ἐνεκάλουν, εἰ τοὺς ἐλέγχους ἐφοβούμην, ἐξῆν καὶ μηδεμίαν συνθήκην ποιησάμενον χαίρειν ἐᾶν τὸ πρᾶγμα· τούτῳ δὲ διά τε τὴν βάσανον καὶ τοὺς ἀγῶνας τοὺς ἐν ὑμῖν οὐχ οἷόντ' ἦν, ὁπότε βούλοιτ', ἀπηλλάχθαι τῶν κινδύνων, εἰ μὴ d πείσειεν ἐμὲ τὸν ἐγκαλοῦντα. Ὥστ' οὐκ ἐμὲ περὶ τῆς ἀφέσεως, ἀλλὰ τοῦτον περὶ τῆς ἀποδόσεως τῶν χρημάτων ἔδει τὰς συνθήκας ποιεῖσθαι. (30) Ἔτι δὲ κἀκεῖν' ὑπερφυές, εἰ πρὶν μὲν συγγράψασθαι τὸ γραμματεῖον οὕτω σφόδρ' ἠπίστησα τοῖς πράγμασιν, ὥστε μὴ μόνον ἀφεῖναι Πασίωνα τῶν ἐγκλημάτων, ἀλλὰ καὶ συνθήκας περὶ αὐτῶν ποιήσασθαι, ἐπειδὴ δὲ τοιοῦτον ἔλεγχον κατ' ἐμαυτοῦ συνεγραψάμην, τηνικαῦτ' ἐπεθύμησα εἰς e ὑμᾶς εἰσελθεῖν. Καίτοι τίς ἂν οὕτω περὶ τῶν αὑτοῦ πραγμάτων βουλεύσαιτο; (31) Ὃ δὲ πάντων μέγιστον τεκμήριον ὡς οὐκ ἀφειμένος ἦν Πασίων ἐν ταῖς συνθήκαις,

sibi mecum rei quicquam esse; tabulas coram testibus aperiri jubet. Quid vobis multa dicam, judices? scriptum in tabulis inventum est eum a me omnibus criminibus esse liberatum.

24. Rem igitur omnem, quam diligentissime potui, vobis recensui. Suspicor autem Pasionem e corruptis tabulis petiturum sibi defensionem atque in illis omne suum præsidium collocasse. Vos igitur me, quæso, attendite: spero enim per hæc ipsa me illius improbitatem declaraturum.

25. Primum autem illud cogitate: quum daremus hospiti pactionem, qua iste sibi omnia remissa esse asserit, ego vero aurum mihi reddendum esse affirmo, jubebamus hospitem, si inter nos transegissemus, comburere tabulas; sin minus, Satyro reddere. Et hæc esse dicta uterque nostrûm confitetur. (26) Quid vero nobis in mentem venisset, judices, ut juberemus eum tabulas reddere Satyro, nisi inter nos convenisset, siquidem Pasio causa liberatus fuisset re ad exitum deducta? An non evidens est nos eam pactionem ita fecisse, quasi re nondum transacta, de qua istum ex tabulis mihi satisfacere oportebat? (27) Deinde causam ego dicere possum, judices, ob quam iste promiserit se aurum redditurum. Quum enim nos ex criminibus apud Satyrum erepti essemus nec ipse Cittum depositi conscium occultare posset, existimavit, si puerum in quæstionem dedisset, suas machinationes deprehensum iri; sin id non fecisset, se esse condemnandum. His igitur de causis mecum transigere voluit. (28) Jubete et istum indicare, cujus ego lucri spe aut cujus periculi metu ipsum crimine liberarim? Quodsi nihil horum vobis ostendere poterit, annon æquius erit mihi credi de tabulis quam isti? (29) Enimvero, judices, hoc facile intelligitur, mihi, qui accusabam, si veritus essem ut actio a me probari posset, licuisse etiam nulla pactione facta causa desistere; istum vero tum propter quæstionem, tum propter causæ dictionem apud vos non extra periculum, quando vellet, esse potuisse, nisi ego accusator assentirer. Quare non me de absolutione, sed istum de solutione pecuniæ pactionem facere oportuit. (30) Præterea id quoque monstri simile est, me, priusquam tabulæ conscriberentur, rei sic diffisum esse, ut Pasioni non tantum causam omnem remiserim, sed etiam pactionem de ea fecerim; postquam vero evidentissimo isto testimonio me ipse damnarim, tum demum apud vos judicio experiri voluisse. Quis vero est qui suis de rebus talia consilia inire velit? (31) Illud autem argumentum omnium evidentissimum est Pa-

ἀλλ' ὡμολογηκὼς ἀποδώσειν τὸ χρυσίον· ὅτε γὰρ Μενέξενος ἔλαχεν αὐτῷ τὴν δίκην οὔπω διεφθαρμένου τοῦ 365 γραμματείου, προσπέμπων Ἀγύρριον, ὄντ' ἀμφοτέροις a ἡμῖν ἐπιτήδειον, ἠξίου με ἢ Μενέξενον ἀπαλλάττειν ἢ τὰς συνθήκας τὰς γεγενημένας πρὸς αὐτὸν ἀναιρεῖν. (32) Καίτοι, ὦ ἄνδρες δικασταί, οἴεσθ' ἂν αὐτὸν ἐπιθυμεῖν ἀναιρεθῆναι ταύτας τὰς συνθήκας, ἐξ ὧν ψευδομένους ἡμᾶς ἔμελλεν ἐξελέγξειν; Οὔκουν ἐπειδή γε μετεγράφησαν, τούτους ἔλεγε τοὺς λόγους, ἀλλὰ περὶ ἁπάντων εἰς ἐκείνας κατέφευγε καὶ ἀνοίγειν ἐκέλευε τὸ γραμματεῖον. Ὡς οὖν τὸ πρῶτον ἀναιρεῖν ἐζήτει τὰς b συνθήκας, αὐτὸν Ἀγύρριον μαρτυροῦντα παρέξομαι. Καί μοι ἀνάβηθι.

sionem in pactione non absolutum, sed se aurum velle reddere pollicitum fuisse: nam quum ei Menexenus diem dixisset tabulis nondum adulteratis, misso Agyrrio, qui est utrique nostrûm familiaris, petebat ut aut Menexenum placarem, aut pactionem secum initam abrogarem. (32) Atqui, judices, num putatis eum fuisse postulaturum ut pactio aboleretur, qua nos mentiri convicturus erat? Non ille quidem mutata jam scriptura eadem illa dixit, sed in omnibus ad eam confugit et tabulas resignari jussit. Eum igitur pactionem primum abolere voluisse uti constet, ipsum Agyrrium testem producam. Ascende mihi.

ΜΑΡΤΥΡΙΑ.

TESTIMONIUM.

33. Ὅτι μὲν τοίνυν τὰς συνθήκας ἐποιησάμεθ' οὐχ ὡς Πασίων ἐπιχειρήσει λέγειν, ἀλλ' ὡς ἐγὼ πρὸς ὑμᾶς εἴρηκα, ἱκανῶς ἐπιδεδεῖχθαι νομίζω. Οὐκ ἄξιον δὲ θαυμάζειν, ὦ ἄνδρες δικασταί, εἰ τὸ γραμματεῖον διέφθειρεν, οὐ μόνον διὰ τοῦτο ὅτι πολλὰ τοιαῦτ' ἤδη γέγονεν, ἀλλ' ὅτι καὶ τῶν χρωμένων τινὲς Πασίωνι πολὺ c δεινότερα τούτων πεποιήκασι. Πυθόδωρον γὰρ τὸν σκηνίτην καλούμενον, ὃς ὑπὲρ Πασίωνος ἅπαντα καὶ λέγει καὶ πράττει, τίς οὐκ οἶδεν ὑμῶν πέρυσιν ἀνοίξαντα τὰς ὑδρίας καὶ τοὺς κριτὰς ἐξελόντα τοὺς ὑπὸ τῆς βουλῆς εἰσβληθέντας; (34) Καίτοι ὅστις μικρῶν ἕνεκεν καὶ περὶ τοῦ σώματος κινδυνεύων ταύτας ὑπανοίγειν ἐτόλμησεν, αἳ σεσημασμέναι μὲν ἦσαν ὑπὸ τῶν πρυτανέων, σεσημασμέναι δ' ὑπὸ τῶν χορηγῶν, ἐφυλάττοντο δ' ὑπὸ τῶν d ταμιῶν, ἔκειντο δ' ἐν ἀκροπόλει, τί δεῖ θαυμάζειν, εἰ γραμματείδιον παρ' ἀνθρώπῳ ξένῳ κείμενον τοσαῦτα μέλλοντες χρήματα κερδαίνειν μετέγραψαν, ἢ τοὺς παῖδας αὐτοῦ πείσαντες ἢ ἄλλῳ τρόπῳ ᾧ ἠδύναντο μηχανησάμενοι; Περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν.

35. Ἤδη δέ τινας Πασίων ἐπεχείρησε πείθειν ὡς τὸ παράπαν οὐδ' ἦν ἐνθάδε μοι χρήματα, λέγων ὡς παρὰ e Στρατοκλέους ἐδανεισάμην τριακοσίους στατῆρας. Ἄξιον οὖν καὶ περὶ τούτων ἀκοῦσαι, ἵν' ἐπίστησθε οἵοις τεκμηρίοις ἐπαρθεὶς ἀποστερεῖ με τῶν χρημάτων. Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, μέλλοντος Στρατοκλέους εἰσπλεῖν εἰς τὸν Πόντον, βουλόμενος ἐκεῖθεν ὡς πλεῖστ' ἐκκομίσασθαι τῶν χρημάτων, ἐδεήθην Στρατοκλέους 366 τὸ μὲν αὐτοῦ χρυσίον ἐμοὶ καταλιπεῖν, ἐν δὲ τῷ Πόντῳ a παρὰ τοῦ πατρὸς τοὐμοῦ κομίσασθαι, (36) νομίζων μεγάλα κερδαίνειν, εἰ κατὰ πλοῦν μὴ κινδυνεύοι τὰ χρήματα, ἄλλως τε καὶ Λακεδαιμονίων ἀρχόντων κατ' ἐκεῖνον τὸν χρόνον τῆς θαλάττης. Τούτῳ μὲν οὖν οὐδὲν ἡγοῦμαι τοῦτ' εἶναι σημεῖον, ὡς οὐκ ἦν μοι ἐνθάδε χρήματα· ἐμοὶ δὲ μέγιστ' ἔσται τεκμήρια τὰ πρὸς Στρατοκλέα πραχθέντα, ὡς ἦν μοι παρὰ τούτῳ χρυσίον. (37) Ἐρωτῶντος γὰρ Στρατοκλέους ὅστις αὐτῷ b ἀποδώσει τὰ χρήματα, ἐὰν ὁ πατὴρ ὁ ἐμὸς μὴ ποιήσῃ τὰ ἐπεσταλμένα, ἢ αὐτὸς ἐκπλεύσας ἐνθάδ' ἐμὲ μὴ καταλάβῃ, Πασίωνα αὐτῷ συνέστησα, καὶ ὡμολόγησεν

33. Nos igitur pactionem fecisse, non ut Pasio dicere ausurus est, sed ut ego vobis exposui, satis esse demonstratum arbitror. Neque vero mirandum est, judices, eum tabulas adulterasse, non eo tantum, quod multa jam talia facta sunt; sed etiam quod quidam Pasionis familiares his multo graviora jam commiserunt. Pythodorum enim, cognomento Tabernarium, qui pro Pasione omnia et dicit et facit, quis vestrûm ignorat anno superiore urnis resignatis eos exemisse udices, qui a senatu injecti fuerant? (34) Is igitur qui ob rem parvulam etiam capitis adire periculum ausus est, ut has aperiret, quæ quidem et a principibus senatus signatæ erant, et a choregis obsignatæ, et a quæstoribus in arce asservabantur, quid miri est si tabulas apud hominem peregrinum sitas, tantam pecuniæ vim lucraturi, seu pueris ejus persuasis, seu alio quocunque poterant modo machinati, adulterarunt? De his igitur, haud scio plura dicere quorsum attineat.

35. Jam autem Pasio quibusdam persuadere conatus est mihi prorsus nullas pecunias hic fuisse, quod a Stratocle trecentos stateres sim mutuatus. Quare operæ pretium est de his etiam audire, ut sciatis quibus argumentis fretus me pecuniis fraudet. Ego, judices, Stratocle in Pontum navigaturo, quum inde quam plurimas pecunias exportare vellem, precatus sum Stratoclem, ut suum aurum mihi relinqueret idque in Ponto a patre meo reciperet, (36) magni lucri id esse putans, si pecunia in navigatione non periclitaretur, præsertim quum eo tempore Lacedæmonii maris imperium tenerent. Hoc igitur signo eum non confido probaturum me pecuniam hic non habuisse; mihi vero aurum apud istum fuisse firmissimæ probationes ea ipsa erunt quæ cum Stratocle egi. (37) Nam Stratocle interrogante, quisnam sibi pecuniam redditurus esset, si pater ea, quæ literis continerentur, non fecisset, aut ipse reversus hic me non reperiret, ad Pasionem eum adduxi,

οὗτος αὐτῷ καὶ τὸ ἀρχαῖον καὶ τοὺς τόκους τοὺς γιγνομένους ἀποδώσειν. Καίτοι, εἰ μηδὲν ἔκειτο παρ' αὐτῷ τῶν ἐμῶν, οἴεσθ' ἂν αὐτὸν οὕτω ῥᾳδίως τοσούτων χρημάτων ἐγγυητήν μου γενέσθαι; Καί μοι ἀνάβητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

38. Ἴσως τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ τούτων c
ὑμῖν μάρτυρας παρέξεται, ὡς ἔξαρνος ἐγενόμην πρὸς τοὺς ὑπὲρ Σατύρου πράττοντας μηδὲν κεκτῆσθαι πλὴν ὧν ἐκείνοις παρεδίδουν, καὶ ὡς αὐτὸς ἐπελαμβάνετο τῶν χρημάτων τῶν ἐμῶν ὁμολογοῦντος ἐμοῦ ὀφείλειν τριακοσίας δραχμάς, καὶ ὅτι Ἱππολαΐδαν, ξένον ὄντ' ἐμαυτοῦ καὶ ἐπιτήδειον, περιεώρων παρὰ τούτου δανειζόμενον. (39) Ἐγὼ δ', ὦ ἄνδρες δικασταί, καταστὰς εἰς συμφορὰς οἵας ὑμῖν διηγησάμην, καὶ τῶν μὲν οἴκοι πάντων ἀπεστερημένος, τὰ δ' ἐνθάδε ἀναγκαζόμενος d
παραδιδόναι τοῖς ἥκουσιν, ὑπολοίπου δ' οὐδενὸς ὄντος μοι, πλὴν εἰ δυνηθείην λαθεῖν περιποιησάμενος τὸ χρυσίον τὸ παρὰ τούτῳ κείμενον, ὁμολογῶ καὶ τούτῳ προσομολογῆσαι τριακοσίας δραχμὰς καὶ περὶ τῶν ἄλλων τοιαῦτα πράττειν καὶ λέγειν, ἐξ ὧν ἐκεῖνοι μάλιστ' ἤμελλον πεισθήσεσθαι μὴ εἶναί μοι χρήματα. (40) Καὶ ταῦθ' ὡς οὐ δι' ἀπορίαν ἐγίγνετο, ἀλλ' ἵνα πιστευθείην ὑπ' ἐκείνων, ῥᾳδίως γνώσεσθε. Πρῶτον μὲν γὰρ ὑμῖν e
μάρτυρας παρέξομαι τοὺς εἰδότας πολλά μοι χρήματα ἐκ τοῦ Πόντου κομισθέντα, ἔπειτα δὲ τοὺς ὁρῶντάς με τῇ τούτου τραπέζῃ χρώμενον, ἔτι δὲ παρ' ὧν ἐχρυσώνησα ὑπ' ἐκεῖνον τὸν χρόνον πλέον ἢ χιλίους στατῆρας.
367 (41) Πρὸς δὲ τούτοις, εἰσφορᾶς ἡμῖν προσταχθείσης, a
καὶ ἑτέρων ἐπιγραφῶν γενομένων, ἐγὼ πλεῖστον εἰσήνεγκα τῶν ξένων, αὐτός τε αἱρεθεὶς ἐμαυτῷ μὲν ἐπέγραψα τὴν μεγίστην εἰσφοράν, ὑπὲρ Πασίωνος δ' ἐδεόμην τῶν συνεπιγραφέων, λέγων ὅτι τοῖς ἐμοῖς χρήμασι τυγχάνει χρώμενος. Καί μοι ἀνάβητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

42. Αὐτὸν τοίνυν Πασίωνα ἔργῳ παρέξομαι τούτοις συμμαρτυροῦντα. Ὁλκάδα γάρ, ἐφ' ᾗ πολλὰ χρή- b
ματα ἦν ἐγὼ δεδωκώς, ἔφηνέ τις ὡς οὖσαν ἀνδρὸς Δηλίου, ἀμφισβητοῦντος δ' ἐμοῦ καὶ καθέλκειν ἀξιοῦντος οὕτω τὴν βουλὴν διέθεσαν οἱ βουλόμενοι συκοφαντεῖν, ὥστε παρὰ μικρὸν ἦλθον ἄκριτος ἀποθανεῖν· τελευτῶντες δ' ἐπείσθησαν ἐγγυητὰς παρ' ἐμοῦ δέξασθαι. (43) Καὶ Φίλιππος μὲν ὤν μοι ξένος πατρικός, κληθεὶς καὶ ὑπακούσας, δείσας τὸ μέγεθος τοῦ κινδύνου ἀπιὼν ᾤχετο· Πασίων δὲ Ἀρχέστρατόν μοι τὸν ἀπὸ τῆς τρα- c
πέζης ἑπτὰ ταλάντων ἐγγυητὴν παρέσχεν. Καίτοι εἰ μικρῶν ἀπεστερεῖτο καὶ μηδὲν ᾔδει μ' ἐνθάδε κεκτημένον, οὐκ ἂν δή που τοσούτων χρημάτων ἐγγυητής μου κατέστη. (44) Ἀλλὰ δῆλον ὅτι τὰς μὲν τριακοσίας δραχμὰς ἐνεκάλεσεν ἐμοὶ χαριζόμενος, τῶν δ' ἑπτὰ ταλάντων ἐγγυητής μου ἐγένετο ἡγούμενος πίστιν ἔχειν ἱκανὴν τὸ χρυσίον τὸ παρ' αὐτῷ κείμενον. Ὡς μὲν τοίνυν ἦν τέ μοι πολλὰ χρήματ' ἐνθάδε, καὶ ταῦτ' ἐπὶ d
τῇ τούτου τραπέζῃ κεῖταί μοι, καὶ ἐκ τῶν ἔργων τῶν

qui se et sortem et usuras ei redditurum promisit. An vero putatis, si nihil apud eum depositum habuissem, eum tam facile tantæ pecuniæ sponsorem futurum fuisse? Prodite mihi testes.

TESTES.

38. Fortasse autem, judices, de illo etiam testes producet, me apud Satyri procuratores negasse quicquam habere, præter ea quæ ipsis tradidissem: item ipsum merces meas invasisse, me confitente trecentas ei drachmas debere: et Hippolaidam, hospitem et familiarem meum, a se mutuum sumere permisisse. (39) Ego vero, judices, illis quæ dixi malis circumventus, tum iis omnibus quæ domi habueram spoliatus, tum quæ hic erant, legatis dare coactus, quum nihil mihi reliquum esset, nisi si quid celare possem, retento auro quod apud istum depositum erat, fateor me et de trecentis drachmis esse confessum, et ceteris in rebus ea et dixisse et egisse, per quæ illis facillime persuaderetur nihil mihi esse pecuniæ. (40) Quæ non ex inopia me fecisse, sed ut illis fidem facerem, facile intelligetis. Primum autem testes producam, qui me sciunt magnas opes e Ponto attulisse; deinde eos, qui viderunt me istius mensa uti; quin illos etiam, a quibus eo tempore amplius mille stateres aureos alia pecunia commutavi. (41) Præterea, tributo nobis imperato et aliis censibus habitis, ego plurimum inter omnes hospites contuli, et quum ipse essem factus censor, mihi quidem tributum maximum inscripsi, pro Pasione autem deprecatus sum quæstores, quod is meis pecuniis uteretur. Prodite mihi testes.

TESTES.

42. Ipse præterea Pasio non quidem verbis, sed facto ipso mihi testimonium hac de re præbebit. Navem enim onerariam, cui ego multas merces imposueram, quidam detulit, quasi Delii cujusdam esset. Quum vero ego eam mihi assererem, et in portum subduci juberem, quidam eorum qui calumniando quæstum faciunt, ea consilia injecerant, ut pene indicta causa ego periissem. Tandem vero persuaderi sibi passi sunt, ut vades a me acciperent. (43) Ac Philippus paternus hospes accersitus venit ille quidem, sed periculi magnitudine perterritus se subduxit: Pasio vero Archestratum mensæ præfectum mihi exhibuit septem talentûm sponsorem. Atqui si parva duntaxat jactura fuisset facienda et me nihil hic habere scivisset, nequaquam pro me tantam pecuniam spopondisset. (44) Sed evidens nimirum est eum mihi gratificantem trecentas a me drachmas postulasse et septem talentûm sponsorem esse factum, quum existimaret satis sibi cautum esse auro apud se deposito. Me igitur multum pecuniæ habuisse éamque in hujus

Πασίωνος ὑμῖν δεδήλωκα καὶ παρὰ τῶν ἄλλων τῶν εἰδότων ἀκηκόατε.

45. Δοκεῖτε δέ μοι, ὦ ἄνδρες δικασταί, ἄριστ' ἂν γνῶναι περὶ ὧν ἀμφισβητοῦμεν, ἀναμνησθέντες ἐκεῖνον τὸν χρόνον καὶ τὰ πράγματα πῶς εἶχεν ἡμῖν, ὅτ' ἐγὼ Μενέξενον καὶ Φιλόμηλον προσέπεμψ' ἀπαιτήσοντας e τὴν παρακαταθήκην, καὶ Πασίων τὸ πρῶτον ἐτόλμησεν ἔξαρνος γενέσθαι. Εὑρήσετε γὰρ τὸν μὲν πατέρα μου συνειλημμένον καὶ τὴν οὐσίαν ἅπασαν ἀφῃρημένον, ἐμοὶ δ' οὐχ οἷόντε ὂν διὰ τὰς παρούσας τύχας οὔτ' αὐτοῦ μένειν οὔτ' εἰς τὸν Πόντον εἰσπλεῖν. (46) Καίτοι
368 πότερον εἰκός, ἐμὲ ἐν τοσούτοις ὄντα κακοῖς ἀδίκως a ἐγκαλεῖν, ἢ Πασίωνα καὶ διὰ τὸ μέγεθος τῶν ἡμετέρων συμφορῶν καὶ διὰ τὸ πλῆθος τῶν χρημάτων ἐπαρθῆναι τὴν ἀποστέρησιν ποιήσασθαι; τίς δὲ πώποτ' εἰς τοσοῦτον συκοφαντίας ἀφίκετο, ὥστε αὐτὸς περὶ τοῦ σώματος κινδυνεύων τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν; μετὰ ποίας δ' ἂν ἐλπίδος ἢ τί διανοηθεὶς ἀδίκως ἦλθον ἐπὶ b τοῦτον; πότερον ὡς δείσας τὴν δύναμιν τὴν ἐμὴν ἤμελλεν εὐθὺς ἐμοὶ δώσειν ἀργύριον; ἀλλ' οὐχ οὕτως ἑκάτερος ἡμῶν ἔπραττεν. (47) Ἀλλ' εἰς ἀγῶνα καταστὰς ᾤμην καὶ παρὰ τὸ δίκαιον πλέον ἕξειν Πασίωνος παρ' ὑμῖν; ὃς οὐδὲ μένειν ἐνθάδε παρεσκευαζόμην, δεδιὼς μή μ' ἐξαιτήσειε Σάτυρος παρ' ὑμῶν. Ἀλλ' ἵνα μηδὲν διαπραττόμενος ἐχθρὸς τούτῳ κατασταίην, ᾧ μάλιστ' ἐτύγχανον πάντων τῶν ἐν τῇ πόλει χρώμενος; c καὶ τίς ἂν ὑμῶν ἀξιώσειε καταγνῶναί μου τοσαύτην μανίαν καὶ ἀμαθίαν;

48. Ἐνθυμηθῆναι δ' ἄξιόν ἐστιν, ὦ ἄνδρες δικασταί, τὴν ἀτοπίαν καὶ τὴν ἀπιστίαν ὧν ἑκάστοτε Πασίων ἐπιχειρεῖ λέγειν. Ὅτε μὲν γὰρ οὕτως ἔπραττον, ὥστ' οὐδ' ἂν εἰ προσωμολόγει με ἀποστερεῖν τῶν χρημάτων, οἷόστ' ἂν ἦν παρ' αὐτοῦ δίκην λαβεῖν, τότε μὲν αἰτιᾶταί με ἀδίκως ἐγκαλεῖν ἐπιχειρῆσαι· ἐπειδὴ δ' ἐγώ τε τῶν πρὸς Σάτυρον διαβολῶν ἀπηλλάγην καὶ τοῦτον ἅπαντες ὀφλήσειν τὴν δίκην ἐνόμιζον, τηνι- d καῦτά μέ φησιν ἀφεῖναι πάντων τῶν ἐγκλημάτων αὐτόν. Καίτοι πῶς ἂν τούτων ἀλογώτερα γένοιτο;

49. Ἀλλὰ γὰρ ἴσως περὶ τούτων μόνον, ἀλλ' οὐ καὶ περὶ τῶν ἄλλων ἐναντί' αὐτὸς αὑτῷ καὶ λέγων καὶ πράττων φανερός ἐστιν· ὃς τὸν μὲν παῖδα, ὃν αὐτὸς ἠφάνισεν, ὑφ' ἡμῶν ἔφασκεν ἀνδραποδισθῆναι, τὸν αὐτὸν δὲ τοῦτον ἀπεγράψατο μὲν ἐν τοῖς τιμήμασιν ὡς δοῦλον μετὰ τῶν οἰκετῶν τῶν ἄλλων, ἐπεὶ δ' αὐτὸν ἠξίου Μενέξενος βασανίζειν, ἀφῃρεῖθ' ὡς ἐλεύθερον e ὄντα· (50) πρὸς δὲ τούτοις ἀποστερῶν αὐτὸς τὴν παρακαταθήκην, ἐτόλμησεν ἡμῖν ἐγκαλεῖν ὡς ἔχομεν ἓξ τάλαντ' ἀπὸ τῆς τούτου τραπέζης. Καίτοι ὅστις περὶ πραγμάτων οὕτω φανερῶν ἐπεχείρει ψεύδεσθαι, πῶς
369 χρὴ πιστεύειν αὐτῷ περὶ ὧν μόνος πρὸς μόνον ἔπραξεν; a

51. Τὸ τελευταῖον τοίνυν, ὦ ἄνδρες δικασταί, ὁμολογήσας ὡς Σάτυρον εἰσπλευσεῖσθαι καὶ ποιήσειν ἅττ' ἂν ἐκεῖνος γνῷ, καὶ ταῦτ' ἐξηπάτησε, καὶ αὐτὸς μὲν οὐκ ἤθελεν εἰσπλεῦσαι πολλάκις ἐμοῦ προκαλεσαμένου,

mensa depositam, tum factis Pasionis vobis probavi, tum e ceteris rei gnaris audivistis.

45. Sic autem, judices, ut mihi quidem videtur, rectissime percipietis omnem controversiam, illud tempus si recordemini et quo loco res nostræ fuerint spectetis, quum ego Menexenum et Philomelum misi, qui depositum reposcerent, ac Pasio primum abnegare ausus fuit. Patrem enim meum fuisse comprehensum et opibus universis privatum, neque mihi licuisse (qui status rerum mearum tum fuit) vel hic manere vel navigare in Pontum, reperietis. (46) Atqui utrum verisimilius est, me in tantis calamitatibus injuste accusare, an Pasionem tum nostris ingentibus malis, tum magnitudine pecuniæ impulsum esse ut nos fraudaret? Quis vero unquam adeo calumniarum cupidus exstitit, ut ipse in vitæ periculo constitutus alienis opibus insidiaretur? qua spe autem, quo consilio contra istum injuste venissem? an ut meam potentiam reformidans statim argentum mihi numeraturus esset? Atqui non ita cum utroque nostrûm agebatur. (47) An vero negotio in forum deducto, etiam præter æquitatem meliore conditione futurus eram apud vos quam Pasio? At ne hic manere quidem parabam, quum timerem ne me Satyrus a vobis deposceret. An ut nullo meo commodo istum inimicum haberem, quum nemo in tota urbe esset quo familiarius utebar? Et quis vestrûm est qui me tantæ insaniæ et inscitiæ condemnaret?

48. Est autem, judices, operæ pretium considerare, quam absurda et minime credenda Pasio identidem dicere instituat. Quum enim ita mecum ageretur, ut, etiamsi fateretur me pecuniis a se fraudari, persequi tamen injuriam non possem, tum criminatur me injuste litem inferre conatum esse: quum autem reconciliata Satyri gratia istum omnes judicio convictum iri crederent, tum demum ait me totam sibi litem condonasse. Quo quid fieri potest absurdius?

49. Neque vero in his tantum, sed ceteris etiam in rebus eum sibi contraria tum dicere, tum agere, palam deprehenditur, qui quum puerum, quem ipse occultarat, plagio per nos abductum conquestus esset, eundemque, quum census ageretur, pro servo cum ceteris famulis inscripsisset; ubi vero Menexenus eum in quæstionem postulavit, pro libero asseruerit: (50) deinde quum deposito nos fraudaret, criminari non dubitarit nos a sua mensa sex talenta abstulisse. Enimvero qui in rebus ita manifestis mentiri non dubitat, quid ei fidei habendum est de iis quæ solus cum solo egit?

51. Postremo, judices, quum se ad Satyrum navigaturum et quicquid ille pronunciasset, facturum promisisset, etiam in eo me decepit. Atque ipse quidem navigare noluit sæpe

εἰσέπεμψε δὲ τὸν Κίττον· ὃς ἐλθὼν ἐκεῖσ' ἔλεγεν ὅτι ἐλεύθερος εἴη καὶ τὸ γένος Μιλήσιος, εἰσπέμψειε δ' αὐτὸν Πασίων διδάξοντα περὶ τῶν χρημάτων. (52) Ἀκούσας δὲ Σάτυρος ἀμφοτέρων ἡμῶν δικάζειν μὲν οὐχ b ἠξίου περὶ τῶν ἐνθάδε γενομένων συμβολαίων, ἄλλως τε καὶ μὴ παρόντος τούτου μηδὲ μέλλοντος ποιήσειν ἃ ἐκεῖνος δικάσειεν, οὕτω δὲ σφόδρ' ἐνόμιζεν ἀδικεῖσθαί με, ὥστε συγκαλέσας τοὺς ναυκλήρους ἐδεῖτ' αὐτῶν βοηθεῖν ἐμοὶ καὶ μὴ περιορᾶν ἀδικούμενον, καὶ πρὸς τὴν πόλιν συγγράψας ἐπιστολὴν ἔδωκε φέρειν Ξενοτίμῳ τῷ Καρκίνου. Καί μοι ἀνάγνωθι αὐτοῖς.

ΕΠΙΣΤΟΛΗ.

53. Οὕτω τοίνυν, ὦ ἄνδρες δικασταί, πολλῶν μοι c τῶν δικαίων ὑπαρχόντων, ἐκεῖν' ἡγοῦμαι μέγιστον εἶναι τεκμήριον ὡς ἀποστερεῖ με Πασίων τῶν χρημάτων, ὅτι τὸν παῖδα οὐκ ἠθέλησε βασανίζειν ἐκδοῦναι τὸν συνειδότα περὶ τῆς παρακαταθήκης. Καίτοι περὶ τῶν πρὸς τοὺς ἐπὶ ταῖς τραπέζαις συμβολαίων τίς ἂν ἔλεγχος ἰσχυρότερος τούτου γένοιτο; οὐ γὰρ δὴ μάρτυράς γ' αὐτῶν ποιούμεθα. (54) Ὁρῶ δὲ καὶ ὑμᾶς καὶ περὶ τῶν ἰδίων καὶ περὶ τῶν δημοσίων οὐδὲν πιστότερον οὐδ' ἀληθέστερον βασάνου νομίζοντας, καὶ μάρ- d τυρας μὲν ἡγουμένους οἷόν τ' εἶναι καὶ τῶν μὴ γεγενημένων παρασκευάσασθαι, τὰς δὲ βασάνους φανερῶς ἐπιδεικνύναι ὁπότεροι τἀληθῆ λέγουσιν. Ἃ οὗτος εἰδὼς ἠβουλήθη εἰκάζειν ὑμᾶς περὶ τοῦ πράγματος μᾶλλον ἢ σαφῶς εἰδέναι· Οὐ γὰρ δὴ τοῦτό γ' ἂν εἰπεῖν ἔχοι, ὡς ἔλαττον ἔμελλεν ἕξειν ἐν τῇ βασάνῳ, καὶ διὰ τοῦτ' οὐκ εἰκὸς ἦν αὐτὸν ἐκδοῦναι. (55) Πάντες γὰρ ἐπίστασθ' ὅτι κατειπὼν μὲν ἤμελλε τὸν ἐπί- e λοιπον χρόνον ὑπὸ τούτου κάκιστ' ἀνθρώπων ἀπολεῖσθαι, διακαρτερήσας δὲ καὶ ἐλεύθερος ἔσεσθαι καὶ μεθέξειν ὧν οὗτος ἐμὲ ἀπεστέρησεν. Ἀλλ' ὅμως τοσούτῳ
370 μᾶλλον πλέον ἕξειν, συνειδὼς αὑτῷ τὰ πεπραγμένα, ὑπέ- a μεινε καὶ δίκας φεύγειν καὶ τὰς ἄλλας αἰτίας ἔχειν, ὥστε μηδεμίαν βάσανον περὶ τοῦ πράγματος τούτου γενέσθαι.

56. Ἐγὼ οὖν ὑμῶν δέομαι μεμνημένους τούτων καταψηφίσασθαι Πασίωνος, καὶ μὴ τοσαύτην πονηρίαν ἐμοῦ καταγνῶναι, ὡς οἰκῶν ἐν τῷ Πόντῳ, καὶ τοσαύτην οὐσίαν κεκτημένος ὥστε καὶ ἑτέρους εὖ ποιεῖν δύνασθαι, Πασίωνα ἦλθον συκοφαντήσων καὶ ψευδεῖς b αὐτῷ παρακαταθήκας ἐγκαλῶν.

57. Ἄξιον δὲ καὶ Σατύρου καὶ τοῦ πατρὸς ἐνθυμηθῆναι, οἳ πάντα τὸν χρόνον περὶ πλείστου τῶν Ἑλλήνων ὑμᾶς ποιοῦνται, καὶ πολλάκις ἤδη διὰ σπάνιν σίτου τὰς τῶν ἄλλων ἐμπόρων ναῦς κενὰς ἐκπέμποντες ὑμῖν ἐξαγωγὴν ἔδοσαν· καὶ ἐν τοῖς ἰδίοις συμβολαίοις, ὧν ἐκεῖνοι κριταὶ γίγνονται, οὐ μόνον ἴσον ἀλλὰ καὶ πλέον ἔχοντες ἀπέρχεσθε. (58) Ὥστ' οὐκ ἂν εἰκότως c περὶ ὀλίγου ποιήσαισθε τὰς ἐκείνων ἐπιστολάς. Δέομαι οὖν ὑμῶν καὶ ὑπὲρ ἐμαυτοῦ καὶ ὑπὲρ ἐκείνων τὰ δίκαια ψηφίσασθαι, καὶ μὴ τοὺς Πασίωνος λόγους ψευδεῖς ὄντας πιστοτέρους ἡγεῖσθαι τῶν ἐμῶν.

me postulante, sed Cittum misit: qui quum eo venisset, se hominem ingenuum esse dixit genere Milesium, atque a Pasione missum, ut exponeret quid actum esset de pecuniis. (52) Satyrus autem utroque nostrûm audito jus quidem dicere de contractibus hic factis noluit, quum præsertim hic nec adesset, nec quod illic decerneretur, facturus esset: sed tam insignem injuriam mihi fieri judicavit, ut navicularios convocatos rogarit, ut opem mihi ferrent neque injuria me affici paterentur, et scriptas ad civitatem vestram literas Xenotimo Carcini filio perferendas dederit. Has nunc recita ipsis.

LITERÆ.

53. Quum autem, judices, tanta meæ causæ sit æquitas, illud evidentissimum signum esse arbitror me pecuniis a Pasione fraudari, quod puerum depositi conscium in quæstionem dare noluit. Quæ enim contra mensarium alia probatio hac evidentior esse possit? nec enim scilicet testes adhibemus. (54) Video autem vos quoque neque publicis neque privatis in rebus quicquam fide majore dignum aut verius existimare tormentis, ac fieri quidem posse ut aliqui subornentur qui testes sint rerum non factarum, per cruciatus autem extorta testimonia perspicue ostendere, utri vera dicant. Quæ iste haud ignoravit, eaque de causa vos conjectura uti quam vere intelligere rem maluit. Neque vero dicere potest quæstiones pro nobis potius quam pro se futuras fuisse, propterea que se puerum dedere noluisse. (55) Omnes enim scitis ei si, contra istum dixisset, per omne vitæ suæ tempus summam istius crudelitatem fuisse perferendam; sin animi constantia tormentorum acerbitatem superasset, tum libertate donatum, tum fraudatæ pecuniæ participem futurum fuisse. Etsi vero tanto meliore conditione futurus erat, conscientia tamen facinorum commissorum et judicium detrectare et alias criminationes subire maluit, ut ne quid certi de negotio per quæstiones comperiretur.

56. Itaque vos rogo, judices, ut horum memores Pasionem condemnetis neque arbitremini me ita esse improbum, ut qui in Ponto habitem et tantas opes habeam, ut aliis etiam benefacere possim, Pasionem calumniatum advenerim et de falsis depositis accusatum.

57. Est etiam Satyri et patris mei habenda ratio, qui omni tempore vos inter Græcos maximi fecerunt et faciunt, qui, quum in frumenti penuria sæpe naves aliorum mercatorum vacuas dimiserint, vobis exportandi facultatem dederunt; in privatis etiam contractibus, quorum illi judices sunt, non tantum pari, sed etiam liberaliore jure discedetis. (58) Quare vos eorum literas parvi facere non decet. Quæso igitur vos, ut et propter me et propter illos ea quæ justa sunt decernatis, neque Pasionis ementitam orationem plus quam meæ veritatem valere patiamini.

18.

ΠΑΡΑΓΡΑΦΗ ΠΡΟΣ ΚΑΛΛΙΜΑΧΟΝ.

371 Εἰ μὲν καὶ ἄλλοι τινὲς ἦσαν ἠγωνισμένοι τοιαύτην a παραγραφήν, ἀπ' αὐτοῦ τοῦ πράγματος ἠρχόμην ἂν τοὺς λόγους ποιεῖσθαι· νῦν δὲ ἀνάγκη περὶ τοῦ νόμου πρῶτον εἰπεῖν καθ' ὃν εἰσεληλύθαμεν, ἵν' ἐπιστάμενοι περὶ ὧν ἀμφισβητοῦμεν τὴν ψῆφον φέρητε, καὶ μηδεὶς ὑμῶν θαυμάσῃ, διότι φεύγων τὴν δίκην πρότερος λέγω τοῦ διώκοντος. (2) Ἐπειδὴ γὰρ ἐκ Πειραιέως κατελθόντες b ἐνίους ἑωρᾶτε τῶν πολιτῶν συκοφαντεῖν ὡρμημένους καὶ τὰς συνθήκας λύειν ἐπιχειροῦντας, βουλόμενοι τούτους τε παῦσαι καὶ τοῖς ἄλλοις ἐπιδεῖξαι ὅτι οὐκ ἀναγκασθέντες ἐποιήσασθε αὐτάς, ἀλλ' ἡγούμενοι τῇ πόλει συμφέρειν, εἰπόντος Ἀρχίνου νόμον ἔθεσθε, ἄν τις δικάζηται παρὰ τοὺς ὅρκους, ἐξεῖναι τῷ φεύγοντι παραγράψασθαι, τοὺς δὲ ἄρχοντας περὶ τούτου πρῶτον εἰσάγειν, λέγειν δὲ πρότερον τὸν παραγραψάμενον, c (3) ὁπότερος δ' ἂν ἡττηθῇ, τὴν ἐπωβελίαν ὀφείλειν, ἵν' οἱ τολμῶντες μνησικακεῖν μὴ μόνον ἐπιορκοῦντες ἐξελέγχοιντο μηδὲ τὴν παρὰ τῶν θεῶν τιμωρίαν ὑπομένοιεν, ἀλλὰ καὶ παραχρῆμα ζημιοῖντο. Δεινὸν οὖν ἡγησάμην, εἰ τῶν νόμων οὕτως ἐχόντων ἐγὼ περιόψομαι τὸν μὲν συκοφάντην ἐν τριάκοντα δραχμαῖς κινδυνεύοντα, ἐμαυτὸν δὲ περὶ τῆς οὐσίας ἁπάσης ἀγωνιζόμενον.

4. Ἀποδείξω δὲ Καλλίμαχον οὐ μόνον παρὰ τὰς d συνθήκας δικαζόμενον, ἀλλὰ καὶ περὶ τῶν ἐγκλημάτων ψευδόμενον, καὶ προσέτι δίαιταν ἡμῖν γεγενημένην περὶ αὐτῶν. Βούλομαι δ' ἐξ ἀρχῆς ὑμῖν διηγήσασθαι τὰ πραχθέντα· ἐὰν γὰρ τοῦτο μάθητε, ὡς οὐδὲν ὑπ' ἐμοῦ κακὸν πέπονθεν, ἡγοῦμαι ταῖς τε συνθήκαις ὑμᾶς ἥδιον βοηθήσειν καὶ τούτῳ μᾶλλον ὀργιεῖσθαι.

372 5. Ἦρχον μὲν γὰρ οἱ δέκα οἱ μετὰ τοὺς τριάκοντα a καταστάντες, ὄντος δέ μοι Πατροκλέους ἐπιτηδείου, τοῦ τότε βασιλεύοντος, ἔτυχον μετ' αὐτοῦ βαδίζων. Ἐκεῖνος δὲ ἐχθρὸς ὢν Καλλιμάχῳ τῷ νῦν ἐμὲ διώκοντι τὴν δίκην, ἀπήντησεν ἀργύριον φέροντι. Λαβόμενος δὲ αὐτοῦ Φίλον ἔφασκεν αὐτὸ καταλιπεῖν δημόσιον γίγνεσθαι· ἐκεῖνον γὰρ εἶναι τῶν ἐν Πειραιεῖ. (6) Ἀμφισβητοῦντες δὲ περὶ τούτου, καὶ λοιδορίας αὐτοῖς γενομένης, ἄλλοι μὲν πολλοὶ συνέδραμον, καὶ κατὰ b τύχην Ῥίνων εἷς τῶν δέκα γενόμενος προσῆλθεν. Εὐθὺς οὖν πρὸς αὐτὸν τὴν φάσιν τῶν χρημάτων ὁ Πατροκλῆς ἐποιεῖτο· ὁ δ' ὡς τοὺς συνάρχοντας ἦγεν ἀμφοτέρους. Ἐκεῖνοι δ' εἰς τὴν βουλὴν περὶ αὐτῶν ἀπέδοσαν· κρίσεως δὲ γενομένης ἔδοξε τὰ χρήματα δημόσια εἶναι. (7) Μετὰ δὲ ταῦτα, ἐπειδὴ κατῆλθον οἱ φεύγοντες ἐκ Πειραιέως, ἐνεκάλει τῷ Πατροκλεῖ καὶ δίκας ἐλάγχανεν ὡς αἰτίῳ τῆς συμφορᾶς γεγενημένῳ· διαλ- c λαγεὶς δὲ πρὸς ἐκεῖνον, καὶ πραξάμενος αὐτὸν δέκα μνᾶς ἀργυρίου, Λυσίμαχον ἐσυκοφάντει· λαβὼν δὲ καὶ παρὰ τούτου διακοσίας δραχμάς, ἐμοὶ πράγματα παρεῖχεν. Καὶ τὸ μὲν πρῶτον ἐνεκάλει φάσκων με

18.

EXCEPTIO ADVERSUS CALLIMACHUM.

Si etiam alii qui talem exceptionem in forum attulissent, ab ipsa re exorsus essem; nunc de lege primum dicere necesse est, qua in judicium venimus, uti controversia, quæ inter nos est, cognita pronuncietis, nemoque vestrûm miretur me, qui reus sim, priorem dicere accusatore. (2) Postquam e Piræeo in urbem reversi quosdam cives ad calumniandum vidistis incitatos, qui pacta solvere instituerent, tum ut illos compesceretis, tum ut aliis ostenderetis vos non coactos, sed utilitate reipublicæ adductos pacificationem admisisse, Archino rogante legem scivistis, si quis actionem contra datum jusjurandum institueret, ut reo exceptione, quæ paragraphe diceretur, uti liceret, utque archontes ea de re primum cognoscerent et is priore loco diceret, qui crimen præscriptione summoveret; (3) uter vero succubuisset, is mulctam solveret, ut qui veteres offensas renovare auderent, non perjurii tantum convincerentur neque divinam modo ultionem exspectandam haberent, sed confestim etiam pœnas darent. Iniquum igitur esse duxi, si, quum hæc legibus constituta essent, calumniatorem tantum triginta drachmarum periculo certare, meam vero rem familiarem totam in discrimen venire sinerem.

4. Ostendam autem Callimachum non tantum contra fœdera litem intendere, sed falsa etiam crimina comminisci, et arbitri quoque sententiam intercessisse. Ac rem vobis omnem, ut ab initio gesta est, exponam. Hoc enim ubi cognoveritis, nullam ei a me ortam esse injuriam; vos et fœdera libentius defensuros arbitror et isti fore iratiores.

5. Decemviris, qui post triginta tyrannos constituti fuerunt, imperantibus accidit ut ego cum Patrocle, qui tum regem agebat, familiari meo, ambularem. Is Callimacho inimico suo, qui me nunc accusat, pecuniam ferenti factus est obviam. Quo comprehenso Philum illam reliquisse pecuniam dixit eamque esse in publicum redigendam; illum enim esse eorum qui in Piræeum confugissent. (6) Qua de re contentione orta factisque mutuis conviciis, quum alii multi concurrerunt, tum forte fortuna Rhino etiam, unus e decemviris, accessit. Statim igitur Patrocles ad eum de pecuniis refert; is ad collegas istorum utrumque ducit. Quiquum senatus auctoritati rem permisissent, facto judicio decretum est pecuniam illam esse publicam. (7) Post quum exules e Piræeo rediissent, de Patrocle querebatur, eumque accusabat ut auctorem illius calamitatis. Re vero cum illo transacta et decem minis argenti extortis, Lysimachum criminabatur, acceptisque ab eo etiam ducentis drachmis, mihi negotium facessebat. Ac primum quidem illud accusabat, me

συμπράττειν ἐκείνοις, τελευτῶν δὲ εἰς τοῦτο ἀναιδείας ἦλθεν, ὥστε ἁπάντων με τῶν γεγενημένων ᾐτιᾶτο· ἅπερ ἴσως καὶ νῦν τολμήσει κατηγορεῖν. (8) Ἐγὼ δ' ὑμῖν παρέξομαι μάρτυρας πρῶτον μὲν τοὺς ἐξ ἀρχῆς d παραγενομένους, ὡς οὔτ' ἐπελαβόμην οὔτ' ἐφηψάμην τῶν χρημάτων, ἔπειτα [Ῥίνωνα] καὶ τοὺς συνάρχοντας, ὡς οὐκ ἐγὼ τὴν φάσιν ἀλλὰ Πατροκλῆς ἐποιήσατο πρὸς αὐτούς, ἔτι δὲ τοὺς βουλευτάς, ὡς ἐκεῖνος ἦν ὁ κατηγορῶν. Καί μοι κάλει τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

9. Οὕτω τοίνυν πολλῶν παραγενομένων τοῖς πραχθεῖσιν, ὥσπερ οὐδενὸς συνειδότος αὐτὸς μὲν οὗτος ἐφιστάμενος εἰς τοὺς ὄχλους καὶ καθίζων ἐπὶ τοῖς ἐργαστηρίοις e λόγους ἐποιεῖτο ὡς δεινὰ πεπονθὼς ὑπ' ἐμοῦ καὶ τῶν χρημάτων ἀπεστερημένος, τῶν δὲ χρωμένων τινὲς τούτῳ προσιόντες μοι συνεβούλευον ἀπαλλάττεσθαι τῆς πρὸς τοῦτον διαφορᾶς, καὶ μὴ βούλεσθαι κακῶς ἀκούειν μηδὲ κινδυνεύειν περὶ πολλῶν χρημάτων, μηδ' εἰ σφόδρα 373 πιστεύω τῷ πράγματι, λέγοντες ὡς πολλὰ παρὰ a γνώμην ἐν τοῖς δικαστηρίοις ἀποβαίνει, (10) καὶ ὅτι τύχῃ μᾶλλον ἢ τῷ δικαίῳ κρίνεται τὰ παρ' ὑμῖν, ὥστε λυσιτελεῖν μοι μικρὰ ἀναλώσαντι μεγάλων ἐγκλημάτων ἀπαλλαγῆναι μᾶλλον ἢ μηδὲν ἀποτίσαντι κινδυνεύειν περὶ τηλικούτων. Τί ἂν ὑμῖν καθ' ἕκαστον διηγοίμην, ἃ πολλὰ παρέλιπον τῶν εἰθισμένων περὶ τῶν τοιούτων λέγεσθαι; Τελευτῶν δ' οὖν ἐπείσθην (ἅπαντα b γὰρ εἰρήσεται τἀληθῆ πρὸς ὑμᾶς) δοῦναι τούτῳ διακοσίας δραχμάς. Ἵνα δὲ μὴ πάλιν ἐξείη συκοφαντεῖν αὐτῷ, δίαιταν ἐπὶ ῥητοῖς ἐπετρέψαμεν Νικομάχῳ Βατῆθεν.

ΜΑΡΤΥΡΕΣ.

11. Τὸ μὲν τοίνυν πρῶτον ἐνέμεινε τοῖς ὡμολογημένοις, ὕστερον δ' ἐπιβουλεύσας μετὰ Ξενοτίμου τοῦ τοὺς νόμους διαφθείροντος καὶ τὰ δικαστήρια δεκάζοντος καὶ τὰς ἀρχὰς λυμαινομένου καὶ πάντων κακῶν αἰτίου λαγ- c χάνει μοι δίκην μυρίων δραχμῶν. Προβαλλομένου δ' ἐμοῦ μάρτυρα ὡς οὐκ εἰσαγώγιμος ἦν ἡ δίκη διαίτης γεγενημένης, ἐκείνῳ μὲν οὐκ ἐπεξῆλθεν, (12) εἰδὼς ὅτι, εἰ μὴ μεταλάβοι τὸ πέμπτον μέρος τῶν ψήφων, τὴν ἐπωβελίαν ὀφλήσει, πείσας δὲ τὴν ἀρχὴν πάλιν τὴν αὐτὴν δίκην ἐγράψατο, ὡς ἐν τοῖς πρυτανείοις μόνον κινδυνεύσων. Ἀπορῶν δ' ὅ τι χρησαίμην τοῖς κακοῖς, ἡγησάμην εἶναι κράτιστον ἐξ ἴσου καταστήσαντα ἀμφοτέροις τὸν κίνδυνον εἰσελθεῖν εἰς ὑμᾶς. Καὶ τὰ μὲν γε- d νόμενα ταῦτ' ἐστίν.

13. Πυνθάνομαι δὲ Καλλίμαχον οὐ μόνον περὶ τῶν ἐγκλημάτων διανοεῖσθαι ψευδῆ λέγειν, ἀλλὰ καὶ τὴν δίαιταν μέλλειν ἔξαρνον εἶναι, καὶ παρεσκευάσθαι λέγειν τοιούτους λόγους, ὡς οὐκ ἄν ποτε ἐπέτρεψε Νικομάχῳ δίαιταν, ὃν ἠπίστατο πάλαι χρώμενον ἡμῖν, καὶ ὡς οὐκ εἰκὸς ἦν αὐτὸν ἀντὶ μυρίων δραχμῶν διακοσίας e ἐθελῆσαι λαβεῖν. (14) Ὑμεῖς δὲ ἐνθυμεῖσθε πρῶτον

adjutorem illis fuisse; postremo autem ad eam impudentiam processit, ut omnem culpam in me unum conferret: quæ fortasse etiam nunc afferre audebit. (8) Ego vero testes ad vos producam, eos primum, qui ab initio interfuerunt, uti constet me eum nec apprehendisse neque pecuniam attigisse; deinde [Rhinonem] et collegas, qui sciunt Patroclem, non me, rem ad ipsos detulisse; atque etiam senatores, e quorum testimoniis cognoscetis illum fuisse accusatorem. Age, voca mihi rerum harum testes.

TESTES.

9. Quum igitur tam multi actis illis interfuerint, tamen iste, perinde ac si nemo esset conscius, quum ipse in circulos sese ingerens et in officinis sedens verba faciebat, ut qui pessime a me tractatus pecuniisque spoliatus esset; tum ejus familiares quidam me conveniebant, suadentes ut cum eo controversiam illam transigerem nec male audire vellem aut in magnæ pecuniæ periculum venire, etiamsi mihi optimam habere causam viderer; multa enim in judiciis præter opinionem evenire, (10) et apud vos in ferendis suffragiis casum potius quam æquitatem dominari: quare utilius et conducibilius esse mihi parvo sumptu magnis criminibus liberari quam nulla pecunia numerata tantum periculum subire. Quid vobis ea singulatim commemorem, quæ a me pleraque prætermissa de hujusmodi negotiis dici solent? Postremo igitur parui (nam omnem veritatem vobis dicam) ac ducentas isti drachmas dedi. Ne vero illi de integro calumniari liceret, arbitrum certis conditionibus Nicomachum Batensem sumpsimus.

TESTES.

11. Ac primum pacta iste servabat; deinde consilio inito cum Xenotimo, qui et leges adulterat et judicia corrumpit et magistratus vexat, malorum denique omnium auctor est, die dicta decem millia drachmarum a me postulat. Quum autem ego teste producto actionem dari posse negarem, quod arbitrium intercessisset, litem quidem persecutus non est; (12) sciebat enim, nisi quintam suffragiorum partem tulisset, sibi mulctam fore solvendam; sed agendi potestate a magistratu impetrata rursus eandem mihi actionem intendit, ut periculo sacramenti tantum experiretur. Ego vero animi dubius, quo in his malis me verterem, postremo consultissimum esse duxi æquato utrinque discrimine in judicium venire. Ac res ita actæ sunt.

13. Audio autem Callimachum in animo habere non tantum falsa mihi crimina objicere, sed arbitrium etiam negaturum et hujusmodi orationem esse meditatum, se nunquam Nicomacho delaturum arbitrium fuisse, quem olim nobis familiarem esse sciret, nec esse consentaneum ducentas se pro decies mille drachmis accipere voluisse. (14) Vos autem

μὲν ὅτι τὴν δίαιταν οὐκ ἀμφισβητοῦντες ἀλλ' ἐπὶ ῥητοῖς ἐπετρέψαμεν, ὥστε οὐδὲν ἄτοπον ἐποίησεν εἰ Νικόμα-
374 χον εἵλετο διαιτητήν, ἀλλὰ πολὺ μᾶλλον εἰ περὶ τῶν a πραγμάτων ὡμολογηκὼς περὶ τοῦ διαιτητοῦ διεφέρετο. Ἔπειτ' ὀφειλομένων μὲν αὐτῷ μυρίων δραχμῶν οὐκ εἰκὸς ἦν αὐτὸν ἐπὶ δυοῖν μναῖν ποιήσασθαι τὴν διαλλαγήν· ἀδίκως δὲ αἰτιώμενον καὶ συκοφαντοῦντα οὐδὲν θαυμαστὸν τοσοῦτον ἐθελῆσαι λαβεῖν. Ἔτι δέ, εἰ μεγάλα ἐγκαλῶν ὀλίγα ἐπράξατο, οὐ τούτῳ τοῦτο τεκμήριόν ἐστιν ὡς ἡ δίαιτα οὐ γέγονεν, ἀλλὰ πολὺ μᾶλλον ἡμῖν b ὡς καὶ τὴν ἀρχὴν οὐ δικαίως ἐνεκάλεσεν. (15) Θαυμάζω δ' εἰ αὐτὸν μὲν ἱκανὸν γνῶναι νομίζει ὅτι οὐκ εἰκὸς ἀντὶ μυρίων δραχμῶν διακοσίας ἐθελῆσαι λαβεῖν, ἐμὲ δ' οὐκ ἂν οἴεται τοῦτ' ἐξευρεῖν, εἴ περ ἐβουλόμην ψευδῆ λέγειν, ὅτι πλέον ἔδει φάσκειν τούτων δεδωκέναι. Ἀξιῶ δέ, ὅσον περ ἂν τούτῳ σημεῖον ἦν ὡς ἡ δίαιτα οὐ γέγονεν, ἑλόντι τὰ διαμαρτυρηθέντα, τοσοῦτον ἐμοὶ c γενέσθαι τεκμήριον ὡς ἀληθῆ λέγω περὶ αὐτῆς, ἐπειδὴ τῷ μάρτυρι φανερός ἐστιν οὐδ' ἐπεξελθεῖν ἀξιώσας.

16. Ἡγοῦμαι δέ, εἰ μήτε ἡ δίαιτα ἐγεγόνει μήτε τῶν πεπραγμένων ἦσαν μάρτυρες, ἔδει δ' ἐκ τῶν εἰκότων σκοπεῖν, οὐδ' οὕτω χαλεπῶς ἂν ὑμᾶς γνῶναι τὰ δίκαια. Εἰ μὲν γὰρ καὶ τοὺς ἄλλους ἀδικεῖν ἐτόλμων, εἰκότως ἂν μου κατεγιγνώσκετε καὶ περὶ τοῦτον ἐξαμαρτάνειν· νῦν δὲ οὐδένα φανήσομαι τῶν πολιτῶν οὔτε d χρήμασι ζημιώσας οὔτε περὶ τοῦ σώματος εἰς κίνδυνον καταστήσας, οὔτ' ἐκ μὲν τῶν μετεχόντων τῆς πολιτείας ἐξαλείψας, εἰς δὲ τὸν μετὰ Λυσάνδρου κατάλογον ἐγγράψας. (17) Καίτοι πολλοὺς ἐπῆρεν ἡ τῶν τριάκοντα πονηρία τοιαῦτα ποιεῖν· οὐ γὰρ ὅτι τοὺς ἀδικοῦντας ἐκόλαζον, ἀλλ' ἐνίοις καὶ προσέταττον ἐξαμαρτάνειν. Ἐγὼ μὲν τοίνυν οὐδ' ἐπὶ τῆς ἐκείνων ἀρχῆς οὐδὲν εὑρεθήσομαι τοιοῦτον ἐργασάμενος· οὗτος δὲ ἀδικηθῆναί φησιν, ὅτε ἐξεβέβληντο μὲν οἱ τριάκοντα, ὁ δὲ Πειραιεὺς ἦν e κατειλημμένος, ἐκράτει δ' ὁ δῆμος, περὶ διαλλαγῶν δ' ἦσαν οἱ λόγοι. (18) Καίτοι δοκεῖ ἂν ὑμῖν, ὅστις ἐπὶ τῶν
375 τριάκοντα κόσμιον ἑαυτὸν παρέσχεν, εἰς τοῦτον ἀποθέσθαι a τὸν χρόνον ἀδικεῖν, ἐν ᾧ καὶ τοῖς πρότερον ἡμαρτηκόσι μετέμελεν; ὃ δὲ πάντων δεινότατον, εἰ τῶν μὲν ὑπαρχόντων ἐχθρῶν μηδ' ἀμύνεσθαι μηδένα ἠξίωσα, τοῦτον δὲ κακῶς ποιεῖν ἐπεχείρουν, πρὸς ὃν οὐδέν πώποτέ μοι συμβόλαιον ἐγένετο.

19. Ὡς μὲν οὖν οὐκ αἴτιός εἰμι Καλλιμάχῳ τῆς τῶν χρημάτων δημεύσεως, ἱκανῶς ἀποδεδεῖχθαί μοι νομίζω· ὡς δὲ οὐκ ἐξῆν αὐτῷ δικάζεσθαι περὶ τῶν τότε b γεγενημένων, οὐδ' εἰ πάντα ταῦτ' ἦν πεποιηκὼς ἅ φησιν αὐτός, ἐκ τῶν συνθηκῶν γνώσεσθε. Καί μοι λαβὲ τὸ βιβλίον.

ΣΥΝΘΗΚΑΙ.

20. Ἆρα μικρῷ τῷ δικαίῳ πιστεύων τὴν παραγραφὴν ἐποιησάμην, ἀλλ' οὐ τῶν μὲν συνθηκῶν διαρρήδην ἀφιεισῶν τοὺς ἐνδείξαντας ἢ φήναντας ἢ τῶν ἄλλων τι τῶν τοιούτων πράξαντας, ἐμαυτὸν δ' ἔχων ἀποφαίνειν

consideretis velim primum nos ad arbitrum venisse re non controversa, sed pactione facta. Quare nihil absurdi fecit, si Nicomachum arbitrum dedit; sed id potius esset inconveniens, si re jam probata de arbitro rixaretur. Deinde, si quidem illi decies mille drachmæ deberentur, non veri esset simile duabus minis fore contentum: sed quum injuste criminaretur et per calumniam, nihil miri est tantillum accipere voluisse. Præterea si multa postulavit, pauca exegit, non eo argumento probat arbitrium non intercessise, sed illud potius, se nos initio per injuriam accusasse. (15) Miror autem eum, si se idoneum putet qui intelligat non esse veri simile se pro decies mille drachmis ducentas accipere voluisse, me autem non credat, qui excogitare non potuerim, si mentiri voluissem, dicendum fuisse me multo plus numerasse. Peto autem, quantum ei argumentum est arbitrii non interpositi, si testimonia falsa esse evicerit, ut tantum mihi quoque illud signum sit me de arbitrio vera dicere, quod testem reum peragere ne voluisse quidem illum constat.

16. Ceterum si nec arbitrium factum esset, nec ulli de re testimonium dicerent, sed conjecturis solum nitendum esset, ne sic quidem vos non facile, quid justum esset, cognituros arbitror. Nam si hactenus alios quoque læsissem, non immerito statueretis me erga istum etiam deliquisse; nunc vero me neminem civium vel pecuniis mulctasse, vel in periculum capitis adduxisse, vel civitate privatum in Lysandri catalogum inscripsisse constabit. (17) Atqui triginta tyrannorum improbitas multos impulit ad talia facienda. Facinorosos enim non modo non puniebant, sed quibusdam etiam scelera imperabant. Nem autem me vel sub illorum imperio tale quicquam admisisse inveniet: iste vero sibi factam injuriam conqueritur ejectis jam triginta tyrannis et Piræeo occupato et populo rerum pollente, quum jam de pacificatione ageretur. (18) An vero creditis eum qui sub triginta tyrannis modeste se gesserit, injurias in id tempus faciendas reservasse, quo ceteros suorum facinorum pœniteret? Quid vero dici potest a veritate abhorrentius, quam me, qui inimicorum ulcisci neminem voluerim, istum lædere instituisse, cum quo nihil unquam rei mihi fuerit?

19. Ac me quidem in causa non fuisse ut ejus pecunia publicaretur, satis ostensum esse puto. Isti autem non licuisse afferre in judicium illorum temporum controversias, ne tum quidem, si fecissem omnia quæ ille arguit, e fœderibus cognoscetis. Cape mihi libellum.

FŒDERA.

20. An non igitur justam præscriptionis meæ causam habui, quum aperte fœdera omni periculo liberent tam delatores, quam quadruplatores, atque alios qui simile quippiam designarunt; egoque ostendere possim, me neque hæc

ὡς οὔτε ταῦτα πεποίηκα οὔτ' ἄλλο οὐδὲν ἐξήμαρτον; c Ἀνάγνωθι δή μοι καὶ τοὺς ὅρκους.

ΟΡΚΟΙ.

21. Οὐκ οὖν δεινόν, ὦ ἄνδρες δικασταί, οὕτω μὲν τῶν συνθηκῶν ἐχουσῶν, τοιούτων δὲ τῶν ὅρκων γενομένων, τοσοῦτον φρονεῖν Καλλίμαχον ἐπὶ τοῖς λόγοις τοῖς ἑαυτοῦ, ὥστε ἡγεῖσθαι πείσειν ὑμᾶς ἐναντία τούτοις ψηφίσασθαι; καὶ εἰ μὲν ἑώρα μεταμέλον τῇ πόλει τῶν πεπραγμένων, οὐκ ἄξιον ἦν θαυμάζειν αὐτοῦ· νῦν δὲ οὐ μόνον ἐν τῇ θέσει τῶν νόμων ἐπεδείξασθε περὶ πολλοῦ ποιούμενοι τὰς συνθήκας, (22) ἀλλὰ καὶ Φίλωνα τὸν ἐκ Κοίλης ἐνδειχθέντα παραπρεσβεύεσθαι, καὶ περὶ μὲν d τοῦ πράγματος οὐδὲν ἔχοντα ἀπολογήσασθαι, τὰς δὲ συνθήκας παρεχόμενον, ἔδοξεν ὑμῖν ἀφεῖναι καὶ μηδὲ κρίσιν περὶ αὐτοῦ ποιήσασθαι. Καὶ ἡ μὲν πόλις οὐδὲ παρὰ τῶν ὁμολογούντων ἐξαμαρτάνειν ἀξιοῖ δίκην λαβεῖν, οὗτος δὲ καὶ τοὺς οὐδὲν ἠδικηκότας τολμᾷ συκοφαντεῖν. (23) Καὶ μὴν οὐδὲ τάδ' αὐτὸν λέληθεν, ὅτι Θρασύβουλος καὶ Ἄνυτος μέγιστον μὲν δυνάμενοι τῶν e ἐν τῇ πόλει, πολλῶν δὲ ἀπεστερημένοι χρημάτων, εἰδότες δὲ τοὺς ἀπογράψαντας, ὅμως οὐ τολμῶσιν αὐτοῖς δίκας λαγχάνειν οὐδὲ μνησικακεῖν, ἀλλ' εἰ καὶ περὶ τῶν ἄλλων μᾶλλον ἑτέρων δύνανται διαπράττεσθαι, ἀλλ'
376 οὖν περί γε τῶν ἐν ταῖς συνθήκαις ἴσον ἔχειν τοῖς ἄλλοις a ἀξιοῦσιν. (24) Καὶ οὐχ οὗτοι μόνοι ταῦτα ἠξιώκασιν, ἀλλ' οὐδ' ὑμῶν οὐδεὶς τοιαύτην δίκην εἰσελθεῖν τετόλμηκεν. Καίτοι δεινόν, εἰ ἐπὶ μὲν τοῖς ὑμετέροις αὐτῶν πράγμασιν ἐμμένετε τοῖς ὅρκοις, ἐπὶ δὲ τῇ τούτου συκοφαντίᾳ παραβαίνειν ἐπιχειρήσετε, καὶ τὰς μὲν ἰδίας ὁμολογίας δημοσίᾳ κυρίας ἀναγκάζετε εἶναι, τὰς δὲ τῆς πόλεως συνθήκας ἰδίᾳ τὸν βουλόμενον λύειν ἐάσετε. (25) Ὃ δὲ πάντων ἄν τις μάλιστα θαυμάσειεν, εἰ, ὅτε μὲν b ἄδηλον ἦν εἰ συνοίσουσιν αἱ διαλλαγαὶ τῇ πόλει, τοιούτους ὅρκους ἐποιήσασθε περὶ αὐτῶν, ὥστ' εἰ καὶ μὴ συνέφερεν ἀναγκαῖον εἶναι τοῖς ὡμολογημένοις ἐμμένειν, ἐπειδὴ δὲ οὕτω καλῶς ὑμῖν συμβέβηκεν, ὥστε καὶ μηδεμιᾶς πίστεως γεγενημένης ἄξιον εἶναι τὴν παροῦσαν πολιτείαν διαφυλάττειν, (26) τηνικαῦτα τοὺς ὅρκους παραβήσεσθε, καὶ τοῖς μὲν εἰρηκόσιν ὡς χρὴ τὰς συν- c θήκας ἐξαλείφειν ὠργίζεσθε, τουτονὶ δέ, ὃς γεγραμμένας αὐτὰς τολμᾷ παραβαίνειν, ἀζήμιον ἀφήσετε. Ἀλλ' οὔτ' ἂν δίκαια οὔτ' ἄξια ὑμῶν αὐτῶν οὔτ' ἂν πρέποντα τοῖς πρότερον ἐγνωσμένοις ποιήσαιτε.

27. Ἐνθυμεῖσθε δὲ ὅτι περὶ τῶν μεγίστων ἥκετε δικάσοντες. Περὶ γὰρ συνθηκῶν τὴν ψῆφον οἴσετε, ἃς οὐδεπώποτε οὔθ' ὑμῖν πρὸς ἑτέρους οὔτ' ἄλλοις πρὸς ὑμᾶς ἐλυσιτέλησε παραβῆναι, τοσαύτην δ' ἔχουσι δύναμιν ὥστε τὰ πλεῖστα τοῦ βίου καὶ τοῖς Ἕλλησι καὶ d τοῖς βαρβάροις διὰ συνθηκῶν εἶναι. (28) Ταύταις γὰρ πιστεύοντες ὡς ἀλλήλους ἀφικνούμεθα, καὶ ποριζόμεθα ὧν ἕκαστοι τυγχάνομεν δεόμενοι· μετὰ τούτων καὶ τὰ συμβόλαια τὰ πρὸς ἡμᾶς αὐτοὺς ποιούμεθα, καὶ τὰς ἰδίας ἔχθρας καὶ τοὺς κοινοὺς πολέμους διαλυόμεθα· τού-

egisse, neque aliud quicquam deliquisse? Lege mihi etiam jusjurandum.

JUSJURANDUM.

21. Ferendumne est igitur, judices, quum talia fœdera sint et tali jurejurando firmata, ut Callimachus eloquentia sua fretus se vobis persuasurum esse putet, ut his contraria decernatis? Quodsi actorum civitatem pœnitere videret, minus esset mirandum: nunc non ferendis tantum legibus ostendistis vos fœdera magni facere, (22) sed etiam Philonem Cœlæum delatum falsæ legationis, quum rem ipsam defendere nullo modo posset, tamen ob hoc unum, quod fœdere nitebatur, et dimisistis et ne judicium quidem de eo facere voluistis. Quum igitur civitas illis etiam parcendum esse censeat, qui se peccasse fateantur: iste prorsus innocentes calumniari non dubitat. (23) Atqui ne illud quidem eum præterit, Thrasybulum et Anytum, tum in urbe potentissimos, tum pecuniis multis spoliatos, quamvis quadruplatores norint, tamen eos in jus vocare non audere, neque meminisse injuriarum; sed etiamsi ceteris in rebus plus aliis possunt, quod ad fœdera tamen attinet, æquo et pari jure cum ceteris vivendum sibi censent. (24) Neque hi solum hac æquitate usi sunt, sed ne vestrûm quidem quisquam talem actionem instituere ausus fuit. Atqui committendum vobis non est ut jusjurandum, quod in vestris negotiis servatis propter istius calumniam negligatis, et, quum privatas transactiones auctoritate publica sanciatis, civitatis conventiones privatim a quolibet everti patiamini. (25) Illud autem inprimis mirandum fuerit, vos, dum obscurum esset adhuc, utrum reconciliatio e republica futura esset, necne, ita eam jurejurando firmasse, ut etiamsi non expediret, stare tamen conventis necesse esset, si nunc demum, postquam eventus tam felix fuit, ut etiamsi fides data non esset, hanc Reipublicæ formam conservari deceret, (26) a jurejurando recedetis, si iis qui fœdera delenda esse dixerunt, fueritis irati, istum, qui ea jam in literas relata frangere audet, impune dimittetis. Sed neque justa neque vobis digna neque prioribus vestris decretis consentanea faceretis.

27. Cogitate autem vos maximis de rebus judicaturos convenisse. De fœderibus enim suffragia laturi estis, quæ nullo unquam tempore neque vobis erga alios neque aliis erga vos neglexisse profuit: in quibus tanta vis est, ut pleræque res tum Græcorum, tum barbarorum ex pactis et conventis transigantur. (28) His enim freti inter nos convenimus et commercia agitamus: per hæc inter nos negotia transigimus; per hæc tum privatas inimicitias, tum communia bella deponimus: hoc uno tanquam communi bono

τῳ μόνῳ κοινῷ πάντες ἄνθρωποι διατελοῦμεν χρώμενοι. (29) Ὥστε ἅπασι μὲν προσήκει βοηθεῖν αὐταῖς, μάλιστα e δ' ὑμῖν· ὑπόγυιον γάρ ἐστιν ἐξ οὗ καταπολεμηθέντες, ἐπὶ τοῖς ἐχθροῖς γενόμενοι, πολλῶν ἐπιθυμησάντων διαφθεῖραι τὴν πόλιν, εἰς ὅρκους καὶ συνθήκας κατεφύγομεν, ἃς εἰ Λακεδαιμόνιοι τολμῷεν παραβαίνειν, σφόδρ' ἂν
377 ἕκαστος ὑμῶν ἀγανακτήσειε. (30) Καίτοι πῶς οἷόν τ' a ἐστὶν ἑτέρων κατηγορεῖν οἷς αὐτός τις ἔνοχός ἐστιν; τῷ δ' ἂν δόξαιμεν ἀδικεῖσθαι παρὰ τὰς συνθήκας κακῶς πάσχοντες, εἰ μηδ' αὐτοὶ φαινοίμεθ' αὐτὰς περὶ πολλοῦ ποιούμενοι; τίνας δὲ πίστεις πρὸς τοὺς ἄλλους εὑρήσομεν, εἰ τὰς πρὸς ἡμᾶς αὐτοὺς γεγενημένας οὕτως εἰκῆ λύσομεν; (31) Ἄξιον δὲ καὶ τῶνδε μνησθῆναι, διότι πολλῶν καὶ καλῶν τοῖς προγόνοις ἐν τῷ πολέμῳ πεπραγμένων οὐχ ἥκιστα ἡ πόλις ἐκ τούτων τῶν διαλλαγῶν b εὐδοκίμησεν. Πρὸς μὲν γὰρ τὸν πόλεμον πολλαὶ πόλεις ἂν εὑρεθεῖεν καλῶς ἠγωνισμέναι, περὶ δὲ στάσεως οὐκ ἔστιν ἣν ἄν τις ἐπιδείξειεν ἄμεινον τῆς ἡμετέρας βεβουλευμένην. (32) Ἔτι δὲ τῶν μὲν τοιούτων ἔργων, ὅσα μετὰ κινδύνων πέπρακται, τὸ πλεῖστον ἄν τις μέρος τῇ τύχῃ μεταδοίη· τῆς δ' εἰς ἡμᾶς αὐτοὺς μετριότητος οὐδεὶς ἂν ἄλλ' ἢ τὴν ἡμετέραν γνώμην αἰτιάσαιτο. Ὥστ' οὐκ ἄξιον προδότας ταύτης τῆς δόξης γενέ- c σθαι.

33. Καὶ μηδεὶς ἡγείσθω με ὑπερβάλλειν μηδὲ μείζω λέγειν, ὅτι δίκην ἰδίαν φεύγων τούτους εἴρηκα τοὺς λόγους. Οὐ γὰρ μόνον περὶ τῶν ἐπιγεγραμμένων χρημάτων ἐστὶν οὗτος ὁ ἀγών, ἀλλ' ἐμοὶ μὲν περὶ τούτων, ὑμῖν δὲ περὶ τῶν ὀλίγῳ πρότερον εἰρημένων· ὑπὲρ ὧν οὐδεὶς οὔτ' ἂν εἰπεῖν ἀξίως δύναιτο οὔτ' ἂν τίμημα ἱκανὸν ἐπιγράψαιτο. (34) Τοσοῦτον γὰρ αὕτη διαφέρει τῶν ἄλλων δικῶν, ὥστε τῶν μὲν τοῖς ἀγωνιζομένοις d μόνον προσήκει, ταύτῃ δὲ τὸ κοινὸν τῆς πόλεως συγκινδυνεύει. Περὶ ταύτης δύο ὅρκους ὀμόσαντες δικάζετε, τὸν μέν, ὅνπερ ἐπὶ ταῖς ἄλλαις εἴθισθε, τὸν δ', ὃν ἐπὶ ταῖς συνθήκαις ἐποιήσασθε. Ταύτην ἀδίκως γνόντες οὐ τοὺς τῆς πόλεως μόνον νόμους ἀλλὰ καὶ τοὺς ἁπάντων κοινοὺς παραβήσεσθε. Ὥστε οὐκ ἄξιον οὔτε κατὰ χάριν οὔτε κατ' ἐπιείκειαν οὔτε κατ' ἄλλο οὐδὲν ἢ κατὰ τοὺς ὅρκους περὶ αὐτῶν ψηφίσασθαι.

35. Ὡς μὲν οὖν χρὴ καὶ συμφέρει καὶ δίκαιον ὑμᾶς e ἐστιν οὕτω περὶ τῶν συνθηκῶν γιγνώσκειν, οὐδ' αὐτὸν ἡγοῦμαι Καλλίμαχον ἀντερεῖν· οἶμαι δ' αὐτὸν ὀδυρεῖσθαι τὴν παροῦσαν πενίαν καὶ τὴν γεγενημένην αὐτῷ
378 συμφοράν, καὶ λέξειν ὡς δεινὰ καὶ σχέτλια πείσεται, a εἰ τῶν χρημάτων ὧν ἐπὶ τῆς ὀλιγαρχίας ἀφῃρέθη, τούτων ἐν δημοκρατίᾳ τὴν ἐπωβελίαν ὀφλήσει, καὶ εἰ τότε μὲν διὰ τὴν οὐσίαν τὴν αὑτοῦ φυγεῖν ἠναγκάσθη, νυνὶ δ' ἐν ᾧ χρόνῳ προσῆκεν αὐτὸν δίκην λαβεῖν ἄτιμος γενήσεται. (36) Κατηγορήσει δὲ καὶ τῶν ἐν τῇ μεταστάσει γενομένων, ὡς ἐκ τούτων μάλισθ' ὑμᾶς εἰς ὀργὴν καταστήσων· ἴσως γάρ τινος ἀκήκοεν ὡς ὑμεῖς, ὅταν b μὴ τοὺς ἀδικοῦντας λάβητε, τοὺς ἐντυγχάνοντας κολάζετε. Ἐγὼ δὲ οὔθ' ὑμᾶς ταύτην ἔχειν τὴν γνώμην

homines omnes uti non desistimus. (29) Quare quum omnium officium est fœdera tueri, tum vestrum inprimis. Nec enim diu est quum nobis bello subactis et in hostium potestatem redactis, quo tempore nostram urbem multi eversam volebant, ad jusjurandum et fœdera confugiendum fuit, quæ si Lacedæmonii violare auderent, vehementer unus quisque vestrûm indignaretur. (30) At quomodo quis de his rebus alios accuset, quibus ipse sit obnoxius? cui vero injuria affici videamur male tractati contra fœdera, si ne ipsi quidem ea magni faciamus? an vero nobis alii fidem habituri sunt, si eam fidem, quam ipsi mutuo dedimus, adeo temere solvemus? (31) Operæ pretium porro est illud etiam meminisse, nostram urbem, quum majores nostri multa præclare bello gesserint, ob hanc reconciliationem vel inprimis celebrari. Nam in præliis multæ urbes ostendi queant quæ strenue dimicarint; de seditione vero nemo ullam proferet, quæ prudentius nostra deliberarit. (32) Jam earum rerum quæ in acie geruntur, maximam partem suo quasi jure fortuna vindicat : hæc autem erga nos moderatio est nulli alii rei nisi nostræ prudentiæ tribuenda. Quare gloria hæc minime projicienda est.

33. Neque vero me quisquam putet excedere modum aut rem nimis exaggerare, propterea quod in privato periculo hæc verba feci. Nec enim ego tantum de postulatis pecuniis in discrimen venio, sed ut ego de his, sic vos de iis quæ paullo ante dicta sunt. Quibus de rebus neque pro dignitate quisquam dicere, nec pœnam satis grandem constituere possit. (34) Tantum enim inter hoc judicium et alia interest, ut cetera quidem ad reos solos pertineant; in hoc vero periculum commune civitatis agatur. De hoc bis jurati sententiam dicitis : semel de more judiciorum, iterum propter fœdera. Si in hoc judicio ab æquitate aberrabitis, non urbis nostræ tantum, sed etiam communes omnium leges violabitis. Quare minime vos decet vel gratiæ, vel lenitatis, vel ullius rei alterius in dicenda sententia, nisi jurisjurandi, rationem habere.

35. Ac decere quidem et expedire et justum esse ut sic de fœdere sentiatis, ne ipsum quidem Callimachum negaturum arbitror. Suam autem inopiam illum puto deploraturum esse et acceptam calamitatem, neque quidquam posse iniquius aut crudelius fieri, quam si mulctam etiam in democratia solvere cogatur pro iis pecuniis, quas in oligarchia vi spoliatus amiserit, ac tum propter opes suas exulare sit coactus, nunc eo tempore, quo ulciscenda sibi esset injuria, juris deminutione sit notandus. (36) Accusabit eos etiam, qui mutata republica in urbe manserunt, ut ea re ad maximam vos indignationem concitet. Fortassis enim audivit ex aliquo, vos, si sontes non deprehenderitis, obvios punire.

ἡγοῦμαι, πρός τε τοὺς ὑπειρημένους λόγους ῥᾴδιον ἀντειπεῖν νομίζω. (37) Πρὸς μὲν οὖν τοὺς ὀδυρμούς, ὅτι προσήκει βοηθεῖν ὑμᾶς οὐχ οἵτινες ἂν δυστυχεστάτους σφᾶς αὐτοὺς ἀποδείξωσιν, ἀλλ' οἵτινες ἂν περὶ ὧν ἀντωμόσαντο δικαιότερα λέγοντες φαίνωνται. Περὶ δὲ τῆς ἐπωβελίας, εἰ μὲν ἐγὼ τούτων τῶν πραγμάτων c
αἴτιος ἦν, εἰκότως ἂν αὐτῷ μέλλοντι ζημιώσεσθαι συνήχθεσθε· νῦν δ' οὗτός ἐστιν ὁ συκοφαντῶν, ὥστ' οὐδὲν ἂν δικαίως αὐτοῦ λέγοντος ἀποδέχοισθε. (38) Ἔπειτα κἀκεῖνο χρὴ σκοπεῖν, ὅτι πάντες οἱ κατελθόντες ἐκ Πειραιέως ἔχοιεν ἂν τοὺς αὐτοὺς λόγους εἰπεῖν οὕσπερ οὗτος, ὧν οὐδεὶς ἄλλος τετόλμηκε τοιαύτην δίκην εἰσελθεῖν. Καίτοι χρὴ μισεῖν ὑμᾶς τοὺς τοιούτους καὶ κακοὺς πολίτας νομίζειν, οἵτινες ταῖς μὲν συμφοραῖς ὁμοίαις τῷ πλήθει κέχρηνται, τὰς δὲ τιμωρίας διαφόρους τῶν ἄλ- d
λων ἀξιοῦσι ποιεῖσθαι. (39) Πρὸς δὲ τούτοις ἔτι καὶ νῦν ἔξεστιν αὐτῷ, πρὶν ἀποπειραθῆναι τῆς ὑμετέρας γνώμης, ἀφέντι τὴν δίκην ἀπηλλάχθαι πάντων τῶν πραγμάτων. Καίτοι πῶς οὐκ ἄλογόν ἐστιν ἐν τούτῳ τῷ κινδύνῳ ζητεῖν αὐτὸν ἐλέους παρ' ὑμῶν τυγχάνειν, οὗ κύριός ἐστιν αὐτός, καὶ εἰς ὃν αὐτὸς αὑτὸν καθίστησι, καὶ ὃν ἔτι καὶ νῦν ἔξεστιν αὐτῷ μὴ κινδυνεύειν; (40) Ἐὰν δ' ἄρα μεμνῆται τῶν ἐπὶ τῆς ὀλιγαρχίας γεγενη- e
μένων, ἀξιοῦτε αὐτὸν μὴ ἐκείνων κατηγορεῖν ὑπὲρ ὧν οὐδεὶς ἀπολογήσεται, ἀλλ' ὡς ἐγὼ τὰ χρήματα εἴληφα διδάσκειν, περὶ οὗπερ ὑμᾶς δεῖ ψηφίζεσθαι, μηδ' ὡς αὐτὸς δεινὰ πέπονθεν ἀποφαίνειν, ἀλλ' ὡς ἐγὼ πεποίηκα
379 ἐξελέγχειν, παρ' οὗπερ ἀξιοῖ τὰ ἀπολωλότα κομίζεσθαι· a
(41) ἐπεὶ κακῶς γε αὐτὸν πράττοντα ἐπιδεῖξαι καὶ πρὸς ἄλλον ὁντινοῦν ἀγωνιζόμενος τῶν πολιτῶν δύναται. Καίτοι χρὴ μέγα παρ' ὑμῖν δύνασθαι τῶν κατηγοριῶν οὐχ αἷς ἔξεστι χρῆσθαι καὶ πρὸς τοὺς μηδὲν ἡμαρτηκότας, ἀλλ' ἃς οὐχ οἷόν τ' εἰπεῖν ἀλλ' ἢ κατὰ τῶν ἠδικηκότων. Πρὸς μὲν οὖν τούτους τοὺς λόγους καὶ ταῦτ' ἴσως ἀρκέσει καὶ τάχα ἀντειπεῖν ἐξέσται.

42. Ἐνθυμεῖσθε δέ, εἰ καί τῳ δόξω δὶς περὶ τῶν b
αὐτῶν λέγειν, ὅτι πολλοὶ προσέχουσι ταύτῃ τῇ δίκῃ τὸν νοῦν, οὐ τῶν ἡμετέρων πραγμάτων φροντίζοντες, ἀλλ' ἡγούμενοι περὶ τῶν συνθηκῶν εἶναι τὴν κρίσιν. Οὓς ὑμεῖς τὰ δίκαια γνόντες ἀδεῶς οἰκεῖν ἐν τῇ πόλει ποιήσετε· εἰ δὲ μή, πῶς οἴεσθε διακείσεσθαι τοὺς ἐν ἄστει μείναντας, εἰ ὁμοίως ἅπασιν ὀργιζόμενοι φανήσεσθε τοῖς μετασχοῦσι τῆς πολιτείας; (43) τίνα δὲ γνώμην ἕξειν τοὺς καὶ μικρὸν ἁμάρτημα σφίσιν αὐτοῖς συνειδότας, c
ὅταν ὁρῶσι μηδὲ τοὺς κοσμίως πεπολιτευμένους τῶν δικαίων τυγχάνοντας; πόσην δὲ χρὴ προσδοκᾶν ἔσεσθαι ταραχήν, ὅταν οἱ μὲν ἐπαρθῶσι συκοφαντεῖν ὡς ὑμῶν αὐτοῖς ἤδη ταῦτ' ἐγνωκότων, οἱ δὲ δεδίωσι τὴν παροῦσαν πολιτείαν ὡς οὐδεμιᾶς αὐτοῖς ἔτι καταφυγῆς ὑπαρχούσης; (44) Ἆρ' οὐκ ἄξιον φοβεῖσθαι μὴ συγχυθέντων τῶν ὅρκων πάλιν εἰς ταὐτὰ καταστῶμεν, ἐξ ὧνπερ ἠναγ- d
κάσθημεν τὰς συνθήκας ποιήσασθαι; Καὶ μὴν οὐ δεῖ γ' ὑμᾶς παρ' ἑτέρων μαθεῖν, ὅσον ἐστὶν ὁμόνοια ἀγαθὸν ἢ στάσις κακόν· οὕτω γὰρ ἀμφοτέρων σφόδρα πεπει-

Ego vero nec eo vos animo esse puto, et ad istiusmodi rationes facile posse responderi censeo. (37) Ac quod ad lamentationes attinet, vobis juvandos esse dico non eos qui se calamitosissimos esse declararint; sed qui causam, de qua litem contestati sunt, æquiorem esse probarint. De mulcta vero, si quidem istarum rerum ego auctor essem, haud injuria, si pœna luenda esset, illius vicem doleretis; nunc ipse is est qui calumnietur; quare merito nullum ejus dictum probabitis. (38) Deinde illud etiam considerabitis: omnes eos qui e Piræeo in urbem reverterunt, eadem quæ istum posse dicere, quorum alius nemo ausus est tale inire judicium. Atqui odio prosequendi sunt homines istiusmodi et mali cives habendi, qui in iisdem malis cum ceteris versati alias quam ceteri pœnas sumere volunt. (39) Præterea nunc etiam ei est integrum, priusquam vestræ sententiæ periculum faciat, actione omissa toto negotio liberari. Nonne autem absurdum est istum in eo periculo a vobis petere misericordiam, quod penes ipsum est et in quod se ipse conjecit et quo etiam nunc liberari potest? (40) Si vero earum rerum quæ in oligarchia gestæ sunt, oblivisci nequit, ab eodem postulate, ne accuset ea de quibus nemo responsurus est, sed ut illud doceat, me pecunias abstulisse, de qno vobis pronunciandum est; neque ostendat se indignis tractatum esse modis, sed me fecisse probet, a quo ea quæ amisit recuperare studet; (41) nam se quidem calamitosum esse quemvis civium accusando poterit ostendere. Decet autem apud vos magni esse momenti non eas accusationes quibus etiam contra insontes uti liceat, sed eas, quæ non nisi in auctores injuriarum conveniunt. Ad ista igitur verba refutanda et hæc fortasse sufficiunt et plura post erit respondendi locus.

42. Cogitate porro (etiamsi me aliquis eadem bis perorare dicat) multos exspectare hujus judicii eventum, non quod nostra negotia curent, sed quod existimant de fœdere judicium fieri. Quos pronunciato eo quod justum est vos, ut omni metu liberati in urbe habitent, efficietis; sin minus, quibus animis fore censetis eos qui in urbe remanserunt, si pariter omnibus irasci videbimini, qui illam rempublicam participarunt? (43) quantopere augentur qui vel parvi delicti sibi conscii fuerint, si ne modestissimos quidem jus suum videant posse adipisci? quanti tumultus excitabuntur, quum aliis additus animus fuerit ad calumniandum, quasi causa ipsorum jam a vobis comprobata; alii hunc reipublicæ statum pertimescent nec ullum sibi confugium relictum esse videbunt? (44) An non metuendum est ne jurejurando violato denuo eadem mala incidamus, quæ nos hæc fœdera facere coegerunt? Nec vero vos ab aliis discere necesse est, quantum concordia bonum sit, aut quid mali seditiones habeant: nam ita evidenter experti

ρασθε, ὥστε καὶ τοὺς ἄλλους ὑμεῖς ἄριστ' ἂν διδάξαιτε περὶ αὐτῶν.

45. Ἵνα δὲ μὴ δοκῶ διὰ τοῦτο πολὺν χρόνον περὶ τὰς συνθήκας διατρίβειν, ὅτι ῥᾴδιόν ἐστι περὶ αὐτῶν πολλὰ καὶ δίκαια εἰπεῖν, τοσοῦτον ὑμῖν ἔτι διακελεύομαι μνη- e μονεύειν, ὅταν φέρητε τὴν ψῆφον, ὅτι πρὶν μὲν ποιήσασθαι ταύτας ἐπολεμοῦμεν, οἱ μὲν τὸν κύκλον ἔχοντες, οἱ δὲ τὸν Πειραιᾶ κατειληφότες, μᾶλλον ἀλλήλους μισοῦντες ἢ τοὺς ὑπὸ τῶν προγόνων πολεμίους ἡμῖν κα- 380 ταλειφθέντας, (46) ἐπειδὴ δὲ τὰς πίστεις ἀλλήλοις ἔδομεν a εἰς ταὐτὸν συνελθόντες, οὕτω καλῶς καὶ κοινῶς πολιτευόμεθα ὥσπερ οὐδεμιᾶς ἡμῖν συμφορᾶς γεγενημένης· καὶ τότε μὲν ἀμαθεστάτους καὶ δυστυχεστάτους πάντες ἡμᾶς ἐνόμιζον· νῦν δὲ εὐδαιμονέστατοι καὶ σωφρονέστατοι τῶν Ἑλλήνων δοκοῦμεν εἶναι. (47) Ὥστ' ἄξιον οὐ μόνον τηλικαύταις ζημίαις κολάζειν τοὺς παραβαίνειν τολμῶντας τὰς συνθήκας, ἀλλὰ ταῖς ἐσχάταις, ὡς τῶν μεγίστων κακῶν αἰτίους ὄντας, ἄλλως τε καὶ τοὺς ὥσπερ Καλλίμαχος βεβιωκότας· ὃς δέκα μὲν ἔτη συνεχῶς ὑμῖν b Λακεδαιμονίων πολεμησάντων οὐδὲ μίαν παρέσχεν αὐτὸν ἡμέραν τάξαι τοῖς στρατηγοῖς, (48) ἀλλ' ἐκεῖνον μὲν τὸν χρόνον διετέλεσεν ἀποδιδράσκων καὶ τὴν οὐσίαν ἀποκρυπτόμενος, ἐπειδὴ δὲ οἱ τριάκοντα κατέστησαν, τηνικαῦτα κατέπλευσεν εἰς τὴν πόλιν. Καὶ φησὶν εἶναι δημοτικός, τοσούτῳ δὲ μᾶλλον τῶν ἄλλων ἐπεθύμει μετασχεῖν ἐκείνης τῆς πολιτείας, ὥστ' οὐδ' εἰ κακῶς ἔπαθεν c ἠξίωσεν ἀπελθεῖν, ἀλλ' ᾑρεῖτο μετὰ τῶν ἡμαρτηκότων εἰς αὐτὸν πολιορκεῖσθαι μᾶλλον ἢ μεθ' ὑμῶν τῶν συνηδικημένων πολιτεύεσθαι. (49) Καὶ μέχρι τῆς ἡμέρας ἐκείνης παρέμεινε μετέχων τῆς πολιτείας, ἐν ᾗ προσβαλεῖν ἐμέλλετε πρὸς τὸ τεῖχος· τότε δ' ἐξῆλθεν οὐ τὰ παρόντα μισήσας, ἀλλὰ δείσας τὸν ἐπιόντα κίνδυνον, ὡς ὕστερον ἐδήλωσεν. Ἐπειδὴ γὰρ Λακεδαιμονίων ἐλθόντων ὁ δῆμος ἐν τῷ Πειραιεῖ κατεκλείσθη, πάλιν ἐκεῖθεν δια- d δρὰς ἐν Βοιωτοῖς διῃτᾶτο· ὥστ' αὐτῷ προσήκει μετὰ τῶν αὐτομόλων ἀναγεγράφθαι πολὺ μᾶλλον ἢ τῶν φευγόντων ὀνομάζεσθαι. (50) Καὶ τοιοῦτος γεγενημένος καὶ περὶ τοὺς ἐκ Πειραιέως καὶ περὶ τοὺς ἐν ἄστει μείναντας καὶ περὶ πᾶσαν τὴν πόλιν, οὐκ ἀγαπᾷ τῶν ἴσων τυγχάνειν τοῖς ἄλλοις, ἀλλὰ ζητεῖ πλέον ἔχειν ὑμῶν, ὥσπερ ἢ μόνος ἀδικηθεὶς ἢ βέλτιστος ὢν τῶν πολιτῶν ἢ μεγίσταις συμφοραῖς δι' ὑμᾶς κεχρημένος ἢ πλείστων e ἀγαθῶν αἴτιος τῇ πόλει γεγενημένος.

51. Ἐβουλόμην δ' ἂν ὑμᾶς ὁμοίως ἐμοὶ γιγνώσκειν αὐτόν, ἵν' αὐτῷ μὴ τῶν ἀπολωλότων συνήχθεσθε, ἀλλὰ τῶν ὑπολοίπων ἐφθονεῖτε. Νῦν δὲ περὶ μὲν τῶν ἄλλων ὅσοις ἐπιβεβούλευκε, καὶ δίκας οἵας δεδίκασται 381 καὶ γραφὰς εἰσελήλυθε, καὶ μεθ' ὧν συνέστηκε καὶ καθ' a ὧν τὰ ψευδῆ μεμαρτύρηκεν, οὐδ' ἂν δὶς τοσοῦτον ὕδωρ ἱκανὸν διηγήσασθαι γένοιτο· (52) ἓν δὲ μόνον ἀκούσαντες τῶν τούτῳ πεπραγμένων ῥᾳδίως καὶ τὴν ἄλλην αὐτοῦ πονηρίαν γνώσεσθε. Κρατῖνος γὰρ ἠμφισβήτησε χωρίου τῷ τούτου κηδεστῇ· μάχης δ' αὐτοῖς γενομένης, ὑποκρυψάμενοι θεράπαιναν ᾐτιῶντο τὸν Κρατῖνον συν-

estis utrumque, ut his de rebus alios etiam optime doceretis.

45. Ne autem eo videar in fœderibus immorari, quod facile sit multa et æqua de iisdem dicere : hoc tantum in pronunciando vos meminisse velim, antequam ea facta essent, bellum nos gessisse, alios mœnibus inclusos, alios Piræeo occupato, infestioribus erga nos invicem animis, quam in eos quos majores nostri hæreditarios nobis hostes reliquerunt; (46) postquam autem in unum convenimus fide data et accepta, ita honeste et comiter in urbe vivere, quasi nulla calamitas inter nos extitisset : ac tum quidem nos ab omnibus stultissimos et infelicissimos habitos : nunc felicissimos et prudentissimos Græcorum omnium judicari. (47) Quare qui fœdera violare audent, non modo magnis, sed extremis suppliciis afficiendi sunt, ut qui maxima conflare mala conentur, illi præcipue qui sic vixerunt, ut Callimachus : qui, quum Lacedæmonii decem perpetuos annos bello nos infestarent, nullum unquam diem ducibus præsto fuit, ut in acie collocaretur; (48) sed eo tempore subinde aufugit opesque suas occultavit; postquam vero triginta tyranni summa rerum potiti sunt, tum demum in urbem rediit. Et se popularem esse dicit, sed tanto ceteris cupidior erat illius reipublicæ, ut ne male quidem tractatus recedere voluerit, sed cum auctoribus injuriarum obsideri maluerit, quam vobiscum, qui una læsi eratis, degere. (49) Et ad eum usque diem particeps reipublicæ apud illos mansit, quo murum oppugnaturi eratis : tum vero demum exiit, non status præsentis odio, sed imminentis periculi metu, ut postea declaravit. Quum enim a Lacedæmoniis populus in Piræeo inclusus esset, rursus inde aufugit et in Bœotia commoratus est. Quare in transfugarum album potius inscribendus est, quam inter exules nominandus. (50) Et quum ita se gesserit tum in eos qui Piræeum occuparant, tum in eos qui in urbe manserant, tum erga totam civitatem, non contentus est pari jure cum ceteris, sed meliore conditione esse vult quam vos estis, perinde ac si vel solus læsus, vel civium optimus, vel maximis cladibus propter vos affectus esset, aut plurima in rempublicam beneficia contulisset.

51. Vellem equidem eum ita notum esse vobis, ut mihi est, ne ob amissa vicem ejus doleretis, sed ob ea quæ relicta sunt illi invideretis. Nunc quibus aliis insidiatus sit, quas lites tum de publicis tum de privatis criminibus intenderit, quorum factionibus adhæserit, quoties falsa testimonia dixerit, etiamsi datum mihi tempus duplicaretur, non satis esset ad narrandum. (52) Sed si unum tantum facinus audiveritis, facile omnem ejus improbitatem cognoscetis. Cratinus cum istius affine de fundo quodam litigabat. Quum autem ad manus ventum esset, ancilla occultata criminabantur Cratinum caput illi contrivisse atque

τρῖψαι τῆς κεφαλῆς αὐτῆς, ἐκ δὲ τοῦ τραύματος φάσκοντες b ἀποθανεῖν τὴν ἄνθρωπον, λαγχάνουσιν αὐτῷ φόνου δίκην ἐπὶ Παλλαδίῳ. (53) Πυθόμενος δὲ ὁ Κρατῖνος τὰς τούτων ἐπιβουλάς, τὸν μὲν ἄλλον χρόνον ἡσυχίαν ἦγεν, ἵνα μὴ μεταθεῖντο τὸ πρᾶγμα μηδ' ἑτέρους λόγους ἐξευρίσκοιεν, ἀλλ' ἐπ' αὐτοφώρῳ ληφθεῖεν κακουργοῦντες· ἐπειδὴ δὲ ὁ κηδεστὴς μὲν ἦν ὁ τούτου κατηγορηκώς, οὗτος δὲ μεμαρτυρηκὼς ἦ μὴν τεθνάναι τὴν ἄνθρωπον, (54) ἐλθόντες εἰς τὴν οἰκίαν ἵνα ἦν κεκρυμμένη, c βίᾳ λαβόντες αὐτὴν καὶ ἀγαγόντες ἐπὶ τὸ δικαστήριον ζῶσαν ἅπασι τοῖς παροῦσιν ἐπέδειξαν. Ὥσθ' ἑπτακοσίων μὲν δικαζόντων, τεττάρων δὲ καὶ δέκα μαρτυρησάντων ἅπερ οὗτος, οὐδεμίαν ψῆφον μετέλαβεν. Καί μοι κάλει τούτων μάρτυρας.

ex eo vulnere mulierem dicebant esse mortuam. Diem igitur ei dicunt rei capitalis in Palladio. (53) Cratinus, istorum insidiis auditis, interea quievit, ne mutato consilio alias fraudes comminiscerentur, sed in re præsenti scelera eorum deprehenderentur. Quum igitur istius affinis accusatoris partes obiisset, iste autem pro testimonio affirmasset mulierculam esse mortuam, (54) domum in qua illa occultabatur ingressi, vi abreptam et in judicium adductam viventem omnibus iis qui aderant ostenderunt. Itaque quum septingenti judices sederent, et quattuordecim idem quod ille testimonium dixissent, iste ne unum quidem suffragium tulit. Voca mihi testes harum rerum.

ΜΑΡΤΥΡΕΣ.

TESTES.

55. Τίς οὖν ἂν ἀξίως δύναιτο κατηγορῆσαι τῶν τούτῳ πεπραγμένων; ἢ τίς ἂν εὑρεῖν ἔχοι παράδειγμα μεῖζον ἀδικίας καὶ συκοφαντίας καὶ πονηρίας; Ἔνια μὲν γὰρ d τῶν ἀδικημάτων οὐκ ἂν ὅλον τὸν τρόπον δηλώσειε τῶν ἀδικησάντων, ἐκ δὲ τῶν τοιούτων ἔργων ἅπαντα τὸν βίον τῶν ἐξαμαρτανόντων ῥᾴδιον κατιδεῖν ἐστιν. (56) Ὅστις γὰρ τοὺς ζῶντας τεθνάναι μαρτυρεῖ, τίνος ἂν ὑμῖν ἀποσχέσθαι δοκεῖ; ἢ ὅστις ἐπὶ τοῖς ἀλλοτρίοις πράγμασιν οὕτω πονηρός ἐστι, τί οὐκ ἂν ἐπὶ τοῖς αὑτοῦ τολμήσειεν; πῶς δὲ χρὴ τούτῳ πιστεύειν ὑπὲρ αὑτοῦ λέγοντι, ὃς ὑπὲρ ἑτέρων ἐπιορκῶν ἐξελέγχεται; τίς δὲ πώποτε φανερώτερον e ἐπεδείχθη τὰ ψευδῆ μαρτυρῶν; τοὺς μὲν γὰρ ἄλλους ἐκ τῶν λεγομένων κρίνετε, τὴν δὲ τούτου μαρτυρίαν, ὅτι ψευδὴς ἦν, εἶδον οἱ δικάζοντες. (57) Καὶ 382 τοιαῦθ' ἡμαρτηκὼς ἐπιχειρήσει λέγειν ὡς ἡμεῖς ψευδόμεθα, a ὅμοιον ἐργαζόμενος ὥσπερ ἂν εἴ τῳ Φρυνώνδας πανουργίαν ὀνειδίσειεν, ἢ Φιλουργὸς ὁ τὸ Γοργόνειον ὑφελόμενος τοὺς ἄλλους ἱεροσύλους ἔφασκεν εἶναι. Τίνα δὲ προσήκει τῶν μὴ γενομένων παρασχέσθαι μάρτυρας μᾶλλον ἢ τοῦτον, ὃς αὐτὸς ἑτέροις τὰ ψευδῆ τολμᾷ μαρτυρεῖν;

55. Quis igitur facinora istius satis acriter insectetur? quod majus exemplum vel injustitiæ vel calumniæ vel improbitatis invenietur? Sunt enim quædam injuriæ, quæ non omne ingenium nebulonum aperiant; e talibus autem facinoribus tota vita delinquentium facile perspicitur. (56) Nam qui viventes testatur esse mortuos, quo is facinore abstinebit? aut qui alienis in rebus ita improbus est, quid in suis non auderet? an vero isti credendum pro se dicenti, quem in aliorum gratiam pejerasse constat? Quis unquam falsi testimonii evidentius est convictus? nam alios ex iis, quæ dicta sunt, judicatis; istius vero testimonii falsitatem judices viderunt. (57) Iste igitur quum tantis criminibus se obstrinxerit, tamen dicere audebit nos mentiri; in quo perinde faciet ac si cui Phrynondas stellionatum objiceret, aut Philurgus, qui Gorgonium (*Minervæ scutum*) surripuit, aliis sacrilegium exprobraret. Quis vero minus rerum non factarum subornare testes dubitabit, quam iste, qui ipse aliis falsum dicere testimonium audet?

58. Ἀλλὰ γὰρ Καλλιμάχου μὲν ἐξέσται πολλάκις κατηγορεῖν (οὕτω γὰρ παρεσκεύασται πολιτεύεσθαι), περὶ δὲ ἐμαυτοῦ τὰς μὲν ἄλλας πάσας παραλείψω λειτουργίας, b ἧς δ' οὐ μόνον ἄν μοι δικαίως ἔχοιτε χάριν, ἀλλὰ καὶ τεκμηρίῳ χρήσαισθε περὶ τοῦ παντὸς πράγματος, ταύτης δὲ μνησθήσομαι πρὸς ὑμᾶς. (59) Ὅτε γὰρ ἡ πόλις ἀπώλεσε τὰς ναῦς ἐν Ἑλλησπόντῳ καὶ τῆς δυνάμεως ἐστερήθη, τῶν μὲν πλείστων τριηράρχων τοσοῦτον διήνεγκον, ὅτι μετ' ὀλίγων ἔσωσα τὴν ναῦν, αὐτῶν δὲ τούτων, ὅτι καταπλεύσας εἰς τὸν Πειραιᾶ μόνος οὐ κατέλυσα τὴν τριηραρχίαν, (60) ἀλλὰ τῶν ἄλλων ἀσμένως ἀπαλλαττομένων τῶν λειτουργιῶν καὶ πρὸς c τὰ παρόντα ἀθύμως διακειμένων, καὶ τῶν μὲν ἀνηλωμένων αὐτοῖς μεταμέλον, τὰ δὲ λοιπὰ ἀποκρυπτομένων, καὶ νομιζόντων τὰ μὲν κοινὰ διεφθάρθαι, τὰ δ' ἴδια σκοπουμένων, οὐ τὴν αὐτὴν ἐκείνοις γνώμην ἔσχον, ἀλλὰ πείσας τὸν ἀδελφὸν συντριηραρχεῖν, παρ' ἡμῶν αὐτῶν

58. Sed Callimachum sæpe licebit accusare: hanc enim vitæ suæ rationem esse voluit. Quod autem ad me attinet, cetera munera reipublicæ præstita missa facio omnia; ejus vero, de quo mihi non modo jure gratiam habebitis, sed quo etiam testimonii loco de tota re uti queatis, hujus faciam mentionem. (59) Nam quum nostra urbs classe in Hellesponto amissa imperio privata esset, plurimis trierarchis ita præstiti, ut meam navem cum paucis conservarim: atque inter illos paucos hoc peculiare habui, quod ego solus nave in Piræeum perducta in trierarchia perseveravi: (60) quum enim ceteri et publica munera cupide excuterent et de præsenti statu desperarent et factorum sumptuum pœniteret, et reliqua dissimularent, putantes actum esse de republica, et privatis rationibus consulerent; ego non eodem quo illi animo fui, sed, quum fratri meo persuasissem ut mihi trierarchiæ socius esset, nautis de nostro mer-

μισθὸν διδόντες τοῖς ναύταις, κακῶς ἐποιοῦμεν τοὺς πολεμίους. (61) Τὸ δὲ τελευταῖον προειπόντος Λυσάνδρου, d εἴ τις εἰσάγει σῖτον ὡς ὑμᾶς, θάνατον τὴν ζημίαν, οὕτω φιλοτίμως εἴχομεν πρὸς τὴν πόλιν, ὥστε τῶν ἄλλων οὐδὲ τὸν σφέτερον αὐτῶν εἰσάγειν τολμώντων, ἡμεῖς τὸν ὡς ἐκείνους εἰσπλέοντα λαμβάνοντες εἰς τὸν Πειραιᾶ κατήγομεν. Ἀνθ' ὧν ὑμεῖς ἐψηφίσασθε ἡμᾶς στεφανῶσαι καὶ πρόσθε τῶν ἐπωνύμων ἀνειπεῖν ὡς μεγάλων ἀγαθῶν αἰτίους ὄντας. (62) Καίτοι χρὴ τούτους δημοτικοὺς νομίζειν, οὐχ ὅσοι κρατοῦντος τοῦ δήμου μετασχεῖν τῶν e πραγμάτων ἐπεθύμησαν, ἀλλ' οἳ δυστυχησάσης πόλεως προκινδυνεύειν ὑμῶν ἠθέλησαν, καὶ χάριν ἔχειν οὐχ εἴ τις αὐτὸς κακῶς πέπονθεν, ἀλλ' εἴ τις ὑμᾶς εὖ πεποίηκε, 383 καὶ πένητας γενομένους ἐλεεῖν οὐ τοὺς ἀπολωλεκότας a τὴν οὐσίαν, ἀλλὰ τοὺς εἰς ὑμᾶς ἀνηλωκότας. (63) Ὧν εἷς ἐγὼ φανήσομαι γεγενημένος, ὃς πάντων ἂν εἴην δυστυχέστατος, εἰ πολλὰ τῶν ἐμαυτοῦ δεδαπανημένος εἰς τὴν πόλιν, εἶτα δόξαιμι τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν, καὶ περὶ μηδενὸς ποιεῖσθαι τὰς παρ' ὑμῖν διαβολάς, ὃς οὐ μόνον τὴν οὐσίαν ἀλλὰ καὶ τὴν ψυχὴν τὴν ἐμαυτοῦ περὶ ἐλάττονος φαίνομαι ποιούμενος τοῦ παρ' ὑμῖν εὐ- b δοκιμεῖν. (64) Τῷ δ' οὐκ ἂν ὑμῶν μεταμελήσειεν, εἰ καὶ μὴ παραχρῆμα, ἀλλ' ὀλίγον ὕστερον, εἰ τὸν μὲν συκοφάντην ἴδοιτε πλούσιον γεγενημένον, ἐμὲ δ' ἐξ ὧν ὑπέλιπον λειτουργῶν, καὶ τούτων ἐκπεπτωκότα; καὶ τὸν μὲν μηδὲ πώποτε ὑπὲρ ὑμῶν κινδυνεύσαντα μεῖζον καὶ τῶν νόμων καὶ τῶν συνθηκῶν δυνάμενον, (65) ἐμὲ δὲ τὸν οὕτω πρόθυμον περὶ τὴν πόλιν γεγενημένον μηδὲ c τῶν δικαίων ἀξιούμενον τυγχάνειν; τίς δ' οὐκ ἂν ὑμῖν ἐπιτιμήσειεν, εἰ πεισθέντες ὑπὸ τῶν Καλλιμάχου λόγων τοσαύτην πονηρίαν ἡμῶν καταγνοίητε, οὓς ἐκ τῶν ἔργων κρίναντες δι' ἀνδραγαθίαν ἐστεφανώσατε, ὅτ' οὐδ' οὕτω ῥᾴδιον ἦν ὥσπερ νῦν τυχεῖν ταύτης τῆς τιμῆς; (66) Τοὐναντίον δ' ἡμῖν συμβέβηκεν ἢ τοῖς ἄλλοις· οἱ μὲν γὰρ ἄλλοι τοὺς εἰληφότας τὰς δωρεὰς ὑπομιμνήσκουσιν, ἡμεῖς δ' ὑμᾶς τοὺς δεδωκότας ἀξιοῦμεν μνημονεύειν, ἵν' d ὑμῖν τεκμήριον τῶν εἰρημένων ἁπάντων καὶ τῶν ἐπιτηδευμάτων τῶν ἡμετέρων γένηται. (67) Δῆλον δ' ὅτι ταύτης τῆς τιμῆς ἀξίους ἡμᾶς αὐτοὺς παρείχομεν οὐχ ἵνα ὀλιγαρχίας γενομένης τἀλλότρια διαρπάζοιμεν, ἀλλ' ἵνα σωθείσης τῆς πόλεως οἵ τ' ἄλλοι τὰ σφέτερ' αὐτῶν ἔχοιεν, ἡμῖν τε παρὰ τῷ πλήθει τῶν πολιτῶν χάρις ὀφείλοιτο· ἣν ἡμεῖς νῦν ἀπαιτοῦμεν, οὐ πλέον ἔχειν τοῦ e δικαίου ζητοῦντες, ἀλλ' ἀποφαίνοντες μὲν ὡς οὐδὲν ἀδικοῦμεν** τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμένοντες. (68) Καὶ γὰρ ἂν εἴη δεινόν, εἰ τοὺς μὲν ἠδικηκότας τιμωρίας ἀφεῖναι κύριαι ἐγένοντο, ἐφ' ἡμῖν δὲ τοῖς εὖ πεποιηκόσιν ἄκυροι κατασταθεῖεν. Ἄξιον δὲ τὴν παροῦ- 384 σαν τύχην διαφυλάττειν ἐνθυμουμένους ὅτι ἑτέρας μὲν a πόλεις ἐποίησαν ἤδη συνθῆκαι στασιάσαι, τὴν δ' ἡμετέραν μᾶλλον ὁμονοεῖν. Ὧν χρὴ μεμνημένους ἅμα τά τε δίκαια καὶ τὰ συμφέροντα ψηφίζεσθαι.

cedem numerantes hostes vexavimus. (61) Denique quum Lysander capite sanxisset, ne quis frumentum ad vos adveheret: tanto fuimus in rempublicam studio, ut quum alii ne sua quidem importare auderent, nos quod ad illos vehebatur, intercipientes in Piræeum perduceremus. Pro quibus beneficiis vos publice nobis coronas decrevistis, et ut ante statuas heroum proclamaremur, tanquam optime de republica meriti, censuistis. (62) Atqui populares habendi sunt non qui florente populari statu se cum populo conjungunt, sed qui afflicta et jacente republica pro vobis vitæ discrimen adierunt: neque istis gratia est habenda, qui privatim cladem aliquam acceperunt, sed his qui vobis bene fecerunt; neque illi pauperes commiseratione digni sunt qui suas opes ipsi perdiderunt, sed qui eas vestra causa insumpserunt. (63) E quorum numero me fuisse comperietis, qui quidem omnium essem infelicissimus, quum de meo magnos sumptus in rempublicam fecerim, si jam viderer alienis insidiatus esse, et infamiam apud vos subeundam negligerem, quum non rem familiarem tantum, sed vitam etiam minoris fecerim quam vestram approbationem. (64) Quem vero vestrûm non pœniteret, si non statim, at paullo post, si calumniatorem ditatum videretis, me vero spoliatum etiam iis quæ post obita munera publica reliqua mihi feci? et eum qui nunquam ullum pro vobis periculum adiit, plus posse et legibus et fœderibus, (65) me vero, cujus tantum studium in rempublicam exstitit, ita contemni, ut ne jus quidem meum consequar? Quis vero vos non reprehenderet, si Callimachi verbis adducti tantæ nos improbitatis damnaretis, quos judicio e re ipsa facto propter fortitudinem coronastis, quo tempore non ita facile erat, ut nunc, istum honorem consequi? (66) Usuvenit autem nobis diversum quiddam ab aliis. Ceteri enim suorum beneficiorum memoriam renovare dicendo solent; nos vero postulamus ut vestræ in nos beneficentiæ recordemini, quo ea quasi testimonio sit nostræ orationi, totiusque vitæ nostræ rationem ostendat. (67) Neque vero obscurum est non ideo nos isto honore potiri studuisse, ut in oligarchia opes aliorum diriperemus, sed ut urbe conservata et alii sua tenerent et nobis multitudo civium gratiam deberet; quam nos modo reposcimus, non id quærentes, ut æquo plus habeamus, sed illud declarantes nos nec injuriam facere cuiquam** et jusjurandum ac fœdera servare. (68) Perabsurdum enim esset, ea rata haberi ad absolvendos eos qui contra rempublicam fecerunt; in nobis autem, qui bene meriti sumus, omnem amittere auctoritatem. Operæ pretium est autem hunc rerum statum tueri; et considerandum alias urbes fœdera jam in seditiones conjecisse, nostræ ad concordiam augendam profuisse. Hæc igitur meminisse debetis, ut simul et quæ justa sint et reipublicæ quæ conducant, decernatis.

19.

ΑΙΓΙΝΗΤΙΚΟΣ.

Ἐνόμιζον μέν, ὦ ἄνδρες Αἰγινῆται, οὕτω καλῶς b βεβουλεῦσθαι περὶ τῶν ἑαυτοῦ Θρασύλοχον, ὥστε μηδέν' ἄν ποτ' ἐλθεῖν ἐναντία πράξοντα ταῖς διαθήκαις αἷς ἐκεῖνος κατέλιπεν· ἐπειδὴ δὲ τοῖς ἀντιδίκοις τοιαύτη γνώμη παρέστηκεν ὥστε καὶ πρὸς οὕτως ἐχούσας αὐτὰς ἀμφισβητεῖν, ἀναγκαίως ἔχει παρ' ὑμῶν πειρᾶσθαι τῶν δικαίων τυγχάνειν. (2) Τοὐναντίον δὲ πέπονθα c τοῖς πλείστοις τῶν ἀνθρώπων. Τοὺς μὲν γὰρ ἄλλους ὁρῶ χαλεπῶς φέροντας, ὅταν ἀδίκως περί τινος κινδυνεύωσιν· ἐγὼ δ' ὀλίγου δέω χάριν ἔχειν τούτοις ὅτι με 385 εἰς τουτονὶ τὸν ἀγῶνα κατέστησαν. Ἀκρίτου μὲν γὰρ a ὄντος τοῦ πράγματος οὐκ ἂν ἠπίστασθ' ὁποῖός τις γεγενημένος περὶ τὸν τετελευτηκότα κληρονόμος εἰμὶ τῶν ἐκείνου· πυθόμενοι δὲ τὰ πραχθέντα πάντες εἴσεσθ' ὅτι δικαίως ἂν καὶ μείζονος ἢ τοσαύτης δωρεᾶς ἠξιώθην. (3) Χρῆν μέντοι καὶ τὴν ἀμφισβητοῦσαν τῶν χρημάτων μὴ παρ' ὑμῶν πειρᾶσθαι λαμβάνειν τὴν οὐσίαν ἣν Θρασύλοχος κατέλιπεν, ἀλλὰ περὶ ἐκεῖνον χρηστὴν οὖσαν, οὕτως ἀξιοῦν αὐτῆς ἐπιδικάζεσθαι. Νῦν δ' αὐτῇ τοσούτου δεῖ μεταμέλειν ὧν εἰς ζῶντα ἐξήμαρτεν, ὥστε b καὶ τεθνεῶτος αὐτοῦ πειρᾶται τήν τε διαθήκην ἄκυρον ἅμα καὶ τὸν οἶκον ἔρημον ποιῆσαι. (4) Θαυμάζω δὲ καὶ τῶν πραττόντων ὑπὲρ αὐτῆς, εἰ διὰ τοῦτ' οἴονται καλὸν εἶναι τὸν κίνδυνον, ὅτι μὴ κατορθώσαντες οὐδὲν μέλλουσιν ἀποτίσειν. Ἐγὼ μὲν γὰρ ἡγοῦμαι μεγάλην εἶναι καὶ ταύτην ζημίαν, ἐὰν ἐξελεγχθέντες ὡς ἀδίκως ἀμφισβητοῦσιν, ἔπειθ' ὑμῖν δόξωσι χείρους εἶναι. Τὴν μὲν οὖν τούτων κακίαν ἐξ αὐτῶν τῶν ἔργων γνώσεσθ', ἐπειδὰν διὰ τέλους ἀκούσητε τῶν πεπρα- c γμένων· ὅθεν δ' οἴομαι τάχιστ' ἂν ὑμᾶς μαθεῖν περὶ ὧν ἀμφισβητοῦμεν, ἐντεῦθεν ἄρξομαι διηγεῖσθαι.

5. Θράσυλλος [γὰρ] ὁ πατὴρ τοῦ καταλιπόντος τὴν διαθήκην παρὰ μὲν τῶν προγόνων οὐδεμίαν οὐσίαν παρέλαβε, ξένος δὲ Πολεμαινέτῳ τῷ μάντει γενόμενος οὕτως οἰκείως διετέθη πρὸς αὐτόν, ὥστ' ἀποθνήσκων ἐκεῖνος τάς τε βίβλους τὰς περὶ τῆς μαντικῆς αὐτῷ κατέλιπε καὶ τῆς οὐσίας μέρος τι τῆς νῦν οὔσης ἔδωκεν. (6) Λαβὼν δὲ Θράσυλλος ταύτας ἀφορμὰς d ἐχρῆτο τῇ τέχνῃ· πλάνης δὲ γενόμενος καὶ διαιτηθεὶς ἐν πολλαῖς πόλεσιν ἄλλαις τε γυναιξὶ συνεγένετο, ὧν ἔνιαι καὶ παιδάρι' ἀπέδειξαν, ἃ ἐκεῖνος οὐδὲ πώποτε γνήσια ἐνόμισε, καὶ δὴ καὶ τὴν ταύτης μητέρα ἐν τούτοις τοῖς χρόνοις ἔλαβεν. (7) Ἐπειδὴ δ' οὐσίαν τε πολλὴν ἐκτήσατο καὶ τὴν πατρίδα ἐπόθεσεν, ἐκείνης μὲν καὶ τῶν ἄλλων ἀπηλλάγη, καταπλεύσας δ' εἰς Σίφνον e ἔγημεν ἀδελφὴν τοῦ πατρὸς τοῦ ἐμοῦ, πλούτῳ μὲν αὐτὸς πρῶτος ὢν τῶν πολιτῶν, γένει δὲ καὶ τοῖς ἄλλοις ἀξιώμασιν εἰδὼς τὴν ἡμετέραν οἰκίαν προέχουσαν. (8) 386 Οὕτω δὲ σφόδρα ἠγάπησε τὴν τοῦ πατρὸς φιλίαν, ὥστ' a ἀποθανούσης ἐκείνης ἄπαιδος αὖθις ἠγάγετο ἀνεψιὰν τοῦ πατρός, οὐ βουλόμενος διαλύσασθαι τὴν πρὸς ἡμᾶς

19.

ÆGINETICUS.

Putabam, viri Æginetæ, Thrasylochum suis rebus ita recte consuluisse, ut nemo unquam adventurus esset, qui testamentum, quod is reliquit, oppugnaret. Quum autem adversariis hoc omnino deliberatum sit quantumvis probe confectum tamen evertere, experiri cogor, an apud vos meum jus queam adipisci. (2) Longe autem aliter affectus sum, quam plerique mortales. Nam alios graviter ferre video, si qua de re per injuriam in periculum vocantur: ego vero non multum absum quin istis gratiam habeam, quod mihi litem hanc intenderunt. Nisi enim res in judicium adducta esset, haud scivissetis quæ mea in defunctum merita, cujus hæreditas mihi relicta est, exstitissent: re autem tota cognita intelligetis me majus etiam quam tantum præmium meruisse. (3) Par autem fuit etiam istam, quæ de pecuniis controversiam facit, non facultates a Thrasylocho relictas a vobis repetere velle, sed ubi ostendisset se officio erga illum esse functam, tum demum lege agere de hæreditate. Nunc tantum abest ut eam pœniteat erga viventem deliquisse, ut eo etiam defuncto et testamentum ejus simul irritum facere et familiam exstinguere conetur. (4) Miror etiam patronos mulieris, si propterea putant honestum esse certamen hoc, quod etiam victi nullam jacturam facturi sint. Ego enim illam quoque magnam cladem esse puto, si actionis per calumniam institutæ convicti improbiores postea a vobis habeantur. Sed istorum malitiam res ipsa declarabit, ubi acta omnia ab initio ad extremum audiveritis. Inde autem narrandi primordia capiam, unde vos celerrime puto controversiam cognituros.

5. Thrasyllus pater ejus, qui me testamento hæredem instituit, a majoribus nullas opes habuit, sed hospitii necessitudine cum haruspice Polemæneto inita ita se in ejus amicitiam insinuavit, ut ille moriens ei et libros divinationis reliquerit et facultatum quæ adhuc supersunt partem dederit. (6) Thrasyllus autem his commoditatibus usus eam artem exercebat. Qui quum multa loca circuiret et in pluribus civitatibus commoraretur, tum cum aliis mulierculis consuevit, quarum nonnullæ liberos etiam pepererunt, quos ille nunquam pro legitimis habuit, tum istius matrem illis temporibus accepit. (7) Quum autem magnis opibus partis patriæ desiderio moveretur, illa et ceteris dimissis in Siphnum trajecit, uxoremque duxit patris mei sororem, quum ipse quidem civium ditissimus esset, sed nobilitate et aliis dignitatibus nostram familiam inter alias eminere sciret. (8) Tantopere autem patris mei amicitia delectatus est, ut, quum amita mea sine liberis decessisset, rursus patris consobrinam duxerit, quo necessitudo inter

οἰκειότητα. Οὐ πολὺν δὲ χρόνον συνοικήσας ταῖς αὐταῖς τύχαις ἐχρήσατο καὶ περὶ ταύτην, αἵσπερ καὶ περὶ τὴν προτέραν. (9) Μετὰ δὲ ταῦτ' ἔγημεν ἐκ Σερίφου παρ' ἀνθρώπων πολὺ πλείονος ἀξίων ἢ κατὰ τὴν αὐτῶν πό- b λιν, ἐξ ἧς ἐγένετο Σώπολις καὶ Θρασύλοχος καὶ θυγάτηρ ἡ νῦν ἐμοὶ συνοικοῦσα. Θράσυλλος μὲν οὖν, τούτους μόνους παῖδας γνησίους καταλιπὼν καὶ κληρονόμους τῶν αὐτοῦ καταστήσας, τὸν βίον ἐτελεύτησεν.

nos et affinitas permaneret; quam quum non diu in matrimonio habuisset, eodem fato hæc, quo etiam prior, illi erepta est. (9) Post ea Seriphiam duxit ex familia multo præstantiore quam pro existimatione illius urbis. Ex ea suscepit Sopolidem et Thrasylochum et filiam, quæ nunc est uxor mea. Thrasyllus igitur his solis legitimis liberis relictis hæredibusque institutis decessit.

10. Ἐγὼ δὲ καὶ Θρασύλοχος τοσαύτην φιλίαν παρὰ τῶν πατέρων παραλαβόντες ὅσην ὀλίγῳ πρότερον διηγησάμην, ἔτι μείζω τῆς ὑπαρχούσης αὐτὴν ἐποιησάμεθα. Ἕως μὲν γὰρ παῖδες ἦμεν, περὶ πλείονος ἡμᾶς αὐτοὺς c ἡγούμεθα ἢ τοὺς ἀδελφούς, καὶ οὔτε θυσίαν οὔτε θεωρίαν οὔτ' ἄλλην ἑορτὴν οὐδεμίαν χωρὶς ἀλλήλων ἤγομεν· ἐπειδὴ δ' ἄνδρες ἐγενόμεθα, οὐδὲν πώποτ' ἐναντίον ἡμῖν αὐτοῖς ἐπράξαμεν, ἀλλὰ καὶ τῶν ἰδίων ἐκοινωνοῦμεν καὶ πρὸς τὰ τῆς πόλεως ὁμοίως διεκείμεθα, καὶ φίλοις καὶ ξένοις τοῖς αὐτοῖς ἐχρώμεθα. (11) Καὶ τί δεῖ λέγειν τὰς οἴκοι χρήσεις; ἀλλ' οὐδὲ φυγόντες ἀπ' ἀλλήλων ἠξιώσαμεν γενέσθαι. Τὸ δὲ τελευταῖον φθόῃ ἰσχόμενον αὐτὸν καὶ πολὺν χρόνον ἀσθενήσαντα, καὶ d τοῦ μὲν ἀδελφοῦ Σωπόλιδος αὐτῷ πρότερον τετελευτηκότος, τῆς δὲ μητρὸς καὶ τῆς ἀδελφῆς οὔπω παρουσῶν, μετὰ τοσαύτης ἐρημίας γενόμενον οὕτως ἐπιπόνως καὶ καλῶς αὐτὸν ἐθεράπευσα, ὥστ' ἐκεῖνον μὴ νομίζειν ἀξίαν μοι δύνασθαι χάριν ἀποδοῦναι τῶν πεπραγμένων. (12) Ὅμως δ' οὐδὲν ἐνέλιπεν, ἀλλ' ἐπειδὴ πονήρως διέκειτο καὶ οὐδεμίαν ἐλπίδα εἶχε τοῦ βίου, παρακαλέσας μάρτυρας υἱόν μ' ἐποιήσατο καὶ τὴν ἀδελφὴν τὴν ἑαυ- e τοῦ καὶ τὴν οὐσίαν ἔδωκεν. Καί μοι λαβὲ τὰς διαθήκας.

10. Ego vero et Thrasylochus tam arctam amicitiam, ut paullo ante exposui, a patribus acceptam arctiorem etiam effecimus. Nam et pueri adhuc pluris uterque alterum faciebamus quam fratres, neque vel sacrificium vel spectaculum vel alium festum diem seorsum celebrabamus. Et adulti jam nunquam alter alterum ulla re offendimus, sed et privata communicabamus et de re publica consentiebamus, et amicis et hospitibus utebamur iisdem. (11) Sed quid de domestica familiaritate dico, quum ne in exilio quidem voluerimus divelli? Postremo eum tabe correptum et longo tempore decumbentem (quum quidem frater ejus Sopolis jam obiisset, mater vero et soror nondum advenissent), ita destitutum ab omnibus tanta industria et fide curavi, ut ipse mihi pro meritis nullo modo parem posse referri gratiam crederet. (12) Nihil tamen in se desiderari passus est; sed ingravescente morbo quum jam nullam vitæ spem haberet, testibus advocatis me adoptavit et quum sororem tum facultates suas mihi dedit. Cape mihi testamentum.

ΔΙΑΘΗΚΑΙ.

Ἀνάγνωθι δή μοι καὶ τὸν νόμον τὸν Αἰγινητῶν· κατὰ γὰρ τοῦτον ἔδει ποιεῖσθαι τὰς διαθήκας· ἐνθάδε γὰρ μετῳκοῦμεν.

TESTAMENTUM.

Recita mihi etiam Æginetarum legem. Nam ad hujus præscriptum faciendum fuit testamentum, quum hic inquilini essemus.

ΝΟΜΟΣ.

13. Κατὰ τουτονὶ τὸν νόμον, ὦ ἄνδρες Αἰγινῆται, υἱόν μ' ἐποιήσατο Θρασύλοχος, πολίτην μὲν αὐτοῦ καὶ
387 φίλον[ὄντα], γεγονότα δ' οὐδενὸς χεῖρον Σιφνίων, πεπαι- a
δευμένον δ' ὁμοίως αὐτῷ καὶ τεθραμμένον· ὥστ' οὐκ οἶδ' ὅπως ἂν μᾶλλον κατὰ τὸν νόμον ἔπραξεν, ὃς τοὺς ὁμοίους κελεύει παῖδας εἰσποιεῖσθαι. Λαβὲ δή μοι καὶ τὸν Κείων νόμον, καθ' ὃν ἡμεῖς ἐπολιτευόμεθα.

LEX.

13. Hac lege, Æginetæ, Thrasylochus me adoptavit, civem suum et amicum, et, si genus spectetis, Siphniorum nemine deteriorem et eodem modo secum institutum et educatum. Quare haud scio quomodo legem magis observare potuerit, quæ jubet ejusdem conditionis homines adoptari. Cape mihi Ceorum etiam legem, qua nos ut cives utebamur.

ΝΟΜΟΣ.

14. Εἰ μὲν τοίνυν, ὦ ἄνδρες Αἰγινῆται, τούτοις μὲν τοῖς νόμοις ἠναντιοῦντο, τὸν δὲ παρ' αὐτοῖς κείμενον σύνδικον εἶχον, ἧττον ἄξιον ἦν θαυμάζειν αὐτῶν· νῦν δὲ κἀκεῖνος ὁμοίως τοῖς ἀνεγνωσμένοις κεῖται. Καί μοι b λαβὲ τὸ βιβλίον.

LEX.

14. Quodsi, Æginetæ, has leges ita oppugnarent, ut patriæ suæ lege niterentur, minus esset mirandum: nunc illa etiam cum iis, quæ jam recitatæ sunt, convenit. Rursum cape mihi libellum.

ΝΟΜΟΣ.

15. Τί οὖν ὑπόλοιπόν ἐστιν αὐτοῖς, ὅπου τὰς μὲν διαθήκας αὐτοὶ προσομολογοῦσι Θρασύλοχον καταλι-

LEX.

15. Quid eis igitur est reliquum, quum et ipsi testamentum hoc a Thrasylocho relictum esse fateantur, et leges

πεῖν, τῶν δὲ νόμων τούτοις μὲν οὐδείς, ἐμοὶ δὲ πάντες βοηθοῦσι, πρῶτον μὲν ὁ παρ' ὑμῖν τοῖς μέλλουσι διαγνώσεσθαι περὶ τοῦ πράγματος, ἔπειθ' ὁ Σιφνίων, ὅθεν ἦν ὁ τὴν διαθήκην καταλιπών, ἔτι δ' ὁ παρ' αὐτοῖς τοῖς ἀμφισβητοῦσι κείμενος; Καίτοι τίνος ἂν ὑμῖν ἀποσχέσθαι δοκοῦσιν, οἵτινες ζητοῦσι πείθειν ὑμᾶς ὡς χρὴ τὰς c διαθήκας ἀκύρους ποιῆσαι τῶν μὲν νόμων οὕτως ἐχόντων, ὑμῶν δὲ κατ' αὐτοὺς ὀμωμοκότων ψηφιεῖσθαι;

16. Περὶ μὲν οὖν αὐτοῦ τοῦ πράγματος ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· ἵνα δὲ μηδεὶς οἴηται μήτ' ἐμὲ διὰ μικρὰς προφάσεις ἔχειν τὸν κλῆρον μήτε ταύτην ἐπιεικῆ γεγενημένην περὶ Θρασύλοχον ἀποστερεῖσθαι τῶν χρημάτων, βούλομαι καὶ περὶ τούτων εἰπεῖν. Αἰσχυνθείην d γὰρ ἂν ὑπὲρ τοῦ τετελευτηκότος, εἰ μὴ πάντες πεισθείητε μὴ μόνον ὡς κατὰ τοὺς νόμους ἀλλ' ὡς καὶ δικαίως ταῦτ' ἔπραξεν. (17) Ῥᾳδίας δ' ἡγοῦμαι τὰς ἀποδείξεις εἶναι. Τοσοῦτον γὰρ διηνέγκαμεν, ὥσθ' αὕτη μὲν ἡ κατὰ γένος ἀμφισβητοῦσα πάντα τὸν χρόνον διετέλεσε καὶ πρὸς αὐτὸν ἐκεῖνον καὶ πρὸς Σώπολιν καὶ πρὸς τὴν μητέρ' αὐτῶν διαφερομένη καὶ δυσμενῶς ἔχουσα, ἐγὼ δ' οὐ μόνον περὶ Θρασύλοχον καὶ τὸν ἀδελφόν, ἀλλὰ e καὶ περὶ αὐτὴν τὴν οὐσίαν ἧς ἀμφισβητοῦμεν φανήσομαι πλείστου τῶν φίλων ἄξιος γεγενημένος.

18. Καὶ περὶ μὲν τῶν παλαιῶν πολὺ ἂν ἔργον εἴη λέγειν· ὅτε δὲ Πασῖνος Πάρον κατέλαβεν, ἔτυχεν αὐτοῖς ὑπεκκείμενα τὰ πλεῖστα τῆς οὐσίας παρὰ τοῖς ξέ-388νοις τοῖς ἐμοῖς· ᾠόμεθα γὰρ μάλιστα ταύτην τὴν νῆσον a ἀσφαλῶς ἔχειν. Ἀπορούντων δ' ἐκείνων καὶ νομιζόντων αὔτ' ἀπολωλέναι, πλεύσας ἐγὼ τῆς νυκτὸς ἐξεκόμισ' αὐτοῖς τὰ χρήματα, κινδυνεύσας περὶ τοῦ σώματος· (19) ἐφρουρεῖτο μὲν γὰρ ἡ χώρα, συγκατειληφότες δ' ἦσάν τινες τῶν ἡμετέρων φυγάδων τὴν πόλιν, οἳ μιᾶς ἡμέρας ἀπέκτειναν αὐτόχειρες γενόμενοι τόν τε πατέρα τὸν ἐμὸν καὶ τὸν θεῖον καὶ τὸν κηδεστήν, καὶ πρὸς τούτοις ἀνεψιοὺς τρεῖς. Ἀλλ' ὅμως οὐδέν με τούτων ἀπέ- b τρεψεν, ἀλλ' ᾠχόμην πλέων, ἡγούμενος ὁμοίως με δεῖν ὑπὲρ ἐκείνων κινδυνεύειν ὥσπερ ὑπὲρ ἐμαυτοῦ. (20) Μετὰ δὲ ταῦτα φυγῆς ἡμῖν γενομένης ἐκ τῆς πόλεως μετὰ τοσούτου θορύβου καὶ δέους, ὥστ' ἐνίους καὶ τῶν σφετέρων αὐτῶν ἀμελεῖν, οὐδ' ἐν τούτοις τοῖς κακοῖς ἠγάπησα εἰ τοὺς οἰκείους τοὺς ἐμαυτοῦ διασῶσαι δυνηθείην, ἀλλ' εἰδὼς Σώπολιν μὲν ἀποδημοῦντα, αὐτὸν δ' c ἐκεῖνον ἀρρώστως διακείμενον, συνεξεκόμισ' αὐτῷ καὶ τὴν μητέρα καὶ τὴν ἀδελφὴν καὶ τὴν οὐσίαν ἅπασαν. Καίτοι τίνα δικαιότερον αὐτὴν ἔχειν ἢ τὸν τότε μὲν συνδιασώσαντα, νῦν δὲ παρὰ τῶν κυρίων εἰληφότα;

21. Τὰ μὲν τοίνυν εἰρημένα ἐστὶν ἐν οἷς ἐκινδύνευσα μέν, φλαῦρον δ' οὐδὲν ἀπέλαυσα· ἔχω δὲ καὶ τοιαῦτ' εἰπεῖν, ἐξ ὧν ἐκείνῳ χαριζόμενος αὐτὸς ταῖς μεγίσταις συμφοραῖς περιέπεσον. Ἐπειδὴ γὰρ ἤλθομεν εἰς Μῆ- d λον, αἰσθόμενος ὅτι μέλλοιμεν αὐτοῦ καταμένειν, ἐδεῖτό μου συμπλεῖν εἰς Τροιζῆνα καὶ μηδαμῶς αὐτὸν ἀπολιπεῖν, λέγων τὴν ἀρρωστίαν τοῦ σώματος καὶ τὸ πλῆθος τῶν ἐχθρῶν, καὶ ὅτι χωρὶς ἐμοῦ γενόμενος οὐδὲν ἕξοι

illis nullæ, mihi vero omnes patrocinentur? primum vestra lex, qui de negotio judicaturi estis; deinde lex Siphniorum, unde auctor testamenti oriundus fuit; postremo ea quoque quæ apud istos valet, qui nobis controversiam faciunt. Quid vero non ausuri esse vobis videbuntur isti, qui persuadere vobis conantur, ut testamentum repudietis, quum et hæc legum sententia sit et vobis juratis secundum eas sit pronunciandum?

16. De re ipsa satis multa dicta esse censeo: ne quis vero me putet parvas ob causas hæreditatem adeptum aut istam officio erga Thrasylochum functam ea fraudari, his etiam de rebus dicam. Nam defuncti vicem me puderet, nisi vobis omnibus persuaderetur eum hæc non tantum secundum leges, sed etiam jure egisse: (17) idque me facile probaturum confido. Tantum enim inter nos interfuit, ut ista, quæ se genere proximam esse contendit, perpetuo cum illo et Sopolide et horum matre litigarit et inimicitias exercuerit; ego vero non tantum erga Thrasylochum et fratrem præclare me gesserim, sed has ipsas facultates, de quibus controversia est, amicissime atque optima fide custodivi erim.

18. Ac de his quidem quæ olim facta sunt, dicere operosum fuerit. Quum autem Pasinus Parum cepisset, maximam partem opum apud hospites meos depositam habebant, quod hanc insulam omnium esse tutissimam putabamus. Quum vero illi angerentur ac ne omnia perissent timerent, ego noctu conscenso navigio exportavi illi pecunias cum vitæ meæ periculo. (19) In agro enim erant præsidia disposita, et urbem quidam nostrorum exulum occuparant, qui uno die et patrem meum et patruum et affinem meum et præter hos tres consobrinos ipsi suis manibus per scelus occiderunt. Me tamen nihil horum avertit, quum persuasum haberem mihi non minus pro eis quam pro me ipso pericula esse subeunda. (20) Deinde quum urbe pelleremur tanto cum tumultu et trepidatione, ut nonnulli suos etiam negligerent, ne in his quidem malis satis habui domesticos meos conservasse, sed quia tum Sopolidem abesse, tum illum ipsum ægrotare sciebam, una cum eo et matrem et sororem et opes universas extuli. Quem igitur eas æquius est habere quam qui et tum conservavit et nunc ab iis quorum illæ fuerunt accepit?

21. Et hæc de iis temporibus dicta sint, quibus pericula quidem adii, sed nihil mali contraxi. Sed et ea proferre possum, per quæ, dum illi obsequor, ipse in calamitates maximas incidi. Melum enim quum venissemus nosque sensisset ibi mansuros, rogavit ut Trœzenem secum navigarem et se nequaquam relinquerem, et corporis infirmitate et multitudine inimicorum commemorata, et quod a me de-

χρῆσθαι τοῖς αὐτοῦ πράγμασι. (22) Φοβουμένης δὲ τῆς μητρός, ὅτι τὸ χωρίον ἐπυνθάνετο νοσῶδες εἶναι, καὶ τῶν ξένων συμβουλευόντων αὐτοῦ μένειν, ὅμως ἔδοξεν ἡμῖν ἐκείνῳ χαριστέον εἶναι. Καὶ μετὰ ταῦτ' e
οὐκ ἔφθημεν εἰς Τροιζῆνα ἐλθόντες, καὶ τοιαύταις νόσοις ἐλήφθημεν, ἐξ ὧν αὐτὸς μὲν παρὰ μικρὸν ἦλθον ἀποθανεῖν, ἀδελφὴν δὲ κόρην τετρακαιδεκέτιν γεγονυῖαν ἐντὸς τριάκονθ' ἡμερῶν κατέθαψα, τὴν δὲ μητέρα οὐδὲ
389 πένθ' ἡμέραις ἐκείνης ὕστερον. Καίτοι τίν' οἴεσθέ με a
γνώμην ἔχειν τοσαύτης μοι μεταβολῆς τοῦ βίου γεγενημένης; (23) ὃς τὸν μὲν ἄλλον χρόνον ἀπαθὴς ἦν κακῶν, νεωστὶ δ' ἐπειρώμην φυγῆς καὶ τοῦ παρ' ἑτέροις μὲν μετοικεῖν, στέρεσθαι δὲ τῶν ἐμαυτοῦ, πρὸς δὲ τούτοις ἑώρων τὴν μητέρα τὴν ἐμαυτοῦ καὶ τὴν ἀδελφὴν ἐκ μὲν τῆς πατρίδος ἐκπεπτωκυίας, ἐπὶ ξένης δὲ καὶ παρ' ἀλλοτρίοις τὸν βίον τελευτώσας. Ὥστε οὐδεὶς ἄν μοι δικαίως φθονήσειεν, εἴ τι τῶν Θρασυλόχου πραγμάτων ἀγαθὸν ἀπολέλαυκα· καὶ γὰρ ἵνα χαρισαίμην ἐκείνῳ, κατοικισάμενος ἐν Τροιζῆνι τοιαύταις ἐχρη- b
σάμην συμφοραῖς, ὧν οὐδέποτ' ἂν ἐπιλαθέσθαι δυνηθείην.

24. Καὶ μὴν οὐδὲ τοῦθ' ἕξουσιν εἰπεῖν, ὡς εὖ μὲν πράττοντος Θρασυλόχου πάντα ταῦθ' ὑπέμενον, δυστυχήσαντα δ' αὐτὸν ἀπέλιπον· ἐν αὐτοῖς γὰρ τούτοις ἔτι σαφέστερον καὶ μᾶλλον ἐπεδειξάμην τὴν εὔνοιαν ἣν εἶχον εἰς ἐκεῖνον. Ἐπειδὴ γὰρ εἰς Αἴγιναν κατοικισά- c
μενος ἠσθένησε ταύτην τὴν νόσον ἐξ ἧσπερ ἀπέθανεν, οὕτως αὐτὸν ἐθεράπευσα ὡς οὐκ οἶδ' ὅστις πώποθ' ἕτερος ἕτερον, τὸν μὲν πλεῖστον τοῦ χρόνου πονήρως μὲν ἔχοντα, περιιέναι δ' ἔτι δυνάμενον, ἓξ μῆνας δὲ συνεχῶς ἐν τῇ κλίνῃ κείμενον. (25) Καὶ τούτων τῶν ταλαιπωριῶν οὐδεὶς τῶν συγγενῶν μετασχεῖν ἠξίωσεν, ἀλλ' οὐδ' ἐπισκεψόμενος ἀφίκετο, πλὴν τῆς μητρὸς καὶ τῆς ἀδελφῆς, αἳ πλέον θάτερον ἐποίησαν· ἀσθενοῦσαι γὰρ ἦλθον ἐκ Τροιζῆνος, ὥστ' αὐταὶ θεραπείας ἐδέοντο. Ἀλλ' ὅμως ἐγώ, τοιούτων τῶν ἄλλων περὶ αὐτὸν γεγενημέ- d
νων, οὐκ ἀπεῖπον οὐδ' ἀπέστην, ἀλλ' ἐνοσήλευον αὐτὸν μετὰ παιδὸς ἑνός· οὐδὲ γὰρ τῶν οἰκετῶν οὐδεὶς ὑπέμενεν· (26) καὶ γὰρ φύσει χαλεπὸς ὢν ἔτι δυσκολώτερον διὰ τὴν νόσον διέκειτο, ὥστ' οὐκ ἐκείνων ἄξιον θαυμάζειν, εἰ μὴ παρέμενον, ἀλλὰ πολὺ μᾶλλον ὅπως ἐγὼ τοιαύτην νόσον θεραπεύων ἀνταρκεῖν ἠδυνάμην· (27) ὃς ἔμπυος μὲν ἦν πολὺν χρόνον, ἐκ δὲ τῆς κλίνης οὐκ ἠδύνατο κινεῖσθαι, τοιαῦτα δ' ἔπασχεν ὥσθ' ἡμᾶς μη- e
δεμίαν ἡμέραν ἀδακρύτους διαγαγεῖν, ἀλλὰ θρηνοῦντες διετελοῦμεν καὶ τοὺς πόνους τοὺς ἀλλήλων καὶ τὴν φυγὴν καὶ τὴν ἐρημίαν τὴν ἡμετέραν αὐτῶν. Καὶ ταῦτ'
390 οὐδένα χρόνον διέλιπεν· οὐδὲ γὰρ ἀπελθεῖν οἷόντ' ἦν ἢ a
δοκεῖν ἀμελεῖν, ὃ ἐμοὶ πολὺ δεινότερον ἦν τῶν κακῶν τῶν παρόντων.

28. Ἐβουλόμην δ' ἂν ὑμῖν οἷόστ' εἶναι ποιῆσαι φανερὸν οἷος περὶ αὐτὸν ἐγενόμην· οἶμαι γὰρ οὐδ' ἂν τὴν φωνὴν ὑμᾶς ἀνασχέσθαι τῶν ἀντιδίκων. Νῦν δὲ τὰ χαλεπώτατα τῶν ἐν τῇ θεραπείᾳ καὶ δυσχερέστατα καὶ

stitutus non haberet quid de suis rebus statueret. (22) A qua urbe quamvis mater abhorreret, quod pestilentem esse audierat, et hospites suaderent ut ibi maneremus, tamen visum est nobis morem illi gerendum esse. Post hæc, quum primum Trœzenem venissemus, tales morbi nos invaserunt, qui me quidem pene confecissent; sororem certe meam, puellam annos quattuordecim natam, intra dies triginta sepelii, et matrem non quinque diebus post illam. Quid vero animi fuisse mihi censetis, quum res meæ ita mutatæ essent? (23) qui superiori tempore expers malorum vixeram ac nuper et exilii periculum feceram et inquilinus apud alios esse et meis opibus carere coactus eram, matrem denique meam et sororem patria privatas videbam et peregre atque apud alienos morientes. Quare nemo mihi jure invidebit, si quid e Thrasylochi rebus commodi capio. Nam dum illi obsequens Trœzene vivo, eas accepi clades, quarum nunquam potero oblivisci.

24. Jam ne illud quidem dicere poterunt, me rebus secundis Thrasylochi hæc omnia subiisse atque eundem in calamitatibus deseruisse : nam in illis ipsis evidentius etiam et certius declaravi quanta eum benevolentia persequerer. Quum enim Æginam se habitatum contulisset et in eum morbum incidisset quo periit, sic eum curavi, ut haud scio an quisquam alius alium, quum maximam quidem temporis partem male quidem affectus esset, at prodire adhuc in publicum posset, sex autem menses continuo in lectulo decumberet. (25) Et harum miseriarum quisquam cognatorum ejus particeps esse adeo non voluit, ut ne inviserit quidem quisquam præter matrem ejus et sororem, quæ auxerunt etiam meas molestias : nam ægrotæ Trœzene advenientes ipsæ curatione indigebant. Ego tamen, quum alii ita se gererent, eum non deserui nec defatigatus sum, sed cum uno puero ejus curam egi, quem ne servorum quidem quisquam tolerare poterat, (26) quum natura satis asperum, tum ex morbo longe morosiorem factum. Quare non hoc mirum est, illos non mansisse, sed illud potius, me cura talis morbi suscepta sufficere potuisse : (27) nam ille et longo tempore tabe laborabat, et e lectulo se commovere non poterat, et sic cum eo agebatur, ut nullum diem sine lacrimis ageremus, sed subinde commiseraremur mutuo et labores nostros et exilium et solitudinem nostram. Neque hæc ullo tempore intermittebantur. Nec enim mihi uspiam discedere licebat, nisi negligere eum videri vellem, quod mihi multo acerbius erat quam mala cetera.

28. Velim equidem me posse vobis ostendere, qualis in eum fuerim : quo facto vos arbitror neque vocem adversariorum toleraturos. Nunc vero quæ in curatione difficillima et molestissima erant et labores acerbissimos maximamque

πόνους ἀηδεστάτους ἔχοντα καὶ πλείστης ἐπιμελείας δεηθέντα οὐκ εὐδιήγητά ἐστιν· ἀλλ' ὑμεῖς αὐτοὶ σκο- b πεῖτε, μετὰ πόσων ἄν τις ἀγρυπνιῶν καὶ ταλαιπωριῶν τοιοῦτον νόσημα τοσοῦτον χρόνον θεραπεύσειεν. (29) Ἐγὼ μὲν γὰρ οὕτω κακῶς διετέθην, ὥσθ' ὅσοι περ εἰσῆλθον τῶν φίλων, ἔφασαν δεδιέναι μὴ κἀγὼ προσαπόλωμαι, καὶ συνεβούλευόν μοι φυλάττεσθαι, λέγοντες ὡς οἱ πλεῖστοι τῶν θεραπευσάντων ταύτην τὴν νόσον αὐτοὶ προσδιεφθάρησαν. Πρὸς οὓς ἐγὼ τοιαῦτ' ἀπεκρινάμην, ὅτι πολὺ ἂν θᾶττον ἑλοίμην ἀποθανεῖν ἢ 'κεῖνον περιιδεῖν δι' ἔνδειαν τοῦ θεραπεύσοντος πρὸ μοίρας c τελευτήσαντα.

30. Καὶ τοιούτῳ μοι γεγενημένῳ τετόλμηκεν ἀμφισβητεῖν τῶν χρημάτων ἡ μηδ' ἐπισκέψασθαι πώποτ' αὐτὸν ἀξιώσασα, τοσοῦτον μὲν χρόνον ἀσθενήσαντα, πυνθανομένη δὲ καθ' ἑκάστην τὴν ἡμέραν ὡς διέκειτο, ῥᾳδίας δ' οὔσης αὐτῇ τῆς πορείας. Εἶτα νῦν αὐτὸν ἀδελφίζειν ἐπιχειρήσουσιν, ὥσπερ οὐχ ὅσῳ ἂν οἰκειότερον προσείπωσι τὸν τεθνεῶτα, τοσούτῳ δόξουσαν αὐτὴν μείζω καὶ δεινότερα ἐξαμαρτεῖν· (31) ἥτις οὐδ' ἐπειδὴ d τελευτᾶν ἤμελλε τὸν βίον, ὁρῶσα τοὺς πολίτας τοὺς ἡμετέρους, ὅσοι περ ἦσαν ἐν Τροιζῆνι, διαπλέοντας εἰς Αἴγιναν, ἵν' αὐτὸν συγκαταθάψειαν, οὐδ' εἰς τοῦτον τὸν καιρὸν ἀπήντησεν, ἀλλ' οὕτως ὠμῶς καὶ σχετλίως εἶχεν, ὥστ' ἐπὶ μὲν τὸ κῆδος οὐκ ἠξίωσεν ἀφικέσθαι, τῶν δὲ καταλειφθέντων οὐδὲ δέχ' ἡμέρας διαλιποῦσα ἦλθεν ἀμφισβητοῦσα, ὥσπερ τῶν χρημάτων ἀλλ' οὐκ ἐκείνου συγγενὴς οὖσα. (32) Καὶ εἰ μὲν ὁμολογήσει τοσαύτην ἔχθραν ὑπάρχειν αὐτῇ πρὸς ἐκεῖνον ὥστ' εἰκότως e ταῦτα ποιεῖν, οὐκ ἂν κακῶς εἴη βεβουλευμένος, εἰ τοῖς φίλοις μᾶλλον ἐβουλήθη ἢ ταύτῃ τὴν οὐσίαν καταλιπεῖν· 391 εἰ δὲ μηδεμιᾶς διαφορᾶς οὔσης οὕτως ἀμελὴς καὶ κακὴ a περὶ αὐτὸν ἐγένετο, πολὺ ἂν δήπου δικαιότερον στερηθείη τῶν αὑτῆς ἢ τῶν ἐκείνου κληρονόμος γένοιτο. (33) Ἐνθυμεῖσθε δ' ὅτι τὸ μὲν ταύτης μέρος οὔτ' ἐν τῇ νόσῳ θεραπείας ἔτυχεν οὔτ' ἀποθανὼν τῶν νομιζομένων ἠξιώθη, δι' ἐμὲ δ' ἀμφότερα ταῦτ' αὐτῷ γεγένηται. Καίτοι δίκαιόν ἐστιν ὑμᾶς τὴν ψῆφον φέρειν οὐκ εἴ τινες γένει μέν φασι προσήκειν, ἐν δὲ τοῖς ἔργοις ὅμοιοι τοῖς b ἐχθροῖς γεγόνασιν, ἀλλὰ πολὺ μᾶλλον ὅσοι μηδὲν ὄνομα συγγενείας ἔχοντες οἰκειοτέρους σφᾶς αὐτοὺς ἐν ταῖς συμφοραῖς τῶν ἀναγκαίων παρέσχον.

34. Λέγουσι δ' ὡς τὰς μὲν διαθήκας οὐκ ἀπιστοῦσι Θρασύλοχον καταλιπεῖν, οὐ μέντοι καλῶς οὐδ' ὀρθῶς φασιν αὐτὰς ἔχειν. Καίτοι, ὦ ἄνδρες Αἰγινῆται, πῶς ἄν τις ἄμεινον ἢ μᾶλλον συμφερόντως περὶ τῶν αὑτοῦ c πραγμάτων ἐβουλεύσατο; ὃς οὔτ' ἔρημον τὸν οἶκον κατέλιπε, τοῖς τε φίλοις χάριν ἀπέδωκεν, ἔτι δὲ τὴν μητέρα καὶ τὴν ἀδελφὴν οὐ μόνον τῶν αὑτοῦ κυρίας ἀλλὰ καὶ τῶν ἐμῶν κατέστησε, τὴν μὲν ἐμοὶ συνοικίσας, τῇ δ' υἱόν μ' εἰσποιήσας; (35) Ἆρ' ἂν ἐκείνως ἄμεινον ἔπραξεν, εἰ μήτε τῆς μητρὸς τὸν ἐπιμελησόμενον κατέστησε, μήτ' ἐμοῦ μηδεμίαν μνείαν ἐποιήσατο, τὴν δ' ἀδελφὴν

sollicitudinem postulabant, non satis commode narrari possunt. Vos igitur ipsi considerate, quantis vigiliis et miseriis talis et tam diuturnus morbus sit curandus. (29) Ego quidem sic affectus fui, ut omnes amici qui accedebant se vereri dicerent ne ego una cum illo perirem, mihique suaderent ut essem cautior; multos enim, qui in eo morbi genere aliis inservissent, ipsos una periisse memorabant. Quibus ego ad hunc modum respondi : me longe malle emori quam committere ut ille ministro carens ante diem moreretur.

30. Quæ quum ego et fecerim et perpessus sim, ista mihi audet litem inferre, quæ in tam diuturno morbo nunquam eum visere operæ pretium habuit, quum quidem quotidie audiret quomodo cum eo ageretur, et iter tam expeditum haberet. Nunc demum fraternum erga eum animum induere et blandum illud fratris nomen usurpare conantur, quasi vero non, quanto familiarius mortuum illum compellarint, tanto major illius mulierculæ appareat inhumanitas atque impietas: (31) quæ quum videret eo tempore quo erat moriturus, quantum nostrorum civium Trœzene erat, eos Æginam trajicere et funus ejus sua præsentia ornare : ne hoc quidem tempore advenit, sed ita crudelis, ita immanis fuit, ut ad justa quidem persolvenda non venerit, de relictis autem bonis, antequam decem dies exissent, adventarit motura controversiam, quasi cognata pecuniæ, non hominis fuisset. (32) Quæ si fatebitur sibi cum eo tantas inimicitias intercessisse, ut jure ista fecerit, non male sibi Thrasylochus consuluit, si suas opes amicis potius quam isti relinquere voluerit; sin, quum nihil dissidii inter ipsos esset, eum tam inhumaniter neglexit, multo fuerit æquius eam suis bonis privari, quam illius hæreditatem cernere. (33) Cogitate igitur, quantum in ista fuit, neque in morbo curatum esse, neque post obitum justa ei persoluta esse : quæ utraque illi ego præstiti. Æquum est autem vos secundum eos judicare, non qui se genere proximos esse dicunt, re ipsa inimicos præbuerunt, sed secundum eos potius, qui quum nomen cognationis non haberent, majore fide in calamitatibus inservierunt quam sanguine conjuncti.

34. Ac testamentum hoc a Thrasylocho esse relictum non negant, sed bene et recte factum esse negant. At qui fieri potest, Æginetæ, ut quisquam suis rebus melius consulat? quum et familiam conservarit, et amicis gratiam retulerit et matri sororique suæ non suam modo rem familiarem, sed etiam meam tradiderit, quarum alteram, uxorem mihi dedit, alteri me adoptavit? (35) Num ergo illo modo rectius fecisset, si neque matri curatorem constituisset, nec ullam mei mentionem fecisset, sororem vero suam for-

ἐπὶ τῇ τύχῃ κατέλιπε, καὶ τὸν οἶκον ἀνώνυμον τὸν αὐτοῦ περιεῖδε γενόμενον;

36. Ἀλλὰ γὰρ ἴσως ἀνάξιος ἦν υἱὸς εἰσποιηθῆναι d Θρασυλόχῳ καὶ λαβεῖν αὐτοῦ τὴν ἀδελφήν. Ἀλλὰ πάντες ἂν μαρτυρήσειαν Σίφνιοι τοὺς προγόνους τοὺς ἐμοὺς καὶ γένει καὶ πλούτῳ καὶ δόξῃ καὶ τοῖς ἄλλοις ἅπασι πρώτους εἶναι τῶν πολιτῶν. Τίνες γὰρ ἢ μειζόνων ἀρχῶν ἠξιώθησαν, ἢ πλείω χρήματ' εἰσήνεγκαν, ἢ κάλλιον ἐχορήγησαν, ἢ μεγαλοπρεπέστερον τὰς ἄλλας λειτουργίας ἐλειτούργησαν; ἐκ ποίας δ' οἰκίας τῶν ἐν Σίφνῳ πλείους βασιλεῖς γεγόνασιν; (37) ὥστε Θρασύλο- e χός τε, εἰ καὶ μηδὲ πώποτ' αὐτῷ διελέχθην, εἰκότως ἂν ἐβουλήθη μοι διὰ ταῦτα δοῦναι τὴν ἀδελφήν, ἐγώ τ' εἰ καὶ μηδέν μοι τούτων ὑπῆρχεν, ἀλλὰ φαυλότατος ἦν τῶν πολιτῶν, δικαίως ἂν παρ' αὐτοῦ διὰ τὰς εὐεργεσίας τὰς εἰς ἐκεῖνον τῶν μεγίστων ἠξιώθην.

392 38. Οἶμαι τοίνυν αὐτὸν καὶ Σωπόλιδι τῷ ἀδελφῷ a μάλιστα κεχαρίσθαι ταῦτα διαθέμενον. Καὶ γὰρ ἐκεῖνος ταύτην μὲν ἐμίσει καὶ κακόνουν τοῖς αὐτοῦ πράγμασιν ἡγεῖτο, ἐμὲ δὲ περὶ πλείστου τῶν αὐτοῦ φίλων ἐποιεῖτο. Ἐδήλωσε δ' ἐν ἄλλοις τε πολλοῖς, καὶ ὅτ' ἔδοξε τοῖς συμφυγάσιν ἐπιχειρεῖν τῇ πόλει μετὰ τῶν ἐπικούρων. Αἱρεθεὶς γὰρ ἄρχειν αὐτοκράτωρ ἐμὲ καὶ γραμματέα προσείλετο καὶ τῶν χρημάτων ταμίαν ἁπάν- b των κατέστησε, καὶ ὅτ' ἠμέλλομεν κινδυνεύειν, αὐτὸς αὐτῷ με παρετάξατο. (39) Καὶ σκέψασθ' ὡς σφόδρ' αὐτῷ συνήνεγκεν· δυστυχησάντων γὰρ ἡμῶν ἐν τῇ προσβολῇ τῇ πρὸς τὴν πόλιν καὶ τῆς ἀναχωρήσεως οὐχ οἵας ἠβουλόμεθα γενομένης, τετρωμένον αὐτὸν καὶ βαδίζειν οὐ δυνάμενον, ἀλλ' ὀλιγοψυχοῦντα, ἀπεκόμισα ἐπὶ τὸ πλοῖον μετὰ τοῦ θεράποντος τοῦ ἐμαυτοῦ, φέρων ἐπὶ τῶν ὤμων, ὥστ' ἐκεῖνον πολλάκις καὶ πρὸς πολλοὺς εἰπεῖν ὅτι c μόνος ἀνθρώπων αἴτιος εἴην αὐτῷ τῆς σωτηρίας. (40) Καίτοι τίς ἂν μείζων ταύτης εὐεργεσία γένοιτο; Ἐπειδὴ τοίνυν εἰς Λυκίαν ἐκπλεύσας ἀπέθανεν, αὕτη μὲν οὐ πολλαῖς ἡμέραις ὕστερον μετὰ τὴν ἀγγελίαν ἔθυε καὶ ἑώρταζε, καὶ οὐδὲ τὸν ἀδελφὸν ᾐσχύνετο τὸν ἔτι ζῶντα, οὕτως ὀλίγον φροντίζουσα τοῦ τεθνεῶτος, ἐγὼ δ' ἐπένθουν αὐτόν, ὥσπερ τοὺς οἰκείους νόμος ἐστίν. (41) Καὶ ταῦτα πάντ' ἐποίουν διὰ τὸν τρόπον τὸν ἐμαυτοῦ καὶ d τὴν φιλίαν τὴν πρὸς ἐκείνους, ἀλλ' οὐ ταυτησὶ τῆς δίκης ἕνεκα· οὐ γὰρ ᾤμην αὐτοὺς οὕτω δυστυχήσειν, ὥστ' ἄπαιδας ἀμφοτέρους τελευτήσαντας εἰς ἔλεγχον καταστήσειν, ὁποῖός τις ἕκαστος ἡμῶν περὶ αὐτοὺς ἐγένετο.

42. Πρὸς μὲν οὖν Θρασύλοχόν τε καὶ Σώπολιν ὡς αὕτη τε κἀγὼ διεκείμεθα, σχεδὸν ἀκηκόατε· τρέψονται δ' ἴσως ἐπ' ἐκεῖνον τὸν λόγον, ὅσπερ αὐτοῖς λοιπός e ἐστιν, ὡς Θράσυλλος ὁ πατὴρ ὁ ταύτης ἡγοῖτ' ἂν δεινὰ πάσχειν, εἴ τίς ἐστιν αἴσθησις τοῖς τεθνεῶσι περὶ τῶν ἐνθάδε γιγνομένων, ὁρῶν τὴν μὲν θυγατέρα ἀποστερουμένην τῶν χρημάτων, ἐμὲ δὲ κληρονόμον ὧν αὐτὸς ἐκτήσατο γιγνόμενον. (43) Ἐγὼ δ' ἡγοῦμαι μὲν οὐ

393 περὶ τῶν πάλαι τεθνεώτων, ἀλλὰ περὶ τῶν ἔναγχος τὸν a

tunæ commisisset, et nomen gentilitium exstingui passus esset?

36. At fortasse indignus fui ego, qui in Thrasylochi familiam adoptarer et sororem ejus haberem? At Siphnii omnes testabuntur majores meos et genere et opibus et auctoritate principes esse civitatis. Qui enim vel ampliores magistratus gesserunt, vel plus pecuniæ contribuerunt, vel choros luculentius instruxerunt, vel magnificentius reliqua munera publica obierunt? e qua Siphni familia plures reges exstiterunt? (37) Quare et Thrasylochus, etiamsi nunquam cum eo collocutus essem, haud injuria propter hæc mihi sororem suam dare voluisset; et ego, tametsi nihil horum mihi esset atque civium vilissimus essem, jure tamen propter collata in ipsum beneficia ab eo maxima quæque consecutus essem.

38. Arbitror autem eum testamento hunc in modum facto etiam fratri Sopolidi rem fecisse gratissimam, qui et ipse istam oderat suisque rebus male velle putabat, me autem inter amicos omnes maximi faciebat. Quod quum sæpe alias, tum vero inprimis declaravit, quum exsulibus visum est cum copiis auxiliaribus urbem invadere. Dux enim creatus ac summa potestate instructus me et scribam delegit, et quæstorem omnis pecuniæ constituit, et prælium commissurus juxta se in acie collocavit. (39) Quod ei quantopere profuerit, considerate. Nam quum urbis oppugnatio nobis non successisset neque ita uti volebamus recederemus, eum tam graviter vulneratum, ut ambulare non posset, ac fere moribundum cum famulo meo humeris impositum ad navem deportavi. Quare sæpe et ad multos dixit se mihi soli omnium salutem suam acceptam referre. (40) Quo beneficio quid majus esse potest? Deinde quum navigatione in Lyciam suscepta mortuus esset, ista paucis diebus post acceptum de obitu ejus nuncium sacrificabat et festum diem celebrabat, nec eam vel fratri adhuc viventis pudebat, quod mortem defuncti tam leviter ferret; ego vero sic eum lugebam, ut lugere cognatos moris est. (41) Et hæc faciebam omnia ex ingenio meo et propter illorum amicitiam, non hujus judicii causa. Nec enim putabam ita male cum eis actum iri, ut sine liberis uterque mortui conspiciendum relicturi essent, quo animo unusquisque nostrûm in ipsos fuisset.

42. Ac quemadmodum erga Thrasylochum et Sopolidem ista et ego affecti fuerimus, fere audivistis. Fortasse autem nunc ad eam orationem se convertent, quæ eis reliqua est: Thrasyllum istius mulieris patrem, si quis sensus sit defunctis rerum quæ hic gerantur, existimaturum iniquissime secum agi, si videret filiam hæreditate fraudatam et opes suo labore partas ad me rediisse. (43) Ego vero censeo non de jam olim defunctis, sed de his qui nuper mortui

κλῆρον καταλιπόντων προσήκειν ἡμῖν τοὺς λόγους ποιεῖσθαι· Θράσυλλος μὲν γάρ, οὕσπερ ἐβούλετο, τούτους κυρίους τῶν αὑτοῦ κατέλιπεν, δίκαιον δὲ καὶ Θρασυλόχῳ τὰ αὐτὰ ταῦτ' ἀποδοθῆναι παρ' ὑμῶν, καὶ γενέσθαι διαδόχους τῆς κληρονομίας μὴ ταύτην, ἀλλ' οἷς ἐκεῖνος διέθετο· οὐ μέντ' ἂν μοι δοκῶ φυγεῖν οὐδὲ τὴν Θρασύλλου γνώμην. (44) Οἶμαι γὰρ ἂν αὐτὸν πάντων γενέσθαι ταύτῃ χαλεπώτατον δικαστήν, εἴπερ αἴσθοιτο b οἷα περὶ τοὺς παῖδας αὐτοῦ γεγένηται. Πολλοῦ ἂν δεήσειεν ἀχθεσθῆναι κατὰ τοὺς νόμους ὑμῶν ψηφισαμένων, ἀλλὰ πολὺ ἂν μᾶλλον, εἰ τὰς τῶν παίδων διαθήκας ἀκύρους ἴδοι γενομένας. Καὶ γὰρ εἰ μὲν εἰς τὸν οἶκον τὸν ἐμὸν δεδωκὼς ἦν Θρασύλοχος τὴν οὐσίαν, τοῦτ' ἂν ἐπιτιμᾶν εἶχεν αὐτῷ· νῦν δ' εἰς τὸν αὑτῶν εἰσεποιήσατο, ὥστ' οὐκ ἐλάττω τυγχάνουσιν εἰληφότες ὧν δεδώκασιν. (45) Χωρὶς δὲ τούτων, οὐδένα μᾶλλον εἰκός c ἐστιν ἢ Θράσυλλον εὔνουν εἶναι τοῖς κατὰ δόσιν ἀμφισβητοῦσιν· καὶ γὰρ αὐτὸς καὶ τὴν τέχνην ἔμαθε παρὰ Πολεμαινέτου τοῦ μάντεως, καὶ τὰ χρήματ' ἔλαβεν οὐ κατὰ γένος, ἀλλὰ δι' ἀρετήν, ὥστ' οὐκ ἂν δήπου φθονήσειεν, εἴ τις περὶ τοὺς παῖδας αὐτοῦ χρηστὸς γενόμενος τῆς αὐτῆς δωρεᾶς ἧσπερ ἐκεῖνος ἠξιώθη. (46) Μεμνῆσθαι δὲ χρὴ καὶ τῶν ἐν ἀρχῇ ῥηθέντων. Ἐπέδειξα γὰρ ὑμῖν αὐτὸν οὕτω περὶ πολλοῦ τὴν ἡμετέραν οἰκειό- d τητα ποιησάμενον, ὥστε γῆμαι καὶ τὴν ἀδελφὴν τὴν τοῦ πατρὸς καὶ τὴν ἀνεψίαν. Καίτοι τίσιν ἂν θᾶττον τὴν αὑτοῦ θυγατέρα ἐξέδωκεν ἢ τούτοις παρ' ὧν αὐτὸς λαμβάνειν ἠξίωσεν; ἐκ ποίας δ' ἂν οἰκίας ἥδιον εἶδεν υἱὸν αὑτῷ κατὰ τοὺς νόμους εἰσποιηθέντα μᾶλλον ἢ ταύτης ἐξ ἧσπερ καὶ φύσει παῖδας ἐζήτησεν αὑτῷ γενέσθαι;

47. Ὥστ' ἐὰν μὲν ἐμοὶ ψηφίσησθε τὸν κλῆρον, καὶ πρὸς ἐκεῖνον ὑμῖν καλῶς ἕξει καὶ πρὸς τοὺς ἄλλους e ἅπαντας, οἷς προσήκει τι τούτων τῶν πραγμάτων· ἢν δ' ὑπὸ ταύτης πεισθέντες ἐξαπατηθῆτε, οὐ μόνον ἐμὲ ἀδικήσετε, ἀλλὰ καὶ Θρασύλοχον τὸν τὴν διαθήκην κα- 394 ταλιπόντα, καὶ Σώπολιν, καὶ τὴν ἀδελφὴν τὴν ἐκείνων a ἣ νῦν ἐμοὶ συνοικεῖ, καὶ τὴν μητέρ' αὐτῶν, ἣ πασῶν ἂν εἴη δυστυχεστάτη γυναικῶν, εἰ μὴ μόνον ἐξαρκέσειεν αὐτῇ στέρεσθαι τῶν παίδων, ἀλλὰ καὶ τοῦτ' αὐτῇ προσγένοιτο ὥστ' ἐπιδεῖν ἄκυρον μὲν τὴν ἐκείνων γνώμην οὖσαν, ἔρημον δὲ τὸν οἶκον γιγνόμενον, (48) καὶ τὴν μὲν ἐπιχαίρουσαν τοῖς αὐτῆς κακοῖς ἐπιδικαζομένην τῶν χρημάτων, ἐμὲ δὲ μηδενὸς δυνάμενον τῶν δικαίων τυχεῖν, ὃς τοιαῦτ' ἔπραξα περὶ τοὺς ἐκείνης, ὥστ' εἴ τίς b με σκοποῖτο μὴ πρὸς ταύτην, ἀλλὰ πρὸς τοὺς πώποτε κατὰ δόσιν ἀμφισβητήσαντας, εὑρεθείην ἂν οὐδενὸς χείρων αὐτῶν περὶ τοὺς φίλους γεγενημένος. Καίτοι χρὴ τοὺς τοιούτους τιμᾶν καὶ περὶ πολλοῦ ποιεῖσθαι πολὺ μᾶλλον ἢ τὰς ὑφ' ἑτέρων δεδομένας δωρεὰς ἀφαιρεῖσθαι. (49) Ἄξιον δ' ἐστὶ καὶ τῷ νόμῳ βοηθεῖν, καθ' ὃν ἔξεστιν ἡμῖν καὶ παῖδας εἰσποιήσασθαι καὶ βουλεύσασθαι περὶ τῶν ἡμετέρων αὐτῶν, ἐνθυμηθέντας ὅτι τοῖς c ἐρήμοις τῶν ἀνθρώπων ἀντὶ παίδων οὗτός ἐστιν· διὰ

hæreditatem reliquerunt, verba nobis facienda esse. Thrasyllus enim ille, quos ipse voluit, hæredes instituit : æquum est autem idem jus a vobis Thrasylocho relinqui, et in hæreditate illi succedere non istam, sed quos ille testamento successores designavit. Neque tamen ego vel Thrasylli stare judicio recusem, (44) quem judicem contra istam b omnium acerrimum fore arbitror, si intelligat quomodo liberos ipsius tractarit, atque adeo multum abfuturum ut indignetur, si vos secundum leges sententiam tulisse videat, ut id multo iniquiore animo ferat, si testamentum a filio suo factum fiat irritum. Nam si quidem Thrasylochus facultates suas meæ familiæ tradidisset, in eo fortasse ipsum posset reprehendere : nunc per adoptionem in suos omnia contu- c lit, ut non pauciora acceperint quam dederunt. (45) Jam his omissis neminem Thrasyllo verisimile est benevolentiorem esse iis qui de donatione in judicio contendunt. Nam et ipse artem didicit a Polemæneto, et pecunias accepit non jure cognationis, sed merito virtutis. Quare nemini invidebit, qui de liberis ipsius bene meritus eodem beneficio, quo ipse affectus fuerit. (46) Sed ea quoque sunt in memoriam re- d vocanda, quæ primo loco dixi. Eum enim necessitudinem nostram tanti fecisse ostendi, ut patris mei et sororem et consobrinam duxerit. Quibus igitur filiam suam libentius despondisset, quam iis a quibus ipse potissimum uxorem accipere voluit? ex qua porro familia filium in suam familiam adoptatum maluisset, quam ex qua et ipse germanos liberos suscipere expetivit?

47. Itaque si hæreditatem mihi adjudicaveritis, et illi et e ceteris omnibus, ad quos hæc negotia aliqua ex parte attinent, rem gratam facietis; sin istius oratione decepti fueritis, non mihi tantum injuriam facietis, sed Thrasylocho a etiam, testamenti auctori, et Sopolidi et sorori eorum, quæ nunc mea uxor est, et eorum matri, quæ omnium mulierum infelicissima erit, si præter orbitatem in id quoque malum inciderit, ut et illorum voluntatem frangi et familiam exstingui videat, (48) et quum ista malis ipsius insultans pecuniam sibi vindicet, me, qui talem erga illius liberos me præstiterim, nihil æqui posse impetrare. Quare si quis me spectet b non isti me comparans, sed iis qui unquam ex donatione hæreditatem petierunt, non minorem fidem amicis me præstitisse quam quemquam alium comperiet. Honorandi autem sunt et maximi faciendi tales multo magis quam aliorum donationes eis eripiendæ. (49) Atque etiam legem defendere debetis, per quam nobis et liberos adoptare licet c et de re familiari nostro arbitratu statuere, quum legem hanc orbis loco liberûm esse intelligatis. Quæ quidem

γὰρ τοῦτον καὶ οἱ συγγενεῖς καὶ οἱ μηδὲν προσήκοντες μᾶλλον ἀλλήλων ἐπιμέλονται.

50. Ἵνα δὲ παύσωμαι λέγων καὶ μηκέτι πλείω χρόνον διατρίβω, σκέψασθ' ὡς μεγάλα καὶ δίκαια ἥκω πρὸς ὑμᾶς ἔχων, πρῶτον μὲν φιλίαν πρὸς τοὺς καταλιπόντας τὸν κλῆρον παλαιὰν καὶ πατρικὴν καὶ πάντα τὸν χρόνον διατελέσασαν, ἔπειτ' εὐεργεσίας πολλὰς καὶ d μεγάλας καὶ περὶ δυστυχοῦντας ἐκείνους γεγενημένας, πρὸς δὲ τούτοις διαθήκας παρ' αὐτῶν τῶν ἀντιδίκων ὁμολογουμένας, ἔτι δὲ νόμον ταύταις βοηθοῦντα, ὃς δοκεῖ τοῖς Ἕλλησιν ἅπασι καλῶς κεῖσθαι. (51) Τεκμήριον δὲ μέγιστον· περὶ γὰρ ἄλλων πολλῶν διαφερόμενοι περὶ τούτου ταὐτὰ γιγνώσκουσιν. Δέομαι οὖν ὑμῶν καὶ τούτων μεμνημένους καὶ τῶν ἄλλων τῶν εἰρη- e μένων τὰ δίκαια ψηφίσασθαι, καὶ τοιούτους μοι γενέσθαι δικαστὰς οἵων περ ἂν αὐτοὶ τυχεῖν ἀξιώσαιτε.

eam vim habet, atque efficit ut et cognati et nulla necessitudine conjuncti inter se magis curent.

50. Ut autem dicendi finem faciam neque diutius his rebus immorer, quanta sit magnitudo et æquitas causæ meæ considerate. Primum enim, qui hæreditatem reliquerunt, vetere et a patribus accepta et ad finem usque perducta amicitia mihi conjuncti fuerunt; deinde multa et magna in eos beneficia rebus ipsorum adversis contuli; præterea testamentum in promptu est, quod ne adversarii quidem negare audent; denique lex Græcis omnibus probata huic testamento suffragatur: (51) cujus rei maximum illud argumentum est, quod quum aliis de rebus multis dissentiant, de hac statuunt idem omnes. Rogo igitur vos, ut hæc et cetera quæ dicta sunt recordati ea quæ justa sint decernatis, et tales in me judices sitis, quales vobis alios esse cuperetis.

20.

ΚΑΤΑ ΛΟΧΙΤΟΥ.

395 Ὡς μὲν τοίνυν ἔτυπτέ με Λοχίτης ἄρχων χειρῶν a ἀδίκων, ἅπαντες ὑμῖν οἱ παρόντες μεμαρτυρήκασι· τὸ δ' ἁμάρτημα τοῦτο οὐχ ὅμοιον δεῖ νομίζειν τοῖς ἄλλοις, οὐδὲ τὰς τιμωρίας ἴσας ποιεῖσθαι περί τε τοῦ σώματος καὶ τῶν χρημάτων, ἐπισταμένους ὅτι τοῦτο πᾶσιν ἀνθρώποις οἰκειότατόν ἐστι, καὶ τούς τε νόμους ἐθέμεθα καὶ περὶ τῆς ἐλευθερίας μαχόμεθα καὶ τῆς δημοκρατίας b ἐπιθυμοῦμεν καὶ τἆλλα πάντα τὰ περὶ τὸν βίον ἕνεκα τούτου πράττομεν. Ὥστ' εἰκὸς ὑμᾶς ἐστι τοὺς περὶ τοῦτ' ἐξαμαρτάνοντας, ὃ περὶ πλείστου ποιεῖσθε, τῇ μεγίστῃ ζημίᾳ κολάζειν.

2. Εὑρήσετε δὲ καὶ τοὺς θέντας ἡμῖν τοὺς νόμους ὑπὲρ τῶν σωμάτων μάλιστα σπουδάσαντας. Πρῶτον μὲν γὰρ περὶ μόνου τούτου τῶν ἀδικημάτων καὶ δίκας καὶ γραφὰς ἄνευ παρακαταβολῆς ἐποίησαν, ἵν' ὅπως ἂν c ἕκαστος ἡμῶν τυγχάνῃ δυνάμενος καὶ βουλόμενος, οὕτως ἔχῃ τιμωρεῖσθαι τοὺς ἀδικοῦντας· ἔπειτα τῶν μὲν ἄλλων ἐγκλημάτων αὐτῷ τῷ παθόντι μόνον ὁ δράσας 396 ὑπόδικός ἐστιν, περὶ δὲ τῆς ὕβρεως, ὡς κοινοῦ τοῦ a πράγματος ὄντος, ἔξεστι τῷ βουλομένῳ τῶν πολιτῶν γραψαμένῳ πρὸς τοὺς θεσμοθέτας εἰσελθεῖν εἰς ὑμᾶς. (3) Οὕτω δ' ἡγήσαντο δεινὸν εἶναι τὸ τύπτειν ἀλλήλους, ὥστε καὶ περὶ τῆς κακηγορίας νόμον ἔθεσαν, ὃς κελεύει τοὺς λέγοντάς τι τῶν ἀπορρήτων πεντακοσίας δραχμὰς ὀφείλειν. Καίτοι πηλίκας τινὰς χρὴ ποιεῖσθαι τὰς τιμωρίας ὑπὲρ τῶν ἔργῳ παθόντων κακῶς, ὅταν ὑπὲρ τῶν λόγῳ μόνον ἀκηκοότων οὕτως ὀργιζόμενοι φαίνησθε; b

4. Θαυμαστὸν δ' εἰ τοὺς μὲν ἐπὶ τῆς ὀλιγαρχίας ὑβρίσαντας ἀξίους θανάτου νομίζετε, τοὺς δ' ἐν δημοκρατίᾳ ταὐτὰ ἐκείνοις ἐπιτηδεύοντας ἀζημίους ἀφήσετε. Καίτοι δικαίως ἂν μείζονος οὗτοι τιμωρίας τυγχάνοιεν· φανερώτερον γὰρ ἐπιδείκνυνται τὴν αὑτῶν πονηρίαν. Ὅστις γὰρ νῦν τολμᾷ παρανομεῖν, ὅτ' οὐκ ἔξεστι, τί ποτ' ἂν ἐποίησεν, ὅθ' οἱ κρατοῦντες τῆς πό- c

20.

ORATIO CONTRA LOCHITEN.

Me igitur a Lochite vapulasse nulla injuria lacessito omnes qui adfuerunt, pro testimonio dixerunt. Est autem facinus hoc aliorum delictorum dissimile judicandum; nec idem sumendum supplicium de læsione corporis, quod de fraudatione pecuniarum. Scitis enim hoc omnibus conjunctissimum esse nosque ob hujus incolumitatem et leges sanxisse et pro libertate pugnare et popularem statum expetere, omnes denique vitæ actiones huc referri. Æquum igitur est eos qui id violant, quod maximi facitis, gravissimo supplicio coerceri a vobis.

2. Reperietis vero eos etiam qui leges nobis tulerunt, de corporibus inprimis curam habuisse. Primum enim de sola hac injuria tum privatas, tum publicas actiones sine sponsione dederunt, ut unicuique nostrûm, ut et vellet et posset, sic ulcisci liceret eos, a quibus esset læsus. Deinde in aliis criminibus ei solum qui offensus est, actio in adversarium datur; de contumelia vero, tanquam crimine publico, unicuique civium re apud Thesmothetas proposita venire in judicium licet. (3) Ac mutuis grassari verberibus usque adeo non ferendum esse putarunt, ut etiam de maledicto legem tulerint, quæ jubet eos qui aliquid interdictum legibus proferunt quingentis drachmis mulctari. Quanta igitur severitate vindicandæ sunt injuriæ re ipsa factæ, quum petulantiæ verborum ita succenseatis?

4. Mirum autem sit, si facinora paucorum dominatu commissa morte mulctanda censeatis, istos vero qui libera civitate simili studio sunt, impunitos dimittatis. Atqui decebat tanto acrius in hos animadverti, quanto suam improbitatem evidentius ostendunt. Nam qui nunc, quum non licet, leges migrare non dubitat, quid is fecisset, quum

λεως καὶ χάριν εἶχον τοῖς τὰ τοιαῦτα ἐξαμαρτάνουσιν;

5. Ἴσως οὖν Λοχίτης ἐπιχειρήσει μικρὸν ποιεῖν τὸ πρᾶγμα, διασύρων τὴν κατηγορίαν, καὶ λέγων ὡς οὐδὲν ἐκ τῶν πληγῶν κακὸν ἔπαθον, ἀλλὰ μείζους ποιοῦμαι τοὺς λόγους ἢ κατὰ τὴν ἀξίαν τῶν γεγενημένων. Ἐγὼ δ' εἰ μὲν μηδεμία προσῆν ὕβρις τοῖς πεπραγμένοις, οὐκ ἄν ποτ' εἰσῆλθον εἰς ὑμᾶς· νῦν δ' οὐχ ὑπὲρ τῆς ἄλλης βλάβης τῆς ἐκ τῶν πληγῶν γενομένης, ἀλλ' ὑπὲρ τῆς αἰκίας καὶ τῆς ἀτιμίας ἥκω παρ' αὐτοῦ δίκην λη- d ψόμενος, (6) ὑπὲρ ὧν προσήκει τοῖς ἐλευθέροις μάλιστ' ὀργίζεσθαι καὶ μεγίστης τυγχάνειν τιμωρίας. Ὁρῶ δ' ὑμᾶς, ὅταν του καταγνῶτε ἱεροσυλίαν ἢ κλοπήν, οὐ πρὸς τὸ μέγεθος ὧν ἂν λάβωσι τὴν τίμησιν ποιουμένους, ἀλλ' ὁμοίως ἁπάντων θάνατον καταγιγνώσκοντας, καὶ νομίζοντας δίκαιον εἶναι τοὺς τοῖς αὐτοῖς ἔργοις ἐπιχειροῦντας ταῖς αὐταῖς ζημίαις κολάζεσθαι. (7) Χρὴ e τοίνυν καὶ περὶ τῶν ὑβριζόντων τὴν αὐτὴν γνώμην ἔχειν, καὶ μὴ τοῦτο σκοπεῖν, εἰ μὴ σφόδρα συνέκοψαν, ἀλλ' εἰ τὸν νόμον παρέβησαν, μηδ' ὑπὲρ τοῦ συντυχόντος μόνον, ἀλλ' ὑπὲρ ἅπαντος τοῦ τρόπου δίκην παρ' αὐτῶν λαμβάνειν, ἐνθυμουμένους ὅτι πολλάκις ἤδη μικραὶ προφάσεις μεγάλων κακῶν αἴτιαι γεγόνασι, (8) καὶ
397 ὅτι διὰ τοὺς τύπτειν τολμῶντας εἰς τοῦτ' ἤδη τινὲς ὀρ- a γῆς προήχθησαν, ὥστ' εἰς τραύματα καὶ θανάτους καὶ φυγὰς καὶ τὰς μεγίστας συμφορὰς ἐλθεῖν· ὧν οὐδὲν διὰ τὸν φεύγοντα τὴν δίκην ἀγένητόν ἐστιν, ἀλλὰ κατὰ μὲν τὸ τούτου μέρος ἅπαντα πέπρακται, διὰ δὲ τὴν τύχην καὶ τὸν τρόπον τὸν ἐμὸν οὐδὲν τῶν ἀνηκέστων συμβέβηκεν.

9. Ἡγοῦμαι δ' ὑμᾶς οὕτως ἂν ἀξίως ὀργισθῆναι b τοῦ πράγματος, εἰ διεξέλθοιτε πρὸς ὑμᾶς αὐτοὺς ὅσῳ μεῖζόν ἐστι τοῦτο τῶν ἄλλων ἁμαρτημάτων. Εὑρήσετε γὰρ τὰς μὲν ἄλλας ἀδικίας μέρος τι τοῦ βίου βλαπτούσας, τὴν δ' ὕβριν ὅλοις τοῖς πράγμασι λυμαινομένην, καὶ πολλοὺς μὲν οἴκους δι' αὐτὴν διαφθαρέντας, πολλὰς δὲ πόλεις ἀναστάτους γεγενημένας. (10) Καὶ τί δεῖ τὰς τῶν ἄλλων συμφορὰς λέγοντα διατρίβειν; αὐτοὶ γὰρ ἡμεῖς δὶς ἤδη τὴν δημοκρατίαν ἐπείδομεν c καταλυθεῖσαν καὶ δὶς τῆς ἐλευθερίας ἀπεστερήθημεν οὐχ ὑπὸ τῶν ταῖς ἄλλαις πονηρίαις ἐνόχων ὄντων, ἀλλὰ διὰ τοὺς καταφρονοῦντας τῶν νόμων καὶ βουλομένους τοῖς μὲν πολεμίοις δουλεύειν, τοὺς δὲ πολίτας ὑβρίζειν· (11) ὧν οὗτος εἷς ὢν τυγχάνει. Καὶ γὰρ εἰ τῶν τότε κατασταθέντων νεώτερός ἐστιν, ἀλλὰ τόν γε τρόπον ἔχει τὸν ἐξ ἐκείνης τῆς πολιτείας. Αὗται γὰρ αἱ φύσεις εἰσὶν αἱ παραδοῦσαι μὲν τὴν δύναμιν τὴν ἡμετέραν τοῖς πολεμίοις, κατασκάψασαι δὲ τὰ τείχη τῆς πατρίδος, πεντακοσίους δὲ καὶ χιλίους ἀκρίτους ἀποκτείνα- d σαι τῶν πολιτῶν.

12. Ὧν εἰκὸς ὑμᾶς μεμνημένους τιμωρεῖσθαι μὴ μόνον τοὺς τότε λυμηναμένους, ἀλλὰ καὶ τοὺς νῦν βουλομένους οὕτω διαθεῖναι τὴν πόλιν, καὶ τοσούτῳ μᾶλλον τοὺς ἐπιδόξους γενήσεσθαι πονηροὺς τῶν πρότερον ἡμαρτηκότων, ὅσῳ περ κρεῖττόν ἐστι τῶν μελ-

magistratus gratiam haberent etiam istiusmodi grassatoribus?

5. Fortasse autem Lochites rem extenuare conabitur accusationem cavillando, verbera nihil mihi nocuisse, et affirmando me supra quam deceat verbis amplificare omnia. Ego vero, siquidem id factum esset sine contumelia, nunquam apud vos queri voluissem; nunc non reliqui damni per verbera dati, sed injuriæ et ignominiæ pœnas eum mihi persolvere volo, (6) quæ res homines ingenuos maximo dolore afficere debent acerrimeque vindicandæ sunt. Equidem vos, si quem sacrilegii furtive damnatis, non ad magnitudinem earum rerum, quas surripuerit, æstimationem facere video, sed sine discrimine omnes capitis damnare et æquum putare ut qui eadem facinora sunt aggressi, pœnas easdem luant. (7) Idem igitur de contumeliosis istis sentire debetis, neque id considerare, an parum verberarint, sed an leges violarint; neque enim tam id factum quod contigit, vindicandum est, quam universa petulantia morum coercenda. Scitis enim sæpe jam parvas causas ingentia mala peperisse, (8) atque ab iis qui verberare ausi erant, ad tantam iracundiam quosdam concitatos, ut ad vulnera, ad cædes, ad exilia, ad atrocissimas clades progrederentur. Quorum nihil, quantum in reo fuit, infectum est, sed si illius factum spectetis, hæc quæ diximus, omnia perpetrata sunt; fortuna autem et moderatio mea in causa fuerunt, ne quid acerbius sequeretur.

9. Arbitror autem vos ita demum, ut res meretur, indignaturos, si vobiscum ipsi reputaveritis, quanto major hæc sit aliis injuriis. Nam alia quidem scelera partem aliquam rei familiaris lædere, verberum autem injuriam summæ rerum nocere invenietis, et multas familias ob hanc extinctas esse multasque urbes eversas. (10) Et quorsum attinet aliorum cladibus commemorandis immorari? nos ipsi bis jam statum popularem sublatum esse, bis nos libertatem amisisse vidimus, non per eos qui aliis sceleribus obstricti fuerunt, sed per illos qui leges contempserunt quique et hostibus servire et civibus insultare voluerunt; (11) quorum iste unus est. Nam etsi per ætatem illis turbis interesse non potuit, at indolem habet illi statui convenientem. Ista enim ingenia sunt quæ hostibus nostros exercitus tradiderunt, quæ patriæ mœnia subruerunt, quæ cives mille quingentos indicta causa trucidarunt.

12. Vos igitur harum rerum memores punire decet non eos modo qui tum nocuerunt, sed istos etiam, qui nunc eodem sunt animo in rempublicam, ac tanto magis hos, quos verisimile est fore improbos, quam illos qui olim peccarunt, quanto præstabilius est ingruentia mala prohi-

λόντων κακῶν ἀποτροπὴν εὑρεῖν ἢ τῶν ἤδη γεγενημένων δίκην λαβεῖν, (13) καὶ μὴ περιμένηθ' ἕως ἂν ἀθροισθέντες καὶ καιρὸν λαβόντες εἰς ὅλην τὴν πόλιν e ἐξαμάρτωσιν, ἀλλ' ἐφ' ἧς ἂν ὑμῖν προφάσεως παραδοθῶσιν, ἐπὶ ταύτης αὐτοὺς τιμωρεῖσθε, νομίζοντες εὕρημ' ἔχειν, ὅταν τινὰ λάβητ' ἐν μικροῖς πράγμασιν ἐπιδεδειγμένον ἅπασαν τὴν αὑτοῦ πονηρίαν. (14) Κρά-
398 τιστον μὲν γὰρ ἦν, εἴ τι προσῆν ἄλλο σημεῖον τοῖς πονη- a ροῖς τῶν ἀνθρώπων, πρὶν ἀδικηθῆναί τινα τῶν πολιτῶν, πρότερον κολάζειν αὐτούς· ἐπειδὴ δ' οὐχ οἷόν τ' ἐστὶν αἰσθέσθαι πρὶν κακῶς τινα παθεῖν ὑπ' αὐτῶν, ἀλλ' οὖν γ' ἐπειδὰν γνωρισθῶσι προσήκει πᾶσι μισεῖν τοὺς τοιούτους καὶ κοινοὺς ἐχθροὺς νομίζειν.

15. Ἐνθυμεῖσθε δ' ὅτι τῶν μὲν περὶ τὰς οὐσίας κινδύνων οὐ μέτεστι τοῖς πένησι, τῆς δ' εἰς τὰ σώματ' αἰκίας ὁμοίως ἅπαντες κοινωνοῦμεν· ὥσθ' ὅταν μὲν b τοὺς ἀποστεροῦντας τιμωρῆσθε, τοὺς πλουσίους μόνον ὠφελεῖτε, ὅταν δὲ τοὺς ὑβρίζοντας κολάζητε, ὑμῖν αὐτοῖς βοηθεῖτε. (16) Ὧν ἕνεκα δεῖ περὶ πλείστου ποιεῖσθαι ταύτας τῶν δικῶν, καὶ περὶ μὲν τῶν ἄλλων συμβολαίων τοσούτου τιμᾶν, ὅσον προσήκει τῷ διώκοντι κομίσασθαι, περὶ δὲ τῆς ὕβρεως, ὅσον ἀποτίσας ὁ φεύγων παύσεσθαι μέλλει τῆς παρούσης ἀσελγείας. (17) Ἂν οὖν περιαιρῆτε τὰς οὐσίας τῶν νεανιευομένων εἰς c τοὺς πολίτας, καὶ μηδεμίαν νομίζηθ' ἱκανὴν εἶναι ζημίαν, οἵτινες ἂν εἰς τὰ σώματα ἐξαμαρτάνοντες τοῖς χρήμασι τὰς δίκας ὑπέχωσιν, ἅπανθ' ὅσα δεῖ τοὺς καλῶς δικάζοντας διαπράξεσθε· (18) καὶ γὰρ περὶ τοῦ παρόντος πράγματος ὀρθῶς γνώσεσθε, καὶ τοὺς ἄλλους πολίτας κοσμιωτέρους ποιήσετε, καὶ τὸν βίον τὸν ὑμέτερον αὐτῶν ἀσφαλέστερον καταστήσετε. Ἔστι δὲ δικαστῶν νοῦν ἐχόντων, περὶ τῶν ἀλλοτρίων τὰ δίκαια d ψηφιζομένους ἅμα καὶ τὰ σφέτερ' αὐτῶν εὖ τίθεσθαι.

19. Καὶ μηδεὶς ὑμῶν εἰς τοῦτ' ἀποβλέψας, ὅτι πένης εἰμὶ καὶ τοῦ πλήθους εἷς, ἀξιούτω τοῦ τιμήματος ἀφαιρεῖν. Οὐ γὰρ δίκαιον ἐλάττους ποιεῖσθαι τὰς τιμωρίας ὑπὲρ τῶν ἀδόξων ἢ τῶν διωνομασμένων, οὐδὲ χείρους ἡγεῖσθαι τοὺς πενομένους ἢ τοὺς πολλὰ κεκτημένους. Ὑμᾶς γὰρ ἂν αὐτοὺς ἀτιμάζοιτ', εἰ τοιαῦτα γιγνώσκοιτε περὶ τῶν πολιτῶν. (20) Ἔτι δὲ e καὶ πάντων ἂν εἴη δεινότατον, εἰ δημοκρατουμένης τῆς πόλεως μὴ τῶν αὐτῶν ἅπαντες τυγχάνοιμεν, ἀλλὰ τῶν μὲν ἀρχῶν μετέχειν ἀξιοῖμεν τὸ ἴσον, τῶν δ' ἐν τοῖς
399 νόμοις δικαίων ἀποστεροῖμεν ἡμᾶς αὐτούς, καὶ μαχό- a μενοι μὲν ὁμοίως ἐθέλοιμεν ἀποθνήσκειν ὑπὲρ τῆς πολιτείας, ἐν δὲ τῇ ψήφῳ πλέον νέμοιμεν τοῖς τὰς οὐσίας ἔχουσιν. (21) Οὐκ, ἄν γε σωφρονῆθ', οὕτω διακείσεσθε πρὸς ὑμᾶς αὐτούς, οὐδὲ διδάξετε τοὺς νεωτέρους καταφρονεῖν τοῦ πλήθους τῶν πολιτῶν, οὐδὲ ἀλλοτρίους ἡγήσεσθ' εἶναι τοὺς τοιούτους τῶν ἀγώνων, ἀλλ' ὡς ὑπὲρ αὑτοῦ δικάζων, οὕτως ἕκαστος ὑμῶν οἴσει τὴν ψῆφον. Ἅπαντας γὰρ ὁμοίως ἀδικοῦσιν οἱ τολμῶντες τοῦτον τὸν νόμον παραβαίνειν, τὸν ὑπὲρ τῶν σωμάτων τῶν ὑμετέρων κείμενον. (22) Ὥστ' ἐὰν σωφρονῆτε, πό-

bere, quam præterita ulcisci. (13) Neque enim exspectandum est donec congregati ac nacti occasionem toti civitati perniciem comparent, sed quocunque in facinore vestræ potestati tradentur, in eo sunt puniendi, atque in lucro deputandum, si quem deprehenderitis, qui parvis in rebus omnem suam improbitatem ostentarit. (14) Nam optimum certe quidem esset, si quod aliud signum in hominibus improbis emineret, ut etiam priusquam civis ullus ab eis læderetur, mulctarentur : quia vero id sentiri non potest, nisi post factas ab eis alicui injurias, tum certe, ubi cogniti fuerint, omnium officium est eos odio prosequi et pro communibus hostibus habere.

15. Illud etiam cogitate, pauperibus nihil esse de facultatibus metuendum; corporum autem injurias omnibus esse communes. Itaque quum fraudatores punitis, divitibus tantum consulitis; quum vero protervos istos coercetis, vobismetipsis opem fertis. (16) Quare vos hæc judicia maximi facere decet, atque in aliis negotiis tanti litem æstimare, quantum accusatorem consequi æquum est; sed de injuria verberum ea mulcta irroganda est, qua soluta reus petulantiæ suæ finem omnino sit impositurus. (17) Quodsi pecunia mulctatis eos qui vires suas civibus verberandis ostentant, et nullum satis grave supplicium iis esse putabitis, qui corporibus facta injuria pecuniis mulctas sustinent; bonorum judicum officio functi eritis. (18) Nam et de hoc ipso negotio recte statuetis et cives alios modestiores efficietis, et vestram ipsi quoque vitam in tuto collocabitis. Decet autem prudentes judices in alienis causis disceptandis æquitate observanda suis interim quoque rebus prospicere.

19. Ac nemo vestrûm eo quod pauper sum et homo plebeius, propterea quicquam de litis æstimatione detrahendum censeat. Nec enim æquum est minora supplicia constitui de injuriis hominum obscurorum quam nobilium, neque deteriores judicandi sunt pauperes quam opibus affluentes. Nam vos ipsos ignominia notabitis, si de civibus ita statuetis. (20) Omnium præterea iniquissimum fuerit in populari republica non omnes eadem consequi et ad magistratus quidem patere eundem nobis aditum velle, jure autem legumque præsidiis nos ultro ipsos spoliare; atque in præliis æque omnes ad tuendum civitatis statum velle mortem oppetere, in ferenda autem sententia ditioribus plus tribuere. (21) Neque vero, si quidem sapitis, sic erga vos ipsos affecti eritis, neque docebitis adolescentes contemnere multitudinem civium, neque tales causas a vobis alienas esse judicabitis; sed sic unusquisque ut qui de se judicet sententiam pronunciabit. Nam æque omnes lædunt qui hanc legem pro corporis vestri defensione latam conculcare audent. (22) Quare, si sapitis, alii alios cohortati Lochitæ

παρακαλέσαντες ἀλλήλους ἐνσημανεῖσθε Λοχίτῃ τὴν ὀργὴν τὴν ὑμετέραν αὐτῶν, εἰδότες ὅτι πάντες οἱ τοιοῦτοι τῶν μὲν νόμων τῶν κειμένων καταφρονοῦσι, τὰ δ' ἐνθάδε γιγνωσκόμενα, ταῦτα νόμους εἶναι νομίζουσιν.

Ἐγὼ μὲν οὖν ὡς οἷόστ' ἦν εἴρηκα περὶ τοῦ πράγματος· εἰ δέ τις τῶν παρόντων ἔχει τί μοι συνειπεῖν, ἀναβὰς εἰς ὑμᾶς λεγέτω.

vestram iracundiam ostendetis, quum intelligatis omnes istiusmodi homines legum quidem esse contemptores; ea vero quæ hic decernuntur, habere pro legibus.

Atque ego quidem de re dixi, ut potui. Quodsi advocatorum aliquis habet in quo mihi patrocinetur, progressus ad vos dicat.

21.

ΠΡΟΣ ΕΥΘΥΝΟΥΝ ΑΜΑΡΤΥΡΟΣ.

400 Οὐ προφάσεως ἀπορῶ δι' ἥντινα λέγω ὑπὲρ Νικίου a τουτουί· καὶ γὰρ φίλος ὤν μοι τυγχάνει καὶ δεόμενος καὶ ἀδικούμενος καὶ ἀδύνατος εἰπεῖν, ὥστε διὰ ταῦτα πάντα ὑπὲρ αὐτοῦ λέγειν ἀναγκάζομαι.

Ὅθεν οὖν τὸ συμβόλαιον αὐτῷ πρὸς Εὐθύνουν γεγένηται, διηγήσομαι ὑμῖν ὡς ἂν δύνωμαι διὰ βραχυτάτων. (2) Νικίας γὰρ οὑτοσί, ἐπειδὴ οἱ τριάκοντα b κατέστησαν καὶ αὐτὸν οἱ ἐχθροὶ ἐκ μὲν τῶν μετεχόντων τῆς πολιτείας ἐξήλειφον, εἰς δὲ τὸν μετὰ Λυσάνδρου κατάλογον ἐνέγραφον, δεδιὼς τὰ παρόντα πράγματα τὴν μὲν οἰκίαν ὑπέθηκε, τοὺς δ' οἰκέτας ἔξω τῆς γῆς ἐξέπεμψε, τὰ δ' ἔπιπλα ὡς ἐμὲ ἐκόμισε, τρία δὲ τάλαντα ἀργυρίου Εὐθύνῳ φυλάττειν ἔδωκεν, αὐτὸς δ' εἰς ἀγρὸν ἐλθὼν διητᾶτο. (3) Οὐ πολλῷ δὲ χρόνῳ ὕστερον βουλόμενος ἐκπλεῖν ἀπῄτησε τἀργύριον· Εὐθύνους δὲ τὰ c μὲν δύο τάλαντα ἀποδίδωσι, τοῦ δὲ τρίτου ἔξαρνος γίγνεται. Ἄλλο μὲν οὖν οὐδὲν εἶχε Νικίας ἐν τῷ τότε χρόνῳ ποιῆσαι, προσιὼν δὲ πρὸς τοὺς ἐπιτηδείους ἐνεκάλει καὶ ἐμέμφετο καὶ ἔλεγεν ἃ πεπονθὼς εἴη. Καίτοι οὕτω τοῦτόν τε περὶ πολλοῦ ἐποιεῖτο καὶ τὰ καθεστῶτα ἐφοβεῖτο, ὥστε πολὺ ἂν θᾶττον ὀλίγων στερηθεὶς ἐσιώπησεν ἢ μηδὲν ἀπολέσας ἐνεκάλεσεν.

4. Τὰ μὲν οὖν γεγενημένα ταῦτ' ἐστίν· ἀπόρως δ' d ἡμῖν ἔχει τὸ πρᾶγμα. Νικίᾳ γὰρ οὔτε παρακατατιθεμένῳ τὰ χρήματα οὔτε κομιζομένῳ οὐδεὶς οὔτ' ἐλεύθερος οὔτε δοῦλος παρεγένετο, ὥστε μήτ' ἐκ βασάνων μήτ' ἐκ μαρτύρων οἷόντ' εἶναι γνῶναι περὶ αὐτῶν, ἀλλ' ἀνάγκη ἐκ τεκμηρίων καὶ ἡμᾶς διδάσκειν καὶ ὑμᾶς δικάζειν ὁπότεροι ἀληθῆ λέγουσιν.

5. Οἶμαι δὴ πάντας εἰδέναι ὅτι μάλιστα συκοφαντεῖν ἐπιχειροῦσιν οἱ λέγειν μὲν δεινοί, ἔχοντες δὲ μη-
401 δέν, τοὺς ἀδυνάτους μὲν εἰπεῖν, ἱκανοὺς δὲ χρήματα a τελεῖν. Νικίας τοίνυν Εὐθύνου πλείω μὲν ἔχει, ἧττον δὲ δύναται λέγειν, ὥστε οὐκ ἔστι δι' ὅ τι ἂν ἐπήρθη ἀδίκως ἐπ' Εὐθύνουν ἐλθεῖν. (6) Ἀλλὰ μὴν καὶ ἐξ αὐτοῦ ἄν τις τοῦ πράγματος γνοίη ὅτι πολὺ μᾶλλον εἰκὸς ἦν Εὐθύνουν λαβόντα ἐξαρνεῖσθαι ἢ Νικίαν μὴ δόντα αἰτιᾶσθαι. Δῆλον γὰρ ὅτι πάντες κέρδους ἕνεκ' ἀδικοῦσιν. Οἱ μὲν οὖν ἀποστεροῦντες, ὧνπερ ἕνεκ' ἀδικοῦσιν, ἔχουσιν, οἱ δ' ἐγκαλοῦντες οὐδ' εἰ λήψεσθαι b μέλλουσιν ἴσασιν. (7) Πρὸς δὲ τούτοις, ἀκαταστάτως ἐχόντων τῶν ἐν τῇ πόλει καὶ δικῶν οὐκ οὐσῶν τῷ μὲν οὐδὲν πλέον ἦν ἐγκαλοῦντι, τῷ δὲ οὐδὲν ἦν δέος ἀπο-

21.

ORATIO CONTRA EUTHYNUM SINE TESTIBUS.

Justæ mihi sunt causæ Niciæ defendendi. Nam et amicus meus est, et me rogavit, et affectus injuria est, et dicendi imperitus. Quare propter hæc omnia causam ejus agere cogor.

Quam brevissime igitur potero, vobis exponam quo modo negotium hoc ei cum Euthyno intercesserit. (2) Nicias hic, triginta tyrannis rerum potitis, quum eum inimici e civium numero deletum in Lysandri catalogum inscripsissent, rebus tum diffisus domum oppignoravit, famulos peregre ablegavit, supellectilem ad me transtulit, et argenti tria talenta Euthyno custodienda tradidit, ipse vero in agro se continuit. (3) Non multo post alio navigaturus argentum repetit : Euthynus autem duo quidem talenta reddit, sed tertium infitiatur. Nicias igitur eo tempore nihil habebat aliud quod ageret, nisi quod apud familiares illum incusabat et querebatur et quid sibi accidisset narrabat. Atqui tanti faciebat istum et conditionem temporum ita metuebat, ut multo citius parvam jacturam silentio præterisset, quam re nulla fraudatus accusasset.

4. Et hæc quidem rei summa est. Conflictamur autem magnis difficultatibus. Nam Niciæ neque deponenti pecunias neque recipienti quisquam adfuit vel ingenuus vel servus. Itaque nec quæstionibus neque testibus res probari potest, sed necesse est et nos argumentis docere et vos eadem hac ratione judicare utri vera dicant.

5. Omnibus autem notum est, opinor, homines eloquentes sed pauperes in eos potissimum intentare calumnias qui dicendi imperiti sunt et pecuniam dare possunt. Nicias vero Euthyno ut locupletior, sic etiam infantior est : quare nihil fuit quo fretus Euthynum injuste invaderet. (6) Quin ex ipsa etiam re intelligitur longe verisimilius esse Euthynum id negare quod acceperit, quam Niciam postulare quod non dederit. Notum enim est lucri causa omnes injuriam facere. Qui igitur depositum negant, habent id propter quod jus violant; qui vero accusant, id quoque nesciunt an accepturi sint. (7) Præterea reipublicæ statu incerto sublatisque judiciis hic accusando nihil profecisset; isti vero, etiamsi auderet, nihil periculi metuendum erat.

στεροῦντι. Ὥστε τὸν μὲν οὐδὲν ἦν θαυμαστόν, ὅτε καὶ οἱ μετὰ μαρτύρων δανεισάμενοι ἐξηρνοῦντο, τότε ἃ μόνος παρὰ μόνου ἔλαβεν ἀποστερῆσαι· τὸν δ' οὐκ εἰκός, ὅτε οὐδ' οἷς δικαίως ὠφείλετο οἷόντ' ἦν πράτ- c τεσθαι, τότε ἀδίκως ἐγκαλοῦντα οἴεσθαί τι λήψεσθαι.

8. Ὅτι δ', εἰ καὶ μηδὲν αὐτὸν ἐκώλυεν, ἀλλὰ καὶ ἐξῆν καὶ ἐβούλετο συκοφαντεῖν, ὡς οὐκ ἂν ἐπ' Εὐθύνουν ἦλθε, ῥᾴδιον γνῶναι. Οἱ γὰρ τοιαῦτα πράττειν ἐπιθυμοῦντες οὐκ ἀπὸ τῶν φίλων ἄρχονται, ἀλλὰ μετὰ τούτων ἐπὶ τοὺς ἄλλους ἔρχονται, καὶ τούτοις ἐγκαλοῦσιν οὓς ἂν μήτ' αἰσχύνωνται μήτε δεδίωσι, καὶ οὓς ἂν ὁρῶσι πλουσίους μέν, ἐρήμους δὲ καὶ ἀδυνάτους πράττειν. (9) Εὐθύνῳ τοίνυν τἀναντία τούτων ὑπάρχει· ἀνεψιὸς d γὰρ ὢν Νικίου τυγχάνει, λέγειν δὲ καὶ πράττειν μᾶλλον δύναται τούτου, ἔτι δὲ χρήματα μὲν ὀλίγα, φίλους δὲ πολλοὺς κέκτηται. Ὥστ' οὐκ ἔστιν ἐφ' ὅντινα ἂν ἧττον ἢ ἐπὶ τοῦτον ἦλθεν· ἐπεὶ ἔμοιγε δοκεῖ, εἰδότι τὴν τούτων οἰκειότητα, οὐδ' ἂν Εὐθύνους Νικίαν ἀδικῆσαι, εἰ ἐξῆν ἄλλον τινὰ τοσαῦτα χρήματα ἀποστερῆσαι. (10) Νῦν δ' ἀρχαιότερον ἦν αὐτοῖς τὸ πρᾶγμα· ἐγκαλεῖν e μὲν γὰρ ἔξεστιν ἐξ ἁπάντων ἐκλεξάμενον, ἀποστερεῖν δ' οὐχ οἷόντ' ἄλλον ἢ τὸν παρακαταθέμενον. Ὥστε Νικίας μὲν συκοφαντεῖν ἐπιθυμῶν οὐκ ἂν ἐπὶ τοῦτον ἦλθεν, Εὐθύνους δ' ἀποστερεῖν ἐπιχειρῶν οὐκ ἂν ἄλλον εἶχεν.

402 11. Ὃ δὲ μέγιστον τεκμήριον καὶ πρὸς ἅπαντα ἱκα- a νόν, ὅτε γὰρ τὸ ἔγκλημα ἐγένετο, ὀλιγαρχία καθειστήκει, ἐν ᾗ οὕτως ἑκάτερος αὐτῶν διέκειτο, ὥστε Νικίας μέν, εἰ καὶ τὸν ἄλλον χρόνον εἴθιστο συκοφαντεῖν, τότ' ἂν ἐπαύσατο, Εὐθύνους δέ, καὶ εἰ μηδὲ πώποτε διενοήθη ἀδικεῖν, τότ' ἂν ἐπήρθη. (12) Ὁ μὲν γὰρ διὰ τὰ ἁμαρτήματα ἐτιμᾶτο, ὁ δὲ διὰ τὰ χρήματα ἐπεβουλεύετο. Πάντες γὰρ ἐπίστασθε ὅτι ἐν ἐκείνῳ τῷ χρόνῳ δεινότερον ἦν πλουτεῖν ἢ ἀδικεῖν· οἱ μὲν γὰρ τὰ ἀλλό- b τρια ἐλάμβανον, οἱ δὲ τὰ σφέτερ' αὐτῶν ἀπώλλυον. Ἐφ' οἷς γὰρ ἦν ἡ πόλις, οὐ τοὺς ἁμαρτάνοντας ἐτιμωροῦντο, ἀλλὰ τοὺς ἔχοντας ἀφῃροῦντο, καὶ ἡγοῦντο τοὺς μὲν ἀδικοῦντας πιστούς, τοὺς δὲ πλουτοῦντας ἐχθρούς. (13) Ὥστε μὴ περὶ τοῦτ' εἶναι Νικίᾳ, ὅπως συκοφαντῶν τἀλλότρια λήψοιτο, ἀλλ' ὅπως μὴ μηδὲν ἀδικῶν κακόν τι πείσοιτο. Τῷ μὲν γὰρ ὅσον Εὐθύνους δυναμένῳ ἐξῆν ἅ τ' ἔλαβεν ἀποστερεῖν καὶ οἷς μὴ συνέβαλεν c ἐγκαλεῖν· οἱ δ' ὥσπερ Νικίας διακείμενοι ἠναγκάζοντο τοῖς τ' ὀφείλουσι τὰ χρέα ἀφιέναι καὶ τοῖς συκοφαντοῦσι τὰ αὐτῶν διδόναι. (14) Καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, αὐτὸς ἂν ὑμῖν Εὐθύνους μαρτυρήσειεν· ἐπίσταται γὰρ ὅτι Τιμόδημος τουτονὶ τριάκοντα μνᾶς ἐπράξατο οὐ χρέος ἐγκαλῶν, ἀλλ' ἀπάξειν ἀπειλῶν. Καίτοι πῶς εἰκὸς Νικίαν εἰς τοῦτ' ἀνοίας ἐλθεῖν, ὥστ' αὐτὸν περὶ τοῦ σώματος κινδυνεύοντα ἑτέρους συκοφαντεῖν, (15) d καὶ μὴ δυνάμενον τὰ αὑτοῦ σῴζειν τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν, καὶ πρὸς τοῖς ὑπάρχουσιν ἐχθροῖς ἑτέρους διαφόρους ποιεῖσθαι, καὶ τούτοις ἀδίκως ἐγκαλεῖν παρ' ὧν οὐδ' ὁμολογούντων ἀποστερεῖν οἷός τ' ἂν ἦν δίκην

Quare mirandum non fuit eo tempore, quum ii etiam qui testibus adhibitis mutuati erant, negarent, istum, quæ solus a solo acceperat, reddere noluisse; hunc vero non consentaneum est, quum ne ii quidem quibus jure debebatur, æs alienum exigere possent, putasse injuste accusando se quicquam accepturum esse.

8. Quodsi nihil ei obstitisset, sed calumniari et licuisset et libuisset, eum non contra Euthynum venturum fuisse facile perspicitur. Nam qui tale aliquid in animo habent, tirocinium non ab amicis auspicantur, sed horum præsidiis freti alios invadunt et eos accusant quos nec verentur nec metuunt, quosque quum divites esse vident, tum copiis amicorum destitutos et rebus gerendis ineptos. (9) At in Euthyno contraria horum reperiuntur. Est enim Niciæ consobrinus, et tum dicendi tum agendi facultate instructior; præterea parvas quidem facultates, sed multos amicos habet. Quare nemo est quem non potius quam istum aggrederetur. Nam, ut ego quidem, conscius necessitudinis istorum, sentio, ne Euthynus quidem Niciam læsisset, si alium quempiam tanta fraudare pecunia licuisset. (10) Nunc vero res iis fuit simplicior. Accusare enim licet aliquem delectum ex omnibus; fraudare vero non alium licet, nisi qui pecuniam deposuerit. Quare Nicias, si calumniari vellet, istum non invasisset; Euthynus vero, si fraudare decrevit, alium invenire non potuit.

11. Jam illud maximum signum est et unum omnium instar, quod eo tempore quo crimen conflatum est, oligarchia constituta erat, in qua cum utroque sic agebatur, ut Nicias, si superiore tempore animum calumniis intendere consuevisset, tunc utique destitisset; Euthynus autem, si nunquam quicquam injusti cogitasset, tunc incitari potuisset. (12) Nam is quidem propter delicta honorabatur; huic autem ob pecunias insidiæ comparabantur. Omnes enim scitis eo tempore majus fuisse crimen esse divitem quam scelerosum, quod hi aliena rapiebant, illi suas opes amittebant. Qui enim ad reipublicæ gubernacula sedebant, non delinquentes puniebant, sed divites spoliabant, et injustos sibi fidos, divites autem inimicos esse putabant. (13) Quare non eo in loco res Niciæ fuerunt, ut per calumniam alienis potiretur, sed ut nihil cuiquam injuriæ inferens, ne malo ullo afficeretur. Nam qui ita potens erat, ut Euthynus, ei potestas dabatur et ea quæ accepisset, fraudandi, et de his quæ non dedisset, accusandi: quorum vero eadem erat quæ Niciæ conditio, hi et debitoribus æs alienum remittere et suas opes calumniatoribus dare cogebantur. (14) Et hæc a me vere dici ipsius Euthyni testimonio vobis comprobetur. Timodemum enim ab hoc triginta minas extorsisse scit, non æs alienum postulantem, sed carcerem minitantem. Credi igitur qui potest, eam fuisse Niciæ amentiam, ut ipse in capitis periculo constitutus alios calumniaretur, (15) et qui sua tueri non poterat, alienis insidiaretur, et præter eos inimicos, quos jam habebat, aliorum etiam odia in se concitaret, atque illos per injuriam accusaret, a quibus, etiam si fraudationem faterentur, jus suum consequi non potuisset, ac tum superior

λαβεῖν, καὶ τότε πλέον ἔχειν ζητεῖν, ὅτε οὐδὲ ἴσον ἐξῆν
αὐτῷ, καὶ ὅτε ἃ οὐκ ἔλαβεν ἀποτίνειν ἠναγκάζετο, τότε e
καὶ ἃ μὴ συνέβαλεν ἐλπίζειν πράξασθαι;

16. Περὶ μὲν οὖν τούτων ἱκανὰ τὰ εἰρημένα· ἴσως
δ' Εὐθύνους ἐρεῖ ἃ καὶ πρότερον ἤδη, ὅτι οὐκ ἄν ποτ'
403 ἀδικεῖν ἐπιχειρῶν τὰ μὲν δύο μέρη τῆς παρακαταθήκης
ἀπέδωκε, τὸ δὲ τρίτον μέρος ἀπεστέρησεν, ἀλλ' εἴτε a
ἀδικεῖν ἐπεθύμει εἴτε δίκαιος ἐβούλετο εἶναι, περὶ
ἁπάντων ἂν τὴν αὐτὴν γνώμην ἔσχεν. (17) Ἐγὼ δ'
ἡγοῦμαι πάντας ὑμᾶς εἰδέναι ὅτι πάντες ἄνθρωποι,
ὅταν περ ἀδικεῖν ἐπιχειρῶσιν, ἅμα καὶ τὴν ἀπολογίαν
σκοποῦνται· ὥστ' οὐκ ἄξιον θαυμάζειν, εἰ τούτων ἕνεκα
τῶν λόγων οὕτως Εὐθύνους ἠδίκησεν. Ἔτι δ' ἔχοιμ'
ἂν ἐπιδεῖξαι καὶ ἑτέρους, οἳ χρήματα λαβόντες τὰ μὲν
πλεῖστ' ἀπέδοσαν, ὀλίγα δ' ἀπεστέρησαν, καὶ ἐν μικροῖς b
μὲν συμβολαίοις ἀδικήσαντας, ἐν μεγάλοις δὲ δικαίους
γενομένους· ὥστ' οὐ μόνος οὐδὲ πρῶτος Εὐθύνους τοιαῦτα
πεποίηκεν. (18) Ἐνθυμεῖσθαι δὲ χρή, εἰ ἀποδέξεσθε
τῶν τὰ τοιαῦτα λεγόντων, ὅτι νόμον θήσετε πῶς χρὴ
ἀδικεῖν· ὥστε τοῦ λοιποῦ χρόνου τὰ μὲν ἀποδώσουσι,
τὰ δ' ὑπολείψονται. Λυσιτελήσει γὰρ αὐτοῖς, εἰ μέλ-
λουσιν, οἷς ἂν ἀποδῶσι τεκμηρίοις χρώμενοι, ὧν ἂν
ἀποστερῶσι μὴ δώσειν δίκην.

19. Σκέψασθε δὲ καὶ ὡς ὑπὲρ Νικίου ῥᾴδιον εἰπεῖν c
ὅμοια τῇ Εὐθύνου ἀπολογίᾳ. Ὅτε γὰρ ἀπελάμβανε
τὰ δύο τάλαντα, οὐδεὶς αὐτῷ παρεγένετο· ὥστ' εἴ περ
ἐβούλετο καὶ ἐδόκει αὐτῷ συκοφαντεῖν, δῆλον ὅτι οὐδ'
ἂν ταῦτα ὡμολόγει κεκομίσθαι, ἀλλὰ περὶ ἁπάντων ἂν
τοὺς αὐτοὺς λόγους ἐποιεῖτο, καὶ περὶ πλειόνων τε χρη-
μάτων Εὐθύνους ἂν ἐκινδύνευε, καὶ ἅμα οὐκ ἂν εἶχεν
οἷσπερ νυνὶ τεκμηρίοις χρῆσθαι.

20. Καὶ μὲν δὴ καὶ Νικίαν μὲν οὐδ' ἂν εἷς δύναιτο d
ἀποδεῖξαι, δι' ἥντινά ποτε αἰτίαν ἐνεκάλεσεν, Εὐθύ-
νουν δὲ ῥᾴδιον γνῶναι, ὧν ἕνεκεν τοῦτον τὸν τρόπον
ἠδίκησεν. Ὅτε γὰρ Νικίας ἦν ἐν ταῖς συμφοραῖς,
πάντες οἱ συγγενεῖς καὶ οἱ ἐπιτήδειοι ἀκηκοότες ἦσαν
ὅτι τὸ ἀργύριον, ὃ ἦν αὐτῷ, τούτῳ κατέθετο. (21) Ἐγί-
γνωσκεν οὖν Εὐθύνους, ὅτι μὲν ἔκειτο τὰ χρήματα
παρ' αὐτῷ, πολλοὺς ᾐσθημένους, ὁπόσα δέ, οὐδένα
πεπυσμένον· ὥσθ' ἡγεῖτο ἀπὸ μὲν τοῦ ἀριθμοῦ ἀφαι- e
ρῶν οὐ γνωσθήσεσθαι, πάντα δ' ἀποστερῶν καταφα-
νὴς γενήσεσθαι. Ἐβούλετο οὖν ἱκανὰ λαβὼν ἀπολο-
γίαν ὑπολείπεσθαι μᾶλλον ἢ μηδὲν ἀποδοὺς μηδ' ἀρνη-
θῆναι δύνασθαι.

aliis esse studeret, quum ne æquo quidem jure viveret; et quum ea quæ non acceperat, luere cogeretur, tunc ea quæ non dedisset, se impetraturum speraret?

16. Ac de his quidem hæc dixisse sufficiat. Fortassis autem Euthynus, id quod jam ante quoque dixit, repetet, se, si injuriam facere constituisset, nunquam duas depositi partes fuisse redditurum et tertiam solum retenturum, sed seu juste seu injuste agere voluisset, eodem animo de tota summa futurum fuisse. (17) Ego vero vos omnes scire puto homines omnes, si quid injusti moliantur, etiam defensionem simul meditari. Quare non mirandum est Euthynum, ut ista dicere posset, hoc modo justitiam violasse. Ad hæc alios etiam ostendere possem, qui pecuniis acceptis maximam partem reddiderunt, pauca fraudulenter retinuerunt, et in parvis negotiis fraude sunt usi, in magnis justitiam secuti. Quare istud neque solius Euthyni nec primi artificium est. (18) Cogitate porro, si illos, qui causam suam ita defendant, audiatis, vos legem laturos esse, quomodo fraudare oporteat. In posterum igitur partem reddent, partem retinebunt. Nam e re eorum futurum est, si argumento pecuniæ redditæ usi, pœnas non dabunt interceptæ.

19. Considerate præterea, quam facile pro Niciæ defensione dici possint eadem, quæ pro se affert Euthynus. Quum enim duo talenta recepit, nemo illi præsto fuit. Quapropter, si calumniari voluisset eique hoc libuisset, satis apparet eum hæc etiam se recepisse negaturum fuisse deque universis eadem verba facturum. Sic et de majore pecunia Euthynus in discrimen veniret et his quibus nunc utitur argumentis uti non posset.

20. Præterea nemo queat ostendere, cur Nicias Euthynum accusaret; sed intellectu facile est, cur Euthynus hoc modo injurius fuerit. Quum enim Nicias in malis esset, omnes cognati et familiares ejus audierant eum, quicquid argenti habuerat, deposuisse apud istum. (2) Intelligebat igitur Euthynus scire multos pecuniam apud se esse; quantum vero, id neminem audivisse. Quare putabat, si quid de numero subtraxisset, clam fore; sin totum retineret, deprehensum iri. Maluit igitur tantum sumere, quantum satis esset, defensionemque sibi relinqui, quam ne infitiari quidem posse, si nihil omnino reddidisset.

ΙΣΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

Α.

ΙΣΟΚΡΑΤΗΣ ΔΙΟΝΥΣΙῼ ΧΑΙΡΕΙΝ.

404 Εἰ μὲν νεώτερος ἦν, οὐκ ἂν ἐπιστολὴν ἔπεμπον, ἀλλ'
αὐτὸς ἂν σοι πλεύσας ἐνταῦθα διελέχθην· ἐπειδὴ δ' οὐ
κατὰ τοὺς αὐτοὺς χρόνους ὅ τε τῆς ἡλικίας τῆς ἐμῆς
καιρὸς καὶ τῶν σῶν πραγμάτων συμβέβηκεν, ἀλλ' ἐγὼ
μὲν προαπείρηκα, τὰ δὲ πράττεσθαι νῦν ἀκμὴν εἴλη-
φεν, ὡς οἷόντ' ἐστὶν ἐκ τῶν παρόντων, οὕτω σοι πειρά-
σομαι δηλῶσαι περὶ αὐτῶν.

2. Οἶδα μὲν οὖν ὅτι τοῖς συμβουλεύειν ἐπιχειροῦσι
πολὺ διαφέρει μὴ διὰ γραμμάτων ποιεῖσθαι τὴν συν-
ουσίαν, ἀλλ' αὐτοὺς πλησιάσαντας, οὐ μόνον ὅτι περὶ
τῶν αὐτῶν πραγμάτων ῥᾷον ἄν τις παρὼν πρὸς πα-
ρόντας φράσειεν ἢ δι' ἐπιστολῆς δηλώσειεν, οὐδ' ὅτι
πάντες τοῖς λεγομένοις μᾶλλον ἢ τοῖς γεγραμμένοις
πιστεύουσι, καὶ τῶν μὲν ὡς εἰσηγημάτων τῶν δ' ὡς
ποιημάτων ποιοῦνται τὴν ἀκρόασιν· (3) ἔτι δὲ πρὸς τού-
405 τοις ἐν μὲν ταῖς συνουσίαις ἢν ἀγνοηθῇ τι τῶν λεγομέ- a
νων ἢ μὴ πιστευθῇ, παρὼν ὁ τὸν λόγον διεξιὼν ἀμφο-
τέροις τούτοις ἐπήμυνεν, ἐν δὲ τοῖς ἐπιστελλομένοις καὶ
γεγραμμένοις ἤν τι συμβῇ τοιοῦτον, οὐκ ἔστιν ὁ διορθώ-
σων· ἀπόντος γὰρ τοῦ γράψαντος ἔρημα τοῦ βοηθήσον-
τός ἐστιν. Οὐ μὴν ἀλλ' ἐπειδὴ σὺ μέλλεις αὐτῶν
ἔσεσθαι κριτής, πολλὰς ἐλπίδας ἔχω φανήσεσθαι λέ-
γοντας ἡμᾶς τι τῶν δεόντων· ἡγοῦμαι γὰρ ἁπάσας
ἀφέντα σε τὰς δυσχερείας τὰς προειρημένας αὐταῖς ταῖς
πράξεσι προσέξειν τὸν νοῦν.

4. Καίτοι τινὲς ἤδη με τῶν σοὶ πλησιασάντων ἐκ- b
φοβεῖν ἐπεχείρησαν, λέγοντες ὡς σὺ τοὺς μὲν κολα-
κεύοντας τιμᾷς, τῶν δὲ συμβουλευόντων καταφρονεῖς.
Ἐγὼ δ' εἰ μὲν ἀπεδεχόμην τοὺς λόγους τούτους ἐκείνων,
πολλὴν ἂν ἡσυχίαν εἶχον· νῦν δ' οὐδεὶς ἄν με πείσειεν
ὡς οἷόντ' ἐστὶ τοσοῦτον καὶ τῇ γνώμῃ καὶ ταῖς πράξεσι
διενεγκεῖν, ἂν μή τις τῶν μὲν μαθητής, τῶν δ' ἀκροατής,
τῶν δ' εὑρετὴς γένηται, καὶ πανταχόθεν προσαγάγηται c
καὶ συλλέξηται δι' ὧν οἷόντ' ἐστὶν ἀσκῆσαι τὴν αὑτοῦ
διάνοιαν.

5. Ἐπήρθην μὲν οὖν ἐπιστέλλειν σοι διὰ ταῦτα, λέ-
γειν δὲ μέλλω περὶ μεγάλων πραγμάτων, καὶ περὶ ὧν
οὐδενὶ τῶν ζώντων ἀκοῦσαι μᾶλλον ἢ σοὶ προσήκει.
Καὶ μὴ νόμιζέ με προθύμως οὕτω σε παρακαλεῖν, ἵνα
γένῃ συγγράμματος ἀκροατής· οὐ γὰρ οὔτ' ἐγὼ τυγ-
χάνω φιλοτίμως διακείμενος πρὸς τὰς ἐπιδείξεις, οὔτε
σὺ λανθάνεις ἡμᾶς ἤδη πλήρης ὢν τῶν τοιούτων. (6)
Πρὸς δὲ τούτοις κἀκεῖνο πᾶσι φανερόν, ὅτι τοῖς μὲν d
ἐπιδείξεως δεομένοις αἱ πανηγύρεις ἁρμόττουσιν (ἐκεῖ
γὰρ ἄν τις ἐν πλείστοις τὴν αὑτοῦ δύναμιν διασπείρειεν),

ISOCRATIS EPISTOLÆ.

1.

ISOCRATES DIONYSIO S.

Si essem junior, non per literas tecum agerem, sed istuc profectus coram disseruissem. Sed quum ætatis meæ tempus et rerum tuarum occasio non inter sese congruant (nam et ego senectute retardor, et res nunc rectissime administrari possunt), ita eas tibi explicare conabor, ut tali statu rerum fieri potest.

2. Equidem haud ignoro, quantum ad persuadendum intersit, utrum viva voce an per literas consilium detur, non eo tantum, quod iisdem de rebus præsenti cum præsentibus agere quam scriptis facilius est, aut quod omnes dictis quam scriptis plus credunt, et illa tanquam decreta, hæc ut commenta audiunt; (3) sed propterea inprimis, quod in congressibus, si quid forte vel non recte intelligitur, vel non creditur, is qui coram adest, utrique incommodo facili opera medetur; in mandatis vero et scriptis, si talis scrupulus inciderit, nemo est qui tollat; ipso enim scriptore absente ab eo qui ea explicet aut defendat destituuntur. Sed quum totius rei penes te judicium sit futurum, bona mihi spes est orationem nostram ponderis aliquid apud te habituram, quem rejectis omnibus id genus impedimentis res ipsas spectaturum arbitror.

4. Quidam autem, qui in congressum et colloquium tuum venerunt, me ab hoc instituto deterrere sunt conati, quum dicerent apud te assentatores in pretio esse, contemni monitores. Quorum verbis si crederem, omnino quievissem. Sed nemo mihi persuadebit posse fieri ut quisquam tanta et laude sapientiæ et rerum gestarum gloria ceteris antecellat, nisi ex aliis discat, alios audiat, alia invenerit, et undecunque accersat et colligat ea quibus ingenium ipsius excolatur.

5. Et hæ me causæ, ut ad te scriberem, moverunt. Dicturus autem sum magnis de rebus deque iis quas audire nemini mortalium quam tibi magis convenit. Neve alacriter adeo me ire te hortatum existima, ut scriptam orationem audire velis: neque enim aut ego nunc gloriolam ex orationibus ostentationis causa scriptis capto, aut te ejusmodi orationes vel ad satietatem jam audivisse ignoramus. (6) Ad hæc illud etiam omnibus est perspicuum, si qui ostentare ingenia cupiant, celebres eis conventus esse petendos, in quibus plurimos invenient eloquentiæ suæ

τοῖς δὲ διαπράξασθαί τι βουλομένοις πρὸς τοῦτον διαλεκτέον, ὅστις τάχιστα μέλλει τὰς πράξεις ἐπιτελεῖν τὰς ὑπὸ τοῦ λόγου δηλωθείσας. (7) Εἰ μὲν οὖν μιᾷ τινι τῶν πόλεων εἰσηγούμην, πρὸς τοὺς ἐκείνης προεστῶτας τοὺς λόγους ἂν ἐποιούμην· ἐπειδὴ δ' ὑπὲρ τῆς e τῶν Ἑλλήνων σωτηρίας παρεσκεύασμαι συμβουλεύειν, πρὸς τίν' ἂν δικαιότερον διαλεχθείην ἢ πρὸς τὸν πρω- 406 τεύοντα τοῦ γένους καὶ μεγίστην ἔχοντα δύναμιν; a

8. Καὶ μὴν οὐδ' ἀκαίρως φανησόμεθα μεμνημένοι περὶ τούτων. Ὅτε μὲν γὰρ Λακεδαιμόνιοι τὴν ἀρχὴν εἶχον, οὐ ῥᾴδιον ἦν ἐπιμεληθῆναί σοι τῶν περὶ τὸν τόπον τὸν ἡμέτερον, οὐδὲ τούτοις ἐναντία πράττειν ἅμα καὶ Καρχηδονίοις πολεμεῖν· ἐπειδὴ δὲ Καρχηδόνιοι μὲν οὕτω πράττουσιν ὥστ' ἀγαπᾶν ἢν τὴν χώραν τὴν αὑτῶν ἔχωσιν, ἡ δ' ἡμετέρα πόλις ἡδέως ἂν αὑτήν σοι παράσχοι συναγωνιζομένην, εἴ τι πράττοις ὑπὲρ τῆς Ἑλλάδος ἀγαθόν, πῶς ἂν παραπέσοι καλλίων καιρὸς τοῦ νῦν b σοι παρόντος;

9. Καὶ μὴ θαυμάσῃς, εἰ μήτε δημηγορῶν μήτε στρατηγῶν μήτ' ἄλλως δυνάστης ὢν οὕτως ἐμβριθὲς αἴρομαι πρᾶγμα καὶ δυοῖν ἐπιχειρῶ τοῖν μεγίστοιν, ὑπέρ τε τῆς Ἑλλάδος λέγειν καὶ σοὶ συμβουλεύειν. Ἐγὼ γὰρ τοῦ μὲν πράττειν τι τῶν κοινῶν εὐθὺς ἐξέστην (δι' ἃς δὲ προφάσεις, πολὺ ἂν ἔργον εἴη λέγειν), τῆς δὲ παιδεύσεως τῆς τῶν μὲν μικρῶν καταφρονούσης, τῶν δὲ μεγάλων ἐφικνεῖσθαι πειρωμένης οὐκ ἂν c φανείην ἄμοιρος γεγενημένος. (10) Ὥστ' οὐδὲν ἄτοπον, εἴ τι τῶν συμφερόντων ἰδεῖν ἂν μᾶλλον δυνηθείην τῶν εἰκῇ μὲν πολιτευομένων, μεγάλην δὲ δόξαν εἰληφότων. Δηλώσομεν δ' οὐκ εἰς ἀναβολὰς εἴ τινος ἄξιοι τυγχάνομεν ὄντες, ἀλλ' ἐκ τῶν ῥηθήσεσθαι μελλόντων.

admiratores : si qui autem perficere aliquid studeant, iis cum eo disserendum esse, qui res ipsas, quæ oratione fuerint expositæ, quamprimum sit exsecuturus. (7) Quodsi urbi alicui consilium darem, cum magistratibus et principibus civitatis sermonem haberem; quum vero de salute Græcorum tuenda suadere instituerim, quisnam mihi æquius appellandus erit, quam is qui et nobilitate et potentia Græcis omnibus antecellit?

8. Neque vero nos harum rerum intempestive mentionem facere censendum est. Nam dum Lacedæmonii rerum potirentur, difficile tibi fuit gentis nostræ suscipere curam illisque adversari et una cum Carthaginiensibus bellum gerere. Nunc vero quum res Carthaginiensium in eo loco sint, ut bene secum agi putent si suam ditionem tueri queant, nostra autem civitas promptissime tecum suas opes conjungat, si de Græcia bene mereri studueris, quæ tandem hac melior occasio tibi dari queat?

9. Mirari autem non debes me, qui neque orator sim neque imperator nec alioqui vir potens, negotium tam arduum suscepisse duasque res maximas conari, ut et de statu Græciæ orationem habeam, et tibi dem consilium. Nam ego ut nunquam gessi rempublicam (qua quibus de causis abstinuerim, dictu operosum fuerit), sic nemo negabit, opinor, me ea doctrina quæ res minutas despicit et consequi arduas conatur, non esse destitutum. (10) Quare absurdi nihil fuerit me, quid publice prosit, aliquanto acutius perspicere, quam qui temere rempublicam capessunt magnamque auctoritatem habent. Non autem per moras declarabimus, num alicujus pretii simus, sed rei testis aptissimus ipsa erit oratio.

B.

ΦΙΛΙΠΠΩ.

407 Οἶδα μὲν ὅτι πάντες εἰώθασι πλείω χάριν ἔχειν τοῖς ἐπαινοῦσιν ἢ τοῖς συμβουλεύουσιν, ἄλλως τε κἂν μὴ κελευσθεὶς ἐπιχειρῇ τις τοῦτο ποιεῖν. Ἐγὼ δ' εἰ μὲν a μὴ καὶ πρότερον ἐτύγχανόν σοι παρῃνεκὼς μετὰ πολλῆς εὐνοίας, ἐξ ὧν ἐδόκεις μοι τὰ πρέποντα μάλιστ' ἂν σαυτῷ πράττειν, ἴσως οὐδ' ἂν νῦν ἐπεχείρουν ἀποφαίνεσθαι περὶ τῶν σοὶ συμβεβηκότων· (2) ἐπειδὴ δὲ προειλόμην φροντίζειν τῶν σῶν πραγμάτων καὶ τῆς πόλεως ἕνεκα τῆς ἐμαυτοῦ καὶ τῶν ἄλλων Ἑλλήνων, αἰσχυνθείην ἂν εἰ περὶ μὲν τῶν ἧττον ἀναγκαίων φαινοίμην σοι συμβεβουλευκώς, ὑπὲρ δὲ τῶν μᾶλλον κατεπει- b γόντων μηδένα λόγον ποιοίμην, καὶ ταῦτ' εἰδὼς ἐκεῖνα μὲν ὑπὲρ δόξης ὄντα, ταῦτα δ' ὑπὲρ τῆς σωτηρίας, ἧς ὀλιγωρεῖν ἅπασιν ἔδοξας τοῖς ἀκούσασι τὰς περὶ σοῦ ῥηθείσας βλασφημίας. (3) Οὐδεὶς γάρ ἐστιν ὅστις οὐ κατέγνω προπετέστερόν σε κινδυνεύειν ἢ βασιλικώτερον, καὶ μᾶλλόν σοι μέλειν τῶν περὶ τὴν ἀνδρείαν ἐπαίνων ἢ τῶν ὅλων πραγμάτων. Ἔστι δ' ὁμοίως αἰσχρὸν περιστάντων τε τῶν πολεμίων μὴ διαφέροντα γενέσθαι c

2.

PHILIPPO.

Equidem scio solere gratiores esse omnibus laudatores quam monitores, præsertim si quis præcipiendi munus non rogatus suscipiat. Ego vero nisi etiam prius optimo studio te monuissem iis de rebus, quæ officii tui esse maxime videbantur, fortasse nunc de iis quæ ad te pertinent suadere non instituerem. (2) Sed quia mihi propositum est rerum tuarum gerere curam quum patriæ meæ tum ceterorum Græcorum causa, turpe mihi ducerem, quum de rebus non perinde necessariis consilium tibi dedissem, nunc longe graviorum nullam facere mentionem, præsertim quum scirem illa ad gloriam tantum, hæc vero ad salutem tuam pertinere, quam neglexisse visus es iis omnibus qui convicia in te dicta audiverunt. (3) Nemo enim est quin statuat te in adeundis periculis magis esse temerarium quam regia dignitas patiatur, et de laude fortitudinis quam de summa rerum magis sollicitum esse. Atqui æque turpe est et hostibus circumdatum strenue pugnando aliis non superiorem esse, et

τῶν ἄλλων, μηδεμιᾶς τε συμπεσούσης ἀνάγκης αὑτὸν ἐμβαλεῖν εἰς τοιούτους ἀγῶνας, ἐν οἷς κατορθώσας μὲν οὐδὲν ἂν ἦσθα μέγα διαπεπραγμένος, τελευτήσας δὲ τὸν βίον ἅπασαν ἂν τὴν ὑπάρχουσαν εὐδαιμονίαν συνανεῖλες. (4) Χρὴ δὲ μὴ καλὰς ἁπάσας ὑπολαμβάνειν τὰς ἐν τοῖς πολέμοις τελευτάς, ἀλλὰ τὰς μὲν ὑπὲρ τῆς πατρίδος καὶ τῶν γονέων καὶ τῶν παίδων ἐπαίνων ἀξίας, τὰς δὲ ταῦτά τε πάντα βλαπτούσας καὶ τὰς d πράξεις τὰς πρότερον κατωρθωμένας καταρρυπαινούσας αἰσχρὰς νομίζειν καὶ φεύγειν ὡς αἰτίας πολλῆς ἀδοξίας γιγνομένας.

5. Ἡγοῦμαι δέ σοι συμφέρειν μιμεῖσθαι τὰς πόλεις, ὃν τρόπον διοικοῦσι τὰ περὶ τοὺς πολέμους. Ἅπασαι γάρ, ὅταν στρατόπεδον ἐκπέμπωσιν, εἰώθασι τὸ κοινὸν καὶ τὸ βουλευσόμενον ὑπὲρ τῶν ἐνεστώτων εἰς ἀσφάλειαν καθιστάναι· διὸ δὴ συμβαίνει μηδὲ μιᾶς ἀτυχίας συμπεσούσης ἀνῃρῆσθαι καὶ τὴν δύναμιν αὐτῶν, e ἀλλὰ πολλὰς ὑποφέρειν δύνασθαι συμφορὰς καὶ πάλιν ἑαυτὰς ἐκ τούτων ἀναλαμβάνειν. (6) Ὃ καὶ σὲ δεῖ σκοπεῖν, καὶ μηδὲν μεῖζον ἀγαθὸν τῆς σωτηρίας ὑπολαμβάνειν, ἵνα καὶ τὰς νίκας τὰς συμβαινούσας 408 κατὰ τρόπον διοικῇς καὶ τὰς ἀτυχίας τὰς συμπιπτούσας a ἐπανορθοῦν δύνῃ. Ἴδοις δ' ἂν καὶ Λακεδαιμονίους περὶ τῆς τῶν βασιλέων σωτηρίας πολλὴν ἐπιμέλειαν ποιουμένους, καὶ τοὺς ἐνδοξοτάτους τῶν πολιτῶν φύλακας αὐτῶν καθιστάντας, οἷς αἴσχιόν ἐστιν ἐκείνους τελευτήσαντας περιιδεῖν ἢ τὰς ἀσπίδας ἀποβαλεῖν. (7) Ἀλλὰ μὴν οὐδ' ἐκεῖνά σε λέληθεν, ἃ Ξέρξῃ τε τῷ καταδουλώσασθαι τοὺς Ἕλληνας βουληθέντι καὶ Κύρῳ τῷ τῆς βασιλείας ἀμφισβητήσαντι συνέπεσεν. Ὁ μὲν γὰρ τηλικαύταις ἥτταις καὶ συμφοραῖς περιπεσὼν b ἡλίκας οὐδεὶς οἶδεν ἄλλοις γενομένας, διὰ τὸ περιποιῆσαι τὴν αὑτοῦ ψυχὴν τήν τε βασιλείαν κατέσχε καὶ τοῖς παισὶ τοῖς αὑτοῦ παρέδωκε καὶ τὴν Ἀσίαν οὕτω διῴκησεν, ὥστε μηδὲν ἧττον αὐτὴν εἶναι φοβερὰν τοῖς Ἕλλησιν ἢ πρότερον· (8) Κῦρος δὲ νικήσας ἅπασαν τὴν βασιλέως δύναμιν καὶ κρατήσας τῶν πραγμάτων διὰ τὴν αὑτοῦ προπέτειαν οὐ μόνον ἑαυτὸν ἀπεστέρησε τηλικαύτης δυναστείας, ἀλλὰ καὶ τοὺς συνακολουθήσαντας c εἰς τὰς ἐσχάτας συμφορὰς κατέστησεν. Ἔχοιμι δ' ἂν παμπληθεῖς εἰπεῖν, οἳ μεγάλων στρατοπέδων ἡγεμόνες γενόμενοι διὰ τὸ προδιαφθαρῆναι πολλὰς μυριάδας αὐτοῖς συναπώλεσαν.

9. Ὧν ἐνθυμούμενον χρὴ μὴ τιμᾶν τὴν ἀνδρείαν τὴν μετ' ἀνοίας ἀλογίστου καὶ φιλοτιμίας ἀκαίρου γιγνομένην, μηδὲ πολλῶν κινδύνων ἰδίων ὑπαρχόντων ταῖς μοναρχίαις ἑτέρους ἀδόξους καὶ στρατιωτικοὺς αὑτῷ προσεξευρίσκειν, μηδ' ἁμιλλᾶσθαι τοῖς ἢ βίου δυστυχοῦς d ἀπαλλαγῆναι βουλομένοις ἢ μισθοφορᾶς ἕνεκα μείζονος εἰκῇ τοὺς κινδύνους προαιρουμένοις, (10) μηδ' ἐπιθυμεῖν τοιαύτης δόξης ἧς πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων τυγχάνουσιν, ἀλλὰ τῆς τηλικαύτης τὸ μέγεθος, ἣν μόνος ἂν τῶν νῦν ὄντων στήσασθαι δυνηθείης· μηδ' ἀγαπᾶν λίαν τὰς τοιαύτας ἀρετὰς ὧν καὶ

quum nulla talis urget necessitas, in ea te discrimina conjicere, quibus superatis nihil memorabile gesseris, interfectus autem omnes fortunas una evertas. (4) Neque vero semper præclarum habendum est in bellis occumbere; sed quandoi id fit pro defensione patriæ, parentum et liberûm, laudabile est : quum vero talis obitus et his omnibus nocet et superiorum temporum successibus labem aspergit, turpis habendus et fugiendus est, ut multæ ignominiæ conciliator.

5. Eam potius in gerendis bellis rationem tibi sequendam censeo, qua urbes utuntur. Nam hæ omnes, quum aliquo mittunt exercitus, rempublicam et senatum de rebus deliberantem in tuto collocare solent. Unde id evenit, ut, si una plaga fuerit accepta, non tamen vires omnes amittant, sed et multas clades perferre et opes suas recuperare possint. (6) Quod et tibi propositum esse debet, neque ullum salute majus esse bonum existimandum, ut et victoriis, quæ contingant, recte uti queas, et cladibus, quæ forte accidant, succurrere possis. Ac videas etiam Lacedæmonios de regum incolumitate maxime esse sollicitos, et clarissimos quosque cives eorum custodes constitui, quibus turpius est a capite regis pericula non depulisse quam clypeum abjecisse. (7) Neque illa etiam ignoras, quæ Xerxi Græcos opprimere servitute conato et Cyro Persicum regnum sibi vindicare aggresso acciderunt. Alter enim tantis præliis victus, tot cladibus affectus, quot nemo aliis accidisse norit, tamen quia vitam conservarat, non ipse modo regnum obtinuit, sed idem filiis suis reliquit, et Asiam ita firmavit, ut nihilo minus esset, quam prius, Græcis formidanda : (8) Cyrus autem, victis omnibus regis exercitibus cum summa rerum potitus esset, temeritate sua non se ipsum modo tanto imperio privavit, sed milites suos etiam in extremum discrimen adduxit. Innumeros commemorare possim, qui, quum maximorum exercituum duces essent, quia ipsi immature perierunt, una secum innumeros in exitium traxerunt.

9. Hæc exempla tibi consideranda sunt, ut eam fortitudinis laudem, quæ cum temeraria vecordia et intempestiva ambitione conjuncta est, non appetendam judices, neque ipse tibi in tot propriis regnorum periculis alia ignobilia et militaria accersas, neque cum iis certes, qui aut vitam calamitosam perdere volunt, aut stipendii majoris impetrandi causa temere in pericula se conjiciunt, (10) neque gloriam desideres tibi cum multis Græcis et barbaris communem, sed eam cujus tanta sit amplitudo, ut tibi soli nostro sæculo contingere queat, neque tales virtutes nimis adames, quæ

ταῖς φαύλοις μέτεστιν, ἀλλ' ἐκείνας ὧν οὐδεὶς ἂν πονηρὸς κοινωνήσειεν· (11) μηδὲ ποιεῖσθαι πολέμους ἀδόξους e καὶ χαλεπούς, ἐξὸν ἐντίμους καὶ ῥᾳδίους, μηδ' ἐξ ὧν τοὺς μὲν οἰκειοτάτους εἰς λύπας καὶ φροντίδας καταστήσεις, τοὺς δ' ἐχθροὺς ἐν ἐλπίσι μεγάλαις ποιήσεις, 409 οἵας καὶ νῦν αὐτοῖς παρέσχες, ἀλλὰ τῶν μὲν βαρβάρων, a πρὸς οὓς νῦν πολεμεῖς, ἐπὶ τοσοῦτον ἐξαρκέσει σοι κρατεῖν ὅσον ἐν ἀσφαλείᾳ καταστῆσαι τὴν σαυτοῦ χώραν, τὸν δὲ νῦν μέγαν προσαγορευόμενον καταλύειν ἐπιχειρήσεις, ἵνα τὴν σαυτοῦ δόξαν μείζω ποιήσῃς καὶ τοῖς Ἕλλησιν ὑποδείξῃς πρὸς ὃν χρὴ πολεμεῖν.

12. Πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην ἐπιστεῖλαί σοι ταῦτα πρὸ τῆς στρατείας, ἵν' εἰ μὲν ἐπείσθης, μὴ τηλικούτῳ κινδύνῳ περιέπεσες, εἰ δ' ἠπίστησας, μὴ ἐγὼ συμβουλεύειν ἐδόκουν ταῦτα τοῖς ἤδη διὰ τὸ πάθος ὑπὸ b πάντων ἐγνωσμένοις, ἀλλὰ τὸ συμβεβηκὸς ἐμαρτύρει τοὺς λόγους ὀρθῶς ἔχειν τοὺς ὑπ' ἐμοῦ περὶ αὐτῶν εἰρημένους.

13. Πολλὰ δ' ἔχων εἰπεῖν διὰ τὴν τοῦ πράγματος φύσιν, παύσομαι λέγων· οἶμαι γὰρ καὶ σὲ καὶ τῶν ἑταίρων τοὺς σπουδαιοτάτους ῥᾳδίως, ὁπόσ' ἂν βούλησθε, προσθήσειν τοῖς εἰρημένοις. Πρὸς δὲ τούτοις φοβοῦμαι τὴν ἀκαιρίαν· καὶ γὰρ νῦν κατὰ μικρὸν προϊὼν c ἔλαθον ἐμαυτὸν οὐκ εἰς ἐπιστολῆς συμμετρίαν ἀλλ' εἰς λόγου μῆκος ἐξοκείλας.

14. Οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, οὐ παραλειπτέον ἐστὶ τὰ περὶ τῆς πόλεως, ἀλλὰ πειρατέον παρακαλέσαι σε πρὸς τὴν οἰκειότητα καὶ τὴν χρῆσιν αὐτῆς. Οἶμαι γὰρ πολλοὺς εἶναι τοὺς ἀπαγγέλλοντας d καὶ λέγοντας οὐ μόνον τὰ δυσχερέστατα τῶν περὶ σοῦ παρ' ἡμῖν εἰρημένων, ἀλλὰ καὶ παρ' αὐτῶν προστιθέντας· οἷς οὐκ εἰκὸς προσέχειν τὸν νοῦν. (15) Καὶ γὰρ ἂν ἄτοπον ποιοίης, εἰ τὸν μὲν δῆμον τὸν ἡμέτερον ψέγοις ὅτι ῥᾳδίως πείθεται τοῖς διαβάλλουσιν, αὐτὸς δὲ φαίνοιο πιστεύων τοῖς τὴν τέχνην ταύτην ἔχουσι, καὶ μὴ γιγνώσκοις ὡς ὅσῳ περ ἂν τὴν πόλιν εὐαγωγοτέραν ὑπὸ τῶν τυχόντων οὖσαν ἀποφαίνωσι, τοσούτῳ μᾶλλόν σοι συμφερόντως ἔχουσαν αὐτὴν ἐπιδεικνύουσιν. Εἰ γὰρ οἱ μηδὲν ἀγαθὸν οἷοί τ' ὄντες ποιῆσαι διαπράττονται τοῖς λόγοις ὅ τι ἂν βουληθῶσιν, ἦ που σέ γε προσήκει τὸν πλεῖστ' ἂν ἔργῳ δυνάμενον εὐεργετῆσαι μηδενὸς e ἀποτυχεῖν παρ' ἡμῶν. (16) Ἡγοῦμαι δὲ δεῖν πρὸς μὲν τοὺς πικρῶς τῆς πόλεως ἡμῶν κατηγοροῦντας ἐκεί- 410 νους ἀντιτάττεσθαι, τοὺς πάντα τε ταῦτ' εἶναι λέγοντας, a καὶ τοὺς μήτε μεῖζον μήτ' ἔλαττον αὐτὴν ἠδικηκέναι φάσκοντας· ἐγὼ δ' οὐδὲν ἂν εἴποιμι τοιοῦτον· αἰσχυνθείην γὰρ ἄν, εἰ τῶν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους εἶναι νομιζόντων αὐτὸς τολμῴην λέγειν ὡς οὐδὲν πώποθ' ἡ πόλις ἡμῶν πεπλημμέληκεν. (17) Οὐ μὴν ἀλλ' ἐκεῖν' ἔχω περὶ αὐτῆς εἰπεῖν, ὅτι χρησιμωτέραν οὐκ ἂν εὕροις ταύτης οὔτε τοῖς Ἕλλησιν οὔτε τοῖς σοῖς πράγμασιν· ᾧ μάλιστα προσεκτέον τὸν νοῦν ἐστιν. Οὐ b μόνον γὰρ ἂν συναγωνιζομένη γίγνοιτ' ἂν αἰτία σοι πολλῶν ἀγαθῶν, ἀλλὰ καὶ φιλικῶς ἔχειν δοκοῦσα μόνον·

contemptis etiam hominibus haud negatæ sunt, sed illas, quarum nemo malus particeps esse possit; (11) neque bella geras obscura et molesta, quum honorata et faciliora suscipere liceat; neque ea, per quæ et tibi conjunctissimos molestiis ac sollicitudinibus afficias et hostibus tuis magnam spem subministres; id quod nunc quoque abs te factum est: sed barbaros istos, cum quibus nunc dimicas, tantisper vicisse tibi suffecerit, dum regnum tuum in tuto collocaris; istum vero qui nunc Magnus Rex appellatur, regno evertere studebis, ut gloriam tuam amplifices et Græcis ostendas, quocum bella gerenda sint.

12. Vehementer autem optarem me hæc ad te scripsisse ante susceptam expeditionem, ut vel, si paruisses, in tantum periculum non venisses, vel, si mea monita neglexisses, ego non viderer ea suadere, quæ nunc eventu edocti omnes probant; sed ut exitus testaretur, vera et recta fuisse mea his de rebus consilia.

13. Quum vero hujus disputationis ea natura sit, ut largam dicendi materiam præbeat, ego pluribus verbis non utar, quod existimo et te ipsum et ex amicis tuis viros honestissimos facile, quam multa volueritis, ad hæc adjecturos. Præterea vereor, ne fuerim importunior. Nam dum paulatim progredior, non animadverti me neglecta epistolæ brevitate in justæ orationis prolixitatem incidisse.

14. Quæ quanquam ita sunt, non tamen præterire debeo, quæ de nostra urbe dicenda sunt: sed danda est opera, ut te adhorter ad contrahendam cum ea familiaritatem et amicitiæ usum. Arbitror enim esse multos qui nuncient atque dictitent non odiosissima tantum quæ apud nos de te dicta sunt, sed quædam etiam de suo affingant. Quibus auscultare non decet. (15) Absurdum enim fuerit te qui nostrum populum eo reprehendas, quod calumniatoribus facile aures præbeat, illos magni facere, qui artem calumniandi exercent, neque intelligere istos, quo facilius civitatem nostram a quibuslibet in quamvis posse traduci partem asserant, eo tibi magis opportunam eam esse ostendere. Nam si hi qui nulla in rempublicam beneficia conferre possunt, solis verbis quicquid volunt impetrant, qui consentaneum est te, qui ipsis factis plurimum juvare potes, quicquam a nobis non consecuturum? (16) Acerbis autem nostræ urbis accusatoribus illos esse opponendos video, et qui hæc omnia affirment, et qui Athenienses nulla vel magna vel parva in re deliquisse asserant. Absit autem, ut ego tale aliquid dicam. Nam quum alii ne deos quidem omni crimine vacare putent, me gloriari puderet nos nihil unquam peccavisse; (17) illud tamen habeo dicere, te nullam aliam urbem inventurum, quæ vel Græcis vel tuis rebus magis sit opportuna. Quod tibi est diligentissime considerandum. Nec enim tantum, si tecum societatem inierit, sed si vel visa fuerit amica tibi esse, maximas

(18) τούς τε γὰρ ὑπὸ σοὶ νῦν ὄντας ῥᾷον ἂν κατέχοις, εἰ μηδεμίαν ἔχοιεν ἀποστροφήν, τῶν τε βαρβάρων οὓς βουληθείης θᾶττον ἂν καταστρέψαιο. Καίτοι πῶς οὐ χρὴ προθύμως ὀρέγεσθαι τῆς τοιαύτης εὐνοίας, δι' ἣν οὐ μόνον τὴν ὑπάρχουσαν ἀρχὴν ἀσφαλῶς καθέξεις, c
ἀλλὰ καὶ πολλὴν ἑτέραν ἀκινδύνως προσκτήσει; (19) Θαυμάζω δ' ὅσοι τῶν τὰς δυνάμεις ἐχόντων τὰ μὲν τῶν ξενιτευομένων στρατόπεδα μισθοῦνται καὶ χρήματα πολλὰ δαπανῶσι, συνειδότες ὅτι πλείους ἠδίκηκε τῶν πιστευσάντων αὐτοῖς ἢ σέσωκε, τὴν δὲ πόλιν τὴν τηλικαύτην δύναμιν κεκτημένην μὴ πειρῶνται θεραπεύειν, ἣ καὶ μίαν ἑκάστην τῶν πόλεων καὶ σύμπασαν τὴν Ἑλλάδα πολλάκις ἤδη σέσωκεν. (20) Ἐνθυμοῦ δ' ὅτι d
πολλοῖς καλῶς βεβουλεῦσθαι δοκεῖς, ὅτι δικαίως κέχρησαι Θετταλοῖς καὶ συμφερόντως ἐκείνοις, ἀνδράσιν οὐκ εὐμεταχειρίστοις, ἀλλὰ μεγαλοψύχοις καὶ στάσεως μεστοῖς. Χρὴ τοίνυν καὶ περὶ ἡμᾶς πειρᾶσθαι γίγνεσθαί σε τοιοῦτον, ἐπιστάμενον ὅτι τὴν μὲν χώραν Θετταλοί, τὴν δὲ δύναμιν ἡμεῖς ὁμορόν σοι τυγχάνομεν ἔχοντες· ἣν ἐκ παντὸς τρόπου ζήτει προσαγαγέσθαι. (21) Πολὺ γὰρ κάλλιόν ἐστι τὰς εὐνοίας τὰς τῶν πόλεων αἱρεῖν ἢ e
τὰ τείχη. Τὰ μὲν γὰρ τοιαῦτα τῶν ἔργων οὐ μόνον ἔχει φθόνον, ἀλλὰ καὶ τῶν τοιούτων τὴν αἰτίαν τοῖς στρατοπέδοις ἀνατιθέασιν· ἢν δὲ τὰς οἰκειότητας καὶ τὰς εὐνοίας κτήσασθαι δυνηθῇς, ἅπαντες τὴν σὴν διάνοιαν ἐπαινέσονται.

22. Δικαίως δ' ἄν μοι πιστεύσοις οἷς εἴρηκα περὶ
411 τῆς πόλεως· φανήσομαι γὰρ οὔτε κολακεύειν αὐτὴν ἐν τοῖς λόγοις εἰθισμένος, ἀλλὰ πλεῖστα πάντων ἐπιτετιμηκώς, οὔτ' εὖ παρὰ τοῖς πολλοῖς καὶ τοῖς εἰκῇ δοκιμάζουσι φερόμενος, ἀλλ' ἀγνοούμενος ὑπ' αὐτῶν καὶ φθονούμενος ὥσπερ σύ. Πλὴν τοσοῦτον διαφέρομεν, ὅτι πρὸς σὲ μὲν διὰ τὴν δύναμιν καὶ τὴν εὐδαιμονίαν οὕτως ἔχουσι, πρὸς δ' ἐμέ, διότι προσποιοῦμαι τὸ βέλτιον αὐτῶν φρονεῖν, καὶ πλείους ὁρῶσιν ἐμοὶ διαλέγεσθαι βουλομένους ἢ σφίσιν αὐτοῖς. (23) Ἠβουλόμην δ' ἂν ἡμῖν ὁμοίως ῥᾴδιον εἶναι τὴν δόξαν, ἣν ἔχομεν παρ' αὐτοῖς, διαφεύγειν· νῦν δὲ σὺ μὲν οὐ χαλεπῶς, ἣν βουληθῇς, αὐτὴν διαλύσεις, ἐμοὶ δ' ἀνάγκη καὶ διὰ τὸ γῆρας καὶ δι' ἄλλα πολλὰ στέργειν τοῖς παροῦσιν.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν, πλὴν τοσοῦτον, ὅτι καλόν ἐστι τὴν βασιλείαν καὶ τὴν εὐδαιμονίαν τὴν ὑπάρχουσαν ὑμῖν παρακαταθέσθαι τῇ τῶν Ἑλλήνων εὐνοίᾳ.

tibi allatura est utilitates. (18) Nam et hos qui tibi nunc parent, si non habebunt ad quos confugiant, in officio facilius continebis, et quosvis barbarorum celerius subiges. An vero talis benevolentia non alacriter expetenda est, qua non modo partum imperium secure teneas, sed amplam etiam ditionem sine periculo acquiras? (19) Miror equidem eorum principum rationes, qui peregrinos milites conducunt et magnis impensis alunt, a quibus et ipsi norunt plures eorum qui illis crediderunt, esse proditos, quam servatos; tam potentis vero urbis adjungere sibi studia non conantur, quæ quum singulas urbes, tum universam Græciam sæpe jam conservavit. (20) Illud cogita, multos laudare tuam prudentiam, quod ita cum Thessalis egeris, ut et æquum erat et illis expediebat, qui quidem viri sunt non facillimis ingeniis, sed animosi et seditiosissimi. Istæc èadem ratio de nobis etiam erit ineunda, quum scias, ut regionem Thessalorum, sic Atheniensium potentiam tibi esse finitimam, quam tibi omni studio conciliare debes. (21) Multo enim præclarius est benevolentiam civitatum capere quam mœnia. Hoc enim non modo invidiosum est, sed et quicquid fit hujus generis, exercitibus plerumque ascribitur; si autem familiaritates contrahere potueris et hominum benevolentiam colligere, sapientiam tuam mirabuntur omnes.

22. Hæc quæ de urbe nostra disserui, affirmanti mihi jure credideris. Satis enim constat me et meis civibus adeo assentiri non solere, ut nemo sit omnium qui sæpius eos reprehenderit, neque etiam in magno esse pretio apud vulgus et temerarios rerum æstimatores, sed illorum aliis ignotum esse, aliis æque invisum ac te. Hoc tamen inter nos interest, quod tibi potentiam et opes invident, mihi, quod me illis sapientiorem esse profiteor pluresque sunt qui mea consuetudine quam illorum delectentur. (23) Utinam vero tam facile mihi esset, quam tibi, conceptam de nobis vulgi opinionem abolere. Nunc id quidem in tua manu est, modo velis; mihi vero cum propter senium, tum pluribus aliis de causis, boni fortuna mea est consulenda.

Non video plura dicere quorsum attineat; hoc tamen addam, pulchrum esse regnum vestrum vestram ac felicitatem Græcorum benevolentiæ tanquam depositum commendare.

Γ.

ΦΙΛΙΠΠΩ.

Ἐγὼ διελέχθην μὲν καὶ πρὸς Ἀντίπατρον περί τε τῶν τῇ πόλει καὶ τῶν σοὶ συμφερόντων ἐξαρκούντως, ὡς ἐμαυτὸν ἔπειθον, ἠβουλήθην δὲ καὶ πρὸς σὲ γράψαι περὶ ὧν μοι δοκεῖ πρακτέον εἶναι μετὰ τὴν εἰρήνην, παραπλήσια τοῖς ἐν τῷ λόγῳ γεγραμμένοις, πολὺ δ' ἐκείνων συντομώτερα.

2. Κατ' ἐκεῖνον μὲν γὰρ τὸν χρόνον συνεβούλευον

3.

PHILIPPO.

Etsi cum Antipatro etiam et de nostræ urbis et tuis commodis satis, ut mihi persuadeo, copiose disserui, tamen ad te quoque scribere volui, quid pace jam facta mihi agendum esse videatur, non multum absimilia his quæ in oratione perscripta sunt, sed multo breviora.

2. Tum enim suadebam ut compositis nostræ urbis et

ὡς χρὴ διαλλάξαντά σε τὴν πόλιν τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων καὶ τὴν Θηβαίων καὶ τὴν Ἀργείων εἰς ὁμόνοιαν καταστῆσαι τοὺς Ἕλληνας, ἡγούμενος, ἐὰν τὰς προεστώσας πόλεις πείσῃς οὕτω φρονεῖν, ταχέως 412 καὶ τὰς ἄλλας ἐπακολουθήσειν. Τότε μὲν οὖν ἄλλος a ἦν καιρός, νῦν δὲ συμβέβηκε μηκέτι δεῖν πείθειν· διὰ γὰρ τὸν ἀγῶνα τὸν γεγενημένον ἠναγκασμένοι πάντες εἰσὶν εὖ φρονεῖν, καὶ τούτων ἐπιθυμεῖν ὧν ὑπονοοῦσί σε βούλεσθαι πράττειν, καὶ λέγειν ὡς δεῖ παυσαμένους τῆς μανίας καὶ τῆς πλεονεξίας, ἣν ἐποιοῦντο πρὸς ἀλλήλους, εἰς τὴν Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν. (3) Καὶ πολλοὶ πυνθάνονται παρ' ἐμοῦ πότερον ἐγώ σοι παρῄνεσα ποιεῖσθαι τὴν στρατείαν τὴν ἐπὶ τοὺς βαρβά- b ρους, ἢ σοῦ διανοηθέντος συνεῖπον· ἐγὼ δ' οὐκ εἰδέναι μέν φημι τὸ σαφές (οὐ γὰρ συγγεγενῆσθαί σοι πρότερον), οὐ μὴν ἀλλ' οἴεσθαι σὲ μὲν ἐγνωκέναι περὶ τούτων, ἐμὲ δὲ συνειρηκέναι ταῖς σαῖς ἐπιθυμίαις. Ταῦτα δ' ἀκούοντες ἐδέοντό μου πάντες παρακελεύεσθαί σοι καὶ προτρέπειν ἐπὶ τῶν αὐτῶν τούτων μένειν, ὡς οὐδέποτ' ἂν γενομένων οὔτε καλλιόνων ἔργων οὔτ' ὠφελιμωτέρων τοῖς Ἕλλησιν οὔτ' ἐν καιρῷ μᾶλλον πραχθη- c σομένων.

4. Εἰ μὲν οὖν εἶχον τὴν αὐτὴν δύναμιν ἥνπερ πρότερον, καὶ μὴ παντάπασιν ἦν ἀπειρηκώς, οὐκ ἂν δι' ἐπιστολῆς διελεγόμην, ἀλλὰ παρὼν αὐτὸς παρώξυνον ἄν σε καὶ παρεκάλουν ἐπὶ τὰς πράξεις ταύτας· νῦν δ' ὡς δύναμαι παρακελεύομαί σοι μὴ καταμελῆσαι τούτων, πρὶν ἂν τέλος ἐπιθῇς αὐτοῖς. Ἔστι δὲ πρὸς μὲν ἄλλο τι τῶν ὄντων ἀπλήστως ἔχειν οὐ καλόν (αἱ γὰρ μετριό- d τητες παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσι), δόξης δὲ μεγάλης καὶ καλῆς ἐπιθυμεῖν καὶ μηδέποτ' ἐμπίπλασθαι προσήκει τοῖς πολὺ τῶν ἄλλων διενεγκοῦσιν· ὅπερ σοὶ συμβέβηκεν. (5) Ἡγοῦ δὲ τόθ' ἕξειν ἀνυπέρβλητον αὐτὴν καὶ τῶν σοὶ πεπραγμένων ἀξίαν, ὅταν τοὺς μὲν βαρβάρους ἀναγκάσῃς εἱλωτεύειν τοῖς Ἕλλησι, πλὴν τῶν σοὶ συναγωνισαμένων, τὸν δὲ βασιλέα τὸν νῦν μέγαν προσαγορευόμενον ποιήσῃς τοῦτο πράττειν ὅ τι ἂν σὺ προστάττῃς. Ταῦτα δὲ κατεργάσασθαι πολὺ e ῥᾷόν ἐστιν ἐκ τῶν νῦν παρόντων, ἢ προελθεῖν ἐπὶ τὴν δύναμιν καὶ τὴν δόξαν, ἣν νῦν ἔχεις, ἐκ τῆς βασιλείας τῆς ἐξ ἀρχῆς ὑμῖν ὑπαρξάσης· οὐδὲν γὰρ ἔσται λοιπὸν 413 ἔτι πλὴν θεὸν γενέσθαι. (6) Χάριν δ' ἔχω τῷ γήρᾳ ταύτην μόνην, ὅτι προήγαγεν εἰς τοῦτό μου τὸν βίον, ὥσθ' ἃ νέος ὢν διενοούμην καὶ γράφειν ἐπεχείρουν ἔν τε τῷ πανηγυρικῷ λόγῳ καὶ τῷ πρὸς σὲ πεμφθέντι, ταῦτα νῦν τὰ μὲν ἤδη γιγνόμενα διὰ τῶν σῶν ἐφορῶ πράξεων, τὰ δ' ἐλπίζω γενήσεσθαι.

Lacedæmoniorum et Thebanorum Argivorumque controversiis Græcos in concordiam reduceres. Existimabam enim, si id a principibus civitatibus impetrasses, quamprimum reliquas quoque secuturas. Atque illo quidem tempore alius erat rerum status. Nunc vero in eo loco res sunt, ut suadere nihil amplius sit necesse. Nam propter commissum prælium omnes coacti sunt ad sanam mentem redire et ea desiderare, quæ te velle facere suspicantur, et profiteri omissa insania et avaritia, qua alios alii exagitarent, bellum in Asiam esse transferendum. (3) Atque illud complures ex me quærunt, utrum ego tibi suaserim ut expeditionem contra barbaros susciperes, an vero, quum tu jam id decrevisses, ego sententiæ tuæ approbator accesserim. Ego vero nihil me de eo comperti habere dico; neque enim prius tecum convenisse: sed putare tamen, quum tibi id jam antea deliberatum esset, me tuis consiliis suffragatum esse. Quæ illi quum audirent, omnes me rogabant ut te hortarer, ne mutares consilium: nunquam enim edi posse illustriora facinora, vel Græcis utiliora; neque unquam posse dari meliorem rei gerendæ occasionem.

4. Si igitur ea quæ olim fuit ingenii facultas mihi suppeteret, neque senectus omnes vires ademisset, non per literas tecum agerem, sed coram te incitarem et cohortarer ad hoc negotium strenue suscipiendum. Nunc ut possum te hortor ne his desistas, priusquam rem omnem confeceris. Alterius porro alicujus rei cupiditate insatiabili æstuare non est honestum (nam plerisque probatur mediocritas); sed magnam illustremque gloriam desiderare, nec ejus unquam satietate affici debent, qui ceteris multum antecellunt: id quod tibi contigit. (5) Tum autem ad famæ tuæ splendorem nihil posse accedere putato eamque rebus tuis gestis parem fore, quum barbaros (iis exceptis qui se ad ductum tuum applicaverint) Græcis servire coegeris, illumque regem qui nunc Magnus appellatur, eo redegeris, ut ea agat quæ tu imperaris. Hoc autem rerum statu nunc hæc tibi perficere multo facilius est, quam eam consequi potentiam et gloriam, quam tibi vetusti regni subsidio comparasti: neque enim quicquam tibi erit adhuc reliquum, nisi ut deus fias. (6) Ego vero senectuti ob hoc unum habeo gratiam, quod eo usque produxi vitæ meæ tempus, ut ea quæ adolescens animo agitavi et tum in Panegyrica, tum ad te missa oratione scribenda suscepi, partim nunc per te geri et administrari videam, partim deinceps perfectum iri sperem.

Δ.

ΑΝΤΙΠΑΤΡΩ.

Ἐγώ, καίπερ κινδύνου παρ' ἡμῖν ὄντος εἰς Μακεδονίαν πέμπειν ἐπιστολήν, οὐ μόνον νῦν ὅτε πολεμοῦμεν πρὸς ὑμᾶς, ἀλλὰ καὶ τῆς εἰρήνης οὔσης, ὅμως γράψαι

4.

ANTIPATRO.

Quanquam apud nos periculosum est literas mittere in Macedoniam, non modo nunc quum bellum vobiscum gerimus, sed pacis etiam tempore, ego tamen ad te scribere

πρὸς σὲ προειλόμην περὶ Διοδότου, δίκαιον εἶναι νομίζων πάντας μὲν περὶ πολλοῦ ποιεῖσθαι τοὺς ἐμαυτῷ πεπλησιακότας καὶ γεγενημένους ἀξίους ἡμῶν, οὐχ ἥκιστα δὲ τοῦτον καὶ διὰ τὴν εὔνοιαν τὴν εἰς ἡμᾶς καὶ διὰ τὴν ἄλλην ἐπιείκειαν. (2) Μάλιστα μὲν οὖν ἐβουλόμην ἂν αὐτὸν συσταθῆναί σοι δι' ἡμῶν· ἐπειδὴ δὲ δι' ἑτέρων ἐντετύχηκέ σοι, λοιπόν ἐστί μοι μαρτυρῆσαι περὶ αὐτοῦ καὶ βεβαιῶσαι τὴν γεγενημένην αὐτῷ πρὸς σὲ γνῶσιν. Ἐμοὶ γὰρ πολλῶν καὶ παντοδαπῶν συγγεγενημένων ἀνδρῶν, καὶ δόξας ἐνίων μεγάλας ἐχόντων, τῶν μὲν ἄλλων ἁπάντων οἱ μέν τινες περὶ αὐτὸν τὸν λόγον, οἱ δὲ περὶ τὸ διανοηθῆναι καὶ πρᾶξαι δεινοὶ γεγόνασιν, οἱ δ' ἐπὶ μὲν τοῦ βίου σώφρονες καὶ χαρίεντες, πρὸς δὲ τὰς ἄλλας χρήσεις καὶ διαγωγὰς ἀφυεῖς παντάπασιν· (3) οὗτος δ' οὕτως εὐάρμοστον τὴν φύσιν ἔσχεν ὥστ' ἐν ἅπασι τοῖς εἰρημένοις τελειότατος εἶναι. Καὶ ταῦτ' οὐκ ἂν ἐτόλμων λέγειν, εἰ μὴ τὴν ἀκριβεστάτην πεῖραν αὐτός τ' εἶχον αὐτοῦ καὶ σὲ λήψεσθαι προσεδόκων, τὰ μὲν
414 αὐτὸν χρώμενον αὐτῷ, τὰ δὲ καὶ παρὰ τῶν ἄλλων τῶν a
ἐμπείρων αὐτοῦ πυνθανόμενον· (4) ὧν οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειεν, εἰ μὴ λίαν εἴη φθονερός, καὶ εἰπεῖν καὶ βουλεύσασθαι οὐδενὸς ἧττον αὐτὸν δύνασθαι, καὶ δικαιότατον καὶ σωφρονέστατον εἶναι καὶ χρημάτων ἐγκρατέστατον, ἔτι δὲ συνημερεῦσαι καὶ συμβιῶναι πάντων ἥδιστον καὶ λιγυρώτατον, πρὸς δὲ τούτοις πλείστην ἔχειν παρρησίαν, οὐχ ἣν οὐ προσῆκεν, ἀλλὰ τὴν εἰκότως ἂν μέγιστον γιγνομένην σημεῖον τῆς εὐνοίας τῆς πρὸς τοὺς φίλους· (5) ἣν τῶν δυναστῶν οἱ μὲν ἀξιό- b
χρεων τὸν ὄγκον τὸν τῆς ψυχῆς ἔχοντες τιμῶσιν ὡς χρησίμην οὖσαν, οἱ δ' ἀσθενέστεροι τὰς φύσεις ὄντες ἢ κατὰ τὰς ὑπαρχούσας ἐξουσίας δυσχεραίνουσιν, ὡς ὧν οὐ προαιροῦνταί τι ποιεῖν βιαζομένην αὐτούς, οὐκ εἰδότες ὡς οἱ μάλιστα περὶ τοῦ συμφέροντος ἀντιλέγειν τολμῶντες, οὗτοι πλείστην ἐξουσίαν αὐτοῖς τοῦ πράττειν ἃ βούλονται παρασκευάζουσιν. (6) Εἰκὸς γὰρ διὰ μὲν τοὺς ἀεὶ πρὸς ἡδονὴν λέγειν προαιρουμένους οὐχ c
ὅπως τὰς μοναρχίας δύνασθαι διαμεῖναι, αἳ πολλοὺς τοὺς ἀναγκαίους ἐφέλκονται κινδύνους, ἀλλ' οὐδὲ τὰς πολιτείας, αἳ μετὰ πλείονος ἀσφαλείας εἰσί, διὰ δὲ τοὺς ἐπὶ τῷ βελτίστῳ παρρησιαζομένους πολλὰ σώζεσθαι καὶ τῶν ἐπιδόξων διαφθαρήσεσθαι πραγμάτων. Ὧν ἕνεκα προσῆκε μὲν παρὰ πᾶσι τοῖς μονάρχοις πλέον φέρεσθαι τοὺς τὴν ἀλήθειαν ἀποφαινομένους τῶν ἅπαντα d
μὲν πρὸς χάριν, μηδὲν δὲ χάριτος ἄξιον λεγόντων· συμβαίνει δ' ἔλαττον ἔχειν αὐτοὺς παρ' ἐνίοις αὐτῶν. (7) Ὃ καὶ Διοδότῳ παθεῖν συνέπεσε παρά τισι τῶν περὶ τὴν Ἀσίαν δυναστῶν, οἷς περὶ πολλὰ χρήσιμος γενόμενος οὐ μόνον τῷ συμβουλεύειν, ἀλλὰ καὶ τῷ πράττειν καὶ κινδυνεύειν, διὰ τὸ παρρησιάζεσθαι πρὸς αὐτοὺς περὶ ὧν ἐκείνοις συνέφερε, καὶ τῶν οἴκοι τιμῶν ἀπε- e
στέρηται καὶ πολλῶν ἄλλων ἐλπίδων, καὶ μεῖζον ἰσχύσαν αἱ τῶν τυχόντων ἀνθρώπων κολακεῖαι τῶν εὐεργεσιῶν τῶν τούτου. (8) Διὸ δὴ καὶ πρὸς ὑμᾶς ἀεὶ προσιέναι διανοούμενος ὀκνηρῶς εἶχεν, οὐχ ὡς ἅπαντας

de Diodoto institui. Æquum enim esse existimo, ut magni faciam quum omnes familiares meos, qui se nobis dignos præbuerunt, tum vero hunc et propter benevolentiam erga nos et ob morum integritatem. (2) Maxime autem vellem eum per nos fuisse commendatum tibi : postquam vero aliorum opera ei aditus ad te patefactus est, hoc mihi relinquitur, ut testimonium de eo dicam eamque notitiam, quæ inter te et illum est, confirmem. Nam quum multi et varii viri, atque ex illis nonnulli gloria celebres, mea consuetudine sint usi, reliquorum omnium alii eloquentia, alii prudentia et rebus gerendis conspicui evaserunt; alii vero vitæ quidem modestia et suavitate morum commendati sunt, ad alios usus et actiones alias prorsus inepti : (3) huic autem ea contigit ingenii dexteritas, ut in his quæ diximus omnibus sit absolutissimus. Quæ ego dicere non auderem, nisi et ipse ab omni parte perspectum eum haberem, et omnino putarem te idem cogniturum partim ex familiaribus cum eo congressibus, partim ex eorum quibus notus est sermonibus : (4) quorum nemo erit, nisi supra modum sit invidus, quin fateatur eum et eloquentia et consiliis nullo esse inferiorem, virumque justissimum et modestissimum et ab avaritia alienissimum, atque in quotidiano usu et vitæ consuetudine suavissimum hominem et urbanissimum; ad hæc summam in eo esse dicendi libertatem, non illam indecoram, sed hanc quæ jure maximum signum habetur benevolentiæ erga amicos; (5) quam ex principibus hi qui tantos animos habent, quantos imperii majestas requirit, tanquam utilem venerantur; qui autem imbecillioribus sunt ingeniis, quam potentiæ amplitudo postulat, ut molestam aversantur, quasi vero per eam cogantur aliquid contra sui animi voluntatem facere, qui non intelligunt, quum de utilitate deliberatur, eos qui adversari audent, maximam eis dare potestatem ea quæ velint faciendi. (6) Consentaneum est enim, eos qui ad gratiam loqui omnia student, non modo regum imperia, quæ multa eaque necessaria pericula secum trahunt, firmare non posse, sed ne rerumpublicarum quidem, quæ aliquanto tutiores sunt, libertatem ; eos autem qui propter audientium utilitatem libere quæ sentiunt dicunt, multa conservare posse etiam ex iis quæ alioqui peritura videbantur. Quibus de causis æquum est apud omnes principes majorem esse eorum, qui vera dicere non dubitant, auctoritatem, quam horum qui ad gratiam omnia, nihil autem gratia dignum loquuntur. Fieri tamen solet ut illi apud nonnullos minore in pretio sint quam assentatores. (7) Id quod etiam Diodotum apud quosdam Asiæ proceres afflixit. Quorum commodis quum multis in rebus consuluisset, non dandis modo consiliis, sed rebus etiam gerendis adeundisque periculis : quia tamen liberius eos officii sui monebat, tum honores quos in patria tenuit, amisit, tum aliorum multorum spe præmiorum excidit, ac plus valuerunt levissimorum hominum adulationes meritis et beneficiis tanti viri. (8) His de causis, tametsi ad vos se conferre semper in animo habebat, tamen

415 ὁμοίους εἶναι νομίζων τοὺς ὑπὲρ αὐτὸν ὄντας, ἀλλὰ διὰ a τὰς πρὸς ἐκείνους γεγενημένας δυσχερείας καὶ πρὸς τὰς παρ' ὑμῶν ἐλπίδας ἀθυμότερος ἦν, παραπλήσιον, ὡς ἐμοὶ δοκεῖ, πεπονθὼς τῶν πεπλευκότων τισίν, οἳ τὸ πρῶτον ὅταν χρήσωνται χειμῶσιν, οὐκέτι θαρροῦντες εἰσβαίνουσιν εἰς θάλατταν, καίπερ εἰδότες ὅτι καὶ καλοῦ πλοῦ πολλάκις ἐπιτυχεῖν ἔστιν. Οὐ μὴν ἀλλ' ἐπειδὴ συνέστηκέ σοι, καλῶς ποιεῖ. (9) Λογίζομαι γὰρ αὐτῷ b συνοίσειν, μάλιστα μὲν τῇ φιλανθρωπίᾳ τῇ σῇ στοχαζόμενος, ἣν ἔχειν ὑπείληψαι παρὰ τοῖς ἔξωθεν ἀνθρώποις, ἔπειτα νομίζων οὐκ ἀγνοεῖν ὑμᾶς ὅτι πάντων ἐστὶν ἥδιστον καὶ λυσιτελέστατον πιστοὺς ἅμα καὶ χρησίμους φίλους κτᾶσθαι ταῖς εὐεργεσίαις, καὶ τοὺς τοιούτους εὖ ποιεῖν ὑπὲρ ὧν πολλοὶ καὶ τῶν ἄλλων ὑμῖν χάριν ἕξουσιν. Ἅπαντες γὰρ οἱ χαρίεντες τοὺς τοῖς σπουδαίοις τῶν ἀνδρῶν καλῶς ὁμιλοῦντας ὁμοίως ἐπαινοῦσι καὶ c τιμῶσιν, ὥσπερ αὐτοὶ τῶν ὠφελειῶν ἀπολαύοντες.

10. Ἀλλὰ γὰρ Διόδοτον αὐτὸν οἶμαι μάλιστά σε προτρέψεσθαι πρὸς τὸ φροντίζειν αὐτοῦ. Συνέπειθον δὲ καὶ τὸν υἱὸν αὐτοῦ τῶν ὑμετέρων ἀντέχεσθαι πραγμάτων, καὶ παραδόνθ' ὑμῖν αὐτὸν ὥσπερ μαθητὴν εἰς τοὔμπροσθε πειραθῆναι προελθεῖν. Ὁ δὲ ταῦτά μου λέγοντος ἐπιθυμεῖν μὲν ἔφασκε τῆς ὑμετέρας φιλίας, οὐ μὴν ἀλλὰ παραπλήσιόν τι πεπονθέναι πρὸς αὐτὴν καὶ πρὸς τοὺς d στεφανίτας ἀγῶνας· (11) ἐκείνους τε γὰρ νικᾶν μὲν ἂν βούλεσθαι, καταβῆναι δ' εἰς αὐτοὺς οὐκ ἂν τολμῆσαι διὰ τὸ μὴ μετεσχηκέναι ῥώμης ἀξίας τῶν στεφάνων, τῶν τε παρ' ὑμῶν τιμῶν εὔξασθαι μὲν ἂν τυχεῖν, ἐφίξεσθαι δ' αὐτῶν οὐ προσδοκᾶν· τήν τε γὰρ ἀπειρίαν τὴν αὑτοῦ καταπεπλῆχθαι καὶ τὴν λαμπρότητα τὴν ὑμετέραν, ἔτι δὲ καὶ τὸ σωμάτιον οὐκ εὐκρινὲς ὄν, ἀλλ' e ἔχον ἄττα σίνη, νομίζειν ἐμποδιεῖν αὐτὸν πρὸς πολλὰ τῶν πραγμάτων.

12. Οὗτος μὲν οὖν, ὅ τι ἂν αὐτῷ δοκῇ συμφέρειν, τοῦτο πράξει· σὺ δ', ἐάν τε περὶ ὑμᾶς ἐάν θ' ἡσυχίαν 416 ἔχων διατρίβῃ περὶ τούτους τοὺς τόπους, ἐπιμελοῦ καὶ τῶν ἄλλων μὲν ἁπάντων, ὧν ἂν τυγχάνῃ δεόμενος, μάλιστα δὲ τῆς ἀσφαλείας καὶ τῆς τούτου καὶ τῆς τοῦ πατρὸς αὐτοῦ, νομίσας ὥσπερ παρακαταθήκην ἔχειν τοῦτον παρά τε τοῦ γήρως ἡμῶν, ὃ προσηκόντως ἂν πολλῆς τυγχάνοι προνοίας, καὶ τῆς δόξης τῆς ὑπαρχούσης, εἴ τινος ἄρα σπουδῆς ἐστιν ἀξία, καὶ τῆς εὐνοίας τῆς περὶ ὑμᾶς, ἣν ἔχων ἅπαντα τὸν χρόνον διατετέλεκα. (13) Καὶ μὴ θαυμάσῃς μήτ' εἰ μακροτέραν γέγραφα τὴν ἐπιστολήν, μήτ' εἴ τι περιεργότερον καὶ πρεσβυτικώτερον εἰρήκαμεν ἐν αὐτῇ· πάντων γὰρ τῶν ἄλλων ἀμελήσας ἑνὸς μόνου ἐφρόντισα, τοῦ φανῆναι σπουδάζων ὑπὲρ ἀνδρῶν φίλων καὶ προσφιλεστάτων μοι γεγενημένων.

E.

ΑΛΕΞΑΝΔΡΩ.

Πρὸς τὸν πατέρα σου γράφων ἐπιστολὴν ἄτοπον ᾤμην ποιήσειν, εἰ περὶ τὸν αὐτὸν ὄντα σὲ τόπον ἐκείνῳ

nescio quo timore est retardatus, non quod omnes in altiori dignitatis gradu collocatos similes esse inter se putaret, sed quia difficiles aliorum mores expertus minus avide spem, quæ a vobis ostendebatur, amplecti audebat. In quo idem illi accidisse videtur, quod navigantium plerisque, qui ubi semel in tempestates inciderunt, nunquam securis animis mare ingrediuntur, etsi sciunt sæpe prosperam etiam navigationem solere contingere. Sed quoniam tibi commendatus est, bene factum est. (9) Puto enim id illi profuturum, inprimis id conjiciens ex tua humanitate, quæ ab exteris hominibus prædicatur; deinde vos præterire non arbitror nihil esse vel suavius vel utilius, quam fideles simul et utiles amicos parare beneficiis, et de talibus viris bene mereri, propter quos multi etiam alii gratiam vobis habituri sunt. Omnes enim boni et docti eos, qui præstantibus doctrina et virtute viris honorem habent, non minus laudant et venerantur, quam si in ipsos collata fuissent omnia.

10. Sed ipsum Diodotum suapte potissimum industria effecturum esse arbitror, ut sui curam geras. Auctor autem etiam ejus filio fui, ut se ad vos conferret, seque vobis in disciplinam quasi tradito proficere atque operæ pretium facere conaretur. Quod quum ex me audisset, se quidem vestræ amicitiæ percupidum esse dixit, sed eodem esse erga illam animo, quo erga certamina coronaria: (11) cupere enim in illis victoriam consequi, sed ad ea propterea descendere non audere, quod sibi vires coronis dignas deesse animadvertat, eodemque modo se optare quidem honores a vobis consequi, sed eam sibi facultatem negatam esse arbitrari. Nam et imperitia sua et splendore vestro se deterreri. Huc accedere corpusculum quoque minus sanum et nonnulla non integra habens, quod existimet in multis sibi rebus impedimento fore.

12. Et hic quidem, quod e re sua esse putabit, id faciet. Sive autem ad vos se contulerit, sive quieti otioque deditus in hisce locis versabitur, curæ tibi esse velim, quum cetera quibus indigebit omnia ut subministres, tum vero et hujus et parentis ejus vita in tuto ut collocetur. Existimare enim debes te hunc tanquam depositum habere a senectute nostra, quæ minime certe negligenda est, et ab ea auctoritate quam habemus, si qua forte cura videbitur digna, et ab ea benevolentia, qua vos per omnem ætatem sum prosecutus. (13) Neque mireris, si vel prolixiorem scripsi epistolam, vel aliquid in ea inutilius et senilius diximus. Ego enim neglectis ceteris rebus omnibus in hoc unum toto animo intentus fui, ut appareret mihi maximæ curæ esse amicorum commoda, quos summa caritate complector.

5.

ALEXANDRO.

Quum ad patrem tuum literas darem, absurde me facturum putabam, si te, qui in eodem loco quo ille versareris,

μήτε προσερῶ μήτ' ἀσπάσομαι, μήτε γράψω τι τοιοῦτον ὃ ποιήσει τοὺς ἀναγνόντας μὴ νομίζειν ἤδη με παραφρονεῖν διὰ τὸ γῆρας μηδὲ παντάπασι ληρεῖν, ἀλλ' ἔτι τὸ καταλελειμμένον μου μέρος καὶ λοιπὸν ὂν οὐκ ἀνάξιον εἶναι τῆς δυνάμεως ἣν ἔσχον νεώτερος ὤν.

2. Ἀκούω δέ σε πάντων λεγόντων, ὡς φιλάνθρωπος εἶ καὶ φιλαθήναιος καὶ φιλόσοφος, οὐκ ἀφρόνως, ἀλλὰ νοῦν ἐχόντως. Τῶν τε γὰρ πολιτῶν ἀποδέχεσθαί σε τῶν ἡμετέρων οὐ τοὺς ἠμεληκότας αὑτῶν καὶ πονηρῶν πραγμάτων ἐπιθυμοῦντας, ἀλλ' οἷς συνδιατρίβων 417 τ' οὐκ ἂν λυπηθείης, συμβάλλων τε καὶ κοινωνῶν a πραγμάτων οὐδὲν ἂν βλαβείης οὐδ' ἀδικηθείης, οἵοις περ χρὴ πλησιάζειν τοὺς εὖ φρονοῦντας· (3) τῶν τε φιλοσοφιῶν οὐκ ἀποδοκιμάζειν μὲν οὐδὲ τὴν περὶ τὰς ἔριδας, ἀλλὰ νομίζειν εἶναι πλεονεκτικὴν ἐν ταῖς ἰδίαις διατριβαῖς, οὐ μὴν ἁρμόττειν οὔτε τοῖς τοῦ πλήθους προεστῶσιν οὔτε τοῖς τὰς μοναρχίας ἔχουσιν· οὐδὲ γὰρ συμφέρειν οὐδὲ πρέπειν τοῖς μεῖζον τῶν ἄλλων φρονοῦσιν οὔτ' αὐτοῖς ἐρίζειν πρὸς τοὺς συμπολιτευομένους οὔτε τοῖς b ἄλλοις ἐπιτρέπειν πρὸς αὐτοὺς ἀντιλέγειν. (4) Ταύτην μὲν οὖν οὐκ ἀγαπᾶν σε τὴν διατριβήν, προαιρεῖσθαι δὲ τὴν παιδείαν τὴν περὶ τοὺς λόγους οἷς χρώμεθα περὶ τὰς πράξεις τὰς προσπιπτούσας καθ' ἑκάστην τὴν ἡμέραν, καὶ μεθ' ὧν βουλευόμεθα περὶ τῶν κοινῶν· δι' ἣν νῦν τε δοξάζεις περὶ τῶν μελλόντων ἐπιεικῶς, τοῖς τ' ἀρχομένοις προστάττειν οὐκ ἀνοήτως, ἃ δεῖ πράττειν ἑκάστους, c ἐπιστήσει, περὶ δὲ τῶν καλῶν καὶ δικαίων καὶ τῶν τούτοις ἐναντίων ὀρθῶς κρίνειν, πρὸς δὲ τούτοις τιμᾶν τε καὶ κολάζειν, ὡς προσῆκόν ἐστιν ἑκατέρους. (5) Σωφρονεῖς οὖν νῦν ταῦτα μελετῶν· ἐλπίδας γὰρ τῷ τε πατρὶ καὶ τοῖς ἄλλοις παρέχεις, ὡς ἐὰν πρεσβύτερος γενόμενος ἐμμείνῃς τούτοις, τοσοῦτον προέξεις τῇ φρονήσει τῶν ἄλλων, ὅσον περ ὁ πατήρ σου διενήνοχεν ἁπάντων.

neque compellarem neque salutarem, neque tale aliquid ad te scriberem, quod efficeret ne ii qui legerent, putarent me jam senio desipere aut prorsus delirare, sed quod adhuc reliquum est mei et exstat, non indignum esse ea facultate, qua junior florebam.

2. Prædicari autem te ab omnibus audio ut et humanum et Atheniensibus amicum et sapientiæ studiosum, in quo profecto non insipienter, sed prudentissime facis. Illo quoque laudem mereris, quod ex nostris civibus suscipias non eos qui nullum virtutis et doctrinæ studium habuerunt malarumque rerum cupiditate constricti tenentur, sed eos, quorum disputationibus audiendis nullas molestias capias, quorumque commerciis et consiliis utendo neque damnis neque injuriis afficiaris: alium enim consuetudo prudentibus expetenda est. (3) Inter doctrinarum porro genera ne dialecticas quidem disputationes improbare diceris, sed sic de illis sentire, ut eas existimes in privatis congressibus permultum valere, non tamen vel populi gubernatoribus vel principibus esse opportunas. Nec enim expedire nec decere, ut qui dignitate ceteris præstant, vel ipsi cum civibus rixentur, vel ceteris dent contradicendi licentiam. (4) Hoc igitur studium te non amare ferunt, sed eloquentiæ disciplinam permagni facere, qua utimur et in quotidianæ vitæ negotiis et quum de republicæ deliberamus. Per quam nunc de futuris rebus prudenter constituere videris; et non insipienter, quid singulos qui parent facere deceat, præcipere, et de rebus honestis et justis harumque contrariis recte judicare scies; præterea sic vel pœnis vel præmiis afficere utrosque, ut mereantur. (5) Sapienter igitur nunc agis qui talibus studiis occuperis. Spem enim et patri et reliquis amicis affers, ubi ætate processeris et in his actionibus perseveraris, fore ut reliquos tantum sapientia anteeas, quantum pater tuus omnibus antecellit.

ς.

ΤΟΙΣ ΙΑΣΟΝΟΣ ΠΑΙΣΙΝ.

Ἀπήγγειλέ τίς μοι τῶν πρεσβευσάντων ὡς ὑμᾶς, ὅτι καλέσαντες αὐτὸν ἄνευ τῶν ἄλλων ἐρωτήσαιτ' εἰ 418 πεισθείην ἂν ἀποδημῆσαι καὶ διατρῖψαι παρ' ὑμῖν. a Ἐγὼ δ' ἕνεκα μὲν τῆς Ἰάσονος καὶ Πολυαλκοῦς ξενίας ἡδέως ἂν ἀφικοίμην ὡς ὑμᾶς· οἶμαι γὰρ ἂν τὴν ὁμιλίαν τὴν γενομένην ἅπασιν ἡμῖν συνενεγκεῖν· (2) ἀλλὰ γὰρ ἐμποδίζει με πολλά, μάλιστα μὲν τὸ μὴ δύνασθαι πλανᾶσθαι καὶ τὸ μὴ πρέπειν ἐπιξενοῦσθαι τοῖς τηλικούτοις, ἔπειθ' ὅτι πάντες οἱ πυθόμενοι τὴν ἀποδημίαν δικαίως ἄν μου καταφρονήσειαν, εἰ προῃρημένος τὸν b ἄλλον χρόνον ἡσυχίαν ἄγειν ἐπὶ γήρως ἀποδημεῖν ἐπιχειροίην, ὅτ' εἰκὸς ἦν, εἰ καὶ πρότερον ἄλλοθί που διέτριβον, νῦν οἴκαδε σπεύδειν, οὕτως ὑπογυίου μοι τῆς τελευτῆς οὔσης. (3) Πρὸς δὲ τούτοις φοβοῦμαι καὶ τὴν πόλιν· χρὴ γὰρ τἀληθῆ λέγειν. Ὁρῶ γὰρ τὰς συμμαχίας τὰς πρὸς αὐτὴν γιγνομένας ταχέως διαλυομένας. Εἰ δή τι συμβαίη καὶ πρὸς ὑμᾶς τοιοῦτον, εἰ

6.

IASONIS LIBERIS.

Renunciavit mihi quidam legatorum qui ad vos missi sunt, se a vobis sevocatum ac seorsum a ceteris interrogatum esse, an persuaderi mihi possit, ut peregre profectus vestra familiaritate utar. Ego vero propter Iasonis et Polyalcis hospitium libenter ad vos venirem: eum enim congressum posse nobis omnibus prodesse scio: (2) sed multa me impediunt, atque illud inprimis, quod et itineris labores ferre nequeo et tam grandi ætate peregre vivere indecorum est; deinde, quod omnes audita ea peregrinatione jure me contemnerent, qui reliquo vitæ meæ tempore otium amplexus, in senectute demum peregrinari instituerem, quum deceret, etiamsi prius alibi vixissem, nunc domum festinare, postquam ab obitu tam prope absum. (3) Ad hæc (vera enim dicenda sunt) etiam civitatem meam formido, qui initas cum ea societates celeriter solere dirimi videam. Quodsi et vestris in rebus tale aliquid accidisset, etiamsi

καὶ τὰς αἰτίας καὶ τοὺς κινδύνους διαφυγεῖν δυνηθείην, c ὃ χαλεπόν ἐστιν, ἀλλ' οὖν αἰσχυνθείην ἄν, εἴ τε διὰ τὴν πόλιν δόξαιμί τισιν ἀμελεῖν ὑμῶν, εἴ τε δι' ὑμᾶς τῆς πόλεως ὀλιγωρεῖν. Μὴ κοινοῦ δὲ τοῦ συμφέροντος ὄντος, οὐκ οἶδ' ὅπως ἂν ἀμφοτέροις ἀρέσκειν δυνηθείην. Αἱ μὲν οὖν αἰτίαι, δι' ἃς οὐκ ἔξεστί μοι ποιεῖν ἃ βούλομαι, τοιαῦται συμβεβήκασιν.

4. Οὐ μὴν περὶ τῶν ἐμαυτοῦ μόνον ἐπιστείλας οἴομαι δεῖν ἀμελῆσαι τῶν ὑμετέρων, ἀλλ' ἅπερ ἂν παραγενόμενος πρὸς ὑμᾶς διελέχθην, πειράσομαι καὶ νῦν d περὶ τῶν αὐτῶν τούτων ὅπως ἂν δύνωμαι διεξελθεῖν. Μηδὲν δ' ὑπολάβητε τοιοῦτον, ὡς ἄρ' ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολὴν οὐχ ἕνεκα τῆς ὑμετέρας ξενίας, ἀλλ' ἐπίδειξιν ποιήσασθαι βουλόμενος. Οὐ γὰρ εἰς τοῦθ' ἥκω μανίας ὥστ' ἀγνοεῖν ὅτι κρείττω μὲν γράψαι τῶν πρότερον διαδεδομένων οὐκ ἂν δυναίμην, τοσοῦτον τῆς ἀκμῆς ὑστερῶν, χείρω δ' ἐξενεγκὼν πολὺ φαυλοτέ- e ραν ἂν λάβοιμι δόξαν τῆς νῦν ἡμῖν ὑπαρχούσης. (5) Ἔπειτ' εἴ περ ἐπιδείξει προσεῖχον τὸν νοῦν, ἀλλὰ μὴ πρὸς ὑμᾶς ἐσπούδαζον, οὐκ ἂν ταύτην ἐξ ἁπασῶν προειλόμην τὴν ὑπόθεσιν, περὶ ἧς χαλεπόν ἐστιν ἐπιεικῶς εἰπεῖν, ἀλλὰ πολὺ καλλίους ἑτέρας ἂν εὗρον καὶ μᾶλλον 419 λόγον ἐχούσας. Ἀλλὰ γὰρ οὔτε πρότερον οὐδεπώποτ' a ἐφιλοτιμήθην ἐπὶ τούτοις, ἀλλ' ἐφ' ἑτέροις μᾶλλον ἃ τοὺς πολλοὺς διαλέληθεν, οὔτε νῦν ἔχων ταύτην τὴν διάνοιαν ἐπραγματευσάμην, (6) ἀλλ' ὑμᾶς μὲν ὁρῶν ἐν πολλοῖς καὶ μεγάλοις πράγμασιν ὄντας, αὐτὸς δ' ἀποφήνασθαι βουλόμενος ἣν ἔχω γνώμην περὶ αὐτῶν. Ἡγοῦμαι δὲ συμβουλεύειν μὲν ἀκμὴν ἔχειν (αἱ γὰρ ἐμπειρίαι παιδεύουσι τοὺς τηλικούτους, καὶ ποιοῦσι μᾶλλον b τῶν ἄλλων δύνασθαι καθορᾶν τὸ βέλτιστον), εἰπεῖν δὲ περὶ τῶν προτεθέντων ἐπιχαρίτως καὶ μουσικῶς καὶ διαπεπονημένως οὐκέτι τῆς ἡμετέρας ἡλικίας ἐστίν, ἀλλ' ἀγαπῴην ἂν εἰ μὴ παντάπασιν ἐκλελυμένως διαλεχθείην περὶ αὐτῶν.

7. Μὴ θαυμάζετε δ', ἄν τι φαίνωμαι λέγων ὧν πρότερον ἀκηκόατε· τῷ μὲν γὰρ ἴσως ἄκων ἂν ἐντύχοιμι, τὸ δὲ καὶ προειδώς, εἰ πρέπον εἰς τὸν λόγον εἴη, λάβοιμι· καὶ γὰρ ἂν ἄτοπος εἴην, εἰ τοὺς ἄλλους ὁρῶν c τοῖς ἐμοῖς χρωμένους αὐτὸς μόνος ἀπεχοίμην τῶν ὑπ' ἐμοῦ πρότερον εἰρημένων. Τούτου δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι τὸ πρῶτον ἐπιφερόμενον ἓν τῶν τεθρυλημένων ἐστίν. (8) Εἴθισμαι γὰρ λέγειν πρὸς τοὺς περὶ τὴν φιλοσοφίαν τὴν ἡμετέραν διατρίβοντας ὅτι τοῦτο πρῶτον δεῖ σκέψασθαι, τί τῷ λόγῳ καὶ τοῖς τοῦ λόγου μέρεσι διαπρακτέον ἐστίν· ἐπειδὰν δὲ τοῦθ' εὕρωμεν καὶ διακριβωσώμεθα, ζητητέον εἶναί φημι τὰς ἰδέας, d δι' ὧν ταῦτ' ἐξεργασθήσεται καὶ λήψεται τέλος ὅπερ ὑπεθέμεθα. Καὶ ταῦτα φράζω μὲν ἐπὶ τῶν λόγων, ἔστι δὲ τοῦτο στοιχεῖον καὶ κατὰ τῶν ἄλλων ἁπάντων καὶ κατὰ τῶν ὑμετέρων πραγμάτων. (9) Οὐδὲν γὰρ οἷόν τ' ἐστὶ πραχθῆναι νοῦν ἐχόντως, ἂν μὴ τοῦτο πρῶτον μετὰ πολλῆς προνοίας λογίσησθε καὶ βουλεύσησθε, πῶς χρὴ τὸν ἐπίλοιπον χρόνον ὑμῶν αὐτῶν e

crimina et pericula effugere possem (id quod difficile admodum est), at me puderet, sive aliqui putarent vos a me propter meam civitatem negligi, sive propter vos patriæ rationem non haberi. Quum autem non communis sit utilitas, quomodo utrisque gratificari queam, non video. Causæ igitur, propter quas ea quæ vellem mihi facere non licet, tales inciderunt.

4. Neque tamen decere existimo ut de meis tantum rebus scribens res vestras negligam: sed quæ istic coram disseruissem, hæc eadem nunc, ita ut potero, explicare conabor. Neque vero putetis hanc epistolam ostentationis a me causa potius scriptam esse, quam hospitii vestri. Non enim ita insanio, ut ignorem me hac affecta ætate meliora iis quæ prius edita sunt, scribere nequaquam posse; sin deteriora protulero, fore ut gloria mea non parum minuatur. (5) Deinde si ostentationi ingenii servire magis quam serio vobiscum agere studerem, non hoc argumentum ex omnibus delegissem, de quo haud difficile est apte disserere, sed alia longe pulchriora et uberiora reperissem. Sed neque hactenus unquam his de rebus laudibus efferri volui, sed ob alia potius, quæ plerique ignorant, neque nunc eo animo laborem hunc cepi; (6) sed quum vos multis arduis negotiis implicatos esse viderem, quæ mea sit de illis sententia, declarare volui. Ac dandi quidem consilii facultatem ætati meæ adesse censeo (nam experientia et rerum multarum usus senes erudit atque efficit ut quid expediat, acutius quam alii perspicere possint;) de propositis autem rebus suaviter et concinne atque elaborate dicere non jam nostræ ætatis munus est; sed hoc mihi suffecerit, si meam sententiam non dissolute prorsus exposuero.

7. Neque vero miremini, si quid dicere videbor, quod prius audivistis. Nam eorum quædam fortassis etiam invito in mentem venient; quædam, quod instituto meo esse idonea scio, assumam. Ineptus enim essem, quum alios videam dicta mea mutuari, si ego solus his quæ prius ipse dixi, abstinerem. Hæc propterea præfatus sum, quod id quod primum occurrit, unum ex pervulgatis est. (8) Soleo enim nostræ disciplinæ sectatoribus dicere ante omnia esse considerandum, quidnam oratione et partibus orationis efficiendum sit: quod ubi invenerimus et accurate confecerimus, rationes et ornamenta quærenda esse dico, quibus argumentum expoliatur, et finem eum qui nobis propositus fuerat consequatur. Et hæc de orationibus dico; est autem idem et aliarum rerum omnium et vestræ deliberationis fundamentum. (9) Non enim fieri potest ut quicquam prudenter agatur, nisi hoc primum singulari sapientia cogitaveritis et constitueritis, quales vos in posterum præbere velitis, et quomodo vitam vestram instituere, qualemque au-

προστῆναι καὶ τίνα βίον προελέσθαι καὶ ποίας δόξης ὀριγνηθῆναι καὶ ποτέρας τῶν τιμῶν ἀγαπῆσαι, τὰς παρ' ἑκόντων γιγνομένας ἢ τὰς παρ' ἀκόντων τῶν πολιτῶν· ταῦτα δὲ διορισαμένους, τότ' ἤδη τὰς πράξεις 420 τὰς καθ' ἑκάστην τὴν ἡμέραν σκεπτέον, ὅπως συντενοῦσι a πρὸς τὰς ὑποθέσεις τὰς ἐξ ἀρχῆς γενομένας. (10) Καὶ τοῦτον μὲν τὸν τρόπον ζητοῦντες ὥσπερ σκοποῦ κειμένου στοχάσεσθε τῇ ψυχῇ, καὶ μᾶλλον ἐπιτεύξεσθε τοῦ συμφέροντος· ἐὰν δὲ μηδεμίαν ποιήσησθε τοιαύτην ὑπόθεσιν, ἀλλὰ τὸ προσπῖπτον ἐπιχειρῆτε πράττειν, ἀναγκαῖόν ἐστιν ὑμᾶς ταῖς διανοίαις πλανᾶσθαι καὶ πολλῶν διαμαρτάνειν πραγμάτων.

11. Ἴσως ἂν οὖν τις τῶν εἰκῇ ζῆν προῃρημένων τοὺς b μὲν τοιούτους λογισμοὺς διασύρειν ἐπιχειρήσειεν, ἀξιώσειε δ' ἂν ἤδη με συμβουλεύειν περὶ τῶν προειρημένων. Ἔστιν οὖν οὐκ ὀκνητέον ἀποφήνασθαι περὶ αὐτῶν ἃ τυγχάνω γιγνώσκων. Ἐμοὶ γὰρ αἱρετώτερος ὁ βίος εἶναι δοκεῖ καὶ βελτίων ὁ τῶν ἰδιωτευόντων ἢ τῶν τυραννούντων, καὶ τὰς τιμὰς ἡδίους ἡγοῦμαι τὰς ἐν ταῖς πολιτείαις ἢ τὰς ἐν ταῖς μοναρχίαις· καὶ περὶ τούτων λέγειν ἐπιχειρήσω. (12) Καίτοι μ' οὐ λέληθεν c ὅτι πολλοὺς ἕξω τοὺς ἐναντιουμένους, καὶ μάλιστα τοὺς περὶ ὑμᾶς ὄντας. Οἶμαι γὰρ οὐχ ἥκιστα τούτους ἐπὶ τὴν τυραννίδα παροξύνειν ὑμᾶς· σκοποῦσι γὰρ οὐ πανταχῇ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ πολλὰ παραλογίζονται σφᾶς αὐτούς. Τὰς μὲν γὰρ ἐξουσίας καὶ τὰ κέρδη καὶ τὰς ἡδονὰς ὁρῶσι, καὶ τούτων ἀπολαύσεσθαι προσδοκῶσι, τὰς δὲ ταραχὰς καὶ τὰς συμφορὰς τὰς τοῖς ἄρχουσι συμπιπτούσας καὶ τοῖς φίλοις αὐτῶν d οὐ θεωροῦσιν, ἀλλὰ πεπόνθασιν ὅπερ οἱ τοῖς αἰσχίστοις καὶ παρανομωτάτοις τῶν ἔργων ἐπιχειροῦντες· (13) καὶ γὰρ ἐκεῖνοι τὰς μὲν πονηρίας τὰς τῶν πραγμάτων οὐκ ἀγνοοῦσιν, ἐλπίζουσι δ', ὅσον μὲν ἀγαθόν ἐστιν ἐν αὐτοῖς, τοῦτο μὲν ἐκλήψεσθαι, τὰ δὲ δεινὰ πάντα τὰ προσόντα τῷ πράγματι καὶ τὰ κακὰ διαφεύξεσθαι, καὶ διοικήσειν τὰ περὶ σφᾶς αὐτοὺς οὕτως ὥστε τῶν μὲν κινδύνων εἶναι πόρρω, τῶν δ' ὠφελειῶν ἐγγύς. (14) Τοὺς μὲν οὖν ταύτην ἔχοντας τὴν διάνοιαν ζηλῶ τῆς e ῥᾳθυμίας, αὐτὸς δ' αἰσχυνθείην ἂν εἰ συμβουλεύων ἑτέροις ἐκείνων ἀμελήσας τὸ ἐμαυτῷ συμφέρον ποιοίην, καὶ μὴ παντάπασιν ἔξω θεὶς ἐμαυτὸν καὶ τῶν ὠφελειῶν 421 καὶ τῶν ἄλλων ἁπάντων τὰ βέλτιστα παραινοίην. Ὡς οὖν ἐμοῦ ταύτην ἔχοντος τὴν γνώμην, οὕτως ἐμοὶ προσέχετε τὸν νοῦν.

ctoritatem expetere et utrum honorem sequi, eumne quem cives ipsi ultro deferunt, an qui ab iisdem invitis extorquetur. His jam definitis tum jam singulæ actiones, quæ in dies incidunt, considerandæ sunt, et efficiendum ut ad eum finem, qui initio propositus fuit, referantur. (10) Quodsi hoc modo quæretis, animo quod utile sit, tanquam meta proposita, invenietis, idque magis assequemini: sin nullum tale fundamentum jacietis, sed id quod fortuito incidet, agetis, necesse est ut animis vestris erretis et multis rebus frustremini.

11. Fortassis autem eorum aliquis qui temere vitam instituerunt, has rationes perstringere conabitur, et ut certi aliquid de proposita quæstione dicam, postulabit. Non igitur, quid tota de re sentiam, dissimulandum est. Mihi enim præstabilior esse videtur et melior privatorum hominum quam tyrannorum vita, et jucundiores honores esse in republica quam in regno. Ac de hisce disserere aggrediar. (12) Quanquam scio fore multos qui mihi adversentur et familiares vestros inprimis. Hos enim vos magnopere ad retinendam stabiliendamque tyrannidem incitare opinor: non enim rei naturam universæ nec ab omni parte intuentur, sed hallucinantur et in errores ipsi se conjiciunt. Auctoritatem illi quidem et emolumenta et voluptates vident, iisque se frui posse sperant, sed turbas et clades principibus objici solitas illorumque amicis non perspiciunt, idemque illis evenit, quod his qui turpissima et maxime nefaria facinora moliuntur: (13) qui etsi rerum pravitatem non ignorant, tamen id commodi quod illis inest, excerpturos se sperant periculis et malis omnibus quæ cum iis rebus conjungi solent, evitatis, eamque de se rationem inituros, ut et a discrimine omni sint remotissimi et utilitatibus proximi. (14) Si qui igitur ita sentiunt, illos ego sua socordia beatos esse facile patior: me vero puderet aliis suadentem illis neglectis meum compendium spectare, nec repudiatis et commodis et ceteris rebus omnibus, ut a me alienis, utilissima præcipere. Mihi igitur sic auscultetis velim, ut me hoc esse animo non dubitetis. [*Multa desunt.*]

Ζ.

ΤΙΜΟΘΕῼ.

Περὶ μὲν τῆς οἰκειότητος τῆς ὑπαρχούσης ἡμῖν πρὸς ἀλλήλους οἶμαί σε πολλῶν ἀκηκοέναι, συγχαίρω δέ σοι πυνθανόμενος πρῶτον μὲν ὅτι τῇ δυναστείᾳ τῇ παρούσῃ κάλλιον χρῇ τοῦ πατρὸς καὶ φρονιμώτερον, ἔπειθ' ὅτι προαιρεῖ δόξαν καλὴν κτήσασθαι μᾶλλον ἢ πλοῦτον μέγαν συναγαγεῖν. Σημεῖον γὰρ οὐ μικρὸν ἐκφέρεις ἀρετῆς, ἀλλ' ὡς δυνατὸν μέγιστον, ταύτην

7.

TIMOTHEO.

Qua necessitudine inter nos conjuncti simus, ex multis te audivisse arbitror. Gratulor autem tibi primum, quod ista potestate rectius uteris quam pater, ac prudentius: deinde quod honestam famam parandi, quam magnas divitias coacervandi es studiosior. Non enim parvum signum virtutis ostendis, sed quam fieri potest maximum, qui

ἔχων τὴν γνώμην· ὥστ' ἢν ἐμμείνῃς τοῖς περὶ σοῦ νῦν λεγομένοις, οὐκ ἀπορήσεις τῶν ἐγκωμιασομένων τήν τε φρόνησιν τὴν σὴν καὶ τὴν προαίρεσιν ταύτην. (2) Ἡγοῦμαι δὲ καὶ τὰ διηγγελμένα περὶ τοῦ πατρός σου συμβάλλεσθαι μεγάλην πίστιν πρὸς τὸ δοκεῖν εὖ φρονεῖν σε καὶ διαφέρειν τῶν ἄλλων· εἰώθασι γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων οὐχ οὕτως ἐπαινεῖν καὶ τιμᾶν τοὺς ἐκ τῶν πατέρων τῶν εὐδοκιμούντων γεγονότας, ὡς τοὺς ἐκ τῶν δυσκόλων καὶ χαλεπῶν, ἤν περ φαίνωνται μηδὲν ὅμοιοι τοῖς γονεῦσιν ὄντες. Μᾶλλον γὰρ ἐπὶ πάντων κεχαρισμένον αὐτοῖς ἐστι τὸ παρὰ λόγον συμβαῖνον ἀγαθὸν τῶν εἰκότως καὶ προσηκόντως γιγνομένων.

3. Ὧν ἐνθυμούμενον χρὴ ζητεῖν καὶ φιλοσοφεῖν, ἐξ ὅτου τρόπου καὶ μετὰ τίνων καὶ τίσι συμβούλοις χρώμενος τάς τε τῆς πόλεως ἀτυχίας ἐπανορθώσεις, καὶ τοὺς πολίτας ἐπί τε τὰς ἐργασίας καὶ τὴν σωφροσύνην
422 προτρέψεις, καὶ ποιήσεις αὐτοὺς ἥδιον ζῆν καὶ θαρραλεώτερον ἢ τὸν παρελθόντα χρόνον. a Ταῦτα γάρ ἐστιν ἔργα τῶν ὀρθῶς καὶ φρονίμως τυραννευόντων. (4) Ὧν ἔνιοι καταφρονήσαντες οὐδὲν ἄλλο σκοποῦσι πλὴν ὅπως αὐτοί θ' ὡς μετὰ πλείστης ἀσελγείας τὸν βίον διάξουσι, τῶν τε πολιτῶν τοὺς βελτίστους καὶ πλουσιωτάτους καὶ φρονιμωτάτους λυμανοῦνται καὶ δασμολογήσουσι, κακῶς εἰδότες ὅτι προσήκει τοὺς εὖ φρονοῦντας καὶ τὴν τιμὴν ταύτην ἔχοντας μὴ τοῖς τῶν b ἄλλων κακοῖς αὐτοῖς ἡδονὰς παρασκευάζειν, ἀλλὰ ταῖς αὑτῶν ἐπιμελείαις τοὺς πολίτας εὐδαιμονεστέρους ποιεῖν, (5) μηδὲ πικρῶς μὲν καὶ χαλεπῶς διακεῖσθαι πρὸς ἅπαντας, ἀμελεῖν δὲ τῆς αὑτῶν σωτηρίας, ἀλλ' οὕτω μὲν πράως καὶ νομίμως ἐπιστατεῖν τῶν πραγμάτων, ὥστε μηδένα τολμᾶν αὐτοῖς ἐπιβουλεύειν, μετὰ τοσαύτης δ' ἀκριβείας τὴν τοῦ σώματος ποιεῖσθαι φυλακήν, ὡς ἁπάντων αὐτοὺς ἀνελεῖν βουλομένων. Ταύτην γὰρ c τὴν διάνοιαν ἔχοντες αὐτοί τ' ἂν ἔξω τῶν κινδύνων εἶεν καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμοῖεν· ὧν ἀγαθὰ μείζω χαλεπὸν εὑρεῖν ἐστιν. (6) Ἐνεθυμήθην δὲ μεταξὺ γράφων, ὡς εὐτυχῶς ἅπαντά σοι συμβέβηκε. Τὴν μὲν γὰρ εὐπορίαν, ἣν ἀναγκαῖον ἦν κτήσασθαι τυραννικῶς μετὰ βίας καὶ πολλῆς ἀπεχθείας, ὁ πατήρ σοι καταλέλοιπε, τὸ δὲ χρῆσθαι τούτοις καλῶς καὶ φιλανθρώπως ἐπὶ σοὶ γέγονεν· ὧν χρή σε πολλὴν ποιεῖσθαι τὴν ἐπι- d μέλειαν.

7. Ἃ μὲν οὖν ἐγὼ γιγνώσκω, ταῦτ' ἐστίν· ἔχει δ' οὕτως. Εἰ μὲν ἐρᾷς χρημάτων καὶ μείζονος δυναστείας καὶ κινδύνων, δι' ὧν αἱ κτήσεις τούτων εἰσίν, ἑτέρους σοι συμβούλους παρακλητέον· εἰ δὲ ταῦτα μὲν ἱκανῶς ἔχεις, ἀρετῆς δὲ καὶ δόξης καλῆς καὶ τῆς παρὰ τῶν πολλῶν εὐνοίας ἐπιθυμεῖς, τοῖς τε λόγοις τοῖς ἐμοῖς προσεκτέον τὸν νοῦν ἐστι, καὶ τοῖς καλῶς τὰς πόλεις e τὰς αὑτῶν διοικοῦσιν ἁμιλλητέον, καὶ πειρατέον αὐτῶν διενεγκεῖν. (8) Ἀκούω δὲ Κλέομμιν τὸν ἐν Μηθύμνῃ ταύτην ἔχοντα τὴν δυναστείαν περί τε τὰς ἄλλας πράξεις καλὸν κἀγαθὸν εἶναι καὶ φρόνιμον, καὶ τοσοῦτον

tali animo sis præditus. Quare si, ut cœpisti, passimque de te nunc prædicatur, perrexeris, non defuturi sunt qui et sapientiam tuam et institutum istud laudibus illustrent. (2) Arbitror autem etiam ea quæ de patre tuo dicuntur, momenti multum ad hoc esse allatura, ut sapere aliisque præstare videaris. Solent enim plerique non ita commendare et venerari laudatis patribus natos, ut eos qui patrum sævitiam et immanitatem nulla ex parte imitantur. Quicquid enim boni mortalibus præter exspectationem offertur, id omnibus in rebus longe gratius est quam ea quæ usitata et legitima ratione contingunt.

3. His igitur consideratis quærendum tibi et sollicite cogitandum est, quibus modis et quorum opera quorumque consiliis tum urbis calamitates emendes, tum cives ad officium et modestiam cohorteris, atque efficias ut et suavius et securius ævum exigant, quam superiori tempore. Nam hæc officia sunt bonorum et cordatorum principum. (4) Quibus nonnulli contemptis in id unum intenti sunt, ut in summa licentia vitam transigant optimosque et opulentissimos et prudentissimos civium injuriis afficiant et tributa ab iis exigant. Ignorant illi nimirum, decere viros prudentes in hoc honorum et dignitatis fastigio collocatos non ex aliorum miseriis suas parare voluptates, sed sua sollicitudine et laboribus civium felicitatem augere, (5) neque acerbitatem et sævitiam in omnes exercere suamque ipsorum salutem negligere, sed imperium ea clementia et æquitate administrare, ut nemo eis audeat insidiari, et non minore vitam suam diligentia munire, quam si omnes in ipsorum exitium conspirassent. Hoc enim animo si agant, fiet ut et ipsi extra periculum sint, et apud ceteros gloria floreant. Quibus majora bona invenire difficile est. (6) Inter scribendum autem in mentem mihi venit secundissima tibi omnia accidisse. Opum enim abundantiam, quam necesse erat regio modo vi multisque inimicitiis susceptis comparare, pater tibi reliquit: his vero bene et humaniter uti, in tua manu est; et in eo te summo studio elaborare decet.

7. Quæ igitur mihi consulta videantur, hæc sunt. Sic autem se res habet: si pecunias majoremque potentiam et pericula, sine quibus hæc parari nequeunt, adamas, alii tibi in consilium adhibendi erunt; sin tibi harum rerum abunde est, virtutis vero et honestæ famæ ac popularis benevolentiæ desiderio teneris, et orationi meæ obtemperandum erit et cum illis certandum, qui præclare suas urbes administrant, et tentandum etiam ut eos superes. (8) Nam Cleommin audio, qui Methymnæ dominatur, quum in aliis actionibus viri boni et probi et prudentis fungi officio, tum

ἀπέχειν τοῦ τῶν πολιτῶν τινας ἀποκτείνειν ἢ φυγα-
423 δεύειν ἢ δημεύειν τὰς οὐσίας ἢ ποιεῖν ἄλλο τι κακόν, a
ὥστε πολλὴν μὲν ἀσφάλειαν παρέχειν τοῖς συμπολιτευομένοις, κατάγειν δὲ τοὺς φεύγοντας, (9) ἀποδιδόναι δὲ τοῖς μὲν κατιοῦσι τὰς κτήσεις ἐξ ὧν ἐξέπεσον, τοῖς δὲ πριαμένοις τὰς τιμὰς τὰς ἑκάστοις γιγνομένας, πρὸς δὲ τούτοις καθοπλίζειν ἅπαντας τοὺς πολίτας, ὡς οὐδενὸς μὲν ἐπιχειρήσοντος περὶ αὐτὸν νεωτερίζειν· ἢν δ' ἄρα τινὲς τολμήσωσιν, ἡγούμενος λυσιτελεῖν αὐτῷ τε-
θνάναι τοιαύτην ἀρετὴν ἐνδειξαμένῳ τοῖς πολίταις μᾶλλον b
ἢ ζῆν πλείω χρόνον τῇ πόλει τῶν μεγίστων κακῶν αἰτίῳ γενομένῳ.

10. Ἔτι δ' ἂν πλείω σοι περὶ τούτων διελέχθην, ἴσως δ' ἂν καὶ χαριέστερον, εἰ μὴ παντάπασιν ἔδει με διὰ ταχέων γράψαι σοι τὴν ἐπιστολήν. Νῦν δὲ σοὶ μὲν αὖθις συμβουλεύσομεν, ἐὰν μὴ κωλύσῃ με τὸ γῆρας, ἐν δὲ τῷ παρόντι περὶ τῶν ἰδίων δηλώσομεν. Αὐ-
τοκράτωρ γὰρ ὁ τὰ γράμματα φέρων οἰκείως ἡμῖν ἔχει· c
(11) περί τε γὰρ τὰς διατριβὰς τὰς αὐτὰς γεγόναμεν καὶ τῇ τέχνῃ πολλάκις αὐτοῦ κέχρημαι, καὶ τὸ τελευταῖον περὶ τῆς ἀποδημίας τῆς ὡς σὲ σύμβουλος ἐγενόμην αὐτῷ. Διὰ δὴ ταῦτα πάντα βουλοίμην ἂν σε καλῶς αὐτῷ χρήσασθαι καὶ συμφερόντως ἀμφοτέροις ὑμῖν, καὶ γενέσθαι φανερὸν ὅτι μέρος τι καὶ δι' ἐμὲ γίγνεται τῶν δεόντων αὐτῷ.

12. Καὶ μὴ θαυμάσῃς, εἰ σοὶ μὲν οὕτως ἐπιστέλλω
προθύμως, Κλεάρχου δὲ μηδὲν πώποτ' ἐδεήθην. Σχε- d
δὸν γὰρ ἅπαντες οἱ παρ' ὑμῶν καταπλέοντες σὲ μὲν ὅμοιόν φασιν εἶναι τοῖς βελτίστοις τῶν ἐμοὶ πεπλησιακότων, Κλέαρχον δὲ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον, ὅτ' ἦν παρ' ἡμῖν, ὡμολόγουν, ὅσοι περ ἐνέτυχον, ἐλευθεριώτατον εἶναι καὶ πρᾳότατον καὶ φιλανθρωπότατον τῶν μετεχόντων τῆς διατριβῆς· ἐπειδὴ δὲ δύναμιν
ἔλαβε, τοσοῦτον ἔδοξε μεταπεσεῖν, ὥστε πάντας θαυ- e
μάζειν τοὺς πρότερον αὐτὸν γιγνώσκοντας. (13) Πρὸς μὲν οὖν ἐκεῖνον διὰ ταύτας τὰς αἰτίας ἀπηλλοτριώθην· σὲ δ' ἀποδέχομαι καὶ πρὸ πολλοῦ ποιησαίμην ἂν οἰκείως διατεθῆναι πρὸς ἡμᾶς. Δηλώσεις δὲ καὶ σὺ διὰ ταχέων, εἰ τὴν αὐτὴν γνώμην ἔχεις ἡμῖν· Αὐ-
424 τοκράτορός τε γὰρ ἐπιμελήσει καὶ πέμψεις ἐπιστολὴν a
ὡς ἡμᾶς, ἀνανεούμενος τὴν φιλίαν καὶ ξενίαν τὴν πρότερον ὑπάρχουσαν. Ἔρρωσο, κἂν του δέῃ τῶν παρ' ἡμῶν, ἐπίστελλε.

tantum abesse ut civium quosquam occidat aut in exilium agat aut proscribat aut alia ulla clade afficiat, ut cives ejus in summa securitate degant, ut patria pulsos ab exilio revocet, (9) ut restitutis possessiones unde exciderunt reddat, his vero qui eas emerant, tantum pro eis numeret, quanti emerunt, neque his contentus, cives omnes armis instruat et exornet, nihil metuens ne qui novarum rerum studiosi insidias ipsi struant. Quodsi qui audeant, mortem oppetere satius esse ducit in tanta humanitate et benignitate erga cives, quam crudeliter in eosdem grassando, vitam ultra producere.

10. Plura de his et fortasse elegantius tecum disseruissem, nisi mihi hæ literæ cum magna festinatione scribendæ essent. Sed alias iterum tibi, nisi me senium prohibuerit, consilium dabimus : in præsentia vero de privatis rebus agemus. Autocrator enim, qui literas has tibi reddit, est mihi familiaris : (11) nam et in iisdem studiis versati sumus et ejus arte sæpe usus sum; denique vero illi auctor fui ad te proficiscendi. His omnibus de causis eum honorifice tractes velim, et ut nostrûm utrique expedit, ac præ te feras, quicquid officiorum in eum contuleris, aliqua ex parte mea quoque gratia fieri.

12. Neque mireris me tam expedite ad te scribere, qui a Clearcho nihil unquam petierim. Nam fere omnes qui istinc ad nos navigant, te similem esse dicunt præstantissimis eorum qui nobiscum una versati sunt; Clearchum vero, quo tempore apud nos fuit, fatebantur omnes qui eum unquam convenerant, liberalissimum esse et mansuetissimum et humanissimum inter omnes discipulos nostros : posteaquam autem principatum est adeptus, ita mutasse animum visus est, ut omnes qui eum prius norant, demirentur. (13) Ob has igitur causas factus ab eo sum alienior : te vero amo et probo ac vehementer velim te nos complecti familiariter. Sed et tu quamprimum ostendes, an idem tuus sit erga nos animus. Nam et Autocratorem commendatum habebis et epistolam ad nos mittes, qua vetus amicitia nostra et hospitium renovetur. Vale, et si quid aliud a nobis præstari tibi volueris, scribito.

8.

ΤΟΙΣ ΜΥΤΙΛΗΝΑΙΩΝ ΑΡΧΟΥΣΙΝ.

Οἱ παῖδες οἱ Ἀφαρέως, υἱιδεῖς δ' ἐμοί, παιδευθέντες
ὑπ' Ἀγήνορος τὰ περὶ τὴν μουσικήν, ἐδεήθησάν μου b
γράμματα πέμψαι πρὸς ὑμᾶς, ὅπως ἄν, ἐπειδὰν καὶ τῶν ἄλλων τινὰς καταγάγητε φυγάδων, καὶ τοῦτον καταδέξησθε καὶ τὸν πατέρα καὶ τοὺς ἀδελφούς. Λέγοντος δέ μου πρὸς αὐτοὺς ὅτι δέδοικα μὴ λίαν ἄτοπος εἶναι δόξω καὶ περίεργος, ζητῶν εὑρίσκεσθαι τηλικαῦτα τὸ μέγεθος παρ' ἀνδρῶν οἷς οὐδὲ πώποτε πρότερον οὔτε

8.

AD MYTILENÆORUM MAGISTRATUS.

Apharei liberi, mei nepotes, ab Agenore in musicis eruditi, me orarunt, ut vos per literas rogarem, ut, quando etiam alios nonnullos ab exilio revocastis, hunc quoque cum patre et fratribus restituatis. Quibus ego quum dicerem vereri me, ne nimis absurde et impudenter facere viderer, qui rem tantam a viris, cum quibus nunquam prius vel collocutus vel familiaritate conjunctus essem,

διελέχθην οὔτε συνήθης ἐγενόμην, ἀκούσαντες ταῦτα c πολὺ μᾶλλον ἐλιπάρουν. (2) Ὡς δ' οὐδὲν αὐτοῖς ἀπέβαινεν ὧν ἤλπιζον, ἅπασιν ἦσαν καταφανεῖς ἀηδῶς διακείμενοι καὶ χαλεπῶς φέροντες. Ὁρῶν δ' αὐτοὺς λυπουμένους μᾶλλον τοῦ προσήκοντος, τελευτῶν ὑπεσχόμην γράψειν τὴν ἐπιστολὴν καὶ πέμψειν ὑμῖν. Ὑπὲρ μὲν οὖν τοῦ μὴ δικαίως ἂν δοκεῖν μωρὸς εἶναι μηδ' ὀχληρὸς ταῦτ' ἔχω λέγειν.

3. Ἡγοῦμαι δὲ καλῶς ὑμᾶς βεβουλεῦσθαι καὶ διαλλαττομένους τοῖς πολίταις τοῖς ὑμετέροις, καὶ πειρω- d μένους τοὺς μὲν φεύγοντας ὀλίγους ποιεῖν τοὺς δὲ συμπολιτευομένους πολλούς, καὶ μιμουμένους τὰ περὶ τὴν στάσιν τὴν πόλιν τὴν ἡμετέραν. Μάλιστα δ' ἄν τις ὑμᾶς ἐπαινέσειεν, ὅτι τοῖς κατιοῦσιν ἀποδίδοτε τὴν οὐσίαν· ἐπιδείκνυσθε γὰρ καὶ ποιεῖτε πᾶσι φανερὸν ὡς οὐ τῶν κτημάτων ἐπιθυμήσαντες τῶν ἀλλοτρίων, ἀλλ' 425 ὑπὲρ τῆς πόλεως δείσαντες ἐποιήσασθε τὴν ἐκβολὴν a αὐτῶν. (4) Οὐ μὴν ἀλλ' εἰ καὶ μηδὲν ὑμῖν ἔδοξε τούτων μηδὲ προσεδέχεσθε μηδένα τῶν φυγάδων, τούτους γε νομίζω συμφέρειν ὑμῖν κατάγειν. Αἰσχρὸν γὰρ τὴν μὲν πόλιν ὑμῶν ὑπὸ πάντων ὁμολογεῖσθαι μουσικωτάτην εἶναι καὶ τοὺς ὀνομαστοτάτους ἐν αὐτῇ παρ' ὑμῖν τυγχάνειν γεγονότας, τὸν δὲ προέχοντα τῶν νῦν ὄντων περὶ τὴν ἱστορίαν τῆς παιδείας ταύτης φεύγειν ἐκ τῆς τοιαύτης πόλεως, καὶ τοὺς μὲν ἄλλους Ἕλληνας τοὺς b διαφέροντας περί τι τῶν καλῶν ἐπιτηδευμάτων, κἂν μηδὲν προσήκωσι, ποιεῖσθαι πολίτας, ὑμᾶς δὲ τοὺς εὐδοκιμοῦντάς τε παρὰ τοῖς ἄλλοις καὶ μετασχόντας τῆς αὐτῆς φύσεως περιορᾶν παρ' ἑτέροις μετοικοῦντας. (5) Θαυμάζω δ', ὅσαι τῶν πόλεων μειζόνων δωρεῶν ἀξιοῦσι τοὺς ἐν τοῖς γυμνικοῖς ἀγῶσι κατορθοῦντας μᾶλλον ἢ τοὺς τῇ φρονήσει καὶ τῇ φιλοπονίᾳ τι τῶν χρησίμων εὑρίσκοντας, καὶ μὴ συνορῶσιν ὅτι πεφύκασιν αἱ μὲν c περὶ τὴν ῥώμην καὶ τὸ τάχος δυνάμεις συναποθνήσκειν τοῖς σώμασιν, αἱ δ' ἐπιστῆμαι παραμένειν ἅπαντα τὸν χρόνον ὠφελοῦσαι τοὺς χρωμένους αὐταῖς. (6) Ὧν ἐνθυμουμένους χρὴ τοὺς νοῦν ἔχοντας περὶ πλείστου μὲν ποιεῖσθαι τοὺς καλῶς καὶ δικαίως τῆς αὑτῶν πόλεως ἐπιστατοῦντας, δευτέρους δὲ τοὺς τιμὴν καὶ δόξαν αὐτῇ καλὴν συμβαλέσθαι δυναμένους· ἅπαντες γὰρ ὥσπερ δείγματι τοῖς τοιούτοις χρώμενοι, καὶ τοὺς d ἄλλους τοὺς συμπολιτευομένους ὁμοίους εἶναι τούτοις νομίζουσιν.

7. Ἴσως οὖν εἴποι τις ἂν ὅτι προσήκει τοὺς εὑρέσθαι τι βουλομένους μὴ τὸ πρᾶγμα μόνον ἐπαινεῖν, ἀλλὰ καὶ σφᾶς αὐτοὺς ἐπιδεικνύναι δικαίως ἂν τυγχάνοντας περὶ ὧν ἂν ποιῶνται τοὺς λόγους. Ἔχει δ' οὕτως. Ἐγὼ τοῦ μὲν πολιτεύεσθαι καὶ ῥητορεύειν ἀπέστην· οὔτε γὰρ φωνὴν εἶχον ἱκανὴν οὔτε τόλμαν· οὐ μὴν παντάπασιν ἄχρηστος ἔφυν οὐδ' ἀδόκιμος· ἀλλὰ τοῖς τε e προῃρημένοις λέγειν ἀγαθόν τι περὶ ὑμῶν καὶ τῶν ἄλλων συμμάχων φανείην ἂν καὶ σύμβουλος καὶ συναγωνιστὴς γεγενημένος, αὐτός τε πλείους λόγους πεποιη- 426 μένος ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας τῆς τῶν a

impetrare studerem; hac excusatione audita rogando multo magis instare cœperunt. (2) Ubi vero spe sua prorsus frustrabantur, omnibus apparebat eos affici molestia et repulsam graviter ferre. Quum autem eos vehementius dolere viderem quam decebat, postremo pollicitus sum me hanc epistolam scripturum, et ad vos missurum esse. Atque hæc habeo quæ dicam, ne jure a vobis stultitiæ aut importunitatis accuser.

3. Arbitror autem vos prudenter fecisse, qui et cum civibus vestris in gratiam redieritis, et operam dederitis ut exulum numerus minuatur, civium major fiat, et in ista seditione urbis nostræ exemplum imitemini. Illud autem in primis laude dignum est, quod exulibus ereptas opes una cum patria restituitis. Ostenditis enim et omnibus declaratis vos non alienarum opum cupiditate impulsos, sed reipublicæ metuentes urbe eos ejecisse. (4) Verum, etiamsi nihil horum decrevissetis nec ullum exulem reciperetis, e re vestra tamen esse putarem, ut his, de quibus ego scribo, patriam redderetis. Quum enim inter omnes constet vestram urbem peritia musicæ omnibus antecellere et viros in ea arte celeberrimos apud vos esse natos, turpe fuerit eum qui cognitione hujus disciplinæ nostræ ætatis artifices superat, tali civitate exulare: et quum ceteri Græci eos qui aliquo honesto studio excellunt, quanquam prorsus alienos, civitate donare soleant, vos committere ut qui apud alios fama floreant et cives sint vestri, apud exteros inquilinos agant. (5) Demiror equidem eas civitates, quæ majora præmia victoribus in ludis gymnicis decernunt, quam his qui ingenii sollertia et industria sua vitæ aliquid utile repererunt, neque considerant robur et pedum celeritatem morte una cum corpore interire; artium autem eam esse naturam, ut perpetuo durent suique studiosos semper juvent. (6) Hæc prudentibus consideranda sunt, ut maximi faciant bonos et justos reipublicæ gubernatores; proximum honoris gradum iis tribuant, qui civitati ornamento et gloriæ esse possunt. Omnes enim in hæc tanquam in specimen quoddam intuentes, reliquos etiam cives his viris similes esse judicant.

7. Fortassis autem dixerit aliquis, si qui beneficium petant, non rem ipsam tantum esse laudandam, sed ostendendum etiam ipsos non esse indignos ea re, de qua verba faciant. Sic autem hæc se res habet. Ego reipublicæ administratione et concionibus habendis abstinui, propterea quod et vox et audacia me deficiebat; non tamen omnino nullus mei usus aut nulla fuit auctoritas: sed me his qui vestræ ceterorumque sociorum dignitati ac commodis patrocinati sunt, et consiliarium et adjutorem fuisse comperietis; præterea sæpius verba feci de libertate et jure suo

Ἑλλήνων ἢ σύμπαντες οἱ τὰ βήματα κατατετριφότες. (8) Ὑπὲρ ὧν ὑμεῖς ἄν μοι δικαίως πλείστην ἔχοιτε χάριν· μάλιστα γὰρ ἐπιθυμοῦντες διατελεῖτε τῆς τοιαύτης καταστάσεως. Οἶμαι δ' ἂν εἰ Κόνων μὲν καὶ Τιμόθεος ἐτύγχανον ζῶντες, Διόφαντος δ' ἧκεν ἐκ τῆς Ἀσίας, πολλὴν ἂν αὐτοὺς ποιήσασθαι σπουδήν, εὑρέσθαι με βουλομένους ὧν τυγχάνω δεόμενος. Περὶ b ὧν οὐκ οἶδα τί δεῖ πλείω λέγειν· οὐδεὶς γὰρ ὑμῶν οὕτως ἐστὶ νέος οὐδ' ἐπιλήσμων, ὅστις οὐκ οἶδε τὰς ἐκείνων εὐεργεσίας.

9. Οὕτω δ' ἄν μοι δοκεῖτε κάλλιστα βουλεύσασθαι περὶ τούτων, εἰ σκέψεσθε τίς ἐστιν ὁ δεόμενος καὶ ὑπὲρ ποίων τινῶν ἀνθρώπων. Εὑρήσετε τοίνυν ἐμὲ μὲν οἰκειότατα κεχρημένον τοῖς μεγίστων ἀγαθῶν αἰτίοις γεγενημένοις ὑμῖν τε καὶ τοῖς ἄλλοις, ὑπὲρ ὧν δὲ δέομαι τοιούτους ὄντας, οἵους τοὺς μὲν πρεσβυτέρους καὶ τοὺς περὶ τὴν πολιτείαν ὄντας μὴ λυπεῖν, τοῖς δὲ νεωτέροις c διατριβὴν παρέχειν ἡδεῖαν καὶ χρησίμην καὶ πρέπουσαν τοῖς τηλικούτοις.

10. Μὴ θαυμάζετε δ' εἰ προθυμότερον καὶ διὰ μακροτέρων τῶν ἄλλων γέγραφα τὴν ἐπιστολήν· βούλομαι γὰρ ἀμφότερα, τοῖς τε παισὶν ἡμῶν χαρίσασθαι, καὶ ποιῆσαι φανερὸν αὐτοῖς ὅτι κἂν μὴ δημηγορῶσι μηδὲ στρατηγῶσιν, ἀλλὰ μόνον μιμῶνται τὸν τρόπον τὸν ἐμόν, οὐχ ἠμελημένως διάξουσιν ἐν τοῖς Ἕλλησιν. Ἓν ἔτι λοιπόν· d ἂν ἄρα δόξῃ τι τούτων ὑμῖν πράττειν, Ἀγήνορί τε δηλώσατε καὶ τοῖς ἀδελφοῖς, ὅτι μέρος τι καὶ δι' ἐμὲ τυγχάνουσιν ὧν ἐπεθύμουν.

Græcis restituendo, quam omnes isti qui suggestum crebris concionibus contriverunt. (8) Pro quibus vos mihi rebus merito maximam gratiam habueritis; nam semper hunc reipublicæ statum maxime desiderastis. Arbitror autem Cononem et Timotheum, si viverent, ac Diophantum, si ex Asia redisset, mea causa strenue fuisse laboraturos, qui vellent idem mihi a vobis tribui, quod a vobis peto. De quibus nescio quorsum attineat plura verba facere: nemo enim vestrûm ita vel adolescens vel obliviosus est, quin collata in vos ab illis beneficia noverit.

9. Sic autem de hoc negotio rectissime deliberaturi videmini, si consideretis, et quis sit is qui orat, et pro qualibus hominibus intercedat. Reperietis enim me conjunctissimum et amicissimum fuisse his qui vos et alios summis beneficiis affecerunt: eos vero pro quibus intercedo, ejus generis esse homines, qui nec senioribus et magistratu præditis molesti sint, et adolescentes in studiis jucundis et utilibus et huic ætati convenientibus exerceant.

10. Ne vero miremini si promptius et longiores ceteris ad vos literas dederim. Nam et filiis nostris obsequi et simul iis ostendere cupio, etiamsi rempublicam non attigerint neque exercitui præfuerint, sed mores tantum et institutum meum imitentur, fore tamen ut apud Græcos non contemnantur. Unum adhuc est reliquum, si precibus nostris locum dare vobis visum fuerit, ut Agenori et fratribus ejus significetis, eis mea quoque causa ex quadam parte ea tribui, quæ sibi tribui vehementer optant.

9.

ΑΡΧΙΔΑΜΩ.

Εἰδώς, ὦ Ἀρχίδαμε, πολλοὺς ὡρμημένους ἐγκωμιάζειν σὲ καὶ τὸν πατέρα καὶ τὸ γένος ὑμῶν, εἱλόμην τοῦτον μὲν τὸν λόγον, ἐπειδὴ λίαν ῥᾴδιος ἦν, ἐκείνοις παραλιπεῖν, αὐτὸς δέ σε διανοοῦμαι παρακαλεῖν ἐπὶ στρατηγίας καὶ στρατείας οὐδὲν ὁμοίας ταῖς νῦν ἐνεστηκυίαις, ἀλλ' ἐξ ὧν μεγάλων ἀγαθῶν αἴτιος γενήσει καὶ τῇ πόλει τῇ σαυτοῦ καὶ τοῖς Ἕλλησιν ἅπασι. (2) Ταύτην δ' ἐποιησάμην τὴν αἵρεσιν οὐκ ἀγνοῶν τὸν λόγον τὸν εὐμεταχειριστότερον, ἀλλ' ἀκριβῶς εἰδὼς ὅτι πράξεις μὲν εὑρεῖν καλὰς καὶ μεγάλας καὶ συμφερούσας χαλεπὸν καὶ σπάνιόν ἐστιν, ἐπαινέσαι δὲ τὰς ἀρετὰς τὰς ὑμετέρας ῥᾳδίως οἷόστ' ἂν ἐγενόμην. Οὐ γὰρ ἔδει με παρ' ἐμαυτοῦ πορίζεσθαι τὰ λεχθησόμενα περὶ αὐτῶν, ἀλλ' ἐκ τῶν ὑμῖν πεπραγμένων τοσαύτας ἂν καὶ τοιαύτας ἀφορμὰς ἔλαβον, ὥστε τὰς περὶ τῶν ἄλλων εὐλογίας μηδὲ κατὰ μικρὸν ἐναμίλλους γενέσθαι τῇ περὶ ὑμᾶς ῥηθείσῃ. (3) Πῶς γὰρ ἄν τις ἢ τὴν εὐγένειαν ὑπερεβάλετο τῶν γεγονότων ἀφ' Ἡρακλέους καὶ Διός, ἣν πάντες ἴσασι μόνοις ὑμῖν ὁμολογουμένως ὑπάρχουσαν, ἢ τὴν ἀρετὴν τῶν ἐν Πελοποννήσῳ τὰς Δωρικὰς πόλεις κτισάντων καὶ τὴν χώραν ταύτην κατασχόντων, ἢ τὸ πλῆθος τῶν κινδύνων καὶ τῶν τροπαίων τῶν διὰ

9.

ARCHIDAMO.

Quum sciam, Archidame, quam multi te parentemque tuum et vestrum universum genus laudibus ornare aggrediantur, eam ipsis dicendi materiam, quum facilis admodum esset et obvia, relinquendam putavi: mihi autem in animo est hortari te ad expeditiones iis prorsus dissimiles quæ hoc tempore suscipiuntur, sed ad tales, ex quibus civitati tuæ non minus quam cunctæ Græciæ maximorum bonorum auctor futurus sis. (2) Atque hoc scribendi argumentum delegi non ignarus quidnam esset ad pertractandum facilius; sed probe sciens fore ut, sicuti arduum simul et paucorum hominum esset invenire quas geras res præclaras, magnas et utiles, ita tuas tuæque familiæ virtutes laudare haud difficulter possem. Neque enim opus fuisset de meo depromere quæ de his dicerentur, quando ex ipsis per vos gestis rebus talis mihi ac tanta dabatur dicendi materies, ut quæ de aliis prædicantur laudes, ne tantillum quidem cum iis conferri possint quibus vos celebraremini. (3) Quomodo enim aliquis superet vel nobilitatem eorum qui ab Hercule et ipso Jove genus ducunt, quam omnes uno ore confitentur in vobis solis reperiri; vel virtutem eorum qui Doricas in Peloponneso urbes condiderunt, et illam regionem occupaverunt; vel præliorum tropæorumque multitu-

τὴν ὑμετέραν ἡγεμονίαν καὶ βασιλείαν σταθέντων; (4) τίς δ' ἂν ἠπόρησε διεξιέναι βουληθεὶς τὴν ἀνδρείαν ὅλης τῆς πόλεως καὶ σωφροσύνην καὶ πολιτείαν τὴν ὑπὸ τῶν προγόνων τῶν ὑμετέρων συνταχθεῖσαν; πόσοις δ' ἂν λόγοις ἐξεγένετο χρήσασθαι περὶ τὴν φρόνησιν τοῦ σοῦ πατρός, καὶ τὴν ἐν ταῖς συμφοραῖς διοίκησιν, καὶ τὴν μάχην τὴν ἐν τῇ πόλει γενομένην, ἧς ἡγεμὼν σὺ καταστὰς καὶ μετ' ὀλίγων πρὸς πολλοὺς κινδυνεύσας καὶ πάντων διενεγκὼν αἴτιος ἐγένου τῇ πόλει τῆς σωτηρίας, οὗ κάλλιον ἔργον οὐδεὶς ἂν ἐπιδείξειεν; (5) οὔτε γὰρ πόλεις ἑλεῖν οὔτε πολλοὺς ἀποκτεῖναι τῶν πολεμίων οὕτω μέγα καὶ σεμνόν ἐστιν, ὡς ἐκ τῶν τοιούτων κινδύνων σῶσαι τὴν πατρίδα, μὴ τὴν τυχοῦσαν, ἀλλὰ τὴν τοσοῦτον ἐπ' ἀρετῇ διενεγκοῦσαν. Περὶ ὧν μὴ κομψῶς ἀλλ' ἁπλῶς διελθών, μηδὲ τῇ λέξει κοσμήσας ἀλλ' ἐξαριθμήσας μόνον καὶ χύδην εἰπών, οὐδεὶς ὅστις οὐκ ἂν εὐδοκιμήσειεν.

6. Ἐγὼ τοίνυν δυνηθεὶς ἂν καὶ περὶ τούτων ἐξαρκούντως διαλεχθῆναι, κἀκεῖνο γιγνώσκων, πρῶτον μὲν ὅτι ῥᾷόν ἐστι περὶ τῶν γεγενημένων εὐπόρως ἐπιδραμεῖν ἢ περὶ τῶν μελλόντων νοῦν ἐχόντως εἰπεῖν, ἔπειθ' ὅτι πάντες ἄνθρωποι μείζω χάριν ἔχουσι τοῖς ἐπαινοῦσιν ἢ τοῖς συμβουλεύουσι (τοὺς μὲν γὰρ ὡς εὔνους ὄντας ἀποδέχονται, τοὺς δ', ἂν μὴ κελευσθέντες παραινῶσιν, ἐνοχλεῖν νομίζουσιν), (7) — ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδὼς τῶν μὲν πρὸς χάριν ἂν ῥηθέντων ἀπεσχόμην, περὶ δὲ τοιούτων μέλλω λέγειν περὶ ὧν οὐδεὶς ἂν ἄλλος τολμήσειεν, ἡγούμενος δεῖν τοὺς περὶ ἐπιεικείας καὶ φρονήσεως ἀμφισβητοῦντας μὴ τοὺς ῥᾴστους προαιρεῖσθαι τῶν λόγων, ἀλλὰ τοὺς ἐργωδεστάτους, μηδὲ τοὺς ἡδίστους τοῖς ἀκούουσιν, ἀλλ' ἐξ ὧν ὠφελήσουσι καὶ τὰς πόλεις τὰς αὑτῶν καὶ τοὺς ἄλλους Ἕλληνας· ἐφ' οἷσπερ ἐγὼ τυγχάνω νῦν ἐφεστηκώς.

8. Θαυμάζω δὲ καὶ τῶν ἄλλων τῶν πράττειν ἢ λέγειν δυναμένων, εἰ μηδὲ πώποτ' αὐτοῖς ἐπῆλθεν ἐνθυμηθῆναι περὶ τῶν κοινῶν πραγμάτων, μηδ' ἐλεῆσαι τὰς τῆς Ἑλλάδος δυσπραξίας οὕτως αἰσχρῶς καὶ δεινῶς διατιθεμένης, ἧς οὐδεὶς παραλέλειπται τόπος ὃς οὐ γέμει καὶ μεστός ἐστι πολέμου καὶ στάσεων καὶ σφαγῶν καὶ κακῶν ἀναριθμήτων· ὧν πλεῖστον μέρος μετειλήφασιν οἱ τῆς Ἀσίας τὴν παραλίαν οἰκοῦντες, οὓς ἐν ταῖς συνθήκαις ἅπαντας ἐκδεδώκαμεν οὐ μόνον τοῖς βαρβάροις, ἀλλὰ καὶ τῶν Ἑλλήνων τοῖς τῆς μὲν φωνῆς τῆς ἡμετέρας κοινωνοῦσι, τῷ δὲ τρόπῳ τῷ τῶν βαρβάρων χρωμένοις· (9) οὓς, εἰ νοῦν εἴχομεν, οὐκ ἂν περιεωρῶμεν ἀθροιζομένους οὐδ' ὑπὸ τῶν τυχόντων στρατηγουμένους, οὐδὲ μείζους καὶ κρείττους συντάξεις στρατοπέδων γιγνομένας ἐκ τῶν πλανωμένων ἢ τῶν πολιτευομένων· οἳ τῆς μὲν βασιλέως χώρας μικρὸν μέρος λυμαίνονται, τὰς δὲ πόλεις τὰς Ἑλληνίδας, εἰς ἣν ἂν εἰσέλθωσιν, ἀναστάτους ποιοῦσι, τοὺς μὲν ἀποκτείνοντες, τοὺς δὲ φυγαδεύοντες, τῶν δὲ τὰς οὐσίας διαρπάζοντες, (10) ἔτι δὲ παῖδας καὶ γυναῖκας ὑβρίζοντες, καὶ τὰς μὲν εὐπρεπεστάτας καταισχύνοντες, τῶν δ' ἄλλων

dinem quæ vestro ductu atque auspiciis facta sunt et statuta? (4) Quis autem dicendis egeret, qui velit quum fortitudinem ac temperantiam totius vestræ civitatis, tum a vestris majoribus institutum reipublicæ statum, percensere? quantis porro verbis uti liceret ad explicandam parentis tui prudentiam, ejusdemque in adversis rei gerendæ rationem, et illud quod intra ipsam urbem commissum est prælium? in quo tu prælio constitutus imperator, pugnando cum paucis adversus multos, omnibus antecelluisti, et urbem tuam ab exitio servasti: quo nihil præclarius gestum ab ullo proferri possit: (5) neque enim vel urbes expugnare, vel hostium magnas copias interimere, magnum adeo est et honorificum, ut fuit e tantis periculis patriam liberare, et non illam vulgarem aliquam, sed quæ tantopere virtutis causa emineret. De quibus nemo scilicet non cum ostentatione, sed simpliciter narrando, neque cum verborum ornatu, sed enumerando duntaxat, et temere quidvis effundendo, disseruerit, qui non ex eo magnam sibi laudem comparaverit.

6. Ego igitur qui etiam de his poteram idoneo modo profari, atque illud sentiens, primum facilius esse de præteritis copiose eloqui, quam de futuris cordate dicere; deinde omnes homines majorem habere gratiam laudantibus quam consiliantibus, et illos quidem libenter excipere ut sui studiosos, hos vero, nisi jussi admoneant, auribus obtundere arbitrari: (7) quæ etsi omnia providerim, nihilo tamen secius ab his abstinui quæ ad gratiam ineundam dicenda essent, de iis tantummodo dicturus de quibus nemo alius ausit: ratus nimirum decere eos qui de æquitate et prudentia cum aliis contendunt, nequaquam ea sibi eligere argumenta quæ tractatu facillima sint, sed quæ difficillima, neque rursus ea quæ auditu sint jucundissima, sed ex quibus emolumenti plurimum afferant quum suis civitatibus, tum Græcis omnibus, in quorum utilitatem totus nunc intendor.

8. Demiror autem ceteros quibus vel agendi est vel dicendi aliqua facultas, quod nulla unquam de communibus rebus illorum animos cogitatio subeat, neque moveantur Græciæ calamitatibus, cujus status adeo fœdus est et miserabilis, ut nullus in ea locus reperiatur, qui non bellorum, seditionum, cædium et infinitorum malorum plenus sit: quorum quidem partem longe maximam sustinent ii qui Asiæ maritima incolunt, et a nobis universis in fœderibus sunt dediti, non barbaris tantummodo, sed iis item Græcis, qui etsi nobiscum eadem lingua utantur, a moribus barbarorum nihil discrepant; (9) quos certe, si in nobis quidquam esset sanæ mentis, non sineremus coire nec a quibuslibet in expeditionem educi, majoresque et validiores conflari copias e vagantibus viris quam e civibus in urbe degentibus: qui quum exiguam admodum ditionis regiæ partem devastent, Græcas urbes, ad quamcumque accesserint, evertunt, in quibus alios trucidant, alios exterminant, alios bonis exspoliant; (10) prætereaque pueros et feminas contumeliis afficiunt, et in his forma præstantissimas contemerant, ceteras iis exuunt vestimentis quibus teguntur

ἃ περὶ τοῖς σώμασιν ἔχουσι περισπῶντες, ὥσθ' ἃς πρότερον οὐδὲ κεκοσμημένας ἦν ἰδεῖν τοῖς ἀλλοτρίοις, ταύτας ὑπὸ πολλῶν ὁρᾶσθαι γυμνάς, ἐνίας δ' αὐτῶν ἐν ῥάκεσι περιφθειρομένας δι' ἔνδειαν τῶν ἀναγκαίων.

11. Ὑπὲρ ὧν πολὺν ἤδη χρόνον γιγνομένων οὔτε πόλις οὐδεμία τῶν προεστάναι τῶν Ἑλλήνων ἀξιουσῶν ἠγανάκτησεν, οὔτ' ἀνὴρ τῶν πρωτευόντων οὐδεὶς βαρέως ἤνεγκε, πλὴν ὁ σὸς πατήρ· μόνος γὰρ Ἀγησίλαος ὧν ἡμεῖς ἴσμεν, ἐπιθυμῶν ἅπαντα τὸν χρόνον διετέλεσε τοὺς μὲν Ἕλληνας ἐλευθερῶσαι, πρὸς δὲ τοὺς βαρβάρους πόλεμον ἐξενεγκεῖν. Οὐ μὴν ἀλλὰ κἀκεῖνος ἑνὸς πράγματος διήμαρτεν. (12) Καὶ μὴ θαυμάσῃς εἰ πρὸς σὲ διαλεγόμενος μνησθήσομαι τῶν οὐκ ὀρθῶς ὑπ' αὐτοῦ γνωσθέντων· εἴθισμαί τε γὰρ μετὰ παρρησίας ἀεὶ ποιεῖσθαι τοὺς λόγους, καὶ δεξαίμην ἂν δικαίως ἐπιτιμήσας ἀπέχθεσθαι μᾶλλον ἢ παρὰ τὸ προσῆκον ἐπαινέσας χαρίσασθαι. (13) Τὸ μὲν οὖν ἐμὸν οὕτως ἔχον ἐστίν, ἐκεῖνος δ' ἐν πᾶσι τοῖς ἄλλοις διενεγκών, καὶ γενόμενος ἐγκρατέστατος καὶ δικαιότατος καὶ πολιτικώτατος, διττὰς ἔσχεν ἐπιθυμίας, χωρὶς μὲν ἑκατέραν καλὴν εἶναι δοκοῦσαν, οὐ συμφωνούσας δ' ἀλλήλαις οὐδ' ἅμα πράττεσθαι δυναμένας· ἠβούλετο γὰρ βασιλεῖ τε πολεμεῖν, καὶ τῶν φίλων τοὺς φεύγοντας εἰς τὰς πόλεις καταγαγεῖν καὶ κυρίους καταστῆσαι τῶν πραγμάτων. (14) Συνέβαινεν οὖν ἐκ μὲν τῆς πραγματείας τῆς ὑπὲρ τῶν ἑταίρων ἐν κακοῖς καὶ κινδύνοις εἶναι τοὺς Ἕλληνας, διὰ δὲ τὴν ταραχὴν τὴν ἐνθάδε γιγνομένην μὴ σχολὴν ἄγειν μηδὲ δύνασθαι πολεμεῖν τοῖς βαρβάροις. Ὥστ' ἐκ τῶν ἀγνοηθέντων κατ' ἐκεῖνον τὸν χρόνον ῥᾴδιον καταμαθεῖν ὅτι δεῖ τοὺς ὀρθῶς βουλευομένους μὴ πρότερον ἐκφέρειν πρὸς βασιλέα πόλεμον, πρὶν ἂν διαλλάξῃ τις τοὺς Ἕλληνας καὶ παύσῃ τῆς μανίας καὶ τῆς φιλονικίας ἡμᾶς. Περὶ ὧν ἐγὼ καὶ πρότερον εἴρηκα καὶ νῦν ποιήσομαι τοὺς λόγους.

15. Καίτοι τινὲς τῶν οὐδεμιᾶς μὲν παιδείας μετεσχηκότων, δύνασθαι δὲ παιδεύειν τοὺς ἄλλους ὑπισχνουμένων, καὶ ψέγειν μὲν τἀμὰ τολμώντων, μιμεῖσθαι δὲ γλιχομένων, τάχ' ἂν μανίαν εἶναι φήσαιεν τὸ μέλειν ἐμοὶ τῶν τῆς Ἑλλάδος συμφορῶν, ὥσπερ παρὰ τοὺς ἐμοὺς λόγους ἢ βέλτιον ἢ χεῖρον αὐτὴν πράξουσαν. Ὧν δικαίως ἂν ἅπαντες πολλὴν ἀνανδρίαν καὶ μικροψυχίαν καταγνοῖεν, ὅτι προσποιούμενοι φιλοσοφεῖν αὐτοὶ μὲν ἐπὶ μικροῖς φιλοτιμοῦνται, τοῖς δὲ δυναμένοις περὶ τῶν μεγίστων συμβουλεύειν φθονοῦντες διατελοῦσιν. (16) Οὗτοι μὲν οὖν βοηθοῦντες ταῖς αὑτῶν ἀσθενείαις καὶ ῥᾳθυμίαις ἴσως τοιαῦτ' ἐροῦσιν· ἐγὼ δ' οὕτως ἐπ' ἐμαυτῷ μέγα φρονῶ, καίπερ ἔτη γεγονὼς ὀγδοήκοντα καὶ παντάπασιν ἀπειρηκώς, ὥστ' οἶμαι καὶ λέγειν ἐμοὶ προσήκειν μάλιστα περὶ τούτων καὶ καλῶς βεβουλεῦσθαι πρὸς σὲ ποιούμενον τοὺς λόγους, καὶ τυχὸν ἀπ' αὐτῶν γενήσεσθαί τι τῶν δεόντων. (17) Ἡγοῦμαι δὲ καὶ τοὺς ἄλλους Ἕλληνας εἰ δεήσειεν αὐτοὺς ἐξ ἁπάντων ἐκλέξασθαι τόν τε τῷ λόγῳ κάλλιστ' ἂν δυνηθέντα παρακαλέσαι τοὺς Ἕλληνας ἐπὶ τὴν τῶν βαρβάρων

ipsarum corpora, ut quas antea ne ornatas quidem videre poterant alieni, hæ jam nudæ a multis conspiciantur, et earum nonnullæ in vilibus pannis, ob necessariorum inopiam, pereant.

11. Quæ quum tanto jam tempore mala perdurent, nulla tamen civitas ex iis quæ Græcorum imperium affectant, neque vir aliquis ex Græciæ principibus, molestius tulit, præterquam tuus parens : solus enim Agesilaus eorum quos novimus, in magno semper vixit desiderio, tum Græcos in libertatem vindicandi, tum belli barbaris inferendi. Qui tamen et ipse in re una aberrare visus est. (12) Neque mireris velim, si, tecum ego disserens, eorum mentionem faciam quæ minus ille recte sensit : nam et libere loqui semper soleo, et malim ob justam reprehensionem odium incurrere potius quam per immeritam laudem gratificari. (13) Hæc igitur est mea ratio. Ceterum ille qui in reliquis omnibus superabat alios, idemque erat maxime justus et temperans ac rerum gerendarum peritus, habuit duas cupiditates, præclaram utramque seorsum, sed non inter se consentientes, nec ejus generis quæ simul confieri possint. Quum enim et regi Persarum bellum inferre, et amicos ab exilio in patriam quemque suam restituere ac summæ rerum præficere decrevisset, (14) fiebat, dum amicis studeret impensius, ut et Græci in malis ac bellis versarentur, et ipse propter tumultum hic excitatum, pugnandi contra barbaros otium et facultatem non haberet. Quare ex his quæ illo tempore errata sunt, facile intelligitur eum qui recte rebus consultum velit, non prius regi Persico bellum inferre debere, quam Græcos reconciliarit, illorumque hunc furorem et ambitionem hanc compescuerit. Qua de re ut alias verba feci, ita nunc quoque faciam.

15. At enim quidam ex iis qui alios docere se posse pollicentur, quum sint ipsi doctrinæ omnis expertes, quique mea scripta carpere audent, quæ tamen imitari gestiunt, hoc amentiæ forsan adscribant, quod Græciæ calamitates ego curare profitear, quasi per meam orationem melius cum illa agi deinceps possit aut deterius. (16) Quorum merito sane pusillum nimis ac parum virilem animum omnes reprehendant, quod se tanquam oratores jactitantes, et ipsi ob parva glorientur, et aliis qui de majoribus consilia suggerere possint, non desinant invidere. Atque illi quidem ignaviam et imbecillitatem suam obtegere cupientes, talia fortasse sunt dicturi; ego vero quanquam octogesimum jam annum natus, et ab rebus gerendis me plane abdicaverim, ita magnifice tamen de me adhuc sentio, ut putem mei præsertim fuisse muneris de his dicere, meque tecum agendo præclara suggessisse consilia, ac per hæc forsan aliqua rectius gestum iri. (17) Quin et ceteros Græcos existimo, si inter omnes ipsis deligendus esset is qui Græcos optime posset oratione sua incitare ad invaden-

στρατείαν καὶ τὸν τάχιστα μέλλοντα τὰς πράξεις ἐπιτελεῖν τὰς συμφέρειν δοξάσας, οὐκ ἂν ἄλλους ἀνθ' ἡμῶν προκριθῆναι. Καίτοι πῶς οὐκ ἂν αἰσχρὸν ποιήσαιμεν, εἰ τούτων ἀμελήσαιμεν οὕτως ἐντίμων ὄντων, ὧν ἅπαντες ἂν ἡμᾶς ἀξιώσειαν; (18) Τὸ μὲν οὖν ἐμὸν ἔλαττόν ἐστιν· ἀποφήνασθαι γὰρ ἃ γιγνώσκει τις, οὐ πάνυ τῶν χαλεπῶν πέφυκεν· σοὶ δὲ προσήκει προσέχοντι τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις βουλεύσασθαι, πότερον ὀλιγωρητέον ἐστὶ τῶν Ἑλληνικῶν πραγμάτων γεγονότι μὲν ὥσπερ ὀλίγῳ πρότερον ἐγὼ διῆλθον, ἡγεμόνι δὲ Λακεδαιμονίων ὄντι, βασιλεῖ δὲ προσαγορευομένῳ, μεγίστην δὲ τῶν Ἑλλήνων ἔχοντι δόξαν, ἢ τῶν μὲν ἐνεστώτων πραγμάτων ὑπεροπτέον, μείζοσι δ' ἐπιχειρητέον. (19) Ἐγὼ μὲν γάρ φημι χρῆναί σε πάντων ἀφέμενον τῶν ἄλλων δυοῖν τούτοιν προσέχειν τὸν νοῦν, ὅπως τοὺς μὲν Ἕλληνας ἀπαλλάξεις τῶν πολέμων καὶ τῶν ἄλλων κακῶν τῶν νῦν αὐτοῖς παρόντων, τοὺς δὲ βαρβάρους παύσεις ὑβρίζοντας καὶ πλείω κεκτημένους ἀγαθὰ τοῦ προσήκοντος. Ὡς δ' ἐστὶ ταῦτα δυνατὰ καὶ συμφέροντα καὶ σοὶ καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις ἅπασιν, ἐμὸν ἔργον ἤδη διδάξαι περὶ αὐτῶν ἐστιν.

10.

[ΔΙΟΝΥΣΙῼ.

427 Πρόπομποι καὶ ῥαβδοῦχοι καὶ κήρυκες καὶ θρόνων ὑψηλοτάτων ἐπίτευξις φιλοσοφίας εἰσὶν ἀχλύς, καὶ διαιρετικώτατος πέφυκε τῶν ἀρετῶν χωρισμός. Οὐκ ἤμειψας μετὰ τῆς τύχης τὴν φύσιν. Ἔτι τὸν θύλακον ἔχεις δερμάτινον· θνητὴν γὰρ ἔχεις ἐκ προοιμίου τὴν σύστασιν. Τί δῆτα τὸ κενὸν τοῦτο δοξάριον ἐπὶ τοσοῦτον τὸν πήλινον ἀσκὸν διεφύσησε; Μεγάλης ἀνοίας ἐνεφορήθης, ὦ δύστηνε, καὶ τῆς φύσεως γνῶσιν ἀφῄρησαι. Οὕτω τὰ μετέωρα τῆς τύχης κινήματα ἐκστῆναί σε τῆς πάλαι θεωρίας ἠνάγκασαν, καὶ τῆς σώφρονος ἐκείνης μανίας ἀπαναχωρεῖν παρεσκεύασαν; Ἦν σοι πάλαι μετάρσιον τὸ χαμαίζηλον, νῦν δὲ καὶ χθαμαλὸν καὶ περίγειον ὁ τῆς τύχης ὅρος ἀκρότατος. Οὐκοῦν τῆς ψευδοῦς εὐδαιμονίας ἀφίστασο, καὶ τὴν δραπέτιν τύχην δραπέτευε· προφθάνων γὰρ τὴν ἀγνώμονα, ἄφνω τὴν μεταβολὴν οὐ δυσφορήσεις προσπίπτουσαν.]

dos bello barbaros, tum qui celerrime posset conficere quæ utiliter gerenda viderentur, nullos omnino alios nobis præpositnros. At enim quomodo non ageremus turpiter, si tam honorificum omnium de nobis judicium negligeremus? (18) Ac meum quidem munus minoris momenti est, quum non ita soleat esse arduum suam de re aliqua sententiam proferre: te vero decet meis verbis attendentem, perpendere utrum Græciæ res tibi negligendæ sint, iis commendato natalibus quæ modo dicebam, duci Lacedæmoniorum, ipsorumque regi appellato, et maximum inter Græcos nomen sustinenti; an potius præsentia omittenda sint negotia, ut his majora suscipias. (19) Equidem censeo in hæc duo maxime, ceteris omnibus prætermissis, tibi esse incumbendum, ut Græcos bellis ac ceteris miseriis, quibus hodie conflictantur, liberes; utque barbarorum coerceas insolentiam, et nimia ipsorum bona imminuas. Hæc autem confici posse, eademque et tibi, et tuæ civitati, et ceteris omnibus expedire, monere te mei operis est.

10.

[DIONYSIO.

Satellites, lictores, caduceatores, et altissimorum soliorum adeptio, tenebræ sunt sapientiæ obductæ, et a virtutibus separatio maxima. Non cum fortuna naturam mutasti. Adhuc saccum habes pelliceum: mortalem enim ab initio tenes constitutionem. Cur igitur inanis ista gloriola fictilem utrem tantopere inflavit? Magna amentia repletus es, o infelix, et naturæ tuæ cognitione privatus. Itane sublimes fortunæ motus te a veteri contemplatione desciscere coegerunt, et eo redegerunt ut a sapienti illo furore discederes? Fuit olim illustris tibi mediocritas; nunc autem abjecta et humi depressa fortunæ tuæ summitas. Recedito igitur a falsa felicitate, et fugitivam fortunam fugito: cujus levitatem et perfidiam si antevertes, mutatione subita irruente minus percelleris.]

ORATORUM ATTICORUM

VOLUMEN I.

PARISIIS. —EXCUDEBANT FIRMIN DIDOT FRATRES, VIA JACOB, 56.

ORATORES ATTICI,

ANTIPHON,

ANDOCIDES, LYSIAS,

ISOCRATES, ISÆUS, LYCURGUS, ÆSCHINES,

DINARCHUS, DEMADES,

DECLAMATIONES GORGIÆ ET ALIORUM.

GRÆCE.

CUM TRANSLATIONE REFICTA

A

CAROLO MULLERO.

ACCEDUNT SCHOLIA,

ULPIANI COMMENTARII IN DEMOSTHENEM,

ET INDEX NOMINUM ET RERUM

ABSOLUTISSIMUS.

VOLUMEN PRIMUM.



PARISIIS,

EDITORE AMBROSIO FIRMIN DIDOT,

INSTITUTI REGII FRANCIÆ TYPOGRAPHO.

M DCCC XLVII.

ANTIPHONTIS,
ANDOCIDIS, LYSIÆ,
ISÆI ORATIONES

GRÆCE

EX RECENSIONE BAITERI ET SAUPPII

CUM TRANSLATIONE REFICTA

A

CAROLO MÜLLERO.

ISOCRATES

EX RECOGNITIONE BAITERI

CUM TRANSLATIONE LATINA

AHRENSII.

PRÆFATIO.

Oratorum Atticorum collectio, quæ, sejunctis copiis Demosthenicis, priscæ monumenta eloquentiæ in unum quasi corpus composita præberet, apud Gallos hucusque unica illa sola exstabat, quam Henricus Stephanus anno MDLXXV typis nitidissimis curavit excudendam. Cujus viri celeberrimi post tria fere secula successor æmulusque Firminus Didot, publicam utilitatem commodis suis privatis anteponens, nunc novam hancce oratorum editionem, duobus voluminibus absolvendam, eloquentissimis suis civibus offert. Ac primum quidem volumen, quod jam in publicum prodit, orationes continet Antiphontis, Andocidis, Lysiæ, Isæi et Isocratis : alterum vero, mox illud, uti speramus, subsecuturum, præter reliquos oratores decuriæ Atticæ, Lycurgum, Æschinem et Dinarchum, declamationes complectetur sophistarum, quos vocant, Gorgiæ, Antisthenis, Lesbonactis, Polemonis, Herodis Attici, Alcidamantis. His deinde, tamquam supplementum novumque hujus editionis ornamentum, accedent orationum deperditarum reliquiæ, quæ per veterum scripta dispersæ delitescunt. Subjungemus deinceps tum minora quot supersunt in Demosthenem et Æschinem scholia, tum vero Ulpiani in orationes Demosthenis commentarios, quorum novam editionem tanto gratiorem viris literatis fore speramus, quanto major in tanta operis utilitate exemplorum est raritas. Spretis denique minutis istis indiculis, quos prioribus editionibus adspersos habes, rerum nominumque omnium, quæ per duo nostra orationum scholiorumque volumina commemorantur, tabulas novas et locupletissimas componemus.

Jam ut de ratione prioris hujus voluminis accuratius dicam, fieri omnino non potuit, quin græcorum verborum contextus exprimeretur secundum recensionem diligentissimam, quam post Bekkerum duumviri doctissimi, Baiterus et Sauppius, conjunctis curis instituerunt. Isocrati præterea contigit ut etiam δευτέραις φροντίσιν in usum Firmini Didot a Baitero recognosceretur (Vide præfationem quæ Isocrati jam ante annum separatim in publicum emisso præfixa est). Quodsi vero ab hac

parte faustam nacti fortunam sumus, tanto majores ærumnas versio latina creavit. Etenim quam Reiskius elaboravit interpretationem Antiphontis, Andocidis, Lysiæ et Isæi, etsi perutilem esse censemus, ipsa tamen hæc utilitas in eo maxime posita est, quod non versionem auctor dedit, sed paraphrasin potius et tantum non commentarium perpetuum. Nimirum quæcunque paullo obscurius dicta videntur, ea longis circumlocutionum ambagibus illustrat, adstrictius conclusa vel abruptius juncta interpositis sententiis in ratiocinationem vel inattentiori cuivis patentem diducit. Hoc itaque pacto quum nervosa seculi Antiphontei brevitas in luxuriantem abeat ubertatem, nec tam carnes addantur lacertis, quam orandi vis sæpenumero frangatur volubilitate circulatoria : sponte hinc intelligas solidæ illius et robustæ eloquentiæ non modo non imaginem præberi, sed vix umbram ullam relinqui. Censebat vero Firminus Didot laudem versionis cum commentarii merito haud ultra cumulandam esse quam fieri posset, ut salvo orationis colore sensus aperirentur. Quo accedebat, quod typographicæ quoque rationes impediebant, quominus latina Reiskii græcorum e regione apponerentur. Itaque in Lysia eam dedimus versionem, quæ ab Augero condita græcam orationem ad verbum pæne reddere solet, adeo ut vel nimia circa hoc trepidatione interdum humile quiddam traxerit. Castigavimus eam locis quam plurimis quibus Augerus mentem scriptoris minus erat assecutus vel conjecturas suas inopportune introduxerat. In Antiphonte autem et Andocide et Isæo quum præter Reiskii versionem alia satis idonea non offerretur, ita nos fecimus, ut Reiskiana retineremus ubicunque resectis supervacaneis et paucorum verborum mutatione ad græca accommodari possent, de novo autem verteremus ea omnia, quæ liberius Reiskius suo indulgens ingenio efformaverat. Id vero in Antiphonte et Andocide tam sæpe accidit ut intacta perpauca remanserint. Atque hactenus de priore hoc volumine; de altero, cui major pars laboris reservatur, suo dicemus loco. Vale, lector, faveque.

Parisiis, mense Augusti MDCCCXLVII.

Car. Müller.

ΑΝΤΙΦΩΝ.

1.

ΚΑΤΗΓΟΡΙΑ ΦΑΡΜΑΚΕΙΑΣ ΚΑΤΑ ΤΗΣ ΜΗΤΡΥΙΑΣ.

111 ### ΥΠΟΘΕΣΙΣ.

Φιλόνεώς τις, ἔχων παλλακήν τινα, φίλος ἦν τοῦ πατρὸς τοῦ λέγοντος τὸν λόγον. Οὗτος καταγνοὺς τῆς παλλακῆς εἰς πορνεῖον στήσειν ἠπείλησεν. Ὁ δὲ πατὴρ τοῦ λέγοντος τὸν λόγον τελευτησάσης αὐτῷ τῆς γυναικὸς μητρυιὰν τῷ παιδὶ ἐπεισήγαγε. Κοινολογησαμένης δὲ ταύτης τῇ παλλακῇ διὰ τὸ γείτονας εἶναι καὶ διὰ τὸ μηδὲ αὐτὴν πάνυ ἀγαπᾶσθαι ὑπὸ τοῦ ἀνδρός, ἔδοξεν ἀμφοτέραις φαρμάκῳ ἀνελεῖν τοὺς ἄνδρας. Κατασκευασάμεναι δὲ ἑορτῆς οὔσης καὶ κοινῇ τῶν ἀνδρῶν σπενδομένων (φίλοι γὰρ ἦσαν) δεδώκασιν ἀμφοτέροις τὸ φάρμακον ἐν ἐκπώματι· καὶ ὁ μὲν Φιλόνεως πλέον λαβὼν παραχρῆμα ἀνῃρέθη, ὁ δὲ τοῦ λέγοντος τὸν λόγον πατὴρ ἔλαττον λαβὼν εἰς νόσον κατέπεσε, καὶ οὕτω τέθνηκεν ἐξ αὐτῆς. Ὁ δὲ παῖς γράφεται τὴν μητρυιὰν φαρμακείας. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ στοχασμός, σημεῖον δὲ τὸ μὴ θέλειν δοῦναι τοὺς οἰκέτας εἰς βάσανον.

Νέος μὲν καὶ ἄπειρος δικῶν ἔγωγε ἔτι, δεινῶς δὲ καὶ ἀπόρως ἔχει μοι περὶ τοῦ πράγματος, ὦ ἄνδρες, τοῦτο μὲν εἰ ἐπισκήψαντος τοῦ πατρὸς ἐπεξελθεῖν τοῖς αὐτοῦ φονεῦσι μὴ ἐπέξειμι, τοῦτο δὲ εἰ ἐπεξιόντι ἀναγκαίως ἔχει οἷς ἥκιστα ἐχρῆν ἐν διαφορᾷ καταστῆναι, ἀδελφοῖς ὁμοπατρίοις καὶ μητρὶ ἀδελφῶν. (2) Ἡ γὰρ τύχη καὶ αὐτοὶ οὗτοι ἠνάγκασαν ἐμοὶ πρὸς τούτους αὐτοὺς τὸν ἀγῶνα καταστῆναι, οὓς εἰκὸς ἦν τῷ μὲν τεθνεῶτι τιμωροὺς γενέσθαι, τῷ δ' ἐπεξιόντι βοηθούς. Νῦν δὲ τούτων τἀναντία γεγένηται· αὐτοὶ γὰρ οὗτοι καθεστᾶσιν ἀντίδικοι καὶ φονεῖς, ὡς καὶ ἐγὼ καὶ ἡ γραφὴ λέγει. (3) Δέομαι δ' ὑμῶν, ὦ ἄνδρες, ἐὰν ἐπιδείξω ἐξ ἐπιβουλῆς καὶ προβουλῆς τὴν τούτων μητέρα φονέα οὖσαν τοῦ ἡμετέρου πατρός, καὶ μὴ ἅπαξ ἀλλὰ καὶ πολλάκις ἤδη ληφθεῖσαν τὸν θάνατον τὸν ἐκείνου ἐπ' αὐτοφώρῳ μηχανωμένην, τιμωρῆσαι πρῶτον μὲν
112 τοῖς νόμοις τοῖς ὑμετέροις, οὓς παρὰ τῶν θεῶν καὶ τῶν προγόνων διαδεξάμενοι κατὰ τὸ αὐτὸ ἐκείνοις περὶ τῆς καταψηφίσεως δικάζετε, δεύτερον δ' ἐκείνῳ τῷ τεθνηκότι, καὶ ἅμα ἐμοὶ μόνῳ ἀπολελειμμένῳ βοηθῆσαι. (4) Ὑμεῖς γάρ μοι ἀναγκαῖοι· οὓς γὰρ ἐχρῆν τῷ μὲν τεθνεῶτι τιμωροὺς γενέσθαι, ἐμοὶ δὲ βοηθούς, οὗτοι τοῦ μὲν τεθνεῶτος φονεῖς γεγένηνται, ἐμοὶ δ' ἀντίδικοι καθεστᾶσι. Πρὸς τίνας οὖν ἔλθοι τις βοηθούς, ἢ ποῖ τὴν καταφυγὴν ποιήσεται ἄλλοθι ἢ πρὸς ὑμᾶς καὶ τὸ δίκαιον;

I.

NECIS VENEFICIO PATRATÆ ACCUSATIO IN NOVERCAM.

ARGUMENTUM.

(604–606 ed. Reisk.)

Philoneus quidam, concubina utens, patris hujus oratoris amicus erat. Hic, concubinæ redarguens, ei minatus erat in lupanar traducturum. Pater oratoris, mortua uxore, novercam fillo superinduxit. Quæ cum scorto familiaritate contracta (erant enim vicinæ), et, quia non admodum a marito diligebatur, utrique propositum est veneno viros tollere. Quum itaque dies festus esset, et ipsæ ad rem paratæ, jamque viri communiter libarent (amici enim erant), ambobus venenum in poculo propinant. Philoneus, qui plus hauserat, statim enectus est; pater autem oratoris hujus minus hauriens in morbum incidit, ex eoque mortuus est. Quocirca filius novercam veneficii accusat. Hoc argumentum est. Causæ status, conjecturalis: judicium vero, quia servos ad torquendum dare noluit.

Adolescentulus quum sim adhuc et forensium rerum plane imperitus, vehementer sollicitum me et consilii inopem habet hæc causa, Judices: nam ab una parte scelus fuerit, in mandatis exsequendis cessare patris ejus qui necis suæ pœnas ut ab auctoribus repeterem mihi delegavit; ab altera parte peracerbum accidit, quod ista mandata patris exsequens facere non possum quin simultatibus implicer cum iis, cum quibus odia suscipi omnium minime decebat, cum fratribus eodem patre natis et cum eorum matre. (2) Ea est enim sortis meæ ratio, ut ab iis ipsis cogar in hoc adversus ipsos certamen descendere, quos consentaneum erat et perempto ultores succurrere et vindici sanguinis paterni auxiliatum venire. Nunc contra hæc evenerunt omnia. Hi enim ipsi adversantes mihi stant in judicio et parricidæ, ut et ego dico et libellus accusatorius exprimit. (3) Peto autem a vobis, Judices, si planum fecero matrem horum (*novercam meam*) necem ei patri, qui mihi cum fratribus communis est, nefandis artibus volentem conscivisse, quas artes ea non semel sed crebro in patris pestem factitans deprehensa fuit, ut primum quidem leges vestras vindicetis, quas a diis et a majoribus vestris per manus traditas nacti, ad earum præscriptum diligenter statuitis de condemnatione reorum; deinde autem, ut patri perempto, unaque mihi quoque, qui solus ab omnibus derelictus causam ejus ago, subveniatis. (4) Vos enim mihi nunc loco necessariorum estis. Nam quos oportebat sublato ultores, mihi autem socios esse, hi necis in illo patratæ reatu se obligant et in judicio causæ meæ stant adversarii. Jam quosnam ad alios quis accedat auxilium rogatum? quo quis alio perfugiat, quam ad vos, et ad jus æquum?

5. Θαυμάζω δ' ἔγωγε καὶ τοῦ ἀδελφοῦ, ἥντινά ποτε γνώμην ἔχων ἀντίδικος καθέστηκε πρὸς ἐμέ, καὶ εἰ νομίζει τοῦτο εὐσέβειαν εἶναι, τὸ τὴν μητέρα μὴ προδοῦναι. Ἐγὼ δ' ἡγοῦμαι πολὺ ἀνοσιώτερον εἶναι ἀφεῖναι τοῦ τεθνεῶτος τὴν τιμωρίαν, ἄλλως τε καὶ τοῦ μὲν ἐκ προβουλῆς ἀκουσίως ἀποθανόντος, τῆς δ' ἑκουσίως ἐκ προνοίας ἀποκτεινάσης. (6) Καὶ οὐ τοῦτό γ' ἐρεῖ ὡς εὖ οἶδεν ὅτι οὐκ ἀπέκτεινεν ἡ μήτηρ αὐτοῦ τὸν πατέρα τὸν ἡμέτερον. Ἐν οἷς μὲν γὰρ αὐτῷ ἐξουσία ἦν σαφῶς εἰδέναι, παρὰ τῆς βασάνου, οὐκ ἠθέλησεν· ἐν οἷς δ' οὐκ ἦν πυθέσθαι, τοῦτ' αὐτὸ προὐθυμήθη. Καίτοι αὐτὸ τοῦτο ἐχρῆν, ὃ καὶ ἐγὼ προὐκαλούμην, προθυμηθῆναι, ὅπως τὸ πραχθὲν ᾖ ἀληθές, ἐπεξελθεῖν. (7) Μὴ γὰρ ὁμολογούντων τῶν ἀνδραπόδων οὗτός τ' εὖ εἰδὼς ἂν ἀπελογεῖτο καὶ ἀντέσπευδε πρὸς ἐμέ, καὶ ἡ μήτηρ αὐτοῦ ἀπήλλακτο ἂν ταύτης τῆς αἰτίας. Ὅπου δὲ μὴ ἠθέλησεν ἔλεγχον ποιήσασθαι τῶν πεπραγμένων, πῶς περί γ' ὧν οὐκ ἠθέλησε πυθέσθαι, ἐγχωρεῖ αὐτῷ περὶ τούτων εἰδέναι; πῶς οὖν περὶ τούτων, ὦ δικάζοντες, αὐτὸν εἰκὸς εἰδέναι, ὧν γε τὴν ἀλήθειαν οὐκ εἴληφε; (8) Τί ποτε ἀπολογήσεσθαι μέλλει μοι; ἐκ μὲν γὰρ τῆς τῶν ἀνδραπόδων βασάνου εὖ ᾔδει ὅτι οὐχ οἷόν τ' ἦν αὐτῇ σωθῆναι, ἐν δὲ τῷ μὴ βασανισθῆναι ἡγεῖτο τὴν σωτηρίαν εἶναι· τὰ γὰρ γενόμενα ἐν τούτῳ ἀφανισθῆναι ᾠήθησαν. Πῶς οὖν εὔορκα ἀντομωμοκὼς ἔσται φάσκων εὖ εἰδέναι, ὅς οὐκ ἠθέλησε σαφῶς πυθέσθαι ἐμοῦ ἐθέλοντος τῇ δικαιοτάτῃ βασάνῳ χρήσασθαι περὶ τούτου τοῦ πράγματος; (9) τοῦτο μὲν γὰρ ἠθέλησα μὲν τὰ τούτων ἀνδράποδα βασανίσαι, ἃ συνῄδει καὶ πρότερον τὴν γυναῖκα ταύτην, μητέρα δὲ τούτων, τῷ πατρὶ τῷ ἡμετέρῳ θάνατον μηχανωμένην φαρμάκοις, καὶ τὸν πατέρα εἰληφότα ἐπ' αὐτοφώρῳ ταύτην οὐκ οὖσαν ἄπαρνον, πλὴν οὐκ ἐπὶ θανάτῳ φάσκουσαν διδόναι ἀλλ' ἐπὶ φίλτροις. (10) Διὰ οὖν ταῦτα ἐγὼ βάσανον ἠθέλησα ποιήσασθαι περὶ αὐτῶν, γράψας ἐν γραμματείῳ ἃ ἐπαιτιῶμαι τὴν γυναῖκα ταύτην· βασανιστὰς δὲ αὐτοὺς τούτους ἐκέλευον γίνεσθαι ἐμοῦ παρόντος, ἵνα μὴ ἀναγκαζόμενοι ἃ ἐγὼ ἐπερωτῷμι λέγοιεν, ἀλλ' ἐξήρκει μοι τοῖς ἐν τῷ γραμματείῳ χρῆσθαι· καὶ αὐτό μοι τοῦτο τεκμήριον δίκαιον ἔσται, ὅτι ὀρθῶς καὶ δικαίως μετέρχομαι τὸν φονέα τοῦ πατρός· εἰ δὲ ἄπαρνοι γίνοιντο ἢ λέγοιεν μὴ ὁμολογούμενα, [ἡ βάσανος] ἀναγκάζοι τὰ γεγονότα κατηγορεῖν· αὕτη γὰρ καὶ τοὺς τὰ ψευδῆ παρεσκευασμένους λέγειν τἀληθῆ κατηγορεῖν ποιήσει. (11) Καίτοι εὖ οἶδά γ', εἰ οὗτοι πρὸς ἐμὲ ἐλθόντες, ἐπειδὴ τάχιστα αὐτοῖς ἀπηγγέλθη ὅτι ἐπεξίοιμι τοῦ πατρὸς τὸν φονέα, ἠθέλησαν τὰ ἀνδράποδα ἃ ἦν αὐτοῖς παραδοῦναι, ἐγὼ δὲ μὴ ἠθέλησα παραλαβεῖν, αὐτὰ ἂν ταῦτα μέγιστα τεκμήρια παρείχοντο ὡς οὐκ ἔνοχοί εἰσι τῷ φόνῳ. Νῦν δ' ἐγὼ γάρ εἰμι τοῦτο μὲν ὁ θέλων αὐτὸς βασανιστὴς γενέσθαι, τοῦτο δὲ τούτους αὐτοὺς κελεύων ἀντ' ἐμοῦ βασανίσαι, ἐμοὶ δή που εἰκὸς ταῦτα αὐτὰ τεκμήρια εἶναι ὡς εἰσὶν ἔνοχοι τῷ φόνῳ· (12) εἰ γὰρ τούτων ἐθελόντων διδόναι εἰς βάσανον ἐγὼ

5. Miror qua tandem mente frater causam meæ adversariam tuendam sibi ceperit; et num in hoc solo pietatem erga parentes cerni autumet, si matris commoda filius prodere nolit. Ego vero multo atrocius hoc esse aio impietatis exemplum, si filius insuper habeat paterni sanguinis ultionem exsequi, præsertim in tanta disparitate, illo per insidias violenter perempto, hac consulto structis machinis interficiente. (6) Neque licet fratri hoc excusare, probe se nosse a matre sua peremptum non esse patrem nostrum. Nam id ipsum, qua re poterat certissimam facinoris notitiam sibi comparare, nimirum ex servorum tormentis, id ille aspernatus est: ubi autem quærens indagare nihil poterat, ibi juvit eum quærere. Atqui illud debuerat amplecti ad quod provocabam, sponsionem de servis ad quæsitionem dedendis, strenueque hoc agere, ut rei gestæ veritas in apertum proferretur. (7) Servi enim si sub tormentis non ea quæ dico edidissent, tum licuisset ei matris causam ex certa rei cognitione agere mihique fidenter obloqui; et mater ejus crimine illo fuisset liberata. Jam vero cunctatus rei gestæ rationem illa, quæ una patet, via indagare, qui potest ea certo nosse, quæ explorare recusavit? qui de his, Judices, consentaneum est eum perspectam rem habere, quorum veritatem percontari nunquam animum induxit? (8) Quid tandem oppositurus est mihi? Servos ad quæsitionem si admitteret, certo norat saluti omnem viam præclusam matri esse; unica ergo ratio eam servandi hæc erat, ut eluderet quæsitionem per tormenta servorum: nam hoc modo sperabant se consecuturos ut res gesta in occulto maneret. Qui ergo censeri poterit salva fide et religione jurejurando id confirmasse, quod in formula contrajuramenti scripsit, « se probe nosse, » qui quidem manifesta hoc ratione ad liquidum adducere noluerit, quum ego vellem hac in causa modo inquirendi eo uti, qui est omnium æquissimus et justissimus? (9) Nimirum flagitabam ipsis coram illa mancipia torqueri, quæ norant mulierem hanc, matrem horum, jam antea venenis id egisse ut patrem nostrum de medio tolleret, et, a patre nostro quum in ipso delicto esset deprehensa, haud infitiatam esse facinus, sed prætexisse non necis ergo potionem datam fuisse, sed illiciendi ac devinciendi amoris. (10) Hoc ergo de facto postulabam servos dedi in tormenta, et exhibebam libellum, in quo crimina perscripseram, quorum illam mulierem insimulo. Ipsis autem hisce permittebam torquendi negotium, dummodo coram me fieret; nolebam enim servos, me ipso pro lubitu meo quicquid vellem interrogante, cogi respondere, sed sufficiebat mihi illis solummodo capitibus uti quæ in libello scripseram. Vel hoc solum mihi erit prorsus idoneum documentum, jure me bono rectoque necem patris persequi: nam si aut prorsus infitiarentur servi factum aut dicta eorum inter se discreparent, tormenta eos cogerent veras rei gestæ rationes aperire: hæc enim efficiunt ut quantumvis parati ad falsa indicia, vere gesta tandem proferant. (11) At enim hoc certo scio: si illi, ut primum fama ad se allatum accepissent me parare actionem in homicidam patris, actutum mecum congressi suorum mancipiorum mihi deditionem obtulissent, ego autem accipere detrectassem, haud dubie illi hoc essent evidentissimo omnium documento usi ad vincendum, culpa cædis omni se vacare. Nunc enimvero ego, quanquam stimulos ipse servis admoveri peto, partes tamen meas inter torquendum eis ipsis delego: manifesto igitur mihi hæc ipsa testimonio sunt, eos in culpa esse cædis. (12) Certe enim, si ipsi quidem mancipia tormentis

μὴ ἐδεξάμην, τούτοις ἂν ἦν ταῦτα τεκμήρια. Τὸ αὐτὸ οὖν τοῦτο καὶ ἐμοὶ γενέσθω, εἴπερ ἐμοῦ θέλοντος ἔλεγχον λαβεῖν τοῦ πράγματος αὐτοὶ μὴ ἠθέλησαν δοῦναι. Δεινὸν δ' ἔμοιγε δοκεῖ εἶναι, εἰ ὑμᾶς μὲν ζητοῦσιν αἰτεῖσθαι ὅπως αὐτῶν μὴ καταψηφίσησθε, αὐτοὶ δὲ σφίσιν αὐτοῖς οὐκ ἠξίωσαν δικασταὶ γενέσθαι δόντες βασανίσαι τὰ αὑτῶν ἀνδράποδα. (13) Περὶ μὲν οὖν τούτων οὐκ ἄδηλον ὅτι αὐτοὶ ἔφευγον τῶν πραχθέντων τὴν σαφήνειαν πυθέσθαι· ᾔδεσαν γὰρ οἰκεῖον σφίσι τὸ κακὸν ἀναφανησόμενον, ὥστε σιωπώμενον καὶ ἀβασάνιστον αὐτὸ ἐᾶσαι ἐβουλήθησαν. Ἀλλ' οὐχ ὑμεῖς γε, ὦ 113 ἄνδρες, ἔγωγ' εὖ οἶδα, ἀλλὰ σαφὲς ποιήσετε.

Ταῦτα μὲν οὖν μέχρι τούτου· περὶ δὲ τῶν γενομένων πειράσομαι ὑμῖν διηγήσασθαι τὴν ἀλήθειαν· δίκη δὲ κυβερνήσειεν.

14. Ὑπερῷόν τι ἦν τῆς ἡμετέρας οἰκίας, ὃ εἶχε Φιλόνεως ὁπότ' ἐν ἄστει διατρίβοι, ἀνὴρ καλός τε κἀγαθὸς καὶ φίλος τῷ ἡμετέρῳ πατρί· καὶ ἦν αὐτῷ παλλακή, ἣν ὁ Φιλόνεως ἐπὶ πορνεῖον ἔμελλε καταστῆσαι. Ταύτην οὖν πυθομένη ἡ μήτηρ τοῦ ἀδελφοῦ ἐποιήσατο φίλην. (15) Αἰσθομένη δ' ὅτι ἀδικεῖσθαι ἔμελλεν ὑπὸ τοῦ Φιλόνεω, μεταπέμπεται, καὶ ἐπειδὴ ἦλθεν, ἔλεξεν αὐτῇ ὅτι καὶ αὐτὴ ἀδικοῖτο ὑπὸ τοῦ πατρὸς τοῦ ἡμετέρου· εἰ οὖν ἐθέλει πείθεσθαι, ἔφη ἱκανὴ εἶναι ἐκείνῃ τε τὸν Φιλόνεων φίλον ποιῆσαι καὶ αὑτῇ τὸν ἐμὸν πατέρα, εἶναι φάσκουσα αὑτῆς μὲν τοῦτο εὕρημα, ἐκείνης δ' ὑπηρέτημα. (16) Ἠρώτα οὖν αὐτὴν εἰ ἐθελήσει διακονῆσαί οἱ, καὶ ἣ ὑπέσχετο τάχιστα, ὡς οἶμαι. Μετὰ ταῦτα ἔτυχε τῷ Φιλόνεῳ ἐν Πειραιεῖ ὄντα ἱερὰ Διὶ κτησίῳ, ὁ δὲ πατὴρ ὁ ἐμὸς εἰς Νάξον πλεῖν ἔμελλε. Κάλλιστον οὖν εἶναι ἐδόκει τῷ Φιλόνεῳ τῆς αὐτῆς ὁδοῦ ἅμα μὲν προπέμψαι εἰς τὸν Πειραιᾶ τὸν πατέρα τὸν ἐμὸν φίλον ὄντα ἑαυτῷ, ἅμα δὲ θύσαντα τὰ ἱερὰ ἑστιᾶσαι ἐκεῖνον. (17) Ἡ οὖν παλλακὴ τοῦ Φιλόνεω ἠκολούθει τῆς θυσίας ἕνεκεν. Καὶ ἐπειδὴ ἦσαν ἐν τῷ Πειραιεῖ, οἷον εἰκός, ἔθυεν· καὶ ἐπειδὴ αὐτῷ ἐτέθυτο τὰ ἱερά, ἐντεῦθεν ἐβουλεύετο ἡ ἄνθρωπος ὅπως ἂν αὐτοῖς τὸ φάρμακον δοίη, πότερα πρὸ δείπνου ἢ ἀπὸ δείπνου. Ἔδοξεν οὖν αὐτῇ βουλευομένῃ βέλτιον εἶναι μετὰ δεῖπνον δοῦναι, ταῖς Κλυταιμνήστρας τῆς τούτου μητρὸς ὑποθήκαις ἅμα διακονοῦσα. (18) Καὶ τὰ μὲν ἄλλα μακρότερος ἂν εἴη λόγος περὶ τοῦ δείπνου ἐμοί τε διηγήσασθαι ὑμῖν τ' ἀκοῦσαι· ἀλλὰ πειράσομαι τὰ λοιπὰ ὡς ἐν βραχυτάτοις ὑμῖν διηγήσασθαι, ὡς γεγένηται ἡ δόσις τοῦ φαρμάκου. Ἐπειδὴ γὰρ ἐδεδειπνήκεισαν, οἷον εἰκός, ὁ μὲν θύων Διὶ κτησίῳ κἀκεῖνον ὑποδεχόμενος, ὁ δ' ἐκπλεῖν τε μέλλων καὶ παρ' ἀνδρὶ ἑταίρῳ δειπνῶν, σπονδάς τ' ἐποιοῦντο καὶ λιβανωτὸν ὑπὲρ αὐτῶν ἐπετίθεσαν. (19) Ἡ δὲ παλλακὴ τοῦ Φιλόνεω τὴν σπονδὴν ἅμα ἐγχέουσα ἐκείνοις εὐχομένοις ἃ οὐκ ἔμελλε τελεῖσθαι, ὦ ἄνδρες, ἐνέχει τὸ φάρμακον· καὶ ἅμα οἰομένη δεξιὸν ποιεῖν πλέον δίδωσι τῷ Φιλόνεῳ, ἴσως, εἰ δοίη πλέον, μᾶλλον φιλησομένη ὑπὸ τοῦ Φιλόνεω· οὔπω γὰρ ᾔδει ὑπὸ τῆς μητρυιᾶς τῆς ἐμῆς ἐξαπατωμένη,

afficienda obtulissent, ego vero detrectassem, pro ipsis hæc res testimonio fuisset. Liceat ergo mihi quoque meæ causæ veritatem hoc ipso argumento docere, qui certum rei documentum postulaverim ab his præbere recusantibus. Grave profecto mihi videtur esse facinus, si hi vos rogant, ut se absolvatis, qui, si dedere servos voluissent, jus ipsi sibi pro arbitrio suo dicere (*causæ suæ probitatem irrefragabilibus documentis approbare*) potuissent. (13) Jam ergo non amplius obscurum est eos ipsos defugisse quin manifestam facinorum cognitionem pararent: norant nempe, huic discrimini si se committerent, futurum fuisse ut patesceret malum penes ipsos residere; quare quæsitionem servorum omitti voluerunt, mali sedem manere tacitam et ignotam. Verum autem non vos voletis, Judices, certo scio, sed potius totam rem denudabitis.

Sed hæc hactenus: jam ipsius rei, ut vere gesta fuit, seriem coram vobis enarrabo: justitia cursum actionis meæ gubernato.

14. Superius domus nostræ tabulatum Philoneus, quoties in urbe ageret, incolere solebat, vir honestus et frugi, quo pater noster familiarissime utebatur. Erat illi Philoneo pellex, quam decreverat in lupanari prostituere. Eam mater fratris (*noverca mea*) quum intellexisset cuja esset, consuetudinem cum ea contrahebat; (15) et quum sensisset quam injuriam Philoneus ei oblatum iret, ad se eam arcessit. Veniebat pellex: inter sermones aperiebat noverca pellici, se quoque indignis modis haberi a patre nostro: sed in promptu sibi esse artes, quibus amborum erga se animi ita mutarentur, ut quum Philoneus ipsi (*pellici*), tum pater meus sibi (*novercæ*) redderetur amicus: additque, suum esse hoc inventum, illius fore partes subserviendi. (16) Tunc ergo, ait, mihi ministrare voles? Velle ait altera, nihil hæsitans, ut equidem existimo. Post hæc incidebat et Philoneo necessitas, ut sacris interesset quæ Jovi Ctesio in Piræeo fiebant, et patri iter per mare ad insulam Naxum suscipiendi. Convenientissimum itaque videbatur Philoneo, cui ex urbe in Piræeum esset descendendum, eadem opera, per compendium itineris ejusdem, patrem quoque meum, amicitiæ ergo testandæ, ad portum prosequi et sacris peractis, epulis cohonestare. (17) Pellex Philoneum eodem prosequebatur sacrorum et epularum causa. Ubi erant ambo in Piræeo, uti par erat, ille sacris operabatur. Sacris peractis, jam incipiebat pellex secum deliberare, qua ratione potionem venenatam ipsis præberet, ante epulas, an post. Placuit tandem deliberanti, magis expedire ut post epulas daretur, quod ita præceptis Clytæmnestræ istius, matris illorum, esset obsecutura. (18) Cetera quæ illo in convivio evenerint, mihi longius fuerit enarrare vobisque audire: ea vero, quæ nosse refert, quomodo nempe datum fuerit venenum, quam paucissimis exsequar. Dapibus igitur amotis, libabant diis, et thura super se quisque aræ imponebant, id quod eos facere par erat, quorum alter una Jovique Ctesio sacra faceret amicumque epulis exciperet mox iter ingressurum, alter apud amicum epularetur mox cum nave discessurus. (19) Pellex Philonei libationes infundens illis vota facientibus atque deos ea rogantibus, quæ non essent exitum habitura, Judices, immiscebat venenum et Philonei quidem poculo, dextre sibi visa agere, portionem veneni multo spissiorem ingerebat, sperans fortasse futurum ut, quo plus potionis hujus dedisset, eo acrius Philoneus in amorem sui exardesceret: nondum enim tum norat a noverca mea se circumventam esse, id quod tum demum

πρὶν ἐν τῷ κακῷ ἤδη ἦν· τῷ δὲ πατρὶ τῷ ἡμετέρῳ ἔλασσον ἐνέχει. (20) Καὶ ἐκεῖνοι ἐπειδὴ ἀπέσπεισαν, τὸν ἑαυτῶν φονέα μεταχειριζόμενοι ἐκπίνουσιν ὑστάτην πόσιν. Ὁ μὲν οὖν Φιλόνεως εὐθέως παραχρῆμα ἀποθνήσκει, ὁ δὲ πατὴρ ὁ ἡμέτερος εἰς νόσον ἐμπίπτει, ἐξ ἧς καὶ ἀπώλετο εἰκοσταῖος. Ἀνθ' ὧν ἡ μὲν διακονήσασα ἔχει τὰ ἐπίχειρα ὧν ἀξία ἦν οὐδὲν αἰτία οὖσα (τῷ γὰρ δημοκοίνῳ τροχισθεῖσα παρεδόθη), ἡ δ' αἰτία τε ἤδη καὶ ἐνθυμηθεῖσα καὶ χειρουργήσασα ἕξει, ἐὰν ὑμεῖς τε καὶ οἱ θεοὶ θέλωσιν.

21. Σκέψασθε οὖν ὅσῳ δικαιότερα δεήσομαι ὑμῶν ἐγὼ ἢ ὁ ἀδελφός· ἐγὼ μὲν τῷ τεθνεῶτι ὑμᾶς κελεύω καὶ τῷ ἠδικημένῳ τὸν ἀΐδιον χρόνον τιμωροὺς γενέσθαι· οὗτος δὲ τοῦ μὲν τεθνεῶτος πέρι οὐδὲν ὑμᾶς αἰτήσεται, ὃς ἄξιος καὶ ἐλέου καὶ βοηθείας καὶ τιμωρίας παρ' ὑμῶν τυχεῖν, ἀθέως καὶ ἀκλεῶς πρὸ τῆς εἱμαρμένης ὑφ' ὧν ἥκιστ' ἐχρῆν τὸν βίον ἐκλιπών, (22) ὑπὲρ δὲ τῆς ἀποκτεινάσης δεήσεται ἀθέμιτα καὶ ἀτέλεστα καὶ ἀνήκουστα καὶ θεοῖς καὶ ὑμῖν, δεόμενος ὑμῶν ἃ αὐτὴ ἑαυτὴν οὐκ ἔπεισε μὴ κακοτεχνῆσαι. Ὑμεῖς δ' οὐ τῶν ἀποκτεινάντων ἐστὲ βοηθοί, ἀλλὰ τῶν ἐκ προνοίας ἀποθνησκόντων, καὶ ταῦτα ὑφ' ὧν ἥκιστα ἐχρῆν αὐτοὺς ἀποθνήσκειν. Ἤδη οὖν ἐν ὑμῖν τοῦτό ἐστιν ὀρθῶς διαγνῶναι, ὃ καὶ ποιήσατε. (23) Δεήσεται δ' ὑμῶν οὗτος μὲν ὑπὲρ τῆς μητρὸς τῆς αὑτοῦ ζώσης, τῆς ἐκεῖνον διαχρησαμένης ἀβούλως τε καὶ ἀθέως, ὅπως δίκην μὴ δῷ, ἂν
114 ὑμᾶς πείθῃ, ὧν ἠδίκηκεν· ἐγὼ δ' ὑμᾶς ὑπὲρ τοῦ πατρός, τοῦ τεθνεῶτος, αἰτοῦμαι, ὅπως παντὶ τρόπῳ δῷ· ὑμεῖς δέ, ὅπως διδῶσι δίκην οἱ ἀδικοῦντες, τούτου γε ἕνεκα καὶ δικασταὶ ἐγένεσθε καὶ ἐκλήθητε. (24) Καὶ ἐγὼ μὲν ἐπεξέρχομαι λέγων, ἵνα δῷ δίκην ὧν ἠδίκηκε καὶ τιμωρήσω τῷ τε πατρὶ τῷ ἡμετέρῳ καὶ τοῖς νόμοις τοῖς ὑμετέροις· ταύτῃ καὶ ἄξιόν μοι βοηθῆσαι ὑμᾶς ἅπαντας, εἰ ἀληθῆ λέγω· οὗτος δὲ τἀναντία, ὅπως ἡ τοὺς νόμους παριδοῦσα μὴ δῷ δίκην ὧν ἠδίκηκε, ταύτῃ βοηθὸς καθέστηκε. (25) Καίτοι πότερον δικαιότερον τὸν ἐκ προνοίας ἀποκτείναντα δοῦναι δίκην ἢ μή; καὶ πότερον δικαιότερον οἰκτεῖραι μᾶλλον τὸν τεθνεῶτα ἢ τὴν ἀποκτείνασαν; ἐγὼ μὲν οἶμαι τὸν τεθνεῶτα· καὶ γὰρ ἂν δικαιότερον καὶ ὁσιώτερον καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων γίνοιτο ὑμῖν. Ἤδη οὖν ἐγὼ ἀξιῶ, ὥσπερ κἀκεῖνον ἀνελεημόνως καὶ ἀνοικτίστως αὕτη ἀπώλεσεν, οὕτω καὶ αὐτὴν ταύτην ἀπολέσθαι ὑπό τε ὑμῶν καὶ τοῦ δικαίου. (26) Ἡ μὲν γὰρ ἑκουσίως καὶ βουλεύσασα τὸν θάνατον, ὁ δ' ἀκουσίως καὶ βιαίως ἀπέθανε· πῶς γὰρ οὐ βιαίως ἀπέθανεν, ὦ ἄνδρες, ὅς γ' ἐκπλεῖν ἔμελλεν ἐκ τῆς γῆς τῆσδε, παρά τε ἀνδρὶ αὑτοῦ φίλῳ εἱστιᾶτο; ἡ δὲ πέμψασα τὸ φάρμακον καὶ κελεύσασα ἐκείνῳ δοῦναι πιεῖν ἀπέκτεινεν ἡμῶν τὸν πατέρα. Πῶς οὖν ταύτην ἐλεεῖν ἄξιόν ἐστιν ἢ αἰδοῦς τυγχάνειν παρ' ὑμῶν ἢ ἄλλου του; ἥτις αὐτὴ οὐκ ἠξίωσεν ἐλεῆσαι τὸν αὑτῆς ἄνδρα, ἀλλ' ἀνοσίως καὶ αἰσχρῶς ἀπώλεσεν. (27) Οὕτω δέ τοι καὶ ἐλεεῖν ἐπὶ τοῖς ἀκουσίοις παθήμασι μᾶλλον προσήκει ἢ τοῖς ἑκουσίοις καὶ ἐκ προνοίας ἀδικήμασι καὶ ἁμαρτή-

comperit quum jam in perniciem incidisset; patri autem nostro portionem veneni multo parciorem infundebat. (20) Defuncti libationibus illi, sicarium suum pro amica habentes, extremam potionem exhauriunt. Et Philoneus quidem in continenti e vestigio exspirabat; pater autem noster in valetudinem incidebat, quæ eum quoque tandem, die vigesimo, sustulit. Hujus tanti sceleris præmium illa quidem, quæ operam ministram solummodo præstitit, facinore dignum jam abstulit (nam carnifici tradita et rotæ imposita supplicium luit), quanquam nullo modo in culpa erat: quæ autem est in culpa et scelus ipsa prima mente concepit et manibus suis paravit, ea, si cum diis vos quoque voletis, præmium mox auferet.

21. Reputate vobiscum quanto sint, quæ ego vos rogo, æquiora, quam quæ frater rogat. Ego quidem vos jubeo perempti necem, hoc est injuriam ei datam æternam nulloque pacto reparabilem, ulcisci: ille vero patris quidem, insuper habita deorum religione, flagitiosissime, præmature, ab iis, a quibus omnium minime decebat, e vita sublati, ne mentionem quidem ad vos faciet, cujus casum miserabilem vos et commiseratione prosequi et ulcisci par est; (22) pro ea autem femina supplicans, quæ suum maritum sustulit, preces vobis ingeret, infandas, detestabiles, quas et vos ab auribus vestris rejicietis, et dii rejicient, rogabit nempe vos, ut verum credatis esse id quod ne ipsa quidem sibimet credit, se nulla mala fraude hoc in negotio esse usam. Atqui vos non homicidarum estis protectores, sed vindices peremptorum præmeditata fraude, præsertim si fraus illa profecta fuerit ab iis a quibus minime oportebat. Jam penes vos est, ex æquo et vero causam disceptare: id quod hucusque fecistis. (23) Frater quidem vos mox rogabit, ut matrem suam, quæ vivit, salvam esse velitis, eam quæ maritum furioso impetu, juris omnis divini oblita, occidit, ut, si quidem persuadeat vobis, illa pœnas meritas facinorum ab se commissorum ne auferat: ego contra super patre meo vos rogo, patre mortuo, ut illa omni modo pœnas det debitas. Vos vero, quo scelerosi pœnas dent meritas, eo et ad judicandum convocamini et judices appellati estis. (24) Porro cædis hujus machinatricem ego in jure persequens, hoc ago, ut eam supplicio afficiam quod merita est, tum ut patrem nostrum vindicem, denique ut legum vestrarum auctoritatem tuear; quare decet vos, quotquot considetis, mihi præsto esse, si vera me dicere cognoveritis: ille ex adverso hoc agit ut, quæ mulier leges vestras sprevit, pœnis eam auxilio suo eripiat illis, quibus eam scelus suum obstrinxit. (25) Atqui, utrum, quæso vos, æquius est, præmeditatæ necis ream sceleris pœnas dare, an nullas dare? utrum æquius est, misericordia duci per nefas interempti, an ejus mulieris quæ illum sustulit? Equidem illum utique vestra digniorem commiseratione censeam: convenientius enim id sit et humanis et divinis legibus. Quapropter æquum ego arbitror, ut illa, quemadmodum patrem truculenta manu ferreisque præcordiis perdidit, ita ipsa quoque pereat et vestro et justitiæ decreto. (26) Quam enim necem maritus invitissimus, per vim sibi oblatam toleravit necessario, eam mulier ei sponte sua, a nemine coacta, deliberato proposito intulit. Nam qui non mortuus sit per vim, Judices, qui in procinctu staret cum nave peregre proficiscendi, et apud amicum hominem epularetur? ista vero venenum mittens, et mandans ut patri meo bibendum propinaretur, hæc est quæ patrem meum occidit. Qui jam hanc æquum est commiseratione seu reverentia prosequi vos aut alium quempiam? quæ in suum ipsa maritum commiserationem non habuit, sed eum impie et flagitiose necavit. (27) Dece utique misericordem esse erga miseros involuntariis infortuniis oppressos potius quam erga reos scelerum data opera designatorum. Atque ut illa thori sui consortem sustulit

μασι· καὶ ὥσπερ ἐκεῖνον αὐτὴ οὔτε θεοὺς οὔθ' ἥρωας οὔτ' ἀνθρώπους δείσασα ἀπώλεσεν, οὕτω καὶ αὐτὴ ὑφ' ὑμῶν καὶ τοῦ δικαίου ἀπολομένη, καὶ μὴ τυχοῦσα μήτ' αἰδοῦς μήτ' ἐλέου μήτ' αἰσχύνης μηδεμιᾶς παρ' ὑμῶν, τῆς δικαιοτάτης ἂν τύχοι τιμωρίας.

28. Θαυμάζω δ' ἔγωγε τῆς τόλμης τοῦ ἀδελφοῦ καὶ τῆς διανοίας τὸ διομόσασθαι ὑπὲρ τῆς μητρὸς εὖ εἰδέναι μὴ πεποιηκέναι ταῦτα. Πῶς γὰρ ἄν τις εὖ εἰδείη οἷς μὴ παρεγένετο αὐτός; οὐ γὰρ δήπου μαρτύρων γ' ἐναντίον οἱ ἐπιβουλεύοντες τοὺς θανάτους τοῖς πέλας μηχανῶνταί τε καὶ παρασκευάζουσιν, ἀλλ' ὡς μάλιστα δύνανται λαθραιότατα καὶ ὡς ἀνθρώπων μηδένα εἰδέναι· (29) οἱ δ' ἐπιβουλευόμενοι οὐδὲν ἴσασι πρὶν ἐν αὐτῷ ὦσι τῷ κακῷ γ' ἤδη καὶ γινώσκωσι τὸν ὄλεθρον ἐν ᾧ εἰσί. Τότε δέ, ἐὰν μὲν δύνωνται καὶ φθάνωσι πρὶν ἀποθανεῖν, καὶ φίλους καὶ ἀναγκαίους τοὺς σφετέρους καλοῦσι καὶ μαρτύρονται, καὶ λέγουσιν αὐτοῖς ὑφ' ὧν ἀπόλλυνται, καὶ ἐπισκήπτουσι τιμωρῆσαι σφίσιν αὐτοῖς ἠδικημένοις· (30) (ἃ κἀμοὶ παιδὶ ὄντι ὁ πατήρ, τὴν ἀθλίαν καὶ τελευταίαν νόσον νοσῶν, ἐπέσκηπτεν·) ἐὰν δὲ τούτων ἁμαρτάνωσι, γράμματα γράφουσι, καὶ οἰκέτας τοὺς σφετέρους αὐτῶν ἐπικαλοῦνται μάρτυρας, καὶ δηλοῦσιν ὑφ' ὧν ἀπόλλυνται. Κἀκεῖνος ἐμοὶ νέῳ ἔτι ὄντι ταῦτα ἐδήλωσε καὶ ἐπέστειλεν, ὦ ἄνδρες, οὐ τοῖς ἑαυτοῦ δούλοις.

31. Ἐμοὶ μὲν οὖν διήγηται καὶ βεβοήθηται τῷ τεθνεῶτι καὶ τῷ νόμῳ· ἐν ὑμῖν δ' ἔστι σκοπεῖν τὰ λοιπὰ πρὸς ὑμᾶς αὐτοὺς καὶ δικάζειν τὰ δίκαια. Οἶμαι δὲ καὶ τοῖς θεοῖς τοῖς κάτω μέλειν οἳ ἠδίκηνται.

neque deos neque heroes hujus patrii soli præsides neque cives reverita, sic rursus æquissimo jure tractabitur, si vestraque et juris æqui sententia morti damnata, sine commiseratione, sine reverentia sexus ulla, nulla cunctatione pereat.

28. Hic fratris mirari subit audaciam : qua demum is mente in contrajuramento affirmarit, se probe tenere matrem suam tantum scelus non patrasse. Qui tandem ea probe tu teneas, quibus, quum gererentur, haud interfuisses? nam profecto neces qui aliis comparant, hi ad clandestinas suas molitiones non advocant testes, sed machinantur fraudes suas quam possunt occultissime, seduloque cavent ut mortalium nemo resciat : (29) quo fit ut quorum capitibus fraudes consuuntur, hi nihil horum sciant, priusquam pestem sibi objectam jam sentiant in ipso interitu constituti. Tum vero illi, quibus quidem liceat ut ante exitium hoc facere præoccupent, convocatis amicis et necessariis exponunt et testantur de casu suo, nominatim appellantes exitii sui auctores, ultionemque injuriæ suæ ipsis exsequendam demandant; (30) (id quod pater quoque meus erga me, tum adhuc puerum, fecit, ex illa suprema et luctuosa valetudine cubans : sin autem ab hac opportunitate excludantur, literis mandant ea quæ verbis ad amicos edere negatum est, et antestantur servos suos, nominatim homicidas suos ad eos edentes. Ac pater quoque meus me, tum adhuc puerum, per literas de casu suo certiorem fecit, me, inquam, Judices, non servos suos.

31. Jam docui vos totam rem; succurri, quatenus potui, patrique defuncto jurique civili : jam vestrum est quæ agenda supersunt, vobiscum dispicere et jus æquum dicere. Opinor autem diis quoque inferis curæ esse qui per vim periere.

II.

115 ## ΤΕΤΡΑΛΟΓΙΑ Α.

1.

ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΠΑΡΑΣΗΜΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Πανταχοῦ μὲν τὴν οἰκείαν Ἀντιφῶν ἐνδείκνυται δύναμιν, μάλιστα δ' ἐν ταύταις ταῖς τετραλογίαις ἐν αἷς αὐτὸς πρὸς αὐτὸν ἀγωνίζεται· δύο γὰρ ὑπὲρ τοῦ κατηγόρου λόγους εἰπών, δύο καὶ ὑπὲρ τοῦ φεύγοντος ἐμελέτησεν, ὁμοίως ἐν ἀμφοτέροις εὐδοκιμῶν. Ἔοικε μὲν οὖν οὗτος ὁ λόγος τῷ Λυσίου λόγῳ τῷ πρὸς Μικίνην γεγραμμένῳ, ἔχει δ' αὐτῷ τὰ τῆς ὑποθέσεως ὧδε. Ἀναχωρῶν τις ἀπὸ δείπνου εὑρέθη σὺν τῷ ἀκολούθῳ συγκεκομμένος. Μετὰ τὴν αὐτοῦ τελευτὴν συγγενής τις αὐτοῦ κατηγορεῖ ἐχθροῦ αὐτοῦ ὡς πεποιηκότος τὸν φόνον· ὁ δ' ἀρνεῖται. Ὅθεν στοχασμὸς ἡ στάσις ἀτελής, ἐκ μόνου τοῦ προσώπου συνιστάμενος. Ἡ δὲ τοῦ λόγου διαίρεσις αὕτη. Ἐν μὲν τοῖς προοιμίοις κατάστασιν ὁ λόγος οὐκ ἔχει, διὰ τὸ μήπω τὴν ὅλην ἠκριβῶσθαι τέχνην· ἀρχόμενος δὲ τῶν ἀγώνων πρώτῃ ἐχρήσατο ἀναιρέσει αἰτιῶν, δι' ὧν ἀπέδειξεν ὅτι οὐδεὶς αὐτὸν τῶν ὀφειλόντων ὑπονοηθῆναι διέφθειρεν. Εἶτα περιίστησι τὸ πρᾶγμα εἰς τὸ δεῖξαι ὅτι ἐξ ἐπιβουλῆς ἀπέθανε, καὶ λοιπὸν ἐμβάλλει εἰς τὴν βούλησιν· τὴν δὲ τῶν ἐλέγχων ἀπαίτησιν λύει τῇ μαρτυρίᾳ τοῦ δούλου· εἶτα παρέκβασις καὶ ἐπίλογος.

II.

TETRALOGIA I.

1.

ACCUSATIO CÆDIS IN INCERTUM AUCTOREM.

ARGUMENTUM.

Ubique Antiphon innatam ipsi vim dicendi ostendit, maxime vero in sequentibus quattuor orationibus, in quibus secum ipse certat. Duas enim orationes ubi pro accusatore recitavit, duas pro reo habuit, in ambabus æque probatus. Hæc oratio similis est orationi Lysiæ ad Micinen scriptæ. Argumentum ejus hoc est. Quidam, a cœna rediens, cum pedisequo occisus inventus est. Post cujus mortem quidam ex affinibus inimicum ejus accusat ut hujus homicidii reum : ille infitiatur. Unde status, conjectura imperfecta, ex una tantum persona constans. Divisio orationis hæc est. In procemio constitutionem oratio non habet, quia nondum ratio dicendi ad perfectionem adducta erat : contentionem namque incipiens primum accusationis confutatione utitur, qua ostendit neminem ex debitoribus in suspicione esse hujus necis illatæ. Deinde causam urget, ostendens ex insidiis interfectum esse. Denique ad propositum transit, indiciorumque petitionem servi testimonio refellit. Deinde digressio et peroratio sequitur.

Ὁπόσα μὲν τῶν πραγμάτων ὑπὸ τῶν ἐπιτυχόντων ἐπιβουλεύεται, οὐ χαλεπὰ ἐλέγχεσθαί ἐστιν· ἂν δ' οἱ ἱκανῶς μὲν πεφυκότες, ἔμπειροι δὲ τῶν πραγμάτων ὄντες, ἐν δὲ τούτῳ τῆς ἡλικίας καθεστῶτες ἐν ᾧ κράτιστοι φρονεῖν αὑτῶν εἰσί, πράττωσι, χαλεποὶ καὶ διαγνωσθῆναι καὶ δειχθῆναί εἰσι· (2) διὰ γὰρ τὸ μέγεθος τοῦ κινδύνου ἐκ πολλοῦ τὴν ἀσφάλειαν ὧν ἐπιβουλεύουσι σκοποῦντες, οὐ πρότερον ἐπιχειροῦσιν ἢ πάσης ὑποψίας φυλακὴν ποιήσωνται. Γινώσκοντας οὖν ὑμᾶς χρὴ ταῦτα, κἂν ὁτιοῦν εἰκὸς παραλάβητε, σφόδρα πιστεύειν αὐτῷ· ἡμεῖς δ' οἱ ἐπεξερχόμενοι τὸν φόνον οὐ τὸν αἴτιον ἀφέντες τὸν ἀναίτιον διώκομεν· (3) σαφῶς γὰρ οἴδαμεν ὅτι πάσης τῆς πόλεως μιαινομένης ὑπ' αὐτοῦ, ἕως ἂν διωχθῇ, τό τ' ἀσέβημα ἡμέτερον γίνεται, τῆς θ' ἡμετέρας ἁμαρτίας ἡ ποινὴ εἰς ἡμᾶς τοὺς μὴ δικαίως διώκοντας ἀναχωρεῖ· ἅπαντος δὲ τοῦ μιάσματος ἀναχωροῦντος εἰς ἡμᾶς, ὡς ἂν δυνώμεθα σαφέστατα, ἐξ ὧν γινώσκομεν, πειρασόμεθα ὑμῖν δηλοῦν ὡς ἀπέκτεινε τὸν ἄνδρα.

4. Οὔτε γὰρ κακούργους εἰκὸς ἀποκτεῖναι τὸν ἄνθρωπον· ἔχοντες γὰρ ἂν τὰ ἱμάτια εὑρέθησαν· οὐδεὶς γὰρ ἂν τὸν ἔσχατον κίνδυνον περὶ τῆς ψυχῆς κινδυνεύων ἑτοίμην καὶ κατειργασμένην τὴν ὠφέλειαν ἀφῆκεν. Οὐ μὴν οὐδὲ παροινήσας οὐδεὶς διέφθειρεν αὐτόν· ἐγινώσκετο γὰρ ἂν ὑπὸ τῶν συμποτῶν. Οὐδὲ μὴν οὐδ' ἐκ λοιδορίας· οὐ γὰρ ἂν ἀωρὶ τῶν νυκτῶν οὐδ' ἐν ἐρημίᾳ ἐλοιδοροῦντο. Οὐδὲ μὴν ἄλλου στοχαζόμενος ἔτυχε τούτου· οὐ γὰρ ἂν σὺν τῷ ἀκολούθῳ διέφθειρεν αὐτόν. (5) Ἀπολυομένης δὲ τῆς ὑποψίας ἁπάσης αὐτὸς ὁ θάνατος ἐξ ἐπιβουλῆς ἀποθανόντα μηνύει αὐτόν. Ἐπιθέσθαι δὲ τίνα μᾶλλον εἰκός ἐστιν ἢ τὸν μεγάλα μὲν κακὰ προπεπονθότα, ἔτι δὲ μείζονα ἐπίδοξον ὄντα πάσχειν; ἔστι δὲ ὁ διωκόμενος οὗτος· ἐκ παλαιοῦ γὰρ ἐχθρὸς ὢν αὐτοῦ πολλὰς μὲν καὶ μεγάλας γραφὰς διώξας οὐδεμίαν εἷλεν, (6) ἔτι δὲ μείζους καὶ πλείους διωχθεὶς οὐδεπώποτ' ἀποφυγὼν ἱκανὸν μέρος τῶν ὄντων ἀποβέβληκε, τὰ δ' ἄγχιστα ἱερῶν κλοπῆς δυοῖν ταλάντοιν γεγραμμένος ὑπ' αὐτοῦ, συνειδὼς μὲν αὑτῷ τὸ ἀδίκημα, ἔμπειρος δ' ὢν τῆς τούτου δυνάμεως, μνησικακῶν δὲ τῶν ἔμπροσθεν, εἰκότως μὲν ἐπεβούλευσεν, εἰκότως δ' ἀμυνόμενος τὴν ἔχθραν ἀπέκτεινε τὸν ἄνδρα. (7) Ἥ τε γὰρ ἐπιθυμία τῆς τιμωρίας ἀμνήμονα τῶν κινδύνων καθίστη αὐτόν, ὅ τε φόβος τῶν ἐπιφερομένων κακῶν ἐκπλήσσων θερμότερον ἐπιχειρεῖν ἐπῆρεν· ἤλπιζέ τε τάδε μὲν δράσας καὶ λήσειν ἀποκτείνας αὐτὸν καὶ ἀποφεύξεσθαι τὴν γραφήν·
116 (8) οὔτε γὰρ ἐπεξιέναι οὐδένα, ἀλλ' ἐρήμην αὐτὴν ἔσεσθαι· εἴ τε καὶ ἁλοίη, τιμωρησαμένῳ κάλλιον ἔδοξεν αὑτῷ ταῦτα πάσχειν, ἢ ἀνάνδρως μηδὲν ἀντιδράσαντα ὑπὸ τῆς γραφῆς διαφθαρῆναι. Σαφῶς δ' ᾔδει ἁλωσόμενος αὐτήν· οὐ γὰρ ἂν τόνδε τὸν ἀγῶνα ἐνόμισεν ἀσφαλέστερον εἶναι.

9. Τὰ μὲν βιασάμενα ταῦτά ἐστιν ἀσεβῆσαι αὐτόν. Μάρτυρες δ' εἰ μὲν πολλοὶ παρεγένοντο, πολλοὺς ἂν παρεσχόμεθα· ἑνὸς δὲ τοῦ ἀκολούθου παραγενομένου, οἳ τούτου ἤκουον μαρτυρήσουσιν· ἔμπνους γὰρ ἔτι ἀρθείς,

Quæ quidem fraudes ab hominibus contemnendis comparatæ fuerint, eæ sunt ad coarguendum non admodum difficiles: fraudes autem si quæ constructæ fuerint ab hominibus nobili loco natis rerumque civilium usu tritis, et id ætatis agentibus quo quisque ad prudentiam valentissimus est, ejusmodi veteratores et noscitare et coarguere perquam est arduum. (2) Discriminis enim sui probe tenentes magnitudinem, e longinquo cautionem insidiarum quas parant meditati, prius operi manum non admovent quam suspicioni omni aditum ad se occluserint. Quorum vos gnaros oportet vel minimam veri speciem cupide captare eique fidem adhibere. Nos autem hujus cædis vindictam quærentes, non dimittimus sontem, persequimur insontem: (3) qui quidem probe teneamus, quum homicidii reatus totam civitatem teneat piaculo constrictam, donec homicida demonstretur, tum fore ut reatus ille a civitate in nos solos relabatur, et nostri erroris in nos recidat, qui injuste accusarimus. Certi itaque quum simus tunc omne hujus homicidii piaculum in nos solos esse relapsurum, conabimur ex iis, quæ probe cognita habemus, quam poterimus liquidissime vobis demonstratum dare, cædem hanc ab hoc homine, quem ejus insimulamus, peractam esse.

4. Neque enim probabile est eam a latronibus peractam esse; quia et herus et servus cum eo peremptus suis adhuc amicti vestibus reperti sunt: latro autem nemo sine illo compendio discessisset, cujus adipiscendi causa caput ipse suum discrimini objecit; quum prædam promptam et paratam haberet. Porro ne per rixam quidem inter pocula coortam confossi sunt: statim enim ejusmodi homicida a compotoribus esset agnitus. Non magis jurgium ei necem contraxit: neque enim nocte intempesta et in loco deserto quispiam alii cuipiam convicia ingerit. Denique nec jaculo alium nescio quem petens aliquis telo aberrante hunc confodit: tum enim pedissequum non simul necasset. (5) Refutata igitur suspicione alia quacumque, nil superest quam ut hic peremptus ex insidiis inimici ceciderit; id quod ipsum mortis genus clamat. Sed ei insidiatum esse ecquemnam sit credibilius, quam eum, cui post magnas clades olim a perempto acceptas adhuc multo majores ab eodem essent inevitabiliter metuendæ? Quæ est conditio hujus hominis a me rei facti. Hic enim, a longinquo infestus perempto, multas quidem ei capitales causas in foro dicendas objecit, in quarum nulla eum condemnavit; (6) contra vero a perempto criminibus exagitatus et gravioribus et pluribus, semper condemnatus, rei familiaris cladem insignem accepit, et novissime reus sacrilegii, lite duobus talentis æstimata, criminis incusati probe sibi conscius, accusatoris facundiam et auctoritatem cognitam habens, injuriarum ab eodem accusatore pridem acceptarum usque memor, hic igitur haud dubie de inimico tollendo consilia cepit, haud dubie eum hac nece ultus est. (7) Et ardor enim vindictæ discriminum in quæ se induebat oblitum reddidit, et metus malorum ab illo imminentium, ita exsternabat, ut hoc calidius manum facinori adjiceret, sperans, illum si sustulerit, fore ut et in occulto maneat facinus, et ipse litem subterfugiat: (8) Ab nemine enim actam, haud dubie desertum iri: imo etiamsi damnaretur, multo esse gloriosius non inultum hæc pati quam imbellem ex judicum sententia mortem accipere jugulo ultro oblato. Certum autem eum fuisse, crimen hoc de sacrilegio ipsi capitale fore, ex eo constat, quod hanc actionem de homicidio cum minore quam illam periculo conjunctam esse putavit.

9. Hæ sunt illæ necessitates, quæ eum ad committendam cædem adegerunt. Testes autem si multi tum adfuissent, multos produxissemus. At unus tantummodo adfuit pedissequus: hunc qui testimonium edentem audiverunt, testabuntur. Nam spirans adhuc ille a supervenientibus

ἀνακρινόμενος ὑφ' ἡμῶν, τοῦτον μόνον ἔφη τῶν παρόντων γνῶναι αὐτούς. Ἐξελεγχόμενος δ' ὑπό τε τῶν εἰκότων ὑπό τε τῶν παραγενομένων, οὐδενὶ τρόπῳ οὔτε δικαίως οὔτε συμφερόντως ἀπολύοιτ' ἂν ὑφ' ὑμῶν. (10) Οἵ τε γὰρ ἐπιβουλεύοντες ἀνεξέλεγκτοι ἂν εἴησαν, εἰ μήθ' ὑπὸ τῶν παραγενομένων μήθ' ὑπὸ τῶν εἰκότων ἐξελέγχονται· ἀσύμφορόν θ' ὑμῖν ἐστὶ τόνδε μιαρὸν καὶ ἄναγνον ὄντα εἰς τὰ τεμένη τῶν θεῶν εἰσιόντα μιαίνειν τὴν ἁγνείαν αὐτῶν, ἐπί τε τὰς αὐτὰς τραπέζας ἰόντα συγκαταπιμπλάναι τοὺς ἀναιτίους· ἐκ γὰρ τούτων αἵ τε ἀφορίαι γίγνονται, δυστυχεῖς θ' αἱ πράξεις καθίστανται. (11) Οἰκείαν οὖν χρὴ τὴν τιμωρίαν ἡγησαμένους, αὐτῷ τούτῳ τὰ τούτου ἀσεβήματα ἀναθέντας, ἰδίαν μὲν τὴν συμφοράν, καθαρὰν δὲ τὴν πόλιν καταστῆσαι.

β.

ΑΠΟΛΟΓΙΑ ΕΙΣ ΤΟ ΑΥΤΟ ΠΡΑΓΜΑ.

ΥΠΟΘΕΣΙΣ.

Ὁμολογεῖ μὲν τὴν πρώτην ἔχθραν τὴν πρὸς τὸν τεθνηκότα ὁ ἀπολογούμενος, ἀρνεῖται δὲ τὸν φόνον, καὶ τεκμήριον τοῦ μὴ πεφονευκέναι ποιεῖται τὴν ἔχθραν. Λέγει γὰρ ὅτι ἐχθρὸς ὢν ᾔδειν πάντως τὴν αἰτίαν κατ' ἐμαυτοῦ ἥξουσαν· διὰ τοῦτο οὐκ ἂν ἐφόνευον. Διαβάλλει δὲ καὶ τὴν μαρτυρίαν τοῦ οἰκέτου, ὡς ἐκ παρασκευῆς γεγονυῖαν τῶν δεσποτῶν. Οὐκ ἀπίθανον δέ φησι κακούργους ἀνελόντας αὐτὸν ἀποδῦσαι τὰ ἱμάτια μὴ φθάσαι.

Οὔ μοι δοκῶ ἁμαρτάνειν ἀτυχέστατον ἐμαυτὸν ἡγούμενος εἶναι τῶν πάντων ἀνθρώπων. Τῶν μὲν γὰρ ἄλλων οἱ δυστυχοῦντες, ὁπόταν μὲν ὑπὸ χειμῶνος πονῶσιν, εὐδίας γενομένης παύονται· ὅταν δὲ νοσήσωσιν, ὑγιεῖς γενόμενοι σῴζονται· ἐὰν δέ τις ἄλλη συμφορὰ καταλαμβάνῃ αὐτούς, τὰ ἐναντία ἐπιγινόμενα ὀνίνησιν. (2) Ἐμοὶ δὲ ζῶν τε ἄνθρωπος ἀνατροπεὺς τοῦ οἴκου ἐγένετο, ἀποθανών τε, κἂν ἀποφύγω, ἱκανὰς λύπας καὶ φροντίδας ἐμβέβληκεν. εἰς τοῦτο γὰρ βαρυδαιμονίας ἥκω, ὥστε οὐκ ἀρκοῦν μοί ἐστιν ἐμαυτὸν ὅσιον καὶ δίκαιον παρέχοντα μὴ διαφθαρῆναι, ἀλλὰ κἂν μὴ τὸν ἀποκτείναντα εὑρὼν ἐξελέγξω, ὃν οἱ τιμωροῦντες αὐτῷ ἀδύνατοι εὑρεῖν εἰσίν, αὐτὸς καταδοχθεὶς φονεὺς εἶναι ἀνοσίως ἁλώσομαι. (3) Καὶ ἐμὲ ὡς δεινὸν μὲν παγχάλεπόν φασιν ἐλέγχεσθαι εἶναι, ὡς δ' ἠλίθιον ἐξ αὐτῶν ὧν ἔπραξα φανερὸν εἶναι ἐργασάμενον τὸ ἔργον. Εἰ γὰρ νῦν διὰ τῆς ἔχθρας τὸ μέγεθος εἰκότως ὑφ' ὑμῶν καταδοκοῦμαι, πρὶν ἐργάσασθαι εἰκότερον ἦν τὸν εἰδότα τὴν ὑποψίαν τὴν νῦν εἰς ἐμὲ ἰοῦσαν, καὶ τῶν ἄλλων εἴ τινα ἔγνων ἐπιβουλεύοντα αὐτῷ, διακωλύειν μᾶλλον ἢ αὐτὸν ἐργασάμενον εἰς ἑκουσίους καὶ προδήλους ὑποψίας ἐμπεσεῖν· ἔκ τε γὰρ αὐτοῦ τοῦ ἔργου φανερὸς γενόμενος ἀπωλλύμην, λαθών τε σαφῶς ᾔδειν τήνδε τὴν ὑποψίαν εἰς ἐμὲ ἰοῦσαν. (4) Ἄθλια μὲν οὖν πάσχω μὴ ἀπολογεῖσθαι μόνον βιαζόμενος, ἀλλὰ καὶ τοὺς ἀποκτείναντας

sublatus fuit: is a nobis de homicida interrogatus respondit, de toto globo grassatorum se alium neminem noscitasse præterquam hunc unum quem cædis postulo. Tenetur itaque convictus quum argumentis e probabilitate ductis, tum testimoniis eorum qui aderant pedisséquo: ejusmodi reum nullo prorsus modo vobis licet absolvere, neque per jus neque per commoda. (10) Nam sic grassator nemo convincatur, si neque argumenta e consentaneo petita, neque testimonia eorum qui rebus gestis interfuere, eos arguendo sint. Sed etiam haud expedit hunc impurum, humano cruore madentem, incesto pede limina deorum calcantem, sanctimoniam fanorum polluere, aut assidentem iisdem mensis convictores, quamvis insontes, spurcitie sua respergere: exsistunt enim inde annonarum caritates, terrarum et animalium sterilitates, denique negotia omnia per hos sinistris fortunis implicantur. (11) Decet ergo vos, existimantes hujus cædis ultionem ad vestra ipsorum capita pertinere, scelerati hujus facinora in ipsius caput retorquere, et efficere ut malum unius hominis sit privatum, civitas autem universa repurgetur.

2.

DEFENSIO EJUSDEM CÆDIS.

ARGUMENTUM.

Accusatus fatetur quidem antiquam inimicitiam, quæ illi cum interfecto intercesserat, homicidium tamen negat, et indicium facit se eum non interfecisse, ipsam inimicitiam. Decit enim: inimicus quum sim, omnino scivi mihi causam contrariam eventuram; propterea fieri non potest ut ego interfecerim. Refellit et testimonium servi, utpote a dominis subornatum. Nec incredibile dicit, grassatoribus, qui illum interfecerint, tempus non fuisse concessum ut eum pallio spoliarent.

Non videor mihi errare, existimans me hominum natorum omnium esse infelicissimum. Ceteri enim si qui adversa cum fortuna conflictentur, finem tamen malorum suorum inveniunt, ut procellis jactati, rursus succedente tranquillitate maris aut cœli serenitate; ægri convalescunt tandem et resurgunt salvi: quæcunque aliæ calamitates alios perculerint, succedentes contrariæ illis prosperitates illas depellunt et sanant. (2) Mihi vero hic homo fataliter et superstes adhuc fundi mei fuit calamitas, et nunc mortuus in capitis me conjecit discrimen, quod etiamsi effugero, relinquet tamen mihi mœrorum atque sollicitudinum satis superque. Tam me gravis urget sors, ut non satis ad salutem mihi sit, me ipsum pietatis erga deos jurisque civilis observantem præstitisse; sed etiam, nisi homicidam investigaro atque coarguero, quem ipsi invenire nequeunt hi qui ultores mortui exstiterunt, ego falsa cædis suspicione oppressus contra jus et fas damner. (3) Ac me illi ut hominem callidum difficillime coargui dicunt: at iidem tamen rursus ea me patrasse aiunt, quæ si patraro, necesse sit omnium hominum me tardissimum atque vecordissimum esse. Nam si nunc cum probabilitate aliqua, ob magnitudinem illarum inimicitiarum, a vobis in suspicionem adducor: multo vero erat probabilius prænovisse me, antequam facinus perpetrarem, suspicionem quæ nunc in me incumbit: imo vero erat multo magis consentaneum, me, si quem alium nossem ejus vitæ insidiantem, operam dare, ut eum a proposito illo revocarem facinorique intercederem, quam me facinus id patrare, per quod in suspiciones incurrerem, haud dubias illas et ultro arcessitas. Nam tale erat hoc facinus, ut omni modo mihi pereundum esset, sive deprehenso, sive latenti, ut quem vel sic oppressuram esse suspicionem probe sciebam. (4) Miserrima igitur in conditione versor, qui cogar, non modo me purgare, sed etiam

φανεροὺς καταστῆσαι· ὅμως δὲ καὶ τοῦτο ἐπιχειρητέον· οὐδὲν γὰρ πικρότερον τῆς ἀνάγκης ἔοικεν εἶναι. Ἔχω δὲ οὐδαμῶς ἄλλως ἐλέγχειν ἢ ἐξ ὧν τοὺς ἄλλους ὁ κατήγορος ἀπολύων αὐτὸν τὸν θάνατόν φησι μηνύειν ἐμὲ τὸν φονέα ὄντα. Εἰ γὰρ τούτων ἀναιτίων δοκούντων εἶναι ἐν ἐμοὶ τἀδίκημα φανεῖται, τούτων ὑπόπτων ὄντων ἐγὼ ἂν εἰκότως καθαρὸς δοκοίην εἶναι.

117 5. Ἔστι δὲ οὐκ ἀπεικός, ὡς οὗτοι φασίν, ἀλλὰ εἰκὸς ἀωρὶ τῶν νυκτῶν πλανώμενον ἐπὶ τοῖς ἱματίοις διαφθαρῆναι. Τὸ μὲν γὰρ μὴ ἐκδυθῆναι οὐδὲν σημεῖόν ἐστιν· εἰ γὰρ μὴ ἔφθησαν περιδύσαντες αὐτόν, ἀλλά τινας προσιόντας φοβηθέντες ἀπέλιπον, ἐσωφρόνουν καὶ οὐκ ἐμαίνοντο τὴν σωτηρίαν τοῦ κέρδους προτιμῶντες. (6) Εἰ δὲ μὴ καὶ ἐπὶ τοῖς ἱματίοις διεφθάρη, ἀλλ' ἑτέρους ἰδὼν ἄλλο τι κακὸν ποιοῦντας, ἵνα μὴ μηνυτὴς τοῦ ἀδικήματος γένηται, ἀπέθανεν ὑπ' αὐτῶν, τίς οἶδε; Τοὺς δὲ μὴ πολὺ ἧσσον ἐμοῦ μισοῦντας αὐτόν (ἦσαν δὲ πολλοί) πῶς οὐκ εἰκὸς ἦν ἐμοῦ μᾶλλον διαφθεῖραι αὐτόν; ἐκείνοις μὲν γὰρ φανερὰ ἦν ἡ ὑποψία εἰς ἐμὲ ἰοῦσα, ἐγὼ δὲ ὑπὲρ ἐκείνων ὑπαίτιος ἐσόμενος σαφῶς ᾔδειν. (7) Τοῦ δὲ ἀκολούθου ἡ μαρτυρία πῶς ἀξία πιστεύεσθαί ἐστιν; ὑπό τε γὰρ τοῦ κινδύνου ἐκπεπληγμένον αὐτὸν οὐκ εἰκὸς ἦν τοὺς ἀποκτείναντας γνῶναι, ὑπό τε τῶν κυρίων ἀναγινωσκόμενον ἐπινεῦσαι ἦν εἰκός. Ἀπιστουμένων δὲ καὶ τῶν ἄλλων δούλων ἐν ταῖς μαρτυρίαις (οὐ γὰρ ἂν ἐβασανίζομεν αὐτούς) πῶς δίκαιον τούτῳ μαρτυροῦντι πιστεύσαντας διαφθεῖραί με; (8) Εἰ δέ τις τὰ εἰκότα ἀληθέσιν ἴσα ἡγεῖται καταμαρτυρῆσαί μου, ταὐτὸν ἀντιλογισάσθω, ὅτι με εἰκότερον ἦν τὴν ἀσφάλειαν τῆς ἐπιβουλῆς τηροῦντα φυλάξασθαι καὶ μὴ παραγενέσθαι τῷ ἔργῳ μᾶλλον ἢ τοῦτον σφαττόμενον ὀρθῶς γνῶναι. (9) Ὡς δὲ τόνδε τὸν κίνδυνον οὐκ ἀσφαλέστερον τοῦ ἀπὸ τῆς γραφῆς ἡγούμην εἶναι, ἀλλὰ πολλαπλάσιον, εἰ μὴ παρεφρόνουν, διδάξω. Ἁλοὺς μὲν γὰρ γραφὴν τῆς μὲν οὐσίας ᾔδειν ἐκστησόμενος, τῆς δὲ πόλεως καὶ τοῦ σώματος οὐκ ἐστερούμην, περιγενόμενος δὲ καὶ λειφθείς, κἂν ἔρανον παρὰ τῶν φίλων συλλέξας, οὐκ ἂν εἰς τὰ ἔσχατα κακὰ ἦλθον· ἐὰν δὲ νῦν καταληφθεὶς ἀποθάνω, ἀνόσια ὀνείδη τοῖς παισὶν ὑπολείψω, ἢ φυγὼν γέρων καὶ ἄπολις ὢν ἐπὶ ξενίας πτωχεύσω.

10. Οὕτω μὲν ἃ κατηγόρηταί μου, πάντα ἄπιστά ἐστιν· ἀπολύεσθαι δὲ ὑφ' ὑμῶν, εἰ καὶ εἰκότως μὲν ὄντως δὲ μὴ ἀπέκτεινα τὸν ἄνδρα, πολὺ μᾶλλον δίκαιός εἰμι. Ἐγώ τε γὰρ φανερὸν ὅτι μεγάλα ἀδικούμενος ἠμυνάμην· οὐ γὰρ ἂν ἐδόκουν εἰκότως ἀποκτεῖναι αὐτόν· τούς τε ἀποκτείναντας καὶ οὐ τοὺς αἰτίαν ἔχοντας ἀποκτεῖναι ὀρθῶς ἂν καταλαμβάνοιτε. (11) Ἐκ δὲ παντὸς τρόπου ἀπολυόμενος τῆς αἰτίας ἔγωγε οὔτε εἰς τὰ τεμένη εἰσιὼν τὴν ἁγνείαν τῶν θεῶν μιανῶ, οὔτε ὑμᾶς πείθων ἀπολῦσαί με ἀνόσια πράττω. Οἱ δὲ διώκοντες μὲν ἐμὲ τὸν ἀναίτιον τὸν δ' αἴτιον ἀφιέντες τῆς τε ἀφορίας αἴτιοι γίνονται, ὑμᾶς τε ἀσεβεῖς εἰς τοὺς θεοὺς πείθοντες καταστῆναι πάντων ὧν ἐμὲ ἄξιόν

homicidas quos ignoro indicare. Nihilominus hoc quoque facere conabor : necessitas enim (ut in proverbio fertur) telorum omnium est acerrimum. Non autem repellendi accusatorem ulla argumenta habeo alia atque illa ipsa quibus accusator ceteros omnes crimine solvit, mé vero ut occisorem deferri ipso cædis genere contendit. Hos igitur innoxios esse demonstrando si in me cadit culpa cædis, illos in suspicione esse docendo ego haud dubie purus et crimine vacuus esse videbor.

5. Negant hi probabile esse, quod ego aio vel maxime probabile esse, ut cæsus, dum nocte intempesta vagaretur, a grassatoribus confossus sit vestimentorum cupiditate illectis. Nam quod vestibus spoliati jacentes non fuerint, ex eo nihil colligi potest : potuit fieri ut homines intervenientes ipsis, otio eos excluderent vestes jacentibus destringendi, quorum hominum metu, si jacentes una cum vestibus reliquerunt, utique non desipuerunt, sed vel maxime sapuerunt, salutem lucello præferentes. (6) Sed fac illum non vestium causa peremptum esse : quid tum? quis scit annon hic, videns nescio quos malum aliquod facinus patrantes, ab his occisus fuerit, metuentibus ne sui facinoris ille index fieret? Porro qui peremptum non multo minore odio prosequebantur, quam fuit meum illius odium, nonne magis erat probabile hos, quam me, eum sustulisse? Norant, hic si a quocunque tandem tolleretur, futurum ut cædis in me suspicio incumberet; ego autem me culpam ipsorum luiturum esse probe sciebam. (7) Pedissequi testimonium qui tandem credibile sit? a quo, discrimine exsternato, noscitatum fuisse homicidam ita parum est credibile, ut contra credibile est, eum ab hominibus, quorum in potestate esset, interrogatum, ad omnia quæ illi vellent statim assensum esse. Universe fides servorum omnium in edendis testimoniis quum sublesta sit (nam ni esset, cur eos tormentis subjiceremus?) qui par erit huic servo fidem haberi aienti herum suum a me peremptum esse? (8) Argumenta porro solummodo probabilia si quis censeat paris esse ponderis cum veris et certis, eum velim in contrariam partem hoc secum reputare : multo erat verisimilius me, in parandis insidiis securitatem et cautionem secutum, cavisse ut a cædis exsecutione abessem, quam ut interessem, eoque me meis oculis de veritate cædis certum redderem. (9) Hoc autem, quo nunc teneor, actionis forensis de homicidio discrimen minime mihi visum fuisse expeditius atque tutius, quam alterum istud de sacrilegio, imo vero, si non plane desipui, multis modis formidabilius, id nunc demonstratum eo. Nam si causa sacrilegii caderem, futurum erat ut fortunis solummodo mulctarer; jus civitatis et spiritum mihi nemo erat erepturus; salva autem vita mihi relicta, etiamsi causa cecidissem et fortunas amisissem, non tamen ideo fuissem in ultima mala adductus, sed ab amicis stipe collectitia mihi necessaria parassem · homicidii autem in causa hic victum me manebant supplicium mortis certum, ignominia nefandi sceleris quam liberis pro patrimonio eram relicturus; aut si fuga mortis supplicium prævenirem, homini seni et extorri mendicitatis mala erunt toleranda.

10. Planum itaque feci, nullam criminationum ab accusatore in me intortarum esse credibilem. Sed fac tamen probabile quidem, at non certum et exploratum videri, eam cædem a me patratam esse : vel sic me a vobis par est absolvi potius quam damnari. Nam injurias magnas ab inimico mihi oblatas me scitis defendisse; nam ni ita essent, non possem cum specie aliqua videri fecisse facinus : homicidas autem, et non quibus homicidii crimen modo objicitur, jure condemnaritis. (11) Quicquid est, quocunque vos me pacto absolveritis hoc crimine, non polluam deorum sanctimoniam in eorum fana ingrediens, et contendens vobis persuadere ut me absolvatis, nefanda non facio. At illi, qui, omisso vero homicida, me insontem homicidii reum agunt illi sterilitatis calamitatem patriæ inferunt, illi auctores vobis fiunt, ut impietate numina deorum lædatis : hi digni denique sunt, qui eadem omnia patiantur ipsi,

φασι παθεῖν εἶναι δίκαιοί εἰσι τυγχάνειν. (12) Τούτους μὲν οὖν τούτων ἀξίους ὄντας ἀπίστους ἡγεῖσθε· ἐμὲ δὲ ἐκ τῶν προειργασμένων γνώσεσθε οὔτε ἐπιβουλεύοντα οὔτε τῶν οὐ προσηκόντων ὀρεγόμενον, ἀλλὰ τἀναντία τούτων πολλὰς μὲν καὶ μεγάλας εἰσφορὰς εἰσφέροντα, πολλὰ δὲ τριηραρχοῦντα, λαμπρῶς δὲ χορηγοῦντα, πολλοῖς δὲ ἐρανίζοντα, μεγάλας δὲ ὑπὲρ πολλῶν ἐγγύας ἀποτίνοντα, τήν τε οὐσίαν οὐ δικαζόμενον ἀλλ' ἐργαζόμενον κεκτημένον, φιλοθύτην δὲ καὶ νόμιμον ὄντα. Τοιούτου δὲ ὄντος μου μηδὲν ἀνόσιον μηδὲ αἰσχρὸν καταγνῶτε. (13) Εἰ δὲ ὑπὸ ζῶντος ἐδιωκόμην, οὐκ ἂν μόνον ὑπὲρ ἐμαυτοῦ ἀπελογούμην, ἀλλ' αὐτόν τε τοῦτον καὶ τοὺς τούτῳ μὲν βοηθοῦντας, παρ' ἐμοῦ δὲ ὠφελεῖσθαι ζητοῦντας ἐφ' οἷς κατηγορεῖταί μου, ἀπέδειξα ἂν ἀδικοῦντας. Ταῦτα μὲν οὖν ἐπιεικέστερον ἢ δικαιότερον παρήσω· δέομαι δ' ὑμῶν, ὦ ἄνδρες τῶν μεγίστων κριταὶ καὶ κύριοι, ἐλεήσαντας τὴν ἀτυχίαν μου ἰατροὺς γενέσθαι αὐτῆς, καὶ μὴ συνεπιβάντας τῇ τούτων ἐπιθέσει περιιδεῖν ἀδίκως καὶ ἀθέως διαφθαρέντα με ὑπ' αὐτῶν.

Γ.

ΕΚ ΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

118 ### ΥΠΟΘΕΣΙΣ.

Τὰ εἰρημένα ὑπὸ τοῦ κατηγορουμένου λύει ἐνταῦθα, ὡς οὔτε ἄπιστος ἡ μαρτυρία τοῦ οἰκέτου, οὔτε ἀπίθανον πλούσιον ὄντα καὶ ἔνδοξον ποιῆσαι τὸν φόνον, διακινδυνεύειν μέλλοντα ὑπ' αὐτοῦ τὴν οὐσίαν ἀπολέσαι. Τὰς προτάσεις δὲ λύει κατὰ περιτροπήν· ἐκείνου γὰρ εἰπόντος ὅτι ἀτυχής εἰμι, περιτρέπει λέγων ὅτι ἡ ἀτυχία παρ' αὐτοῦ ἀδικεῖται.

Ἡ τε ἀτυχία ἀδικεῖται ὑπ' αὐτοῦ, ἣν προϊστάμενος τῆς κακουργίας ἀφανίσαι τὴν αὐτοῦ μιαρίαν ζητεῖ· ὑπό τε ὑμῶν οὐκ ἄξιος ἐλεεῖσθαί ἐστιν, ἀκούσιον μὲν τῷ παθόντι περιθεὶς τὴν συμφοράν, ἑκουσίως δὲ αὐτὸς εἰς τοὺς κινδύνους καταστάς. Ὡς μὲν οὖν ἀπέκτεινε τὸν ἄνδρα, ἐν τῷ προτέρῳ λόγῳ ἀπεδείξαμεν· ὡς δὲ οὐκ ὀρθῶς ἀπελογήθη, νῦν πειρασόμεθα ἐλέγχοντες.

2. Εἴτε γὰρ προσιόντας τινὰς ἰδόντες οἱ ἀποκτείναντες αὐτοὺς ἀπολιπόντες ᾤχοντο φεύγοντες πρότερον ἢ ἀπέδυσαν, οἱ ἐντυχόντες ἂν αὐτοῖς, εἰ καὶ τὸν δεσπότην τεθνεῶτα εὗρον, τόν γε θεράποντα, ὃς ἔμπνους ἀρθεὶς ἐμαρτύρει, ἔτι ἔμφρονα εὑρόντες, σαφῶς ἀνακρίναντες τοὺς ἐργασαμένους ἤγγειλαν ἂν ἡμῖν, καὶ οὐκ οὗτος τὴν αἰτίαν εἶχεν· εἴτε ἄλλοι τινὲς ἕτερόν τι τοιοῦτον κακουργοῦντες ὀφθέντες ὑπ' αὐτῶν, ἵνα μὴ γνωσθῶσι διέφθειραν αὐτούς, ἅμα τῷ τούτων φόνῳ τὸ κακούργημα ἂν ἐκηρύσσετο καὶ εἰς τούτους ἂν ἡ ὑποψία ἧκεν. (3) Οἵ τε ἧσσον κινδυνεύοντες τῶν μᾶλλον ἐν φόβῳ ὄντων οὐκ οἶδ' ὅπως ἂν μᾶλλον ἐπεβούλευσαν αὐτῷ· τοὺς μὲν γὰρ ὅ τε φόβος ἥ τε ἀδικία ἱκανὴ ἦν παῦσαι τῆς προμηθίας, τοῖς δὲ ὅ τε κίνδυνος ἥ τε αἰσχύνη μείζων οὖσα τῆς διαφορᾶς, εἰ καὶ διενοήθησαν ταῦτα πρᾶξαι,

quæ me aiunt meruisse, supplicia. (12) Hujusmodi hominibus, tam impuris, denegate, Judices, fidem vestram: me vero e moribus et factis ante actæ omnis meæ vitæ spectate; deprehendetis me neque vitæ cujusquam insidiari neque bona aliena appetere, sed contra, multas et magnas contributiones contribuere, multa in trierarchatus, eosque crebros, insumere, splendida munera choregalia edere, multis succurrere gratuitis de meo largitionibus, pro multis, quibus me de nominibus haud contemnendis prædem præstitissem, luere solitum, rem auxisse non litium forensium sordibus, sed honesti quæstus exercitatione, crebra diis offerre sacrificia, civilemque me et legibus obsequentem gerere. Talis quum sim, nihil mihi nefastum aut turpe infligite. (13) Quodsi peremptus hic adhuc in vivis superesset, non satis haberem me purgare, sed etiam eum, unaque hos, qui sub prætextu ulciscendæ injuriæ huic a me oblatæ latentes lucrum de me facere conantur, demonstrarem summam injuriam exercere. Verum majore etiam, quam erga eos decebat, æquitate utar; transmittam hæc: unum hoc vos rogabo, qui summæ rerum estis arbitri atque compotes, ut sinatis vos infelicitate mea ad misericordiam flecti vulneribusque meis salutarem vestram manum admoveatis; nolite, juncta cum his infesta opera, committere ut hi me pessumdent modo turpissimo legibusque divinis pariter atque humanis repugnantissimo.

3.

ACCUSATORIS ORATIO ALTERA.

ARGUMENTUM.

Quæ a reo dicta sunt, in hac oratione Antiphon refellit, quando neque servi testimonium infidele et incredibile est, neque, quanquam dives esset et nobilis, improbabile eum homicidium fecisse, quippe bonis periclitaturum. Propositiones vero per inversionem diluit: illo namque dicente, Infelix sum, invertit, dicens calamitatem sibi ipsi damno esse.

Injuriam utique hic facit infelicitatis nomini, quod ille prætendens piaculare suum facinus obumbrare conatur, neque vestra dignus est, Judices, misericordia, qui quum peremptum calamitate perculit invitum, tum semet ipse in discrimen conjecit volens ultro. Interfectum esse ab ipso virum, superiore oratione planum feci: nunc autem arguere conabor, crimen hoc ab eo non ita, ut par erat, depulsum esse.

2. Fac verum esse, quod ille ait, latrones a spoliandis cadaveribus impeditos interventu quorundam quos ad se advenire vidissent, fuga salutem quæsivisse, nil curantes vestimenta illis detrahere. At intervenientes hi, etsi herum jam exanimatum invenerint, famulum tamen (qui spirans adhuc sublatus testimonium dixit) utique invenerint sui conscium; hunc certe diligenter interrogassent de homicida, et, re comperta, nomina sceleratorum ab illo edita ad nos retulissent: sic liber a culpa reus hic mansisset. Vel si peremptum alios quosdam in facinore malo videntem, ideo fuisse ab his occisum faciamus, ne facinoris hujus index fieret: una cum heri famulique cæde alterum quoque istorum facinus innotuisset in ipsosque convertisset facti suspicionem. (3) Jam vero non exputo qui potuerint minore in discrimine versantes animum inducere ut magis hujus perempti vitæ insidiarentur, quam qui in majore erant periculo. His metus atque recogitatio injuriæ sufficere poterat ad abjiciendum et repellendum consilium atrox: illorum autem simultatem atque vindictæ sitim satis restinguere poterat et cogitatio periculi subeundi et ignominiæ contra-

ἀρχοῦσα ἦν σωφρονίσαι τὸ θυμούμενον τῆς γνώμης. (4) Οὐκ ὀρθῶς δὲ τὴν τοῦ ἀκολούθου μαρτυρίαν ἄπιστον λέγουσιν εἶναι. Οὐ γὰρ ἐπὶ ταῖς τοιαύταις μαρτυρίαις βασανίζονται, ἀλλ' ἐλεύθεροι ἀφίενται· ὁπόταν δὲ ἢ κλέψαντες ἀπαρνῶνται ἢ συγκρύπτωσι τοῖς δεσπόταις, τότε βασανίζοντες ἀξιοῦμεν ἀληθῆ λέγειν αὐτούς. (5) Οὐδὲ μὴν ἀπογενέσθαι ἢ παραγενέσθαι εἰκότερον αὐτόν ἐστιν. Εἰ γὰρ ἀπεγένετο, τὸν μὲν κίνδυνον τὸν αὐτὸν ἔμελλε καὶ παρὼν κινδυνεύσειν (πᾶς γὰρ αὐτῶν ληφθεὶς τοῦτον ἂν τὸν ἐπιβουλεύσαντα ἤλεγχεν ὄντα), τὸ δ' ἔργον ἧσσον πράσσειν· οὐδεὶς γὰρ ὅστις τῶν παρόντων οὐκ ἂν ὀκνηρότερος εἰς τὴν πρᾶξιν ἦν. (6) Ὡς δ' οὐκ ἐλάσσω ἀλλὰ πολὺ μείζω τὸν ἀπὸ τῆς γραφῆς κίνδυνον ἢ τόνδε ἡγεῖτο εἶναι, διδάξω. Τὸ μὲν ἁλῶναι καὶ ἀποφυγεῖν ἀμφοτέρας τὰς διώξεις ἐν ἴσαις ἐλπίσι θῶμεν αὐτῷ εἶναι. Μὴ παραχθῆναι δὲ τὴν γραφὴν οὐδεμίαν ἐλπίδα γ' εἶχε τούτου ζῶντος· οὐ γὰρ ἂν ἐπέθετο αὐτῷ· εἰς δὲ τόνδε τὸν κίνδυνον ἥξειν οὐκ ἤλπισε· λήσειν γὰρ ἐδόκει ἀποκτείνας αὐτόν. (7) Ἀξιῶν δὲ διὰ τὸ φανερὰν εἶναι τὴν ὑποψίαν αὐτῷ μὴ καταδοκεῖσθαι ὑφ' ὑμῶν, οὐκ ὀρθῶς ἀξιοῖ. Εἰ γὰρ τοῦτον ἐν τοῖς μεγίστοις κινδύνοις ὄντα ἱκανὴ ἦν ἡ ὑποψία ἀποτρέψαι τῆς ἐπιθέσεως, οὐδεὶς ἄρ' ἐπεβούλευσεν αὐτῷ· πᾶς γὰρ ἄν τις τῶν ἧσσον κινδυνευόντων, τὴν ὑποψίαν μᾶλλον τοῦ κινδύνου φοβούμενος, ἧσσον ἢ οὗτος ἡγεῖτο αὐτῷ. (8) Αἱ δ' εἰσφοραὶ καὶ χορηγίαι ἱκανὸν μὲν εὐδαιμονίας σημεῖόν ἐστι, τοῦ δὲ μὴ ἀποκτεῖναι τἀναντία· περὶ γὰρ αὐτῆς τῆς εὐδαιμονίας τρέμων μὴ ἀποστερηθῇ, εἰκότως μὲν ἀνοσίως δὲ ἀπέκτεινε τὸν ἄνδρα. Φάσκων δὲ οὐ τοὺς εἰκότως ἀλλὰ τοὺς ἀποκτείναντας φονέας εἶναι, περὶ μὲν τῶν ἀποκτεινάντων ὀρθῶς λέγει, εἴπερ ἐγένετο φανερὸν ἡμῖν τίνες ἦσαν οἱ ἀποκτείναντες αὐτόν· μὴ δεδηλωμένων δὲ τῶν ἀποκτεινάντων, ὑπὸ τῶν εἰκότων ἐλεγχόμενος οὗτος ἂν
119 καὶ οὐδεὶς ἕτερος ἀποκτείνας αὐτὸν εἴη. Οὐ γὰρ ἐπὶ μαρτύρων ἀλλὰ κρυπτόμενα πράσσεται ταῦτα.

9. Οὕτω δὲ φανερῶς ἐκ τῆς αὐτοῦ ἀπολογίας ἐλεγχθεὶς διαφθείρας αὐτόν, οὐδὲν ἕτερον ὑμῶν δεῖται ἢ τὴν αὑτοῦ μιαρίαν εἰς ὑμᾶς αὐτοὺς ἐκτρέψαι. Ἡμεῖς δὲ ὑμῶν δεόμεθα μὲν οὐδέν, λέγομεν δ' ὑμῖν, εἰ μήτε ἐκ τῶν εἰκότων μήτε ἐκ τῶν μαρτυρουμένων οὗτος νῦν ἐλέγχεται, οὐκ ἔστιν ἔτι τῶν διωκομένων ἔλεγχος οὐδείς. (10) Ἀδίκως δ' ἀπολυομένου τούτου ὑφ' ὑμῶν ἡμῖν μὲν προστρόπαιος ὁ ἀποθανὼν οὐκ ἔσται, ὑμῖν δὲ ἐνθύμιος γενήσεται· σαφῆ μὲν γὰρ τὸν θάνατον γινώσκοντες, φανερῶς δὲ τὰ ἴχνη τῆς ὑποψίας εἰς τοῦτον φέροντα, πιστῶς δὲ τοῦ ἀκολούθου μαρτυροῦντος, πῶς ἂν δικαίως ἀπολύοιτε αὐτόν; (11) Ταῦτα οὖν εἰδότες βοηθεῖτε μὲν τῷ ἀποθανόντι, τιμωρεῖσθε δὲ τὸν ἀποκτείναντα, ἁγνεύετε δὲ τὴν πόλιν. Τρία γὰρ ἀγαθὰ πράξετε· ἐλάσσους μὲν τοὺς ἐπιβουλεύοντας καταστήσετε, πλείους δὲ τοὺς τὴν εὐσέβειαν ἐπιτηδεύοντας, ἀπολύσεσθε δ' αὐτοὶ τῆς ὑπὲρ τούτου μιαρίας.

hendæ, etiamsi revera aliquando cædis committendæ aliqua lubido eos incessisset. (4) Neque rectius famuli testimonium elevant. Non enim in eo genere testimoniorum servi tormentis subjiciuntur, sed vel libertate donantur : sed quum aut conscii heris fuerunt in furando aut furta herorum infitiando celare conantur, tum equuleo veri confessionem ex iis exprimere studemus. (5) Etiam hoc nego, verosimilius esse a cæde patranda se abfuisse, quam ei interfuisse. Nam si abfuisset, periculum quidem idem prorsus absens ac præsens subiisset (sicariorum enim quivis deprehensus ab illo structas esse insidias arguisset), at rem ipsam longe incertiore eventu peregisset : nemo enim fuisset præsentium quin absente auctore segnius esset facinus aggressus. (6) Jam vero periculum, quod ipsi a causa sacrilegii imminuisset, non minus sed gravius multo et horribilius futurum fuisse quam hanc causam, demonstrabo. Discrimina et condemnationis et absolutionis in utraque causa ponamus paria. Sacrilegii causam fore ut non induceretur, spes nulla prorsus erat, si vita inimico diutius prorogaretur; aliter enim non struxisset ei insidias : hanc vero homicidii accusationem ut effugeret, erat sperandi causa probabilis; fieri enim poterat ut in occulto maneret, a se cædem fuisse aut jussam aut patratam. (7) Porro, postulans, propterea quod suspicio cædis non improbabilis in se incurrat, non ideo statim ab illius suspicionis tota mole opprimi, non recte postulat. Nam hunc, in tantis periculis constitutum, si metus suspicionis satis a proposito avertere valuit, necessario consequeretur, insidiatum vitæ perempti neminem fuisse : quippe nemo non eorum, qui minus sibi, quam hic reus, a perempto metuebant, censendus est minus inimici capiti fuisse insidiatus quam hic. (8) Contributiones porro et largitiones in rempublicam et choregatus, sunt illa quidem indicia lautæ et beatæ vitæ; verum, ut documento sint ab ipso cædem commissam non esse, tantum abest, ut potius contrarium approbent. Nam illa ipsa fortunarum amplitudo metum ei injiciebat, ne per hunc peremptum eam amitteret; consentaneum igitur est, etsi scelesta res est, eum ab hoc interfectum. Porro dicens jure homicidas haberi non eos qui speciosa quadam ejus suspicione premantur, sed qui reapse manibus occiderint, recte quidem de occisoribus his definit : verum manifesto ostendendum erat quinam fuerint hujus cædis patratores : hi donec demonstrentur, reus hic argumentis summæ probabilitatis coargutus, recte habebitur homicida, et præter eum nemo alius. Ejusmodi enim res non coram testibus, sed in occulto patrantur.

9. Palam itaque quum reus per ipsam suam defensionem prodiderit, cædem hanc a se patratam esse : nihil agit aliud, quam ut vos roget ut piaculum suum a se in capita vestra transferre velitis. Nos vero a vobis nihil quicquam precibus impetrare studemus : declaramus tantum : si neque probabiles notæ quibus hic obruitur, neque testimoniorum auctoritates satis ad coarguendum valent, nemo in posterum reorum omnium poterit convinci. (10) Quodsi ergo hunc absolvatis (id quod per summam injuriam fieret), defuncti manes nobis quidem pacati erunt; vobis autem valde vereor ne tempus veniat quo manes illi sollicitudines et conscientiæ cruciatus injiciant. Plane constat peremptum hunc esse : vestigia cædis omnia ad illum unum reum deferunt : famulus testimonii fidem attulit : jam quo tandem vos jure hunc absolvatis? (11) Hæc igitur tenentes mente, succurrite defuncto, punite homicidam, repurgate civitatem a piaculo. Quo uno facto triplex bonum efficietis : minuetis numerum maleficorum alienis fortunis atque spiritibus insidiantium; augebitis numerum hominum religiosorum; maculam impietatis ipsi vestris a manibus abstergetis.

δ.

ΕΞ ΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἰδού, φησίν, ἐγὼ καὶ ἡ ἀτυγία μου. Δεικτικῶς δὲ λέγει, ἑαυτὸν αἰνιττόμενος. Οὗτος, φησίν, ἐγὼ παραδίδωμι ἐμαυτὸν καὶ τῇ ἀτυχίᾳ μου καὶ τῇ τούτων κακουργίᾳ. Τεκμήριον δὲ τοῦ μὴ πεποιηκέναι τίθησιν ὁ ἀπολογούμενος τὸ μηδαμοῦ προελθεῖν ἐκείνης τῆς νυκτός, καὶ περὶ τούτου πάντας τοὺς παῖδας εἰς βάσανον παραδίδωσιν.

Ἰδοὺ ἐγὼ τῇ τε ἀτυχίᾳ, ἣν οὐ δικαίως αἰτιῶμαι, ὡς οὗτοί φασιν, ἑκὼν ἐμαυτὸν ἐγχειρίζω, τῇ τε τούτων ἔχθρᾳ, δεδιὼς μὲν τὸ μέγεθος τῆς διαβολῆς αὐτῶν, πιστεύων δὲ τῇ ὑμετέρᾳ γνώμῃ τῇ τε ἀληθείᾳ τῶν ἐξ ἐμοῦ πραχθέντων. Ἀποστερούμενος δὲ ὑπ' αὐτῶν μηδὲ τὰς παρούσας ἀτυχίας ἀνακλαύσασθαι πρὸς ὑμᾶς, ἀπορῶ εἰς ἥντινα ἄλλην σωτηρίαν χρή με καταφυγεῖν. (2) Καινότατα γὰρ δή, εἰ χρὴ καινότατα μᾶλλον ἢ κακουργότατα εἰπεῖν, διαβάλλουσί με. Κατήγοροι γὰρ καὶ τιμωροὶ φόνου προσποιούμενοι εἶναι, ὑπεραπολογούμενοι τῆς ὑποψίας πάσης τῆς ἀληθοῦς, διὰ τὴν ἀπορίαν τοῦ ἀποκτείναντος αὐτὸν ἐμὲ φονέα φασὶν εἶναι, δρῶντες δὲ τἀναντία ὧν προστέτακται αὐτοῖς, φανερὸν ὅτι ἀδίκως ἐμὲ μᾶλλον ἀποκτεῖναι ζητοῦσιν ἢ τὸν φονέα τιμωρεῖσθαι. (3) Ἐμὲ δὲ προσῆκεν οὐδὲν ἄλλο ἢ πρὸς τὴν μαρτυρίαν τοῦ ἀκολούθου ἀπολογηθῆναι· οὐ γὰρ μηνυτὴς οὐδ' ἐλεγκτὴρ τῶν ἀποκτεινάντων εἰμί, ἀλλὰ διωκόμενος ἀποκρίνομαι. Ὅμως δὲ περιεργαστέον, ἵνα ἐκ παντὸς τρόπου τούτους τε ἐπιβουλεύοντάς μοι ἐμαυτόν τε ἀπολυόμενον ἐπιδείξω τῆς ὑποψίας.

4. Τὴν μὲν οὖν ἀτυχίαν ᾗ με διαβάλλουσιν, εἰς εὐτυχίαν αἰτοῦμαι μεταστῆναι· ἀξιῶ δ' ὑμᾶς ἀπολύσαντάς με μακαρίσαι μᾶλλον ἢ καταλαβόντας ἐλεῆσαι. Φασὶ δὲ τῶν μὲν ἐντυχόντων παιομένοις αὐτοῖς οὐδένα ὅντινα οὐκ εἰκότερον εἶναι σαφῶς πυθόμενον τοὺς διαφθείραντας αὐτοὺς εἰς οἶκον ἀγγεῖλαι, ἢ ἀπολιπόντα οἴχεσθαι. (5) Ἐγὼ δὲ οὐδένα οὕτω θερμὸν καὶ ἀνδρεῖον ἄνθρωπον εἶναι δοκῶ, ὅντινα οὐκ ἂν ἀωρὶ τῆς νυκτὸς νεκροῖς ἀσπαίρουσι συντυχόντα πάλιν ὑποστρέψαντα φεύγειν μᾶλλον ἢ πυνθανόμενον τοὺς κακούργους περὶ τῆς ψυχῆς κινδυνεῦσαι. Τούτων δὲ μᾶλλον ἃ εἰκὸς ἦν δρασάντων, οἱ μὲν ἐπὶ τοῖς ἱματίοις διαφθείραντες αὐτοὺς οὐκ ἂν ἔτι εἰκότως ἀφίοιντο, ἐγὼ δὲ ἀπήλλαγμαι τῆς ὑποψίας. (6) Εἰ δὲ ἐκηρύσσοντο ἢ μὴ ἄλλοι τινὲς κακοῦργοι ἅμα τῷ τούτων φόνῳ, τίς οἶδεν; οὐδενὶ γὰρ ἐπιμελὲς ἦν σκοπεῖν ταῦτα. Ἀφανοῦς δὲ ὄντος τοῦ κηρύγματος, οὐδὲ ὑπὸ τούτων τῶν κακούργων ἄπιστον διαφθαρῆναι αὐτόν. (7) Τοῦ δὲ θερά-
120 ποντος πῶς χρὴ πιστοτέραν τὴν μαρτυρίαν ἢ τῶν ἐλευθέρων ἡγεῖσθαι; οἱ μὲν γὰρ ἀτιμοῦνταί τε καὶ χρήμασι ζημιοῦνται, ἐὰν μὴ τἀληθῆ δοκῶσι μαρτυρῆσαι· ὁ δὲ οὐκ ἔλεγχον παρασχὼν οὐδὲ βάσανον οὐ δίκην δώσει, εἴ τις ἔλεγχος ἔσται. Ἀκινδύνως τε οὗτός γε μέλ-

4.

DEFENSIO REI ALTERA.

ARGUMENTUM.

Ecce, inquit, ego et ærumna mea. Demonstrative dicit, se ipsum innuens. Ipse ego, inquit, me ipsum et infortunio meo et istorum malitiæ trado. Argumentum se homicidium non fecisse præbet reus, quod nusquam ea nocte progressus fuerit; et de ea re omnes servos ut torqueantur offert.

Ecce ego me infelicitati meæ, quam hi a me aiunt per nefas accusari, in manus potestatemque ultro trado, unaque horum simultati, reformidans quidem atrocitatem criminis horum, rursus tamen vestro fidens judicio et veritate corptorum meorum. Excludunt hi quidem me ipsa adeo facultate calamitates meas coram vobis lamentandi; at quonam alio me confugere oporteat ad inveniendam salutem, non habeo. (2) Inaudito exemplo (nisi potius me dicere par est nequissima improbitate) hi me calumniantur. Nam accusatores peremptique ultores se esse ferunt, omnem suam orationem in exaggeranda vi probabilitatis exhauriunt, dum interim ab ipsa veritate aberrant: verum homicidam quod demonstrare non valent, ideo me contendunt homicidam esse: contraria facientes atque mandatum ipsis fuerat. Manifesto illi me per nefas de medio sublatum eunt potius quam sanguinis effusi vindicias quærunt. (3) Jam oportebat me quidem aliud nihil agere quam ut famuli testimonium enervarem: non enim index sum homicidarum aut coargutor; sed reus, cui objecta crimina sint refutanda. Audebo tamen nihilominus etiam ulterius procedere, quo et hos capiti meo ultro insidiari et me ab illo crimine liberum solutumque esse omnibus modis demonstrem.

4. Infelicitatem itaque meam, cujus nomine hi mihi invidiam creare contendunt, oro quæsoque, ut felicitatis induere personam velit: vos autem rogo, ut absolvendo me beatum reddere malitis, quam condemnando miserabilem. Accusatores dicunt neminem eorum, qui cædi dum perageretur intervenerunt, non quæsiturum fuisse potius, quinam essent homicidæ, cognitoque, ad domum peremptorum renunciaturum, quam tali re negligenter omissa viam suam perrecturum fuisse. (5) Ego vero nego quenquam esse hominem tam ferventi fortique animo, ut derepente, nocte intempesta, incidens in corpora contrucidata adhuc palpitantia, in homicidas inquirat eoque ipse suam vitam in discrimen det; videtur enimvero ille multo citius retro pedem retulisse citamque in fugam se conjecisse. Quodsi ergo latrones in hoc quoque perempto eadem fecerunt, quæ hujusmodi homines in simili loco atque tempore facere par est, locus utique est suspicioni, grassatores vestium causa etiam in hos insultum fecisse, qui a suspicione hujus cædis absolvi non possunt, a quo ego sum liberrimus. (6) Num autem una cum cæde ab his latronibus patrata, alia quoque similia facinora voce præconis indicata fuerint, necne, quis novit? nemo enim tanti fecit id quærere. Obscurum autem quum sit præconium, ne ab his quidem grassatoribus peremptum fuisse nostrum hominem incredibile est. (7) Famuli autem testimonio quinam oportet majorem auctoritatem fidemque attribuere, quam testimonio ingenuorum? ingenui quippe, si qua de re in judicio testati falsi dicti testimonii convicti sint, infamia notantur et pecuniis mulctantur: famulus autem hic nullo tolerato examine, nullis admotis fidiculis, exspiravit: qui

λων μαρτυρεῖν, οὐδὲν θαυμαστὸν ἔπαθεν ὑπὸ τῶν κυρίων ἐχθρῶν μοι ὄντων πεισθεὶς καταψεύδεσθαί μου· ἐγώ τε ἀνόσι' ἂν πάσχοιμι, εἰ μὴ πιστῶς καταμαρτυρηθεὶς διαφθαρείην ὑφ' ὑμῶν. (8) Μὴ παραγενέσθαι δέ με τῷ φόνῳ ἀπιστότερον ἢ παραγενέσθαι φασὶν εἶναι· ἐγὼ δ' οὐκ ἐκ τῶν εἰκότων, ἀλλ' ἔργῳ δηλώσω οὐ παραγενόμενος. Ὁπόσοι γὰρ δοῦλοι ἢ δοῦλαί μοι εἰσί, πάντας παραδίδωμι βασανίσαι· καὶ ἐὰν μὴ φανῶ ταύτῃ τῇ νυκτὶ ἐν οἴκῳ καθεύδων ἢ ἐξελθών ποι, ὁμολογῶ φονεὺς εἶναι. Ἡ δὲ νὺξ οὐκ ἄσημος· τοῖς γὰρ Διιπολίοις ὁ ἀνὴρ ἀπέθανε. (9) Περὶ δὲ τῆς εὐδαιμονίας, ἧς ἕνεκα τρέμοντά μέ φασιν εἰκότως ἀποκτεῖναι αὐτόν, πολὺ τἀναντία ἐστί. Τοῖς γὰρ ἀτυχοῦσι νεωτερίζειν συμφέρει· ἐκ γὰρ τῶν μεταβολῶν ἐπίδοξος ἡ δυσπραγία μεταβάλλειν αὐτῶν ἐστί· τοῖς δὲ εὐτυχοῦσιν ἀτρεμίζειν καὶ φυλάσσειν τὴν παροῦσαν εὐπραγίαν, μεθισταμένων δὲ τῶν πραγμάτων δυστυχεῖς ἐξ εὐτυχούντων καθίστανται. (10) Ἐκ δὲ τῶν εἰκότων προσποιούμενοί με ἐλέγχειν, οὐκ εἰκότως, ἀλλ' ὄντως φονέα μέ φασι τοῦ ἀνδρὸς εἶναι. Τὰ δὲ εἰκότα ἄλλα πρὸς ἐμοῦ μᾶλλον ἀποδέδεικται ὄντα. Ὅ τε γὰρ καταμαρτυρῶν μου ἄπιστος ἐλήλεγκται ὤν, ὅ τε ἔλεγχος οὐκ ἔστι· τά τε τεκμήρια ἐμά, οὐ τούτου ὄντα ἐδήλωσα· τά τε ἴχνη τοῦ φόνου οὐκ εἰς ἐμὲ φέροντα, ἀλλ' εἰς τοὺς ἀπολυομένους ἀποδέδεικται ὑπ' αὐτῶν. Πάντων δὲ τῶν κατηγορηθέντων ἀπίστων ἐλεγχθέντων, οὐχ ἐὰν ἀποφύγω οὐκ ἔστιν ἐξ ὧν ἐλεγχθήσονται οἱ κακουργοῦντες, ἀλλ' ἐὰν ἐλεγχθῶ, οὐδεμία ἀπολογία τοῖς διωκομένοις ἀρκοῦσά ἐστιν.

11. Οὕτω δὲ ἀδίκως διώκοντές με αὐτοὶ μὲν ἀνοσίως ἀποκτεῖναι ζητοῦντες καθαροί φασιν εἶναι, ἐμὲ δὲ ὃς εὐσεβεῖν ὑμᾶς πείθω, ἀνόσια δρᾶν λέγουσιν· ἐγὼ δὲ καθαρὸς ὢν πάντων τῶν ἐγκλημάτων ὑπὲρ ἐμαυτοῦ ἐπισκήπτω αἰδεῖσθαι τὴν τῶν μηδὲν ἀδικούντων εὐσέβειαν, ὑπὲρ δὲ τοῦ ἀποθανόντος ἀναμιμνήσκων τὴν ποινὴν παραινῶ ὑμῖν μὴ τὸν ἀναίτιον καταλαβόντας τὸν αἴτιον ἀφεῖναι· ἀποθανόντος γὰρ ἐμοῦ οὐδεὶς ἔτι τὸν αἴτιον ζητήσει. (12) Ταῦτα οὖν σεβόμενοι ὁσίως καὶ δικαίως ἀπολύετέ με, καὶ μὴ μετανοήσαντες τὴν ἁμαρτίαν γνῶτε· ἀνίατος γὰρ ἡ μετάνοια τῶν τοιούτων ἐστίν.

dabit pœnas, si convincatur? Nil itaque mirum est, si homo, cui nullum propositum esset e mendacio periculum, impulsus ab inimicis meis, quorum in potestate esset, falso me indicavit. In me autem nefanda committerentur, si me per testimonium omni fide destitutum occideretis. (8) Porro aiunt minus esse credibile, eam cædis patratione abfuisse, quam ei interfuisse : ego vero, id quod aio, non ratiociniorum probabilitate, sed rerum veritate testatum faciam. Quotquot enim mihi sunt utriusque sexus mancipia, illa omnia vobis dedam ad quæsitionem per tormenta : quorum e confessione si constiterit, me illa nocte domo abfuisse, aut vel limina modo domus meæ transisse, confitebor me homicidam esse. Neque obscura parumque memorabilis est illa nox : homo enim noster Diipoliis festo cecidit. (9) Quod ad opulentiam attinet, cujus amittendæ formidine me exsternatum hi aiunt necem illi dedisse, longe secus est atque adeo contrarium atque isti prædicant. Inopibus quidem conducit, novandis rebus et capessendis consiliis desperationis plenis aleam fortunæ jacere; spes enim aliqua est mutata conditione etiam infelicitatem ipsorum mutatum iri : fortunatis autem hominibus expedit, quanta maxima cum cautione conquiescere immotos et parta bona quiete tueri; rebus et enim inversis, e fortunatis fiunt mendici et miseri. (10) Denique adversus me armis probabilium solummodo argumentorum : nihilominus tamen hanc illinc summam colligunt, non probabiliter, sed vere et certo me homicidam esse. Atqui demonstratum dedi, illa omnia argumenta a probabili petita pro me potius militare. Nam testem, cujus testimonio premor, fide carere planum factum est : scrutinio res caruit : indicia pro me facere, et contra adversarios, declaravi : vestigia cædis non ad me deferre, sed ad eos quos adversarii oratione sua absolvunt item demonstratum est. Jam omnia meæ accusationis capita infida et fide cassa quum inventa sint, non id (quod illi dicunt) eveniet, ut, si ego absolvar, nullus posthac maleficorum omnium maleficii convinci possit; sed hoc potius, ut insontium nemo posthac satis evidentem sui defensionem sit habiturus, si ego nunc reus peragar.

11. Quanquam hi me tam injuste reum agentes, ipsi dum necem mihi contra fas intendunt, puros se ferunt : me vero, ut pie agatis vos adhortantem scelus nefastum committere dicunt. Ego vero, qui me aio purum ab omni crimine, cavere vos jubeo, ne in reverentiam hominibus crimine vacuis debitam offendatis; homicidii vero ultionem ad animum revocans hortor vos ne insontem plectentes sontem dimittatis : nam me perempto nemo de quærendo vero homicida amplius cogitabit. (12) Hæc itaque mala caventes uti fas et jus est absolvite me; ne pœnitentes errorem agnoscatis : nam immedicabilis in hujusmodi rebus pœnitentia est.

III.

ΤΕΤΡΑΛΟΓΙΑ Β.

α.

ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Δύο παῖδες ἐν γυμνασίοις ἠκόντιζον, συνέβη δὲ τὸν μὲν ἐντέχνως ἀφεῖναι τὸ βέλος, τὸν δ' ἕτερον ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου δραμόντα πληγῆναι. Τελευτήσαντος δὲ τοῦ παιδὸς ὁ τούτου πατὴρ κατηγορεῖ τοῦ βαλόντος ὡς ἀνδροφόνου· ὁ δὲ μετατίθησι τὴν αἰτίαν τῆς πληγῆς ἐπὶ τὸν δραμόντα. Ὅθεν οἱ μὲν ἀντέγκλημα τὴν στάσιν, οἱ δὲ μετάστασιν λέγουσιν.

Τὰ μὲν ὁμολογούμενα τῶν πραγμάτων ὑπό τε τοῦ νόμου κατακέκριται ὑπό τε τῶν ψηφισαμένων, οἳ κύριοι πάσης τῆς πολιτείας εἰσίν· ἐὰν δέ τι ἀμφισβητήσιμον ᾖ, τοῦτο ὑμῖν, ὦ ἄνδρες πολῖται, προστέτακται διαγνῶναι. Οἶμαι μὲν οὖν οὐδὲ ἀμφισβητήσειν πρὸς ἐμὲ τὸν διωκόμενον· ὁ γὰρ παῖς μου ἐν γυμνασίῳ ἀκοντισθεὶς διὰ τῶν πλευρῶν ὑπὸ τούτου τοῦ μειρακίου παραχρῆμα
121 ἀπέθανεν. Ἑκόντα μὲν οὖν οὐκ ἐπικαλῶ ἀποκτεῖναι, ἄκοντα δέ. (2) Ἐμοὶ δὲ οὐκ ἐλάσσω τοῦ ἑκόντος ἄκων τὴν συμφορὰν κατέστησε· τῷ δὲ ἀποθανόντι αὐτῷ μὲν οὐδὲν ἐνθύμιον, τοῖς δὲ ζῶσι προσέθηκεν. Ὑμᾶς δὲ ἀξιῶ ἐλεοῦντας μὲν τὴν ἀπαιδίαν τῶν γονέων, οἰκτείροντας δὲ τὴν ἄωρον τοῦ ἀποθανόντος τελευτήν, εἴργοντας ὧν ὁ νόμος εἴργει τὸν ἀποκτείναντα μὴ περιορᾶν ἅπασαν τὴν πόλιν ὑπὸ τούτου μιαινομένην.

β.

ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ὁ τοῦ ἀκοντίσαντος πατὴρ ἑαυτῷ φησιν αἴτιον γενέσθαι τὸν ἀποθανόντα τοῦ φόνου· φερομένου γὰρ τοῦ ἀκοντίου ὑπέδραμεν ὑπὸ τὸν σκοπόν, ὅθεν ἂν αὐτὸν ἑαυτοῦ φονέα νομίζεσθαι. Ἔστι δ' ἡ στάσις μετάστασις, οὐ συγγνώμη, ὥς τινες ἐνόμιζον.

Νῦν δὴ φανερόν μοι ὅτι αὗται αἱ συμφοραὶ καὶ χρεῖαι τούς τε ἀπράγμονας εἰς ἀγῶνας [καταστῆναι] τούς τε ἡσυχίους τολμᾶν τά τε ἄλλα καὶ παρὰ φύσιν λέγειν καὶ δρᾶν βιάζονται. Ἐγὼ γὰρ ἥκιστα τοιοῦτος ὢν καὶ βουλόμενος εἶναι, εἰ μὴ πολύ γε ἔψευσμαι, ὑπ' αὐτῆς τῆς συμφορᾶς ἠναγκάσθην παρὰ τὸν ἄλλον τρόπον ὑπὲρ πραγμάτων ἀπολογεῖσθαι, ὧν ἐγὼ χαλεπῶς μὲν τὴν ἀκρίβειαν ἔγνων, ἔτι δὲ ἀπορωτέρως διάκειμαι ὡς χρὴ ὑμῖν ἑρμηνεῦσαι ταῦτα· (2) ὑπὸ δὲ σκληρᾶς ἀνάγκης βιαζόμενος, καὶ αὐτὸς εἰς τὸν ὑμέτερον ἔλεον, ὦ ἄνδρες δικασταί, καταπεφευγὼς δέομαι ὑμῶν, ἐὰν ἀκριβέστερον ἢ ὡς σύνηθες ὑμῖν δόξω εἰπεῖν, μὴ διὰ τὰς προειρητύχμένας ας ἀποδεξαμένους μου τὴν ἀπολογίαν δόξῃ

III.

TETRALOGIA II.

1.

ACCUSATIO CÆDIS INVOLUNTARIÆ.

ARGUMENTUM.

Pueri duo in gymnasiis jaculabantur : accidit unum perite jaculari, alterum vero in impetum jaculi currentem vulnerari. Mortuo puero, pater ejus eum qui sagittam emiserat homicidii accusat : qui culpam ictus in currentem transfert. Unde quidam statum causæ recriminationem, alii transpositionem nominant.

Causarum quicquid in confesso est, ea legibus dirimuntur et suffragiis eorum penes quos summa rerum potestas in rep. est : si quid autem incidat controversiæ obnoxium, de eo vobis demandatum est, ut dignoscatis. Causa vero quæ mihi cum hoc reo est, nihil, opinor, habet controversiæ : nam filius meus in gymnasio jaculo per latera adacto ab hoc adolescentulo confossus statim exspiravit. Quanquam non volentem eum fateor interfecisse, sed invitum. (2) Verumtamen mihi non minorem invitus quam si de industria egisset conscivit calamitatem. Ipsi quidem perempto nihil curæ dedit, verum superstitibus. Quare vos rogo ut parentes filio orbatos finemque interfecti præmaturum commiserentes, occisori imperetis ut se abstineat a quibus abstinere lex homicidam vult, neque sinatis civitatem universam ab isto contaminari.

2.

DEFENSIO CÆDIS INVOLUNTARIÆ.

ARGUMENTUM.

Pater ejus, qui sagitta interfecit, dicit, eum qui interfectus fuit sibi ipsi causam cædis fuisse. Jaculo namque misso, ad scopum cucurrit : unde sui occisorem habendum esse. Status causæ criminis translatio est, non, ut quidam interpretantur, veniæ deprecatio.

Nunc tandem comperi, infortunia rerumque necessitates ipsos adeo quietæ vitæ deditos in certamina rixarum committere, placidosque cogere, ut tum alia multa facere audeant a moribus aliena, tum in foro dicere causam. Ego enim, qui talis sim et esse studeam nisi mea me de me multum fallit opinio, tamen ab adversa mea me fortuna eo redactum video necessitatis, ut, inconvenienter cum reliquæ meæ vitæ more, causa mihi sit defendenda, cujus et ægre perdidici veras rationes, et multo adhuc impeditiorem mihi invenio rationem eas oratione coram vobis demonstrandi. (2) Quare dura pressus necessitate ad clementiam et commiserationem vestram, judices, ego quoque confugio rogoque vos ut, si vobis videbor subtilius quam pro reliquo meo more disputare, ne propterea defensionem meam accipientes, opinationis speciositate magis quam veritatis certitudine duci sententiam pronuntietis :

καὶ μὴ ἀληθείᾳ τὴν κρίσιν ποιήσασθαι· ἡ μὲν γὰρ δόξα τῶν πραχθέντων πρὸς τῶν λέγειν δυναμένων ἐστίν, ἡ δὲ ἀλήθεια πρὸς τῶν δίκαια καὶ ὅσια πρασσόντων.

3. Ἐδόκουν μὲν οὖν ἔγωγε ταῦτα παιδεύων τὸν υἱὸν ἐξ ὧν μάλιστα τὸ κοινὸν ὠφελεῖται, ἀμφοῖν τι ἡμῖν ἀγαθὸν ἀποβήσεσθαι· συμβέβηκε δέ μοι πολὺ παρὰ γνώμην τούτων. Τὸ γὰρ μειράκιον οὐχ ὕβρει οὐδὲ ἀκολασίᾳ, ἀλλὰ μελετῶν μετὰ τῶν ἡλίκων ἀκοντίζειν ἐν τῷ γυμνασίῳ ἔβαλε μέν, οὐκ ἀπέκτεινε δὲ οὐδένα κατά γε τὴν ἀλήθειαν ὧν ἔπραξεν, ἄλλου δ' εἰς αὑτὸν ἁμαρτόντος εἰς ἀκουσίους αἰτίας ἦλθεν. (4) Εἰ μὲν γὰρ τὸ ἀκόντιον ἔξω τῶν ὅρων τῆς αὑτοῦ πορείας ἐπὶ τὸν παῖδα ἐξενεχθὲν ἔτρωσεν αὐτόν, οὐδεὶς ἡμῖν λόγος ὑπελείπετο μὴ φονεῦσιν εἶναι· τοῦ δὲ παιδὸς ὑπὸ τὴν τοῦ ἀκοντίου φορὰν ὑποδραμόντος καὶ τὸ σῶμα προστήσαντος, [ὁ μὲν ἐκωλύθη] τοῦ σκοποῦ τυχεῖν, ὁ δὲ ὑπὸ τὸ ἀκόντιον ὑπελθὼν ἐβλήθη, καὶ τὴν αἰτίαν οὐχ ἡμετέραν οὖσαν προσέβαλεν ἡμῖν. (5) Διὰ δὲ τὴν ὑποδρομὴν βληθέντος τοῦ παιδός, τὸ μὲν μειράκιον οὐ δικαίως ἐπικαλεῖται (οὐδένα γὰρ ἔβαλε τῶν ἀπὸ τοῦ σκοποῦ ἀφεστώτων), ὁ δὲ παῖς εἴπερ ἑστὼς φανερὸς ὑμῖν ἐστι μὴ βληθείς, ἑκουσίως ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ὑπελθὼν ἔτι σαφεστέρως δηλοῦται διὰ τὴν αὑτοῦ ἁμαρτίαν ἀποθανών· οὐ γὰρ ἂν ἐβλήθη ἀτρεμίζων καὶ μὴ διατρέχων. (6) Ἀκουσίου δὲ τοῦ φόνου ἐξ ἀμφοῖν ὑμῖν ὁμολογουμένου γενέσθαι, ἐκ τῆς ἁμαρτίας, ὁποτέρου αὐτῶν ἐστίν, ἔτι γε σαφέστερον ἂν ὁ φονεὺς ἐλεγχθείη. Οἵ τε γὰρ ἁμαρτάνοντες ὧν ἂν ἐπινοήσωσί τι δρᾶσαι, οὗτοι πράκτορες τῶν ἀκουσίων εἰσίν· οἱ δὲ ἑκούσιόν τι δρῶντες ἢ πάσχοντες, οὗτοι τῶν παθημάτων αἴτιοι γίνονται. (7) Τὸ μὲν τοίνυν μειράκιον περὶ οὐδένα ἥμαρτεν οὐδέν· οὔτε γὰρ ἀπειρημένον, ἀλλὰ προστεταγμένον ἐξεμελέτα, οὔτε ἐν γυμναζομένοις, ἀλλ' ἐν τῇ τῶν ἀκοντιζόντων τάξει ἠκόντιζεν, οὔτε τοῦ σκοποῦ ἁμαρτών, εἰς τοὺς ἀφεστῶτας ἀκοντίσας, τοῦ παιδὸς ἔτυχεν, ἀλλὰ πάντα ὀρθῶς ὡς ἐπενόει δρῶν ἔδρασε μὲν οὐδὲν ἀκούσιον,
122 ἔπαθε δὲ διακωλυθεὶς τοῦ σκοποῦ τυχεῖν. (8) Ὁ δὲ παῖς βουλόμενος προδραμεῖν, τοῦ χρόνου διαμαρτὼν ἐν ᾧ διατρέχων οὐκ ἂν ἐπλήγη, περιέπεσεν οἷς οὐκ ἤθελεν, ἀκουσίως δὲ ἁμαρτὼν εἰς ἑαυτὸν οἰκείαις συμφοραῖς κέχρηται, τῆς δ' ἁμαρτίας τετιμωρημένος ἑαυτὸν ἔχει τὴν δίκην, οὐ συνηδομένων μὲν οὐδὲ συνεθελόντων ἡμῶν, συναλγούντων δὲ καὶ συλλυπουμένων. Τῆς δὲ ἁμαρτίας εἰς τοῦτον ἡκούσης τὸ ἔργον οὐχ ἡμέτερον, ἀλλὰ τοῦ ἐξαμαρτόντος ἐστί, τό τε πάθος εἰς τὸν δράσαντα ἐλθὸν ἡμᾶς μὲν ἀπολύει τῆς αἰτίας, τὸν δὲ δράσαντα δικαίως ἅμα τῇ ἁμαρτίᾳ τετιμώρηται. (9) Ἀπολύει δὲ καὶ ὁ νόμος ἡμᾶς, ᾧ πιστεύων, εἴργοντι μήτε ἀδίκως μήτε δικαίως ἀποκτείνειν, ὡς φονέα με διώκει. Ὑπὸ μὲν γὰρ τῆς αὐτοῦ τοῦ τεθνεῶτος ἁμαρτίας ὅδε ἀπολύεται μηδὲ ἀκουσίως ἀποκτεῖναι αὐτόν· ὑπὸ δὲ τοῦ διώκοντος οὐδ' ἐπικαλούμενος ὡς ἑκὼν ἀπέκτεινεν, ἀμφοῖν ἀπολύεται τοῖν ἐγκλημάτοιν, μήτ' ἄκων μήθ' ἑκὼν ἀποκτεῖναι. (10) Ἀπολυόμενος δὲ ὑπό τε τῆς ἀληθείας τῶν

nam opinatio quidem rerum gestarum secunda iis est, qui facundia valent; veritas autem stat a partibus hominum justitiæ atque religioni operantium.

3. Sperabam itaque ego filium meum iis artibus, quibus maxime resp. ornatur, erudiens, fore, ut ambo commodi aliquid inde perciperemus: verum evenit mihi prorsus contra atque sperabatur. Nam adolescens hic, non impetu quodam arrogantiæ vel petulantiæ actus, sed in gymnasio una cum æqualibus jaculum intorquere discens, percussit quidem non vero interfecit quemquam, si recte quæ fecerit perpenderis, sed alio in semet peccante invitus in criminationem venit. (4) Nam si jaculum extra terminos ejus cursui præfinitos evectum in puerum incurrisset, eumque stravisset, nulla nobis relicta foret excusatio qua incusationem cædis depelleremus: atqui puer in jaculi impetum succurrens corpusque ei objiciens, quominus scopum alter feriret impedivit, ipse vero in teli conjectum veniens percussus est, ideoque criminationem nobis attulit nihil ad nos pertinentem. (5) Patet ergo adolescentem injuria cædis insimulari, qui neminem eorum omnium feriit, qui procul a meta loco suo constiterunt. Puer itaque, si pariter loco suo stans mansisset, procul omni dubio ictus non fuisset; res est perspicua: sed multo adhuc magis est perspicuum, eum suomet errore cecidisse; nam si quietus et immobilis stans in statione sua perseverasset, ictus non fuisset. (6) Sed quoniam contra utriusque voluntatem accidisse cædem inter nos jam convenit, error cujusnam fuerit quæramus; inde enim evidentius adhuc homicida arguatur. Scilicet si qui in agendo a proposito suo aberrant, ii sunt effectores rerum involuntariarum; contra qui voluntarie aliquid vel faciunt vel fieri patiuntur, ii auctores eorum quæ fiunt habentur. (7) Jam adolescens meus nulla re in quempiam peccavit. Exercebat artem non interdictam sibi, sed imperatam; non jaculabatur inter luctantes sed in jaculantium agmine; neque a meta aberrans jaculum in distantes detorquens puerum feriit, sed recte omnia uti proposuerat sibi peragens, contra voluntatem suam fecit nihil, verum passus est, quum scopum attingere prohiberetur. (8) Puer autem, præter metam transcurrere volens, errabat in æstimando tempore, quo licuisset alicui salvo transcurrere; incidit itaque in malum involuntarium et invitus in semet ipsum peccans cladem istam sibi arcessivit, errorisque semet ipse ultus dedit pœnas: nollemus factum, cui profecto non illætamur, sed potius ingemiscimus. At culpa erroris qui exitium attulit, non nostra est, sed ejus qui commisit eum; malumque in auctorem relabens nos a crimine absolvit, in ipso erroris articulo ab auctore autem pœnas exegit. (9) Sed lex quoque nos absolvit, qua ne quis neque juste neque injuste occidatur vetante fisus hic cædis me reum agit. Error enim perempti filium meum vel involuntariæ cædis crimine eximit; voluntariæ autem cædis quum ne accusetur quidem, ab utroque crimine absolvitur. (10) Culpa itaque vacat et e rei gestæ veritate et e legis formula, cujus obtentu accusatur.

πραχθέντων ὑπό τε τοῦ νόμου καθ' ὃν διώκεται, οὐδὲ τῶν ἐπιτηδευμάτων εἵνεκα δίκαιοι τοιούτων κακῶν ἀξιοῦσθαί ἐσμεν. Οὗτός τε γὰρ ἀνόσια πείσεται τὰς οὐ προσηκούσας φέρων ἁμαρτίας· ἐγώ τε μᾶλλον μὲν οὐδέν, ὁμοίως δὲ τούτῳ ἀναμάρτητος ὤν, εἰς πολλαπλασίους τούτου συμφορὰς ἥξω· ἐπί τε γὰρ τῇ τούτου διαφθορᾷ ἀβίωτον τὸ λειπόμενον τοῦ βίου διάξω, ἐπί τε τῇ ἐμαυτοῦ ἀπαιδίᾳ ζῶν ἔτι κατορυχθήσομαι.

11. Ἐλεοῦντες οὖν τοῦδε μὲν τοῦ νηπίου τὴν ἀναμάρτητον συμφοράν, ἐμοῦ δὲ τοῦ γηραιοῦ καὶ ἀθλίου τὴν ἀπροσδόκητον κακοπάθειαν, μὴ καταψηφισάμενοι δυσμόρους ἡμᾶς καταστήσητε, ἀλλ' ἀπολύοντες εὐσεβεῖτε. Ὅ τε γὰρ ἀποθανών, συμφοραῖς περιπεσὼν οὐκ ἀτιμώρητός ἐστιν, ἡμεῖς τε οὐ δίκαιοι τὰς τούτων ἁμαρτίας συμφέρειν ἐσμέν. (12) Τήν τε οὖν εὐσέβειαν τούτων τῶν πραχθέντων καὶ τὸ δίκαιον αἰδούμενοι ὁσίως καὶ δικαίως ἀπολύετε ἡμᾶς, καὶ μὴ ἀθλιωτάτω δύο πατέρα καὶ παῖδα ἀώροις συμφοραῖς περιβάλητε.

Propter mores autem nostros et studia minime meremur quibus tanta mala infligantur. Nam filius meus alieni erroris pœnam luens nefasta patietur; ego vero non magis sed pariter atque ille ab omni crimine purus in multo majores calamitates incidam: nam illo perdito, haud vitalem vitam reliquam exigam, et filio carens, vivus adhuc sepeliar.

11. Commiserentes itaque infantis hujus casum immeritum et quæ me senem miserum repente oppressit calamitatem, nolite condemnatione nos infelices reddere, sed absolventes justitiæ famam tueamini. Nam peremptus qui sua culpa cecidit, non est inultus; nos vero qui illius erroris pœnas una perferamus, non meriti sumus. Igitur pie in hoc negotio justitiam reverentes uti leges divinæ humanæque flagitant, absolvite nos: miserrimum par hominum, patremque filiumque, calamitatibus ante tempus acceleratis ne demergite.

Γ.

ΕΚ ΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

Ὅτι μὲν αὐτὴ ἡ χρεία παρὰ φύσιν καὶ λέγειν καὶ δρᾶν ἅπαντας ἀναγκάζει, ἔργῳ καὶ οὐ λόγῳ δοκεῖ μοι σημαίνειν οὗτος· ἥκιστα γὰρ ἔν γε τῷ ἔμπροσθεν χρόνῳ ἀναιδὴς καὶ τολμηρὸς ὤν, νῦν ὑπ' αὐτῆς τῆς συμφορᾶς ἠνάγκασται λέγειν οἷα οὐκ ἄν ποτε ᾤμην ἐγὼ τοῦτον εἰπεῖν. (2) Ἐγώ τε γὰρ πολλῇ ἀνοίᾳ χρώμενος οὐκ ἂν ὑπέλαβον τοῦτον ἀντειπεῖν· οὐδὲ γὰρ ἂν ἕνα λόγον ἀντὶ δυοῖν λέξας τὸ ἥμισυ τῆς κατηγορίας ἐμαυτὸν ἂν ἀπεστέρησα· οὗτός τε μὴ τολμῶν οὐκ ἂν προεῖχε τῷ διπλασίῳ μου, ἕνα μὲν πρὸς ἕνα λόγον ἀπολογηθείς, ἃ δὲ κατηγόρησεν, ἀναποκρίτως εἰπών. (3) Τοσοῦτον δὲ προέχων ἐν τοῖς λόγοις ἡμῶν, ἔτι δὲ ἐν οἷς ἔπρασσε πολλαπλάσια τούτων, οὗτος μὲν οὐχ ὁσίως δεῖται ὑμῶν συχνῶς τὴν ἀπολογίαν ἀποδέχεσθαι αὐτοῦ· ἐγὼ δ' ἔδρασα μὲν οὐδὲν κακόν, παθὼν δὲ ἄθλια καὶ δεινά, καὶ νῦν ἔτι δεινότερα τούτων ἔργῳ καὶ οὐ λόγῳ, εἰς τὸν ὑμέτερον ἔλεον καταπεφευγὼς δέομαι ὑμῶν, ὦ ἄνδρες ἀνοσίων ἔργων τιμωροί, ὁσίων δὲ διαγνώμονες, μὴ ἔργα φανερὰ ὑπὸ πονηρᾶς λόγων ἀκριβείας πεισθέντες, ψευδῆ τὴν ἀλήθειαν τῶν πραχθέντων ἡγήσησθε· (4) ἡ μὲν γὰρ πιστότερον ἢ ἀληθέστερον σύγκειται, ἡ δ' ἀδολώτερον καὶ ἀδυνατώτερον λεχθήσεται. Τῷ μὲν οὖν δικαίῳ πιστεύων ὑπερορῶ τῆς ἀπολογίας· τῇ δὲ σκληρότητι τοῦ δαίμονος ἀπιστῶν ὀρρωδῶ μὴ οὐ μόνον τῆς χρείας τοῦ παιδὸς ἀποστερηθῶ, ἀλλὰ καὶ αὐθέντην
123 προσκαταγνωσθέντα ὑφ' ὑμῶν ἐπίδω αὐτόν. (5) Εἰς τοῦτο γὰρ τόλμης καὶ ἀναιδείας ἥκει, ὥστε τὸν μὲν βαλόντα καὶ ἀποκτείναντα οὔτε τρῶσαι οὔτε ἀποκτεῖναί φησι, τὸν δὲ οὔτε ψαύσαντα τοῦ ἀκοντίου οὔτε ἐπινοήσαντα ἀκοντίσαι, ἁπάσης μὲν γῆς ἁμαρτόντα,

3.

ACCUSATIO POSTERIOR EJUSDEM CÆDIS.

Ipsam necessitatem præter ingenium et loqui et dicere omnes cogere, id re, non verbo tantum, reus hic declarare mihi videtur. Antea enim minime impudens vel audax, nunc a calamitate sua percitus ea prolocutus est, quæ ego nunquam sperassem esse prolocuturum. (2) Næ ego stultus eram, existimans eum nil esse oblocuturum; id enim si prævidissem, non defunctus sola altera parte orationis, altera memet defraudassem: et rursus hic, contra hiscere non ausus, non altero tanto mihi præstaret, non solum meam accusationem sua defensione exciens, sed etiam me criminibus obruens quibus occurrere non potueram. (3) Ac tanta parte actionis, rebusque ipsis multo pluribus me passibus superans hic contra fas impetrare a vobis studet, ut benevole accipiatis defensionem suam: ego vero, qui nullo crimine commisso misera multa et nefasta perpessus, nunc multo etiam indigniora rebus et non verbis probra atque damna accipio, ad misericordiam vestram, judices, confugiens, qui impia facinora animadvertitis ab iisque recte facta dignoscitis, vos rogo ne in re aperta captiosæ facundiæ præstigiis decepti veritatem pro mendaciis habeatis: (4) nam eloquentia speciosior quam verior; veritas autem simplicitate sua et integritate potentior est. Quare possem quidem, justitia causæ meæ fretus, contentionem defensoris ridere: verumtamen sævities sortis meæ metum injecit, ne, filium non modo amiserim, sed insuper etiam homicidii in semet ipsum commissi a vobis insimulatum videam. (5) Eo enim processit defensor audaciæ atque impudentiæ, ut illum, qui jaculo filium meum interfecit, neget vulnus imposuisse, neget occidisse; contraque eum, qui jaculum neque contigit, neque omnino vo-

πάντων δὲ σωμάτων, διὰ τῶν ἑαυτοῦ πλευρῶν διαπῆξαι λέγει τὸ ἀκόντιον. Ἐγὼ δὲ ἑκουσίως κατηγορῶν ἀποκτεῖναι αὐτὸν πιστότερος ἄν μοι δοκῶ εἶναι ἢ οὗτος, ὃς μήτε βαλεῖν μήτε ἀποκτεῖναί φησι τὸ μειράκιον. (6) Ὁ μὲν γὰρ ἐν τούτῳ τῷ καιρῷ καλούμενος ὑπὸ τοῦ παιδοτρίβου, ὃς ὑπεδέχετο τοῖς ἀκοντίζουσι τὰ ἀκόντια ἀναιρεῖσθαι, διὰ τὴν τοῦ βαλόντος ἀκολασίαν πολεμίῳ τῷ τούτου βέλει περιπεσών, οὐδὲν εἰς οὐδέν' ἁμαρτών, ἀθλίως ἀπέθανεν· ὁ δὲ περὶ τὸν τῆς ἀναιρέσεως καιρὸν πλημμελήσας οὐ τοῦ σκοποῦ τυχεῖν ἐκωλύθη, ἀλλ' ἄθλιον καὶ πικρὸν σκοπὸν ἐμοὶ ἀκοντίσας ἑκὼν μὲν οὐκ ἀπέκτεινεν, μᾶλλον δὲ ἑκὼν οὔτ' ἔβαλεν οὔτ' ἀπέκτεινεν, ἀκουσίως 'δὲ οὐχ ἧσσον ἢ ἑκουσίως ἀπέκτεινέ μου τὸν παῖδα. (7) Τὸ παράπαν δ' ἀρνούμενος μὴ ἀποκτεῖναι αὐτὸν οὐδ' ὑπὸ τοῦ νόμου καταλαμβάνεσθαί φησιν, ὃς ἀπαγορεύει μήτε δικαίως μήτε ἀδίκως ἀποκτείνειν. Ἀλλὰ τίς ὁ βαλών ἐστιν; ὁ φόνος οὖν ἀνήκει εἰς τοὺς θεωμένους ἢ εἰς τοὺς παιδαγωγούς; ὧν οὐδεὶς οὐδὲν κατηγορεῖ· οὐ γὰρ ἀφανής, ἀλλὰ καὶ λίαν φανερὸς ἔμοιγε αὐτοῦ ὁ θάνατός ἐστιν. Ἐγὼ δὲ τὸν νόμον ὀρθῶς ἀγορεύειν φημὶ τοὺς ἀποκτείναντας κολάζεσθαι· ὅ τε γὰρ ἄκων ἀποκτείνας ἀκουσίοις κακοῖς περιπεσεῖν δίκαιός ἐστιν, ὅ τε διαφθαρεὶς οὐδὲν ἧσσον ἀκουσίως ἢ ἑκουσίως βλαφθεὶς ἀδικοῖτ' ἂν ἀτιμώρητος γενόμενος. (8) Οὐ δίκαιος δὲ ἀποφυγεῖν ἐστὶ διὰ τὴν ἀτυχίαν τῆς ἁμαρτίας. Εἰ μὲν γὰρ ὑπὸ μηδεμιᾶς ἐπιμελείας τοῦ θεοῦ ἡ ἀτυχία γίνεται, ἁμάρτημα οὖσα τῷ ἁμαρτόντι συμφορὰ δικαία γενέσθαι ἐστίν· εἰ δὲ θεία κηλὶς τῷ δράσαντι προσπίπτει ἀσεβοῦντι, οὐ δίκαιον τὰς θείας προσβολὰς διακωλύειν γίνεσθαι. (9) Ἔλεξαν δὲ καὶ ὡς οὐ πρέπει χρηστὰ ἐπιτηδεύοντας αὐτοὺς κακῶν ἀξιοῦσθαι· ἡμεῖς δὲ πῶς ἂν πρέποντα πάσχοιμεν, εἰ μηδὲν ὑποδεέστερα τούτων μελετῶντες θανάτῳ ζημιούμεθα; Φάσκων δὲ ἀναμάρτητος εἶναι, καὶ ἀξιῶν τὰς συμφορὰς τῶν ἁμαρτόντων εἶναι καὶ μὴ εἰς τοὺς ἀναμαρτήτους ἐκτρέπεσθαι, ὑπὲρ ἡμῶν λέγει. Ὅ τε γὰρ παῖς μου εἰς οὐδένα οὐδὲν ἁμαρτών, ὑπὸ τούτου τοῦ μειρακίου ἀποθανών, ἀδικοῖτ' ἂν ἀτιμώρητος γενόμενος· ἐγώ τε τοῦδε μᾶλλον ἀναμάρτητος ὢν δεινὰ πείσομαι, ἃ ὁ νόμος δίδωσί μοι μὴ τυχὼν παρ' ὑμῶν. (10) Ὡς δὲ οὐδὲ τῆς ἁμαρτίας οὐδὲ τοῦ ἀκουσίως ἀποκτεῖναι, ἐξ ὧν αὐτοὶ λέγουσιν, ἀπολύεται, ἀλλὰ κοινὰ ἀμφότερα ταῦτα ἀμφοῖν αὐτοῖν ἐστί, δηλώσω. Εἴπερ ὁ παῖς διὰ τὸ ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ἐλθεῖν καὶ μὴ ἀτρέμας ἑστάναι φονεὺς αὐτὸς αὑτοῦ δίκαιος εἶναί ἐστιν, οὐδὲ τὸ μειράκιον καθαρὸν τῆς αἰτίας ἐστίν, ἀλλ' εἴπερ τούτου μὴ ἀκοντίζοντος, ἀλλ' ἀτρέμα ἑστῶτος ἀπέθανεν ὁ παῖς. Ἐξ ἀμφοῖν δὲ τοῦ φόνου γενομένου, ὁ μὲν παῖς εἰς αὑτὸν ἁμαρτὼν μᾶλλον ἢ κατὰ τὴν ἁμαρτίαν ἑαυτὸν τετιμώρηται (τέθνηκε γάρ), ὁ δὲ συλλήπτωρ καὶ κοινωνὸς εἰς τοὺς οὐ προσήκοντας τῆς ἁμαρτίας γενόμενος πῶς δίκαιος ἀζήμιος ἀποφυγεῖν ἐστίν;

11. Ἐκ δὲ τῆς αὐτῶν τῶν ἀπολογουμένων ἀπολογίας

luit jaculari, ideoque neque corpus ullum ferire potuit, tamen aiat ipsum suis manibus illud jaculum per latus suum transadegisse. Ego vero, si data opera illum interfecisse contenderem, facilius, puto, persuaderem quam hicce, qui a filio suo neque ictum neque occisum esse puerum dicit. (6) Filius meus tum temporis, quum adolescens hic jaculum expediret, a pædotriba jaculantium tela excipiente et colligente vocabatur : interea dum puer accurrit, adolescens temeritatis intemperantia infestum intorquebat jaculum, quo ictus, filius meus, ab omni culpa vacans misere periit : ille autem, eo quod laberetur in æstimando tempore quod insumi solet jaculis colligendis, non scopum ferire impeditus est, sed miserum et peracerbum mihi scopum attingens filium meum non volens quidem interfecit, imo vero volens neque ferlit neque occidit, at invitus nihilo tamen minus occidit, quam si volens fecisset. (7) Negans itaque puerum a se interemptum, negat quoque se lege teneri illa, quæ cæde omni interdicit sive justa sive injusta. Atqui si hic homicida non est, in quemnam culpa cædis relabetur? in spectatores ergo, an in pædagogos? Atqui horum quidem nemo quenquam ulla ex parte incusat. Et tamen non obscura, sed vel nimis etiam certa cædes ejus est. Porro recte mihi lex præcipere videtur, ut homicida puniatur. Nam etiamsi invitus occiderit, non ideo tamen absolvendus erit pœnis præter voluntatem contractis : et peremptus, nihil ideo minus læsus, quod a nolente peremptus sit, quam si a volente peremptus esset, injuriam acciperet, si inultus maneret. (8) Neque propter erroris sui infelicitatem homicida absolutione dignus est. Nam, si infelicitate quadam usus est, a qua numen divinum prorsus abfuit, peccavit tamen et pœnas peccati dare commeruit : sin autem insuper divina quædam macula homicidæ insederit utpote viro impio, intercedere velle numinis verberibus nefas est. (9) Verum opponunt, haud decere malis affici homines frugi; nos autem, qui morum nostrorum haud minus approbaverimus sanctitatem, mortis luctu cruciari ecqui convenıat? Sed culpa se ait vacare; calamitates iis postulat relinqui qui peccaverint, non autem in insontium capita detorqueri : verum, ea dicens, pro nobis dicit. Nam filius meus neminem ulla in re offendit; quod si ergo inultus maneat, ab hoc adolescente peremptus, injuriam utique accipiat : et ego, qui magis etiam quam filius meus culpa vaco, infanda patiar, si a vobis non assequar, quod lex mihi contribuit. (10) Ex illis autem quæ hi disputant consequi, adolescentem ne ab ipso quidem defectu voluntatis et propositi in cæde committenda absolvi, sed errorem et pœnam ambobus pueris communia esse, planum faciam. Nam si filius meus ideo homicida suimet habebitur, quia non constitit quietus, sed venienti jaculo se obtulit, ne istius quidem filius culpa est liberandus, qua vacaturus esset, si filius meus illo quiescente nullumque telum jaciente concidisset. Cæde itaque ab ambobus pariter peracta, filius quidem meus erroris sui in semet admissi majorem etiam pœnam quam pro modo erroris sibi ipse dedit moriens : qui ergo par sit impunitum discedere eum, qui se illi consortem et adjutorem delicti in eos, quos non decebat eo delicto lædi, præbuerit?

11. Ex ipsa horum defensione constat adolescentem hujus

μετόχου τοῦ μειρακίου ὄντος τοῦ φόνου, οὐκ ἂν δικαίως οὐδὲ ὁσίως ἀπολύοιτε αὐτόν. Οὔτε γὰρ ἡμεῖς, οἱ διὰ τὴν τούτων ἁμαρτίαν διαφθαρέντες, αὐθένται καταγνωσθέντες ὅσια, ἀλλ' ἀνόσι' ἂν πάθοιμεν ὑφ' ὑμῶν· οὔθ' οἱ θανατώσαντες ἡμᾶς μὴ εἰργόμενοι τῶν προσηκόντων εὐσεβοῖντ' ἂν ὑπὸ τῶν ἀπολυσάντων τοὺς ἀνοσίους. Πάσης δ' ὑπὲρ πάντων τῆς κηλῖδος εἰς ὑμᾶς ἀναφερομένης, πολλὴ εὐλάβεια ὑμῖν τούτων ποιητέα ἐστί· καταλαβόντες μὲν γὰρ αὐτὸν καὶ εἴρξαντες ὧν ὁ νόμος εἴργει καθαροὶ τῶν ἐγκλημάτων ἔσεσθε, ἀπολύσαντες δὲ ὑπαί-
124 τιοι καθίστασθε. (12) Τῆς οὖν ὑμετέρας εὐσεβείας ἕνεκα καὶ τῶν νόμων ἀπάγοντες τιμωρεῖσθε αὐτόν, αὐτοί τε μὴ μεταλάβητε τῆς τούτου μιαρίας, ἡμῖν τε τοῖς γονεῦσιν, οἱ ζῶντες κατορωρύγμεθα ὑπ' αὐτοῦ, δόξῃ γοῦν ἐλαφροτέραν τὴν συμφορὰν καταστήσατε.

cædis participem esse: nullo igitur pacto eum salvo divino humanoque jure absolvatis. Nos certe, quos horum error perdidit, non justa, sed nefanda patiamur, si homicidæ declaremur esse: sin ii qui necem istam nobis attulerunt, non arceantur a quibus locis arcendi sunt, religionem non observetis absolventes impios. Itaque quum macula piaculi vobis solis foret insessura, summa cautione hac in causa vobis utendum erit. Nam si homicidii reum hunc adolescentem pronunciaveritis eique locis sanctis interdixeritis, vacabitis crimine: sin autem eum absolveritis, ipsi eritis culpæ obnoxii. (12) Vestræ itaque pietatis ergo legumque tuendarum, abducentes hunc punite; sic enim cavebitis, ut spurcitiem ejus ne participetis, nobisque parentibus, qui ab isto vivi adhuc defossi sumus, calamitatem reddetis opinione saltim tolerabiliorem.

δ.

ΕΞ ΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

Τοῦτον μὲν εἰκὸς πρὸς τὴν ἑαυτοῦ κατηγορίαν προσέχοντα τὸν νοῦν μὴ μαθεῖν τὴν ἀπολογίαν μου, ὑμᾶς δὲ χρὴ γινώσκειν ὅτι ἡμεῖς μὲν οἱ ἀντίδικοι κατ' εὔνοιαν κρίνοντες τὸ πρᾶγμα εἰκότως δίκαια ἑκάτεροι αὐτοὺς οἰόμεθα λέγειν, ὑμᾶς δὲ ὁσίως ὁρᾶν προσήκει τὰ πραχθέντα· (2) ἐκ τῶν λεγομένων γὰρ ἡ ἀλήθεια σκεπτέα αὐτῶν ἐστιν. Ἐγὼ δέ, εἰ μέν τι ψεῦδος εἴρηκα, ὁμολογῶ καὶ τὰ ὀρθῶς εἰρημένα προσδιαβάλλειν ἄδικα εἶναι· εἰ δὲ ἀληθῆ μέν, λεπτὰ δὲ καὶ ἀκριβῆ, οὐκ ἐγὼ ὁ λέγων, ἀλλ' ὁ πράξας τὴν ἀπέχθειαν αὐτῶν δίκαιος φέρεσθαί ἐστι.

3. Θέλω δὲ ὑμᾶς πρῶτον μαθεῖν ὅτι οὐκ ἐάν τις φάσκῃ ἀποκτεῖναι, τοῦτ' ἔστιν, ἀλλ' ἐάν τις ἐλεγχθῇ. Οὗτος δὲ ὁμολογῶν τὸ ἔργον ὡς ἡμεῖς λέγομεν γενέσθαι, ὑπὲρ τοῦ ἀποκτείναντος ἀμφισβητεῖ, ὃν ἀδύνατον ἀλλαχόθεν ἢ ἐκ τῶν πραχθέντων δηλοῦσθαι. (4) Σχετλιάζει δὲ κακῶς ἀκούειν φάσκων τὸν παῖδα, εἰ μήτε ἀκοντίσας μήτ' ἐπινοήσας αὐθέντης ὢν ἀποδέδεικται, καὶ οὐ πρὸς τὰ λεγόμενα ἀπολογεῖται· οὐ γὰρ ἀκοντίσαι οὐδὲ βαλεῖν αὐτόν φημι τὸν παῖδα, ἀλλ' ὑπὸ τὴν πληγὴν τοῦ ἀκοντίου ὑπελθόντα οὐχ ὑπὸ τοῦ μειρακίου, ἀλλ' ὑφ' ἑαυτοῦ διαφθαρῆναι· οὐ γὰρ ἀτρεμίζων ἀπέθανε. Τῆς δὲ διαδρομῆς αἰτίας ταύτης γινομένης, εἰ μὲν ὑπὸ τοῦ παιδοτρίβου καλούμενος διέτρεχεν, ὁ παιδοτρίβης ἂν ἀποκτείνας αὐτὸν εἴη, εἰ δ' ὑφ' ἑαυτοῦ πεισθεὶς ὑπῆλθεν, αὐτὸς ὑφ' ἑαυτοῦ διέφθαρται. (5) Θέλω δὲ μὴ πρότερον ἐπ' ἄλλον λόγον ὁρμῆσαι ἢ τὸ ἔργον ἔτι φανερώτερον καταστῆσαι, ὁποτέρου αὐτῶν ἐστί. Τὸ μὲν μειράκιον οὐδενὸς μᾶλλον τῶν συμμελετώντων ἐστὶ τοῦ σκοποῦ ἁμαρτόν, οὐδὲ τῶν ἐπικαλουμένων τι διὰ τὴν αὐτοῦ ἁμαρτίαν δέδρακεν· ὁ δὲ παῖς οὐ ταὐτὰ τοῖς συνθεωμένοις δρῶν, ἀλλ' εἰς τὴν ὁδὸν τοῦ ἀκοντίου ὑπελθών, σαφῶς δηλοῦται παρὰ τὴν αὐτοῦ ἁμαρτίαν περισσοτέροις

4.

DEFENSIO POSTERIOR EJUSDEM CÆDIS.

Consentaneum nempe erat hunc, accusationi suæ intentum in eaque defixum, defensionem meam haud percipere; vos autem par est tenere, nos quidem adversarios causam quemque suam amplectentes justa et æqua dicere nobis videri, vos autem decere sancte et severe rem intueri. (2) Nam e disputatis veritas rerum gestarum eruenda est. Mentitus ego si quid fuero, profiteor, eo reliquis quoque recte dictis invidiam fraudis affricari: sin autem a me dicta, tametsi subtiliter et limate, vere tamen dicta sunt, non ego, qui ista dico, sed natura rerum oratione mea agitatarum meretur odiosam hanc appellationem ferre.

3. Volo itaque ante omnia probe vos tenere, non si quis cædis reum aliquem aiat, homicidam fieri, sed crimine comprobato. Hic autem confitens rem ita actam esse, ut nos exposuimus, tamen de auctore cædis ambitiose quærit, de quo aliunde quam e factis constare nequit. (4) Porro lamentatur de injuria filio suo facta, quod eum homicidam sui demonstraverim esse, qui tamen nec intorserit jaculum nec cogitaverit de intorquendo. Ego ipse quoque nego puerum jaculum expediisse, nego quenquam ab eo ictum esse; verumtamen, eo quod venienti telo se objecit, aio illum a semet ipso, non a filio meo, esse peremptum: nam si quietus constitisset, foret culpa necis in pædotribam transferenda, si is vocando puerum ad discurrendum invitasset; verum puer, a se ipso impulsus occurrit telo; quapropter ipse se sustulisse dicendus est. (5) Nolo ad alia transire, priusquam adhuc liquidius excussero, utrinam casus hic sit imputandus. Filius meus nihilo magis quam socii ejus a meta aberravit, neque per errorem quicquam eorum fecit quorum incusatur: puer autem non secutus exemplum reliquorum spectatorum, obviam se telo dedit; unde patet eum per suam ipsius culpam in malum incidisse, quod ad quiete stantes non pertinuit.

ἀτυχήμασι τῶν ἀτρεμιζόντων περιπεσών. Ὁ μὲν γὰρ ἀφεὶς οὐδὲν ἂν ἥμαρτε μηδενὸς ὑπὸ τὸ βέλος ὑπελθόντος· αὐτὸς δ' οὐκ ἂν ἐβλήθη μετὰ τῶν θεωμένων ἑστώς. (6) Ὡς δ' οὐδενὸς μᾶλλον τῶν συνακοντιζόντων μέτοχός ἐστι τοῦ φόνου, διδάξω. Εἰ γὰρ διὰ τὸ τοῦτον ἀκοντίζειν ὁ παῖς ἀπέθανε, πάντες ἂν οἱ συμμελετῶντες συμπράκτορες εἴησαν τῆς αἰτίας· οὗτοι γὰρ οὐ διὰ τὸ μὴ ἀκοντίζειν οὐκ ἔβαλον αὐτόν, ἀλλὰ διὰ τὸ μηδενὶ ὑπὸ τὸ ἀκόντιον ὑπελθεῖν· ὁ δὲ νεανίσκος οὐδὲν περισσὸν τούτων ἁμαρτών, ὁμοίως τούτοις οὐκ ἂν ἔβαλεν αὐτὸν ἀτρέμα σὺν τοῖς θεωμένοις ἑστῶτα. (7) Ἔστι δὲ οὐδὲ τὸ ἁμάρτημα τοῦ παιδὸς μόνον, ἀλλὰ καὶ ἡ ἀφυλαξία· ὁ μὲν γὰρ οὐδένα ὁρῶν διατρέχοντα πῶς ἂν ἐφυλάξατο μηδένα βαλεῖν; ὁ δ' ἰδὼν τοὺς ἀκοντίζοντας εὐπετῶς ἂν ἐφυλάξατο μηδένα μὴ βαλεῖν· ἐξῆν γὰρ αὐτῷ ἀτρέμας ἑστάναι. (8) Τὸν δὲ νόμον ὃν παραφέρουσιν, ἐπαινεῖν δεῖ· ὀρθῶς γὰρ καὶ δικαίως τοὺς ἀκουσίως ἀποκτείναντας ἀκουσίοις παθήμασι κολάζει. Τὸ μὲν οὖν μειράκιον ἀναμάρτητον ὂν οὐκ ἂν δικαίως ὑπὲρ τοῦ ἁμαρτόντος κολάζοιτο· ἱκανὸν γὰρ αὐτῷ ἐστι τὰς αὑτοῦ ἁμαρτίας φέρειν· ὁ δὲ παῖς ταῖς αὑτοῦ ἁμαρτίαις διαφθαρεὶς ἅμα ἥμαρτέ τε καὶ ὑφ' ἑαυτοῦ ἐκολάσθη· κεκολασμένου δὲ τοῦ ἀποκτείναντος οὐκ ἀτιμώρητος ὁ φόνος ἐστίν, ἔχοντός γε τὴν δίκην τοῦ φονέως.

125 9. Οὐκ ἐὰν οὖν ἀπολύσητε ἡμᾶς, ἀλλ' ἐὰν καταλάβητε, ἐνθύμιον ὑπολείψεσθε. Ὁ μὲν γὰρ αὐτὸς τὰς αὑτοῦ ἁμαρτίας φέρων οὐδενὶ οὐδὲν προστρόπαιον καταλείψει· ὁ δὲ καθαρὸς τῆς αἰτίας ἐὰν διαφθαρῇ, τοῖς καταλαμβάνουσι μεῖζον τὸ ἐνθύμιον γενήσεται. Εἰ δὲ αὐθέντης ἐκ τῶν λεγομένων ἐπιδείκνυται, οὐχ ἡμεῖς αὐτῷ οἱ λέγοντες αἴτιοί ἐσμεν, ἀλλ' ἡ πρᾶξις τῶν ἔργων. (10) Ὀρθῶς δὲ τῶν ἐλέγχων ἐλεγχόντων τὸν παῖδα αὐθέντην ὄντα, ὁ νόμος ἀπολύων ἡμᾶς τῆς αἰτίας τὸν ἀποκτείναντα καταλαμβάνει. Μήτε οὖν ἡμᾶς εἰς μὴ προσηκούσας συμφορὰς ἐμβάλητε, μήτε αὐτοὶ ταῖς τούτων ἀτυχίαις βοηθοῦντες ἐναντία τοῦ δαίμονος γνῶτε, ἀλλ' ὥσπερ ὅσιον καὶ δίκαιον, μεμνημένοι τοῦ πάθους ὅτι διὰ τὸν ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ὑπελθόντα ἐγένετο, ἀπολύετε ἡμᾶς· οὐ γὰρ αἴτιοι τοῦ φόνου ἐσμέν.

Nam si nemo in teli conjectum venisset, intortor jaculi nil peccasset; et ipse puer, stans cum reliquis spectatoribus, ictus non fuisset. (6) Quod autem filius meus non magis, quam ullus alius jaculationis sociorum, cædis hujus particeps sit, sic docebo. Si propterea, quod hic jaculum intorsit, puer cecidisset, deberent reliqui omnes exercitationis consortes etiam hujus criminis cooperatores haberi; nam hi, non ideo, quod jaculari omiserunt, puerum non ferierunt, sed ideo, quod eorum nemini in conjectum teli venit: pari modo adolescens, qui nihilo plus quam reliquorum quisquam deliquit, illum, si quiete cum spectatoribus stetisset, non fuisset sauciaturus. (7) Neque error solum pueri fuit, sed etiam negligentia cautionis. Nam filius meus neminem videns discurrentem, quomodo poterat cavere ne quem feriret? Ille autem, videns istos jaculantes, facile cavere poterat ne feriretur a quopiam: licebat enim perstare quieto. (8) Legem quod attinet, quam citant, oportet utique eam laudare. Recte enim et juste facit homicidas involuntarios involuntariis malis puniens. Adolescens autem non peccavit; ergo injuria ei fiat, si plectatur ipse in vicem ejus, qui vere peccavit; nam satis ipsi est peccatorum suorum pœnas ferre: puer autem errore suo interemptus, simul peccavit, et a semet ipso punitus est. Punitus autem homicida pœna non caret: habet enim pœnam cædis.

9. Non ergo scrupulum mentibus vestris injicietis nos absolventes, sed condemnantes. Nam qui sui propria peccata luit, is nemini piaculum ultione expiandum relinquit: purus autem a crimine si tollatur, vehementer is condemnantium cruciabit conscientiam. Quod autem e disputatione nostra elucescit, puerum peremptum homicidam esse, non nos sumus in culpa, sed natura facti. (10) Quod si ergo argumenta nostra puerum cogunt homicidam esse, lex nos absolvit, damnat interfectorem. Neque nos ergo in calamitates immeritas præcipitate, neque succurrere horum infelicitati conantes, sciscite divino numini adversantia, sed, prout sanctum et justum est, absolvite nos, recordati, casum hunc ex imprudentia ejus exstitisse qui telo venienti sese ipse obtulit: nos enim profecto culpa cædis vacamus.

IV.

ΤΕΤΡΑΛΟΓΙΑ Γ.

α.

ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΚΑΤΑ ΤΟΥ ΛΕΓΟΝΤΟΣ ΑΜΥΝΑΣΘΑΙ.

ΥΠΟΘΕΣΙΣ.

Νέος καὶ πρεσβύτης ἐκ λοιδορίας συμπεσόντες ἀλλήλοις ἐμάχοντο, ἰσχυρότερον δὲ τοῦ νέου πλήξαντος τέθνηκεν ὁ πρεσβύτης· καὶ περὶ τούτου κατηγορεῖ τις τοῦ νέου ὡς τὸν φόνον πεποιηκότος· ὁ δὲ πρῶτον τὸν πρεσβύτην ἀδίκων ἄρξαι λέγει χειρῶν. Ὅθεν ἀντέγκλημα ἡ στάσις γίνεται.

Νενόμισται μὲν ὀρθῶς τὰς φονικὰς δίκας περὶ πλείστου τοὺς κρίνοντας ποιεῖσθαι διώκειν τε καὶ μαρτυρεῖν κατὰ τὸ δίκαιον, μήτε τοὺς ἐνόχους ἀφιέντας μήτε τοὺς καθαροὺς εἰς ἀγῶνα καθιστάντας. (2) Ὅ τε γὰρ θεὸς βουλόμενος ποιῆσαι τὸ ἀνθρώπινον γένος τοὺς πρῶτον γενομένους ἔφυσεν ἡμῶν, τροφέας τε παρέδωκε τὴν γῆν καὶ τὴν θάλασσαν, ἵνα μὴ σπάνει τῶν ἀναγκαίων προαποθνήσκοιμεν τῆς γηραιοῦ τελευτῆς. Ὅστις οὖν τούτων ὑπὸ τοῦ θεοῦ ἀξιωθεὶς τοῦ βίου ἡμῶν ἀνόμως τινὰ ἀποκτείνει, ἀσεβεῖ μὲν περὶ τοὺς θεούς, συγχεῖ δὲ τὰ νόμιμα τῶν ἀνθρώπων. (3) Ὅ τε γὰρ ἀποθανών, στερόμενος ὧν ὁ θεὸς ἔδωκεν αὐτῷ, εἰκότως θεοῦ τιμωρίαν ὑπολείπει τὴν τῶν ἀλιτηρίων δυσμένειαν, ἣν οἱ παρὰ τὸ δίκαιον κρίνοντες ἢ μαρτυροῦντες, συνασεβοῦντες τῷ ταῦτα δρῶντι, οὐ προσῆκον μίασμα εἰς τοὺς ἰδίους οἴκους εἰσάγονται· (4) ἡμεῖς τε οἱ τιμωροὶ τῶν διεφθαρμένων, εἰ δι' ἄλλην τινὰ ἔχθραν τοὺς ἀναιτίους διώκοιμεν, τῷ μὲν ἀποθανόντι οὐ τιμωροῦντες δεινοὺς ἀλιτηρίους ἕξομεν τοὺς τῶν ἀποθανόντων προστροπαίους, τοὺς δὲ καθαροὺς ἀδίκως ἀποκτείνοντες ἔνοχοι τοῦ φόνου τοῖς ἐπιτιμίοις ἐσμέν, ὑμᾶς τε ἄνομα δρᾶν πείθοντες καὶ τοῦ ὑμετέρου ἁμαρτήματος ὑπαίτιοι γιγνόμεθα. (5) Ἐγὼ μὲν οὖν δεδιὼς ταῦτα, εἰς ὑμᾶς παράγων τὸν ἀσεβήσαντα καθαρὸς τῶν ἐγκλημάτων εἰμί· ὑμεῖς δὲ ἀξίως τῶν προειρημένων τῇ κρίσει προσέχοντες τὸν νοῦν, ἀξίαν δίκην τοῦ πάθους τῷ εἰργασμένῳ ἐπιθέντες, ἅπασαν τὴν πόλιν καθαρὰν τοῦ μιάσματος καταστήσετε. (6) Εἰ μὲν γὰρ ἄκων ἀπέκτεινε τὸν ἄνδρα, ἄξιος ἂν ἦν συγγνώμης τυχεῖν τινός· ὕβρει δὲ καὶ ἀκολασίᾳ παροινῶν εἰς ἄνδρα πρεσβύτην, τύπτων τε καὶ πνίγων ἕως τῆς ψυχῆς ἀπεστέρησεν αὐτόν, ὡς μὲν ἀποκτείνας τοῦ φόνου τοῖς ἐπιτιμίοις ἔνοχός ἐστιν, ὡς δὲ συγχέων ἅπαντα τῶν γεραιτέρων τὰ νόμιμα οὐδενὸς ἁμαρτεῖν, οἷς οἱ τοιοῦτοι κολάζονται, δίκαιός ἐστιν. (7) Ὁ μὲν τοίνυν νόμος ὀρθῶς ὑμῖν τιμωρεῖσθαι παραδίδωσιν αὐτόν· τῶν δὲ μαρτύρων ἀκηκόατε, οἳ παρῆσαν παροινοῦντι αὐτῷ· ὑμᾶς δὲ χρὴ τήν τε ἀνομίαν τοῦ παθήματος ἀμύνοντας, τήν τε ὕβριν κολάζοντας ἀξίως τοῦ πάθους, τὴν βουλεύσασαν ψυχὴν ἀνταφελέσθαι αὐτόν.

IV.

TETRALOGIA III.

1.

ACCUSATIO CÆDIS AB EO FACTÆ QUI SE DICERET VIM OBLATAM DEFENDISSE.

ARGUMENTUM.

Juvenis et senex conviliis concurrentes pugnaverunt. Violentius vero juniore percutiente, senex interemptus est: quare quidam juvenem accusat, tanquam homicidii patratorem. Qui dicit senem primum manibus lædere cœpisse. Unde causæ status recriminatio est.

Recte solent judices homicidiorum causas disceptantes hoc maxime providere, ut et accusatores et testes æquo et vero studeant; quo neque sontes dimittantur neque insontes in discrimina capitalia conjiciantur. (2) Deus enim humanum genus creare volens primis hominibus altores dedit terram mareque, ne penuria victus necessarii ante terminum senilis ætatis tolleretur. Quod si ergo aliquis, tantis bonis a deo ornatus vita contra fas nostrum aliquem privat, impius is in deos est, et jura humana conturbat. (3) Peremptus enim, quum bonis divinitus datis privatus sit, uti par est, divinam vindictam post se relinquit furiarum sævitiem, quam etiam iniqui judices et falsi testes, eo quod pari scelere se obligant atque homicidæ ipsi, piaculum alienum ultro ipsi suas in domos inducunt: (4) et nos, qui peremptorum ultores nos ferimus, si ob aliam quampiam simultatem insontes insectemur, perempti manes ultione nulla placantes in nos irritamus Furias interfectorum; innocentes vero exitio nefando pessumdantes, pœnis homicidii innectimur; denique vobis persuadentes ut iniqua faciatis, culpam vestri erroris ipsi nobis contrahimus. (5) Hæc ego cavens, cædis patratorem ad vos adduco; quod faciens, reprehensione vaco: vos autem pro gravitate eorum quæ modo commemoravi, causæ hujus cognitioni animum attendentes, justaque reum pœna afficientes piaculi maculam a tota civitate abstergetis. (6) Nam si invitus peremisset, esset forsitan venia quadam dignus: verum per petulantiæ intemperantiam in senem sæviens, quem tamdiu strangulavit atque verberavit donec anima eum desereret, primum quod cædem commisit, homicidii pœnæ obnoxius est, dein quod senum jura omnia temeravit, nihil non meruit eorum, quibus tales castigantur. (7) Recte itaque jus civile vobis hunc hominem tradidit puniendum: audistis testes, qui intererant, quum hic temulentiæ actus in senem sæviret: vos jam decet facinus auctori rependentes et insolentiam ejus pro sceleris magnitudine coercentes, vitam invicem eripere ei qui alii eripuit de proposito.

β.

126 ## ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ, ΩΣ ΑΜΥΝΟΜΕΝΟΣ ΑΠΕΚΤΕΙΝΕΝ.

ΥΠΟΘΕΣΙΣ.

Ἡ στάσις μετάστασις· μεταφέρει γὰρ ἐπὶ τὸν θεραπεύσαντα ἰατρὸν τὸν φόνον· τὸ γὰρ ἀντεγκληματικὸν ὡς παρεπόμενον ἔλαβεν.

Ὅτι μὲν βραχεῖς τοὺς λόγους ἐποιήσαντο, οὐ θαυμάζω αὐτῶν· οὐ γὰρ ὡς μὴ πάθωσιν ὁ κίνδυνος αὐτοῖς ἐστίν, ἀλλ' ὡς ἐμὲ μὴ δικαίως δι' ἔχθραν διαφθείρωσιν· ὅτι δ' ἐξισοῦν τοῖς μεγίστοις ἐγκλήμασιν ἤθελον τὸ πρᾶγμα, οὗ ὁ ἀποθανὼν αὐτῷ αἴτιος καὶ μᾶλλον ἢ ἐγὼ ἐγένετο, εἰκότως ἂν ἀγανακτεῖν μοι δοκῶ. Ἄρχων γὰρ χειρῶν ἀδίκων, καὶ παροινῶν εἰς ἄνδρα πολὺ αὐτοῦ σωφρονέστερον, οὐχ αὑτῷ μόνον τῆς συμφορᾶς, ἀλλὰ καὶ ἐμοὶ αἴτιος τοῦ ἐγκλήματος γέγονεν. (2) Οἶμαι μὲν οὖν ἔγωγε οὔτε δίκαια τούτους οὔθ' ὅσια δρᾶν ἐγκαλοῦντας ἐμοί. Τὸν γὰρ ἄρξαντα τῆς πληγῆς, εἰ μὲν σιδήρῳ ἢ λίθῳ ἢ ξύλῳ ἠμυνάμην αὐτόν, ἠδίκουν μὲν οὐδ' οὕτως (οὐ γὰρ ταὐτά, ἀλλὰ μείζονα καὶ πλείονα δίκαιοι οἱ ἄρχοντες ἀντιπάσχειν εἰσίν)· ταῖς δὲ χερσὶ τυπτόμενος ὑπ' αὐτοῦ, ταῖς χερσὶν ἅπερ ἔπασχον ἀντιδρῶν, πότερα ἠδίκουν; (3) Εἶεν· ἐρεῖ δέ « ἀλλ' ὁ νόμος εἴργων μήτε δικαίως μήτε ἀδίκως ἀποκτείνειν ἔνοχον τοῦ φόνου τοῖς ἐπιτιμίοις ἀποφαίνει σε ὄντα· ὁ γὰρ ἀνὴρ τέθνηκεν. » Ἐγὼ δὲ καὶ δεύτερον καὶ τρίτον οὐκ ἀποκτεῖναί φημι. Εἰ μὲν γὰρ ὑπὸ τῶν πληγῶν ὁ ἀνὴρ παραχρῆμα ἀπέθανεν, ὑπ' ἐμοῦ μέν, δικαίως δ' ἂν ἐτεθνήκει (οὐ γὰρ ταὐτά, ἀλλὰ μείζονα καὶ πλείονα οἱ ἄρξαντες δίκαιοι ἀντιπάσχειν εἰσίν)· (4) νῦν δὲ πολλαῖς ἡμέραις ὕστερον πονηρῷ ἰατρῷ ἐπιτρεφθεὶς διὰ τὴν τοῦ ἰατροῦ μοχθηρίαν καὶ οὐ διὰ τὰς πληγὰς ἀπέθανε. Προλεγόντων γὰρ αὐτῷ τῶν ἄλλων ἰατρῶν, εἰ ταύτην τὴν θεραπείαν θεραπεύσοιτο, ὅτι ἰάσιμος ὢν διαφθαρήσοιτο, δι' ὑμᾶς τοὺς συμβούλους διαφθαρεὶς ἐμοὶ ἀνόσιον ἔγκλημα προσέβαλεν. (5) Ἀπολύει δέ με καὶ ὁ νόμος καθ' ὃν διώκομαι· τὸν γὰρ ἐπιβουλεύσαντα κελεύει φονέα εἶναι. Ἐγὼ μὲν οὖν πῶς ἂν ἐπιβουλεύσαιμι αὐτῷ, εἰ μὴ καὶ ἐπεβουλεύθην ὑπ' αὐτοῦ; τοῖς γὰρ αὐτοῖς ἀμυνόμενος αὐτὸν καὶ τὰ αὐτὰ δρῶν ἅπερ ἔπασχον, σαφὲς ὅτι τὰ αὐτὰ ἐπεβούλευσα καὶ ἐπεβουλεύθην. (6) Εἰ δέ τις ἐκ τῶν πληγῶν τὸν θάνατον οἰόμενος γενέσθαι φονέα με αὐτοῦ ἡγεῖται εἶναι, ἀντιλογισάσθω ὅτι διὰ τὸν ἄρξαντα αἱ πληγαὶ γενόμεναι τοῦτον αἴτιον τοῦ θανάτου καὶ οὐκ ἐμὲ ἀποφαίνουσιν ὄντα· οὐ γὰρ ἂν ἠμυνάμην μὴ τυπτόμενος ὑπ' αὐτοῦ. Ἀπολυόμενος δὲ ὑπό τε τοῦ [νόμου ὑπό τε τοῦ] ἄρξαντος τῆς πληγῆς, ἐγὼ μὲν οὐδενὶ τρόπῳ φονεὺς αὐτοῦ εἰμί, ὁ δὲ ἀποθανών, εἰ μὲν ἀτυχίᾳ τέθνηκεν, τῇ ἑαυτοῦ ἀτυχίᾳ κέχρηται (ἠτύχησε γὰρ ἄρξας τῆς πληγῆς), εἰ δ' ἀβουλίᾳ τινί, τῇ ἑαυτοῦ ἀβουλίᾳ διέφθαρται· οὐ γὰρ εὖ φρονῶν ἔτυπτέ με.

7. Ὡς μὲν οὖν οὐ δικαίως κατηγοροῦμαι, ἐπιδέδει-

2.

DEFENSIO CÆDIS AGGRESSORI OBLATÆ.

ARGUMENTUM.

Status causæ translatio est : transfert enim in curantem medicum causam cædis. Recriminatorium enim ut consequens cepit.

Brevi oratione defunctos esse accusatores mei, nil miror : neque enim hoc ipsis nunc agitur, quo nil mali patiantur ipsi; sed istud, ut satisfacientes simultati erga me suæ, per nefas me pessumdent : quod autem teterrimis exæquare criminibus hunc casum contendunt, cujus ipse sibi potius quam ego ipsi auctor, hoc recte indignari mihi videor. Ipse injuriarum initium faciens et per temulentiam lacessens me multo ipso temperantiorem, non sibi modo calamitatem istam, sed mihi etiam hanc actionem creavit. (2) Nego itaque eos me incusantes recte facere justeque. Nam si aggressorem aut ferro aut saxo aut fuste repulissem, ne sic quidem injuste egissem (aggressores enim non eadem modo sed majora etiam et plura vicissim pati merentur) : ego vero ictus pugnorum ab eo mihi ingestos pugnis ipsi retudi : in hoc num injuste egi? (3) Sit. Dicet vero : « Atqui lex, ne quis neque jure neque injuria occidatur vetans, homicidii te pœnis obnoxium esse declarat : vir enim periit. » Ego vero iterum atque iterum nego eum a me peremptum esse. Nam si protinus ab plagis exspirasset, tum sane a me peremtus sed juste tamen foret (nam juste non eadem tantum, sed etiam majora et plura aggressoribus rependuntur) : (4) ille vero, manibus medici imperiti commissus, multis diebus post periit, non a plagis, sed mali medici culpa; reliquis enim medicis denuntiantibus, ista si ægroto adhiberetur medendi ratio, ægrotum, quum sanabile malum sit, tamen moriturum esse, per errorem consilii vestri ille moriens injustam mihi hanc accusationem excitavit. (5) Verum etiam lex, ex qua reus agor, me absolvit. Declarat ea homicidam esse vitæ alterius insidiatum. Atqui quo pacto ego dicar insidiatus esse, nisi si concedant etiam illum mihi insidiatum esse? Nam quum defendens me eodem modo in eum egerim quod ipse egit in me, aperte haud magis sum insidiatus ei, quam ipse mihi insidiatus est. (6) Jam si quis plagas esse mortis causam putat ideoque me interfectorem viri habet, contra is secum reputet, plagas illas, quum propterea, quod alter initium earum fecerit, ego inflixerim, testari potius non me sed illum mortis auctorem esse : nam nisi vapulassem, non reverberassem. Quum itaque [et lex] et aggressoris culpa me absolvant, ego nullo pacto homicida ejus sum; mortuus vero si per infelicitatem quandam periit, ea ipsius est infelicitas (infelix nempe fuit eo quod prior me incessit); sin temeritate periit, item illa sua periit : nam sanæ mentis si fuisset, non verberasset me.

7. Planum feci accusatores injuste agere, me incusantes.

κταί μοι. Ἐθέλω δὲ τοὺς κατηγοροῦντάς μου πᾶσιν οἷς ἐγκαλοῦσιν ἐνόχους αὐτοὺς ὄντας ἐπιδεῖξαι. Καθαρῷ μέν μοι τῆς αἰτίας ὄντι φόνον ἐπιβουλεύοντες, ἀποστεροῦντες δέ με τοῦ βίου ὃν ὁ θεὸς παρέδωκέ μοι, περὶ τὸν θεὸν ἀσεβοῦσιν· ἀδίκως δὲ θάνατον ἐπιβουλεύοντες, τά τε νόμιμα συγχέουσι φονεῖς τέ μου γίνονται· ἀνοσίως δ' ἀποκτεῖναι ὑμᾶς με πείθοντες, καὶ τῆς ὑμετέρας εὐσεβείας αὐτοὶ φονεῖς εἰσί.

8. Τούτοις μὲν οὖν ὁ θεὸς ἐπιθείη τὴν δίκην· ὑμᾶς δὲ χρὴ τὸ ὑμέτερον σκοποῦντας ἀπολῦσαί με μᾶλλον ἢ καταλαβεῖν βούλεσθαι. Ἀδίκως μὲν γὰρ ἀπολυθείς, διὰ τὸ μὴ ὀρθῶς διδαχθῆναι ὑμᾶς ἀποφυγών, τοῦ μὴ διδάξαντος καὶ οὐχ ὑμέτερον τὸν προστρόπαιον τοῦ
127 ἀποθανόντος καταστήσω· μὴ ὀρθῶς δὲ καταληφθεὶς ὑφ' ὑμῶν, ὑμῖν καὶ οὐ τούτῳ τὸ μήνιμα τῶν ἀλιτηρίων προστρίψομαι. (9) Ταῦτ' οὖν εἰδότες, τουτοισὶ τὸ ἀσέβημα τοῦτο ἀναθέντες, αὐτοί τε καθαροὶ τῆς αἰτίας γένεσθε, ἐμέ τε ὁσίως καὶ δικαίως ἀπολύετε· οὕτω γὰρ ἂν καθαρώτατοι πάντες οἱ πολῖται εἴημεν.

Jam docebo, eosdem illis ipsis omnibus obnoxios esse, quorum me insimulant. Contendentes enim per insidias suas vitam innocenti mihi eripere, qua divino munere gaudeo, pietatem erga deum violant: deinde necem mihi per nefas machinantes, jura humana conturbant et ipsi fiunt homicidæ mei: impia denique cohortatione qua vos ad decernendam mihi necem instigant, vestram quoque religionem jugulant.

8. Atque illos quidem deus merita mercede mactet: vos autem decet vobis ipsis consulentes me absolvere potius quam condemnare velle. Nam si contra fas absolvar eo quod non recte vos instruxerim, mihi, qui deceperim vos, non vobis infestas perempti pœnas excitabo: contra vero a vobis injuria damnatus ego vobis, non huic accusatori meo, iram numinum ultorum affricabo. (9) Horum igitur memores, impietatem hanc istis relinquentes et ipsos puros vos a macula conservetis et me uti jus et fas est, absolvite: sic enim universæ civitatis sanctimonia salva erit.

γ.

ΕΚ ΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἐν τούτῳ φησί· « θαυμάζω ὅτι οὐκ εἰκὸς ἄρξαι χειρῶν ἀδικῶν τὸν πρεσβύτερον· » εἶτα ὅτι εἰ καὶ οὕτως ἔχει, ὁ μέχρι φόνου ἀμυνόμενος ὑπεύθυνος. Καὶ περὶ τοῦ ἰατροῦ, ὡς δι' ἀπειρίαν ἐσφάλη, ἀνεύθυνος ὤν.

Τοῦτόν τε οὐ θαυμάζω ἀνόσια δράσαντα ὅμοια οἷς εἴργασται λέγειν, ὑμῖν τε συγγινώσκω βουλομένοις τὴν ἀκρίβειαν τῶν πραχθέντων μαθεῖν, τοιαῦτα ἀνέχεσθαι ἀκούοντας αὐτοῦ, ἃ ἐκβάλλεσθαι ἄξιά ἐστι. Τὸν γὰρ ἄνδρα ὁμολογῶν τύπτειν τὰς πληγὰς ἐξ ὧν ἀπέθανεν, αὐτὸς μὲν τοῦ τεθνηκότος οὔ φησι φονεὺς εἶναι, ἡμᾶς δὲ τοὺς τιμωροῦντας αὐτῷ ζῶν τε καὶ βλέπων φονέας αὐτοῦ φησὶν εἶναι. Θέλω δὲ καὶ τἄλλα παραπλήσια ἀπολογηθέντα τούτοις ἐπιδεῖξαι αὐτόν.

2. Εἶπε δὲ πρῶτον μέν, εἰ καὶ ἐκ τῶν πληγῶν ἀπέθανεν ὁ ἀνήρ, ὡς οὐκ ἀπέκτεινεν αὐτόν· τὸν γὰρ ἄρξαντα τῆς πληγῆς, τοῦτον αἴτιον τῶν πραχθέντων γενόμενον καταλαμβάνεσθαι ὑπὸ τοῦ νόμου, ἄρξαι δὲ τὸν ἀποθανόντα. Μάθετε δὴ πρῶτον μὲν ὅτι ἄρξαι καὶ παροινεῖν τοὺς νεωτέρους τῶν πρεσβυτέρων εἰκότερόν ἐστι· τοὺς μὲν γὰρ ἥ τε μεγαλοφροσύνη τοῦ γένους ἥ τε ἀκμὴ τῆς ῥώμης ἥ τε ἀπειρία τῆς μέθης ἐπαίρει τῷ θυμῷ χαρίζεσθαι, τοὺς δὲ ἥ τε ἐμπειρία τῶν παροινουμένων ἥ τε ἀσθένεια τοῦ γήρως ἥ τε δύναμις τῶν νέων φοβοῦσα σωφρονίζει. (3) Ὡς δὲ οὐ τοῖς αὐτοῖς, ἀλλὰ τοῖς ἐναντιωτάτοις ἠμύνατο αὐτόν, αὐτὸ τὸ ἔργον σημαίνει. Ὁ μὲν γὰρ ἀκμαζούσῃ τῇ ῥώμῃ τῶν χειρῶν χρώμενος ἀπέκτεινεν· ὁ δὲ ἀδυνάτως τὸν κρείσσονα ἀμυνόμενος,

3.

ACCUSATIO POSTERIOR EJUSDEM CÆDIS.

ARGUMENTUM.

In hac oratione dicit, Miror, quia verisimile non est, seniorem primum lædere cœpisse. Deinde concesso rem sic se habere, eum qui se usque ad mortem defendit, crimini obnoxium esse, et de medico, quando propter imperitiam erravit, eum crimini non obnoxium.

Hunc nil miror impiis factis similes orationes adjungere; et vobis ignosco, quod studio totam rem penitus cognoscendi, ejusmodi sermones patienter auditis, quos explodi par erat. Hic enim, tametsi fatetur verbera homini illa ingessisse unde exspiravit, tamen negat se homicidam ejus esse; nos autem, qui mortem ejus ulcisci studemus, vivus vidensque homicidas ipsius esse dicit. Sed et reliquorum argumentorum stultitiam huic parem esse demonstrabo.

2. Primum itaque asseveravit hoc, etiam si e plagis exspirasset vir, a se tamen ideo non esse sublatum: rixæ enim principem a lege condemnari ideo, quod penes eum causa eventorum esset; sed peremptum rixam exorsum esse. Jam scire vos velim, judices, probabilius esse, ut juvenes rixam ordiantur quam ut seniores. Juvenes enim aut superbia generis nobilitate fidens aut corporis robur aut imperitia temulentiæ impellit ad indulgendum iracundiæ; seniores autem sapere admonet conscientia eorum quæ per temulentiam committi solent, tum senii imbecillitas, denique vis juvenum ipsis metuenda. (3) Porro reum non iisdem armis, sed prorsus contrariis, peremptum oppugnasse, res ipsa docet. Hic enim vigente manuum robore senem necavit; senex autem, fortiorem debiliter repellens,

οὐδὲ σημεῖον οὐδὲν ὑπολιπὼν ὧν ἠμύνατο, ἀπέθανεν. Εἰ δὲ ταῖς χερσὶν ἀπέκτεινε καὶ οὐ σιδήρῳ, ὅσον αἱ χεῖρες τοῦ σιδήρου οἰκειότεραι τούτῳ εἰσί, τοσούτῳ μᾶλλον φονεύς ἐστιν. (4) Ἐτόλμησε δὲ εἰπεῖν ὡς ὁ ἄρξας τῆς πληγῆς καὶ μὴ διαφθείρας μᾶλλον τοῦ ἀποκτείναντος φονεύς ἐστι· τοῦτον γὰρ βουλευτὴν τοῦ θανάτου φησὶ γενέσθαι. Ἐγὼ δὲ πολὺ τἀναντία τούτων φημί. Εἰ γὰρ αἱ χεῖρες ἃ διανοούμεθα ἑκάστῳ ἡμῶν ὑπουργοῦσιν, ὁ μὲν πατάξας καὶ μὴ ἀποκτείνας τῆς πληγῆς βουλευτὴς ἐγένετο, ὁ δὲ θανασίμως τύπτων τοῦ θανάτου· ἐκ γὰρ ὧν ἐκεῖνος διανοηθεὶς ἔδρασεν, ὁ ἀνὴρ τέθνηκεν. Ἔστι δὲ ἡ μὲν ἀτυχία τοῦ πατάξαντος, ἡ δὲ συμφορὰ τοῦ παθόντος. Ὁ μὲν γὰρ ἐξ ὧν ἔδρασεν ἐκεῖνος διαφθαρείς, οὐ τῇ ἑαυτοῦ ἁμαρτίᾳ, ἀλλὰ τῇ τοῦ πατάξαντος χρησάμενος ἀπέθανεν· ὁ δὲ μείζω ὧν ἤθελε πράξας, τῇ ἑαυτοῦ ἀτυχίᾳ ὃν οὐκ ἤθελεν ἀπέκτεινεν. (5) Ὑπὸ δὲ τοῦ ἰατροῦ φάσκων αὐτὸν ἀποθανεῖν, θαυμάζω ὅτι οὐχ ὑφ' ἡμῶν τῶν συμβουλευσάντων ἐπιτρεφθῆναί φησιν αὐτὸν διαφθαρῆναι. Καὶ γὰρ ἂν εἰ μὴ ἐπετρέψαμεν, ὑπ' ἀθεραπείας ἂν ἔφη διαφθαρῆναι αὐτόν. Εἰ δέ τοι καὶ ὑπὸ τοῦ ἰατροῦ ἀπέθανεν, ὡς οὐκ ἀπέθανεν, ὁ μὲν ἰατρὸς οὐ φονεὺς αὐτοῦ ἐστίν (ὁ γὰρ νόμος ἀπολύει αὐτόν), διὰ δὲ τὰς τούτου πληγὰς ἐπιτρεψάντων ἡμῶν αὐτῷ, πῶς ἂν ἄλλος τις ἢ ὁ βιασάμενος ἡμᾶς χρῆσθαι αὐτῷ φονεὺς εἴη ἄν;

6. Οὕτω δὲ φανερῶς ἐλεγχόμενος ἐκ παντὸς τρόπου ἀποκτεῖναι τὸν ἄνδρα, εἰς τοῦτο τόλμης καὶ ἀναιδείας ἥκει, ὥστ' οὐκ ἀρκοῦν αὐτῷ ἐστὶν ὑπὲρ τῆς αὑτοῦ ἀσεβείας ἀπολογεῖσθαι, ἀλλὰ καὶ ἡμᾶς, οἳ τὸ τούτου μίασμα
128 ἐπεξερχόμεθα, ἀθέμιστα καὶ ἀνόσια δρᾶν φησί. Τούτῳ μὲν οὖν πρέπει καὶ ταῦτα καὶ ἔτι τούτων δεινότερα λέγειν, τοιαῦτα δεδρακότι· (7) ἡμεῖς δὲ τὸν θάνατον φανερὸν ἀποδεικνύντες, τήν τε πληγὴν ὁμολογουμένην ἐξ ἧς ἀπέθανε, τόν τε νόμον εἰς τὸν πατάξαντα τὸν φόνον ἀνάγοντα, ἀντὶ τοῦ παθόντος ἐπισκήπτομεν ὑμῖν τῷ τούτου φόνῳ τὸ μήνιμα τῶν ἀλιτηρίων ἀκεσαμένους πᾶσαν τὴν πόλιν καθαρὰν τοῦ μιάσματος καταστῆσαι.

exspiravit, ne relicto quidem ullo defensionis vestigio. Manibus si cædem, non ferro, peregit, manus quo magis ei propriæ quam ferrum erant, tanto magis est homicida. (4) Audet porro affirmare, principem rixæ, tametsi adversarium non peremerit, magis tamen quam ipsum interfectorem homicidam esse : nam qui aggrediatur, eum esse mortis præmeditatorem. Ego vero alia omnia censeo. Nam si manus ea quæ meditamur unicuique nostrum exsequantur, is qui plagam inflixerit haud letalem, plagæ tantum præmeditator est; qui autem letaliter ferit, is præmeditator est necis. nam quæ ille de consilio patravit, ex his hic mortuus est. Infelicitas cædentis est, malum perpessi. Hic enim illius factis interemptus, non sua culpa, sed cædentis, periit : ille autem, in cædendo ultra quam voluerat evectus, infelicitate sua sustulit quem tollere non decreverat. (5) Culpam mortis in medicum quum transfert, miror qui, non peremptum a nobis aiat, qui ipsi auctores fuimus ut se huic medico committeret. Porro si medico non commissus a nobis esset, dicturus foret reus, illum defectu medicationis periisse. At fac medici culpa ita eum periisse, ut non periit : non homicida ejus foret medicus (nam lex eum absolvit), propter verbera autem ab hoc illi ingesta quum medicum arcessiverimus, quomodo alius aliquis homicida sit, quam is qui nos coegit opera medici uti?

6. Quanquam itaque tam perspicue genere omni argumentorum coarguitur, nostrum peremisse, eo tamen audaciæ atque impudentiæ procedit, ut non satis habeat suam impietatem purgare, verum etiam nos, piaculum ejus insectantes, aiat illegitima et impia agere. Sed hunc quidem, talium facinorum reum, tales voces et adhuc etiam atrociores jactare decet : (7) nos autem, qui necem sine controversia factam doceamus, et plagam lethalem fuisse, et legem proferamus verberatori homicidium imputantem, defuncti nomine vobis demandamus, ut hujus homicidæ sanguine iracundiam deorum pœnalium placetis totamque sic civitatem a piaculo repurgetis.

δ.

ΕΞ ΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

Ὁ μὲν ἀνήρ, οὐ καταγνοὺς αὐτὸς αὑτοῦ, ἀλλὰ τὴν σπουδὴν τῶν κατηγόρων φοβηθείς, ὑπεξέστη· ἡμῖν δὲ τοῖς φίλοις ζῶντι ἢ ἀποθανόντι εὐσεβέστερον ἀμύνειν αὐτῷ. Ἄριστα μὲν οὖν αὐτὸς ἂν ὑπὲρ αὑτοῦ ἀπελογεῖτο· ἐπεὶ δὲ τάδε ἀκινδυνότερον ἔδοξεν ἡμῖν εἶναι, οἷς μέγιστον ἂν πένθος γένοιτο στερηθεῖσιν αὐτοῦ, ἀπολογητέον.

2. Δοκεῖ δέ μοι περὶ τὸν ἄρξαντα τῆς πληγῆς τὸ ἀδίκημα εἶναι. Ὁ μὲν οὖν διώκων οὐκ εἰκόσι τεκμηρίοις χρώμενος τοῦτον τὸν ἄρξαντά φησιν εἶναι. Εἰ μὲν γὰρ ὥσπερ βλέπειν μὲν τοῖς ὀφθαλμοῖς, ἀκούειν δὲ

4.

DEFENSIO POSTERIOR EJUSDEM CÆDIS.

Urbe reus excessit, non quo semet ipse condemnaret, sed accusatorum contentionem reformidans : nobis autem, qui ejus amici sumus, ad pietatem tuendam satius est, superstiti adhuc quam sublato succurrere. Optime quidem ipse suam dixisset causam : verum quia posterioris defensionis periculum nos subire tutius erat, quam ipsum, age partes ejus agamus nos, quibus desiderium ejus ingentem luctum sit allaturum.

2. Videtur itaque mihi quidem injuria penes principem verberum residere. Quem adversarius aiens amicum nostrum esse, utitur argumentis parum consentaneis. Nam si, quemadmodum oculis a natura datum est ut cernant,

τοῖς ὠσίν, οὕτω κατὰ φύσιν ἦν ὑβρίζειν μὲν τοὺς νέους σωφρονεῖν δὲ τοὺς γέροντας, οὐδὲν ἂν τῆς ὑμετέρας κρίσεως ἔδει· αὐτὴ γὰρ ἡ ἡλικία τὸν νέον κατέκρινε· νῦν δὲ πολλοὶ μὲν νέοι σωφρονοῦντες πολλοὶ δὲ πρεσβῦται παροινοῦντες οὐδὲν μᾶλλον τῷ διώκοντι ἢ τῷ φεύγοντι τεκμήριον γίνονται. (3) Κοινοῦ δὲ τοῦ τεκμηρίου ἡμῖν ὄντος, τούτῳ τῷ παντὶ προέχομεν· οἱ γὰρ μάρτυρες τοῦτόν φασιν ἄρξαι τῆς πληγῆς. Ἄρξαντος δὲ τούτου, καὶ τῶν ἄλλων ἁπάντων κατηγορουμένων, ἀπολύεται τῆς αἰτίας. Εἴ τε γὰρ ὁ πατάξας, διὰ τὴν πληγὴν βιασάμενος ὑμᾶς ἐπιτρεφθῆναι ἰατρῷ, μᾶλλον τοῦ ἀποκτείναντος φονεύς ἐστιν, ὁ ἄρξας τῆς πληγῆς φονεὺς γίνεται· οὗτος γὰρ ἠνάγκασε τόν τε ἀμυνόμενον ἀντιτύπτειν τόν τε πληγέντα ἐπὶ τὸν ἰατρὸν ἐλθεῖν. Ἀνόσια γὰρ ἂν ὅ γε διωκόμενος πάθοι, εἰ μήτε ἀποκτείνας ὑπὲρ τοῦ ἀποκτείναντος μήτε ἄρξας ὑπὲρ τοῦ ἄρξαντος φονεὺς ἔσται. (4) Ἔστι δὲ οὐδὲ ὁ ἐπιβουλεύσας οὐδὲν μᾶλλον ὁ διωκόμενος τοῦ διώκοντος. Εἰ γὰρ ὁ μὲν ἄρξας τῆς πληγῆς τύπτειν καὶ μὴ ἀποκτείνειν διενοήθη, ὁ δὲ ἀμυνόμενος ἀποκτεῖναι, οὗτος ἂν ὁ ἐπιβουλεύσας εἴη. Νῦν δὲ καὶ ὁ ἀμυνόμενος τύπτειν καὶ οὐκ ἀποκτεῖναι διανοηθεὶς ἥμαρτεν, εἰς ἃ οὐκ ἐβούλετο πατάξας. (5) Τῆς μὲν οὖν πληγῆς βουλευτὴς ἐγένετο, τὸν δὲ θάνατον πῶς ἂν ἐπεβούλευσεν, ὅς γε ἀκουσίως ἐπάταξεν; οἰκεῖον δὲ τὸ ἁμάρτημα τῷ ἄρξαντι μᾶλλον ἢ τῷ ἀμυνομένῳ ἐστίν. Ὁ μὲν γὰρ ἃ ἔπασχεν ἀντιδρᾶν ζητῶν, ὑπ' ἐκείνου βιαζόμενος ἐξήμαρτεν· ὁ δὲ διὰ τὴν αὑτοῦ ἀκολασίαν πάντα δρῶν καὶ πάσχων, καὶ τῆς ἑαυτοῦ καὶ τῆς ἐκείνου ἁμαρτίας δίκαιος φονεὺς εἶναί ἐστιν. (6) Ὡς δὲ οὐδὲ κρεισσόνως, ἀλλὰ πολὺ ὑποδεεστέρως ὧν ἔπασχεν ἠμύνετο, διδάξω. Ὁ μὲν ὑβρίζων καὶ παροινῶν πάντ' ἔδρα καὶ οὐδὲν ἠμύνατο· ὁ δὲ μὴ πάσχειν, ἀλλὰ ἀπωθεῖσθαι ζητῶν, ἅ τε ἔπασχεν ἀκουσίως ἔπασχεν, ἅ τ' ἔδρασε τὰ παθήματα βουλόμενος διαφυγεῖν ἐλασσόνως ἢ κατ' ἀξίαν τὸν ἄρξαντα ἠμύνετο, καὶ οὐκ ἔδρα. (7) Εἰ δὲ κρείσσων ὢν τὰς χεῖρας κρεισσόνως ἠμύνετο ἢ ἔπασχεν, οὐδ' οὕτω δίκαιος ὑφ' ὑμῶν καταλαμβάνεσθαί ἐστι. Τῷ μὲν γὰρ ἄρξαντι πανταχοῦ μεγάλα ἐπιτίμια ἐπίκειται, τῷ δὲ ἀμυνομένῳ οὐδαμοῦ οὐδὲν ἐπιτίμιον γέγραπται. (8) Πρὸς δὲ τὸ μήτε δικαίως μήτε ἀδίκως ἀποκτείνειν ἀποκέκριται· οὐ γὰρ ὑπὸ τῶν πληγῶν, ἀλλ' ὑπὸ τοῦ ἰατροῦ ὁ ἀνὴρ ἀπέθανεν, ὡς οἱ μάρτυρες μαρτυροῦσιν. Ἔστι δὲ καὶ ἡ τύχη τοῦ ἄρξαντος καὶ οὐ τοῦ ἀμυνομένου. Ὁ μὲν γὰρ ἀκουσίως πάντα δράσας καὶ παθὼν ἀλλοτρίᾳ τύχῃ κέχρηται·
1296 δὲ ἑκουσίως πάντα δράσας, ἐκ τῶν αὑτοῦ ἔργων τὴν τύχην προσαγόμενος, τῇ αὑτοῦ ἀτυχίᾳ ἥμαρτεν.

9. Ὡς μὲν οὖν οὐδενὶ ἔνοχος τῶν κατηγορημένων ὁ διωκόμενός ἐστιν, ἀποδέδεικται. Εἰ δέ τις κοινὴν μὲν τὴν πρᾶξιν, κοινὴν δὲ τὴν ἀτυχίαν αὐτῶν ἡγούμενος εἶναι, μηδὲν ἀπολύσιμον μᾶλλον ἢ καταλήψιμον ἐκ τῶν λεγομένων γινώσκει αὐτὸν ὄντα, καὶ οὕτως ἀπολύειν μᾶλλον ἢ καταλαμβάνειν δίκαιόν ἐστι. Τόν τε γὰρ διώκοντα οὐ δίκαιον καταλαμβάνειν, μὴ σαφῶς διδά-

et auribus ut audiant, ita juventuti cognata esset insolentia, et senio pudor, nil egeremus vestra disceptatione, judices; ipsa enim ætas juvenem condemnaret: jam vero quum multi juvenum sint pudentes, multi senum lascivi, hic quidem locus communis est, non accusatori magis quam defensori patens. (3) At hoc argumentum nobis est proprium, eoque præstamus adversariis: testes aiunt peremptum verberandi fecisse initium. Quod si est, quæcunque tandem alia amico nostro vitio vertantur, hoc eum omni culpa absolvit. Nam si ex vestra sententia is, qui propter inflicta a se verbera in causa fuit, ut ad medici artem recurrere deberetis, magis quam is medicus qui (inscitia sua) necavit, homicida habendus est: tum verus homicida erit is qui prior verbera intulit. Hic enim in causa fuit, ut alter par pari referendo ipse verberatus medico se committere cogeretur. Infanda sane reus noster pateretur, si, quum non occidisset, pro vero occisore, et, quum non orsus esset rixam, loco ejus qui exorsus eam est, diceretur homicida. (4) Accusator porro si vitæ perempti insidiatus non fuit, non magis reus fuit. Nam si, qui verberandi fecit initium, verberare, non autem occidere intendisset, verberatus autem non reverberare, sed occidere, tum utique hic illius vitæ insidiatus esset. Jam vero quum hic quoque, dum se defenderet, verberare modo, sed non occidere intendisset, infelici casu lapsus est, feriens quo ferire noluerat. (5) Verberis itaque dici is quidem designator queat; at necis designator, quonam pacto appelletur is, qui invitus reverberavit? Inceptori magis est proprius error quam ultori. Nam hic verbera in se intorta retorquens, quicquid peccavit, ab altero coactus peccavit: iste vero intemperantiæ suæ debet, quicquid aut dedit malorum aut accepit; et sic altero tanto dignior est qui homicida appelletur, ex errore geminato, cum suo proprio tum alieno. (6) Reum autem non acrius, sed mollius ultum esse accepta verbera, jam docebo. Alter enim, petulanter injurians vim inferebat, non repellebat: alter autem injuriam, non pati, sed repellere contendens, ea quæ passus est invitus passus est; quæ vero fecit hæc devitandi causa, iis non intulit vim, sed illatam minus quam pro modo aggressionis propulit. (7) Sin manuum robore præstantior majora rependit quam accepit, ne sic quidem condemnari a vobis meretur. Nam inceptoribus rixarum leges ubique gravissimas pœnas denunciant; repellenti autem vim, nusquam pœnæ quicquam præscriptum est. (8) Ad illam causationem a lege repetitam, vetante quenquam quocunque titulo sive jure sive injuria occidi, satis jam responsum est: non enim verbera hominem, sed imperitia medici necavit, de quo testes confirmarunt. Inceptoris quoque fortuna, non defensoris, incusanda est. Nam hic, qui et accepit et reddidit omnia invitus, aliena fortuna, non sua, est usus: alter autem, sponte sua omnia agens, factis sibi suis suam arcessivit fortunam, suaque infelicitate lapsus est.

9. Jam planum factum est, reum homicidii prorsus obnoxium non esse. Quod si tamen, ut communem ambobus actionem, ita infortunium quoque commune existimans quis esse, colligat e disputatis, neutrum altero, sive absolutione, sive condemnatione, digniorem esse: vos vel sic magis deceat reum absolvere, quam condemnare. Nam haud æquum est condemnationem obtinere accusatorem qui perspicue non docuerit injuriam a reo sibi factam esse;

ξαντα ὅτι ἀδικεῖται· τόν τε φεύγοντα ἀνόσιον ἁλῶναι, μὴ φανερῶς ἐλεγχθέντα ἃ ἐπικαλεῖται. (10) Οὑτωσὶ δὲ ἐκ παντὸς τρόπου τῶν ἐγκλημάτων ἀπολυομένου τοῦ ἀνδρός, ἡμεῖς ὁσιώτερον ὑμῖν ἐπισκήπτομεν ὑπὲρ αὐτοῦ, μὴ τὸν φονέα ζητοῦντας κολάζειν τὸν καθαρὸν ἀποκτείνειν. Ὅ τε γὰρ ἀποκτείνας τούτου ἀποθανόντος οὐδὲν ἧσσον τοῖς αἰτίοις προστρόπαιός ἐστιν, οὗτός τε ἀνοσίως διαφθαρεὶς διπλάσιον καθίστησι τὸ μίασμα τῶν ἀλιτηρίων τοῖς ἀποκτείνασιν αὐτόν. (11) Ταῦτα οὖν δεδιότες τὸν μὲν καθαρὸν ὑμέτερον ἡγεῖσθε εἶναι ἀπολύειν τῆς αἰτίας, τὸν δὲ μιαρὸν τῷ χρόνῳ ἀποδόντες φῆναι τοῖς ἔγγιστα τιμωρεῖσθαι ὑπολείπετε· οὕτω γὰρ δικαιότατα καὶ ὁσιώτατα πράξαιτ' ἄν.

ita impium fuerit reum condemnare, qui non perspicue fuerit incusatorum coargutus. (10) Modis itaque omnibus hunc virum ab hoc crimine absolventibus, nos pro eo religiosius vobis injungimus, ut, studentes homicidam punire, insontem tollere ne properetis. Nam manes perempti (?), hoc mortuo, nihilo minus auctoribus cædis infensi erunt, hic vero per nefas supplicio affectus alterum excitabit piaculum occisoribus suis. (11) Hæc vos reformidantes, existimate vestrum esse, ut insontem crimine absolvatis; impurum vero tempori permittentes aliquando patefaciendum, relinquite proximis perempti necessariis ad ultionem: sic agatis juri et humano et divino convenientissime.

E.

ΠΕΡΙ ΤΟΥ ΗΡΩΔΟΥ ΦΟΝΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἕλος τις Μυτιληναῖος ἀνὴρ ἐξ Ἀθηνῶν κατὰ ταὐτὸν ἀνήγετο Ἡρώδῃ εἰς τὴν Αἶνον· ὡς δὲ πλέοντες ἐγένοντο ἐν τῇ Μηθύμνῃ τῆς Λέσβου, ἐπειδὴ ἀστέγαστον ἦν τὸ πλοῖον, εὑρόντες ἕτερον ἐστεγασμένον μετέβησαν. Εἰσελθόντων δὲ αὐτῶν ἐν αὐτῷ ἐξῆλθε περὶ τὴν ἑσπέραν ὁ Ἡρώδης καὶ οὐκέτι εἰσῆλθεν. Ἐπανελθόντος οὖν αὐτοῦ τοῦ Ἕλου μόνου, οἱ συγγενεῖς τοῦ τελευτήσαντος ἐγράψαντο μὲν τὸν Ἕλον ὡς κακοῦργον, ἐν δὲ τῷ δικαστηρίῳ ἀγωνιζόμενοι εἶπον, ὅτι καὶ ἀπέκτεινεν αὐτόν. Ὁ δὲ τὸ μὲν τῆς κακουργίας ἔγκλημα ἀπολύεται παραγραφικῶς, λέγων κακούργους εἶναι τοὺς κλέπτας καὶ λωποδύτας, ὧν οὐδὲν ἀπέδειξάν με ποιήσαντα· μεταβαίνει δ' ἐπὶ τὴν ὑπὲρ τοῦ φόνου ἀπολογίαν, καὶ στοχαστικῶς ἀγωνίζεται. Τὰ δὲ ἀπ' ἀρχῆς ἄχρι τέλους κοινά.

Ἐβουλόμην μέν, ὦ ἄνδρες, τὴν δύναμιν τοῦ λέγειν καὶ τὴν ἐμπειρίαν τῶν πραγμάτων ἐξ ἴσου μοι καθεστάναι τῇ τε συμφορᾷ καὶ τοῖς κακοῖς τοῖς γεγενημένοις· νῦν δὲ τοῦ μὲν πεπείραμαι πέρα τοῦ προσήκοντος, τοῦ δὲ ἐνδεής εἰμι μᾶλλον τοῦ συμφέροντος. (2) Οὗ μὲν γάρ με ἔδει κακοπαθεῖν τῷ σώματι μετὰ τῆς αἰτίας τῆς οὐ προσηκούσης, ἐνταυθοῖ οὐδέν με ὠφέλησεν ἡ ἐμπειρία· οὗ δέ με δεῖ σωθῆναι μετὰ τῆς ἀληθείας εἰπόντα τὰ γενόμενα, ἐν τούτῳ με βλάπτει ἡ τοῦ λέγειν ἀδυναμία. (3) Πολλοὶ γὰρ ἤδη τῶν οὐ δυναμένων λέγειν ἄπιστοι γενόμενοι τοῖς ἀληθέσιν, αὐτοῖς τούτοις ἀπώλοντο, οὐ δυνάμενοι δηλῶσαι αὐτά· πολλοὶ δὲ τῶν λέγειν δυναμένων πιστοὶ γενόμενοι τῷ ψεύδεσθαι, τούτῳ ἐσώθησαν, διότι ἐψεύσαντο. Ἀνάγκη οὖν, ὅταν τις ἄπειρος ᾖ τοῦ ἀγωνίζεσθαι, ἐπὶ τοῖς τῶν κατηγόρων λόγοις εἶναι μᾶλλον ἢ ἐπ' αὐτοῖς τοῖς ἔργοις καὶ τῇ ἀληθείᾳ τῶν πραγμάτων. (4) Ἐγὼ οὖν, ὦ ἄνδρες, αἰτήσομαι ὑμᾶς, οὐχ ἅπερ οἱ πολλοὶ τῶν ἀγωνιζομένων ἀκροᾶσθαι σφῶν αὐτῶν αἰτοῦνται, σφίσι μὲν αὐτοῖς ἀπιστοῦντες, ὑμῶν δὲ προκατεγνωκότες ἄδικόν τι (εἰκὸς γὰρ ἐν ἀνδράσι γε ἀγαθοῖς καὶ ἄνευ τῆς αἰτήσεως τὴν ἀκρόασιν ὑπάρχειν τοῖς φεύγουσιν, οὗπερ καὶ οἱ διώκοντες ἐτυ-

5.

DE NECE HERODIS ORATIO.

ARGUMENTUM.

Helus quidam Mytilenæus Athenis eadem navi cum Herode Ænum solvit: cum navigando Methymnam Lesbi pervenissent, quoniam navis tecta non erat, aliam opertam invenientes conscenderunt. Quam ingressi, circa noctem Herode egresso neque amplius ingrediente, Heloque ipso solo redeunte, affines mortui Helum ut malefactorem accusaverunt: et in judicio certantes dixerunt, eum Herodem interfecisse. Hic vero translative crimen diluit, dicens, malefactores dici fures et grassatores, quorum operum me nihil fecisse ostenderunt. Transit deinde ad homicidii defensionem, et sollerter certat. Quæ omnia a principio usque ad finem sunt communia.

Vellem, viri, facundiamque rerumque usum mihi esse, magnitudini malorum meorum parem: jam vero plus malorum expertus sum quam oportebat, facundia careo plus quam nunc expediebat. (2) Nam in carcere usus rerum nil mihi profuit, ubi corpore meo tolerandæ mihi fuerunt molestiæ, ob crimen cujus nihil ad me pertinet: ubi autem salus mea versatur in enarratione rei gestæ cum veritate consentanea, ibi me lædit infacundia. Quod fieri solet. (3) Multi jam eo quod vera, quæ dicenda pro se haberent, non possent diserte proloqui, fidem non invenientes, perierunt: multi contra eorum qui facundia pollent mendaciis suis fidem conciliantes, eo ipso, quod mentirentur, salvi discesserunt. Necesse igitur est homini ab usu eloquentiæ forensis destituto, ut fortuna ejus magis penes accusatores quam penes rerum gestarum veritatem sit. (4) Quare vos rogo, judices, non quod plerique reorum rogare vos solent, ut audire se velitis, quasi causæ suæ diffidentes vestramque addubitantes æquitatem (quum tamen consentaneum sit reos, coram viris honestis dicentes, etiam sine audientiæ deprecatione id idem consequi, quod accusatores absque precibus adipiscuntur) — : (5) sed

χον ἄνευ αἰτήσεως)· (5) τάδε δὲ δέομαι ὑμῶν, συγγνώμην ἔχειν μοι, τοῦτο μὲν ἐάν τι τῇ γλώσσῃ ἁμάρτω, καὶ ἡγεῖσθαι ἀπειρίᾳ μᾶλλον αὐτὸ ἢ ἀδικίᾳ ἡμαρτῆσθαι, τοῦτο δὲ ἐάν τι ὀρθῶς εἴπω, ἀληθείᾳ μᾶλλον ἢ δεινότητι εἰρῆσθαι. Οὐ γὰρ δίκαιον οὔτ' ἔργῳ ἁμαρτόντα διὰ ῥήματα σωθῆναι, οὔτ' ἔργῳ ὀρθῶς πράξαντα διὰ ῥήματα ἀπολέσθαι· τὸ μὲν γὰρ ῥῆμα τῆς γλώσσης ἁμάρτημά ἐστι, τὸ δ' ἔργον τῆς γνώμης. (6) Ἀνάγκη δὲ κινδυνεύοντα περὶ αὑτῷ καί πού τι καὶ ἐξαμαρτεῖν. Οὐ γὰρ μόνον τῶν λεγομένων ἀνάγκη ἐνθυμεῖσθαι, ἀλλὰ καὶ τῶν ἐσομένων· ἅπαντα γὰρ τὰ ἐν ἀδήλῳ ἔτ' ὄντα ἐπὶ τῇ τύχῃ μᾶλλον ἀνάκειται ἢ τῇ προνοίᾳ. Ταῦτ' οὖν ἔκπληξιν πολλὴν παρέχειν ἀνάγκη ἐστὶ τῷ κινδυνεύοντι. (7) Ὁρῶ γὰρ ἔγωγε καὶ τοὺς πάνυ ἐμπείρους τοῦ ἀγωνίζεσθαι πολλῷ χεῖρον ἑαυτῶν λέγοντας, ὅταν ἔν τινι κινδύνῳ ὦσιν· ὅταν δ' ἄνευ κινδύνων τι διαπράσσωνται, μᾶλλον ὀρθουμένους. Ἡ μὲν οὖν αἴτησις, ὦ ἄνδρες, καὶ νομίμως καὶ ὁσίως ἔχουσα, καὶ ἐν τῷ ὑμετέρῳ δικαίῳ οὐχ ἧσσον ἢ ἐν τῷ ἐμῷ. Περὶ δὲ τῶν κατηγορημένων ἀπολογήσομαι καθ' ἕκαστον.

8. Πρῶτον μὲν οὖν, ὡς παρανομώτατα καὶ βιαιότατα εἰς τόνδε τὸν ἀγῶνα καθέστηκα, τοῦτο ὑμᾶς διδάξω, οὐ τῷ φεύγειν ἂν τὸ πλῆθος τὸ ὑμέτερον, ἐπεὶ κἂν ἀνωμότοις ὑμῖν καὶ μὴ κατὰ νόμον μηδένα ἐπιτρέψαιμι περὶ τοῦ σώματος τοῦ ἐμοῦ διαψηφίσασθαι, ἕνεκά γε τοῦ πιστεύειν ἐμοί τε μηδὲν ἐξημαρτῆσθαι εἰς τόδε τὸ πρᾶγμα καὶ ὑμᾶς γνώσεσθαι τὰ δίκαια, ἀλλ' ἵνα ᾖ τεκμήρια ὑμῖν καὶ τῶν ἄλλων πραγμάτων τῶν εἰς ἐμὲ ἡ τούτων βιαιότης καὶ παρανομία. (9) Πρῶτον μὲν γὰρ κακοῦργος ἐνδεδειγμένος φόνου δίκην φεύγω, ὃ οὐδεὶς πώποτ' ἔπαθε τῶν ἐν τῇ γῇ ταύτῃ. Καὶ ὡς μὲν οὐ κακοῦργός εἰμι οὐδ' ἔνοχος τῷ τῶν κακούργων νόμῳ, αὐτοὶ οὗτοι τούτου μάρτυρες γεγένηνται. Περὶ γὰρ τῶν κλεπτῶν καὶ λωποδυτῶν ὁ νόμος κεῖται, ὧν οὐδὲν ἐμοὶ προσὸν ἀπέδειξαν. Οὕτως εἴς γε ταύτην τὴν ἀπαγωγὴν νομιμωτάτην καὶ δικαιοτάτην πεποιήκασιν ὑμῖν τὴν ἀποψήφισίν μου. (10) Φασὶ δὲ αὖ τό τε ἀποκτείνειν μέγα κακούργημα εἶναι, καὶ ἐγὼ ὁμολογῶ μέγιστόν γε, καὶ τὸ ἱεροσυλεῖν καὶ τὸ προδιδόναι τὴν πόλιν· ἀλλὰ χωρὶς περὶ αὐτῶν ἑκάστου οἱ νόμοι κεῖνται. Ἐμοὶ δὲ πρῶτον μέν, οὗ τοῖς ἄλλοις εἴργεσθαι προαγορεύουσι τοῖς τοῦ φόνου φεύγουσι τὰς δίκας, ἐνταυθοῖ πεποιήκασι τὴν κρίσιν, ἐν τῇ ἀγορᾷ· ἔπειτα τίμησίν μοι ἐποίησαν, τοῦ νόμου κειμένου τὸν ἀποκτείναντα ἀνταποθανεῖν, οὐ τοῦ ἐμοὶ συμφέροντος ἕνεκα, ἀλλὰ τοῦ σφίσιν αὐτοῖς λυσιτελοῦντος, καὶ ἐνταῦθα ἔλασσον ἔνειμαν τῷ τεθνηκότι τῶν ἐν τῷ νόμῳ κειμένων· οὗ δ' ἕνεκα, γνώσεσθε προϊόντος τοῦ λόγου. (11) Ἔπειτα δέ, ὃ πάντας οἶμαι ὑμᾶς ἐπίστασθαι, ἅπαντα τὰ δικαστήρια ἐν ὑπαίθρῳ δικάζει τὰς δίκας τοῦ φόνου, οὐδενὸς ἄλλου ἕνεκα ἢ ἵνα τοῦτο μὲν οἱ δικασταὶ μὴ ἴωσιν εἰς τὸ αὐτὸ τοῖς μὴ καθαροῖς τὰς χεῖρας, τοῦτο δὲ ὁ διώκων τὴν δίκην τοῦ φόνου, ἵνα μὴ ὁμωρόφιος γίνηται τῷ αὐθέντῃ. Σὺ δὲ

hoc vos rogabo, ut si quid linguæ labor errore, mihi ignoscatis, existimantes, me, quod usu dicendi caream, potius, quam quod sceleratus sim, peccasse; et rursus, si quid recte dixero, velim vos id rei gestæ veritati potius, quam facundiæ imputare. Nam justum non est, eum qui factis peccavit ob verba salvum discedere, neque eum, cujus proba facta sint, ob verba eum condemnari: verbum enim linguæ, facinus mentis error est. (6) Præterea necesse est hominem capitis sui causam agentem interdum labi. Oportet enim ejus menti obversari non solum dicenda, sed etiam causæ eventum. Jam quum quæ obscura adhuc sunt, fortuna magis quam consilio gubernentur, magnam hæc perturbationem injicere menti cujusque pro se dicentis consentaneum est. (7) Nam video ego vel peritissimos oratores multo minus bene dicere si ipsi in discrimine aliquo versantur; sin absque suo periculo causam agant, rem gerere felicius. Postulatio itaque mea hæc est legibus et sanctimoniæ consentiens, et non meam magis quam vestram personam decens. Capita vero accusationis sigillatim sum persecuturus.

8. Primum hoc vos docebo, summa cum legum violatione summaque cum violentia me in hoc certamen fuisse conjectum; non quod defugiam conventum vestrum: (nam etiam injuratis vobis nec ex legis formula judicantibus libenter causam capitis mei permissurus essem, quum conscius mihi sim nihil me peccasse, atque vos quæ justa sint esse pronuntiaturos): sed eo consilio, ut violentia ista legumque contemptus etiam ceterorum, quæ in me commiserunt, sint documenta. (9) Primum igitur quum tamquam maleficus delatus essem, jam homicidii causam sustineo; id quod nemini unquam in hac terra accidit. Eo tamen ipsi auctores atque testes facti sunt me maleficum non esse neque lege in maleficos lata teneri; quæ lex quum notet fures et manticularios, cum quibus mihi commune quicquam esse non docuerint, effecerunt, ut vobis liceat sententia æquissima et justissima a crimine me absolvere, cujus obtentu, hi me curarunt in carcerem abducendum. (10) Jam vero aiunt homicidium quoque magnum esse maleficium: sane fateor vel maximum esse sicuti sacrilegium et proditionem patriæ: at peculiares de unoquoque horum criminum leges exstant. Porro unde abstinere se alii homicidæ jubentur, ibi hi me insectantur, in foro videlicet. Iidem ære litem mihi æstimarunt, tametsi lex edicat ut sanguine cædes luatur; idque non commodi mei, sed sui lucri causa facientes, minus quam flagitant leges Manibus perempti tribuere. Cur autem ita egerint, oratione procedente id intelligetis. (11) Tum, nostis vos, opinor omnes judicia cædis haberi solere sub dio, nulla alia de causa, quam, quo neque judices eodem loco cum iis conveniant, quibus pollutæ sint manus, neque accusator cum homicida eodem tecto contineatur. Tu vero, id negligens, contrarium plane mori vulgari fecisti. Porro oportebat te jusjurandum dicere gravissimum atque sacerrimum, quo perniciem tibi liberisque tuis et cognatis imprecareris, si aliorum me in hac

τοῦτο μὲν παρελθών, τοῦτον τὸν νόμον τοὐναντίον τοῖς ἄλλοις πεποίηκας· τοῦτο δὲ δέον σε διομόσασθαι ὅρκον τὸν μέγιστον καὶ ἰσχυρότατον, ἐξώλειαν αὐτῷ καὶ γένει καὶ οἰκίᾳ τῇ σῇ ἐπαρώμενον, ἦ μὴν μὴ ἄλλα κατηγορήσειν ἐμοῦ ἢ εἰς αὐτὸν τὸν φόνον, ὡς ἔκτεινα, ἐν ᾧ οὔτ' ἂν κακὰ πολλὰ εἰργασμένος ἡλισκόμην ἄλλῳ ἢ αὐτῷ τῷ πράγματι, οὔτ' ἂν πολλὰ ἀγαθὰ εἰργασμένος τούτοις ἂν ἐσῳζόμην τοῖς ἀγαθοῖς· (12) ἃ σὺ παρελθών, αὐτὸς σεαυτῷ νόμους ἐξευρών, ἀνώμοτος μὲν αὐτὸς ἐμοῦ κατηγορεῖς, ἀνώμοτοι δὲ οἱ μάρτυρες καταμαρτυροῦσι, δέον αὐτοὺς τὸν αὐτὸν ὅρκον σοὶ διομοσαμένους καὶ ἁπτομένους τῶν σφαγίων καταμαρτυρεῖν ἐμοῦ. Ἔπειτα κελεύεις τοὺς δικαστὰς ἀνωμότοις πιστεύσαντας τοῖς μαρτυροῦσι φόνου δίκην καταγνῶναι, οὓς σὺ αὐτὸς ἀπίστους κατέστησας παρελθὼν τοὺς κειμένους νόμους, καὶ εἴ γε χρῆναι αὐτοῖς τὴν σὴν παρανομίαν κρείσσω γενέσθαι αὐτῶν τῶν νόμων. (13) Λέγεις δὲ ὡς οὐκ ἂν παρέμεινα εἰ ἐλελύμην, ἀλλ' ᾠχόμην ἂν ἀπιών, ὥσπερεὶ ἄκοντά με ἀναγκάσας εἰσελθεῖν εἰς τὴν γῆν ταύτην. Καίτοι ἐμοὶ εἰ μηδὲν διέφερε στέρεσθαι τῆσδε τῆς πό-131λεως, ἴσον ἦν μοι καὶ προσκληθέντι μὴ ἐλθεῖν, ἀλλ' ἐρήμην ὀφλεῖν τὴν δίκην, τοῦτο δ' ἀπολογησαμένῳ τὴν προτέραν ἐξεῖναι ἐξελθεῖν· ἅπασι γὰρ τοῦτο κοινόν ἐστι. Σὺ δέ, ὃ τοῖς ἄλλοις Ἕλλησι κοινόν ἐστιν, ἰδίᾳ ζητεῖς ἐμὲ μόνον ἀποστερεῖν, αὐτὸς σαυτῷ νόμον θέμενος. (14) Καίτοι τούς γε νόμους οἳ κεῖνται περὶ τῶν τοιούτων, πάντας ἂν οἶμαι ὁμολογῆσαι κάλλιστα νόμων ἁπάντων κεῖσθαι καὶ ὁσιώτατα. Ὑπάρχει μέν γε αὐτοῖς ἀρχαιοτάτοις εἶναι ἐν τῇ γῇ ταύτῃ, ἔπειτα τοὺς αὐτοὺς ἀεὶ περὶ τῶν αὐτῶν, ὅπερ μέγιστόν ἐστι σημεῖον νόμων καλῶς κειμένων· ὁ γὰρ χρόνος καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα ἐκδιδάσκει τοὺς ἀνθρώπους. Ὥστε οὐ δεῖ ὑμᾶς ἐκ τῶν τοῦ κατηγόρου λόγων τοὺς νόμους καταμανθάνειν, εἰ καλῶς ὑμῖν κεῖνται ἢ μή, ἀλλ' ἐκ τῶν νόμων τοὺς τοῦ κατηγόρου λόγους, εἰ ὀρθῶς καὶ νομίμως ὑμᾶς διδάσκουσι τὸ πρᾶγμα ἢ οὔ. (15) Οὕτως οἵ γε νόμοι κάλλιστα κεῖνται οἱ περὶ φόνου, οὓς οὐδεὶς πώποτε ἐτόλμησε κινῆσαι· σὺ δὲ μόνος δὴ τετόλμηκας γενέσθαι νομοθέτης ἐπὶ τὰ πονηρότατα, καὶ ταῦτα παρελθὼν ζητεῖς με ἀδίκως ἀπολέσαι. Ἃ δὲ σὺ παρανομεῖς, αὐτὰ ταῦτά μοι μέγιστα μαρτύριά ἐστιν· εὖ γὰρ ᾔδεις ὅτι οὐδεὶς ἂν ἦν σοι ὃς ἐκεῖνον τὸν ὅρκον διομοσάμενος ἐμοῦ κατεμαρτύρησεν. (16) Ἔπειτα δὲ οὐχ ὡς πιστεύων τῷ πράγματι ἀναμφισβητήτως ἕνα τὸν ἀγῶνα περὶ τοῦ πράγματος ἐποιήσω, ἀλλὰ ἀμφισβήτησιν καὶ λόγον ὑπελίπου ὡς καὶ τοῖς τότε δικασταῖς ἀπιστήσων. Ὥστε μηδέν μοι ἐνθάδε μηδὲ πλέον εἶναι μηδ' ἀποφυγόντι, ἀλλ' ἐξεῖναί σοι λέγειν ὅτι κακοῦργος ἀπέφυγον, ἀλλ' οὐ τοῦ φόνου τὴν δίκην· ἑλὼν δ' αὖ ἀξιώσεις με ἀποκτεῖναι ὡς τοῦ φόνου τὴν δίκην ὠφληκότα. Καίτοι πῶς ἂν εἴη τούτων δεινότερα μηχανήματα, εἰ ὑμῖν μὲν ἅπαξ τουτουσὶ πείσασι κατείργασται ἃ βούλεσθε, ἐμοὶ δ' ἅπαξ ἀποφυγόντι ὁ αὐτὸς κίνδυνος ὑπολείπεται; (17) Ἔτι δὲ μάλ' ἐδέθην, ὦ ἄν-

actione incusares atque quæ ad cædem quam commiserim pertinerent : adeo ut etiamsi alia multa patrassem, ob solum tamen homicidium condemnarer, ac rursus etiam si multa fecissem laude digna, propterea tamen non absolverer : (12) verum hoc quoque omisso, tu tuas tibi leges commentus, me injuratus accusas; injurati etiam testes testimonium contra me dicunt, quanquam eos oportebat dicta eadem jurisjurandi formula, tenentes in manibus exta, sic adversus me testari. Et tamen flagitas, ut judices, testibus fidem habentes non juratis, me homicidii condemnent; tametsi tu ipse testibus fidem eo derogaris, quod a legibus usitatis discessisti, atque auctor ipsis factus es, tuum juris contemptum debere auctoritate legum omnium potiorem esse. (13) Jam tu dicis, si liber fuissem, me non mansurum, sed urbe fuisse excessurum; quasi invitum tu me huc venire coegisses. Atqui mea si nihil referret carere hac civitate, perinde mihi licebat aut arcessito non venire, ut contumaciæ reus declararer, aut etiam post dictam priorem defensionem meam urbe excedere : omnibus enim hoc commune est. Tu autem eo jure, Græcis universis communi privatim me solum spoliare studes, tuum tibi ipse jus commentus. (14) Tametsi leges de homicidiis obtinentes e communi, puto, omnium consensu sunt optimæ omnium legum et sanctissimæ. Nam quum sint antiquissimæ, sunt eædem adhuc hodie, quæ fuerunt primitus; quod certissimum signum est legum bene constitutarum; quoniam tempus et usus rerum homines prava dedocere solet. Quare non ex adversarii disputatione discendum vobis est, quid de legibus existimare par sit, sed potius e legibus debetis cognoscere utrum æquæ sint accusatoris postulationes, necne. (15) Quanquam ergo leges de homicidiis latæ tam sunt perfectæ, ut nemo unquam sit ausus eas temerare : tu tamen solus ausus es legislatorem te gerere, et princeps fieri institutorum pessimorum, vetustisque legibus invitis me de medio tollere laboras. Atqui ipsa tua contentio jura temerandi, voce clarissima adversus te testatur : probe nempe noras, neminem, qui se jurejurando adigi passus fuisset, contra me dixisse testimonium. (16) Deinde non, ut fidens causa tua, certamen hoc de negotio solummodo unum instituisti, sed controversiæ atque subterfugiis locum reliquisti vacuum, quo judicum auctoritatem detrectare posses. Quo fit, ut vel absolutus sim iniquo loco futurus : nam si nunc absolvar, dicet, me crimine maleficii quidem, at non item homicidii esse absolutum; sin autem condemnatus fuero, postulabit, ut occidar, velut homicidii reus peractus. Atqui quæ possint aliæ machinæ iniquiores esse, quam si vos quidem semel hisce persuasis quæ vultis asseculi fueritis, me vero semel absolutum rursus idem discrimen remetiendum maneat? (17) Præterea custodiæ mandatus sum ra-

δρες, παρανομώτατα ἁπάντων ἀνθρώπων. Ἐθέλοντος γάρ μου ἐγγυητὰς τρεῖς καθιστάναι κατὰ τὸν νόμον, οὕτως οὗτοι διεπράξαντο τοῦτο, ὥστε μὴ ἐγγενέσθαι μοι ποιῆσαι. Τῶν δὲ ἄλλων ξένων ὅστις πώποτε ἠθέλησε καταστῆσαι ἐγγυητάς, οὐδεὶς πώποτ' ἐδέθη. Καίτοι οἱ ἐπιμεληταὶ τῶν κακούργων τῷ αὐτῷ χρῶνται νόμῳ τούτῳ. Ὥστε καὶ οὗτος κοινὸς τοῖς ἄλλοις πᾶσιν ὢν ἐμοὶ μόνῳ ἐπέλιπε μὴ ὠφελεῖσθαι τοῦδε τοῦ νόμου. (18) Τούτοις γὰρ ἦν τοῦτο συμφέρον, πρῶτον μὲν ἀπαρασκευότατον γενέσθαι με μὴ δυνάμενον διαπράσσεσθαι αὐτὸν τἀμαυτοῦ πράγματα, ἔπειτα κακοπαθεῖν τῷ σώματι τούς τε φίλους προθυμοτέρους ἔχειν τοὺς ἐμαυτοῦ τούτοις τὰ ψευδῆ μαρτυρεῖν ἢ ἐμοὶ τἀληθῆ λέγειν, διὰ τὴν τοῦ σώματος κακοπάθειαν· ὄνειδός τε αὐτῷ τε ἐμοὶ περιέθεσαν καὶ τοῖς ἐμοῖς προσήκουσιν εἰς τὸν βίον ἅπαντα.

19. Οὑτωσὶ μὲν δὴ πολλοῖς ἐλασσωθεὶς τῶν νόμων τῶν ὑμετέρων καὶ τοῦ δικαίου καθέστηκα εἰς τὸν ἀγῶνα· ὅμως μέντοι γε καὶ ἐκ τούτων πειράσομαι ἐμαυτὸν ἀναίτιον ἐπιδεῖξαι. Καίτοι χαλεπόν γε τὰ ἐκ πολλοῦ κατεψευσμένα καὶ ἐπιβεβουλευμένα, ταῦτα παραχρῆμα ἀπελέγχειν· ἃ γάρ τις μὴ προσεδόκησεν, οὐδὲ φυλάξασθαι ἐγχωρεῖ.

20. Ἐγὼ δὲ τὸν μὲν πλοῦν ἐποιησάμην ἐκ τῆς Μυτιλήνης, ὦ ἄνδρες, ἐν τῷ πλοίῳ πλέων ᾧ Ἡρώδης οὗτος, ὅν φασιν ὑπ' ἐμοῦ ἀποθανεῖν· ἐπλέομεν δὲ εἰς τὴν Αἶνον, ἐγὼ μὲν ὡς τὸν πατέρα (ἐτύγχανε γὰρ ἐκεῖ ὢν τότε), ὁ δ' Ἡρώδης ἀνδράποδα Θρᾳξὶν ἀνθρώποις ἀπολύσων. Συνέπλει δὲ τά τε ἀνδράποδα ἃ ἔδει αὐτὸν ἀπολῦσαι, καὶ οἱ Θρᾷκες οἱ λυσόμενοι. Τούτων δ' ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

21. Ἡ μὲν πρόφασις ἑκατέρῳ τοῦ πλοῦ αὕτη· ἐτύχομεν δὲ χειμῶνί τινι χρησάμενοι, ὑφ' οὗ ἠναγκάσθημεν κατασχεῖν εἰς τῆς Μηθυμναίας τι χωρίον, οὗ τὸ πλοῖον ὥρμει τοῦτο εἰς ὃ μετεκβάντα φασὶν ἀποθανεῖν αὐτόν, τὸν Ἡρώδην. Καὶ πρῶτον μὲν αὐτὰ ταῦτα σκοπεῖτε, ὅτι μὴ προνοίᾳ μᾶλλον ἐγίνετο ἢ τύχῃ. Οὔτε γὰρ
132 πείσας τὸν ἄνδρα οὐδαμοῦ ἀπελέγχομαι σύμπλουν μοι γενέσθαι, ἀλλ' αὐτὸς καθ' αὑτὸν τὸν πλοῦν πεποιημένος ἕνεκα πραγμάτων ἰδίων· (22) οὔτ' αὖ ἐγὼ ἄνευ προφάσεως ἱκανῆς φαίνομαι τὸν πλοῦν ποιησάμενος εἰς τὴν Αἶνον, οὔτε κατασχόντες εἰς τὸ χωρίον τοῦτο ἀπὸ παρασκευῆς οὐδεμιᾶς, ἀλλ' ἀνάγκῃ χρησάμενοι· οὔτ' αὖ ἐπειδὴ ὡρμισάμεθα, ἡ μετέκβασις ἐγένετο εἰς τὸ ἕτερον πλοῖον οὐδενὶ μηχανήματι οὐδ' ἀπάτῃ, ἀλλ' ἀνάγκῃ καὶ τοῦτο ἐγίγνετο. Ἐν ᾧ μὲν γὰρ ἐπλέομεν, ἀστέγαστον ἦν τὸ πλοῖον, εἰς ὃ δὲ μετέβημεν, ἐστεγασμένον· τοῦ δὲ ὑετοῦ ἕνεκα ταῦτ' ἦν. Τούτων δ' ὑμῖν μαρτυρίας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

23. Ἐπειδὴ δὲ μετεξέβημεν εἰς τὸ ἕτερον πλοῖον, ἐπίνομεν. Καὶ ὁ μέν ἐστι φανερὸς ἐκβὰς ἐκ τοῦ πλοίου

tione ab æquitate juris abhorrentissima. Nam quum tres sistere vades e legis formula paratus essem, ita hi egerunt, ut facere id non possem. Atqui peregrinus nullus unquam hac in urbe custodiæ mandatus est, qui tres vades præstare voluerit. Ipsi adeo maleficorum inspectores hoc more utuntur. Mihi vero is soli nil profuit : in me desiit validus et salutaris esse. (18) His nempe expediebat, primum quidem, me occupari quam imparatissimum, antequam negotia mea conficere potuissem; deinde corpus mihi contabescere, tum amicos meos promptiores reddi ad falsa contra me testandum, quam ad vera pro me, videntes scilicet corporis tabem citum mihi finem minari. Denique dedecus mihi meisque adsperserunt per totam vitam nobis inhæsurum.

19. Hoc igitur modo quum multarum legum vestrarum tutamine injuste privarer, injuste in hocce veni discrimen : vel sic tamen innocentiam meam declarare conabor. Quanquam difficile est, mendacia e longinquo consuta et insidiose excogitata subito evertere : nam quæ quis non exspectaverit, ea præcaveri nequeunt.

20. Evehebar Mytilene, judices, eodem in navigio, quo Herodes quoque vehebatur, idem ille, quem hi aiunt a me interemptum esse; tendebamus ad Ænum, ego quidem ad patrem, tum ibi agentem, Herodes autem Thracibus quibusdam mancipia venditurus. Thraces illi ipsi quoque mancipia ista empturi, una cum ipsis mancipiis venalibus, eodem navigio vehebantur. Producam testes hæc confirmaturos.

TESTES.

21. Erat ergo hæc, quam audistis, nostrum cuique navigationis causa : procella autem nos opprimens cogebat ad locum quendam agri Methymnæi appellere, ubi navis illa ad ancoram stabat, in quam transgressum Herodem aiunt exspirasse. Hic vos reputare velim, non de consilio istæc, sed casu fortuito evenisse. Nusquam enim coarguor me auctorem Herodi factum esse, ut consors navigationis mihi fieret, sed constat ipsum sponte sua, privatorum suorum negotiorum gratia, eam ingressum esse : (22) patet porro neque me sine idonea causa iter hoc ad Ænum suscepisse, neque fraudulenta quadam machinatione usos nos sed necessitate coactos ad illum locum agri Methymnæi navem appulisse : neque præterea in portum invecti, transscendebamus in aliud navigium callida quadam comparatione neque ullo dolo malo, sed hoc quoque necessario fiebat. Navigium enim illud, quo huc pervecti fueramus, tecto carebat; istud alterum autem, in quod transscendebamus, tectum erat desuper : tectum autem ut aperto præferremus, imber imperabat. Etiam hujus rei testes ad vos producam.

TESTES.

23. Transscensu sic in alterum navigium facto, potabamus. Sic potus Herodes navi, quæ res certa est, exiit,

καὶ οὐκ εἰσϐὰς πάλιν· ἐγὼ δὲ τὸ παράπαν οὐκ ἐξέϐην τοῦ πλοίου τῆς νυκτὸς ἐκείνης. Τῇ δ' ὑστεραίᾳ, ἐπειδὴ ἀφανὴς ἦν ὁ ἀνήρ, ἐζητεῖτο οὐδέν τι μᾶλλον ὑπὸ τῶν ἄλλων ἢ καὶ ὑπ' ἐμοῦ· καὶ εἴ τῳ τῶν ἄλλων ἐδόκει δεινὸν εἶναι, καὶ ἐμοὶ ὁμοίως. Καὶ εἴς τε τὴν Μυτιλήνην ἐγὼ αἴτιος ἦν πεμφθῆναι ἄγγελον, καὶ τῇ ἐμῇ γνώμῃ ἐπέμπετο. (24) Καὶ ἄλλου οὐδενὸς ἐθέλοντος βαδίζειν, οὔτε τῶν ἀπὸ τοῦ πλοίου οὔτε τῶν αὐτῷ τῷ Ἡρώδῃ συμπλεόντων, ἐγὼ τὸν ἀκόλουθον τὸν ἐμαυτοῦ πέμπειν ἕτοιμος ἦν· καίτοι γε οὐ δήπου καὶ ἐμαυτοῦ μηνυτὴν ἔπεμπον εἰδώς. Ἐπειδὴ δὲ ὁ ἀνὴρ οὔτε ἐν τῇ Μυτιλήνῃ ἐφαίνετο ζητούμενος οὔτ' ἄλλοθι οὐδαμοῦ, πλοῦς τε ἡμῖν ἐγίνετο, καὶ τἆλλ' ἀνήγετο πλοῖα ἅπαντα, ᾠχόμην κἀγὼ πλέων. Τούτων δ' ὑμῖν τοὺς μάρτυρας παρασχήσομαι.

ΜΑΡΤΥΡΕΣ:

25. Τὰ μὲν γενόμενα ταῦτ' ἐστίν· ἐκ δὲ τούτων ἤδη σκοπεῖτε τὰ εἰκότα. Πρῶτον μὲν γὰρ πρὶν ἀνάγεσθαί με εἰς τὴν Αἶνον, ὅτε ἦν ἀφανὴς ὁ ἀνήρ, οὐδεὶς ᾐτιάσατό με ἀνθρώπων, ἤδη πεπυσμένων τούτων τὴν ἀγγελίαν· οὐ γὰρ ἄν ποτε ᾠχόμην πλέων· ἀλλ' εἰς μὲν τὸ παραχρῆμα κρεῖσσον ἦν τὸ ἀληθὲς καὶ τὸ γεγενημένον τῆς τούτων αἰτιάσεως, καὶ ἅμα ἐγὼ ἔτι ἐπεδήμουν· ἐπειδὴ δὲ ἐγώ τε ᾠχόμην πλέων καὶ οὗτοι ἐξ ἐπιϐουλῆς συνέθεσαν ταῦτα καὶ ἐμηχανήσαντο κατ' ἐμοῦ, τότε ᾐτιάσαντο. (26) Λέγουσι δὲ ὡς ἐν μὲν τῇ γῇ ἀπέθανεν ὁ ἀνήρ, κἀγὼ λίθον ἐνέϐαλον αὐτῷ εἰς τὴν κεφαλήν, ὃς οὐκ ἐξέϐην τὸ παράπαν ἐκ τοῦ πλοίου. Καὶ τοῦτο μὲν ἀκριϐῶς οὗτοι ἴσασιν· ὅπως δ' ἠφανίσθη ὁ ἀνήρ, οὐδενὶ λόγῳ εἰκότι δύνανται ἀποφαίνειν. Δῆλον γὰρ ὅτι ἐγγύς που τοῦ λιμένος εἰκὸς ἦν τοῦτο γίγνεσθαι, τοῦτο μὲν μεθύοντος τοῦ ἀνδρός, τοῦτο δὲ νύκτωρ ἐκϐάντος ἐκ τοῦ πλοίου· οὔτε γὰρ αὐτοῦ κρατεῖν ἴσως ἂν ἐδύνατο, οὔτε τῷ ἀπάγοντι νύκτωρ μακρὰν ὁδὸν ἡ πρόφασις ἂν εἰκότως ἐγίγνετο· (27) ζητουμένου δὲ τοῦ ἀνδρὸς δύο ἡμέρας ἐν τῷ λιμένι καὶ ἄπωθεν τοῦ λιμένος, οὔτε ὀπτὴρ οὐδεὶς ἐφάνη οὔθ' αἷμα οὔτ' ἄλλο σημεῖον οὐδέν. Κᾆτ' ἐγὼ συγχωρῶ τῷ τούτων λόγῳ, παρεχόμενος μὲν τοὺς μάρτυρας ὡς οὐκ ἐξέϐην ἐκ τοῦ πλοίου· εἰ δὲ καὶ ὡς μάλιστα ἐξέϐην ἐκ τοῦ πλοίου, οὐδενὶ τρόπῳ εἰκὸς ἦν ἀφανισθέντα λαθεῖν τὸν ἄνθρωπον, εἴπερ μὴ πάνυ πόρρω ἀπῆλθεν ἀπὸ τῆς θαλάσσης. (28) Ἀλλ' ὡς κατεποντώθη λέγουσιν. Ἐν τίνι πλοίῳ; δῆλον γὰρ ὅτι ἐξ αὐτοῦ τοῦ λιμένος ἦν τὸ πλοῖον. Πῶς ἂν οὖν οὐκ ἐξευρέθη; καὶ μὴν εἰκός γε ἦν καὶ σημεῖόν τι γενέσθαι ἐν τῷ πλοίῳ ἀνδρὸς τεθνεῶτος καὶ ἐκϐαλλομένου νύκτωρ. Νῦν δὲ ἐν ᾧ μὲν ἔπινε πλοίῳ καὶ ἐξ οὗ ἐξέϐαινεν, ἐν τούτῳ φασὶν εὑρεῖν σημεῖα, ἐν ᾧ αὐτοὶ μὴ ὁμολογοῦσιν ἀποθανεῖν τὸν ἄνδρα· ἐν ᾧ δὲ κατεποντώθη, οὐχ εὗρον οὔτ' αὐτὸ τὸ πλοῖον οὔτε σημεῖον οὐδέν. Τούτων δ' ὑμῖν τοὺς μάρτυρας παραστήσομαι.

ΜΑΡΤΥΡΕΣ.

29. Ἐπειδὴ δὲ ἐγὼ φροῦδος μὲν ἦν πλέων εἰς τὴν Αἶνον, τὸ δὲ πλοῖον ἧκεν εἰς τὴν Μυτιλήνην ἐν ᾧ ἐγὼ

sed non rediit: ego vero illa nocte prorsus non exii e navi. Altero die, homo, quum nusquam conspiceretur, quæri cœpit, non a reliquis vectoribus magis quam a me: alii si cuipiam eorum grave visum fuit Herodem desiderari, grave id non minus mihi quoque visum fuit. Et mittendi hac de re ad Mytilenam nuncii ego auctor eram, et de consilio meo mittebatur. (24) Et quum alius nemo illuc proficisci vellet, neque ex vectoribus navis opertæ, neque ex iis, qui cum ipso Herode jam antea navigaverant; ego meum famulum offerebam: atqui non profecto data opera illuc indicem sceleris mei misissem. Verum quum neque apud Mytilenam neque usquam alias Herodes reperiretur, et aperta denuo navigatione, reliquæ naves in altum omnes eveherentur, ego quoque cœptum cursum prosequebar. Etiam hac de re testes vos certiores reddent.

TESTES.

25. Hæc sunt facta; e quibus vos velim cogitando ea quæ par est elicere. Primum, antequam solveremus Ænum versus, Herode e conspectu sublato, nemo mortalium me hujus rei incusabat, quamquam hi [adversarii mei] jam tum de hoc evento certiores essent facti; nam alias ego e portu non excessissem: verum, tum statim quidem veritas rei gestæ potior erat mendacio, me præsertim adhuc in locis illis præsente. Ut autem ego insula excesseram, quum hi inter sese fraudum suarum commenta contra me comparassent, tum demum cœperunt me criminari; (26) aientes, in terra me occidisse virum lapide in caput ejus conjecto, quum tamen omnino non egressus sim navigio. Atque hoc quidem probe isti norunt; quomodo autem cæsus e conspectu sublatus sit, demonstrare probabili ratione nequeunt. Patet sane id, prope portum alicubi fieri debuisse: vir enim exscenderat e navi non modo temulentus, sed etiam noctu; neque igitur se ipse facile regere potuisset, neque cur quis noctu eum per viam longinquam abduceret prætextus erat probabilis. (27) At quæsito viro per biduum et prope portum et procul a portu, neque qui viderit eum apparuit, neque sanguinis vestigium neque aliud signum quodcunque. Et nihilominus istorum mendacio concedam! ego qui et testibus confirmavi me navi non egressum esse, et qui, etiamsi nave egressus essem, nullo tamen modo efficere potuissem, ut e conspectu subductus nusquam reperiretur homo, nisi si perquam procul a mari processerit. (28) At undis corpus mersum dictitant. At cujusnam navigii ministerio? Necesse profecto est illud navigium unum fuisse tum in portu stantium. Qui ergo factum est ut non inveniretur, præsertim quum consentaneum esset indicium quoddam in navigio isto prostare viri occisi noctu et in undas ejecti. Jam vero isti indicia se reperisse aiunt in nave ubi potavit et e qua exscendit Herodes, quem periisse in ea ipsi negant; contra navem, cujus opera in altum cæsus demersus sit, neque invenerunt ipsam, neque indicium ullum ad eam deferens. Etiam harum rerum testes vobis exhibebo.

TESTES.

29. Ut autem Lesbo versus Ænum solveram, et illa navis, in qua ego una cum Herode Mytilena evectus fueram,

133καὶ Ἡρώδης ἐπλέομεν, πρῶτον μὲν εἰσβάντες εἰς τὸ πλοῖον ἠρεύνων, καὶ ἐπειδή τι αἷμα εὗρον, ἐνταῦθα ἔφασαν τεθνάναι τὸν ἄνδρα· ἐπειδὴ δὲ αὐτοῖς τοῦτο οὐκ ἐνεχώρει, ἀλλ' ἐφαίνετο τῶν προβάτων ὂν αἷμα, ἀποτραπόμενοι τούτου τοῦ λόγου συλλαβόντες ἐβασάνιζον τοὺς ἀνθρώπους. Καὶ ὃν μὲν τότε παραχρῆμα ἐβασάνισαν, οὗτος μὲν οὐδὲν εἶπε περὶ ἐμοῦ φλαῦρον· ὃν δ' ἡμέραις ὕστερον πολλαῖς ἐβασάνισαν, ἔχοντες παρὰ σφίσιν αὐτοῖς τὸν πρόσθεν χρόνον, οὗτος ἦν ὁ πεισθεὶς ὑπὸ τούτων καὶ καταψευσάμενος ἐμοῦ. Παρέξομαι δὲ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

31. Ὡς μὲν ὕστερου τούτῳ τῷ χρόνῳ ὁ ἀνὴρ ἐβασανίσθη, μεμαρτύρηται ὑμῖν· προσέχετε δὲ τὸν νοῦν αὐτῇ τῇ βασάνῳ, οἷα γεγένηται. Ὁ μὲν γὰρ δοῦλος ᾧ ἴσως οὗτοι τοῦτο μὲν ἐλευθερίαν ὑπέσχοντο, τοῦτο δ' ἐπὶ τούτοις ἦν παύσασθαι κακούμενον αὐτόν, ἴσως ὑπ' ἀμφοῖν πεισθεὶς κατεψεύσατό μου, τὴν μὲν ἐλευθερίαν ἐλπίσας οἴσεσθαι, τῆς δὲ βασάνου εἰς τὸ παραχρῆμα βουλόμενος ἀπηλλάχθαι. (32) Οἶμαι δ' ὑμᾶς ἐπίστασθαι τοῦτο, ὅτι ἐφ' οἷς ἂν τὸ πλεῖστον μέρος τῆς βασάνου, πρὸς τούτων εἰσὶν οἱ βασανιζόμενοι λέγειν ὅ τι ἂν ἐκείνοις μέλλωσι χαριεῖσθαι· ἐν τούτοις γὰρ αὐτοῖς ἐστιν ἡ ὠφέλεια, ἄλλως τε κἂν μὴ παρόντες τυγχάνωσιν ὧν ἂν καταψεύδωνται. Εἰ γὰρ ἐγὼ μὲν ἐκέλευον αὐτὸν στρεβλοῦν ὡς οὐ τἀληθῆ λέγοντα, ἴσως ἂν ἐν αὐτῷ τούτῳ ἀπετρέπετο μηδὲν κατ' ἐμοῦ καταψεύδεσθαι, νῦν δὲ αὐτοὶ ἦσαν καὶ βασανισταὶ καὶ ἐπιτιμηταὶ τῶν σφίσιν αὐτοῖς συμφερόντων. (33) Ἕως μὲν οὖν μετὰ χρηστῆς τῆς ἐλπίδος ἐγίνωσκέ μου καταψευσάμενος, τούτῳ διισχυρίζετο τῷ λόγῳ· ἐπειδὴ δὲ ἐγίνωσκεν ἀποθανούμενος, ἐνταῦθ' ἤδη τῇ ἀληθείᾳ ἐχρῆτο, καὶ ἔλεγεν ὅτι πεισθείη ὑπὸ τούτων ἐμοῦ καταψεύδεσθαι. (34) Διαπειραθέντα δ' αὐτὸν τὰ ψευδῆ λέγειν, ὕστερον δὲ τἀληθῆ λέγοντα, οὐδέτερα ὠφέλησεν, ἀλλ' ἀπέκτειναν ἄγοντες τὸν ἄνδρα, τὸν μηνυτήν, ᾧ πιστεύοντες ἐμὲ διώκουσι, τοὐναντίον ποιήσαντες ἢ οἱ ἄλλοι ἄνθρωποι. Οἱ μὲν γὰρ ἄλλοι τοῖς μηνυταῖς τοῖς μὲν ἐλευθέροις χρήματα διδόασι, τοὺς δὲ δούλους ἐλευθεροῦσιν· οὗτοι δὲ θάνατον τῷ μηνυτῇ τὴν δωρεὰν ἀπέδοσαν, ἀπαγορευόντων τῶν φίλων τῶν ἐμῶν μὴ ἀποκτείνειν τὸν ἄνδρα πρὶν ἂν ἐγὼ ἔλθοιμι. (35) Δῆλον οὖν ὅτι οὐ τοῦ σώματος αὐτοῦ χρεία ἦν αὐτοῖς, ἀλλὰ τῶν λόγων· ζῶν μὲν γὰρ ὁ ἀνὴρ διὰ τῆς αὐτῆς βασάνου ἰὼν ὑπ' ἐμοῦ κατήγορος ἂν ἐγίγνετο τῆς τούτων ἐπιβουλῆς, τεθνεὼς δὲ τὸν μὲν ἔλεγχον τῆς ἀληθείας ἀπεστέρει δι' αὐτοῦ τοῦ σώματος ἀπολλυμένου, τοῖς δὲ λόγοις τοῖς ἐψευσμένοις ὑπ' ἐκείνου ὡς ἀληθέσιν οὖσιν ἐγὼ ἀπόλλυμαι. Τούτων δὲ μάρτυράς μοι κάλει.

[ΜΑΡΤΥΡΕΣ.]

36. Ἐχρῆν μὲν γὰρ αὐτούς, ὡς ἐγὼ νομίζω, ἐνθάδε παρέχοντας τὸν μηνυτὴν αὐτὸν ἀπελέγχειν ἐμέ, καὶ αὐτῷ τούτῳ χρῆσθαι ἀγωνίσματι, ἐμφανῆ παρέχοντας

illuc redierat, primum inscendebant in eam navem atque pervestigabant, et invenientes cruoris reliquias, statim aiebant, Herodem ibi jugulatum esse : verum hoc commento ipsis haud procedente, constabat enim ovillum illum cruorem esse, omissa prædicatione tam absurda, comprehendebant homines (30) eorumque alterum tum statim tormentis subjiciebant. Tortus ille nihil mali de me edebat : quem autem multis diebus post tormentis subjecerunt, postquam toto illo interjecto tempore eum penes se habuissent, hic ab iis persuasus me homicidam edidit, in quo mentitus fuit. Præstabo hujus quoque rei testes.

TESTES.

31. Confirmarunt hi testes vobis, hunc tanto tempore post tormentis subjectum esse : verum modo quoque torturæ animum attendite. Nimirum falso indicavit me servus, cui vel libertatem hi promiserant, vel cui eo finem tormentis facere licuit, vel quem utrumque permovit, dum et libertatem sperabat et tormentis statim eximi cupiebat. (32) Vos omnes mihi videmini nosse, penes quos arbitrium tormentorum pro parte potissima sit, iis faventes torquendos grata auditu omnia prædicare; ab his enim emolumentum istis speratur, præsertim si torturæ non intersint hi, quos servi falso suo testimonio lædant. Nam si ego præsens illum servum torqueri jussissem, ut falsa edentem, forte cavisset, ne mendaci prædicatione me gravaret : jam vero hi ipsi erant tortores, iidemque torquendo imperabant ea dicere quæ ipsorum e re esset dici. (33) Donec itaque servum blanda spes lactaret, fore ut mendacis adversus me denuntiationis fraus sibi prodesset, perseverabat in ista prædicatione : intelligens autem certam sibi necem parari, tum demum cœpit veritatem usurpare, fassusque est se ab his impulsum mendaci indicio me infamasse. (34) Ita neque conatus mentiendi neque candor veracitatis homini profuit, sed tormentorum acerbitate enecarunt ipsi suum indicem, quo fidentes me insectantur, qua in re contra faciunt atque alii omnes homines. Nam alii quidem indicem sibi secundum, si conditionis ingenuæ est, largitionibus cumulant; sin autem servus est, manu emittunt : hi vero indicem suum præmio necis ornarunt, nequicquam obtestantibus et interdicentibus amicis meis ne facerent priusquam ego advenirem. (35) Quo constat eos corpore indicis nil indiguisse, sed solummodo indicio. Metuebant nempe, ne, si veniens ego eundem servum rursus tormentis subjicerem, ipsorum insidias in caput meum comparatas proderet : sublato autem illo de medio, una cum ipso corpore perierat quoque veritatis exploratio, mendacemque indicinam tantum sperabant valituram ut pro vera habita me perderet. Horum tu mihi testes cita.

[TESTES.]

36. Oportebat nimirum, ni fallor, eos huc adducentes indicem ipsum me coarguere, ipsoque eo argumento me oppugnare, quod indicem eorum exhibeant, ejusque tor-

τὸν ἄνδρα καὶ κελεύοντας βασανίζειν, ἀλλὰ μὴ ἀποκτεῖναι. Φέρε γὰρ δὴ ποτέρῳ νῦν χρήσονται τῶν λόγων; πότερα ᾧ πρῶτον εἶπεν ἢ ᾧ ὕστερον; καὶ πότερ' ἀληθῆ ἐστιν, ὅτ' ἔφη με εἰργάσθαι τὸ ἔργον ἢ ὅτ' οὐκ ἔφη; (37) εἰ μὲν γὰρ ἐκ τοῦ εἰκότος ἐξετασθῆναι δεῖ τὸ πρᾶγμα, οἱ ὕστεροι λόγοι ἀληθέστεροι φαίνονται. Ἐψεύδετο μὲν γὰρ ἐπ' ὠφελείᾳ τῇ ἑαυτοῦ, ἐπειδὴ δὲ τῷ ψεύδεσθαι ἀπώλλυτο, ἡγήσατο τἀληθῆ κατειπὼν διὰ τούτου σωθῆναι ἄν. Τῆς μὲν οὖν ἀληθείας οὐκ ἦν αὐτῷ τιμωρὸς οὐδείς· οὐ γὰρ παρὼν ἐγὼ ἐτύγχανον, ᾧπερ σύμμαχος ἦν ἡ ἀλήθεια τῶν ὑστέρων λόγων· τοὺς δὲ προτέρους λόγους τοὺς κατεψευσμένους ἦσαν οἱ ἀφανιοῦντες ὥστε μηδέποτε εἰς τὸ ἀληθὲς καταστῆναι. (38) Καὶ οἱ μὲν ἄλλοι καθ' ὧν μηνύῃ ἄν τις, αὐτοὶ κλέπτουσι τοὺς μηνύοντας, κᾆτα ἀφανίζουσιν· αὐτοὶ δὲ οὗτοι οἱ
134 ἀπάγοντες καὶ ζητοῦντες τὸ πρᾶγμα τὸν κατ' ἐμοῦ μηνυτὴν ἠφάνισαν. Καὶ εἰ μὲν ἐγὼ τὸν ἄνδρα ἠφάνισα ἢ μὴ ἤθελον ἐκδοῦναι τούτοις ἢ ἄλλον τινὰ ἔφευγον ἔλεγχον, αὐτοὶ δὴ τούτοις ἰσχυροτάτοις εἰς τὰ πράγματα ἐχρῶντο καὶ ἦν ταῦτα αὐτοῖς μέγιστα τεκμήρια κατ' ἐμοῦ· νῦν δέ, ὁπότε αὐτοὶ οὗτοι προκαλουμένων τῶν φίλων τῶν ἐμῶν ταῦτ' ἔφυγον, ἐμοὶ δήπου κατὰ τούτων εἶναι χρὴ ταῦτα τεκμήρια, ὡς οὐκ ἀληθῆ τὴν αἰτίαν ἐπέφερον ἣν ᾐτιῶντο.

39. Ἔτι δὲ καὶ τάδε λέγουσιν, ὡς ὡμολόγει ὁ ἄνθρωπος βασανιζόμενος συναποκτεῖναι τὸν ἄνδρα. Ἐγὼ δέ φημι ταῦτα μὲν οὐ λέγειν αὐτόν, ὅτι δὲ ἐξαγάγοι ἐμὲ καὶ τὸν ἄνδρα ἐκ τοῦ πλοίου, καὶ ὅτι ἤδη τεθνεῶτα αὐτὸν ὑπ' ἐμοῦ ἐνθεὶς εἰς τὸ πλοῖον καταποντώσειε. (40) Καίτοι σκέψασθε ὅτι πρῶτον μέν, πρὶν ἐπὶ τὸν τροχὸν ἀναβῆναι, ὁ ἀνὴρ μέχρι τῆς ἐσχάτης ἀνάγκης τῇ ἀληθείᾳ ἐχρῆτο καὶ ἀπέλυέ με τῆς αἰτίας· ἐπειδὴ δὲ ἐπὶ τὸν τροχὸν ἀνέβη, τῇ ἀνάγκῃ χρώμενος ἤδη κατεψεύδετό μου, βουλόμενος ἀπηλλάχθαι τῆς βασάνου· (41) ἐπειδὴ δὲ ἐπαύσατο βασανιζόμενος, οὐκέτι ἔφη με τούτων εἰργάσθαι οὐδέν, ἀλλὰ τὸ τελευταῖον ἀπῴμωζεν ἐμέ τε καὶ αὑτὸν ὡς ἀδίκως ἀπολλυμένους, οὐ χάριτι τῇ ἐμῇ (πῶς γάρ; ὅς γε κατεψεύσατο), ἀλλ' ἀναγκαζόμενος ὑπὸ τοῦ ἀληθοῦς καὶ βεβαιῶν τοὺς πρώτους λόγους ὡς ἀληθεῖς εἰρημένους. (42) Ἔπειτα δὲ ὁ ἕτερος ἄνθρωπος, ἐν τῷ αὐτῷ πλοίῳ πλέων καὶ παρὼν διὰ τέλους καὶ συνὼν μοι, τῇ αὐτῇ βασάνῳ βασανιζόμενος τοῖς μὲν πρώτοις καὶ τοῖς ὕστερον λόγοις τοῖς τοῦ ἀνθρώπου συνεφέρετο ὡς ἀληθέσιν οὖσι (διὰ τέλους γάρ με ἀπέλυε), τοῖς δ' ἐπὶ τοῦ τροχοῦ λεγομένοις, οὓς ἐκεῖνος ἀνάγκῃ μᾶλλον ἢ ἀληθείᾳ ἔλεγεν, τούτοις δὲ διεφέρετο. Ὁ μὲν γὰρ ἐκβάντα με ἔφη ἐκ τοῦ πλοίου ἀποκτεῖναι τὸν ἄνδρα, καὶ αὐτὸς ἤδη τεθνεῶτα συνανελεῖν μοι· ὁ δὲ τὸ παράπαν ἔφη οὐκ ἐκβῆναί με ἐκ τοῦ πλοίου. (43) Καίτοι τὸ εἰκὸς σύμμαχόν μοί ἐστιν. Οὐ γὰρ δήπου οὕτω κακοδαίμων ἐγώ, ὥστε τὸ μὲν ἀποκτεῖναι τὸν ἄνδρα προὐνοησάμην μόνος, ἵνα μοι μηδεὶς συνειδείη, ἐν ᾧ μοι ὁ πᾶς κίνδυνος ἦν, ἤδη δὲ πεπραγμένου μοι τοῦ ἔργου μάρτυρας καὶ συμβούλους ἐποιού-

quendi veniam mihi faciant, nequaquam autem occidere. Utra enim nunc tandem servi prædicatione utentur? num priore, an posteriore? et utra earum vera est, num ea qua me facinus patrasse affirmavit, an qua negavit? (37) Utique, si ex probabili quæstio hæc expedienda est, posterior prædicatio vera est: mentiebatur enim servus initio emolumenti sui ergo; postmodum vero cernens, nihilominus sibi pereundum esse, sperare incipiebat de salute per veritatis declarationem adipiscenda. At non erat ei vindex veritatis: ego enim non aderam, pro quo veritas posterioris prædicationis militabat; priorem autem obliteratum ierant hi: quo factum est, ut e prædicationibus servi res hæc nunquam ad liquidum perduci possit. (38) Reliqui testes sibi adversos suffurantur, et tum e conspectu submovent: hi autem, qui quæstionem de cæde Herodis instituerunt tam acerbam ut in custodiam ideo me ducendum curarent, tamen indicem mihi adversum ipsi de medio sustulerunt. Ego si de medio hominem submovissem aut nollem ad tormenta tradere aut aliam quampiam explorandi veri rationem defugerem, his illi quam maxime forent ad causam suam confirmandam usuri, et profecto non possent me ullo alio urgere graviore argumento: jam vero quum ipsi hæc defugerint contra quam amici mei hortarentur, par est eadem pro me testari falsam esse adversariorum meorum accusationem.

39. Verum etiam hoc illi jactant, hominem inter tormenta fassum esse, se mihi socium operæ affuisse, Herodem occidenti. Ego vero cum eum id dixisse nego, tum ita aio prædicasse meque Herodemque a se e nave eductos esse, post, Herodem a me peremptum, a se in navem impositum, ex eaque tandem in mare dejectum esse. (40) Verum recogitate quæso primum hominem hunc, antequam in rotam inscendit, usque ad extremum veritate usum a crimine me absolvisse: deinde vero rota inscensa, necessitati servientem, atque volentem quam primum a cruciatu liberari contra me edixisse: (41) denique, ut remota rursus tormenta fuerunt, eum rursus negasse me scelus patrasse, et contra potius, ad extremum ejulasse, meque seque ipsum pariter injusta criminatione perditum iri; quæ ille dixit, non gratia mei — ecqui enim mei? quem mendacio læsisset —, sed a veritate ista ejus ori extorta est confessio, qua prioris suæ prædicationis veritatem confirmavit. (42) Deinde alter homo, qui eodem nobiscum navigio vectus rei gestæ a principio ad finem interfuit, ubi iisdem tormentis admotus est, alterius hominis primæque atque postremæ prædicationi ceu veræ dixit consentanea (constanter enim me absolvit), ab illa autem alterius media prædicatione in rota edita, a necessitate non a veritate expressa, dissentanea. Nam alter quidem prædicavit, me e navi egressum interemisse Herodem, et tum se in tollendo cadavere mihi esse opitulatum: alter vero prorsus me negavit e nave egressum esse. (43) In quo non solum vera, sed etiam verosimilia dixit. Non enim tam furiosus sum, ut cædem quidem solus patrarem cavens ne quis conscius sit, qua in re omne mihi periculum erat; deinde vero commissi jam cri-

μην. (44) Καὶ ἀπέθανε μὲν ἀνὴρ οὑτοσὶ ἐγγὺς τῆς θαλάσσης καὶ τῶν πλοίων, ὡς ὁ τούτων λόγος ἐστίν· ὑπὸ δὲ ἑνὸς ἀποθνήσκων οὔτε ἀνέκραγεν οὔτ' αἴσθησιν οὐδεμίαν ἐποίησεν οὔτε τοῖς ἐν τῇ γῇ οὔτε τοῖς ἐν τῷ πλοίῳ; καὶ μὴν πολλῷ πλέον γε ἀγνοεῖν ἔστι νύκτωρ ἢ μεθ' ἡμέραν, ἐπ' ἀκτῆς ἢ κατὰ πόλιν· καὶ μὴν ἔτι ἐγρηγορότων φασὶν ἐκβῆναι τὸν ἄνδρα ἐκ τοῦ πλοίου. (45) Ἔπειτα ἐν τῇ γῇ μὲν ἀποθανόντος, ἐντιθεμένου δὲ εἰς τὸ πλοῖον, οὔτε ἐν τῇ γῇ σημεῖον οὐδὲ αἷμα ἐφάνη οὔτε ἐν τῷ πλοίῳ, νύκτωρ μὲν ἀναιρεθέντος, νύκτωρ δ' ἐντιθεμένου εἰς τὸ πλοῖον. Ἦ δοκεῖ ἂν ὑμῖν ἄνθρωπος δύνασθαι ἐν τοιούτῳ πράγματι ὢν τά τ' ἐν τῇ γῇ ὄντα ἀναξύσαι καὶ τὰ ἐν τῷ πλοίῳ ἀποσπογγίσαι, ἃ οὐδὲ μεθ' ἡμέραν τις οἷός τ' ἐγένετο, ἔνδον ὢν αὑτοῦ καὶ μὴ πεφοβημένος, τὸ παράπαν ἀφανίσαι; ταῦτα, ὦ ἄνδρες, πῶς εἰκότα ἐστίν; (46) Ὃ δὲ καὶ μάλιστα δεῖ ἐνθυμεῖσθαι, — καὶ μή μοι ἄχθεσθε, ἂν ὑμᾶς πολλάκις ταὐτὰ διδάξω. Μέγας γὰρ ὁ κίνδυνός ἐστι, καθ' ὅ τι δ' ἂν ὑμεῖς ὀρθῶς γνῶτε, κατὰ τοῦτο σώζομαι, καθ' ὅ τι δ' ἂν ψευσθῆτε τἀληθοῦς, κατὰ τοῦτο ἀπόλλυμαι. Μὴ οὖν ἐξέληται τοῦτο ὑμῶν μηδείς, ὅτι τὸν μηνυτὴν ἀπέκτειναν, καὶ διετείναντο αὐτὸν μὴ εἰσελθεῖν εἰς ὑμᾶς, μηδ' ἐμοὶ ἐγγενέσθαι παρόντι ἄξαι τὸν ἄνδρα καὶ βασανίσαι αὐτόν. Καίτοι πρὸς τούτων ἦν τοῦτο. (47) Νῦν δὲ πριάμενοι τὸν ἄνδρα, ἰδίᾳ ἐπὶ σφῶν αὐτῶν ἀπέκτειναν τὸν μηνυτήν, οὔτε τῆς πόλεως ψηφισαμένης, οὔτε αὐτόχειρα ὄντα τοῦ ἀνδρός. Ὃν ἐχρῆν δεδεμένον αὐτοὺς φυλάσσειν, ἢ τοῖς φίλοις τοῖς ἐμοῖς ἐξεγγυῆσαι, ἢ τοῖς ἄρχουσι τοῖς ὑμετέροις παραδοῦναι, καὶ ψῆφον περὶ αὐτοῦ γενέσθαι. Νῦν δὲ αὐτοὶ καταγνόντες τὸν θάνατον τοῦ ἀνδρὸς ἀπεκτείνατε· ὃ οὐδὲ πόλει ἔξεστιν, ἄνευ Ἀθηναίων οὐδένα θανάτῳ ζημιῶσαι. Καὶ τῶν μὲν ἄλλων λόγων τῶν ἐκείνου τουτουσὶ κριτὰς ἠξιώσατε γενέσθαι, τῶν δὲ ἔργων αὐτοὶ δικασταὶ γίνεσθαι. (48) Καίτοι οὐδὲ οἱ τοὺς δεσπότας ἀποκτείναντες, ἐὰν ἐπ' αὐτοφώρῳ ληφθῶσιν, οὐδ' οὗτοι θνήσκουσιν ὑπ' αὐτῶν τῶν προσηκόντων, ἀλλὰ παραδιδόασιν αὐτοὺς τῇ ἀρχῇ κατὰ νόμους ὑμετέρους πατρίους. Εἴπερ γὰρ καὶ μαρτυρεῖν ἔξεστι δούλῳ κατὰ τοῦ ἐλευθέρου τὸν φόνον, καὶ τῷ δεσπότῃ, ἂν δοκῇ, ἐπεξελθεῖν ὑπὲρ τοῦ δούλου, καὶ ἡ ψῆφος ἴσον δύναται τῷ δοῦλον ἀποκτείναντι καὶ τῷ ἐλεύθερον, εἰκός τοι καὶ ψῆφον γενέσθαι περὶ αὐτοῦ ἦν, καὶ μὴ ἄκριτον ἀποθανεῖν αὐτὸν ὑφ' ὑμῶν. Ὥστε πολλῷ ἂν ὑμεῖς δικαιότερον κρίνοισθε ἢ ἐγὼ νῦν φεύγω ὑφ' ὑμῶν ἀδίκως.

49. Σκοπεῖτε δὲ ὦ ἄνδρες καὶ ἐκ τοῖν λόγοιν τοῖν ἀνδροῖν ἑκατέροιν τοῖν βασανισθέντοιν τὸ δίκαιον καὶ τὸ εἰκός. Ὁ μὲν γὰρ δοῦλος δύω λόγω ἔλεγε· τοτὲ μὲν ἔφη με εἰργάσθαι τὸ ἔργον, τοτὲ δὲ οὐκ ἔφη· ὁ δὲ ἐλεύθερος οὐδέπω νῦν εἴρηκε περὶ ἐμοῦ φλαῦρον οὐδέν, τῇ αὐτῇ βασάνῳ βασανιζόμενος· (50) τοῦτο μὲν γὰρ οὐκ ἦν αὐτῷ ἐλευθερίαν προτείναντας ὥσπερ τὸν ἕτερον πεῖσαι· τοῦτο δὲ μετὰ τοῦ ἀληθοῦς ἐβούλετο κινδυνεύων

minis testes et conscios ipse advocarem. (44) Porro Herodes, ut hi aiunt, occisus est prope mare, haud procul a navibus; attamen, quum ab uno homine necaretur, neque vociferatus est neque ullum sui indicium dedit neque in continente versantibus neque in navibus. Porro ut erretur noctu, multo et fit crebrius et est factu facilius, quam de die; ut in littore, quam in urbe: adde, quod e navi exscendisse aiunt Herodem hominibus adhuc vigilantibus; (45) et nihilominus tamen hominis, qui in terra jugularetur eoque facto in navem inferretur, neque in terra neque in navigio cruor sparsus, aliudve indicium deprehensum fuit. Videturne vobis homo, alium necans et navigio imponens exanimatum, idque noctu, in tanta contentione, potuisse indicia ex humo sica abradere, e navigio spongia abstergere? quæ ne die quidem tu, etiamsi non trepidans, sed sedata mente possis omnia obliterare? Hæc ecqui sint quæso verisimilia? vos antestor, judices. (46) Quod autem imprimis oportet vos vobis ad mentem revocare — et nolim profecto vos mihi succensere iterum atque iterum eadem inculcanti: magno versor in discrimine; recta enim si vos censueritis, salvus sum, a vero autem aberrantibus vobis, perii. Mentibus itaque hoc elabi ne sinite, indicem ab his de medio sublatum esse, quominus in conspectum vestrum produceretur, et ego copia potirer illum ad vos adducendi eique tormenta admovendi, quamvis prædicatio ejus illorum causam sublevaret. (47) Jam vero servum istum emerunt et contra me testatum privatim sponte sua sustulerunt absque civitatis decreto, quum tamen ipse Herodem non necasset. Hunc hominem oportebat utique in custodia ipsorum asservari, aut amicis meis tradi aut magistratibus, et judicium de eo legitimum haberi. Jam vero vos, judicio vestro privato morti addictum necastis; etsi ne civitati quidem ulli licet quenquam, nesciis Atheniensibus morti dare. Prædicationum quidem ab hoc servo editarum hos esse judices, facinora autem ejus vos ipsi judicare voluistis. (48) Atqui ne illi quidem servi, qui heros peremerint et in flagrante delicto deprehensi fuerint, ne sic quidem a cæsorum necessariis occiduntur, sed traduntur magistratui, quo secundum leges nostras patrias puniantur. Licet servis de cæde adversus ingenuos testari: hero si cui servus interemptus ab ingenuo fuerit, licet illi hunc ingenuum in jus vocare, si facere velit, et tum sententia judicum pari severitate in homicidam servi, atque in homicidam ingenui, animadvertit; quocirca par fuerat etiam hoc de servo judices cognoscere, non autem vos causa indicta morte eum mulctare. Multo majori ergo jure ego vos homicidii reos agam quam nunc injuste vos me reum agitis.

49. Sed ex ipsis quoque amborum tormentis subjectorum prædicationibus velim vos, judices, justum et consentaneum colligere. Servus enim, duas edidit prædicationes, modo aiens me facinus patrasse, modo negans: ingenuus autem, eidem tormento subjectus, nihil me lædens edidit. (50) Quid ita? primum, non poterant hunc, perinde atque servum, proponenda spe libertatis illicere: tum veritatem tueri etiam cum capitis sui discrimine haud

πάσχειν ὅ τι δέοι, ἐπεὶ τό γε συμφέρον καὶ οὗτος ἠπίστατο, ὅτι τότε παύσαιτο στρεβλούμενος, ὁπότε εἴποι τὰ τούτοις δοκοῦντα. Ποτέρῳ οὖν εἰκός ἐστι πιστεῦσαι, τῷ διὰ τέλους τὸν αὐτὸν λόγον ἀεὶ λέγοντι, ἢ τῷ τοτὲ μὲν φάσκοντι τοτὲ δ' οὔ; ἀλλὰ καὶ ἄνευ βασάνου τοιαύτης οἱ τοὺς αὐτοὺς αἰεὶ περὶ τῶν αὐτῶν λόγους λέγοντες πιστότεροί εἰσι τῶν διαφερομένων σφίσιν αὐτοῖς. (51) Ἔπειτα δὲ καὶ ἐκ τῶν λόγων τῶν τοῦ ἀνθρώπου μερὶς ἑκατέρῳ ἴση ἐστί, τούτοις μὲν τὸ φάσκειν, ἐμοὶ δὲ τὸ μὴ φάσκειν, ἔκ τε ἀμφοῖν τοῖν ἀνδροῖν τοῖν βασανισθέντοιν· ὁ μὲν γὰρ ἔφησεν, ὁ δὲ διὰ τέλους ἔξαρνος ἦν. Καὶ μὲν δὴ τὰ ἐξ ἴσου γενόμενα τοῦ φεύγοντός ἐστι μᾶλλον ἢ τοῦ διώκοντος, εἴπερ γε καὶ τῶν ψήφων ὁ ἀριθμὸς ἐξ ἴσου γενόμενος τὸν φεύγοντα μᾶλλον ὠφελεῖ ἢ τὸν διώκοντα.

52. Ἡ μὲν βάσανος ὦ ἄνδρες τοιαύτη ἐγένετο, ᾗ οὗτοι πιστεύοντες εὖ εἰδέναι φασὶν ὑπ' ἐμοῦ ἀποθανόντα τὸν ἄνδρα. Καίτοι τὸ παράπαν ἔγωγ' ἂν εἴ τι συνῄδειν ἐμαυτῷ καὶ εἴ τι ἐμοὶ τοιοῦτον εἴργαστο, ἠφάνισ' ἂν τὼ ἀνθρώπω, ὅτε ἐπ' ἐμοὶ ἦν τοῦτο μὲν εἰς τὴν Αἶνον ἀπάγειν ἅμα ἐμοί, τοῦτο δὲ εἰς τὴν ἤπειρον διαβιβάσαι, καὶ μὴ ὑπολείπεσθαι μηνυτὰς κατ' ἐμαυτοῦ τοὺς συνειδότας. (53) Φασὶ δὲ γραμματίδιον εὑρεῖν ἐν τῷ πλοίῳ, ὃ ἔπεμπον ἐγὼ Λυκίνῳ, ὡς ἀποκτείναιμι τὸν ἄνδρα. Καίτοι τί ἔδει με γραμματίδιον πέμπειν, αὐτοῦ συνειδότος τοῦ τὸ γραμματίδιον φέροντος; ὥστε τοῦτο μὲν σαφέστερον αὐτὸς ἔμελλεν ἐρεῖν ὁ εἰργασμένος, τοῦτο δὲ οὐδὲν ἔδει κρύπτειν αὐτόν· ἃ γὰρ μὴ οἷόν τε εἰδέναι τὸν φέροντα, ταῦτ' ἄν τις μάλιστα συγγράψας πέμψειεν. (54) Ἔπειτα δὲ ὅ τι μὲν μακρὸν εἴη πρᾶγμα, τοῦτο ἄν τις ἀναγκασθείη γράψαι τῷ μὴ διαμνημονεύειν τὸν ἀπαγγέλλοντα ὑπὸ πλήθους· τοῦτο δὲ βραχὺ ἦν ἀπαγγεῖλαι, ὅτι τέθνηκεν ὁ ἀνήρ. Ἔπειτα ἐνθυμεῖσθε ὅτι διάφορον ἦν τὸ γραμματίδιον τῷ βασανισθέντι, διάφορος δ' ὁ ἄνθρωπος τῷ γραμματίῳ. ὁ μὲν γὰρ βασανιζόμενος αὐτὸς ἔφη ἀποκτεῖναι, τὸ δὲ γραμμάτιον ἀνοιχθὲν ἐμὲ τὸν ἀποκτείναντα ἐμήνυεν. (55) Καίτοι ποτέρῳ χρὴ πιστεῦσαι; τὸ μὲν γὰρ πρῶτον οὐχ εὗρον ἐν τῷ πλοίῳ ζητοῦντες τὸ γραμματίδιον, ὕστερον δέ. Τότε μὲν γὰρ οὔπω οὕτως ἐμεμηχάνητο αὐτοῖς· ἐπειδὴ δὲ ὁ ἄνθρωπος ὁ πρότερον βασανισθεὶς οὐδὲν ἔλεγε κατ' ἐμοῦ, τότε εἰσβάλλουσιν εἰς τὸ πλοῖον τὸ γραμματίδιον, ἵνα ταύτην ἔχοιεν ἐμοὶ τὴν αἰτίαν
136 ἐπιφέρειν· (56) ἐπειδὴ δ' ἀνεγνώσθη τὸ γραμματίδιον καὶ ὁ ὕστερος βασανιζόμενος οὐ συνεφέρετο τῷ γραμματιδίῳ, οὐκέθ' οἷόν τ' ἦν ἀφανίσαι τὰ ἀναγνωσθέντα. Εἰ γὰρ ἡγήσαντο τὸν ἄνδρα πείσειν ἀπὸ πρώτης καταψεύδεσθαί μου, οὐκ ἄν ποτ' ἐμηχανήσαντο τὰ ἐν τῷ γραμματιδίῳ. Καί μοι μάρτυρας τούτων κάλει.

ΜΑΡΤΥΡΕΣ.

57. Τίνος γε δὴ ἕνεκα τὸν ἄνδρα ἀπέκτεινα; οὐδὲ γὰρ ἔχθρα οὐδεμία ἦν ἐμοὶ καὶ ἐκείνῳ. Λέγειν δὲ τολμῶσιν ὡς ἐγὼ χάριτι τὸν ἄνδρα ἔκτεινα. Καί τίς

recusavit; nam e re sua quid magis esset, hic quoque intelligebat, fore scilicet, ut hi torquendo se desisterent, si grata illis prædicaret. Utri jam horum par est vos fidem habere? illine qui usque ad extremum eadem in prædicatione perseveravit, an huic qui alternis affirmavit idem atque infitiatus est? Atqui si qui vel absque tormentis eadem de causa constanter eadem prædicent, majorem inveniunt fidem, quam qui variantes ipsi a se dicta destruunt. (51) At esto tamen utriusque auctoritatis par pondus : sumus ergo nos pares ratione testimoniorum : servus modo pro me prædicavit, modo idem contra me : rursus ex ambobus tortis alter affirmavit me facinus patrasse, alter constanter infitiatus est. Momenta vero testimoniorum ubi sunt æqualia, reum obtinet vincere, cadere causa accusatorem; paritate quoque calculorum judices magis reum quam accusatorem adjuvant.

52. Exposui vobis, judices, torturæ rationes, qua fidentes hi aiunt, probe se nosse, Herodem a me sublatum esse. Ego vero si quid tale unquam patrassem ejusque mihi conscius fuissem, studuissem hoc par hominum de medio tollere, sive mecum ad Ænum abducendo sive in continentem trajiciendo, non autem metuendos mihi reliquissem indices, homines facinoris mei conscios. (53) Sed aiunt a se repertum in navigio epistolium, quo Lycinum de interfecto a me Herode certiorem facere voluissem. Atqui quid opus erat epistolium mittere, quum perlator ejus ipse esset conscius facinoris, ideoque distinctius ipse de re posset exponere, nec quidquam eum celari oporteret : nam ea literis mandata mittere solemus, quæ non possumus cum perlatoribus communicare. (54) Item si qua longa res est, eam cogimur perscribere, verentes ne quid perlator obliviscatur : at breve erat nuntium Herodem esse peremptum. Præterea memineritis discrepare inter se epistolium et verba servi : hic enim in quæstione se ipse edixit interfecisse. epistolium autem resignatum me homicidam esse prodidit, (55) Utri jam oportet vos fidem habere? Porro, initio quidem, quærentes, non inveniebant epistolium in navigio, postmodum autem inveniebant. Tunc nimirum fraus ipsis nondum erat excogitata, postquam autem homo primo loco tortus nihil indicarat mihi infestum, ipsi schedam injiciebant in navigium, quo haberent causam criminis in me conferendi : (56) legebatur epistolium : torquebatur tum servus posterior; verum hic epistolio edebat parum consentientia : jam occultassent epistolium si licuisset. Quodsi fore sperassent, ut servum statim a principio permoverent ad falsa contra me edicenda, machinam illam epistolarem commenti non fuissent. Cita tu mihi horum testes.

TESTES.

57. Sed eccujus tandem rei causa ego virum occidissem? num simultatis? Atqui nulla mihi cum eo intercedebat. Sed alienam in gratiam aiunt me illi spiritum eri-

κώποτε χαριζόμενος ἑτέρῳ τοῦτο εἰργάσατο; οἶμαι μὲν γὰρ οὐδένα, ἀλλὰ δεῖ μεγάλην τὴν ἔχθραν ὑπάρχειν τῷ τοῦτο μέλλοντι ποιήσειν, καὶ τὴν πρόνοιαν ἐκ πολλῶν εἶναι φανερὰν ἐπιβουλευομένην. Ἐμοὶ δὲ κἀκείνῳ οὐκ ἦν ἔχθρα οὐδεμία. (58) Ἀλλὰ χρήματα ἔμελλον λήψεσθαι ἀποκτείνας αὐτόν; ἀλλ' οὐκ ἦν αὐτῷ. Εἶεν, ἀλλὰ δείσας περὶ ἐμαυτοῦ μὴ αὐτὸς παρ' ἐκείνου τοῦτο πάθοιμι; καὶ γὰρ ἂν τῶν τοιούτων ἕνεκά τις ἀναγκασθείη τοῦτο ἐργάσασθαι. Ἀλλ' οὐδέν μοι τοιοῦτον ὑπῆρκτο εἰς αὐτόν. (59) Ἀλλὰ σοὶ μᾶλλον ἐγὼ τὴν πρόφασιν ταύτην ἔχοιμ' ἂν εἰκότως μετὰ τῆς ἀληθείας ἀναθεῖναι, ὅτι χρημάτων ἕνεκα ζητεῖς ἐμὲ ἀποκτεῖναι, μᾶλλον ἢ σὺ ἐμοὶ ἐκεῖνον· καὶ πολὺ ἂν δικαιότερον ἁλοίης τοῦ φόνου ἐμὲ ἀποκτείνας ὑπὸ τῶν ἐμοὶ προσηκόντων, ἢ ἐγὼ ὑπὸ σοῦ καὶ τῶν ἐκείνου ἀναγκαίων. Ἐγὼ μὲν γάρ σοι φανερὰν τὴν πρόνοιαν εἰς ἐμὲ ἀποδείκνυμι, σὺ δέ με ἐν ἀφανεῖ λόγῳ ζητεῖς ἀπολέσαι.

60. Ταῦτα μὲν ὑμῖν λέγω, ὡς αὐτῷ μοι πρόφασιν οὐδεμίαν ἔχει ἀποκτεῖναι τὸν ἄνδρα· δεῖ δέ με καὶ ὑπὲρ Λυκίνου ἀπολογήσασθαι, ὡς ἔοικεν, ἀλλ' οὐχ ὑπὲρ αὑτοῦ μόνον, ὡς οὐδ' ἐκεῖνον εἰκότως αἰτιῶνται. Λέγω τοίνυν ὑμῖν ὅτι ταὐτὰ ὑπῆρχεν αὐτῷ εἰς ἐκεῖνον ἅπερ ἐμοί· οὔτε γὰρ χρήματα ἦν αὐτῷ ὁπόθεν ἂν ἔλαβεν ἀποκτείνας ἐκεῖνον, οὔτε κίνδυνος αὐτῷ ὑπῆρχεν οὐδεὶς ὄντινα διέφευγεν ἀποθανόντος ἐκείνου. (6) Τεκμήριον δὲ μέγιστον ὡς οὐκ ἐβούλετο αὐτὸν ἀπολέσαι· ἐξὸν γὰρ αὐτῷ ἐν ἀγῶνι καὶ κινδύνῳ μεγάλῳ καταστήσαντι μετὰ τῶν νόμων τῶν ὑμετέρων ἀπολέσαι ἐκεῖνον, εἴπερ προωφείλετο αὐτῷ κακόν, καὶ τό τε ἴδιον τὸ αὑτοῦ διαπράξασθαι καὶ τῇ πόλει τῇ ὑμετέρᾳ χάριν καταθέσθαι, εἰ ἐπέδειξεν ἀδικοῦντα ἐκεῖνον, οὐκ ἠξίωσεν, ἀλλ' οὐδ' ἦλθεν ἐπὶ τοῦτο. Καίτοι καλλίων γε ἦν ὁ κίνδυνος αὐτῷ.

ΜΑΡΤΥΡΕΣ.

62. Ἀλλὰ γὰρ ἐνταῦθα μὲν ἀφῆκεν αὐτόν· οὐ γὰρ ἔδει κινδυνεύειν αὐτὸν περί τε αὑτοῦ καὶ ἐμοῦ· ἐνταῦθα δ' ἐπεβούλευεν, ἐν ᾧ γνωσθεὶς ἂν ἀπεστέρει μὲν ἐμὲ τῆς πατρίδος, ἀπεστέρει δὲ αὑτὸν ἱερῶν καὶ ὁσίων καὶ τῶν ἄλλων ἅπερ μέγιστα καὶ περὶ πλείστου ἐστὶν ἀνθρώποις. Ἔπειτα δ' εἰ καὶ ὡς μάλιστα ἐβούλετο αὐτὸν ὁ Λυκῖνος τεθνάναι (εἶμι γὰρ καὶ ἐπὶ τὸν τῶν κατηγόρων λόγον), οὗ αὐτὸς οὐκ ἠξίου αὐτόχειρ γενέσθαι, τοῦτο τὸ ἔργον ἐγώ ποτ' ἂν ἐπείσθην ἀντ' ἐκείνου ποιῆσαι; (63) Πότερα ὡς ἐγὼ μὲν ἦν τῷ σώματι ἐπιτήδειος διακινδυνεύειν, ἐκεῖνος δὲ χρήμασι τὸν ἐμὸν κίνδυνον ἐκπρίασθαι; οὐ δῆτα· τῷ μὲν γὰρ οὐκ ἦν χρήματα, ἐμοὶ δὲ ἦν· ἀλλ' αὐτὸ τὸ ἐναντίον ἐκεῖνος τοῦτο θᾶσσον ἂν ὑπ' ἐμοῦ ἐπείσθη κατά γε τὸ εἰκὸς ἢ ἐγὼ ὑπὸ τούτου, ἐπεὶ ἐκεῖνός γ' ἑαυτὸν οὐδ' ὑπερήμερον γενόμενον ἑπτὰ μνῶν δυνατὸς ἦν λύσασθαι, ἀλλ' οἱ φίλοι αὐτὸν ἐλύσαντο. Καὶ μὲν δὴ καὶ τῆς χρείας τῆς ἐμῆς καὶ τῆς Λυκίνου τοῦτο ὑμῖν μέγιστον τεκμήριόν ἐστιν, ὅτι οὐ σφόδρα ἐχρώμην ἐγὼ Λυκίνῳ φίλῳ, ὡς πάντα ποιῆσαι ἂν τὰ ἐκείνῳ

puisse. Atqui quis tandem hoc unquam eo fecerit, quo alteri gratificaretur? Ego puto neminem, sed magnas inter cæsum et occidentem intercessisse simultates necesse est, et e multis constitisse indiciis alteri ab altero insidias comparari. Mihi vero cum Herode dissidii nihil unquam fuit. (58) At argenti cupiditate illectus eum peremi? Sed carebat eo. Esto: at metu tamen, ne, nisi ego prævenirem, ille me repente opprimeret? nam etiam ejusmodi metus quempiam ad facinus impellat. At nihil tale mihi cum eo erat. (59) Multo enimvero majori veritatis specie ego contendere possim te hoc agere, ut e nece mea ditescas, quam tu me criminaris e nece Herodis ditescere voluisse: tu si me per hoc judicium tollas, multo potiori jure a necessariis meis homicidii reus peragaris, quam ego abs te et reliquis Herodis necessariis cædis reus agor. Ego enim perspicue te mihi insidias comparare ostendo; tu vero causatione obscura me studes perdere.

60. Hæc ad vos disputavi, quo appareret mihimet nihil causæ fuisse cur Herodem occiderem: sed non ego tantum, verum etiam Lycinus mihi defendendus esse videtur, docendumque, ne illum quidem probabili ratione accusari. Lycino igitur aio eadem atque mihi cum Herode fuisse: nam neque opes Herodi erant, quibus potiri Lycinus interfecto illo potuisset, neque discrimen ullum erat, quod Lycinus per necem Herodis effugeret. (61) Præterea ne voluit quidem Lycinus eum perdere: nam si voluisset, poterat eum in certamen forense conjicere, cujus hic fuisset exitus, ut Herodes ex legibus vestris morte mulctaretur. Si debebatur Herodi a Lycino malum, poterat hoc modo Lycinus privatas suas injurias ulcisci, unaque vos promereri, docendo, rempublicam ab eo læsam esse: quamquam hoc ei fuisset honestius certamen, noluit tamen ad id descendere.

TESTES.

62. Tunc igitur dimisit inimicum, quum ulcisci potuisset sine suoque meoque periculo; nunc vero struxit insidias, ubi deprehensus me privasset patria, semet privasset sacris reliquisque omnibus, quæ maximi plurimique faciunt homines. Verum, ut concedamus tantisper adversariorum prætentioni, esto vel maxime Lycinum Herodem sublatum voluisse: ideone ego mihi persuaderi passus sum, pro illo facinus facere, quod ille ipse suis manibus patrare non auderet? (63) Num, ut ego corpore valebam ad periculum adeundum, ita ipse opibus, quibus meam operam redimeret? Non utique: immo locuples ego, ille pauper; adeo ut multo citius ego potius Lycinum ad hoc permovisse videri possim, quam ille me, quandoquidem septem minas die evoluta persolvere non potuit; quare amici eum liberarunt. Jam quod familiaritatem attinet, quæ cum Lycino mihi intercesserit, ex luculentissimo hoc argumento intelligitis, eam non tantam fuisse, ut quæcunque illi placuissent ego facerem. Nam quoniam ne septem quidem

δοκοῦντα· οὐ γὰρ δήπου ἑπτὰ μὲν μνᾶς οὐκ ἀπέτισα περὶ αὐτοῦ δεδεμένου καὶ λυμαινομένου, κίνδυνον δὲ τοσοῦτον ἀράμενος ἄνδρα ἀπέκτεινα δι' ἐκεῖνον.

64. Ὡς μὲν οὖν οὐκ αὐτὸς αἴτιός εἰμι τοῦ πράγμα-
137 τος οὐδὲ ἐκεῖνος, ἀποδέδεικται καθ' ὅσον ἐγὼ δύναμαι μάλιστα. Τούτῳ δὲ χρῶνται πλείστῳ λόγῳ οἱ κατήγοροι, ὅτι ἀφανής ἐστιν ὁ ἀνήρ, καὶ ὑμεῖς ἴσως περὶ τούτου αὐτοῦ ποθεῖτε ἀκοῦσαι. Εἰ μὲν οὖν τοῦτο εἰκάζειν δεῖ με, ἐξ ἴσου τοῦτό ἐστι καὶ ὑμῖν καὶ ἐμοί· οὔτε γὰρ ὑμεῖς αἴτιοι τοῦ ἔργου ἐστὲ οὔτε ἐγώ· εἰ δὲ δεῖ τοῖς ἀληθέσι χρῆσθαι, τῶν εἰργασμένων τινὰ ἐρωτώντων· ἐκείνου γὰρ ἂν ἄριστα πύθοιντο. (65) Ἐμοὶ μὲν γὰρ τῷ μὴ εἰργασμένῳ τοσοῦτον τὸ μακρότερον τῆς ἀποκρίσεώς ἐστιν, ὅτι οὐκ εἴργασμαι· τῷ δὲ ποιήσαντι ῥᾳδία ἐστὶν ἡ ἀπόδειξις, καὶ μὴ ἀποδείξαντι εὖ εἰκάσαι. Οἱ μὲν γὰρ πανουργοῦντες ἅμα τε πανουργοῦσι καὶ πρόφασιν εὑρίσκουσι τοῦ ἀδικήματος· τῷ δὲ μὴ εἰργασμένῳ χαλεπὸν περὶ τῶν ἀφανῶν εἰκάζειν. Οἶμαι δ' ἂν καὶ ὑμῶν ἕκαστον εἴ τίς τινα ἔροιτο ὅ τι μὴ τύχοι εἰδώς, τοσοῦτον ἂν εἰπεῖν, ὅτι οὐκ οἶδεν· εἰ δέ τις περαιτέρω κελεύοι λέγειν, ἐν πολλῇ ἂν ὑμᾶς ἔχεσθαι ἀπορίᾳ δοκῶ. (66) Μὴ τοίνυν ἐμοὶ νείμητε τὸ ἄπορον τοῦτο, ἐν ᾧ μηδ' ἂν αὐτοὶ εὐπορεῖτε· μηδ' ἐὰν εὖ εἰκάζω, ἐν τούτῳ μοι ἀξιοῦτε τὴν ἀπόφευξιν εἶναι, ἀλλ' ἐξαρκείτω μοι ἐμαυτὸν ἀναίτιον ἀποδεῖξαι τοῦ πράγματος. Ἐν τούτῳ οὖν ἀναίτιός εἰμι, οὐκ ἐὰν ἐξεύρω ὅτῳ τρόπῳ ἀφανής ἐστιν ἢ ἀπόλωλεν ἀνήρ, ἀλλ' εἰ μὴ προσήκει μοι μηδὲν ὥστ' ἀποκτεῖναι αὐτόν. (67) Ἤδη δ' ἔγωγε καὶ πρότερον ἀκοῇ ἐπίσταμαι γεγονός, τοῦτο μὲν τοὺς ἀποθανόντας, τοῦτο δὲ τοὺς ἀποκτείναντας οὐχ εὑρεθέντας· οὔκουν ἂν καλῶς ἔχοι, εἰ τούτων δέοι τὰς αἰτίας ὑποσχεῖν τοὺς συγγενομένους. Πολλοὶ δέ γ' ἤδη σχόντες ἑτέρων πραγμάτων αἰτίας, πρὶν τὸ σαφὲς αὐτῶν γνωσθῆναι, προαπώλοντο. (68) Αὐτίκα Ἐφιάλτην τὸν ὑμέτερον πολίτην οὐδέπω νῦν εὕρηνται οἱ ἀποκτείναντες· εἰ οὖν τις ἠξίου τοὺς συνόντας ἐκείνῳ εἰκάζειν οἵτινες ἦσαν οἱ ἀποκτείναντες Ἐφιάλτην, εἰ δὲ μή, ἐνόχους εἶναι τῷ φόνῳ, οὐκ ἂν καλῶς εἶχε τοῖς συνοῦσιν. Ἔπειτα οἵ γε Ἐφιάλτην ἀποκτείναντες οὐκ ἐζήτησαν τὸν νεκρὸν ἀφανίσαι, οὐδ' ἐν τούτῳ κινδυνεύειν μηνῦσαι τὸ πρᾶγμα, ὥσπερ οἵδε φασὶν ἐμὲ τῆς μὲν ἐπιβουλῆς οὐδένα κοινωνὸν ποιήσασθαι τοῦ θανάτου, τῆς δ' ἀναιρέσεως. (69) Τοῦτο δ' ἐντὸς οὐ πολλοῦ χρόνου παῖς ἐζήτησεν οὐδὲ δώδεκα ἔτη γεγονὼς τὸν δεσπότην ἀποκτεῖναι· καὶ εἰ μὴ φοβηθείς, ὡς ἀνεβόησεν, ἐγκαταλιπὼν τὴν μάχαιραν τῇ σφαγῇ ᾤχετο φεύγων, ἀλλ' ἐτόλμησε μεῖναι, ἀπώλοντ' ἂν οἱ ἔνδον ἅπαντες· οὐδεὶς γὰρ ἂν ᾤετο τὸν παῖδά ποτε τοῦτο τολμῆσαι· νῦν δὲ συλληφθεὶς αὐτὸς ὕστερον κατεῖπεν αὐτοῦ. Τοῦτο δὲ περὶ χρημάτων αἰτίαν ποτὲ σχόντες οὐκ οὖσαν, ὥσπερ ἐγὼ νῦν, οἱ Ἑλληνοταμίαι οἱ ὑμέτεροι, ἐκεῖνοι μὲν ἅπαντες ἀπέθανον ὀργῇ μᾶλλον ἢ γνώμῃ, πλὴν ἑνός, τὸ δὲ πρᾶγμα ὕστερον καταφανὲς ἐγένετο. (70) Τοῦ δ' ἑνὸς τούτου (Σωσίαν ὄνομά φασιν αὐτῷ εἶναι) κατέγνωστο μὲν ἤδη θάνατος, ἐτεθνήκει

minas pro eo ex vinculorum molestiis liberando solvi, multo minus cædem committens pro eo tantum subire voluissem periculum.

64. Planum jam feci, quoad potui, neque a me neque a Lycino cædem hanc esse peractam: sed hoc maxime premunt adversarii, quod Herodes tamen e conspectu sublatus sit; et vos ipsi, judices, mihi videmini percupere audire, quidnam ego de eo dicere habeam. Jam si conjectare oportet, non magis id ad me quam ad vos pertinet: nam neque vos facinoris auctores estis neque ego: sin veram rei gestæ rationem nosse volunt, eorum aliquem interroganto qui facinus patrarunt; nam ab illo optime rem intelligant. (65) Ego, qui non patravi, longius dicere nihil habeo quam me non fecisse: qui autem fecit, is facile rem exponere, et, si exponere nolit, belle conjectare potest. Nam scelerati sceleribus suis speciosos quoque prætextus comminiscuntur: qui autem non fecerit, ei difficile est occulta probabili conjectura aperire. Vestrûm quoque mihi videtur unusquisque de re haud comperta interrogatus nihil esse responsurus nisi hoc, se non nosse: et si tum interrogans ulterius quid dicere jubeat, vos magnopere laboraturi mihi videmini. (66) Ne itaque me explicare jubeatis in quo extricando ipsi sitis hæsitaturi; neque absolutionis hanc mihi ferte conditionem, si feliciter conjectavero, sed satis habete, a me planum vobis esse factum, me hoc crimine vacare. Nam insons sum, non quatenus rationem edo probabilem, qua homo e medio sublatus aut peremptus sit, sed quatenus ejus cædes ad me nil pertinet. (67) Factum novi haud raro, a fama doctus, ut sive perempti sive homicidæ nusquam locorum reperirentur. Næ pulchre tum ageretur si qui aut cum illis aut cum his una fuissent, culpam eventorum ferre deberent. Ac persæpe jam aliorum criminum rei perierunt antequam vera rerum ratio aperiretur. (68) Ne longe abeam, Ephialten civem vestrum qui occiderunt, hodieque nondum inventi sunt: quodsi ergo quis postulet, ut qui cum Ephialte fuerunt aut homicidas declarent aut ipsi crimen cædis subeant, næ conditio eorum pessima foret. Quanquam qui Ephialten sustulerunt, nil curarunt cadaver subducere, quo se in periculum dedissent facinus ipsi suum prodendi; in quo sapiebant: me vero hi tam stultum fingunt, ut, cujus cædem ipse solus peregissem, ad eum humo tollendum alios advocarem. (69) Porro haud ita pridem puer nondum annum ætatis duodecimum emensus heri jugulo sicam imprimebat: hero vociferante territus puer aufugiebat, relicta in jugulo sica; qui si ausus esset manere, perisset tota familia: nam quis sanus de puero tantillo tantam audaciam vel suspicatus esset? jam vero comprehensus puer ipse se suo indicio condemnavit. Aliud accipite. Hellenotamiæ vestri aliquando in suspicionem furti adducti fuerant, injustam quidem illam atque immeritum prorsus, ut hæc cædis est de me suspicio: peribant ira potius quam sapientia consilii, omnes præter unum, quem Sosiam aiunt appellatum fuisse. (70) Supplicio extremo etiam is jam condemnatus, nondum id corpore toleraverat: interea aperiebatur,

δὲ οὔπω· καὶ ἐν τούτῳ ἐδηλώθη τῷ τρόπῳ ἀπωλώλει τὰ χρήματα, καὶ ὁ ἀνὴρ ἀπήχθη ὑπὸ τοῦ δήμου τοῦ ὑμετέρου παραδεδομένος ἤδη τοῖς ἕνδεκα, οἱ δ' ἄλλοι ἐτέθνασαν οὐδὲν αἴτιοι ὄντες. (71) Ταῦθ' ὑμῶν αὐτῶν ἐγὼ οἶμαι μεμνῆσθαι τοὺς πρεσβυτέρους, τοὺς δὲ νεωτέρους πυνθάνεσθαι ὥσπερ ἐμέ. Οὕτως ἀγαθόν ἐστι μετὰ τοῦ χρόνου βασανίζειν τὰ πράγματα. Καὶ τοῦτ' ἴσως ἂν φανερὸν γένοιτ' ἂν ὕστερον, καὶ ὅτῳ τρόπῳ τέθνηκεν ὁ ἄνθρωπος. Μὴ οὖν ὕστερον τοῦτο γνῶτε, ἀναίτιόν με ὄντα ἀπολέσαντες, ἀλλὰ πρότερόν γ' εὖ βουλεύσασθε καὶ μὴ μετ' ὀργῆς καὶ διαβολῆς, ὡς τούτων.οὐκ ἂν γένοιντο ἕτεροι πονηρότεροι σύμβουλοι. (72) Οὐ γὰρ ἔστιν ὅ τι ὀργιζόμενος ἄνθρωπος ἂν γνοίη· αὐτὸ γὰρ ᾧ βουλεύεται, τὴν γνώμην διαφθείρει τοῦ ἀνθρώπου. Μέγα τι ἡμέρα παρ' ἡμέραν γιγνομένη γνώμην, ὦ ἄνδρες, ἐξ ὀργῆς
138 μεταστῆσαι καὶ τὴν ἀλήθειαν εὑρεῖν τῶν γεγενημένων. (73) Εὖ δὲ ἴστε ὅτι ἐλεηθῆναι ὑφ' ὑμῶν ἄξιός εἰμι μᾶλλον ἢ δίκην δοῦναι· δίκην μὲν γὰρ εἰκός ἐστι διδόναι τοὺς ἀδικοῦντας, ἐλεεῖσθαι δὲ τοὺς ἀδίκως κινδυνεύοντας. Κρεῖσσον δὲ χρὴ ἀεὶ γίγνεσθαι τὸ ὑμέτερον δυνάμενον ἐμὲ δικαίως σώζειν, ἢ τὸ τῶν ἐχθρῶν βουλόμενον ἀδίκως με ἀπολλύναι. Ἐν μὲν γὰρ τῷ ἐπισχεῖν ἔστι καὶ τὰ δεινὰ ταῦτα ποιῆσαι ἃ οὗτοι κελεύουσιν· ἐν δὲ τῷ παραχρῆμα οὐκ ἔστιν ἀρχὴν ὀρθῶς βουλεύσασθαι.

74. Δεῖ δέ με καὶ ὑπὲρ τοῦ πατρὸς ἀπολογήσασθαι· καίτοι γε πολλῷ μᾶλλον εἰκὸς ἦν ἐκεῖνον ὑπὲρ ἐμοῦ ἀπολογήσασθαι, πατέρα ὄντα· ὁ μὲν γὰρ πολλῷ πρεσβύτερός ἐστι τῶν ἐμῶν πραγμάτων, ἐγὼ δὲ πολλῷ νεώτερος τῶν ἐκείνῳ πεπραγμένων. Καὶ εἰ μὲν ἐγὼ τούτου ἀγωνιζομένου κατεμαρτύρουν ἃ μὴ σαφῶς ᾔδειν, ἀκοῇ δὲ ἠπιστάμην, δεινὰ ἂν ἔφη πάσχειν ὑπ' ἐμοῦ· (75) νῦν δὲ ἀναγκάζων ἐμὲ ἀπολογεῖσθαι ὧν ἐγὼ πολλῷ νεώτερός εἰμι καὶ λόγῳ οἶδα, ταῦτα οὐ δεινὰ ἡγεῖται εἰργάσθαι. Ὅμως μέντοι καθ' ὅσον ἐγὼ οἶδα, οὐ προδώσω τὸν πατέρα κακῶς ἀκούοντα ἐν ὑμῖν ἀδίκως. Καίτοι τάχ' ἂν σφαλείην, ἃ ἐκεῖνος ὀρθῶς ἔργῳ ἔπραξεν, ταῦτ' ἐγὼ λόγῳ μὴ ὀρθῶς εἰπών· ὅμως δ' οὖν κεκινδυνεύσεται. (76) Πρὶν μὲν γὰρ τὴν ἀπόστασιν τῶν Μυτιληναίων γενέσθαι, ἔργῳ τὴν εὔνοιαν ἐδείκνυε τὴν εἰς ὑμᾶς· ἐπειδὴ δὲ ἡ πόλις ὅλη κακῶς ἐβουλεύσατο ἀποστᾶσα καὶ ἥμαρτε τῆς ὑμετέρας γνώμης, μετὰ τῆς πόλεως ὅλης ἠναγκάσθη συνεξαμαρτεῖν. Τὴν μὲν οὖν γνώμην ἔτι καὶ ἐν ἐκείνοις ὅμοιος ἦν εἰς ὑμᾶς, τὴν δ' εὔνοιαν οὐκέτι ἦν ἐπ' ἐκείνῳ τὴν αὐτὴν εἰς ὑμᾶς παρέχειν· οὔτε γὰρ ἐκλιπεῖν τὴν πόλιν εὐρόπως εἶχεν αὐτῷ· ἱκανὰ γὰρ ἦν τὰ ἐνέχυρα ἃ εἴχετο αὐτοῦ, οἵ τε παῖδες καὶ τὰ χρήματα· τοῦτο δ' αὖ μένοντι πρὸς τὴν πόλιν αὐτῷ ἀδυνάτως εἶχεν ἰσχυρίζεσθαι. (77) Ἐπεὶ δ' ὑμεῖς τοὺς αἰτίους τούτων ἐκολάσατε, ἐν οἷς οὐκ ἐφαίνετο ὢν ὁ ἐμὸς πατήρ, τοῖς δ' ἄλλοις Μυτιληναίοις ἄδειαν ἐδώκατε οἰκεῖν τὴν σφετέραν αὐτῶν, οὐκ ἔστιν ὅ τι ὕστερον αὐτῷ ἡμάρτηται, τῷ ἐμῷ πατρί, οὐδ' ὅ τι οὐ πεποίηται τῶν δεόντων, οὐδ' ἥστινος λειτουργίας ἡ πόλις ἐνδεὴς γεγέ-

quo pacto pecuniæ interversæ fuerint : ibi Sosias, jam undecimviris traditus, a populo e carcere domum deducebatur, reliquis immerito supplicio exstinctis. (71) Seniores vestrûm, ni fallor, hunc casum adhuc recordantur, juniores autem, fando procul dubio de eo inaudiverunt, quemadmodum ego. Tam salutare est ad examen rerum etiam lentorem temporis adhibere. Ac facile evenire possit ut hoc quoque aliquando apertum fiat, quonam pacto Herodes perierit. Cavete itaque ne sero cognoscatis vos insontem me condemnasse, sed prius bene consulito non iracundia, non calumniis exagitati : nam consultores his pejores non facile sit reperire. (72) Nihil enim est quod homo iracundia perturbatus recte cernat : ira enim illud ipsum, per quod homo deliberat, mentem ejus puta, corrumpit. Dies diei succedens multum valet ad mentem hominis mutandam, et ad perveniendum ad sedes veri. (73) Certos vos esse velim, multo magis me vestram commiserationem meritum esse, quam ut pœnas dem : pœnas enim dant criminosi, misericordiam autem merentur insontes in discrimen adducti. Et vestra potestas salvo jure me servandi semper debet potior esse horum inimicorum contentione me per nefas opprimendi. Ampliate paulullum : nam sic quoque licebit vobis severa illa statuere, ad quæ vos hi accendunt; præcipitanti autem consilia prorsus non licet recta capere consilia.

74. Sed et patris me causam dicere oportet : tametsi multo magis erat consentaneum, pro me eum dicere, qui pater esset; illum enim res meas omnes tenere credibilius est, qui ætate me multum antecedat, quam me res ejus tenere, qui multo sim junior. Illi si causa in foro dicenda sit, eoque tum si de eo tester ea quæ non certo sciam, sed auditu solum acceperim, questurus sit adversarius, atrocem sibi a me factam esse injuriam : (75) jam vero cogens me, ut oratione purgem ea quæ mea ætate multo antiquiora non nisi ex fama teneo, non putat injuriam a se mihi fieri. Verumtamen quoad possum, patrem non prodam, malis calumniis coram vobis, judices, lacessitum. Et quanquam vereor ne qua labar, ab eo recte facta verbis corrumpens, jacta tamen esto alea. (76) Patrem bene vobis velle rebus ipsis ipse declaravit illo tempore, quod Mytilenæorum defectionem antecessit : ut autem tota civitas malo usa consilio a vobis defecit vestraque benevolentia excidit, non potuit facere quominus errore toti civitati communi implicaretur. Animo quidem erga vos etiam tum erat nil mutato, at rebus item suam erga vos pristinam demonstrare voluntatem haud licebat. Nam urbe excedere haud facile poterat, quum satis multa ejus essent pignora, liberi et opes; manenti autem Mytilenæ suam erga vos mentem declarare non licebat. (77) Ut autem vos, punitis defectionis auctoribus, in quibus patrem non fuisse constat, reliquis Mytilenæis copiam fecistis in patrio solo manendi, nihil prorsus est postmodum a patre meo erratum nullum neglexit officium, nulli de-

νηται, οὔτε ἡ ὑμετέρα οὔτε ἡ Μυτιληναίων, ἀλλὰ καὶ χορηγίας ἐχορήγει καὶ τέλη κατετίθει. (78) Εἰ δ' ἐν Αἴνῳ χωροφιλεῖ, τοῦτο οὐκ ἀποστερῶν γε τῶν εἰς τὴν πόλιν ἑαυτὸν οὐδενὸς οὐδ' ἑτέρας πόλεως πολίτης γεγενημένος, ὥσπερ ἑτέρους ὁρῶ τοὺς μὲν εἰς τὴν ἤπειρον ἰόντας καὶ οἰκοῦντας ἐν τοῖς πολεμίοις τοῖς ὑμετέροις, καὶ δίκας ἀπὸ ξυμβόλων ὑμῖν δικαζομένους, οὐδὲ φεύγων τὸ πλῆθος τὸ ὑμέτερον, τοὺς δ' οἵους ὑμεῖς μισῶν συκοφάντας. (79) Ἃ μὲν οὖν μετὰ τῆς πόλεως ὅλης ἀνάγκῃ μᾶλλον ἢ γνώμῃ ἔπραξεν, τούτων οὐ δίκαιός ἐστιν ὁ ἐμὸς πατὴρ ἰδίᾳ δίκην διδόναι. Ἅπασι γὰρ Μυτιληναίοις ἀείμνηστος ἡ τότε ἁμαρτία γεγένηται· ἠλλάξαντο μὲν γὰρ πολλῆς εὐδαιμονίας πολλὴν κακοδαιμονίαν, ἐπεῖδον δὲ τὴν ἑαυτῶν πατρίδα ἀνάστατον γενομένην. Ἃ δὲ ἰδίᾳ οὗτοι διαβάλλουσι τὸν ἐμὸν πατέρα, μὴ πείθεσθε· χρημάτων γὰρ ἕνεκα ἡ πᾶσα παρασκευὴ γεγένηται ἐπ' ἐμοὶ κἀκείνῳ. Πολλὰ δ' ἐστὶ τὰ συμβαλλόμενα τοῖς βουλομένοις τῶν ἀλλοτρίων ἐφίεσθαι. Γέρων μὲν ἐκεῖνος ὥστ' ἐμοὶ βοηθεῖν, νεώτερος δ' ἐγὼ πολλῷ ἢ ὥστε δύνασθαι ἐμαυτῷ τιμωρεῖν ἱκανῶς. (80) Ἀλλ' ὑμεῖς βοηθήσατέ μοι, καὶ μὴ διδάσκετε τοὺς συκοφάντας μεῖζον ὑμῶν αὐτῶν δύνασθαι. Ἐὰν μὲν γὰρ εἰσιόντες εἰς ὑμᾶς ἃ βούλονται πράσσωσι, δεδειγμένον ἔσται τούτους μὲν πείθειν, τὸ δ' ὑμέτερον πλῆθος φεύγειν· ἐὰν δὲ εἰσιόντες εἰς ὑμᾶς πονηροὶ μὲν αὐτοὶ δοκῶσιν εἶναι, πλέον δ' αὐτοῖς μηδὲν γένηται, ὑμετέρα ἡ τιμὴ καὶ ἡ δύναμις ἔσται, ὥσπερ καὶ τὸ δίκαιον ἔχει. Ὑμεῖς οὖν ἐμοί τε βοηθεῖτε καὶ τῷ δικαίῳ.

139 81. Ὅσα μὲν οὖν ἐκ τῶν ἀνθρωπίνων τεκμηρίων καὶ μαρτυριῶν οἷά τε ἦν ἀποδειχθῆναι, ἀκηκόατε· χρὴ δὲ καὶ τοῖς ἀπὸ τῶν θεῶν σημείοις γενομένοις εἰς τὰ τοιαῦτα οὐχ ἥκιστα τεκμηραμένους ψηφίζεσθαι. Καὶ γὰρ τὰ τῆς πόλεως κοινὰ τούτοις μάλιστα πιστεύοντες ἀσφαλῶς διαπράσσεσθε, τοῦτο μὲν τὰ εἰς τοὺς κινδύνους ἥκοντα, τοῦτο δὲ εἰς τὰ ἔξω τῶν κινδύνων. (82) Χρὴ δὲ καὶ εἰς τὰ ἴδια ταῦτα μέγιστα καὶ πιστότατα ἡγεῖσθαι. Οἶμαι γὰρ ὑμᾶς ἐπίστασθαι ὅτι πολλοὶ ἤδη ἄνθρωποι μὴ καθαροὶ χεῖρας ἢ ἄλλο τι μίασμα ἔχοντες συνεισβάντες εἰς τὸ πλοῖον συναπώλεσαν μετὰ τῆς αὑτῶν ψυχῆς τοὺς ὁσίως διακειμένους τὰ πρὸς τοὺς θεούς· τοῦτο δὲ ἤδη ἑτέρους ἀπολομένους μὲν οὔ, κινδυνεύσαντας δὲ τοὺς ἐσχάτους κινδύνους διὰ τοὺς τοιούτους ἀνθρώπους· τοῦτο δὲ ἱεροῖς παραστάντες πολλοὶ δὴ καταφανεῖς ἐγένοντο οὐχ ὅσιοι ὄντες καὶ διακωλύοντες τὰ ἱερὰ μὴ γίγνεσθαι τὰ νομιζόμενα. (83) Ἐμοὶ τοίνυν ἐν πᾶσι τούτοις τὰ ἐναντία ἐγένετο. Τοῦτο μὲν γὰρ ὅσοις συνέπλευσα, καλλίστοις ἐχρήσαντο πλοῖς· τοῦτο δὲ ὅπου ἱεροῖς παρέστην, οὐκ ἔστιν ὅπου οὐχὶ κάλλιστα τὰ ἱερὰ ἐγένετο· ἃ ἐγὼ ἀξιῶ μεγάλα μοι τεκμήρια εἶναι τῆς αἰτίας, ὅτι οὐκ ἀληθῆ μου οὗτοι κατηγοροῦσι*** τούτων μάρτυρες.

fuit muneri sive Athenis sive Mytilenæ edendo, sed et choregatibus defunctus est et tributa dependit. (78) Quod autem apud Ænum degere amat, facit hoc, non quo defugiat partem ullam officiorum a se reip. debitorum; neque quo civitatis alius civis esse malit, quanquam alios video in Continentem [Asiam] transmigrantes et apud hostes vestros habitantes actionibusque mercatilibus cives vestros vexantes; neque quod eum vestri regiminis popularis tædeat, sed odio delatorum quos ipsimet vos pariter odistis. (79) Quæ ergo pater una cum tota [Mytilenæorum] civitate coactus magis quam voluntate sua deliquit, eorum pœnas ipsum privatim dare æquum non est. Nunquam Mytilenæis e memoria excidet error ipsorum, qui ingentem pristinam felicitatem cum extrema infelicitate commutarint patriamque viderint desolatam. Quæ autem hi patri meo privatim vitio dant, nolite ea credere: nummis enim quo emungeremur, tota hæc machina in me illumque comparata est. Et multa hic concurrunt cupiditatem bonis alienis inhiantium secundantia. Senex ille quum sit, præsto mihi nequit esse; ego vero junior sum quam ut ipse meas injurias ulcisci satis queam. (80) Quare vos mihi succurrite, neque docete sycophantas ipsos plus posse quam vosmet. Nam hi si ad vos ingressi agent quæcunque velint, planum civibus factum erit horum gratiam captandam esse, vestræ autem plebis auctoritatem posse contemni: si autem ingressi ad vos ipsi improbi esse censeantur, nec quidquam proficiant, tum penes vos honor et potestas erit, uti par est. Vindicate itaque meque unaque æquum jus.

81. Audistis adhuc quæcunque argumenta a me proferri potuerunt ab humanis sive testimoniis sive indiciis aliis repetita: sed etiam ad divina indicia in hujusmodi causis quam maxime judicibus attendendum est. His credentes vos remp. tutam et salvam geritis, utraque in fortuna, tam in adversa quam in secunda. (82) Sed etiam in privatis rebus summa debet esse divinorum ostentorum auctoritas. Ipsos vos, ni fallor, haud fugit, sæpe jam usu venisse, quum homines aut cruore aut alio quopiam incesto polluti in naves inscendissent, ut non ipsi solum perirent, sed una secum ceteros quoque, quamvis castos sanctosque, in perniciem traherent; item alios, consortio impurorum usos, tametsi non perirent, ad discrimina tamen extrema adductos fuisse; nec non multos, astantes sacris, eo quod perlitari non posset, prodidisse, religiones deorum ab ipsis violatas esse. (83) Jam horum omnium nihil in me unquam evenit. Quibuscunque unquam navigationum consors fui, hi secundissimis usi sunt cursibus: ubicunque sacris interfui, ibi nunquam non pulcherrime fuit perlitatum. Quæ indicia postulo ut vos ita interpretemini, ut inde falsitatem criminis in me collati colligatis. *** horum testes cito.

ΜΑΡΤΥΡΕΣ.

84. Ἐπίσταμαι δὲ καὶ τάδε, ὦ ἄνδρες δικασταί, ὅτι εἰ μὲν ἐμοῦ κατεμαρτύρουν οἱ μάρτυρες, ὥς τι ἀνόσιον γεγένηται ἐμοῦ παρόντος ἐν πλοίῳ ἢ ἐν ἱεροῖς, αὐτοῖς γε τούτοις ἰσχυροτάτοις ἂν ἐχρῶντο, καὶ πίστιν τῆς αἰτίας ταύτην σαφεστάτην ἀπέφαινον, τὰ σημεῖα τὰ ἀπὸ τῶν θεῶν· νῦν δὲ τῶν τε σημείων ἐναντίων τοῖς τούτων λόγοις γιγνομένων, τῶν τε μαρτύρων ἃ μὲν ἐγὼ λέγω μαρτυρούντων ἀληθῆ εἶναι, ἃ δ' οὗτοι κατηγοροῦσι ψευδῆ, τοῖς μὲν μαρτυροῦσιν ἀπιστεῖν ὑμᾶς κελεύουσι, τοῖς δὲ λόγοις οὓς αὐτοὶ λέγουσι πιστεύειν ὑμᾶς χρῆναί φασι. Καὶ οἱ μὲν ἄλλοι ἄνθρωποι τοῖς ἔργοις τοὺς λόγους ἐλέγχουσιν, οὗτοι δὲ τοῖς λόγοις ζητοῦσι τὰ ἔργα ἄπιστα καθιστάναι.

85. Ὅσα μὲν οὖν ἐκ τῶν κατηγορηθέντων μέμνημαι, ὦ ἄνδρες, ἀπολελόγημαι· δέομαι δὲ καὶ ὑμῶν ἀποψηφίσασθαι. Ταὐτὰ γὰρ ἐμέ τε σώζει, καὶ ὑμῖν νόμιμα καὶ εὔορκα γίγνεται. Κατὰ γὰρ τοὺς νόμους ὠμόσατε δικάσειν· ἐγὼ δὲ καθ' οὓς μὲν ἀπήχθην, οὐκ ἔνοχός εἰμι τοῖς νόμοις, ὧν δ' ἔχω τὴν αἰτίαν, ἀγών μοι νόμιμος ὑπολείπεται. Εἰ δὲ δύο ἐξ ἑνὸς ἀγῶνος γεγένησθον, οὐκ ἐγὼ αἴτιος, ἀλλ' οἱ κατήγοροι. Καίτοι οὐ δήπου οἱ μὲν ἔχθιστοι οἱ ἐμοὶ δύο ἀγῶνας περὶ ἐμοῦ πεποιήκασιν, ὑμεῖς δὲ οἱ τῶν δικαίων ἴσοι κριταὶ προκαταγνώσεσθέ μου ἐν τῷδε τῷ λόγῳ τὸν φόνον. (86) Μὴ ὑμεῖς γε, ὦ ἄνδρες· ἀλλὰ δότε τι καὶ τῷ χρόνῳ, μεθ' οὗ ὀρθότατα εὑρίσκουσιν οἱ τὴν ἀκρίβειαν ζητοῦντες τῶν πραγμάτων. Ἠξίουν μὲν γὰρ ἔγωγε περὶ τῶν τοιούτων, ὦ ἄνδρες, εἶναι τὴν δίκην κατὰ τοὺς νόμους, κατὰ μέντοι τὸ δίκαιον ὡς πλειστάκις ἐλέγχεσθαι. Τοσούτῳ γὰρ ἂν ἄμεινον ἐγινώσκετο· οἱ γὰρ πολλοὶ ἀγῶνες τῇ μὲν ἀληθείᾳ σύμμαχοί εἰσι, τῇ δὲ διαβολῇ πολεμιώτατοι. (87) Φόνου γὰρ δίκη καὶ μὴ ὀρθῶς γνωσθεῖσα ἰσχυρότερον τοῦ δικαίου καὶ τοῦ ἀληθοῦς ἐστιν· ἀνάγκη γάρ, ἐὰν ὑμεῖς μου καταψηφίσησθε, καὶ μὴ ὄντα φονέα μηδ' ἔνοχον τῷ ἔργῳ χρῆσθαι τῇ δίκῃ καὶ τῷ νόμῳ· καὶ οὐδεὶς ἂν τολμήσειεν οὔτε τὴν δίκην τὴν δεδικασμένην παραβαίνειν πιστεύσας αὑτῷ ὅτι οὐκ ἔνοχός ἐστιν, οὔτε ξυνειδὼς αὑτῷ τοιοῦτον ἔργον εἰργασμένῳ μὴ οὐ χρῆσθαι τῷ νόμῳ. Ἀνάγκη δὲ τῆς δίκης νικᾶσθαι παρὰ τὸ ἀληθές, αὐτοῦ τε τοῦ ἀληθοῦς, ἄλλως τε καὶ ἐὰν μὴ ᾖ ὁ τιμωρήσων. (88) Αὐτῶν δὲ τούτων ἕνεκα οἵ τε νόμοι καὶ αἱ διωμοσίαι καὶ τὰ τόμια καὶ αἱ προρρήσεις, καὶ τἄλλ' ὁπόσα γίγνεται τῶν δικῶν ἕνεκα τοῦ φόνου, πολὺ διαφέροντά ἐστιν ἢ ἐπὶ τοῖς ἄλλοις, ὅτι καὶ αὐτὰ τὰ πράγματα, περὶ ὧν οἱ κίνδυνοι, περὶ πλείστου ἐστὶν ὀρθῶς γιγνώσκεσθαι· ὀρθῶς μὲν γὰρ γνωσθέντα τιμωρία ἐστὶ τῷ ἀδικηθέντι, φονέα δὲ τὸν μὴ αἴτιον ψηφισθῆναι ἁμαρτία καὶ ἀσέβειά ἐστιν εἴς τε τοὺς θεοὺς καὶ εἰς τοὺς νόμους. (89) Καὶ οὐκ ἴσον ἐστὶ τόν τε διώκοντα μὴ ὀρθῶς αἰτιάσασθαι καὶ ὑμᾶς τοὺς δικαστὰς μὴ ὀρθῶς γνῶναι. Ἡ μὲν γὰρ τούτων αἰτίασις οὐκ ἔχει τέλος, ἀλλ' ἐν ὑμῖν ἐστι καὶ τῇ δίκῃ· ὅ τι δ' ἂν ὑμεῖς ἐν αὐτῇ τῇ

TESTES.

84. Certus sum, judices, hi testes si adversus me testarentur atque confirmarent, in templo quopiam navigiove, in quo ego essem, indicium aliquod visum esse numinis ob sacra polluta irati, adversarios meos hoc testimonio tanquam firmissimo usuros esse, atque clamaturos hæc ostenta deorum fidem mei sceleris facere luculentissimam : jam vero et divina ostenta criminationibus inimicorum meorum repugnant, et testium prædicationes quum causam meam sublevant, tum istorum causam mendacii coarguunt; et nihilo tamen hi minus postulant ut, quam vos fidem meis testibus denegetis, eam ipsorum mendaciis contribuatis. Alii quidem homines per facta vanitatem prætensionum demonstrant; hi vero verborum præstigiis veritatem rerum gestarum labefactare conantur.

85. Refutavi, judices, singula quæque crimina quæ mihi objecta esse memini : jam nunc peto etiam a vobis, ut absolvar. Id quod, ut mihi salutare est, ita cum vestra justitia et religione consentit. Nam secundum leges vos jus esse dicturos jurantes condixistis : jam legibus iis, quibus prætensis in carcerem ductus sum, nil teneor; quibus autem teneri dicor, de his certamen mihi reservatum manet. Geminum autem certamen quod exstiterit e simplici, ejus rei culpa non mea est, sed accusatorum. Jam si inimici mei duo mihi certamina fecerunt, vos, juris æqui arbitri, me in hoc jam judicio præjudicio vestro cædis non condemnabitis. (86) Nolite, viri, tam iniqui esse : date potius aliquid etiam tempori; quo duce veritatem rerum gestarum quærentes invenire solent. Vellem utique, judices, hujusmodi in causis formulam juris civilis observari, quanquam ipso de jure quam creberrime inquiri cuperem : eo enim melius rei veritas aperiatur : crebritas disputationum ut propitia veritati, ita est mendacio infestissima. (87) In homicidii vero causa sententia iniqua cogit et jus æquum et veritatem succumbere: nam me, e. c., si vos condemnaveritis, tametsi insontem, oportebit tamen vestræ sententiæ et legis severitati parere, nemoque facile sit qui sententiæ de se dictæ refragari audeat, tametsi certo sciat se crimine vacare, aut qui ideo recuset in potestate legis esse, quod conscius sibi sit se tantum facinus haud commisisse. Sic necesse est, ut æquitas iniquitati concedat, veritate nequicquam reclamante, et ut ipsa veritas a mendacio obruatur, præsertim absente vindice. (88) Ac propter hæc et leges et juramenta et exta et solennes denuntiationes et reliqua quæ in homicidiorum causis observantur, multum differunt ab iis quæ in ceteris fiunt; quoniam res ipsas, de quibus hic certatur, plurimum refert recte cognosci. Recte enim definitis, justa fiunt Manibus læsi; insontem vero si homicidii damnet iniqua sententia, delictum hoc est humana et divina jura violans. (89) Nec perinde est, accusatorem non recte accusare, atque vos, qui judices sitis, non recte decernere. Nam accusatio vim effectus non habet, sed vestra habet sententia. Si quid vos in judi-

δίκῃ μὴ ὀρθῶς γνῶτε, τοῦτο οὐκ ἔστιν ὅποι ἄν τις ἀνενεγκὼν τὴν ἁμαρτίαν ἀπολύσαιτο. (90) Πῶς ἂν οὖν ὀρθῶς δικάσαιτε περὶ αὐτῶν; εἰ τούτους τε ἐάσετε τὸν νομιζόμενον ὅρκον διομοσαμένους κατηγορῆσαι, κἀμὲ περὶ αὐτοῦ τοῦ πράγματος ἀπολογήσασθαι. Πῶς δὲ ἐάσετε; ἐὰν νυνὶ ἀποψηφίσησθέ μου. Διαφεύγω γὰρ οὐδ' οὕτω τὰς ὑμετέρας γνώμας, ἀλλ' ὑμεῖς ἔσεσθε οἱ κἀκεῖ περὶ ἐμοῦ διαψηφιζόμενοι· καὶ ἀποψηφισαμένοις μὲν ὑμῖν ἐμοῦ νῦν ἔξεστι τότε χρῆσθαι ὅ τι δὴ βούλεσθε, ἀπολέσασι δὲ οὐδὲ βουλεύσασθαι ἔτι περὶ ἐμοῦ ἐγχωρεῖ. (91) Καὶ μὴν εἰ δέοι ἁμαρτεῖν ἐπί τῳ, ἀδίκως ἀπολῦσαι ὁσιώτερον ἂν ἢ τὸ μὴ δικαίως ἀπολέσαι· τὸ μὲν γὰρ μόνον ἁμάρτημά ἐστι, τὸ δὲ ἕτερον καὶ ἀσέβημα· ἐν ᾧ χρὴ πολλὴν πρόνοιαν ἔχειν, μέλλοντας ἀνήκεστον ἔργον ἐργάζεσθαι. Ἐν μὲν γὰρ ἀκεστῷ πράγματι καὶ ὀργῇ χρησαμένους καὶ διαβολῇ πειθομένους ἔλαττον ἔστιν ἐξαμαρτεῖν· μεταγνοὺς γὰρ ἔτι ἂν ὀρθῶς βουλεύσαιτο· ἐν δὲ τοῖς ἀνηκέστοις πλέον βλάβος τὸ μετανοεῖν καὶ γνῶναι ἐξημαρτηκότας. Ἤδη δέ τισιν ὑμῶν καὶ μετεμέλησεν ἀπολωλεκόσι. Καίτοι οὔπω ὑμῖν τοῖς ἐξαπατηθεῖσι μετεμέλησεν, εἰ καὶ πάνυ τι χρή, τούς γε ἐξαπατῶντας ἀπολωλεκέναι. (92) Ἔπειτα δὲ τὰ μὲν ἀκούσια τῶν ἁμαρτημάτων ἔχει συγγνώμην, τὰ δὲ ἑκούσια οὐκ ἔχει. Τὸ μὲν γὰρ ἀκούσιον ἁμάρτημα, ὦ ἄνδρες, τῆς τύχης ἐστί, τὸ δὲ ἑκούσιον τῆς γνώμης. Ἑκούσιον δὲ πῶς ἂν εἴη μᾶλλον ἢ εἴ τις, ὧν βουλὴν ποιοῖτο, ταῦτα παραχρῆμα ἐργάζοιτο; καὶ μὴν τὴν ἴσην γε δύναμιν ἔχει, ὅστις τε ἂν τῇ χειρὶ ἀποκτείνῃ ἀδίκως καὶ ὅστις τῇ ψήφῳ. (93) Εὖ δ' ἴστε ὅτι οὐκ ἄν ποτ' ἦλθον εἰς τὴν πόλιν, εἴ τι ξυνῄδειν ἐμαυτῷ τοιοῦτον· νῦν δὲ πιστεύων τῷ δικαίῳ, οὗ πλέονος οὐδέν ἐστιν ἄξιον ἀνδρὶ συναγωνίζεσθαι, μηδὲν αὑτῷ ξυνειδότι ἀνόσιον εἰργασμένῳ μήτ' εἰς τοὺς θεοὺς ἠσεβηκότι· ἐν γὰρ τῷ τοιούτῳ ἤδη καὶ τὸ σῶμα ἀπειρηκὸς ἡ ψυχὴ συνεξέσωσεν, ἐθέλουσα ταλαιπωρεῖν διὰ τὸ μὴ ξυνειδέναι ἑαυτῇ· τῷ δὲ ξυνειδότι τοῦτο αὐτὸ πρῶτον πολέμιόν ἐστιν· ἔτι γὰρ καὶ τοῦ σώματος ἰσχύοντος ἡ ψυχὴ προαπολείπει, ἡγουμένη τὴν τιμωρίαν οἱ ἥκειν ταύτην τῶν ἀσεβημάτων· ἐγὼ δ' ἐμαυτῷ τοιοῦτον οὐδὲν ξυνειδὼς ἥκω εἰς ὑμᾶς. (94) Τὸ δὲ τοὺς κατηγόρους διαβάλλειν οὐδέν ἐστι θαυμαστόν. Τούτων γὰρ ἔργον τοῦτο, ὑμῶν δὲ τὸ μὴ πείθεσθαι τὰ μὴ δίκαια. Τοῦτο μὲν γὰρ ἐμοὶ πειθομένοις ὑμῖν μεταμελῆσαι ἔστι, καὶ τούτου φάρμακον τὸ αὖθις κολάσαι, τοῦ δὲ τούτοις πειθομένους ἐξεργάσασθαι ἃ οὗτοι βούλονται οὐκ ἔστιν ἴασις. Οὐδὲ χρόνος πολὺς ὁ διαφέρων, ἐν ᾧ ταῦτα νομίμως πράξεθ' ἃ νῦν ὑμᾶς παρανόμως πείθουσιν οἱ κατήγοροι ψηφίσασθαι. Οὔ τοι τῶν ἐπειγομένων ἐστὶ τὰ πράγματα, ἀλλὰ τῶν εὖ βουλευομένων. Νῦν μὲν οὖν γνωρισταὶ γίνεσθε τῆς δίκης, τότε δὲ δικασταὶ τῶν μαρτύρων· νῦν μὲν δοξασταί, τότε δὲ κριταὶ τῶν ἀληθῶν. (95) Ῥᾷστον δέ τοί ἐστιν ἀνδρὸς περὶ θανάτου φεύγοντος τὰ ψευδῆ καταμαρτυρῆσαι. Ἐὰν γὰρ τὸ παραχρῆμα μόνον πείσωσιν ὥστε ἀποκτεῖναι, ἅμα τῷ σώματι καὶ ἡ τιμωρία ἀπόλωλεν. Οὔτε γὰρ οἱ φίλοι ἔτι

cando erratis, non est quo quis transferens errorem excusare possit. (90) Quomodo ergo recte et legitime hac in causa mea judicabitis? Sic nimirum, si hos jurejurando astrictos ad accusandum admittatis, copiamque mihi faciatis ipsum crimen purgandi. Quomodo autem eam mihi facietis? Si me nunc absolvatis. Nam, etiamsi hoc feceritis, non ideo tamen vestras sententias effugi: nam vos iidem tum quoque judices sedebitis; absoluto me nunc, tum tamen nihilominus de voluntate uti in potestate vestra erit; sin autem me nunc condemnaveritis, non licebit postmodum denuo de me deliberare. (91) Et si vel vere sim homicidii reus, sanctius tamen erit sontem per nefas absolvere, quam insontem per nefas condemnare: alterum enim illud nihil nisi error, alterum etiam violatio est divinorum jurium. Ac maximopere cavendum est, ne quid committatis irreparabile. In causa, ubi admissus error corrigi queat, minus peccetis iracundia abrepti vel calumniis circumventi; nam ibi locus est pœnitentiæ: in causis autem irrevocabilibus, ubi ad errorem agnitio erroris et pœnitentia accesserit, geminum id damnum est. Sæpius jam nonnullos vestrûm pœnituit condemnasse insontes, at nondum vos pœnituit absolvisse qui vos deceperant, etsi fas est decipientes condemnari. (92) Præterea errores involuntarii veniam inveniunt, voluntarii venia carent: error enim involuntarius, o judices, fortunæ, voluntarius autem consilio imputatur. Qui autem aliud quicquam voluntarii nomen mereatur, quam si quis deliberata protinus exsequatur? perinde vero est, sive manu quenquam per nefas occideris, sive lato suffragio. (93) Quodsi facinoris ego mihi conscius fuissem, profecto nunquam pedem in hanc urbem intulissem, de quo vos certos esse velim: jam vero veni huc, bonitate causæ meæ fretus; qua non major auxiliatrix est viro nullius criminis vel impietatis sibi conscii. Haud semel enim in capitali causa fractum jam corpus erexit et servavit animus ærumnas fortiter tolerans ob conscientiam innocentiæ: contra si quis conscius sibi facinoris est, hoc ante omnia eum opprimit: nam vigente adhuc corpore, animus pœnam jam venturam existimans, ante tempus deficit. Veni ergo ad vos utpote nullius sceleris mihi conscius. (94) Accusatores vero me calumniari, nihil mirum. Id illorum est, uti vestrum est fidem calumniis denegare. Quod a me persuasos vos si postmodum pœniteat, remedium habebitis pœnam paullo post mihi infligendam; sin persuasi ab illis imperata feceritis, nulla mali superest sanatio. Neque denique longe abest tempus, quo legitime in me decernere licebit ea quæ ut nunc iniquo tempore faciatis accusatores mei vobis suadent. Non est festinationis res prospere gerere, sed recte et lente deliberantium. Nunc solummodo cognitores causæ estis, tunc autem testium eritis arbitri: nunc estis opinatores verorum, tum autem decretores eorundem. (95) Num tenetis quanti momenti res sit contra hominem homicidii reum factum falsa testari? Nam si testes hujusmodi falsi judicibus persuaserint, ut protinus reum occidant, non solum corpus periit, sed una quoque ultio ipsi debita periit. Nam amici quidem ejus non jam vo-

θελήσουσιν ὑπὲρ ἀπολωλότος τιμωρεῖν· ἐὰν δὲ καὶ βουληθῶσι, τί ἔσται πλέον τῷ γε ἀποθανόντι; (96) Νῦν μὲν οὖν ἀποψηφίσασθέ μου· ἐν δὲ τῇ τοῦ φόνου δίκῃ οὗτοί τε τὸν νομιζόμενον ὅρκον διομοσάμενοι ἐμοῦ κατηγορήσουσι, καὶ ὑμεῖς περὶ ἐμοῦ κατὰ τοὺς κειμένους νόμους διαγνώσεσθε, καὶ ἐμοὶ οὐδεὶς λόγος ἔσται ἔτι, ἐάν τι
141 πάσχω, ὡς παρανόμως ἀπωλόμην. Ταῦτά τοι δέομαι ὑμῶν, οὔτε τὸ ὑμέτερον εὐσεβὲς παρεὶς οὔτε ἐμαυτὸν ἀποστερῶν τὸ δίκαιον· ἐν δὲ τῷ ὑμετέρῳ ὅρκῳ καὶ ἡ ἐμὴ σωτηρία ἔνεστι. Πειθόμενοι δὲ τούτων ὅτῳ βούλεσθε, ἀποψηφίσασθέ μου.

lent hominem vindicare jam exstinctum: et si vel velint quoque, ecquid inde commodi redibit ad injuste peremptum? (96) Quare nunc quidem me absolvite, judices; in altera autem causæ dictione, qua peculiariter in cædem inquiretur, ubi hi accusatores jusjurandum ex formula juris prius dixerint, tum me accusanto, vos autem causa in utramque partem agitata, secundum leges pronunciabitis: quo facto, mihi, si quid etiam adversi patiar, nulla tamen erit excusatio de injuria facta. Hæc ea sunt quæ vos rogo, ita vestræ memor pietatis, ut una me ipsum quoque juris mei nulla parte defraudem: in jurejurando a vobis dicto mea quoque salus una continetur. Momentorum horum quocunque denique voletis, impulsi me absolvite.

ϛ.

Ο ΠΕΡΙ ΤΟΥ ΧΟΡΕΥΤΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Πόσοι μὲν εἰσιν Ἀθήνησι χορηγοί, καὶ τίνος προβάλλονται χάριν, καὶ πόσους τρέφειν ἀναγκάζονται παῖδας, ἐκ τῶν Δημοσθένους ἀκριβῶς ἔγνωμεν λόγων. Ὁ μὲν τοίνυν ἐν τοῖς χρόνοις Ἀντιφῶντος τοῦ ῥήτορος χορηγός τις εἶναι λαχὼν τῆς αὐτοῦ φυλῆς Ἐρεχθηίδος, καὶ προσέτι Κεκροπίδος, τοὺς χορεύειν μέλλοντας ἐπὶ τῆς οἰκίας ἔτρεφε παῖδας. Τούτων εἷς εὐφωνίας χάριν ἔπιε φάρμακον, καὶ πιὼν τέθνηκεν. Ὁ οὖν πατὴρ τοῦ τεθνεῶτος παιδὸς κατηγορεῖ τοῦ χορευτοῦ ὡς αὐτοῦ πεποιηκότος τὸν φόνον. Ἀπολογεῖται δὲ ὁ χορευτὴς ἀρνούμενος τὸν φόνον. Ἡ στάσις στοχασμός· ἀδήλου τοῦ ἐγκλήματος ὄντος, σημεῖον φανερὸν ὁ κατήγορος λαμβάνει τὸ ἐν τῇ οἰκίᾳ τοῦ χορευτοῦ γυμνάζεσθαι τοὺς παῖδας· ὅπερ ἐστὶν ἀνεύθυνον μέν, πιθανὸν δ' εἰς ὑποψίαν.

Ἥδιστον μέν, ὦ ἄνδρες δικασταί, ἀνθρώπῳ ὄντι μὴ γενέσθαι μηδένα κίνδυνον περὶ τοῦ σώματος, καὶ εὐχόμενος ἄν τις ταῦτα εὔξαιτο· εἰ δ' ἄρα τις καὶ ἀναγκάζοιτο κινδυνεύειν, τοῦτο γοῦν ὑπάρχειν, ὃ μέγιστον ἐγὼ νομίζω ἐν πράγματι τοιούτῳ, αὐτὸν ἑαυτῷ συνειδέναι μηδὲν ἐξημαρτηκότι, ἀλλ' εἴ τις καὶ συμφορὰ γίγνοιτο, ἄνευ κακότητος καὶ αἰσχύνης γίγνεσθαι, καὶ τύχῃ μᾶλλον ἢ ἀδικίᾳ. (2) Καὶ τοὺς μὲν νόμους οἳ κεῖνται περὶ τῶν τοιούτων πάντες ἂν ἐπαινέσαιεν κάλλιστα νόμων κεῖσθαι καὶ ὁσιώτατα· ὑπάρχει μὲν γὰρ αὐτοῖς ἀρχαιοτάτοις εἶναι ἐν τῇ γῇ ταύτῃ, ἔπειτα τοὺς αὐτοὺς αἰεὶ περὶ τῶν αὐτῶν, ὅπερ μέγιστον σημεῖον νόμων καλῶς κειμένων· ὁ χρόνος γὰρ καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα διδάσκει τοὺς ἀνθρώπους· ὥστ' οὐ δεῖ ἐκ τῶν λόγων τοῦ κατηγοροῦντος ὑμᾶς τοὺς νόμους μαθεῖν εἰ καλῶς ἔχουσιν ἢ μή, ἀλλ' ἐκ τῶν νόμων τοὺς τούτων λόγους, εἰ ὀρθῶς ὑμᾶς καὶ νομίμως διδάσκουσιν ἢ οὔ. (3) Ὁ μὲν οὖν ἀγὼν ἐμοὶ μέγιστος τῷ κινδυνεύοντι καὶ διωκομένῳ· ἡγοῦμαι μέντοι γε καὶ ὑμῖν τοῖς δικασταῖς περὶ πολλοῦ εἶναι τὰς φονικὰς δίκας ὀρθῶς διαγινώσκειν, μάλιστα μὲν τῶν θεῶν ἕνεκα καὶ τοῦ εὐσεβοῦς, ἔπειτα δὲ καὶ ὑμῶν αὐτῶν. Ἔστι μὲν γὰρ περὶ τοῦ τοιούτου αὐτοῦ μία δίκη· αὕτη δὲ μὴ ὀρθῶς καταγνωσθεῖσα ἰσχυροτέρα ἐστὶ τοῦ δικαίου καὶ τοῦ ἀληθοῦς. (4) Ἀνάγκη

6.

SUPER CHOREUTA ORATIO.

ARGUMENTUM.

Quot apud Athenienses choregi sint, et quare creentur, et quot pueros alere teneantur, ex Demosthenis orationibus accurate didicimus. Choregus igitur Antiphontis oratoris tempore fuit, qui tribum sortitus Erechtheidem, et amplius Cecropidem, pueros saltatores domi nutriebat. Quorum unus bonæ vocis causa pharmacum bibit, quumque bibisset, vita functus est. Pater pueri mortui choregum accusavit, tanquam illi mortem attulisset. Defendit choregus mortem negans. Status causæ conjecturalis: incertum quum sit crimen, certo indicio accusator utitur eo quod pueri in domo choregi exercerentur; quod etsi crimine vacat, ad suspicionem tamen persuadendam valet.

Jucundissimum quidem est homini, judices, si nunquam in capitis discrimen conjiciatur, et vota faciens sibi quisque etiam hoc optet contingere: quodsi tamen certamen devitare nequeat, tum id est jucundissimum, si præsto sit, quod equidem in ejusmodi causa habeo palmarium, ut nullius sibi delicti sit conscius, sed si vel maxime accipiendum sit infortunium, id malitia et dedecore careat, magisque fortunæ quam improbitati referatur. (2) Leges quidem hoc de genere criminum latas nemo facile sit omnium qui non fateatur legibus aliis sapientia atque sanctitate anteire. Legum enim in hoc solo obtinentium sunt antiquissimæ; deinde mutationem nullam passæ sunt; id quod vel præcipuum est documentum legum sapienter institutarum: temporis enim diuturnitas et usus rerum vitia aperiunt institutis humanis adhærentia. Quapropter vos oportet, non legum probitatem ex accusatoris prædicatione æstimare, sed contra orationem accusatoris e legibus arbitrari, num recta legibusque consentanea vos doceat, necne. (3) Maxima quidem mea nunc agitur causa, qui reus agar: verumtamen etiam vestra non minus interesse autumo, ut causæ homicidiorum ex æquo et vero disceptentur; præcipue quidem deorum causa, quo religio ipsis debita salva servetur, tum tamen etiam vestri causa. Hæc enim causa non plus quam semel agitur; in qua dijudicanda commissus error æquo et

γάρ, ἐὰν ὑμεῖς καταψηφίσησθε, καὶ μὴ ὄντα φονέα μηδ' ἔνοχον τῷ ἔργῳ χρήσασθαι τῇ δίκῃ καὶ τῷ νόμῳ, εἴργεσθαι πόλεως ἱερῶν θυσιῶν ἀγώνων, ἅπερ μέγιστα καὶ παλαιότατα τοῖς ἀνθρώποις. Τοσαύτην γὰρ ἀνάγκην ὁ νόμος ἔχει, ὥστε καὶ ἄν τις κτείνῃ τινὰ ὧν αὐτὸς κρατεῖ καὶ μὴ ἔστιν ὁ τιμωρήσων, τὸ νομιζόμενον καὶ τὸ θεῖον δεδιὼς ἁγνεύει τε ἑαυτὸν καὶ ἀφέξεται ὧν εἴρηται ἐν τῷ νόμῳ, ἐλπίζων οὕτως ἂν ἄριστα πράξειν. (5) Ἔστι μὲν γὰρ τὰ πλείω τοῖς ἀνθρώποις τοῦ βίου ἐν ταῖς ἐλπίσιν· ἀσεβῶν δὲ καὶ παραβαίνων τὰ εἰς τοὺς θεοὺς καὶ αὐτῆς ἂν τῆς ἐλπίδος, ὅπερ ἐστὶ μέγιστον ἀνθρώποις ἀγαθόν, αὐτὸς αὐτὸν ἀποστεροίη. Καὶ οὐδεὶς ἂν τολμήσειεν οὔτε τὴν δίκην τὴν δεδικασμένην παραβαίνειν, πιστεύσας ὅτι οὐκ ἔνοχός ἐστι τῷ ἔργῳ, οὔτ' αὖ συνειδὼς αὐτὸς αὑτῷ ἔργον εἰργασμένος τοιοῦτον μὴ οὐ χρῆσθαι τῷ νόμῳ· ἀνάγκη δὲ τῆς τε δίκης νικᾶσθαι παρὰ τὸ ἀληθές, αὐτοῦ τε τοῦ ἀληθοῦς, κἂν μὴ ὁ τιμωρήσων ᾖ. (6) Αὐτῶν δὲ τούτων ἕνεκα οἵ τε νόμοι καὶ αἱ διωμοσίαι καὶ τὰ τόμια καὶ αἱ προρρήσεις, καὶ τἆλλ' ὅσα γίνεται τῶν δικῶν τοῦ φόνου ἕνεκα, πολὺ διαφέ-
142 ροντά ἐστιν ἢ ἐπὶ τοῖς ἄλλοις, ὅτι καὶ αὐτὰ τὰ πράγματα, περὶ ὧν οἱ κίνδυνοι, περὶ πλείστου ἐστὶν ὀρθῶς γιγνώσκεσθαι· ὀρθῶς μὲν γὰρ γνωσθέντα τιμωρία ἐστὶν ὑπὲρ τοῦ ἀδικηθέντος, φονέα δὲ τὸν μὴ αἴτιον ψηφισθῆναι ἁμαρτία καὶ ἀσέβεια εἴς τε τοὺς θεοὺς καὶ τοὺς νόμους. Καὶ οὐχ ἴσον ἐστὶ τόν τε διώκοντα μὴ ὀρθῶς αἰτιάσασθαι καὶ ὑμᾶς τοὺς δικαστὰς μὴ ὀρθῶς γνῶναι. Ἡ μὲν γὰρ τούτου αἰτίασις οὐκ ἔχει νῦν τέλος, ἀλλ' ἐν ὑμῖν ἐστι καὶ τῇ δίκῃ· ὅ τι δ' ἂν ὑμεῖς μὴ ὀρθῶς γνῶτε, τοῦτο οὐκ ἔστιν ὅποι ἂν ἀνενεγκών τις τὴν αἰτίαν ἀπολύσαιτο.

7. Ἐγὼ δέ, ὦ ἄνδρες, οὐ τὴν αὐτὴν γνώμην ἔχω περὶ τῆς ἀπολογίας ἥνπερ οἱ κατήγοροι περὶ τῆς κατηγορίας. Οὗτοι γὰρ τὴν μὲν δίωξιν εὐσεβείας ἕνεκά φασι ποιεῖσθαι καὶ τοῦ δικαίου, τὴν δὲ κατηγορίαν ἅπασαν πεποίηνται διαβολῆς ἕνεκα καὶ ἀπάτης· ὅπερ ἀδικώτατόν ἐστι τῶν ἐν ἀνθρώποις· καὶ οὐκ ἐλέγξαντες, εἴ τι ἀδικῶ, δικαίως με βούλονται τιμωρεῖσθαι, ἀλλὰ διαβάλλοντες, καὶ εἰ μηδὲν ἀδικῶ, ζημιῶσαι καὶ ἐξελάσαι ἐκ τῆς γῆς ταύτης. (8) Ἐγὼ δὲ ἀξιῶ πρῶτον μὲν περὶ αὐτοῦ τοῦ πράγματος κρίνεσθαι, καὶ διηγήσασθαι ἐν ὑμῖν τὰ γενόμενα πάντα· ἔπειτα περὶ τῶν ἄλλων ὧν οὗτοι κατηγοροῦσιν, ἐὰν ὑμῖν ἡδομένοις, βουλήσομαι ἀπολογήσασθαι. Ἡγοῦμαι γάρ μοι τιμὴν καὶ ὠφέλειαν αὐτὰ οἴσειν, τοῖς δὲ κατηγόροις καὶ τοῖς ἐπηρεάζουσιν αἰσχύνην· (9) ἐπεί τοί γε καὶ δεινόν, ὦ ἄνδρες· ἵνα μὲν ἐξῆν αὐτοῖς, εἴ τι ἐγὼ ἠδίκουν τὴν πόλιν ἢ ἐν χορηγίᾳ ἢ ἐν ἄλλοις τισίν, ἀποφῆναι καὶ ἐξελέγξασιν ἄνδρα τε ἐχθρὸν τιμωρήσασθαι καὶ τὴν πόλιν ὠφελῆσαι, ἐνταῦθα μὲν οὐδεὶς πώποτε οἷός τε ἐγένετο αὐτῶν οὔτε μικρὸν οὔτε μέγα ἐλέγξαι ἀδικοῦντα τόνδε τὸν ἄνδρα τὸ πλῆθος τὸ ὑμέτερον· ἐν δὲ τούτῳ τῷ ἀγῶνι, φόνου διώκοντες καὶ τοῦ νόμου οὕτως ἔχοντος, εἰς αὐτὸ τὸ πρᾶγμα κατηγορεῖν, μηχανῶνται ἐπ' ἐμὲ λόγους ψευδεῖς συντιθέντες

vero prævalet. (4) Quem enim vos condemnaveritis, tametsi non sit homicida et manus ei sint a cruore intactæ, tamen sententia vestra acquiescere debet, et ex lege abstinebit se necessario a solo patrio, a fanis et sacrificiis, a ludis, quæ omnia hominibus solent esse carissima atque antiquissima. Tanta legis est necessitas, ut tametsi tu mancipem tuum occideris, cui nullus ultor sit, tu tamen ritus vetusti et divini numinis verecundia te expiandum cures, abstineasque quibus tibi lex interdicit. (5) Felicitatis humanæ pars potissima in spe suspensa est : sed hanc ipsam spem, summum vitæ humanæ bonum, ipse sibi amputat is, qui religiones deorum temerat. Neque est unus omnium, qui, eo quod sibi sceleris hujus commissi non sit conscius, repugnare audeat sententiæ judicum de se latæ, qua homicidii condemnatus sit; sed necesse est illi servire sententiæ, quamvis vero repugnet : et ipsum verum necesse est ut obmutescat, præsertim si desit qui jus vindicet. (6) Qua de causa et legum capitalium diligentissimæ cautiones et sacramenta utrimque dicenda et extorum prosectiones et denuntiationes de locis vetitis et reliqua multum differunt ab iis, quæ in aliis actionibus fieri solent; res nempe ipsas, de quibus hic agitur, recto judicio disceptari, quam plurimum refert : id enim si fiat, ultione satisfit manibus per nefas perempti; sin autem iniqua sententia homo insons percellatur, non is error modo est, sed etiam numinis divini legumque humanarum violatio. Neque perinde est accusatorem perperam accusare, atque vos judices perperam judicare. Accusatio enim illius in se vim exitus nullam habet, at in vestra sententia illa inest efficacia : quicquid vos secius decreveritis, id quo referatis, nil habetis, quo culpam purgetis.

7. Ego vero, viri, de defensione non idem sentio, quod accusatores de accusatione sentiunt. Nam hi quum se accusare aiant pietatis et æquitatis ergo, totam tamen accusationem eo compararunt, quo me calumniis exosum vobis reddant, et vos circumveniant; quæ fraus est fraudum omnium, quas humana mens comminiscatur, teterrima. Non hoc agunt, ut planum faciant me scelus admisisse, eoque facto, ut pœnas dem meritas; sed istud, ut, tametsi insons, ipsorum obrutus calumnns, mulcter et in exilium agar. (8) Ego vero ante omnia rem gestam ex ordine exponam, et criminis ipsius, cujus insimulor, rationem reddam : deinde, si vos audire juverit, etiam reliquas horum criminationes diluam. Unde censeo mihi decus atque salutem, inimicis et calumniatoribus ignominiam fore. (9) Et profecto infanda mihi ab his oblata est injuria. Nam quibus licebat, si quid aut edendo munere aut alio quopiam modo in rempublicam deliquissem, id indicare atque coarguere, quod facientes una hominem sibi infestum essent ulti et de republica bene meriti; hi cernentes sibi negatum, ut ullam a me factam reipublicæ injuriam sive magnam sive parvam demonstrarent, jam actione homicidii me incessunt, et quum lex edicat, ut accusator nihil nisi ipsum cædis crimen arguat, hi accusationi suæ commentitias immiscent prætensiones quibus

καὶ διαβάλλοντες τὰ εἰς τὴν πόλιν. Καὶ τῇ μὲν πόλει, εἰ μὲν ἀδικεῖται, κατηγορίαν ἀντὶ τιμωρίας ἀπονέμουσιν, αὐτοὶ δὲ ᾧ τὴν πόλιν φασὶν ἀδικεῖσθαι, τούτου ἰδίᾳ ἀξιοῦσι δίκην λαμβάνειν. (10) Καίτοι αὗται αἱ κατηγορίαι οὔτε χάριτος ἄξιαι οὔτε πίστεως· οὔτε γὰρ δὴ οὗ ἡ πόλις ἐλάμβανεν ἂν δίκην εἴ τι ἠδίκητο, ἐνταῦθα τὴν κατηγορίαν ποιεῖται, ὥστε χάριτος ἄξιον εἶναι τῇ πόλει· οὔτε ὅστις οὖν ἄλλα κατηγορεῖ ἢ ἃ διώκει ἐν πράγματι τοιούτῳ, πιστεῦσαι δήπου αὐτῷ ἀξιώτερόν ἐστιν ἢ ἀπιστῆσαι. Ἐγὼ δὲ σχεδὸν ἐπίσταμαι τὴν ὑμετέραν γνώμην, ὅτι οὔτ' ἂν καταψηφίσαισθε οὔτ' ἂν ἀποψηφίσαισθε ἑτέρου τινὸς ἕνεκα μᾶλλον ἢ αὐτοῦ τοῦ πράγματος· ταῦτα γὰρ καὶ δίκαια καὶ ὅσια. Ἄρξομαι δὲ ἐντεῦθεν.

11. Ἐπειδὴ χορηγὸς κατεστάθην εἰς Θαργήλια καὶ ἔλαχον Πανταχλέα διδάσκαλον καὶ Κεκροπίδα φυλὴν πρὸς τῇ ἐμαυτοῦ, τουτέστι τῇ Ἐρεχθηΐδι, ἐχορήγουν ὡς ἄριστα ἐδυνάμην καὶ δικαιότατα. Καὶ πρῶτον μὲν διδασκαλεῖον ᾗ ἦν ἐπιτηδειότατον τῆς ἐμῆς οἰκίας κατεσκεύασα, ἐν ᾧπερ καὶ Διονυσίοις ὅτε ἐχορήγουν ἐδίδασκον· ἔπειτα τὸν χορὸν συνέλεξα ὡς ἐδυνάμην ἄριστα, οὔτε ζημιώσας οὐδένα οὔτε ἐνέχυρα βίᾳ φέρων οὔτ' ἀπεχθανόμενος οὐδενί, ἀλλ' ὥσπερ ἂν ἥδιστα καὶ ἐπιτηδειότατα ἀμφοτέροις ἐγίγνετο, ἐγὼ μὲν ἐκέλευον καὶ ᾐτούμην, οἱ δ' ἑκόντες καὶ βουλόμενοι ἔπεμπον. (12) Ἐπεὶ δὲ ἦκον οἱ παῖδες, πρῶτον μέν μοι ἀσχολία ἦν παρεῖναι καὶ ἐπιμελεῖσθαι· ἐτύγχανε γάρ μοι πράγματα ὄντα πρὸς Ἀριστίωνα καὶ Φιλῖνον, ἃ ἐγὼ περὶ πολλοῦ ἐποιούμην, ἐπειδή περ εἰσήγγειλα, ὀρθῶς καὶ δικαίως ἀποδεῖξαι τῇ βουλῇ καὶ τοῖς ἄλλοις Ἀθηναίοις. Ἐγὼ μὲν οὖν τούτοις προσεῖχον τὸν νοῦν, κατέστησα δὲ ἐπιμελεῖσθαι, εἴ τι δέοι τῷ χορῷ, Φανόστρατον, δημότην μὲν τουτωνὶ τῶν διωκόντων, κηδεστὴν δ' ἐμαυτοῦ, ᾧ ἐγὼ δέδωκα τὴν θυγατέρα, καὶ ἠξίουν αὐτὸν ἄριστα ἐπιμελεῖσθαι· (13) ἔτι δὲ πρὸς τούτῳ δύο ἄνδρας, τὸν μὲν Ἐρεχθηΐδος Ἀμυνίαν, ὃν αὐτοὶ οἱ φυλέται ἐψηφίσαντο
143 συλλέγειν καὶ ἐπιμελεῖσθαι τῆς φυλῆς ἑκάστοτε, δοκοῦντα χρηστὸν εἶναι, τὸν δ' ἕτερον τῆς Κεκροπίδος, ὅσπερ ἑκάστοτε εἰώθει ταύτην τὴν φυλὴν συλλέγειν· ἔτι δὲ τέταρτον Φίλιππον, ᾧ προσετέτακτο ὠνεῖσθαι καὶ ἀναλίσκειν εἴ τι φράζοι ὁ διδάσκαλος ἢ ἄλλος τις τούτων, ὅπως ἄριστα χορηγοῖντο οἱ παῖδες καὶ μηδενὸς ἐνδεεῖς εἶεν διὰ τὴν ἐμὴν ἀσχολίαν. Καθειστήκει μὲν ἡ χορηγία οὕτω. (14) Καὶ τούτων εἴ τι ψεύδομαι προφάσεως ἕνεκα, ἔξεστι τῷ κατηγόρῳ ἐξελέγξαι ἐν τῷ ὑστέρῳ λόγῳ ὅ τι ἂν βούληται εἰπεῖν· ἐπεί τοι οὕτως ἔχει, ὦ ἄνδρες· πολλοὶ τῶν περιεστώτων τούτων τὰ μὲν πράγματα ταῦτα πάντα ἀκριβῶς ἐπίστανται, καὶ τοῦ ὁρκωτοῦ ἀκούουσι, καὶ ἐμοὶ προσέχουσι τὸν νοῦν ἅττα ἐγὼ ἀποκρίνομαι, οἷς ἐγὼ ἐβουλόμην ἂν δοκεῖν αὐτός τε εὔορκος εἶναι καὶ ὑμᾶς τἀληθῆ λέγων πεῖσαι ἀποψηφίσασθαί μου. (15) Πρῶτον μὲν οὖν ἀποδείξω ὑμῖν ὅτι οὔτ' ἐκέλευσα τὸν παῖδα πιεῖν τὸ φάρμακον οὔτ' ἠνάγκασα οὔτ' ἔδωκα οὔτε παρῆν ὅτ' ἔπιεν. Καὶ οὐ τούτου

meas in republica administranda partes infamatum eunt. Quo reipublicæ quidem, querendi locum relinquentes, ultionis copiam eripiunt, ipsi autem injuriarum, quas reip. oblatas aiunt, pœnas repetentes ditescunt. (10) Atqui neque fide neque gratiarum actione dignæ sunt ejusmodi accusationes. Nam, ubi fructus ex ultione injuriarum reip. oblatarum ad ipsam remp. esset perventurus, ibi tacent; quo loco si loquerentur, reip. gratiam utique mererentur; deinde vero si quis in res a professione suæ accusationis alienissimas evagatur, dignior is est cui fides denegetur, quam cui habeatur. Ego vero si animos vestros satis novi, videmini mihi, sive condemnetis sive absolvatis, nihil aliud spectaturi quam naturam ipsius causæ: hoc enim justum sanctumque. Hinc exordiar.

11. Constitutus choregus instantibus Thargeliis, præter meam tribum, quæ est Erechtheis, etiam Cecropidem una cum magistro Pantacle sortito accipiebam; fungebar munere quam poteram optime atque religiosissime. Et primum quidem exercitationibus consecrabam domus meæ partem rei accommodatissimam, in qua jam antea choregi munere in Dionysiis fungens chorum docendum curaveram. Deinde chorum colligebam quanta poteram maxima civilitate, neminem mulctans, a nemine pignora per vim auferens, cum nemine simultates suscipiens, sed ita agebantur omnia, prout utrique parti et acceptissimum et factu esset expeditissimum; citanti mihi atque præscribenti parentes liberos mittebant, volentes atque lubentes. (12) Sed interesse disciplinæ puerorum per negotia mihi non licebat, intento actioni adversus Aristionem atque Philinum occeptæ: quos quoniam publice receperam peculatus reos faciendos, permagni mea referebat eorum furta senatui totique populo Atheniensium a me qua par est veritate atque æquitate demonstrari. Huic itaque negotio animum habens intentum, mandabam Phanostrato, ut choro suppeditaret, si quid ei opus esset; municipalis accusatorum est Phanostratus, idemque meus gener; huic mandabam, ut choro quam posset diligentissime prospiceret: (13) addebam ei adhuc duos alios, alterum Amyniam de tribu Erechtheide, cui utpote viro integro tribules partes identidem demandarant choros colligendi instruendique; alterum de tribu Cecropide, qui, quoties usu veniret, item colligere chorum istius tribus soleret: quartum denique Philippum, cum mandato, quæcumque imperaturus esset magister aut alius quispiam modo nominatorum, emendi et sumptus tantisper erogandi, quo pueri quam optime docerentur, neque, me aliis rebus occupato, ulla re necessaria fraudarentur. Defunctus ad hunc modum choregatu fui. (14) Atque si quid in his mentitus sum, mei excusandi ergo, licebit accusatori in posteriore accusatione id coarguere et quicquid volet contra disputare; nam res utique ita habet, ut exposui; multi circumstantium totam rem ut gesta est penitus callent, et audiunt me jurejurando astrictum, seduloque ad singulas meas responsiones attendunt, quibus ipse et religiosus esse videri velim et vera rei expositione vobis persuadere ut me absolvatis. (15) Planum itaque vobis ante omnia faciam, me neque imperasse puero ut potionem biberet, neque eum ad bibendum adegisse neque præbuisse, neque interfuisse quum biberet.

ἕνεκα ταῦτα σφόδρα λέγω, ὡς ἐμαυτὸν ἔξω αἰτίας καταστήσω, ἕτερον δέ τινα εἰς αἰτίαν ἀγάγω· οὐ δῆτα ἔγωγε, πλήν γε τῆς τύχης, ἥπερ οἶμαι καὶ ἄλλοις πολλοῖς ἀνθρώπων αἰτία ἐστὶν ἀποθανεῖν· ἣν οὔτ' ἂν ἐγὼ οὔτ' ἄλλος οὐδεὶς οἷόστ' ἂν εἴη ἀποστρέψαι μὴ οὐ γενέσθαι ἥντινα δεῖ ἑκάστῳ.

ΜΑΡΤΥΡΕΣ.

16. Μεμαρτύρηται μὲν οὖν, ὦ ἄνδρες, περὶ τοῦ πράγματος ἃ ἐγὼ ὑμῖν ὑπεσχόμην· ἐξ αὐτῶν δὲ τούτων χρὴ σκοπεῖν ἅ τε οὗτοι διωμόσαντο καὶ ἃ ἐγώ, πότεροι ἀληθέστερα καὶ εὐορκότερα. Διωμόσαντο δὲ οὗτοι μὲν ἀποκτεῖναί με Διόδοτον βουλεύσαντα τὸν θάνατον, ἐγὼ δὲ μὴ ἀποκτεῖναι, μήτε χειρὶ ἀράμενος μήτε βουλεύσας. (17) Αἰτιῶνται δὲ οὗτοι μὲν ἐκ τούτων ὡς οὗτος κελεύσειε πιεῖν τὸν παῖδα τὸ φάρμακον ἢ ἠνάγκασεν ἢ ἔδωκεν· ἐγὼ δὲ ἐξ αὐτῶν τούτων ὧν αἰτιῶνται οὗτοι ἀποφανῶ ὅτι οὐκ ἔνοχός εἰμι· οὔτε γὰρ ἐκέλευσα οὔτ' ἠνάγκασα οὔτ' ἔδωκα· καὶ ἔτι προστίθημι αὐτοῖς ὅτι οὐ παρεγενόμην πίνοντι. Καὶ εἴ φασιν ἀδικεῖν εἴ τις ἐκέλευσεν, ἐγὼ οὐκ ἀδικῶ· οὐ γὰρ ἐκέλευσα. Καὶ εἴ φασιν ἀδικεῖν εἴ τις ἠνάγκασεν, ἐγὼ οὐκ ἀδικῶ· οὐ γὰρ ἠνάγκασα. Καὶ εἰ τὸν δόντα τὸ φάρμακόν φασιν αἴτιον εἶναι, ἐγὼ οὐκ αἴτιος· οὐ γὰρ ἔδωκα. (18) Αἰτιάσασθαι μὲν οὖν καὶ καταψεύσασθαι ἔξεστι τῷ βουλομένῳ· αὐτὸς γὰρ ἕκαστος τούτου κρατεῖ· γενέσθαι μέντοι τὰ μὴ γενόμενα καὶ ἀδικεῖν τὸν μὴ ἀδικοῦντα οὐκ ἐν τοῖς τούτων λόγοις ἡγοῦμαι εἶναι, ἀλλ' ἐν τῷ δικαίῳ καὶ ἐν τῷ ἀληθεῖ. Ὁπόσα μὲν γὰρ λάθρα πράττεται καὶ ἐπὶ θανάτῳ βουλευθέντα, ὧν μή εἰσι μάρτυρες, ἀνάγκη περὶ τῶν τοιούτων ἐξ αὐτῶν τῶν λόγων τῶν τε τοῦ κατηγόρου καὶ τοῦ ἀποκρινομένου τὴν διάγνωσιν ποιεῖσθαι καὶ θηρεύειν καὶ ἐπὶ σμικρὸν ὑπονοεῖν τὰ λεγόμενα, καὶ εἰκάζοντας μᾶλλον ἢ σάφα εἰδότας ψηφίζεσθαι περὶ τῶν πραγμάτων· (19) ὅπου δὲ πρῶτον μὲν αὐτοὶ οἱ κατήγοροι ὁμολογοῦσι μὴ ἐκ προνοίας μηδ' ἐκ παρασκευῆς γενέσθαι τὸν θάνατον τῷ παιδί, ἔπειτα τὰ πραχθέντα φανερῶς ἅπαντα πραχθῆναι καὶ ἐναντίον μαρτύρων πολλῶν, καὶ ἀνδρῶν καὶ παίδων, καὶ ἐλευθέρων καὶ δούλων, ἐξ ὧνπερ καὶ εἴ τίς τι ἠδίκηκε, φανερώτατος ἂν εἴη, καὶ εἴ τις μὴ ἀδικοῦντα αἰτιῷτο, μάλιστ' ἂν ἐξελέγχοιτο.

20. Ἄξιον δ' ἐνθυμηθῆναι, ὦ ἄνδρες, ἀμφότερα καὶ τῆς γνώμης τῶν ἀντιδίκων καὶ οἵῳ τρόπῳ ἔρχονται ἐπὶ τὰ πράγματα. Ἐξ ἀρχῆς γὰρ οὐδὲν ὁμοίως οὗτοί τε πρὸς ἐμὲ πράττουσι καὶ ἐγὼ πρὸς τούτους. (21) Ἔλεξε μὲν γὰρ Φιλοκράτης οὑτοσί, ἀναβὰς εἰς τὴν ἡλιαικὴν τὴν τῶν θεσμοθετῶν, τῇ ἡμέρᾳ ᾗ ὁ παῖς ἐξεφέρετο, ὅτι ἀδελφὸν αὐτοῦ ἀποκτείναιμι ἐγὼ ἐν τῷ χορῷ, φάρμακον ἀναγκάσας πιεῖν. Ἐπειδὴ δὲ οὗτος ταῦτ' ἔλεγεν, ἀναβὰς ἐγὼ εἰς τὸ δικαστήριον τοῖς αὐτοῖς δικασταῖς ἔλεξα ὅτι τὸν μὲν νόμον οὐ δικαιοῦν προκαλεῖσθαι εἰ Φιλοκράτης κατηγορῶν καὶ διαβάλλων [εἰσίοι] εἰς τὸ δικαστήριον, μελλόντων ἔσεσθαί μοι ἀγώνων πρὸς Ἀριστίωνα καὶ Φιλῖνον αὔριον καὶ τῇ

Quod eo non dico, quo culpam a me in alium transferam: non profecto: neminem incuso præter fortem fortunam, quæ aliis quoque multis hominibus necem consciscit, quam fataliter cuique decretam neque ego neque alius quisquam avertere possum.

TESTES.

16. Confirmata ore testium audistis ea, quæ vobis hac de re confirmanda receperam. Ex his vos colligere oportet, utri veriora et cum religione sacramenti convenientiora præ se ferant, egone an illi. Jurati enim hi asseverarunt Diodotum a præmeditato me necatum esse; ego me non necasse eum neque manu sublata neque fraudem præmeditatum. (17) Jam contendunt accusatores hunc (*Phanostratum*) puero imperasse aut eum coegisse ut potionem biberet, aut poculum ei obtulisse; ego vero ex illis ipsis efficio, me nulla culpa teneri. Neque enim imperavi, neque coegi, neque præbui: addam, me plane abfuisse tum quum puer biberet. Quodsi ergo aient scelus penes eum esse qui imperaverit, ego crimine vaco: nam non imperavi. Aut si aient scelus penes eum esse qui coegerit, ego crimine vaco: nam non coegi. Aut si aient reum esse eum qui poculum præbuerit, rursus crimine vaco: nam non præbui. (18) Facile quidem unicuique est incusare et mendaciis alium obruere: habet enim id quisque in potestate sua: verum efficere ut, quæ facta non sint, tamen facta sint, et ut insons reddatur sons, id, ni fallor, non est in horum prætensionibus, sed natura harum rerum sequitur justum et verum. Si qua res in occulto gesta est, si qua nex clam comparata, procul testibus, ibi necesse est judices accusatoremque reumque diligenter percontari, et ex amborum prædicationibus, subtili conjectura verum venari, minutissima quæque vestigia suspicionum persequi, et sic pronunciare, magis secundum probabilem conjecturam, quam ex certa scientia: (19) alia autem res est, quando ipsi accusatores confitentur, necem puero obtigisse, non ex præmeditata machinatione; deinde, ubi constat, quæcumque acta sunt, ea omnia palam acta esse, in oculis multorum testium, tam virorum quam puerorum, tam ingenuorum quam servorum, e quorum indicio, si quis sceleris quicquam commisisset, id liquidissime coargui, et rursus, si quis insontem accusatum isset, is facillime refutari posset.

20. Præterea consilium quoque adversariorum vobis spectandum est, judices, et qua mente actionem hanc exorsi sint. Mores enim nostri mutui a principio inde prorsus inter se dissenserunt. (21) Philocrates enim hic quum in Heliæam Thesmothetarum ascendisset, eo die quo puer elatus est, affirmavit fratrem suum a me interemptum esse, eo quod ipsum in choro coegissem pharmacum bibere. Quibus dictis, ego in dicasterium ingressus, coram iisdem judicibus negavi Philocratem ex æquo et recto facere falsis criminibus me in judicium vocare studentem, eo ipso tempore, quo agendæ mihi causæ essent adversus Aristionem cras et adversus Philinum perendie; horum nempe in gratiam accusationem hanc Philocratem suscepisse:

144 ἴνῃ, ὧνπερ ἕνεκα τοὺς λόγους τούτους λέγει· (22) ἃ μέντοι αἰτιῷτο καὶ διαβάλλοι, ῥᾳδίως ἐξελεγχθήσοιτο ψευδόμενος. Εἰσὶ γὰρ οἱ συνειδότες πολλοί, καὶ ἐλεύθεροι καὶ δοῦλοι, καὶ νεώτεροι καὶ πρεσβύτεροι, σύμπαντες πλείους ἢ πεντήκοντα, οἳ τούς τε λόγους τοὺς λεχθέντας περὶ τῆς πόσεως τοῦ φαρμάκου καὶ τὰ πραχθέντα καὶ τὰ λεγόμενα πάντα ἠπίσταντο. (23) Καὶ εἰπόν τε ταῦτα ἐν τῷ δικαστηρίῳ, καὶ προὐκαλούμην αὐτὸν εὐθὺς τότε, καὶ αὖθις τῇ ὑστεραίᾳ ἐν τοῖς αὐτοῖς δικασταῖς, καὶ ἰέναι ἐκέλευον λαβόντα μάρτυρας ὁπόσους βούλοιτο ἐπὶ τοὺς παραγενομένους, λέγων αὐτῷ ὀνόματι ἕκαστον, τούτους ἐρωτᾶν καὶ ἐλέγχειν, τοὺς μὲν ἐλευθέρους ὡς χρὴ τοὺς ἐλευθέρους, οἳ σφῶν ἕνεκα καὶ τοῦ δικαίου ἔφραζον ἂν τἀληθῆ καὶ τὰ γενόμενα, τοὺς δὲ δούλους, εἰ μὲν αὐτῷ ἐρωτῶντι τἀληθῆ δοκοῖεν λέγειν, εἰ δὲ μή, ἕτοιμος εἴην διδόναι βασανίζειν τούς τε ἐμαυτοῦ πάντας, καὶ εἴ τινας τῶν ἀλλοτρίων, κελεύοι, ὡμολόγουν πείσας τὸν δεσπότην παραδώσειν αὐτῷ βασανίζειν τρόπῳ ὁποίῳ βούλοιτο. (24) Καὶ ταῦτα ἐμοῦ προκαλουμένου καὶ λέγοντος ἐν τῷ δικαστηρίῳ, οὗ καὶ αὐτοὶ οἱ δικασταὶ καὶ ἕτεροι ἰδιῶται πολλοὶ μάρτυρες παρῆσαν, οὔτε τότε παραχρῆμα οὔτε ὕστερον ἐν παντὶ τῷ χρόνῳ οὐδεπώποτε ἠθέλησαν ἐλθεῖν ἐπὶ τοῦτο τὸ δίκαιον, εὖ εἰδότες ὅτι οὐκ ἂν τούτοις κατ' ἐμοῦ ἔλεγχος ἐγίνετο οὗτος, ἀλλ' ἐμοὶ κατὰ τούτων ὅτι οὐδὲν δίκαιον οὐδ' ἀληθὲς ᾐτιῶντο. (25) Ἐπίστασθε δέ, ὦ ἄνδρες, ὅτι αἱ ἀνάγκαι αὗται ἰσχυρόταται καὶ μέγισταί εἰσι τῶν ἐν ἀνθρώποις, καὶ ἔλεγχοι ἐκ τούτων σαφέστατοι καὶ πιστότατοι περὶ τοῦ δικαίου, ὅπου εἶεν ἐλεύθεροι μὲν πολλοὶ οἱ συνειδότες, εἶεν δὲ δοῦλοι, καὶ ἐξείη μὲν τοὺς ἐλευθέρους ὅρκοις καὶ πίστεσιν ἀναγκάζειν, ἃ τοῖς ἐλευθέροις μέγιστα καὶ περὶ πλείστου ἐστίν, ἐξείη δὲ τοὺς δούλους ἑτέραις ἀνάγκαις, ὑφ' ὧν καὶ ἢν μέλλωσιν ἀποθανεῖσθαι κατειπόντες, ὅμως ἀναγκάζονται τἀληθῆ λέγειν· ἡ γὰρ παροῦσα ἀνάγκη ἑκάστῳ ἰσχυροτέρα ἐστὶ τῆς μελλούσης ἔσεσθαι. (26) Εἰς πᾶν τοίνυν ἐγὼ προὐκαλεσάμην τούτους, καὶ ἐξ ὧν γε χρὴ ἄνθρωπον ὄντα τἀληθῆ καὶ τὰ δίκαια πυνθάνεσθαι, ἐξῆν αὐτοῖς πυνθάνεσθαι, καὶ πρόφασις οὐδεμία ὑπελείπετο. Καὶ ἐγὼ μὲν ὁ τὴν αἰτίαν ἔχων καὶ ἀδικῶν, ὡς οὗτοί φασιν, ἕτοιμος ἦν αὐτοῖς κατ' ἐμαυτοῦ παρέχειν ἔλεγχον τὸν δικαιότατον· οἱ δ' αἰτιώμενοι καὶ φάσκοντες ἀδικεῖσθαι αὐτοὶ ἦσαν οἱ οὐκ ἐθέλοντες ἐλέγχειν εἴ τι ἠδικοῦντο. (27) Καὶ εἰ μὲν ἐγὼ τούτων προκαλουμένων μὴ ἠθέλησα τοὺς παραγενομένους ἀποφῆναι, ἢ θεράποντας ἐξαιτοῦσι μὴ ἤθελον ἐκδιδόναι, ἢ ἄλλην τινὰ πρόκλησιν ἔφευγον, αὐτὰ ἂν ταῦτα μέγιστα τεκμήρια κατ' ἐμοῦ ἐποιοῦντο ὅτι ἀληθὴς ἦν ἡ αἰτία· ἐπεὶ δ' ἐμοῦ προκαλουμένου οὗτοι ἦσαν οἱ φεύγοντες τὸν ἔλεγχον, ἐμοὶ δήπου δίκαιον κατὰ τούτων τὸ αὐτὸ τοῦτο τεκμήριον γενέσθαι ὅτι οὐκ ἀληθὴς ἦν ἡ αἰτία ἣν αἰτιῶνται κατ' ἐμοῦ. (28) Ἐπίσταμαι δὲ καὶ τάδε, ὦ ἄνδρες, ὅτι εἰ μὲν τούτοις ἐμοῦ κατεμαρτύρουν οἱ μάρτυρες οἱ παραγενόμενοι, αὐτοῖς ἂν

(22) nam criminationes et mendacia ejus facillimo negotio coargui posse. Conscios enim rei gestæ plus quam quinquaginta esse homines, ingenuosque cum servis, senesque cum junioribus, quos nihil omnium neque dictorum neque factorum in illo luctuoso negotio fugeret. (23) Hæc ego in judicio dixi, et tum statim, et proximo die post, coram iisdem judicibus, hortatus sum, ut assumptis testibus, quotcumque numero vellet, mecum iret ad eos quos ego aiebam actui interfuisse; nomina enim eorum ipsi sigillatim edebam; atque ut eos interrogaret et percontaretur, ut cujusque ferret conditio, et liberos ut decet ingenuos, quorum quisque et suimet ipsius et justi causa vera dicturi essent; et servos, si vera edere viderentur, sin minus, velle me dicebam ad quæstionem ei tradere meos servos omnes, et si quos aliorum juberet, profitebar me dominis persuasis præstiturum, ut hos quoque ad quæstionem quo vellet modo instituendam acciperet. (24) Hæc dictitante et offerente me coram judicibus, non modo illis, sed etiam permultis aliis privatis tum circumstantibus, tamen neque tum statim, neque toto illo tempore quod ab illa die ad hanc effluxit, ad hanc æquissimam sponsionem descendere voluerunt, bene scilicet gnari, rationem hanc veri explorandi, non sibi, sed mihi secundam esse, ex eaque constiturum nihil justi criminationibus ipsorum inesse. (25) Nostis ipsi vos, judices, necessitatum, quibus adigi homines possint, hoc genus esse omnium acerrimum atque efficacissimum, et ex hoc repetitas demonstrationes evidentissimas esse atque certissimas, ubi nempe multitudo sit testium, ingenuorum una atque servilium corporum, quorum ingenuos vincire liceat religionibus jurisjurandi et asseverationum gravitate; quæ res ingenuis summi plurimique fiunt; a servis autem veri confessionem extorquere modis liceat aliis, quibus vera coguntur edicere etiam si ob hæc ipsa postea supplicio afficiendi sint. Cruciatus enim quemque in præsentia urens tantum valet, ut discrimen postfuturum obliviscatur. (26) Itaque ad omnia eos invitavi et nullum non genus inquisitionis bis obtuli, unde datum est hominibus verum et æquum indagare : nulla relinquebatur excusatio. Ego criminatione impetitus, qui dedisse dicerer injuriam, paratus eram ipsis copiam dare æquissimæ inquisitionis adversus memet ipsum : hi autem, tametsi me criminarentur et a me quererentur injuriam accepisse, nolebant tamen iis uti per quæ criminationes suas approbarent. (27) Quodsi ego, sponsionem illis deferentibus, recusassem aut nomina servorum edere qui actui interfuerunt, aut servos ipsos illis tradere deposcentibus, aut aliam quampiam postulationem defugissem, næ illi hæc interpretaturi essent pro luculentissimo argumento, suam causam bonam esse : jam vero quam ego ipsis detuli ultro inquisitionem, hi eam defugerunt : ergo par est, me argumentum invertere, ex eoque conficere, falsi me criminis ab ipsis insimulari. (28) Porro, judices, testes hi, qui nunc pro me testantur, si contra me testati essent, certissimus sum, tum fuisse futurum

τούτοις ἰσχυροτάτοις ἐχρῶντο καὶ πίστιν ταύτην σαφεστάτην ἀπέφαινον, τοὺς μάρτυρας τοὺς καταμαρτυροῦντας· τῶν αὐτῶν δὲ τούτων μαρτυρούντων, ἃ μὲν ἐγὼ λέγω, ἀληθῆ εἶναι, ἃ δὲ οὗτοι λέγουσιν, οὐκ ἀληθῆ, τοῖς μὲν μάρτυσι τοῖς μαρτυροῦσιν ἀπιστεῖν ὑμᾶς διδάσκουσι, τοῖς δὲ λόγοις οἷς αὐτοὶ λέγουσι πιστεύειν ὑμᾶς φασι χρῆναι, οὓς ἐγὼ εἰ ἔλεγον ἄνευ μαρτύρων, ψευδεῖς ἂν κατηγόρουν εἶναι. (29) Καίτοι δεινὸν εἰ οἱ αὐτοὶ μὲν μάρτυρες τούτοις ἂν μαρτυροῦντες πιστοὶ ἦσαν, ἐμοὶ δὲ μαρτυροῦντες ἄπιστοι ἔσονται. Καὶ εἰ μὲν πάνυ μὴ παρεγένοντο μάρτυρες, ἐγὼ δὲ παρειχόμην, ἢ τοὺς παραγενομένους μὴ παρειχόμην, ἑτέρους δέ τινας, εἰκότως ἂν οἱ τούτων λόγοι πιστότεροι ἦσαν τῶν ἐμῶν μαρτύρων· ὅπου δὲ μάρτυράς τε ὁμολογοῦσι παραγενέσθαι, καὶ ἐγὼ τοὺς παραγενομένους παρέχομαι, καὶ εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας καὶ αὐτὸς ἐγὼ καὶ οἱ μάρτυρες πάντες φανεροί ἐσμεν λέγοντες ἅπερ νυνὶ πρὸς ὑμᾶς, πόθεν χρή, ὦ ἄνδρες, ἢ τἀληθῆ πιστὰ ἢ τὰ μὴ ἀληθῆ ἄπιστα ποιεῖν ἄλλοθεν ἢ ἐκ τῶν τοιούτων; (30) Ὅπου μὲν γὰρ λόγῳ τις διδάσκοι περὶ τῶν πραχθέντων, μάρτυρας δὲ μὴ παρέχοιτο, μαρτύρων ἄν τις τοὺς λόγους τούτους ἐνδεεῖς φαίη εἶναι· ὅπου δὲ μάρτυρας μὲν παρέχοιτο, τεκμήρια δὲ αὖ τοῖς μαρτυροῦσιν ὅμοια μὴ ἀποφαίνοιτο, ταὐτὰ ἄν τις ἔχοι εἰπεῖν, εἰ βούλοιτο. (31) Ἐγὼ τοίνυν τούς τε λόγους ὑμῖν εἰκότας ἀποφαίνω, καὶ τοῖς λόγοις τοὺς μάρτυρας ὁμολογοῦντας καὶ τοῖς μάρτυσι τὰ ἔργα, καὶ τεκμήρια ἐξ αὐτῶν τῶν ἔργων, καὶ ἔτι πρὸς τούτοις δύο τὼ μεγίστω καὶ ἰσχυροτάτω, τούτους μὲν αὐτούς τε ὑπὸ σφῶν αὐτῶν ἐξελεγχομένους καὶ ὑπ' ἐμοῦ, ἐμὲ δὲ ὑπό τε τούτων καὶ ὑπὸ ἐμαυτοῦ ἀπολυόμενον· (32) ὅπου γὰρ ἐθέλοντος ἐλέγχεσθαι ἐμοῦ περὶ ὧν ᾐτιῶντο οὗτοι μὴ ἤθελον ἐλέγχειν, ἠδίκουν, καὶ ἐμὲ μὲν δήπου ἀπέλυον, αὐτοὶ δὲ κατὰ σφῶν αὐτῶν μάρτυρες ἐγένοντο ὅτι οὐδὲν δίκαιον οὐδ' ἀληθὲς ᾐτιῶντο. Καίτοι εἰ πρὸς τοῖς ἐμαυτοῦ μάρτυσι τοὺς ἀντιδίκους αὐτοὺς μάρτυρας παρέχομαι, ποῖ ἔτι ἐλθόντα δεῖ ἢ πόθεν ἀποδείξαντα τῆς αἰτίας ἀπολελύσθαι;

33. Ἡγοῦμαι μὲν οὖν καὶ ἐκ τῶν εἰρημένων καὶ ἀποδεδειγμένων, ὦ ἄνδρες, δικαίως ἄν μου ἀποψηφίσασθαι ὑμᾶς, καὶ ἐπίστασθαι ἅπαντας ὅτι οὐδέν μοι προσήκει τῆς αἰτίας ταύτης. Ἵνα δ' ἔτι καὶ ἄμεινον μάθητε, τούτου ἕνεκα πλείω λέξω, καὶ ἀποδείξω ὑμῖν τοὺς κατηγόρους τούτους ἐπιορκοτάτους ὄντας καὶ ἀσεβεστάτους ἀνθρώπων, καὶ ἀξίους οὐ μόνον ὑπ' ἐμοῦ μισεῖσθαι, ἀλλὰ καὶ ὑφ' ὑμῶν πάντων καὶ τῶν ἄλλων πολιτῶν, τῆς δίκης ἕνεκα ταυτησί. (34) Οὗτοι γὰρ τῇ μὲν πρώτῃ ἡμέρᾳ ᾗ ἀπέθανεν ὁ παῖς, καὶ τῇ ὑστεραίᾳ ᾗ προέκειτο, οὐδ' αὐτοὶ ἠξίουν αἰτιᾶσθαι ἐμὲ οὐδ' ἀδικεῖν ἐν τῷ πράγματι τούτῳ οὐδέν, ἀλλὰ συνῆσαν ἐμοὶ καὶ διελέγοντο· τῇ δὲ τρίτῃ ἡμέρᾳ ᾗ ἐξεφέρετο ὁ παῖς, ταύτῃ δὴ πεπεισμένοι ἦσαν ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν, καὶ παρεσκευάζοντο αἰτιᾶσθαι καὶ προαγο-

ut hi testimoniis illis tanquam validissimis fideque dignissimis me impugnarent: jam vero testibus his iisdem aientibus orationem meam æquam et veram esse, istorum mendacem, docere vos contendunt, testimonio mihi secundo fidem omnem esse derogandam, in prætensionibus autem a se confictis vos certa fide debere acquiescere; quas ego si proferrem absque testibus, næ illi ut falsas essent aspernaturi. (29) Atqui res indigna sit, si testes iidem, ubi ipsis faveant, tum fidem mereantur, ubi autem me secundent, tum nullam. Quodsi casui testes prorsus nulli affuissent, ego tamen aliquos producerem, aiens eos interfuisse, aut si, quum interfuissent testes, ego non eos, qui vere interfuissent, sed alios, exhiberem, recte utique vos majorem fidem illorum prædicationi, quam meis testibus, adhiberetis: atqui fatentur ipsi testes negotio interfuisse, et ego testes eosdem exhibeo qui vere interfuerunt, et constat, meque et meos testes omnes constanter eadem et illa prima statim die præ nobis tulisse, et hodie præ nobis ferre: ecquæ jam alia ratio, judices, quæso vos, possit excogitari, unde aut veris fides astruatur aut falsis detrahatur? (30) Nam oratione quidem si quis rem doceat, testes autem idem nullos exhibeat, ejusmodi orationem aias testium auctoritate carere: sin autem testes exhibeat quidem, verumtamen non item indicia edat auctoritati testium consentanea, possis tu pari modo fidem indiciorum desiderare: (31) ego vero et oratione probabiliter rem gestam exposui et testes produxi meæ orationi consentientes, et facta demonstravi testium auctoritati consonantia, et argumenta ex ipsis rebus petivi, et præterea duo quædam hac in causa vel maxima demonstravi, hos quidem puta et a me et a semet ipsis convictos, me autem et a me et ab illis ipsis crimine absolutum: (32) me enim ultro descendente ad subeundum inquisitionis periculum de criminibus mihi objectis, hi nolentes eam conditionem amplecti, injuriam utique mihique sibique ipsi dederunt, et me quidem absolverunt, semet vero ipsi condemnarunt suamque accusationem ceu mendacem dispunxerunt. Atqui si, præter testes meos, ipsos adeo adversarios causæ meæ testes præsto, ecquo alio quæso oportebit ire, ad arcessendum argumenta absolutionis?

33. Tametsi igitur autumo, judices, post ea quæ disputavi, vos me merito absoluturos esse, et ab hoc crimine prorsus me vacare vos omnes intellexisse: quo tamen adhuc certius rem cognoscatis, planum etiam faciam hos accusatores meos esse hominum omnium maxime perjuros et impios, odioque inprimis dignos, non meo solum, neque vestro, judices, sed omnium adeo civium, ob morum improbitatem in hac causa demonstratam. (34) Nam primo quidem die quo puer exspiraverat, item altero quo cadaver ejus erat expositum, æquum hi non censebant me ullius incusare hac in re commissi erroris aut facinoris, sed mecum congrediebantur et sermones conferebant: tertio demum die, quo puer efferebatur, ab inimicis meis persuasi actionem contra me parabant et arcebant a justis

ρεύειν εἴργεσθαι τῶν νομίμων. Τίνες οὖν ἦσαν οἱ πείσαντες αὐτούς; καὶ τίνος ἕνεκα καὶ πρόθυμοι ἐγένοντο πεῖσαι αὐτούς; δεῖ γάρ με καὶ ταῦτα ὑμᾶς διδάξαι. (35) Κατηγορήσειν ἔμελλον Ἀριστίωνος καὶ Φιλίνου καὶ Ἀμπελίνου καὶ τοῦ ὑπογραμματέως τῶν θεσμοθετῶν, μεθ' οὗπερ συνέκλεπτον, περὶ ὧν εἰσήγγειλα εἰς τὴν βουλήν. Καὶ αὐτοῖς ἐκ μὲν τῶν πεπραγμένων οὐδεμία ἦν ἐλπὶς ἀποφεύξεσθαι (τοιαῦτα ἄρ' ἦν τὰ ἠδικημένα)· πείσαντες δὲ τούτους ἀπογράφεσθαι καὶ προαγορεύειν ἐμοὶ εἴργεσθαι τῶν νομίμων, ἡγήσαντο ταύτην σφίσιν ἔσεσθαι σωτηρίαν καὶ ἀπαλλαγὴν τῶν πραγμάτων ἁπάντων. (36) Ὁ γὰρ νόμος οὕτως ἔχει, ἐπειδάν τις ἀπογραφῇ φόνου δίκην, εἴργεσθαι τῶν νομίμων· καὶ οὔτ' ἂν ἐγὼ οἷός τ' ἦν ἐπεξελθεῖν εἰργόμενος τῶν νομίμων, ἐκεῖνοί τε ἐμοῦ τοῦ εἰσαγγείλαντος καὶ ἐπισταμένου τὰ πράγματα μὴ ἐπεξιόντος ῥᾳδίως ἔμελλον ἀποφεύξεσθαι καὶ δίκην οὐ δώσειν ὑμῖν ὧν ἠδίκησαν. Καὶ τοῦτ' οὐχ ἐπ' ἐμοὶ πρῶτον ἐμηχανήσαντο Φιλῖνος καὶ οἱ ἕτεροι, ἀλλὰ καὶ ἐπὶ Λυσιστράτῳ πρότερον, ὡς αὐτοὶ ὑμεῖς ἠκούσατε. (37) Καὶ οὗτοι μὲν πρόθυμοι τότε ἦσαν ἀπογράφεσθαί με εὐθὺς τῇ ὑστεραίᾳ ᾗ ὁ παῖς ἐθάπτετο, πρὶν τὴν οἰκίαν καθᾶραι καὶ τὰ νομιζόμενα ποιῆσαι, αὐτὴν ταύτην φυλάξαντες τὴν ἡμέραν ἐν ᾗ ἔμελλεν ὁ πρῶτος ἐκείνων κριθήσεσθαι, ὅπως μηδὲ καθ' ἑνὸς αὐτῶν οἷός τε γενοίμην ἐπεξελθεῖν μηδ' ἐνδεῖξαι τῷ δικαστηρίῳ τὰ ἀδικήματα· (38) ἐπειδὴ δὲ αὐτοῖς ὁ βασιλεὺς τούς τε νόμους ἀνέγνω, καὶ χρόνους ἀπέδειξε, τί οὐκ ἐγχωροίη ἀπογράψασθαι καὶ τὰς κλήσεις καλεῖσθαι ὅσας ἔδει, καὶ ἐγὼ τοὺς ταῦτα μηχανωμένους εἰσάγων εἰς τὸ δικαστήριον εἷλον ἅπαντας, καὶ ἐτιμήθη αὐτοῖς ὧν ὑμεῖς ἐπίστασθε, καὶ οὗτοι ὧν ἕνεκα ἐλάμβανον χρήματα οὐδὲν αὐτοῖς οἷοί τε ἦσαν
146 ὠφελῆσαι, τότε δὴ προσιόντες αὐτῷ τ' ἐμοὶ καὶ τοῖς φίλοις ἐδέοντο διαλλαγῆναι, καὶ δίκην ἕτοιμοι ἦσαν διδόναι τῶν ἡμαρτημένων. (39) Καὶ ἐγὼ πεισθεὶς ὑπὸ τῶν φίλων διηλλάγην τούτοις ἐν τῇ πόλει ἐναντίον μαρτύρων, οἵπερ διήλλαττον ἡμᾶς πρὸς τῷ νεῴ τῆς Ἀθηνᾶς· καὶ μετὰ τοῦτο συνῆσάν μοι καὶ διελέγοντο ἐν τοῖς ἱεροῖς, ἐν τῇ ἀγορᾷ, ἐν τῇ ἐμῇ οἰκίᾳ, ἐν τῇ σφετέρᾳ αὐτῶν καὶ ἑτέρωθι πανταχοῦ. (40) Τὸ τελευταῖον, ὦ Ζεῦ καὶ θεοὶ πάντες, Φιλοκράτης αὐτὸς οὑτοσὶ ἐν τῷ βουλευτηρίῳ ἐναντίον τῆς βουλῆς, ἑστὼς μετ' ἐμοῦ ἐπὶ τοῦ βήματος, ἁπτόμενος ἐμοῦ διελέγετο, ὀνόματι ὁ τοιοῦτος ἐμὲ προσαγορεύων, καὶ ἐγὼ τοῦτον, ὥστε δεινὸν δόξαι εἶναι τῇ βουλῇ, ἐπειδὴ ἐπύθετο προειρημένον εἴργεσθαί μοι τῶν νομίμων ὑπὸ τούτων, οὓς ἑώρα μοι τῇ προτεραίᾳ συνόντας καὶ διαλεγομένους. (41) Σκέψασθε δὲ καί μοι μνήσθητε, ὦ ἄνδρες· ταῦτα γὰρ οὐ μόνον μάρτυσιν ὑμῖν ἀποδείξω, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν ἔργων ἃ τούτοις πέπρακται ῥᾳδίως γνώσεσθε ὅτι ἀληθῆ λέγω. Καὶ πρῶτον ἃ τοῦ βασιλέως κατηγοροῦσι καὶ διὰ τὴν ἐμὴν σπουδήν οὔ φασιν αὐτὸν ἐθέλειν ἀπογράφεσθαι τὴν δίκην, τοῦτο δὲ κατ' αὐτῶν τούτων ἔσται τεκμήριον ὅτι οὐκ ἀληθῆ λέγουσιν. (42)

solvendis. Quinam autem hi sunt inimici, quorum suasu hoc fecerunt? et quidnam inimicos meos impulit ut hoc illis suaderent? nam hæc quoque vos docere debeo. (35) Accusaturus eram Aristionem et Philinum et Ampelinum et commentariensem Thesmothetarum, conscium illum et consortem furtorum, quæ senatui indicaveram. Ac tanta erant eorum furta, ut nulla spes ipsis superesset evadendi. Igitur persuaserunt his ut nomen meum ad magistratus deferrent, mihique denuntiarent ut locis vetitis me abstinerem : hanc unam sperabant sibi patere salutis viam, hanc unam fugæ ex universo isto discrimine. (36) Lex enim sic edicit : ubi quis cædis accusatus fuerit, ut is loca vetita devitet. Exclusum itaque locis vetitis, me non posse cœptam actionem prosequi putabant, ipsos vero, non exeunte accusatore, qui solus furta eorum nosset, defensionis periculum pœnasque delictorum facile effugituros esse. Non in me primo Philinus ceterique fraudem hanc machinati sunt, sed jam dudum ante in Lysistrato fuerant; qua de re vosmet ipsi inaudivistis. (37) Atque his obsecundantes accusatores mei statim altero die post funus pueri, prius adeo, quam domus lustrata et justa facta essent, meum nomen deferre voluerunt ad magistratum, observata illa ipsa die, qua actio adversus primum furum istorum a me agenda esset; quo ne unus quidem eorum a me postulari et criminum convinci posset. (38) At quum rex leges ipsis recitasset, docuissetque tempora non sufficere, ut et nomen deferrent et quas fas esset citationes facerent, et quum ego auctores hujus machinationis in judicium pertractos omnes condemnassem, iisque mulcta, quantam nostis, scripta esset, Philocrates autem ejusque socii eos quorum mercede conducti erant, nihil juvare possent : tum hi congressi mecum et cum amicis meis, rogabant ut vellemus cum ipsis in gratiam redire, offerebantque pœnas offensionum a se mihi dandas. (39) Ego, persuasus ab amicis, reconciliabar ipsis in arce apud ædem Minervæ, coram testibus iis qui conciliatores gratiæ erant : postmodum congrediebantur mecum et colloquia miscebant in templis, in foro, domi meæque ipsorumque, et ubicunque locorum conveniremus. (40) Postremo, o Juppiter diique omnes! hic ipse Philocrates in curia coram senatu, stans mecum in suggestu, manu cum mea conserta, nominatim me appellans, sermones cædebat mecum, qui pariter eum quoque nominatim compellabam : quo factum ut senatus idem postmodum audiens mihi denuntiatum esse, ut loca vetita vitarem, miraretur id factum ab iis quos vidisset tam familiariter mecum conversantes. (41) Considerate igitur, viri, et recordamini : non enim e testimoniis solummodo confirmabo quæ dico, sed etiam ex ipsis adversariorum factis facile intelligetis me vera prædicare. De rege sacrorum ut primo loco dicam, quem aiunt studio mei nomen meum ab ipsis delatum accipere noluisse, apertum id est mendacium, quo causa ipsorum debilitatur. (42) Regem sacrorum, admissa mei nominis

Ἔδει μὲν γὰρ τὸν βασιλέα, ἐπειδὴ ἀπεγράψατο, τρεῖς προδικασίας ποιῆσαι ἐν τρισὶ μησί, τὴν δίκην δ' εἰσάγειν τετάρτῳ μηνί, ὥσπερ νυνί· τῆς δ' ἀρχῆς αὐτῷ λοιποὶ δύο μῆνες ἦσαν, Θαργηλιὼν καὶ Σκιρροφοριών. Καὶ οὔτ' εἰσάγειν δήπου οἷός τ' ἦν ἐφ' ἑαυτοῦ, οὔτε παραδοῦναι φόνου ἔξεστιν, οὐδὲ παρέδωκεν οὐδεὶς πώποτε βασιλεὺς ἐν τῇ γῇ ταύτῃ. Ἥντινα οὖν μήτε εἰσάγειν μήτε παραδοῦναι ἐξῆν αὐτῷ, οὐδ' ἀπογράφεσθαι ἠξίου παρὰ τοὺς ἡμετέρους νόμους. (43) Καὶ ὅτι οὐκ ἠδίκει αὐτούς, μέγιστον σημεῖον· Φιλοκράτης γὰρ οὑτοσὶ ἑτέρους τῶν ὑπευθύνων ἔσειε καὶ ἐσυκοφάντει, τούτου δὲ τοῦ βασιλέως, ὅν φασι δεινὰ καὶ σχέτλια εἰργάσθαι, οὐκ ἦλθε κατηγορήσων εἰς τὰς εὐθύνας. Καίτοι τί ἂν ὑμῖν μεῖζον τούτου τεκμήριον ἀποδείξαιμι, ὅτι οὐκ ἠδικεῖτο οὔθ' ὑπ' ἐμοῦ οὔθ' ὑπ' ἐκείνου; (44) Ἐπειδὴ γὰρ οὑτοσὶ ὁ βασιλεὺς εἰσῆλθεν, ἐξὸν αὐτοῖς ἀπὸ τῆς πρώτης ἡμέρας ἀρξαμένοις τοῦ Ἑκατομβαιῶνος μηνὸς τριάκονθ' ἡμέρας συνεχῶς τούτων ᾗτινι ἐβούλοντο ἀπογράφεσθαι, ἀπεγράφοντο οὐδεμιᾷ· καὶ αὖθις τοῦ Μεταγειτνιῶνος μηνὸς ἀπὸ τῆς πρώτης ἡμέρας ἀρξαμένοις ἐξὸν αὐτοῖς ἀπογράφεσθαι ᾗτινι ἐβούλοντο, οὐδ' αὖ ἐνταῦθα ἀπεγράψαντο, ἀλλὰ παρεῖσαν καὶ τούτου τοῦ μηνὸς εἴκοσιν ἡμέρας· ὥστε αἱ σύμπασαι ἡμέραι ἐγένοντο αὐτοῖς πλέον ἢ πεντήκοντα ἐπὶ τούτου τοῦ βασιλέως, ἐν αἷς ἐξὸν αὐτοῖς ἀπογράψασθαι οὐκ ἀπεγράψαντο. (45) Καὶ οἱ μὲν ἄλλοι ἅπαντες ὅσοις ἐπὶ τοῦ αὐτοῦ βασιλέως ὁ χρόνος μὴ ἐνεχώρει,..... οὗτοι δ' ἐπιστάμενοι μὲν τοὺς νόμους ἅπαντας, ὁρῶντες δ' ἐμὲ βουλεύοντα καὶ εἰσιόντ' ἐς τὸ βουλευτήριον — καὶ ἐν αὐτῷ τῷ βουλευτηρίῳ Διὸς βουλαίου καὶ Ἀθηνᾶς βουλαίας ἱερόν ἐστι, καὶ εἰσιόντες οἱ βουλευταὶ προσεύχονται, ὧν κἀγὼ εἷς ἦν ὁ ταῦτα πράττων, καὶ εἰς τἄλλα πάντα ἱερὰ εἰσιὼν μετὰ τῆς βουλῆς, καὶ θύων καὶ εὐχόμενος ὑπὲρ τῆς πόλεως ταύτης, καὶ πρὸς τούτοις πρυτανεύσας τὴν πρώτην πρυτανείαν ἅπασαν πλὴν δυοῖν ἡμέραιν, καὶ ἱεροποιῶν καὶ θύων ὑπὲρ τῆς δημοκρατίας καὶ ἐπιψηφίζων καὶ λέγων γνώμας περὶ τῶν μεγίστων καὶ πλείστου ἀξίων τῇ πόλει φανερὸς ἦν· (46) καὶ οὗτοι παρόντες καὶ ἐπιδημοῦντες, ἐξὸν αὐτοῖς ἀπογράφεσθαι· καίτοι ἱκανά γ' ἦν ὑπομνῆσαι καὶ ἐνθυμηθῆναι, εἴπερ ἠδικοῦντο, ἀμφότερα καὶ σφῶν αὐτῶν ἕνεκα καὶ
147 τῆς πόλεως. Διὰ τί οὖν οὐκ ἀπεγράφοντο; διὰ τί συνῆσαν καὶ διελέγοντο; συνῆσάν τε γάρ μοι οὐκ ἀξιοῦντες φονέα εἶναι, καὶ οὐκ ἀπεγράφοντο τούτου αὐτοῦ ἕνεκα, οὐχ ἡγούμενοί με ἀποκτεῖναι τὸν παῖδα οὐδ' ἔνοχον εἶναι τοῦ φόνου, οὐδὲ προσήκειν μοι τούτου τοῦ πράγματος οὐδέν. (47) Καίτοι πῶς ἂν ἄνθρωποι σχετλιώτεροι ἢ ἀνομώτεροι γένοιντο, οἵτινες ἅπερ αὐτοὶ σφᾶς αὐτοὺς οὐκ ἔπεισαν, ταῦθ' ὑμᾶς ἀξιοῦσι πεῖσαι, καὶ ἃ αὐτοὶ ἔργῳ ἀπεδίκασαν, ταῦθ' ὑμᾶς κελεύουσι καταδικάσαι; καὶ οἱ μὲν ἄλλοι ἄνθρωποι τοῖς ἔργοις τοὺς λόγους ἐξελέγχουσιν, οὗτοι δὲ τοῖς λόγοις ζητοῦσι τὰ ἔργα ἄπιστα καταστῆσαι. (48) Καίτοι εἰ μηδὲν ἄλλο μήτε εἶπον μήτε ἀπέφηνα μήτε μάρτυρας παρε-

delatione, oportuisset tres *προδικασίας* totidem mensibus distinctas instituere, et quarto demum mense actionem instituere, uti nunc factum est: atqui duo tantum menses de magistratu ipsi adhuc supererant, Thargelion et Scirrhophorion. Quapropter ipse inducere causam non potuit, tradere vero successori non licet, neque ullus unquam rex in hac civitate tradidit. Quam itaque neque inducere licebat neque tradere, eam ne admittendam quidem sibi esse recte existimabat; nam alias leges violasset. (43) Neque regem Philocrati ullam fecisse injuriam, ipse Philocrates testatus est. Alios enim magistratus gestorum honorum rationes debentes, ut calumniarum terriculamentis concussit atque exagitavit, ita in hunc Regem rationes reddentem, a quo se atrocissimas accepisse injurias queruntur, nihil protulit. Ecquod ego jam aliud majus documentum protulero, quo constet Philocratem neque a me neque ab illo Rege sacrorum malo læsum esse? (44) Nam ut illi, magistratu defuncto, qui nunc est Rex sacrorum successit, licebat his per totos triginta dies mensis Hecatombæonis, qui mensis novo Regi primus erat, quocunque mensis illius die libuisset, nomen meum deferre; at hi tamen nullo detulerunt: rursus proximo mense Metagitnione licebat illis idem facere, quocunque illius mensis die visum fuisset; at hi ne tum quidem sustinuerunt facere, sed hujus quoque mensis viginti dies prætermittebant. Quo factum ut honorem gerente hoc, qui nunc gerit, Rege sacrorum, plus quinquaginta dies exierint, quibus nomen deferre, quum potuissent, insuper habuerunt. (45) Et alii quidem omnes, si quibus tempora non permittunt lites priore Rege magistratu decedente ordiri (*sub ipsis novi Regis auspiciis id faciunt*): hi vero, etsi leges tenebant omnes, me videbant senatorio honore fungentem et in curiam ingredientem — ubi Jovisque Bulæi Minervæque Bulææ ara et sacellum est, in quo ut senatores omnes, ita ego quoque vota faciebam: quæ fana senatus adiret, eadem ego quoque una cum senatu adibam, thura spargebam, vota concipiebam pro salute reipubl.: adde quod toto illo tempore, quo tribus mea, primum mensem sortita, prytaneatu functa est, ego partes Prytanis omnes gessi excepto solummodo biduo, sacra feci, pro reip. salute vota feci, in suffragia misi, sententias dixi de rebus gravissimis et quibus salus reip. contineretur: hæc egi in conspectu omnium; (46) hi ipsi cernebant præsentes et in foro versantes: licebat ipsis nomen meum deferre, et locis sacris illis me excludere. Cur ergo facere omiserunt? Revera si accepissent injuriam, sufficere poterat vel sola admonitio et injectio metus a religionibus deorum læsis, eamque commemorationem et sibi ipsis debebant et reip. Cur ergo nomen meum non citius detulerunt? Cur interea temporis mecum congrediebantur atque agebant? Utrumque nimirum, quia non videbar ipsis homicida esse, sed a nece pueri liber: quo utroque declarabant, necem hanc ad me nil quicquam pertinere. (47) Qui jam possunt esse improbiores atque juris æqui magis immemores, quam hi, qui quod ipsi non credunt, id vobis persuadere contendunt, atque postulant ea vobis condemnari, quæ ipsi factis absolverunt? Alii homines verborum vanitates e factis refellunt, hi autem veritatem rerum gestarum vanitate verborum convulsum eunt. (48) Quanquam, etiamsi aliud nullum argumentum protulissem, testes ipsos nullos produxissem,

σχόμην, ἀλλὰ ταῦτα ὑμῖν ἀπέδειξα, τούτους ὅπου μὲν χρήματα λαμβάνοιεν ἐπ' ἐμοί, αἰτιωμένους καὶ προαγορεύοντας, ὅπου δὲ μὴ εἴη ὁ δώσων, συνόντας καὶ διαλεγομένους, ἱκανὰ ἦν καὶ αὐτὰ ταῦτα ἀκούσαντας ἀποψηφίσασθαι καὶ τούτους νομίζειν ἐπιορκοτάτους καὶ ἀνοσιωτάτους πάντων ἀνθρώπων. (49) Οὗτοι γὰρ ποίαν δίκην οὐ δικάσαιντ' ἂν ἢ ποῖον δικαστήριον οὐκ ἐξαπατήσειαν ἢ τίνας ὅρκους οὐκ ἂν τολμήσειαν παραβαίνειν, οἵτινες καὶ νῦν τριάκοντα μνᾶς ἐπ' ἐμοὶ λαβόντες παρὰ τῶν ποριστῶν καὶ τῶν πωλητῶν καὶ τῶν πρακτόρων καὶ τῶν ὑπογραμματέων οἳ τούτοις ὑπεγραμμάτευον, ἐξελάσαντές με ἐκ τοῦ βουλευτηρίου, ὅρκους τοιούτους διωμόσαντο, ὅτι πρυτανεύων πυθόμενος αὐτοὺς δεινὰ καὶ σχέτλια ἐργάζεσθαι εἰσῆγον εἰς τὴν βουλήν, καὶ ἐδίδαξα ὡς χρὴ ζητοῦντας ἐπεξελθεῖν τῷ πράγματι. (50) Καὶ νῦν δίκην διδόασιν ὧν ἠδικήκασιν αὐτοί τε καὶ οἱ μεσεγγυησάμενοι καὶ παρ' οἷς ἐτέθη τὰ χρήματα, καὶ τὰ πραχθέντα φανερὰ γεγένηται, ὥστ' οὐδ' ἂν οὗτοι βούλωνται ἀρνεῖσθαι ῥᾳδίως οἷοί τ' ἔσονται· οὕτως αὐτοῖς πέπρακται τὰ πράγματα. (51) Ποῖον οὖν δικαστήριον οὐκ ἂν ἔλθοιεν ἐξαπατήσοντες, ἢ τίνας ὅρκους οὐκ ἂν τολμήσαιεν παραβαίνειν οὗτοι οἱ ἀνοσιώτατοι, οἵτινες καὶ ὑμᾶς εἰδότες εὐσεβεστάτους τῶν Ἑλλήνων δικαστὰς καὶ δικαιοτάτους, καὶ ἐφ' ὑμᾶς ἥκουσιν ἐξαπατήσοντες εἰ δύναιντο, ὅρκους τοσούτους διομοσάμενοι;

sed unum hoc vos docuissem, hos venales habere criminationes atque denuntiationes, quicunque eos contra me mercede conducat; deficiente autem munerario, mecum familiarissime conversari; posset hoc vel solum vos inducere ut me absolvendum censeretis, illos vero ut perjuriis contaminatissimos et sceleratissimos haberetis. (49) Ecquam tandem litem hi non capessant? ecquod hi judicium decipere reformident? ecqua juramenta hi violare sibi religioni ducant? qui nunc quoque pro vilissima mercede triginta minarum, quam a provisoribus et a sectoribus et ab exactoribus ab eorumque scribis acceperant, quo me e senatu expellerent, tam horrendis sacramentis sese obstrinxerunt. Ecquid ita? quia nempe, audiens in prytaneatu meo, eos infanda et pudenda agitare, senatum ea de re certiorem feci, docuique modum, quo in rem inquirendum et ad latibula furtorum perveniendum esset. (50) Nunc illi furtorum pœnas dederunt tum ipsi tum prædes eorum, tum ii penes quos nummi furto interversi depositi erant: flagitium in lucem protractum fuit tam claram, ut, ne si velint quidem, ipsi infitiari queant. (51) Qui ecquod tandem in judicium veniant sine proposito illud circumveniendi? ecquod jusjurandum violare cunctentur isti sceleratissimi? Nonne, quum vos nossent Græcorum omnium sanctissimos atque justissimos judices esse, tamen ad vos prodierunt cum proposito, si possint, sub larva tantorum juramentorum vos decipiendi?

ΑΝΔΟΚΙΔΗΣ.

I.

1 ## ΠΕΡΙ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ.

Τὴν μὲν παρασκευήν, ὦ ἄνδρες, καὶ τὴν προθυμίαν τῶν ἐχθρῶν τῶν ἐμῶν, ὥστ' ἐμὲ κακῶς ποιεῖν ἐκ παντὸς τρόπου καὶ δικαίως καὶ ἀδίκως, ἐξ ἀρχῆς ἐπειδὴ τάχιστα ἀφικόμην εἰς τὴν πόλιν ταυτηνί, σχεδόν τι πάντες ἐπίστασθε, καὶ οὐδὲν δεῖ περὶ τούτων πολλοὺς λόγους ποιεῖσθαι· ἐγὼ δ', ὦ ἄνδρες, δεήσομαι ὑμῶν δίκαια καὶ ὑμῖν τε ῥᾴδια χαρίζεσθαι καὶ ἐμοὶ ἄξια πολλοῦ τυχεῖν παρ' ὑμῶν, (2) καὶ πρῶτον μὲν ἐνθυμηθῆναι ὅτι νῦν ἐγὼ ἥκω οὐδεμιᾶς μοι ἀνάγκης οὔσης παραμεῖναι, οὔτ' ἐγγυητὰς καταστήσας οὔθ' ὑπὸ δεσμῶν ἀναγκασθείς, πιστεύσας δὲ μάλιστα μὲν τῷ δικαίῳ, ἔπειτα δὲ καὶ ὑμῖν, γνώσεσθαι τὰ δίκαια καὶ μὴ περιόψεσθαί με ἀδίκως ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν διαφθαρέντα, ἀλλὰ πολὺ μᾶλλον σώσειν δικαίως, κατά τε τοὺς νόμους τοὺς ὑμετέρους καὶ τοὺς ὅρκους οὓς ὑμεῖς ὀμόσαντες μέλλετε τὴν ψῆφον οἴσειν. (3) Εἰκότως δ' ἄν, ὦ ἄνδρες, τὴν αὐτὴν γνώμην ἔχοιτε περὶ τῶν ἐθελοντῶν εἰς τοὺς κινδύνους καθισταμένων, ἥνπερ αὐτοὶ περὶ αὐτῶν ἔχουσιν. Ὁπόσοι μὲν γὰρ μὴ ἠθέλησαν ὑπομεῖναι καταγνόντες αὑτῶν ἀδικίαν, εἰκότως τοι καὶ ὑμεῖς τοιαῦτα περὶ αὐτῶν γινώσκετε οἷά περ καὶ αὐτοὶ περὶ σφῶν αὐτῶν ἔγνωσαν· ὁπόσοι δὲ πιστεύσαντες μηδὲν ἀδικεῖν ὑπέμειναν, δίκαιοί ἐστε καὶ ὑμεῖς περὶ τούτων τοιαύτην ἔχειν τὴν γνώμην οἵαν περ καὶ αὐτοὶ περὶ αὑτῶν ἔσχον, καὶ μὴ προκαταγινώσκειν ἀδικεῖν. (4) Αὐτίκα ἐγὼ πολλῶν μοι ἀπαγγελλόντων ὅτι λέγοιεν οἱ ἐχθροὶ ὡς ἄρα ἐγὼ οὔτ' ἂν ὑπομείναιμι οἰχήσομαί τε φεύγων, — « τί γὰρ ἂν καὶ βουλόμενος Ἀνδοκίδης ἀγῶνα τοσοῦτον ὑπομείνειεν, ᾧ ἔξεστι μὲν ἀπελθόντι ἐντεῦθεν ἔχειν πάντα τὰ ἐπιτήδεια, ἔστι δὲ πλεύσαντι εἰς Κύπρον, ὅθεν περ ἥκει, γῆ πολλὴ καὶ ἀγαθὴ διδομένη καὶ δωρεὰ ὑπάρχουσα; οὗτος ἄρα βουλήσεται περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ κινδυνεῦσαι; εἰς τί ἀποβλέψας; οὐχ ὁρᾷ τὴν πόλιν ἡμῶν ὡς διάκειται; » (5) Ἐγὼ δέ, ὦ ἄνδρες, πολὺ τὴν ἐναντίαν τούτοις γνώμην ἔχω. Ἄλλοθί τε γὰρ ὢν πάντα τὰ ἀγαθὰ ἔχειν στερόμενος τῆς πατρίδος οὐκ ἂν δεξαίμην, τῆς πόλεως οὕτω διακειμένης ὥσπερ αὐτοὶ οἱ ἐχθροὶ λέγουσι· πολὺ δ' ἂν αὐτῆς μᾶλλον ἐγὼ πολίτης δεξαίμην εἶναι ἢ ἑτέρων πόλεων, αἳ ἴσως πάνυ μοι δοκοῦσιν ἐν τῷ παρόντι εὐτυχεῖν. Ἅπερ γινώσκων ἐπέτρεψα διαγνῶναι ὑμῖν περὶ τοῦ σώματος τοῦ ἐμαυτοῦ. (6) Αἰτοῦμαι οὖν ὑμᾶς, ὦ ἄνδρες, εὔνοιαν πλείω παρασχέσθαι ἐμοὶ τῷ

DE MYSTERIIS ORATIO. (1—3)

Inimicorum copias ardoremque quocunque modo mihi per fasque nefasque nocendi, quo me, a principio inde, ut primum hanc in urbem redii, exagitarunt, vos pæne omnes, viri, arbitror intelligere, ut necesse non sit hac de re multa verba facere. Ego vos potius, viri, rogabo rem æquam et quam mihi indulgere facile vobis sit et qua me potiri mea inprimis refert: (2) primum nempe hoc, ut vobiscum reputetis, me nunc huc sponte mea venisse, nulla coactum necessitate inter vos versandi: neque enim vades constitueram neque vinculis constringebar; sed fiducia præcipue quidem veri et æqui, tum vero vestri quoque, qui mihi videremini de me justa et æqua pronuntiaturi neque passuri ab inimicis me meis opprimi, sed potius, prout fas est, salvum me conservaturi, vestrisque legibus convenienter et jurijurando, cujus a vobis dicti auctoritate sententiam feretis. (3) Merito enim, viri, de his, qui ultro sese in discrimina demittunt, vos quoque idem censeatis, quod ipsi de semet censent. Quicunque enim in urbe manere ideo noluerunt, quia ipsi sese sua sententia criminis admissi condemnassent, recte vos de his eadem sciscatis, quæ ipsi de sese sciverunt: contra vero, quicunque manserunt fiducia suæ conscientiæ, quod nullius sibi sint sceleris conscii, decet vos de his eadem statuere, quæ ipsi de sese statuunt, neque præjudicata opinione credere eos injuste egisse. (4) Sic, ne longe abeam, mihi multi retulerunt, inimicos meos jactare, me non videri in urbe mansurum, sed fuga salutem quæsiturum: — « Ecquid enim Andocides quoque spectans (ita aiunt) certamen adire tantum audeat, cui liceat hinc digresso vitæ præsidia commoditatesque omnes habere? cui in Cypro sit, illuc si juvet per mare contendere, unde modo venit, ager et spatiosus et fertilis et gratuito datus? Caput ille profecto periculo nolet objicere. Ecquid enim spectet? annon civitatem videt, quo sit animo? » (5) Ego vero, viri, multum ab his dissentio. Civitas enim hæc etiamsi sic se haberet atque hi aiunt, tamen ego nolim alibi in rerum omnium affluentia vivere, si patria carendum mihi sit: multo enimvero civis ego patriæ malim esse, quam aliarum civitatum, quæ hac ætate rebus florere secundis videantur. Hac ego mente præditus permisi vobis corpus meum, de quo judicetis, (6) rogans vos, ut mihi pro me dicenti benigniorem, quam accusatoribus, præbere velitis audien-

ἀπολογουμένῳ ἢ τοῖς κατηγόροις, εἰδότας ὅτι κἂν ἐξ ἴσου ἀκροᾶσθε, ἀνάγκη τὸν ἀπολογούμενον ἔλαττον ἔχειν. Οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύσαντες καὶ συνθέντες, αὐτοὶ ἄνευ κινδύνων ὄντες, τὴν κατηγορίαν ἐποιήσαντο· ἐγὼ δὲ μετὰ δέους καὶ κινδύνου καὶ διαβολῆς τῆς μεγίστης τὴν ἀπολογίαν ποιοῦμαι. Εἰκὸς οὖν ὑμᾶς ἐστιν εὔνοιαν πλείω παρασχέσθαι ἐμοὶ ἢ τοῖς κατηγόροις. (7) Ἔτι δὲ καὶ τόδε ἐνθυμητέον, ὅτι πολλοὶ ἤδη πολλὰ καὶ δεινὰ κατηγορήσαντες παραχρῆμα ἐξηλέγχθησαν ψευδόμενοι οὕτω φανερῶς, ὥστε ὑμᾶς πολὺ ἂν ἥδιον δίκην λαβεῖν παρὰ τῶν κατηγόρων ἢ παρὰ τῶν κατηγορουμένων· οἱ δὲ αὖ, μαρτυρήσαντες τὰ ψευδῆ ἀδίκως ἀνθρώπους ἀπολέσαντες, ἑάλωσαν παρ' ὑμῖν ψευδομαρτυριῶν, ἡνίκ' οὐδὲν ἦν ἔτι πλέον τοῖς πεπονθόσιν. Ὁπότ' οὖν ἤδη πολλὰ τοιαῦτα γεγένηται, εἰκὸς ὑμᾶς ἐστι μήπω τοὺς τῶν κατηγόρων λόγους πιστοὺς ἡγεῖσθαι. Εἰ μὲν γὰρ δεινὰ κατηγόρηται ἢ μή, οἷόντε γνῶναι ἐκ τῶν τοῦ κατηγόρου λόγων· εἰ δὲ ἀληθῆ ταῦτά ἐστιν ἢ ψευδῆ, οὐχ οἷόντε ὑμᾶς πρότερον εἰδέναι πρὶν ἂν καὶ ἐμοῦ ἀκούσητε ἀπολογουμένου.

8. Σκοπῶ μὲν οὖν ἔγωγε, ὦ ἄνδρες, πόθεν χρὴ ἄρξασθαι τῆς ἀπολογίας, πότερον ἐκ τῶν τελευταίων λόγων, ὡς παρανόμως με ἐνέδειξαν, ἢ περὶ τοῦ ψηφίσματος τοῦ Ἰσοτιμίδου, ὡς ἄκυρόν ἐστιν, ἢ περὶ τῶν νόμων καὶ τῶν ὅρκων τῶν γεγενημένων, εἴτε καὶ ἐξ ἀρχῆς ὑμᾶς διδάξω τὰ γεγενημένα. Ὃ δέ με ποιεῖ μάλιστ' ἀπορεῖν, ἐγὼ ὑμῖν ἐρῶ, ὅτι οὐ πάντες ἴσως ἐπὶ πᾶσι τοῖς κατηγορουμένοις ὁμοίως ὀργίζεσθε, ἀλλ' ἕκαστός τι ὑμῶν ἔχει πρὸς ὃ βούλοιτο ἄν με πρῶτον ἀπολογεῖσθαι· ἅμα δὲ περὶ πάντων εἰπεῖν ἀδύνατον. Κράτιστον οὖν μοι εἶναι δοκεῖ ἐξ ἀρχῆς ὑμᾶς διδάσκειν πάντα τὰ γενόμενα καὶ παραλιπεῖν μηδέν. Ἂν γὰρ ὀρθῶς μάθητε τὰ πραχθέντα, ῥᾳδίως γνώσεσθ' ἅ μου κατεψεύσαντο οἱ κατήγοροι. (9) Τὰ μὲν οὖν δίκαια γινώσκειν ὑμᾶς ἡγοῦμαι καὶ αὐτοὺς παρεσκευάσθαι, οἷσπερ ἐγὼ πιστεύσας ὑπέμεινα, ὁρῶν ὑμᾶς καὶ ἐν τοῖς ἰδίοις καὶ ἐν τοῖς δημοσίοις περὶ πλείστου τοῦτο ποιουμένους, ψηφίζεσθαι κατὰ τοὺς ὅρκους· ὅπερ καὶ συνέχει μόνον τὴν πόλιν, ἀκόντων τῶν οὐ βουλομένων ταῦτα οὕτως ἔχειν· τάδε δὲ ὑμῶν δέομαι, μετ' εὐνοίας μου τὴν ἀκρόασιν τῆς ἀπολογίας ποιήσασθαι, καὶ μήτ' ἐμοὶ ἀντιδίκους καταστῆναι μήτε ὑπονοεῖν τὰ λεγόμενα μήτε ῥήματα θηρεύειν, ἀκροασαμένους δὲ διὰ τέλους τῆς ἀπολογίας, τότε ἤδη ψηφίζεσθαι τοῦθ' ὅ τι ἂν ὑμῖν αὐτοῖς ἄριστον καὶ εὐορκότατον νομίζητε εἶναι. (10) Ὥσπερ δὲ καὶ προεῖπον ὑμῖν, ὦ ἄνδρες, ἐξ ἀρχῆς περὶ πάντων ποιήσομαι τὴν ἀπολογίαν, πρῶτον μὲν περὶ αὐτῆς τῆς αἰτίας ὅθεν περ ἡ ἔνδειξις ἐγένετο, διόπερ εἰς τὸν ἀγῶνα τόνδε κατέστην, περὶ τῶν μυστηρίων ὡς οὔτ' ἐμοὶ ἠσέβηται οὐδὲν οὐδὲ μεμήνυται οὐδ' ὡμολόγηται, οὔτ' οἶδα τοὺς μηνύσαντας ὑμῖν περὶ αὐτῶν οὔτ' εἰ ψευδῆ οὔτ' εἰ ἀληθῆ ἐμήνυσαν· ταῦθ' ὑμᾶς διδάξω.

tiam; quum sciatis, etiamsi pari diligentia ambas partes audiatis, defendentem tamen loco semper esse iniquiore. Alteri enim accusationem edunt, dudum ante ex insidiis præmeditatam et compositam, versantes ipsi extra periculum: ego vero metu et periculo atque infamia obrutus maxima, ad mei purgationem accedo. Quocirca vos decet, erga me animis magis, quam erga accusatores, propendere. (7) Præterea hoc quoque vos reputare velim, sæpe factum esse ut accusatores, qui reos criminibus plurimisque et atrocissimis onerassent, statim tam aperte mendaciorum convincerentur, ut vos multo libentius accusatores condemnaveritis, quam accusatos; non raro item usu venire, ut falsi testes, quum insontes per nefas perdidissent, falsi testimonii coram vobis dicti coarguantur, at tum demum, quum id jam nil prodesse possit iis, qui malum accepissent. Errores igitur hujusmodi quum multi jam evenerint, consentaneum est vos accusatorum criminationibus non protinus fidem adhibere. Nihil enim aliud ex accusatoris oratione licet colligere, quam hoc, atrociane sint an minus, quorum reus insimulatur; verane autem illa sint necne, id vero negatum vobis est prius intelligere, quam ex me audiveritis, quæ pro me dixero.

8. Jam delibero mecum, unde ordiri defensionem debeam; utrum a novissime factis, hoc est, utrum vos docere debeam accusatorem contra formulam juris actionem ἐνδείξεως adversus me instituisse; an Isotimidæ decretum dudum abrogatum esse; an, quæ leges et quæ pacta jurejurando sancita accusationi huic obstent; an denique a principio inde repetens totam rem ut gesta fuit ordine exsequar. Dicam vobis, hanc dubitationem quid præcipue mihi injecerit: non est vobis omnibus æqualis ad omnia accusationis capita severitas, sed alii vestrûm aliud crimen ante omnia a me dilui cupiunt; atqui omnibus simul occurri nequit. Quapropter consultissimum duco, me a principio inde orsum, quæ gesta sunt, omnia enarrare atque vos docere, nihil omittentem. Recte enim si rem edocti totam teneatis, facile dignoscetis mendacia, quibus me accusatores oppressum ierunt. (9) Ac quum justa vos pronuntiare paratos esse censeam, qua re confisus ego in urbe mansi, cernens vos et privatis et publicis in causis hoc summi facere, ut in pronuntiando jusjurandum vestrum tueamini (quæ una res sola civitatem continet, invitis iis, qui id ita esse nolint): hoc tantum vos rogo, ut benevoli me audiatis causam meam dicentem, neque personam accusatorum suscipiatis, neque veritatem a me dicendorum suspectam habeatis neque vocabula aucupemini; sed ad finem usque defensionem meam audiatis, atque tum demum id pronuntietis, quod vobis et verissimum et cum jurejurando a vobis dicto convenientissimum videbitur esse. (10) Jam igitur, ut promisi vobis, ex ordine de omnibus ita defensionem meam instituam, ut primum dicam de ipsa accusatione, unde actio hæc indicationis mihi coaluit, de sacris puta Eleusiniis, atque palam vobis faciam, neque impietatem a me commissam esse, neque consortem impietatis quenquam indicatum, neque mea memet confessione gravatum esse, neque mihi constare verane sint an falsa, quæ indices de profanatoribus retulerunt.

11. Ἦν μὲν γὰρ ἐκκλησία τοῖς στρατηγοῖς τοῖς εἰς Σικελίαν, Νικίᾳ καὶ Λαμάχῳ καὶ Ἀλκιβιάδῃ, καὶ τριήρης ἡ στρατηγὶς ἤδη ἐξώρμει ἡ Λαμάχου· ἀναστὰς δὲ Πυθόνικος ἐν τῷ δήμῳ εἶπεν· « ὦ Ἀθηναῖοι, ὑμεῖς μὲν στρατιὰν ἐκπέμπετε καὶ παρασκευὴν τοσαύτην καὶ κίνδυνον ἀρεῖσθαι μέλλετε· Ἀλκιβιάδην δὲ τὸν στρατηγὸν ἀποδείξω ὑμῖν τὰ μυστήρια ποιοῦντα ἐν οἰκίᾳ μεθ' ἑτέρων, καὶ ἐὰν ψηφίσησθε ἄδειαν ὡς ἐγὼ κελεύω, θεράπων ὑμῖν ἑνὸς τῶν ἐνθάδε ἀνδρῶν ἀμύητος ὢν ἐρεῖ τὰ μυστήρια, εἰ δὲ μή, χρῆσθε ἐμοὶ ὅ τι ἂν ὑμῖν δοκῇ, ἐὰν μὴ τἀληθῆ λέγω. » (12) Ἀντιλέγοντος δὲ Ἀλκιβιάδου πολλὰ καὶ ἐξάρνου ὄντος, ἔδοξε τοῖς πρυτάνεσι τοὺς μὲν ἀμυήτους μεταστήσασθαι, αὐτοὺς δ' ἰέναι ἐπὶ τὸ μειράκιον ὃ ὁ Πυθόνικος ἐκέλευε. Καὶ ᾤχοντο, καὶ ἤγαγον θεράποντα Πολεμάρχου· Ἀνδρόμαχος αὐτῷ ὄνομα ἦν. Ἐπεὶ δὲ ἐψηφίσαντο αὐτῷ τὴν ἄδειαν, ἔλεγεν ὅτι ἐν τῇ οἰκίᾳ τῇ Πουλυτίωνος γίγνοιτο μυστήρια· Ἀλκιβιάδην μὲν οὖν καὶ Νικιάδην καὶ Μέλητον, τούτους μὲν αὐτοὺς εἶναι τοὺς ποιοῦντας, συμπαρεῖναι δὲ καὶ ὁρᾶν τὰ γιγνόμενα καὶ ἄλλους, παρεῖναι δὲ καὶ δούλους, ἑαυτόν τε καὶ τὸν ἀδελφὸν καὶ Ἱκέσιον τὸν αὐλητὴν καὶ τὸν Μελήτου δοῦλον. (13) Πρῶτος μὲν οὗτος ταῦτα ἐμήνυσε, καὶ ἀπέγραψε τούτους· ὧν Πολύστρατος μὲν συνελήφθη καὶ ἀπέθανεν, οἱ δὲ ἄλλοι φεύγοντες ᾤχοντο, καὶ αὐτῶν ὑμεῖς θάνατον κατέγνωτε. Καί μοι λαβὲ καὶ ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα.

ΟΝΟΜΑΤΑ.

Τούσδε Ἀνδρόμαχος ἐμήνυσεν· Ἀλκιβιάδην, Νικιάδην, Μέλητον, Ἀρχεβιάδην, Ἄρχιππον, Διογένην, Πολύστρατον, Ἀριστομένη, Ἰωνίαν, Παναίτιον.

14. Πρώτη μέν, ὦ ἄνδρες, μήνυσις ἐγένετο αὕτη ὑπὸ Ἀνδρομάχου κατὰ τούτων τῶν ἀνδρῶν. Καί μοι κάλει Διόγνητον.

Ἦσθα ζητητής, ὦ Διόγνητε, ὅτε Πυθόνικος εἰσήγγειλεν ἐν τῷ δήμῳ περὶ Ἀλκιβιάδου; Ἦν. Οἶσθα οὖν μηνύσαντα Ἀνδρόμαχον τὰ ἐν τῇ οἰκίᾳ τῇ Πουλυτίωνος γινόμενα; Οἶδα. Τὰ ὀνόματα οὖν τῶν ἀνδρῶν ἐστι ταῦτα, καθ' ὧν ἐκεῖνος ἐμήνυσεν; Ἔστι ταῦτα.

15. Δευτέρα τοίνυν μήνυσις ἐγένετο. Τεῦκρος ἦν ἐνθάδε μέτοικος, ὃς ᾤχετο Μέγαράδε ὑπεξελθών, ἐκεῖθεν δὲ ἐπαγγέλλεται τῇ βουλῇ, εἴ οἱ ἄδειαν δοῖεν, μηνύσειν περὶ τῶν μυστηρίων, συνεργὸς ὤν, καὶ τοὺς ἄλλους τοὺς ποιοῦντας μεθ' ἑαυτοῦ, καὶ περὶ τῶν Ἑρμῶν τῆς περικοπῆς ἃ ᾔδει. Ψηφισαμένης δὲ τῆς βουλῆς (ἦν γὰρ αὐτοκράτωρ) ᾤχοντο ἐπ' αὐτὸν Μέγαράδε· καὶ κομισθείς, ἄδειαν εὑρόμενος, ἀπογράφει τοὺς μεθ' ἑαυτοῦ. Καὶ οὗτοι κατὰ τὴν Τεύκρου μήνυσιν ᾤχοντο φεύγοντες. Καί μοι λαβὲ καὶ ἀνάγνωθι τὰ ὀνόματα αὐτῶν.

ΟΝΟΜΑΤΑ.

Τούσδε Τεῦκρος ἐμήνυσε· Φαῖδρον, Γνιφωνίδην, Ἰσόνομον, Ἡφαιστόδωρον, Κηφισόδωρον, ἑαυτόν, Διόγνητον, Σμινδυρίδην, Φιλοκράτην, Ἀντιφῶντα, Τίσαρχον, Παντακλέα.

11. Habebatur concio, qua mandata essent danda imperatoribus classis in Siciliam mittendæ, Niciæ puta et Lamacho et Alcibiadi: jam triremis illa Lamachi imperatoris extra portum stabat in ancora: ibi Pythonicus assurgens coram populo dicit: « Vos quidem exercitum ablegatis tantum tanto cum apparatu, et periculum adire parati estis: ego vero planum vobis faciam, imperatorem vestrum Alcibiadem sacra Eleusinia in domo quadam una cum aliis quibusdam factitare; et si, me suadente, impunitatem iudici detis, servus alicujus viri clari, coram assidentis, non initiatus ille, mysteria vobis enarrabit. Sin minus, neque vera dixerim, do vobis corporis mei potestatem. » (12) Cui quum multa oblocutus esset Alcibiades, factum infitians, visum fuit prytanibus discessum e concione non initiatis imperare; ipsi autem ad puerum ibant, ad quem Pythonicus eos ablegabat. Reversi secum adducebant servum Polemarchi: cui servo nomen erat Andromacho. Is, promissa decreto impunitate si indicaret, confirmavit, sacra Eleusinia domi Pulytionis agi: Alcibiadem et Niciadem et Meletum agere partes sacerdotum sacra facientium, sed alios quoque adesse spectatores eorum quæ fierent, atque servos adeo interesse, ut se fratremque et Hicesiam tibicinem et Meleti servum. (13) Hic igitur primus hæc indicavit, et horum edidit nomina publicis in tabulis consignanda: quorum unus Polystratus comprehensus et morti datus fuit; reliqui enim fuga devitarunt supplicium, quod vos ipsi irrogaveratis. Cape tu istoc et recita.

NOMINA.

Andromachus hosce indicavit: Alcibiadem, Niciadem, Meletum, Archebiadem, Archippum, Diogenem, Polystratum, Aristomenem, Ioniam, Panætium.

14. Prima fuit hæc, o viri, ab Andromacho facta indicatio contra hos, quos dixi. Et tu cita mihi Diognetum.

Dic, Diognete, fuistine inquisitor, quum Pythonicus in concione populi Alcibiadem deferret? Fui. Nosti ergo Andromachum indicasse ea, quæ domi Pulytionis fierent? Novi. Nomina virorum, quos ille detulit, suntne hæc? Sunt.

15. Secunda denuntiatio hæc est. Teucer ibi erat inquilinus qui periculum devitans Megaram se transtulit. Unde senatui (Atheniensi) recipiebat, si impunitatem adipisceretur, quæ de sacris profanatis nosset, indicaturum, quippe qui sceleris consors fuisset, et reliquos nominatim proditurum qui secum scelus participassent, nec non de Hermis mutilatis quæ nosset omnia in lucem prolaturum. Decreto senatus, qui plenam potestatem habebat, missi sunt Megaram qui Teucrum arcesserent: is, impetrata impunitate, huc reversus, nomina edebat eorum quos sui secum sceleris aiebat esse consortes. Etiam hi secundum Teucri indicium fuga salutem quærebant. Cape tu mihi hæc ipsorum nomina atque recita.

NOMINA.

Teucer hos indicavit: Phædrum, Gniphonidem, Isonomum, Hephæstodorum, Cephisodorum, se ipsum, Diognetum, Smindyridem, Philocratem, Antiphontem, Tisarchum, Pantaclem.

Μέμνησθε δέ, ὦ ἄνδρες, ὅτι καὶ ταῦθ' ὑμῖν προσωμολόγηται ἅπαντα.

16. Τρίτη μήνυσις ἐγένετο. Ἡ γυνὴ Ἀλκμαιονίδου, γενομένη δὲ καὶ Δάμωνος, — Ἀγαρίστη ὄνομα αὐτῇ — αὕτη ἐμήνυσεν ἐν τῇ οἰκίᾳ τῇ Χαρμίδου τῇ παρὰ τὸ Ὀλύμπιον μυστήρια ποιεῖν Ἀλκιβιάδην καὶ Ἀξίοχον καὶ Ἀδείμαντον· καὶ ἔφευγον οὗτοι πάντες ἐπὶ ταύτῃ τῇ μηνύσει.

17. Ἔτι μήνυσις ἐγένετο μία. Λυδὸς ὁ Φερεκλέους τοῦ Θημακέως ἐμήνυσε μυστήρια γίνεσθαι ἐν τῇ οἰκίᾳ Φερεκλέους τοῦ δεσπότου τοῦ ἑαυτοῦ, ἐν Θημακῷ· καὶ ἀπογράφει τούς τε ἄλλους, καὶ τὸν πατέρα ἔφη τὸν ἐμὸν παρεῖναι μέν, καθεύδειν δὲ ἐγκεκαλυμμένον. Σπεύσιππος δὲ βουλεύων παραδίδωσιν αὐτοὺς τῷ δικαστηρίῳ. Κἄπειτα ὁ πατὴρ καταστήσας ἐγγυητὰς ἐγράψατο τὸν Σπεύσιππον παρανόμων, καὶ ἠγωνίσατο ἐν ἑξακισχιλίοις Ἀθηναίων, καὶ μετέλαβε δικαστῶν τοσούτων οὐδὲ διακοσίας ψήφους ὁ Σπεύσιππος. Ὁ δὲ πείσας καὶ δεόμενος μεῖναι τὸν πατέρα ἐγὼ ἦν μάλιστα, εἶτα δὲ καὶ οἱ ἄλλοι συγγενεῖς. (18) Καί μοι κάλει Καλλίαν καὶ Στέφανον, κάλει δὲ καὶ Φίλιππον καὶ Ἀλέξιππον· οὗτοι γάρ εἰσιν Ἀκουμενοῦ καὶ Αὐτοκράτορος συγγενεῖς, οἳ ἔφευγον ἐπὶ τῇ Λυδοῦ μηνύσει· τοῦ μὲν ἀδελφιδοῦς ἐστιν Αὐτοκράτωρ, τοῦ δὲ θεῖος Ἀκουμενός· οἷς προσήκει μισεῖν μὲν τὸν ἐξελάσαντα ἐκείνους, εἰδέναι δὲ μάλιστα δι' ὅντινα ἔφευγον. Βλέπετε εἰς τούτους, καὶ μαρτυρεῖτε εἰ ἀληθῆ λέγω.

ΜΑΡΤΥΡΕΣ.

19. Τὰ μὲν γενόμενα ἠκούσατε, ὦ ἄνδρες, καὶ ὑμῖν οἱ μάρτυρες μεμαρτυρήκασιν· ἃ δὲ οἱ κατήγοροι ἐτόλμησαν εἰπεῖν, ἀναμνήσθητε. Οὕτω γὰρ καὶ δίκαιον ἀπολογεῖσθαι, ἀναμιμνήσκοντα τοὺς τῶν κατηγόρων λόγους ἐξελέγχειν. Ἔλεξαν γὰρ ὡς ἐγὼ μηνύσαιμι περὶ τῶν μυστηρίων, ἀπογράψαιμί τε τὸν πατέρα τὸν ἐμαυτοῦ παρόντα, καὶ γενοίμην μηνυτὴς κατὰ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ, λόγον οἶμαι πάντων δεινότατόν τε καὶ ἀνοσιώτατον λέγοντες. Ὁ μὲν γὰρ ἀπογράψας αὐτὸν Λυδὸς ἦν ὁ Φερεκλέους, ὁ δὲ πείσας ὑπομεῖναι καὶ μὴ οἴχεσθαι φεύγοντα ἐγώ, πολλὰ ἱκετεύσας καὶ λαμβανόμενος τῶν γονάτων. (20) Καίτοι τί ἐβουλόμην, εἰ ἐμήνυσα μὲν κατὰ τοῦ πατρός, ὡς οὗτοί φασιν, ἱκέτευον δὲ τὸν πατέρα μείναντά τι παθεῖν ὑπ' ἐμοῦ, καὶ ὁ πατὴρ ἐπείσθη ἀγῶνα τοιοῦτον ἀγωνίσασθαι, ἐν ᾧ δυοῖν τοῖν μεγίστοιν κακοῖν οὐκ ἦν αὐτῷ ἁμαρτεῖν; ἢ γὰρ ἐμοῦ δόξαντος τὰ ὄντα μηνῦσαι κατ' ἐκείνου ὑπ' ἐμοῦ ἀποθανεῖν, ἢ αὐτῷ σωθέντι ἐμὲ ἀποκτεῖναι. Ὁ γὰρ νόμος οὕτως εἶχεν· εἰ μὲν τἀληθῆ μηνύσειέ τις, εἶναι τὴν ἄδειαν, εἰ δὲ τὰ ψευδῆ, τεθνάναι. Καὶ μὲν δὴ τοῦτό γε ἐπίστασθε πάντες, ὅτι ἐσώθην καὶ ἐγὼ καὶ ὁ ἐμὸς πατήρ· οἷόν τε δ' οὐκ ἦν, εἴπερ ἐγὼ μηνυτὴς ἐγενόμην περὶ τοῦ πατρός, ἀλλ' ἢ ἐμὲ ἢ ἐκεῖνον ἔδει ἀποθανεῖν. (21) Φέρε δὴ τοίνυν, εἰ καὶ πατὴρ ἐβούλετο ὑπομένειν, τοὺς φίλους ἂν οἴεσθε ἢ ἐπιτρέπειν αὐτῷ

Meministis utique, viri, etiam hæc omnia coram vobis confessionibus esse confirmata.

16. Tertia tum facta est istæc indicatio. Mulier, Agarista nomine, quæ penes Alcmæonidem nunc est in matrimonio, olim penes Damonem fuit, hæc igitur indicavit, in domo Charmidæ, quæ prope fanum Olympium est, Alcibiadem sacra arcana factitare nec non Axiochum et Adimantum; ab hac indicatione etiam hi aufugerunt.

17. Una adhuc superest indicatio. Lydus erat servus Pherेclis Themaciensis : hic indicavit, in domo Phereclis heri sui in Themaco sacra clam mysteria agi; aliaque inter nomina ab ipso edita mei quoque patris nomen edidit, quem dixit interfuisse quidem, sed pallio involutum dormivisse. Speusippus, tum senator, hos a Lydo indicatos judicio tradebat. Verum pater, datis vadibus, actionem in Speusippum ordiebatur ex titulo processus contra formulam juris forensis : quod certamen in consessu civium sexies mille decertatum est; quo e tanto numero Speusippus ne ducenta quidem tulit suffragia. Ut autem pater in urbe maneret, ego inprimis auctoritate mea precibusque ab eo impetravi, accedentibus eo aliorum quoque cognatorum cohortationibus. (18) Cita tu mihi Calliam et Stephanum, et Philippum et Alexippum : sunt enim hi cognati Acumeni et Autocratoris, qui secundum Lydi indicium fugerunt; alterius enim [*Calliæ*] e fratre [vel sorore] nepos est Autocrator, alterius autem [*Stephani*] avunculus est [vel patruus] Acumenus : quos par est, ut odisse eum qui cognatos suos hinc expulit, ita optime quoque eum nosse per quem illis ex urbe aufugiendi necessitas admota fuit. Intuemini vos in horum [*judicum*] vultus, et testamini, num vera loquar.

TESTES.

19. Facta audistis, viri, ex me et e testium confirmationibus : accusatores autem quæ dixerint, recordamini. Ita enim par est defendentem se gerere, ut nempe, quum criminationes accusatorum judicibus in memoriam revocaverit, tum demum eas refutet. Affirmarunt nimirum, de sacris arcanis me indicasse, et in nominibus eorum qui interfuissent, patris quoque nomen exhibuisse : sic factum me esse indicem patris : quæ profecto est atrocissima omnium atque scelestissima oratio. Nam qui nomen ejus detulit, is Lydus fuit Phereclis servus · fugere autem volentem patrem ego retinui multis precibus, ad genua ejus supplex advolutus. (20) Atqui quid mihi voluissem si ipse, ut isti agunt, patrem indicassem, eundemque supplex rogassem, ut maneret et perdi se a me pateretur? Aut quid spectans pater, precibus meis victus, in ejusmodi certamen descendit, in quo facere non poterat quominus in duorum malorum alterum incurreret : aut enim ego necem ei necessario parassem, si visus fuissem vera detulisse; aut absolutus ille mihi necem attulisset. Lex enim sic edicit : indicii ratam esse impunitatem, si vera quis indicaverit; sin falsa, moriendum ipsi esse. Jam certi estis vos omnes, meque patremque salvos abiisse : id quod fieri nullo modo potuisset, si ego patrem detulissem : eo enim facto necesse utique fuisset aut eum aut me extremum pati supplicium. (21) Fac tamen, patrem manere voluisse : existimatisne, passu-

μένειν ἢ ἐγγυήσασθαι, ἀλλ' οὐκ ἂν παραιτεῖσθαι καὶ δεῖσθαι ἀπιέναι ὅπου ἂν ἔμελλεν αὐτὸς σωθήσεσθαι ἐμέ τε οὐκ ἀπολεῖν; (22) Ἀλλὰ γὰρ καὶ ὅτε Σπεύσιππον ἐδίωκεν ὁ πατὴρ τῶν παρανόμων, αὐτὰ ταῦτα ἔλεγεν, ὡς οὐδεπώποτε ἔλθοι εἰς Θημακὸν ὡς Φερεκλέα· ἐκέλευε δὲ βασανίσαι τὰ ἀνδράποδα, καὶ μὴ τοὺς μὲν παραδιδόντας μὴ ἐθέλειν ἐλέγχειν, τοὺς δὲ μὴ 'θέλοντας ἀναγκάζειν. Ταῦτα δὲ λέγοντος τοῦ πατρὸς τοῦ ἐμοῦ, ὡς ἅπαντες ἴστε, τί ὑπελείπετο τῷ Σπευσίππῳ λέγειν, εἰ ἀληθῆ οἵδε λέγουσιν, ἀλλ' ἢ « Ὦ Λεωγόρα, τί βούλει περὶ θεραπόντων λέγειν; οὐχ ὁ υἱὸς οὑτοσὶ μεμήνυκε κατὰ σοῦ, καὶ φησί σε παρεῖναι ἐν Θημακῷ; ἔλεγχε σὺ τὸν πατέρα, ἢ οὐκ ἔστι σοι ἄδεια. » Ταυτὶ ἔλεγεν ἂν ὁ Σπεύσιππος, ὦ ἄνδρες· ἢ οὔ; ἐγὼ μὲν οἶμαι. (23) Εἰ τοίνυν ἀνέβην ἐπὶ δικαστήριον, ἢ λόγος τις περὶ ἐμοῦ ἐγένετο, ἢ μήνυσίς τις ἐμή ἐστιν ἢ ἀπογραφή, μὴ ὅτι ἐμὴ καθ' ἑτέρου, ἀλλ' εἰ καὶ ἄλλου τινὸς κατ' ἐμοῦ, ἐλεγχέτω με ὁ βουλόμενος ἐνταῦθα ἀναβάς. Ἀλλὰ γὰρ λόγον ἀνοσιώτερον καὶ ἀπιστότερον οὐδένα πώποτ' ἐγὼ εἰπόντας οἶδα, οἳ τοῦτο μόνον ἡγήσαντο δεῖν, τολμῆσαι κατηγορῆσαι· εἰ δ' ἐλεγχθήσονται ψευδόμενοι, οὐδὲν αὐτοῖς ἐμέλησεν. (24) Ὥσπερ οὖν, εἰ ἀληθῆ ἦν ταῦτα ἅ μου κατηγόρησαν, ἐμοὶ ἂν ὠργίζεσθε καὶ ἠξιοῦτε δίκην τὴν μεγίστην ἐπιτιθέναι, οὕτως ἀξιῶ ὑμᾶς, γινώσκοντας ὅτι ψεύδονται, πονηρούς τε αὐτοὺς νομίζειν, χρῆσθαί τε τεκμηρίῳ ὅτι εἰ τὰ δεινότατα τῶν κατηγορηθέντων περιφανῶς ἐλέγχονται ψευδόμενοι, ἦ που τά γ' ἄλλα πολλῷ φαυλότερα ῥᾳδίως ὑμῖν ἀποδείξω ψευδομένους αὐτούς.

25. Αἱ μὲν μηνύσεις ὧδε περὶ τῶν μυστηρίων αὗται ἐγένοντο τέτταρες· οἳ δὲ ἔφευγον καθ' ἑκάστην μήνυσιν, ἀνέγνων ὑμῖν τὰ ὀνόματα αὐτῶν, καὶ οἱ μάρτυρες μεμαρτυρήκασιν. Ἔτι δὲ πρὸς τούτοις ἐγὼ πιστότητος ὑμῶν ἕνεκα, ὦ ἄνδρες, τάδε ποιήσω. Τῶν γὰρ φευγόντων ἐπὶ τοῖς μυστηρίοις οἱ μέν τινες ἀπέθανον φεύγοντες, οἱ δ' ἥκουσι καί εἰσιν ἐνθάδε καὶ πάρεισιν ὑπ' ἐμοῦ κεκλημένοι. (26) Ἐγὼ οὖν ἐν τῷ ἐμῷ λόγῳ δίδωμι τῷ βουλομένῳ ἐμὲ ἐλέγξαι ὅτι ἔφυγέ τις αὐτῶν δι' ἐμὲ ἢ ἐμήνυσα κατ' αὐτοῦ, ἢ οὐχ ἕκαστοι ἔφυγον κατὰ τὰς μηνύσεις ταύτας ἃς ἐγὼ ὑμῖν ἀπέδειξα. Καὶ ἐάν τις ἐλέγξῃ με ὅτι ψεύδομαι, χρήσασθέ μοι ὅ τι βούλεσθε· καὶ σιωπῶ, καὶ παραχωρῶ, εἴ τις ἀναβαίνειν βούλεται.

27. Φέρε δή, ὦ ἄνδρες, μετὰ ταῦτα τί ἐγένετο; ἐπειδὴ αἱ μηνύσεις ἐγένοντο, περὶ τῶν μηνύτρων (ἦσαν γὰρ κατὰ τὸ Κλεωνύμου ψήφισμα χίλιαι δραχμαί, κατὰ δὲ τὸ Πεισάνδρου μύριαι) περὶ δὲ τούτων ἠμφισβήτουν οὗτοί τε οἱ μηνύσαντες καὶ Πυθόνικος, φάσκων πρῶτος εἰσαγγεῖλαι, καὶ Ἀνδροκλῆς ὑπὲρ τῆς βουλῆς. (28) Ἔδοξεν οὖν τῷ δήμῳ ἐν τῷ τῶν θεσμοθετῶν δικαστηρίῳ τοὺς μεμυημένους, ἀκούσαντας τὰς μηνύσεις ἃς ἕκαστος ἐμήνυσε, διαδικάσαι. Καὶ ἐψηφίσαντο πρώτῳ μὲν Ἀνδρομάχῳ, δευτέρῳ δὲ Τεύκρῳ, καὶ ἔλαβον Παναθηναίων τῷ ἀγῶνι Ἀνδρόμαχος μὲν μυρίας δραχμάς,

ros fuisse amicos eum manere aut ipsos voluisse fidejussores ejus fieri, et non potius eum dehortaturos fuisse atque rogaturos, ut eo se reciperet, ubi et ipse salvus esset futurus, et me non perditurus? (22) Imo vero quum pater Speusippum actione occepti contra jus forense processus persequeretur, hæc ipse dicebat, in Themacum ad Phereclem se nunquam venisse : mancipia sua torqueri jussit, negans æquum esse, si quis sponte sua servos torquendos offerat, vos tum conditionem repudiare; contra qui tradere recuset, eum ad tradendum cogere. Hæc patri tum pro se disputanti, uti omnes probe nostis, quid (si vera accusatores mei dicerent) erat Speusippo reliquum quod opponeret aliud quam hoc : « Quid tu mihi multa, Leogora, de mancipiis blateras? Non filius te tuus indicavit? non is te ait in Themaco affuisse? Argue tu, Andocide, patrem, aut nulla tibi superest impunitas. » Hac oratione tum fuisset usurus Speusippus; aut num minus vobis videtur? Usurus utique fuit, mea quidem sententia. (23) Quodsi ergo in judicium tum ascensi, aut sermo de me fuit, aut indicatio quædam vel indiculus exstat, non dicam a me in alium, sed solummodo ab alio in me tum prolatus; ascendito huc quicunque vult, et me coarguito. Verum enimvero non novi, qui magis impia et improbabiliora dixerint, quam hi, qui eo tantum opus esse putarunt ut auderent accusare; quid autem futurum esset, si mendacii convincerentur, nihil curarunt. (24) Quemadmodum igitur, vera si fuissent crimina quorum me insimulant, vos indignati pœnam mihi gravissimam inflicturi fuissetis, sic ego vos nunc rogo ut hos, quos mendaces deprehenderitis, homines impios habeatis, et hinc colligatis, facili negotio me posse reliquis quoque in rebus, quæ momenti sunt multo levioris, hos mendacii arguere, qui in momentis accusationis longe gravissimis perspicui mendacii convicti sint.

25. Hoc igitur modo quattuor factæ sunt de sacris profanatis indicationes hæ, quas dixi : secundum quarum unamquamque qui in exilium ierunt, eorum vobis recitavi nomina, et testes testati sunt. Ego vero, quo fidem vobis creem tanto certiorem, præter ista hoc adhuc faciam. Eorum, qui per causam horum sacrorum in exilium ierunt, alii decesserunt exules, alii vero domum redierunt et in urbe versantur et a me invitati hoc in judicio præsto mihi sunt. (26) Horum igitur unicuique permitto, currente aqua mea, mendacii ut me coarguat, docendo, aut ipsorum aliquem propter meum indicium in exilium migrasse, aut non singulos quosque fugisse per illas quas modo dixi indicationes. Si quis me mendacii coarguat, statuite de me quicquid lubebit; et conticesco, et decedo, si quis huc ascendere volet.

27. Age, videamus jam, viri, post istæc quid evenerit. Post indicationes videlicet orta est de præmiis earum contentio — nam e Cleonymi decreto mille drachmæ, e Pisandri autem decies mille constitutæ erant —, de his itaque inter se contendebant indices et Pythonicus, se primum indicasse dicens, et Androcles qui præmium hoc senatui deberi contendebat. (28) Placuit itaque populo, ut senatores initiati in dicasterio Thesmothetarum examinarent quænam quisque indicia fecisset, et de dandis præmiis disceptarent. Ac primum quidem præmium Andromacho, secundum autem Teucro adjudicarunt, et ille quidem de-

Τεῦκρος δὲ χιλίας. Καί μοι κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

29. Περὶ μὲν τῶν μυστηρίων, ὦ ἄνδρες, ὧν εἵνεκα ἡ ἔνδειξις ἐγένετο καὶ περὶ ὧν ὑμεῖς οἱ μεμυημένοι εἰσεληλύθατε, ἀποδέδεικταί μοι ὡς οὔτε ἠσέβηκα οὔτε μεμήνυκα περὶ οὐδενὸς οὔτε ὡμολόγηκα περὶ αὐτῶν, οὐδὲ ἔστι μοι ἁμάρτημα περὶ τὼ θεὼ οὔτε μεῖζον οὔτ' ἔλαττον οὐδὲ ἕν. Ὅπερ ἐμοὶ περὶ πλείστου ἐστὶν ὑμᾶς πεῖσαι. Καὶ γὰρ οἱ λόγοι τῶν κατηγόρων ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον, καὶ λόγους εἶπον ὡς πρότερον ἑτέρων ἁμαρτόντων καὶ ἀσεβησάντων περὶ τὼ θεώ, οἷα ἕκαστος αὐτῶν ἔπαθε καὶ ἐτιμωρήθη. (30) Τούτων οὖν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔργων τί προσήκει; ἐγὼ γὰρ πολὺ μᾶλλον ἐκείνων κατηγορῶ καὶ δι' αὐτὸ τοῦτό φημι δεῖν ἐκείνους μὲν ἀπολέσθαι, ὅτι ἠσέβησαν, ἐμὲ δὲ σώζεσθαι, ὅτι οὐδὲν ἡμάρτηκα. Ἦ δεινόν γ' ἂν εἴη εἰ ἐμοὶ ὀργίζοισθε ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ τὴν εἰς ἐμὲ διαβολὴν εἰδότες ὅτι ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν λέγεται, κρείττω τῆς ἀληθείας ἡγήσεσθε. Δηλονότι γὰρ τοῖς μὲν ἡμαρτηκόσι τὰ τοιαῦτα ἁμαρτήματα οὐκ ἔστιν ἀπολογία ὡς οὐκ ἐποίησαν· ἡ γὰρ βάσανος δεινὴ παρὰ τοῖς εἰδόσιν· ἐμοὶ δὲ ὁ ἔλεγχος ἥδιστος, ἐν οἷς ὑμῶν οὐδέν με δεῖ δεόμενον οὐδὲ παραιτούμενον σωθῆναι ἐπὶ τοιαύτῃ αἰτίᾳ, ἀλλ' ἐλέγχοντα τοὺς τῶν κατηγόρων λόγους. (31) Καὶ ὑμᾶς ἀναμιμνήσκω τὰ γεγενημένα, οἵτινες ὅρκους μεγάλους ὀμόσαντες οἴσετε τὴν ψῆφον περὶ ἐμοῦ, καὶ ἀρασάμενοι τὰς μεγίστας ἀρὰς ὑμῖν τε αὐτοῖς καὶ παισὶ τοῖς ὑμετέροις αὐτῶν, ἦ μὴν ψηφιεῖσθαι περὶ ἐμοῦ τὰ δίκαια, πρὸς δὲ τούτοις μεμύησθε καὶ ἑωράκατε τοῖν θεοῖν τὰ ἱερά, ἵνα τιμωρήσητε μὲν τοὺς ἀσεβοῦντας, σώζητε δὲ τοὺς μηδὲν ἀδικοῦντας. (32) Νομίσατε τοίνυν ἀσέβημα οὐδὲν ἔλαττον εἶναι τοὺς μηδὲν ἠδικηκότας ἀσεβεῖν καταγνῶναι ἢ τοὺς ἠσεβηκότας μὴ τιμωρεῖσθαι. Ὥστ' ἐγὼ ὑμῖν πολὺ μᾶλλον τῶν κατηγόρων πρὸς τοῖν θεοῖν ἐπισκήπτω, ὑπέρ τε τῶν ἱερῶν ἃ εἴδετε, καὶ ὑπὲρ τῶν Ἑλλήνων οἳ τῆς ἑορτῆς ἕνεκεν ἔρχονται δεῦρο· εἰ μέν τι ἠσέβηκα ἢ ὡμολόγηκα ἢ ἐμήνυσα κατά τινος ἀνθρώπων, ἢ ἄλλος τις περὶ ἐμοῦ, ἀποκτείνατέ με· οὐ παραιτοῦμαι· (33) εἰ δὲ οὐδὲν ἡμάρτηταί μοι, καὶ τοῦτο ὑμῖν ἀποδείκνυμι σαφῶς, δέομαι ὑμῶν αὐτὸ φανερὸν τοῖς Ἕλλησι πᾶσι ποιῆσαι, ὡς ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα κατέστην. Ἐὰν γὰρ μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων καὶ ἀτιμωθῇ ὁ ἐνδείξας ἐμὲ Κηφίσιος οὑτοσί, οὐκ ἔξεστιν αὐτῷ εἰς τὸ ἱερὸν τοῖν θεοῖν εἰσιέναι, ἢ ἀποθανεῖται. Εἰ οὖν ὑμῖν δοκῶ ἱκανῶς περὶ τούτων ἀπολελογῆσθαι, δηλώσατέ μοι, ἵνα προθυμότερον περὶ τῶν ἄλλων ἀπολογῶμαι.

34. Περὶ δὲ τῶν ἀναθημάτων τῆς περικοπῆς καὶ τῆς μηνύσεως, ὥσπερ καὶ ὑπεσχόμην ὑμῖν, οὕτω καὶ ποιήσω· ἐξ ἀρχῆς γὰρ ὑμᾶς διδάξω ἅπαντα τὰ γεγενημένα. Ἐπειδὴ Τεῦκρος ἦλθε Μεγαρόθεν ἄδειαν εὑρόμενος,

cies mille drachmas tulit, hic autem mille solummodo. Cita tu mihi horum testes.

TESTES.

29. Jam de mysteriis quorum causa hæc delationis actio in me intentata est, de qua vos qui estis initiati cognitum huc convenistis, planum vobis feci, me neque ipsum impii quidquam commisisse neque alios accusasse neque fassum aliquid esse de quoquam alio impietatis reo, denique penes me culpam esse nullam ad sacra dearum pertinentem neque majorem neque minorem. Atque hoc a me vobis persuaderi summi facio: exsultabat quidem hoc in loco accusatorum oratio, nescio quæ formidanda atque tremenda prædicans; repetebant enim quam sævas olim qui circa deas peccassent, impietatis pœnas dedissent. (30) Harum autem narrationum horumque facinorum quid ad me pertinet? Multo enim æquius ego illos accusem, et propter hoc ipsum aio, illos quidem oportere supplicio dari, quod impii sint, me autem servari, quod nihil deliquerim. Foret utique acerbum, si vos in me sæviretis ob aliena delicta, et falsam criminationem, quam ab inimicis meis profectam nostis, plus valere veritate duceretis oportere. Liquet enim iis, qui talia crimina revera perpetrarunt, in infitiatione nullum esse perfugium. Manet enim eos scrutinium severum ab iis, qui religiones usu suo tenent: mihi vero scrutinium est jucundissimum, ubi ad salutem impetrandam nil opus habeo vos rogare atque deprecari, sed satis est argumenta accusatorum a me refutari, (31) atque facta vobis in memoriam revocari, qui sacramento sanctissimo obstricti de me sitis suffragia laturi, et qui diras gravissimas vobismet ipsis et liberis vestris imprecati sitis nisi in jure de me dicundo æquum et justum sequamini, prætereaque initiati sitis et deorum sacris ipsi spectatores interfueritis; vobis itaque facta solummodo ad memoriam revocanda sunt, quo quum impios puniatis, tum insontes salvos præstetis. (32) Existimate itaque flagitium nihilo levius esse, si homines insontes, impietatis rei facti, a vobis condemnentur, quam si revera contaminatos impietate nil curetis castigare. Quare vobis ego multo etiam magis, quam accusatores faciunt, demando et per deos vos adjuro, tam sacrorum causa quæ spectastis, quam Græcorum qui festi hujus ergo huc conveniunt, ut, si quid impium me commisisse aut aliena convictione aut meamet ipsius confessione constiterit, aut si quem ego alium de impietate indicavero aut alius me, ut vos me tum occidatis; nil deprecor: (33) sin autem nihil hujusmodi peccavi, et vos hujus rei certos feci, tum rogo vos, ut ad Græcos omnes testatum faciatis, me per nefas in hoc certamen conjectum esse. Cephisius enim, qui actionem indicationis hanc in me intendit, si quintam suffragiorum partem haud tulerit, infamia notabitur, eoque facto non licebit ipsi in templum dearum ingredi, aut, si fecerit, morte mulctabitur. Quodsi jam vobis videbor hoc de crimine id quod satis sit dixisse, significate id mihi nutu, quo de reliquis quoque me hoc confidentius purgem.

34. Jam de indicatione ad simulacrorum amputationem pertinente, ut recepi vobis facturum, ita nunc faciam, ut rem a principio inde totam enarrando vobis proponam. Teucer ut, impunitatem nactus, a Megara huc rediit, et de

μηνύει περί τε τῶν μυστηρίων ἃ ᾔδει καὶ τῶν περικοψάντων τὰ ἀναθήματα, καὶ ἀπογράφει δυοῖν δέοντας εἴκοσιν ἄνδρας. Ἐπειδὴ δὲ οὗτοι ἀπεγράφησαν, οἱ μὲν αὐτῶν φεύγοντες ᾤχοντο, οἱ δὲ συλληφθέντες ἀπέθανον κατὰ τὴν Τεύκρου μήνυσιν. Καί μοι ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα.

ΟΝΟΜΑΤΑ:

35. Τεῦκρος ἐπὶ τοῖς Ἑρμαῖς ἐμήνυσεν Εὐκτήμονα, Γλαύκιππον, Εὐρύμαχον, Πολύευκτον, Πλάτωνα, Ἀντίδωρον, Χάριππον, Θεόδωρον, Ἀλκισθένην, Μενέστρατον, Ἐρυξίμαχον, Εὐφίλητον, Εὐρυδάμαντα, Φερεκλέα, Μέλητον, Τιμάνθην, Ἀρχίδαμον, Τελένικον.

Τούτων τοίνυν τῶν ἀνδρῶν οἱ μὲν ἥκουσι καὶ εἰσὶν ἐνθάδε, τῶν δὲ ἀποθανόντων εἰσὶ πολλοὶ προσήκοντες· ὧν ὅστις βούλεται, ἐν τῷ ἐμῷ λόγῳ ἀναβάς με ἐλεγξάτω ἢ ὡς ἔφυγέ τις δι' ἐμὲ τούτων τῶν ἀνδρῶν ἢ ὡς ἀπέθανεν.

36. Ἐπειδὴ δὲ ταῦτα ἐγένετο, Πείσανδρος καὶ Χα-
6 ρικλῆς, ὄντες μὲν τῶν ζητητῶν, δοκοῦντες δ' ἐν ἐκείνῳ τῷ χρόνῳ εὐνούστατοι εἶναι τῷ δήμῳ, ἔλεγον ὡς εἴη τὰ ἔργα τὰ γεγενημένα οὐκ ὀλίγων ἀνδρῶν, ἀλλ' ἐπὶ τῇ τοῦ δήμου καταλύσει, καὶ χρῆναι ἔτι ζητεῖν καὶ μὴ παύσασθαι. Καὶ ἡ πόλις οὕτως διέκειτο, ὥστ' ἐπειδὴ τὴν βουλὴν εἰς τὸ βουλευτήριον ὁ κῆρυξ ἀνείποι ἰέναι καὶ τὸ σημεῖον καθέλοι, τῷ αὐτῷ σημείῳ ἡ μὲν βουλὴ εἰς τὸ βουλευτήριον ᾔει, οἱ δ' ἐκ τῆς ἀγορᾶς ἔφυγον, δεδιότες εἷς ἕκαστος μὴ συλληφθείη. (37) Ἐπαρθεὶς οὖν τοῖς τῆς πόλεως κακοῖς εἰσαγγέλλει Διοκλείδης εἰς τὴν βουλήν, φάσκων εἰδέναι τοὺς περικόψαντας τοὺς Ἑρμᾶς, καὶ εἶναι αὐτοὺς εἰς τριακοσίους· ὡς δ' ἴδοι καὶ περιτύχοι τῷ πράγματι, ἔλεγε. Καὶ τούτοις, ὦ ἄνδρες, δέομαι ὑμῶν προσέχοντας τὸν νοῦν ἀναμιμνήσκεσθαι, ἐὰν ἀληθῆ λέγω, καὶ διδάσκειν ἀλλήλους· ἐν ὑμῖν γὰρ ἦσαν οἱ λόγοι, καί μοι ὑμεῖς τούτων μάρτυρές ἐστε. (38) Ἔφη γὰρ εἶναι μὲν ἀνδράποδόν οἱ ἐπὶ Λαυρίῳ, δεῖν δὲ κομίσασθαι ἀποφοράν. Ἀναστὰς δὲ πρῴ ψευσθεὶς τῆς ὥρας βαδίζειν· εἶναι δὲ πανσέληνον. Ἐπεὶ δὲ παρὰ τὸ προπύλαιον τοῦ Διονύσου ἦν, ὁρᾶν ἀνθρώπους πολλοὺς ἀπὸ τοῦ ᾠδείου καταβαίνοντας εἰς τὴν ὀρχήστραν· δείσας δὲ αὐτούς, εἰσελθὼν ὑπὸ τὴν σκιὰν καθέζεσθαι μεταξὺ τοῦ κίονος καὶ τῆς στήλης ἐφ' ᾗ ὁ στρατηγός ἐστιν ὁ χαλκοῦς· ὁρᾶν δὲ ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους, ἑστάναι δὲ κύκλῳ ἀνὰ πέντε καὶ δέκα ἄνδρας, τοὺς δὲ ἀνὰ εἴκοσιν· ὁρῶν δὲ αὐτῶν πρὸς τὴν σελήνην τὰ πρόσωπα τῶν πλείστων γινώσκειν. (39) Καὶ πρῶτον μέν, ὦ ἄνδρες, τοῦθ' ὑπέθετο δεινότατον πρᾶγμα, οἶμαι, ὅπως ἐν ἐκείνῳ εἴη ὅντινα βούλοιτο Ἀθηναίων φάναι τῶν ἀνδρῶν τούτων εἶναι, ὅντινα δὲ μὴ βούλοιτο, λέγειν ὅτι οὐκ ἦν. Ἰδὼν δὲ ταῦτ' ἔφη ἐπὶ Λαύριον ἰέναι, καὶ τῇ ὑστεραίᾳ ἀκούειν ὅτι οἱ Ἑρμαῖ εἶεν περικεκομμένοι· γνῶναι οὖν εὐθὺς ὅτι τούτων εἴη τῶν ἀνδρῶν τὸ ἔργον. (40) Ἥκων δὲ εἰς ἄστυ ζητητάς τε ἤδη ᾑρημένους καταλαμβάνειν καὶ μήνυτρα κεκηρυγμένα ἑκατὸν μνᾶς. Ἰδὼν δὲ Εὐ-

sacris profanatis quæ norat indicavit et de iis qui simulacra mutilassent, et scripto consignavit nomina virorum duodeviginti. Quo facto alii eorum fuga se abduxerunt, alii comprehensi morte luerunt, ex indicina Teucri. Recita tu mihi eorum nomina.

NOMINA.

35. Teucer super Hermis indicavit Euctemonem, Glaucippum, Eurymachum, Polyeuctum, Platonem, Antidorum, Charippum, Theodorum, Alcisthenem, Menestratum, Eryximachum, Euphiletum, Eurydamantem, Phereclem, Meletum, Timanthem, Archidamum, Telenicum.

Horum alii ab exilio reversi nunc in urbe commorantur, aliorum mortuorum multi adsunt necessarii; quorum quicunque volet, intra orationis meæ tempus, ascendito atque me redarguito, demonstrans, horum virorum quenquam propter me aut in exilium isse, aut mortem tolerasse.

36. Secundum hæc, Pisander et Charicles, qui in numero quæsitorum essent, atque id temporis studiosissimi plebis haberentur, auctores fiebant, quod facinus istud haud paucorum esset, sed ad status popularis eversionem pertineret, ulterius adhuc inquirendum esse neque jam desistendum. Præterea tota civitas trepidabat: præco enim quum primum proclamasset, licere jam senatui in curiam redire, signumque detraxisset, protinus a signo detracto, senatus quidem redibat in curiam, plebeii autem e foro aufugiebant, metuens quisque ne comprehenderetur. (37) Malis hisce reip. illectus Dioclides et ad spem erectus, ad senatum nuntiavit, se nosse qui Hermas mutilassent, et esse ad trecentos numero; unaque, qui vidisset atque negotio intervenisset, exposuit. Atque his ego vos, viri, rogo ut animum attendatis, a vestraque memoria requiratis num vera dicam, et ut alii conscii harum rerum alios vestrûm adhuc ignaros doceant: hæc enim quæ refero in collegio vestro dicta sunt, et vos horum mihi testes estis. (38) Dioclides nimirum sibi servum aiebat esse super argentifodina sua in Laurio: ab illo servo sibi tum fuisse auferendam pensionem mercedis. Mane se surrexisse atque in viam se dedisse citius quam opportunum fuisset, quia in tempore noctis errasset; sed fuisse plenilunium. Ubi ergo ad Propylæum fani Bacchi venisset, vidisse multitudinem hominum ab Odeo descendentium in orchestram; quorum metu se in fanum ingressum in umbra consedisse, intra columnam et pilam illam super qua strategus stat ille æneus. Ibi se vidisse hominum ad trecentos, globatim stantes, alias quinosdenos, alias vicenos: luna in ora ipsorum irradiante, se noscitasse plerosque. (39) Ac primum quidem incredibile hoc sibi sumpsit, quasi penes ipsum esset, quem civem Atheniensem ipsi allibuisset, conjuratis interfuisse affirmare, et rursus negare interfuisse, si quem negare placeret. Dioclides itaque ista quum vidisset, ad Laurium se aiebat ire perrexisse; et post die famam de Hermis mutilatis accepisse: ibi statim agnovisse, facinus illorum esse virorum. (40) Postmodum in urbem reversum se deprehendisse quæsitores deputatos, et præmium indicinæ promulgatum, cen-

φημον τὸν Καλλίου τοῦ Τηλεκλέους ἀδελφὸν ἐν τῷ χαλκείῳ καθήμενον, ἀναγαγὼν αὐτὸν εἰς τὸ Ἡφαιστεῖον λέγειν ἅπερ ὑμῖν ἐγὼ εἴρηκα, ὡς ἴδοι ἡμᾶς ἐν ἐκείνῃ τῇ νυκτί· οὔκουν δέοιτο παρὰ τῆς πόλεως χρήματα λαβεῖν μᾶλλον ἢ παρ' ἡμῶν, ὥσθ' ἡμᾶς ἔχειν φίλους. Εἰπεῖν οὖν τὸν Εὔφημον ὅτι καλῶς ποιήσειεν εἰπών, καὶ νῦν ἥκειν κελεῦσαί οἱ εἰς τὴν Λεωγόρου οἰκίαν, ἵν' ἐκεῖ συγγένῃ μετ' ἐμοῦ Ἀνδοκίδῃ καὶ ἑτέροις οἷς δεῖ. (41) Ἧκειν ἔφη τῇ ὑστεραίᾳ, καὶ δὴ κόπτειν τὴν θύραν· τὸν δὲ πατέρα τὸν ἐμὸν τυχεῖν ἐξιόντα, καὶ εἰπεῖν αὐτόν· » ἆρά γε σὲ οἵδε περιμένουσι; χρὴ μέντοι μὴ ἀπωθεῖσθαι τοιούτους φίλους. » Εἰπόντα δὲ αὐτὸν ταῦτα οἴχεσθαι. Καὶ τούτῳ μὲν τῷ τρόπῳ τὸν πατέρα μου ἀπώλλυε, συνειδότα ἀποφαίνων. Εἰπεῖν δὲ ἡμᾶς ὅτι δεδογμένον ἡμῖν εἴη δύο μὲν τάλαντα ἀργυρίου διδόναι οἱ ἀντὶ τῶν ἑκατὸν μνῶν τῶν ἐκ τοῦ δημοσίου, ἐὰν δὲ κατάσχωμεν ἡμεῖς ἃ βουλόμεθα, ἕνα αὐτὸν ἡμῶν εἶναι, πίστιν δὲ τούτων δοῦναί τε καὶ δέξασθαι. (42) Ἀποκρίνασθαι δὲ αὐτὸς πρὸς ταῦτα ὅτι βουλεύσοιτο· ἡμᾶς δὲ κελεύειν αὐτὸν ἥκειν εἰς Καλλίου τοῦ Τηλεκλέους, ἵνα κἀκεῖνος παρείη. Τὸν δ' αὖ κηδεστήν μου οὕτως ἀπώλλυεν. Ἧκειν ἔφη εἰς Καλλίου, καὶ καθομολογήσας ἡμῖν πίστιν δοῦναι ἐν ἀκροπόλει, καὶ ἡμᾶς συνθεμένους οἱ τὸ ἀργύριον εἰς τὸν ἐπιόντα μῆνα δώσειν διαψεύδεσθαι καὶ οὐ διδόναι· ἥκειν οὖν μηνύσων τὰ γενόμενα.

43. Ἡ μὲν εἰσαγγελία αὐτῷ, ὦ ἄνδρες, τοιαύτη· ἀπογράφει δὲ τὰ ὀνόματα τῶν ἀνδρῶν ὧν ἔφη γνῶναι, δύο καὶ τετταράκοντα, πρώτους μὲν Μαντίθεον καὶ Ἀφεψίωνα, βουλευτὰς ὄντας καὶ καθημένους ἔνδον, εἶτα δὲ καὶ τοὺς ἄλλους. Ἀναστὰς δὲ Πείσανδρος ἔφη χρῆναι λύειν τὸ ἐπὶ Σκαμανδρίου ψήφισμα καὶ ἀναβιβάζειν ἐπὶ τὸν τροχὸν τοὺς ἀπογραφέντας, ὅπως μὴ πρότερον νὺξ ἔσται πρὶν πυθέσθαι τοὺς ἄνδρας ἅπαντας. (44)
7 Ἀνέκραγεν ἡ βουλὴ ὡς εὖ λέγει. Ἀκούσαντες δὲ ταῦτα Μαντίθεος καὶ Ἀφεψίων ἐπὶ τὴν ἑστίαν ἐκαθέζοντο, ἱκετεύοντες μὴ στρεβλωθῆναι, ἀλλ' ἐξεγγυηθέντες κριθῆναι. Μόλις δὲ τούτων τυχόντες, ἐπειδὴ τοὺς ἐγγυητὰς κατέστησαν, ἐπὶ τοὺς ἵππους ἀναβάντες ᾤχοντο εἰς τοὺς πολεμίους αὐτομολήσαντες, καταλιπόντες τοὺς ἐγγυητὰς οὓς ἔδει τοῖς αὐτοῖς ἐνέχεσθαι ἐν οἷσπερ οὓς ἠγγυήσαντο. (45) Ἡ δὲ βουλὴ ἐξελθοῦσα ἐν ἀπορρήτῳ συνέλαβεν ἡμᾶς καὶ ἔδησεν ἐν τοῖς ξύλοις. Ἀνακαλέσαντες δὲ τοὺς στρατηγοὺς ἀνειπεῖν ἐκέλευσαν Ἀθηναίων τοὺς μὲν ἐν ἄστει οἰκοῦντας ἰέναι εἰς τὴν ἀγορὰν τὰ ὅπλα λαβόντας, τοὺς δ' ἐν μακρῷ τείχει εἰς τὸ Θησεῖον, τοὺς δ' ἐν Πειραιεῖ εἰς τὴν Ἱπποδαμείαν ἀγοράν, τοὺς δ' ἱππεῖς ἔτι νυκτὸς σημῆναι τῇ σάλπιγγι ἥκειν εἰς τὸ Ἀνάκειον, τὴν δὲ βουλὴν εἰς ἀκρόπολιν ἰέναι κἀκεῖ καθεύδειν, τοὺς δὲ πρυτάνεις ἐν τῇ θόλῳ. Βοιωτοὶ δὲ πεπυσμένοι τὰ πράγματα ἐπὶ τοῖς ὁρίοις ἦσαν ἐξεστρατευμένοι. Τὸν δὲ τῶν κακῶν τούτων αἴτιον Διοκλείδην ὡς σωτῆρα ὄντα τῆς πόλεως ἐπὶ ζεύγους ἦγον εἰς τὸ πρυτανεῖον στεφανώσαντες, καὶ ἐδείπνει ἐκεῖ.

46. Πρῶτον μὲν οὖν ταῦτα, ὦ ἄνδρες, ὁπόσοι ὑμῶν

tum minas. Ibi quum Euphemum vidisset, Calliæ fratrem, Teleclis filii, in officina ferraria sedentem, abduxisse eum in fanum Vulcani, ibique ei dixisse quæ ego vobis modo referebam, quod nimirum illa nocte nos vidisset: causæ sibi nihil esse, cur a republica mallet pecuniam quam a nobis auferre, præsertim si posset eadem opera nostram quoque inire gratiam. Euphemum ad hæc subjecisse, recte facere Dioclidem quod hujus rei se certiorem fecisset, hortatumque fuisse ut jam statim secum ad ædes Leogoræ adiret; quo ibi possis, inquit, mecum agere cum Andocide et cum reliquis quorum interest. (41) Sed promittebat Dioclides die postera venturum: venisse quoque, aiebat, et pultasse fores: ibi patrem meum forte fortuna exeuntem ad se, Dioclidem, hæc dixisse: « Jam dudum hi te exspectant. Tales utique amicos aspernari haud convenit. » His cum dictis abiisse patrem. Hoc modo Dioclides patrem meum pessumdatum ibat, denuncians pro sceleris conscio. Nos autem aiebat ipsi confirmasse, decretum a nobis esse, ut pro centum minis ab ærario promissis duo daremus talenta; cupitisque si potirèmur, illum in collegium nostrum cooptatum iri: interim nos in conditionis fidem jusjurandum et illi dicturos esse et ab illo vicissim exacturos. (42) Ad hæc aiebat Dioclides se respondisse, deliberaturum se esse; nos autem ipsi mandasse, ut in ædes Calliæ filii Teleclis nobiscum conveniret, quo etiam ille adesset. Hoc modo rursus sororis quoque meæ maritum Calliam pessumdare studebat. Convenisse aiebat ad Calliæ, et assensum esse fidemque nobis suam obligasse in Acropoli, et nos vicissim de mercede pactos esse sub ingressum proximi mensis dependenda, jam vero promissum fefellisse, pecuniam condictam haud præstantes: propterea se nunc ad senatum adire facta indicatum.

43. Hæc sunt, o viri, quæ Dioclides in senatu prodidit: præterea indicem exhibuit eorum, quos ista nocte se noscitasse aiebat duos et quadraginta; et primos quidem edebat Mantitheum atque Aphepsionem, senatores in curia assidentes, post autem reliquos. Ibi Pisander quum assurrexisset, auctor fiebat senatui, ut decretum sub archonte Scamandrio latum rescinderet, eoque facto, quotquot a Dioclide essent designati, in equuleum imponerentur, quo de sceleris consortibus omnibus ante noctis adventum constaret. Succlamabat senatus, eum recta suadere. (44) Mantitheus autem et Aphepsion, istis auditis, ad aram Vestæ confugiebant, atque supplices rogabant, ut tormentis ne subjicerentur, sed fidejussoribus datis liberi in judicium vocarentur. Ægre impetrabant: dabantur prædes: illi vero in equos se conjiciebant, fugam capessebant, ad hostes transfugiebant, destitutis vadibus, quos iisdem oportebat pœnis teneri, quibus vadati damnarentur. (45) Senatus interim digressus curia clam nos corripuit et compeditos ad cippos alligavit. Strategis autem in curiam arcessitis demandabat ut promulgarent, quicunque Atheniensis in urbe habitaret, ut is in forum armatus conveniret, qui autem in longis muris, ut in Theseum, denique Piræei incolæ ut in Hippodamiam forum coirent; equitibus porro ut signum tuba darent ad conveniendum illa ipsa adhuc nocte ad Anaceum; senatus jubebatur in Arcem ascendere atque ibi pernoctare, prytanes autem in Tholo. Quos motus Bœoti quum accepissent, in armis ad agri nostri confinia exibant ibique excubabant. Interim tantarum turbarum concitorem Dioclidem, veluti sospitatorem civitatis carrhucha vectum in Prytaneum arcessebant, ibi coronandum; cœnabatque cum prytanibus.

46. Primum quidem hæc, viri, vobis ipsi ad memoriam

παρῆσαν, ἀναμιμνήσκεσθε καὶ τοὺς ἄλλους διδάσκετε· εἶτα δέ μοι τοὺς πρυτάνεις κάλει τοὺς τότε πρυτανεύσαντας, Φιλοκράτη καὶ τοὺς ἄλλους.

ΜΑΡΤΥΡΕΣ.

47. Φέρε δή, καὶ τὰ ὀνόματα ὑμῖν ἀναγνώσομαι τῶν ἀνδρῶν ὧν ἀπέγραψεν, ἵν' εἰδῆτε ὅσους μοι τῶν συγγενῶν ἀπώλλυε, πρῶτον μὲν τὸν πατέρα, εἶτα δὲ τὸν κηδεστήν, τὸν μὲν συνειδότα ἀποδεικνύς, τοῦ δ' ἐν τῇ οἰκίᾳ φάσκων τὴν σύνοδον γενέσθαι. Τῶν δ' ἄλλων ἀκούσεσθε τὰ ὀνόματα. Καὶ αὐτοῖς ἀναγίνωσκε.

Χαρμίδης Ἀριστοτέλους·

οὗτος ἀνεψιὸς ἐμός· ἡ μήτηρ ἡ ἐκείνου καὶ ὁ πατὴρ ὁ ἐμὸς ἀδελφοί.

Ταυρέας·

οὑτοσὶ ἀνεψιὸς τοῦ πατρός.

Νισαῖος·

υἱὸς Ταυρέου.

Καλλίας ὁ Ἀλκμαίονος·

ἀνεψιὸς τοῦ πατρός.

Εὔφημος·

Καλλίου τοῦ Τηλεκλέους ἀδελφός.

Φρύνιχος ὁ ὀρχησάμενος·

ἀνεψιός.

Εὐκράτης ὁ Νικίου ἀδελφός·

κηδεστὴς οὗτος Καλλίου.

Κριτίας·

ἀνεψιὸς καὶ οὗτος τοῦ πατρός· αἱ μητέρες ἀδελφαί.

Τούτους πάντας ἐν τοῖς τετταράκοντα ἀνδράσιν ἀπέγραψεν.

48. Ἐπειδὴ δὲ ἐδεδέμεθα πάντες ἐν τῷ αὐτῷ καὶ νύξ τε ἦν καὶ τὸ δεσμωτήριον συνεκέκλειστο, ἧκον δὲ τῷ μὲν μήτηρ τῷ δὲ ἀδελφὴ τῷ δὲ γυνὴ καὶ παῖδες, ἦν δὲ βοὴ καὶ οἶκτος κλαιόντων καὶ ὀδυρομένων τὰ παρόντα κακά, λέγει πρός με Χαρμίδης, ὢν μὲν ἀνεψιός, ἡλικιώτης δὲ καὶ συνεκτραφεὶς ἐν τῇ οἰκίᾳ τῇ ἡμετέρᾳ ἐκ παιδός, (49) ὅτι « Ἀνδοκίδη, τῶν μὲν παρόντων κακῶν ὁρᾷς τὸ μέγεθος, ἐγὼ δ' ἐν μὲν τῷ παρελθόντι χρόνῳ οὐδὲν ἐδεόμην λέγειν οὐδέ σε λυπεῖν, νῦν δὲ ἀναγκάζομαι διὰ τὴν παροῦσαν ἡμῖν συμφοράν. Οἷς γὰρ ἐχρῶ καὶ οἷς συνῆσθα ἄνευ ἡμῶν τῶν συγγενῶν, οὗτοι ἐπὶ ταῖς αἰτίαις δι' ἃς ἡμεῖς ἀπολλύμεθα οἱ μὲν αὐτῶν τεθνᾶσιν, οἱ δὲ οἴχονται φεύγοντες, σφῶν αὐτῶν καταγνόντες ἀδικεῖν...... (50) Εἰ ἤκουσάς τι τούτου τοῦ πράγματος τοῦ γενομένου, εἰπέ, καὶ πρῶτον μὲν σεαυτὸν σῶσον, εἶτα δὲ τὸν πατέρα, ὃν εἰκός ἐστί σε μάλιστα φιλεῖν, εἶτα δὲ τὸν κηδεστὴν ὃς ἔχει σου τὴν ἀδελφὴν ἥπερ σοι μόνη ἐστίν, ἔπειτα δὲ τοὺς ἄλλους συγγενεῖς καὶ ἀναγκαίους τοσούτους ὄντας, ἔτι δὲ ἐμέ, ὃς ἐν ἅπαντι τῷ βίῳ ἠνίασα μέν σε οὐδὲν πώποτε, προθυμότατος δὲ εἰς σὲ καὶ τὰ σὰ πράγματά εἰμι, ὅ τι ἂν

revocate, quotquot tum interfuistis, ceterosque vestrûm docete; deinde tu mihi prytanes, qui tum illo honore fungebantur, intro voca, Philocratem et reliquos.

TESTES.

47. Age jam nomina quoque vobis recitari curabo virorum, quos Dioclides illo in indice annotavit, quo sciatis, quot ille cognatos mihi perditum ierit : primum quidem patrem, deinde vero sororis maritum, illum declarando conscium, hunc vero eo quod affirmaret in ejus domo conjuratos convenisse. Reliquorum audietis nomina jam statim. Recita tu ipsis.

Charmides Aristotelis.

Hic consobrinus meus est : mater enim ejus meusque pater iisdem erant editi parentibus.

Taureas.

Hic est patri meo consobrinus.

Nisæus.

Filius Taureæ.

Callias Alcmæonis.

Alius hic est patris consobrinus.

Euphemus.

Frater Calliæ qui Teleclis filius est.

Phrynichus saltator.

Hic meus est consobrinus.

Eucrates, Niciæ frater.

Penes quem Calliæ soror est.

Critias.

Etiam hic patris consobrinus : matres eorum sorores erant.

Hos omnes Dioclides in illis quadraginta viris nominavit, quorum nomina tenebat index ab eo senatui exhibitus.

48. Nos itaque omnes quum una essemus eodem in carcere compedibus nexi et nox esset, clausoque carcere admissæ venirent ad alium mater, ad alium soror, ad alium uxor cum liberis, et carcer comploratu resonaret atque lamentis ejulantium et mala præsentia miserantium, Charmides, consobrinus et æqualis meus unaque mecum a puero inde nostra in domo educatus, hac me compellavit oratione : (49) *Andocide*, inquit, *vides tu quidem præsentium malorum magnitudinem; ego vero, cur superiori tempore molestus monitor te offenderem, causæ nil mihi erat; jam vero calamitas nostra me nunc cogit. Quibus tu familiariter usus fuisti, procul habitis nobis qui tibi sumus necessarii, illi propter hæc eadem, ob quæ nobis pereundum videtur esse, partim mortem tolerarunt, partim fuga salutem quæsiverunt, a conscientia sceleris condemnati*. . . . . (50) *Quodsi ergo tu hujus negotii quicquam tenes, age, prode id, et sic serva primum quidem temet ipsum; deinde vero patrem tuum, quem a te ita diligi ut nihil aliud magis consentaneum est; tum sororis tuæ maritum, quæ tibi soror est unica; denique reliquos cognatos atque necessarios, tot numero qui sumus; tandem me quoque, qui tota mea vita nulla re te offendi, tuique sum rerumque tuarum studiosissimus, operæque meæ, ubi*

δέῃ ποιεῖν. » (51) Λέγοντος δέ, ὦ ἄνδρες, Χαρμίδου ταῦτα, ἀντιβολούντων δὲ τῶν ἄλλων καὶ ἱκετεύοντος ἑνὸς ἑκάστου, ἐνεθυμήθην πρὸς ἐμαυτόν· » Ὦ πάντων ἐγὼ δεινοτάτῃ συμφορᾷ περιπεσών, πότερα περιίδω τοὺς ἐμαυτοῦ συγγενεῖς ἀπολλυμένους ἀδίκως, καὶ αὐτούς τε ἀποθανόντας καὶ τὰ χρήματα αὐτῶν δημευθέντα, πρὸς δὲ τούτοις ἀναγραφέντας ἐν στήλαις ὡς ὄντας ἀλιτηρίους τῶν θεῶν τοὺς οὐδενὸς αἰτίους τῶν γεγενημένων, ἔτι δὲ τριακοσίους Ἀθηναίων μέλλοντας ἀδίκως ἀπο-
8 λέσθαι, τὴν δε πόλιν ἐν κακοῖς οὖσαν τοῖς μεγίστοις καὶ ὑποψίαν εἰς ἀλλήλους ἔχοντας, ἢ εἴπω Ἀθηναίοις ἅπερ ἤκουσα Εὐφιλήτου αὐτοῦ τοῦ ποιήσαντος; » (52) Ἔτι δὲ ἐπὶ τούτοις καὶ τόδε ἐνεθυμήθην, ὦ ἄνδρες, καὶ ἐλογιζόμην πρὸς ἐμαυτόν, τοὺς ἐξημαρτηκότας καὶ τὸ ἔργον εἰργασμένους, ὅτι οἱ μὲν αὐτῶν ἤδη ἐτεθνήκεσαν ὑπὸ Τεύκρου μηνυθέντες, οἱ δὲ φεύγοντες ᾤχοντο καὶ αὐτῶν θάνατος κατέγνωστο, τέτταρες δὲ ἦσαν ὑπόλοιποι οἳ οὐκ ἐμηνύθησαν ὑπὸ Τεύκρου τῶν πεποιηκότων, Παναίτιος, Χαιρέδημος, Διάκριτος, Λυσίστρατος· (53) οὓς εἰκὸς ἦν ἁπάντων μάλιστα δοκεῖν εἶναι τούτων τῶν ἀνδρῶν οὓς ἐμήνυσε Διοκλείδης, φίλους ὄντας τῶν ἀπολωλότων ἤδη. Καὶ τοῖς μὲν οὐδέπω βέβαιος ἦν ἡ σωτηρία, τοῖς δὲ ἐμοῖς οἰκείοις φανερὸς ὁ ὄλεθρος, εἰ μή τις ἐρεῖ Ἀθηναίοις τὰ γενόμενα. Ἐδόκει οὖν μοι κρεῖττον εἶναι τέτταρας ἄνδρας ἀποστερῆσαι τῆς πατρίδος δικαίως, οἳ νῦν ζῶσι καὶ κατεληλύθασι καὶ ἔχουσι τὰ σφέτερα αὐτῶν, ἢ ἐκείνους ἀποθανόντας ἀδίκως περιιδεῖν. (54) Εἰ οὖν τινι ὑμῶν, ὦ ἄνδρες, ἢ τῶν ἄλλων πολιτῶν γνώμη τοιαύτη παρειστήκει πρότερον περὶ ἐμοῦ, ὡς ἄρα ἐγὼ ἐμήνυσα κατὰ τῶν ἑταίρων τῶν ἐμαυτοῦ, ὅπως ἐκεῖνοι μὲν ἀπόλοιντο, ἐγὼ δὲ σωθείην (ἃ ἐλογοποίουν οἱ ἐχθροὶ περὶ ἐμοῦ, βουλόμενοι διαβάλλειν με), σκοπεῖσθε ἐξ αὐτῶν τῶν γεγενημένων. (55) Νῦν γὰρ ἐμὲ μὲν λόγον [δεῖ] διδόναι τῶν ἐμοὶ πεπραγμένων μετὰ τῆς ἀληθείας, αὐτῶν παρόντων οἵπερ ἥμαρτον καὶ ἔφυγον ταῦτα ποιήσαντες, ἴσασι δὲ ἄριστα εἴτε ψεύδομαι εἴτε ἀληθῆ λέγω, ἔξεστι δὲ αὐτοῖς ἐλέγχειν με ἐν τῷ ἐμῷ λόγῳ· ἐγὼ γὰρ ἐφίημι· ὑμᾶς δὲ δεῖ μαθεῖν τὰ γενόμενα. (56) Ἐμοὶ γάρ, ὦ ἄνδρες, τοῦδε τοῦ ἀγῶνος τοῦτ' ἔστι μέγιστον, σωθέντι μὴ δοκεῖν κακῷ εἶναι, εἶτα δὲ καὶ τοὺς ἄλλους ἅπαντας μαθεῖν ὅτι οὔτε μετὰ κακίας οὔτε μετ' ἀνανδρίας οὐδεμιᾶς τῶν γεγενημένων πέπρακται ὑπ' ἐμοῦ οὐδέν, ἀλλὰ διὰ συμφορὰν γεγενημένην μάλιστα μὲν τῇ πόλει, εἶτα καὶ ἡμῖν, εἶπον δὲ ἃ ἤκουσα Εὐφιλήτου προνοίᾳ μὲν τῶν συγγενῶν καὶ τῶν φίλων, προνοίᾳ δὲ τῆς πόλεως ἁπάσης, μετ' ἀρετῆς ἀλλ' οὐ μετὰ κακίας, ὡς ἐγὼ νομίζω. Εἰ οὖν οὕτως ἔχει ταῦτα, σῴζεσθαί τε ἀξιῶ καὶ δοκεῖν ὑμῖν εἶναι μὴ κακός. (57) Φέρε δή (χρὴ γάρ, ὦ ἄνδρες, ἀνθρωπίνως περὶ τῶν πραγμάτων ἐκλογίζεσθαι, ὥσπερ ἂν αὐτὸν ὄντα ἐν τῇ συμφορᾷ), τί ἂν ὑμῶν ἕκαστος ἐποίησεν; εἰ μὲν γὰρ ἦν δυοῖν τὸ ἕτερον ἑλέσθαι, ἢ καλῶς ἀπολέσθαι ἢ αἰσχρῶς σωθῆναι, ἔχοι ἄν τις εἰπεῖν κακίαν εἶναι τὰ λεγόμενα· καίτοι πολλοὶ

usus venerit, quo tibi commodem nil parco. (51) Charmida istæc disserente, ceterisque una supplicantibus, et unoquoque seorsum obsecrante, venit, o viri, mihi in mentem sic cogitare : *O hominum omnium ego calamitate usus durissima, utrum perire per nefas immeritos patiar meos necessarios, ipsosque morti dari, et bona eorum proscribi, prætereaque ipsorum nomina stelis insculpi quasi piacularium erga deos factorum, quanquam eorum quæ evenerunt nihil ipsis imputari potest? Adde, trecentos Athenienses num patiar per nefas immeritos interimi, civitatemque malis atrocissimis mutuisque suspicionibus exagitari? an dicam Atheniensibus, quæ ex Euphileto audivi, eo, qui ipse patravit scelus?* (52) Præterea hæc quoque mecum reputabam, o viri, plerosque sontium, qui scelus manibus suis patrassent, a Teucro jam indicatos, et sic factum esse, ut alii eorum capite suo luerent, alii in exilium abirent, quibus absentibus dicta fuit mortis sententia : non superesse nisi quattuor a Teucro non indicatos, Panætium, Chæredemum, Diacritum et Lysistratum; (53) qui omnium maxime ex eorum, quos Diacritus indicaverat, numero esse videri debebant, quum familiariter usi fuissent illis qui jam morti essent dati. Et illis quidem ne sic quidem certa erat salutis spes, etiamsi ego eos non proderem; meis autem necessariis manifestum imminebat exitium, nisi si quis Atheniensibus omnem rei gestæ veritatem aperiret. Quare satius mihi visum fuit, quattuor viros a me patriæ communione privari, sic meritos, qui nunc supersunt adhuc in vivis et in patriam redierunt et bonorum suorum usura gaudent, quam committere ut necessarii mortem paterentur insontes. (54) Quodsi ergo cuipiam, non vestrûm, judices, sed vestrûm, o quotquot reliqui cives Athenienses hoc judicium circumstatis, istæc olim de me insedit opinio, sodales a me meos eo fuisse indicatos, quo perirent ipsi, ego servarer (cujusmodi rumores inimici mei de me sparserunt, criminari me volentes), rem, quæso, ipsis e factis spectate. (55) Nunc enim me quidem oportet rerum a me gestarum rationem coram illis ipsis reddere, qui ob illa facinora exilium tolerarunt, optimeque norunt verane dicam an mentiar, et qui coarguere me interpellantes possunt; nam ego ejus rei copiam illis facio : vos autem rerum gestarum veritatem certo explorare oportet. (56) Nam in hoc mihi hujus versatur cardo certaminis, ut absolutus vobis, judices, visus fuerim homo non malus esse; deinde ut reliqui quoque omnes intelligant, nihil hoc in negotio a me per scelus aut ignaviam esse commissum, sed per sinistram quandam evenisse fortunam, quæ reip. quidem inprimis, tum vero nobis quoque privatim incubuit; et quæ dixi me dixisse ex Euphileto audita, providentia partim tuendæ salutis necessariorum atque amicorum, partim securitatis publicæ summa cum honestate, nullo autem cum scelere, ut ego quidem censeo. Quodsi ergo res sic se habet, postulo a vobis absolvi et salva fama dimitti. (57) Age (oportet enim humanis de rebus humanis item modis cogitare, ac si ipse quisque infortunio perculsus esset), quid unusquisque vestrûm fuisset facturus? Nam si ejusmodi fuisset optionis conditio, ut necesse fuisset aut gloriose mori aut turpiter servari, possit utique

ἂν καὶ τοῦτο εἵλοντο, τὸ ζῆν περὶ πλείονος ποιησάμενοι τοῦ καλῶς ἀποθανεῖν· (58) ὅπου δὲ τούτων τὸ ἐναντιώτατον ἦν, σιωπήσαντι μὲν αὐτῷ τε αἴσχιστα ἀπολέσθαι μηδὲν ἀσεβήσαντι, ἔτι δὲ τὸν πατέρα περιιδεῖν ἀπολόμενον καὶ τὸν κηδεστὴν καὶ τοὺς συγγενεῖς καὶ ἀνεψιοὺς τοσούτους, οὓς οὐδεὶς ἀπώλλυεν ἢ ἐγὼ μὴ εἰπὼν ὡς ἕτεροι ἥμαρτον· Διοκλείδης μὲν γὰρ ψευσάμενος ἔδησεν αὐτούς, σωτηρία δὲ αὐτῶν ἄλλη οὐδεμία ἦν ἢ πυθέσθαι Ἀθηναίους πάντα τὰ πραχθέντα· φονεὺς οὖν αὐτῶν ἐγινόμην ἐγὼ μὴ εἰπὼν ὑμῖν ἃ ἤκουσα. Ἔτι δὲ τριακοσίους Ἀθηναίων ἀπώλλυον, καὶ ἡ πόλις ἐν κακοῖς τοῖς μεγίστοις ἐγίνετο. (59) Ταῦτα μὲν οὖν ἦν ἐμοῦ μὴ εἰπόντος· εἰπὼν δὲ τὰ ὄντα αὐτός τε ἐσωζόμην καὶ τὸν πατέρα ἔσωζον καὶ τοὺς ἄλλους συγγενεῖς, καὶ τὴν πόλιν ἐκ φόβου καὶ κακῶν τῶν μεγίστων ἀπήλλαττον. Φυγάδες δὲ δι' ἐμὲ τέτταρες ἄνδρες ἐγίνοντο, οἵπερ καὶ ἥμαρτον· τῶν δ' ἄλλων, οἳ πρότερον ὑπὸ Τεύκρου ἐμηνύθησαν, οὔτε δήπου οἱ τεθνεῶτες δι' ἐμὲ μᾶλλον ἐτέθνασαν οὔτε οἱ φεύγοντες μᾶλλον ἔφευγον. (60) Ταῦτα δὲ πάντα σκοπῶν εὕρισκον, ὦ ἄνδρες, τῶν παρόντων κακῶν ταῦτα ἐλάχιστα εἶναι, εἰπεῖν τὰ γενόμενα ὡς τάχιστα καὶ ἐλέγξαι Διοκλείδην ψευσάμενον, καὶ τιμωρήσασθαι ἐκεῖνον ὃς ἡμᾶς μὲν
9 ἀπώλλυεν ἀδίκως, τὴν δὲ πόλιν ἐξηπάτα, ταῦτα δὲ ποιῶν μέγιστος εὐεργέτης ἐδόκει εἶναι καὶ χρήματα ἐλάμβανε. (61) Διὰ ταῦτα εἶπον τῇ βουλῇ ὅτι εἰδείην τοὺς ποιήσαντας, καὶ ἐξήλεγξα τὰ γενόμενα, ὅτι εἰσηγήσατο μὲν πινόντων ἡμῶν ταύτην τὴν βουλὴν Εὐφίλητος, ἀντεῖπον δὲ ἐγώ, καὶ τότε μὲν οὐ γένοιτο δι' ἐμέ, ὕστερον δ' ἐγὼ μὲν ἐν Κυνοσάργει ἐπὶ πωλίον ὅ μοι ἦν ἀναβὰς ἔπεσον καὶ τὴν κλεῖν συνετρίβην καὶ τὴν κεφαλὴν κατεάγην, φερόμενός τε ἐπὶ κλίνης ἀπεκομίσθην οἴκαδε· (62) αἰσθόμενος δ' Εὐφίλητος ὡς ἔχοιμι, λέγει πρὸς αὐτοὺς ὅτι πέπεισμαι ταῦτα συμποιεῖν καὶ ὡμολόγηκα αὐτῷ μεθέξειν τοῦ ἔργου καὶ περικόψειν τὸν Ἑρμῆν τὸν παρὰ τὸ Φορβαντεῖον. Ταῦτα δ' ἔλεγεν ἐξαπατῶν ἐκείνους· καὶ διὰ ταῦτα ὁ Ἑρμῆς ὃν ὁρᾶτε πάντες, ὁ παρὰ τὴν πατρῴαν οἰκίαν τὴν ἡμετέραν, ὃν ἡ Αἰγηὶς ἀνέθηκεν, οὐ περιεκόπη, μόνος τῶν Ἑρμῶν τῶν Ἀθήνησιν, ὡς ἐμοῦ τοῦτο ποιήσαντος, ὡς ἔφη πρὸς αὐτοὺς Εὐφίλητος. (63) Οἱ δ' αἰσθόμενοι δεινὰ ἐποίουν ὅτι εἰδείην μὲν τὸ πρᾶγμα, πεποιηκὼς δὲ οὐκ εἴην. Προσελθόντες δέ μοι τῇ ὑστεραίᾳ Μέλητος καὶ Εὐφίλητος ἔλεγον ὅτι « Γεγένηται, ὦ Ἀνδοκίδη, καὶ πέπρακται ἡμῖν ταῦτα. Σὺ μέντοι εἰ μὲν ἀξιοῖς ἡσυχίαν ἔχειν καὶ σιωπᾶν, ἕξεις ἡμᾶς ἐπιτηδείους ὥσπερ καὶ πρότερον· εἰ δὲ μή, χαλεπώτεροί σοι ἡμεῖς ἐχθροὶ ἐσόμεθα ἢ ἄλλοι τινὲς δι' ἡμᾶς φίλοι. » (64) Εἶπον αὐτοῖς ὅτι νομίζοιμι μὲν διὰ τὸ πρᾶγμα Εὐφίλητον πονηρὸν εἶναι, ἐκείνοις δὲ οὐκ ἐμὲ δεινὸν εἶναι, ὅτι οἶδα, ἀλλὰ μᾶλλον αὐτὸ τὸ ἔργον πολλῷ, ὅτι πεποίηται. Ὡς οὖν ἦν ταῦτ' ἀληθῆ, τόν τε παῖδα τὸν ἐμὸν παρέδωκα βασανίσαι, ὅτι ἔκαμνον καὶ οὐδ' ἀνιστάμην ἐκ τῆς κλίνης, καὶ τὰς θεραπαίνας ἔλαβον

indicina a me facta improba haberi; quanquam vel sic haud pauci vitam ingloriam morti præclaræ præferendam esse ducturi fuissent : (58) verum omnia contra erant; nam si tacerem, summa cum infamia mihi erat moriendum, tametsi nihil impii commisissem; nec impedire poteram, quominus pater periret et sororis maritus et reliqui cognati et tot numero consobrini, quos unus ego pessumdedissem silentio meo aliena crimina celante. Quos enim Dioclidis mendacium in carcerem conjecerat, eos liberandi nulla patebat via nisi hæc, ut Athenienses totam rem ut vere gesta fuisset ex me intelligerent : quodsi ergo, quæ comperta haberem, ea reticuissem, factus fuissem illorumque homicida, et trecentorum præterea civium Atheniensium, et civitas malis mersa fuisset maximis. (59) Hæc evenissent, si tacuissem : exponendo autem rem consequebar ut et ipse salvus abirem, et patri salutem redderem ceterisque necessariis, et civitatem terroribus malisque teterrimis eriperem. Quattuor autem viri, quibus meo indicio erat exulandum, meriti hanc pœnam erant : reliqui a me indicati, a Teucro quoque jam ante fuerant indicati; ut, qui ex iis aut morte mulctati sunt aut in exilium ierunt, censendi sint non magis ob meum, quam ob Teucri indicium, hanc illamve pœnam tolerasse. (60) Hæc itaque pensitans ego, viri, malorum præsentium inveniebam levissimum, ut quam citissime rem ut gesta esset exponerem et mendacia Dioclidis coarguerem, eoque inimicum ulciscerer, qui nos quidem pessumdatum iret, civitati autem sic illuderet, ut optime de ea meruisse videretur præmiisque cumularetur. (61) Professus itaque in senatu sum me scire sceleris auctores, et distincte facta exposui; compotantibus nimirum nobis Euphiletum auctorem consilii factum esse de Hermis mutilandis, me autem intercessisse : rem tum quidem propter me omissam esse; postea autem quum de equuleo, quem in Cynosarge conscenderam, delapsus essem et fracta clavicula capiteque contuso in lectica domum referrer : (62) Euphiletus, hoc comperto, persuadebat reliquis ad participandum facinus me quoque esse permotum, fidemque sibi de truncando Herma, qui est ad fanum Phorbantis, despondisse. Quæ omnia Euphiletus mentiebatur; atque ita factum est, ut Hermarum, quotquot sunt Athenis, omnium unus ille solus non mutilaretur, qui, a tribu Ægeide dedicatus, prope domum nostram paternam stat adhuc, ut videtis, incolumis : confirmaverat nempe Euphiletus sodalibus, me de eo mutilando recepisse. (63) In quo illi se falsos videntes, ferebant gravissime, sui sceleris me conscium esse, qui nihil ad id peragendum contulissem. Altero itaque die post quum ad me convenissent Meletus atque Euphiletus, *Facta sunt*, aiebant, *Andocide, atque a nobis peracta* [*quæ nosti*]. *Quodsi ergo te quietum continere atque tacere volueris, habebis nos, ut pridem, amicos atque familiares : sin minus, plus tibi nocebit nostra inimicitia, quam aliorum proderit amicitia per odium nostri tibi comparata.* (64) Respondebam ego : Euphiletum propter facinus istud consceleratum hominem a me censeri : verumtamen non meam magis conscientiam quam ipsius sceleris atrocitatem ipsis esse reformidandam. Hæc vere sic dicta esse quo constaret, servum ad tormenta tradebam, qui sciret, me tum

οἱ πρυτάνεις, ὅθεν ὁρμώμενοι ταῦτ' ἐποίουν ἐκεῖνοι. (65) Ἐξελέγχοντες δὲ τὸ πρᾶγμα ἥ τε βουλὴ καὶ οἱ ζητηταί, ἐπειδὴ ἦν ᾗ ἐγὼ ἔλεγον καὶ ὡμολογεῖτο πανταχόθεν, τότε δὴ καλοῦσι τὸν Διοκλείδην· καὶ οὐ πολλῶν λόγων ἐδέησεν, ἀλλ' εὐθὺς ὡμολόγει ψεύδεσθαι, καὶ ἐδεῖτο σώζεσθαι φράσας τοὺς πείσαντας αὐτὸν λέγειν ταῦτα· εἶναι δὲ Ἀλκιβιάδην τὸν Φηγούσιον καὶ Ἀμίαντον τὸν ἐξ Αἰγίνης. (66) Καὶ οὗτοι μὲν δείσαντες ᾤχοντο φεύγοντες· ὑμεῖς δὲ ἀκούσαντες ταῦτα Διοκλείδην μὲν τῷ δικαστηρίῳ παραδόντες ἀπεκτείνατε, τοὺς δὲ δεδεμένους καὶ μέλλοντας ἀπολεῖσθαι ἐλύσατε, τοὺς ἐμοὺς συγγενεῖς, δι' ἐμέ, καὶ τοὺς φεύγοντας κατεδέξασθε, αὐτοὶ δὲ λαβόντες τὰ ὅπλα ἀπῄειτε, πολλῶν κακῶν καὶ κινδύνων ἀπαλλαγέντες. (67) Ἐν οἷς ἐγώ, ὦ ἄνδρες, τῆς μὲν τύχης ᾗ ἐχρησάμην δικαίως ἂν ὑπὸ πάντων ἐλεηθείην, τῶν δὲ γενομένων ἕνεκεν εἰκότως ἀνὴρ ἄριστος δοκοίην εἶναι, ὅστις εἰσηγησαμένῳ μὲν Εὐφιλήτῳ πίστιν τῶν ἐν ἀνθρώποις ἀπιστοτάτην ἠναντιώθην καὶ ἀντεῖπον καὶ ἐλοιδόρησα ἐκείνῳ ὧν ἦν ἄξιος, ἁμαρτόντων δ' ἐκείνων τὴν ἁμαρτίαν αὐτοῖς συνέκρυψα, καὶ μηνύσαντος κατ' αὐτῶν Τεύκρου οἱ μὲν αὐτῶν ἀπέθανον, οἱ δ' ἔφυγον, πρὶν ἡμᾶς ὑπὸ Διοκλείδου δεθῆναι καὶ μέλλειν ἀπολεῖσθαι. Τότε δὲ ἀπέγραψα τέτταρας ἄνδρας, Παναίτιον, Διάκριτον, Λυσίστρατον, Χαιρέδημον. (68) Οὗτοι μὲν ἔφυγον δι' ἐμέ, ὁμολογῶ· ἐσώθη δέ γε ὁ πατήρ, ὁ κηδεστής, ἀνεψιοὶ τρεῖς, τῶν ἄλλων συγγενῶν ἑπτά, μέλλοντες ἀποθανεῖσθαι ἀδίκως· οἳ νῦν ὁρῶσι τοῦ ἡλίου τὸ φῶς δι' ἐμέ, καὶ αὐτοὶ ὁμολογοῦσιν· ὁ δὲ τὴν πόλιν ὅλην συνταράξας καὶ εἰς τοὺς ἐσχάτους κινδύνους καταστήσας ἐξηλέγχθη, ὑμεῖς δὲ ἀπηλλάγητε μεγάλων φόβων καὶ τῶν εἰς ἀλλήλους ὑποψιῶν. (69) Καὶ ταῦτ' εἰ ἀληθῆ λέγω, ὦ ἄνδρες, ἀναμιμνήσκεσθε, καὶ οἱ εἰδότες διδάσκετε τοὺς ἄλλους. Σὺ δέ μοι αὐτοὺς κάλει τοὺς λυθέντας δι' ἐμέ· ἄριστα γὰρ ἂν εἰδότες τὰ γενόμενα λέγοιεν εἰς τούτους. Οὑτωσὶ δὲ ἔχει, ὦ ἄνδρες· μέχρι τούτου ἀναβήσονται καὶ λέξουσιν ὑμῖν, ἕως ἂν ἀκροᾶσθαι βούλησθε, ἔπειτα δ' ἐγὼ περὶ τῶν ἄλλων ἀπολογήσομαι.

[ΜΑΡΤΥΡΕΣ.]

70. Περὶ μὲν οὖν τῶν τότε γενομένων ἀκηκόατε πάντα καὶ ἀπολελόγηταί μοι ἱκανῶς, ὥς γ' ἐμαυτὸν πείθω· εἰ δέ τίς τι ὑμῶν ποθεῖ ἢ νομίζει τι μὴ ἱκανῶς εἰρῆσθαι ἢ παραλέλοιπά τι, ἀναστὰς ὑπομνησάτω, καὶ ἀπολογήσομαι καὶ πρὸς τοῦτο· περὶ δὲ τῶν νόμων ἤδη ὑμᾶς διδάξω. (71) Κηφίσιος γὰρ οὑτοσὶ ἐνέδειξε μέν με κατὰ τὸν νόμον τὸν κείμενον, τὴν δὲ κατηγορίαν ποιεῖται κατὰ ψήφισμα πρότερον γενόμενον, ὃ εἶπεν Ἰσοτιμίδης, οὗ ἐμοὶ προσήκει οὐδέν. Ὁ μὲν γὰρ εἶπεν εἴργεσθαι τῶν ἱερῶν τοὺς ἀσεβήσαντας καὶ ὁμολογήσαντας, ἐμοὶ δὲ τούτων οὐδέτερα πεποίηται· οὔτε ἠσέβηται οὔτε ὡμολόγηται. (72) Ὡς δὲ καὶ τοῦτο τὸ ψήφισμα λέλυται καὶ ἄκυρόν ἐστιν, ἐγὼ ὑμᾶς διδάξω.

ægrum in lecto decubuisse atque inde non surrexisse; ancillas quoque tradebam prytanibus, inquirentibus unde moti illi scelus patrassent. (65) Scrutantes itaque rem cum senatu quæsitores, quum omnia ita, ut dixeram, se habere undique confirmaretur, ibi demum citabant Dioclidem; neque multis erat verbis opus, sed statim ille confitebatur mendacium et deprecabatur veniam, indicans eos, qui auctores sibi fuissent, ut ista diceret: erant autem hi Alcibiades Phegusius et Amiantus Ægineta; (66) qui metu statim aufugiebant. Vos autem, ut hæc e Dioclide acceperatis, eum judicio tradidistis, a quo morte mulctatus est; reliquos autem vinctos, jam supremum supplicium exspectantes cognatos meos, propter me exsolvistis, exulibus redeundi veniam dedistis, ipsi sumptis armis domum revertebamini, multis malis periculisque liberati. (67) In his qua ego usus sum fortuna, ejus ergo omnes commiseratio mei merito capiat; exitus autem ergo merito vir optimus habear, quippe qui refragatus Euphileto sim, jusjurandum id offerenti, cujus fides penes homines omnium minima est, eique probra quibus dignus esset ingesserim; et quum illi peccare nihilominus perrexissent, peccatum eorum silentio texerim, quum plerique eorum a Teucro jam indicati, alii morte luissent, alii in exilium abiissent, usque dum nos ipsi Dioclidis perfidia in carcerem conjecti extremum supplicium passuri essemus: tum demum detuli quattuor viros, Panætium, Diacritum, Lysistratum, Chæredemum. (68) Haud inficior hos propter me in exilium ivisse: contra servati a me sunt pater, sororis maritus, tres consobrini, septem numero cognati alii: hi immerito supplicio tunc jam perituri, solis nunc jubar per me vident, ipsique hoc confitentur: cunctam autem civitatem qui conturbaverat extremaque in discrimina conjecerat, is a me coargutus fuit, et vos magnis formidinibus mutuisque suspicionibus liberati. (69) Quæ num vera dicam, recordamini, quæso, viri, et conscii vestrûm quotquot sunt, hi reliquos docento. Tu autem ipsos mihi cita eos, qui propter me vinculis exsoluti sunt: optime enim rei gestæ ordinem quum teneant, possint item optime eum judicibus enarrare. Sed hac conditione hi hunc in suggestum ascendent, ut tantisper coram vobis, judices, disserant, donec vobis audientiam præbere disserentibus libuerit: deinde reliqua accusationis capita diluam.

[TESTES.]

70. De rebus itaque tum gestis audivistis, viri, omnia, et purgavi sic, ut mihi quidem videor, ut satis esse possit: quodsi tamen vestrûm quispiam existimet nondum satis declaratum aut omissum quidquam esse, assurgens is me admoneat, et satisfaciam illi quoque. Nunc autem de legibus vos docebo. (71) Cephisius nempe hic actionem indicationis in me quidem instituit ex lege adhuc valida, in ipsa autem oratione accusatoria plebiscito nisus est dudum abolito, quod auctore Isotimida factum nil ad me pertinet. Ille enim, Isotimides, auctor fuit ut a templis deorum arcerentur impietatis rei, tam ab aliis facti quam qui ipsi fassi essent eo se crimine teneri: ego vero neque commisi impietatem, neque fassus unquam sum me commisisse. (72) Quod autem hoc ipsum quoque plebiscitum rescissum atque abrogatum sit, id ego vos docebo. Quanquam in

Καίτοιγε τοιαύτην ἀπολογίαν περὶ αὐτοῦ ποιήσομαι, ὅπου μὴ πείθων μὲν ὑμᾶς αὐτὸς ζημιώσομαι, πείσας δὲ ὑπὲρ τῶν ἐχθρῶν ἀπολελογημένος ἔσομαι. Ἀλλὰ γὰρ τἀληθῆ εἰρήσεται. (73) Ἐπεὶ γὰρ αἱ νῆες διεφθάρησαν καὶ ἡ πολιορκία ἐγένετο, ἐβουλεύσασθε περὶ ὁμονοίας, καὶ ἔδοξεν ὑμῖν τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι καὶ εἶπε τὴν γνώμην Πατροκλείδης. Οἱ δὲ ἄτιμοι τίνες ἦσαν, καὶ τίνα τρόπον ἕκαστοι; ἐγὼ ὑμᾶς διδάξω. Οἱ μὲν ἀργύριον ὀφείλοντες τῷ δημοσίῳ, ὁπόσοι εὐθύνας ὦφλον ἄρξαντες ἀρχάς, ἢ ἐξούλας ἢ γραφὰς ἢ ἐπιβολὰς ὦφλον, ἢ ὠνὰς πριάμενοι ἐκ τοῦ δημοσίου μὴ κατέβαλον τὰ χρήματα, ἢ ἐγγύας ἠγγυήσαντο πρὸς τὸ δημόσιον, τούτοις ἡ μὲν ἔκτισις ἦν ἐπὶ τῆς ἐνάτης πρυτανείας, εἰ δὲ μή, διπλάσιον ὀφείλειν καὶ τὰ κτήματα αὐτῶν πεπρᾶσθαι. (74) Εἷς μὲν τρόπος οὗτος ἀτιμίας ἦν· ἕτερος δὲ ὧν μὲν τὰ σώματα ἄτιμα ἦν, τὴν δ' οὐσίαν εἶχον καὶ ἐκέκτηντο· οὗτοι δ' αὖ ἦσαν ὁπόσοι κλοπῆς ἢ δώρων ὄφλοιεν· τούτους δ' ἔδει καὶ αὐτοὺς καὶ τοὺς ἐκ τούτων ἀτίμους εἶναι· καὶ ὁπόσοι λίποιεν τὴν τάξιν ἢ ἀστρατείας ἢ δειλίας ἢ ἀναυμαχίου ὄφλοιεν ἢ τὴν ἀσπίδα ἀποβάλοιεν, ἢ τρὶς ψευδομαρτυριῶν ἢ τρὶς ψευδοκλητείας ὄφλοιεν, ἢ τοὺς γονέας κακῶς ποιοῖεν, οὗτοι πάντες ἄτιμοι ἦσαν τὰ σώματα, τὰ δὲ χρήματα εἶχον. (75) Ἄλλοι αὖ κατὰ προστάξεις, οἵτινες οὐ παντάπασιν ἄτιμοι ἦσαν, ἀλλὰ μέρος τι αὐτῶν, οἷον οἱ στρατιῶται, οἷς, ὅτι ἐπέμειναν ἐπὶ τῶν τυράννων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα ἦν ἅπερ τοῖς ἄλλοις πολίταις, εἰπεῖν δ' ἐν τῷ δήμῳ οὐκ ἐξῆν αὐτοῖς οὐδὲ βουλεῦσαι. Τούτων ἦσαν οὗτοι ἄτιμοι· αὕτη γὰρ ἦν τούτοις πρόσταξις. (76) Ἑτέροις οὐκ ἦν γράψασθαι, τοῖς δὲ ἐνδεῖξαι, τοῖς δὲ μὴ ἀναπλεῦσαι εἰς Ἑλλήσποντον, ἄλλοις δ' εἰς Ἰωνίαν· τοῖς δ' εἰς τὴν ἀγορὰν μὴ εἰσιέναι πρόσταξις ἦν. Ταῦτ' οὖν ἐψηφίσασθε ἐξαλεῖψαι πάντα τὰ ψηφίσματα, καὶ αὐτὰ καὶ εἴ πού τι ἀντίγραφον ἦν, καὶ πίστιν ἀλλήλοις περὶ ὁμονοίας δοῦναι ἐν ἀκροπόλει. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα τὸ Πατροκλείδου, καθ' ὃ ταῦτα ἐγένετο.

ΨΗΦΙΣΜΑ.

77. Πατροκλείδης εἶπεν· Ἐπειδὴ ἐψηφίσαντο Ἀθηναῖοι τὴν ἄδειαν περὶ τῶν ὀφειλόντων, ὥστε λέγειν ἐξεῖναι καὶ ἐπιψηφίζειν, ψηφίσασθαι τὸν δῆμον ταὐτὰ ἅπερ ὅτε ἦν τὰ Μηδικά, καὶ συνήνεγκεν Ἀθηναίοις ἐπὶ τὸ ἄμεινον. Περὶ δὲ τῶν ἐπιγεγραμμένων εἰς τοὺς πράκτορας ἢ τοὺς ταμίας τῆς θεοῦ καὶ τῶν ἄλλων θεῶν ἢ τὸν βασιλέα, ἢ εἴ τις μὴ ἐξεγράφη μέχρι τῆς ἐξελθούσης βουλῆς ἐφ' ἧς Καλλίας ἦρχεν, (78) ὅσοι ἄτιμοι ἦσαν ἢ ὀφείλοντες, καὶ ὅσων εὐθῦναί τινές εἰσι κατεγνωσμέναι ἐν τοῖς λογιστηρίοις ὑπὸ τῶν εὐθύνων ἢ τῶν παρέδρων. ἢ μήπω εἰσηγμέναι εἰς τὸ δικαστήριον

eo versor defensionis loco, ut, ubi minus vobis persuasero, damnum ipse sim accepturus; ubi autem persuasero, censear pro adversariis verba fecisse. Verumtamen dicetur id quod res est. (73) Classe enim funditus excisa, quum urbs obsideretur, deliberabatis de modo concordiæ tuendæ, placuitque honore privatis reddere honorem: cujus sententiæ factus est auctor Patroclides. Honore autem carentes quinam et quotuplices fuerint, id vos docebo. Honorem amittebant primum pecunias ærario publico debentes, quod magistratuum a se gestorum rationes reddere nequissent, sive aliena bona per nefas occupassent, sive actiones majestatis illegitimas suscepissent, sive mulctas arbitrarias irrogassent, sive quæ a rep. vectigalia redemissent, eorum pactas mercedes non dependissent, sive pro aliis fidejussores ærario facti fuissent: his omnibus pecuniam seu mulctam ærario debentibus ante nonum anni mensem evolutum erat debitum luendum; sin minus, duplum debebant et bona ipsorum publice venibant. (74) Unus hic erat modus conditionis inhonestæ: alter modus iste est, quum corpora quidem ipsa delinquentium honore carent, bona autem ipsis quæ possident salva manent: hoc genere ignominiæ notabantur, ob furta [in rempubl.] aut ob munerum acceptationes mulctæ damnati: hos oportebat et ipsos et ex ipsis natos honore carere: item quotquot ordinem in acie deseruissent, aut in castra non exissent, aut pavidi fuissent aut militiæ navali vocati nomina non dedissent aut scutum abjecissent, aut ter fuissent in judicio condemnati falsi testimonii aut ementitæ in jus citationis, aut parentes male tractassent: hi omnes, quoad corpora inhonesti erant, bona tamen ipsis salva manebant. (75) Rursus alii infamia erant notati secundum præcepta quadamtenus: hi non funditus erant capite minuti, sed solummodo quoad partem ejus aliquam, e. c. milites, si qui sub tyrannide trigintavirorum in urbe mansissent, hi jure in concione standi aut senatorio honore fungendi carebant. Hactenus illis erat honos imminutus: nam hæc erat ipsis conditio præscripta. (76) Aliis non licebat quenquam majestatis accusare; aliis non licebat alios actionibus indicationis persequi; aliis interdictum erat in Hellespontum proficisci per mare, aliis in Ioniam; aliis aditus fori clausus erat. Decreta igitur hæc omnia, tam prima exempla quam repetita, deleri jussistis concordiamque jurejurando mutuo in Arce dicendo sanciri. Recita tu mihi decretum Patroclidis, cujus auctoritate hæc fiebant.

DECRETUM.

77. Patroclides rogavit in hanc sententiam: Quandoquidem Athenienses impunitatem super ærariis decreverunt, ut eorum causa liceat rogare atque in suffragia mittere, decernat populus eadem quæ tempore belli Medici, e commodo reip. Quorum autem nomina ut fisco debentium inscripta sint apud exactores fisci sive Minervæ sive aliorum deorum sive apud regem sacrorum; sive quorum nomina expuncta nondum fuerint ante excessum senatus cujus princeps fuit Callias, (78) hoc est, si qui honore privati fuerint quod ærario debeant, nec non quorum rationes gestorum honorum in tribunalibus ab censoribus eorumque assessoribus improbatæ aut ad judicium nondum delatæ sint, aut quibus adjudicatæ sint a judicibus quædam honoris derogationes, aut si qui fidejussores mulctæ condemnati sint, ad istam usque diem; item

γραφαί τινές εἰσι περὶ τῶν εὐθυνῶν, ἢ προστάξεις ἢ ἐγγύαι τινές εἰσι κατεγνωσμέναι εἰς τὸν αὐτὸν τοῦτον χρόνον· καὶ ὅσα ὀνόματα τῶν τετρακοσίων τινὸς ἐγγέγραπται, ἢ ἄλλο τι περὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πραχθέντων ἐστί που γεγραμμένον· πλὴν ὁπόσα ἐν στήλαις γέγραπται τῶν μὴ ἐνθάδε μεινάντων, ἢ ἐξ Ἀρείου πάγου ἢ τῶν ἐφετῶν ἢ ἐκ πρυτανείου ἢ Δελφινίου ἐδικάσθη ἢ ὑπὸ τῶν βασιλέων, ἢ ἐπὶ φόνῳ τίς ἐστι φυγή, ἢ θάνατος κατεγνώσθη, ἢ σφαγεῦσιν ἢ τυράννοις· (79) τὰ δὲ ἄλλα πάντα ἐξαλεῖψαι τοὺς πράκτορας καὶ τὴν βουλήν, καὶ τὰ εἰρημένα πανταχόθεν, ὅπου τι ἔστιν ἐν τῷ δημοσίῳ, καὶ εἰ ἀντίγραφόν που ἔστι, παρέχειν τοὺς θεσμοθέτας καὶ τὰς ἄλλας ἀρχάς. Ποιεῖν δὲ ταῦτα τριῶν ἡμερῶν, ἐπειδὰν δόξῃ τῷ δήμῳ. Ἃ δ' εἴρηται ἐξαλεῖψαι, μὴ κεκτῆσθαι ἰδίᾳ μηδενὶ ἐξεῖναι μηδὲ μνησικακῆσαι μηδέποτε· εἰ δὲ μή, ἔνοχον εἶναι τὸν παραβαίνοντα ταῦτα ἐν τοῖς αὐτοῖς ἐν οἷσπερ οἱ ἐξ Ἀρείου πάγου φεύγοντες, ὅπως ἂν ὡς πιστότατα ἔχοι Ἀθηναίοις καὶ νῦν καὶ εἰς τὸν λοιπὸν χρόνον.

si quorundam e Quadringentis nomina in tabulis adhuc supersint, aut si quod aliud cujuspiam crimen sub paucorum dominatu commissum uspiam annotatum sit: ut, inquam, populus jubeat horum omnium nomina (exempta tamen sunto nomina stelis inscripta eorum qui in exilio degunt, propterea quod causa sive in Areopago sive coram Ephetis sive in Prytaneo sive in Delphinio sive coram Rege agitata, aut exilii aut mortis pœna ipsis fuit adjudicata, velut homicidis aut tyrannis) (79) ut igitur, exceptis his, reliquorum omnium nomina mandet populus exactoribus et senatui expungenda in ærarii tabulariis, aut si uspiam alias locorum ejusmodi documentorum publicorum exemplaria prostant, ut Thesmothetæ reliquique magistratus ea senatui exhibeant abolenda. Sed ut hæc intra triduum fiant, ex quo populus hanc sciverit rogationem, si sciverit. Dicta exempla expunguntor, neminique liceto ea privatim secum habere, neque liceto cuiquam ærario facto hanc labem exprobrare: secus qui fecerit, ut is pœnis teneatur iisdem, quibus tenentur qui sententia senatus Areopagitici perculsi solum verterunt, quo firmissima Atheniensibus inter se fides sit et nunc et in futurum tempus.

80. Κατὰ μὲν τὸ ψήφισμα τουτὶ τοὺς ἀτίμους ἐπιτίμους ἐποιήσατε· τοὺς δὲ φεύγοντας οὔτε Πατροκλείδης εἶπε κατιέναι οὔθ' ὑμεῖς ἐψηφίσασθε. Ἐπεὶ δ' αἱ σπονδαὶ πρὸς Λακεδαιμονίους ἐγένοντο, καὶ τὰ τείχη καθείλετε, καὶ τοὺς φεύγοντας κατεδέξασθε, καὶ κατέστησαν οἱ τριάκοντα, καὶ μετὰ ταῦτα Φυλή τε κατελήφθη Μουνυχίαν τε κατέλαβον, ἐγένετο ὑμῖν ὧν ἐγὼ οὐδὲν δέομαι μεμνῆσθαι οὐδ' ἀναμιμνήσκειν ὑμᾶς τῶν γεγενημένων κακῶν. (81) Ἐπειδὴ δ' ἐπανήλθετε ἐκ Πειραιέως, γενόμενον ἐφ' ὑμῖν τιμωρεῖσθαι ἔγνωτε ἐᾶν τὰ γεγενημένα, καὶ περὶ πλείονος ἐποιήσασθε σώζειν τὴν πόλιν ἢ τὰς ἰδίας τιμωρίας, καὶ ἔδοξε μὴ μνησικακεῖν ἀλλήλοις τῶν γεγενημένων. Δόξαντα δὲ ὑμῖν ταῦτα εἵλεσθε ἄνδρας εἴκοσι· τούτους δὲ ἐπιμελεῖσθαι τῆς πόλεως, ἕως ἂν οἱ νόμοι τεθεῖεν· τέως δὲ χρῆσθαι τοῖς Σόλωνος νόμοις καὶ τοῖς Δράκοντος θεσμοῖς. (82) Ἐπειδὴ δὲ βουλήν τε ἀπεκληρώσατε νομοθέτας τε εἵλεσθε, εὑρίσκοντες τῶν νόμων τῶν τε Σόλωνος καὶ τῶν Δράκοντος πολλοὺς ὄντας οἷς πολλοὶ τῶν πολιτῶν ἔνοχοι ἦσαν τῶν πρότερον ἕνεκα γενομένων, ἐκκλησίαν ποιήσαντες ἐβουλεύσασθε περὶ αὐτῶν, καὶ ἐψηφίσασθε, δοκιμάσαντες πάντας τοὺς νόμους, εἶτ' ἀναγράψαι ἐν τῇ στοᾷ τούτους τῶν νόμων οἳ ἂν δοκιμασθῶσι. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

80. Per hoc decretum, viri, honorem quidem reddidistis eo carentibus; exulibus autem ut venia daretur domum redeundi, neque Patroclides auctor vobis fuit, neque vos scivistis. Ut autem, induciis cum Lacedæmoniis contractis, mœnia diruebatis, exules quoque recipiebatis, et triginta tyranni cooriebantur, et Phyle postmodum occupabatur et Munychia, illa infanda evenerunt, quorum ut me meminisse nil juvat, ita vestram quoque refricari memoriam nil attinet. (81) Ut autem e Piræeo tandem in urbem redistis, quum liceret vobis pœnas sumere, decrevistis, quæcunque accidissent oblivioni tradere, plurisque fecistis reip. salutem quam privatarum simultatum ultiones, acceptarumque injuriarum oblivionem lege sanxistis. Quæ ut vobis placuit rata esse, creastis vigintiviros, qui civitati præessent, donec leges latæ essent; interim placuit Solonis legibus et Dracontis statutis uti. (82) Ut autem senatu per sortem, legislatoribus autem per delectum creatis, reperiebatis in utroque genere legum tam a Solone quam a Draconte profectarum inesse multas, quibus civium bene multi ob ea quæ in ista reip. procella evenissent tenerentur, concione convocata, proposuistis his de legibus deliberationem, atque decrevistis ut leges omnes examinarentur, eoque in examine probatæ in tabulis conscriberentur in Stoa Pœcile figendis. Recita tu mihi hoc decretum.

ΨΗΦΙΣΜΑ.

83. Ἔδοξε τῷ δήμῳ, Τισαμενὸς εἶπε, πολι-

DECRETUM.

83. Placuit populo, Tisamenus auctor fuit

τεύεσθαι Ἀθηναίους κατὰ τὰ πάτρια, νόμοις δὲ χρῆσθαι τοῖς Σόλωνος, καὶ μέτροις καὶ σταθμοῖς, χρῆσθαι δὲ καὶ τοῖς Δράκοντος θεσμοῖς, οἷσπερ ἐχρώμεθα ἐν τῷ πρόσθεν χρόνῳ. Ὁπόσων δ' ἂν προσδέῃ, οἵδε ᾑρημένοι νομοθέται ὑπὸ τῆς βουλῆς ἀναγράφοντες ἐν σανίσιν ἐκτιθέντων πρὸς τοὺς ἐπωνύμους, σκοπεῖν τῷ βουλομένῳ, καὶ παραδιδόντων ταῖς ἀρχαῖς ἐν τῷδε τῷ μηνί. (84) Τοὺς δὲ παραδιδομένους νόμους δοκιμασάτω πρότερον ἡ βουλὴ καὶ οἱ νομοθέται οἱ πεντακόσιοι, οὓς οἱ δημόται εἵλοντο, ἐπειδὴ ὀμωμόκασιν. Ἐξεῖναι δὲ καὶ ἰδιώτῃ τῷ βουλομένῳ, εἰσιόντι εἰς τὴν βουλὴν συμβουλεύειν ὅ τι ἂν ἀγαθὸν ἔχῃ περὶ τῶν νόμων. Ἐπειδὰν δὲ τεθῶσιν οἱ νόμοι, ἐπιμελείσθω ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τῶν νόμων, ὅπως ἂν αἱ ἀρχαὶ τοῖς κειμένοις νόμοις χρῶνται. Τοὺς δὲ κυρουμένους τῶν νόμων ἀναγράφειν εἰς τὸν τοῖχον, ἵνα περ πρότερον ἀνεγράφησαν, σκοπεῖν τῷ βουλομένῳ.

85. Ἐδοκιμάσθησαν μὲν οὖν οἱ νόμοι, ὦ ἄνδρες, κατὰ τὸ ψήφισμα τουτί, τοὺς δὲ κυρωθέντας ἀνέγραψαν εἰς τὴν στοάν. Ἐπειδὴ δ' ἀνεγράφησαν, ἐθέμεθα νόμον, ᾧ πάντες χρῆσθε. Καί μοι ἀνάγνωθι τὸν νόμον.

ΝΟΜΟΣ.

Ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ περὶ ἑνός.

86. Ἆρά γέ ἐστι τοῦτο ὅτι περιελείπετο περὶ ὅτου οἷόν τε ἢ ἀρχὴν εἰσάγειν ἢ ὑμῶν πρᾶξαί τινι, ἀλλ' ἢ κατὰ τοὺς ἀναγεγραμμένους νόμους; ὅπου οὖν ἀγράφῳ νόμῳ οὐκ ἔξεστι χρήσασθαι, ἦ που ἀγράφῳ γε ψηφίσματι παντάπασιν οὐ δεῖ γε χρήσασθαι. Ἐπειδὴ τοίνυν ἑωρῶμεν ὅτι πολλοῖς τῶν πολιτῶν εἶεν συμφοραί, τοῖς μὲν κατὰ νόμους, τοῖς δὲ κατὰ ψηφίσματα τὰ πρότερον γενόμενα, τουτουσὶ τοὺς νόμους ἐθέμεθα, αὐτῶν εἵνεκα τῶν νυνὶ ποιουμένων, ἵνα τούτων μηδὲν γίνηται μηδὲ ἐξῇ συκοφαντεῖν μηδενί. Καί μοι ἀνάγνωθι τοὺς νόμους.

ΝΟΜΟΙ.

87. Ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ περὶ ἑνός. Ψήφισμα δὲ μηδὲν μήτε βου-
12 λῆς μήτε δήμου κυριώτερον εἶναι. Μηδὲ ἐπ' ἀνδρὶ νόμον ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις, ἐὰν μὴ ἑξακισχιλίοις δόξῃ κρύβδην ψηφιζομένοις.

Τί οὖν ἦν ἐπίλοιπον; οὑτοσὶ ὁ νόμος. Καί μοι ἀνάγνωθι τοῦτον.

sententiæ, Athenienses remp. gerere secundum ritus patrios, et Solonis uti legibus et mensuris ponderibusque, uti quoque thesmorum a Draconte positorum iis, quibus antehac usi sumus. Quascunque novas autem leges condi usus ferat, Nomothetæ a senatu lecti eas in tabulis perscribentes coram Eponymis exponunto ad contemplandum volenti cuique, et senatui hoc ipso mense tradunto. (84) Traditas autem sibi leges senatus prius explorato, et legislatores quingenti a popularibus per demos delecti, postquam sacramento adacti fuerint : sed et privato cuique liceto volenti in senatum intrare, et bonum si quid habeat de legibus suadere, id edere. Latæ autem ubi fuerint leges, senatus Areopagiticus earum curam gerito atque provideto, ut magistratus legibus ratis utantur. Legum quæcunque sint perlatæ atque in ratis habitæ, eas perscribunto in pariete, ubi priores leges perscriptæ olim erant, ut volens quisque spectare possit.

85. Secundum hoc decretum revocatæ sunt, o viri, leges ad scrutinium; probatasque consignarunt et in porticu exposuerunt. Quo facto legem nobis ferri curavimus, qua vos utimini omnes. Recita tu mihi hanc legem.

Lex.

Lege literis non consignata magistratus ne utuntor ulla in re.

86. Estne jam aliquid huic Cephisio reliquum, de quo aut referre magistratus aliquis, aut in quo vestrûm quisquam, o viri, agere et exsequi quidquam possit, præterquam secundum leges scriptas? Quando ergo lege non scripta uti non licet, quanto minus uti licebit non scripto psephismate? Quoniam itaque videbamus civium multis multas magnasque clades impendere, aliis e vetustis legibus, aliis e vetustis plebiscitis, ideo leges novas ferri curavimus, propter illa ipsa, quæ nunc fiunt, quominus fierent, et quominus liceret quadruplatorem agere. Recita tu mihi has leges.

Leges.

87. Lege literis non consignata magistratus ne utuntor ulla in re. Psephisma nullum sive senatus sive plebis validius esto lege. Nullius hominis singularis ergo liceto legem ferre, quæ non perinde de omnibus Atheniensibus valeat, nisi secus visum fuerit sexies mille viris, clam per tabellas suffragatis.

Quid nunc? superestne adhuc aliquid? Superest nimirum hæc lex, quam tu mihi recites velim.

ΝΟΜΟΣ.

Τὰς δὲ δίκας καὶ τὰς διαίτας κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατουμένῃ τῇ πόλει ἐγένοντο· τοῖς δὲ νόμοις χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος.

88. Τὰς μὲν δίκας, ὦ ἄνδρες, καὶ τὰς διαίτας ἐποιήσατε κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατουμένῃ τῇ πόλει ἐγένοντο, ὅπως μήτε χρεῶν ἀποκοπαὶ εἶεν μήτε δίκαι ἀνάδικοι γίγνοιντο, ἀλλὰ τῶν ἰδίων συμβολαίων αἱ πράξεις εἶεν· τῶν δὲ δημοσίων ὁπόσοις ἢ γραφαί εἰσιν ἢ φάσεις ἢ ἐνδείξεις ἢ ἀπαγωγαί, τούτων ἕνεκα τοῖς νόμοις ἐψηφίσασθε χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος. (89) Ὁπότ' οὖν ἔδοξεν ὑμῖν δοκιμάσαι μὲν τοὺς νόμους, δοκιμάσαντας δὲ ἀναγράψαι, ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ περὶ ἑνός, ψήφισμα δὲ μήτε βουλῆς μήτε δήμου νόμου κυριώτερον εἶναι, μηδ' ἐπ' ἀνδρὶ νόμον τιθέναι ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις, τοῖς δὲ νόμοις τοῖς κειμένοις χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος, ἐνταυθοῖ ἔστιν ὅ τι ὑπολείπεται ἢ μεῖζον ἢ ἔλαττον τῶν γενομένων πρότερον ψηφισμάτων, πρὶν Εὐκλείδην ἄρξαι, ὅπως κύριον ἔσται; οὐχ οἶμαι ἔγωγε, ἄνδρες. Σκοπεῖτε δὲ καὶ αὐτοί.

90. Φέρε δὴ τοίνυν, οἱ ὅρκοι ὑμῖν πῶς ἔχουσιν; ὁ μὲν κοινὸς τῇ πόλει ἁπάσῃ, ὃν ὀμωμόκατε πάντες μετὰ τὰς διαλλαγάς, « Καὶ οὐ μνησικακήσω τῶν πολιτῶν οὐδενὶ πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα [καὶ τῶν δέκα]· οὐδὲ τούτων ὃς ἂν ἐθέλῃ εὐθύνας διδόναι τῆς ἀρχῆς ἧς ἦρξεν. » Ὅπου τοίνυν αὐτοῖς τοῖς τριάκοντα ὤμνυτε μὴ μνησικακήσειν, τοῖς μεγίστων κακῶν αἰτίοις, εἰ διδοῖεν εὐθύνας, ἦ που σχολῇ τῶν γε ἄλλων πολιτῶν τινι ἠξιοῦτε μνησικακεῖν. (91) Ἡ δὲ βουλὴ αὖ ἡ ἀεὶ βουλεύουσα τί ὄμνυσι; « Καὶ οὐ δέξομαι ἔνδειξιν οὐδὲ ἀπαγωγὴν ἕνεκα τῶν πρότερον γεγενημένων, πλὴν τῶν φυγόντων. » Ὑμεῖς δ' αὖ, ὦ Ἀθηναῖοι, τί ὀμόσαντες δικάζετε; « Καὶ οὐ μνησικακήσω, οὐδὲ ἄλλῳ πείσομαι, ψηφιοῦμαι δὲ κατὰ τοὺς κειμένους νόμους. » Ἃ χρὴ σκοπεῖν, εἰ δοκῶ ὀρθῶς ὑμῖν λέγειν ὡς ὑπὲρ ὑμῶν λέγω καὶ τῶν νόμων.

92. Σκέψασθε τοίνυν, ὦ ἄνδρες, καὶ τοὺς νόμους καὶ τοὺς κατηγόρους, τί αὐτοῖς ὑπάρχον ἑτέρων κατηγοροῦσι. Κηφίσιος μὲν οὑτοσὶ πριάμενος ὠνὴν ἐκ τοῦ δημοσίου, τὰς ἐκ ταύτης ἐπικαρπίας τῶν ἐν τῇ γῇ γεωργούντων ἐνενήκοντα μνᾶς ἐκλέξας, οὐ κατέβαλε τῇ πόλει καὶ ἔφυγεν· εἰ γὰρ ἦλθεν, ἐδέδετ' ἂν ἐν τῷ ξύλῳ. (93) Ὁ γὰρ νόμος οὕτως εἶχε, κυρίαν εἶναι τὴν βουλήν, ὃς ἂν πριάμενος τέλος μὴ καταβάλῃ, δεῖν εἰς τὸ ξύλον. Οὗτος τοίνυν, ὅτι τοῖς νόμοις ἐψηφίσασθ' ἀπ' Εὐκλείδου ἄρχοντος χρῆσθαι, ἀξιοῖ ἃ ἔχει ὑμῶν ἐκλέξας μὴ ἀποδοῦναι, καὶ νῦν γεγένηται ἀντὶ μὲν φυγάδος πολίτης, ἀντὶ δὲ ἀτίμου συκοφάντης, ὅτι τοῖς νόμοις τοῖς νῦν κειμένοις χρῆσθε. (94) Μέλητος δ' αὖ οὑτοσὶ ἀπήγαγεν ἐπὶ τῶν τριάκοντα Λέοντα, ὡς ὑμεῖς ἅπαντες ἴστε, καὶ ἀπέθανεν ἐκεῖνος ἄκριτος· καὶ οὗτος ὁ νόμος καὶ πρότερον ἦν καὶ ὡς καλῶς ἔχων καὶ νῦν ἔστι, καὶ χρῆσθε

Lex.

Judicia et arbitria rata sunto, quæcunque in urbe libera fiunt a legibus gubernata : legibus utuntor ab Euclide archonte inde.

88. Judicia et arbitria rata et valida sanxistis esse, o viri, quæcunque in civitate libera facta sint, quo neque novæ tabulæ flerent neque judicia jam transacta rescinderentur, sed rata essent pacta privata : quæ autem crimina publica sunt ejusmodi, ut super iis liceat in reos agere ex titulo γραφῆς sive φάσεως sive ἐνδείξεως sive ἀπαγωγῆς, illorum causa decreto sanxistis, utendum legibus esse ab Euclide archonte inde. (89) Quandoquidem igitur vobis placuit leges examini submitti, et probatas literis consignare, magistratibus autem interdici ne qua lege non scripta utantur quacunque tandem in re, item, decretum nullum sive senatus sit sive plebis lege validius esse, neque in unius hominis gratiam ferri legem quæ non item de omnibus sit Atheniensibus valitura, tandem legibus uti ratis inde ab archonte Euclide : ullumne reliquum esse potest psephisma archonte Euclide vetustius sive majoris momenti rem sive minoris spectet, quod adhuc ratum sit ? Ego non arbitror. Sed ipsi vos quoque vobiscum velim existimetis.

90. Verum videamus nunc quomodo jurajuranda vestra habeant. Illud quidem universæ civitati commune quod omnes juravistis post reconciliationem sic habet : *Injuriarum nemini ero memor, præterquam trigintaviris, undecimviris* [*et decemviris*] *: et ne horum quidem iis qui rationes gestorum magistratuum reddere velint.* Vos igitur, qui jurastis in ipsis adeo trigintaviris, qui mala vobis crearunt atrocissima, non esse memores acceptarum injuriarum, si rerum gestarum rationem reddant; multo magis de alio quopiam civium jusjurandum valebit. (91) Senatus rursus hic statis vicibus remp. regens, quid is jurat? *Neque admittam*, ait, *actionem* ἐνδείξεως *vel* ἀπαγωγῆς *de antehac factis, præterquam contra exules.* Vos denique, Athenienses, quo jurejurando astricti judicatis? *Non ulciscar injurias neque alii ad id hortanti obtemperabo, sed secundum ratas leges sententiam dicam.* Quæ quum alo a me pro vobis et pro legibus vestris disputari, decet vos arbitrari num recte aiam.

92. Jam considerate, viri, leges quoque et accusatores, quales ipsi quum sint, alios accusent. Cephisius hic, vectigale aliquo ab ærario redempto, quum nonaginta minarum contributionem a colonis agrum exercentibus collegisset, mercedem reip. pactam non dependit, ideoque fuga salutem quæsivit : nam si tum redisset, datus utique in carcerem et cippo alligatus fuisset. (93) Sic enim edicit lex, ut senatui quingentorum virorum liceat, quicunque vectigalis a se redempti mercedem haud dependerit, eum ad truncum alligare. Jam vero quum decreveritis iis tantum legibus uti, quæ inde ab Euclide archonte probatæ sint, Cephisius æquum censet, ut, quas extorsit pecunias, vobis haud reddat, et pro exule civis, pro deminuto capitis quadruplator factus est. (94) Ad Meletum transeo, qui sub triginta viris Leontem, quem vos omnes nostis, ad undecimviros abduxit. Atqui lex hæc et olim fuit in usu, et nunc ut sapiens adhuc viget, ut, qui consilium sceleri exsequendo dederit, pœnis

αὐτῷ, τὸν βουλεύσαντα ἐν τῷ αὐτῷ ἐνέχεσθαι καὶ τὸν τῇ χειρὶ ἐργασάμενον. Μέλητον τοίνυν τοῖς παισὶ τοῖς τοῦ Λέοντος οὐκ ἔστι φόνου διώκειν, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος, ἐπεὶ ὥς γε οὐκ ἀπήγαγεν, οὐδ' αὐτὸς ἀντιλέγει. (95) Ἐπιχάρης δ' οὗ-
40 τος, ὁ πάντων πονηρότατος καὶ βουλόμενος εἶναι τοιοῦτος, ὁ μνησικακῶν αὐτὸς αὑτῷ, — οὗτος γὰρ ἐβούλευεν ἐπὶ τῶν τριάκοντα· ὁ δὲ νόμος τί κελεύει, ὃς ἐν τῇ στήλῃ ἔμπροσθέν ἐστι τοῦ βουλευτηρίου; « Ὃς ἂν ἄρξῃ ἐν τῇ πόλει τῆς δημοκρατίας καταλυθείσης, νηποινὶ τεθνάναι, καὶ τὸν ἀποκτείναντα ὅσιον εἶναι, καὶ τὰ χρήματα ἔχειν τοῦ ἀποθανόντος. » Ἄλλο τι οὖν, ὦ Ἐπίχαρες, ἢ νῦν ὁ ἀποκτείνας σε καθαρὸς τὰς χεῖρας
13 ἔσται, κατά γε τὸν Σόλωνος νόμον; (96) Καί μοι ἀνάγνωθι τὸν νόμον τὸν ἐκ τῆς στήλης.

teneatur iisdem, quibus qui scelus suis manibus perpetrarit. Verumtamen ideo, quod leges vobis ab archonte Euclide inde validæ sunt, non licet Leontis liberis actionem cædis in hunc Meletum intendere: nam ne ipse quidem Meletus infitietur Leontem a se ad undecimviros abductum esse. (95) Epichares denique hic non modo est, sed haberi quoque vult mortalium omnium nequissimus: nam scelerum suorum pœnas ipse a semet repetit. Sub triginta tyrannis senator fuit: hujusmodi autem de hominibus quid statuit lex pilæ incisa coram curia fixæ? *Magistratum* (ait) *in urbe qui gesserit post eversum statum popularem, impune moritor, eumque qui occiderit, is purus a piaculo esto, et bona perempti possideto.* Profecto, Epichares, si quis te nunc occiderit, puræ ei manus forent secundum Solonis quidem leges. (96) Recita tu mihi hanc legem a pila.

ΝΟΜΟΣ. Ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ· Αἰαντὶς ἐπρυτάνευε, Κλεογένης ἐγραμμάτευε, Βοηθὸς ἐπεστάτει. Τάδε Δημόφαντος συνέγραψεν. Ἄρχει χρόνος τοῦδε τοῦ ψηφίσματος ἡ βουλὴ οἱ πεντακόσιοι οἱ λαχόντες τῷ κυάμῳ, ὅτε Κλεογένης πρῶτος ἐγραμμάτευεν. Ἐάν τις δημοκρατίαν καταλύῃ τὴν Ἀθήνησιν, ἢ ἀρχήν τινα ἄρχῃ καταλελυμένης τῆς δημοκρατίας, πολέμιος ἔστω Ἀθηναίων καὶ νηποινὶ τεθνάτω, καὶ τὰ χρήματα αὐτοῦ δημόσια ἔστω, καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον· (97) ὁ δὲ ἀποκτείνας τὸν ταῦτα ποιήσαντα καὶ ὁ συμβουλεύσας ὅσιος ἔστω καὶ εὐαγής. Ὀμόσαι δ' Ἀθηναίους ἅπαντας καθ' ἱερῶν τελείων, κατὰ φυλὰς καὶ κατὰ δήμους, ἀποκτείνειν τὸν ταῦτα ποιήσαντα. Ὁ δὲ ὅρκος ἔστω ὅδε· « Κτενῶ [καὶ λόγῳ καὶ ἔργῳ καὶ ψήφῳ καὶ] τῇ ἐμαυτοῦ χειρί, ἂν δυνατὸς ὦ, ὃς ἂν καταλύσῃ τὴν δημοκρατίαν τὴν Ἀθήνησι, καὶ ἐάν τις ἄρξῃ τινὰ ἀρχὴν καταλελυμένης τῆς δημοκρατίας τὸ λοιπόν, καὶ ἐάν τις τυραννεῖν ἐπαναστῇ ἢ τὸν τύραννον συγκαταστήσῃ. Καὶ ἐάν τις ἄλλος ἀποκτείνῃ, ὅσιον αὐτὸν νομιῶ εἶναι καὶ πρὸς θεῶν καὶ δαιμόνων, ὡς πολέμιον κτείναντα τῶν Ἀθηναίων, καὶ τὰ κτήματα τοῦ ἀποθανόντος πάντα ἀποδόμενος ἀποδώσω τὰ ἡμίσεα τῷ ἀποκτείναντι, καὶ οὐκ ἀποστερήσω οὐδέν. (98) Ἐὰν δέ τις κτείνων τινὰ τούτων ἀποθάνῃ ἢ ἐπιχειρῶν, εὖ ποιήσω αὐτόν τε καὶ τοὺς παῖδας τοὺς ἐκείνου καθάπερ Ἁρμόδιόν τε καὶ Ἀριστογείτονα καὶ τοὺς ἀπογόνους αὐτῶν. Ὁπόσοι δὲ ὅρκοι ὀμώμονται Ἀθήνησιν ἢ ἐν τῷ στρατοπέδῳ ἢ ἄλλοθί που ἐναντίοι τῷ δήμῳ τῶν Ἀθηναίων,

Lex. Placuit senatui populoque. Quum tribus Æantis prytaneatu fungeretur, Cleogene scribam agente, Boetho epistatæ honorem gerente, factus est hujus literis consignatæ sententiæ auctor Demophantus. — Orditur hoc psephisma commemoratione temporis quo latum fuit, scilicet eo senatu rempubl. gubernante qui sorte ductus sedit eo anno quo Cleogenes scripturam primus fecit. Verba psephismatis autem ipsa sic se habent: Statum libertatis popularis si quis Athenis everterit, aut oppressa rep. honorem quempiam gesserit, is hostis Atheniensium habetor, atque inulto moritor, et facultates ejus publicantor, et decima pars earum Minervæ sacra esto: (97) reum autem qui aut manu sua peremerit, aut qui peremptori cædis auctor fuerit, ambo sancti et p habentor. Et Athenienses omnes tributim et curiatim super hostiis juranto, ut, qui istæc fecerit, eum occidere velint. Jusjurandum autem hoc esto: *Populi Atheniensis rempublicam si quis everterit, aut qui, illa oppressa jacente, honorem ullum gesserit, aut si quis exsistat qui tyrannidem moliatur aut adjutorem se præstet tyrannidem affectanti, eum et ego ipse occidam, si potero, et alius si quis occiderit, hunc pium erga deos et dæmones habebo, ut qui hostem Atheniensium peremerit, fortunasque perempti cunctas sub hasta quum vendidero, tum partem dimidiam pecuniæ inde redactæ peremptori reddam nil defraudans; hoc ita faciendum esse, et verbis factisque ero auctor et tabella mea in cadum injicienda confirmabo.* (98) *Sin autem quis in ipsa cæde aut in conatu cædis occubuerit, ornabo ipsumque ejusque liberos, perinde atque Harmodium cum Aristogitone eorumque posteros ornare solemus. Quæcunque sacramenta aut Athenis aut in castris aut uspiam alibi locorum in fraudem populi Athen. dicta fuerint, ea rescindo atque irrita pro-*

λύω καὶ ἀφίημι.» Ταῦτα δὲ ὀμοσάντων Ἀθηναῖοι πάντες καθ' ἱερῶν τελείων, τὸν νόμιμον ὅρκον, πρὸ Διονυσίων· καὶ ἐπεύχεσθαι εὐορκοῦντι μὲν εἶναι πολλὰ καὶ ἀγαθά, ἐπιορκοῦντι δ' ἐξώλη αὐτὸν εἶναι καὶ γένος.

99. Πότερον, ὦ συκοφάντα καὶ ἐπίτριπτον κίναδος, κύριος ὁ νόμος ὅδ' ἐστὶν ἢ οὐ κύριος; διὰ τοῦτο δ' οἶμαι γεγένηται ἄκυρος, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος. Καὶ σὺ ζῇς καὶ περιέρχῃ τὴν πόλιν ταύτην, οὐκ ἄξιος ὤν· ὃς ἐν δημοκρατίᾳ μὲν συκοφαντῶν ἔζης, ἐν ὀλιγαρχίᾳ δέ, ὡς μὴ ἀναγκασθείης τὰ χρήματα ἀποδοῦναι ὅσα συκοφαντῶν ἔλαβες, ἐδούλευες τοῖς τριάκοντα. (100) Εἶτα σὺ περὶ ἑταιρείας ἐμοὶ μνείαν ποιῇ καὶ κακῶς τινας λέγεις; ὃς ἑνὶ μὲν οὐχ ἡταίρησας (καλῶς γὰρ ἄν σοι εἶχε), πραττόμενος δ' οὐ πολὺ ἀργύριον τὸν βουλόμενον ἀνθρώπων, ὡς οὗτοι ἴσασιν, ἐπὶ τοῖς αἰσχίστοις ἔργοις ἔζης, καὶ ταῦτα οὕτω μοχθηρὸς ὢν τὴν ἰδέαν. Ἀλλ' ὅμως οὗτος ἑτέρων ἐτόλμα κατηγορεῖν, ᾧ κατὰ τοὺς νόμους τοὺς ἡμετέρους οὐδ' αὐτῷ ὑπὲρ αὑτοῦ ἔστιν ἀπολογεῖσθαι. (101) Ἀλλὰ γάρ, ὦ ἄνδρες, καθήμενος ἡνίκα μου κατηγόρει, βλέπων εἰς αὐτὸν οὐδὲν ἄλλο ἢ ὑπὸ τῶν τριάκοντα συνειλημμένος ἔδοξα κρίνεσθαι. Εἰ γὰρ τότε ἠγωνιζόμην, τίς ἄν μου κατηγόρει; οὐχ οὗτος ὑπῆρχεν, εἰ μὴ ἐδίδουν ἀργύριον; καὶ γὰρ νῦν. Ἀνέκρινε δ' ἄν με τίς ἄλλος ἢ Χαρικλῆς, ἐρωτῶν, Εἰπέ μοι, ὦ Ἀνδοκίδη, ἦλθες εἰς Δεκέλειαν, καὶ ἐπετείχισας τῇ πατρίδι τῇ σεαυτοῦ; Οὐκ ἔγωγε. Τί δέ; ἔτεμες τὴν χώραν, καὶ ἐλῄσω ἢ κατὰ γῆν ἢ κατὰ θάλατταν τοὺς πολίτας τοὺς ἑαυτοῦ; Οὐ δῆτα. Οὐδ' ἐναυμάχησας ἐναντία τῇ πόλει, οὐδὲ συγκατέσκαψας τὰ τείχη, οὐδὲ συγκατέλυσας τὸν δῆμον, οὐδὲ βίᾳ κατῆλθες εἰς τὴν πόλιν; Οὐδὲν τούτων πεποίηκα. Οὐδέν; δοκεῖς οὖν χαιρήσειν ἢ οὐκ ἀποθανεῖσθαι, ὡς ἕτεροι πολλοί; (102) Ἆρ' ἂν οἴεσθε, ὦ ἄνδρες, ἄλλων τινῶν τυχεῖν με δι' ὑμᾶς, εἰ ἐλήφθην ὑπ' αὐτῶν; οὐκ οὖν δεινὸν εἰ ὑπὸ μὲν τούτων διὰ τοῦτ' ἂν ἀπωλόμην, ὅτι εἰς τὴν πόλιν οὐδὲν ἥμαρτον, ὥσπερ καὶ ἑτέρους ἀπέκτειναν, ἐν ὑμῖν δὲ κρινόμενος, οὓς οὐδὲν κακὸν πεποίηκα, οὐ σωθήσομαι; πάντως δήπου· ἢ σχολῇ γέ τις ἄλλος ἀνθρώπων. (103) Ἀλλὰ γάρ, ὦ ἄνδρες, τὴν
14 μὲν ἔνδειξιν ἐποιήσαντό μου κατὰ νόμον κείμενον, τὴν δὲ κατηγορίαν κατὰ τὸ ψήφισμα τὸ πρότερον γεγενημένον περὶ ἑτέρων. Εἰ οὖν ἐμοῦ καταψηφιεῖσθε, ὁρᾶτε μὴ οὐκ ἐμοὶ μάλιστα τῶν πολιτῶν προσήκει λόγον δοῦναι τῶν γεγενημένων, ἀλλὰ πολλοῖς ἑτέροις μᾶλλον, τοῦτο μὲν οἷς ὑμεῖς ἐναντία μαχεσάμενοι διηλλάγητε καὶ ὅρκους ὠμόσατε, τοῦτο δὲ οὓς φεύγοντας κατηγάγετε, τοῦτο δὲ οὓς ἀτίμους ὄντας ἐπιτίμους ἐποιήσατε, ὧν εἵνεκα καὶ στήλας ἀνείλετε καὶ νόμους ἀκύρους ἐποιήσατε καὶ ψηφίσματα ἐξηλείψατε· οἳ νυνὶ μένουσιν ἐν τῇ πόλει πιστεύοντες ὑμῖν, ὦ ἄνδρες. (104) Εἰ οὖν γνώσονται ὑμᾶς ἀποδεχομένους τὰς κατηγορίας τῶν

nuntio. Hanc in formulam juranto Athenienses omnes super hostiis perfectis, rite ante Liberalia; et precari memento, ut sancte juranti multæ prosperitates eveniant, pejerans autem ut una cum prole male pereat.

99. Jam responde tu mihi, quadruplator et ardelio, quem dii evertant, estne hæc lex rata an irrita? Propterea irrita est quod vos uti legibus vultis sub Euclide archonte latis: propterea tu spiras adhuc et per hanc urbem deambulas, haud meritus; quippe qui, tenente adhuc statu populari e calumniis et delationibus victum quæreres, triginta tyrannis autem rerum potitis servires, quo quæstum calumniis partum revomere ne cogerere. (100) Itane vero tu nihilominus de quæstu meretricio factitato me compellabis? aliosque ibis infamatum, qui uni quidem homini te pro pellice non substravisti — quod si fecisses, fuisset id utique tibi præclarius —, sed unicuique volenti morem gessisti, id quod hi judices norunt, et pro minimo lucello turpissima quæque stupra passus es, tametsi esses ore tam deformi. Et nihilominus tamen alios accusare ausus est hic, cui ne pro se quidem ipso causam dicere per leges nostras licet. (101) Verumenimvero, quum, illo me accusante, in os ejus intuerer, videbar mihi haud aliter atque a triginta viris comprehensus judicium eorum tolerare. Nam, si tunc illis obtinentibus capitis periculum mihi decertandum fuisset, ecquis alius me, præterquam hic, accusasset? Fecisset enim, nisi periculum ego nummis redemissem. Nam nunc quoque nulla alia de causa me accusavit, quam quod cum eo decidere nolui. Ecquis me tunc alius, præterquam Charicles, percontatus fuisset in hunc modum? « Dic mihi, Andocide, venistine Deceleam? castellum patriæ tuæ finibus imposuisti? » Ego nego me fecisse. « At agrum tamen depopulatus es, et in cives tuos latrocinia exercuisti sive in continente sive per mare? » Profecto non feci. « Tune in prælio navali adversus patriam non dimicasti? neque operam navasti mœnia demolientibus et statum civilem evertentibus? non redisti in urbem per vim? » Horum nihil patravi. « Nihil? jamne tamen tu speras te salvum abiturum, nec capite daturum pœnas ut alii multi? » (102) Existimatisne, viri, alia me sorte vestri causa usurum fuisse, si ab illis comprehensus fuissem? Jam qui acerbum non sit, a vobis me nunc judicatum, quos nulla injuria læserim, non absolvi, qui sicuti alii complures ab illis morte damnatus fuissem, quod in vos nihil deliquissem? Ego vero certo certius absolvar, aut multo etiam minus alius quispiam absolvetur. (103) Verum, o viri, detulerunt quidem me secundum legem validam, accusarunt autem psephismate nitentes prisco et de aliis agente. Quodsi ergo contra me detis sententiam, videte ne committatis, ut non mihi uni maxime danda sit eorum quæ dudum evenerunt ratio, sed magis etiam multis aliis, quorum alii quum acie vobiscum dimicássent, postmodum tamen cum illis in gratiam redistis mutuo date jurejurando: alios ex exilio revocastis, aliis honorem reddidistis, eorumque gratia stelas sustulistis, leges abrogastis, plebiscita expunxistis: qui quidem fidentes vobis in hac urbe degunt. (104) Quodsi ergo nunc intelligent vos admittere accusationes super criminibus pridem commissis, quam putatis illis de semet ipsis fiduciam fore? aut quemnam

πρότερον γεγενημένων, τίνα αὐτοὺς οἴεσθε γνώμην ἕξειν περὶ σφῶν αὐτῶν; ἢ τίνα αὐτῶν ἐθελήσειν εἰς ἀγῶνας καθίστασθαι ἕνεκα τῶν πρότερον γεγενημένων; φανήσονται γὰρ πολλοὶ μὲν ἐχθροί, πολλοὶ δὲ συκοφάνται, οἳ καταστήσουσιν αὐτῶν ἕκαστον εἰς ἀγῶνα. (105) Ἥκουσι δὲ νυνὶ ἀκροασόμενοι ἀμφότεροι, οὐ τὴν αὐτὴν γνώμην ἔχοντες ἀλλήλοις, ἀλλ' οἱ μὲν εἰσόμενοι εἰ χρὴ πιστεύειν τοῖς νόμοις τοῖς κειμένοις καὶ τοῖς ὅρκοις οὓς ὠμόσατε ἀλλήλοις, οἱ δὲ ἀποπειρώμενοι τῆς ὑμετέρας γνώμης, εἰ αὐτοῖς ἐξέσται ἀδεῶς συκοφαντεῖν καὶ γράφεσθαι, τοὺς δὲ ἐνδεικνύναι, τοὺς δὲ ἀπάγειν. Οὕτως οὖν ἔχει, ὦ ἄνδρες· ὁ μὲν ἀγὼν ἐν τῷ σώματι τῷ ἐμῷ καθέστηκεν, ἡ δὲ ψῆφος ἡ ὑμετέρα δημοσίᾳ κρινεῖ, πότερον χρὴ τοῖς νόμοις τοῖς ὑμετέροις πιστεύειν ἢ τοὺς συκοφάντας παρασκευάζεσθαι, ἢ φεύγειν αὐτοὺς ἐκ τῆς πόλεως καὶ ἀπιέναι ὡς τάχιστα.

106. Ἵνα δὲ εἰδῆτε, ὦ ἄνδρες, ὅτι τὰ πεποιημένα ὑμῖν εἰς ὁμόνοιαν οὐ κακῶς ἔχει, ἀλλὰ τὰ προσήκοντα καὶ τὰ συμφέροντα ὑμῖν αὐτοῖς ἐποιήσατε, βραχέα βούλομαι καὶ περὶ τούτων εἰπεῖν. Οἱ γὰρ πατέρες οἱ ὑμέτεροι γενομένων τῇ πόλει κακῶν μεγάλων, ὅτε οἱ τύραννοι μὲν εἶχον τὴν πόλιν, ὁ δὲ δῆμος ἔφυγε, νικήσαντες μαχόμενοι τοὺς τυράννους ἐπὶ Παλληνίῳ, στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ καὶ Χαρίου οὗ ἐκεῖνος τὴν θυγατέρα εἶχεν, ἐξ ἧς ὁ ἡμέτερος ἦν πάππος, κατελθόντες εἰς τὴν πατρίδα τοὺς μὲν ἀπέκτειναν, τῶν δὲ φυγὴν κατέγνωσαν, τοὺς δὲ μένειν ἐν τῇ πόλει ἐάσαντες ἠτίμωσαν. (107) Ὕστερον δὲ ἡνίκα βασιλεὺς ἐπεστράτευσεν ἐπὶ τὴν Ἑλλάδα, γνόντες τῶν συμφορῶν τῶν ἐπιουσῶν τὸ μέγεθος καὶ τὴν παρασκευὴν τοῦ βασιλέως, ἔγνωσαν τούς τε φεύγοντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι καὶ κοινὴν τήν τε σωτηρίαν καὶ τοὺς κινδύνους ποιήσασθαι. Πράξαντες δὲ ταῦτα, καὶ δόντες ἀλλήλοις πίστεις καὶ ὅρκους μεγάλους, ἠξίουν σφᾶς αὐτοὺς προτάξαντες πρὸ τῶν Ἑλλήνων ἁπάντων ἀπαντῆσαι τοῖς βαρβάροις Μαραθῶνάδε, νομίσαντες τὴν σφετέραν αὐτῶν ἀρετὴν ἱκανὴν εἶναι τῷ πλήθει τῷ ἐκείνων ἀντιτάξασθαι· μαχεσάμενοί τε ἐνίκων, καὶ τήν τε Ἑλλάδα ἠλευθέρωσαν καὶ τὴν πατρίδα ἔσωσαν. (108) Ἔργον δὲ τοιοῦτον ἐργασάμενοι οὐκ ἠξίωσάν τινι τῶν πρότερον γενομένων μνησικακῆσαι· τοιγάρτοι διὰ ταῦτα τὴν πόλιν ἀνάστατον παραλαβόντες ἱερά τε κατακεκαυμένα τείχη τε καὶ οἰκίας καταπεπτωκυίας, ἀφορμήν τε οὐδεμίαν ἔχοντες, διὰ τὸ ἀλλήλοις ὁμονοεῖν τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργάσαντο καὶ τὴν πόλιν ὑμῖν τοιαύτην καὶ τοσαύτην παρέδοσαν. (109) Ὑμεῖς οὖν καὶ αὐτοὶ ὕστερον, κακῶν οὐκ ἐλαττόνων ἢ ἐκείνοις γεγενημένων, ἀγαθοὶ ἐξ ἀγαθῶν ὄντες ἀπέδοτε τὴν ὑπάρχουσαν ἀρετήν· ἠξιώσατε γὰρ τούς τε φεύγοντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι. Τί οὖν ὑμῖν ὑπόλοιπόν ἐστι τῆς ἐκείνων ἀρετῆς; μὴ μνησικακῆσαι, εἰδότας, ὦ ἄνδρες, ὅτι ἡ πόλις ἐκ πολὺ ἐλάττονος ἀφορμῆς ἐν τῷ ἔμπροσθεν χρόνῳ μεγάλη καὶ εὐδαίμων ἐγένετο· ἃ νῦν

eorum censetis ob vetusta illa facta ausurum in certamina forensia descendere? Multi enim in ipsos prodibunt inimici atque quadruplatores, qui eorum unumquemque in certamen sint conjecturi. (105) Hi jam nunc ambo hoc ad judicium venerunt, alteri quidem ut comperiant, num legibus in rep. obtinentibus datoque jurijurando confidere debeant; alteri autem periculum facere volunt vestrorum animorum, num veniam sibi sitis daturi impune calumniandi et deferendi et ad undecimviros alios abducendi. Res sic se habet, viri: certamen hoc in mea quidem unius persona consistit; judicium autem vestrum publice decernet, vestrisne legibus oporteat quemque confidere, an quadruplatores sibi adjungere, an denique ex urbe excedere atque se proripere quam celerrime.

106. Quo autem intelligatis, viri, ea quæ ad concordiam constabiliendam fecistis non mala esse, sed percommoda et utilia rebus vestris, pauca quædam etiam de his disputabo. Majores vestri, rep. magnis malis afflicta, Pisistratidarum tyrannidem fuga devitarunt, urbem servitute oppressam tenentium: concurritur ad Pallenium: prælio vincuntur tyranni: Leogoras avi mei pater et socer ejus Charias copias tum vestras ducebant; nam ex hujus Chariæ filia meus avus natus est; jam domum reversi, alios sustulerunt, alios in exilium egerunt, et, si quos in urbe manere sinerent, eos capite minuerunt. (107) Verum tempore post, quum rex Persarum copias Græciæ admoveret, perspecta calamitatum imminentium magnitudine regisque apparatu, decreverunt exules domum revocare capiteque minutis jura civilia reddere salutemque perinde atque pericula cum omnibus communicare. Quibus factis, sponsionum mutuarum et sacramentorum religionibus inter se obligati quam sanctissimis, audebant, id dignum se putantes, primam occupare aciem, cunctisque pro Græcis objecto capite suo, barbaris ad Marathonem occurrere, arbitrati virtutem suam vel solam idoneam esse quæ istorum multitudini opponeretur: commisso sic prælio, Græciamque liberarunt et patriam periculo eripuerunt. (108) Verum opere tanto defuncti, de sumendis a quoquam pristinarum injuriarum pœnis nil cogitabant. Quo factum est ut, quamvis urbem desolatam recuperassent, fana combusta, mœnia domosque collapsas, et omni opum præsidio carerent, tamen concordia subnixi principatum Græciæ sibi pararent vobisque remp. talem ac tantam relinquerent. (109) Vos ipsi quoque haud minora illis postmodum mala experti, quum essetis fortes e fortibus nati, virtutem insitam protulistis: æquum enim censuistis, vos exulibus redeundi veniam dare statumque civilem capite minutis reddere. Quænam igitur adhuc superest pars virtutis illorum vobis ad imitandum reliqua? Hæc nempe, ut pristina illa oblivioni mandetis, bene gnari, remp. ex multo minoribus initiis olim magnam evasisse et fortunatam: quod

αὐτῇ ὑπάρχει, εἰ ἐθέλοιμεν οἱ πολῖται σωφρονεῖν τε καὶ ὁμονοεῖν ἀλλήλοις.

110. Κατηγόρησαν δέ μου καὶ περὶ τῆς ἱκετηρίας, ὡς καταθείην ἐγὼ ἐν τῷ Ἐλευσινίῳ, νόμος δ' εἴη πάτριος, ὃς ἂν θῇ ἱκετηρίαν μυστηρίοις, τεθνάναι. Καὶ οὕτως εἰσὶ τολμηροὶ ὥσθ' ἃ αὐτοὶ κατεσκεύασαν, οὐκ ἀρκεῖ αὐτοῖς ὅτι οὐ κατέσχον ἃ ἐπεβούλευσαν, ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιοῦνται ὡς ἀδικοῦντος. (111) Ἐπειδὴ γὰρ ἤλθομεν Ἐλευσινόθεν καὶ ἡ ἔνδειξις ἐγεγένητο, προσήει ὁ βασιλεὺς περὶ τῶν γεγενημένων Ἐλευσῖνι κατὰ τὴν τελετήν, ὥσπερ ἔθος ἐστίν, οἱ δὲ πρυτάνεις προσάξειν ἔφασαν αὐτὸν πρὸς τὴν βουλήν, ἐπαγγεῖλαί τ' ἐκέλευον ἐμοί τε καὶ Κηφισίῳ παρεῖναι εἰς τὸ Ἐλευσίνιον· ἡ γὰρ βουλὴ ἐκεῖ καθεδεῖσθαι ἔμελλε κατὰ τὸν Σόλωνος νόμον, ὃς κελεύει τῇ ὑστεραίᾳ τῶν μυστηρίων ἕδραν ποιεῖν ἐν τῷ Ἐλευσινίῳ. (112) Καὶ παρῆμεν κατὰ τὰ προειρημένα. Καὶ ἡ βουλὴ ἐπειδὴ ἦν πλήρης, ἀναστὰς Καλλίας ὁ Ἱππονίκου τὴν σκευὴν ἔχων λέγει ὅτι ἱκετηρία κεῖται ἐπὶ τοῦ βωμοῦ, καὶ ἔδειξεν αὐτοῖς. Κᾆτα ὁ κῆρυξ ἐκήρυττε τίς τὴν ἱκετηρίαν καταθείη, καὶ οὐδεὶς ὑπήκουεν. Ἡμεῖς δὲ παρέστημεν, καὶ οὗτος ἡμᾶς ἑώρα. Ἐπειδὴ δὲ οὐδεὶς ὑπήκουεν καὶ ᾤχετο εἰσιών, ἐπεξελθὼν Εὐκλῆς οὑτοσί, — καί μοι κάλει αὐτόν. Πρῶτα μὲν οὖν ταῦτα εἰ ἀληθῆ λέγω, μαρτύρησον, Εὔκλεις.

ΜΑΡΤΥΡΙΑ.

113. Ὡς μὲν ἀληθῆ λέγω μεμαρτύρηται· πολὺ δέ μοι δοκεῖ τὸ ἐναντίον εἶναι ἢ οἱ κατήγοροι εἶπον. Ἔλεξαν γάρ, εἰ μέμνησθε, ὅτι αὐτώ με τὼ θεὼ παραγάγοιεν ὥστε θεῖναι τὴν ἱκετηρίαν μὴ εἰδότα τὸν νόμον, ἵνα δῶ δίκην. Ἐγὼ δέ, ὦ ἄνδρες, εἰ ὡς μάλιστα ἀληθῆ λέγουσιν οἱ κατήγοροι, ὑπ' αὐτοῖν μὲν φημὶ τοῖν θεοῖν σεσῶσθαι. (114) Εἰ γὰρ ἔθηκα μὲν τὴν ἱκετηρίαν, ὑπήκουσα δὲ μή, ἄλλο τι ἢ αὐτὸς μὲν αὑτὸν ἀπώλλυον τιθεὶς τὴν ἱκετηρίαν, ἐσωζόμην δὲ τῇ τύχῃ διὰ τὸ μὴ ὑπακοῦσαι, δῆλον ὅτι διὰ τὼ θεώ; εἰ γὰρ ἐβουλέσθην με ἀπολλύναι τὼ θεώ, ἐχρῆν δήπου καὶ μὴ θέντα με τὴν ἱκετηρίαν ὁμολογῆσαι. Ἀλλ' οὔτε ὑπήκουσα οὔτ' ἔθηκα. (115) Ἐπειδὴ δ' ἔλεγε τῇ βουλῇ Εὐκλῆς ὅτι οὐδεὶς ὑπακούοι, πάλιν ὁ Καλλίας στὰς ἔλεγεν ὅτι εἴη νόμος πάτριος, εἴ τις ἱκετηρίαν θείη ἐν τῷ Ἐλευσινίῳ, ἄκριτον ἀποθανεῖν, καὶ ὁ πατήρ ποτ' αὐτοῦ Ἱππόνικος ἐξηγήσαιτο ταῦτα Ἀθηναίοις, ἀκούσειε δὲ ὅτι ἐγὼ θείην τὴν ἱκετηρίαν. (116) Ἐντεῦθεν ἀναπηδᾷ Κέφαλος οὑτοσὶ καὶ λέγει· « Ὦ Καλλία, πάντων ἀνθρώπων ἀνοσιώτατε, πρῶτον μὲν ἐξηγῇ Κηρύκων ὤν, οὐχ ὅσιόν σοι ἐξηγεῖσθαι· ἔπειτα δὲ νόμον πάτριον λέγεις, ἡ δὲ στήλη παρ' ᾗ ἕστηκας χιλίας δραχμὰς κελεύει ὀφείλειν, ἐάν τις ἱκετηρίαν θῇ ἐν τῷ Ἐλευσινίῳ. Ἔπειτα δὲ τίνος ἤκουσας ὅτι Ἀνδοκίδης θείη τὴν ἱκετηρίαν; κάλεσον αὐτὸν τῇ βουλῇ, ἵνα καὶ ἡμεῖς ἀκούσωμεν. » Ἐπειδὴ δὲ ἀνεγνώσθη ἡ στήλη κἀκεῖνος οὐκ εἶχεν εἰπεῖν ὅτου ἤκουσε,

nunc quoque ei continget, si volemus nos cives qui simus, sapienter agere et concordiam colere.

110. Verum de ramo quoque me accusarunt supplicatorio, quasi ego eum in Eleusinio deposuissem, et lex patria esset ut is qui Eleusiniis ramum supplicatorium ponat, morti detur. Ac tam sunt hi audaces, ut, quod ipsi commiserunt, non satis habeant impune sibi fuisse, sed etiam culpam ejus in meum caput intorserint. (111) Nam ut ab Eleusine redieramus, et contra me exhibita fuerat indicatio, adibat rex sacrorum ad prytanes de commissis in Eleusiniorum festo relaturus, uti mos est: prytanes dicebant se ipsum ad senatum introducturos esse; interim mandabant ei, ut me et Cephisium adesse juberet in Eleusinio; ibi enim consessurum esse senatum ex lege Solonis illa, quæ senatui injungit, ut postridie mysteriorum in Eleusinio consideat. (112) Aderamus, prout indictum fuerat; numeroque senatorum completo, Callias Hipponici filius, quum ad dicendum assurrexisset in habitu Cerycum, nuntiat ramum supplicatorium super ara jacere, monstrabatque ibi jacentem. Et tum præco prædicabat, Quisnam eum ibi deposuit: verum nemo respondebat. Adstabamus nos, et hic Cephisius nos videbat. Callias itaque intro ad senatores redibat: secundum eum hic Eucles egressus. — Cita tu mihi Euclem. Ante omnia edic, Eucle, atque testare, num vera hæc dicam.

TESTIMONIUM.

113. Vera esse quæ dixi, hoc testimonio confirmatum est: multo mihi videtur aliter habere res, quam accusatores jactabant. Ipsas nempe deas, si memineritis, me egisse aiebant, ut legis ignarus ramum deponerem, eoque facto pœnas darem. Ego vero, viri, si vel maxime vera dixerint, ab ipsis deabus me servatum esse contendam. (114) Nam, si deposui quidem ramum, interrogatus autem non respondi, quid aliud inde colligitur quam hoc, ponendo ramum memet me perditum isse, secunda autem fortuna eo quod non respondi, me servatum esse deabus ita volentibus? Deæ enim si me perditum voluissent, debuissem, etiamsi ramum non deposuissem, tamen deposuisse fateri. Verum neque respondi interrogatus me posuisse, neque reapse posui. (115) Ut autem Eucles ad senatum renuntiavit, interroganti sibi neminem respondisse, rursus assurrexit Callias atque lege patria affirmavit esse sancitum, ut indicta causa morte sit afficiendus, si quis in Eleusinio ramum supplicatorium deposuisset: sic enim patrem suum Hipponicum olim respondisse Atheniensibus: a me autem ramum illum esse depositum fando se inaudivisse. (116) Ibi Cephalus hic exsiliens, *O Callia*, inquit, *impietatis antesignane! primum quidem de jure sacrorum respondes, quum ex Cerycum ordine sis, quibus fas non est de jure sacrorum respondere. Deinde commentum tuum pro lege patria venditas; nam stela, cui stas proximus, mulctam mille drachmarum ramum in Eleusinio deponenti irrogat. Denique a quonam audivisti, ab Andocide depositum esse? Arcesse eum ad senatum, ut nos quoque audiamus.* Ut autem lex e pila erat recitata, et Callias nominare non poterat a quo id audivisset, constabat

καταφανὴς ἦν τῇ βουλῇ αὐτὸς θεὶς τὴν ἱκετηρίαν.

117. Φέρε δὴ τοίνυν, ὦ ἄνδρες (τάχα γὰρ ἂν αὐτὸ βούλοισθε πυθέσθαι), ὁ δὲ Καλλίας τί βουλόμενος ἐτίθει τὴν ἱκετηρίαν; ἐγὼ δὲ ὑμῖν διηγήσομαι ὧν ὑπ' αὐτοῦ εἵνεκα ἐπεβουλεύθην. Ἐπίλυκος ἦν ὁ Τισάνδρου θεῖός μοι, ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς· ἀπέθανε δὲ ἐν Σικελίᾳ ἄπαις ἀρρένων παίδων, θυγατέρας δὲ δύο καταλιπών, αἳ ἐγίνοντο εἴς τε ἐμὲ καὶ Λέαγρον. (118) Τὰ δὲ πράγματα τὰ οἴκοι πονήρως εἶχε· τὴν μὲν γὰρ φανερὰν οὐσίαν οὐδὲ δυοῖν ταλάντοιν κατέλιπε, τὰ δὲ ὀφειλόμενα πλέον ἦν ἢ πέντε τάλαντα. Ὅμως δ' ἐγὼ καλέσας Λέαγρον ἐναντίον τῶν φίλων ἔλεγον ὅτι ταῦτ' εἴη ἀνδρῶν ἀγαθῶν, ἐν τοῖς τοιούτοις δεικνύναι τὰς οἰκειότητας ἀλλήλοις. (119) « Ἡμᾶς γὰρ οὐ δίκαιόν ἐστιν οὔτε χρήματα ἕτερα οὔτ' εὐτυχίαν ἀνδρὸς ἑλέσθαι, ὥστε καταφρονῆσαι τῶν Ἐπιλύκου θυγατέρων. Καὶ γὰρ εἰ ἔζη Ἐπίλυκος ἢ τεθνεὼς πολλὰ κατέλιπε χρήματα, ἠξιοῦμεν ἂν γένει ὄντες ἐγγυτάτω ἔχειν τὰς παῖδας. Τοιγάρτοι ἐκεῖνα μὲν δι' Ἐπίλυκον ἂν ἦν ἢ διὰ τὰ χρήματα· νῦν δὲ διὰ τὴν ἡμετέραν ἀρετὴν τάδε ἔσται. Τῆς μὲν οὖν σὺ ἐπιδικάζου, τῆς δὲ ἐγώ. » (120) Ὡμολόγησέ μοι, ὦ ἄνδρες. Ἐπεδικασάμεθα ἄμφω κατὰ τὴν πρὸς ἡμᾶς ὁμολογίαν· καὶ ἧς μὲν ἐγὼ ἐπεδικασάμην, ἡ παῖς τύχῃ χρησαμένη καμοῦσα ἀπέθανεν· ἡ δ' ἑτέρα ἔστιν ἔτι. Ταύτην Καλλίας ἔπειθε Λέαγρον, χρήματα ὑπισχνούμενος, ἐᾶν αὐτὸν λαβεῖν· αἰσθόμενος δ' ἐγὼ εὐθὺς ἔθηκα παράστασιν, καὶ ἔλαχον προτέρῳ μὲν Λεάγρῳ, ὅτι « εἰ μὲν σὺ βούλει ἐπιδικάζεσθαι, ἔχε τύχῃ ἀγαθῇ, εἰ δὲ μή, ἐγὼ ἐπιδικάσομαι. » (121) Γνοὺς ταῦτα Καλλίας λαγχάνει τῷ υἱεῖ τῷ ἑαυτοῦ τῆς ἐπικλήρου, τῇ δεκάτῃ ἱσταμένου, ἵνα μὴ ἐπιδικάσωμαι ἐγώ. Ταῖς δ' εἰκάσι, μυστηρίοις τούτοις, δοὺς Κηφισίῳ χιλίας δραχμὰς ἐνδείκνυσί με καὶ εἰς τὸν ἀγῶνα τοῦτον καθίστησιν. Ἐπειδὴ δ' ἑώρα με ὑπομένοντα, τίθησι τὴν ἱκετηρίαν, ὡς ἐμὲ μὲν ἀποκτενῶν ἄκριτον ἢ ἐξελῶν, αὐτὸς δὲ πείσων Λέαγρον χρήμασι συνοικήσων τῇ Ἐπιλύκου θυγατρί. (122) Ἐπειδὴ δ' οὐδ' ὣς ἄνευ ἀγῶνος ἑώρα ἐσόμενα τὰ πράγματα, τότε δὴ προσιὼν Λυσίστρατον, Ἡγήμονα, Ἐπιχάρην, ὁρῶν φίλους ὄντας ἐμοὶ καὶ χρωμένους, εἰς τοῦτο βδελυρίας ἦλθε καὶ παρανομίας, ὥστ' ἔλεγε πρὸς τούτους ὡς εἰ ἔτι καὶ νῦν βουλοίμην ἀποστῆναι τῆς Ἐπιλύκου θυγατρός, ἕτοιμος εἴη παύσασθαί με κακῶς ποιῶν, ἀπαλλάξαι δὲ Κηφίσιον, δίκην δ' ἐν τοῖς φίλοις δοῦναί μοι τῶν πεποιημένων. (123) Εἶπον αὐτῷ καὶ κατηγορεῖν καὶ παρασκευάζειν ἄλλους· εἰ δ' ἐγὼ αὐτὸν ἀποφεύξομαι καὶ γνώσονται Ἀθηναῖοι περὶ ἐμοῦ τὰ δίκαια, ἐγὼ αὐτὸν οἴομαι περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ ἐν τῷ μέρει κινδυνεύσειν. Ἅπερ αὐτὸν οὐ ψεύσομαι, ἐὰν ὑμῖν, ὦ ἄνδρες, δοκῇ. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

124. Ἀλλὰ γὰρ τὸν υἱὸν αὐτοῦ τοῦτον, ᾧ λαχεῖν ἠξίωσε τῆς Ἐπιλύκου θυγατρός, σκέψασθε πῶς γέγονεν,

jam senatui ramum illum ab ipso Callia depositum fuisse.

117. Verum quanam tandem Callias de causa id fecisset? — nam de hoc vos quærere consentaneum est. Ego vero dicam vobis cur mihi insidias struxerit. Epilycus erat Tisandri filius avunculus mihi, matris meæ frater : hic in Sicilia decessit, nulla relicta prole mascula : duæ filiæ, quas solas reliquerat, ex jure consanguinitatis mihique atque Leagro cedebant, ut eas domum duceremus. (118) Res Epilyci familiaris male habebat : apertam enim substantiam ne duorum quidem talentorum reliquerat, plus autem quam quinque talenta debebat. Nihilominus tamen ego Leagrum quum ad me arcessivissem, coram amicis ita cum eo egi : *Bonorum est* (inquam) *virorum, in ejusmodi temporibus testatum facere, quænam cognatorum officia sint.* (119) *Proinde nos decet Epilyci filias non contemnere, neque conditiones lautiores ipsis præferre : Epilycus enim si adhuc in vivis esset aut si magnas opes reliquisset defunctus, procul dubio filias ejus in matrimonium ambiremus. Tum tamen Epilyci vel opum gratia fecisse hæc visi essemus, nunc idem propter animi virtutem nostrum faciemus. Tu igitur alteram a prætore tibi postules, alteram ego postulabo.* (120) Ita se facturum promisit mihi. Ex pacto igitur ambo curamus puellas nobis adjudicari. Verum quam ego postulabam filia fatali morbo correpta decessit, soror vero adhuc superest. Hanc Callias promissa mercede Leagro persuadebat ut sibi uxorem permitteret : id quod ego sentiens, statim pecuniam in judicio deposui; quo facto actionem exorsus sum, primam quidem adversus Leagrum, cui conditionem hanc deferebam : *Tu quidem* (inquam) *si domum ducere puellam vis, habe tibi, quod bene tibi vertat; sin minus, tum ego eam ab archonte postulo.* (121) Callias autem, eo comperto, actionem adversus me pro filio suo capessivit, die decima mensis quo ego minus possem litem persequi. Die vigesimo et proximis insequentibus, tenentibus mysteriis, per Cephisium hunc, mille drachmarum mercede redemptum, me detulit, et in hocce certamen conjecit. Ut autem me videbat in urbe manentem, deponebat ramum illum supplicatorium, quo me aut indicta causa tolleret aut patria expelleret, ipse autem, Leagro nummis placato, filiam Epilyci domi uxorem haberet. (122) Videns autem, ne sic quidem sibi rem sine certamine successuram, Lysistratum adiit Hegemonemque et Epicharem, quos cernebat mihi amicos et familiares esse, eoque impudentiæ et improbitatis processit, ut ad hos declararet adhuc si velim ab Epilyci filia desistere, se quoque finem mei vexandi facere velle, Cephisioque silentium esse impositurum, et luitionem injuriarum arbitrio amicorum esse permissurum. (123) Ego vero ei renuntiavi, me auctorem ipsi esse, ut et accusationem persequeretur, et alios mihi immitteret : verum si æqua judicum sententia absolutus fuerim, fore profecto, ut ipse vicissim de suo capite per me sit periclitaturus. Neque de his falsus ei vates fuero, si vobis, o judices, placebit. Vera autem hæc a me dici, ut vobis constet, cita tu mihi testes.

TESTES.

124. Sed et hic filius, quem Callias subornavit, ut super Epilyci filia mecum contenderet, videte, viri, cujas sit, et

καὶ πῶς ἐποιήσατ' αὐτόν· ταῦτα γὰρ καὶ ἄξιον ἀκοῦσαι, ὦ ἄνδρες. Γαμεῖ μὲν Ἰσχομάχου θυγατέρα· ταύτῃ δὲ συνοικήσας οὐδ' ἐνιαυτὸν τὴν μητέρα αὐτῆς ἔλαβε, καὶ συνῴκει ὁ πάντων σχετλιώτατος ἀνθρώπων τῇ μητρὶ καὶ τῇ θυγατρί, ἱερεὺς ὢν τῆς μητρὸς καὶ τῆς θυγατρός, καὶ εἶχεν ἐν τῇ οἰκίᾳ ἀμφοτέρας. (125) Καὶ οὗτος μὲν οὐκ ᾐσχύνθη οὐδ' ἔδεισε τὼ θεώ· ἡ δὲ τοῦ Ἰσχομάχου θυγάτηρ τεθνάναι νομίσασα λυσιτελεῖν ἢ ζῆν ὁρῶσα τὰ γινόμενα, ἀπαγχομένη μεταξὺ κατελύθη, καὶ ἐπειδὴ ἀνεβίω, ἀποδρᾶσα ἐκ τῆς οἰκίας ᾤχετο καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα. Ταύτης δ' αὖ διαπεπλησμένος ἐξέβαλε καὶ ταύτην. Ἡ δ' ἔφη κυεῖν ἐξ αὐτοῦ· καὶ ἐπειδὴ ἔτεκεν υἱόν, ἔξαρνος ἦν μὴ εἶναι ἐξ αὐτοῦ τὸ παιδίον. (126) Λαβόντες δὲ οἱ προσήκοντες τῇ γυναικὶ τὸ παιδίον ἧκον ἐπὶ τὸν βωμὸν Ἀπατουρίοις, ἔχοντες ἱερεῖον, καὶ ἐκέλευον κατάρξασθαι τὸν Καλλίαν. Ὁ δ' ἠρώτα τίνος εἴη τὸ παιδίον· ἔλεγον « Καλλίου τοῦ Ἱππονίκου. » « Ἐγώ εἰμι οὗτος. » « Καὶ ἔστι γε σὸν τὸ παιδίον. » Λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν μὴ εἶναί οἱ υἱὸν ἄλλον μηδὲ γενέσθαι πώποτε, εἰ μὴ Ἱππόνικον ἐκ τῆς Γλαύκωνος θυγατρός· ἢ ἐξώλη εἶναι καὶ αὐτὸν καὶ τὴν οἰκίαν, ὥσπερ ἔσται. (127) Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ὑστέρῳ πάλιν χρόνῳ τῆς γραὸς τολμηροτάτης γυναικὸς ἀνηράσθη, καὶ κομίζεται αὐτὴν εἰς τὴν οἰκίαν, καὶ τὸν παῖδα ἤδη μέγαν ὄντα εἰσάγει εἰς Κήρυκας, φάσκων εἶναι υἱὸν αὑτοῦ. Ἀντεῖπε μὲν Καλλίδης μὴ εἰσδέξασθαι, ἐψηφίσαντο δὲ οἱ Κήρυκες κατὰ τὸν νόμον ὅς ἐστιν αὐτοῖς πατέρα ὀμόσαντα εἰσάγειν ἦ μὴν υἱὸν ὄντα ἑαυτοῦ εἰσάγειν. Λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν τὸν παῖδα ἑαυτοῦ εἶναι γνήσιον, ἐκ Χρυσιάδος γεγονότα· ὃν ἀπώμοσε. Καί μοι τούτων ἁπάντων τοὺς μάρτυρας κάλει.

quo pacto a Callia adoptatus: refert enim vos hæc tenere. Callias Ischomachi filiæ domum ductæ secundam uxorem, matrem ejus, anno primo matrimonii nondum exacto, superinduxit: sic homo omnium consceleratissimus cum filia et cum matre ejus rem habuit; ad exemplum nempe dearum, quarum sacerdotio fungitur, matrisque et filiæ, ambas una domo secum habebat. (125) Et ille quidem nullo ducebatur pudore, nulla reverentia dearum: Ischomachi autem filia mortem sibi magis expedire arbitrata, quam vitam tam acerbam, laqueo collum jam innexerat; sed exsoluta est. Tum ad vitam reversa e domo Calliæ discessit: sic mater filiam in fugam egit. Verum illa quoque mox exsatiatus etiam matrem ejecit. At illa se gravidam e Callia fatetur: denique puerum enititur, Callias vero illum infitiatur a se procreatum. (126) Tum necessarii mulieris puerum festo Apaturiorum ad aram adducebant, et Calliam exordiri sacra jubebant. Ille tum percontari, cujas infans esset; hi respondere, esse Calliæ, filii Hipponici. « Ego is sum, » inquit Callias. « Et hic est filius tuus. » Callias vero, aram manu tenens, negavit jurans, alium sibi filium esse aut unquam fuisse præter Hipponicum e Glauconis filia susceptum: sin autem sciens fallat, velle ut dii se ipsumque genusque totum perdant: id quod etiam sic fiet. (127) Interjecto tempore rursus, o viri, amore captus Callias anus audacissimæ ipsamque domi suæ recipit, et filium ejus jam adultum, aiens filium suum esse, in Cerycum inducit collegium. Obloquebatur quidem Callides, negans hunc puerum recipi oportere; Ceryces tamen secundum illam legem sciscebant ex qua licet patri filium inducere, ubi juraverit eum revera filium suum esse. Jam Callias, aram manibus tenens, jurejurando confirmavit, hunc suum esse filium, legitime sibi e Chrysiade natum; illum ipsum quem pridem jurans negaverat suum esse. Cita tu mihi horum omnium testes.

ΜΑΡΤΥΡΕΣ.

TESTES.

128. Φέρε δὴ τοίνυν, ὦ ἄνδρες, σκεψώμεθα εἴ πώποτε ἐν τοῖς Ἕλλησι πρᾶγμα τοιοῦτον ἐγένετο, ὅπου γυναῖκά τις γήμας ἐπέγημε τῇ θυγατρὶ τὴν μητέρα καὶ
17 ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα· ταύτῃ δὲ συνοικῶν βούλεται τὴν Ἐπιλύκου θυγατέρα λαβεῖν, ἵν' ἐξελάσῃ τὴν τήθην ἡ θυγατριδῆ. (129) Ἀλλὰ γὰρ τῷ παιδίῳ αὐτοῦ τί χρὴ τοὔνομα θέσθαι; οἶμαι γὰρ ἔγωγε οὐδένα οὕτως ἀγαθὸν εἶναι λογίζεσθαι, ὅστις ἐξευρήσει τοὔνομα αὐτοῦ. Τριῶν γὰρ οὐσῶν γυναικῶν αἷς συνῳκηκὼς ἔσται ὁ πατὴρ αὐτοῦ, τῆς μὲν υἱός ἐστιν, ὥς φησι, τῆς δὲ ἀδελφός, τῆς δὲ θεῖος. Τίς ἂν εἴη οὗτος; Οἰδίπους, ἢ Αἴγισθος; ἢ τί χρὴ αὐτὸν ὀνομάσαι;

130. Ἀλλὰ γάρ, ὦ ἄνδρες, βραχύ τι ὑμᾶς ἀναμνῆσαι περὶ Καλλίου βούλομαι. Εἰ γὰρ μέμνησθε, ὅτε ἡ πόλις ἦρχε τῶν Ἑλλήνων καὶ εὐδαιμόνει μάλιστα, Ἱππόνικος δὲ ἦν πλουσιώτατος τῶν Ἑλλήνων, τότε μέντοι πάντες ἴστε ὅτι παρὰ τοῖς παιδαρίοις τοῖς μικροτάτοις καὶ τοῖς γυναίοις κληδὼν ἐν ἁπάσῃ τῇ πόλει κατέσχεν, ὅτι Ἱππόνικος ἐν τῇ οἰκίᾳ ἀλιτήριον τρέφει, ὃς αὐτοῦ

128. Age, viri, circumspectemus, num usquam Græciæ patratum sit ejusmodi facinus, ut, quam quis uxorem duxisset, ejusdem mulieris matrem superinduceret, filiamque expelleret mater: cui cohabitans nunc Epilyci filiam adhuc vult superinducere, quo nempe neptis aviam expellat. (129) At filio Calliæ ecquod nomen imponi par erit? Nam ego quidem despero tam solertem repertum iri conjectorem, qui id divinet. Tres enim quum sint mulieres, quibus pater ejus uxoribus usus est, idem erit earum unius filius, quem ipse sese fert, alterius frater, tertiæ patruus. Ecquis hic erit? Œdipus an Ægisthus? aut quo tandem nomine appellandus est?

130. Superest adhuc unum, viri, minutum quid de Callia vobis in memoriam revocandum. Temporum adhuc si meministis quibus civitas nostra Græciæ princeps erat, et Hipponicus Græcorum locupletissimus, nostis in ore puerulorum vel infantissimorum et muliercularum versatam esse famam, tota urbe diditam, Hipponicum domi sibi alere hominem piacularem, qui mensam ejus sit eversurus.

τὴν τράπεζαν ἀνατρέπει. Μέμνησθε ταῦτα, ὦ ἄνδρες. (131) Πῶς οὖν ἡ φήμη ἡ τότε οὖσα δοκεῖ ὑμῖν ἀποβῆναι; οἰόμενος γὰρ Ἱππόνικος υἱὸν τρέφειν ἀλιτήριον αὑτῷ ἔτρεφεν, ὃς ἀνατέτροφεν ἐκείνου τὸν πλοῦτον, τὴν σωφροσύνην, τὸν ἄλλον βίον ἅπαντα. Οὕτως οὖν χρὴ περὶ τούτου γινώσκειν, ὡς ὄντος Ἱππονίκου ἀλιτηρίου.

132. Ἀλλὰ γάρ, ὦ ἄνδρες, διὰ τί ποτε τοῖς ἐμοὶ νυνὶ ἐπιτιθεμένοις μετὰ Καλλίου καὶ συμπαρασκευάσασι τὸν ἀγῶνα καὶ χρήματα εἰσενεγκοῦσιν ἐπ' ἐμοὶ τρία μὲν ἔτη ἐπιδημῶν καὶ ἥκων ἐκ Κύπρου οὐκ ἀσεβεῖν ἐδόκουν αὐτοῖς, μυῶν μὲν Ἀ.... Δελφόν, ἔτι δὲ ἄλλους ξένους ἐμαυτοῦ, καὶ εἰσιὼν εἰς τὸ Ἐλευσίνιον καὶ θύων, ὥσπερ ἐμαυτὸν ἄξιον νομίζω εἶναι· ἀλλὰ τοὐναντίον λειτουργεῖν οὗτοι προὐβάλλοντο, πρῶτον μὲν γυμνασίαρχον Ἡφαιστείοις, ἔπειτα ἀρχιθεωρὸν εἰς Ἰσθμὸν καὶ Ὀλυμπίαζε, εἶτα δὲ ταμίαν ἐν πόλει τῶν ἱερῶν χρημάτων· νῦν δὲ ἀσεβῶ καὶ ἀδικῶ εἰσιὼν εἰς τὰ ἱερά; (133) Ἐγὼ ὑμῖν ἐρῶ διότι οὗτοι ταῦτα νῦν γινώσκουσιν. Ἀγύρριος γὰρ οὑτοσί, ὁ καλὸς κἀγαθός, ἀρχώνης ἐγένετο τῆς πεντηκοστῆς τρίτον ἔτος, καὶ ἐπρίατο τριάκοντα ταλάντων, μετέσχον δ' αὐτῷ οὗτοι πάντες οἱ παρασυλλεγέντες ὑπὸ τὴν λεύκην, οὓς ὑμεῖς ἴστε οἷοί εἰσιν· οἳ διὰ τοῦτο ἔμοιγε δοκοῦσι συλλεγῆναι ἐκεῖσε, ἵν' αὐτοῖς ἀμφότερα ᾖ, καὶ μὴ ὑπερβάλλωσι λαβεῖν ἀργύριον καὶ ὀλίγου πραθείσης μετασχεῖν. (134) Κερδάναντες δὲ τρία τάλαντα, γνόντες τὸ πρᾶγμα οἷον εἴη, ὡς πολλοῦ ἄξιον, συνέστησαν πάντες, καὶ μεταδόντες τοῖς ἄλλοις ἐωνοῦντο πάλιν τριάκοντα ταλάντων· ἐπεὶ δ' οὐκ ἀντωνεῖτο οὐδείς, παρελθὼν ἐγὼ εἰς τὴν βουλὴν ὑπερέβαλλον, ἕως ἐπριάμην ἓξ καὶ τριάκοντα ταλάντων. Ἀπελάσας δὲ τούτους καὶ καταστήσας ὑμῖν ἐγγυητὰς ἐξέλεξα τὰ χρήματα καὶ κατέβαλον τῇ πόλει καὶ αὐτὸς οὐκ ἐζημιώθην, ἀλλὰ καὶ βραχέα ἀπεκερδαίνομεν οἱ μετασχόντες· τούτους δ' ἐποίησα τῶν ὑμετέρων μὴ διανείμασθαι ἓξ τάλαντα ἀργυρίου. (135) Ἃ οὗτοι γνόντες ἔδοσαν σφίσιν αὐτοῖς λόγον, ὅτι « ἄνθρωπος οὑτοσὶ οὔτε αὐτὸς λήψεται τῶν κοινῶν χρημάτων οὔθ' ἡμᾶς ἐάσει, φυλάξει δὲ καὶ ἐμποδὼν ἔσται διανείμασθαι τὰ κοινά· πρὸς δὲ τούτοις, ὃν ἂν ἡμῶν ἀδικοῦντα λάβῃ, εἰσάξει εἰς τὸ πλῆθος τῶν Ἀθηναίων καὶ ἀπολεῖ. Δεῖ οὖν τοῦτον ἐκποδὼν ἡμῖν εἶναι καὶ δικαίως καὶ ἀδίκως. » (136) Ταῦτα μὲν οὖν, ὦ ἄνδρες δικασταί, τούτοις ποιητέα ἦν, ὑμῖν δὲ τὸ ἐναντίον τούτων· τοὺς γὰρ πλείστους εἶναι ὑμῖν ἤθελον ἂν τοιούσδε οἷόσπερ ἐγώ, τούτους δὲ μάλιστα [μὲν] ἀπολωλέναι, εἰ δὲ μή, εἶναι τοὺς μὴ ἐπιτρέψοντας αὐτοῖς, οἷς καὶ προσήκει ἀνδράσιν εἶναι καὶ ἀγαθοῖς καὶ δικαίοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ βουλόμενοι δυνήσονται εὖ ποιεῖν ὑμᾶς. Ἐγὼ οὖν ὑμῖν ὑπισχνοῦμαι ἢ παύσειν τούτους ταῦτα ποιοῦντας καὶ βελτίους παρέξειν, ἢ εἰς ὑμᾶς εἰσαγαγὼν κολάσειν τοὺς ἀδικοῦντας αὐτῶν.

137. Κατηγόρησαν δέ μου καὶ περὶ τῶν ναυκληριῶν
18 καὶ περὶ τῆς ἐμπορίας, ὡς ἄρα οἱ θεοὶ διὰ τοῦτό με ἐκ τῶν κινδύνων σώσαιεν, ἵνα ἐλθὼν δεῦρο, ὡς ἔοικεν, ὑπὸ Κηφισίου ἀπολοίμην. ἐγὼ δέ, ὦ Ἀθηναῖοι, οὐκ ἀξιῶ τοὺς

Meministis, viri, hujus famæ. (131) Ecquid ergo? exitus fidem famæ fecit? Nimirum quem sperabat Hipponicus a se filium ali, illum alebat sibi malum genium, qui patris sui evertit divitias, honestatem, reliquam omnem vitæ prosperitatem. Oportet itaque vos de Callia existimare ut de numine quodam furiali.

132. Sed qui factum est ut his, qui cum Callia mihi nunc insidiantur, eique in hac certaminis machina construenda consiliis pecuniisque conferendis præsto sunt, per triennium quod e Cypro reversus in urbe exegi, non modo impietatis crimine teneri visus non essem, tametsi... Delphum aliosque hospites peregre venientes initiarem, et ad Eleusinium adirem et sacra facerem, sicuti me decere arbitror: sed etiam ipsi me ad obeundas functiones munerarias designarent, primum ut gymnasiarchus in Vulcani ludis essem, deinde ut princeps legationis ad ludos Isthmicos atque Olympiacos mittendæ, denique ut quæstor sacrorum thesaurorum essem: nunc vero in fana ingrediens jura divina et humana violare videar? (133) Dicam vobis, viri, cur hac nunc erga me mente sint. Triennium est, quum Agyrrhius, vir egregius, princeps fieret collegii redemptorum quinquagesimæ: redimebat hoc vectigal triginta talentis: collegæ ipsi hac in redemptura erant isti omnes, qui cœtus apud illam albam populum agitant, quos quales sint probe nostis. Hi mihi illuc coire videntur, quo horum duorum alterutro potiantur; ut aut taceant in licendo atque sic mercedem auferant; aut si vectigalis redemptio exiguo veneat, ipsi in communionem lucri coeant. (134) Ex illa itaque redemptione quinquagesimæ quum, facto trium talentorum compendio, didicissent quam fructuosa res esset, coibant in sodalitium, et quum reliquis suo de lucro offulam objecissent, iterum triginta talenta offerebant. Ibi nemine licente, progressus ego ad senatum plus licebar, et tandem mihi redemptio pro sex et triginta talentis adjudicata fuit. Hoc pacto illis dejectis, quum reip. fidejussoribus datis cavissem, collegi vectigal hoc atque ærario dependi, ex eoque non tantum nullum accepi damnum, sed etiam lucelli parum quid fecimus nos, qui consortes hujus redemptionis eramus; unaque Calliam ejusque consortes facultate exclusi sex talenta inter sese diribendi. (135) Coierunt itaque et hac oratione usi sunt: « Hic homo neque ipse de publico peculio furabitur neque nos furari patietur, sed fures observabit intercedetque quominus opes publicas inter se discerpant: præterea nostrûm si quem in fraude deprehenderit, inducet eum in concionem perdetque. Opera itaque nobis est danda, ut hic homo de medio tollatur quoquo pacto per fas nefasque. » (136) Non poterant illi quidem aliter agere; vos autem, viri, decet illis agere contraria omnia. Vellem equidem, esse vobis cives quam plurimos mei similes, hos autem aut mala peste interire, id quod utique foret præstabilius, aut, si fieri tamen hoc minus queat, saltem esse qui cupiditatem eorum refrenent; quos quum dignitas personæ suæ admoneat, ut boni fortesque velint esse vestrique studiosi, tum præter voluntatem facultate quoque gaudeant bene de vobis merendi. Ego quidem vobis recipio, me hos aut meliores redditurum ut ab hac fraude desistant, aut in judicium eos inducturum ubi meritas pœnas luent.

137. Denique quod naviculariam et mercaturam fecerim, accusatores mihi vitio dederunt, a diis dicentes ideo me maritimis e periculis servatum huc esse perductum, quo a Cephisio videlicet pessumdarer. Ego vero nego, viri, talem

θεοὺς τοιαύτην γνώμην ἔχειν, ὥστ' εἰ ἐνόμιζον ὑπ' ἐμοῦ ἀδικεῖσθαι, λαμβάνοντάς με ἐν τοῖς μεγίστοις κινδύνοις μὴ τιμωρεῖσθαι· τίς γὰρ κίνδυνος μείζων ἀνθρώποις ἢ χειμῶνος ὥρᾳ πλεῖν τὴν θάλατταν; ἐν οἷς ἔχοντες μὲν τὸ σῶμα τοὐμόν, κρατοῦντες δὲ τοῦ βίου καὶ τῆς οὐσίας τῆς ἐμῆς, εἶτα ἔσωζον, οὗπερ ἦν αὐτοῖς ποιῆσαι μηδὲ ταφῆς τὸ σῶμα ἀξιωθῆναι; (138) ἔτι δὲ πολέμου γενομένου καὶ τριήρων ἀεὶ κατὰ θάλατταν οὐσῶν καὶ λῃστῶν, ὑφ' ὧν πολλοὶ ληφθέντες, ἀπολέσαντες τὰ ὄντα, δουλεύοντες τὸν βίον διετέλεσαν, οὔσης δὲ χώρας βαρβάρου, εἰς ἣν πολλοὶ ἤδη ἐκπεσόντες αἰκίαις ταῖς μεγίσταις περιέπεσον καὶ τὰ σφέτερα αὐτῶν σώματα αἰκισθέντες ἀπέθανον, — (139) εἶτα οἱ μὲν θεοὶ ἐκ τοσούτων κινδύνων ἔσωζόν με, σφῶν δὲ αὐτῶν προὐστήσαντο τιμωρὸν γενέσθαι Κηφίσιον τὸν πονηρότατον Ἀθηναίων, ὧν οὗτός φησι πολίτης εἶναι οὐκ ὤν, ᾧ οὐδ' ὑμῶν τῶν καθημένων οὐδεὶς ἂν ἐπιτρέψειεν οὐδὲν τῶν ἰδίων, εἰδὼς τοῦτον οἷός ἐστιν; Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, ἡγοῦμαι χρῆναι νομίζειν τοὺς τοιούτους κινδύνους ἀνθρωπίνους, τοὺς δὲ κατὰ θάλατταν θείους. Εἴπερ οὖν δεῖ τὰ τῶν θεῶν ὑπονοεῖν, πολὺ ἂν αὐτοὺς οἶμαι ἐγὼ ὀργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ τοὺς ὑφ' ἑαυτῶν σωζομένους ὑπ' ἄλλων ἀπολλυμένους ὁρῷεν.

140. Καὶ μὲν δὴ καὶ τάδε ὑμῖν ἄξιον, ὦ ἄνδρες, ἐνθυμηθῆναι, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησιν ἄνδρες ἄριστοι καὶ εὐβουλότατοι δοκεῖτε γεγενῆσθαι οὐκ ἐπὶ τιμωρίαν τραπόμενοι τῶν γεγενημένων, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως καὶ ὁμόνοιαν τῶν πολιτῶν. Συμφοραὶ μὲν γὰρ ἤδη καὶ ἄλλοις πολλοῖς ἐγένοντο οὐκ ἐλάττους ἢ καὶ ἡμῖν· τὸ δὲ τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, τοῦτ' εἰκότως ἤδη δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι. Ἐπειδὴ τοίνυν παρὰ πάντων ὁμολογουμένως ταῦθ' ὑμῖν ὑπάρχει, καὶ εἴ τις φίλος ὢν τυγχάνει καὶ εἴ τις ἐχθρός, μὴ μεταγνῶτε, μηδὲ βούλεσθε τὴν πόλιν ἀποστερῆσαι ταύτης τῆς δόξης, μηδὲ αὐτοὶ δοκεῖν τύχῃ ταῦτα μᾶλλον ἢ γνώμῃ ψηφίσασθαι.

141. Δέομαι οὖν ἁπάντων περὶ ἐμοῦ τὴν αὐτὴν γνώμην ἔχειν, ἥνπερ καὶ περὶ τῶν ἐμῶν προγόνων, ἵνα κἀμοὶ ἐγγένηται ἐκείνους μιμήσασθαι, ἀναμνησθέντας αὐτῶν ὅτι ὅμοιοι τοῖς πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίοις τῇ πόλει γεγένηνται, πολλῶν ἕνεκεν σφᾶς αὐτοὺς παρέχοντες τοιούτους, μάλιστα δὲ τῆς εἰς ὑμᾶς εὐνοίας, καὶ ὅπως εἴ ποτέ τις αὐτοῖς ἢ τῶν ἐξ ἐκείνων τινὶ κίνδυνος γένηται ἢ συμφορά, σώζοιντο συγγνώμης παρ' ὑμῶν τυγχάνοντες. (142) Εἰκότως δ' ἂν αὐτῶν μεμνῆσθε· καὶ γὰρ τῇ πόλει ἁπάσῃ αἱ τῶν ἡμετέρων προγόνων ἀρεταὶ πλείστου ἄξιαι ἐγένοντο· ἐπειδὴ γάρ, ὦ ἄνδρες, αἱ νῆες διεφθάρησαν, πολλῶν βουλομένων τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περιβαλεῖν, Λακεδαιμόνιοι ἔγνωσαν ὅμως τότε ἐχθροὶ ὄντες σώζειν τὴν πόλιν διὰ τὰς ἐκείνων τῶν ἀνδρῶν ἀρετάς, οἳ ὑπῆρξαν τῆς ἐλευθερίας ἁπάσῃ τῇ Ἑλλάδι. (143) Ἐπειδὴ τοίνυν καὶ ἡ πόλις ἐσώθη δημοσίᾳ διὰ τὰς τῶν προγόνων τῶν ἡμετέρων ἀρετάς, ἀξιῶ κἀμοὶ διὰ τὰς τῶν προγόνων τῶν

diis mentem esse ut, si injuriam a me accepisse putassent, nacti me maximis periculis septum effugere impunem passuri fuissent. Ecquod enim majus homini potest periculum esse, quam sævientibus procellis mare peragrare? Ibi dii, quanquam corpus meum ultioni suæ obnoxium spiritumque atque fortunas meas in potestate habebant, atque, si voluissent, efficere poterant ut exuviæ meæ ipsis sepulturæ carerent honoribus, tamen salvum me superesse voluerunt. (138) Bellatum quoque illo tempore fuit, et triremes piraticique lembi mare persultarunt, a quibus capti multi, bonis spoliati, totam reliquam vitam in servitute protulerunt: haud pauci quoque in oras ejecti a barbaris insessas, in supplicia inciderunt crudelissima, quibus contruncati exspirarunt: (139) itane vero dii me tantis periculis eripuerunt, ut partes puniendi mei suas Cephisio demandarent? Cephisio scelestissimo omnium Atheniensium, quorum tametsi se civem fert, neutiquam tamen est. Vestrûm profecto, quotquot hic assidetis, nemo facile, qui quidem cognitum Cephisium habeat, ei rerum suarum partem ullam commiserit. Ego, viri, reliqua ista pericula in humanis arbitror habenda esse, maris autem incerta divini rem numinis. Quodsi ergo fas est de natura deorum opinari, tantum absum ut deos mihi suspicer iratos esse verearve, ut maxime eos putem succensere atque indignari, si qui perditum eant eos, quos ipsi servassent.

140. Recordari denique vobiscum, viri, decet etiam hoc, Græcis omnibus videri vos viros esse fortissimos et prudentissimos, quod non ad ultionem præteritorum conversi sitis, sed ad stabiliendam salutem reip. civiumque concordiam. Nam aliis quoque permultis suæ clades contigerunt, haud illæ vestris leviores: dissidia autem, si quæ forte inter cives coorta fuerint, bene componere, hoc vero merito habeatur virorum civilium atque compositorum esse. Quæ laus quum consensu atque confessione omnium vobis tribuatur, sive amici vobis sunt sive inimici, nolite mutanda mente vestra committere, ut hac laude privemini, videaminique egregia ista temeritate magis fortunæ quam certo consilio sanxisse.

141. Rogo itaque vos, ut quam de meis majoribus sententiam habetis, eandem de me quoque velitis habere, quo mihi quoque liceat eos imitari: recordamini illos nemini concessisse eorum qui vel maximis plurimisque vos ornamentis condecorarunt; sed multis de causis se tales erga vos gessisse, verum inprimis caritate nostri qui eorum posteri sumus, ut, si quando periculum aut calamitas nos opprimeret, venia a vobis digni habiti, sospites discederemus. (142) Merito autem vos majorum nostrorum memineritis; quia virtutes eorum cunctæ reip. præsidio fuerunt tutissimo. Classe enim nostra funditus deleta, quum multi civitatem malis implicatum irent insanabilibus, Lacedæmonii tamen, tametsi tum hostes, urbi parcere decreverunt, memores virtutis illorum, qui universæ Græciæ libertatis auctores fuissent. (143) Quodsi ergo majorum nostrorum virtus universam civitatem tuita est, postulo ego quoque, ut meorum majorum

ὑμῶν ἀρετὰς σωτηρίαν γενέσθαι· καὶ γὰρ αὐτῶν τῶν ἔργων, δι' ἅπερ ἡ πόλις ἐσώθη, οὐκ ἐλάχιστον μέρος οἱ ἐμοὶ πρόγονοι συνεβάλοντο· ὧν ἕνεκα καὶ ἐμοὶ δίκαιον ὑμᾶς μεταδοῦναι τῆς σωτηρίας, ἥσπερ καὶ αὐτοὶ παρὰ τῶν Ἑλλήνων ἐτύχετε.

144. Σκέψασθε τοίνυν καὶ τάδε, ἄν με σώσητε, οἷον ἕξετε πολίτην· ὃς πρῶτον μὲν ἐκ πολλοῦ πλούτου, ὅσον ὑμεῖς ἴστε, οὐ δι' ἐμαυτόν, ἀλλὰ διὰ τὰς τῆς πόλεως συμφορὰς εἰς πενίαν πολλὴν καὶ ἀπορίαν κατέστην, ἔπειτα δὲ καὶ βίον εἰργασάμην ἐκ τοῦ δικαίου, τῇ γνώμῃ καὶ ταῖν χεροῖν ταῖν ἐμαυτοῦ· ἔτι δὲ εἰδότα μὲν οἷόν ἐστι πόλεως τοιαύτης πολίτην εἶναι, εἰδότα δὲ οἷόν ἐστι ξένον εἶναι καὶ μέτοικον ἐν τῇ τῶν πλησίον, (145) ἐπιστάμενον δὲ οἷον τὸ σωφρονεῖν καὶ ὀρθῶς βουλεύεσθαι, ἐπιστάμενον δ' οἷον τὸ ἁμαρτόντα πρᾶξαι κακῶς, πολλοῖς συγγενόμενος καὶ πλείστων πειραθείς, ἀφ' ὧν ἐμοὶ ξενίαι καὶ φιλότητες πρὸς πολλοὺς καὶ βασιλέας καὶ πόλεις καὶ ἄλλους ἰδίᾳ ξένους γεγένηνται, ὧν ἐμὲ σώσαντες μεθέξετε, καὶ ἔστιν ὑμῖν χρῆσθαι τούτοις, ὅπου ἂν ἐν καιρῷ τι ὑμῖν γίνηται. (146) Ἔχει δὲ καὶ ὑμῖν, ὦ ἄνδρες, οὕτως· ἐάν με νυνὶ διαφθείρητε, οὐκ ἔστιν ὑμῖν ἔτι λοιπὸς τοῦ γένους τοῦ ἡμετέρου οὐδείς, ἀλλ' οἴχεται πᾶν πρόρριζον· καίτοι οὐκ ὄνειδος ὑμῖν ἐστιν ἡ Ἀνδοκίδου καὶ Λεωγόρου οἰκία οὖσα, ἀλλὰ πολὺ μᾶλλον τότ' ὄνειδος, ὅτ' ἐμοῦ φεύγοντος Κλεοφῶν αὐτὴν ὁ λυροποιὸς ᾤκει. Οὐ γάρ ἐστιν ὅστις πώποτε ὑμῶν παριὼν τὴν οἰκίαν τὴν ἡμετέραν ἀνεμνήσθη ἢ ἰδίᾳ τι ἢ δημοσίᾳ κακὸν παθὼν ὑπ' ἐκείνων, (147) οἳ πλείστας μὲν στρατηγήσαντες στρατηγίας πολλὰ τρόπαια τῶν πολεμίων καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑμῖν ἀπέδειξαν, πλείστας δὲ ἄλλας ἀρχὰς ἄρξαντες καὶ χρήματα διαχειρίσαντες τὰ ὑμέτερα οὐδὲν πώποτε ὦφλον, οὐδ' ἡμάρτηται οὐδὲν οὔτε ἡμῖν εἰς ὑμᾶς οὔτε ὑμῖν εἰς ἡμᾶς, οἰκία δὲ πασῶν ἀρχαιοτάτη καὶ κοινοτάτη ἀεὶ τῷ δεομένῳ· οὐδ' ἔστιν ὅπου ἐκείνων τις τῶν ἀνδρῶν καταστὰς εἰς ἀγῶνα ἀπῄτησεν ὑμᾶς χάριν τούτων τῶν ἔργων. (148) Μὴ τοίνυν, εἰ αὐτοὶ τεθνᾶσι, καὶ περὶ τῶν πεπραγμένων αὐτοῖς ἐπιλάθησθε, ἀλλ' ἀναμνησθέντες τῶν ἔργων νομίσατε τὰ σώματα αὐτῶν ὁρᾶν αἰτουμένων ἐμὲ παρ' ὑμῶν σῶσαι. Τίνα γὰρ καὶ ἀναβιβάσομαι δεησόμενον ὑπὲρ ἐμαυτοῦ; τὸν πατέρα; ἀλλὰ τέθνηκεν· ἀλλὰ τοὺς ἀδελφούς; ἀλλ' οὐκ εἰσίν· ἀλλὰ τοὺς παῖδας; ἀλλ' οὔπω γεγένηνται. (149) Ὑμεῖς τοίνυν καὶ ἀντὶ πατρὸς ἐμοὶ καὶ ἀντὶ ἀδελφῶν καὶ ἀντὶ παίδων γένεσθε· εἰς ὑμᾶς καταφεύγω καὶ ἀντιβολῶ καὶ ἱκετεύω· ὑμεῖς με παρ' ὑμῶν αὐτῶν αἰτησάμενοι σώσατε, καὶ μὴ βούλεσθε Θετταλοὺς καὶ Ἀνδρίους πολίτας ποιεῖσθαι δι' ἀπορίαν ἀνδρῶν, τοὺς δὲ ὄντας πολίτας ὁμολογουμένως, οἷς προσήκει ἀνδράσιν ἀγαθοῖς εἶναι καὶ βουλόμενοι δυνήσονται, τούτους δὲ ἀπόλλυτε. Μὴ δῆτα. Ἔπειτα καὶ ταῦθ' ὑμῶν δέομαι, εὖ ποιῶν ὑμᾶς ὑφ' ὑμῶν τιμᾶσθαι· ὥστ' ἐμοὶ μὲν πειθόμενοι οὐκ ἀποστερεῖσθε εἴ τι ἐγὼ δυνήσομαι ὑμᾶς εὖ ποιεῖν· ἐὰν δὲ τοῖς ἐχθροῖς τοῖς ἐμοῖς πεισθῆτε, οὐδ' ἂν ὑστέρῳ χρόνῳ ὑμῖν με-

merita meam salutem in tuto ponant. Ipsorum enim illorum facinorum, per quæ salus tum parta fuit civitati, majores mei partem haud minimam de suo contulerunt : quapropter mihi quoque fas est a vobis salutem pari modo impertiri atque vos ipsi a Græcis universis salutem impetravistis

144. Etiam hoc considerate, viri, qualem me civem sitis habituri, nunc absolventes : primum e magnis opibus, quarum vos ipsi nostis magnitudinem, non mea culpa, sed per clades reip., ad egestatem decidi pæne incredibilem; deinde victum quæsivi modis legitimis, ingenii mei manuumque mearum industria; tum meo doctus usu novi quæ sit felicitas talis civitatis civem esse, et quæ sit miseria extorrem errare et inquilinum in regionibus finitimis commorari; (145) novi quanti referat temperantiæ studere rectisque uti consiliis : novi item contra, quam acerbum sit delicto sibi mala contraxisse; denique cum multis versatus habui multorum usum, unde contracta mihi sunt hospitia familiaritatesque multis cum regibusque et civitatibus aliisque hominibus privatis, quorum omnium fructum vos, reddita mihi salute, participabitis, prout vobis pro re nata videbitur. (146) Hoc quoque reputate : quodsi me perdideritis, nemo vobis alius de genere meo supererit, sed totum stirpitus erit eradicatum. Atqui Andocidis atque Leogoræ domus, donec superfuit, dedecori vobis utique non fuit; sed hoc multo magis fuit dedecus, quod Cleophon, ille lyrarum faber, extorre me agente, illam domum nostram incoluit. Nemo enim fuit unquam, qui, domum nostram præteriens, ab ea in memoriam ullius mali sive publice sive privatim ab ea accepti induceretur : (147) nostri potius majores in bellis, quæ suis auspiciis gesserunt quamplurima, de hostibus terra marique devictis tropæa fixerunt, honores gesserunt alios quamplurimos pecuniasque vestras publicas administrarunt, et nullam tamen unquam mulctam debuerunt; neque nos quicquam in vos deliquimus, neque rursus a vobis injuriam accepimus; domus nostra omnium fuit antiquissima et communis omnibus qui ope nostra indigerent, neque fuit in illis excellentibus viris, qui, conjectus in certamen forense, vos horum meritorum gratiam poposcisset. (148) Nolite itaque committere ut, ipsis e rebus humanis exemptis, præclara eorum facinora obliti fuisse videamini : recordati potius operum ab ipsis profectorum, opinamini corpora eorum vos cernere, rogantium ut me servare velitis. Ecquemnam enim ego alium huc ascendere jussero pro me deprecaturum? Num patrem? Atqui vivere desiit. Num fratres? Atqui nulli mihi sunt. Sed liberos? Atqui nati nondum sunt. (149) Vos itaque mihi et patris loco et fratrum et liberorum estote; ad vos receptum habeo, vos oro supplex, vos obsecro, servate me, ipsimet a vobis me exorate : nolite Thessalos quidem et Andrios civibus propter virorum penuriam ascribere, eos vero, qui jam sunt cives sine controversia et quibus viros fortes esse convenit, et qui esse, si volunt, etiam poterunt, hos, obsecro, nolite perdere. Etiam hoc vos rogo, ut bene mei de vobis merentis justam rationem habeatis. Mihi enim si obsecundabitis, non fraudabimini bonis quæ a me ad vos proficisci poterunt; sin autem, inimicis meis morem gerentes, me sustuleritis, nil quicquam profeceritis, ne si quidem tempore post fiat ut severitatis vestræ vos

ταμελήσῃ, οὐδὲν ἔτι πλέον ποιήσετε. (150) Μὴ τοίνυν μήθ' ὑμᾶς αὐτοὺς τῶν ἀπ' ἐμοῦ ἐλπίδων ἀποστερήσητε μήτ' ἐμὲ τῶν εἰς ὑμᾶς. Ἀξιῶ δ' ἔγωγε τούτους οἵτινες ὑμῖν ἀρετῆς ἤδη τῆς μεγίστης εἰς τὸ πλῆθος τὸ ὑμέτερον ἔλεγχον ἔδοσαν, ἀναβάντας ἐνταυθοῖ συμβουλεύειν ὑμῖν ἃ γινώσκουσι περὶ ἐμοῦ. Δεῦρο Ἄνυτε, Κέφαλε, ἔτι δὲ καὶ οἱ φυλέται οἱ ᾑρημένοι μοι συνδικεῖν, Θράσυλλος καὶ οἱ ἄλλοι.

B'.

ΠΕΡΙ ΤΗΣ ΕΑΥΤΟΥ ΚΑΘΟΔΟΥ.

Εἰ μέν, ὦ ἄνδρες, ἐν ἑτέρῳ τῳ πράγματι οἱ παριόντες μὴ τὴν αὐτὴν γνώμην ἔχοντες πάντες ἐφαίνοντο, οὐδὲν ἂν θαυμαστὸν ἐνόμιζον· ὅπου μέντοι δεῖ τὴν πόλιν ἐμέ τι ποιῆσαι ἀγαθόν, ἢ εἴ τις ἕτερος βούλοιτο ἐμοῦ κακίων, δεινότατον ἁπάντων χρημάτων ἡγοῦμαι, εἰ τῷ μὲν δοκεῖ ταῦτα, τῷ δὲ μή, ἀλλὰ μὴ πᾶσιν ὁμοίως. Εἴπερ γὰρ ἡ πόλις ἁπάντων τῶν πολιτευομένων κοινή ἐστι, καὶ τὰ γινόμενα δήπου ἀγαθὰ τῇ πόλει κοινά ἐστι. (2) Τουτὶ τοίνυν τὸ μέγα καὶ δεινὸν πάρεστιν ὑμῖν ὁρᾶν τοὺς μὲν ἤδη πράττοντας, τοὺς δὲ τάχα μέλλοντας· καί μοι μέγιστον θαῦμα παρέστηκε, τί ποτε οὗτοι οἱ ἄνδρες δεινῶς οὕτως περικαίονται, εἴ τι ὑμᾶς χρὴ ἀγαθὸν ἐμοῦ ἐπαυρέσθαι. Δεῖ γὰρ αὐτοὺς ἤτοι ἀμαθεστάτους εἶναι πάντων ἀνθρώπων, ἢ τῇ πόλει ταύτῃ δυσμενεστάτους. Εἰ μέν γε νομίζουσι τῆς πόλεως εὖ πραττούσης καὶ τὰ ἴδια σφῶν αὐτῶν ἄμεινον ἂν φέρεσθαι, ἀμαθέστατοί εἰσι τὰ ἐναντία νῦν τῇ ἑαυτῶν ὠφελείᾳ σπεύδοντες· (3) εἰ δὲ μὴ ταὐτὰ ἡγοῦνται σφίσι τε αὐτοῖς συμφέρειν καὶ τῷ ὑμετέρῳ κοινῷ, δυσμενεῖς ἂν τῇ πόλει εἶεν· οἵτινες εἰσαγγείλαντός μου ἀπόρρητα εἰς τὴν βουλὴν περὶ τῶν πραγμάτων, ὧν ἀποτελεσθέντων οὐκ εἰσὶ τῇ πόλει ταύτῃ μείζονες ὠφέλειαι, καὶ τούτων ἀποδεικνύντος μου τοῖς βουλευταῖς σαφεῖς τε καὶ βεβαίους τὰς ἀποδείξεις, ἐκεῖ μὲν οὔτε τούτων τῶν ἀνδρῶν οἱ παραγενόμενοι ἐλέγξαντες οἷοί τ' ἦσαν ἀποδεῖξαι εἴ τι μὴ ὀρθῶς ἐλέγετο, οὔτ' ἄλλος οὐδείς, ἐνθάδε δὲ νῦν πειρῶνται διαβάλλειν. (4) Σημεῖον οὖν τοῦτο ὅτι οὗτοι οὐκ ἀφ' αὑτῶν ταῦτα πράττουσιν (εὐθὺς γὰρ ἂν τότε ἠναντιοῦντο), ἀλλ' ἀπ' ἀνδρῶν ἑτέρων, οἷοί εἰσιν ἐν τῇ πόλει ταύτῃ, οὐδενὸς ἂν χρήματος δεξάμενοι ὑμᾶς τι ἀγαθὸν ἐξ ἐμοῦ πρᾶξαι. Καὶ αὐτοὶ μὲν οὗτοι οἱ ἄνδρες οὐ τολμῶσι σφᾶς αὐτοὺς εἰς τὸ μέσον καταστήσαντες διισχυρίζεσθαι περὶ τούτων, φοβούμενοι ἔλεγχον διδόναι εἴ τι εἰς ὑμᾶς τυγχάνουσι μὴ εὖ φρονοῦντες· ἑτέρους δὲ εἰσπέμπουσι, τοιούτους ἀνθρώπους οἷς εἰθισμένοις ἤδη ἀναισχυντεῖν οὐδὲν διαφέρει εἰπεῖν τε καὶ ἀκοῦσαι τὰ μέγιστα τῶν κακῶν. (5) Τὸ δ' ἰσχυρὸν τοῦτο μόνον εὕροι τις ἂν αὐτῶν ἐν τοῖς λόγοις, τὰς ἐμὰς συμφορὰς ἐπὶ παντὶ ὀνειδίζειν, καὶ ταῦτα ἐν εἰδόσι δήπου κάλλιον ὑμῖν, ὥστε μηδὲν ἂν

pœniteat. (150) Neque igitur vosmet ipsi spe bonorum a me impetrandorum private, neque me spe bonorum a vobis proventurorum. Tandem hos ego viros, qui virtutis maximæ plebi vestræ documenta ediderunt, rogo ut ascendentes huc vos de me quid sibi videatur doceant consiliorumque vobis auctores fiant. Huc ades Anyte, huc Cephale, huc adeste vos tribules qui a tribu mea delecti estis ad causam mecum defendendam, tu, puta, Thrasylle et quotquot estis reliqui.

II.

DE SUO REDITU ORATIO.

Alia quidem quapiam in re, viri, si sententia non sit eadem omnibus ad dicendum prodeuntibus, haud equidem mirer : ubi autem hoc agitur, ut resp. a me beneficio quodam ornetur alio quopiam modo, quam quo quis alius velit me inferior, ibi mecum alios consentire, alios dissentire, neque sensum omnibus eundem inesse, id vero arbitror omnium esse indignissimum. Civitas enim si communis est civibus omnibus, necesse est ut, quæ civitati salutaria eveniunt, cunctis quoque sint civibus communia. (2) Hoc autem, quod grave et indignum aio esse, licet cernere alios id jam agentes, alios paullo post forsitan acturos : miror equidem majorem in modum, ecquid tandem sit, cur hi tam urantur vehementer, quod a me boni quicquam ad vos sit perventurum. Oportet eos utique aut hominum omnium tardissimos, aut reipublicæ vestræ malevolentissimos esse. Nam si persuasum sibi habent, rep. florente, res quoque suas privatas meliore loco futuras esse, stultissimi sunt commodis ipsi suis officientes; (3) sin autem sua sibi habent privata commoda a vestris publicis sejuncta, infensi reip. fuerint. Arcana quum ad senatum intronuntiassem iis de rebus, quæ si exitum sortiantur, maxima afferent reip. emolumenta, eorumque documenta senatoribus proposuissem perspicua et certa, tum neque horum virorum, qui præsentes aderant, neque alius quispiam, me erroris ullius convincere poterat; nunc autem me in suspicionem odiumque adducere conantur. (4) Id quod documento est, eos non sponte sua hoc facere (nam alias tum statim fuissent adversati), sed subornatos ab aliis quibusdam, cujusmodi sunt hac in urbe, qui nullo modo se adduci patiantur, ut emolumentum aliquod ad rempublicam a me proficiscatur. Hi ipsi quidem non audent in medium prodire palamque sententiam suam pronuntiare, suæ nempe erga vos malevolentiæ ulcus metuentes ne sic denudetur; sed alios immittunt hujusmodi homines, qui, quod dudum insuevere impudentiæ, æquissimo animo, quæ in alios intorquent probra turpissima, eadem in se retorta ferunt. (5) Solum id in eorum orationibus inveniatur quodammodo solidum, ut ubique meas mihi calamitates exprobrent, quasi vos eas ignoretis, qui melius etiam nostis : adeo ut non sit, cur gratia ejus rei ipsis habeatur. Mihi vero, viri, quicumque fuit qui primus

τούτων δικαίως τιμὴν αὐτοῖς τινα φέρειν. Ἐμοὶ δέ, ὦ ἄνδρες, καὶ τῷ πρώτῳ τοῦτο εἰπόντι ὀρθῶς δοκεῖ εἰρῆσθαι, ὅτι πάντες ἄνθρωποι γίνονται ἐπὶ τῷ εὖ καὶ κακῶς πράττειν, μεγάλη δὲ δήπου καὶ τὸ ἐξαμαρτεῖν δυσπραξία ἐστί, (6) καί εἰσιν εὐτυχέστατοι μὲν οἱ ἐλάχιστα ἐξαμαρτάνοντες, σωφρονέστατοι δὲ οἳ ἂν τάχιστα μεταγινώσκωσι. Καὶ ταῦτα οὐ διακέκριται τοῖς μὲν γίνεσθαι, τοῖς δὲ μή, ἀλλ' ἔστιν ἐν τῷ κοινῷ πᾶσιν ἀνθρώποις καὶ ἐξαμαρτεῖν τι καὶ κακῶς πρᾶξαι. Ὧν ἕνεκα, ὦ Ἀθηναῖοι, εἰ ἀνθρωπίνως περὶ ἐμοῦ γινώσκοιτε, εἴητε ἂν ἄνδρες εὐγνωμονέστεροι. (7) Οὐ γὰρ φθόνου μᾶλλον ἢ οἴκτου ἄξιά μοί ἐστι τὰ γεγενημένα· ὃς εἰς τοσοῦτον ἦλθον τῆς ἐμαυτοῦ δυσδαιμονίας, εἴτε χρὴ εἰπεῖν νεότητί τε καὶ ἀνοίᾳ, εἴτε καὶ δυνάμει τῶν πεισάντων με ἐλθεῖν εἰς τοιαύτην συμφορὰν τῶν φρενῶν, ὥστ' ἀνάγκην μοι γενέσθαι δυοῖν κακοῖν τοῖν μεγίστοιν θάτερον ἑλέσθαι, ἢ μὴ βουληθέντι κατειπεῖν τοὺς ταῦτα ποιήσαντας οὐ περὶ ἐμοῦ μόνου ὀρρωδεῖν, εἴ τι ἔδει παθεῖν, ἀλλὰ καὶ τὸν πατέρα οὐδὲν ἀδικοῦντα σὺν ἐμαυτῷ ἀποκτεῖναι (ὅπερ ἀνάγκη παθεῖν ἦν αὐτῷ, εἰ ἐγὼ μὴ ἐβουλόμην ταῦτα ποιῆσαι), ἢ κατειπόντι τὰ γεγενημένα αὐτὸν μὲν ἀφεθέντα μὴ τεθνάναι, τοῦ δὲ ἐμαυτοῦ πατρὸς μὴ φονέα γενέσθαι. Τί δ' ἂν οὐ πρό γε τούτου τολμήσειεν ἄνθρωπος ποιῆσαι; (8) Ἐγὼ τοίνυν ἐκ τῶν παρόντων εἱλόμην ταῦτα, ἃ ἐμοὶ μὲν λύπας ἐπὶ χρόνον πλεῖστον οἴσειν ἔμελλεν, ὑμῖν δὲ ταχίστην τοῦ παρόντος τότε κακοῦ μετάστασιν. Ἀναμνήσθητε δὲ ἐν οἵῳ κινδύνῳ τε καὶ ἀμηχανίᾳ καθέστατε, καὶ ὅτι οὕτω σφόδρα σφᾶς αὐτοὺς ἐπεφόβησθε, ὥστ' οὐδ' εἰς τὴν ἀγορὰν ἔτι ἐξῄειτε, ἕκαστος ὑμῶν οἰόμενος συλληφθήσεσθαι. Ταῦτα τοίνυν ὥστε μὲν γενέσθαι τοιαῦτα, πολλοστὸν δή τι ἐγὼ μέρος τῆς αἰτίας εὑρέθην ἔχων, ὥστε μέντοι παυθῆναι, ἐγὼ εἷς ὢν μόνος αἴτιος. (9) Καὶ ὅμως τό γε δυστυχέστατος εἶναι ἀνθρώπων οὐδαμῇ ἐκφεύγω, ὅτε δὴ προαγομένης μὲν τῆς πόλεως ἐπὶ ταύτας τὰς συμφορὰς οὐδεὶς ἐμοῦ ἤρχετο γίνεσθαι δυσδαιμονέστερος, μεθισταμένης δὲ πάλιν εἰς τὸ ἀσφαλὲς ἁπάντων ἐγὼ ἀθλιώτατος. Ὄντων γὰρ κακῶν τοσούτων τῇ πόλει, ἀδύνατον ἦν ταῦτα ἰαθῆναι ἄλλως ἢ τῷ ἐμῷ αἰσχρῷ,
21 ὥστ' ἐν αὐτῷ ᾧ ἐγὼ κακῶς ἔπραττον, ἐν τούτῳ ὑμᾶς σώζεσθαι. Χάριν οὖν εἰκός με, οὐ μῖσος τῷ δυστυχήματι τούτῳ φέρεσθαι παρ' ὑμῶν.

10. Καίτοι ἐγὼ τότ' αὐτὸς γνοὺς τὰς ἐμαυτοῦ συμφοράς, ᾧτινι κακῶν τε καὶ αἰσχρῶν οὐκ οἶδ' εἴ τι ἀπεγένετο, τὰ μὲν παρανοίᾳ τῇ ἐμαυτοῦ, τὰ δ' ἀνάγκῃ τῶν παρόντων πραγμάτων, ἔγνων ἥδιστον εἶναι πράττειν τε τοιαῦτα καὶ διαιτᾶσθαι ἐκεῖ, ὅπου ἥκιστα μέλλοιμι ὀφθήσεσθαι ὑφ' ὑμῶν. Ἐπειδὴ δὲ χρόνῳ ὕστερον εἰσῆλθέ μοι, ὥσπερ εἰκός, ἐπιθυμία τῆς τε μεθ' ὑμῶν πολιτείας ἐκείνης καὶ διαίτης, ἐξ ἧς δευρὶ μετέστην, ἔγνων λυσιτελεῖν μοι ἢ τοῦ βίου ἀπηλλάχθαι, ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι τοσοῦτον ἐργάσασθαι, ὥστε ὑμῶν ἑκόντων εἶναί ποτέ μοι πολιτεύσασθαι μεθ' ὑμῶν. (11) Ἐκ δὲ τούτου οὐ πώποτε οὔτε τοῦ σώματος οὔτε

dixit, recte is dixisse videtur, omnes homines tum ad prosperam tum ad adversam fortunam nasci: est autem error in generibus adversæ fortunæ præcipuis; (6) atque sunt felicissimi quidem hi, quibus quam rarissime contingat labi, prudentissimi autem qui citissima ducantur pœnitentia. Communis hæc est lex humanitatis, a qua nemo exemptus est; sed fatale omnibus omnino est, ut aliqua in re labantur et miseri sint. Quapropter, Athenienses, de me si humaniter statuatis, habeamini æquiores. Res enim meæ sunt ejusmodi, ut æquius sit vos earum commiseratione duci, quam iis invidere: (7) ad id enim deveni sortis adversæ, sive id juventuti atque imprudentiæ meæ tribuendum est, sive potentiæ eorum qui cohortationibus suis ad istam me dementiam adegerunt, ut non possem quin inter duo mala maxima alterum optarem: auctores enim istorum facinorum si prodere nollem, non de me solo periclitabar fatale quid, necessitate ita ferente, pati, sed etiam patrem nullius culpæ consortem metus erat ne una mecum perimerem (nomina enim edere me recusante, necessario hoc ei accidisset); ex altera parte rem gestam si aperirem, et ipsemet emissus salvus abibam, et liberabar a necessitate parricidii. Ecquid autem est quod tu non subire atque audere malis, quam patrem occidere? (8) Ego itaque, pro re nata, conditionem optabam eam, quæ mihi quidem mœrores ad tempus quam longissimum erat allatura, vobis autem mali tum præsentis depulsionem quam citissimam. Recordamini modo, quanto in discrimine quantaque in perplexitate tum versati sitis et quam vehementer ipsi vos mutuo exhorrueritis, ut vel in forum prodire cunctaremini, unoquoque metuente, ne corriperetur. Quæ mala ut vobis hunc ad modum contingerent, deprehensum est me partem contulisse vix millesimam; finis autem ut iis imponeretur, ego solus in causa fui. (9) Et nihilominus tamen effugere non possum quominus sim mortalium omnium infelicissimus: nam quo tempore procella hæc in remp. incumbebat, nemo me infelicior erat; et rursus, reddita securitate, tamen unus ego omnium miserrimus. Mala enim reipublicæ tot illa tantaque sanari nullo alio modo quam dedecore meo poterant, quo fiebat ut, quod mihi noceret, id ipsum saluti vobis esset. Quapropter consentaneum est me per hoc infortunium meum non odium a vobis auferre, sed gratiam potius inire.

10. Verumtamen ego calamitatis meæ tum temporis intelligens (nam profecto non novi genus ullum malorum dedecorumve a quo intactus mansissem, sive cæcitate mentis delusus, sive necessitate rerum constrictus), rebar jucundissimum vobis fore si eo modo vitam agerem eoque in loco, quo minime vestris oculis essem obversaturus. Ut autem tandem aliquando me, id quod fieri par erat, et desiderium cepit illius vitæ, quam olim civis vester inter vos egissem, et *tædium* istius commorationis, unde me huc ad vos retuli, statuebam expedire mihi, ut aut de vita prorsus decederem, aut tanto remp. mihi obstringerem beneficio, ut vos haud inviti essetis passuri me inter vos æquo cum jure civili versari. (11) Inde ab eo igitur tempore nulli peperci neque sumptui neque molestiæ, nullumque defugi

τῶν ὄντων ἐμοὶ ἐφεισάμην, ὅπου ἔδει παρακινδυνεύειν· ἀλλ' αὐτίκα μὲν τότε εἰσήγαγον εἰς στρατιὰν ὑμῶν οὖσαν ἐν Σάμῳ κωπέας, τῶν τετρακοσίων ἤδη τὰ πράγματα ἐνθάδε κατειληφότων, ὄντος μοι Ἀρχελάου ξένου πατρικοῦ καὶ διδόντος τέμνεσθαί τε καὶ ἐξάγεσθαι ὁπόσους ἐβουλόμην. Τούτους τε εἰσήγαγον τοὺς κωπέας, καὶ παρόν μοι πέντε δραχμῶν τὴν τιμὴν αὐτῶν δέξασθαι, οὐκ ἠθέλησα πράξασθαι πλέον ἢ ὅσου ἐμοὶ κατέστησαν, εἰσήγαγον δὲ σῖτόν τε καὶ χαλκόν· (12) καὶ οἱ ἄνδρες ἐκεῖνοι ἐκ τούτων παρεσκευασμένοι ἐνίκησαν μετὰ ταῦτα Πελοποννησίους ναυμαχοῦντες, καὶ τὴν πόλιν ταύτην μόνοι ἀνθρώπων ἔσωσαν ἐν τῷ τότε χρόνῳ. Εἰ τοίνυν μεγάλων ἀγαθῶν ἄξια ὑμᾶς εἰργάσαντο ἐκεῖνοι, μέρος ἐγὼ οὐκ ἂν ἐλάχιστον δικαίως ταύτης τῆς αἰτίας ἔχοιμι. Εἰ γὰρ τοῖς ἀνδράσιν ἐκείνοις τότε τὰ ἐπιτήδεια μὴ εἰσήχθη, οὐ περὶ τοῦ σῶσαι τὰς Ἀθήνας ὁ κίνδυνος ἦν αὐτοῖς μᾶλλον ἢ περὶ τοῦ μηδ' αὐτοὺς σωθῆναι. (13) Τούτων τοίνυν οὕτως ἐχόντων οὐκ ὀλίγῳ μοι παρὰ γνώμην εὑρέθη τὰ ἐνταῦθα πράγματα ἔχοντα. Κατέπλευσα μὲν γὰρ ὡς ἐπαινεθησόμενος ὑπὸ τῶν ἐνθάδε προθυμίας τε εἵνεκα καὶ ἐπιμελείας τῶν ὑμετέρων πραγμάτων· πυθόμενοι δέ τινές με ἥκοντα τῶν τετρακοσίων ἐζήτουν τε παραχρῆμα, καὶ λαβόντες ἤγαγον εἰς τὴν βουλήν. (14) Εὐθὺς δὲ παραστάς μοι Πείσανδρος, « ἄνδρες, ἔφη, βουλευταί, ἐγὼ τὸν ἄνδρα τοῦτον ἐνδεικνύω ὑμῖν σῖτόν τε εἰς τοὺς πολεμίους εἰσαγαγόντα καὶ κωπέας· » καὶ τὸ πρᾶγμα ἤδη πᾶν διηγεῖτο ὡς ἐπέπρακτο. Ἐν δὲ τῷ τότε τὰ ἐναντία φρονοῦντες δῆλοι ἦσαν ἤδη οἱ ἐπὶ στρατιᾶς ὄντες τοῖς τετρακοσίοις. (15) Κἀγώ, θόρυβος γὰρ δὴ τοιοῦτος ἐγίγνετο τῶν βουλευτῶν, ἐπειδὴ ἐγίγνωσκον ἀπολούμενος, εὐθὺς προσπηδῶ πρὸς τὴν ἑστίαν καὶ λαμβάνομαι τῶν ἱερῶν. Ὅπερ μοι καὶ πλείστου ἄξιον ἐγίνετο ἐν τῷ τότε· εἰς γὰρ τοὺς θεοὺς ἔχοντα ὀνείδη οὗτοί με μᾶλλον τῶν ἀνθρώπων ἐοίκασι κατελεῆσαι, βουληθέντων τε αὐτῶν ἀποκτεῖναί με, οὗτοι ἦσαν οἱ διασώσαντες. Δεσμά τε ὕστερον καὶ κακὰ ὅσα τε καὶ οἷα τῷ σώματι ἠνεσχόμην, μακρὸν ἂν εἴη μοι λέγειν. (16) Οὗ δὴ καὶ μάλιστ' ἐμαυτὸν ἀπωλοφυράμην· ὅστις τοῦτο μὲν ἐν ᾧ ἐδόκει ὁ δῆμος κακοῦσθαι, ἐγὼ ἀντὶ τούτου κακὰ εἶχον, τοῦτο δὲ ἐπειδὴ ἐφαίνετο εὖ ὑπ' ἐμοῦ πεπονθώς, πάλιν αὖ καὶ διὰ τοῦτ' ἐγὼ ἀπολοίμην· ὥστε ὁδόν τε καὶ πόρον μηδαμῇ ἔτι εἶναί μοι εὐθαρσεῖν· ὅποι γὰρ τραποίμην, πάντοθεν κακόν τί μοι ἐφαίνετο ἑτοιμαζόμενον. Ἀλλ' ὅμως καὶ ἐκ τούτων τοιούτων ὄντων ἀπαλλαγεὶς οὐκ ἔστιν ὅ τι ἕτερον ἔργον περὶ πλείονος ἐποιούμην ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι ἐργάσασθαι.

17. Ὁρᾶν δὲ χρή, ὦ Ἀθηναῖοι, ὅσῳ τὰ τοιαῦτα τῶν ὑπουργημάτων διαφέρει. Τοῦτο μὲν γὰρ ὅσοι τῶν πολιτῶν τὰ ὑμέτερα πράγματα διαχειρίζοντες ἀργύριον ὑμῖν ἐκπορίζουσιν, ἄλλο τι ἢ τὰ ὑμέτερα ὑμῖν διδόασι; τοῦτο δὲ ὅσοι στρατηγοὶ γενόμενοι καλόν τι τὴν πόλιν
22 κατεργάζονται, τί ἄλλο ἢ μετὰ τῆς τῶν ὑμετέρων σωμάτων ταλαιπωρίας τε καὶ κινδύνων, καὶ ἔτι τῶν κοι-

periculum; sed tunc statim in castra vestra ad Samum induxi remiges, Quadringentis jam rerum hac in urbe potitis, Archelao, quo pater jam familiariter usus fuerat, concedente mihi cædere et exportare quot vellem. Ita factum est ut ego remiges illos inducerem, pro quibus singulis quanquam licebat quinas drachmas poscere, dedignatus tamen sum plus poscere quam ipsi mihi constitissent: (12) sed frumenta quoque præterea et arma induxi, quibus illi alti armatique postmodum Peloponnesios prœlio navali vicerunt, solisque mortalium omnium his debet respublica, quod servata tum fuerit. Quodsi ergo illi ita de vobis promeriti sunt, videor mihi ego quoque in partem hujus laudis haud minimam venire. Ego enim si alimenta ad eos nulla advexissem, tantum abfuisset ut de restituenda republica cogitarent, ut potius ne suam ipsi quidem salutem atque vitam tueri potuissent. (13) Quæ quum ita essent, longe aliter ac speraveram res ibi reperi. Proficiscebar nempe Samo huc, nullus dubitans fore ut industria mea bene de vobis promerendi paratas penes vos laudes reperiret: sed secus cecidit; Quadringenti enim ut cum nave me appulsum ad portum vestrum audiverant, protinus me requirebant inventumque in senatum inducebant. (14) Ibi Pisander in medium progressus: « Viri senatores (inquit , lateri meo astans), ego vobis hunc hominem indico, ut qui hostibus frumenta et remiges adduxerit. » Quibus ille dictis, totam protinus rem ut gesta fuerat exsequebatur. Tum vero jam constabat, in castris ad Samum agentes a Quadringentis dissentire. (15) Pisandrum quum senatorum permulti fremitu secundarent, unde ego mortem mihi augurabar instantem, statim ad aram Vestæ supplex accido et simulacrum amplector. Id quod maximi tum ad salutem meam momenti fuit; nam si me ab ara abstractum occidissent, impietatis erga deos commissæ infamiam ipsi sibi contraxissent; verum hi majore mei, quam homines, commiseratione moti sunt, quippe qui spiritum hunc conservarunt, quem homines illi exstinctum ibant. Quas autem quantasque molestias postmodum a vinculis toleraverim, longum sit enarrare. (16) Devenit oratio mea in locum luctuosum, ut sæpe me meæ sortis misertum fuerit prorsus lamentabilis: qua enim in re populus injuriam videbatur accipere, ea res in mala me conjecit; rursus illud idem emolumentum, quo populum ornaveram, parum abfuit quin pestem mihi afferret. Adeo clausæ mihi omnes erant ad bene sperandum viæ. Quoquo enim me verterem, ibi malum mihi paratum cernebam. Sed his quoque tantis malis tandem liberatus, nihil habui antiquius, quam ut remp. beneficio quodam ornarem.

17. Decet autem vos, Athenienses, considerare, quanto hæc mea ab aliorum ministeriis differant. Civium enim quicumque negotia vestra tractantes pecunias vobis conficiunt, num aliud quid quam vestra vobis dant? Porro copiarum imperatores e reip. commodo aliquid bene gerentes nonne isti cum corporum vestrorum miseria et periculis publicique

νῶν χρημάτων δαπάνης, ποιοῦσιν ὑμᾶς εἴ τι τυγχάνουσιν ἀγαθόν; ἐν ᾧ καὶ ἄν τι ἐξαμάρτωσιν, οὐκ αὐτοὶ τῆς σφετέρας αὑτῶν ἁμαρτίας δίκην διδόασιν, ἀλλ' ὑμεῖς ὑπὲρ τῶν ἐκείνοις ἡμαρτημένων. (18) Ἀλλ' ὅμως οὗτοι στεφανοῦνταί γε ὑφ' ὑμῶν καὶ ἀνακηρύττονται ὡς ὄντες ἄνδρες ἀγαθοί. Καὶ οὐκ ἐρῶ ὡς οὐ δικαίως· μεγάλη γάρ ἐστιν ἀρετή, ὅστις τὴν ἑαυτοῦ πόλιν ὁτῳοῦν δύναται τρόπῳ ἀγαθόν τι ἐργάζεσθαι. Ἀλλ' οὖν γινώσκειν γε χρὴ ὅτι ἐκεῖνος ἂν εἴη πλείστου ἄξιος ἀνήρ, ὅστις τοῖς ἑαυτοῦ παρακινδυνεύων χρήμασί τε καὶ σώματι τολμῴη ἀγαθόν τι ποιεῖν τοὺς ἑαυτοῦ πολίτας.

19. Ἐμοὶ τοίνυν τὰ μὲν ἤδη εἰς ὑμᾶς πεπραγμένα σχεδόν τι ἅπαντες ἂν εἰδείητε, τὰ δὲ μέλλοντά τε καὶ ἤδη πραττόμενα ἄνδρες ὑμῶν πεντακόσιοι ἐν ἀπορρήτῳ ἴσασιν, ἡ βουλή· οὓς πολλῷ δήπου εἰκὸς ἧττον ἄν τι ἐξαμαρτεῖν, ἢ εἰ ὑμᾶς δέοι ἀκούσαντάς τι ἐν τῷ παραχρῆμα νῦν διαβουλεύσασθαι. Οἱ μέν γε σχολῇ περὶ τῶν εἰσαγγελλομένων σκοποῦνται, ὑπάρχει τε αὐτοῖς, ἐάν τι ἐξαμαρτάνωσιν, αἰτίαν ἔχειν καὶ λόγον αἰσχρὸν ἐκ τῶν ἄλλων πολιτῶν· ὑμῖν δὲ οὐκ εἰσὶν ἕτεροι ὑφ' ὧν αἰτίαν ἂν ἔχοιτε· τὰ γὰρ ὑμέτερα αὐτῶν ἐφ' ὑμῖν δικαίως ἐστὶ καὶ εὖ καὶ κακῶς, ἐὰν βούλησθε, διαθέσθαι. (20) Ἅ γε μέντοι ἔξω τῶν ἀπορρήτων οἷόν τέ μοί ἐστιν εἰπεῖν εἰς ὑμᾶς ἤδη πεπραγμένα, ἀκούσεσθε. Ἐπίστασθε γάρ που ὡς ἠγγέλθη ὑμῖν ὅτι οὐ μέλλει ἐκ Κύπρου σῖτος ἥξειν ἐνταῦθα· ἐγὼ τοίνυν τοιοῦτός τε καὶ τοσοῦτος ἐγενόμην, ὥστε τοὺς ἄνδρας τοὺς ταῦτα βουλεύσαντας ἐφ' ὑμῖν καὶ πράξαντας ψευσθῆναι τῆς αὐτῶν γνώμης. (21) Καὶ ὡς μὲν ταῦτα διεπράχθη, οὐδὲν προὔργου ἀκοῦσαι ὑμῖν· τὰ δὲ νυνὶ βούλομαι ὑμᾶς εἰδέναι, ὅτι αἱ μέλλουσαι νῆες ἤδη σιταγωγοὶ καταπλεῖν εἰς τὸν Πειραιᾶ εἰσιν ὑμῖν τέτταρες καὶ δέκα, αἱ δὲ λοιπαὶ τῶν ἐκ Κύπρου ἀναχθεισῶν ἥξουσιν ἀθρόαι οὐ πολὺ ὕστερον. Ἐδεξάμην δ' ἂν ἀντὶ πάντων χρημάτων εἶναι ἐν ἀσφαλεῖ φράσαι πρὸς ὑμᾶς ἃ καὶ τῇ βουλῇ ἐν ἀπορρήτῳ εἰσήγγειλα, ὅπως αὐτόθεν προῄδειτε. (22) Νῦν δὲ ἐκεῖνα μὲν τότε ὅταν ἀποτελεσθῇ γνώσεσθε ἅμα καὶ ὠφεληθήσεσθε· νῦν δέ, ὦ Ἀθηναῖοι, εἴ μοι βουληθείητε δοῦναι χάριν μικράν τε καὶ ἄπονον ὑμῖν καὶ ἅμα δικαίαν, πάνυ ἄν μοι τοῦτο ἐν μεγάλῃ ἡδονῇ γένοιτο. Ὡς δὲ καὶ δικαία ἐστίν, εἴσεσθε. Ἃ γάρ μοι αὐτοὶ γνόντες τε καὶ ὑποσχόμενοι ἔδοτε, ὕστερον δὲ ἑτέροις πειθόμενοι ἀφείλεσθε, ταῦθ' ὑμᾶς, εἰ μὲν βούλεσθε, αἰτῶ, εἰ δὲ μὴ βούλεσθε, ἀπαιτῶ. (23) Ὁρῶ δὲ ὑμᾶς πολλάκις καὶ δούλοις ἀνθρώποις καὶ ξένοις παντοδαποῖς πολιτείαν διδόντας τε καὶ εἰς χρήματα μεγάλας δωρεάς, οἳ ἂν ὑμᾶς φαίνωνται ποιοῦντές τι ἀγαθόν. Καὶ ταῦτα μέντοι ὀρθῶς ὑμεῖς φρονοῦντες δίδοτε· οὕτω γὰρ ἂν ὑπὸ πλείστων ἀνθρώπων εὖ πάσχοιτε. Ἐγὼ τοίνυν τοσοῦτον ὑμῶν μόνον δέομαι· τὸ ψήφισμα ὃ Μενίππου εἰπόντος ἐψηφίσασθε, εἶναί μοι ἄδειαν, πάλιν ἀπόδοτε. Ἀναγνώσεται δὲ ὑμῖν αὐτό· ἔτι γὰρ καὶ νῦν ἐγγέγραπται ἐν τῷ βουλευτηρίῳ.

ærarii impensa vobis præstant, si quam præstant, utilitatem? In quo si quid etiam peccarint, non ipsi dant pœnas, sed vos pro illis luitis. (18) Et nihilominus tamen iidem coronantur a vobis et præconiis ornantur ceu viri fortes atque boni. Neque ego infitiabor recte ita fieri: magna enim virtus est patriam ornare, quocumque quisque modo potuerit. Verumtamen hoc certe agnosci debet, summi debere illum fieri, si quis suis opibus ipsoque corpore in aleam datis promereri cives suos haud recuset.

19. Jam quæ in vos jam fere contuli, vos omnes noritis: quæ autem collaturus sim et jam nunc instituam, cum Quingentis vestrûm, cum senatu scilicet, sub silentii fide communicavi; quos in capiendis consiliis minus aberraturos esse consentaneum est, quam si vos oporteat, a me doctos hæc, nunc statim super iis deliberare. Illi enim de rebus ad se relatis per otium deliberant, errorumque si quos committant rationem vobis debent, turpemque in famam apud reliquos cives incurrunt; vos autem nemo est qui incuset; æquum enim est, vobis salvum esse jus vestrum vestris de rebus pro arbitrio sive bene sive secus statuendi. (20) Quæ tamen extra illa arcana communicari vobiscum possunt, ea, quum jam gesta sint, ex me nunc audietis. Nostis nempe diditum inter vos rumorem, frumentum e Cypro nullum huc esse perventurum; ego vero multa magnaque contentione effeci ut illi qui id agerent et machinarentur, spe sua exciderent. (21) Quomodo autem id effecerim, nil attinet vos ex me audire; id unum vos nolim ignorare, quod nunc agitur: quattuordecim naves granis onustæ tantum non jam nunc in Piræeum invehuntur, reliquæ e Cypro jam evectæ haud multo post simul omnes appellent. Vitam mereri nollim, si vobis quoque jam nunc arcana possim eadem illa impertire, quæ senatui impertii, quo ea jam nunc sciretis, vel ante quam effectui dabuntur. (22) Verum intelligetis illa tum temporis, quum effecta erunt, unaque fructum eorum percipietis: jam vero, Athenienses, si gratiam quandam exiguam, facilem simulque justam, indulgere mihi velitis, rem feceritis perquam mihi jucundam futuram. Quam justa autem sit, nunc intelligetis. Quod enim vos ipsi mihi decreveratis olim et dandum promiseratis, postmodum autem aliis obtemperantes rursus ademeratis, id idem nunc aut peto, si vultis, aut, si mavultis, repeto. (23) Sæpe enim video, vos servis adeo hominibus peregrinisque omnis generis, aliis jus civitatis, aliis magna in ære dona dantes, si qui bene de vobis meriti visi fuissent. Et sapienter quidem sic datis: facitis enim hoc pacto, ut a quamplurimis beneficiis cumulemini. Illud itaque, quod ego vos unum rogo, hoc est, ut immunitas mihi restituatur, quam Menippo auctore vos per decretum mihi olim dedistis. Quod decretum scriba vobis recitabit: adhuc enim superest in tabulario senatus.

ΨΗΦΙΣΜΑ.

24. Τουτὶ τὸ ψήφισμα ὃ ἠκούσατε ψηφισάμενοί μοι, ὦ Ἀθηναῖοι, ὕστερον ἀφείλεσθε χάριν ἑτέρῳ φέροντες. Πείθεσθε οὖν μοι, καὶ ἤδη παύσασθε εἴ τῳ ὑμῶν διάβολόν τι ἐν τῇ γνώμῃ περὶ ἐμοῦ παρέστηκεν. Εἰ γὰρ ὅσα οἱ ἄνθρωποι γνώμῃ ἁμαρτάνουσι, τὸ σῶμα αὐτῶν μὴ αἴτιόν ἐστιν, ἐμοῦ τὸ μὲν σῶμα τυγχάνει ταὐτὸν ἔτι ὄν, ὅπερ τῆς αἰτίας ἀπήλλακται, ἡ δὲ γνώμη ἀντὶ τῆς προτέρας ἑτέρα νυνὶ παρέστηκεν. Οὐδὲν οὖν ἔτι ὑπολείπεται ὅτῳ ἄν μοι δικαίως διαβεβλῆσθε. (25) Ὥσπερ δὲ τῆς τότε ἁμαρτίας τὰ ἀπὸ τῶν ἔργων σημεῖα ἔφατε χρῆναι πιστότατα ποιούμενοι κακόν με ἄνδρα ἡγεῖσθαι, οὕτω καὶ ἐπὶ τῇ νῦν εὐνοίᾳ μὴ ζητεῖτε ἑτέραν βάσανον ἢ τὰ ἀπὸ τῶν νυνὶ ἔργων σημεῖα ὑμῖν γινόμενα. Πολὺ
23 δέ μοι προσήκει ταῦτα μᾶλλον ἐκείνων καὶ τῷ γένει συνηθέστερά ἐστι. (26) Τάδε γὰρ οὐ ψευσαμένῳ μοι λαθεῖν οἷόν τ' ἐστὶ τούς γε πρεσβυτέρους ὑμῶν, ὅτι ὁ τοῦ ἐμοῦ πατρὸς πάππος Λεωγόρας στασιάσας πρὸς τοὺς τυράννους ὑπὲρ τοῦ δήμου, ἐξὸν αὐτῷ διαλλαχθέντι τῆς ἔχθρας καὶ γενομένῳ κηδεστῇ ἄρξαι μετ' ἐκείνων τῶν ἀνδρῶν τῆς πόλεως, εἵλετο μᾶλλον ἐκπεσεῖν μετὰ τοῦ δήμου καὶ φεύγων κακοπαθεῖν μᾶλλον ἢ προδότης αὐτῶν καταστῆναι. Ὥστ' ἔμοιγε καὶ διὰ τὰ τῶν προγόνων ἔργα εἰκότως ὑπάρχει δημοτικῷ εἶναι, εἴπερ τι ἄλλα νῦν γε φρονῶν τυγχάνω. Ὧν καὶ ἕνεκα εἰκὸς ὑμᾶς, ἐὰν χρηστὸς ὢν ἀνὴρ εἰς ὑμᾶς φαίνωμαι, προθυμότερόν μου ἀποδέχεσθαι τὰ πραττόμενα. (27) Τὸ δὲ δόντας ἐμοὶ τὴν ἄδειαν ἀφελέσθαι ὑμᾶς, εὖ ἴστε ὅτι οὐδεπώποτε ἠγανάκτησα· ὅπου γὰρ ὑπὸ τῶν ἀνδρῶν τούτων αὐτοὶ εἰς ὑμᾶς αὐτοὺς ἐπείσθητε τὰ μέγιστα ἐξαμαρτεῖν, ὥστε ἀντὶ τῆς ἀρχῆς δουλείαν ἀλλάξασθαι, ἐκ δημοκρατίας δυναστείαν καταστήσαντες, τί ἄν τις ὑμῶν θαυμάζοι καὶ εἰς ἐμὲ εἴ τι ἐπείσθητε ἐξαμαρτεῖν; (28) Βουλοίμην μέντἂν, ὥσπερ ἐν τοῖς ὑμετέροις αὐτῶν πράγμασιν, ἐπειδὴ ἐξουσίαν ἐλάβετε, τὰς τῶν ἐξαπατησάντων ὑμᾶς ἀκύρους ἔθετε βουλάς, οὕτω καὶ ἐν ᾧ περὶ ἐμοῦ ἐπείσθητε γνῶναί τι ἀνεπιτήδειον, ἀτελῆ τὴν γνώμην αὐτῶν ποιῆσαι, καὶ μήτε ἐν ἑτέρῳ τῳ τοῖς ὑμῶν αὐτῶν ἐχθίστοις ὁμόψηφοί ποτε γένησθε.

DECRETUM.

24. Quod modo audistis, Athenienses, decretum, id quum ipsi meam in gratiam tulissetis, rursus alius in gratiam postmodum ademistis. Sed date hoc precibus meis, ut tandem aliquando desinatis mihi succensere, si cui vestrûm simultatis aliquid adhæsit ex iniquis criminationibus conceptæ. Nam si, quæcunque homines mentis errore delinquunt, eorum culpa corpus vacat, corpus quidem meum, etsi idem adhuc est, culpa tamen vacat, mens autem, quæ culpa tenetur, nunc est nova mihi prorsus ab illa pristina diversa: quocirca nihil jam superest, ob quod merito mihi succenseatis. (25) Quemadmodum vero pristini criminis mei indicia vos, virum improbum me judicantes, certissima ea quæ e rebus tunc gestis repetebantur habenda esse censebatis, sic etiam præsentis meæ in vos benevolentiæ nolite alia quærere documenta quam quæ res nunc a me pro vobis gestæ suppeditant. Atque hæc quidem præsentia multo magis quam pristina illa mihi conveniunt et ex more sunt generis mei. (26) Mentiri quidem si juvet, haud possim seniores certe vestrûm quotquot assident fallere: verum non mentior affirmans, Leogoram patris mei avum paternum, quum potuisset in gratiam cum Pisistratidis redire, quibuscum studio partis popularis dissidebat, contractaque cum ipsis affinitate potuisset æqua tyrannidis portione potiri, maluisse tamen cum plebe molestias exsilii tolerare, quam patriæ proditor esse: adeo ut etiam propter majorum exempla populi causæ me favere consentaneum sit, siquidem omnino nunc certe benevole de eo sentio. Quapropter vos quoque decet, ubi constiterit vobis hominem frugi me esse, studia mea hoc benevolentius acceptare. (27) Immunitatem a vobis semel mihi tributam, quod rursus ademeritis, credite mihi affirmanti, nunquam id me ægre tulisse: ubi enim ab hominibus istis induci vos in perniciosissimos vobis ipsis errores pateremini, adeo ut imperium cum servitute mutaretis, hoc est, ut prodita libertate optimatium in potestatem vos dederetis, eccui mirabile possit videri, si qui vobis persuaserunt, ut de me quoque iniquius aliquid statueretis? (28) Verumtamen, quemadmodum in vestris ipsorum rebus, postquam libertatem recuperastis, irrita fecistis quæ dolosi homines male vobis suaserant: ita velim vos de me quoque, si quid inclementius alieno motu statueritis, id abrogare, operamque dare, ut neque hac in re neque in ulla alia cum inimicissimis vestri hominibus consentire videamini.

III.

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥΣ ΕΙΡΗΝΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Τοῦ Ἑλληνικοῦ μηκυνομένου πολέμου, καὶ πολλὰ μὲν Ἀθηναίων κακὰ πολλὰ δὲ Λακεδαιμονίων ὑπομεινάντων καὶ τῶν ἑκατέρων συμμάχων, Ἀθηναῖοι πρέσβεις ἀπέστειλαν πρὸς Λακεδαιμονίους αὐτοκράτορας· ὧν ἐστὶ καὶ Ἀνδοκίδης. Τινῶν δὲ προταθέντων παρὰ Λακεδαιμονίων, καὶ ἀποστειλάντων κἀκείνων ἰδίους πρέσβεις, ἔδοξεν ὥστε εἴσω τεσσαρά-

DE PACE CUM LACEDÆMONIIS ORATIO.

ARGUMENTUM.

Bello Græcorum in longum producto, Atheniensibusque et Lacedæmoniis multa mala passis, et utrorumque sociis, Athenienses ad Lacedæmonios legatos miserunt, quibus omnia permiserant: quorum unus Andocides erat. Quibusdam vero antea ordinatis a Lacedæmoniis, qui ipsi quoque suos miserunt legatos, visum est intra quadraginta dies populum de pace

κοντα ἡμερῶν ἐπιβουλεύσασθαι τὸν δῆμον περὶ τῆς εἰρήνης. Καὶ ἐπὶ τούτοις Ἀνδοκίδης συμβουλεύει τοῖς Ἀθηναίοις καταδέξασθαι τὴν εἰρήνην. Ἔστι μὲν οὖν συμβουλῆς τὸ εἶδος· κεφάλαιον τὸ συμφέρον. Φιλόχορος μὲν οὖν λέγει καὶ ἐλθεῖν τοὺς πρέσβεις ἐκ Λακεδαιμονίας, καὶ ἀπράκτους ἀνελθεῖν μὴ πείσαντος τοῦ Ἀνδοκίδου· ὁ δὲ Διονύσιος νόθον εἶναι λέγει τὸν λόγον.

consulere. Propterea Andocides Atheniensibus consulit, ut pacem accipiant. Consultationis itaque forma est, caput negotii utilitas. Philochorus dicit legatos a Lacedæmone venisse, reque infecta discessisse, Andocide non persuadente; Dionysius vero orationem hanc non esse Andocidis dicit.

Ὅτι μὲν εἰρήνην ποιεῖσθαι δικαίαν ἄμεινόν ἐστιν ἢ πολεμεῖν, δοκεῖτέ μοι, ὦ Ἀθηναῖοι, πάντες γινώσκειν· ὅτι δὲ οἱ ῥήτορες τῷ μὲν ὀνόματι τῆς εἰρήνης συγχωροῦσι, τοῖς δ' ἔργοις ἀφ' ὧν ἡ εἰρήνη γένοιτο ἐναντιοῦνται, τοῦτο δὲ οὐ πάντες αἰσθάνεσθε. Λέγουσι γὰρ ὡς ἔστι δεινότατον τῷ δήμῳ, γενομένης εἰρήνης, ἡ νῦν οὖσα πολιτεία μὴ καταλυθῇ. (2) Εἰ μὲν οὖν μηδεπώποτε πρότερον ὁ δῆμος ὁ τῶν Ἀθηναίων εἰρήνην ἐποιήσατο πρὸς Λακεδαιμονίους, εἰκότως ἂν ἐφοβούμεθα αὐτὸ διά τε τὴν ἀπειρίαν τοῦ ἔργου διά τε τὴν ἐκείνων ἀπιστίαν· ὅπου δὲ πολλάκις ἤδη πρότερον εἰρήνην ἐποιήσασθε δημοκρατούμενοι, πῶς οὐκ εἰκὸς ὑμᾶς πρῶτον ἐκεῖνα σκέψασθαι τὰ τότε γενόμενα; χρὴ γάρ, ὦ Ἀθηναῖοι, τεκμηρίοις χρῆσθαι τοῖς πρότερον γενομένοις περὶ τῶν μελλόντων ἔσεσθαι. (3) Ἡνίκα τοίνυν μὲν ὁ πόλεμος ἡμῖν ἐν Εὐβοίᾳ, Μέγαρα δὲ εἴχομεν καὶ Πηγὰς καὶ Τροιζῆνα, εἰρήνης ἐπεθυμήσαμεν, καὶ Μιλτιάδην τὸν Κίμωνος ὠστρακισμένον καὶ ὄντα ἐν Χερρονήσῳ κατεδεξάμεθα δι' αὐτὸ τοῦτο, πρόξενον ὄντα Λακεδαιμονίων, ὅπως πέμψαιμεν ἐς Λακεδαίμονα προκηρυκευσόμενον περὶ σπονδῶν. (4) Καὶ τότε ἡμῖν εἰρήνη ἐγέ-
24 νετο πρὸς Λακεδαιμονίους ἔτη πεντήκοντα, καὶ ἐνεμείναμεν ἀμφότεροι ταύταις ταῖς σπονδαῖς ἔτη τριακαίδεκα. Ἓν δὴ τοῦτο, ὦ Ἀθηναῖοι, πρῶτον σκεψώμεθα. Ἐν ταύτῃ τῇ εἰρήνῃ ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἐσθ' ὅπου κατελύθη; οὐδεὶς ἀποδείξει. Ἀγαθὰ δὲ ὅσα ἐγένετο διὰ ταύτην τὴν εἰρήνην, ἐγὼ ὑμῖν φράσω. (5) Πρῶτον μὲν τὸν Πειραιᾶ τότε ἐτειχίσαμεν ἐν τούτῳ τῷ χρόνῳ, εἶτα τὸ μακρὸν τεῖχος τὸ βόρειον· ἀντὶ δὲ τῶν τριήρων αἳ τότε ἡμῖν ἦσαν παλαιαὶ καὶ ἄπλοι, αἷς βασιλέα καὶ βαρβάρους καταναυμαχήσαντες ἠλευθερώσαμεν τοὺς Ἕλληνας, ἀντὶ τούτων τῶν νεῶν ἑκατὸν τριήρεις ἐναυπηγησάμεθα, καὶ πρῶτον τότε τριακοσίους ἱππεῖς κατεστησάμεθα καὶ τοξότας τριακοσίους Σκύθας ἐπριάμεθα. Καὶ ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῶν Ἀθηναίων ἐγένετο. (6) Μετὰ δὲ ταῦτα δι' Αἰγινήτας εἰς πόλεμον κατέστημεν, καὶ πολλὰ κακὰ παθόντες, πολλὰ δὲ ποιήσαντες ἐπεθυμήσαμεν πάλιν τῆς εἰρήνης, καὶ ᾑρέθησαν δέκα ἄνδρες ἐξ Ἀθηναίων ἁπάντων πρέσβεις εἰς Λακεδαίμονα περὶ εἰρήνης αὐτοκράτορες, ὧν ἦν καὶ Ἀνδοκίδης ὁ πάππος ὁ ἡμέτερος. Οὗτοι ὑμῖν εἰρήνην ἐποίησαν πρὸς Λακεδαιμονίους ἔτη τριάκοντα. Καὶ ἐν τοσούτῳ χρόνῳ ἔστιν ὅπου, ὦ Ἀθηναῖοι, ὁ δῆμος κατελύθη; τί δέ; πράττοντές τινες δήμου κατάλυσιν ἐλήφθησαν; Οὐκ ἔστιν ὅστις ἀποδείξει, ἀλλ' αὐτὸ τὸ ἐναντιώτατον· (7) αὕτη γὰρ ἡ εἰρήνη τὸν δῆμον

Pacem iniri æquam multo esse satius quam bellum geri, probe id vos omnes nosse videmini, Athenienses: sed oratores vestros nomini quidem pacis locum dare, rebus autem adversari per quas pax coalescit, id vero non omnes cernitis. Dictitant nempe, pax ubi coaluisset, nihil esse magis verendum, quam ne forma qua nunc utimur reip. mutetur. (2) Jam vero si populus Atheniensis nunquam antea cum Lacedæmoniis pacem contraxisset, merito primum ejus periculum reformidaremus, quum quod rei usu careremus, tum quod Lacedæmonii infidi sint; sin autem antehac sæpenumero pacem cum Lacedæmoniis inierimus (et iniimus) salva libertate nostra, ecqui non sit consentaneum ad illa vetusta exempla nos respectare? Oportet utique, Athenienses, e vetustis futura colligere. (3) Igitur, ut hinc exordiar, bellum in Eubœa gerentes, Megaramque tenentes et Pegas et Trœzenem, pacis tamen desiderium nos incessebat; quo factum ut Miltiadem Cimonis filium ostracismo patria ejectum e Chersoneso, ubi versabatur, revocatum, civitate rursus reciperemus eam ipsam ad rem, quo ante feciales nostros Spartam missus, quippe qui Lacedæmoniorum Athenis procurator esset, negotium pacis constituendæ prælibaret. (4) Miltiadis hujus opera pax conciliata tum fuit cum Lacedæmoniis in annos quinquaginta, quas ambo populi in annum decimum tertium conservavimus. Age primum videamus hoc, utrum per hanc pacem forma regiminis popularis hac e civitate fuerit sublata. Profecto nemo id contenderit: ego contra, quot et quanta bona vobis ex hac pace effloruerint, docebo. (5) Primum, Piræeum mœniis tunc sepsimus, tum longum murum borealem condidimus: porro quum naves, quibus Persam deviceramus eoque facto Græciæ libertatem asserueramus, vetustate dissolutæ militiæque maritimæ inhabiles factæ fuissent, earum in locum centum novas alias triremes construximus: tum primum trecentorum equitum instituimus militiam, totidemque Scythas sagittarios ære nostro redemimus. Bona hæc sunt ad remp. ab illa cum Lacedæmoniis pace profecta; hæ copiæ illinc partæ. (6) Postea rursus bello cum Æginetis sumus impliciti, in quo multis datisque acceptisque cladibus, denuo nos desiderium pacis subiit. Itaque universa ex civitate decem legati Spartam de pace constituenda arbitraria cum potestate missi sunt, inter eosque etiam Andocides avus noster. Hi pacem nobis cum Lacedæmoniis trigintennem conciliarunt. Hoc toto tempore estne unquam majestas populi imminuta? Negas. Quid tum? suntne tum deprehensi, qui evertere civilem constitutionem conarentur? Nemo est qui fuisse doceat. Quid? quod alia omnia evenere. (7) Pax hæc sublimem sustulit populum

τῶν Ἀθηναίων ὑψηλὸν ἦρε καὶ κατέστησεν ἰσχυρὸν οὕτως, ὥστε πρῶτον μὲν ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες ἀνηνέγκαμεν χίλια τάλαντα εἰς τὴν ἀκρόπολιν, καὶ νόμῳ κατεκλείσαμεν ἐξαίρετα εἶναι τῷ δήμῳ, τοῦτο δὲ τριήρεις ἄλλας ἑκατὸν ἐναυπηγησάμεθα, καὶ ταύτας ἐξαιρέτους ἐψηφισάμεθα εἶναι, νεωσοίκους τε ᾠκοδομησάμεθα, χιλίους τε καὶ διακοσίους ἱππέας καὶ τοξότας τοσούτους ἑτέρους κατεστήσαμεν, καὶ τὸ τεῖχος τὸ μακρὸν τὸ νότιον ἐτειχίσθη. Ταῦτα ἐκ τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῶν Ἀθηναίων ἐγένετο. (8) Πάλιν δὲ διὰ Μεγαρέας πολεμήσαντες καὶ τὴν χώραν τμηθῆναι προέμενοι, πολλῶν ἀγαθῶν στερηθέντες αὖθις τὴν εἰρήνην ἐποιησάμεθα, ἣν ἡμῖν Νικίας ὁ Νικηράτου κατειργάσατο. Οἶμαι δ' ὑμᾶς ἅπαντας εἰδέναι τοῦτο, ὅτι διὰ ταύτην τὴν εἰρήνην ἑπτακισχίλια μὲν τάλαντα νομίσματος εἰς τὴν ἀκρόπολιν ἀνηνέγκαμεν, ναῦς δὲ πλείους ἢ τριακοσίας ἐκτησάμεθα, (9) καὶ φόρος προσῄει κατ' ἐνιαυτὸν πλέον ἢ διακόσια καὶ χίλια τάλαντα, καὶ Χερρόνησόν τε εἴχομεν καὶ Νάξον καὶ Εὐβοίας πλέον ἢ τὰ δύο μέρη· τάς τε ἄλλας ἀποικίας καθ' ἕκαστον διηγεῖσθαι μακρὸς ἂν εἴη λόγος. Ταῦτα δ' ἔχοντες τὰ ἀγαθὰ πάλιν κατέστημεν εἰς πόλεμον πρὸς Λακεδαιμονίους, πεισθέντες καὶ τότε ὑπ' Ἀργείων.

10. Πρῶτον μὲν οὖν, ὦ Ἀθηναῖοι, τούτου ἀναμνήσθητε, τί ὑμῖν ἐξ ἀρχῆς ὑπεθέμην τῷ λόγῳ. Ἄλλο τι ἢ τοῦτο, ὅτι διὰ τὴν εἰρήνην οὐδεπώποτε ὁ δῆμος ὁ τῶν Ἀθηναίων κατελύθη; οὐκοῦν ἀποδέδεικται, καὶ οὐδεὶς ἐξελέγξει με ὡς οὐκ ἔστι ταῦτα ἀληθῆ. Ἤδη δέ τινων ἤκουσα λεγόντων ὡς ἐκ τῆς τελευταίας εἰρήνης τῆς πρὸς Λακεδαιμονίους οἵ τε τριάκοντα κατέστησαν πολλοί τε Ἀθηναίων κώνειον πιόντες ἀπέθανον, οἱ δὲ φεύγοντες ᾤχοντο. (11) Ὁπόσοι οὖν ταῦτα λέγουσιν, οὐκ ὀρθῶς γινώσκουσιν· εἰρήνη γὰρ καὶ σπονδαὶ πολὺ διαφέρουσι σφῶν αὐτῶν. Εἰρήνην μὲν γὰρ ἐξ ἴσου ποιοῦνται πρὸς ἀλλήλους ὁμολογήσαντες περὶ ὧν ἄν, διαφέρωνται· σπονδὰς δέ, ὅταν κρατήσωσι κατὰ τὸν πόλεμον, οἱ κρείττους τοῖς ἥττοσιν ἐξ ἐπιταγμάτων ποιοῦνται, ὥσπερ ἡμῶν κρατήσαντες Λακεδαιμόνιοι τῷ πολέμῳ ἐπέταξαν ἡμῖν καὶ τὰ τείχη καθαιρεῖν καὶ τὰς ναῦς παραδιδόναι καὶ τοὺς φεύγοντας καταδέχεσθαι. (12) Τότε μὲν οὖν σπονδαὶ κατ' ἀνάγκην ἐξ ἐπιταγμάτων ἐγένοντο· νῦν δὲ περὶ εἰρήνης βουλεύεσθε. Σκέψασθε δὲ ἐξ αὐτῶν τῶν γραμμάτων, ἅ τε ἡμῖν ἐν τῇ στήλῃ γέγραπται, ἐφ' οἷς τε νῦν ἔξεστι τὴν εἰρήνην ποιεῖσθαι. Ἐκεῖ μὲν γέγραπται τὰ τείχη καθαιρεῖν, ἐν δὲ τοῖσδε ἔξεστιν οἰκοδομεῖν· ναῦς ἐκεῖ μὲν δώδεκα κεκτῆσθαι, νῦν δ' ὁπόσας ἂν βουλώμεθα· Λῆμνον δὲ καὶ Ἴμβρον καὶ Σκῦρον τότε μὲν ἔχειν τοὺς ἔχοντας, νῦν δὲ ἡμετέρας εἶναι· καὶ φεύγοντας νῦν μὲν οὐκ ἐπάναγκες οὐδένα καταδέχεσθαι, τότε δ' ἐπάναγκες, ἐξ ὧν ὁ δῆμος κατελύθη. Τί ταῦτα ἐκείνοις ὁμολογεῖ; Τοσοῦτον οὖν ἔγωγε, ὦ Ἀθηναῖοι, διορίζομαι περὶ τούτων, τὴν μὲν εἰρήνην σωτηρίαν εἶναι

Atheniensem adeoque corroboravit, ut illo in otio mille talenta argenti in arcem intulerimus, eaque ut populi usibus propria essent lege sanxerimus; nec non triremes de novo centum alias fabricaverimus, etiam ipsas solius reip. usibus consecratas; navalia item ædificaverimus, mille et ducentos equites constituerimus totidemque sagittarios, et longum murum australem communiverimus. Hæc sunt illa bona per hanc secundam cum Lacedæmoniis pacem reip. parta, et hæ sunt copiæ illinc ei quæsitæ. (8) Rursus exorsi ob Megarenses bellum, quum necessario bonis multis careremus, agro nostro ferro et flammis hostium permisso, pacem denuo fecimus, auctore atque conciliatore Nicia Nicerati filio. Atqui nemo vestrûm est omnium quem fugiat, per hanc Niciæ pacem septies mille talenta pecuniæ signatæ a nobis in arcem illata fuisse, triremes plus quam quadringentas comparatas: (9) in vectigalibus redibat quotannis plus quam mille et ducenta talenta: tenebamus tum Chersonesum et Naxum et Eubœæ plus quam dodrantem; reliquas enim colonias tum temporis a nobis deductas enumerare longum sit. His fruentes bonis rursus in bellum cum Lacedæmoniis incidimus, impulsu tum quoque Argivorum.

10. Jam recordamini, Athenienses, ante omnia, quid ego a principio hujus orationis spectandum vobis proposuerim. Num quid aliud, præterquam hoc, nunquam esse per pacem factum ut majestas populi Athen. convelleretur? Atqui planum hoc feci, neque quisquam me falsum esse comprobabit. Sed audio quosdam jactantes, e novissima nostra cum Lacedæmoniis pace triginta tyrannos exstitisse, a quibus multi cicutam bibere coacti exspirarint, alii solum verterint. (11) Quæ qui jactant, falluntur. Nam pax et induciæ multum inter se differunt. Pacem enim ineunt, qui, æquales viribus et dignitate, de causis discordiarum suarum inter se prout convenerit paciscuntur: inducias autem victores in bello facti victis pro arbitratu suo imperant, ut e. c. Lacedæmonii nuper belli victoria potiti nobis et mœnium demolitionem et classis deditionem et proscriptorum revocationem imperarunt. (12) Tunc itaque induciæ fiebant per necessitatem ex imperato: nunc autem de pace deliberatio ineunda. Spectate differentiam ex ipsis formulis conditionum et tum imperatarum, prout in stela scriptæ prostant, et earum quæ vobis nunc ultro pacis condendæ ergo offeruntur. Ibi mœnia demoliri jubebamini; hic potestas datur collapsa rursus exædificandi: tunc naves habere non concedebatur, nisi duodecim; nunc tot habendi vobis venia datur, quot ipsi vultis: tunc cavebatur ut Lemnus et Imbrus et Scyrus in possidentium jure essent, nunc vobis permittuntur: proscriptos receptare nemo nunc cogitur; tunc autem necessum erat, unde libertas popularis interempta fuit. Ecquanam in re hæcce cum illis conveniunt? Igitur ita causam definio atque aio me censere,

τῷ δήμῳ καὶ δύναμιν, τὸν δὲ πόλεμον δήμου κατάλυσιν γίνεσθαι. Περὶ μὲν οὖν τούτων ταῦτα λέγω.

13. Φασὶ δέ τινες ἀναγκαίως νῦν ἡμῖν ἔχειν πολεμεῖν· σκεψώμεθα οὖν πρῶτον, ἄνδρες Ἀθηναῖοι, διὰ τί καὶ πολεμήσωμεν. Οἶμαι γὰρ ἂν πάντας ἀνθρώπους ὁμολογῆσαι διὰ τάδε δεῖν πολεμεῖν, ἢ ἀδικουμένους ἢ βοηθοῦντας ἠδικημένοις. Ἡμεῖς τοίνυν αὐτοί τε ἠδικούμεθα Βοιωτοῖς τε ἀδικουμένοις ἐβοηθοῦμεν. Εἰ τοίνυν ἡμῖν τέ ἐστι τοῦτο παρὰ Λακεδαιμονίων, τὸ μηκέτι ἀδικεῖσθαι, Βοιωτοῖς τε δέδοκται ποιεῖσθαι τὴν εἰρήνην ἀφεῖσιν Ὀρχομενὸν αὐτόνομον, τίνος ἕνεκα πολεμήσωμεν; (14) ἵνα ἡ πόλις ἡμῖν ἐλευθέρα ᾖ; ἀλλὰ τοῦτό γε αὐτῇ ὑπάρχει. Ἀλλ' ὅπως ἡμῖν τείχη γένηται; ἔστι καὶ ταῦτα ἐκ τῆς εἰρήνης. Ἀλλ' ἵνα τριήρεις ἐξῇ ναυπηγεῖσθαι καὶ τὰς οὔσας ἐπισκευάζειν καὶ κεκτῆσθαι; καὶ τοῦτο ὑπάρχει· τὰς γὰρ πόλεις αὐτονόμους αἱ συνθῆκαι ποιοῦσιν. Ἀλλ' ὅπως τὰς νήσους κομισώμεθα, Λῆμνον καὶ Σκῦρον καὶ Ἴμβρον; οὐκοῦν διαρρήδην γέγραπται ταύτας Ἀθηναίων εἶναι. (15) Φέρε, ἀλλὰ Χερρόνησον καὶ τὰς ἀποικίας καὶ τὰ ἐγκτήματα καὶ τὰ χρέα ἵνα ἀπολάβωμεν; ἀλλ' οὔτε βασιλεὺς οὔτε οἱ σύμμαχοι συγχωροῦσιν ἡμῖν, μεθ' ὧν αὐτὰ δεῖ πολεμοῦντας κτήσασθαι. Ἀλλὰ νὴ Δία ἕως ἂν Λακεδαιμονίους καταπολεμήσωμεν καὶ τοὺς συμμάχους αὐτῶν, μέχρι τούτου δεῖ πολεμεῖν; ἀλλ' οὔ μοι δοκεῖ οὕτω παρεσκευάσθαι. Ἐὰν δὲ ἄρα κατεργασώμεθα, τί ποτε αὐτοὶ πείσεσθαι δοκοῦμεν ὑπὸ τῶν βαρβάρων, ὅταν ταῦτα πράξωμεν; (16) Εἰ τοίνυν περὶ τούτου μὲν ἔδει πολεμεῖν, χρήματα δὲ ὑπῆρχεν ἡμῖν ἱκανά, τοῖς δὲ σώμασιν ἦμεν δυνατοί, οὐδὲ οὕτως ἔδει πολεμεῖν. Εἰ δὲ μήτε δι' ὅ τι μήτε ὅτοισι μήτε ἀφ' ὅτου πολεμήσωμεν ἔστι, πῶς οὐκ ἐκ παντὸς τρόπου τὴν εἰρήνην ποιητέον ἡμῖν;

17. Σκέψασθε δέ, ὦ Ἀθηναῖοι, καὶ τόδε, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησι κοινὴν εἰρήνην καὶ ἐλευθερίαν πράττετε, καὶ μετέχειν ἅπασι πάντων ἐξουσίαν ποιεῖτε. Ἐνθυμήθητε οὖν τῶν πόλεων τὰς μεγίστας τίνι τρόπῳ τὸν πόλεμον καταλύονται· πρῶτον μὲν Λακεδαιμονίους, οἵτινες ἀρχόμενοι μὲν ἡμῖν καὶ τοῖς συμμάχοις πολεμεῖν ἦρχον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, νῦν δ' αὐτοῖς ἐκ τῆς εἰρήνης οὐδέτερον τούτων ὑπάρχει. Καὶ οὐχ ὑφ' ἡμῶν ἀναγκαζόμενοι ταῦτ' ἀφιᾶσιν, ἀλλ' ἐπ' ἐλευθερίᾳ πάσης τῆς Ἑλλάδος. (18) Νενικήκασι γὰρ τρὶς ἤδη μαχόμενοι, τότε μὲν ἐν Κορίνθῳ πάντας πανδημεὶ τοὺς συμμάχους παρόντας, οὐχ ὑπολιπόντες πρόφασιν οὐδεμίαν, ἀλλ' ἐν τῷ κρατιστεύειν μόνοι πάντων, αὖθις δ' ἐν Βοιωτοῖς, ὅτ' αὐτῶν Ἀγησίλαος ἡγεῖτο, τὸν αὐτὸν τρόπον καὶ τότε τὴν νίκην ἐποιήσαντο, τρίτον δ' ἡνίκα Λέχαιον ἔλαβον, Ἀργείους μὲν ἅπαντας καὶ Κορινθίους, ἡμῶν δὲ καὶ Βοιωτῶν τοὺς παρόντας. (19) Τοιαῦτα δ' ἔργα ἐπιδειξάμενοι τὴν εἰρήνην εἰσὶν ἕτοιμοι ποιεῖσθαι τὴν ἑαυτῶν ἔχοντες, οἱ ἐνίκων μαχόμενοι, καὶ τὰς πόλεις αὐτονόμους εἶναι καὶ τὴν θάλατταν κοινὴν ἐῶντες τοῖς ἡττημένοις. Καίτοι ποίας τι-

pacem reipublicæ saluti esse viresque addere, bellum evertere libertatem civilem. Et hæc quidem hactenus.

13. Bellandum autem nobis esse, quum sint, Athenienses, qui aiant : age quæramus, quamnam tandem ob causam bellemus. Mortales, ni fallor, omnes in eo consentiunt, ut aiant, bellum eo esse suscipiendum, quo aut depellant injurias sibi oblatas aut ut aliis succurrant vim passis. Utrumque nobis evenerat : et ipsi læsi fueramus injuriis, et Bœotis injurias passis auxiliabamur. Quodsi ergo et nostræ res eum sunt in locum perductæ cum Lacedæmoniis, ut nil jam sit cur metuamus ne in posterum vexemur, et Bœoti si decreverunt, Orchomeno in libertatem remittenda finem discordiarum facere, quid porro, quæso, bellemus? (14) num, quo resp. nobis libera sit? Atqui est. Num, quo mœnia recuperemus? Atqui pax eorum copiam nobis facit. At, ut classem nobis liceat condere, navesque quæ jam sunt reparare et jure tenere? Atqui etiam hoc licet : nam pacta ut sui juris sint civitates jubent. At ideo tamen utique bellemus, quo insulas recuperemus, Lemnum et Scyrum et Imbrum? Verum in conditionibus pacis expressis verbis cautum est, has Atheniensium fore. (15) An denique bellemus, ut Chersonesum nostrasque ibi colonias et possessiones et æra nobis debita recuperemus? Atqui rex Persarum intercedet, itemque socii nostri, sine quorum auxilio ista obtinere nequimus. At bellandum utique, medius fidius, erit, donec Lacedæmonios eorumque socios debellaverimus? Atqui non videtur mihi rerum nostrarum ea esse ratio, ut id nobis facile sit. At fac tamen prospere hoc succedere; quæ tum nobis erunt a barbaris toleranda! (16) Fingamus jam, hancce belli causam esse, et præsto esse pecuniarum quod satis sit, virisque nos florere et abundare : at ego tamen vel sic bellandum esse negem. Quod si autem neque causa bellandi est idonea neque viri sunt neque arma neque pecuniæ, qui jam non erit nobis pax omni pacto ineunda?

17. Etiam hoc, Athenienses, meditari vos velim, agi nunc a vobis hoc, ut pacem libertatemque cunctis Græcis communem pariatis, rerumque atque jurium communionem omnium omnibus impertiatis. Recogitate modo, civitates primariæ quo pacto bellum componere paratæ sint. Primo loco Lacedæmonios spectate : bellum hi adversus nos sociosque nostros exordientes principatum terra marique tenebant; quem nunc per hanc pacem amittunt, non coacti armis vestris, sed libertati universæ Græciæ eum condonantes. (18) Bello enim tribus jam præliis vicerunt : primum apud Corinthum, ubi socios nostros omnes in armis præsentes, sola virtute sua cunctis præpollentes, ita vicerunt, ut victis excusationem nullam relinquerent; rursus in Bœotia, duce Agesilao, eodem modo victoriam deportarunt; tertio denique prælio, quo Lechæo potiti sunt, Argivos quidem et Corinthios cunctos, nostrarum autem copiarum Bœoticarumque quotquot tunc aderant, devicerunt. (19) His tantis editis facinoribus, Lacedæmonii belli victores pacem tamen vobiscum inire parati sunt his legibus, ut ipsi ditionem suam salvam habeant, ut reliquæ civitates sui

νὸς ἂν ἐκεῖνοι παρ' ἡμῶν εἰρήνης ἔτυχον, εἰ μίαν μόνον μάχην ἡττήθησαν; (20) Βοιωτοὶ δ' αὖ πῶς τὴν εἰρήνην ποιοῦνται; οἵτινες τὸν μὲν πόλεμον ἐποιήσαντο ἕνεκα Ὀρχομενοῦ, ὡς οὐκ ἐπιτρέψοντες αὐτόνομον εἶναι, νῦν 26 δὲ τεθνεώτων μὲν αὐτοῖς ἀνδρῶν τοσούτων τὸ πλῆθος, τῆς δὲ γῆς ἐκ μέρους τινὸς τετμημένης, χρήματα δ' εἰσενηνοχότες πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ὧν στέρονται, πολεμήσαντες δὲ ἔτη τέτταρα, ὅμως Ὀρχομενὸν ἀφέντες αὐτόνομον τὴν εἰρήνην ποιοῦνται καὶ ταῦτα μάτην πεπόνθασιν· ἐξῆν γὰρ αὐτοῖς καὶ τὴν ἀρχὴν ἐῶσιν Ὀρχομενίους αὐτονόμους εἰρήνην ἄγειν. Οὗτοι δ' αὖ τούτῳ τῷ τρόπῳ τὸν πόλεμον καταλύονται. (21) Ἡμῖν δὲ, ὦ Ἀθηναῖοι πῶς ἔξεστι τὴν εἰρήνην ποιήσασθαι; ποίων τινῶν Λακεδαιμονίων τυγχάνοντας; καὶ γὰρ εἴ τις ὑμῶν ἀχθεσθήσεται, παραιτοῦμαι· τὰ γὰρ ὄντα λέξω. Πρῶτον μὲν γὰρ ἡνίκα ἀπωλέσαμεν τὰς ναῦς ἐν Ἑλλησπόντῳ καὶ τειχήρεις ἐγενόμεθα, τίνα γνώμην ἔθεντο περὶ ὑμῶν οἱ νῦν μὲν ἡμέτεροι, τότε δὲ Λακεδαιμονίων ὄντες σύμμαχοι; οὐ τὴν πόλιν ἡμῶν ἀνδραποδίζεσθαι καὶ τὴν χώραν ἐρημοῦν; οἱ δὲ διακωλύσαντες ταῦτα μὴ γενέσθαι τίνες ἦσαν; οὐ Λακεδαιμόνιοι, τοὺς μὲν συμμάχους ἀποτρέψαντες τῆς γνώμης, αὐτοὶ δ' οὐδ' ἐπιχειρήσαντες διαβουλεύσασθαι περὶ τοιούτων ἔργων; (22) Μετὰ δὲ τοῦτο ὅρκους ὀμόσαντες αὐτοῖς καὶ τὴν στήλην εὑρόμενοι παρ' αὐτῶν στῆσαι, κακὸν ἀγαπητὸν ἐν ἐκείνῳ τῷ χρόνῳ, σπονδὰς ἤγομεν ἐπὶ ῥητοῖς. Εἶτα δὲ συμμαχίαν ποιησάμενοι, Βοιωτοὺς καὶ Κορινθίους ἀποστήσαντες αὐτῶν, Ἀργείους δὲ ἀγαγόντες εἰς τὴν ποτὲ φιλίαν, αἴτιοι τῆς ἐν Κορίνθῳ μάχης ἐγενόμεθα αὐτοῖς. Τίνες δὲ βασιλέα πολέμιον αὐτοῖς ἐποίησαν; καὶ Κόνωνι τὴν ναυμαχίαν παρεσκεύασαν, δι' ἣν ἀπώλεσαν τὴν ἀρχὴν τῆς θαλάττης; (23) Ὅμως τοίνυν ταῦτα πεπονθότες ὑφ' ἡμῶν συγχωροῦσι ταῦτα ἅπερ οἱ σύμμαχοι, καὶ διδόασιν ἡμῖν τὰ τείχη καὶ τὰς ναῦς καὶ τὰς νήσους ἡμῶν εἶναι. Ποίαν τιν' οὖν χρὴ εἰρήνην πρεσβεύοντας ἥκειν; οὐ ταῦτα παρὰ τῶν πολεμίων εὑρομένους ἅπερ οἱ φίλοι διδόασι, καὶ δι' ἅπερ ἠρξάμεθα πολεμεῖν, ἵνα ἡμῶν γένηται τῇ πόλει ταῦτα; Οἱ μὲν τοίνυν ἄλλοι τὴν εἰρήνην ποιοῦνται τῶν ὑπαρχόντων ἀφιέντες, ἡμεῖς δὲ προσλαμβάνοντες αὐτὰ ὧν μάλιστα δεόμεθα.

24. Τί οὖν ἐστιν ὑπόλοιπον περὶ ὅτου δεῖ βουλεύεσθαι, καὶ περὶ ὧν αὖ ἡμᾶς Ἀργεῖοι προσκαλοῦνται; Πρῶτον μὲν περὶ Κορίνθου διδαξάτω μέ τις· Βοιωτῶν μὴ συμπολεμούντων, εἰρήνην δὲ ποιουμένων πρὸς Λακεδαιμονίους, τίνος ἐστὶν ἡμῖν ἀξία Κόρινθος; (25) Ἀναμνήσθητε γὰρ, ὦ Ἀθηναῖοι, τῆς ἡμέρας ἐκείνης ὅτε Βοιωτοῖς τὴν συμμαχίαν ἐποιούμεθα, τίνα γνώμην ἔχοντες ταῦτα ἐπράττομεν. Οὐχ ὡς ἱκανὴν οὖσαν τὴν Βοιωτῶν δύναμιν μεθ' ἡμῶν γενομένην κοινῇ πάντας ἀνθρώπους ἀμύνασθαι; Νῦν δὲ βουλευώμεθα, Βοιωτῶν εἰρήνην ποιουμένων, πῶς δυνατοὶ Λακεδαιμονίοις πολεμεῖν ἐσμεν ἄνευ Βοιωτῶν. (26) Ναί, φασί τινες, ἂν Κόρινθόν τε φυλάττωμεν καὶ συμμάχους ἔχωμεν Ἀρ-

juris sint, ut mare denique sibi victoribus cum victis commune sit. Atqui quam duram illi fuissent a vobis pacem impetraturi, si vel unum prælium amisissent? (20) Bœoti autem, quonam pacto pacem contrahere volunt? Orchomeni causa bellum quum suscepissent, quam pati nollent suæ spontis esse, nunc, tot viris amissis, parte agri devastata, multa pecunia ex ærario publico et ex re cujusque privata incassum impensa, bello quartum in annum extracto, pacem admittunt hanc in legem, ut Orchomenus sui juris sit: frustra itaque laborarunt, qui potuissent damnis illis vacare, si a principio statim libertatem Orchomeno haud denegare ipsique quieti vacare voluissent. Videtis jam, quo pacto Bœoti pacem contrahant. (21) At vobismet ipsis quo pacto licet, Athenienses, pacisci? quales Lacedæmoniorum erga nos experti sumus animos atque mores? Veniam deprecor, si quem offendam : nihil dicam, nisi id, quod res est. Ac primum quidem, classe in Hellesponto amissa quum obsideremur, quamnam de nobis sententiam pronuntiarunt hi, qui nunc nostri, tunc vero Lacedæmoniorum socii erant? nonne hanc, ut cives nostri pro mancipiis venirent et urbs nostra incolis desolaretur? Quæ quominus fierent, quinam intercesserunt? Nonne Lacedæmonii, qui socios ab illa sententia averterunt, ipsi autem ne commiserunt quidem ut vel deliberatio de re tam atroci proponeretur? (22) Post hæc quum jurejurando fidem obstringentes impetravissemus ab iis stelam istam, quæ duras quidem sed pro tempore isto vel exoptabiles conditiones inscriptas habebat, ex pacto inducias egimus. Deinde inita societate cum Bœotis et Corinthiis a Lacedæmoniis abstractis, Argivis etiam in partes nostras tunc traductis, auctores illis pugnæ fuimus, quæ ad Corinthum commissa est. Persarum autem regem quinam ipsis infestum reddidere? Cononem quinam instruxerunt ad prœlium navale, quo principatum maris illi amiserunt? (23) Et nihilominus tamen, istæc a nobis passi, Lacedæmonii nobis eadem, quæ socii nostri, concedunt, offeruntque mœnia, classem, insulas. Ecquæ jam erit ea pax, quam offerre legatos vultis? nonne eam, qua impetratis ab hoste eadem quæ nobis amici concedunt, et, quæ ut nobis concederentur, bellum exorsi fueramus? Et reliqui quidem pacem facturi sunt partem bonorum suorum amittentes, nos vero nova bona, quæ maxime cupimus, insuper accipientes.

24. Ecquid igitur superest, de quo dignum sit deliberari? quænam illa sunt ad quæ Argivi nos invitant? Primum doceri velim, Bœoti si nos deserant, renunciata nobis societate belli initaque cum Lacedæmoniis pace, quanti tum Corinthus facienda nobis sit? (25) Recordamini nempe, quæso, Athenienses, diei illius qua cum Bœotis belli societatem inibamus, quanam id mente faciebamus? nonne existimantes, si Bœotorum copiæ ad nostras accessissent, idoneas fore ad repellendum vel universum genus humanum? Nunc autem deliberemus, ubi a Bœotis deserti fuerimus, utpote cum Lacedæmoniis reconciliatis, quo pacto sperandum sit, ut arma Lacedæmoniorum sustineamus. (26) Næ, aiunt quidam, sustinebimus, Corinthum si

γείους. Ἰόντων δὲ Λακεδαιμονίων εἰς Ἄργος πότερον βοηθήσομεν αὐτοῖς ἢ οὔ; πολλὴ γὰρ ἀνάγκη ὁπότερον τούτων ἑλέσθαι. Μὴ βοηθούντων μὲν οὖν ὑμῶν οὐδὲ λόγος ὑπολείπεται μὴ οὐκ ἀδικεῖν Ἀργείους καὶ ποιεῖν ὁποῖον ἄν τι βούλωνται δικαίως· βοηθούντων δὲ ἡμῶν εἰς Ἄργος οὐχ ἕτοιμον μάχεσθαι Λακεδαιμονίοις; ἵνα ἡμῖν τί γένηται; ἵνα ἡττώμενοι μὲν καὶ τὴν οἰκείαν χώραν ἀπολέσωμεν πρὸς τῇ Κορινθίων, νικήσαντες δὲ τὴν Κορινθίων Ἀργείων ποιήσωμεν. Οὐχ ἕνεκα τούτων πολεμήσομεν; (27) Σκεψώμεθα δὴ καὶ τοὺς Ἀργείων λόγους. Κελεύουσι γὰρ ἡμᾶς κοινῇ μετὰ σφῶν καὶ μετὰ Κορινθίων πολεμεῖν, αὐτοὶ δ' ἰδίᾳ εἰρήνην ποιησάμενοι τὴν χώραν οὐ παρέχουσιν ἐμπολεμεῖν. Καὶ μετὰ μὲν πάντων τῶν συμμάχων τὴν εἰρήνην ποιουμένοις οὐκ ἐῶσιν ἡμᾶς οὐδὲν πιστεύειν Λακεδαιμονίοις· ἃ δὲ πρὸς τούτους μόνους ἐκεῖνοι συνέθεντο, ταῦτ' οὐδεπώποτ' αὐτούς φασι παραβῆναι. Πατρίαν δὲ εἰρήνην ὀνομάζοντες ᾗ χρῶνται, τοῖς δὲ ἄλλοις Ἕλ-
27 λησιν οὐκ ἐῶσι πατρίαν γενέσθαι τὴν εἰρήνην· ἐκ γὰρ τοῦ πολέμου χρονισθέντος Κόρινθον ἑλεῖν προσδοκῶσι, κρατήσαντες δὲ τούτων ὑφ' ὧν ἀεὶ κρατοῦνται, καὶ τοὺς συννικῶντας ἐλπίζουσι παραστήσεσθαι.

28. Τοιούτων δ' ἐλπίδων μετασχόντας ἡμᾶς δεῖ δυοῖν θάτερον ἑλέσθαι, ἢ πολεμεῖν μετὰ Ἀργείων Λακεδαιμονίοις, ἢ μετὰ Βοιωτῶν κοινῇ τὴν εἰρήνην ποιεῖσθαι. Ἐγὼ μὲν οὖν ἐκεῖνο δέδοικα μάλιστα, ὦ Ἀθηναῖοι, τὸ εἰθισμένον κακόν, ὅτι τοὺς κρείττους φίλους ἀφιέντες ἀεὶ τοὺς ἥττους αἱρούμεθα, καὶ πόλεμον ποιούμεθα δι' ἑτέρους, ἐξὸν δι' ἡμᾶς αὐτοὺς εἰρήνην ἄγειν· (29) οἵτινες πρῶτον μὲν βασιλεῖ τῷ μεγάλῳ (χρὴ γὰρ ἀναμνησθέντας τὰ γεγενημένα καλῶς βουλεύσασθαι) σπονδὰς ποιησάμενοι καὶ συνθέμενοι φιλίαν εἰς τὸν ἅπαντα χρόνον, ἃ ἡμῖν ἐπρέσβευσεν Ἐπίλυκος Τισάνδρου, τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφός, ταῦτα Ἀμόργῃ πειθόμενοι τῷ δούλῳ τοῦ βασιλέως καὶ φυγάδι τὴν μὲν βασιλέως δύναμιν ἀπεβαλόμεθα ὡς οὐδενὸς οὖσαν ἀξίαν, τὴν δὲ Ἀμόργου φιλίαν εἱλόμεθα, κρείττω νομίσαντες εἶναι· ἀνθ' ὧν βασιλεὺς ὀργισθεὶς ἡμῖν, σύμμαχος γενόμενος Λακεδαιμονίοις, παρέσχεν αὐτοῖς εἰς τὸν πόλεμον πεντακισχίλια τάλαντα, ἕως κατέλυσεν ἡμῶν τὴν δύναμιν. Ἓν μὲν βούλευμα τοιοῦτον ἐβουλευσάμεθα. (30) Συρακούσιοι δ' ὅτε ἦλθον ἡμῶν δεόμενοι, φιλότητα μὲν ἀντὶ διαφορᾶς ἐθέλοντες εἰρήνην δ' ἀντὶ πολέμου ποιεῖσθαι, τήν τε συμμαχίαν ἀποδεικνύντες ὅσῳ κρείττων ἡ σφετέρα εἴη τῶν Ἐγεσταίων καὶ τῶν Καταναίων, εἰ βουλοίμεθα πρὸς αὐτοὺς ποιεῖσθαι, ἡμεῖς τοίνυν εἱλόμεθα καὶ τότε πόλεμον μὲν ἀντὶ εἰρήνης, Ἐγεσταίους δὲ ἀντὶ Συρακουσίων, στρατεύεσθαι δ' εἰς Σικελίαν ἀντὶ τοῦ μένοντας οἴκοι συμμάχους ἔχειν Συρακουσίους· ἐξ ὧν πολλοὺς μὲν Ἀθηναίων ἀπολέσαντες ἀριστίνδην καὶ τῶν συμμάχων, πολλὰς δὲ ναῦς καὶ χρήματα καὶ δύναμιν ἀποβαλόντες, αἰσχρῶς διεκομίσθησαν οἱ σωθέντες αὐτῶν. (31) Ὕστερον δ' ὑπ' Ἀργείων ἐπείσθημεν, οἵπερ νῦν ἥκουσι πείθοντες

custodiamus Argivosque belli socios si habeamus. Atqui Lacedæmonii Argos si adoriantur, opemne feremus Argivis, necne? Nam necessarium prorsus est ut horum faciamus alterutrum. Si non succurrimus, nullam nobis reliquam faciemus excusationem, quominus Argivis injuriam fecisse videamur, et Argivi jure suo faciant quidquid ipsis placuerit: sin Argivis præsto erimus, nonne nobis erit cum Lacedæmoniis decernendi necessitas? Quo quid fiat? Quo nempe aut victi cum ditione Corinthiaca una nostram amittamus, aut victores Corinthum Argivis tradamus. Nos propter hoc bellabimus? (27) Age, jam Argivorum quoque spectemus causationes. Hortantur nempe nos, ut secum et cum Corinthiis conjuncti belligeremus, ipsi tamen seorsum pro agro suo ab hostilibus incursionibus eximendo stipulantur. Porro Lacedæmoniis, qui cum reliquis sociis nostris pacem fecerunt, nos fidere nolunt; et iidem Argivi negant unquam a Lacedæmoniis pactum esse violatum, quod secum privatim inissent. Avitam sibi pacem hanc appellantes qua utuntur, ceteris Græcis similem esse pacem recusant: scilicet extracto in longum bello, sperant fore ut Corintho potiantur, et, ubi vicerint eos, a quibus nunquam non victi sunt, socios victoriæ in potestatem redigant.

28. Hujusmodi spes participantes vos oportet ex duobus optare alterutrum, aut cum Argivis arma Lacedæmoniis inferre, aut ad exemplum Bœotorum cum iis pacisci. Ego vero magnopere vereor, ne morbus ille noster domesticus etiam nunc nos incessat: solemus enim, melioribus amicis posthabitis, sequiores præferre; aliorumque causa bella gerere, quanquam nostri causa in pace vivere licet. (29) Sic Persarum cum rege (oportet enim recordatione præteritorum adminiculo consiliorum uti) pactis induciis et amicitia in perpetuum duratura, quæ Epilycus Tisandri filius, matris nostræ frater, legatione sua conciliavit, non multo post decepti ab Amorge, servo regis eoque fugitivo, opes regias quasi rem vilem abjecimus, atque amicitiæ cum rege amicitiam cum Amorge prætulimus: qua contumelia rex iratus, Lacedæmoniorum ad partes se transtulit, iisque quinquies mille talenta ad bellum administravit, quo effecit ut nostræ opes convellerentur. Unum hoc erat de scitis nostris. Adde aliud. (30) Syracusani olim aliquando nos per legatos adibant, rogantes ut secum pro simultate amicitiam colere et pro bello pacem gerere mallemus, docentesque, quanto magis e re nostra facturi simus, si secum mallimus, quam cum Egestanis atque Catanæis, belli societatem contrahere. Quid nos tum? Prætulimus nempe paci tum quoque bellum, et Egestanos Syracusanis, et otii domestici quieti qua poteramus gaudere Siculæ molestias expeditionis: quo factum est ut flos juventutis nostræque et sociorum periret, multisque navibus, pecuniis, opibus amissis, pauci superstites cum dedecore domum reverterentur. (31) Postremo, qui nunc Argivi huc venere vobis persuasum nt bellum denuo capessatis, ab iisdem induci nos nuper patiebamur, ut, pace quæ nobis tum cum Lacedæ-

πολεμεῖν, πλεύσαντες ἐπὶ τὴν Λακωνικὴν εἰρήνης ἡμῖν οὔσης πρὸς Λακεδαιμονίους ἐκτεῖναι τὸν θυμόν, ἀρχὴν πολλῶν κακῶν· ἐξ οὗ πολεμήσαντες ἠναγκάσθημεν τὰ τείχη κατασκάπτειν καὶ τὰς ναῦς παραδιδόναι καὶ τοὺς φεύγοντας καταδέχεσθαι. Ταῦτα δὲ πασχόντων ἡμῶν οἱ πείσαντες ἡμᾶς πολεμεῖν Ἀργεῖοι τίνα ὠφέλειαν παρέσχον ἡμῖν; τίνα δὲ κίνδυνον ὑπὲρ τῶν Ἀθηναίων ἐποιήσαντο; (32) Νῦν οὖν τοῦτο ὑπόλοιπόν ἐστιν ἡμῖν, πόλεμον μὲν ἑλέσθαι καὶ νῦν ἀντ' εἰρήνης, τὴν δὲ συμμαχίαν Ἀργείων ἀντὶ τῆς Βοιωτῶν, Κορινθίων δὲ τοὺς νῦν ἔχοντας τὴν πόλιν ἀντὶ Λακεδαιμονίων. Μὴ δῆτα, ὦ Ἀθηναῖοι, μηδεὶς ἡμᾶς ταῦτα πείσῃ· τὰ γὰρ παραδείγματα τὰ γεγενημένα τῶν ἁμαρτημάτων ἱκανὰ τοῖς σώφροσι τῶν ἀνθρώπων ὥστε μηκέτι ἁμαρτάνειν.

33. Εἰσὶ δέ τινες ὑμῶν οἳ τοσαύτην ὑπερβολὴν τῆς ἐπιθυμίας ἔχουσιν εἰρήνην ὡς τάχιστα γενέσθαι· φασὶ γὰρ καὶ τὰς τεσσαράκονθ' ἡμέρας ἐν αἷς ὑμῖν ἔξεστι βουλεύεσθαι περίεργον εἶναι, καὶ τοῦτο ἀδικεῖν ἡμᾶς· αὐτοκράτορας γὰρ πεμφθῆναι εἰς Λακεδαίμονα διὰ ταῦθ', ἵνα μὴ πάλιν ἐπαναφέρωμεν· τήν τε ἀσφάλειαν ἡμῶν τῆς ἐπαναφορᾶς δέος ὀνομάζουσι, λέγοντες ὡς οὐδεὶς πώποτε τὸν δῆμον τῶν Ἀθηναίων ἐκ τοῦ φανεροῦ πείσας ἔσωσεν, ἀλλὰ δεῖ λαθόντας ἢ ἐξαπατήσαντας αὐτὸν εὖ ποιῆσαι. Τὸν λόγον οὖν τοῦτον οὐκ ἐπαινῶ. (34) Φημὶ γάρ, ὦ Ἀθηναῖοι, πολέμου μὲν ὄντος ἄνδρα στρατηγὸν τῇ πόλει τε εὔνουν εἰδότα τε ὅ τι πράττοι, λανθάνοντα δεῖν τοὺς πολλοὺς τῶν ἀνθρώπων καὶ ἐξαπατῶντα ἄγειν ἐπὶ τοὺς κινδύνους, εἰρήνης δὲ πέρι πρεσβεύοντας κοινῆς τοῖς Ἕλλησιν, ἐφ' οἷς ὅρκοι τε ὀμοσθήσονται στῆλαί τε σταθήσονται γεγραμμέναι, ταῦτα δὲ οὔτε λαθεῖν οὔτε ἐξαπατῆσαι δεῖν, ἀλλὰ πολὺ μᾶλλον ἐπαινεῖν ἢ ψέγειν, εἰ πεμφθέντες
28 αὐτοκράτορές τι ἀποδώσομεν ὑμῖν περὶ αὐτῶν σκέψασθαι. Βουλεύσασθαι μὲν οὖν ἀσφαλῶς χρὴ κατὰ δύναμιν, οἷς δ' ἂν ὀμόσωμεν καὶ συνθώμεθα, τούτοις ἐμμένειν. (35) Οὐ γὰρ μόνον, ὦ Ἀθηναῖοι, πρὸς γράμματα τὰ γεγραμμένα δεῖ βλέποντας πρεσβεύειν ἡμᾶς, ἀλλὰ καὶ πρὸς τοὺς τρόπους τοὺς ὑμετέρους. Ὑμεῖς περὶ μὲν τῶν ἑτοίμων ὑμῖν ὑπονοεῖν εἰώθατε καὶ δυσχεραίνειν, τὰ δ' οὐκ ὄντα λογοποιεῖν ὡς ἔστιν ὑμῖν ἕτοιμα· κἂν μὲν πολεμεῖν δέῃ, τῆς εἰρήνης ἐπιθυμεῖτε, ἐὰν δέ τις ὑμῖν τὴν εἰρήνην πράττῃ, λογίζεσθε τὸν πόλεμον ὅσα ἀγαθὰ ὑμῖν κατειργάσατο. (36) Ὅπου καὶ νῦν ἤδη τινὲς λέγουσιν οὐ γινώσκειν τὰς διαλλαγὰς αἵτινές εἰσιν, τείχη καὶ νῆες εἰ γενήσονται τῇ πόλει· τὰ γὰρ ἴδια τὰ σφέτερ' αὐτῶν ἐκ τῆς ὑπερορίας οὐκ ἀπολαμβάνειν, ἀπὸ δὲ τῶν τειχῶν οὐκ εἶναι σφίσι τροφήν. Ἀναγκαίως οὖν ἔχει καὶ πρὸς ταῦτ' ἀντειπεῖν.

37. Ἦν γάρ ποτε χρόνος, ὦ Ἀθηναῖοι, ὅτε τείχη καὶ ναῦς οὐκ ἐκτήμεθα· γενομένων δὲ τούτων τὴν ἀρχὴν ἐποιησάμεθα τῶν ἀγαθῶν. Ὧν εἰ καὶ νῦν ἐπιθυμεῖτε, ταῦτα κατεργάσασθε. Ταύτην δὲ λαβόντες ἀφορ-

moniis erat rescissa, in Laconicam infesta cum classe incurreremus: quo facinore ipsorum irritata ira multorum nobis fuit malorum principium; bellum enim inde exarsit, quo mœnia demoliri, classem hostibus tradere, exules inviti recipere coacti sumus. Harum tantarum cladium in compensationem, ecquod nobis suasores belli Argivi emolumentum attulerunt? ecquod discrimen pro Atheniensibus adierunt? (32) Jam igitur superest ut nunc quoque pro pace bellum optetis, ut Argivos socios habeatis pro Bœotis, ut Corinthiorum factionem illam quæ nunc rerum potitur Lacedæmoniis præferatis. Cavete, Athenienses, ne quis hoc nobis persuadeat: hominum enim parti sapientiori satis est documentorum in exemplis præteritis, ut denuo in eundem incidere errorem devitet.

33. Sed sunt rursus alii, tanto ardore pacis quam citissime contrahendæ inflammati, ut illo ipso quadraginta dierum spatio, quod indultum nobis ad deliberandum fuit, negent quicquam opus esse; neque recte nos agere; nam legatos plena cum potestate propterea Spartam missos esse, ne iterum hac de re ad vos referremus: cautionem nostram metum appellant, negantes unquam fuisse qui sinceritate orationis usus vos e malis eripuisset, verum clandestinis machinationibus atque fraude rebus vestris inserviendum esse dicunt. Quam ego orationem nego mihi probari. (34) Etenim, Athenienses, bello quidem tenente, aio utique imperatorem reip. deditum ejusque rei quam agit certum, oportere consilia sua clam plerumque agitare militesque rerum ignoratione delusos ad discrimina adducere; de pace autem agitantes legatos ea, quæ et cum universa Græcia communicanda sit et jurisjurandi religione sancienda et stelis insculpenda, nego decere ut acta sua occultent atque dolo utantur, imo laudem eos mereri magis quam notam, si, data ipsis potestate nil abusi summam consiliorum ad vos retulerint. Oportet itaque consilia quidem capere quam tutissima, quæ autem semel pacti jurejurando sanxerimus, ea rata præstare. (35) Neque solummodo te norem literarum quas legatis nobis additis, sed simul etiam animorum vestrorum indolem spectare debemus. Soletis enim copias jam præsentes suspectas habere; copias autem quibus caretis jactare, quasi jam iis instructi sitis: ubi bellare referat, ibi pacem appetitis; pacem rursus si quis conciliatum vobis eat, vos bona tum enumeratis quot bellum vobis pepererit; (36) præsertim quum jam nunc sint qui se negent intelligere quidnam prosint ejusmodi pacta, per quæ classis quidem et mœnia nobis restituantur, de restituendis autem sibi suis possessionibus privatis in extero solo sitis, nil caveatur: a mœnibus vero se non pasci. Necessarium igitur est ut ad hæc quoque respondeamus.

37. Erat aliquando tempus, Athenienses, quo mœniis et classe carebamus. Quibus ut primum potiti sumus, fundamenta posuimus bonorum, quorum desiderio si adhuc tenemini, age, comparemus nos quoque nobis eadem, quibus

μὴν οἱ πατέρες ἡμῶν κατειργάσαντο τῇ πόλει δύναμιν τοσαύτην ὅσην οὔπω τις ἄλλη πόλις ἐκτήσατο, τὰ μὲν πείσαντες τοὺς Ἕλληνας, τὰ δὲ λαθόντες, τὰ δὲ πριάμενοι, τὰ δὲ βιασάμενοι· (38) πείσαντες μὲν οὖν Ἀθήνησι ποιήσασθαι τῶν κοινῶν χρημάτων Ἑλληνοταμίας, καὶ τὸν σύλλογον τῶν νεῶν παρ' ἡμῖν γενέσθαι, ὅσαι δὲ τῶν πόλεων τριήρεις μὴ κέκτηνται, ταύταις ἡμᾶς παρέχειν· λαθόντες δὲ Πελοποννησίους ἐτειχίσαμεν τὰ τείχη· πριάμενοι δὲ παρὰ Λακεδαιμονίων μὴ δοῦναι τούτων δίκην· βιασάμενοι δὲ τοὺς ἐναντίους τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργασάμεθα. Καὶ ταῦτα τὰ ἀγαθὰ ἐν ὀγδοήκοντα καὶ πέντε ἡμῖν ἔτεσιν ἐγένετο. (39) Κρατηθέντες δὲ τῷ πολέμῳ τά τε ἄλλα ἀπωλέσαμεν, καὶ τὰ τείχη καὶ τὰς ναῦς ἔλαβον ἡμῶν ἐνέχυρα Λακεδαιμόνιοι, τὰς μὲν παραλαβόντες, τὰ δὲ καθελόντες, ὅπως μὴ πάλιν ταῦτ' ἔχοντες ἀφορμὴν δύναμιν τῇ πόλει κατασκευάσαιμεν. Πεισθέντες τοίνυν ὑφ' ἡμῶν Λακεδαιμόνιοι πάρεισι νυνὶ πρέσβεις αὐτοκράτορες, τά τε ἐνέχυρα ἡμῖν ἀποδιδόντες, καὶ τὰ τείχη καὶ ναῦς ἐῶντες κεκτῆσθαι, τὰς δὲ νήσους ἡμετέρας εἶναι. (40) Τὴν αὐτὴν τοίνυν ἀρχὴν ἀγαθῶν λαμβάνοντας ἥνπερ ἡμῶν ἐλάμβανον οἱ πρόγονοι, ταύτην οὐκ ἀκτέον φασὶ τὴν εἰρήνην τινὲς εἶναι. Παριόντες οὖν αὐτοὶ διδασκόντων ἡμᾶς (ἐξουσίαν δ' αὐτοῖς ἡμεῖς ἐποιήσαμεν, προσθέντες τετταράκοντα ἡμέρας βουλεύσασθαι) τοῦτο μὲν τῶν γεγραμμένων εἴ τι τυγχάνει μὴ καλῶς ἔχον· ἔξεστι γὰρ ἀφελεῖν· τοῦτο δ' εἴ τις προσθεῖναι βούλεται, πείσας ὑμᾶς προσγραψάτω. Πᾶσί τε τοῖς γεγραμμένοις χρωμένοις ἔστιν εἰρήνην ἄγειν. Εἰ δὲ μηθὲν ἀρέσκει τούτων, πολεμεῖν ἕτοιμον. (41) Καὶ ταῦτ' ἐφ' ὑμῖν πάντ' ἐστίν, ὦ Ἀθηναῖοι, τούτων ὅ τι ἂν βούλησθε ἑλέσθαι. Πάρεισι μὲν γὰρ Ἀργεῖοι καὶ Κορίνθιοι διδάξοντες ὡς ἄμεινόν ἐστι πολεμεῖν, ἥκουσι δὲ Λακεδαιμόνιοι πείσοντες ὑμᾶς εἰρήνην ποιήσασθαι. Τούτων δ' ἐστὶ τὸ τέλος παρ' ὑμῖν, ἀλλ' οὐκ ἐν Λακεδαιμονίοις, δι' ἡμᾶς. Πρεσβευτὰς οὖν πάντας ὑμᾶς ἡμεῖς οἱ πρέσβεις ποιοῦμεν· ὁ γὰρ τὴν χεῖρα μέλλων ὑμῶν αἴρειν, οὗτος ὁ πρεσβεύων ἐστίν, ὁπότερ' ἂν αὐτῷ δοκῇ, καὶ τὴν εἰρήνην καὶ τὸν πόλεμον ποιεῖν. Μέμνησθε μὲν οὖν, ὦ Ἀθηναῖοι, τοὺς ἡμετέρους λόγους, ψηφίσασθε δὲ τοιαῦτα ἐξ ὧν ὑμῖν μηδέποτε μεταμελήσει.

majores usi tantam potentiam reip. astruxerunt, quantam alia nulla resp. consecuta est; idque partim persuasione, partim clandestinis machinationibus, partim redemptione, partim vi armorum. (38) Ac persuasione quidem impetrarunt ut quæstores ærarii Græcorum communis hic Athenis constituerentur; ut universæ Græciæ classis, si usus foret, hic in portu nostro conveniret; ut cui civitati triremes propriæ nullæ essent, ei nos earum copiam de nostro faceremus: ignaris porro atque invitis Peloponnesiis mœnia condidimus; cujus fraudis ut nullas daremus pœnas, id a Lacedæmoniis ære nostro redemimus: vi armorum denique adversarios coercentes principatum Græciæ obtinuimus. Atque bona hæc spatio quinque et octoginta annorum parta nobis et usu exercitata sunt. (39) Bello autem fracti, una cum reliquis bonis etiam mœnia perdidimus, classemque nostram pro arrha obsequii nostri ceperunt Lacedæmonii: classem abduxerunt, mœnia demoliri coegerunt, metuentes ne his præsidiis pristinam reip. potentiam restitueremus. Nunc autem Lacedæmonii, oratione nostra permoti, per legatos adsunt plena potestate instructos, et quum arrham nobis nostram reddunt, tum permittunt mœnia rursus habere classemque novam comparare et insulas juris nostri esse. (40) Et quanquam nunc idem secundæ fortunæ principium nanciscamini, quod olim majores vestri nanciscebantur, sunt tamen qui pacem hanc negent pro pace esse habendam. Procedant hi atque doceant (cujus rei copiam iis fecimus, in clausula stipulantes ut spatium dierum quadraginta detur deliberationi), doceant itaque, si quid in scriptis conditionibus minus recte habet; licet enim id expungere: aut si quis adhuc addendum quid censeat, vobis persuasis, id ascribito. Quæcunque ad hunc modum in literas relata fuerint, iis si utemini, pace licebit uti; sin autem horum omnium nihil placet, bello licet decernere. (41) In potestate vestra est, utrum horum voletis, id optare. Adsunt enim Argivi et Corinthii, qui docere contendent, bellum geri expedire; rursus Lacedæmone veniunt legati, ad pacem contrahendam vos adhortaturi. Causæ hujus arbitratio penes vos est, non penes Lacedæmonios; et hoc nostræ debetis cautioni. Jam nos legati, facimus vosmetipsos omnes vestri legatos: quicunque enim mox in suffragando manus attollet, sive pacem sive bellum sciscet, perinde est habendus ac si ipse suo nomine legatione fungeretur. Age jam, decernite ea, quorum vos in posterum nunquam pœniteat.

IV.

29 [ΑΝΔΟΚΙΔΟΥ] ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἀνδοκίδης Ἀλκιβιάδου κατηγορεῖ τοῦ Κλεινίου ὡς καὶ τὰ τῆς πόλεως καὶ τὰ τῶν συμμάχων διαφθείραντος καὶ κατὰ τὸν ἴδιον βίον πλεῖστα ἡμαρτηκότος· τοῦ δὲ δήμου βουλευομένου καὶ αὐτὸν ἐξοστρακίσαι τὸν Ἀνδοκίδην πρῶτον παραγράφεται, λέγων ἤδη ἀπολελογῆσθαι καὶ ἀνεύθυνος εἶναι. Εἰρήκαμεν γὰρ πολλάκις ὅτι δεῖ τὸν τοῖς αὐτοῖς ἐγκλήμασι δοκοῦντα ἐνέχεσθαι πρῶτον ἑαυτὸν ἐλευθεροῦν, εἶτα διαβάλ-

IV.

[ANDOCIDIS] CONTRA ALCIBIADEM.

ARGUMENTUM.

Andocides Alcibiadem Cliniæ filium accusat, quippe qui et urbis et sociorum res pessumdaret, luxurioseque viveret; populoque consultante, ut ipsum Andocidem ostracismo relegaret, primum rejecit, se ipsum jam defendisse dicens innocentemque esse. Sæpe enim dictum est, eum qui suis propriis delictis obnoxius sit, se ipsum primum liberare debere, et tum demum

λειν. Τὴν δὲ στάσιν οἱ μέν φασιν ὁρικὴν εἶναι, οἱ δὲ πραγματικήν. Ἠκριβωμένη δὲ ἡ στάσις κατὰ μὲν τὴν ἀρχὴν μετάληψίς ἐστι (παραγράφεται γάρ), ἐν δὲ τοῖς ὑστέροις πραγματική· δίκαιον γάρ φησι καὶ συμφέρον ἐξοστρακισθῆναι Ἀλκιβιάδην.

Οὐκ ἐν τῷ παρόντι μόνον γιγνώσκω τῶν πολιτικῶν πραγμάτων ὡς σφαλερόν ἐστιν ἅπτεσθαι, ἀλλὰ καὶ πρότερον χαλεπὸν ἡγούμην, πρὶν τῶν κοινῶν ἐπιμελεῖσθαί τινος. Πολίτου δὲ ἀγαθοῦ νομίζω προκινδυνεύειν ἐθέλειν τοῦ πλήθους, καὶ μὴ καταδείσαντα τὰς ἔχθρας τὰς ἰδίας ὑπὲρ τῶν δημοσίων ἔχειν ἡσυχίαν· διὰ μὲν γὰρ τοὺς τῶν ἰδίων ἐπιμελουμένους οὐδὲν αἱ πόλεις μείζους καθίστανται, διὰ δὲ τοὺς τῶν κοινῶν μεγάλαι καὶ ἐλεύθεραι γίγνονται. (2) Ὧν εἷς ἐγὼ βουληθεὶς ἐξετάζεσθαι μεγίστοις περιπέπτωκα κινδύνοις, προθύμων μὲν καὶ ἀγαθῶν ἀνδρῶν ὑμῶν τυγχάνων, δι' ὅπερ σώζομαι, πλείστοις δὲ καὶ δεινοτάτοις ἐχθροῖς χρώμενος, ὑφ' ὧν διαβάλλομαι. Ὁ μὲν οὖν ἀγὼν ὁ παρὼν οὐ στεφανηφόρος, ἀλλ' εἰ χρὴ μηδὲν ἀδικήσαντα τὴν πόλιν δέκα ἔτη φεύγειν· οἱ δ' ἀνταγωνιζόμενοι περὶ τῶν ἄθλων τούτων ἐσμὲν ἐγὼ καὶ Ἀλκιβιάδης καὶ Νικίας, ὧν ἀναγκαῖον ἕνα τῇ συμφορᾷ περιπεσεῖν.

3. Ἄξιον δὲ μέμψασθαι τὸν θέντα τὸν νόμον, ὃς ἐναντία τῷ ὅρκῳ τοῦ δήμου καὶ τῆς βουλῆς ἐνομοθέτησεν· ἐκεῖ μὲν γὰρ ὄμνυτε μηδένα μήτε ἐξελᾶν μήτε δήσειν μήτε ἀποκτενεῖν ἄκριτον, ἐν δὲ τῷδε τῷ καιρῷ οὔτε κατηγορίας γενομένης οὔτε ἀπολογίας ἀποδοθείσης διαψηφισαμένων κρύβδην, τὸν ὀστρακισθέντα τοσοῦτον χρόνον δεῖ στερηθῆναι τῆς πόλεως. (4) Εἶτα ἐν τοῖς τοιούτοις οἱ τοὺς ἑταίρους καὶ συνωμότας κεκτημένοι πλέον φέρονται τῶν ἄλλων· οὐ γὰρ ὥσπερ ἐν τοῖς δικαστηρίοις οἱ λαχόντες κρίνουσιν, ἀλλὰ τούτου τοῦ πράγματος ἅπασιν Ἀθηναίοις μέτεστι. Πρὸς δὲ τούτοις τῷ μὲν ἐλλείπειν, τῷ δ' ὑπερβάλλειν ὁ νόμος μοι δοκεῖ· τῶν μὲν γὰρ ἰδίων ἀδικημάτων μεγάλην τιμωρίαν ταύτην νομίζω, τῶν δὲ δημοσίων μικρὰν καὶ οὐδενὸς ἀξίαν ἡγοῦμαι ζημίαν, ἐξὸν κολάζειν χρήμασι καὶ δεσμῷ καὶ θανάτῳ. (5) Ἔτι δ' εἴ τις διὰ τοῦτο μεθίσταται ὅτι πολίτης ἐστίν, οὗτος οὐδ' ἀπελθὼν ἐνθένδε παύσεται, ἀλλ' ὅπου ἂν οἰχῇ, ταύτην τὴν πόλιν διαφθερεῖ, καὶ τῇδε οὐδὲν ἧττον ἐπιβουλεύσει, ἀλλὰ καὶ μᾶλλον δικαιότερον ἢ πρὶν ἐκβληθῆναι. Οἶμαι δὲ καὶ τοὺς φίλους ὑμῶν ἐν ταύτῃ μάλιστα τῇ ἡμέρᾳ λυπεῖσθαι καὶ τοὺς ἐχθροὺς ἥδεσθαι, συνειδότας ὡς ἂν ἀγνοήσαντες ἐξελάσητε τὸν βέλτιστον, δέκα ἐτῶν ἡ πόλις οὐδὲν ἀγαθὸν ὑπὸ τούτου τοῦ ἀνδρὸς πείσεται. (6) Ῥᾴδιον δὲ καὶ ἐντεῦθεν γνῶναι τὸν νόμον πονηρὸν ὄντα· μόνοι γὰρ αὐτῷ τῶν Ἑλλήνων χρώμεθα, καὶ οὐδεμία τῶν ἄλλων πόλεων ἐθέλει μιμήσασθαι. Καίτοι ταῦτα διέγνωσται ἄριστα τῶν δογμάτων, ἃ καὶ τοῖς πολλοῖς καὶ τοῖς ὀλίγοις ἁρμόττοντα μάλιστα τυγχάνει καὶ πλείστους ἐπιθυμητὰς ἔχει.

7. Περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅ τι δεῖ μακρότερα λέγειν· πάντως οὐδὲν γὰρ ἂν πλεῖον εἰς τὸ παρὸν ποιή-

alios accusare licere. Causam alii definitivam, alii vero negotialem esse dicunt. Accurata quidem causa est, nam a principio translatio est — refellit enim —: in fine vero negotialis: æquum enim dicit et utile, Alcibiadem relegari.

Non nunc solum didici, rempublicam attingere quam sit anceps, verum etiam dudum, antequam partem ullam reip. tractandam mihi sumerem, rem hanc duxi esse perarduam. Verumtamen boni civis hoc autumo esse, ut caput periculis pro multitudine objicere nil dubitet, neque metu privatarum simultatum amandata reip. cura, in otium secedat: per eos enim, qui rerum solummodo suarum privatarum satagunt, civitates nihilo fiunt splendidiores; publica vero negotia qui administranda capessunt, his civitates incrementa sua libertatemque debent. (2) Quorum ego studens in numero haberi, gravissima incidi in discrimina; æquos tamen atque benevolos vos nactus judices, nil metuam, tametsi calumniis inimicorum et plurimorum et teterrimorum exagiter. Agitur itaque hoc certamine, non corona, sed hoc, utrum culpa mihi vacuo patria per decennium carendum sit, necne; comparati mecum sunt hoc in certamine Nicias et Alcibiades: nostrûm ergo unum aliquem necesse est hoc infortunio feriri.

3. Legem hanc testulariam non possum non reprehendere, quæ utrique jurijurando, quum civium, tum senatorum, contraria sanxerit: juratis enim vos neque civitate quenquam esse ejecturos neque in custodiam daturos neque extremo supplicio causa non audita addicturos; in hujusmodi autem causis neque die neque defensione dicta, tabellis clam diditis, condemnato tesseris per tam longum tempus patria carendum est. (4) Deinde vero fieri in his solet, ut ii qui sodalium et conjuratorum numero prævalent, secundiore cum fortuna discedant: non enim sortiti judices disceptant, ut in judiciis, verum universus populus hic intervenit. Præterea lex mihi alia ex parte deficere, ex alia modum excedere videtur: privatorum enim delictorum hæc pœna justo est atrocior; criminum autem ad remp. pertinentium pœnam eam minutam atque contemnendam arbitror esse: poterant enim hæc sive mulcta pecuniaria, sive carcere, sive extremo supplicio castigari. (5) Adde, quod, qui exulare propterea jubetur, quod *malus* civis est, is hac pœna non emendatur; sed corrumpet etiam illam civitatem in quam se ingesserit; nec minus patriæ insidiabitur atque ante fecit quam expelleretur, sed vel magis etiam atque titulo juris speciosiore. Censeo etiam amicos vestros hac maxime ostracismi die dolere, inimicos autem gaudio affici, intelligentes, si per inscitiam vestram contingat ut virum optimum ejiciatis, futurum esse ut resp. ab eo per totum decennium nullum fructum percipiat. (6) Verum hinc quoque facile sit cernere legem hanc malam esse, quod Græcarum omnium civitatum nulla hac lege ad exemplum nostrum uti voluerit. Atqui ea scitorum optima esse dignoscuntur, quæ multis perinde atque paucis conveniant, et in quorum appetitione quam plurimorum certet æmulatio.

7. Verum de his cur pluribus disputem, non video; nihil enim profecto ad rem præsentem profecerimus: hoc

σαιμεν· δέομαι δ' ὑμῶν τῶν λόγων ἴσους καὶ κοινοὺς ἡμῖν ἐπιστάτας γενέσθαι, καὶ πάντας ἄρχοντας περὶ τούτων καταστῆναι, καὶ μήτε τοῖς λοιδορουμένοις μήτε τοῖς ὑπὲρ καιρὸν χαριζομένοις ἐπιτρέπειν, ἀλλὰ τῷ μὲν θέλοντι λέγειν καὶ ἀκούειν εὐμενεῖς εἶναι, τῷ δὲ ἀσελγαίνοντι καὶ θορυβοῦντι χαλεπούς. Ἀκούσαντες γὰρ ἑκάστου τῶν ὑπαρχόντων ἄμεινον βουλεύσεσθε περὶ ἡμῶν.

8. Ἔστι δὲ περὶ τῆς μισοδημίας καὶ τῆς στασιωτείας βραχύς μοι λόγος καταλελειμμένος. Εἰ μὲν γὰρ ἄκριτος ἦν, εἰκότως ἂν τῶν κατηγορούντων ἀκροᾶσθε καὶ ἐμοὶ ἀναγκαῖον ἦν ἀπολογεῖσθαι περὶ τούτων· ἐπειδὴ δὲ τετράκις ἀγωνιζόμενος ἀπέφυγον, οὐκέτι δίκαιον ἡγοῦμαι λόγον οὐδένα περὶ τούτου γίνεσθαι. Πρὶν μὲν γὰρ κριθῆναι οὐ ῥᾴδιον ἦν εἰδέναι τὰς αἰτίας, οὔτ' εἰ ψευδεῖς εἰσιν οὔτ' εἰ ἀληθεῖς· ἀποφυγόντος δὲ ἢ καταγνωσθέντος τέλος ἔχει καὶ διώρισται τούτων ὁπότερόν ἐστιν. (9) Ὥστε δεινὸν νομίζω τοὺς μὲν ἁλόντας μιᾷ ψήφῳ μόνον ἀποθνήσκειν, καὶ τὰ χρήματα δημεύειν αὐτῶν, τοὺς δὲ νικήσαντας πάλιν τὰς αὐτὰς κατηγορίας ὑπομένειν, καὶ τοὺς δικαστὰς ἀπολέσαι μὲν κυρίους εἶναι, σῶσαι δ' ἀκύρους καὶ ἀτελεῖς φαίνεσθαι, ἄλλως τε καὶ τῶν νόμων ἀπαγορευόντων δὶς περὶ τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μὴ ἐξεῖναι δικάζεσθαι, καὶ ὑμῶν ὀμωμοκότων χρῆσθαι τοῖς νόμοις.

10. Ὧν ἕνεκα περὶ ἐμαυτοῦ παραλιπὼν Ἀλκιβιάδου τὸν βίον ἀναμνῆσαι βούλομαι. Καίτοι ἀπορῶ γε διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων πόθεν ἄρξομαι, ἐμποδὼν ἁπάντων ὄντων. Περὶ μὲν οὖν μοιχείας καὶ γυναικῶν ἀλλοτρίων ἁρπαγῆς καὶ τῆς ἄλλης βιαιότητος καὶ παρανομίας καθ' ἕκαστον εἰ δεήσει λέγειν, οὐκ ἂν ἐξαρκέσειεν ὁ παρὼν χρόνος, ἅμα δὲ πολλοῖς ἀπεχθοίμην τῶν πολιτῶν, φανερὰς τὰς συμφορὰς ποιῶν αὐτῶν. Ἃ δὲ περὶ τὴν πόλιν εἴργασται καὶ τοὺς προσήκοντας καὶ τῶν ἄλλων ἀστῶν καὶ ξένων τοὺς ἐντυγχάνοντας, ἀποδείξω. (11) Πρῶτον μὲν οὖν πείσας ὑμᾶς τὸν φόρον ταῖς πόλεσιν ἐξ ἀρχῆς τάξαι τὸν ὑπ' Ἀριστείδου πάντων δικαιότατα τεταγμένον, αἱρεθεὶς ἐπὶ τούτῳ δέκατος αὐτὸς μάλιστα διπλάσιον αὐτὸν ἑκάστῳ τῶν συμμάχων ἐποίησεν, ἐπιδείξας δ' αὑτὸν φοβερὸν καὶ μέγα δυνάμενον, ἰδίας ἀπὸ τῶν κοινῶν προσόδους κατεσκευάσατο. Σκέψασθε δὲ πῶς ἄν τις κακὰ μείζω τούτων κατασκευάσειεν, εἰ τῆς σωτηρίας ἡμῖν πάσης διὰ τῶν συμμάχων οὔσης, ὁμολογουμένως νῦν κάκιον ἢ πρότερον πραττόντων, τὸν φόρον ἑκάστοις διπλάσειεν. (12) Ὥστ' εἴπερ ἡγεῖσθε πολίτην ἀγαθὸν Ἀριστείδην καὶ δίκαιον γεγονέναι, τοῦτον προσήκει κάκιστον νομίζειν ὡς τἀναντία περὶ τῶν πόλεων ἐκείνῳ γινώσκοντα. Τοιγάρτοι διὰ ταῦτα πολλοὶ τὴν πατρίδα τὴν αὑτῶν ἀπολιπόντες φυγάδες γίνονται καὶ εἰς Θουρίους οἰκήσοντες ἀπέρχονται. Δηλώσει δὲ ἡ τῶν συμμάχων ἔχθρα πρῶτον, ὅταν ἡμῖν καὶ Λακεδαιμονίοις γένηται ναυτικὸς πόλεμος. Ἐγὼ δὲ νομίζω τὸν τοιοῦτον πονηρὸν εἶναι προστάτην, ὅστις τοῦ παρόντος χρόνου ἐπιμελεῖται, ἀλλὰ μὴ καὶ τοῦ

autem vos rogo, ut dicendorum æqui et communes velitis arbitri esse, utque vos omnes in his magistratuum vice fungamini, neque conviciorum neque adulationum intemperantiæ locum concedatis, sed composite causam dicenti aures præbeatis propitias, infestas autem insolenti atque clamoso. Quo enim diligentius de uno quoque loco audiveritis, hoc melius vobis licebit de nobis statuere.

8. De odio regiminis popularis deque factiositatis crimine perpauca mihi dicenda reliqua sunt. Quodsi de his nondum subiissem judicium, merito vos accusatores ferretis, mihique defendendi me de his esset necessitas: posteaquam vero jam quattuor e judiciis absolutus discessi, æquum haud arbitror esse denuo me hac de re verba facere. Antea quidem sciri haud facile poterat, verane esset an commentitia criminatio; post dictam vero sententiam sive absolventem sive condemnantem, perempta de his et definita lis est. (9) Grave itaque mihi videtur, reos vel uno tantum suffragio condemnatos capite plecti bonaque eorum publicari; absolutis autem iterum sustinendas esse iisdem de criminibus actiones; et perdendi quidem potestatem penes judices esse, servandi autem irritam atque nullam videri; idque lege vetante, de eodem homine eadem in causa bis judicari, et tametsi vos legibus uti juraveritis.

10. Quamobrem mea persona prætermissa, Alcibiadis mores memoriæ vestræ subjicere volo. Dubius autem hæreo unde ordiar; tot sunt delicta, quæ confertim omnia sese offerunt. Quodsi stupra ejus matronarumque raptus et reliquas hujusmodi contumelias cum violentia conjunctas pacem civilem disturbante, singula omnia commemorare vellem, tempus mihi præfinitum non suffecerit, simulque civium multorum in offensionem sim incursurus, si calamitates eorum domesticas publice exponam: quæ autem in remp. patraverit et in cognatos et civium peregrinorumque obvium quemque, ea demonstrabo. (11) Itaque, ut hinc exordiar, auctor quum vobis fuisset, ut tributorum rationem, quam summa cum æquitate Aristides Græcis civitatibus constituerat, reformaretis: ipse huic rei cum aliis novem præfectus sociis vestris tributa propemodum duplicavit: qua in re quum planum fecisset, quantum posset et quam esset formidandus, vectigalia publica suam in rem intervertit. Jam reputetis, quomodo majus aliquis malum reip. afferre possit, quam si tributa geminata imponat sociis vestris, penes quos omnis vestra salus est, quosque constat nunc esse teteriore loco atque olim fuerunt. (12) Civem itaque bonum et justum fuisse Aristidem si existimatis, convenit ut Alcibiadem habeatis nequissimum, ut qui contraria illi de civitatibus sciverit, ideoque auctor exstiterit, ut multi relicta patria exules fiant et Thurios concedant habitatum. Prodet sese hæc sociorum erga nos simultas, quum primum fiet ut cum Lacedæmoniis bello maritimo committamur. Malum ego eum judico reip. dispensatorem, qui præsentis, non vero etiam futuri temporis habeat

μέλλοντος προνοεῖται, καὶ τὰ ἥδιστα τῷ πλήθει, παραλιπὼν τὰ βέλτιστα, συμβουλεύει. (13) Θαυμάζω δὲ τῶν πεπεισμένων Ἀλκιβιάδην δημοκρατίας ἐπιθυμεῖν, τοιαύτης πολιτείας ἣ μάλιστα [διὰ] κοινότητα δοκεῖ εὑρῆσθαι, οἳ οὐδ' ἀπὸ τῶν ἰδίων αὐτὸν θεῶνται, ὁρῶντες τὴν πλεονεξίαν καὶ τὴν ὑπερηφανίαν, ὃς τὴν Καλλίου γήμας ἀδελφὴν ἐπὶ δέκα ταλάντοις, τελευτήσαντος Ἱππονίκου στρατηγοῦντος ἐπὶ Δηλίῳ ἕτερα τοσαῦτα προσεπράξατο, λέγων ὡς ὡμολόγησεν ἐκεῖνος, ὁπότε παῖς αὐτῷ ἐκ τῆς θυγατρὸς γένοιτο, προσθήσειν ταῦτα. (14) Λαβὼν δὲ τοσαύτην προῖκα ὅσην οὐδεὶς τῶν Ἑλλήνων, οὕτως ὑβριστὴς ἦν, ἐπεισάγων εἰς τὴν αὐτὴν οἰκίαν ἑταίρας, καὶ δούλας καὶ ἐλευθέρας, ὥστ' ἠνάγκασε τὴν γυναῖκα σωφρονεστάτην οὖσαν ἀπολιπεῖν, ἐλθοῦσαν πρὸς τὸν ἄρχοντα κατὰ τὸν νόμον. Οὗ δὴ μάλιστα τὴν αὐτοῦ δύναμιν ἐπεδείξατο· παρακαλέσας γὰρ τοὺς ἑταίρους, ἁρπάσας ἐκ τῆς ἀγορᾶς τὴν γυναῖκα ᾤχετο βίᾳ, καὶ πᾶσιν ἐδήλωσε καὶ τῶν ἀρχόντων καὶ τῶν νό-
31 μων καὶ τῶν ἄλλων πολιτῶν καταφρονῶν. (15) Οὐ τοίνυν ταῦτα μόνον ἐξήρκεσεν, ἀλλὰ καὶ λαθραῖον θάνατον ἐπεβούλευσε Καλλίᾳ, ἵνα τὸν οἶκον τὸν Ἱππονίκου κατάσχοι, ὡς ἐναντίον πάντων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ κατηγόρει· καὶ τὰ χρήματα τῷ δήμῳ ἔδωκεν, εἴ πως τελευτήσειεν ἄπαις, φοβούμενος μὴ διὰ τὴν οὐσίαν ἀπόλοιτο. Καίτοι ὅστις ὑβρίζει γυναῖκα τὴν ἑαυτοῦ καὶ τῷ κηδεστῇ θάνατον ἐπιβουλεύει, τί χρὴ προσδοκᾶν τοῦτον περὶ τοὺς ἐντυχόντας τῶν πολιτῶν διαπράττεσθαι; πάντες γὰρ ἄνθρωποι τοὺς οἰκείους τῶν ἀλλοτρίων ποιοῦνται περὶ πλείονος. Ἀλλὰ μὴν οὐδ' ἔρημος οὐδ' εὐαδίκητός ἐστιν, ἐπεὶ διὰ τὸν πλοῦτον ἔχει πολλοὺς τοὺς βοηθήσοντας. (16) Ὃ δὲ πάντων δεινότατόν ἐστι, τοιοῦτος ὢν ὡς εὔνους τῷ δήμῳ τοὺς λόγους ποιεῖται, αὐτὸς [δ'] ἄλλους ὀλιγαρχικοὺς καὶ μισοδήμους ἀποκαλεῖ· καὶ ὃν ἔδει τεθνάναι διὰ τὰ ἐπιτηδεύματα, κατήγορος τῶν διαβεβλημένων ὑφ' ἡμῶν αἱρεῖται, καί φησι φύλαξ εἶναι τῆς πολιτείας, οὐδενὶ τῶν ἄλλων Ἀθηναίων οὔτ' ἴσον οὔτ' ὀλίγῳ πλέον ἀξιῶν ἔχειν· ἀλλ' οὕτω σφόδρα καταπεφρόνηκεν ὥστε διατετέλεκεν ἀθρόους μὲν ὑμᾶς κολακεύων, ἕνα δ' ἕκαστον προπηλακίζων. (17) Ὃς εἰς τοσοῦτον ἐλήλυθε τόλμης, ὥστε πείσας Ἀγάθαρχον τὸν γραφέα συνεισελθεῖν οἴκαδε, τὴν οἰκίαν ἐπηνάγκασε γράφειν, δεομένου δὲ καὶ προφάσεις ἀληθεῖς λέγοντος, ὡς οὐκ ἂν δύναιτο ταῦτα πράττειν ἤδη διὰ τὸ συγγραφὰς ἔχειν παρ' ἑτέρων, προεῖπεν αὐτῷ δήσειν, εἰ μὴ πάνυ ταχέως γράφοι. Ὅπερ ἐποίησε· καὶ οὐ πρότερον ἀπηλλάγη πρὶν ἀποδρὰς ᾤχετο τετάρτῳ μηνί, τοὺς φύλακας λαθών, ὥσπερ παρὰ βασιλέως. Οὕτω δ' ἀναίσχυντός ἐστιν, ὥστε προσελθὼν ἐνεκάλει αὐτῷ ὡς ἀδικούμενος, καὶ οὐχ ὧν ἐβιάσατο μετέμελεν αὐτῷ, ἀλλ' ὅτι κατέλιπε τὸ ἔργον ἠπείλει, καὶ οὔτε τῆς δημοκρατίας οὔτε τῆς ἐλευθερίας οὐδὲν ἦν ὄφελος· οὐδὲν γὰρ ἧττον ἐδεδήκει τῶν ὁμολογουμένων δούλων. (18) Ἀγανακτῶ δ' ἐνθυμούμενος ὑμῖν μὲν οὐδὲ τοὺς κακούργους ἀσφαλὲς εἰς τὸ δεσμωτήριον ὂν ἀπάγειν, διὰ τὸ χιλίας δραχμὰς

rationem, qui quæ gratissima plebi sunt, non vero quæ utilissima, in concionibus suadere soleat. (13) Miror autem esse qui Alcibiadem democratiæ sive ejus reipublicæ formæ studiosum esse opinentur, quæ præ ceteris ex juris inter omnes æqualitate profecta videtur, quum tamen ne in suis quidem eum a cupiditate et insolentia sibi temperare cernant: quippe qui quum Calliæ sororem in matrimonium duxisset cum dote decem talentorum, mox ubi Hipponicus dux ad Delium cecidit, alia totidem exegit, quæ dicebat Hipponicum promisisse se, si filium filia peperisset, additurum esse. (14) Et quum tantam dotem haberet quantam nullus Græcorum, adeo se gessit insolentem, ut in conjugale domicilium scorta induceret et ingenuæ et servilis conditionis, eoque uxorem adigeret, matronam insignis pudicitiæ, ut domo mariti derelicta ad archontem questum iret, sicuti lex est. Verum ibi vel maxime potentiam suam declaravit Alcibiades: conducta enim satellitum caterva e foro uxorem per vim rapiens abduxit; eoque palam omnibus fecit, et magistratus et leges et cives reliquos a se contemni. (15) Verum ne hic quidem substitit, sed etiam vitæ Calliæ insidiatus est, quo omnes Hipponici facultates obtineret: ejus enim criminis coram vobis in populi concione accusatus est. Porro Callias populum heredem bonorum suorum fecit, si contingeret ipsi ut sine prole decederet; id vero metuens faciebat, ne opes sibi exitium afferrent. Jam vero si quis uxorem suam contumeliis afficit ac vitæ cognati insidiatur, quomodo hunc erga reliquos cives se gesturum exspectare licet? Omnes enim homines plurimi facere solent necessarios. Minime tamen desertus est, ut facile lædi possit: quoniam propter divitias suas adjutores habet quamplurimos. (16) Quod autem omnium est indignissimum, is quum sit Alcibiades, tamen quasi populi studiosus concionatur, aliosque optimatium sectatores et plebem exosos appellitat; et quum ipse capitis damnari ob studia sua deberet, tamen aliorum diffamatorum vel suspectorum publicus accusator a vobis eligitur: idemque regiminis popularis se custodem fert, quum tamen reliquorum Atheniensium neque æqualis neque paululum solummodo superior esse velit; ita autem vos nullo in loco habet ut congregato quidem populo aduletur, singulis vero quibusque civibus insultet. (17) Eoque processit audaciæ, ut Agatharchum pictorem, persuasum secum domum suam venire, coegerit illam picturis exornare; illoque declinante verasque excusationes allegante (se nempe jam aliis operam suam elocasse), comminatus sit carcerem, nisi protinus opus inciperet. Fecit ille imperata, nec antea liberatus est quam quarto demum mense contigisset, ut deceptis custodibus, quasi e regia quadam aufugeret. Et nihilominus Alcibiades tam erat impudens, ut ad Agatharchum accederet, cum eoque velut injuriam passus quereretur, nec ausorum ipsum pœniteret, sed pictorem insuper minis territaret, quod opus affectum destituisset: nihil itaque pictori profuerat, quod civis liberæ civitatis et vir ingenuus esset: haud aliter enim ac si e confesso servus esset, ab Alcibiade detentus erat. (18) Indignor autem reputans vobis ne maleficos quidem tuto licere in carcerem abducere, quoniam mille drachmis ex lege mulctatur qui partem quintam suffragio-

τετάχθαι ἀποτῖσαι ὃς ἂν τὸ πέμπτον μέρος μὴ μεταλάβῃ τῶν ψήφων· ὁ δὲ τοσοῦτον χρόνον εἴρξας καὶ ἐπαναγκάζων γράφειν οὐδὲν κακὸν πέπονθεν, ἀλλὰ διὰ ταῦτα σεμνότερος δοκεῖ καὶ φοβερώτερος εἶναι. Καὶ πρὸς μὲν τὰς ἄλλας πόλεις ἐν τοῖς συμβόλοις συντιθέμεθα μὴ ἐξεῖναι μήθ' εἷρξαι μήτε δῆσαι τὸν ἐλεύθερον· ἐὰν δέ τις παραβῇ, μεγάλην ζημίαν ἐπὶ τούτοις ἔθεμεν· τούτου δὲ τοιαῦτα πράξαντος οὐδεμίαν οὐδεὶς οὔτ' ἰδίαν οὔτε δημοσίαν τιμωρίαν ποιεῖται. (19) Νομίζω δὲ ταύτην εἶναι σωτηρίαν ἅπασι, πείθεσθαι τοῖς ἄρχουσι καὶ τοῖς νόμοις· ὅστις δὲ ὑπερορᾷ ταῦτα, τὴν μεγίστην φυλακὴν ἀνῄρηκε τῆς πόλεως. Δεινὸν μὲν οὖν ἐστι καὶ ὑπὸ τῶν ἀγνοούντων τὰ δίκαια πάσχειν κακῶς, πολὺ δὲ χαλεπώτερον, ὅταν τις ἐπιστάμενος τὰ διαφέροντα παραβαίνειν τολμᾷ· φανερῶς γὰρ ἐνδείκνυται, ὥσπερ οὗτος, οὐκ αὐτὸς τοῖς νόμοις τοῖς τῆς πόλεως, ἀλλ' ὑμᾶς τοῖς αὑτοῦ τρόποις ἀκολουθεῖν ἀξιῶν.

20. Ἐνθυμήθητε δὲ Ταυρέαν, ὃς ἀντιχορηγὸς ἦν Ἀλκιβιάδῃ παισί. Κελεύοντος δὲ τοῦ νόμου τῶν χορευτῶν ἐξάγειν ὃν ἄν τις βούληται ξένον, ἀγωνιζόμενον οὐκ ἐξὸν ἐπιχειρήσαντα κωλύειν, ἐναντίον ὑμῶν καὶ τῶν ἄλλων Ἑλλήνων τῶν θεωρούντων καὶ τῶν ἀρχόντων ἁπάντων παρόντων ἐν τῇ πόλει τύπτων ἐξήλασεν αὐτόν, καὶ τῶν θεατῶν συμφιλονεικούντων ἐκείνῳ καὶ μισούντων τοῦτον, ὥστε τῶν χορῶν τὸν μὲν ἐπαινούντων, τοῦ δ' ἀκροάσασθαι οὐκ ἐθελόντων, οὐδὲν πλεῖον ἔπραξεν· (21) ἀλλὰ τῶν κριτῶν οἱ μὲν φοβούμενοι, οἱ δὲ χαριζόμενοι νικᾶν ἔκριναν αὐτόν, περὶ ἐλάττονος ποιούμενοι τὸν ὅρκον ἢ τοῦτον. Εἰκότως δέ μοι δοκοῦσιν οἱ κριταὶ ὑπέρχεσθαι Ἀλκιβιάδην ὁρῶντες Ταυρέαν τοσαῦτα μὲν χρήματα ἀναλώσαντα προπηλακιζόμενον, τὸν δὲ τοιαῦ-
32 τα παρανομοῦντα μέγιστον δυνάμενον. Αἴτιοι δὲ ὑμεῖς, οὐ τιμωρούμενοι τοὺς ὑβρίζοντας, καὶ τοὺς μὲν λάθρᾳ ἀδικοῦντας κολάζοντες, τοὺς δὲ φανερῶς ἀσελγαίνοντας θαυμάζοντες. (22) Τοιγάρτοι τῶν νέων αἱ διατριβαὶ οὐκ ἐν τοῖς γυμνασίοις, ἀλλ' ἐν τοῖς δικαστηρίοις εἰσί, καὶ στρατεύονται μὲν οἱ πρεσβύτεροι, δημηγοροῦσι δὲ οἱ νεώτεροι, παραδείγματι τούτῳ χρώμενοι, ὃς τηλικαύτας ποιεῖται τῶν ἁμαρτημάτων ὑπερβολάς, ὥστε περὶ τῶν Μηλίων γνώμην ἀποφηνάμενος ἐξανδραποδίζεσθαι, πριάμενος γυναῖκα τῶν αἰχμαλώτων υἱὸν ἐξ αὐτῆς πεποίηται, ὃς τοσούτῳ παρανομωτέρως Αἰγίσθου γέγονεν, ὥστ' ἐκ τῶν ἐχθίστων ἀλλήλοις πέφυκε, καὶ τῶν οἰκειοτάτων ὑπάρχει αὐτῷ τὰ ἔσχατα τοὺς μὲν πεποιηκέναι, τοὺς δὲ πεπονθέναι. Ἄξιον δὲ τὴν τόλμαν αὐτοῦ σαφέστερον ἔτι διελθεῖν. (23) Ἐκ ταύτης γὰρ παιδοποιεῖται τῆς γυναικός, ἣν ἀντ' ἐλευθέρας δούλην κατέστησε, καὶ ἧς τὸν πατέρα καὶ τοὺς προσήκοντας ἀπέκτεινε, καὶ ἧς τὴν πόλιν ἀνάστατον πεποίηκεν ὡς ἂν μάλιστα τὸν υἱὸν ἐχθρὸν ἑαυτῷ καὶ τῇ πόλει ποιήσειε· τοσαύταις ἀνάγκαις κατείληπται μισεῖν. Ἀλλ' ὑμεῖς ἐν μὲν ταῖς τραγῳδίαις τοιαῦτα θεωροῦντες δεινὰ νομίζετε, γινόμενα δ' ἐν τῇ πόλει ὁρῶντες οὐδὲν φροντίζετε. Καίτοι ἐκεῖνα μὲν οὐκ ἐπίστασθε πότερον οὕτω γεγένηται ἢ πέπλασται

rum haud obtinuerit; istum vero, quum civem tamdiu coercitum detinuisset atque pingere coegisset, tamen impunem abire atque eo ipso magnificentiorem videri magisque formidandum. Et reliquis quidem civitatibus, quibuscum de jure commerciorum pacta inimus, recipimus hominem ingenuum neque in custodiam neque in vincula dandum esse; quam legem qui migret, ei ingens mulcta proponitur: ab hoc autem Alcibiade, quanquam ista patravit, nemo pœnam neque privatim neque publice repetit. (19) Ego vero salutem omnium eo contineri puto, ut magistratibus atque legibus cives pareant: quas qui contemnit, firmissimum destruit civitatis præsidium. Acerbum semper est malum accipere vel ab iis qui jura nesciant: multo autem acerbius est, si quis sciens ea quæ summa cuique sunt violare ausit; is enim palam denuntiat, quemadmodum hic, æquum se existimare, non ut ipse patriæ legibus obsecundet, sed ut vos libidini suæ serviatis.

20. Præterea Taureæ casum reputate, qui antichoregus Alcibiadi fuit. Etenim quum lex choreutarum peregrinorum quem quis velit ab orchestra arcendi quidem veniam det, jam certantem autem non sinat vi adhibita prohiberi; tamen Alcibiades ante oculos vestros ceterorumque Græcorum spectatorum, quanquam archontes omnes in urbe aderant, verberibus Tauream e scena expulit; hic vero, etiamsi spectantes Taureæ faverent et Alcibiadem odissent, et illius quidem laudarent chorum, hujus vero audire nollent, nihil tamen inde profecit: (21) nam judices, partim metu Alcibiadis, partim gratia, victorem eum declararunt, minoris facientes jusjurandum suum quam Alcibiadem. Haud absurde enim statuere mihi videor judices gratiam Alcibiadis eblandiri voluisse, videntes Tauream quidem post tanta expensa affectum contumelia, alterum vero in tanto legum contemptu summa gaudentem potestate. Culpa rei penes vos est, qui petulantes pœnis non coercetis, qui clam quid peccantes castigatis, palam autem lascivientes admiramini. (22) Hinc fit ut adolescentes habitent, non in gymnasiis, sed in tribunalibus, ut seniores faciant militiam, juniores in foro concionentur, exemplo utentes Alcibiadis, qui errorum insania adeo furit, ut, postquam ipse persuasisset Melios pro mancipiis vendendos esse, mulierem e captivis sibi emeret filiumque ex ea gigneret, cujus natales magis etiam quam Ægisthi olim erant nefandæ; nam ex infensissimis sibi parentibus natus est, atque conjunctissimos ipsi eos habet, quorum alter intulit, altera passa est extremas injurias. Sed operæ pretium est temeritatem hanc Alcibiadis etiam disertius exponere. (23) Scilicet filium ex ea procreat muliere, quam ex ingenua servam fecerat, cujus patrem necessariosque occiderat, cujus denique patriam desolaverat. Quammaxime igitur consentaneum filium nasciturum et ipsi et huic civitati infestissimum, quum tot necessitatibus odii constrictus teneretur. At enim vero vos talia scelera in tragœdiis spectantes atrocia ducitis; cernentes autem ipsi quum intra mœnia vestra fiunt, pensi non facitis. Quanquam illa ne nostis quidem verane an ficta a

ὑπὸ τῶν ποιητῶν· ταῦτα δὲ σαφῶς εἰδότες οὕτω πεπραγμένα παρανόμως ῥαθύμως φέρετε.

24. Πρὸς δὲ τούτοις τολμῶσί τινες περὶ αὐτοῦ λέγειν ὡς οὐδὲ γεγένηται οὐδεὶς πώποτε τοιοῦτος. Ἐγὼ δὲ νομίζω μέγιστα κακὰ τὴν πόλιν ὑπὸ τούτου πείσεσθαι, καὶ τηλικούτων πραγμάτων εἰς τὸν λοιπὸν χρόνον αἴτιον δόξειν, ὥστε μηδένα τῶν προτέρων ἀδικημάτων μεμνῆσθαι· ἀνέλπιστον γὰρ οὐδὲν τὸν τὴν ἀρχὴν τοῦ βίου τοιαύτην κατασκευασάμενον καὶ τὴν τελευτὴν ὑπερβάλλουσαν ποιήσασθαι. Ἔστι δὲ σωφρόνων ἀνδρῶν φυλάττεσθαι τῶν πολιτῶν τοὺς ὑπεραυξανομένους, ἐνθυμουμένους ὑπὸ τῶν τοιούτων τὰς τυραννίδας καθισταμένας.

25. Ἡγοῦμαι δ' αὐτὸν πρὸς τοῦτο μὲν οὐδὲν ἀντερεῖν, λέξειν δὲ περὶ τῆς νίκης τῆς Ὀλυμπίασι, καὶ περὶ πάντων μᾶλλον ἢ τῶν κατηγορηθέντων ἀπολογήσεσθαι. Ἐξ αὐτῶν δὲ τούτων ἐπιδείξω αὐτὸν ἐπιτηδειότερον τεθνάναι μᾶλλον ἢ σώζεσθαι. Διηγήσομαι δ' ὑμῖν. (26) Διομήδης ἦλθε ζεῦγος ἵππων ἄγων Ὀλυμπίαζε, κεκτημένος μὲν οὐσίαν μετρίαν, στεφανῶσαι δὲ ἀπὸ τῶν ὑπαρχόντων τὴν πόλιν καὶ τὴν οἰκίαν βουλόμενος, λογιζόμενος τοὺς ἀγῶνας τοὺς ἱππικοὺς τύχῃ τοὺς πλείστους κρινομένους. Τοῦτον Ἀλκιβιάδης πολίτην ὄντα καὶ οὐ τὸν ἐπιτυχόντα, δυνάμενος παρὰ τοῖς ἀγωνοθέταις τῶν Ἠλείων, ἀφελόμενος αὐτὸς ἠγωνίζετο. Καίτοι τί ἂν ἐποίησεν, εἴ τις τῶν συμμάχων τῶν ὑμετέρων ἀφίκετο ζεῦγος ἵππων ἔχων; (27) Ἦ που ταχέως ἐπέτρεψεν ἂν ἀνταγωνίζεσθαι ἑαυτῷ, ὃς Ἀθηναῖον ἄνδρα βιασάμενος τοῖς ἀλλοτρίοις ἐτόλμησεν ἵπποις ἁμιλλᾶσθαι, δηλώσας τοῖς Ἕλλησι μηδὲν θαυμάζειν ἄν τινα αὐτῶν βιάσηται, ἐπεὶ καὶ τοῖς πολίταις οὐκ ἐξ ἴσου χρῆται, ἀλλὰ τοὺς μὲν ἀφαιρούμενος, τοὺς δὲ τύπτων, τοὺς δὲ εἰργνύων, τοὺς δὲ χρήματα πραττόμενος, οὐδενὸς ἀξίαν τὴν δημοκρατίαν ἀποφαίνει, τοὺς μὲν λόγους δημαγωγοῦ, τὰ δ' ἔργα τυράννου παρέχων, καταμαθὼν ὑμᾶς τοῦ μὲν ὀνόματος φροντίζοντας, τοῦ δὲ πράγματος ἀμελοῦντας. (28) Τοσοῦτον δὲ διαφέρει Λακεδαιμονίων, ὥστ' ἐκεῖνοι μὲν καὶ ὑπὸ τῶν συμμάχων ἀνταγωνιζομένων ἀνέχονται ἡττώμενοι, οὗτος δὲ οὐδ' ὑπὸ τῶν πολιτῶν, ἀλλὰ φανερῶς εἴρηκεν οὐκ ἐπιτρέψειν τοῖς ἀντεπιθυμοῦσί τινος. Εἶτ' ἐκ τῶν τοιούτων ἀναγκαῖον τὰς πόλεις τῶν ἡμετέρων πολεμίων ἐπιθυμεῖν, ἡμᾶς δὲ μισεῖν. (29) Ἵνα δὲ μὴ μόνον Διομήδην, ἀλλὰ καὶ τὴν πόλιν ὅλην ὑβρίζων ἐπιδείξειε, τὰ πομπεῖα παρὰ τῶν ἀρχιθεωρῶν αἰτησάμενος ὡς εἰς τἀπινίκια τῇ προτεραίᾳ τῆς θυσίας χρησόμενος, ἐξηπάτησε καὶ ἀποδοῦναι οὐκ ἤθελε, βουλόμενος τῇ ὑστεραίᾳ πρότερος τῆς πόλεως χρήσασθαι τοῖς χρυσοῖς χερνιβίοις καὶ θυμιατηρίοις. Ὅσοι μὲν οὖν τῶν ξένων μὴ ἐγίνωσκον ἡμέτερα ὄντα, τὴν πομπὴν τὴν κοινὴν ὁρῶντες ὑστέραν οὖσαν τῆς Ἀλκιβιάδου τοῖς τούτου πομπείοις χρῆσθαι ἐνόμιζον ὑμᾶς· ὅσοι δὲ ἢ παρὰ τῶν πολιτῶν ἤκουον ἢ καὶ ἐπεγίνωσκον τὰ τούτου, κατεγέλων ἡμῶν, ὁρῶντες ἕνα ἄνδρα μεῖζον ἁπάσης τῆς πόλεως δυνάμενον.

poetis sint: hæc autem certo quum sciatis fieri contra jus et fas, tamen æquo fertis animo.

24. Adde quod sint qui de Alcibiade affirmare audeant, nunquam fuisse virum tam admirabilem. Ego vero censeo, neminem unquam magis in patriæ pestem natum esse, tantorumque hunc ei malorum fore auctorem, ut pristinorum memoria prorsus evanescat: alienum enim a probabili exspectatione non est, ut, tale qui sibi vitæ principium instituerit, is abnormi quoque exitu ejus utatur. Sed est hominum sapientium, ut incrementa civium modum excedentia præcaveant, reputantes secum, a talibus tyrannidas constitui.

25. Et ad hæc quidem nihil, opinor, Alcibiades respondebit: at afferet victoriam suam Olympiacam et alia potius omnia, quam ut ea purget quorum incusatur. Verum ex his ipsis planum faciam eum multo esse digniorem, qui morte mulctetur, quam qui servetur. Rem vobis narrabo a principio. (26) Diomedes ad Olympiam venit par equorum agens, et e re familiari, quamvis illa mediocri, tamen decus patriæque domuique suæ parere studens, quippe qui secum reputaret equestria certamina sorte fortuita solere disceptari. Huic Diomedi itaque, tametsi civis vester is esset neque de contemptis, Alcibiades gratia apud Eleorum munerarios pollens equos illos per vim extorsit et ipse certamen peregit. Quid eum facturum existimatis fuisse, si quis sociorum vestrorum cum bigis ad Olympiam venisset? (27) Unquamne is permissurus fuisse vobis videtur, ut sociorum quisquam secum certaret, qui vim Atheniensi civi inferre et sic alienis equis certare nullus dubitavit? quo Græcos docuit nil mirari, si quem eorum injuriis vexet, quippe qui ne civibus quidem suis ex æquo utatur, sed aliis bona eripiens, alios verberibus concidens, alios domi suæ coercitos tenens, ab aliis pecunias extorquens, declarat rem nihili esse democratiam vestram; qui verbis demagogum, gestis tyrannum se gerit, bene gnarus vos vocabuli (democratiæ) præstigiis intentos, rem ipsam insuper habere. (28) Multum differt a Lacedæmoniis Alcibiades: illi enim in ludorum certaminibus æquo ferunt animo a sociis se vinci, hic autem vel a cive vinci noluit, sed palam negavit se cuiquam concessurum, quem juvet secum in contentionem ullius rei descendere. Ex hujusmodi autem moribus necessario consequitur ut civitates animos ad partes inimicorum vestrorum transferant, vos ipsos odio habeant. (29) Verum ut non Diomedi solum, sed universæ etiam civitati se illudere declararet, vasa, quæ in pompa ferri solent, a præfectis legationis vestræ commodato petebat tanquam iis usurus die qui sacrificium præcederet ad epulum propter victoriam partam ipsi exhibendum; verum decipiebat legatos; die enim postero malluvia atque thuribula reddere recusabat, quo ipse illis prior uteretur, quam legati nomine vestræ reip. iis uti possent. Quo factum est ut peregrinorum si qui rei veritatem ignorarent, videntes pompam reip. succedentem pompæ ab Alcibiade productæ, opinarentur legatos vasis uti ab Alcibiade mutuo acceptis; aut si qui tamen eorum sive rei veritatem a civibus vestris accepissent, sive ipsi per se jam nossent mores Alcibiadis, hi vos riderent, qui unum virum plus cuncta civitate posse sineretis.

30. Σκέψασθε δὲ καὶ τὴν ἄλλην ἀποδημίαν τὴν εἰς Ὀλυμπίαν ὡς διέθετο. Τούτῳ σκηνὴν μὲν Περσικὴν Ἐφέσιοι διπλασίαν τῆς δημοσίας ἔπηξαν, ἱερεῖα δὲ καὶ τοῖς ἵπποις ἐφόδια Χῖοι παρεσκεύασαν, οἶνον δὲ καὶ τὰ ἄλλα ἀναλώματα Λεσβίοις προσέταξε. Καὶ οὕτως εὐτυχής ἐστιν ὥστε τοὺς Ἕλληνας τῆς παρανομίας καὶ τῆς δωροδοκίας μάρτυρας κεκτημένος οὐδεμίαν δέδωκε δίκην· (31) ἀλλὰ ὁπόσοι μὲν ἄρχοντες ἐν μιᾷ πόλει γεγένηνται, ὑπεύθυνοί εἰσιν, ὁ δὲ πάντων τῶν συμμάχων καὶ χρήματα λαμβάνων οὐδενὸς τούτων ὑπόδικός ἐστιν, ἀλλὰ τοιαῦτα διαπεπραγμένος σίτησιν ἐν Πρυτανείῳ ἔλαβε, καὶ προσέτι πολλῇ τῇ νίκῃ χρῆται, ὥσπερ οὐ πολὺ μᾶλλον ἠτιμακὼς ἢ ἐστεφανωκὼς τὴν πόλιν. Εἰ δὲ βούλεσθε σκοπεῖν, εὑρήσετε πολλὰ τῶν τούτῳ πεπραγμένων ἕκαστον ὀλίγον χρόνον πράξαντάς τινας ἀναστάτους τοὺς οἴκους ποιήσαντας· οὗτος δ' ἐπιτηδεύων ἅπαντα πολυτελέστατα διπλασίαν οὐσίαν κέκτηται. (32) Καίτοι ὑμεῖς γε νομίζετε τοὺς φειδομένους καὶ τοὺς ἀκριβῶς διαιτωμένους φιλοχρημάτους εἶναι, οὐκ ὀρθῶς γινώσκοντες· οἱ γὰρ μεγάλα δαπανώμενοι πολλῶν δεόμενοι αἰσχροκερδέστατοί εἰσιν. Αἴσχιστον δὲ φανήσεσθε ποιοῦντες, εἰ τοῦτον μὲν ἀγαπᾶτε τὸν ἀπὸ τῶν ὑμετέρων χρημάτων ταῦτα κατεργασάμενον, Καλλίαν δὲ τὸν Διδυμίου, τῷ σώματι νικήσαντα πάντας ἀγῶνας τοὺς στεφανηφόρους, ἐξωστρακίσατε, πρὸς τοῦτον οὐδὲν ἀποβλέψαντες, ὃς ἀπὸ τῶν ἑαυτοῦ πόνων ἐτίμησε τὴν πόλιν. (33) Ἀναμνήσθητε δὲ καὶ τοὺς προγόνους, ὡς ἀγαθοὶ καὶ σώφρονες ἦσαν, οἵτινες ἐξωστράκισαν Κίμωνα διὰ παρανομίαν, ὅτι τῇ ἀδελφῇ τῇ ἑαυτοῦ συνῴκησε. Καίτοι οὐ μόνον αὐτὸς ὀλυμπιονίκης ἦν, ἀλλὰ καὶ ὁ πατὴρ αὐτοῦ Μιλτιάδης. Ἀλλ' ὅμως οὐδὲν ὑπελογίζοντο τὰς νίκας· οὐ γὰρ ἐκ τῶν ἀγώνων, ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων ἔκρινον αὐτόν.

34. Ἀλλὰ μὴν εἰ δεῖ κατὰ γένος σκοπεῖν, ἐμοὶ μὲν οὐδαμόθεν προσήκει τούτου τοῦ πράγματος, οὐδὲ ἔστιν οὐδεὶς ὅστις ἂν ἀποδείξειε τῶν ἡμετέρων οὐδένα τῇ συμφορᾷ ταύτῃ χρησάμενον, Ἀλκιβιάδῃ δὲ μάλιστα πάντων Ἀθηναίων. Καὶ γὰρ ὁ τῆς μητρὸς πατὴρ Μεγακλῆς καὶ ὁ πάππος Ἀλκιβιάδης [δὶς] ἐξωστρακίσθησαν ἀμφότεροι, ὥστ' οὐδὲν θαυμαστὸν οὐδ' ἄτοπον πείσεται τῶν αὐτῶν τοῖς προγόνοις ἀξιούμενος. Καὶ μὴν οὐδ' ἂν αὐτὸς ἐπιχειρήσειεν ἀντειπεῖν ὡς οὐ τῶν ἄλλων ἐκεῖνοι παρανομώτατοι ὄντες τούτου σωφρονέστεροι καὶ δικαιότεροι ἦσαν, ἐπεὶ τῶν γε τούτῳ πεπραγμένων οὐδ' ἂν εἷς ἀξίως κατηγορῆσαι δύναιτο.

35. Νομίζω δὲ καὶ τὸν θέντα τὸν νόμον ταύτην τὴν διάνοιαν ἔχειν· ἀποβλέψαντα τῶν πολιτῶν πρὸς τοὺς κρείττους τῶν ἀρχόντων καὶ τῶν νόμων, ἐπειδὴ παρὰ τῶν τοιούτων οὐκ ἔστιν ἰδίᾳ δίκην λαβεῖν, δημοσίαν τιμωρίαν ὑπὲρ τῶν ἀδικουμένων κατασκευάσαι. Ἐγὼ τοίνυν ἔν τε τῷ κοινῷ κέκριμαι τετράκις, ἰδίᾳ τε οὐδένα διεκώλυσα δικάζεσθαι βουλόμενον· Ἀλκιβιάδης δὲ τοιαῦτα ἐργασάμενος οὐδεμίαν πώποτε δίκην ὑποσχεῖν ἐτόλμησεν. (36) Οὕτω γὰρ χαλεπός ἐστιν, ὥστ' οὐ περὶ

30. Spectate etiam qualem reliquo tempore, per quod ad Olympiam degebat, sese gesserit. Ephesii ei tentorium exstruxerunt duplo majus quam erat vobis exstructum; carnes ad sacrificia atque epulas et pabula equis Chii præbuerunt; vini præbitionem ceterorumque sumptuum imperavit Lesbiis. Atque tam prospere ipsi res succedunt, ut, quanquam cunctos habet Græcos insolentiæ suæ testes, pœnas tamen ad hoc diei nullas dederit. (31) Reliqui quidem magistratus quotquot vel in una sola civitate honores gessere, tenentur rationem administrationis suæ vobis reddere; hic autem, tametsi omnium sociorum *res pessime administraverit* pecuniasque ab iis acceperit, nulli pro his pœnæ obnoxius est, sed hoc tantorum facinorum tulit præmium, ut in Prytaneo epuletur, et præterea in illa sese victoria jactet, quasi non remp. multo magis infamasset quam coronasset. Sin considerare vultis, reperietis paucos quosdam, multa similia his ab Alcibiade factis per breve tempus facientes, singulos rem familiarem pessumdedisse: contra hic, etsi sumptuosissima omnia agens, tamen rem duplicavit. (32) Soletis vos quidem parce victitantes et ad rem augendam attentos, pecuniarum cupidos appellitare; sed fallimini: nemo lucri cupidior quam ganeones: hi quo pluribus indigent, hoc fœdiore cum aviditate pecunias conquirunt. Facinus itaque edituri sitis fœdissimum, si caritate amplectamini hunc, qui vestris opibus abusus ista commisit, postquam vos iidem Calliam Didymii filium, corpore suo in omnibus ludis coronariis victorem, testulario judicio urbe ejecissetis, pensi non facientes, quod laboribus suis gloriam reipublicæ peperisset. (33) Recordamini quoque fortitudinis et sanctimoniæ majorum vestrorum, qui Cimonem, quod contra legem sororem in matrimonio haberet, urbe jusserunt emigrare, tametsi non Cimon solum, sed etiam pater ejus Miltiades ludis Olympicis vicissent: verum pensi non faciebant illas victorias; neque e ludis, sed e studiis quemque judicabant.

34. Gentes porro nostras si spectetis, nullo modo mihi conveniet genus hoc pœnæ: non enim facile sit qui doceat, in gente mea ullum unquam fuisse ea usum calamitate, ut per testulas urbe expelleretur; Alcibiadi autem magis hoc quam ulli Atheniensium convenit. Nam et maternus ejus avus Megacles et paternus ipsi cognominis ostracismo pulsi sunt; quocirca nil mirandum ei accidet, si idem honos etiam ipsi decernatur. Neque ipse Alcibiades infitiari ausit, hos majores suos, quamvis æqualium suorum flagitiosissimi fuerint, se tamen sapientiores atque justiores fuisse; hujus enim Alcibiadis tot sunt et tanta scelera, ut nemo ea pro dignitate rei oratione notare valeat.

35. Et legem hanc testulariam qui tulit, ille mihi videtur eam tulisse eos ad cives respiciens, qui potentia sua magistratus legesque prægravant, et quia ab præpotentibus istis privatim pœnas repetere haud queas, ideo ab universa civitate pœnam iis irrogandam constituisse. Jam quod me attinet, quater ego judicium in publico sustinui, et privatim si quis mecum experiri jure voluit, nunquam impedivi: Alcibiades autem, tot facinorum reus, a se tamen impetrare non potuit ut vel unius criminis pœnam cuiquam daret. (36) Est nempe tam truculentus, ut præteritarum

τῶν παρεληλυθότων ἀδικημάτων αὐτὸν τιμωροῦνται, ἀλλ' ὑπὲρ τῶν μελλόντων φοβοῦνται, καὶ τοῖς μὲν πεπονθόσι κακῶς ἀνέχεσθαι λυσιτελεῖ, τούτῳ δὲ οὐκ ἐξαρ-
34 κεῖ, εἰ μὴ καὶ τὸ λοιπὸν ὅ τι ἂν βούληται διαπράξεται. Καίτοι οὐ δήπου, ὦ Ἀθηναῖοι, ὀστρακισθῆναι μὲν ἐπιτήδειός εἰμι, τεθνάναι δὲ οὐκ ἄξιος, οὐδὲ κρινόμενος μὲν ἀποφυγεῖν, ἄκριτος δὲ φεύγειν, οὐδὲ τοσαυτάκις ἀγωνιζόμενος καὶ νικήσας δικαίως πάλιν δόξαιμι δι' ἐκεῖνα ἐκπεσεῖν. (37) Ἀλλὰ γὰρ ἴσως μετὰ μικρᾶς διαβολῆς ἢ φαύλων κατηγόρων ἢ διὰ τῶν ἐπιτυχόντων ἐχθρῶν ἐκινδύνευον, ἀλλ' οὐ διὰ τῶν ἐρρωμενεστάτων καὶ λέγειν καὶ πράττειν, οἵτινες δύο τῶν τὴν αὐτὴν αἰτίαν ἐχόντων ἐμοὶ ἀπέκτειναν. Οὔκουν τοὺς τοιούτους δίκαιον ἐκβάλλειν, οὓς πολλάκις ἐλέγχοντες εὑρίσκετε μηδὲν ἀδικοῦντας, ἀλλὰ τοὺς μὴ θέλοντας ὑποσχεῖν τῇ πόλει περὶ τοῦ βίου λόγον. (38) Δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ μέν τις ἀπολογεῖσθαι ἀξιώσειεν ὑπὲρ τῶν ἀποθανόντων ὡς ἀδίκως ἀπολώλασιν, οὐκ ἂν ἀνασχέσθαι τῶν ἐπιχειρούντων· εἰ δέ τις τῶν ἀποφυγόντων πάλιν περὶ τῆς αὐτῆς αἰτίας κατηγορεῖ, πῶς οὐ δίκαιον περὶ τοὺς ζῶντας καὶ τοὺς τεθνηκότας τὴν αὐτὴν γνώμην ἔχειν; (39) Ἔστι μὲν οὖν Ἀλκιβιάδου μήτε αὐτὸν τῶν νόμων καὶ τῶν ὅρκων φροντίζειν, ὑμᾶς τε παραβαίνειν ἐπιχειρεῖν διδάσκειν, καὶ τοὺς μὲν ἄλλους ἐκβάλλειν καὶ ἀποκτείνειν ἀνηλεῶς, αὐτὸν δὲ ἱκετεύειν καὶ δακρύειν οἰκτρῶς. Καὶ ταῦτα μὲν οὐ θαυμάζω· πολλῶν γὰρ αὐτῷ κλαυμάτων ἄξια εἴργασται· ἐνθυμοῦμαι δὲ τίνας ποτὲ καὶ πείσει δεόμενος, πότερα τοὺς νεωτέρους, οὓς πρὸς τὸ πλῆθος διαβέβληκεν ἀσελγαίνων καὶ τὰ γυμνάσια καταλύων καὶ παρὰ τὴν ἡλικίαν πράττων, ἢ τοὺς πρεσβυτέρους, οἷς οὐδὲν ὁμοίως βεβίωκεν, ἀλλὰ τῶν ἐπιτηδευμάτων αὐτῶν καταπεφρόνηκεν; (40) Οὐ μόνον δὲ αὐτῶν ἕνεκα τῶν παρανομούντων, ἵνα δίκην διδῶσιν, ἐπιμελεῖσθαι ἄξιον, ἀλλὰ καὶ τῶν ἄλλων, ὅπως τούτους ὁρῶντες δικαιότεροι καὶ σωφρονέστεροι γίνωνται. Ἐμὲ μὲν τοίνυν ἐξελάσαντες τοὺς βελτίστους περιδεεῖς καταστήσετε, τοῦτον δὲ κολάσαντες τοὺς ἀσελγεστέρους νομιμωτέρους ποιήσετε.

41. Βούλομαι δ' ὑμᾶς ἀναμνῆσαι τῶν ἐμοὶ πεπραγμένων. Ἐγὼ γὰρ πρεσβεύσας εἰς Θετταλίαν καὶ Μακεδονίαν καὶ εἰς Μολοσσίαν καὶ εἰς Θεσπρωτίαν καὶ εἰς Ἰταλίαν καὶ εἰς Σικελίαν, τοὺς μὲν διαφόρους ὄντας διήλλαξα, τοὺς δ' ἐπιτηδείους ἐποίησα [ἐβεβαίωσα?], τοὺς δ' ἀπὸ τῶν ἐχθρῶν ἀπέστησα. Καίτοι εἰ τῶν πρωτευόντων ἕκαστος τὰ αὐτὰ ἐποίησεν, ὀλίγους ἂν πολεμίους εἴχετε καὶ πολλοὺς συμμάχους ἐκέκτησθε. (42) Περὶ δὲ τῶν λειτουργιῶν οὐκ ἀξιῶ μεμνῆσθαι, πλὴν κατὰ τοσοῦτον, ὅτι τὰ προστραττόμενα δαπανῶ οὐκ ἀπὸ τῶν κοινῶν, ἀλλ' ἀπὸ τῶν ἰδίων. Καίτοι τυγχάνω νενικηκὼς εὐανδρίᾳ καὶ λαμπάδι καὶ τραγῳδοῖς, οὐ τύπτων τοὺς ἀντιχορηγοῦντας, οὐδ' αἰσχυνόμενος εἰ τῶν νόμων ἔλαττον δύναμαι. Τοὺς οὖν τοιούτους τῶν πολιτῶν πολὺ μᾶλλον ἐπιτηδείους ἡγοῦμαι μένειν ἢ φεύγειν.

injuriarum pœnas ab eo repetere non audeant, sed futuras potius injurias metuant: mala qui ab eo acceperunt, hi expedire sibi judicant, ut ne mussent quidem; Alcibiades autem parum sibi videtur egisse, nisi perfecerit, ut in posterum quoque impune sibi sit quicquid voluerit agere. Itane vero, Athenienses, ego exilio dignus habebor, qui mortis pœna indignus habitus fuerim? in judicio absolutus, nunc patriam fugere cogar, indicta causa? ex tot certaminibus forensibus victor et jure quidem factus, nunc ob id ipsum rursus exilio puniendus videbor? (37) Forte dicat aliquis, in illis judiciis exiguam mihi commotam fuisse invidiam, accusatores tum insurrexisse contemnendos, ab inimicis levibus in discrimen adductum me tum fuisse: ego vero ab inimicis exagitatus tum fui valentissimis et facundia et usu rerum agendarum, qui alios duos, ejusdem mecum criminis reos, morte damnarunt. Haud itaque vos decet eos homines ejicere, quos, quamvis sæpius accusatos, nihil tamen deliquisse reperistis; sed eos, qui vitæ suæ rationem reddere postulati recusant. (38) Res enimvero iniqua, puto, est, vos minime quidem ferre, si quis capitis condemnatos postmodum defendere, utpote injusta sententia neci traditos, audeat; contra autem concedere vos, si quis jam absolutos eorundem criminum iterum velit incusare. Nonne fas est de vivis vos idem atque de mortuis statuere? (39) Decet quidem Alcibiadem, ut, quemadmodum ipse neque legum neque jurisjurandi rationem ullam habet, ita vos quoque conetur ad rerum earum violationem adducere: porro ut, quemadmodum alios sine misericordia expellit vel occidit, ita ipse vos supplicationibus lacrimisque lamentabilem in modum profundendis expugnet. Non miror hoc in eo, qui facinora uberrimis digna lacrimis perpetravit: at circumspicio quinam sint, quos speret a se precibus flectendos. Junioresne? quos apud plebem in invidiam adduxit insolentia sua et gymnasiorum dissolutione atque iis quæ juventuti suæ haud convenientia agere solet. Num seniores? a quorum moribus suos habuit quam dissitissimos, et quorum studia contempsit. (40) Neque vero solummodo habenda est ipsorum peccantium ratio, ut hi scilicet pœnas dent meritas, sed hoc quoque spectandum est, ut reliqui, quum sontes plecti vident, eo justitiæ atque temperantiæ studiosiores reddantur. Quodsi ergo me expuleritis, meticulosos facietis cives optimos; sin autem Alcibiadem pœna affeceritis, petulantibus majorem legum reverentiam injicietis.

41. Superest ut res a me gestas in memoriam vobis revocem. Legationibus ad Thessalos, ad Macedonas, ad Molossos, ad Thesprotos, in Italiam denique Siciliamque obeundis, effeci ut alios dissidentes vobis reconciliarem, alios qui amici vobis essent, in fide confirmarem, alios denique ab hostium vestrorum partibus avocarem. Quodsi optimatium unusquisque idem fecisset, næ perpaucos nunc haberetis hostes et socios vobis permultos acquisivissetis. (42) De muneribus a me editis piget commemorare, nisi hactenus, ut aiam, imperata me exsequi, sumptus facientem non ex ærario publico, sed e re mea privata. Victorias reportavi, unam titulo fortitudinis virilis, aliam in cursu cum facibus ardentibus, tertiam in choris tragicis, non cædens antichoregos, neque pudori mihi ducens, me minus quam leges valere. Tales ego cives multo aio esse digniores, qui in urbe manere quam qui emigrare jubeantur.

ΛΥΣΙΑΣ.

I.

91 ΥΠΕΡ ΤΟΥ ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΦΟΝΟΥ ΑΠΟΛΟΓΙΑ.

Περὶ πολλοῦ ἂν ποιησαίμην, ὦ ἄνδρες, τὸ τοιούτους ὑμᾶς ἐμοὶ δικαστὰς περὶ τούτου τοῦ πράγματος γενέσθαι, οἷοίπερ ἂν ὑμῖν αὐτοῖς εἴητε τοιαῦτα πεπονθότες· εὖ γὰρ οἶδ' ὅτι, εἰ τὴν αὐτὴν γνώμην περὶ τῶν ἄλλων ἔχοιτε ἥνπερ περὶ ὑμῶν αὐτῶν, οὐκ ἂν εἴη ὅστις οὐκ ἐπὶ τοῖς γεγενημένοις ἀγανακτοίη, ἀλλὰ πάντες ἂν περὶ τῶν τὰ τοιαῦτα ἐπιτηδευόντων τὰς ζημίας μι-
92 κρὰς ἡγοῖσθε. (2) Καὶ ταῦτα οὐκ ἂν εἴη μόνον παρ' ὑμῖν οὕτως ἐγνωσμένα, ἀλλ' ἐν ἁπάσῃ τῇ Ἑλλάδι· περὶ τούτου γὰρ μόνου τοῦ ἀδικήματος καὶ ἐν δημοκρατίᾳ καὶ ὀλιγαρχίᾳ ἡ αὐτὴ τιμωρία τοῖς ἀσθενεστάτοις πρὸς τοὺς τὰ μέγιστα δυναμένους ἀποδέδοται, ὥστε τὸν χείριστον τῶν αὐτῶν τυγχάνειν τῷ βελτίστῳ· οὕτως, ὦ ἄνδρες, ταύτην τὴν ὕβριν ἅπαντες ἄνθρωποι δεινοτάτην ἡγοῦνται. (3) Περὶ μὲν οὖν τοῦ μεγέθους τῆς ζημίας ἅπαντας ὑμᾶς νομίζω τὴν αὐτὴν διάνοιαν ἔχειν, καὶ οὐδένα οὕτως ὀλιγώρως διακεῖσθαι, ὅστις οἴεται δεῖν συγγνώμης τυγχάνειν ἢ μικρᾶς ζημίας ἀξίους ἡγεῖται τοὺς τῶν τοιούτων ἔργων αἰτίους. (4) Ἡγοῦμαι δέ, ὦ ἄνδρες, τοῦτό με δεῖν ἐπιδεῖξαι, ὡς ἐμοίχευεν Ἐρατοσθένης τὴν γυναῖκα τὴν ἐμὴν καὶ ἐκείνην τε διέφθειρε καὶ τοὺς παῖδας τοὺς ἐμοὺς ᾔσχυνε καὶ ἐμὲ αὐτὸν ὕβρισεν εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών, καὶ οὔτε ἔχθρα ἐμοὶ καὶ ἐκείνῳ οὐδεμία ἦν πλὴν ταύτης, οὔτε χρημάτων ἕνεκα ἔπραξα ταῦτα, ἵνα πλούσιος ἐκ πένητος γένωμαι, οὔτε ἄλλου κέρδους οὐδενὸς πλὴν τῆς κατὰ νόμους τιμωρίας.

5. Ἐγὼ τοίνυν ἐξ ἀρχῆς ὑμῖν ἅπαντα ἐπιδείξω τὰ ἐμαυτοῦ πράγματα, οὐδὲν παραλείπων, ἀλλὰ λέγων τἀληθῆ· ταύτην γὰρ ἐμαυτῷ μόνην ἡγοῦμαι σωτηρίαν, ἐὰν ὑμῖν εἰπεῖν ἅπαντα δυνηθῶ τὰ πεπραγμένα. (6) Ἐγὼ γάρ, ὦ ἄνδρες, ἐπειδὴ ἔδοξέ μοι γῆμαι καὶ γυναῖκα ἠγαγόμην εἰς τὴν οἰκίαν, τὸν μὲν ἄλλον χρόνον οὕτω διεκείμην ὥστε μήτε λυπεῖν μήτε λίαν ἐπ' ἐκείνῃ εἶναι ὅ τι ἂν θέλῃ ποιεῖν· ἐφύλαττόν τε ὡς οἷόν τε ἦν, καὶ προσεῖχον τὸν νοῦν ὥσπερ εἰκὸς ἦν· ἐπειδὴ δέ μοι παιδίον γίγνεται, ἐπίστευον ἤδη καὶ πάντα τὰ ἐμαυτοῦ ἐκείνῃ παρέδωκα, ἡγούμενος ταύτην οἰκειότητα μεγίστην εἶναι. (7) Ἐν μὲν οὖν τῷ πρώτῳ χρόνῳ, ὦ Ἀθηναῖοι, πασῶν ἦν βελτίστη· καὶ γὰρ οἰκονόμος δεινὴ καὶ φειδωλὸς ἀγαθὴ καὶ ἀκριβῶς πάντα διοικοῦσα· ἐπειδὴ δέ μοι ἡ μήτηρ ἐτελεύτησε, πάντων τῶν κακῶν ἀπο-

1.

PRO CÆDE ERATOSTHENIS APOLOGIA.

(1—11)

Permagni faciam, viri, hac vos mea in causa de me pari modo statuere, atque vestra ipsi sitis in causa judicaturi, in fortuna mecum pari. Certus enim sum, animo si sitis erga alios eodem quo erga vosmet estis affecti, neminem facile fore qui non super casu meo graviter indignetur: omnes potius pœnas in designatores hujusmodi flagitiorum legibus constitutas justo minores esse sitis judicaturi. (2) Neque existimandum est, apud vos solos ita sancitum esse; in universa enimvero Græcia ita statutum est: hujus enim unius solius criminis (*adulterii*) pœnas easdem tam in democratiis quam in oligarchiis vel infirmissimis ab potentissimis exigere conceditur; quo fit ut infimus quisque cum nobilissimo pari jure gaudeat; adeo hanc contumeliam omnes homines longe existimant atrocissimam. (3) De magnitudine igitur pœnæ sumendæ vos omnes idem sentire arbitror, neque quenquam ita socordi esse animo, ut aut venia donandos aut levi tantum pœna censeat afficiendos eos, a quibus istiusmodi flagitia profecta sint. (4) Existimo autem, o viri, hæc mihi nunc esse demonstranda, Eratosthenem meam uxorem constupravisse, atque adeo illam adulterii labe, liberos meos ignominia, me contumelia affecisse eo quod in ædes meas pro mœcho ingressus sit; porro mihi cum illo nullas intercessisse inimicitias præter has unicas; atque hoc quod ausus sum non lucri gratia me fecisse, ut ex paupere fierem dives, neque cujuslibet emolumenti causa, nisi ut legibus concessam vindictam sumerem.

5. Ego igitur a principio omnes meas rationes exponam, nihil prorsus omittens, sed quæ vera sunt eloquens. Namque eam demum salutem mihi solam proponi video, si vobis omnia quæ gesta sunt declarare potuerim. (6) Ego enim, judices, ubi decrevi nuptias contrahere, et uxorem domum duxeram, per reliquum quidem tempus ita me gessi ut neque huic molestias crearem, neque prorsus penes eam esset quæcumque vellet agere; sed quantum fieri potuit, ego observabam diligenter, et animum, uti par erat, advertebam. Quum autem puer nobis natus esset, tum vero confidens omnia mea illi in manus tradidi, nullam conjunctiorem necessitudinem fieri posse existimans. (7) Ac initio quidem, Athenienses, mulier erat omnium optima, siquidem materfamilias prudens erat et frugi omnia administrabat quam accuratissime; sed quum mater mea diem

θανοῦσα αἰτία μοι γεγένηται. (8) Ἐπ' ἐκφορὰν γὰρ αὐτῇ ἀκολουθήσασα ἡ ἐμὴ γυνὴ ὑπὸ τούτου τοῦ ἀνθρώπου ὀφθεῖσα, χρόνῳ διαφθείρεται· ἐπιτηρῶν γὰρ τὴν θεράπαιναν τὴν εἰς τὴν ἀγορὰν βαδίζουσαν καὶ λόγους προσφέρων ἀπώλεσεν αὐτήν. (9) Πρῶτον μὲν οὖν, ὦ ἄνδρες, (δεῖ γὰρ καὶ ταῦθ' ὑμῖν διηγήσασθαι) οἰκίδιόν ἐστί μοι διπλοῦν, ἴσα ἔχον τὰ ἄνω τοῖς κάτω, κατὰ τὴν γυναικωνῖτιν καὶ κατὰ τὴν ἀνδρωνῖτιν. Ἐπειδὴ δὲ τὸ παιδίον ἐγένετο ἡμῖν, ἡ μήτηρ αὐτὸ ἐθήλαζεν· ἵνα δὲ μή, ὁπότε λούεσθαι δέοι, κινδυνεύῃ κατὰ τῆς κλίμακος καταβαίνουσα, ἐγὼ μὲν ἄνω διῃτώμην, αἱ δὲ γυναῖκες κάτω. (10) Καὶ οὕτως ἤδη συνειθισμένον ἦν, ὥστε πολλάκις ἡ γυνὴ ἀπῄει κάτω καθευδήσουσα ὡς τὸ παιδίον, ἵνα τὸν τιτθὸν αὐτῷ διδῷ καὶ μὴ βοᾷ. Καὶ ταῦτα πολὺν χρόνον οὕτως ἐγίνετο, καὶ ἐγὼ οὐδέποτε ὑπώπτευσα, ἀλλ' οὕτως ἠλιθίως διεκείμην, ὥστε ᾤμην τὴν ἐμαυτοῦ γυναῖκα πασῶν σωφρονεστάτην εἶναι τῶν ἐν τῇ πόλει. (11) Προϊόντος δὲ τοῦ χρόνου, ὦ ἄνδρες, ἧκον μὲν ἀπροσδοκήτως ἐξ ἀγροῦ, μετὰ δὲ τὸ δεῖπνον τὸ παιδίον ἐβόα καὶ ἐδυσκόλαινεν, ὑπὸ τῆς θεραπαίνης ἐπίτηδες λυπούμενον, ἵνα ταῦτα ποιῇ. Ὁ γὰρ ἄνθρωπος ἔνδον ἦν· ὕστερον γὰρ ἅπαντα ἐπυθόμην. (12) Καὶ ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον καὶ δοῦναι τῷ παιδίῳ τὸν τιτθόν, ἵνα παύσηται κλαῖον. Ἡ δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελεν, ὡς ἂν ἀσμένη με ἑωρακυῖα ἥκοντα διὰ χρόνου· ἐπειδὴ δὲ ἐγὼ ὠργιζόμην καὶ ἐκέλευον αὐτὴν ἀπιέναι, « ἵνα σύ γε, ἔφη, πειρᾷς ἐνταῦθα τὴν παιδίσκην· καὶ πρότερον δὲ μεθύων εἷλκες αὐτήν. » (13) Κἀγὼ μὲν ἐγέλων, ἐκείνη δὲ ἀναστᾶσα καὶ ἀπιοῦσα προστίθησι τὴν θύραν, προσποιουμένη παίζειν, καὶ τὴν κλεῖν ἐφέλκεται. Κἀγὼ τούτων οὐδὲν ἐνθυμούμενος οὐδ' ὑπονοῶν ἐκάθευδον ἄσμενος, ἥκων ἐξ ἀγροῦ. (14) Ἐπειδὴ δὲ ἦν πρὸς 93 ἡμέραν, ἧκεν ἐκείνη καὶ τὴν θύραν ἀνέῳξεν. Ἐρομένου δ' ἐμοῦ τί αἱ θύραι νύκτωρ ψοφοῖεν, ἔφασκε τὸν λύχνον ἀποσβεσθῆναι τὸν παρὰ τῷ παιδίῳ, εἶτα ἐκ τῶν γειτόνων ἐνάψασθαι. Ἐσιώπων ἐγὼ καὶ ταῦτα οὕτως ἔχειν ἡγούμην. Ἔδοξε δέ μοι, ὦ ἄνδρες, τὸ πρόσωπον ἐψιμυθιῶσθαι, τοῦ ἀδελφοῦ τεθνεῶτος οὔπω τριάκονθ' ἡμέρας· ὅμως δ' οὐδ' οὕτως οὐδὲν εἰπὼν περὶ τοῦ πράγματος, ἐξελθὼν ᾠχόμην ἔξω σιωπῇ. (15) Μετὰ δὲ ταῦτα, ὦ ἄνδρες, χρόνου μεταξὺ διαγενομένου καὶ ἐμοῦ πολὺ ἀπολελειμμένου τῶν ἐμαυτοῦ κακῶν, προσέρχεταί μοί τις πρεσβῦτις ἄνθρωπος, ὑπὸ γυναικὸς ὑποπεμφθεῖσα ἣν ἐκεῖνος ἐμοίχευεν, ὡς ἐγὼ ὕστερον ἤκουον· αὕτη δὲ ὀργιζομένη καὶ ἀδικεῖσθαι νομίζουσα, ὅτι οὐκέτι ὁμοίως ἐφοίτα παρ' αὐτήν, ἐφύλαττεν ἕως ἐξεῦρεν ὅ τι εἴη τὸ αἴτιον. (16) Προσελθοῦσα οὖν μοι ἐγγὺς ἡ ἄνθρωπος τῆς οἰκίας τῆς ἐμῆς ἐπιτηροῦσα, « Εὐφίλητε, ἔφη, μηδεμιᾷ πολυπραγμοσύνῃ προσεληλυθέναι με νόμιζε πρός σε· ὁ γὰρ ἀνὴρ ὁ ὑβρίζων εἰς σὲ καὶ τὴν σὴν γυναῖκα ἐχθρὸς ὢν ἡμῖν τυγχάνει. Ἐὰν οὖν λάβῃς τὴν θεράπαιναν τὴν εἰς ἀγορὰν βαδίζουσαν καὶ διακονοῦσαν ὑμῖν καὶ βασανίσῃς, ἅπαντα πεύσῃ. Ἔστι δ', ἔφη,

obiit, omnium malorum ea mors mihi fons et origo fuit. (8) Elato enim corpore, quum uxor in funus prodiret, ibi ab Eratosthene conspecta sensim corrumpitur. Hic nempe observata ancilla quæ ad forum itabat, eamque sermonibus aggressus, heram perdidit. (9) Primum igitur, viri, (nam et hæc vobis narrare oportet) ædicula mihi est bipertita, cujus superiora magnitudine respondent inferioribus, ac altera viris, altera feminis destinata sunt. Quum autem puerum qui nobis erat lactaret mater, ne, quoties eum lavatum ire oporteret, quidquam periclitaretur uxor per scalas descendens, ego supra, mulieres infra, habitavimus. (10) Jamque id adeo consuetum erat ut uxor sæpius infra discederet dormitura ad puerum, quo illi porrigeret ubera ne vagiret. Hoc diutius obtinuit, neque ego interea quidquam mali suspicabar, sed tam simplici eram ingenio ut meam uxorem omnium in civitate feminarum pudicissimam esse crederem. (11) Interjecto tempore, judices, redii rure insperatus; atque a cœna vagiebat puer et quiritabatur, quippe quem ancilla data opera contristavit ut hæc faceret : homo enim intus erat; namque postea rem intellexi. (12) Ego uxorem jussi abire pueruloque mammas præbere, quo ille vagire desineret. Nolebat illa primum, quasi cupide me conspicata post diutinam moram in ædes reversum. Ubi vero stomachabar et instabam ut abiret, « Nimirum, inquit, ut tu hic ancillam tentes, sicut et nuper ebrius trahebas. » (13) Ridebam ego; illa assurgens protinus et egressa, ostium post se adduxit quasi per ludum, exemitque clavem. Ego nihil prorsus cogitans, nihil suspicans, suaviter dormiebam, utpote qui ex agro redierim. (14) Ubi cœpit lucescere, venit illa foresque aperuit. Quum sciscitarer unde januæ noctu crepuerint, ait lucernam quæ juxta puerum erat casu fuisse extinctam, quare se ex vicinis eam accendisse. Obticui, et ita se rem habere arbitrabar. Cerussa autem, Athenienses, mihi videbatur oblini ejus facies, quanquam ipsius frater vix triginta ante dies obierat. Sed neque sic quidquam de re locutus, foras abii silens. (15) Post hæc, o viri, quum plusculum temporis intercessisset, et meæ domesticæ calamitates me longe fugerent, ad me accedit vetula quædam, submissa a muliere quapiam quacum ille antehac consueverat, ut ego deinceps intellexi. Illa quippe irata et injuriose secum agi reputans quod ad se is, ut olim, non ventitaret, observabat, donec quid causæ esset rescivisset. (16) Me igitur juxta ædes meas præstolata anus, compellans : « Euphilete, ait, ne me ad te accedere putes ex nimia aliqua curiositate : vir enim qui te tuamque uxorem contumelia afficit, nobis quoque est inimicus. Si comprehenderis ancillam quæ itat ad forum et ministrat vobis, quæstionemque habueris, totam rem cognosces. Est autem, inquit, Eratosthenes Œensis,

Ἐρατοσθένης Οἴηθεν ὁ ταῦτα πράττων, ὃς οὐ μόνον τὴν σὴν γυναῖκα διέφθαρκεν, ἀλλὰ καὶ ἄλλας πολλάς· ταύτην γὰρ τέχνην ἔχει. » (17) Ταῦτα εἰποῦσα, ὦ ἄνδρες, ἐκείνη μὲν ἀπηλλάγη, ἐγὼ δὲ εὐθέως ἐταραττόμην, καὶ πάντα μου εἰς τὴν γνώμην εἰσῄει, καὶ μεστὸς ἦν ὑποψίας, ἐνθυμούμενος μὲν ὡς ἀπεκλείσθην ἐν τῷ δωματίῳ, ἀναμιμνησκόμενος δὲ ὅτι ἐν ἐκείνῃ τῇ νυκτὶ ἐψόφει ἡ μέταυλος θύρα καὶ ἡ αὔλειος, ὃ οὐδέποτε ἐγένετο, ἔδοξέ τέ μοι ἡ γυνὴ ἐψιμυθιῶσθαι. Ταῦτά μου πάντα εἰς τὴν γνώμην εἰσῄει, καὶ μεστὸς ἦν ὑποψίας. (18) Ἐλθὼν δὲ οἴκαδε ἐκέλευον ἀκολουθεῖν μοι τὴν θεράπαιναν εἰς τὴν ἀγοράν, ἀγαγὼν δ' αὐτὴν ὡς τῶν ἐπιτηδείων τινὰ ἔλεγον ὅτι ἐγὼ πάντα εἴην πεπυσμένος τὰ γινόμενα ἐν τῇ οἰκίᾳ· « Σοὶ οὖν, ἔφην, ἔξεστι δυοῖν ὁπότερον βούλει ἑλέσθαι, ἢ μαστιγωθεῖσαν εἰς μύλωνα ἐμπεσεῖν καὶ μηδέποτε παύσασθαι κακοῖς τοιούτοις συνεχομένην, ἢ κατειποῦσαν ἅπαντα τἀληθῆ μηδὲν παθεῖν κακόν, ἀλλὰ συγγνώμης παρ' ἐμοῦ τυχεῖν τῶν ἡμαρτημένων. Ψεύσῃ δὲ μηδέν, ἀλλὰ πάντα τἀληθῆ λέγε. » (19) Κἀκείνη τὸ μὲν πρῶτον ἔξαρνος ἦν, καὶ ποιεῖν ἐκέλευεν ὅ τι βούλομαι· οὐδὲν γὰρ εἰδέναι· ἐπειδὴ δὲ ἐγὼ ἐμνήσθην Ἐρατοσθένους πρὸς αὐτήν, καὶ εἶπον ὅτι οὗτος ὁ φοιτῶν εἴη πρὸς τὴν γυναῖκα, ἐξεπλάγη ἡγησαμένη με πάντα ἀκριβῶς ἐγνωκέναι. (20) Καὶ τότε ἤδη πρὸς τὰ γόνατά μου πεσοῦσα, καὶ πίστιν παρ' ἐμοῦ λαβοῦσα μηδὲν πείσεσθαι κακόν, κατηγόρει πρῶτον μὲν ὡς μετὰ τὴν ἐκφορὰν αὐτῇ προσίοι, ἔπειτα ὡς αὐτὴ τελευτῶσα εἰσαγγείλειε καὶ ὡς ἐκείνη τῷ χρόνῳ πεισθείη, καὶ τὰς εἰσόδους οἷς τρόποις προσίοι, καὶ ὡς Θεσμοφορίοις ἐμοῦ ἐν ἀγρῷ ὄντος ᾤχετο εἰς τὸ ἱερὸν μετὰ τῆς μητρὸς τῆς ἐκείνου· καὶ τἆλλα τὰ γενόμενα πάντα ἀκριβῶς διηγήσατο. (21) Ἐπειδὴ δὲ πάντα εἴρητο αὐτῇ, εἶπον ἐγώ, « Ὅπως τοίνυν ταῦτα μηδεὶς ἀνθρώπων πεύσεται· εἰ δὲ μή, οὐδέν σοι κύριον ἔσται τῶν πρὸς ἔμ' ὡμολογημένων. Ἀξιῶ δέ σε ἐπ' αὐτοφώρῳ ταῦτά μοι ἐπιδεῖξαι· ἐγὼ γὰρ οὐδὲν δέομαι λόγων, ἀλλὰ τὸ ἔργον φανερὸν γενέσθαι, εἴπερ οὕτως ἔχει. » (22) Ὡμολόγει ταῦτα ποιήσειν. Καὶ μετὰ ταῦτα διεγένοντο ἡμέραι τέσσαρες ἢ πέντε, ὡς ἐγὼ μεγάλοις ὑμῖν τεκμηρίοις ἐπιδείξω. Πρῶτον δὲ διηγήσασθαι βούλομαι τὰ πραχθέντα τῇ τελευταίᾳ ἡμέρᾳ. Σώστρατος ἦν μοι ἐπιτήδειος καὶ φίλος. Τούτῳ ἡλίου δεδυκότος ἰόντι ἐξ ἀγροῦ ἀπήντησα. Εἰδὼς δ' ἐγὼ ὅτι τηνικαῦτα ἀφιγμένος οὐδὲν ἂν καταλήψοιτο οἴκοι τῶν ἐπιτηδείων, ἐκέλευον συνδειπνεῖν· καὶ ἐλθόντες οἴκαδε ὡς ἐμέ, ἀναβάντες εἰς τὸ ὑπερῷον ἐδειπνοῦμεν.
94 (23) Ἐπειδὴ δὲ καλῶς αὐτῷ εἶχεν, ἐκεῖνος μὲν ἀπιὼν ᾤχετο, ἐγὼ δὲ ἐκάθευδον. Ὁ δ' Ἐρατοσθένης, ὦ ἄνδρες, εἰσέρχεται, καὶ ἡ θεράπαινα ἐπεγείρασά με εὐθὺς φράζει ὅτι ἔνδον ἐστί. Κἀγὼ εἰπὼν ἐκείνῃ ἐπιμελεῖσθαι τῆς θύρας, καταβὰς σιωπῇ ἐξέρχομαι, καὶ ἀφικνοῦμαι ὡς τὸν καὶ τόν, καὶ τοὺς μὲν ἔνδον κατέλαβον, τοὺς δὲ οὐκ ἐπιδημοῦντας εὗρον. (24) Παραλαβὼν δ' ὡς οἷόν τε ἦν πλείστους ἐκ τῶν παρόντων ἐβάδιζον.

qui non tuam solummodo uxorem, sed alias quoque bene multas, constupravit: hanc enim artem exercet. » (17) Hæc locuta, Athenienses, abiit: ego vero conturbabar, omniaque mihi in mentem simul veniebant, et suspicione plenus cogitabam me in cubiculo fuisse occlusum, recordati illa nocte crepuisse utramque januam, interiorem et anticam, quod nunquam antea factum erat, ac demum uxor mihi visa erat cerussata: hæc, inquam, omnia mihi in mentem veniebant, et eram suspicione plenus. (18) Domum reversus jussi ancillam me sequi in forum. Quum quum ad meorum familiarium quendam adduxissem, dixi me omnia quæ domi fiebant plane perspecta habere. « Tibi igitur, inquiebam, ex duabus utram malis conditionem licet eligere, aut verberibus cæsam in pistrinum detrudi, ubi malis teneberis finem nunquam habituris, aut quæ vera sunt indicantem nihil quidquam mali perpeti, at delictorum tuorum a me consequi veniam. Cave autem mentiare, sed omnia eloquere quæ vera sint. » (19) Illa primum negabat firmiter, meque exsequi jubebat quodcumque animo collibitum esset meo: se enim nihil conscire. Quum vero Eratosthenem nominavi, atque illum dixi ventitare ad uxorem meam, tunc valde perculsa est, existimans me totam rem ut gesta erat compertam habere. (20) Ac tum demum ad genua mea procidens, fide a me accepta se nihil quidquam mali passuram, indicium fecit; primum, ut homo post exsequias se congressus fuerit, deinde, ut ipsa post aliquot moras illius sermones ad heram tulerit, ut hera tandem persuasa sit; quibus viis modisque ille ad hanc accesserit; quo pacto Thesmophoriis, dum ego rure degebam, uxor mea profecta fuerit ad templum matre illius comitante; et reliqua omnia quæ gesta erant accurate enarravit. (21) Facto indicio, « Cave, inquiebam, quisquam a te rem resciscat; aliter quæ inter nos convenere, prorsus irrita erunt. Volo autem te mihi hæc re ipsa commonstrare; nihil mihi verbis opus est; oportet rem manifesto videam, utrum ita se habeat. » (22) Id omne illa in se recepit. Post hæc intercesserunt dies quattuor vel quinque, ut vobis ego validissimis argumentis ostendam. Sed præmittam quæ ultimo die facta sint. Sostratus erat amicus mihi et familiaris. Huic sub vesperam ex agro revertenti obviam factus, sciensque tam sero redeuntem nihil eorum quæ necessaria erant domi nacturum, jussi mecum cœnaret. Domum igitur ad me profecti et in superiora conscendentes, cœnavimus. (23) Quum vero ille bene se curavisset, domum abiit, ego autem cubitum ivi. Interim Eratosthenes, o viri, ingreditur, et ancilla statim mihi excitato narrat hominem intus esse. Quam ubi admonui ut januam curaret diligenter, descendo et foras exeo tacite; ad hos, ad illos accedo; erant quos domi offendi, erant etiam quos peregre profectos intellexi. (24) Assumptis igitur ex iis qui aderant quam plurimis, redeo; et faces nacti ex caupona quæ erat in vicinia, in-

Καὶ δᾷδας λαβόντες ἐκ τοῦ ἐγγύτατα καπηλείου εἰσερχόμεθα, ἀνεῳγμένης τῆς θύρας καὶ ὑπὸ τῆς ἀνθρώπου παρεσκευασμένης. Ὤσαντες δὲ τὴν θύραν τοῦ δωματίου οἱ μὲν πρῶτοι εἰσιόντες ἔτι εἴδομεν αὐτὸν κατακείμενον παρὰ τῇ γυναικί, οἱ δ' ὕστερον ἐν τῇ κλίνῃ γυμνὸν ἑστηκότα. (25) Ἐγὼ δ', ὦ ἄνδρες, πατάξας καταβάλλω αὐτόν, καὶ τὼ χεῖρε περιαγαγὼν εἰς τοὔπισθεν καὶ δήσας ἠρώτων διὰ τί ὑβρίζει εἰς τὴν οἰκίαν τὴν ἐμὴν εἰσιών. Κἀκεῖνος ἀδικεῖν μὲν ὡμολόγει, ἠντιβόλει δὲ καὶ ἱκέτευε μὴ αὐτὸν κτεῖναι, ἀλλ' ἀργύριον πράξασθαι. (26) Ἐγὼ δ' εἶπον ὅτι « Οὐκ ἐγώ σε ἀποκτενῶ, ἀλλ' ὁ τῆς πόλεως νόμος, ὃν σὺ παραβαίνων περὶ ἐλάττονος τῶν ἡδονῶν ἐποιήσω, καὶ μᾶλλον εἵλου τοιοῦτον ἁμάρτημα ἐξαμαρτάνειν εἰς τὴν γυναῖκα τὴν ἐμὴν καὶ εἰς τοὺς παῖδας τοὺς ἐμοὺς ἢ τοῖς νόμοις πείθεσθαι καὶ κόσμιος εἶναι. » (27) Οὕτως, ὦ ἄνδρες, ἐκεῖνος τούτων ἔτυχεν ὧνπερ οἱ νόμοι κελεύουσι τοὺς τὰ τοιαῦτα πράττοντας, οὐκ εἰσαρπασθεὶς ἐκ τῆς ὁδοῦ, οὐδ' ἐπὶ τὴν ἑστίαν καταφυγών, ὥσπερ οὗτοι λέγουσι· πῶς γὰρ ἄν, ὅστις ἐν τῷ δωματίῳ πληγεὶς κατέπεσεν εὐθύς, περιέστρεψα δ' αὐτοῦ τὼ χεῖρε, ἔνδον δὲ ἦσαν ἄνθρωποι τοσοῦτοι, οὓς διαφυγεῖν οὐκ ἠδύνατο, οὔτε σίδηρον οὔτε ξύλον οὔτε ἄλλο οὐδὲν ἔχων, ᾧ τοὺς εἰσελθόντας ἂν ἠμύνατο. (28) Ἀλλ', ὦ ἄνδρες, οἶμαι καὶ ὑμᾶς εἰδέναι ὅτι οἱ μὴ τὰ δίκαια πράττοντες οὐχ ὁμολογοῦσι τοὺς ἐχθροὺς λέγειν ἀληθῆ, ἀλλ' αὐτοὶ ψευδόμενοι καὶ τὰ τοιαῦτα μηχανώμενοι ὀργὰς τοῖς ἀκούουσι κατὰ τῶν τὰ δίκαια πραττόντων παρασκευάζουσι. Πρῶτον μὲν οὖν ἀνάγνωθι τὸν νόμον.

ΝΟΜΟΣ.

29. Οὐκ ἠμφισβήτει, ὦ ἄνδρες, ἀλλ' ὡμολόγει ἀδικεῖν, καὶ ὅπως μὲν μὴ ἀποθάνῃ ἠντιβόλει καὶ ἱκέτευεν, ἀποτίνειν δ' ἕτοιμος ἦν χρήματα. Ἐγὼ δὲ τῷ μὲν ἐκείνου τιμήματι οὐ συνεχώρουν, τὸν δὲ τῆς πόλεως νόμον ἠξίουν εἶναι κυριώτερον, καὶ ταύτην ἔλαβον τὴν δίκην, ἣν ὑμεῖς δικαιοτάτην εἶναι ἡγησάμενοι τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσιν ἐτάξατε. Καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

30. Ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον ἐκ τῆς στήλης τῆς ἐξ Ἀρείου πάγου.

ΝΟΜΟΣ.

Ἀκούετε, ὦ ἄνδρες, ὅτι αὐτῷ τῷ δικαστηρίῳ τῷ ἐξ Ἀρείου πάγου, ᾧ καὶ πάτριόν ἐστι καὶ ἐφ' ὑμῶν ἀποδέδοται τοῦ φόνου τὰς δίκας δικάζειν, διαρρήδην εἴρηται τούτου μὴ καταγινώσκειν φόνον, ὃς ἂν ἐπὶ δάμαρτι τῇ ἑαυτοῦ μοιχὸν λαβὼν ταύτην τὴν τιμωρίαν ποιήσηται. (31) Καὶ οὕτω σφόδρα ὁ νομοθέτης ἐπὶ ταῖς γαμεταῖς γυναιξὶ δίκαια ταῦτα ἡγήσατο εἶναι, ὥστε καὶ ἐπὶ ταῖς παλλακαῖς ταῖς ἐλάττονος ἀξίαις τὴν αὐτὴν δίκην ἐπέθηκε. Καίτοι δῆλον ὅτι, εἴ τινα εἶχε ταύτης

gredimur, januis apertis et a muliere paratis. Tum vero protrusis foribus cubiculi, qui primi nostrûm ingressi fuimus, hominem conspeximus adhuc uxori meæ accubantem, qui serius, nudum in lecto stantem. (25) Equidem, Athenienses, eum ictu prosterno, et manus post tergum reducens et vinciens, interrogavi quare tam contumeliose egisset, domum meam pro mœcho ingressus. Ille confessus factam a se fuisse injuriam, suppliciter me orabat ne ipsum interficerem, sed pecuniam uti exigerem. (26) Respondi, « Non ego te interficiam, sed interficiet lex civitatis quam tu præ voluptate contempsisti, qui maluisti tale facinus patrare adversus meam uxorem liberosque meos, quam legibus obtemperare atque moribus vivere compositis. » (27) Ita, o viri, ea ille consecutus est quæ lex eos consequi velit qui talia facinora perpetrare sustinent, non correptus e via, neque ad focum confugiens, ut isti prædicant. Quo pacto enim potuit, qui statim in cubiculo concidit a me percutsus? Manus autem a tergo revinxi, ac tot homines intus erant quos ille effugere non poterat, neque ferro, neque fuste, neque telo quolibet armatus, quo se adversus ingressos defenderet. (28) Verum enim vero, Athenienses, vos omnes scire existimo, viros injusta facientes non fateri adversarios suos vera dicere, sed mendaciis et pravis artibus instructos, animos audientium contra eos qui justa faciunt irritare. Primum igitur recita legem.

LEX.

(29) Non negabat, o viri, injuriam, sed confitebatur; meque enixe rogabat ne se interficerem, et mortem paratus erat pecunia redimere. Ego vero æstimationi illius non concessi; at civitatis legem potiorem esse existimans, eam sumpsi vindictam quam ipsi vos statuistis contra talium facinorum auctores, tanquam justissimam. Et horum mihi testes ascendite.

TESTES.

(30) Recita mihi præterea hanc legem ab Areopagi curia in columna inscriptam.

LEX.

Auditis, Athenienses, senatui Areopagitico, cui quum patrium fuit, tum vestra memoria redditum est, de cæde judicare, disertim esse præscriptum, eum hominem ne cædis condemnent, qui mœchum deprehendens prope suam ipsius uxorem, istiusmodi pœnas sumpserit. (31) Atque ita firmiter existimavit legislator hæc justa esse et æqua de uxoribus legitimis, ut etiam de pellicibus, minore certe pretio dignis, eadem statuerit. At enim manifestum est

μείζω τιμωρίαν ἐπὶ ταῖς γαμεταῖς, ἐποίησεν ἄν· νῦν δὲ οὐχ οἷός τε ὢν ταύτης ἰσχυροτέραν ἐπ' ἐκείναις ἐξευρεῖν, τὴν αὐτὴν καὶ ἐπὶ ταῖς παλλακαῖς ἠξίωσε γίνεσθαι. Ἀνάγνωθι δέ μοι καὶ τοῦτον τὸν νόμον.

ΝΟΜΟΣ.

32. Ἀκούετε, ἄνδρες, ὅτι κελεύει, ἐάν τις ἄνθρωπον ἐλεύθερον ἢ παῖδα αἰσχύνῃ βίᾳ, διπλῆν τὴν βλάβην ὀφείλειν, ἐὰν δὲ γυναῖκα, ἐφ' αἷσπερ ἀποκτείνειν ἔξεστιν, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι. Οὕτως, ὦ ἄνδρες, τοὺς βιαζομένους ἐλάττονος ζημίας ἀξίους ἡγήσατο εἶναι ἢ τοὺς πείθοντας· (33) τῶν μὲν γὰρ θάνατον κατέγνω, τοῖς δὲ διπλῆν ἐποίησε τὴν βλάβην, ἡγούμενος τοὺς μὲν διαπραττομένους βίᾳ ὑπὸ τῶν βιασθέντων μισεῖσθαι, τοὺς δὲ πείσαντας οὕτως αὐτῶν τὰς ψυχὰς διαφθείρειν ὥστ' οἰκειοτέρας αὐτοῖς ποιεῖν τὰς ἀλλοτρίας γυναῖκας ἢ τοῖς ἀνδράσι, καὶ πᾶσαν ἐπ' ἐκείνοις τὴν οἰκίαν γεγονέναι, καὶ τοὺς παῖδας ἀδήλους εἶναι ὁποτέρων τυγχάνουσιν ὄντες, τῶν ἀνδρῶν ἢ τῶν μοιχῶν· ἀνθ' ὧν ὁ τὸν νόμον τιθεὶς θάνατον αὐτοῖς ἐποίησε τὴν ζημίαν. (34) Ἐμοῦ τοίνυν, ὦ ἄνδρες, οἱ μὲν νόμοι οὐ μόνον ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν, ἀλλὰ καὶ κεκελευκότες ταύτην τὴν δίκην λαμβάνειν· ἐν ὑμῖν δ' ἐστὶ πότερον χρὴ τούτους ἰσχυροὺς ἢ μηδενὸς ἀξίους εἶναι. (35) Ἐγὼ μὲν γὰρ οἶμαι πάσας τὰς πόλεις διὰ τοῦτο τοὺς νόμους τίθεσθαι, ἵνα, περὶ ὧν ἂν πραγμάτων ἀπορῶμεν, παρὰ τούτους ἐλθόντες σκεψώμεθα ὅ τι ἡμῖν ποιητέον ἐστίν. Οὗτοι τοίνυν περὶ τῶν τοιούτων τοῖς ἀδικουμένοις τοιαύτην δίκην λαμβάνειν παρακελεύονται. (36) Οἷς ὑμᾶς ἀξιῶ τὴν αὐτὴν γνώμην ἔχειν· εἰ δὲ μή, τοιαύτην ἄδειαν τοῖς μοιχοῖς ποιήσετε, ὥς καὶ τοὺς κλέπτας ἐπαρεῖτε φάσκειν μοιχοὺς εἶναι, εὖ εἰδότας ὅτι, ἐὰν ταύτην τὴν αἰτίαν περὶ ἑαυτῶν λέγωσι καὶ ἐπὶ τούτῳ φάσκωσιν εἰς τὰς ἀλλοτρίας οἰκίας εἰσιέναι, οὐδεὶς αὐτῶν ἅψεται. Πάντες γὰρ εἴσονται ὅτι τοὺς μὲν νόμους τῆς μοιχείας χαίρειν ἐᾶν δεῖ, τὴν δὲ ψῆφον τὴν ὑμετέραν δεδιέναι· αὕτη γάρ ἐστι πάντων τῶν ἐν τῇ πόλει κυριωτάτη.

37. Σκέψασθε δέ, ὦ ἄνδρες· κατηγοροῦσι γάρ μου ὡς ἐγὼ τὴν θεράπαιναν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μετελθεῖν ἐκέλευσα τὸν νεανίσκον. Ἐγὼ δέ, ὦ ἄνδρες, δίκαιον μὲν ἂν ποιεῖν ἡγούμην ᾡτινιοῦν τρόπῳ τὸν τὴν γυναῖκα τὴν ἐμὴν διαφθείραντα λαμβάνων· (38) εἰ μὲν γὰρ λόγων εἰρημένων, ἔργου δὲ μηδενὸς γεγενημένου μετελθεῖν ἐκέλευον ἐκεῖνον, ἠδίκουν ἄν· εἰ δὲ ἤδη πάντων διαπεπραγμένων καὶ πολλάκις εἰσεληλυθότος εἰς τὴν οἰκίαν τὴν ἐμὴν ᾡτινιοῦν τρόπῳ ἐλάμβανον αὐτόν, σωφρονεῖν ἐμαυτὸν ἡγούμην. (39) Σκέψασθε δὲ ὅτι καὶ ταῦτα ψεύδονται· ῥᾳδίως δὲ ἐκ τῶνδε γνώσεσθε. Ἐμοὶ γάρ, ὦ ἄνδρες, ὅπερ καὶ πρότερον εἶπον, φίλος ὢν Σώστρατος καὶ οἰκείως διακείμενος ἀπαντήσας ἐξ ἀγροῦ περὶ ἡλίου δυσμὰς συνεδείπνει, καὶ ἐπειδὴ καλῶς εἶχεν αὐτῷ, ἀπιὼν ᾤχετο. (40) Καίτοι πρῶτον μέν, ὦ ἄνδρες, ἐνθυμήθητε ὅτι, εἰ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐγὼ ἐπεβούλευον Ἐρατοσθένει, πότερον ἦν μοι κρεῖττον αὐτῷ ἑτέρωθι

quod, si ullas pœnas graviores habuisset, eas utique statuisset de violatis uxoribus : jam autem quum de his non potuerit graviores excogitare, easdem pro uxoribus et pro pellicibus irrogare placuit. Recita tu mihi hanc quoque legem.

LEX.

32. Auditis, o viri, legem jubere ut, si quis hominem ingenuum aut puerum vi constupraverit, mulctam luat duplam *ejus quam luisset servo duntaxat constuprato*; sin matronam vi stupraverit, super quibus deprehensum mœchum occidere licet, iisdem ille pœnis teneatur. Adeo, Athenienses, qui vi aggrediuntur, eos legislator minori pœna dignos esse existimavit quam qui blanditiis. (33) Hos enim capite damnavit, illis duplam mulctam inflixit, arbitratus eos qui vi rem perficiunt, iis odio haberi quibus vis infertur : qui vero blanditiis, animos ita penitus vitiare, ut alienas uxores sibi benevolentiores reddant quam maritis, ut tota jam domus penes ipsos sit, ut denique liberi incerta conditione nascantur, utrum scilicet ad maritum pertineant an ad mœchum. Quibus de causis legislator pœnam illis mortem statuit. (34) Me igitur, o viri, non solum crimine absolvunt leges, verum etiam jusserunt ut has pœnas repeterem : jam vero in vobis situm est utrum has leges ratas an irritas fieri oporteat. (35) Equidem arbitror omnes civitates ideo leges perferre, ut si quibus de rebus ambigatur, ab iis consilium quærentes, quid nobis faciendum sit perspiciamus. Atqui illæ injuria affectos hujusmodi pœnas ab hujusmodi hominibus repetere hortantur. (36) Eandem vero etiam vobis esse sententiam censeo; sin minus, eam peccandi licentiam mœchantibus concedetis, ut fures etiam vestra facilitate adducti se mœchos profiteantur, persuasi nempe si ad eam causam confugiant, et idcirco se dicant in alienas ædes ingredi, neminem fore qui ipsos attigerit. Omnes enim sentient leges adulterii flocci faciendas esse, vestram solummodo sententiam pertimescendam, utpote quæ sola sit omnium in hac civitate rerum arbitra.

37. Animadvertite, quæso, Athenienses. Me accusant quod illo die jusserim ancillam juvenem arcessere. Ego autem, o viri, fas esse existimassem uxoris meæ stupratorem quovis modo deprehendere. (38) Si enim, sparsis duntaxat rumoribus et re infecta, jussissem arcessi, sane peccassem. Verum quum ille omnia jam perpetravisset, et in ædes meas sæpe fuisset ingressus, profecto me sapienter egisse arbitrarer si quacumque potuissem ratione illum deprehenderem. (39) At videte istos et hæc comminisci, quod ex hisce argumentis facile erit judicare. Mihi enim, Athenienses, ut jam dixi, Sostratus, amicus meus et familiaris, ex rure obviam factus sub solis occasum mecum una cœnavit, et ubi se bene curaverat, domum abiit. (40) Jam autem hoc primum cogitate, o viri, utrum, si in illa nocte Eratostheni insidias struxissem, mihi satius fuisset alibi cœnare an convivam domum ducere; ita quippe effecissem

δειπνεῖν ἢ τὸν συνδειπνήσοντά μοι εἰσαγαγεῖν; οὕτω γὰρ ἂν ἧττον ἐτόλμησεν ἐκεῖνος εἰσελθεῖν εἰς τὴν οἰκίαν. Εἶτα δοκῶ ἂν ὑμῖν τὸν συνδειπνοῦντα ἀφεὶς μόνος καταλειφθῆναι καὶ ἔρημος γενέσθαι, ἢ κελεύειν ἐκεῖνον μένειν, ἵνα μετ' ἐμοῦ τὸν μοιχὸν ἐτιμωρεῖτο; (41) Ἔπειτα, ὦ ἄνδρες, οὐκ ἂν δοκῶ ὑμῖν τοῖς ἐπιτηδείοις μεθ' ἡμέραν παραγγεῖλαι, καὶ κελεῦσαι αὐτοὺς συλλεγῆναι εἰς οἰκίαν τῶν φίλων τῶν ἐγγυτάτω, μᾶλλον ἢ ἐπειδὴ τάχιστα ᾐσθόμην τῆς νυκτὸς περιτρέχειν, οὐκ εἰδὼς ὅντινα οἴκοι καταλήψομαι καὶ ὅντινα ἔξω; καὶ ὡς Ἁρμόδιον μὲν καὶ τὸν δεῖνα ἦλθον οὐκ ἐπιδημοῦντας (οὐ γὰρ ᾔδειν), ἑτέρους δὲ οὐκ ἔνδον ὄντας κατέλαβον, οὓς δ' οἷός τε ἦν λαβὼν ἐβάδιζον. (42) Καίτοιγε εἰ προῄδειν, οὐκ ἂν δοκῶ ὑμῖν καὶ θεράποντας παρασκευάσασθαι καὶ τοῖς φίλοις παραγγεῖλαι, ἵν' ὡς ἀσφαλέστατα μὲν αὐτὸς εἰσῄειν (τί γὰρ ᾔδειν εἴ τι κἀκεῖνος εἶχε σιδήριον;), ὡς μετὰ πλείστων δὲ μαρτύρων τὴν τιμωρίαν ἐποιούμην; νῦν δ' οὐδὲν εἰδὼς τῶν ἐσομένων ἐν ἐκείνῃ τῇ νυκτί, οὓς οἷός τε ἦν παρέλαβον. Καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

43. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ ἄνδρες· σκέψασθε δὲ παρ' ὑμῖν αὐτοῖς οὕτω περὶ τούτου τοῦ πράγματος, ζητοῦντες εἴ τις ἐμοὶ καὶ Ἐρατοσθένει ἔχθρα γεγένηται πώποτε πλὴν ταύτης. (44) Οὐδεμίαν γὰρ εὑρήσετε. Οὔτε γὰρ συκοφαντῶν γραφάς με ἐγράψατο, οὔτε ἐκβάλλειν ἐκ τῆς πόλεως ἐπεχείρησεν, οὔτε ἰδίας δίκας ἐδικάζετο, οὔτε συνῄδει κακὸν οὐδὲν ὃ ἐγὼ δεδιὼς μή τις πύθηται ἐπεθύμουν αὐτὸν ἀπολέσαι, οὔτε εἰ ταῦτα διεπραξάμην, ἤλπιζον χρήματα λήψεσθαι· ἔνιοι γὰρ τοιούτων πραγμάτων ἕνεκεν θάνατον ἀλλήλοις ἐπιβου-
96 λεύουσι. (45) Τοσούτου τοίνυν δεῖ ἢ λοιδορία ἢ παροινία ἢ ἄλλη τις διαφορὰ ἡμῖν γεγονέναι, ὥστε οὐδὲ ἑωρακὼς ἦν τὸν ἄνθρωπον πώποτε πλὴν ἐν ἐκείνῃ τῇ νυκτί. Τί ἂν οὖν βουλόμενος ἐγὼ τοιοῦτον κίνδυνον ἐκινδύνευον, εἰ μὴ τὸ μέγιστον τῶν ἀδικημάτων ἦν ὑπ' αὐτοῦ ἠδικημένος; (46) Ἔπειτα παρακαλέσας αὐτὸς μάρτυρας ἠσέβουν, ἐξόν μοι, εἴπερ ἀδίκως ἐπεθύμουν αὐτὸν ἀπολέσαι, μηδένα μοι τούτων συνειδέναι;

47. Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ νομίζω ταύτην γενέσθαι τὴν τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς πόλεως ἁπάσης· οἱ γὰρ τοιαῦτα πράττοντες, ὁρῶντες οἷα τὰ ἆθλα πρόκειται τῶν τοιούτων ἁμαρτημάτων, ἧττον εἰς τοὺς ἄλλους ἐξαμαρτήσονται, ἐὰν καὶ ὑμᾶς ὁρῶσι τὴν αὐτὴν γνώμην ἔχοντας. (48) Εἰ δὲ μή, πολὺ κάλλιον τοὺς μὲν κειμένους νόμους ἐξαλεῖψαι, ἑτέρους δὲ θεῖναι, οἵτινες τοὺς μὲν φυλάττοντας τὰς ἑαυτῶν γυναῖκας ταῖς ζημίαις ζημιώσουσι, τοῖς δὲ βουλομένοις εἰς αὐτὰς ἁμαρτάνειν πολλὴν ἄδειαν ποιήσουσι. (49) Πολὺ γὰρ οὕτω δικαιότερον ἢ ὑπὸ τῶν νόμων τοὺς πολίτας ἐνεδρεύεσθαι, οἳ κελεύουσι μέν, ἐάν τις μοιχὸν λάβῃ, ὅ τι ἂν οὖν βούληται χρῆσθαι, οἱ

ut adulter meas ædes intrare minus auderet: deinde, an videar vobis, hospite dimisso, solus mansurus fuisse et omni auxilio destitutus, an potius jussisse ut is maneret, et una mecum pœnas exigeret ab adultero? (41) Ad postremum, Athenienses, nonne vobis videar amicis de die præcepisse et cohortatus eos esse ut in ædes familiarium in proximo convenirent, potius quam, ubi illum intrasse cognovi, per noctem discurrere, ignarus quem domi reperturus essem, quem vero foris? Nam ad Harmodium quidem illumque atque illum postquam veni, eos peregre profectos (id enim nesciebam), alios foris esse reperi, adeo ut iis quos possem assumptis domum redirem. (42) Quodsi rem prævidissem, nonne vobis videar servos instruxisse et amicos præmonuisse, quum ut ego tutissime intrare possem (qui enim noveram utrum ille quoque ferrum haberet?) tum ut pœnas coram quam plurimis sumerem? Jam vero nihil eorum prævidens quæ in illa nocte futura essent, quos potui adduxi mecum. Horum mihi testes ascendite.

TESTES.

43. Testes audivistis, Athenienses. Jam vero apud vosmetipsos ita de hac re considerate, ut investigetis utrum mihi cum Eratosthene ulla unquam intercesserit simultas præter hanc solam. (44) Nullam omnino reperietis. Neque enim per calumniam criminis in remp. commissi me reum egit, neque patria ejicere studuit, neque privatis de causis in foro mecum certavit, neque mihi scelus aliquod conscivit, quod ego veritus ne quis resciesceret, istius mortem expetivissem; neque ex nece ipsi allata quæstum aliquem exspectabam: nam horum causa nonnulli sibi invicem exitium meditantur. (45) Atenim tantum abest ut convicium aliquod, vel temulenta rixa, vel alia quævis discordia inter nos fuerit, ut hominem in illa nocte primum viderim. Qua igitur mente tantum adirem periculum, ni injuria longe omnium gravissima ab eo affectus fuissem? (46) Deinde, an is sim qui scelus committerem advocatis testibus, quum mihi liceret, si illum injuste perdere voluissem, idem facere remotis testibus?

47. Equidem, Athenienses, eas pœnas quas sumpsi non ad me solum privatim pertinere arbitror, sed ad universam civitatem. Nam qui ejusmodi facinora perpetrant, ubi viderint quænam legibus proposita sint hujusmodi flagitiis præmia, minus prompte in alios peccabunt, si vos quoque videant eodem esse animo. (48) Sin aliter sentiatis, præstat sane abrogare leges positas et novas perferre, quæ suarum uxorum custodes vigilantissimos graviter mulctent, earumdemque stupratoribus magnam impunitatem concedant. (49) Id enim multo justius foret, quam cives in insidiis duci a legibus, quæ jubent quidem ut, si quis adulterum deprehenderit, de eo statuat suo libitu, majus tamen judicii periculum iis afferunt qui in-

δ' ἀγῶνες δεινότεροι τοῖς ἀδικουμένοις καθεστήκασιν ἢ τοῖς παρὰ τοὺς νόμους τὰς ἀλλοτρίας καταισχύνουσι γυναῖκας. (50) Ἐγὼ γὰρ νῦν καὶ περὶ τοῦ σώματος καὶ περὶ τῶν χρημάτων καὶ περὶ τῶν ἄλλων ἁπάντων κινδυνεύω, ὅτι τοῖς τῆς πόλεως νόμοις ἐπειθόμην.

II.

190 ## ΕΠΙΤΑΦΙΟΣ

ΤΟΙΣ ΚΟΡΙΝΘΙΩΝ ΒΟΗΘΟΙΣ.

Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες ἐπὶ τῷδε τῷ τάφῳ, λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν, ἐμεμψάμην ἂν τοῖς ἐπαγγείλασιν ἐπ' αὐτοῖς ἐξ ὀλίγων ἡμερῶν λέγειν· ἐπειδὴ δὲ πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ, προνοουμένη τῶν ἐνθάδε λεγόντων, ἐξ ὀλίγου τὴν πρόσταξιν ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν. (2) Ὅμως δὲ ὁ μὲν λόγος μοι περὶ τούτων, ὁ δ' ἀγὼν οὐ πρὸς τὰ τούτων ἔργα, ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρηκότας. Τοσαύτην γὰρ ἀφθονίαν παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμένοις καὶ τοῖς εἰπεῖν βουληθεῖσιν, ὥστε καλὰ μὲν πολλὰ τοῖς προτέροις περὶ αὐτῶν εἰρῆσθαι, πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖφθαι, ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι εἰπεῖν· οὔτε γὰρ γῆς ἄπειροι οὔτε θαλάττης οὐδεμιᾶς, πανταχοῦ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις οἱ τὰ αὑτῶν πενθοῦντες κακὰ τὰς τούτων ἀρετὰς ὑμνοῦσι.

3. Πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι, μνήμην παρὰ τῆς φήμης λαβών· ἄξιον γὰρ πᾶσιν ἀνθρώποις κἀκείνων μεμνῆσθαι, ὑμνοῦντας μὲν ἐν ταῖς ᾠδαῖς, λέγοντας δ' ἐν ταῖς τῶν ἀγαθῶν μνήμαις, τιμῶντας δ' ἐν τοῖς καιροῖς τοῖς τοιούτοις, παιδεύοντας δ' ἐν τοῖς τῶν τεθνεώτων ἔργοις τοὺς ζῶντας.

4. Ἀμαζόνες γὰρ Ἄρεως μὲν τὸ παλαιὸν ἦσαν θυγατέρες, οἰκοῦσαι δὲ παρὰ τὸν Θερμώδοντα ποταμόν, μόναι μὲν ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτάς, πρῶται δὲ τῶν πάντων ἐφ' ἵππους ἀναβᾶσαι, οἷς ἀνελπίστως δι' ἀπειρίαν τῶν ἐναντίων ᾕρουν μὲν τοὺς φεύγοντας, ἀπέλειπον δὲ τοὺς διώκοντας, ἐνομίζοντο διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες ἢ διὰ τὴν φύσιν γυναῖκες· πλέον γὰρ ἐδόκουν τῶν ἀνδρῶν ταῖς ψυχαῖς διαφέρειν ἢ ταῖς ἰδέαις ἐλλείπειν. (5) Ἄρχουσαι δὲ πολλῶν ἐθνῶν, καὶ ἔργῳ μὲν τοὺς περὶ αὐτὰς καταδεδουλωμέναι, λόγῳ δὲ περὶ τῆσδε τῆς χώρας ἀκούουσαι κλέος μέγα, πολλῆς δόξης καὶ μεγάλης ἐλπίδος χάριν παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν ἐστράτευσαν ἐπὶ τήνδε τὴν πόλιν. Τυχοῦσαι δ' ἀγαθῶν ἀνδρῶν ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει, καὶ ἐναντίαν τὴν δόξαν τῆς προ-

juriam sunt perpessi quam iis qui præter leges uxores alienas dedecorant. (50) Ego enim hodie in discrimen vitæ, fortunarum, et reliquarum rerum omnium venio, quod civitatis legibus obtemperavi.

II.

ORATIO FUNEBRIS

IN CORINTHIORUM SOCIOS.

Si existimarem, o vos qui huic sepulcro adestis, fieri posse ut oratione quisquam assequatur eorum virtutem qui hic jacent conditi; expostulaturus forem cum iis qui ex paucorum dierum apparatu laudes ipsorum prædicandas mandaverunt: at quoniam tempus vel longissimum nulli homini sufficeret ad concinnandam orationem horum gestis æqualem, idcirco mihi videtur civitas eorum qui hic dicturi sunt rationem habuisse, dum exiguum temporis spatium ad præparationem constituit, quod inde præsertim putaret ipsos ab auditoribus facillime veniam impetraturos. (2) Est itaque mihi de his dicturo certamen propositum non cum horum præclaris facinoribus, sed cum iis qui prius in illorum laudem dixerunt. Tantam enim rerum dicendarum copiam virtus illorum suppeditat iis qui res gestas vel carmine vel soluto sermone ornare queunt, ut quamvis multa dicta sint a prioribus, multa tamen ab ipsis omissa reperiantur, nec pauca etiam posterioribus adhuc supersint enarranda. Nullius enim sunt neque continentis neque pelagi exsortes, sed ubique in populis sunt qui, dum sua ipsorum mala lugent, horum virtutes decantant.

3. Primo itaque loco antiqua majorum certamina prosequar, quorum memoriam fama nobis reservavit. Decet enim omnes homines illorum quoque meminisse, alias in carminibus cantantes eorum nomina, alias appellantes in commemorationibus virorum fortium, alias debito prosequentes honore in temporibus huic nostro similibus, et mortuorum exemplis eos qui vivunt instituentes.

4. Amazones igitur, antiquum genus, Martis fuerunt filiæ, quæ juxta Thermodontem fluvium habitabant, solæque omnium circa populorum ferro armabantur, et primæ in equos ascenderunt, quibus hostes necopinantes, insolitæque rei ignaros, et consequebantur in fugam versos, et persequentes effugiebant. Videbantur autem ob fortitudinem viris ascribendæ potius quam ob sexum feminis. Putabantur enim magis præstare viris animo quam sexu cedere. (5) Multis circa gentibus imperitantes a se subactis, celebrem nostræ patriæ gloriam quum fando accepissent, summo amore laudis et spe magna ductæ, bellicosissimis nationibus assumptis, huic civitati bellum intulerunt. Quum autem incidissent in viros strenuos, animos naturæ ipsarum congruentes nactæ et opinionem

τέρας λαβοῦσαι μᾶλλον ἐκ τῶν κινδύνων ἢ ἐκ τῶν σωμάτων ἔδοξαν εἶναι γυναῖκες. (6) Μόναις δ' αὐταῖς οὐκ
191 ἐξεγένετο ἐκ τῶν ἡμαρτημένων μαθούσαις ἄμεινον περὶ τῶν λοιπῶν βουλεύσασθαι, οὐδ' οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε σφετέραν αὐτῶν δυστυχίαν καὶ τὴν ἡμετέρων προγόνων ἀρετήν· αὐτοῦ γὰρ ἀποθανοῦσαι, καὶ δίκην τῆς ἀνοίας δοῦσαι, τῇσδε μὲν τῆς πό-
b λεως διὰ τὴν ἀρετὴν ἀθάνατον μνήμην ἐποίησαν, τὴν δὲ ἑαυτῶν πατρίδα διὰ τὴν ἐνθάδε συμφορὰν ἀνώνυμον κατέστησαν. Ἐκεῖναι μὲν οὖν τῆς ἀλλοτρίας ἀδίκως ἐπιθυμήσασαι τὴν ἑαυτῶν δικαίως ἀπώλεσαν.

7. Ἀδράστου δὲ καὶ Πολυνείκους ἐπὶ Θήβας στρατευσάντων καὶ ἡττηθέντων μάχῃ, οὐκ ἐώντων Καδμείων θάπτειν τοὺς νεκρούς, Ἀθηναῖοι ἡγησάμενοι ἐκείνους μέν, εἴ τι ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν τὴν μεγίστην, τοὺς δὲ κάτω τὰ αὑτῶν οὐ κομίζεσθαι, ἱερῶν δὲ μιαινομένων τοὺς ἄνω θεοὺς ἀσεβεῖσθαι, τὸ μὲν πρῶτον πέμψαντες κήρυκας ἐδέοντο αὐτῶν δοῦναι τὴν τῶν νεκρῶν ἀναίρεσιν, (8) νομίζοντες ἀνδρῶν μὲν ἀγαθῶν εἶναι ζῶντας τοὺς ἐχθροὺς τιμωρήσασθαι, ἀπιστούντων δὲ σφίσιν αὐτοῖς ἐν τοῖς τῶν τεθνεώτων σώμασι τὴν εὐψυχίαν ἐπιδείκνυσθαι, οὐ δυνάμενοι δὲ τούτων τυχεῖν ἐστράτευσαν ἐπ' αὐτούς, οὐδεμιᾶς διαφορᾶς πρότερον πρὸς Καδμείους ὑπαρχούσης, οὐδὲ τοῖς ζῶσιν Ἀργείων χαριζόμενοι, (9) ἀλλὰ τοὺς τεθνεῶτας ἐν τῷ πολέμῳ ἀξιοῦντες τῶν νομιζομένων τυγχάνειν πρὸς τοὺς ἑτέρους ὑπὲρ ἀμφοτέρων ἐκινδύνευσαν, ὑπὲρ μὲν τῶν, ἵνα μηκέτι εἰς τοὺς τεθνεῶτας ἐξαμαρτάνοντες πλείω περὶ τοὺς θεοὺς ἐξυβρίσωσιν, ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ πρότερον εἰς τὴν αὑτῶν ἀπέλθωσι πατρίου τιμῆς ἀτυχήσαντες καὶ Ἑλληνικοῦ νόμου στερηθέντες καὶ κοινῆς ἐλπίδος ἡμαρτηκότες. (10) Ταῦτα διανοηθέντες, καὶ τὰς ἐν τῷ πολέμῳ τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν πολεμίους κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον, ἐνίκων μαχόμενοι· καὶ οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες μείζονος παρὰ Καδμείων τιμωρίας ἐπεθύμησαν, ἀλλ' ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο, αὐτοὶ δὲ λαβόντες τὰ ἆθλα ὧνπερ ἕνεκεν ἀφίκοντο, τοὺς Ἀργείων νεκρούς, ἔθαψαν ἐν τῇ αὑτῶν Ἐλευσῖνι. Περὶ μὲν οὖν τοὺς ἀποθανόντας τῶν ἑπτὰ ἐπὶ Θήβας τοιοῦτοι γεγόνασιν.

11. Ὑστέρῳ δὲ χρόνῳ, ἐπειδὴ Ἡρακλῆς μὲν ἐξ ἀνθρώπων ἠφανίσθη, οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν Εὐρυσθέα, ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν Ἑλλήνων, αἰσχυνομένων μὲν τοῖς ἔργοις, φοβουμένων δὲ τὴν Εὐρυσθέως δύναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν ἱκέται ἐπὶ τῶν βωμῶν ἐκαθέζοντο· (12) ἐξαιτουμένου δὲ αὐτοὺς Εὐρυσθέως, Ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν Ἡρακλέους ἀρετὴν μᾶλλον ᾐδοῦντο ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο, καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου διαμάχεσθαι μᾶλλον ἢ τοῖς δυναμένοις χαριζόμενοι τοὺς ὑπ' ἐκείνων ἀδικουμένους ἐκδοῦναι. (13) Ἐπιστρατεύσαντος δ' Εὐρυσθέως μετὰ τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ Πελοπόννησον ἐχόντων, οὐκ ἐγγὺς

a pristina diversam, certaminum discrimine potius quam ex habitu corporis mulieres esse judicatæ sunt. (6) Atque his solis non contigit, ut malis edoctæ in posterum sibi melius consulerent, neque ut reversæ domum narrarent et calamitatem suam et majorum nostrorum virtutem; sed in acie occumbentes stultitiæ suæ dederunt pœnas, ac huic quidem civitati gloriam virtutis immortalem, suæ vero patriæ æternum ignobilitatis dedecus pepererunt. Sic illæ injuste appetentes aliena, sua jure optimo amiserunt.

7. Adrasto autem et Polynice Thebas oppugnantibus ac prœlio victis, Cadmeisque nolentibus ut mortui sepelirentur, Athenienses arbitrati illos quidem, si quid deliquissent, jam mortuos summam delicti pœnam persolvisse, deos vero inferos jura sibi debita non consequi, et pollutis sacris violari deos superos, primum quidem misso præcone eos rogabant ut mortuos tolli sinerent ad sepulturam; (8) quod judicarent strenuorum quidem virorum esse viventes inimicos ulcisci, sibi vero diffidentium in exanimis corporibus animorum vim ostentare. Quo non obtento, Cadmeos adorti sunt, nec horum odio quibuscum nullas prius exercuerant simultates, nec Argivorum superstitum gratia, (9) sed æquum rati ut mortui in bello legitima consequerentur, adversus alteros pro utrisque dimicaverunt; pro illis quidem, ne amplius peccarent in mortuos, deosque gravius offenderent; pro his vero, ut ne in suam redirent regionem, honorem patrium non assecuti, jure universæ Græciæ privati et communi spe frustrati. (10) Quæ quum cogitarent ac fortunam belli communem cunctis mortalibus existimarent, hostes licet plurimos pugnando vicerunt, quod a se stantem haberent justitiam. Neque successu inflati, graviores a Cadmeis pœnas voluerunt repetere, sed illorum impietati, velut adversariam, suam opposuerunt pietatem, adeptique illa ipsa certaminis præmia, quorum causa venerant, corpora nempe Argivorum, Eleusine, suæ ditionis oppido, contumulaverunt. Erga eos igitur qui ex septem illis ad Thebas ducibus pugnantes vita defuncti sunt, tales fuere.

11. Tempore autem sequenti, postquam Hercules e rebus humanis sublatus est, liberi ipsius fugientes Eurystheum ab omnibus Græcis rejiciebantur, non illis quidem nullo motis pudore tantæ turpitudinis, at reformidantibus Eurysthei potentiam. (12) Qui hanc ingressi civitatem, quum ad altaria supplices confugissent, deposcenti eos Eurystheo Athenienses tradere recusarunt, sed Herculis virtutem magis reverebantur quam suum periculum timebant, malebantque pro infirmioribus cum justitia pugnare quam potentioribus gratificando per injurias eorum oppressos ad supplicium tradere. (13) Movente autem ipsis bellum Eurystheo cum iis qui tunc erant Peloponnesi incolis, periculis tam instantibus, non pœnitentia ducebantur, sed in eodem

τῶν δεινῶν γενόμενοι μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην ἥνπερ πρότερον, ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν πεπονθότες, ἐκείνους τ' οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται γενόμενοι· (14) δίκαιον δὲ νομίζοντες εἶναι, οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ κέρδους προκειμένου πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον ὑπὲρ αὐτῶν ἤραντο, τοὺς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς δ' ὑβρίζοντας μισοῦντες, καὶ τοὺς μὲν κωλύειν ἐπιχειροῦντες, τοῖς δ' ἐπικουρεῖν ἀξιοῦντες, ἡγούμενοι ἐλευθερίας μὲν σημεῖον εἶναι μηδὲν ποιεῖν ἄκοντας, δικαιοσύνης δὲ τοῖς ἀδικουμένοις βοηθεῖν, εὐψυχίας δ' ὑπὲρ τούτων ἀμφοτέρων, εἰ δέοι, μαχομένους ἀποθνήσκειν. (15) Τοσοῦτον δ' ἐφρόνουν ἀμφότεροι, ὥσθ' οἱ μὲν μετ' Εὐρυσθέως οὐδὲν παρ' ἑκόν-
192 των ἐζήτουν εὑρίσκεσθαι, Ἀθηναῖοι δὲ οὐκ ἠξίουν Εὐρυσθέα αὐτὸν ἱκετεύοντα τοὺς ἱκέτας παρ' αὐτῶν ἐξελεῖν. Παραταξάμενοι δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου στρατιὰν ἐλθοῦσαν ἐνίκων μαχόμενοι, καὶ τῶν Ἡρακλέους παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν, ἀπαλλάξαντες δὲ τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν, διὰ δὲ τὴν τοῦ πατρὸς ἀρετὴν ἐκείνους τοῖς αὐτῶν κινδύνοις ἐστεφάνωσαν. (16) Τοσοῦτον δὲ εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο τοῦ πατρός· ὁ μὲν γάρ, καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπίπονον καὶ φιλόνεικον καὶ φιλότιμον αὑτῷ καταστήσας τὸν βίον τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν, Εὐρυσθέα δὲ καὶ ἐχθρὸν ὄντα καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα οὐχ οἷός τε ἦν τιμωρήσασθαι· οἱ δὲ παῖδες αὐτοῦ διὰ τήνδε τὴν πόλιν τῇ αὐτῇ εἶδον ἡμέρᾳ τήν θ' ἑαυτῶν σωτηρίαν καὶ τὴν τῶν ἐχθρῶν τιμωρίαν.

17. Πολλὰ μὲν οὖν ὑπῆρχε τοῖς ἡμετέροις προγόνοις μιᾷ γνώμῃ χρωμένοις περὶ τοῦ δικαίου διαμάχεσθαι· ἥ τε γὰρ ἀρχὴ τοῦ βίου δικαία· οὐ γάρ, ὥσπερ οἱ πολλοί, πανταχόθεν συνειλεγμένοι καὶ ἑτέρους ἐκβαλόντες τὴν ἀλλοτρίαν ᾤκησαν, ἀλλ' αὐτόχθονες ὄντες τὴν αὐτὴν ἐκέκτηντο καὶ μητέρα καὶ πατρίδα. (18) Πρῶτοι δὲ καὶ μόνοι ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκβαλόντες τὰς παρὰ σφίσιν αὐτοῖς δυναστείας δημοκρατίαν κατεστήσαντο, ἡγούμενοι τὴν πάντων ἐλευθερίαν ὁμόνοιαν εἶναι μεγίστην, κοινὰς δ' ἀλλήλοις τὰς ἐκ τῶν κινδύνων ἐλπίδας ποιήσαντες ἐλευθέραις ταῖς ψυχαῖς ἐπολιτεύοντο, (19) νόμῳ τοὺς ἀγαθοὺς τιμῶντες καὶ τοὺς κακοὺς κολάζοντες, ἡγησάμενοι θηρίων μὲν ἔργον εἶναι ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις δὲ προσήκειν νόμῳ μὲν ὁρίσασθαι τὸ δίκαιον, λόγῳ δὲ πεῖσαι, ἔργῳ δὲ τούτοις ὑπηρετεῖν, ὑπὸ νόμου μὲν βασιλευομένους, ὑπὸ λόγου δὲ διδασκομένους.

20. Καὶ γάρ τοι καὶ φύντες καλῶς καὶ γνόντες ὅμοια, πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε κειμένων εἰργάσαντο, ἀείμνηστα δὲ καὶ μεγάλα καὶ πανταχοῦ οἱ ἐξ ἐκείνων γεγονότες τρόπαια διὰ τὴν αὑτῶν ἀρετὴν κατέλιπον. Μόνοι γὰρ ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν. (21) Ὁ γὰρ τῆς Ἀσίας βασιλεὺς οὐκ ἀγαπῶν

proposito firmiter perseverabant, quamvis nulla privata essent in ipsos Herculis merita, ignorarentque quales Heraclidæ, postquam adolevissent, erga se essent futuri; (14) sed quum id æquum esse ducerent, etsi neque simultas ipsis antea cum Eurystheo intercessisset, neque aliud sibi lucrum esset propositum præterquam honoris et gloriæ, tantum discrimen pro Heraclidis adierunt, parique vim passorum misericordia et inferentium odio, hos reprimere conabantur, illis auxiliari festinabant, existimantes notam libertatis hanc esse, nihil invitos facere; justitiæ, succurrere injuria affectis; fortitudinis, pro libertate et justitia, si ita res postulet, pugnando occumbere. (15) Tam elatis autem erant utrimque animis, ut Eurystheus nihil a volentibus per gratiam impetrare cuperet, Athenienses vero supplices tradere nollent, etiam si supplex id Eurystheus rogasset. Productis itaque in aciem domesticis copiis, collectum ex universa Peloponneso fuderunt exercitum, Heraclidarumque non corpora duntaxat collocarunt in tuto, sed et animos ab omni metu reddiderunt immunes, et propter patris virtutem suis illos periculis victoriæ corona ornarunt. (16) Tanto nimirum feliciores patre fuerunt liberi, quod pater quidem, quamvis multorum bonorum auctor omnibus esset hominibus, quamvis plenam labore, contentione et amore laudis duceret vitam, et aliorum scelera ulcisceretur, de Eurystheo tamen, suo inimico et injuriis ipsum oneranti, pœnam sumere non potuisset; liberi vero, civitatis hujus virtute, eadem die viderint et suam ipsorum salutem et suorum pœnas inimicorum.

17. Sæpe quidem contigit majoribus nostris pro justo et æquo communi assensu decertare, quippe quibus ipsum vitæ principium jure fundatum esset. Non enim, ut plerique, undecumque collecti, expulsis aliis, alienum solum occupaverunt; sed quum essent indigenæ, eandem habuerunt regionem et matrem et patriam. (18) Primi autem et soli eo tempore, regnis apud se abolitis, democratiam instituerunt, arbitrati libertatem omnium summam efficere concordiam. Atque quum spes e periculis proposuissent omnibus pares, liberis animis administrabant rempublicam, (19) legum arbitrio honorabant bonos et improbos puniebant, quod existimarent ferarum esse inter ipsas vi aliam ab alia superari; at decere homines æquitatem quum lege finire, tum ratione persuadere, et utrisque servire pariter gubernatos ab illa et ab hac edoctos.

20. Ac profecto majores eorum qui hic sepulti sunt, quum essent honeste nati, et honestis natalibus congrua sentirent, multa præclara et admiranda præstiterunt facinora. Illorum quoque posteri ita virtute excelluerunt, ut magna et digna æterna memoria ubique tropæa relinquerent. Nam solis ipsorum viribus adversus multas barbarorum myriadas dimicarunt. (21) Nempe Asiæ rex præsentibus

τοῖς ὑπάρχουσιν ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν Εὐρώπην δουλώσασθαι, ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. Ἡγησάμενοι δέ, εἰ τήνδε τὴν πόλιν ἢ ἑκοῦσαν φίλην ποιήσαιντο ἢ ἄκουσαν καταστρέψαιντο, ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξειν, ἀπέβησαν εἰς Μαραθῶνα, νομίσαντες οὕτως ἂν ἐρημοτάτους εἶναι συμμάχων τοὺς Ἕλληνας, εἰ ἔτι στασιαζούσης τῆς Ἑλλάδος ᾧτινι χρὴ τρόπῳ τοὺς ἐπιόντας ἀμύνασθαι, τὸν κίνδυνον ποιήσαιντο. (22) Ἔτι δ' αὐτοῖς ἐκ τῶν προτέρων ἔργων περὶ τῆς πόλεως τοιαύτη δόξα παρειστήκει, ὡς εἰ μὲν πρότερον ἐπ' ἄλλην πόλιν ἴασιν, ἐκείνοις καὶ Ἀθηναίοις πολεμήσουσι· προθύμως γὰρ τοῖς ἀδικουμένοις ἥξουσι βοηθήσοντες· εἰ δ' ἐνθάδε πρῶτον ἀφίξονται, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολμήσειν ἑτέρους σώζοντας φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν καταθέσθαι. (23) Οἱ μὲν τοίνυν τοιαῦτα διενοοῦντο· οἱ δ' ἡμέτεροι πρόγονοι οὐ λογισμῷ δόντες τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον, οὐκ ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων, ἀλλὰ τῇ αὐτῶν ἀρετῇ μᾶλλον ἐπίστευσαν. Καὶ αἰσχυνόμενοι ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν πυθέσθαι οὐδὲ βοηθῆσαι τοὺς συμμάχους, οὐδ' ᾠήθησαν δεῖν ἑτέροις τῆς σωτηρίας χάριν εἰδέναι, ἀλλὰ σφίσιν αὐτοῖς τοὺς ἄλλους Ἕλληνας. (24) Ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες ἀπήντων ὀλίγοι πρὸς πολλούς· ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν αὐτοῖς μετὰ πάντων προσήκειν, ἀγαθοὺς δ' εἶναι μετ' ὀλίγων, καὶ τὰς μὲν
193 ψυχὰς ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι, τὴν δ' ἐκ τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν. Ἠξίουν δ', οὓς μὴ μόνοι νικῷεν, οὐδ' ἂν μετὰ συμμάχων δύνασθαι· καὶ ἡττηθέντες μὲν ὀλίγῳ τῶν ἄλλων προαπολεῖσθαι, νικήσαντες δὲ καὶ τοὺς ἄλλους ἐλευθερώσειν. (25) Ἄνδρες δ' ἀγαθοὶ γενόμενοι, καὶ τῶν μὲν σωμάτων ἀφειδήσαντες, ὑπὲρ δὲ τῆς ἀρετῆς οὐ φιλοψυχήσαντες, καὶ μᾶλλον τοὺς παρ' αὐτοῖς νόμους αἰσχυνόμενοι ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον φοβούμενοι, ἔστησαν μὲν τρόπαια ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων ἐν τῇ αὐτῶν, ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων, παρὰ τοὺς ὅρους τῆς χώρας, (26) οὕτω δὲ διὰ ταχέων τὸν κίνδυνον ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ τοῖς ἄλλοις ἀπήγγειλαν τήν τ' ἐνθάδε ἄφιξιν τῶν βαρβάρων καὶ τὴν τῶν προγόνων νίκην. Καὶ γάρ τοι οὐδεὶς τῶν ἄλλων ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος κινδύνου, ἀλλ' ἀκούσαντες ὑπὲρ τῆς αὐτῶν ἐλευθερίας ἥσθησαν. Ὥστε οὐδὲν θαυμαστόν, πάλαι τῶν ἔργων γεγενημένων, ὥσπερ καινῶν ὄντων ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀνθρώπων ζηλοῦσθαι.

27. Μετὰ δὲ ταῦτα Ξέρξης ὁ τῆς Ἀσίας βασιλεύς, καταφρονήσας μὲν τῆς Ἑλλάδος, ἐψευσμένος δὲ τῆς ἐλπίδος, ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ, ἀχθόμενος δὲ τῇ συμφορᾷ, ὀργιζόμενος δὲ τοῖς αἰτίοις, ἀπαθὴς δ' ὢν κακῶν καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν, δεκάτῳ ἔτει παρασκευασάμενος χιλίαις μὲν καὶ διακοσίαις ναυσὶν ἀφίκετο, τῆς δὲ πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆ-

bonis non contentus et Europam quoque se subacturum sperans, misit quingenta millia bellatorum. Qui quum arbitrarentur reliquam Græciam se facile debellaturos, si hanc civitatem aut volentem sibi amicitia adjungerent, aut repugnantem everterent, descenderunt ad Marathonem, autumantes tum maxime futurum ut nostros a sociis destitutos opprimerent, quum dissidente adhuc Græcia et dubitante quomodo hosti invadenti resistendum esset, belli aleam experirentur. (22) Deinde præteritorum gestorum edocti exemplo, hanc de nostra civitate opinionem habuerunt, fore ut, si alios Græcos primum invaderent, sibi et cum illis et cum Atheniensibus esset decertandum; quoniam Athenienses prompte vim passis subventuri essent: sin autem huc primum incurrerent, nullos Græcorum ausuros, alios servandi studio, manifestos Persarum hostes se profiteri. (23) Atque illi quidem talia cogitabant. Nostri vero majores, non consideratis belli periculis, sed arbitrati mortem gloriosam immortalem virorum fortium memoriam relinquere, hostium multitudinem non formidaverunt, sed suæ ipsorum virtuti magis confidebant. Atque magno pudore suffusi quod barbaros viderent in sua regione, non exspectaverunt donec ejus rei fama ad socios permanaret, et hi ad auxiliandum accurrerent; neque putaverunt decere ut ipsi suam salutem aliis referrent acceptam, sed ut sibi potius ceteri Græci. (24) Hæc omnes uno animo sentientes occurrunt pauci multis, quod existimarent mori quidem sibi esse commune cum omnibus, virtute autem præstare cum paucis tantummodo; et ut vita sibi, ob moriendi necessitatem omnibus impositam, quasi aliena et mutuo accepta erat, ita periculorum famam sibi propriam posteritati commendaturos. Autumabant porro quos soli domesticis viribus non vicissent, eos ne cum sociis quidem se posse superare; et, si vincerentur, exiguo temporis spatio ante ceteros mortem se oppetituros, victores autem omnes alios secum esse servaturos ac in libertatem vindicaturos. (25) Quum igitur se exhiberent viros fortes, quum nihil parcerent vitæ et corporibus, dummodo proferrent virtutem, quum patrias leges magis revererentur quam certamen hostile formidarent, pro salute Græciæ in sua ipsorum terra tropæum statuerunt adversus barbaros, qui aliorum opes invadendi causa fines alienos transgressi fuerant. (26) Tanta vero celeritate discrimen hoc adierunt, ut iidem et barbarorum adventum et majorum nostrorum nuntiarint victoriam. Unde factum est ut nemo alius de futuro periculo trepidaret, sed omnes statim audientes conservata sua libertate gauderent. Nihil itaque mirum accidit gesta illa, antiqua licet, perinde ac si recentissima sint, omnium admiratione et laudibus etiamnum celebrari.

27. Post hæc vero Xerxes, Asiæ rex, contemptis Græcis, sua spe falsus, quum eventuum dedecore ureretur, et ob acceptam a patre cladem iratus, hujus auctoribus succenseret, ipse malorum expers et fortium virorum ignarus, per decem annos rebus comparatis, cum ducentis et mille navibus huc accessit; peditum vero copias adduxit multitudine adeo innumerabiles, ut etiam gentes quæ ipsum

θος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον εἴη καταλέξαι· (28) τὸ δὲ μέγιστον σημεῖον τοῦ πλήθους· ἐξὸν γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι κατὰ τὸ στενώτατον τοῦ Ἑλλησπόντου τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν αὐτῷ πολλὴν ἔσεσθαι· (29) ἀλλ' ὑπεριδὼν καὶ τὰ φύσει πεφυκότα καὶ τὰ θεῖα πράγματα καὶ τὰς ἀνθρωπίνας διανοίας, ὁδὸν μὲν διὰ τῆς θαλάσσης ἐποιήσατο, πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι, ζεύξας μὲν τὸν Ἑλλήσποντον, διορύξας δὲ τὸν Ἄθω· ὑφισταμένου οὐδενός, ἀλλὰ τῶν μὲν ἀκόντων ὑπακουόντων, τῶν δὲ ἑκόντων προδιδόντων· οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι, οἱ δ' ὑπὸ χρημάτων διεφθαρμένοι· ἀμφότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα, κέρδος καὶ δέος. (30) Ἀθηναῖοι δ' οὕτω διακειμένης τῆς Ἑλλάδος αὐτοὶ μὲν εἰς τὰς ναῦς ἐμβάντες ἐπ' Ἀρτεμίσιον ἐβοήθησαν· Λακεδαιμόνιοι δὲ καὶ τῶν συμμάχων ἔνιοι εἰς Θερμοπύλας ἀπήντησαν, ἡγούμενοι διὰ τὴν στενότητα τῶν χωρίων τὴν πάροδον οἷοί τ' ἔσεσθαι διαφυλάξαι. (31) Γενομένου δὲ τοῦ κινδύνου κατὰ τὸν αὐτὸν χρόνον, Ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ, Λακεδαιμόνιοι δέ, οὐ ταῖς ψυχαῖς ἐνδεεῖς γενόμενοι, ἀλλὰ τοῦ πλήθους ψευσθέντες καὶ οὓς φυλάξειν ᾤοντο καὶ πρὸς οὓς κινδυνεύσειν ἔμελλον οὐχ ἡττηθέντες τῶν ἐναντίων, ἀλλ' ἀποθανόντες οὗπερ ἐτάχθησαν μάχεσθαι —, (32) τούτῳ δὲ τῷ τρόπῳ τῶν μὲν δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων, οἱ μὲν ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν, οἱ δ' ἡμέτεροι πρόγονοι πυθόμενοι μὲν τὴν γεγενημένην Λακεδαιμονίοις συμφοράν, ἀποροῦντες δὲ τοῖς περιεστηκόσι πράγμασιν, εἰδότες δ' ὅτι, εἰ μὲν κατὰ γῆν τοῖς βαρβάροις ἀπαντήσονται, ἐπιπλεύσαντες χιλίαις ναυσὶν ἐρήμην τὴν πόλιν λήψονται, εἰ δὲ εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρατιᾶς ἁλώσονται, ἀμφότερα δ' οὐ δυνήσονται, ἀμύνασθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν, (33) δυοῖν δὲ προκειμένοιν, πότερον χρὴ τὴν πατρίδα ἐκλιπεῖν ἢ μετὰ τῶν βαρβάρων γενομένους καταδουλώσασθαι τοὺς Ἕλληνας, ἡγησάμενοι κρεῖττον εἶναι μετ' ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν ἢ μετ' ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις
194 κινδυνεύσωσιν, ὑπεκθέμενοι δὲ παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σαλαμῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. (34) Οὐ πολλαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιὰ καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων, ὃ τίς ἰδὼν οὐκ ἂν ἐφοβήθη, ὡς μέγας καὶ δεινὸς τῇδε τῇ πόλει κίνδυνος ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; (35) Ποίαν δὲ γνώμην εἶχον ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις, οὔσης καὶ τῆς αὐτῶν σωτηρίας ἀπίστου καὶ τοῦ προσιόντος κινδύνου, ἢ οἱ μέλλοντες ναυμαχήσειν ὑπὲρ τῆς φιλότητος, ὑπὲρ τῶν ἐν Σαλαμῖνι; (36) Οἷς τοσοῦτον πανταχόθεν περιειστήκει πλῆθος πολεμίων, ὥστε

comitabantur recensere foret molestum. (28) Maximum autem multitudinis signum est, quod quum liceret ipsi mille navibus pedestres copias per angustum Hellesponti fretum trajicere ex Asia in Europam, id noluerit, moræ diuturnitatem sibi tædio fore arbitratus; (29) sed contempta rerum natura, contemptis divinis operibus et humanis consiliis, viam sibi fecit per mare, et navigationem per terram fieri coegit, tum Hellesponto ponte juncto, tum Atho monte perfosso; nullo e Græcis resistente, sed aliis invitis, quod se non possent tueri, aliis se sponte tradentibus, quod muneribus corrupti essent; quibus hæc duo, timor et lucrum, ut id facerent, persuadebant. (30) In hoc autem Græciæ misero statu, Athenienses cum classe ad Artemisium navigarunt barbaris obstituri; Lacedæmonii cum sociis nonnullis ad Thermopylas hosti occurrerunt, per locorum angustias sperantes fore ut aditum facile tuerentur. (31) Prœlio autem facto eodem tempore, Athenienses quidem navali pugna victores discesserunt; Lacedæmonii vero, quamvis animus ipsis non deesset, sed decepti numero tum eorum quos tuituri tum eorum contra quos pugnaturi erant, non victi ab adversariis, sed pugnando fessi, eo in loco occubuerunt quem quisque in acie sortitus fuerat. (32) Hoc igitur modo Lacedæmoniis infeliciter pugnantibus, Persæ aditu potiti contra hanc urbem procedebant. Nostri autem, majores Lacedæmoniorum audita calamitate, in his rerum procellis valde hærebant, certi quum essent futurum ut, si terra barbaris occurrerent, hi mille navibus appulsi desertam civitatem essent occupaturi; sin autem naves conscenderent, urbs pedestrium hostis copiarum præda fieret, nec utrumque possent, et propellere vim, et justum civitati præsidium relinquere. (33) Duobus ergo hisce propositis, patriamne præstaret deserere, an cum Barbaris jungi et Græcos redigere in servitutem, præstabiliorem esse ducentes libertatem cum virtute, paupertate et fuga, quam patriæ servitutem cum dedecore et opibus, urbem suam pro Græcia reliquerunt, ut seorsum adversus alteras hostium copias, nec simul cum utrisque confligerent. Liberis itaque, uxoribus et matribus Salamine depositis, reliquas sociorum navales copias congregaverunt. (34) Non multis post diebus Barbarorum classis et pedestres copiæ advenerunt; quarum vel solo aspectu quis non exhorruisset? Quantum quamque difficile pro Græcorum libertate certamen subiit hæc civitas! (35) Quid putatis animi fuisse aut iis qui e littore suos spectabant in navibus, quum sua ipsis salus esset dubia, et periculum jam jam adventaret; aut iis qui navali prœlio erant dimicaturi pro carissimis pignoribus, Salamine depositis? (36) Qui quidem tanta undique hostium multitudine cingebantur, ut

ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸ θάνατον τὸν αὐτῶν προειδέναι, μεγίστην δὲ συμφοράν, ἃ ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων τοὺς ὑπεκτεθέντας ἤλπιζον πείσεσθαι. (37) Ἦ που διὰ τὴν ὑπάρχουσαν ἀπορίαν πολλάκις μὲν ἐδεξιώσαντο ἀλλήλους, εἰκότως δὲ σφᾶς αὐτοὺς ὠλοφύραντο, εἰδότες μὲν τὰς σφετέρας ναῦς ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων, ἐπιστάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην, τὴν δὲ χώραν πορθουμένην καὶ μεστὴν τῶν βαρβάρων, ἱερῶν δὲ καιομένων, ἁπάντων δ' ἐγγὺς ὄντων τῶν δεινῶν, (38) ἀκούοντες δ' ἐν ταὐτῷ συμμεμιγμένου Ἑλληνικοῦ καὶ βαρβαρικοῦ παιᾶνος, παρακελευσμοῦ δ' ἀμφοτέρων καὶ κραυγῆς τῶν διαφθειρομένων, καὶ τῆς θαλάττης μεστῆς τῶν νεκρῶν, καὶ πολλῶν μὲν συμπιπτόντων καὶ φιλίων καὶ πολεμίων ναυαγίων, ἀντιπάλου δὲ πολὺν χρόνον οὔσης τῆς ναυμαχίας δοκοῦντες τοτὲ μὲν νενικηκέναι καὶ σεσῶσθαι, τοτὲ δ' ἡττῆσθαι καὶ ἀπολωλέναι. (39) Ἦ που διὰ τὸν παρόντα φόβον πολλὰ μὲν ᾠήθησαν ἰδεῖν ὧν οὐκ εἶδον, πολλὰ δ' ἀκοῦσαι ὧν οὐκ ἤκουσαν. Ποῖαι δ' οὐχ ἱκετεῖαι θεῶν ἐγένοντο ἢ θυσιῶν ἀναμνήσεις, ἔλεός τε παίδων καὶ γυναικῶν πόθος οἶκτός τε πατέρων καὶ μητέρων, λογισμὸς δ', εἰ δυστυχήσειαν, τῶν μελλόντων ἔσεσθαι κακῶν; (40) Τίς οὐκ ἂν θεῶν ἠλέησεν αὐτοὺς ὑπὲρ τοῦ μεγέθους τοῦ κινδύνου; ἢ τίς ἀνθρώπων οὐκ ἂν ἐδάκρυσεν; ἢ τίς τῆς τόλμης αὐτοὺς οὐκ ἂν ἠγάσθη; Ἦ πολὺ πλεῖστον ἐκεῖνοι κατὰ τὴν ἀρετὴν ἁπάντων ἀνθρώπων διήνεγκαν καὶ ἐν τοῖς βουλεύμασι καὶ ἐν τοῖς τοῦ πολέμου κινδύνοις, ἐκλιπόντες μὲν τὴν πόλιν, εἰς τὰς ναῦς δ' ἐμβάντες, τὰς δ' αὐτῶν ψυχὰς ὀλίγας οὔσας ἀντιτάξαντες τῷ πλήθει τῷ τῆς Ἀσίας. (41) Ἐπέδειξαν δὲ πᾶσιν ἀνθρώποις, νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν ἢ μετὰ πολλῶν βασιλευομένων ὑπὲρ τῆς αὐτῶν δουλείας. (42) Πλεῖστα δὲ καὶ κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας συνεβάλοντο, στρατηγὸν μὲν Θεμιστοκλέα, ἱκανώτατον εἰπεῖν καὶ γνῶναι καὶ πρᾶξαι, ναῦς δὲ πλείους τῶν ἄλλων ἁπάντων συμμάχων, ἄνδρας δ' ἐμπειροτάτους. Καίτοι τίνες ἂν τούτοις τῶν ἄλλων Ἑλλήνων ἤρισαν γνώμῃ καὶ πλήθει καὶ ἀρετῇ; (43) Ὥστε δικαίως μὲν ἀναμφισβήτητα τἀριστεῖα τῆς ναυμαχίας ἔλαβον παρὰ τῆς Ἑλλάδος, εἰκότως δὲ τὴν εὐτυχίαν ὁμονοοῦσαν τοῖς κινδύνοις ἐκτήσαντο, γνησίαν δὲ καὶ αὐτόχθονα τοῖς ἐκ τῆς Ἀσίας βαρβάροις τὴν αὑτῶν ἀρετὴν ἐπεδείξαντο.

44. Ἐν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὑτοὺς παρασχόντες καὶ πολὺ πλεῖστον τῶν κινδύνων μετασχόντες τῇ ἰδίᾳ ἀρετῇ κοινὴν τὴν ἐλευθερίαν καὶ τοῖς ἄλλοις ἐκτήσαντο· ὕστερον δὲ Πελοποννησίων διατειχιζόντων τὸν Ἰσθμόν, καὶ ἀγαπώντων μὲν τῇ σωτηρίᾳ, νομιζόντων δ' ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους Ἕλληνας περιιδεῖν ὑπὸ τοῖς βαρβάροις γενομένους, (45) ὀργισθέντες Ἀθηναῖοι συνεβούλευον αὐτοῖς, εἰ ταύτην τὴν γνώμην ἕξουσιν, περὶ

suam mortem, quam præscirent, malorum præsentium haberent in minimis, maximam autem ducerent calamitatem ea quæ sui cognati a victoribus barbaris perpessuri essent. (37) Certe propter rerum desperationem, qui in littore erant relicti, dexteris frequenter inter se conjunctis suam vicem merito deplorabant; quum suarum navium numerum exiguum, hostilium ingentem viderent; quum scirent urbem suam esse desertam, regionem vastatam et Barbaris refertam, templa incensa, omnia denique mala imminere. (38) Postquam vero audierunt mistos clamores nauticos Græcorum et Barbarorum, exhortationes amborum, ejulatus morientium; postquam mare viderunt jam cadaveribus refertum, multaque inter se collisa quassatarum navium et amicarum et hostilium fragmenta, incertamque jamdiu et dubiam prœlii navalis fortunam, ita ut nunc vicisse Græcos et servatos esse, nunc victos esse et periisse crederent: (39) hic profecto contigit ut præsenti metu exanimati multa se putarint videre quæ non videbant, et multa audire quæ non audiebant. Quibus vero precibus diis non supplicarunt? quarum victimarum non conceperunt vota? quæ non subiit animos miseratio liberorum, quod desiderium uxorum, quæ recordatio patrum et matrum, quæ cogitatio futurorum malorum, si adversa fortuna uterentur? (40) Quis deorum non esset illorum misertus ob periculi magnitudinem? aut quis hominum sorti illorum non illacrimavisset? aut quis illorum audaciam non esset admiratus? Illi sane mortales omnes virtute multum superarunt tam in consiliis quam in belli periculis, qui relicta civitate ascenderunt in naves, suamque vitam et paucitatem innumeris Asiæ copiis opposuerunt. (41) Demonstrarunt autem humano generi universo, fusis prœlio navali hostibus, præstabilius esse cum paucis pro libertate, quam cum multis alieno imperio pressis, pro sua ipsius servitute depugnare. (42) Plurima autem eaque maxima pro communi Græciæ libertate illi contulerunt: ducem inprimis Themistoclem non minus eloquentia et ingenio quam rebus gerendis pollentem; tum naves multo plures quam reliqui omnes socii, virosque rerum nauticarum expertissimos. Quis itaque ceterorum Græcorum cum his aut consilii firmitate, aut virorum multitudine, aut virtute contenderit? (43) Quare merito ab universa Græcia, sine ulla dubitatione, ipsam navalis victoriæ palmam adepti sunt. Merito quoque fortunam habuere periculis aditis parem, fortitudinemque suam genuinam et e patrio solo prognatam Barbaris ex Asia testatam fecere.

44. Tales igitur quum se præstitissent prœlio navali, partemque periculorum longe maximam soli tolerassent, propria sibi virtute communem libertatem reliquis pepererunt. Postea vero quum Peloponnesii Isthmum muro clauderent, et in sua acquiescerent incolumitate, ac rati se jam periculis ex mari imminentibus esse liberatos, cogitarent de non prohibendo quominus reliqui Græci Barbaris subderentur: (45) irati Athenienses ipsis suadebant ut, si eo essent animo, universam Peloponnesum muro cingerent.

ἅπασαν τὴν Πελοπόννησον τεῖχος περιβαλεῖν· εἰ γὰρ αὐτοὶ ὑπὸ τῶν Ἑλλήνων προδιδόμενοι μετὰ τῶν βαρβάρων ἔσονται, οὔτ' ἐκείνοις δεήσειν χιλίων νεῶν οὔτε τούτους ὠφελήσειν τὸ ἐν Ἰσθμῷ τεῖχος· ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάττης ἀρχὴν βασιλέως. (46) Διδασκόμενοι δὲ καὶ νομίζοντες αὐτοὶ μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς βουλεύεσθαι, Ἀθηναίους δὲ δίκαιά τε λέγειν καὶ τὰ βέλτιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς Πλαταιάς· ἀποδράντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων ἐκ τῶν τάξεων διὰ τὸ πλῆθος τῶν πολεμίων, Λακεδαιμόνιοι μὲν καὶ Τεγεᾶται τοὺς βαρβάρους ἐτρέψαντο, Ἀθηναῖοι δὲ καὶ Πλαταιεῖς πάντας τοὺς Ἕλληνας ἐνίκων μαχόμενοι τοὺς ἀπογνόντας τῆς ἐλευθερίας καὶ ὑπομείναντας τὴν δουλείαν. (47) Ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καλλίστην τελευτὴν τοῖς προτέροις ἐπιθέντες κινδύνοις, βέβαιον μὲν τὴν ἐλευθερίαν τῇ Εὐρώπῃ κατειργάσαντο, ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι καὶ μεθ' ἑτέρων, καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες, καὶ πρὸς τοὺς βαρβάρους καὶ πρὸς τοὺς Ἕλληνας, ὑπὸ πάντων ἠξιώθησαν, καὶ μεθ' ὧν ἐκινδύνευον καὶ πρὸς οὓς ἐπολέμουν, ἡγεμόνες γενέσθαι τῆς Ἑλλάδος.

48. Ὑστέρῳ δὲ χρόνῳ Ἑλληνικοῦ πολέμου καταστάντος διὰ ζῆλον τῶν γεγενημένων καὶ φθόνον τῶν πεπραγμένων, μέγα μὲν ἅπαντες φρονοῦντες, μικρῶν δ' ἐγκλημάτων ἕκαστοι δεόμενοι, ναυμαχίας Ἀθηναίοις πρὸς Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης, ἑβδομήκοντα τριήρεις αὐτῶν ἐλάμβανον. (49) Πολιορκούντων δὲ κατὰ τὸν αὐτὸν χρόνον Αἴγυπτόν τε καὶ Αἴγιναν, καὶ τῆς ἡλικίας ἀπούσης ἔν τε ταῖς ναυσὶ καὶ ἐν τῷ πεζῷ στρατεύματι, Κορίνθιοι καὶ οἱ ἐκείνων σύμμαχοι, ἡγούμενοι ἢ εἰς ἔρημον τὴν χώραν ἐμβαλεῖν ἢ ἐξ Αἰγίνης ἄξειν τὸ στρατόπεδον, ἐξελθόντες πανδημεὶ Γεράνειαν κατέλαβον· (50) Ἀθηναῖοι δὲ τῶν μὲν ἀπόντων, τῶν δ' ἐγγὺς ὄντων, οὐδένα ἐτόλμησαν μεταπέμψασθαι· ταῖς δ' αὑτῶν ψυχαῖς πιστεύσαντες καὶ τῶν ἐπιόντων καταφρονήσαντες οἱ γεραίτεροι καὶ οἱ τῆς ἡλικίας ἐντὸς γεγονότες ἠξίουν αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι, (51) οἱ μὲν ἐμπειρίᾳ τὴν ἀρετήν, οἱ δὲ φύσει κεκτημένοι, καὶ οἱ μὲν αὐτοὶ πολλαχοῦ ἀγαθοὶ γεγενημένοι, οἱ δ' ἐκείνους μιμούμενοι, τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεωτέρων τὸ ἐπιταττόμενον ποιεῖν δυναμένων, (52) Μυρωνίδου στρατηγοῦντος ἀπαντήσαντες αὐτοὶ εἰς τὴν Μεγαρικὴν ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων τοῖς ἤδη ἀπειρηκόσι καὶ τοῖς οὔπω δυναμένοις, τοὺς εἰς τὴν σφετέραν ἐμβαλεῖν ἀξιώσαντας εἰς τὴν ἀλλοτρίαν ἀπαντήσαντες, (53) τρόπαιον δὲ στήσαντες καλλίστου μὲν αὑτοῖς ἔργου, αἰσχίστου δὲ τοῖς πολεμίοις, οἱ μὲν οὐκέτι τοῖς σώμασιν, οἱ δ' οὔπω δυνάμενοι, ταῖς δὲ ψυχαῖς ἀμφότεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν αὑτῶν ἀπελθόντες οἱ μὲν πάλιν ἐπαιδεύοντο, οἱ δὲ περὶ τῶν λοιπῶν ἐβουλεύοντο.

54. Καθ' ἕκαστον μὲν οὖν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν

Etenim, inquiebant, si nos a reliquis Græcis proditi et deserti cum Barbaris conjungamur, illis non opus erit mille navibus, neque vobis Isthmi murus proderit aliquid; quippe maris imperium sine controversia regis futurum est. (46) Edocti itaque Peloponnesii persuasique se iniqua patrare et prava capessere consilia, at contrà Athenienses et æqua dicere et optima suadere, auxilio ipsis venerunt ad Platæas; et quamvis multi sociorum fugerent per noctem, ac propter multitudinem hostium stationes desererent, Lacedæmonii tamen et Tegeatæ in fugam verterunt Barbaros; Athenienses vero et Platæenses eos Græcos qui de libertate desperantes jugo servitutis colla præbuerant, pugnando vicerunt. (47) Illa die quum prioribus certaminibus pulcherrimam coronidem imposuissent, firmaverunt libertatem Europæorum, effeceruntque ut in omni discrimine argumento fortitudinis suæ edito, tam soli quàm cum aliis, terra marique, sive adversus Barbaros sive adversus Græcos pugnantes, ab omnibus et sociis et hostibus Græciæ imperio digni judicarentur.

48. Aliquanto autem post bello Græcorum contra nos exorto, quum æmulatione virtutis, tum invidia rerum gestarum, magnos quidem spiritus alentibus universis, minutarum autem criminationum quibusque egentibus, Athenienses, in navali certamine adversus Æginetas eorumque socios, ceperunt triremes eorum septuaginta. (49) Nostri porro quum eodem tempore Æginam Ægyptumque infestarent, et juventus alia in navibus, alia in castris, procul a domo militaret; Corinthii et eorum socii existimantes fore ut aut Atticam regionem desertam invaderent, aut nostram classem ab Ægina sic revocarent, cum universis copiis egressi Geraniam occupaverunt. (50) Athenienses vero, civibus absentibus et hostibus imminentibus, non impetrarunt a se ut quemquam accerserent; sed ipsi suis freti animis, et invadentes aspernati, tum ii qui provecta jam erant ætate, tum ii qui justam militiæ ætatem nondum attigerant, subire certamen ausi sunt; (51) quum illi longa rerum experientia, hi insita sibi virtute niterentur; illi sæpe jam strenue se gessissent, hi illorum gesta imitarentur; seniores scirent imperare, juniores imperata exsequi. (52) Sub duce igitur Myronide, obviam hostibus progressi in agrum usque Megaricum, pugnando vicerunt universas eorum copias, cum militibus qui erant ætate vel jam defecti vel nondum confirmati; eos, inquam, vicerunt in alienam regionem obviam illis profecti, qui in ipsorum meditabantur irruere, tropæumque statuerunt cum sua laude maxima summoque hostium opprobrio. (53) Victores itaque, illi viribus corporis jam destituti, hi nondum adulti, animis utrique præstantes, cum ingenti gloria domum reversi sunt, juniores ad consueta puerilis disciplinæ munia, seniores ad solitas de publicis rebus consultationes.

54. Atqui singulatim non facile est recenseri ab uno

κινδυνευθέντα ὑφ' ἑνὸς ῥηθῆναι, οὐδὲ τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. Τίς γὰρ ἂν ἢ χρόνος ἢ λόγος ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνῦσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; (55) Μετὰ πλείστων γὰρ πόνων καὶ φανερωτάτων ἀγώνων καὶ καλλίστων κινδύνων ἐλευθέραν μὲν ἐποίησαν τὴν Ἑλλάδα, μεγίστην δ' ἀπέδειξαν τὴν ἑαυτῶν πατρίδα, ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρασχόντες τοὺς συμμάχους, οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες, (56) ἀλλὰ τὸ ἴσον ἔχειν ἅπαντας ἀναγκάσαντες, οὐδὲ τοὺς συμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιστάντες, καὶ τὴν αὑτῶν δύναμιν τοσαύτην ἐπιδείξαντες, ὥσθ' ὁ μέγας βασιλεὺς οὐκέτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο, (57) καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς Ἕλλησι κατέστη, οὔτε 196 Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθη· τοσαύτην σωφροσύνην καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν. Ὧν ἕνεκα δεῖ μόνους καὶ προστάτας τῶν Ἑλλήνων καὶ ἡγεμόνας τῶν πόλεων γίγνεσθαι.

58. Ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυστυχίαις τὴν ἑαυτῶν ἀρετήν. Ἀπολομένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ εἴτε ἡγεμόνος κακίᾳ εἴτε θεῶν διανοίᾳ, καὶ συμφορᾶς ἐκείνης μεγίστης γενομένης καὶ ἡμῖν δυστυχήσασι καὶ τοῖς ἄλλοις Ἕλλησιν, ἐδήλωσαν οὐ πολλῷ χρόνῳ ὕστερον ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία. (59) Ἑτέρων γὰρ ἡγεμόνων γενομένων, ἐνίκησαν μὲν ναυμαχοῦντες τοὺς Ἕλληνας οἱ πρότερον εἰς τὴν θάλατταν οὐκ ἐμβαίνοντες, ἔπλευσαν δ' εἰς τὴν Εὐρώπην, δουλεύουσι δὲ πόλεις τῶν Ἑλλήνων, τύραννοι δ' ἐγκαθεστᾶσιν, οἱ μὲν μετὰ τὴν ἡμετέραν συμφοράν, οἱ δὲ μετὰ τὴν νίκην τῶν βαρβάρων. (60) Ὥστ' ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους, ὡς συγκαταθαπτομένης τῆς αὑτῶν ἐλευθερίας τῇ τούτων ἀρετῇ· ὡς δυστυχὴς μὲν ἡ Ἑλλὰς τοιούτων ἀνδρῶν ὀρφανὴ γενομένη, εὐτυχὴς δ' ὁ τῆς Ἀσίας βασιλεὺς ἑτέρων ἡγεμόνων λαβόμενος· τῇ μὲν γὰρ τούτων στερηθείσῃ δουλεία περιέστηκε, τῷ δ' ἄλλων ἀρξάντων ζῆλος ἐγγίνεται τῆς τῶν προγόνων διανοίας. (61) Ἀλλὰ ταῦτα μὲν ἐξήχθην ὑπὲρ πάσης ὀλοφύρασθαι τῆς Ἑλλάδος· ἐκείνων δὲ τῶν ἀνδρῶν ἄξιον καὶ ἰδίᾳ καὶ δημοσίᾳ μεμνῆσθαι, οἳ φεύγοντες τὴν δουλείαν καὶ περὶ τοῦ δικαίου μαχόμενοι καὶ ὑπὲρ τῆς δημοκρατίας στασιάσαντες, πάντας πολεμίους κεκτημένοι εἰς τὸν Πειραιᾶ κατῆλθον, οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς φύσεως πεισθέντες, (62) καινοῖς κινδύνοις τὴν παλαιὰν ἀρετὴν τῶν προγόνων μιμησάμενοι, ταῖς αὑτῶν ψυχαῖς κοινὴν τὴν πόλιν καὶ τοῖς ἄλλοις κτησάμενοι, θάνατον μετ' ἐλευθερίας αἱρούμενοι ἢ βίον μετὰ δουλείας, οὐχ ἧττον ταῖς συμφοραῖς αἰσχυνόμενοι ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι, μᾶλλον βουληθέντες ἐν τῇ αὑτῶν ἀποθνήσκειν ἢ ζῆν τὴν

gesta plurimorum, neque omni ævo administrata uno die indicari. Quod enim tempus, quæ oratio, quis orator sufficiat ad virorum hic conditorum virtutem explicandam? (55) Maximis enim laboribus, contentionibus celeberrimis, laudatissimisque periculis Græciam vindicarunt in libertatem, summamque suæ patriæ potentiam conciliarunt et per annos septuaginta maris imperio potiti socios præstiterunt ab omni seditione alienos, (56) quum non id studerent ut multi servirent paucis, sed ut æqualitas inter omnes servaretur. Neque enim socios infirmos, sed validos efficere cupiebant, et suam ipsorum ita demonstrabant potentiam, ut rex ille magnus non amplius aliena appeteret, sed de suis ipse concederet, sibique timeret in posterum. (57) Neque triremes ullæ ex Asia illo tempore ad nos navigabant, neque tyrannus in Græcia ullus erat; neque ulla Græciæ civitas a Barbaris servitute premebatur. Tantam moderationem et reverentiam nostrorum virtus mortalibus omnibus attulit. Talibus vero laudibus ornatos solos oportet et præfectos Græcorum, et principes esse civitatum.

58. Cognita est autem etiam ex adversitatibus illorum magnanimitas. Nostris enim navibus in Hellesponto perditis, sive ducis inscitia, sive deorum voluntate, maximaque illa calamitate accepta, quæ non nos tantum iniquo marte pugnantes, sed reliquos quoque Græcos in magnum discrimen conjecit; non longo post tempore clare visum est Græciæ salutem nostræ civitatis potentia contineri. (59) Aliis enim principibus Græcorum constitutis, navali prœlio ii Græcos vicerunt, qui antehac mare ingredi non audebant, tunc autem navigabant in Europam. In servitutem redactæ sunt Græcorum civitates, tyrannique constituti, hi quidem post pugnam illam calamitosam, illi vero post victoriam Barbarorum. (60) Quapropter æquum fuit Græciam super hoc sepulcrum plorare et ejulare, et lugere hic sepultos, quasi libertas ipsius una cum nostrorum virtute fuisset contumulata. Quippe tam infelix Græcia fuit illis viris spoliata, quam felix Asiæ rex alios nactus Græciæ principes. Illam enim nostris hominibus destitutam servitus oppressit; at hunc, aliis in Græcia imperantibus, cupido incessit majorum suorum studia æmulandi. (61) Sed patriæ infortunia eo me sensim adduxerunt ut universæ Græciæ fortunam deplorarem. Decet autem nos illorum virorum et privatim et publice recordari, qui, dum servitutem fugiunt, dum pro justo depugnant, et pro statu populari insurgunt adversus tyrannos, omnium hostes effecti venerunt ad Piræeum, non lege coacti, sed suamet indole persuasi, (62) ut novis periculis veterem majorum virtutem imitarentur, ac suæ vitæ discrimine communem civitatem aliis recuperarent, et morerentur potius in libertate quam viverent in servitute; non minus illi acceptis erubescentes cladibus quam inimicis irascentes, malentes

ἀλλοτρίαν οἰκοῦντες, συμμάχους μὲν ὅρκους καὶ συνθήκας ἔχοντες, πολεμίους δὲ τοὺς πρότερον ὑπάρχοντας καὶ τοὺς πολίτας τοὺς ἑαυτῶν. (63) Ἀλλ' ὅμως οὐ τὸ πλῆθος τῶν ἐναντίων φοβηθέντες, ἀλλ' ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες, τρόπαιον μὲν τῶν πολεμίων ἔστησαν, μάρτυρας δὲ τῆς αὑτῶν ἀρετῆς ἐγγὺς ὄντας τοῦδε τοῦ μνήματος τοὺς Λακεδαιμονίων τάφους παρέχονται· καὶ γάρ τοι μεγάλην μὲν ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν, ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης ἀπέφηναν, τείχη δὲ ἀντὶ τῶν καθῃρημένων ἀνέστησαν. (64) Οἱ δὲ κατελθόντες αὐτῶν, ἀδελφὰ τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἐπιδεικνύντες, οὐκ ἐπὶ τιμωρίαν τῶν ἐχθρῶν, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως ἐτράποντο, καὶ οὔτ' ἐλαττοῦσθαι δυνάμενοι οὔτ' αὐτοὶ πλέον ἔχειν δεόμενοι, τῆς μὲν αὑτῶν ἐλευθερίας καὶ τοῖς βουλομένοις δουλεύειν μετέδοσαν, τῆς δ' ἐκείνων δουλείας αὐτοὶ μετέχειν οὐκ ἠξίωσαν. (65) Ἔργοις δὲ μεγίστοις καὶ καλλίστοις ἀπελογήσαντο, ὅτι οὐ κακίᾳ τῇ αὑτῶν οὐδ' ἀρετῇ τῶν πολεμίων πρότερον ἐδυστύχησεν ἡ πόλις· εἰ γὰρ στασιάσαντες πρὸς ἀλλήλους βίᾳ παρόντων Πελοποννησίων καὶ τῶν ἄλλων ἐχθρῶν εἰς τὴν αὑτῶν οἷοί τ' ἐγένοντο κατελθεῖν, δῆλον ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες πολεμεῖν αὐτοῖς ἐδύναντο.

66. Ἐκεῖνοι μὲν οὖν διὰ τοὺς ἐν Πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων ζηλοῦνται· ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ τῷ πλήθει βοηθήσαντες καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρίδα τὴν ἀρετὴν ἡγησάμενοι, τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο· ἀνθ' ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε καὶ ἔθαψε δημοσίᾳ, καὶ ἔδωκεν ἔχειν αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς.

67. Οἱ δὲ νῦν θαπτόμενοι, βοηθήσαντες Κορινθίοις
197 ὑπὸ παλαιῶν φίλων ἀδικουμένοις καινοὶ σύμμαχοι γενόμενοι, οὐ τὴν αὐτὴν γνώμην Λακεδαιμονίοις ἔχοντες (οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς ἐφθόνουν, οἱ δὲ ἀδικουμένους αὐτοὺς ἠλέουν, οὐ τῆς προτέρας ἔχθρας μεμνημένοι, ἀλλὰ τὴν παροῦσαν φιλίαν περὶ πολλοῦ ποιούμενοι) πᾶσιν ἀνθρώποις φανερὰν τὴν αὑτῶν ἀρετὴν ἐπεδείξαντο. (68) Ἐτόλμησαν γὰρ μεγάλην ποιοῦντες τὴν Ἑλλάδα οὐ μόνον ὑπὲρ τῆς αὑτῶν σωτηρίας κινδυνεύειν, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν πολεμίων ἐλευθερίας ἀποθνήσκειν· τοῖς γὰρ Λακεδαιμονίων συμμάχοις περὶ τῆς ἐκείνων ἐλευθερίας ἐμάχοντο· νικήσαντες μὲν γὰρ ἐκείνους τῶν αὐτῶν ἠξίουν, δυστυχήσαντες δὲ βέβαιον τὴν δουλείαν τοῖς ἐν τῇ Πελοποννήσῳ κατέλιπον.

69. Ἐκείνοις μὲν οὖν οὕτω διακειμένοις ὁ βίος οἰκτρὸς καὶ ὁ θάνατος εὐκτός· οὗτοι δὲ καὶ ζῶντες καὶ ἀποθανόντες ζηλωτοί, παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων ἀγαθοῖς, ἄνδρες δὲ γενόμενοι τήν τ' ἐκείνων δόξαν διασώσαντες καὶ τὴν αὑτῶν ἀρετὴν ἐπιδείξαντες. (70) Πολλῶν μὲν γὰρ καὶ καλῶν αἴτιοι γεγένηνται τῇ ἑαυτῶν πατρίδι, ἐπηνώρθωσαν δὲ τὰ ὑφ' ἑτέρων δυστυχηθέντα, πόρρω δ' ἀπὸ τῆς αὑτῶν τὸν πόλεμον κατέστησαν. Ἐτελεύτησαν δὲ τὸν βίον, ὥσπερ χρὴ τοὺς

in sua patria mori quam in terra vivere aliena, juramenta quidem et pacta habentes sibi auxiliaria, hostes vero tum quos antehac, tum suos ipsorum cives. (63) Attamen hostium multitudine nequaquam perterriti, sed sua capita periculis objectantes, tropæum statuerunt de hostibus, testesque suæ fortitudinis Lacedæmoniorum tumulos huic monumento vicinos reliquerunt. Civitatem itaque ex parva fecerunt magnam, ex discorde concordem, ex immunita denuo mœnibus cinctam. (64) Ex ipsis autem qui in urbem rediere, consilia capientes eorum gestis qui hic jacent consentanea, non ad ultionem inimicorum, sed ad salutem patriæ conversi sunt. Qui quum aliis nec inferiores esse vellent, nec superiores, suam libertatem etiam iis impertierunt qui servire parati erant, ipsique illorum servitutis participes esse dedignabantur. (65) Maximis autem et pulcherrimis factis probaverunt quod neque ob suam socordiam, neque ob hostium fortitudinem rebus adversis usa fuerit civitas. Si enim ipsi inter se dissidentes, Peloponnesiis aliisque hostibus invitis reditum sibi in patriam aperire potuerunt, futurum liquet ut, si fuissent concordes, hostes facile potuissent debellare.

66. Illi igitur ob pericula quæ in Piræeo subierunt, mortalibus omnibus sunt admirationi. Convenit autem ut et peregrinorum hic conditorum memoriam cum laude celebremus; qui, quum populo Atheniensi ferrent auxilium, et pro nostra salute pugnarent, et patriam virtutem haberent, hunc vitæ exitum sunt sortiti. Quapropter nostra hæc respublica ipsos publice et lugeri et sepeliri voluit, ipsisque largita est in omne ævum eosdem cum civibus suis honores.

67. Qui autem nunc humantur, Corinthiis priscorum amicorum injuria læsis auxiliati sunt, et longe alio erga ipsos fuerunt animo quam Lacedæmonii. Hi enim commodis ipsorum invidebant; nostri vero eorumdem injuria affectorum miserabantur, ac omnis inimicitiæ prioris memoria obliterata, præsentis amicitiæ fidem ita magni faciebant, ut omnibus populis virtutis suæ præstantiam testatam reliquerint. (68) Non dubitarunt enim, de amplitudine Græciæ laborantes, non solum salutis suæ causa periclitari, verum etiam mori pro libertate adversariorum. Siquidem contra Lacedæmoniorum socios pro ipsorum libertate ita pugnabant, ut, si vicissent, eodem secum jure ipsis frui liceret; sin autem victi essent, firmiore servitute Peloponnesii astringerentur.

69. Illis scilicet ista sorte utentibus vita est miserabilis et mors optabilis: nostri vero et vivi et mortui beati existimantur, quod in præclaris majorum legibus instituti fuerint; quod viri facti tum illorum gloriam servarint incolumem, tum suam ipsorum virtutem ostenderint posteris. (70) Multis enim splendidisque decoribus patriam ornarunt, multas aliorum emendarunt res adversas, longe a finibus summoverunt bellum, et vitæ eum finem imposuerunt qui viros fortes decet, patriæ quidem institutionis suæ mercede

ἀγαθοὺς ἀποθνήσκειν, τῇ μὲν γὰρ πατρίδι τὰ τροφεῖα ἀποδόντες, τοῖς δὲ θρέψασι λύπας καταλιπόντες. (71) Ὥστε ἄξιον τοῖς ζῶσι τούτους ποθεῖν καὶ σφᾶς αὐτοὺς ὀλοφύρεσθαι καὶ τοὺς προσήκοντας αὐτῶν ἐλεεῖν τοῦ ἐπιλοίπου βίου. Τίς γὰρ αὐτοῖς ἔτι ἡδονὴ καταλείπεται τοιούτων ἀνδρῶν θαπτομένων, οἳ πάντα περὶ ἐλάττονος τῆς ἀρετῆς ἡγούμενοι αὑτοὺς μὲν ἀπεστέρησαν βίου, χήρας δὲ γυναῖκας ἐποίησαν, ὀρφανοὺς δὲ τοὺς αὑτῶν παῖδας ἀπέλιπον, ἐρήμους δ' ἀδελφοὺς καὶ πατέρας καὶ μητέρας κατέστησαν; (72) Πολλῶν δὲ καὶ δεινῶν ὑπαρχόντων, τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ, ὅτι νεώτεροί εἰσιν ἢ ὥστε εἰδέναι οἵων πατέρων ἐστέρηνται, ἐξ ὧν δ' οὗτοι γεγόνασιν, οἰκτείρω, ὅτι πρεσβύτεροι ἢ ὥστε ἐπιλαθέσθαι τῆς δυστυχίας τῆς ἑαυτῶν. (73) Τί γὰρ ἂν τούτων ἀνιαρότερον γένοιτο, ἢ τεκεῖν μὲν καὶ θρέψαι καὶ θάψαι τοὺς αὑτῶν, ἐν δὲ τῷ γήρᾳ ἀδυνάτους μὲν εἶναι τῷ σώματι, πασῶν δ' ἀπεστερημένους τῶν ἐλπίδων ἀφίλους καὶ ἀπόρους γεγονέναι, ὑπὸ δὲ τῶν αὐτῶν πρότερον ζηλοῦσθαι καὶ νῦν ἐλεεῖσθαι, ποθεινότερον δ' αὐτοῖς εἶναι τὸν θάνατον τοῦ βίου; ὅσῳ γὰρ ἄνδρες ἀμείνους ἦσαν, τοσούτῳ τοῖς καταλειπομένοις τὸ πένθος μεῖζον. (74) Πῶς δ' αὐτοὺς χρὴ λῆξαι τῆς λύπης; πότερον ἐν ταῖς τῆς πόλεως συμφοραῖς; ἀλλὰ τότε αὐτῶν εἰκὸς καὶ τοὺς ἄλλους μεμνῆσθαι. Ἀλλ' ἐν ταῖς εὐτυχίαις ταῖς κοιναῖς; ἀλλ' ἱκανὸν λυπῆσαι, τῶν μὲν σφετέρων τέκνων τετελευτηκότων, τῶν δὲ ζώντων ἀπολαυόντων τῆς τούτων ἀρετῆς. Ἀλλ' ἐν τοῖς ἰδίοις κινδύνοις, ὅταν ὁρῶσι τοὺς μὲν πρότερον ὄντας φίλους φεύγοντας τὴν αὐτῶν ἀπορίαν, τοὺς δ' ἐχθροὺς μέγα φρονοῦντας ἐπὶ ταῖς δυστυχίαις ταῖς τούτων; (75) Μόνην δ' ἄν μοι δοκοῦμεν ταύτην τοῖς ἐνθάδε κειμένοις ἀποδοῦναι χάριν, εἰ τοὺς μὲν τοκέας αὐτῶν ὁμοίως ὥσπερ ἐκεῖνοι περὶ πολλοῦ ποιοίμεθα, τοὺς δὲ παῖδας οὕτως ἀσπαζοίμεθα ὥσπερ αὐτοὶ πατέρες ὄντες, ταῖς δὲ γυναιξὶν εἰ τοιούτους βοηθοὺς ἡμᾶς αὐτοὺς παρέχοιμεν, οἷοίπερ ἐκεῖνοι ζῶντες ἦσαν. (76) Τίνας γὰρ ἂν εἰκότως μᾶλλον τιμῷμεν τῶν ἐνθάδε κειμένων; τίνας δ' ἂν τῶν ζώντων δικαιότερον περὶ πολλοῦ ποιοίμεθα ἢ τοὺς τούτοις προσήκοντας; οἳ τῆς μὲν τούτων ἀρετῆς τὸ ἴσον τοῖς ἄλλοις ἀπέλαυσαν, ἀποθανόντων δὲ μόνοι γνησίως τῆς δυστυχίας μετέχουσιν.

77. Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ τι δεῖ τοιαῦτα ὀλοφύρεσθαι· οὐ γὰρ ἐλανθάνομεν ἡμᾶς αὐτοὺς ἅπαξ ὄντες θνητοί· ὥστε τί δεῖ, ἃ πάλαι προσεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι, ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως συμφοραῖς, ἐπισταμένους ὅτι ὁ θάνατος κοινὸς καὶ τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις; οὔτε 198 γὰρ τοὺς πονηροὺς ὑπερορᾷ οὔτε τοὺς ἀγάθους θαυμάζει, ἀλλ' ἴσον ἑαυτὸν παρέχει πᾶσιν. (78) Εἰ μὲν γὰρ οἷόν τε ἦν τοῖς τοὺς ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν ἀθανάτους εἶναι τὸν λοιπὸν χρόνον, ἄξιον ἦν τοῖς ζῶσι τὸν ἅπαντα χρόνον πενθεῖν τοὺς τεθνεῶτας· νῦν δὲ ἥ τε φύσις καὶ νόσων ἥττων καὶ γήρως, ὅ τε δαίμων ὁ τὴν ἡμετέραν μοῖραν εἰληχὼς ἀπαραίτητος. (79) Ὥστε προσήκει

persoluta, parentibus vero suis mœrore et luctu relicto. (71) Par est igitur vivos illorum desiderio teneri, suaque ipsorum deplorare incommoda, et futuram lugentium propinquorum conditionem miserescere. Quam enim ipsi reliquam habent voluptatem, hisce talibus viris sepultis, qui præ virtute nihil pensi habentes, ipsi se vita privarunt, uxores effecerunt viduas, liberos reliquerunt orphanos, fratres et parentes omni destituerunt auxilio? (72) Equidem in tanta malorum multitudine et gravitate, liberos ipsorum beatos prædico, qui nondum per ætatem intelligere queunt quibus sint orbati parentibus; at eorum misereor qui hos genuerunt, utpote qui seniores sint quam ut ærumnarum suarum oblivisci queant. (73) Quid enim ipsis acerbius accidere possit quam suos procreasse atque educasse et sepelivisse et in hac senili ætate defectos viribus, omni spe, amicis, opibus destitutos vivere; quam a quibus antea felices prædicati sunt, ab iisdem nunc ipsorum infortunia deplorari, ipsisque mortem vita esse desiderabiliorem? Quo enim illi viri fuerunt præstantiores, eo luctus superstitibus est major. (74) Ubinam autem hi lugendi finem facere queant? utrum in reipublicæ calamitatibus? at tum mortuorum memoria non apud cognatos, sed apud reliquos quoque cives reviviscit. An in rebus ejusdem reipublicæ prosperis? at hoc ad mœstitiam ciendam satis est, quod e liberorum sibi ereptorum virtute alios videant gaudia et commoda percipientes. An in propriis suis ærumnis et discriminibus, quando quos prius habuerunt amicos, ob suam penuriam a se vident alienatos, inimicos vero suos in his suis miseriis superbia efferri et lætitia? (75) Hac autem sola ratione videmur viris hic conditis meritam gratiam relaturi, si parentes ipsorum, ut ipsi soliti sunt, in summo pretio habeamus; si liberos, non aliter ac si parentes essemus, amore complectamur; si uxoribus hoc feramus auxilium quod ipsi viventes tulissent. (76) Quos enim majoribus merito prosequamur honoribus, quam viros hic sepultos? quos vivorum justius plurimi faciemus quam eorumdem cognatos? quibus quidem illorum virtus non amplius profuit quam ceteris, sed mortis illorum incommoda ipsi soli revera sentiunt.

77. Sed nescio an talia nobis deploranda sint, quum non ignoremus nos esse mortales. Quapropter quid ea dolere convenit quæ nobis eventura jamdiu exspectabamus? aut nimis graviter ferre has naturæ miserias, quum sciamus mortem tam pessimis quam optimis esse communem? neque enim ista malos negligit, neque bonos reveretur, sed æquam se et eandem præbet omnibus. (78) Quodsi fieri posset ut qui belli pericula evaserunt, immortales essent reliquo tempore, par esset in omne ævum mortuos lugeri a viventibus. Nunc autem et natura nostra morbis senioque superatur, et conditionis nostræ arbitra sors est inexorabilis. (79) Itaque hos decet existimare felicissimos, qui pro rebus maximis et præclarissimis dimicantes, ita vitam finie-

τούτους εὐδαιμονεστάτους ἡγεῖσθαι, οἵτινες ὑπὲρ τῶν μεγίστων καὶ καλλίστων κινδυνεύσαντες οὕτω τὸν βίον ἐτελεύτησαν, οὐκ ἐπιτρέψαντες περὶ αὑτῶν τῇ τύχῃ, οὐδ' ἀναμείναντες τὸν αὐτόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν κάλλιστον. Καὶ γάρ τοι ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ ὑπὸ πάντων ἀνθρώπων αἱ τιμαί· (80) οἳ πενθοῦνται μὲν διὰ τὴν φύσιν ὡς θνητοί, ὑμνοῦνται δὲ ὡς ἀθάνατοι διὰ τὴν ἀρετήν. Καὶ γάρ τοι θάπτονται δημοσίᾳ, καὶ ἀγῶνες τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου, ὡς ἀξίους ὄντας τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους τιμᾶσθαι. (81) Ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ, καὶ μόνοις τούτοις ἀνθρώπων οἶμαι κρεῖττον εἶναι γενέσθαι, οἵτινες, ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὑτῶν κατέλιπον· ὅμως δ' ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν πάτριον νόμον ὀλοφύρεσθαι τοὺς θαπτομένους.

runt, ut neque sua committerent fortunæ arbitrio, neque mortem exspectarent ultro ad se venientem, sed pulcherrimam honestissimamque eligerent. Nam profecto memoria ipsorum nunquam exstinguetur, nec senescet; et eorundem honores semper omnibus expetendi erunt et prædicandi. (80) Qui quidem ob humanæ naturæ conditionem lacrimis donantur ut mortales, ob virtutem vero celebrantur ut immortales. Publicis quippe sumptibus sepeliuntur, et ludi ac certamina super eis aguntur virium, sapientiæ, divitiarum; quasi nempe ii qui in bello ceciderunt, iisdem donandi sint honoribus quibus deorum immortalium numina. (81) Ego igitur ipsos beatos prædico, ipsisque mortem invideo, et hos solos inter mortales esse arbitror, quos natos esse pœnitere non debet, qui, mortalia corpora sortiti, immortalem virtutis suæ memoriam reliquerunt. Priscis tamen et consuetis moribus parendum est, patriaque lege observata lugere ac plorare oportet sepultos.

3.

96 ΑΠΟΛΟΓΙΑ ΠΡΟΣ ΣΙΜΩΝΑ.

Πολλὰ καὶ δεινὰ συνειδὼς Σίμωνι, ὦ βουλή, οὐκ ἄν ποτ' αὐτὸν εἰς τοσοῦτον τόλμης ἡγησάμην ἀφικέσθαι, ὥστε ὑπὲρ ὧν αὐτὸν ἔδει δοῦναι δίκην, ὑπὲρ τούτων ὡς ἀδικούμενον ἔγκλημα ποιήσασθαι καὶ οὕτω μέγαν καὶ σεμνὸν ὅρκον διομοσάμενον εἰς ὑμᾶς ἐλθεῖν. (2) Εἰ μὲν οὖν ἄλλοι τινὲς ἔμελλον περὶ ἐμοῦ διαγνώσεσθαι, σφόδρα ἂν ἐφοβούμην τὸν κίνδυνον, ὁρῶν ὅτι καὶ παρασκευαὶ καὶ τύχαι ἐνίοτε τοιαῦται γίνονται, ὥστε πολλὰ καὶ παρὰ γνώμην ἀποβαίνειν τοῖς κινδυνεύουσιν· εἰς ὑμᾶς δ' εἰσελθὼν ἐλπίζω τῶν δικαίων τεύξεσθαι. (3) Μάλιστα δ' ἀγανακτῶ, ὦ βουλή, ὅτι περὶ τοιούτων πραγμάτων εἰπεῖν ἀναγκασθήσομαι πρὸς ὑμᾶς, ὑπὲρ ὧν ἐγὼ αἰσχυνόμενος, εἰ μέλλοιεν πολλοί μοι συνείσεσθαι, ἠνεσχόμην ἀδικούμενος. Ἐπειδὴ δὲ Σίμων με εἰς τοιαύτην ἀνάγκην κατέστησεν, οὐδὲν ἀποκρυψάμενος ἅπαντα διηγήσομαι πρὸς ὑμᾶς τὰ πεπραγμένα. (4) Ἀξιῶ δέ, ὦ βουλή, εἰ μὲν ἀδικῶ, μηδεμιᾶς συγγνώμης τυγχάνειν· ἐὰν δὲ περὶ τούτων ἀποδείξω ὡς οὐκ ἔνοχός εἰμι οἷς Σίμων διωμόσατο, ἄλλως δὲ ὑμῖν φαίνωμαι παρὰ τὴν ἡλικίαν τὴν ἐμαυτοῦ ἀνοητότερον πρὸς τὸ μειράκιον διατεθείς, αἰτοῦμαι ὑμᾶς μηδέν με χείρω νομίζειν, εἰδότας ὅτι ἐπιθυμῆσαι μὲν ἅπασιν ἀνθρώποις ἔνεστιν, οὗτος δὲ βέλτιστος ἂν εἴη καὶ σωφρονέστατος, ὅστις κοσμιώτατα τὰς συμφορὰς φέρειν δύναται. Οἷς ἅπασιν ἐμποδὼν ἐμοὶ γεγένηται Σίμων οὗτος, ὡς ἐγὼ ὑμῖν ἐπιδείξω.

5. Ἡμεῖς γὰρ ἐπεθυμήσαμεν, ὦ βουλή, Θεοδότου, Πλαταϊκοῦ μειρακίου, καὶ ἐγὼ μὲν εὖ ποιῶν αὐτὸν ἠξίουν εἶναί μοι φίλον, οὗτος δὲ ὑβρίζων καὶ παρανομῶν ᾤετο ἀναγκάσειν αὐτὸν ποιεῖν ὅ τι βούλοιτο. Ὅσα

III.

ADVERSUS SIMONEM DEFENSIO.

Quum multa et gravia flagitia a Simone perpetrata esse noverim, senatores, nunquam putassem illum eo audaciæ processurum, ut quorum pœnas ipsum dare oportuit, de iis quasi injuria affectus accusationem institueret, et suscepto tanto et tam gravi juramento ad vos accederet. (2) Quodsi aliorum quorundam fuisset de mea causa statuere, judicii periculum non mediocriter pertimuissem, quippe qui intellexerim machinationes et casus incertos ita aliquando valere, ut multa reis præter opinionem eveniant; apud vos vero causam dicturus, spero me ea quæ justa sint consecuturum. (3) Commoveor autem potissimum, senatores, quod necesse habeam coram vobis dicere de iis vulneribus, quorum præ pudore, si multos mihi conscios essem habiturus, injurias æquo animo pertulissem. At quum Simo me in ejusmodi necessitatem conjecerit, omnia vobis exponam quæ gesta sunt, nihil prorsus dissimulans. (4) Postulo autem, senatores, si in culpâ fuisse videar, nullam me a vobis veniam consequi: at si de his rebus demonstravero me nihil eorum commisisse quæ mihi Simo juratus objecerit; licet vobis comparuerim, præter ætatem meam, juveni alicui impensius studuisse, rogo vos nihil de me gravius sentiatis, intelligentes nimirum cupiditatem omnibus hominibus a natura esse insitam, eum vero optime et sapienter se gerere, qui incommoditates a cupiditate profectas moderatissime ferre possit. Quæ ne fierent iste mihi in omnibus impedimento fuit, ut ego vobis commonstrabo.

5. Nos enim, senatores, Theodotum adolescentulum Platæensem ambo adamavimus. Quem ego beneficiis conjunctum mihi esse volui, iste autem contumeliis et injuriis se posse cogere existimavit ad exsequendum quodcumque

μὲν οὖν ἐκεῖνος κακὰ ὑπ' αὐτοῦ πέπονθε, πολὺ ἂν ἔργον εἴη λέγειν· ὅσα δ' εἰς ἐμὲ αὐτὸν ἐξημάρτηκεν, ἡγοῦμαι ταῦθ' ὑμῖν προσήκειν ἀκοῦσαι. (6) Πυθόμενος γὰρ ὅτι τὸ μειράκιον ἦν παρ' ἐμοί, ἐλθὼν ἐπὶ τὴν
97 οἰκίαν τὴν ἐμὴν νύκτωρ μεθύων, ἐκκόψας τὰς θύρας εἰσῆλθεν εἰς τὴν γυναικωνῖτιν, ἔνδον οὐσῶν τῆς τε ἀδελφῆς τῆς ἐμῆς καὶ τῶν ἀδελφιδῶν, αἳ οὕτω κοσμίως βεβιώκασιν, ὥστε καὶ ὑπὸ τῶν οἰκείων ὁρώμεναι αἰσχύνεσθαι. (7) Οὗτος τοίνυν εἰς τοῦτο ἦλθεν ὕβρεως, ὥστ' οὐ πρότερον ἠθέλησεν ἀπελθεῖν, πρὶν αὐτὸν ἡγούμενοι δεινὰ ποιεῖν οἱ παραγενόμενοι καὶ οἱ μετ' αὐτοῦ ἐλθόντες, ἐπὶ παῖδας κόρας καὶ ὀρφανὰς εἰσιόντα, ἐξήλασαν βίᾳ. Καὶ τοσούτου ἐδέησεν αὐτῷ μεταμελῆσαι τῶν ὑβρισμένων, ὥστε ἐξευρὼν οὗ ἐδειπνοῦμεν ἀτοπώτατον πρᾶγμα καὶ ἀπιστότατον ἐποίησεν, εἰ μή τις εἰδείη τὴν τούτου μανίαν. (8) Ἐκκαλέσας γάρ με ἔνδοθεν, ἐπειδὴ τάχιστα ἐξῆλθον, εὐθύς με τύπτειν ἐπεχείρησεν· ἐπειδὴ δὲ αὐτὸν ἠμυνάμην ἐνστάς, ἔβαλλέ με λίθοις. Καὶ ἐμοῦ μὲν ἁμαρτάνει, Ἀριστοκρίτου δέ, ὃς παρ' ἐμὲ ἦλθε μετ' αὐτοῦ, βαλὼν λίθῳ συντρίβει τὸ μέτωπον. (9) Ἐγὼ τοίνυν, ὦ βουλή, ἡγούμενος μὲν δεινὰ πάσχειν, αἰσχυνόμενος δέ, ὅπερ ἤδη καὶ πρότερον εἶπον, τῇ συμφορᾷ, ἠνειχόμην, καὶ μᾶλλον ᾑρούμην μὴ λαβεῖν τούτων τῶν ἁμαρτημάτων δίκην ἢ δόξαι τοῖς πολίταις ἀνόητος εἶναι, εἰδὼς ὅτι τῇ μὲν τούτου πονηρίᾳ πρέποντά ἐστι τὰ πεπραγμένα, ἐμοῦ δὲ πολλοὶ καταγελάσονται τοιαῦτα πάσχοντος τῶν φθονεῖν εἰθισμένων, ἐάν τις ἐν τῇ πόλει προθυμῆται χρηστὸς εἶναι. (10) Οὕτω δὲ σφόδρα ἠπορούμην ὅ τι χρησαίμην, ὦ βουλή, τῇ τούτου παρανομίᾳ, ὥστε ἔδοξέ μοι κράτιστον εἶναι ἀποδημῆσαι ἐκ τῆς πόλεως. Λαβὼν δὴ τὸ μειράκιον (ἅπαντα γὰρ δεῖ τἀληθῆ λέγειν) ᾠχόμην ἐκ τῆς πόλεως. Ἐπειδὴ δὲ ᾤμην ἱκανὸν εἶναι τὸν χρόνον Σίμωνι ἐπιλαθέσθαι μὲν τοῦ νεανίσκου, μεταμελῆσαι δὲ τῶν πρότερον ἡμαρτημένων, ἀφικνοῦμαι πάλιν. (11) Κἀγὼ μὲν ᾠχόμην ἐς Πειραιᾶ, οὗτος δ' αἰσθόμενος εὐθέως ἥκοντα τὸν Θεόδοτον καὶ διατρίβοντα παρὰ Λυσιμάχῳ ὃς ᾤκει πλησίον τῆς οἰκίας ἣς οὗτος ἐμεμίσθωτο, παρεκάλεσέ τινας τῶν τούτου ἐπιτηδείων. Καὶ οὗτοι μὲν ἠρίστων καὶ ἔπινον, φύλακας δὲ κατέστησαν ἐπὶ τοῦ τέγους, ἵν' ὁπότε ἐξέλθοι τὸ μειράκιον, εἰσαρπάσαιεν αὐτόν. (12) Ἐν δὲ τούτῳ τῷ καιρῷ ἀφικνοῦμαι ἐγὼ ἐκ Πειραιῶς, καὶ τρέπομαι παριὼν ὡς τὸν Λυσίμαχον· ὀλίγον δὲ χρόνον διατρίψαντες ἐξερχόμεθα. Οὗτοι δ' ἤδη μεθύοντες ἐκπηδῶσιν ἐφ' ἡμᾶς· καὶ οἱ μέν τινες αὐτῷ τῶν παραγενομένων οὐκ ἠθέλησαν συνεξαμαρτεῖν, Σίμων δὲ οὑτοσὶ καὶ Θεόφιλος καὶ Πρώταρχος καὶ Αὐτοκλῆς εἷλκον τὸ μειράκιον· ὁ δὲ ῥίψας τὸ ἱμάτιον ᾤχετο φεύγων. (13) Ἐγὼ δὲ ἡγούμενος ἐκεῖνον μὲν ἐκφεύξεσθαι, τούτους δ' ἐπειδὴ τάχιστα ἐντύχοιεν ἀνθρώποις αἰσχυνομένους ἀποτρέψεσθαι, ταῦτα διανοηθεὶς ἑτέραν ὁδὸν ᾠχόμην ἀπιών· οὕτω σφόδρ' αὐτοὺς ἐφυλαττόμην, καὶ πάντα ταῦτα ὑπὸ τούτων γιγνόμενα μεγάλην ἐμαυτῷ συμφορὰν ἐνόμιζον.

vellet. Quanta igitur ab illo pertulerit adolescens, operosum esset recensere; quæ vero in me ipsum commiserit, ea arbitror esse vobis enarranda. (6) Nam quum rescivisset adolescentem apud me esse, venit ad ædes meas noctu ebrius, foribusque effractis in gynæceum irrupit, ubi erant et soror mea et sororis filiæ, quæ ætatem adeo modeste agebant, ut ipsas etiam a propinquis conspici puderet. (7) Iste interea eo pervenit petulantiæ, ut prius abire noluerit, quam indignum arbitrati tum qui forte aderant, tum qui illum comitabantur, in conclave puellarum virginum et orbarum ingressum vi expulerint. Et tantum abfuit ut eum hujus violentiæ pœniteret, ut, investigato loco ubi cœnabamus, facinus perpetraverit absurdum atque incredibile, nisi quis hujus insaniam perspectam habeat. (8) Me enim foras evocatum, simul atque exivi, statim cædere aggreditur. Cui quum ego contra obsisterem et in fugam versum urgerem, lapidibus me petit. Atque a me quidam aberrat, Aristocriti vero qui ad me cum illo venerat, frontem lapidis ictu conterit. (9) Ego igitur, senatores, ratus me ab isto indigne haberi, at pudore, ut dixi modo, constrictus, hasce calamitates ferendas esse statuebam, et habebam satius talium facinorum pœnas negligere, quam apud cives dementiæ opinionem mereri. Noveram enim improbitati hominis convenire ea quæ facta erant, ac me talia perpessum multis eorum fore ludibrio, quorum parata est invidia, si quis in civitate honestam vitæ rationem consectetur. (10) Tam vehementer autem, senatores, æstuabam quomodo ex ea injuria me gererem, ut mihi visum fuerit commodissimum ex urbe discedere. Assumpto itaque adolescentulo (omnia enim quæ vera sunt enuntiare oportet), peregre proficiscor. Ubi vero tempus satis longum elapsum esse arbitrabar, quum ut adolescens Simoni excideret e memoria, tum ut eum priorum injuriarum pœniteret, redeo Athenas. (11) Dum ego in Piræeum profectus ibi commorabar, ille statim ubi rescivit rediisse Theodotum, et apud Lysimachum deversari, qui habitabat juxta ædes quas ipse conduxerat, quosdam ex necessariis advocavit. Prandebant una et comissabantur, et speculatores in tecto domus posuerant, ut juvenem exeuntem intro raperent. (12) Interim ego ex Piræeo in urbem veniens ad Lysimachum digredior, ac postquam paulisper commorati sumus, egredimur exinde. Tum illi ebrii in nos exsiliunt. Et nonnulli quidem ex comitibus societatem facinoris recusabant; Simon vero, Theophilus, Protarchus et Autocles puerum trahebant, qui, veste projecta, se in fugam conjecit. (13) Ibi mecum reputans fore ut quum ille effugeret, tum ut isti, statim atque hominibus fierent obviam, præ pudore desisterent, hac, inquam, mente alia via discedebam: adeo vehementer cavebam ab illis, et omnia quæ perpetrabant mihi magnam calamitatem esse arbitrabar. (14) Atta-

(14) Κἀνταῦθα μὲν ἵνα φησὶ Σίμων τὴν μάχην γενέσθαι, οὔτε τούτων οὔτε ἡμῶν οὐδεὶς οὔτε κατεάγη τὴν κεφαλὴν οὔτε ἄλλο κακὸν οὐδὲν ἔλαβεν, ὡς ἐγὼ τοὺς παραγενομένους ὑμῖν παρέξομαι μάρτυρας.

ΜΑΡΤΥΡΙΑΙ.

15. Ὅτι μὲν τοίνυν οὗτος ἦν ὁ ἀδικήσας, ὦ βουλή, καὶ ἐπιβουλεύσας ἡμῖν, καὶ οὐκ ἐγὼ τούτῳ, ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται ὑμῖν. Μετὰ δὲ ταῦτα τὸ μὲν μειράκιον εἰς γναφεῖον κατέφυγεν, οὗτοι δὲ συνεισπεσόντες ἦγον αὐτὸν βίᾳ, βοῶντα καὶ κεκραγότα καὶ μαρτυρόμενον. (16) Συνδραμόντων δὲ ἀνθρώπων πολλῶν καὶ ἀγανακτούντων τῷ πράγματι καὶ δεινὰ φασκόντων εἶναι τὰ γινόμενα, τῶν μὲν λεγομένων οὐδὲν ἐφρόντιζον, Μόλωνα δὲ τὸν γναφέα καὶ ἄλλους τινὰς ἐπαμύνειν ἐπιχειροῦντας συνέκοψαν. (17) Ἤδη δὲ αὐτοῖς οὖσι παρὰ τὴν Λάμπωνος οἰκίαν ἐγὼ μόνος βαδίζων ἐντυγχάνω, δεινὸν δὲ ἡγησάμενος εἶναι καὶ αἰσχρὸν 98 περιιδεῖν οὕτως ἀνόμως καὶ βιαίως ὑβρισθέντα τὸν νεανίσκον, ἐπιλαμβάνομαι αὐτοῦ. Οὗτοι δέ, διότι μὲν τοιαῦτα παρηνόμουν εἰς ἐκεῖνον, οὐκ ἠθέλησαν εἰπεῖν ἐρωτηθέντες, ἀφέμενοι δὲ τοῦ νεανίσκου ἔτυπτον ἐμέ. (18) Μάχης δὲ γενομένης, ὦ βουλή, καὶ τοῦ μειρακίου βάλλοντος αὐτοὺς καὶ περὶ τοῦ σώματος ἀμυνομένου καὶ τούτων ἡμᾶς βαλλόντων, ἔτι δὲ τυπτόντων αὐτὸν ὑπὸ τῆς μέθης, καὶ ἐμοῦ ἀμυνομένου, καὶ τῶν παραγενομένων ὡς ἀδικουμένοις ἡμῖν ἁπάντων ἐπικουρούντων, ἐν τούτῳ τῷ θορύβῳ συντριβόμεθα τὰς κεφαλὰς ἅπαντες. (19) Καὶ οἱ μὲν ἄλλοι οἱ μετὰ τούτου παροινήσαντες, ἐπειδὴ τάχιστά με εἶδον μετὰ ταῦτα, ἐδέοντό μου συγγνώμην ἔχειν, οὐχ ὡς ἀδικούμενοι, ἀλλ' ὡς δεινὰ πεποιηκότες· καὶ ἐκείνου τοῦ χρόνου τεττάρων ἐτῶν παρεληλυθότων οὐδέν μοι πώποτ' ἐνεκάλεσεν οὐδείς. (20) Σίμων δ' οὑτοσί, ὁ πάντων τῶν κακῶν αἴτιος γενόμενος, τὸν μὲν ἄλλον χρόνον ἡσυχίαν ἦγε δεδιὼς περὶ αὑτοῦ, ἐπειδὴ δὲ δίκας ἰδίας ᾔσθετο κακῶς ἀγωνισάμενον ἐξ ἀντιδόσεως, καταφρονήσας μου οὑτωσὶ τολμηρῶς εἰς τοιοῦτον ἀγῶνά με κατέστησεν. Ὡς οὖν καὶ ταῦτ' ἀληθῆ λέγω, τούτων ὑμῖν τοὺς παραγενομένους μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

21. Τὰ μὲν οὖν γεγενημένα καὶ ἐμοῦ καὶ τῶν μαρτύρων ἀκηκόατε· ἐβουλόμην δ' ἄν, ὦ βουλή, Σίμωνα τὴν αὐτὴν γνώμην ἐμοὶ ἔχειν, ἵν' ἀμφοτέρων ἡμῶν ἀκούσαντες τἀληθῆ ῥᾳδίως ἔγνωτε τὰ δίκαια. Ἐπειδὴ δὲ αὐτῷ οὐδὲν μέλει τῶν ὅρκων ὧν διωμόσατο, πειράσομαι καὶ περὶ ὧν οὗτος ἔψευσται διδάσκειν ὑμᾶς. (22) Ἐτόλμησε γὰρ εἰπεῖν ὡς αὐτὸς μὲν τριακοσίας δραχμὰς ἔδωκε Θεοδότῳ, συνθήκας πρὸς αὐτὸν ποιησάμενος, ἐγὼ δὲ ἐπιβουλεύσας ἀπέστησα αὐτοῦ τὸ μειράκιον. Καίτοι ἐχρῆν αὐτόν, εἴπερ ἦν ταῦτ' ἀληθῆ, παρακαλέσαντα μάρτυρας ὡς πλείστους κατὰ τοὺς νόμους διαπράττεσθαι περὶ αὐτῶν. (23) Οὗτος δὲ τοιοῦ-

men hic loci in quo Simon contendit pugnam fuisse commissam, neque istorum neque nostrûm cuiquam aut caput fuit imminutum, aut aliud quidpiam mali oblatum est; cujus rei testes eos advocabo qui ibi aderant.

TESTIMONIA.

15. Istum igitur exstitisse injuriæ auctorem, senatores, nobisque fuisse insidiatum, me autem isti nequaquam, eorum qui aderant testimonio vobis est comprobatum. Post hæc adolescens in fulloniam confugit; illi una irruentes vi eum abduxerunt clamantem, vociferantem et obtestantem. (16) Accurrentibus ibi quam plurimis, et rem graviter ferentibus, et dicentibus indignissima esse ea quæ facta sint, isti objurgationes nihili fecere, Molonemque fullonem et alios qui puero succurrere aggrediebantur, verberibus excipiebant. (17) Illis ego, quum jam essent prope ædes Lamponis, solus incedens obviam factus sum. Ratus autem id iniquum esse et turpe adolescentem negligere adeo nefarie et crudeliter pertractatum, manum vindicem ei injicio. Jam illi interrogati quare tam contumeliose cum eo egerint, respondere noluerunt, et adolescente relicto converterunt in me verbera. (18) Exorta pugna, senatores, pueroque lapides in illos conjiciente et pro corpore dimicante, illis in nos conjicientibus, puerumque porro præ ebrietate cædentibus, me denique vim defendente, quum interea omnis eorum qui confluxerant multitudo nobis ut injusta perpessis subveniret, in eo tumultu unicuique nostrûm caput est imminutum. (19) Et ceteri quidem temulentæ istius rixæ comites, quum me postea viderent, veniam a me orabant, non uti qui ipsi læsi essent, sed qui alios gravissima injuria affecissent; et ex illo tempore, quattuor annis elapsis, nullus horum me de quavis injuria postulavit: (20) iste autem Simon, malorum omnium auctor, per reliquum quidem tempus quietem egit, sibi metuens; at ubi animadvertit me privata causa, quæ permutationis erat, cecidisse, ibi me despiciens in hujusmodi contentionem sic impudenter conjecit. Quod igitur et hæc vera dicam, horum vobis eos testes exhibebo qui adfuerunt.

TESTES.

21. Res igitur uti gestæ sint, ex me atque ex testibus audivistis. Vellem autem, senatores, Simonem eandem atque mihi esse mentem, ut ex nostrûm utroque vera audientes, facilius quæ justa sint decerneretis. At quum ille juramentorum quæ præstitit nullam omnino rationem habeat, operam dabo ut quæ is mentitus sit vos edoceam. (22) Sustinuit enim dicere se trecentas drachmas Theodoto dedisse, pactis cum eo initis, ac me per fallacias puerum alienasse. Atqui oportebat eum, si hæc vera essent, testibus quamplurimis adductis, de iis rebus lege agere. (23) Con-

τον οὐδὲν πώποτε φαίνεται ποιήσας, ὑβρίζων δὲ καὶ τύπτων ἀμφοτέρους ἡμᾶς καὶ κωμάζων καὶ τὰς θύρας ἐκβάλλων καὶ νύκτωρ εἰσιὼν ἐπὶ γυναῖκας ἐλευθέρας· ἃ χρὴ μάλιστα, ὦ βουλή, τεκμήρια νομίζειν ὅτι ψεύδεται πρὸς ὑμᾶς. (24) Σκέψασθε δὲ ὡς ἄπιστα εἴρηκε. Τὴν γὰρ οὐσίαν τὴν ἑαυτοῦ ἅπασαν πεντήκοντα καὶ διακοσίων δραχμῶν ἐτιμήσατο. Καίτοι θαυμαστὸν εἰ τὸν ἑταιρήσοντα πλειόνων ἐμισθώσατο ὧν αὐτὸς τυγχάνει κεκτημένος. (25) Εἰς τοῦτο δ' ἥκει τόλμης ὥστε οὐκ ἐξαρκεῖ περὶ τούτου μόνον αὐτῷ ψεύσασθαι, περὶ τοῦ δεδωκέναι τὸ ἀργύριον, ἀλλὰ καὶ κεκομίσθαι φησί· καίτοι πῶς εἰκός ἐστι τότε μὲν ἡμᾶς τοιαῦτα ἐξαμαρτάνειν οἷα κατηγόρηκεν οὗτος, ἀποστερῆσαι βουλομένους τὰς τριακοσίας δραχμάς, ἐπειδὴ δὲ ἀπεμαχεσάμεθα, τηνικαῦτα ἀποδοῦναι τὸ ἀργύριον αὐτῷ, μήτε ἀφειμένους τῶν ἐγκλημάτων μήτε ἀνάγκης ἡμῖν μηδεμιᾶς γενομένης; (26) Ἀλλὰ γάρ, ὦ βουλή, πάντα αὐτῷ ταῦτα σύγκειται καὶ μεμηχάνηται, καὶ δοῦναι μέν φησιν, ἵνα μὴ δοκῇ δεινὰ ποιεῖν, εἰ μηδενὸς αὐτῷ συμβολαίου γεγενημένου τοιαῦτα ἐτόλμα ὑβρίζειν τὸ μειράκιον, ἀπειληφέναι δὲ προσποιεῖται, διότι φανερός ἐστιν ἐγκαλέσας οὐδέποτ' ἀργύριον οὐδὲ μνείαν περὶ τούτου οὐδεμίαν ποιησάμενος.

27. Φησὶ δ' ἐπὶ ταῖς αὑτοῦ θύραις ὑπ' ἐμοῦ δεινῶς διατεθῆναι τυπτόμενος. Φαίνεται δὲ πλεῖον ἢ τέτταρα στάδια ἀπὸ τῆς οἰκίας διώξας τὸ μειράκιον οὐδὲν κακὸν ἔχων, καὶ ταῦτα πλέον ἢ διακοσίων ἰδόντων ἀνθρώπων ἔξαρνός ἐστι.

28. Λέγει δ' ὡς ἡμεῖς ἤλθομεν ἐπὶ τὴν οἰκίαν τὴν τούτου ὄστρακον ἔχοντες, καὶ ὡς ἠπείλουν αὐτῷ ἐγὼ ἀποκτενεῖν, καὶ ὡς τοῦτό ἐστιν ἡ πρόνοια. Ἐγὼ δ' ἡγοῦμαι, ὦ βουλή, ῥᾴδιον εἶναι γνῶναι ὅτι ψεύδεται, οὐ μόνον ὑμῖν τοῖς εἰωθόσι σκοπεῖσθαι περὶ τῶν τοιούτων, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι. (29) Τῷ γὰρ ἂν δόξειε πιστὸν ὡς ἐγὼ προνοηθεὶς καὶ ἐπιβουλεύων ἦλθον
99 ἐπὶ τὴν Σίμωνος οἰκίαν μεθ' ἡμέραν, μετὰ τοῦ μειρακίου, τοσούτων ἀνθρώπων παρ' αὐτῷ συνειλεγμένων, εἰ μὴ εἰς τοῦτο μανίας ἀφικόμην ὥστε ἐπιθυμεῖν εἷς ὢν πολλοῖς μάχεσθαι, ἄλλως τε καὶ εἰδὼς ὅτι ἀσμένως ἄν με εἶδεν ἐπὶ ταῖς θύραις ταῖς αὑτοῦ, ὃς καὶ ἐπὶ τὴν ἐμὴν οἰκίαν φοιτῶν εἰσῄει βίᾳ, καὶ οὔτε τῆς ἀδελφῆς οὔτε τῶν ἀδελφιδῶν φροντίσας ζητεῖν με ἐτόλμα, καὶ ἐξευρὼν οὗ δειπνῶν ἐτύγχανον, ἐκκαλέσας ἔτυπτέ με. (30) Καὶ τότε μὲν ἄρα, ἵνα μὴ περιβόητος εἴην, ἡσυχίαν ἦγον, συμφορὰν ἐμαυτοῦ νομίζων τὴν τούτου πονηρίαν· ἐπειδὴ δὲ χρόνος διεγένετο, πάλιν, ὡς οὗτός φησιν, ἐπεθύμησα περιβόητος γενέσθαι; (31) Καὶ εἰ μὲν ἦν παρὰ τούτῳ τὸ μειράκιον, εἶχεν ἄν τινα λόγον τὸ ψεῦδος αὐτῷ, ὡς ἄρ' ἐγὼ διὰ τὴν ἐπιθυμίαν ἠναγκαζόμην ἀνοητότερόν τι ποιεῖν τῶν εἰκότων· νῦν δὲ τούτῳ μὲν οὐδὲ διελέγετο, ἀλλ' ἐμίσει πάντων ἀνθρώπων μάλιστα, παρ' ἐμοὶ δ' ἐτύγχανε διαιτώμενον. (32) Ὥστε τῷ ὑμῶν πιστὸν ὡς ἐγὼ πρότερον μὲν ἐξέπλευσα ἐκ τῆς πόλεως ἔχων τὸ μειράκιον, ἵνα μὴ τούτῳ μαχοίμην, ἐπειδὴ

stat autem illum nihil tale unquam egisse, at nos utrosque contumeliis et verberibus affecisse, comissabundum effregisse fores, et noctu irrupisse ad feminas liberas. Quibus argumentis vos, senatores, adductos oportet existimare eum falsa coram vobis eloqui. (24) Considerate vero quam parum credibilia narraverit. Rem omnem suam ducentis quinquaginta drachmis æstimavit : atqui mirandum sane si pluris amasium conduceret quam ipse possidebat. (25) Jam eo audaciæ processit ut non satis habeat de hoc solummodo mentiri, se pecuniam dedisse, quin etiam recepisse se affirmat. Attamen qui verisimile est nos tunc temporis talia in illum commisisse qualia insimulavit, ut trecentas drachmas auferre vellemus; atque ubi inter nos depugnavimus, tunc pecuniam restituisse, neque litis periculo liberatos, neque ulla necessitate adductos. (26) At profecto, senatores, hæc omnia iste ad fraudem finxit et composuit. Et numerasse quidem ait pecuniam, ne videatur indigna fecisse, si nullo pacto interposito, adolescentem tali contumelia afficere auderet : se autem recepisse ideo mentitur, quod constat ipsum nunquam de pecunia postulavisse, neque hujus unquam fecisse mentionem.

27. Contendit se ante ædes suas graviter a me fuisse verberibus exceptum, quum manifestum sit ipsum nullo malo affectum, longius quattuor stadiis a suis ædibus adolescentem persecutum fuisse. Atque hæc negat, licet testes fuerint plus quam ducenti homines.

28. Quin etiam affirmat nos ad ipsius domum venisse cum testa, eique adeo mortem fuisse comminatos, hoc autem esse quod vocant vulnus de industria. Ego vero, senatores, istum mentiri facile esse reor cognoscere, non solum vobis qui de hujusmodi rebus deliberare soliti estis, verum etiam omnibus aliis. (29) Cui enim videatur credibile me consulto et ex insidiis venisse ad Simonis domum interdiu, una cum adolescente, quum tot apud eum homines convenissent? nisi eo redactus fuissem insaniæ ut cuperem dimicare unus cum multis, præsertim quum scirem illum me perquam libenter ante ædes suas fuisse conspicaturum, qui ad nostras accedens per vim irrupit, nihil neque sororem meam neque ejus filias reveritus; qui me investigare sustinuit, et reperto loco ubi cœnabam, evocatum verberavit. (30) Et tunc scilicet, ne fierem vulgi fabula, me continui, ratus improbitatem istius meam esse calamitatem; tempore autem interjecto, ut iste dicit, volui egomet de me sermones haberi apud vulgus? (31) Quodsi adolescens domi apud eum fuisset, aliquantum verisimilitudinis habuisset ejus mendacium, me nempe libidine victum et coactum aliquid egisse inconsultius quam exspectari a me potuit. At ille istum ne allocutus quidem, omnium hominum maximo odio prosequebatur, et apud me degebat. (32) Cuinam itaque vestrûm credibile est me olim ex urbe peregre abiisse cum adolescentulo, ne mihi cum Simone controversia exsisteret, eundemque reversum Athenas illum

δὲ ἀφικόμην πάλιν, ἦγον αὐτὸν ἐπὶ τὴν οἰκίαν τὴν Σίμωνος, οὗ πλεῖστα ἔμελλον πράγματα ἕξειν; (33) καὶ ἐπεβούλευον μὲν αὐτῷ, οὕτω δὲ ἦλθον ἀπαράσκευος ὥστε μήτε φίλους μήτε οἰκέτας μήτε ἄλλον ἄνθρωπον παρακαλέσαι μηδένα, εἰ μὴ τοῦτό γε τὸ παιδίον, ὃ ἐπικουρῆσαι μέν μοι οὐκ ἂν ἠδύνατο, μηνῦσαι δὲ ἱκανὸν ἦν βασανιζόμενον, εἴ τι ἐγὼ ἐξημάρτανον; (34) Ἀλλ' εἰς τοσοῦτον ἀμαθίας ἀφικόμην, ὥστε ἐπιβουλεύων Σίμωνι οὐκ ἐτήρησα αὐτὸν οὗ μόνον οἷόν τ' ἦν λαβεῖν, ἢ νύκτωρ ἢ μεθ' ἡμέραν, ἀλλ' ἐνταῦθα ἦλθον οὗ αὐτὸς ἔμελλον ὑπὸ πλείστων ὀφθήσεσθαί τε καὶ συγκοπήσεσθαι, ὥσπερ κατ' ἐμαυτοῦ τὴν πρόνοιαν ἐξευρίσκων, ἵν' ὡς μάλιστα ὑπὸ τῶν ἐχθρῶν ὑβρισθείην; (35) Ἔτι τοίνυν, ὦ βουλή, καὶ ἐκ τῆς μάχης τῆς γενομένης ῥᾴδιον γνῶναι ὅτι ψεύδεται. Τὸ γὰρ μειράκιον ὡς ἔγνω, ῥίψαν θοἰμάτιον, φεῦγον ᾤχετο, οὗτοι δὲ αὐτὸν ἐπεδίωκον, ἐγὼ δὲ ἑτέραν ἀπελθὼν ὁδὸν ᾠχόμην. (36) Καίτοι ποτέρους χρὴ αἰτίους τῶν γεγενημένων εἶναι νομίζειν, τοὺς φεύγοντας ἢ τοὺς ζητοῦντας καταλαβεῖν; ἐγὼ μὲν γὰρ ἡγοῦμαι πᾶσιν εἶναι δῆλον ὅτι φεύγουσι μὲν οἱ περὶ αὐτῶν δεδιότες, διώκουσι δὲ οἱ βουλόμενοί τι ποιῆσαι κακόν. (37) Οὐ τοίνυν ταῦτα εἰκότα, ἄλλως δὲ περὶ αὐτῶν πέπρακται, ἀλλὰ καταλαβόντες τὸ μειράκιον ἐκ τῆς ὁδοῦ ἦγον βίᾳ, ἐντυχὼν δ' ἐγὼ τούτων μὲν οὐχ ἡπτόμην, τοῦ μειρακίου δ' ἐπελαμβανόμην· οὗτοι δὲ ἐκεῖνόν τε ἦγον βίᾳ καὶ ἐμὲ ἔτυπτον. Καὶ ταῦθ' ὑμῖν ὑπὸ τῶν παραγενομένων μεμαρτύρηται. Ὥστε δεινὸν εἰ περὶ τούτων ἐγὼ δόξω προνοηθῆναι, περὶ ὧν οὗτοι τυγχάνουσιν οὕτω δεινὰ καὶ παράνομα πεποιηκότες. (38) Τί δ' ἂν ποτε ἔπαθον, εἰ τἀναντία τῶν νῦν γεγενημένων ἦν, εἰ πολλοὺς ἔχων τῶν ἐπιτηδείων ἐγώ, ἀπαντήσας Σίμωνι, ἐμαχόμην αὐτῷ καὶ ἔτυπτον αὐτὸν καὶ ἐδίωκον καὶ καταλαβὼν ἄγειν βίᾳ ἐζήτουν, ὅπου νῦν τούτου ταῦτα πεποιηκότος ἐγὼ εἰς τοιοῦτον ἀγῶνα καθέστηκα, ἐν ᾧ καὶ περὶ τῆς πατρίδος καὶ τῆς οὐσίας τῆς ἐμαυτοῦ ἁπάσης κινδυνεύω; (39) Τὸ δὲ μέγιστον καὶ περιφανέστατον πάντων· ὁ γὰρ ἀδικηθεὶς καὶ ἐπιβουλευθεὶς ὑπ' ἐμοῦ, ὥς φησιν, οὐκ ἐτόλμησε τεττάρων ἐτῶν ἐπισκήψασθαι εἰς ὑμᾶς. Καὶ οἱ μὲν ἄλλοι, ὅταν ἐρῶσι καὶ ἀποστερῶνται ὧν ἐπιθυμοῦσι καὶ συγκοπῶσιν, ὀργιζόμενοι παραχρῆμα τιμωρεῖσθαι ζητοῦσιν, οὗτος δὲ χρόνοις ὕστερον.

40. Ὅτι μὲν οὖν, ὦ βουλή, οὐδενὸς αἴτιός εἰμι τῶν γεγενημένων, ἱκανῶς ἀποδεδεῖχθαι νομίζω· οὕτω δὲ διάκειμαι πρὸς τὰς ἐκ τῶν τοιούτων πραγμάτων διαφοράς, ὥστε καὶ ἄλλα πολλὰ ὑβρισμένος ὑπὸ Σίμωνος καὶ καταγεὶς τὴν κεφαλὴν ὑπ' αὐτοῦ οὐκ ἐτόλμησα αὐτῷ ἐπισκήψασθαι, ἡγούμενος δεινὸν εἶναι, εἰ ἄρα
100 περὶ παίδων ἐφιλονεικήσαμεν ἡμεῖς πρὸς ἀλλήλους, τούτου ἕνεκα ἐξελάσαι τινὰς ζητῆσαι ἐκ τῆς πατρίδος. (41) Ἔπειτα δὲ καὶ οὐδεμίαν ἡγούμην πρόνοιαν εἶναι τραύματος, ὅστις μὴ ἀποκτεῖναι βουλόμενος ἔτρωσε. Τίς γὰρ οὕτως ἐστὶν εὐήθης, ὅστις ἐκ πολλοῦ προνοεῖται ὅπως ἕλκος τις αὐτοῦ τῶν ἐχθρῶν λήψεται; (42) Ἀλλὰ

duxisse ad sedes istius, ubi plurimas molestias mihi ipsi eram comparaturus? (33) me denique qui ei insidiatus fueram, adeo venisse imparatum, ut neque amicos, neque famulos, neque alium quempiam advocarem, præter hunc puerulum qui mihi quidem opitulari non poterat, me autem poterat prodere, quæstione habita, si quid ego deliquissem; (34) sed eo pervenisse insipientiæ, ut Simoni insidias meditans non observarim ubi eum solum vel interdiu vel noctu aggredi potuissem; at illuc ipse accesserim ubi a plurimis conspici et verberari poteram, quasi adversus me omnia consulto procuraverim ut inimicis quammaxime ludibrio forem? (35) Quin etiam, o senatores, ex ipsa pugna, ut commissa fuit, facile est judicatu mentiri hominem. Adolescens enim statim atque cognovit se peti, projecta veste, fuga se subripuit; illi insequebantur, ego alia via discedens domum abii. (36) Utros igitur oporteat judicare exstitisse auctores earum rerum quæ gestæ sint? illosne qui fugiebant, an illos qui studebant assequi? equidem existimo omnibus esse manifestum eos fugere qui sibi metuunt, eos vero insequi qui mali aliquid meditantur. (37) Nec dici potest hæc quidem esse verisimilia, sed istos aliter egisse : namque adolescentem e via abreptum per vim abduxerunt. Quibus ego interveniens, ipsos ne attigi quidem, sed puerum manu reprehendi. Hunc isti per vim abripiebant, meque plagis operiebant; quæ vobis eorum testimoniis comprobantur qui ibi adfuerunt; ita ut id esset iniquissimum, me de his censeri præmeditatum fuisse in quibus illi tam atrociter, tam violenter se gesserint. (38) Quid autem de me factum fuisset, si evenissent omnia prorsus contraria, si ego scilicet plurimis amicis stipatus, ac Simoni factus obviam, eum aggressus fuissem, verberassem, insecutus fuissem, comprehensum per vim abducere tentassem; ubi nunc his omnibus ab ipso perpetratis, ego in hujusmodi discrimen adducor, in quo mihi de patria fortunisque omnibus agitur? (39) Hoc vero omnium maximum et luculentissimum est argumentum, quod iste, ut dicit, a me injuria exceptus et insidiis petitus, per totum quadriennum mihi apud vos diem dicere non fuerit ausus. Ac ceteri quidem, quum amant atque amatis excluduntur, atque insuper plagis contunduntur, confestim præ ira pœnas sumere gestiunt; iste autem nonnisi post multo tempore id facit.

40. Me igitur, senatores, neutiquam in culpa esse ob ea quæ facta sint, satis comprobari arbitror. Ceterum ego me eo animo esse profiteor quoad ejusmodi contentiones, ut, quum in multis a Simone contumeliose tractatus, tum caput ab ipso comminutus, eum tamen in jus vocare non sustinuerim; existimans id non ferendum esse, ideo quemvis ex patria velle ejicere, quod de amasio inter nos concertaverimus. (41) Præter hæc hoc vulnus esse ex industria illatum minime credidi, si quis cædem non meditans vulneraverit. Quis est enim ea animi imbecillitate, ut per plurimum temporis meditetur quo pacto adversariorum aliquis vulnus accipiat? (42) Sed manifestum est nostra-

δῆλον ὅτι καὶ οἱ τοὺς νόμους ἐνθάδε θέντες, οὐκ εἴ τινες μαχεσάμενοι ἔτυχον ἀλλήλων κατεάξαντες τὰς κεφαλάς, ἐπὶ τούτοις ἠξίωσαν τῆς πατρίδος φυγὴν ποιήσασθαι· ἢ πολλούς γ' ἂν ἐξήλασαν· ἀλλ' ὅσοι ἐπιβουλεύσαντες ἀποκτεῖναί τινας ἔτρωσαν, ἀποκτεῖναι δὲ οὐκ ἠδυνήθησαν, περὶ τῶν τοιούτων τὰς τιμωρίας οὕτω μεγάλας κατεστήσαντο, ἡγούμενοι, ὑπὲρ ὧν ἐβούλευσαν καὶ προὐνοήθησαν, ὑπὲρ τούτων προσήκειν αὐτοῖς δίκην δοῦναι· εἰ δὲ μὴ κατέσχον, οὐδὲν ἧττον τό γ' ἐκείνων πεποιῆσθαι. (43) Καὶ ταῦτα ἤδη καὶ πρότερον πολλάκις ὑμεῖς οὕτω διέγνωτε περὶ τῆς προνοίας. Καὶ γὰρ δεινὸν ἂν εἴη, εἰ ὅσοι ἐκ μέθης καὶ φιλονεικίας ἢ ἐκ παιδιῶν ἢ ἐκ λοιδορίας ἢ περὶ ἑταίρας μαχόμενοι ἕλκος ἔλαβον, εἰ ὑπὲρ τούτων ὧν, ἐπειδὰν βέλτιον φρονήσωσιν, ἅπασι μεταμέλει, οὕτως ὑμεῖς μεγάλας καὶ δεινὰς τὰς τιμωρίας ποιήσεσθε, ὥστε ἐξελαύνειν τινὰς τῶν πολιτῶν ἐκ τῆς πατρίδος.

44. Θαυμάζω δὲ μάλιστα τούτου τῆς διανοίας. Οὐ γὰρ τοῦ αὐτοῦ μοι δοκεῖ εἶναι ἐρᾶν τε καὶ συκοφαντεῖν, ἀλλὰ τὸ μὲν τῶν εὐηθεστέρων, τὸ δὲ τῶν πανουργοτάτων. Ἐβουλόμην δ' ἂν ἐξεῖναί μοι παρ' ὑμῖν καὶ ἐκ τῶν ἄλλων ἐπιδεῖξαι τὴν τούτου πονηρίαν, ἵνα ἐπίστησθε ὅτι πολὺ ἂν δικαιότερον αὐτὸς περὶ θανάτου ἠγωνίζετο ἢ ἑτέρους περὶ τῆς πατρίδος εἰς κίνδυνον καθίστη. (45) Τὰ μὲν οὖν ἄλλα ἐάσω· ὃ δ' ἡγοῦμαι ὑμῖν προσήκειν ἀκοῦσαι καὶ τεκμήριον ἔσεσθαι τῆς τούτου θρασύτητος καὶ τόλμης, περὶ τούτου μνησθήσομαι. Ἐν Κορίνθῳ γάρ, ἐπειδὴ ὕστερον ἦλθε τῆς πρὸς τοὺς πολεμίους μάχης καὶ τῆς εἰς Κορώνειαν στρατείας, ἐμάχετο τῷ ταξιάρχῳ Λάχητι καὶ ἔτυπτεν αὐτόν, καὶ πανστρατιᾷ τῶν πολιτῶν ἐξελθόντων, δόξας ἀκοσμότατος εἶναι καὶ πονηρότατος, μόνος Ἀθηναίων ὑπὸ τῶν στρατηγῶν ἐξεκηρύχθη.

46. Ἔχοιμι δ' ἂν καὶ ἄλλα πολλὰ εἰπεῖν περὶ τούτου, ἀλλ' ἐπειδὴ παρ' ὑμῖν οὐ νόμιμόν ἐστιν ἔξω τοῦ πράγματος λέγειν, ἐκεῖνο ἐνθυμεῖσθε· οὗτοί εἰσιν οἱ βίᾳ εἰς τὴν ἡμετέραν οἰκίαν εἰσιόντες, οὗτοι οἱ διώκοντες, οὗτοι οἱ βίᾳ ἐκ τῆς ὁδοῦ συναρπάζοντες ἡμᾶς. (47) Ὧν ὑμεῖς μεμνημένοι τὰ δίκαια ψηφίζεσθε, καὶ μὴ περιίδητε ἐκ τῆς πατρίδος ἀδίκως ἐκπεσόντα, ὑπὲρ ἧς ἐγὼ πολλοὺς κινδύνους κεκινδύνευκα καὶ πολλὰς λειτουργίας λελειτούργηκα, καὶ κακοῦ μὲν αὐτῇ οὐδενὸς αἴτιος γεγένημαι, οὐδὲ τῶν ἐμῶν προγόνων οὐδείς, ἀγαθῶν δὲ πολλῶν· (48) ὥστε δικαίως ἂν ὑφ' ὑμῶν καὶ ὑπὸ τῶν ἄλλων ἐλεηθείην, οὐ μόνον εἴ τι πάθοιμι ὧν Σίμων βούλεται, ἀλλὰ καὶ ὅτι ἠναγκάσθην ἐκ τοιούτων πραγμάτων εἰς τοιούτους ἀγῶνας καταστῆναι.

rum quoque legum latores, non, si qui, oborta rixa, sua invicem capita comminuerint, eis exilium statuisse (plurimos enim utique ejecissent in exilium), verum qui cædem aliquibus destinantes, quamvis cædem perficere non potuerint, eis pœnas adeo graves tulerunt; rati oportere illos eorum pœnas dare quæ in animo destinaverunt peragenda, ac si votorum non facti sunt compotes, ea nihilominus peregisse quantum in ipsis fuit. (43) Et vos jam sæpe de vulnere ex industria illato ita statuistis. Nam indignum foret, eorum gratia qui aut ex ebrietate aut rixa, aut de puero, vel scorto, vel convicio aliquo dimicantes vulnus acciperent, aut de iis rebus quarum, ubi redierint ad mentem, omnes pœnitet, eorum, inquam, gratia, vos tantas tamque atroces pœnas infligere, ut cives ex patria ejiceretis.

44. Vehementer autem miror istius animum. Non enim mihi videtur ejusdem esse et amare et calumniari; at illud simpliciorum esse, hoc versutissimorum. Vellem mihi licere istius improbitatem vobis aliunde commonstrare, ut pernosceretis multo fuisse æquius ut iste de proprio capite dimicaret, quam alios in discrimen de patria adduceret. (45) Alia igitur omittam; quod autem vos existimo scire oportere, istiusque intemperantiæ et audaciæ argumentum fore, de hoc verba paulisper faciam. Corinthi enim, quum ad exercitum venisset post pugnam cum hostibus commissam et expeditionem adversus Coroneam susceptam, cum Lachete taxiarcho concertationem habuit, eumque verberavit; atque inde solus Atheniensium meruit ut universæ civitatis, quæ tunc ad bellum exierat, nequissimus ipse et disciplinæ militaris negligentissimus judicatus, voce præconis, jussu imperatorum, expelleretur.

46. Sunt et alia quamplurima quæ de eo commemorare possim; sed quum apud vos lege provisum sit ne quis extra rem dicat, hoc saltem in animis vestris cogitate : isti sunt qui per vim in domum nostram irruperunt, isti qui nos insecuti sunt, isti qui nos e via per vim arripuerunt. (47) Quorum memores quæ justa sint decernite, neque me sinite per injuriam patria excidere, pro qua ego multa subivi pericula, multa obivi munera, cui nunquam ipse cujusvis mali auctor exstiti, neque majorum meorum quisquam, sed bonorum contra quamplurimorum. (48) Ego igitur is sum qui quum vestram tum aliorum misericordiam consequar, non modo si quid mihi acciderit eorum quæ Simo vult; verum etiam quod coactus fuerim istiusmodi ob causam in tale certamen forense descendere.

IV.

ΠΕΡΙ ΤΡΑΥΜΑΤΟΣ ΕΚ ΠΡΟΝΟΙΑΣ,

ΠΕΡΙ ΟΥ ΚΑΙ ΠΡΟΣ ΟΝ [ΑΔΗΛΟΝ].

Θαυμαστόν γε, ὦ βουλή, τὸ διαμάχεσθαι περὶ τούτου, ὡς οὐκ ἐγένοντο ἡμῖν διαλλαγαί, καὶ τὸ μὲν ζεῦγος καὶ τὰ ἀνδράποδα, καὶ ὅσα ἐξ ἀγροῦ κατὰ τὴν ἀντίδοσιν ἔλαβε, μὴ ἂν δύνασθαι ἀρνηθῆναι ὡς οὐκ ἀπέδωκε, φανερῶς δὲ περὶ πάντων διαλελυμένον ἀρνεῖσθαι τὰ περὶ τῆς ἀνθρώπου, μὴ κοινῇ ἡμᾶς χρῆσθαι συγχωρῆσαι. (2) Καὶ τὴν ἀντίδοσιν δι' ἐκείνην φανερός ἐστι ποιησά- 101 μενος, τὴν δ' αἰτίαν δι' ἣν ἀπέδωκεν ἃ ἔλαβεν, οὐκ ἂν ἄλλην ἔχοι εἰπεῖν (βουλόμενος τἀληθῆ λέγειν) ἢ ὅτι οἱ φίλοι περὶ πάντων ἡμᾶς τούτων συνήλλαξαν. (3) Ἐβουλόμην δ' ἂν μὴ ἀπολαχεῖν αὐτὸν κριτὴν Διονυσίοις, ἵν' ὑμῖν φανερὸς ἐγένετο ἐμοὶ διηλλαγμένος, κρίνας τὴν ἐμὴν φυλὴν νικᾶν· νῦν δὲ ἔγραψε μὲν ταῦτα εἰς τὸ γραμματεῖον, ἀπέλαχε δέ. (4) Καὶ ὅτι ἀληθῆ ταῦτα λέγω, Φιλῖνος καὶ Διοκλῆς ἴσασιν· ἀλλ' οὐκ ἔστ' αὐτοῖς μαρτυρῆσαι μὴ διομοσαμένοις περὶ τῆς αἰτίας ἧς ἐγὼ φεύγω, ἐπεὶ σαφῶς ἔγνωτ' ἂν ὅτι ἡμεῖς ἦμεν αὐτὸν οἱ κριτὴν ἐμβαλόντες καὶ ἡμῶν εἵνεκα ἐκαθέζετο. (5) Ἀλλ' ἦν, εἰ βούλεται, ἐχθρός· δίδωμι γὰρ αὐτῷ τοῦτο· οὐδὲν γὰρ διαφέρει. Οὐκοῦν ἦλθον αὐτὸς αὐτὸν ἀποκτενῶν, ὡς οὗτός φησι, καὶ βίᾳ εἰς τὴν οἰκίαν εἰσῆλθον. Διὰ τί οὖν οὐκ ἀπέκτεινα, ὑποχείριον λαβὼν τὸ σῶμα, καὶ τοσοῦτον κρατήσας ὥστε καὶ τὴν ἄνθρωπον λαβεῖν; φρασάτω πρὸς ὑμᾶς. Ἀλλ' οὐκ ἔχει εἰπεῖν. (6) Καὶ μὴν οὐδείς γε ὑμῶν ἀγνοεῖ ὅτι θᾶττον ἂν ἐγχειριδίῳ πληγεὶς ἀπέθανεν ἢ πὺξ παιόμενος. Φαίνεται τοίνυν οὐδ' αὐτὸς αἰτιώμενος τοιοῦτόν τι ἔχοντας ἡμᾶς ἐλθεῖν, ἀλλ' ὀστράκῳ φησὶ πληγῆναι. Καίτοι φανερὸν ἤδη ἐξ ὧν εἴρηκεν, ὅτι οὐ πρόνοια γεγένηται. (7) Οὐ γὰρ ἂν οὕτως ἤλθομεν, ἀδήλου ὄντος εἰ παρὰ τούτῳ εὑρήσομεν ὄστρακον ἢ οὕτως αὐτὸν ἀποκτενοῦμεν, ἀλλ' οἴκοθεν ἔχοντες ἂν ἐβαδίζομεν. Νῦν δ' ὁμολογούμεθα πρὸς παῖδας καὶ αὐλητρίδας καὶ μετ' οἴνου ἐλθόντες· ὥστε πῶς ταῦτ' ἐστὶ πρόνοια; ἐγὼ μὲν γὰρ οἶμαι οὐδαμῶς. (8) Ἀλλ' οὗτος ἐναντίως τοῖς ἄλλοις δύσερώς ἐστι, καὶ ἀμφότερα βούλεται, τό τε ἀργύριον μὴ ἀποδοῦναι καὶ τὴν ἄνθρωπον ἔχειν. Εἶτα ὑπὸ τῆς ἀνθρώπου παρωξυμμένος ὀξύχειρ λίαν καὶ πάροινός ἐστιν, ἀνάγκη δ' ἀμύνασθαι. Ἡ δὲ τοτὲ μὲν ἐμὲ περὶ πολλοῦ τοτὲ δὲ τοῦτόν φησι ποιεῖσθαι, βουλομένη ὑπ' ἀμφοτέρων ἐρᾶσθαι. (9) Καὶ ἐγὼ μὲν ἐξ ἀρχῆς εὐκόλως εἶχον καὶ νῦν ἔτι ἔχω· ὁ δ' εἰς τοῦτο βαρυδαιμονίας ἥκει, ὥστε οὐκ αἰσχύνεται τραύματε ὀνομάζων τὰ ὑπώπια καὶ ἐν κλίνῃ περιφερόμενος καὶ δεινῶς προσποιούμενος διακεῖσθαι ἕνεκα πόρνης ἀνθρώπου, ἣν ἔξεστιν αὐτῷ ἀναμφισβητήτως ἔχειν ἐμοὶ ἀποδόντι τἀργύριον. (10) Καὶ φησὶ μὲν δεινῶς ἐπιβουλευθῆναι καὶ πρὸς ἅπανθ' ἡμῖν ἀμφισβητεῖ, ἐξὸν δ' ἐκ τῆς ἀνθρώπου βασανισθείσης τὸν ἔλεγχον ποιήσασθαι οὐκ ἠθέλησεν·

IV.

DE VULNERE EX INDUSTRIA,

ACCUSATORE ET REO INCERTIS.

Mirum certe est, senatores, istum contendere conventionem inter nos non fuisse factam, eundemque par aratorum boum et mancipia, et quæcumque instrumenta rustica ex permutatione acceperit, ea se restituisse non posse ire infitias : mirum est eum qui de his evidenter pepigit, ea denegare quæ ad mulierem spectant, nempe communem illius consuetudinem nobis ex pacto reservari. (2) Eum tamen constat mulieris causa permutationem fecisse, nec rationem propter quam restituit ea quæ receperat, aliam possit proferre, si ea quæ vera sint dicere voluerit, quam quod amici nos super his omnibus reconciliarunt. (3) Vellem eum Dionysiis in sortitione judicum non fuisse præteritum, ut vobis plane videretur mecum in gratiam rediisse, tribui meæ victoriam adjudicans. Jam vero in album quidem hæc retulerat, sed petitione excidit. (4) Atque hæc vera esse quæ dico norunt Philinus et Diocles; verum iis non licet testimonium dicere, quum in hac causa nostra jusjurandum non susceperint. Tunc scilicet clare pernosceretis nos ipsos auctores exstitisse ut iste judex sortiretur, ac proinde eum propter nos, si sors ei favisset, sessurum fuisse judicem. (5) At erat, si hoc velit, inimicus. Id enim ipsi concedo, neque magnopere interest. Veni igitur ipse eum interfecturus, ut iste ait, et in ædes ejus per vim irrupi. At quamobrem non interfecerim, quum homo in mea potestate esset, tantumque ego valerem ut mulierem mecum abducerem, ille vos edoceat : sed non possit edocere. (6) Jam vero neminem vestrûm nescire arbitror eum facilius interimi potuisse pugione ictum quam pugno percussum. At nec ipse pugione instructum me ad se venisse criminatur, imo testa dicit se fuisse vulneratum. Attamen ex iis quæ profert manifestum est non fuisse illic vulnus de industria. (7) Non enim adeo imparati venissemus, quum incertum esset utrum domi apud eum testam reperturi et sic eum interfecturi essemus; sed domo telum attulissemus. Nunc vero isti confitentur nos bene potos comissari ad puellas et tibicinas. Quomodo igitur hic est vulnus de industria? equidem nullatenus reor. (8) Hic autem homo contrario aliis modo perversus in amando est; utrumque vult et pecuniam non reddere et mulierem habere. Deinde ab illa incitatus ita se proterve gerit, ita parate ad vim inferendam, ut vim vi repellere necesse sit. At illa modo me, modo illum, plurimi se facere simulat, ut ab utroque nostrûm amari possit. (9) Et ego quidem ab initio facilem me præbui, uti etiam nunc me præbeo : ille autem eo usque delirat, ut sugillationes non pudeat vulnus appellare, et in lectulo circumferri, et simulare se pessime habitum fuisse propter scortum quod ipsi licet sine contentione habere, numerata mihi pecunia. (10) Ait se a me insidiis graviter esse petitum, et in omnibus vehementer mihi adversatur; nec tamen, quum licuerit veritatem elicere ex muliercula quæ

ἢ πρῶτον μὲν τοῦτ' ἂν κατεῖπε, πότερα κοινὴ ἡμῖν ἦν ἢ ἰδία τούτου, καὶ πότερα τὸ ἥμισυ τοῦ ἀργυρίου ἐγὼ συνεβαλόμην ἢ οὗτος ἅπαν ἔδωκε, καὶ εἰ διηλλαγμένοι ἢ ἔτ' ἐχθροὶ ἦμεν, (11) ἔτι δὲ εἰ μεταπεμφθέντες ἤλθομεν ἢ οὐδενὸς καλέσαντος, καὶ εἰ οὗτος ἦρχε χειρῶν ἀδίκων ἢ ἐγὼ πρότερος τοῦτον ἐπάταξα. Τούτων καθ' ἓν ἕκαστον καὶ τῶν ἄλλων οὐδὲν ἦν ὅ τι οὐ ῥᾴδιον αὐτῇ τοῖς τε ἄλλοις ἐμφανὲς καὶ τούτοις ποιῆσαι.

12. Ὅτι μὲν οὖν οὔτε πρόνοια ἐγένετο οὔτε ἀδικῶ τοῦτον, ὦ βουλή, ἐκ τοσούτων τεκμηρίων καὶ μαρτυριῶν ὑμῖν ἐπιδέδεικται· ἀξιῶ δ' ὅσον ἂν ἐγένετο σημεῖον τούτῳ πρὸς τὸ δοκεῖν ἀληθῆ λέγειν φυγόντος ἐμοῦ τὴν βάσανον, τοσοῦτον ἐμοὶ τεκμήριον γενέσθαι ὅτι οὐ ψεύδομαι, διότι οὗτος οὐκ ἠθέλησεν ἐκ τῆς ἀνθρώπου ποιήσασθαι τὸν ἔλεγχον, καὶ μὴ τοσοῦτον ἰσχῦσαι τοὺς τούτου λόγους, ὅτι φησὶν αὐτὴν ἐλευθέραν εἶναι· ὁμοίως γὰρ προσήκει κἀμοὶ τῆς ἐλευθερίας, τὸ ἴσον καταθέντι ἀργύριον. Ἀλλὰ ψεύδεται καὶ οὐκ ἀληθῆ λέγει. (13) Ἦ δεινόν γε· εἰ εἰς μὲν λύσιν τοῦ σώματος ἔδωκα τὸ ἀργύριον ἐκ τῶν πολεμίων, ἐξῆν ἄν μοι χρῆσθαι αὐτῇ ὅ τι ἐβουλόμην, κινδυνεύοντι δέ μοι περὶ τῆς πατρίδος οὐδὲ πυθέσθαι παρ' αὐτῆς τἀληθῆ ἐκγενήσεται περὶ ὧν εἰς τὴν κρίσιν καθέστηκα; καὶ μὲν δὴ πολὺ ἂν δικαιότερον ἐπὶ ταύτῃ τῇ αἰτίᾳ βασανισθείη ἢ ἐπὶ τῇ ἐκ τῶν πολεμίων λύσει πραθείη, ὅσῳ παρὰ μὲν ἐκείνων βουλομένων ἀπολῦσαι
102 ἔστι καὶ ἄλλοθεν εὐπορήσαντι κομισθῆναι, ἐπὶ δὲ τοῖς ἐχθροῖς γενόμενον οὐ δυνατόν· οὐ γὰρ ἀργύριον λαβεῖν προθυμοῦνται, ἀλλ' ἐκ τῆς πατρίδος ἐκβαλεῖν αὐτὸν ποιοῦνται. (14) Ὥσθ' ὑμῖν προσήκει μὴ ἀποδέχεσθαι αὐτοῦ διὰ τοῦτο οὐκ ἀξιοῦντος βασανισθῆναι τὴν ἄνθρωπον, ὅτι αὐτὴν ἐλευθέραν ἐσκήπτετο εἶναι, ἀλλὰ πολὺ μᾶλλον συκοφαντίαν καταγινώσκειν, ὅτι παραλιπὼν ἔλεγχον οὕτως ἀκριβῆ ἐξαπατήσειν ὑμᾶς ῥᾳδίως ᾠήθη. (15) Οὐ γὰρ δή που τήν γε τούτου πρόκλησιν πιστοτέραν ὑμᾶς νομίζειν δεῖ τῆς ἡμετέρας, ἐφ' οἷς τοὺς αὑτοῦ οἰκέτας ἠξίου βασανίζεσθαι· ἃ μὲν γὰρ ἐκεῖνοι ᾔδεσαν, ἐλθόντας ἡμᾶς ὡς τοῦτον, καὶ ἡμεῖς ὁμολογοῦμεν· εἰ δὲ μεταπεμφθέντες ἢ μή, καὶ πότερον πρότερον ἐπλήγην ἢ ἐπάταξα, ἐκείνη μᾶλλον ἂν ᾔδει. (16) Ἔτι δὲ τοὺς μὲν τούτου οἰκέτας ἰδίους ὄντας τούτου εἰ ἐβασανίζομεν, ἀνοήτως ἄν τι τούτῳ χαριζόμενοι καὶ παρὰ τὴν ἀλήθειαν ἐμοῦ κατεψεύσαντο· αὕτη δὲ ὑπῆρχε κοινή, ὁμοίως ἀμφοτέρων ἀργύριον κατατεθεικότων, καὶ μάλιστα ᾔδει. Διὰ ταύτην ἅπαντα τὰ πραχθέντα ἡμῖν γεγένηται, καὶ οὐ λήσει οὐδὲν ἐν ταύτῃ. (17) Ἔγωγ' ἂν ἴσον εἶχον βασανισθείσης, ἀλλ' ἀπεκινδύνευον τοῦτο· πολὺ γὰρ περὶ πλείονος τοῦτον ἢ ἐμὲ φαίνεται ποιησαμένη, καὶ μετὰ μὲν τούτου ἐμὲ ἠδικηκυῖα, μετ' ἐμοῦ δ' οὐδεπώποτε εἰς τοῦτον ἐξαμαρτοῦσα. Ἀλλ' ὅμως ἐγὼ μὲν εἰς ταύτην κατέφυγον, οὗτος δὲ οὐκ ἐπίστευσεν αὐτῇ.

18. Οὔκουν δεῖ ὑμᾶς, ὦ βουλή, τηλικούτου ὄντος τοῦ κινδύνου, ῥᾳδίως ἀποδέχεσθαι τοὺς τούτου λόγους, ἀλλ' ἐνθυμουμένους ὅτι περὶ τῆς πατρίδος μοι καὶ τοῦ βίου ὁ ἀγών ἐστιν, ἐν ὑπολόγῳ ταύτας τὰς προκλήσεις

stioni subjecta, id voluit. Quæ primum hoc indicare poterat utrum ipsa nobis communis fuerit, an isti propria; utrum ego dimidium pecuniæ contulerim, an ipse totum numeraverit; utrum reconciliati inter nos, an inimici adhuc fuerimus; (11) præter hæc, utrum ego arcessitus advenerim, an nemine vocante, denique, utrum iste injuriam inceptaverit, an ego istum prior percusserim. Horum singulatim aliorumque nihil erat quod non facile, quum aliis, tum his judicibus, planum fieri posset.

12. Non fuisse igitur vulnus de industria, senatores, neque me eum injuria affecisse, tot indiciis testimoniisque vobis comprobatum est. Obtestor autem ut quantam ejus orationi fidem attulisset, si ego quæstionem defugissem, tantam meæ afferat quod ex muliere veritatem elicere recusaverit, neque tantum valeant ipsius verba quum dicit eam esse liberam; de libertate enim ad me non minus pertinet, qui tantumdem pecuniæ dinumeravi. Sed mentitur, nec vera affirmat. (13) Atque id sane indignum foret, si, quum mihi licuerit, data nempe a me pecunia, muliere uti pro meo libitu ad corpus redimendum ex hostium potestate, nunc adducto in id discriminis ut patria exulare timeam, non mihi liceat veritatem ab illa sciscitari earum rerum de quibus in judicium venio. Atqui multo justius ob hanc causam mulier torqueretur, quam propter redemptionem ab hostibus venum iret. Nam si hostes me vellent dimittere, aliunde pecuniam acquirens possem reverti in patriam, inimicis vero meis deditus, non possem. Non enim isti pecuniam expetunt, sed me patria ejicere sedulo enituntur. (14) Vos itaque decet ejus orationem non admittere, qui idcirco feminam torqueri noluit, quia contendebat eam esse liberam, sed eum potius calumniatorem judicare, quod, rejecto tam liquido argumento, vos putabat facillime deceptum iri. (15) Namque hujus provocationem ideo quia suos servos torqueri postulavit, nostra credibiliorem non debetis existimare. Quod enim illi norunt, nos nempe venisse ad istius domum, id nos ipsi confitemur: utrum vero arcessiti necne venerimus, utrum ego prior plagam receperim vel intulerim, illa melius noverit. (16) Ad hæc, si ejus servos ipsi proprios in quæstionem adduxissem, verisimile est illos hero gratificantes præter veritatem me fuisse criminaturos; mulier vero communis erat, quum utrique pariter hujus pretium persolvissemus: hujus causa potissimum omnia inter nos jurgia evenerant, adeoque illa interrogata, nihil latuisset. (17) Non omnino quidem æqua [ἄνισον] mihi fuisset conditio ex illa quæstioni subjecta, sed tamen ejus rei faciebam periculum. Femina scilicet isti multo magis studebat quam mihi: cum isto conjuncta me sæpe injuria affecit, istum autem cum me nunquam. Ego nihilominus confugi ad illam, dum ille huic non credebat.

18. Vos igitur, senatores, in re tanti discriminis non decet istius verba facilius admittere: sed cogitantes hic mihi de patria fortunisque omnibus agi, provocationum nostrarum rationem habeatis. Neque majora quæratis adhuc argu-

ποιεῖσθαι. Καὶ μὴ ζητεῖτε τούτων ἔτι μείζους πίστεις· οὐ γὰρ ἂν ἔχοιμι εἰπεῖν ἀλλ' ἢ ταύτας, ὡς οὐδὲν εἰς τοῦτον προὐνοήθην. (19) Ἀγανακτῶ δ', ὦ βουλή, εἰ διὰ πόρνην καὶ δούλην ἄνθρωπον περὶ τῶν μεγίστων εἰς κίνδυνον καθέστηκα, τί κακὸν πώποτε τὴν πόλιν ἢ αὐτὸν τοῦτον εἰργασμένος, ἢ εἰς τίνα τῶν πολιτῶν ὁτιοῦν ἐξαμαρτών; οὐδὲν γὰρ ἔμοιγέ ἐστι τοιοῦτον πεπραγμένον, ἀλλ' ἀλογώτατον πάντων κινδυνεύω πολὺ μείζω συμφορὰν ἐμαυτῷ διὰ τούτους ἐπαγαγέσθαι. (20) Πρὸς οὖν παίδων καὶ γυναικῶν καὶ θεῶν τῶν τόδε τὸ χωρίον ἐχόντων ἱκετεύω ὑμᾶς καὶ ἀντιβολῶ, ἐλεήσατέ με, καὶ μὴ περιίδητε ἐπὶ τούτῳ γενόμενον, μηδὲ ἀνηκέστῳ συμφορᾷ περιβάλητε· οὐ γὰρ ἄξιος οὔτ' ἐγὼ φεύγειν τὴν ἐμαυτοῦ, οὔτε οὗτος τοσαύτην δίκην παρ' ἐμοῦ λαβεῖν ὑπὲρ ὧν φησιν ἠδικῆσθαι, οὐκ ἠδικημένος.

menta (non enim alia proferre possim) quibus constet me nihil in istum consulto destinasse. (19) Non mediocriter autem commoveor, senatores, quod ob servam scortumque in discrimen de rebus maximis adducar. Quo tamen damno civitatem vel ipsum adversarium aliquando affeci? quid in quem civium admisi? Nihil hujusmodi est unquam a me factum; sed iniquissime jam in periculo sum, ne propter hos multo majoris mihi auctor sim calamitatis (quam si patriæ damnum intulissem). (20) Vos itaque per liberos et uxores, per deos qui hanc regionem tenent, oro atque obtestor ut vos mei misereseat; neque sinatis ut in istius potestatem redigar, neque me summo infortunio involvatis. Non enim æquum est vel me patria ejici, vel istum pœnas a me repetere tam graves ob injurias quas dicit se accepisse, quamvis re ipsa non acceperit.

V.

ΥΠΕΡ ΚΑΛΛΙΟΥ ΙΕΡΟΣΥΛΙΑΣ

ΑΠΟΛΟΓΙΑ.

Εἰ μὲν περὶ ἄλλου τινὸς ἢ τοῦ σώματος, ὦ ἄνδρες δικασταί, Καλλίας ἠγωνίζετο, ἐξήρκει ἄν μοι καὶ τὰ παρὰ τῶν ἄλλων εἰρημένα· νῦν δέ μοι δοκεῖ αἰσχρὸν εἶναι, κελεύοντος καὶ δεομένου, καὶ φίλου ὄντος καὶ ἐμοὶ καὶ ἕως ἔζη τῷ πατρί, καὶ πολλῶν συμβολαίων ἡμῖν πρὸς ἀλλήλους γεγενημένων, μὴ βοηθῆσαι Καλλίᾳ τὰ δίκαια, ὅπως ἂν δύνωμαι. (2) Ἐνόμιζον μὲν οὖν οὕτω μετοικεῖν αὐτὸν ἐν ταύτῃ τῇ πόλει, ὥστε πολὺ πρότερον ἀγαθοῦ τινος τεύξεσθαι παρ' ὑμῶν ἢ ἐπὶ τοιαύταις αἰτίαις εἰς τοσοῦτον κίνδυνον καταστήσεσθαι· νῦν δὲ οἱ ἐπιβουλεύοντες οὐχ ἧττον ἐπικίνδυνον ποιοῦσι τὸν βίον τοῖς μηδὲν ἀδικοῦσιν ἢ τοῖς πολλῶν κακῶν αἰτίοις οὖσιν. (3) Ὑμᾶς δὲ ἄξιον μὴ τοὺς μὲν τῶν θεραπόντων λόγους
103 πιστοὺς νομίζειν, τοὺς δὲ τούτων ἀπίστους, ἐνθυμουμένους ὅτι Καλλίᾳ μὲν οὐδεὶς πώποτε οὔτ' ἰδιώτης ἐνεκάλεσεν οὔτε ἄρχων, οἰκῶν δ' ἐν ταύτῃ τῇ πόλει πολλὰ μὲν ἀγαθὰ ὑμᾶς ἐποίησεν, οὐδεμίαν δὲ σχὼν αἰτίαν εἰς τοῦτο τῆς ἡλικίας ἀφῖκται, οὗτοι δὲ ἐν ἅπαντι τῷ βίῳ μεγάλα ἡμαρτηκότες καὶ πολλῶν κακῶν πεπειραμένοι,
b ὥσπερ ἀγαθοῦ τινος αἴτιοι γεγενημένοι περὶ ἐλευθερίας νυνὶ ποιοῦνται τοὺς λόγους. (4) Καὶ οὐ θαυμάζω· ἴσασι γὰρ ὅτι, ἂν ψευδόμενοι ἐλεγχθῶσιν, οὐδὲν μεῖζον τῶν ὑπαρχόντων πείσονται, ἐὰν δὲ ὑμᾶς ἐξαπατήσωσι, τῶν παρόντων κακῶν ἔσονται ἀπηλλαγμένοι. Καίτοι τοὺς τοιούτους οὔτε κατηγόρους οὔτε μάρτυρας πιστοὺς χρὴ νομίζειν εἶναι, οἵτινες αὐτοὶ μεγάλα κερδαίνοντες περὶ ἑτέρων ποιοῦνται τοὺς λόγους, ἀλλὰ πολὺ μᾶλλον ὅσοι τῷ δημοσίῳ βοηθοῦντες εἰς κινδύνους σφᾶς αὐτοὺς καθιστᾶσιν. (5) Ἄξιον δέ μοι δοκεῖ εἶναι οὐ τούτων ἴδιον ἡγεῖσθαι τὸν ἀγῶνα, ἀλλὰ κοινὸν ἁπάντων τῶν ἐν τῇ πόλει· οὐ γὰρ τούτοις μόνοις εἰσὶ θεράποντες,

V.

PRO SACRILEGIO CALLIÆ

DEFENSIO.

Si in ullum aliud præter capitis periculum, judices, adductus esset Callias, mihi satis essent quæ ab aliis jam dicta sunt: nunc vero quum is me supplex rogaverit, quum mihi patrique meo, quamdiu vixit, fuerit amicissimus, et multæ inter nos sint rationes contractæ, turpe mihi videretur Calliæ, secundum jus, quoad possum, non patrocinari. (2) Eum igitur existimabam ita in nostra civitate inquilinum vixisse, ut multo citius boni aliquid a vobis consequeretur, quam ob tam graves criminationes in tantum discrimen veniret. Jam autem insidiatores vivendi conditionem nihilo minus reddunt periculosam iis qui nihil delinquunt quam iis qui plurima flagitia perpetrant. (3) Vos porro non decet servorum orationes magis fide dignas censere quam hujus patronorum; cogitantes scilicet quod Callias a nemine unquam vel privato vel potestate prædito insimulatus fuerit, idemque hujus civitatis incola vos plurimis affecerit beneficiis, nullaque suspicione notatus ad hanc ætatem pervenerit; dum isti contra per totum vitæ curriculum gravissima deliquere, plurimaque mala inferre conati, quasi beneficii alicujus auctores exstitissent, de libertate verba faciunt. (4) Neque id miror: norunt enim quod, si mendacii arguantur, nihil gravius præsenti fortuna sint perpessuri; at si vos decipere queant, præsentibus malis statim liberandi sint. At enim hujusmodi neque accusatores neque testes fide dignos oportet existimare qui suo maximo emolumento alios deferunt; sed eos multo magis qui reipublicæ auxiliantes, se ipsos conjiciunt in pericula. (5) Mihi autem videtur horum contentionem non privatam esse habendam, sed omnibus in civitate communem. Non enim his solis, verum etiam ceteris omnibus sunt servi; qui

ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν, οἳ πρὸς τὴν τούτων τύχην ἀποβλέποντες οὐκέτι σκέψονται ὅ τι ἀγαθὸν εἰργασμένοι τοὺς δεσπότας ἐλεύθεροι γένοιντο, ἀλλ' ὅ τι ψεῦδος περὶ αὐτῶν μηνύσαντες.

VI.

ΚΑΤ' ΑΝΔΟΚΙΔΟΥ ΑΣΕΒΕΙΑΣ.

. . . . ἔδησε τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ ὡς ἀποδιδούς, τῇ δ' ἐπιούσῃ νυκτὶ ὑφείλετο. Οὗτος οὖν ὁ ταῦτα ποιήσας θανάτῳ τῷ ἀλγίστῳ ἀπώλετο, λιμῷ· πολλῶν γὰρ καὶ ἀγαθῶν αὐτῷ ἐπὶ τὴν τράπεζαν παρατιθεμένων ὄζειν ἐδόκει τοῦ ἄρτου καὶ τῆς μάζης κάκιστον, καὶ οὐχ ἠδύνατο ἐσθίειν. Καὶ ταῦτα πολλοὶ ἡμῶν ἤκουον τοῦ ἱεροφάντου λέγοντος. (3) Δίκαιον οὖν μοι δοκεῖ εἶναι νῦν ἐπὶ τούτῳ τὰ τότε λεχθέντα ἀναμνῆσαι, καὶ μὴ μόνον τοὺς τούτου φίλους ὑπὸ τούτου καὶ τῶν τούτου λόγων ἀπόλλυσθαι, ἀλλὰ καὶ αὐτὸν τοῦτον ὑφ' ἑτέρου. Ἀδύνατον δὲ καὶ ὑμῖν ἐστι, περὶ τοιούτου πράγματος φέρουσι τὴν ψῆφον, ἢ κατελεῆσαι ἢ καταχαρίσασθαι Ἀνδοκίδῃ, ἐπισταμένοις ὅτι ἐναργῶς τὼ θεὼ τούτω τιμωρεῖται τοὺς ἀδικοῦντας. Ἐλπίσαι οὖν χρὴ πάντα ἄνθρωπον ὄντα καὶ ἑαυτῷ καὶ ἑτέρῳ ἔσεσθαι.

4. Φέρε γάρ, ἂν νυνὶ Ἀνδοκίδης ἀθῷος ἀπαλλαγῇ ἡμῶν ἐκ τοῦδε τοῦ ἀγῶνος καὶ ἔλθῃ κληρωσόμενος τῶν ἐννέα ἀρχόντων καὶ λάχῃ βασιλεύς, ἄλλο τι ἢ ὑπὲρ ἡμῶν καὶ θυσιάσει καὶ εὐχὰς εὔξεται κατὰ τὰ πάτρια, τὰ μὲν ἐν τῷ ἐνθάδε Ἐλευσινίῳ, τὰ δὲ ἐν τῷ Ἐλευσῖνι ἱερῷ, καὶ τῆς ἑορτῆς ἐπιμελήσεται μυστηρίοις, ὅπως ἂν μηδεὶς ἀδικῇ μηδὲ ἀσεβῇ περὶ τὰ ἱερά; (5) Καὶ τίνα γνώμην οἴεσθε ἕξειν τοὺς μύστας τοὺς ἀφικνουμένους, ἐπειδὰν ἴδωσι τὸν βασιλέα ὅστις ἐστὶ καὶ ἀναμνησθῶσι πάντα τὰ ἠσεβημένα αὐτῷ, ἢ τοὺς ἄλλους Ἕλληνας, οἳ ἕνεκα ταύτης τῆς ἑορτῆς ἢ θύειν εἰς ταύτην τὴν πανήγυριν βουλόμενοι ἢ θεωρεῖν; (6) Οὐδὲ γὰρ ἀγνὼς ὁ Ἀνδοκίδης οὔτε τοῖς ἔξω οὔτε τοῖς ἐνθάδε διὰ τὰ ἠσεβημένα. Ἀναγκαίως γὰρ ἔχει ἀπὸ τῶν πολὺ διαφερόντων ἢ κακῶν ἢ ἀγαθῶν ἔργων τοὺς ποιήσαντας γιγνώσκεσθαι. Ἔπειτα δὲ καὶ διώχληκε πόλεις πολλὰς ἐν τῇ ἀποδημίᾳ, Σικελίαν, Ἰταλίαν, Πελοπόννησον, Θετταλίαν, Ἑλλήσποντον, Ἰωνίαν, Κύπρον· βασιλέας πολλοὺς κεκολάκευκεν, ᾧ ἂν ξυγγένηται, πλὴν τοῦ Συρακουσίου Διονυσίου. (7) Οὗτος δὲ ἢ πάντων εὐτυχέστατός ἐστιν ἢ πλεῖστον γνώμῃ διαφέρει τῶν ἄλλων, ὃς μόνος τῶν συγγενομένων Ἀνδοκίδῃ οὐκ ἐξηπατήθη ὑπ' ἀνδρὸς τοιούτου, ὃς τέχνην ταύτην ἔχει, τοὺς μὲν ἐχθροὺς μηδὲν ποιεῖν κακόν, τοὺς δὲ φίλους ὅ τι ἂν δύνηται κακόν. Ὥστε μὰ τὸν Δία οὐ ῥᾴδιόν ἐστιν ὑμῖν οὐδὲν
104 χαρισαμένοις αὐτῷ παρὰ τὸ δίκαιον λαθεῖν τοὺς Ἕλληνας. (8) Νῦν οὖν ὑμῖν ἐν ἀνάγκῃ ἐστὶ βουλεύσασθαι περὶ αὐτοῦ. Εὖ γὰρ ἐπίστασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐχ οἷόν τε ὑμῖν ἐστιν ἅμα τοῖς τε νόμοις τοῖς πατρίοις

ad istorum fortunas animum attendentes, jam non amplius considerabunt quo pacto bene meriti de dominis, sed quo pacto de iis falsa deferentes, liberi sint evasuri.

VI.

CONTRA ANDOCIDEM DE IMPIETATE.

* * * religavit equum ex templi annulo quasi restitueret, insecuta autem nocte ipsum abegit. Is igitur qui tantum facinus patraverat, genere mortis acerbissimo periit, fame. Quamvis enim multæ ei lautæque dapes in mensa apponerentur, ex pane et maza pessimus odor ipsi videbatur afflari, nec appositorum quidquam poterat gustare. Atque hæc multi nostrûm ex hierophanta narrante audiverunt. (3) Æquum igitur mihi videtur esse de Andocide loquenti ea quæ olim dicta sunt in memoriam nunc revocare, neque solum istius amicos ejus opera et propter ejus delationes interiisse, sed et hunc ipsum ab alio fuisse delatum. Vos autem de hac causa statuentes non potest fieri ut Andocidem aut misericordia aut venia prosequamini, quum intelligatis manifesto deas illas animadvertere in delinquentes. Atqui sperare oportet omnem hominem non sibi modo, sed aliis etiam esse debere.

4. Jam vero age, si Andocides nunc ex hoc judicio abierit absolutus, veneritque unus ex novem magistratibus sorte eligendus, et sorte rex sacrorum declaratus fuerit, quid aliud quam pro nobis sacra faciet et vota persolvet solemnia, partim hic in Cereris sacello, partim in templo quod est Eleusine, idemque in die festo mysteriorum curam sacrorum geret, ne quis in eis delinquat, aut impie se gerat? (5) Quo tandem animo existimatis fore vel initiatos huc advenientes, quum viderint qualis sit rex sacrorum, atque omnia ejus flagitia in animum revocaverint, vel ceteros Græcos qui propter festi celebritatem Athenas accurrunt aut sacrificaturi aut spectaturi? (6) Neque enim peregrinis neque civibus ignotus est Andocides propter ea quæ impie commisit. Quippe necesse est ut ex rebus conspicuis, bene vel male gestis, auctores earum innotescant. Huc accedit quod multas regiones in suis erroribus perturbaverit, Siciliam, Italiam, Peloponnesum, Thessaliam, Hellespontum, Ioniam, Cyprum; ac multos reges quibuscum est congressus, adulando decepit, uno Dionysio Syracusano excepto. (7) Qui quidem ceteros omnes vel felicitate vel prudentia longe superat, quum solus ex iis qui conversati sunt cum Andocide, non deceptus fuerit ab eo homine qui eas artes exercet, ut inimicos nullo, amicos quocumque possit, incommodo afficiat. Ita ut, per Jovem, non facile sit vobis latere Græcos Andocidi contra jus et fas gratificantibus. (8) Vobis igitur necesse est de eo consilium capere. Bene enim intelligitis, Athenienses, utrumque non posse fieri, ut et civitatis leges, et Andocidem servetis; sed ex duobus alter-

καὶ Ἀνδοκίδῃ χρῆσθαι, ἀλλὰ δυοῖν θάτερον, ἢ τοὺς νόμους ἐξαλειπτέον ἐστὶν ἢ ἀπαλλακτέον τοῦ ἀνδρός.

9. Εἰς τοσοῦτο δὲ τόλμης ἀφῖκται, ὥστε καὶ λέγει περὶ τοῦ νόμου, ὡς καθῄρηται ὁ περὶ αὐτοῦ κείμενος καὶ ἔξεστιν αὐτῷ ἤδη εἰσιέναι εἰς τὴν ἀγορὰν καὶ εἰς τὰ ἱερά. . . . ἂν ἔτι καὶ νῦν Ἀθηναίων ἐν τῷ βουλευτηρίῳ. (10) Καίτοι Περικλέα ποτέ φασι παραινέσαι ὑμῖν περὶ τῶν ἀσεβούντων, μὴ μόνον χρῆσθαι τοῖς γεγραμμένοις νόμοις περὶ αὐτῶν, ἀλλὰ καὶ τοῖς ἀγράφοις, καθ' οὓς Εὐμολπίδαι ἐξηγοῦνται, οὓς οὐδείς πω κύριος ἐγένετο καθελεῖν οὐδὲ ἐτόλμησεν ἀντειπεῖν, οὐδὲ αὐτὸν τὸν θέντα ἴσασιν· ἡγεῖσθαι γὰρ ἂν αὐτοὺς οὕτως οὐ μόνον τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τοῖς θεοῖς διδόναι δίκην. (11) Ἀνδοκίδης δὲ τοσοῦτον καταπεφρόνηκε τῶν θεῶν καὶ ὧν ἐκείνοις δεῖ τιμωρεῖν, ὥστε πρὶν μᾶλλον ἢ ἧττον ἢ ἐπιδεδημηκέναι δέκα ἡμέρας ἐν τῇ πόλει προσεκαλέσατο δίκην ἀσεβείας πρὸς τὸν βασιλέα, καὶ ἔλαχεν Ἀνδοκίδης, καίπερ πεποιηκὼς ἃ οὗτος πεποίηκε περὶ τοὺς θεούς, καὶ ἵνα μᾶλλον πρόσσχητε τὸν νοῦν, φάσκων τὸν Ἄρχιππον ἀσεβεῖν περὶ τὸν Ἑρμῆν τὸν αὐτοῦ πατρῷον. (12) Ὁ δὲ Ἄρχιππος ἠντιδίκει ἢ μὴν τὸν Ἑρμῆν ὑγιᾶ τε καὶ ὅλον εἶναι, καὶ μηδὲν παθεῖν ὧνπερ οἱ ἄλλοι Ἑρμαῖ· ὅμως μέντοι ἵνα μὴ ὑπὸ τούτου τοιούτου ὄντος πράγματ' ἔχοι, δοὺς ἀργύριον ἀπηλλάγη. Καίτοι ὁπότε οὗτος παρ' ἑτέρου ἠξίωσε δίκην ἀσεβείας λαβεῖν, ἦ που ἑτέρους γε παρὰ τούτου λαβεῖν δίκαιον καὶ εὐσεβές ἐστιν.

13. Ἀλλὰ λέξει δεινὸν εἶναι, εἰ ὁ μὲν μηνυτὴς τὰ ἔσχατα πείσεται, οἱ δὲ μηνυθέντες τῶν αὐτῶν ὑμῖν ἐπίτιμοι ὄντες μεθέξουσι. Καίτοι οὐχ ὑπὲρ αὑτοῦ ἀπολογήσεται, ἀλλὰ καὶ τῶν ἄλλων κατηγορήσει. Τοὺς μὲν οὖν ἄλλους οἱ ἐπιτάξαντες καταδέξασθαι ἀδικοῦσι, καὶ τοῦ αὐτοῦ ἀσεβήματος αἴτιοί εἰσιν· εἰ δ' ὑμεῖς αὐτοκράτορες ἦτε καὶ ἐστὲ οἱ ἀφελόντες τὰς τιμωρίας τῶν θεῶν, ἀλλ' οὗτοι αἴτιοι ἔσονται. Ὑμεῖς οὖν μὴ βούλεσθε εἰς ὑμᾶς τὴν αἰτίαν ταύτην περιτρέψαι, ἐξὸν τὸν ἀδικοῦντα κολάσασιν ἀπηλλάχθαι. (14) Ἔπειτα δ' ἐκεῖνοι μὲν ἀρνοῦνται τὰ μεμηνυμένα, οὗτος δὲ ὁμολογεῖ ποιῆσαι. Καίτοι καὶ ἐν Ἀρείῳ πάγῳ, ἐν τῷ σεμνοτάτῳ καὶ δικαιοτάτῳ δικαστηρίῳ ὁμολογῶν μὲν ἀδικεῖν ἀποθνήσκει, ἐὰν δὲ ἀμφισβητῇ, ἐλέγχεται, καὶ πολλοὶ οὐδ' ἔδοξαν ἀδικεῖν. Οὔκουν ὁμοίαν χρὴ γνώμην ἔχειν περί τε τῶν ἀρνουμένων καὶ περὶ τῶν ὁμολογουμένων. (15) Δεινὸν δέ μοι δοκεῖ εἶναι· ἂν μέν τις ἀνδρὸς σῶμα τρώσῃ, κεφαλὴν ἢ πρόσωπον ἢ χεῖρας ἢ πόδας, αὐτὸς μὲν κατὰ τοὺς νόμους τοὺς ἐξ Ἀρείου πάγου φεύξεται τὴν τοῦ ἀδικηθέντος πόλιν, καὶ ἐὰν κατίῃ, ἐνδειχθεὶς θανάτῳ ζημιωθήσεται· ἐὰν δέ τις τὰ αὐτὰ ταῦτα ἀδικήσῃ τὰ ἀγάλματα τῶν θεῶν, οὐδ' αὐτῶν κωλύσετε τῶν ἱερῶν ἐπιβαίνειν ἢ εἰσιόντα τιμωρήσεσθε· καὶ μὲν δὴ τούτων καὶ δίκαιον καὶ ἀγαθόν ἐστιν ἐπιμελεῖσθαι, ὑφ' ὧν καὶ εὖ καὶ κακῶς δυνήσεσθε πάσχειν. (16) Φασὶ δὲ καὶ τῶν Ἑλλήνων πολλοὺς διὰ τὰ ἐνθάδε ἀσεβήματα ἐκ τῶν παρ' αὐτοῖς ἱερῶν ἐξείργειν· ὑμεῖς δὲ αὐτοὶ οἱ ἀδικηθέντες περὶ ἐλάτ-

utrum necessario eligendum esse, ac vel leges delendas, vel hominem hunc amoliendum.

9. Eo autem audaciæ pervenit, ut dicat legem quæ de ipso lata est jam esse abolitam, et sibi licere forum et templa ingredi, *atque versatur* etiamnunc in curia Atheniensium. (10) Atqui Periclem aiunt olim vos de impiis admonuisse, ut non solum adversus eos legibus scriptis uteremini, verum etiam iis quæ non sint scriptæ, quas Eumolpidæ interpretantur; quarum scilicet auctoritatem nemo unquam potuit convellere, quibus nemo contradicere ausus est, et quarum latorem penitus ignoramus: se enim aiebat existimare istos hoc pacto non solum hominibus, sed etiam diis pœnas daturos. (11) Andocides vero eo usque deos contempsit et homines quibus deorum ulciscendorum cura demandata est, ut in urbem redux, vix ibi decem dies commoratus, causam impietatis ad regem sacrorum deferret, judicesque sorte constitui curaret, tot ipse impietatibus obstrictus. Atque ut magis animum advertatis, Archippum arguebat de Herma suæ gentis violato. (12) Contradicebat Archippus, contestabaturque statuam hanc integram esse et inviolatam, neque huic idem quod ceteris contigisse; verumtamen ne a tali homine molestias acciperet, pecunia data, ab istis se calumniis liberavit. At enim quum iste ab alio impietatis pœnas repetere voluerit, certe has alios ab ipso reposcere justum est et pium.

13. Sed contendet hoc: iniquum esse delatorem extrema pati supplicia, et interea delatos ejusdem cujus vos ipsi dignitatis esse participes; nec suam causam satis habebit non defendere, verum et alios accusabit. Qui igitur ceteros impios ex exilio revocari jusserunt, hi sane peccant, et eodem ipsi impietatis crimine tenentur. Quodsi vero vos, quum vestri sitis arbitrii, debita pœna deas fraudatis, tunc vos, non isti in culpa erunt. Nolite igitur in vosmet ipsos criminationem recipere, dum ea potestis liberari, pœnis a delinquente repetitis. (14) Deinde autem illi negant esse vera quæ deferuntur; iste confitetur se fecisse rem. Atqui in Areopago, in curia illa justissima, qui confitetur, plectitur capite; si infitias eat, probationibus res agitur, ac multi sic culpa vacare visi sunt. Non itaque eandem mentem vos habere decet de iis qui negant et de iis qui confitentur. (15) Porro mihi videtur esse valde inconsentaneum, si quis hominis corpus vulneraverit, vel caput, vel vultum, vel manus, vel pedes, eum ex legibus Areopagiticis ejus civitate exulare quem læserit, et si forte redierit, delatum ad magistratus morte mulctari; at si quis eadem injuria deorum statuas affecerit, eum vos non prohibere templa ingredi, vel ingressum non punire. Atqui horum vos curam gerere et æquum et bonum, quibus neglectis vel curatis, potestis habere male vel bene. (16) Ferunt autem et multos Græcorum Andocidem a suis sacris arcere, propter ea quæ hic impie gesta sunt: vosne vero ipsi qui perpessi estis inju-

τονος ποιεῖσθε τὰ παρ' ὑμῖν νόμιμα ἢ ἕτεροι τὰ ὑμέτερα. (17) Τοσοῦτο δ' οὗτος Διαγόρου τοῦ Μηλίου ἀσεβέστερος γεγένηται· ἐκεῖνος μὲν γὰρ λόγῳ περὶ τὰ ἀλλότρια ἱερὰ καὶ ἑορτὰς ἠσέβει, οὗτος δὲ ἔργῳ περὶ τὰ ἐν τῇ αὑτοῦ πόλει. Ὀργίζεσθαι οὖν χρή, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἀστοῖς ἀδικοῦσι μᾶλλον ἢ τοῖς ξένοις περὶ ταῦτα τὰ ἱερά· τὸ μὲν γὰρ ὥσπερ ἀλλότριόν ἐστιν ἁμάρτημα, τὸ δ' οἰκεῖον. (18) Καὶ μὴ οὓς μὲν ἔχετε ἀδικοῦντας ἀφίετε, τοὺς δὲ φεύγοντας ζητεῖτε συλλαμβάνειν, ἐπικηρύττοντες τάλαντον ἀργυρίου δώσειν τῷ ἀπάγοντι ἢ ἀποκτείναντι· εἰ δὲ μή, δόξετε τοῖς Ἕλλησι κομπάζειν μᾶλλον ἢ τιμωρεῖσθαι βούλεσθαι. (19) Ἐπεδείξατο δὲ καὶ τοῖς Ἕλλησιν ὅτι θεοὺς οὐ νομίζει· οὐ γὰρ ὡς δεδιὼς τὰ πεποιημένα, ἀλλ' ὡς θαρρῶν, ναυκληρίᾳ ἐπιθέμενος τὴν θάλατταν ἔπλει· ὁ δὲ θεὸς ὑπῆγεν αὐτόν, ἵνα ἀφικόμενος εἰς τὰ ἁμαρτήματα ἐπὶ τῇ ἐμῇ προφάσει δῴη δίκην. (20) Ἐλπίζω μὲν οὖν αὐτὸν καὶ δώσειν δίκην, θαυμάσιον δὲ οὐδὲν ἄν μοι γένοιτο· οὔτε γὰρ ὁ θεὸς παραχρῆμα κολάζει, ἀλλ' αὕτη μέν ἐστιν ἀνθρωπίνη δίκη. Πολλαχόθεν δὲ ἔχω τεκμαιρόμενος εἰκάζειν, ὁρῶν καὶ ἑτέρους ἠσεβηκότας χρόνῳ δεδωκότας δίκην, καὶ τοὺς ἐξ ἐκείνων διὰ τὰ τῶν προγόνων ἁμαρτήματα. Ἐν δὲ τούτῳ τῷ χρόνῳ δέη πολλὰ καὶ κινδύνους ὁ θεὸς ἐπιπέμπει τοῖς ἀδικοῦσιν, ὥστε πολλοὺς ἤδη ἐπιθυμῆσαι τελευτήσαντας τῶν κακῶν ἀπηλλάχθαι· ὁ δὲ θεὸς τέλος τούτῳ λυμηνάμενος τῷ βίῳ θάνατον ἐπέθηκε. (21) Σκέψασθε δὲ καὶ αὐτοῦ Ἀνδοκίδου τὸν βίον, ἀφ' οὗ ἠσέβηκε, καὶ εἴ τις τοιοῦτος ἕτερός ἐστιν. Ἀνδοκίδης γὰρ ἐπειδὴ ἥμαρτεν, ἐξ ἐπιβολῆς εἰσαχθεὶς εἰς τὸ δικαστήριον, ἔδησεν ἑαυτὸν τιμησάμενος δεσμοῦ, εἰ μὴ παραδοίη τὸν ἀκόλουθον· (22) εὖ δ' ᾔδει οὐ δυνησόμενος παραδοῦναι, ὃς διὰ τοῦτον καὶ τὰ τούτου ἁμαρτήματα ἀπέθανεν, ἵνα μὴ μηνυτὴς γένοιτο. Καίτοι πῶς οὐ θεῶν τις τὴν τούτου γνώμην διέφθειρεν, ὃς ῥᾷον ἡγήσατο δεσμοῦ τιμήσασθαι ἢ ἀργυρίου ἐπ' ἐλπίδι τῇ αὐτῇ; (23) Ἐκ δ' οὖν τούτου τοῦ τιμήματος ἐδέδετο ἐγγὺς ἐνιαυτόν, καὶ ἐμήνυσε δεδεμένος κατὰ τῶν αὐτοῦ συγγενῶν καὶ φίλων, ἀδείας δοθείσης αὐτῷ, εἰ δόξειε τἀληθῆ μηνῦσαι. Καὶ τίνα αὐτὸν δοκεῖτε ψυχὴν ἔχειν, ὁπότε τὰ μὲν ἔσχατα καὶ τὰ αἴσχιστα ἐποίει μηνύων κατὰ τῶν ἑαυτοῦ φίλων, ἡ δὲ σωτηρία ἀφανὴς αὐτῷ; (24) Μετὰ δὲ ταῦτα, ἐπειδὴ ἀπεκτονὼς ἦν οὓς αὐτὸς ἔφη περὶ πλείστου ποιεῖσθαι, ἔδοξε τἀληθῆ μηνῦσαι καὶ ἐλύθη, καὶ προσεψηφίσασθε ὑμεῖς αὐτὸν εἴργεσθαι τῆς ἀγορᾶς καὶ τῶν ἱερῶν, ὥστε μηδ' ἀδικούμενον ὑπὸ τῶν ἐχθρῶν δύνασθαι δίκην λαβεῖν. (25) Οὐδεὶς γάρ που, ἐξ ὅσου Ἀθῆναι ἀείμνηστοί εἰσιν, ἐπὶ τοιαύτῃ αἰτίᾳ ἠτιμώθη· δικαίως· οὐδὲ γὰρ ἔργα τοιαῦτα οὐδείς πω εἰργάσατο. Καὶ τούτων πότερα τοὺς θεοὺς χρὴ ἢ τὸ αὐτόματον αἰτιᾶσθαι; (26) Μετὰ δὲ ταῦτα ἔπλευσεν ὡς τὸν Κιττιέων βασιλέα, καὶ προδιδοὺς ληφθεὶς ὑπ' αὐτοῦ ἐδέθη, καὶ οὐ μόνον τὸν θάνατον ἐφοβεῖτο, ἀλλὰ καὶ τὰ καθ' ἡμέραν αἰκίσματα, οἰόμενος τὰ ἀκρωτήρια ζῶντος ἀποτμηθήσεσθαι. (27) Ἀποδρὰς δὲ ἐκ τούτου τοῦ

riam, vestras religiones minoris esse ducetis quam alieni? (17) Jam tanto Andocides sceleratior exstitit Diagora Melio, quod ille verbo duntaxat aliena sacra et festa violarit, hic sacra suæ civitatis facto læserit. Vos porro, Athenienses, civibus magis quam peregrinis succensere oportet, qui ea sacra læserint: quippe illud est alienum quasi peccatum, hoc domesticum. (18) Neque delinquentes quos habetis dimittite, quum fugientes comprehendere studeatis, proposito argenti talento si quis vel vivos adduxerit vel interfecerit. Sin aliter, Græcis videbimini pœnas ostentare magis quam re ipsa velle sumere. (19) Græcis autem iste palam significavit se non credere deos. Non enim tanquam sibi metuens propter delicta, sed quasi confidens, naucleriam artem aggressus, mare navigabat. Ipsum vero deus huc reduxit, ut in eam ipsam quam læsit civitatem reversus, per causam mei supplicium inveniret. (20) Equidem spero istum pœnas mox daturum, sed nihil mirandum esse mihi videtur. Neque enim deus statim pœnas exposcit: ea est humani judicii ratio. Id quod ego possum conjectare ex plurimis arguens, quum videam alios quoque impios post interjectum tempus pœnas dedisse, eorumque posteros propter majorum suorum flagitia. Interea tamen terrores plurimos et pericula deus immittit sceleratis, adeo ut multi expetant suis calamitatibus per mortem liberari: at his deus non finem imponit nisi post miseram vivendi conditionem. (21) Considerate vero et ipsius Andocidis vitam ex quo impie se gessit, utrum alia quædam sit ejusmodi. Posteaquam enim Andocides flagitium admisit, mulcta sibi irrogata in jus raptus, se ipsum in vincula conjecit, eam sibimet pœnam statuens ni conscium sceleris traderet. (22) Ipse autem sciebat se non posse eum tradere, qui propter istum et istius scelera mortem obierat, ne ipsius delator fieret. Atenim qui non deorum aliquis hujus mentem invertit, qui duxit esse facilius vinculorum quam pecuniæ mulctam subire eadem spe proposita? (23) Ex ea igitur ipsius æstimatione vinctus tenebatur fere per integrum annum, et in vinculis indicium fecit cognatorum amicorumque, proposita impunitate si visus fuisset vera indicare. Quali autem animo existimatis eum fuisse, qui extrema omnia et turpissima in se admisit cognatos et amicos denuntiando, quum sua interea salus in dubio esset posita. (24) Deinde ubi mortem eis attulerat quos dixit se plurimi facere, visum est judicibus eum vera indicasse, et vinculis est solutus. At decrevistis quoque ut ipse a foro et templis arceretur, ita ut ne læsus quidem ab inimicis pœnas posset expetere. (25) Nullus sane, ex quo celebres sunt Athenienses, ob talem causam est infamatus: et quidem merito, quum nullus unquam talia facinora perpetrare sustinuerit. Atque hæc utrum diis vel casui fortuito imputanda sunt? (26) Post hæc navigavit ad regem Cittiensium, et ab ipso proditor deprehensus in vincula conjectus est; neque solummodo mortem timuit, verum supplicia quotidiana, ne scilicet extremæ corporis partes ipsi viventi abscinderentur. (27) Effugit tamen hoc periculum, et in urbem suam rediit

κινδύνου κατέπλευσεν εἰς τὴν ἑαυτοῦ πόλιν, ἐπεὶ τῶν τετρακοσίων θεὸς λήθην ἔδωκεν, ὥστε εἰς τοὺς ἠδικημένους αὐτοὺς ἐπεθύμησεν ἀφικέσθαι, ἀφικόμενος δὲ ἐδέθη καὶ ᾐκίσθη, ἀπώλετο δὲ οὐχί, ἀλλ' ἐλύθη. (28) Ἔνθεν δὲ ἔπλευσεν ὡς Εὐαγόραν τὸν Κύπρου βασιλεύοντα, καὶ ἀδικήσας εἵρχθη. Ἀποδρὰς δὲ τοῦτον ἔφευγε μὲν τοὺς ἐνθάδε θεούς, ἔφευγε δὲ τὴν ἑαυτοῦ πόλιν, ἔφευγε δὲ εἰς οὓς τὸ πρῶτον ἀφίκοιτο τόπους. Καίτοι τίς χάρις τῷ βίῳ, κακοπαθεῖν μὲν πολλάκις, ἀναπαύσασθαι δὲ μηδέποτε; (29) Καταπλεύσας δὲ ἐκεῖθεν δεῦρο εἰς δημοκρατίαν εἰς τὴν ἑαυτοῦ πόλιν τοῖς μὲν πρυτάνεσιν ἔδωκε χρήματα, ἵνα αὐτὸν προσαγάγοιεν ἐνθάδε, ὑμεῖς δ' αὐτὸν ἐξηλάσατε ἐκ τῆς πόλεως, τοῖς θεοῖς βεβαιοῦντες τοὺς νόμους οὓς ἐψηφίσασθε. (30) Καὶ τὸν ἄνδρα οὐ δῆμος, οὐχ ὀλιγαρχία, οὐ τύραννος, οὐ πόλις ἐθέλει δέξασθαι διὰ τέλους, ἀλλὰ πάντα τὸν χρόνον, ἐξ ὅσου ἠσέβησεν, ἀλώμενος διάγει, πιστεύων ἀεὶ μᾶλλον τοῖς ἀγνῶσι τῶν γνωρίμων διὰ τὸ ἠδικηκέναι οὓς γινώσκει· τὸ δὲ τελευταῖον νῦν ἀφικόμενος εἰς τὴν πόλιν δὶς ἐν τῷ αὐτῷ [ἐνιαυτῷ] ἐνδέδεικται. (31) Καὶ τὸ μὲν σῶμα ἀεὶ ἐν δεσμοῖς ἔχει, ἡ δὲ οὐσία αὐτοῦ ἐλάττων ἐκ τῶν κινδύνων γίνεται. Καίτοι ὅταν τις τὸν αὑτοῦ βίον τοῖς ἐχθροῖς καὶ τοῖς συκοφάνταις διανέμῃ, τοῦτ' ἔστι 106 τὸ τὸν βίον [βιοῦν] ἀβίωτον· ἃ τούτῳ ὁ θεὸς οὐκ ἐπὶ σωτηρίᾳ ἐπινοεῖν δίδωσιν, ἀλλὰ τιμωρούμενος τῶν γεγενημένων ἀσεβημάτων. (32) Τὸ δὲ τελευταῖον νυνὶ παραδέδωκεν αὑτὸν ὑμῖν χρῆσθαι ὅ τι ἂν βούλησθε, οὐ τῷ μὴ ἀδικεῖν πιστεύων, ἀλλ' ὑπὸ δαιμονίου τινὸς ἀγόμενος ἀνάγκης. Οὔκουν χρὴ μὰ τὸν Δία οὔτε πρεσβύτερον ὄντα οὔτε νεώτερον, ὁρῶντας Ἀνδοκίδην ἐκ τῶν κινδύνων σωζόμενον, συνειδότας αὐτῷ ἔργα ἀνόσια εἰργασμένῳ, ἀθεωτέρους γίνεσθαι, ἐνθυμουμένους ὅτι ἥμισυς ὁ βίος βιῶναι κρείττων ἀλύπως ἐστὶν ἢ διπλάσιος λυπουμένῳ, ὥσπερ οὗτος.

33. Εἰς τοσοῦτο δὲ ἀναισχυντίας ἀφῖκται, ὥστε καὶ παρασκευάζεται τὰ πολιτικὰ πράττειν καὶ ἤδη δημηγορεῖ καὶ ἐπιτιμᾷ καὶ ἀποδοκιμάζει τῶν ἀρχόντων τισί, καὶ συμβουλεύει εἰς τὴν βουλὴν εἰσιὼν περὶ θυσιῶν καὶ προσόδων καὶ εὐχῶν καὶ μαντειῶν. Καίτοι τούτῳ πειθόμενοι ποίοις θεοῖς ἡγήσεσθε κεχαρισμένα ποιεῖν; μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες δικασταί, εἰ ὑμεῖς βούλεσθε τὰ τούτῳ πεποιημένα ἐπιλαθέσθαι, καὶ τοὺς θεοὺς ἐπιλήσεσθαι. (34) Ἀξιοῖ δὲ οὐχ ὡς ἠδικηκὼς ἡσυχίαν ἔχων πολιτεύεσθαι, ἀλλ' ὥσπερ αὐτὸς ἐξευρὼν τοὺς τὴν πόλιν ἀδικήσαντας, οὕτω διανοεῖται, καὶ παρασκευάζεται ὅπως ἑτέρων μεῖζον δυνήσεται, ὥσπερ οὐ διὰ πρᾳότητα καὶ ἀσχολίαν τὴν ὑμετέραν οὐ δεδωκὼς ὑμῖν δίκην, εἰς οὓς νῦν ἁμαρτάνων οὐ λανθάνει, ἀλλ' ἅμα ἐξελεγχθήσεταί τε καὶ δώσει δίκην.

35. Ἰσχυριεῖται δὲ καὶ τούτῳ τῷ λόγῳ· ἀναγκαίως γὰρ ἔχω ὑμᾶς διδάσκειν ἃ οὗτος ἀπολογήσεται, ἵν' ἀκούσαντες παρ' ἀμφοτέρων ἄμεινον διαγνῶτε· φησὶ γὰρ ἀγαθὰ μεγάλα ποιῆσαι τὴν πόλιν μηνύσας καὶ ἀπαλλάξας δέους καὶ ταραχῆς τῆς τότε. (36) Τίς δὲ τῶν μεγάλων

sub Quadringentorum dominatu. Istum enim ita obcæcavit deus, ut ad eos quos injuriis ipse affecerat redire cupierit. Reversus autem, in carcerem conjectus est et suppliciis affectus. Non tamen ibi mortem oppetiit, sed vinculis solutus (28) navigavit ad Evagoram Cypri regem, illicque propter scelera rursus in vincula conjicitur. Inde quoque evadens fugiebat deos patrios, fugiebat propriam civitatem, fugiebat loca in quæcumque advenerat. At enim quisnam hic vitæ fructus, cum malis frequenter conflictari et nunquam requiescere? (29) Illinc navigans huc rediit, in suam ipsius civitatem, utentem jam democratia, et prytanes pecunia induxit ut ipsum in concionem adducerent, sed vos eum expulistis ex urbe, confirmatis legibus quæ a vobis in honorem deorum latæ fuerant. (30) Denique hominem neque populus, neque tyrannus, neque democratia, neque oligarchia, unquam recipere voluerunt: verum ex omni tempore quo impia commisit, vitam degit vagam et profugam, plus semper fidens ignotis quam notis, quia nempe notos injuria affecerat. Postremum vero in urbem redux, eodem anno bis ad judicia traductus est. (31) Et corpus quidem semper habet in vinculis, ipsiusque facultates litibus imminuuntur. Attamen quum aliquis bona sua inter inimicos et delatores dispertiat, illud certe non est vitam vitalem vivere. Quæ omnia deus istum cogitare sinit, non ipsius conservandi gratia, sed ut impie ab ipso gestorum pœnas repetat. (32) Novissime demum se ipsum vobis tradidit, ut de se statueretis quodcumque lubeat, non sua innocentia fretus, sed fatali quadam necessitate adductus. Neminem igitur, per Jovem, oportet, neque ætate provectiorem, neque adolescentem, quum videant Andocidem ex periculis ereptum, et impia ejusdem facinora cognoscant, de diis secus quam deceat sentire; reputantes melius esse dimidiatam vitam sine mœrore vivere quam cum mœrore duplicatam, qualis isti contigit.

33. Eo autem pervenit impudentiæ ut jam factiones subornet in republica, et de negotiis publicis agat, et conciones habeat, et magistratuum alios vituperet, alios repudiet, et senatum ingressus suum aperiat consilium de sacrificiis, de vectigalibus, de precibus, de votis et oraculis. At enim huic auscultantes quibusnam diis existimatis vos grata facturos? Ne enim arbitremini, judices, si vos velitis istius flagitia oblivisci, deos quoque oblituros. (34) Vult autem Andocides non in civitate versari quietus ut qui eam offenderit, sed ut qui ipse eos compererit qui eam offenderunt. Ita denique cogitat, ita se ipsum comparat, ut ceteris antecellat potestate quasi non vestræ facilitati vestrisque debeat negotiis, quod hactenus nullas pœnas vobis dederit, contra quos jam non obscure peccat: sed convincetur simul et pœnas dabit debitas.

35. Verum et hac oratione nitetur (necesse enim habeo vos præmonere quæ iste pro se dicturus est, ut verba utrorumque audientes rectius statuere possitis): ait nimirum se de civitate optime meruisse quum indicia fecerit, et vos a metu ac tumultu tunc exorto liberaverit. (36) At quis

κακῶν αἴτιος ἐγένετο; οὐκ αὐτὸς οὗτος, ποιήσας ἃ ἐποίησεν; Εἶτα τῶν μὲν ἀγαθῶν δεῖ χάριν εἰδέναι τούτῳ, ὅτι ἐμήνυσε, μισθὸν ὑμῶν αὐτῷ διδόντων τὴν ἄδειαν, τῆς δὲ ταραχῆς καὶ τῶν κακῶν ὑμεῖς αἴτιοί ἐστε, ὅτι ἐζητεῖτε τοὺς ἠσεβηκότας; Οὐ δήπουθεν, ἀλλ' αὐτὸ τοὐναντίον ἐτάραξε μὲν οὗτος τὴν πόλιν, κατεστήσατε δ' ὑμεῖς.

37. Πυνθάνομαι δ' αὐτὸν μέλλειν ἀπολογήσεσθαι ὡς αἱ συνθῆκαι καὶ αὐτῷ εἰσι, καθάπερ καὶ τοῖς ἄλλοις Ἀθηναίοις· καὶ τοῦτο πρόσχημα ποιούμενος οἴεται πολλοὺς ὑμῶν, δεδιότας μὴ λύσητε τὰς συνθήκας, αὐτοῦ ἀποψηφιεῖσθαι. (38) Ὡς οὖν οὐδὲν προσήκει Ἀνδοκίδῃ τῶν συνθηκῶν, περὶ τούτου λέξω, οὔτε μὰ τὸν Δία τῶν πρὸς Λακεδαιμονίους, ἃς ὑμεῖς συνέθεσθε, οὔτε ὧν πρὸς τοὺς ἐν τῷ ἄστει οἱ ἐκ Πειραιῶς· οὐδενὶ γὰρ ὑμῶν τοσούτων ὄντων τὰ αὐτὰ ἁμαρτήματα οὐδ' ὅμοια ἦν τοῖς Ἀνδοκίδου, ὥστε καὶ τοῦτον ἡμῶν ἀπολαῦσαι. (39) Ἀλλ' οὐ μὲν δὴ ἕνεκά γε τούτου διαφερόμενοι, ἐπειδὴ καὶ τούτῳ μετέδομεν τῶν συνθηκῶν, τότε διηλλάγημεν· οὐ γὰρ ἕνεκα ἑνὸς ἀνδρός, ἀλλ' ἕνεκα ἡμῶν τῶν ἐξ ἄστεος καὶ ἐκ Πειραιῶς αἱ συνθῆκαι ἐγένοντο καὶ οἱ ὅρκοι, ἐπεί τοι δεινὸν ἂν εἴη, εἰ περὶ Ἀνδοκίδου ἀποδημοῦντος αὐτοὶ ἐνδεεῖς ὄντες ἐπεμελήθημεν, ὅπως ἐξαλειφθείη αὐτῷ τὰ ἁμαρτήματα. (40) Ἀλλὰ Λακεδαιμόνιοι γὰρ ἐν ταῖς πρὸς αὐτοὺς συνθήκαις ἐπεμελήθησαν Ἀνδοκίδου, ὅτι ἔπαθον ἀγαθόν τι ὑπ' αὐτοῦ; ἀλλ' ὑμεῖς ἐπεμελήθητέ γε αὐτοῦ; ἀντὶ ποίας εὐεργεσίας; ὅτι πολλάκις δι' ὑμᾶς ὑπὲρ τῆς πόλεως ἐκινδύνευσεν; (41) Οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τούτῳ ἀληθὴς αὕτη ἡ ἀπολογία, μηδ' ὑμεῖς ἐξαπατᾶσθε· οὐ γὰρ τοῦτο λύειν ἐστὶ τὰ συγκείμενα, εἰ Ἀνδοκίδης ἕνεκα τῶν ἰδίων ἁμαρτημάτων δίδωσι δίκην, ἀλλ' ἐάν τις ἕνεκα τῶν δημοσίων συμφορῶν ἰδίᾳ τινὰ τιμωρῆται.

42. Ἴσως οὖν καὶ Κηφισίου ἀντικατηγορήσει, καὶ ἕξει ὅ τι λέγειν· τὰ γὰρ ἀληθῆ χρὴ λέγειν· ἀλλ' ὑμεῖς οὐκ ἂν δύναισθε τῇ αὐτῇ ψήφῳ τόν τε ἀπολογούμενον καὶ τὸν κατηγοροῦντα κολάσαι. Ἀλλὰ νῦν μὲν περὶ τούτου καιρός ἐστι γνῶναι τὰ δίκαια, ἕτερος δὲ ἥξει Κηφισίῳ καὶ ἡμῶν ἑκάστῳ, ὧν οὗτος νῦν μεμνήσεται.
107 Μὴ οὖν καὶ δι' ἑτέραν ὀργὴν τούτου ἀδικοῦντος νῦν ἀποψηφίσησθε.

43. Ἀλλὰ λέξει ὅτι μηνυτὴς ἐγένετο, καὶ ἕτερος οὐδεὶς ὑμῖν ἐθελήσει μηνύειν, ἐὰν κολάζητε. Ἀνδοκίδης δὲ ἔχει τὰ μήνυτρα παρ' ὑμῶν, σώσας τὴν αὑτοῦ ψυχήν, ἑτέρων διὰ ταῦτα ἀποθανόντων. Τῆς μὲν οὖν σωτηρίας ὑμεῖς τούτῳ αἴτιοί ἐστε, τῶν δὲ κακῶν τῶνδε καὶ τῶν κινδύνων αὐτὸς ἑαυτῷ, παραβὰς τὰ δόγματα καὶ τὴν ἄδειαν ἐφ' ᾗ μηνυτὴς ἐγένετο. (44) Οὔκουν ἐξουσίαν χρὴ ποιεῖν τοῖς μηνυταῖς ἀδικεῖν (ἀρκεῖ γὰρ τὰ πεποιημένα), ἀλλὰ παραβαίνοντας κολάζειν. Καὶ οἱ μὲν ἄλλοι μηνυταί, ὁπόσοι ἐπ' αἰσχραῖς αἰτίαις ἐξεληλεγμένοι σφᾶς αὐτοὺς ἐμήνυσαν, ἓν γοῦν ἐπίστανται, μὴ ἐνοχλεῖν τοῖς ἠδικημένοις, ἡγούμενοι ἀποδημοῦντες μὲν ἀθῷοι καὶ ἐπίτιμοι δόξειν εἶναι, ἐπιδημοῦντες δὲ

illorum malorum auctor exstitit? nonne is ipse per ea quæ nefarie gessit? Jam vero oportebitne ob commoda isti gratiam referre, quod fecit indicium, quum vos interea mercedem ipsi impunitatem persolveritis; tumultus autem et malorum vos auctores eritis, quod impios conquisivistis? Non sane, sed contra : iste turbavit civitatem, vos pacavistis.

37. Audio et hanc defensionem ei paratam esse, ad se quoque pertinere pacta et conventa, quemadmodum et ad ceteros Athenienses; atque eo veluti munimento usus arbitratur multos e vobis, veritos ne conventa violetis, ipsum esse absoluturos. (38) Jam autem illa conventa nihil pertinere ad Andocidem, nunc sum dicturus : neque, per Jovem, ea quæ cum Lacedæmoniis inivistis, neque ea quæ exules ex Piræeo cum iis iniverunt qui in urbe remanserant. A nullo enim vestrûm, licet tot numero sitis, eadem neque similia flagitia admissa sunt qualia ab Andocide, ita ut ipse iisdem quibus nos conventis potiatur. (39) At profecto non istius causa dissidentes, tunc fuimus reconciliati, postquam conventa cum isto communicavimus. Non enim unius hominis, sed nostrûm omnium gratia, et qui ex urbe et qui ex Piræeo erant, pacta inita sunt et data juramenta. Mirum quippe fuisset si inopes ipsi, curam Andocidis exulis habuimus, ut ipsius facinora delerentur. (40) Sed anne Lacedæmonii in fœderibus cum ipsis sancitis curam Andocidis habuerunt ob aliquod beneficium ab ipso acceptum? minime. Sed anne vos habuistis? quamnam gratiam rependentes? anne quod pro vestra civitate sæpius adivit pericula? (41) Non est, Athenienses, isti hæc vera oratio; neque vos decipiamini. Non enim hoc est pacta violare, si Andocides suorum ipse delictorum pœnas luat; sed si quis, publicas calamitates causatus, privatam sumat ultionem.

42. Fortasse etiam Cephisium vicissim erit criminaturus; neque deerunt quæ possit dicere (verum enim dicendum est) : vos autem nullo modo potestis eadem sententia reum et accusatorem condemnare. Et nunc quidem de isto tempus est statuendi quæ justa sunt; aliud vero aderit Cephisio et unicuique nostrûm, quorum iste mentionem mox est facturus. Ne igitur propter iras adversus alios reum hunc jam absolvite.

43. Verum dicet se indicium fecisse, ac neminem posthac indicia facturum, si ipse indicii præmia non accipiat. At Andocides habet a vobis indicii præmia, quum suam ipsius vitam servaverit, aliis qui in eadem causa erant supplicio affectis. Huic ergo salutis vos estis auctores, horum vero malorum periculorumque ipse sibi, prætergressus statuta vestra, eamque impunitatis conditionem sub qua indicium fecit. (44) Non igitur oportet indicibus peccandi licentiam præbere (prioribus enim peccatis ignovisse sufficiat), sed delinquentes coercere. Et ceteri quidem indices, quotquot turpium facinorum nondum convicti se ipsos detulerunt, hoc unum saltem norunt, eis quos læsere nullas exhibere molestias : rati se ultro exulantes habendos esse ab omni mulcta et infamia alienos; domi autem, apud eos quos

παρὰ τοῖς πολίταις τοῖς ἠδικημένοις πονηροὶ δόξειν καὶ ἀσεβεῖς εἶναι. (45) Ὁ γοῦν πάντων πονηρότατος Βάτραχος πλὴν τούτου, γενόμενος ἐπὶ τῶν τριάκοντα μηνυτὴς καὶ οὐσῶν αὐτῷ συνθηκῶν καὶ ὅρκων καθάπερ τοῖς Ἐλευσινόθεν, δείσας ὑμῶν οὓς ἠδίκησεν, ἐν ἑτέρᾳ πόλει ᾤκει. Ἀνδοκίδης δὲ καὶ αὐτοὺς τοὺς θεοὺς ἀδικήσας περὶ ἐλάττονος αὐτοὺς ἔθετο, εἰσιὼν εἰς τὰ ἱερά, ἢ Βάτραχος τοὺς ἀνθρώπους. Ὅστις οὖν καὶ πονηρότερος καὶ ἀμαθέστερος Βατράχου ἐστί, πάνυ δεῖ ἀγαπητῶς ὑφ' ὑμῶν αὐτὸν σωθῆναι.

46. Φέρε δή, τί σκεψαμένους χρὴ ὑμᾶς Ἀνδοκίδου ἀποψηφίσασθαι; πότερον ὡς στρατιώτης ἀγαθός; ἀλλ' οὐδεπώποτ' ἐκ τῆς πόλεως ἐστρατεύσατο, οὔτε ἱππεὺς οὔτε ὁπλίτης, οὔτε τριήραρχος οὔτ' ἐπιβάτης, οὔτε πρὸ τῆς συμφορᾶς οὔτε μετὰ τὴν συμφοράν, πλέον ἢ τετταράκοντα ἔτη γεγονώς· καίτοι ἕτεροι φεύγοντες ἐν Ἑλλησπόντῳ συνετριηράρχουν ὑμῖν. (47) Ἀναμνήσθητε δὲ καὶ αὐτοὶ ἐξ ὅσων κακῶν καὶ πολέμου ὑμᾶς αὐτοὺς περιεποιήσατε καὶ τὴν πόλιν, πολλὰ μὲν τοῖς σώμασι πονήσαντες, πολλὰ δὲ ἀναλώσαντες χρήματα καὶ ἰδίᾳ καὶ δημοσίᾳ, πολλοὺς δὲ καὶ ἀγαθοὺς τῶν πολιτῶν καταθάψαντες διὰ τὸν γενόμενον πόλεμον. (48) Ἀνδοκίδης δὲ ἀπαθὴς τούτων τῶν κακῶν γενόμενος εἰς τὴν σωτηρίαν τῇ πατρίδι, ἀξιοῖ νυνὶ μετέχειν τῆς πόλεως, ἀσεβῶν ἐν αὐτῇ. Ἀλλὰ πλουτῶν γὰρ καὶ δυνάμενος τοῖς χρήμασι καὶ βασιλεῦσιν ἐξενωμένος καὶ τυράννοις; ἃ νυνὶ κομπάσει, ἐπιστάμενος τοὺς ὑμετέρους τρόπους. (49) Ποίαν εἰσφορὰν..... τούτῳ ἀγαθὸν γένοιτο, καὶ ἐπιστάμενος ἐν πολλῷ σάλῳ καὶ κινδύνῳ τὴν πόλιν γενομένην, ναυκληρῶν οὐκ ἐτόλμησεν ἐπαρθεὶς σῖτον εἰσαγαγὼν ὠφελῆσαι τὴν πατρίδα· ἀλλὰ μέτοικοι μὲν καὶ ξένοι ἕνεκα τῆς μετοικίας ὠφέλουν τὴν πόλιν εἰσάγοντες· σὺ δὲ τί καὶ ἀγαθὸν ποιήσας, ὦ Ἀνδοκίδη, ποῖα ἁμαρτήματα ἀνακαλεσάμενος, ποῖα τροφεῖα ἀνταποδούς ....

50. Ἀθηναῖοι, μνήσθητε τὰ πεποιημένα Ἀνδοκίδῃ, ἐνθυμήθητε δὲ καὶ τῆς ἑορτῆς, δι' ἣν ὑπὸ τῶν πολλῶν προὐτιμήθητε. Ἀλλ' ἐστὲ γὰρ ὑπὸ τῶν τούτου ἁμαρτημάτων ἤδη καταπλῆγες διὰ τὸ πολλάκις ἰδεῖν καὶ ἀκοῦσαι, ὥστε οὐδὲ τὰ δεινὰ ἔτι δεινὰ δοκεῖ ὑμῖν εἶναι. Ἀλλὰ προσέχετε τὸν νοῦν, δοκείτω δ' ὑμῖν ἡ γνώμη ὁρᾶν ἃ οὗτος ἐποίει, καὶ διαγνώσεσθε ἄμεινον. (51) Οὗτος γὰρ ἐνδὺς στολήν, μιμούμενος τὰ ἱερὰ ἐπεδείκνυε τοῖς ἀμυήτοις καὶ εἶπε τῇ φωνῇ τὰ ἀπόρρητα, τῶν δὲ θεῶν, οὓς ἡμεῖς θεοὺς νομίζομεν καὶ θεραπεύοντες καὶ ἁγνεύοντες θύομεν καὶ προσευχόμεθα, τούτους περιέκοψε· καὶ ἐπὶ τούτοις ἱέρειαι καὶ ἱερεῖς στάντες κατηράσαντο πρὸς ἑσπέραν καὶ φοινικίδας ἀνέσεισαν, κατὰ τὸ νόμιμον τὸ παλαιὸν καὶ ἀρχαῖον. Ὡμολόγησε δὲ οὗτος ποιῆσαι. (52) Ἔτι δὲ παρελθὼν τὸν νόμον ὃν ὑμεῖς ἔθεσθε, εἴργεσθαι τῶν ἱερῶν αὐτὸν ὡς ἀλιτήριον ὄντα, ταῦτα πάντα βιασάμενος εἰσελήλυθεν ἡμῶν εἰς τὴν πόλιν, καὶ ἔθυσεν ἐπὶ τῶν βωμῶν ὧν οὐκ ἐξῆν αὐτῷ, καὶ ἀπήντα τοῖς ἱεροῖς περὶ ἃ ἠσέβησεν, εἰσῆλθεν εἰς τὸ Ἐλευσί-

affecerunt injuriis, improbos habendos esse et impios. (45) Omnium itaque improbissimus Batrachus, si hunc unum excipiatis, qui index fuit sub imperio trigintavirorum, quanquam cum eo intercesserant pacta et juramenta, quemadmodum cum ceteris ex Eleusine, hic tamen vultum eorum quos offenderat reveritus, in alia civitate commorabatur. Andocides vero qui et deos ipsos injuria affecerat, ipsorum templa ingressus, eos minoris fecit quam Batrachus homines. At enim qui Batrachum ipsum pravitate superat et stultitia, is boni consulere debet quod a vobis fuerit servatus.

46. Age vero in quodnam intuentes Andocidem possitis absolvere? utrumne quod bonus sit miles? At iste nunquam extra civitatem militavit, nec eques, nec gravis armaturæ pedes, nec triremi præfectus, nec classiarius, nec ante nec post calamitatem urbi illatam, jam natu grandior quadragenario; quum tamen reliqui exules vobiscum in Hellesponto triremes instruerent. (47) Recordamini, quæso, quantis ex malis, quali ex bello vos ipsos civitatemque eripuistis, plurimos labores corporibus perpessi, maximisque sumptibus quum publice tum privatim factis, multisque et bonis civibus occisis in bello, quos sepeliistis. (48) Andocides autem qui horum malorum expers fuit, et nihil contulit in patriæ salutem, hujus civitatis nunc particeps esse postulat, in qua impie egit adversus deos. At certe dives, pecuniis abundans, regum et tyrannorum hospitio usus (quæ jactabit modo quum vestros mores satis perspiciat), optima vobis officia præstitit. (49) Sed quænam officia? ob quæ quid ipsi a vobis boni continget? Qui quum sciret civitatem in multis turbis et periculis versatam, ratis magister qua navigabat, noluit frumentum in urbem importans patriam suam adjuvare. Sed inquilini quidem et hospites inferendo commeatum hanc velut mercedem civitati nostræ persolverunt: tu vero, Andocides, quid boni unquam præstitisti? quorumnam peccatorum memoriam unquam delevisti? quænam educationis præmia persolvisti?...

50. Athenienses, ea recordamini quæ Andocides perpetravit; revocate quoque in memoriam ejus festi solemnitatem quod vos apud populos effecit celebriores. At jam istius flagitiis occalluistis quodammodo toties visis et auditis, ita ut non jam videantur horrenda quæ horrenda sunt. Sed mentem, quæso, advertite, et vobis animo persuadete ea videre vos quæ hic fecerit, tuncque rectius quid statuendum erit cognoscetis. (51) Hic enim stola indutus, et sacra imitatus, ea profanis aperuit et ore divulgavit quæ divulganda non erant; et deorum, quos deos esse nos existimamus, quos religionibus, sacrificiis et precibus honoramus et colimus, imagines mutilavit: atque hac de causa sacrificæ et sacrifici ad occasum versi eum dirisque exsecrati sunt, purpureasque vestes concusserunt more patrio et vetusto: hic autem facinora a se commissa ipse confessus est. (52) Præter hæc, lege spreta quam tulistis, eum scilicet a templis arceri ut devotum, his omnibus, inquam, posthabitis et violatis, in urbem nostram ingressus est, super aras sibi interdictas victimas immolavit, sacra

108 νιον, ἐχερνίψατο ἐκ τῆς ἱερᾶς χέρνιβος. (53) Τίνα χρὴ ταῦτα ἀνασχέσθαι; ποῖον φίλον, ποῖον συγγενῆ, ποῖον δικαστὴν χρὴ τούτῳ χαρισάμενον κρύβδην φανερῶς τοῖς θεοῖς ἀπέχθεσθαι; Νῦν οὖν χρὴ νομίζειν τιμωρουμένους καὶ ἀπαλλαττομένους Ἀνδοκίδου τὴν πόλιν καθαίρειν καὶ ἀποδιοπομπεῖσθαι καὶ φαρμακὸν ἀποπέμπειν καὶ ἀλιτηρίου ἀπαλλάττεσθαι, ὡς ἓν τούτων οὗτός ἐστι.

54. Βούλομαι τοίνυν εἰπεῖν ἃ Διοκλῆς ὁ Ζαχόρου τοῦ ἱεροφάντου, πάππος δὲ ἡμέτερος, συνεβούλευσε βουλευομένοις ὑμῖν ὅ τι δεῖ χρῆσθαι Μεγαρεῖ ἀνδρὶ ἠσεβηκότι. Κελευόντων γὰρ ἑτέρων ἄκριτον παραχρῆμα ἀποκτεῖναι, παρῄνεσε κρῖναι τῶν ἀνθρώπων ἕνεκα, ἵνα ἀκούσαντες καὶ ἰδόντες σωφρονέστεροι οἱ ἄλλοι ὦσι, τῶν δὲ θεῶν ἕνεκα οἴκοθεν ἕκαστον, ἃ δεῖ τὸν ἀσεβοῦντα παθεῖν, αὐτὸν παρ' ἑαυτῷ κεκρικότα εἰς τὸ δικαστήριον εἰσιέναι. (55) Καὶ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, (ἐπίστασθε γὰρ ἃ δεῖ ποιῆσαι) μὴ ἀναπεισθῆτε ὑπὸ τούτου. Φανερῶς ἔχετε αὐτὸν ἀσεβοῦντα· εἴδετε, ἠκούσατε τὰ τούτου ἁμαρτήματα. Ἀντιβολήσει καὶ ἱκετεύσει ὑμᾶς· μὴ ἐλεεῖτε· οὐ γὰρ οἱ δικαίως ἀποθνήσκοντες, ἀλλ' οἱ ἀδίκως ἄξιοί εἰσιν ἐλεεῖσθαι.

adiit quæ profanavit, intravit Eleusinium et ex sacro lavacro manus lavit. (53) Quisnam hæc debet tolerare? quemnam amicum, quemnam cognatum, quemnam judicem deceat, huic clanculum faventem, aperte diis inimicari? Nunc igitur existimare oportet, vos pœnis ab Andocide sumptis, eoque e medio sublato, civitatem vestram luere et purgare, depellere piaculum, scelus amoliri: hujusmodi enim iste est.

54. Volo itaque vobis commemorare consilium quod Diocles Zacori hierophantæ filius, avus noster, vobis dedit deliberantibus quid statuendum esset de homine quodam Megarensi qui sacra violaverat. Nam quum suaderent nonnulli indicta causa extemplo occidere, eum judicio sisti jussit hominum causa, ut alii qui viderent et audirent, inde se gererent moderatius; deorum vero gratia unumquemque, postquam domo secum jam statuisset quæ impius pati deberet, ad tribunal accedere. (55) Et vos, Athenienses, (novistis enim quid opus sit factu) ne huic auscultetis. Tenetis hunc manifesto impietatis reum, vidistis, audistis ipsius flagitia. Obsecrabit vos et obtestabitur: nolite misereri; non enim qui jure, sed qui injuste pereunt, digni sunt vestra misericordia.

VII.

ΑΡΕΟΠΑΓΙΤΙΚΟΣ

ΠΕΡΙ ΤΟΥ ΣΗΚΟΥ ΑΠΟΛΟΓΙΑ.

Πρότερον μέν, ὦ βουλή, ἐνόμιζον ἐξεῖναι τῷ βουλομένῳ, ἡσυχίαν ἄγοντι, μήτε δίκας ἔχειν μήτε πράγματα· νυνὶ δὲ οὕτως ἀπροσδοκήτοις αἰτίαις καὶ πονηροῖς συκοφάνταις περιπέπτωκα, ὥστ' εἴ πως οἷόν τε, δοκεῖ μοι δεῖν καὶ τοὺς μὴ γεγονότας ἤδη δεδιέναι περὶ τῶν μελλόντων ἔσεσθαι· διὰ γὰρ τοὺς τοιούτους οἱ κίνδυνοι κοινοὶ γίγνονται καὶ τοῖς μηδὲν ἀδικοῦσι καὶ τοῖς πολλὰ ἡμαρτηκόσιν. (2) Οὕτω δ' ἄπορος ὁ ἀγών μοι καθέστηκεν, ὥστε ἀπεγράφην τὸ μὲν πρῶτον ἐλαίαν ἐκ τῆς γῆς ἀφανίζειν, καὶ πρὸς τοὺς ἐωνημένους τοὺς καρποὺς τῶν μοριῶν πυνθανόμενοι προσῄεσαν· ἐπειδὴ δ' ἐκ τούτου τοῦ τρόπου ἀδικοῦντά με οὐδὲν εὑρεῖν ἐδυνήθησαν, νυνί με σηκὸν ἀφανίζειν, ἡγούμενοι ἐμοὶ μὲν ταύτην τὴν αἰτίαν ἀπορωτάτην εἶναι ἀποδεῖξαι, αὐτοῖς δὲ ἐξεῖναι μᾶλλον ὅ τι ἂν βούλωνται λέγειν. (3) Καὶ δεῖ με, περὶ ὧν οὗτος ἐπιβεβουλευκὼς ἥκει, ἅμ' ὑμῖν τοῖς διαγνωσομένοις περὶ τοῦ πράγματος ἀκούσαντα καὶ περὶ τῆς πατρίδος καὶ περὶ τῆς οὐσίας ἀγωνίσασθαι. Ὅμως δὲ πειράσομαι ἐξ ἀρχῆς ὑμᾶς διδάξαι. (4) Ἦν μὲν γὰρ τοῦτο Πεισάνδρου τὸ χωρίον, δημευθέντων τῶν ὄντων δ' ἐκείνου Ἀπολλόδωρος ὁ Μεγαρεὺς δωρεὰν παρὰ τοῦ δήμου λαβὼν τὸν μὲν ἄλλον χρόνον ἐγεώργει, ὀλίγῳ δὲ πρὸ τῶν τριάκοντα Ἀντικλῆς παρ' αὐτοῦ πριάμενος ἐξεμίσθωσεν· ἐγὼ δὲ παρ' Ἀντικλέους εἰρήνης οὔσης

VII.

AREOPAGITICA ORATIO

PRO SACRA OLEA EXSCISA.

Prius quidem, senatores, cuivis licuisse arbitrabar, otium sectanti, procul a litibus et negotiis ætatem agere: nunc vero in criminationes adeo inopinatas et calumnias adeo iniquas incidi, ut, si fieri possit, etiam nondum natis ea quæ olim possunt accidere jam metuenda esse videantur. Per hujusmodi enim homines communia efficiuntur pericula tum eis qui nihil admiserint sceleris, tum eis qui plurima deliquerint. (2) Contentio autem adeo impedita mihi comparata est, ut me primum criminarentur oleam ex agro sustulisse; et utique eos qui sacrarum olearum fructus redimunt, interrogaturi adibant: at ubi nihil inde reperire poterant quod incusarent, jam truncum oleæ sacræ excidisse me criminantur, arbitrati mihi hanc criminationem difficillimam fore ad refellendum, sibi vero liciturum quæcumque lubeat in me effutire. (3) Oportet me nimirum, de quibus iste per fraudem meditatus venit, coram vobis totam rem cognituris, de patria fortunisque omnibus concertare; vos tamen conabor edocere a principio. (4) Agellus hic meus fuit olim Pisandri: publicatis illius bonis Apollodorus Megarensis eum dono a populo acceptum, per reliquum quidem temporis colebat, paululum vero ante triginta tyrannos Anticles ab illo emit et aliis locavit; ego emi ab Anticle, pace jam facta. (5) Meum

ὠνούμην. (5) Ἡγοῦμαι τοίνυν, ὦ βουλή, ἐμὸν ἔργον ἀποδεῖξαι ὡς, ἐπειδὴ τὸ χωρίον ἐκτησάμην, οὔτ' ἐλαία οὔτε σηκὸς ἐνῆν ἐν αὐτῷ. Νομίζω γὰρ τοῦ μὲν προτέρου χρόνου, οὐδ' εἰ πάλαι ἐνῆσαν μορίαι, οὐκ ἂν δικαίως ζημιοῦσθαι· εἰ γὰρ μὴ δι' ἡμᾶς εἰσιν ἠφανισμέναι, οὐδὲν προσήκει περὶ τῶν ἀλλοτρίων ἁμαρτημάτων ὡς ἀδικοῦντας κινδυνεύειν. (6) Πάντες γὰρ ἐπίστασθε ὅτι ὁ πόλεμος καὶ ἄλλων πολλῶν αἴτιος κακῶν γεγένηται, καὶ τὰ μὲν πόρρω ὑπὸ Λακεδαιμονίων ἐτέμνετο, τὰ δ' ἐγγὺς ὑπὸ τῶν φίλων διηρπάζετο· ὥστε πῶς ἂν δικαίως ὑπὲρ τῶν τῇ πόλει γεγενημένων συμφορῶν ἐγὼ νυνὶ δίκην διδοίην; ἄλλως τε καὶ τοῦτο τὸ χωρίον ἐν τῷ πολέμῳ δημευθὲν ἄπρακτον ἦν πλεῖον ἢ τρία ἔτη. (7) Οὐ
109 θαυμαστὸν δ' εἰ τότε τὰς μορίας ἐξέκοπτον, ἐν ᾧ οὐδὲ τὰ ἡμέτερ' αὐτῶν φυλάττειν ἠδυνάμεθα. Ἐπίστασθε δέ, ὦ βουλή, ὅσοι μάλιστα τῶν τοιούτων ἐπιμελεῖσθε, πολλὰ ἐν ἐκείνῳ τῷ χρόνῳ δασέα ὄντα ἰδίαις καὶ μορίαις ἐλαίαις, ὧν νῦν τὰ πολλὰ ἐκκέκοπται καὶ ἡ γῆ ψιλὴ γεγένηται· καὶ τῶν αὐτῶν καὶ ἐν τῇ εἰρήνῃ καὶ ἐν τῷ πολέμῳ κεκτημένων οὐκ ἀξιοῦτε παρ' αὐτῶν, ἑτέρων ἐκκοψάντων, δίκην λαμβάνειν. (8) Καίτοι εἰ τοὺς διὰ παντὸς τοῦ χρόνου γεωργοῦντας τῆς αἰτίας ἀφίετε, ἦπου χρὴ τούς γ' ἐν τῇ εἰρήνῃ πριαμένους ἀφ' ὑμῶν ἀζημίους γενέσθαι.

9. Ἀλλὰ γάρ, ὦ βουλή, περὶ μὲν τῶν πρότερον γεγενημένων πολλὰ ἔχων εἰπεῖν ἱκανὰ νομίζω τὰ εἰρημένα· ἐπειδὴ δ' ἐγὼ παρέλαβον τὸ χωρίον, πρὶν ἡμέρας πέντε γενέσθαι, ἀπεμίσθωσα Καλλιστράτῳ, ἐπὶ Πυθοδώρου ἄρχοντος· (10) ὃς δύο ἔτη ἐγεώργησεν, οὔτε ἰδίαν ἐλαίαν οὔτε μορίαν οὔτε σηκὸν παραλαβών. Τρίτῳ δ' ἔτει Δημήτριος οὑτοσὶ εἰργάσατο ἐνιαυτόν· τῷ δὲ τετάρτῳ Ἀλκίᾳ Ἀντισθένους ἀπελευθέρῳ ἐμίσθωσα, ὃς τέθνηκε ταῦτα τρία ἔτη. Ὁμοίως καὶ Πρωτέας ἐμισθώσατο. Καί μοι δεῦρ' ἴτε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

11. Ἐπειδὴ τοίνυν ὁ χρόνος οὗτος ἐξήκει, αὐτὸς γεωργῶ. Φησὶ δὲ ὁ κατήγορος ἐπὶ Σουνιάδου ἄρχοντος σηκὸν ὑπ' ἐμοῦ ἐκκεκόφθαι. Ὑμῖν δὲ μεμαρτυρήκασιν οἱ πρότερον ἐργαζόμενοι καὶ πολλὰ ἔτη παρ' ἐμοῦ μεμισθωμένοι μὴ εἶναι σηκὸν ἐν τῷ χωρίῳ. Καίτοι πῶς ἄν τις φανερωτέρως ἐξελέγξειε ψευδόμενον τὸν κατήγορον; οὐ γὰρ οἷόν τε, ἃ πρότερον μὴ ἦν, ταῦτα τὸν ὕστερον ἐργαζόμενον ἀφανίζειν.

12. Ἐγὼ τοίνυν, ὦ βουλή, ἐν μὲν τῷ τέως χρόνῳ, ὅσοι με φάσκοιεν δεινὸν εἶναι καὶ ἀκριβῆ καὶ οὐδὲν ἂν εἰκῇ καὶ ἀλογίστως ποιῆσαι, ἠγανάκτουν ἄν, ἡγούμενος μᾶλλον λέγεσθαι ὡς μοι προσῆκε· νῦν δὲ πάντας ἂν ὑμᾶς βουλοίμην περὶ ἐμοῦ ταύτην τὴν γνώμην ἔχειν, ἵνα ἡγῆσθέ με σκοπεῖν, εἴπερ τοιούτοις ἔργοις ἐπεχείρουν, καὶ ὅ τι κέρδος ἐγένετο τῷ ἀφανίσαντι καὶ ἥτις ζημία τῷ ποιήσαντι, καὶ τί ἂν λαθὼν διεπραξάμην καὶ τί ἂν φανερὸς γενόμενος ὑφ' ὑμῶν ἔπασχον. (13) Πάντες γὰρ ἄνθρωποι τὰ τοιαῦτα οὐχ ὕβρεως, ἀλλὰ

igitur existimo, senatores, ut demonstrem ex eo tempore quo agrum nactus sum neque oleam neque truncum oleæ sacræ in eo exstitisse. Existimo enim anteacti temporis, neque si multæ olim ibi fuissent oleæ sacræ, pœnas non esse a nobis jure postulandas. Quas, inquam, oleas si non ipsi sustulimus, iniquum esset nos propter aliena peccata quasi nocentes in periculum adduci. (6) Nam vos omnes intelligitis bellum quum aliorum multorumque malorum causam fuisse, tum quæ absunt longius a Lacedæmoniis fuisse succisa, quæ propiora ab amicis direpta. Quo itaque jure earum calamitatum, quæ civitati tunc contigerunt, pœnæ a me repetantur? præsertim quum hic fundus in bello publicatus per integrum triennium et amplius non fuerit cultus. (7) Nihil itaque miri si per id temporis exscinderentur oleæ sacræ, in quo neque proprias possessiones tutari potuimus. Nostis autem, senatores, vosque maxime qui harum rerum curam geritis, multa loca illa tempestate oleis quum privatis tum sacris obsita fuisse, quarum nunc plurimæ excisæ sunt, et solum vacuum relinquitur. Quæ loca tametsi in pace atque in bello iidem possiderent, vos tamen ab iis, ob ea quæ alii exsciderunt, pœnas noluistis repetere. (8) At enim si perpetuos agrorum colonos omni culpa absolvitis, eos certe qui in pace coemerunt a vobis indemnes esse decet.

9. Verumenimvero, senatores, quum multa habeam quæ de temporibus anteactis dici poterant, ea quæ jam dicta sunt sufficere arbitror. Postquam ego emptum agellum accepi, quinque diebus vix elapsis Callistrato elocavi, Archonte Pythodoro. (10) Ille aravit per biennium, accepta neque privata olea, neque sacra, neque trunco sacræ oleæ. Anno tertio per annum coluit Demetrius. Quarto deinde anno elocavi Alciæ, Antisthenis liberto, abhinc triennium mortuo. Pari pacto etiam Proteas fundum conduxit. Atque huc mihi testes ascendite.

TESTES.

11. Eo igitur tempore exacto ipse colo agellum. Contendit autem accusator, Lysiade Archonte, sacræ oleæ truncum me exscidisse. At vobis comprobatum fuit eorum testimoniis qui fundum priores coluerunt per plures annos a me conductum, nullum in eo truncum sacræ oleæ fuisse. Qui vero aliquis accusatorem suum mendacii apertius convincat? non enim fieri potest ut quæ olim non erant, ea utique colonus ultimus aboleret.

12. Equidem, senatores, si qui me ante hoc tempus dixissent acrem esse et diligentem, ac nihil unquam temere agentem et inconsulto, tulissem graviter, ratus scilicet supra hæc dici quam de me oportuit: nunc vero vos omnes vellem ita de me sentire, ut existimetis me perpendisse, si aliquid tale aggrederer, quid lucri accessurum exscindenti, quid rursum damni hoc facienti emersurum esset; quid essem consecutus si latuissem, quid a vobis mali experturus essem deprehensus. (13) Omnes enim homines facinora hujusmodi non lascivienti animo, sed quæstus causa,

κέρδους ἕνεκα ποιοῦσι· καὶ ὑμᾶς εἰκὸς οὕτω σκοπεῖν, καὶ τοὺς ἀντιδίκους ἐκ τούτων τὰς κατηγορίας ποιεῖσθαι, ἀποφαίνοντας ἥτις ὠφέλεια τοῖς ἀδικήσασιν ἐγένετο. (14) Οὗτος μέντοι οὐκ ἂν ἔχοι ἀποδεῖξαι οὔθ' ὡς ὑπὸ πενίας ἠναγκάσθην τοιούτοις ἔργοις ἐπιχειρεῖν, οὔθ' ὡς τὸ χωρίον μοι διαφθείρεται τοῦ σηκοῦ ὄντος, οὔθ' ὡς ἀμπέλοις ἐμποδὼν ἦν, οὔθ' ὡς οἰκίας ἐγγύς, οὔθ' ὡς ἐγὼ ἄπειρος τῶν παρ' ὑμῖν κινδύνων, εἴ τι τούτων ἔπραττον. Πολλὰς γὰρ ἂν καὶ μεγάλας ἐμαυτῷ ζημίας γενομένας ἀποφήναιμι· (15) ὃς πρῶτον μὲν μεθ' ἡμέραν ἐξέκοπτον τὸν σηκόν, ὥσπερ οὐ πάντας λαθεῖν δέον, ἀλλὰ πάντας Ἀθηναίους εἰδέναι. Καὶ εἰ μὲν αἰσχρὸν ἦν μόνον τὸ πρᾶγμα, ἴσως ἄν τις τῶν παριόντων ἠμέλησε· νῦν δ' οὐ περὶ αἰσχύνης, ἀλλὰ τῆς μεγίστης ζημίας ἐκινδύνευον. (16) Πῶς δ' οὐκ ἂν ἦν ἀθλιώτατος ἀνθρώπων ἁπάντων, εἰ τοὺς ἐμαυτοῦ θεράποντας μηκέτι δούλους ἔμελλον ἕξειν, ἀλλὰ δεσπότας τὸν λοιπὸν βίον, τοιοῦτον ἔργον συνειδότας; ὥστε εἰ καὶ τὰ μέγιστα εἰς ἐμὲ ἐξημάρτανον, οὐκ ἂν οἷόν τε ἦν δίκην με παρ' αὐτῶν λαμβάνειν· εὖ γὰρ ἂν εἰδείην ὅτι ἐπ' ἐκείνοις ἦν καὶ ἐμὲ τιμωρήσασθαι καὶ αὐτοῖς μηνύσασιν ἐλευθέροις γενέσθαι. (17) Ἔτι τοίνυν εἰ τῶν οἰκετῶν παρέστη μοι μηδὲν φροντίζειν, πῶς ἂν ἐτόλμησα τοσούτων μεμισθωμένων καὶ ἁπάντων συνειδότων ἀφανίσαι τὸν σηκὸν βραχέος μὲν κέρδους ἕνεκα, προθεσμίας δὲ οὐδεμιᾶς οὔσης τῷ κινδύνῳ, τοῖς εἰργασμένοις ἅπασι τὸ χωρίον ὁμοίως προσῆκον εἶναι σῶον τὸν σηκόν, ἵν' εἴ τις αὐτοὺς ᾐτιᾶτο, εἶχον ἀνενεγκεῖν ὅτῳ παρέδοσαν; Νῦν δὲ καὶ ἐμὲ ἀπολύσαντες φαίνονται, καὶ σφᾶς αὐτούς, εἴπερ ψεύδονται, μετόχους τῆς αἰτίας καθιστάντες. (18) Εἰ τοίνυν καὶ ταῦτα παρεσκευασάμην, πῶς ἂν οἷός τ' ἦν πάντας πεῖσαι τοὺς παριόντας, ἢ τοὺς γείτονας, οἳ οὐ μόνον ἀλλήλων ταῦτ' ἴσασιν ἃ πᾶσιν ὁρᾶν ἔξεστιν, ἀλλὰ καὶ περὶ ὧν ἀποκρυπτόμεθα μηδένα εἰδέναι, καὶ περὶ ἐκείνων πυνθάνονται; Ἐμοὶ τοίνυν τούτων οἱ μὲν φίλοι, οἱ δὲ διάφοροι περὶ τῶν ἐμῶν τυγχάνουσιν ὄντες· (19) οὓς ἐχρῆν τοῦτον παρασχέσθαι μάρτυρας, καὶ μὴ μόνον οὕτω τολμηρὰς κατηγορίας ποιεῖσθαι· ὅς φησιν ὡς ἐγὼ μὲν παρειστήκειν, οἱ δ' οἰκέται ἐξέτεμνον τὰ πρέμνα, ἀναθέμενος δὲ ὁ βοηλάτης ᾤχετο ἀπάγων τὰ ξύλα. (20) Καίτοι, ὦ Νικόμαχε, χρῆν σε τότε καὶ παρακαλεῖν τοὺς παριόντας μάρτυρας, καὶ φανερὸν ποιεῖν τὸ πρᾶγμα· καὶ ἐμοὶ μὲν οὐδεμίαν ἂν ἀπολογίαν ὑπέλιπες, αὐτὸς δέ, εἰ μέν σοι ἐχθρὸς ἦν, ἐν τούτῳ τῷ τρόπῳ ἦσθα ἄν με τετιμωρημένος, εἰ δὲ τῆς πόλεως ἕνεκα ἔπραττες, οὕτως ἐξελέγξας οὐκ ἂν ἐδόκεις εἶναι συκοφάντης, (21) εἰ δὲ κερδαίνειν ἐβούλου, τότ' ἂν πλεῖστον ἔλαβες· φανεροῦ γὰρ ὄντος τοῦ πράγματος οὐδεμίαν ἄλλην ἡγούμην ἂν εἶναί μοι σωτηρίαν ἢ σὲ πεῖσαι. Τούτων τοίνυν οὐδὲν ποιήσας διὰ τοὺς σοὺς λόγους ἀξιοῖς με ἀπολέσθαι, καὶ κατηγορεῖς ὡς ὑπὸ τῆς ἐμῆς δυνάμεως καὶ τῶν ἐμῶν χρημάτων οὐδεὶς ἐθέλει σοι μαρτυρεῖν. (22) Καίτοι εἰ φήσας μ' ἰδεῖν τὴν μορίαν ἀφανίζοντα τοὺς ἐννέα ἄρχοντας ἐπήγαγες ἢ ἄλλους τινὰς τῶν ἐξ Ἀρείου πάγου, οὐκ

aggrediuntur. Et vos decet ita rem considerare, adversariosque inde accusationem instituere, declarantes ex admisso delicto quænam utilitas evenerit. (14) Jam iste illud demonstrare nequit, neque me inopia coactum esse tale aliquid moliri, neque sacræ oleæ truncum vel fundo nocere, vel vitibus obesse, vel ædibus fuisse vicinum, nec denique me inscium esse futurorum a vobis periculorum, si quid tale egissem. Ipsemet enim ego contrà multas mihi videor proferre posse magnasque noxas, quas mihi contracturus fuissem. (15) Quanta fuisset mea insania, qui primum interdiu truncum succiderim, quasi non opus fuisset hoc omnes latere, sed cunctis Atheniensibus palam fieri? Tum si turpis duntaxat fuisset res, prætereuntium forsan unus vel alter eam neglexisset; verum non in dedecoris modo, sed in gravissimi damni periculum adducebar. (16) Qui autem non fuissem omnium stultissimus, si famulos meos comparassem non jam amplius mihi servos futuros, sed dominos per reliquam vitam, hujusmodi facinoris conscios? adeo ut si gravissima in me peccassent, nullas tamen pœnas mihi ab iis repetere licuisset, siquidem probe noveram penes illos esse denuntiando et me ulcisci et ipsos liberos fieri. (17) Ad hæc, si in animo instituissem famulos meos nihil vereri, quo pacto fuissem ausus, agro tot hominibus elocato iisque omnibus rem perspectam habentibus, truncum exscindere, spe exigui lucri, periculoque nullis limitibus temporis circumscripto, quum priorum utique colonorum omnium pariter interesset, salvum esse truncum, ut si quis unquam ipsos incusaret, ad eum se possent referre cui tradiderant? Jam vero illi me absolvunt palam, seque ipsos, si mentiantur, in culpæ communionem trahunt. (18) Quodsi et hos subornavi, quomodo prætereuntes omnes potui verbis seducere, vel vicinos qui non solum ea de se invicem intelligunt quæ omnibus videre est, verum etiam quæ operam damus ut nemini suboleant, ea ipsa sciscitantur? Horum alii meis rebus sunt amiciores, alii contra infesti; (19) quos oportuit harum rerum adduxisse testes, neque solummodo accusationes adornare adeo temerarias. Nempe ait me astitisse, famulos stirpem succidisse, atque ligna deinde boum actorem plaustro imposita avexisse. (20) Atqui, Nicomache, oportebat te ex prætereuntibus testes advocasse, et rem manifestam facere. Tunc mihi nullam reliquisses defensionem, tuque ipse, si inimicitiæ inter nos fuissent, eo pacto me probe ultus fuisses; quodsi egisses reipublicæ causa, tali producta comprobatione, non visus fuisses calumniator; (21) si lucri gratia, quæstum utique fecisses ingentem : re enim patefacta, putassem nullam aliam mihi salutem relinqui quam ut te pecuniis delinirem. Horum quum nihil feceris, tua solius oratione me perditum studes, et criminaris quod propter meam potentiam et divitias nemo testimonium tibi ferre velit. (22) Attamen, si tu, qui ais vidisse me truncum exscindentem, novem Archontas adduxisses, vel alios

ἂν ἑτέρων ἔδει σοι μαρτύρων· οὕτω γὰρ ἄν σοι συνῄδεσαν ἀληθῆ λέγοντι, οἵπερ καὶ διαγινώσκειν ἔμελλον περὶ τοῦ πράγματος. (23) Δεινότατα οὖν πάσχω, ὃς εἰ μὲν παρέσχετο μάρτυρας, τούτοις ἂν ἠξίου πιστεύειν, ἐπειδὴ δὲ οὐκ εἰσὶν αὐτῷ, ἐμοὶ καὶ ταύτην ζημίαν οἴεται χρῆναι γενέσθαι. Καὶ τούτου μὲν οὐ θαυμάζω· οὐ γὰρ δήπου συκοφαντῶν ἅμα τοιούτων γε λόγων ἀπορήσει καὶ μαρτύρων· ὑμᾶς δ' οὐκ ἀξιῶ τὴν αὐτὴν τούτῳ γνώμην ἔχειν. (24) Ἐπίστασθε γὰρ ἐν τῷ πεδίῳ πολλὰς μορίας οὔσας καὶ πυρκαϊὰς ἐν τοῖς ἄλλοις τοῖς ἐμοῖς χωρίοις, ἅς, εἴπερ ἐπεθύμουν, πολὺ ἦν ἀσφαλέστερον καὶ ἀφανίσαι καὶ ἐκκόψαι καὶ ἐπεργάσασθαι, ὅσῳπερ ἧττον τὸ ἀδίκημα πολλῶν οὐσῶν ἔμελλε δῆλον ἔσεσθαι. (25) Νῦν δ' οὕτως αὐτὰς περὶ πολλοῦ ποιοῦμαι ὥσπερ καὶ τὴν ἄλλην οὐσίαν, ἡγούμενος περὶ ἀμφοτέρων τούτων εἶναί μοι τὸν κίνδυνον. Αὐτοὺς τοίνυν ὑμᾶς τούτων μάρτυρας παρέξομαι, ἐπιμελουμένους μὲν ἑκάστου μηνός, γνώμονας δὲ πέμποντας καθ' ἕκαστον ἐνιαυτόν· ὧν οὐδεὶς πώποτ' ἐζημίωσεν ὡς ἐργαζόμενον τὰ περὶ τὰς μορίας χωρία. (26) Καίτοι οὐ δήπου τὰς μὲν μικρὰς ζημίας οὕτω περὶ πολλοῦ ποιοῦμαι, τοὺς δὲ περὶ τοῦ σώματος κινδύνους οὕτω περὶ οὐδενὸς ἡγοῦμαι· καὶ τὰς μὲν πολλὰς ἐλαίας, εἰς ἃς ἐξῆν μᾶλλον ἐξαμαρτάνειν, οὕτω θεραπεύων φαίνομαι, τὴν δὲ μορίαν, ἣν οὐχ οἷόν τ' ἦν λαθεῖν ἐξορύξαντα, ὡς ἀφανίζων νυνὶ κρίνομαι. (27) Πότερον δέ μοι κρεῖττον ἦν, ὦ βουλή, δημοκρατίας οὔσης παρανομεῖν ἢ ἐπὶ τῶν τριάκοντα; Καὶ οὐ λέγω ὡς τότε δυνάμενος ἢ ὡς νῦν διαβεβλημένος, ἀλλ' ὡς τῷ βουλομένῳ τότε μᾶλλον ἐξῆν ἀδικεῖν ἢ νυνί. Ἐγὼ τοίνυν οὐδ' ἐν ἐκείνῳ τῷ χρόνῳ οὔτε τοιοῦτον οὔτε ἄλλο οὐδὲν κακὸν ποιήσας φανήσομαι. (28) Πῶς δ' ἄν, εἰ μὴ πάντων ἀνθρώπων ἐμαυτῷ κακονούστατος ἦν, ὑμῶν οὕτως ἐπιμελουμένων ἐκ τούτου τὴν μορίαν ἀφανίζειν ἐπεχείρησα τοῦ χωρίου, ἐν ᾧ δένδρον μὲν οὐδὲ ἕν ἐστι, μιᾶς δὲ ἐλαίας σηκός, ὡς οὗτός φησιν εἶναι, κυκλόθεν δὲ ὁδὸς περιέχει, ἀμφοτέρωθεν δὲ γείτονες περιοικοῦσιν, ἄερκτον δὲ καὶ πανταχόθεν κάτοπτόν ἐστιν; ὥστε τίς ἂν ἀπετόλμησε, τούτων οὕτως ἐχόντων, ἐπιχειρῆσαι τοιούτῳ πράγματι; (29) Δεινὸν δέ μοι δοκεῖ εἶναι ὑμᾶς μέν, οἷς ὑπὸ τῆς πόλεως τὸν ἅπαντα χρόνον προστέτακται τῶν μοριῶν ἐλαιῶν ἐπιμελεῖσθαι, μήθ' ὡς ἐπεργαζόμενον πώποτε ζημιῶσαι μήθ' ὡς ἀφανίσαντα εἰς κίνδυνον καταστῆσαι, τοῦτον
111 δ', ὃς οὔτε γεωργῶν ἐγγὺς τυγχάνει οὔτ' ἐπιμελητὴς ᾑρημένος οὔθ' ἡλικίαν ἔχων εἰδέναι περὶ τῶν τοιούτων, ἀπογράψαι με μορίαν ἀφανίζειν.

30. Ἐγὼ τοίνυν δέομαι ὑμῶν μὴ τοὺς τοιούτους λόγους πιστοτέρους ἡγήσασθαι τῶν ἔργων, μηδὲ περὶ ὧν αὐτοὶ σύνιστε, ταῦτ' ἀνασχέσθαι τῶν ἐμῶν ἐχθρῶν λεγόντων, ἐνθυμουμένους καὶ ἐκ τῶν εἰρημένων καὶ ἐκ τῆς ἄλλης πολιτείας. (31) Ἐγὼ γὰρ τὰ ἐμοὶ προστεταγμένα ἅπαντα προθυμότερον πεποίηκα, ὡς ὑπὸ τῆς πόλεως ἠναγκαζόμην, καὶ τριηραρχῶν καὶ εἰσφορὰς εἰσφέρων καὶ χορηγῶν καὶ τἄλλα λειτουργῶν οὐδενὸς ἧττον πολυτελῶς

quosdam ex Areopago, tibi testibus aliis non fuisset opus. Eo enim pacto ii ipsi conscii fuissent te vera dicere qui de causa erant judicaturi. (23) Iniquissima ergo patior : nam si testes ille adduxerat, eis fidem habendam esse postulasset; quum vero habeat nullos, mihi hoc quoque in fraudem cedere oportere arbitratur. Neque istum ego demiror : qui enim temere calumniatur, non talibus saltem verbis indigebit, si testibus indigeat. Vos autem rogo ut non eadem mente esse velitis. (24) Scitis ipsi multas mihi esse in campo oleas multasque piceas in aliis meis fundis. Quas, si ita affectus fuissem, multo tutius erat auferre et exscindere, terramque vicinam colere, quanto delictum, quum oleæ permultæ essent, occultius erat futurum. (25) Jam vero eas tanti facio quanti ceteras possessiones, existimans scilicet mihi ex utrisque periculum imminere. Atque horum vosmetipsos testes producam, qui rem unoquoque mense curantes ipsi, inspectores item annuos mittitis : quorum nemo me unquam mulctavit, quod loca coluerim sacris oleis consita. (26) Attamen non is sum qui mulctas leves tanti faciam, capitis vero discrimina adeo negligam : non is sum qui oleas ita multas, in quas impunius licebat delinquere, tanta religione servaverim, unicum autem sacræ oleæ truncum, qui clanculum succidi nequeat, quod sustulerim, hodie in judicium adducar. (27) Utrum mihi præstabilius fuisset, senatores, in democratia leges transgredi, an sub trigintaviris? Neque hæc dico quasi tunc multum valuerim, vel nunc calumniis impeti sinar; sed quod volenti peccare major tunc quam nunc dabatur licentia. Me igitur neque per illud tempus tale aliquid aut quidquam omnino mali commisisse apparet. (28) Qui autem, nisi fuissem mihimet inimicissimus, quum vos tantam adhibeatis diligentiam, ex eo fundo sacram oleam tentassem exscindere, in quo nulla prorsus arbor inest præter unicæ oleæ truncum, ut dicit accusator; quem iter publicum utrimque cingit, utrimque circumhabitant vicini; qui utrimque sine septo est et omnibus conspicuus? quis itaque, quum res ita se habeant, sustinuisset tale facinus aggredi? (29) Mihi vero non videtur ferendum, quum vos quibus a civitate per omne tempus demandatur sacrarum olearum curam gerere, me nunquam vel mulctaveritis quod loca oleis consita araverim, vel in capitis discrimen adduxeritis quod eas sustulerim; istum hominem qui neque agrum colit in vicinia, neque curator unquam est electus, neque ea sit ætate ut de his rebus quidquam scire possit, mihi litem oleæ excisæ ita temere scribere.

30. Quapropter vos oro ut nolitis hujusmodi orationes majori fide dignas censere quam res ipsas; neque quorum vos estis conscii, de iis inimicos meos dicentes tolerare; vobiscum reputantes tum ex iis quæ a me dicta sunt, tum ex cetera meæ vitæ civilis ratione. (31) Ego enim omnia quæ mihi injuncta fuere, alacrius peregi quam a civitate cogebar, et triremes adornans, et solvens tributa, et choregias agens, ceteraque munera edens ita, ut civium nemo

τῶν πολιτῶν. (32) Καίτοι ταῦτα μὲν μετρίως ποιῶν, ἀλλὰ μὴ προθύμως, οὔτ' ἂν περὶ φυγῆς οὔτ' ἂν περὶ τῆς ἄλλης οὐσίας ἠγωνιζόμην, πλείω δ' ἂν ἐκεκτήμην, οὐδὲν ἀδικῶν οὐδ' ἐπικίνδυνον ἐμαυτῷ καταστήσας τὸν βίον· ταῦτα δὲ πράξας, ἃ οὗτός μου κατηγορεῖ, ἐκέρδαινον μὲν οὐδέν, ἐμαυτὸν δ' εἰς κίνδυνον καθίστην. (33) Καίτοι πάντες ἂν ὁμολογήσαιτε δικαιότερον εἶναι τοῖς μεγάλοις χρῆσθαι τεκμηρίοις περὶ τῶν μεγάλων, καὶ πιστότερα ἡγεῖσθαι περὶ ὧν ἅπασα ἡ πόλις μαρτυρεῖ, μᾶλλον ἢ περὶ ὧν μόνος οὗτος κατηγορεῖ.

34. Ἔτι τοίνυν, ὦ βουλή, ἐκ τῶν ἄλλων σκέψασθε. Μάρτυρας γὰρ ἔχων αὐτῷ προσῆλθον, λέγων ὅτι μοι πάντες εἰσὶν οἱ θεράποντες, οὓς ἐκεκτήμην ἐπειδὴ παρέλαβον τὸ χωρίον, καὶ ἕτοιμος εἴην, εἴ τινα βούλοιτο, παραδοῦναι βασανίζειν, ἡγούμενος οὕτως ἂν τὸν ἔλεγχον ἰσχυρότερον γενέσθαι τῶν τούτου λόγων καὶ τῶν ἔργων τῶν ἐμῶν. (35) Οὗτος δ' οὐχ ἤθελεν, οὐδὲν φάσκων πιστὸν εἶναι τοῖς θεράπουσιν. Ἐμοὶ δὲ δοκεῖ εἶναι, εἰ περὶ αὑτῶν μὲν οἱ βασανιζόμενοι κατηγοροῦσιν, εὖ εἰδότες ὅτι ἀποθανοῦνται· περὶ δὲ τῶν δεσποτῶν, οἷς πεφύκασι κακονούστατοι, μᾶλλον ἂν ἕλοιντο ἀνέχεσθαι βασανιζόμενοι ἢ κατειπόντες ἀπηλλάχθαι τῶν παρόντων κακῶν; (36) Καὶ μὲν δή, ὦ βουλή, φανερὸν οἶμαι εἶναι ὅτι, εἰ Νικομάχου ἐξαιτοῦντος τοὺς ἀνθρώπους μὴ παρεδίδουν, ἐδόκουν ἂν ἐμαυτῷ ξυνειδέναι· ἐπειδὴ τοίνυν ἐμοῦ παραδιδόντος οὗτος παραλαβεῖν οὐκ ἤθελε, δίκαιον καὶ περὶ τούτου τὴν αὐτὴν γνώμην σχεῖν, ἄλλως τε καὶ τοῦ κινδύνου οὐκ ἴσου ἀμφοτέροις ὄντος. (37) Περὶ ἐμοῦ μὲν γὰρ εἰ ἔλεγον, οὐδ' ἂν ἀπολογήσασθαί μοι ἐξεγένετο· τούτῳ δ' εἰ μὴ ὡμολόγουν ἃ οὗτος ἐβούλετο, οὐδεμιᾷ ζημίᾳ ἔνοχος ἦν· ὥστε πολὺ μᾶλλον τοῦτον παραλαμβάνειν ἐχρῆν ἢ ἐμὲ παραδοῦναι προσῆκεν. Ἐγὼ τοίνυν εἰς τοῦτο προθυμίας ἀφικόμην, ἡγούμενος πρὸς ἐμοῦ εἶναι καὶ ἐκ βασάνων καὶ ἐκ μαρτύρων καὶ ἐκ τεκμηρίων ὑμᾶς περὶ τοῦ πράγματος τἀληθῆ πυθέσθαι. (38) Ἐνθυμεῖσθαι δὲ χρή, ὦ βουλή, ποτέροις χρὴ πιστεύειν μᾶλλον, οἷς πολλοὶ μεμαρτυρήκασιν ἢ ᾧ μηδεὶς τετόλμηκε, καὶ πότερον εἰκὸς μᾶλλον τοῦτον ἀκινδύνως ψεύδεσθαι ἢ μετὰ τοσούτου κινδύνου τοιοῦτον ἐμὲ ἔργον ἐργάσασθαι, καὶ πότερον οἴεσθε αὐτὸν ὑπὲρ τῆς πόλεως βοηθεῖν ἢ συκοφαντοῦντα αἰτιάσασθαι; (39) Ἐγὼ μὲν ὑμᾶς ἡγοῦμαι νομίζειν ὅτι Νικόμαχος ὑπὸ τῶν ἐχθρῶν πεισθεὶς τῶν ἐμῶν τοῦτον τὸν ἀγῶνα ἀγωνίζεται, οὐχ ὡς ἀδικοῦντα ἐλπίζων ἀποδείξειν, ἀλλ' ὡς ἀργύριον παρ' ἐμοῦ λήψεσθαι προσδοκῶν· ὅσῳ γὰρ [οἱ] τοιοῦτοί εἰσιν ἐπαιτιώτατοι καὶ ἀπορώτατοι τῶν κινδύνων, τοσούτῳ πάντες αὐτοὺς φεύγουσι μάλιστα. (40) Ἐγὼ δέ, ὦ βουλή, οὐκ ἠξίουν, ἀλλ' ἐπειδήπερ με ᾐτιάσατο, παρέσχον ἐμαυτὸν ὅ τι βούλεσθε χρῆσθαι, καὶ τούτου ἕνεκα τοῦ κινδύνου οὐδενὶ ἐγὼ τῶν ἐχθρῶν διηλλάγην, οἳ ἐμὲ ἥδιον κακῶς λέγουσιν ἢ σφᾶς αὐτοὺς ἐπαινοῦσι, καὶ φανερῶς μὲν οὐδεὶς πώποτε ἐμὲ αὐτῶν ἐπεχείρησε ποιῆσαι κακὸν οὐδέν, τοιούτους δὲ ἐπιπέμπουσί μοι, οἷς ὑμεῖς οὐκ ἂν δικαίως πιστεύοιτε. (41) Πάντων γὰρ ἂν ἀθλιώ-

unus magnificentia me superet. (32) Atqui si hæc non tanta alacritate, sed mediocriter tantum fecissem, neque de patria tamen, neque de fortunis meis venissem in periculum : at plura possiderem nulla in quemque facta injuria, neque salute mea in discrimen adducta. Verum si hæc patrassem quorum iste me incusat, nullo inde quæstu comparato, me ipsum in discrimen capitis conjecissem. (33) At enim vos omnes fatebimini rectius esse in rebus magni momenti magnis uti argumentis, atque ea majori fide digna existimare quæ testatur universa civitas quam quæ iste unus criminatur.

34. Jam vero, senatores, et reliqua spectate. Ad hominem enim accessi cum testibus; et significavi mihi præsto adesse omnes famulos quos habui quando agellum ego mercatus sum, meque paratum esse quemcumque vellet ad quæstionem tradere : quippe existimabam validiorem inde probationem exorturam quum eorum quæ ille dixit tum eorum quæ ego feci. (35) Ille noluit, affirmans nullam fidem servis habendam esse. At mihi sane *mirum* videtur, qui ob sua delicta torti confitentur rem, quum certo sibi moriendum sciant, eos in dominorum suorum causa, contra quos inimicissimum animum gerunt, cruciatus sufferre malle quam vera confitentes a præsentibus malis liberari. (36) Atqui, senatores, id constare arbitror, si, Nicomacho servos postulante, ego non tradidissem, me visurum fuisse mihimet male conscium. Quum igitur, me tradente servos, iste noluerit accipere, par est ut idem de isto quoque judicetur; præsertim quum nostrûm utrique non simile futurum sit periculum. (37) Nam si illi me accusassent, mihi nullus defensioni locus esset relictus; ad istum vero, quamvis illi non confessi essent quæ volebat, nihil inde damni perveniret. Eum itaque multo magis oportebat accipere servos quam me tradere. Ceterum in hoc ita me alacrem præstiti, existimans mea interesse ut vos ex tormentis, testibus atque argumentis, quid sit in re verum, perspiciatis. (38) Considerate autem, senatores, utri potius fides habenda sit, eine cui multi testimonium perhibuere, an ei cui nullus perhibere ausus est; et utrum verisimilius sit istum mentiri citra periculum, an me tale opus tanto cum periculo conjunctum perpetrasse; et utrum existimetis istum causam civitatis suscepisse, an accusando calumniatorem agere. (39) Equidem vos scire arbitror Nicomachum a meis inimicis persuasum in hanc contentionem venisse, non quod speraverit me delicti alicujus arguere, sed quod pecuniam aliquam a me auferre exspectaverit. Hujuscemodi enim lites quanto majorem criminandi licentiam et defendendi difficultatem secum ferant, tanto magis eas declinare omnes cupiunt. (40) Ego tamen declinare nolui; at postquam iste mihi diem dixit, me ipsum vobis in manus tradidi, ut quodcumque vobis visum fuerit, statuatis. Neque hujus discriminis causa cum quolibet inimicorum in gratiam redii, qui in vituperium meum quam in suas ipsorum laudes effusiores sunt. Istorum me nemo palam aggredi ausus est, sed tales in me immittunt,

τατος γενοίμην, εἰ φυγὰς ἀδίκως καταστήσομαι, ἄπαις μὲν ὢν καὶ μόνος, ἐρήμου δὲ τοῦ οἴκου γενομένου, μη-
112τρὸς δὲ πάντων ἐνδεοῦς, πατρίδος δὲ τοιαύτης ἐπ' αἰσχίσταις στερηθεὶς αἰτίαις, πολλὰς μὲν ναυμαχίας ὑπὲρ αὐτῆς νεναυμαχηκώς, πολλὰς δὲ μάχας μεμαχημένος, κόσμιον δ' ἐμαυτὸν καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ παρασχών.

42. Ἀλλὰ γάρ, ὦ βουλή, ταῦτα μὲν ἐνθάδε οὐκ οἶδ' ὅ τι δεῖ λέγειν· ἀπέδειξα δ' ὑμῖν ὡς οὐκ ἐνῆν σηκὸς ἐν τῷ χωρίῳ, καὶ μάρτυρας παρεσχόμην καὶ τεκμήρια· ἃ χρὴ μεμνημένους διαγιγνώσκειν περὶ τοῦ πράγματος, καὶ ἀξιοῦν παρὰ τούτου πυθέσθαι ὅτου ἕνεκα, ἐξὸν ἐπ' αὐτοφώρῳ ἐλέγξαι, τοσούτῳ χρόνῳ ὕστερον εἰς τοσοῦτόν με κατέστησεν ἀγῶνα, (43) καὶ μάρτυρα οὐδένα παρασχόμενος ἐκ τῶν λόγων ζητεῖ πιστὸς γενέσθαι, ἐξὸν αὐτοῖς τοῖς ἔργοις ἀδικοῦντα ἀποδεῖξαι, καὶ ἐμοῦ ἅπαντας διδόντος τοὺς θεράποντας, οὕς φησι παραγενέσθαι, παραλαβεῖν οὐκ ἤθελεν.

quibus vos fidem jure non habueritis. (41) Omnium enim fierem miserrimus, si per injuriam in exilium agar, solus ego, sine liberis, domo deserta, matre omnium rerum inopi, et tali patria ob turpissimas criminationes orbatus; qui pro ea sæpe pugnas tum navales tum terrestres sustinui, meque moderate gessi et in democratia et in oligarchia.

42. Verum, senatores, nescio cur oporteat hic in talia excurrere. Vobis demonstravi non fuisse truncum oleæ sacræ in agro meo; testes produxi et argumenta. Quæ vos in animo reputantes, oportet de hac causa decernere, et ab isto sciscitari, quare, quum ipsi licuerit me in ipso flagitio deprehendere, maluerit me non nisi post tantum temporis intervallum in hujusmodi discrimen conjicere; (43) quare, nullo teste adducto, postulet suis duntaxat verbis fidem haberi, quum reum ex rebus ipsis convincere potuerit; quare, quum ego omnes servos tradere voluerim quos ipse dicit adfuisse, ipse tamen noluerit accipere.

VIII.

ΚΑΤΗΓΟΡΙΑ

ΠΡΟΣ ΤΟΥΣ ΣΥΝΟΥΣΙΑΣΤΑΣ ΚΑΚΟΛΟΓΙΩΝ.

Ἐπιτήδειόν μοι δοκῶ καιρὸν εἰληφέναι περὶ ὧν εἰπεῖν ἐβουλόμην πάλαι· πάρεισι μὲν γὰρ οἷς ἐγκαλῶ, πάρεισι δὲ ὧν ἐναντίον ἐπιθυμῶ μέμψασθαι τοῖς ἀδικοῦσιν ἐμέ. Καίτοι πολλῷ πλείων ἐστὶ σπουδὴ πρὸς τοὺς παρόντας· τοὺς μὲν γὰρ οὐδὲν οἶμαι τιμήσειν, εἰ τοῖς ἀνεπιτηδείοις ἀνεπιτήδειοι δόξουσιν εἶναι (τὴν γὰρ ἀρχὴν οὐδ' ἂν ἐπεχείρουν ἐξαμαρτάνειν εἰς ἐμέ), (2) τοῖς δὲ βουλοίμην ἂν δόξαι μηδὲν ἀδικῶν τούτους ὑπὸ τούτων ἀδικεῖσθαι πρότερον. Ἀνιαρὸν μὲν οὖν ἀναγκάζεσθαι λέγειν περὶ τούτων, ἀδύνατον δὲ μὴ λέγειν, ὅταν ἐναντίον τῆς ἐλπίδος κακῶς πάσχω καὶ τοὺς δοκοῦντας εἶναι φίλους ἀδικοῦντας εὑρίσκω.

3. Πρῶτον μὲν οὖν, ἵνα μή τις ὑμῶν τάχα δὴ βοηθῶν οἷς ἐξημάρτηκε πρόφασιν πορίσηται τῆς ἁμαρτίας, εἰπάτω οὖν τίς ὑμῶν ὑπ' ἐμοῦ κακῶς ἀκήκοεν ἢ πέπονθεν, ἢ τίς ἐμοῦ δεηθεὶς οὐκ ἔτυχεν ὧν ἐγώ τε δυνατὸς ἦν κἀκεῖνος ἐπήγγειλε. Τί δῆτά με κακῶς τὰ μὲν λέγειν, τὰ δὲ ποιεῖν ἐπιχειρεῖτε, καὶ ταῦτα πρὸς τούτους ἡμᾶς διαβάλλειν, οὓς πρὸς ἡμᾶς αὐτοὺς διεβάλλετε; (4) Καίτοι οὕτως ἐνοχλεῖ, ὥστε περὶ πλείονος ἐποιήσατο δοκεῖν ἐμοῦ κήδεσθαι, καὶ μᾶλλον ἐμοῦ κατειπεῖν. Ἃ δ' ἔλεγε, πάντα μὲν οὐκ ἂν εἴποιμι· καὶ γὰρ ἀκούων ἠχθόμην, οὐδ' ἂν ὑμῖν ἐπικαλῶν, ὅτι ἐλέγετε κατ' ἐμοῦ ταῦτα, λέξαιμι· καὶ γὰρ ἂν ἀπολύοιμι τῆς αἰτίας ὑμᾶς, εἴπερ ὑμῖν ταὐτὰ λέγοιμι περὶ ἐμαυτοῦ· (5) ἃ δὲ ὑβρίζειν οἰόμενοι ἐμὲ καταγελάστους ὑμᾶς αὐτοὺς ἐποιεῖτε, ταῦτα λέξω. Βίᾳ γὰρ ὑμῖν ἐφάσκετέ με ξυνεῖναι καὶ διαλέγεσθαι, καὶ πάντα ποιοῦντες οὐκ ἔχειν ὅπως ἀπαλλαγῆτέ μου, καὶ τὸ τελευταῖον ἀκόντων ὑμῶν Ἐλευσίνᾳδε ξυνθεω-

VIII.

ACCUSATIO

OBTRECTATIONIS ADVERSUS FAMILIARES.

Opportunum tempus mihi nactus videor ad ea dicenda quæ olim volui. *Absunt* quidem quos accuso, adsunt vero ii coram quibus eos cupio reprehendere qui me injuria afficiunt: atqui multo mihi major est ad præsentes contentio. Nam istos quidem absentes nihil curaturos existimo, si cum *amicis* amice parum egisse videbuntur (alias enim in me peccasse omnino non sustinuissent); (2) his autem videri vellem ab istis non provocatis priorem injuriam accepisse. Molestum est profecto detrudi ad necessitatem de talibus loquendi; sed non potest fieri ut taceam, quum præter spem male exceptus, et ab iis qui amicos se profitebantur, indigne sim tractatus.

3. Primum igitur ne vestrûm aliquis in peccatorum defensionem excusationem aliquam proferre satagat, dicat nunc quis unquam vestrûm vel verbis vel re a me læsus sit; vel quis a me quidquam rogarit et non impetrarit, quod ego præstare potuerim et ille flagitasset. Cur itaque me tum verbis tum factis lacerare contenditis, atque adeo me criminari apud eos, quos apud me ipsum estis criminati? (4) Ceterum ille qui vestros ad me sermones retulit, ita locutus est, ut pluris fecerit mei curam gerere quam alios apud me proscindere. Quæ vero dixit, omnia non recensebo; siquidem audivi dolens. Neque ego qui conqueror quod adversus me dixeritis, eadem dicam: vos enim omni culpa absolvero, si de vobis dixero eadem quæ vos de me dixistis. (5) Quæ autem in meam, ut speratis, contumeliam, in vestrum re ipsa ludibrium, protulistis, ea narrabo. Dixistis enim me vobis invitis vobiscum conversari et colloqui, vosque nullo consilio potuisse meam familiaritatem effugere, ac nuperrime vobis minime lubentibus una profectum esse me Eleu-

ρεῖν. Καὶ ταῦτα λέγοντες οἴεσθε μὲν ἐμὲ κακολογεῖν, ἀποφαίνετε δὲ σκαιοτάτους ἑαυτούς, οἵτινες μὲν ὑπὸ τὸν αὐτὸν χρόνον τὸν αὐτὸν ἄνδρα λάθρα μὲν ἐλοιδορεῖτε, φανερῶς δὲ φίλον ἐνομίζετε. (6) Χρῆν γὰρ ὑμᾶς ἢ μὴ κακῶς λέγειν ἢ μὴ ξυνεῖναι, καὶ ταῦτα φανερῶς ἀπειπόντας ὁμιλίαν. Εἰ δὲ αἰσχρὸν ἡγεῖσθε τοῦτο, πῶς αἰσχρὸν ἦν ὑμῖν ξυνεῖναι, πρὸς ὃν οὐδὲ ἀπειπεῖν καλὸν ἡγεῖσθε; (7) Καὶ μὴν οὐδὲν αὐτὸς ἐξεῦρον ὁπόθεν ἂν εἰκότως ὑπερείδετε τὴν ἐμὴν ὁμιλίαν· οὔτε γὰρ ὑμᾶς σοφωτάτους ἑώρων ὄντας, ἐμαυτὸν δ' ἀμαθέστατον, οὐ μὴν οὐδὲ πολυφίλους ὑμᾶς, ἐμαυτὸν δ' ἔρημον φίλων, οὐδ' αὖ πλουτοῦντας, ἐμὲ δὲ πενόμενον, οὐδ' αὖ ὑμᾶς μὲν ὑπερευδοκιμοῦντας, ἐμαυτὸν δὲ διαβεβλημένον, οὐδὲ τὰ μὲν ἐμὰ πράγματα κινδυνεύοντα, τὰ δ' ὑμέ-
113 τερα ἀσφαλῶς ἔχοντα. Πόθεν ἂν οὖν εἰκότως ὑπώπτευον ἄχθεσθαί μοι συνόντι; (8) Καὶ ταῦτα δ', ὅτι πρὸς τοὺς τελευταίους ἔλεγεν, οὓς ᾤεσθε ἀπαγγελεῖν ἡμῖν· κἀνταῦθα σόφισμα καλὸν εἶναι, εἰ περιήλθετε πάντες ὑμῶν αὐτῶν κατηγοροῦντες ὅτι πονηροῖς ἑκόντες ὁμιλεῖτε. Περὶ μὲν οὖν τοῦ λέγοντος οὐδὲν ἂν περαίνοιτε πυνθανόμενοι· πρῶτον μὲν γὰρ εἰδότες ἐρήσεσθε τὸν εἰπόντα μοι· πῶς γὰρ οὐκ ἴστε πρὸς ὃν ἐλέγετε τὸν λόγον; (9) ἔπειτα κακὸς ἂν εἴην, εἰ ταὐτὰ ποιήσαιμι αὐτὸν ἅπερ ἐκεῖνος ὑμᾶς. Οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἐκεῖνος ἡμῖν ἀπήγγελλεν, ἐφ' οἷσπερ ὑμεῖς ἐλέγετε πρὸς ἐκεῖνον. Ἐκεῖνος μὲν γὰρ ἐμοὶ χαριζόμενος ἀπήγγειλε τοῖς ἐμοῖς ἀναγκαίοις, ὑμεῖς δὲ βλάπτειν ἐμὲ βουλόμενοι πρὸς ἐκεῖνον ἐλέγετε. Καὶ ταῦτα εἰ μὲν ἠπίστουν, ἐξελέγχειν ἂν ἐζήτουν· νῦν δέ· ξυμβαίνει γὰρ καὶ ταῦτα τοῖς πρὸ τοῦ, καὶ ἐμοὶ σημεῖα ταῦτα μὲν ἐκείνων ἐστίν, ἐκεῖνα δὲ τούτων ἱκανά. (10) Πρῶτον μὲν ἅπαντα δι' ὑμῶν πράξαντά με περὶ τῆς θέσεως τοῦ ἵππου. Προσῆγε μαχόμενον κάμνοντα τὸν ἵππον. Ἀνάγειν με βουλόμενον Διόδωρος οὗτος ἀποτρέπειν ἐπειρᾶτο, φάσκων οὐδὲν ἀντιλέξειν περὶ τῶν δώδεκα μνῶν Πολυκλέα, ἀλλ' ἀποδώσειν. Τότε λέγων ταῦτα, μετὰ τὸν θάνατον τοῦ ἵππου κατέστη τελευτῶν ἀντίδικος μετὰ τούτων, λέγων ὡς οὐ δίκαιόν με εἴη κομίσασθαι τὸ ἀργύριον. (11) Καίτοιγε σφῶν γε αὐτῶν κατηγόρουν. Εἰ γὰρ ἃ μετὰ τούτων ἀδικουμένῳ μοι μηδὲν ἦν δίκαιον εἰπεῖν, ἦπου καλῶς συνέπραττον. Καὶ ἐγὼ μὲν ᾤμην φιλοσοφοῦντας αὐτοὺς περὶ τοῦ πράγματος ἀντιλέγειν τὸν ἐναντίον λόγον· οἱ δ' ἄρα οὐκ ἀντέλεγον, ἀλλ' ἀντέπραττον· (12) καὶ διὰ τοῦτο ἀντέπραττον, ἵνα τὸν ἐμὸν λόγον εἰδείη Πολυκλῆς· ἐδηλώθη γὰρ ταῦτα. Παρόντων τῶν διαιτητῶν ὀργιζόμενος ὁ Πολυκλῆς εἶπεν ὅτι καὶ τοῖς ἐμοῖς ἐπιτηδείοις ἀδικεῖν δοκοίην, ὡς πρὸς ἐκεῖνον λέγοιεν. Ἆρά γε καὶ ταῦτα ξυμβαίνει τοῖς ἀπαγγελλομένοις; ὁ γὰρ αὐτὸς ἀπήγγειλεν ὡς τοὺς ὑπὲρ ἐμοῦ μέλλοντας λέγειν ἀποτρέψειν φάσκοιτε, τοὺς δέ τινας ἤδη κωλύσαιτε. (13) Καὶ ταῦτα τί με δεῖ φανερώτερον ἐξελέγχειν; φέρε γὰρ ᾔδει πότ' ἐκεῖνος ὅτι Κλειτοδίκου δεηθεὶς ἐπιλέγειν οὐκ ἔτυχον; οὐ γὰρ δὴ παρῆν τούτοις· ἐπεὶ κέρδος ἦν αὐτῷ διαβάλλειν ἐμὲ πρὸς ὑμᾶς οὕτω προθύμως, ὥστε σπου-

sinem ad mysteria. Istis porro sermonibus existimatis vos me calumniari, vestram vero ostenditis stultitiam, qui eodem tempore eidem homini maledicitis clanculum, quem palam pro amico habetis. (6) Vos enim oportuit aut male loqui desinere, aut una conversari, atque adeo familiaritatem omnem aperte renunciare. Quodsi hoc turpe ducebatis, qui turpe erat vobis cum eo conversari cujus amicitiam repudiare inhonestum esse arbitrabamini? (7) At enim nihil ego deprehendi apud me unde meam consuetudinem despiceretis. Non enim vos videbam esse doctissimos, me indoctissimum; non vos amicitiis pollentes, me omni amicitia destitutum; non vos divitiis abundantes, me inopia pressum; non vos summo in honore habitos, me mala fama laborantem; non videbam denique meas res esse in ancipiti, vestras in tuto. Unde igitur suspicari potui meam familiaritatem vobis fuisse gravem? (8) Hæc autem ille mihi aiebat vos dixisse ad familiares (ἐπιτηδείους), quos *non* existimabatis rem mihi renunciaturos esse; illudque putastis summæ fore astutiæ, quod huc illuc obambularetis, vosmetipsos accusantes consuetudinis cum viris improbis voluntario habitæ. Neque de eo qui sermones vestros ad me retulit, quidquam percontando efficietis. Primum enim vos qui dixistis cognoscetis utique eum qui mihi dixerit. Nam quomodo non noveritis eum cum quo fuistis collocuti? (9) Deinde essem perfidus, si cum illo ita agerem ut ille vobiscum egit. Quippe non eodem ille animo nobis renuntiavit quo vos illi narrastis. Ille, ut mihi rem gratam faceret, renuntiavit meis necessariis: vos me lædendi studio hæc illi dixistis. Quibus si non fidem adhiberem, inquirere et explorare satagerem; at nihil jam attinebat; haud diffidebam. Siquidem præsentia cum præteritis mire congruunt, mihique hæc illorum, sicut illa horum, idonea sunt argumenta. (10) Ac primo omnia me agentem vobis auctoribus de equi oppigneratione, vos decepistis. Adducebat equum pugnando defessum. Quem quum reducere vellem, Diodorus id mihi dissuadere conabatur, asserens Polyclem nihil contradicturum de duodecim minis, sed eas mihi redditurum. Et qui hæc tunc dicebat, post mortem equi ab adversariorum meorum partibus stare non dubitavit, affirmans non æquum esse me recipere pecuniam. (11) Atqui ipsos ego haud immerito incusarem. Nam si mihi ab adversariis meis læso nihil æqui dicendum fuisset, profecto jure communem contra me causam faciebant. Equidem arbitrabar eos more philosophorum de hoc meo negotio mihi contradicturos esse; at scilicet non dicebant tantum, sed etiam agebant, (12) et ideo agebant, ut exhibendas a me rationes Polycles cognosceret. Patefacta enim hæc sunt. Coram arbitris enim stomachans Polycles dixit me vel amicis meis videri injurium, eosque hoc sibi dixisse. Num etiam sequentia congruunt cum jam renuntiatis? Idem nimirum ille vir renuntiabat quod nonnullis meam causam acturis diceretis vos esse dissuasuros, nonnullosque jam prohibueritis ne agerent. (13) Quid hæc manifestius adhuc arguere oportet? Age enim, quando norat ille quod a Clitodico quem rogassem ut pro me diceret, repulsam tulerim? Non enim hisce intererat: an lucrum ei afferebant hæc ad-

δάσαι πρὸς τοὺς ἐμοὺς ἀναγκαίους πλάσασθαι ταῦτα; (14) Γινώσκω δὲ νῦν ἤδη καὶ πάλαι ζητοῦντας πρόφασιν, ἡνίκα Θρασύμαχον ὑμᾶς ἐφάσκετε κακῶς λέγειν δι' ἐμέ. Καὶ ἐγὼ μὲν ἠρώτων αὐτὸν εἰ δι' ἐμὲ κακῶς λέγοι Διόδωρον· ὁ δὲ τοσοῦτον ὑπερεῖδε τὸ δι' ἐμέ· πολλοῦ γὰρ δεῖν ἔφη δι' ὀντινοῦν εἰρηκέναι Διόδωρον κακῶς. Καὶ ταῦτα προσάγοντος ἐμοῦ πρόθυμος ὁ Θρασύμαχος ἦν ἐξελέγχεσθαι, περὶ ὧν οὗτος ἔλεγεν· οὗτος δὲ πάντα μᾶλλον διεπράττετο. (15) Μετὰ τοῦτο Αὐτοκράτης ἐμοῦ παρόντος Θρασυμάχῳ ἔλεγεν Εὐρυπτόλεμον αὐτῷ μέμφεσθαι, φάσκοντα κακῶς ἀκούειν ὑπ' αὐτοῦ· τὸν ἀπαγγέλλοντα δὲ εἶναι Μηνόφιλον. Εὐθὺς δ' ἐκεῖνος ἐπὶ τὸν Μηνόφιλον ἐβάδιζε μετ' ἐμοῦ· κἀκεῖνος οὔτε ἀκοῦσαι πώποτε ἔφασκεν οὔτε ἀπαγγεῖλαι πρὸς Εὐρυπτόλεμον, καὶ οὐ ταῦτα μόνον, ἀλλ' οὐδὲ διειλέχθαι πολλοῦ χρόνου. (16) Τοιαύτας προφάσεις προφασιζόμενοι τότε μὲν ἐκ τῆς ἐμῆς καὶ Θρασυμάχου συνουσίας ἐστὲ φανεροί, νῦν δὲ ἐπειδὴ ἐκλελοίπασιν ὑμᾶς αἱ προφάσεις, ἐλευθεριώτερόν με κακῶσαι λείπετε οὐδέν. Χρῆν μὲν οὖν τότε με γινώσκειν ὀφειλόμενόν μοι ταῦτα παθεῖν, ὅτε καὶ πρὸς ἐμὲ περὶ ὑμῶν αὐτῶν ἐλέγετε κακῶς· ἔπειτα καὶ περὶ Πολυκλέους, ᾧ νυνὶ βοηθεῖτε πάντες, εἴρηκα πρὸς ὑμᾶς. (17) Κατὰ τί δή ποτε ταῦτα οὐχ ἐφυλαττόμην; Εὐηθές τι ἔπαθον· ᾤμην γὰρ ἀπόθετος ὑμῖν εἶναι φίλος τοῦ μηδὲν ἀκοῦσαι κακὸν δι' αὐτὸ τοῦτο, διότι πρὸς ἐμὲ τοὺς ἄλλους ἐλέγετε, παρακαταθήκην ἔχων ὑμῶν
114 παρ' ἑκάστου λόγους πονηροὺς περὶ ἀλλήλων.

18. Ἐγὼ τοίνυν ἑκὼν ὑμῖν ἐξίσταμαι τῆς φιλίας, ἐπεί τοι μὰ τοὺς θεοὺς οὐκ οἶδ' ὅ τι ζημιωθήσομαι μὴ ξυνὼν ὑμῖν· οὐδὲ γὰρ ὠφελούμην ξυνών. Πότερον γάρ, ὅταν ᾖ τί μοι πρᾶγμα, τότε ποθέσομαι τὸν ἐροῦντα καὶ τοὺς μαρτυρήσοντας; Καὶ νῦν ἀντὶ μὲν τοῦ λέγειν ὑπὲρ ἐμοῦ τὸν λέγοντα πειρᾶσθε κωλύειν, ἀντὶ δὲ τοῦ βοηθεῖν ἐμοὶ καὶ μαρτυρεῖν τὰ δίκαια ξύνεστε τοῖς ἐμοῖς ἀντιδίκοις καὶ μαρτυρεῖτε. (19) Ἀλλ' ὡς εὔνοι ὄντες ἐμοὶ τὰ βέλτιστα ἐρεῖτε περὶ ἐμοῦ; ἀλλὰ καὶ νῦν ὑμεῖς με μόνον κακῶς λέγετε. Τὸ μὲν οὖν ἐμὸν οὐκ ἐμποδὼν ὑμῖν ἔσται. Τοιοῦτον γὰρ πρὸς ὑμᾶς αὐτοὺς πείσεσθε, ἐπειδή περ ὑμῖν ἔθος ἐστὶν ἕνα τῶν ξυνόντων ἀεὶ κακῶς λέγειν καὶ ποιεῖν· ἐπειδὰν ὑμῖν ἐγὼ μὴ ξυνῶ, πρὸς ὑμᾶς αὐτοὺς τρέψεσθε, κἄπειτα καθ' ἕνα ἕκαστον ὑμῖν αὐτοῖς ἀπεχθήσεσθε, τὸ δὲ τελευταῖον ὁ εἷς ὁ λειπόμενος αὐτὸς αὑτὸν κακῶς ἐρεῖ. (20) Κερδανῶ δὲ τοσοῦτον, ὅτι πρῶτον μὲν ὑμῶν ἀπαλλαγεὶς ἐλάχιστα κακῶς ὑφ' ὑμῶν πείσομαι· τοὺς μὲν γὰρ χρωμένους ὑμῖν κακῶς καὶ λέγετε καὶ ποιεῖτε, τῶν δὲ μὴ χρωμένων οὐδένα πώποτε.

versus vos mei prompta calumnia, adeo ut ad necessarios meos hæc fingere studeret? (14) Jam nunc demum intelligo vos olim occasionem quæsivisse, quum dixistis Thrasymachum mei gratia vobis maledicere. Quem ego interrogavi si mei gratia Diodoro malediceret. Ille vero istud, *mei gratia*, multum exsibilavit; Longe enim abest, inquit, ut ego Diodoro alicujus omnino gratia maledixerim. Atque etiam, ad Diodorum me adducente Thrasymachum, hic præsto erat ut convinceretur de sermone quem habuit. Diodorus autem quidvis potius faciebat. (15) Post hæc Autocrates, me præsente, dixit Thrasymacho Euryptolemum de ipso queri, ac dicere se ab ipso impeti maledictis; ea sibi renuntiasse Menophilum. Thrasymachus statim me comitante ad Menophilum pergebat. Qui nunquam hæc aut audisse confirmavit, aut Euryptolemo renuntiasse; neque hæc solum, sed cum illo per diutinum tempus ne verba quidem fecisse. (16) Hujusmodi occasiones ex mea cum Thrasymacho familiaritate vos aucupatos esse constat. Jam vero, quum deficiant prætextus, me aperte lacessitis, et nihil dissimulatis. Oportuit igitur me tunc olim sensisse, hæc me a vobis debere pati, quando coram me maledictis vosmetipsos impeteretis. Etiam de Polycle, cui nunc omnes opitulamini, vos docui. (17) Quid igitur ista non cavi? Ego simplicissimus existimabam me vobis amicum esse quasi sacrosanctum, ita ut male nunquam a vobis essem auditurus ob hanc ipsam causam quod coram me de aliis malediceretis, et hoc quasi pignus habere ab unoquoque vestrûm, malos de vobis invicem sermones.

18. Quapropter amicitiæ vestræ ultro egomet renuntio. Quandoquidem, per deos, haud novi quæ mihi futura sit incommoditas familiaritate vestra carere, qui nullam commoditatem nactus sum quando ea utebar. Utrumne, quum mihi forense negotium inciderit, tunc oratorem et testes desiderabo? Atqui nunc adeo pro me non dicitis, ut etiam dicere volentem studeatis prohibere; adeo non mihi auxilium et testimonium præstatis secundum jus, ut et meis adversariis jungamini et pro ipsis testificemini. (19) Anne ut benevolentes mihi de me dicetis optima? at jam nunc me solum obtrectationibus lacessitis. Equidem sorti non intercedam quæcumque vos manet, vobisque prædico quales futuri sitis erga vosmetipsos. Quoniam vobis usuvenit ut ex familiaribus aliquem et dictis et factis aggredi nunquam desinatis, posteaquam vestra familiaritate non utar, in vosmetipsos conversi cum vobismetipsis singulatim exercebitis inimicitias: ac tandem qui unus relictus erit, se ipsum maledictis lacerabit. (20) Illud interea mihi lucro apponam, quod primus a vobis sejunctus, minimum mali a vobis feram. Nam eos omnes qui vobis utuntur familiariter, re et sermone male tractatis, eorum qui non utuntur, neminem.

IX.

ΥΠΕΡ ΤΟΥ ΣΤΡΑΤΙΩΤΟΥ.

Τί ποτε διανοηθέντες οἱ ἀντίδικοι τοῦ μὲν πράγματος παρημελήκασι, τὸν δὲ τρόπον μου ἐπεχείρησαν διαβάλλειν; πότερον ἀγνοοῦντες ὅτι περὶ τοῦ πράγματος προσήκει λέγειν; ἢ τόδε μὲν ἐπίστανται, ἡγούμενοι δὲ λήσειν περὶ παντὸς πλείω λόγον ἢ τοῦ προσήκοντος ποιοῦνται; (2) Ὅτι μὲν οὖν οὐκ ἐμοῦ καταφρονήσαντες, ἀλλὰ τοῦ πράγματος, τοὺς λόγους ποιοῦνται, σαφῶς ἐπίσταμαι· εἰ μέντοι ὑμᾶς οἴονται δι' εὔνοιαν ὑπὸ τῶν διαβολῶν πεισθέντας καταψηφιεῖσθαί μου, οὐκ ἂν θαυμάσαιμι. (3) Ὤμην μὲν οὖν, ὦ ἄνδρες δικασταί, περὶ τοῦ ἐγκλήματος, οὐ περὶ τοῦ τρόπου τὸν ἀγῶνά μοι προκεῖσθαι· διαβαλλόντων δέ με τῶν ἀντιδίκων ἀναγκαῖόν ἐστι περὶ πάντων [τὴν] ἀπολογίαν ποιήσασθαι. Πρῶτον μὲν οὖν περὶ τῆς ἀπογραφῆς ὑμᾶς διδάξω.

4. Ἀφικόμενος προπέρυσιν εἰς τὴν πόλιν, οὔπω δύο μῆνας ἐπιδεδημηκὼς κατελέγην στρατιώτης. Αἰσθόμενος δὲ τὸ πραχθὲν ὑπετοπούμην εὐθέως ἐπὶ μηδενὶ ὑγιεῖ κατειλέχθαι. Προσελθὼν οὖν τῷ στρατηγῷ ἐδήλωσα ὅτι ἐστρατευμένος εἴην, ἔτυχον δὲ οὐδενὸς τῶν μετρίων· προπηλακιζόμενος δὲ ἠγανάκτουν μέν, ἡσυχίαν δ' εἶχον. (5) Ἀπορούμενος δὲ καὶ συμβουλευόμενός τινι τῶν πολιτῶν τί χρήσωμαι τῷ πράγματι, ἐπυθόμην ὡς καὶ δήσειν με ἀπειλοῖεν, λέγοντες ὅτι οὐδὲν ἔλαττω χρόνον Καλλικράτους Πολύαινος ἐνδημοίη. Κἀμοὶ μὲν τὰ προειρημένα διείλεκτο ἐπὶ τῇ Φιλίου τραπέζῃ· (6) οἱ δὲ μετὰ Κτησικλέους τοῦ ἄρχοντος, ἀπαγγείλαντός τινος ὡς ἐγὼ λοιδοροίμι, τοῦ νόμου ἀπαγορεύοντος ἐάν τις ἀρχὴν ἐν συνεδρίῳ λοιδορῇ, παρὰ τὸν νόμον ζημιῶσαι ἠξίωσαν. Ἐπιβαλόντες δὲ τὸ ἀργύριον πράξασθαι μὲν οὐκ ἐπεχείρησαν, ἐξιούσης δὲ τῆς ἀρχῆς γράψαντες εἰς λεύκωμα τοῖς ταμίαις παρέδοσαν. (7) Οἵδε μὲν τάδε διεπράξαντο· οἱ δὲ ταμίαι οὐδὲν ὅμοιον τοῖσδε διανοηθέντες, ἀνακαλεσάμενοι δὲ τοὺς παραδόντας τὴν γραφήν, ἐσκοποῦντο τῆς αἰτίας τὴν πρόφασιν. Ἀκούσαντες δὲ τὸ γεγενημένον, ἐννοούμενοι οἷα πεπονθὼς ἦν, τὸ μὲν πρῶτον ἔπειθον αὐτοὺς ἀφεῖναι, διδάσκοντες ὡς οὐκ ἐπιεικὲς εἴη τῶν πολιτῶν τινας διὰ τὰς ἔχθρας ἀναγράφεσθαι, ἀποροῦντες δὲ μεταπεῖσαι αὐτούς, τὸν παρ' ὑμῶν κίνδυνον ὑποστάντες ἄκυρον τὴν ζημίαν ἔκριναν.

8. Ὅτι μὲν οὖν ἀφείθην ὑπὸ τῶν ταμιῶν, ἐπίστασθε· προσήκειν δὲ ἡγούμενος καὶ διὰ ταύτην τὴν ἀπόδειξιν ἀπηλλάχθαι τοῦ ἐγκλήματος, ἔτι πλείονας καὶ νόμους καὶ ἄλλας δικαιώσεις παρασχήσομαι. Καί μοι λαβὲ τὸν νόμον.

ΝΟΜΟΣ.

9. Τοῦ μὲν νόμου διαρρήδην ἀγορεύοντος τοὺς ἐν τῷ συνεδρίῳ λοιδοροῦντας ζημιοῦν ἀκηκόατε· ἐγὼ δὲ ὅτι μὲν οὐκ εἰσῆλθον εἰς τὸ ἀρχεῖον, μάρτυρας παρεσχόμην,

IX.

PRO MILITE.

Quo tandem animo adversarii mei, causa ipsa neglecta, mores nostros infamare voluerunt? utrumne ignari quod extra causam non liceat dicere? an hoc intelligunt, sed clam fore existimant, si de quacumque re potius verba faciunt quam de qua oporteat? (2) Eos igitur non quod me, sed quod causam ipsam parvi ducant, ita loqui bene intelligo. Neque id mirarer si propter amentiam putent vos suis calumniis inductos me condemnaturos esse. (3) Equidem arbitrabar, judices, mihi contentionem esse de criminibus objectis, non de moribus. Quum vero adversarii me calumniis circumveniant, mihi necesse est de omnibus respondere. Et primum quidem de inscriptione in ærarium vos docebo.

4. Anno ab hoc tertio reversus in civitatem, nondum duos menses commoratus, miles sum scriptus. Quod ubi intellexi, statim mihi in mentem venit me ob causam non satis sanam scriptum fuisse. Quapropter ad strategum accedens, significavi militia me fuisse defunctum; at nihil æqui impetrare potui. Quum me irrideri viderem, me tamen continui quamvis ægre ferens. (5) In angustias vero redactus, consilioque cum cive quodam inito qua ratione me gererem, rescivi quod me vincire minitarentur, dicentes quod Polyænus jam militans non minorem Athenis commorationem faceret quam Callicrates. Atque illa prolata a me in magistratus convicia, dicta sunt ad Philiæ mensam. (6) Ctesicles Archon et ipsius assessores, deferente nescio quo me ipsis conviciatum fuisse, quum lex diserte vetet ne quis magistratui convicietur in ipso tribunali, præter legem me mulctare voluerunt. Irrogata igitur mulcta, eam quidem supersederunt exigere; exeunte autem magistratu debitum in tabellam relatum tradiderunt quæstoribus. (7) Hæc ab illis ita gesta sunt; quæstores vero longe aliter animati, iis advocatis qui tradiderunt tabellam, accusationis occasionem perpendebant. Re omni audita, in animo reputantes qualia fueram perpessus, primo suadebant ipsis ut me missum facerent, admonentes iniquum esse civium quosvis propter simultates ærarii debitores inscribi. Quod quum eos exorare non potuissent, periculo omni quod a vobis imminere possit in se recepto, mulctam irritam esse pronuntiarunt.

8. Me igitur a quæstoribus absolutum fuisse intelligitis; sed quum arbitrer decere me etiam per reliquam hanc demonstrationem effugere accusationem, plures leges et plura alia juris capita vobis proferam. Sume mihi legem.

LEX.

9. Legem audistis quæ diserte præcipit ut qui in ipso tribunali convicia fecerint, mulctentur. Quod vero in tribunal omnino non sim ingressus, testimoniis compro-

ἀδίκως δὲ ζημιωθεὶς οὔτ' ὀφείλω οὔτ' ἐκτῖσαι δίκαιός εἰμι. (10) Εἰ γὰρ φανερός εἰμι μὴ ἐλθὼν εἰς τὸ συνέδριον, ὁ δὲ νόμος τοὺς ἐντὸς πλημμελοῦντας ἀγορεύει τὴν ζημίαν ὀφείλειν, ἠδικηκὼς μὲν οὐδὲν φαίνομαι, ἔχθρᾳ δὲ ἄνευ τούτου παραλόγως ζημιωθείς. (11) Συνέγνωσαν δὲ καὶ αὐτοὶ σφίσιν ὡς ἠδικηκότες· οὔτε γὰρ εὐθύνας ὑπέσχον, οὔτε εἰς δικαστήριον εἰσελθόντες τὰ πραχθέντα ψήφῳ κύρια κατέστησαν. Εἰ δ' οὖν ἐζημίωσαν μὲν οἵδε προσηκόντως, ἐκύρωσαν δ' ἐν ὑμῖν τὴν ἐπιβολήν, τῶν ταμιῶν ἀφέντων εἰκότως ἂν τοῦ ἐγκλήματος ἀπηλλαγμένος εἴην. (12) Εἰ μὲν γὰρ κύριοι ἦσαν πράξασθαι ἢ ἀφεῖναι, οὐδ' ἐννόμως ζημιωθεὶς εὐλόγως ἂν ὤφειλον· εἰ δ' ἔξεστι μὲν αὐτοῖς ἀφεῖναι, διδόασι δ' εὐθύνας ὑπὲρ ὧν ἂν διαχειρίζωσιν, εἴ τι ἠδικήκασι, τῆς προσηκούσης ῥᾳδίως δίκης τεύξονται.

13. Ὧι μὲν τρόπῳ παρεδόθην καὶ ἐζημιώθην, ἐπίστασθε· δεῖ δ' ὑμᾶς μὴ μόνον τοῦ ἐγκλήματος τὴν αἰτίαν, ἀλλὰ καὶ τῆς ἔχθρας τὴν πρόφασιν εἰδέναι. Σωστράτῳ γὰρ φίλος ἐγενόμην πρότερον μὲν τῆς τούτων ἔχθρας, εἰδὼς δὲ περὶ τὴν πόλιν ἄξιον λόγου γεγενημένον. (14) Γνώριμος δὲ γενόμενος διὰ τῆς ἐκείνου δυναστείας οὔτ' ἐχθρὸν ἐτιμωρησάμην οὔτε φίλον εὐηργέτησα· ζῶντος μὲν γὰρ διὰ τὴν ἡλικίαν καὶ διὰ τὴν ἀνάγκην ἐσχόλαζον, ἐκλιπόντος δὲ τὸν βίον οὔτε λόγῳ οὔτε ἔργῳ ἔβλαψα οὐδένα τῶν κατηγορούντων, ἔχω δὲ καὶ τοιαῦτα εἰπεῖν, ἐξ ὧν ὠφελοίμην ἂν πολὺ δικαιότερον ὑπὸ τῶν ἀντιδίκων ἢ κακῶς πάσχοιμι. (15) Τὴν μὲν οὖν ὀργὴν διὰ τὰ προειρημένα συνεστήσαντο, προφάσεως οὐδεμιᾶς πρὸς ἔχθραν ὑπαρχούσης. Ὀμόσαντες μὲν οὖν τοὺς ἀστρατεύτους καταλέξειν παρέβησαν τοὺς ὅρκους, προὔθεσαν δὲ τῷ πλήθει βουλεύσασθαι περὶ τοῦ σώματος, (16) ζημιώσαντες μὲν ὡς τὴν ἀρχὴν λοιδοροῦντα, κατολιγωρήσαντες δὲ τοῦ δικαίου, βιαζόμενοι βλάπτειν ἐξ ἅπαντος λόγου· πᾶν ἂν ἔπραξαν μέλλοντες μεγάλα μὲν ἐμὲ βλάψειν, πολλὰ δ' ἑαυτοὺς ὠφελήσειν, οἵτινες οὐδετέρου τούτων ὑπάρχοντος πάντα περὶ ἐλάττονος ποιοῦνται τοῦ δικαιοῦν. (17) Ἀλλὰ γὰρ κατεφρόνησαν τοῦ ὑμετέρου πλήθους, οὐδὲ φοβηθῆναι τοὺς θεοὺς ἠξίωσαν, ἀλλ' οὕτως ὀλιγώρως καὶ παρανόμως προσηνέχθησαν, ὥστε ἀπολογήσασθαι μὲν περὶ τῶν πεπραγμένων οὐδ' ἐπεχείρησαν, τὸ δὲ τελευταῖον, νομίζοντες οὐχ ἱκανῶς με τετιμωρῆσθαι, τὸ πέρας ἐκ τῆς πόλεως ἐξήλασαν. (18) Διατεθέντες δὲ οὕτω παρανόμως καὶ βιαίως, ἐπικρύψασθαι τὴν ἀδικίαν περὶ οὐδενὸς ἐποιήσαντο, παραγαγόντες δὲ πάλιν περὶ τῶν αὐτῶν ἠδικηκότα με οὐδὲν ἐπιδεικνύουσι καὶ λοιδοροῦσι, τοῖς μὲν ἐμοῖς ἐπιτηδεύμασιν οὐ προσηκούσας διαβολὰς ἐπιφέροντες, τοῖς δ' αὑτῶν τρόποις τὰς οἰκείας καὶ συνήθεις.

19. Οἵδε μὲν οὖν ἐκ παντὸς τρόπου προθυμοῦνταί με τῇ δίκῃ ἁλῶναι· ὑμεῖς δὲ μήτε ταῖς τούτων διαβολαῖς ἐπαρθέντες ἐμοῦ καταψηφίσησθε, μήτε τοὺς βέλτιον καὶ δικαίως βουλευσαμένους ἀκύρους καταστήσητε. Οἵδε μὲν γὰρ ἅπαντα καὶ κατὰ τοὺς νόμους καὶ κατὰ τὸ εἰκὸς ἔπραξαν, καὶ ἠδικηκότες μὲν οὐδὲν φαίνονται,

batum fuit. Mulcta igitur per injuriam irrogata, solvere neque teneor, neque debeo. (10) Nam si constat me omnino in tribunal non fuisse ingressum, et lex præcipit eos esse mulctandos qui intra illud peccaverint, nihil me contra legem egisse apparet, verum innocentem propter privatas inimicitias præter legem mulctari. (11) Sibi vero ipsi conscii fuerunt suæ injustitiæ. Neque enim rationes dare sustinuerunt, neque ad judicium accedentes sua acta suffragiis vestris rata fieri voluerunt. Quodsi me secundum leges mulctassent, eamque mulctam confirmassent apud vos, jure ab omni criminatione essent liberati, tametsi eam remisissent quæstores. (12) Nam si penes quæstores erat vel mulctam exigere vel remittere, ne ex lege mulctatus quidem jure deberem. Porro si quæstoribus quidem licet remittere, sed iidem tenentur eorum reddere rationem quæ tractaverunt, si quid deliquerint, facile pœnas persolvent debitas.

13. Quo pacto traditus et mulctatus sim, cognoscitis. Oportet autem vos non solum accusationis crimina, verum etiam inimicitiarum causas percipere. Cum Sostrato in familiaritate vixi, ante has inimicitias, quod sciverim eum civitatem optime demeruisse. (14) Ex illius potentia ego illustrior factus, quenquam nec inimicum male nec amicum bene affeci. Nam dum ille vixit, ex necessitate et per ætatem a rebus gerendis abstinebam; et postquam e vita excessit, neminem ex iis qui me accusant aut verbis aut re quidquam læsi : imo talia proferre possim, ob quæ mei adversarii multo justius mihi gratificari deberent quam nocere. (15) Ipsorum igitur simultatem Sostrati potentia conciliavit, quum nulla alia subesset causa inimicitiarum. Ii suscepto jurejurando se ad militiam coacturos neminem nisi qui non militaverit, jusjurandum violarunt, et ad populum retulerunt de meo capite statuere. (16) Qui quidem me mulctarunt quod magistratui conviciatus fuerim, jure autem spreto, et conati omni modo me lædere, nihil infectum reliquerunt, ut mihi gravissimum detrimentum, sibimetipsis magna emolumenta compararent : quum tamen, ubi neutrum horum intervenit, juri æquo omnia posthabeant. (17) Ac præterquam quod populum Atheniensem contempserunt, neque deorum numen sunt reveriti; sed cum tanto tum vestrûm tum legum contemptu mecum egerunt ut res a se gestas ne defendere quidem conati sint : ad postremum denique rati non satis graves de me pœnas sumptas fuisse, quantum in se fuit, me ex urbe ejecere. (18) Tantam autem injustitiam atque violentiam quum in me exercerent, improbitatem suam occultare nihil pensi habebant : sed mihi rursus integrata lite, dum nihil me peccasse arguunt, conviciantur solum, coacervatis iis maledictis quæ meo vivendi instituto nihil conveniunt, suis vero ipsorum moribus propria sunt et cognata.

19. Isti igitur omni modo laborant ut causa cadam; vos autem nolite istorum calumniis adducti me condemnare, neque eorum auctoritatem irritam facere qui rectam et honestam tulerunt sententiam. Quæstores quippe omnia ex legibus et recta ratione egerunt; nihilque eos injuste fecisse, verum recti et æqui maximam rationem habuisse

λόγον δὲ πλεῖστον τοῦ δικαίου ποιησάμενοι. (20) Τούτων μὲν οὖν ἀδικούντων μετρίως ἂν ἠγανάκτουν, ἡγούμενος τετάχθαι τοὺς μὲν ἐχθροὺς κακῶς ποιεῖν, τοὺς δὲ φίλους εὖ· παρ' ὑμῶν δὲ τοῦ δικαίου στερηθεὶς πολὺ ἂν μᾶλλον λυπηθείην· δι' ἔχθραν μὲν γὰρ οὐ δόξω κακῶς πεπονθέναι, διὰ κακίαν δὲ τῆς πόλεως. (21) Λόγῳ μὲν οὖν περὶ τῆς ἀπογραφῆς ἀγωνίζομαι, ἔργῳ δὲ περὶ πολιτείας. Τυχὼν μὲν γὰρ τῶν δικαίων (πιστεύω δὲ τῇ ὑμετέρᾳ γνώμῃ) μείναιμι ἂν ἐν τῇ πόλει· παραχθεὶς δὲ ὑπὸ τῶνδε εἰ ἀδίκως ἁλοίην, ἀποδραίην ἄν. Τίνι γὰρ ἐπαρθέντα ἐλπίδι δεῖ με συμπολιτεύεσθαι, ἢ τί με χρὴ διανοηθέντα, εἰδότα μὲν τῶν ἀντιδίκων τὴν προθυμίαν, ἀποροῦντα δ' ὅθεν χρὴ τῶν δικαίων τινὸς τυχεῖν; (22) Περὶ πλείστου οὖν ποιησάμενοι τὸ δίκαιον, καὶ ἐνθυμηθέντες ὅτι καὶ ὑπὲρ τῶν περιφανῶν ἀδικημάτων συγγνώμην ποιεῖσθε, τοὺς μηδὲν ἀδικήσαντας διὰ τὰς ἔχθρας μὴ περιίδητε ἀδίκως τοῖς μεγίστοις ἀτυχήμασι περιπεσόντας.

constat. (20) Isti igitur si me inique lædant, non admodum graviter tulerim, quod ita res comparatas esse existimem ut quisque velit inimicos male, amicos bene afficere: sin vestra sententia meo jure frauder, multo gravius mihi dolendum esse existimabo. Non enim videbor calamitatem propter inimicitias tulisse, sed ob civitatis improbitatem. (21) Verbo itaque de inscriptione in ærarium, re autem ipsa de civitate mihi agitur. Nam si jus consequar (quod spero, vestra confisus æquitate), domi manebo: at si ab istis vocatus in judicium, injuste causa cadam, alio migrare decrevi. Qua enim spe, quonam animo hic mihi vivendum erit, quum infensum adversariorum studium videam, et ignorem quo pacto jus meum obtinere possim? (22) Plurimi igitur æquitatem facientes, et reputantes vobiscum vos aliquando manifestis delictis veniam concedere, ne committatis hodie ut qui nihil deliquerint, alienarum ergo inimicitiarum, præter fas in maxima infortunia conjiciantur.

X.

ΚΑΤΑ ΘΕΟΜΝΗΣΤΟΥ Α΄.

Μαρτύρων μὲν οὐκ ἀπορίαν μοι ἔσεσθαι δοκῶ, ὦ ἄνδρες δικασταί· πολλοὺς γὰρ ὑμῶν ὁρῶ δικάζοντας τῶν τότε παρόντων, ὅτε Λυσίθεος Θεόμνηστον εἰσήγγελλε τὰ ὅπλα ἀποβεβληκότα, οὐκ ἐξὸν αὐτῷ, δημηγορεῖν· ἐν ἐκείνῳ γὰρ τῷ ἀγῶνι τὸν πατέρα μ' ἔφασκεν ἀπεκτονέναι τὸν ἐμαυτοῦ. (2) Ἐγὼ δ', εἰ μὲν τὸν ἑαυτοῦ με ἀπεκτονέναι ᾐτιᾶτο, συγγνώμην ἂν εἶχον αὐτῷ τῶν εἰρημένων (φαῦλον γὰρ αὐτὸ καὶ οὐδενὸς ἄξιον ἡγούμην)· οὐδ' εἴ τι ἄλλο τῶν ἀπορρήτων ἤκουσα, οὐκ ἂν ἐπεξῆλθον αὐτῷ (ἀνελεύθερον γὰρ καὶ λίαν φιλόδικον εἶναι νομίζω κακηγορίας δικάζεσθαι)· (3) νυνὶ δὲ αἰσχρόν μοι εἶναι δοκεῖ περὶ τοῦ πατρός, οὕτω πολλοῦ ἀξίου γεγενημένου καὶ ὑμῖν καὶ τῇ πόλει, μὴ τιμωρήσασθαι τὸν ταῦτ' εἰρηκότα. Καὶ παρ' ὑμῶν εἰδέναι βούλομαι πότερον δώσει δίκην, ἢ τούτῳ μόνῳ Ἀθηναίων ἐξαίρετόν ἐστι καὶ ποιεῖν καὶ λέγειν παρὰ τοὺς νόμους ὅ τι ἂν βούληται.

4. Ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, ἔτη εἰσὶ τριάκοντα τρία, ἐξ ὅτου δ' ὑμεῖς κατεληλύθατε, εἰκοστὸν τουτί. Φαίνομαι οὖν τρισκαιδεκέτης ὢν ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθνησκε. Ταύτην δὲ ἔχων τὴν ἡλικίαν οὔτ' εἰ ἔστιν ὀλιγαρχία ἠπιστάμην, οὔτε ἂν ἐκείνῳ ἀδικουμένῳ ἠδυνάμην βοηθῆσαι. (5) Καὶ μὲν δὴ οὐκ ὀρθῶς τῶν χρημάτων ἕνεκα ἐπεβούλευσα αὐτῷ· ὁ γὰρ πρεσβύτερος ἀδελφὸς Πανταλέων ἅπαντα παρέλαβε, καὶ ἐπιτροπεύσας ἡμᾶς τῶν πατρῴων ἀπεστέρησεν, ὥστε πολλῶν ἕνεκα, ὦ ἄνδρες δικασταί, προσῆκέ μοι αὐτὸν βούλεσθαι ζῆν. Ἀνάγκη μὲν οὖν περὶ αὐτῶν μνησθῆναι, οὐδὲν δὲ δεῖ πολλῶν λόγων· σχεδὸν ἐπίστασθε ἅπαντες ὅτι ἀληθῆ λέγω· ὅμως δὲ μάρτυρας αὐτῶν παρέξομαι.

X.

CONTRA THEOMNESTUM ORATIO I.

Testium paucitas non mihi videtur esse metuenda, judices: multos enim ex vobis sedere ad judicandum video, qui adfuerunt quando Lysitheus detulit Theomnestum quod quum arma abjecisset, tamen, contra quam liceret, ad populum verba facere ausus esset. In illa quippe causa dixit me patrem meum interfecisse. (2) Ego vero, si criminatus fuisset quod suum parentem interfecerim, ea quæ dixit potuissem condonare, siquidem hoc contemnendum ac nihili faciendum existimassem; neque si quid aliud eorum in me ab ipso dictum fuisset quæ lex dici vetat, litem ipsi intendissem, id nempe judicans illiberalis esse et litigiosi hominis, convicii aliquem postulare: (3) nunc verum mihi turpe videtur esse, si ab eo qui hæc de patre dixit, tantopere de vobis et de republica bene merito, non pœnas repetam. Atque ex vobis cognoscere velim utrum iste pœnas daturus sit, an isti soli Atheniensium peculiariter sit concessum et agere et dicere præter legem quodcumque collibitum fuerit.

4. Tres et triginta annos natus sum, judices, et a vestro reditu hic est annus vicesimus. Patet igitur annos tredecim me natum fuisse, quum pater meus a trigintaviris interfectus est. Illa autem ætate, neque quid fuerit oligarchia scire, neque patri injuriam passo succurrere potui. (5) Neque etiam recte pecuniarum causa illi insidiatus fuissem: omnes enim facultates accepit frater major natu Pantaleon, tutorque nobis datus bonis paternis nos exuit. Ita ut multis de causis, judices, ad me pertineret illum velle superesse. Ceterum necesse quidem est de his rebus verba facere; multis autem non opus est. Nam vos fere omnes scitis me hæc vera dicere; nihilominus horum testes adducam.

ΜΑΡΤΥΡΕΣ.

6. Ἴσως τοίνυν, ὦ ἄνδρες δικασταί, περὶ τούτων μὲν οὐδὲν ἀπολογήσεται, ἐρεῖ δὲ πρὸς ὑμᾶς ἅπερ ἐτόλμα λέγειν καὶ πρὸς τὸν διαιτητήν, ὡς οὐκ ἔστι τῶν ἀπορρήτων, ἐάν τις εἴπῃ τὸν πατέρα ἀπεκτονέναι· τὸν γὰρ νόμον οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν. (7) Ἐγὼ δ' οἶμαι ὑμᾶς, ὦ ἄνδρες δικασταί, οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ τῆς τούτων διανοίας, καὶ πάντας εἰδέναι ὅτι, ὅσοι [ἀπεκτόνασί τινας, καὶ ἀνδροφόνοι τῶν αὐτῶν εἰσι, καὶ ὅσοι] ἀνδροφόνοι εἰσί, καὶ ἀπεκτόνασί τινας, πολὺ γὰρ ἂν ἔργον ἦν τῷ νομοθέτῃ ἅπαντα τὰ ὀνόματα γράφειν, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει· ἀλλὰ περὶ ἑνὸς εἰπὼν περὶ πάντων ἐδήλωσεν. (8) Οὐ γὰρ δήπου, ὦ Θεόμνηστε, εἰ μέν τίς σ' εἴποι πατραλοίαν ἢ μητραλοίαν, ἠξίους ἂν αὐτὸν ὀφλεῖν σοι δίκην, εἰ δέ τις εἴποι ὡς τὴν τεκοῦσαν ἢ τὸν φύσαντα ἔτυπτες, ᾤου ἂν αὐτὸν ἀζήμιον δεῖν εἶναι ὡς οὐδὲν τῶν ἀπορρήτων εἰρηκότα. (9)
117 Ἡδέως γὰρ ἄν σου πυθοίμην (περὶ τοῦτο γὰρ δεινὸς εἶ καὶ μεμελέτηκας καὶ ποιεῖν καὶ λέγειν)· εἴ τίς σε εἴποι ῥῖψαι τὴν ἀσπίδα, ἐν δὲ τῷ νόμῳ εἴρητο, ἐάν τις φάσκῃ ἀποβεβληκέναι, ὑπόδικον εἶναι, οὐκ ἂν ἐδικάζου αὐτῷ, ἀλλ' ἐξήρκει ἄν σοι ἐρριφέναι τὴν ἀσπίδα λέγοντι οὐδέν σοι μέλειν; οὐδὲ γὰρ τὸ αὐτό ἐστι ῥῖψαι καὶ ἀποβεβληκέναι. (10) Ἀλλ' οὐδ' ἂν τῶν ἕνδεκα γενόμενος ἀποδέξαιο, εἴ τις ἀπάγοι τινὰ φάσκων θοἰμάτιον ἀποδεδύσθαι ἢ τὸν χιτωνίσκον ἐκδεδύσθαι, ἀλλ' ἀφείης ἂν τὸν αὐτὸν τρόπον, ὅτι οὐ λωποδύτης ὀνομάζεται· οὐδ' εἴ τις παῖδα ἐξαγαγὼν ληφθείη, οὐκ ἂν φάσκοις αὐτὸν ἀνδραποδιστὴν εἶναι, εἴπερ μαχῇ τοῖς ὀνόμασιν, ἀλλὰ μὴ τοῖς ἔργοις τὸν νοῦν προσέξεις, ὧν ἕνεκα τὰ ὀνόματα πάντες τίθενται. (11) Ἔτι τοίνυν σκέψασθε, ὦ ἄνδρες δικασταί· οὑτοσὶ γάρ μοι δοκεῖ ὑπὸ ῥᾳθυμίας καὶ μαλακίας οὐδ' εἰς Ἄρειον πάγον ἀναβεβηκέναι· πάντες γὰρ ἐπίστασθε ὅτι ἐν ἐκείνῳ τῷ χωρίῳ, ὅταν τὰς τοῦ φόνου δίκας δικάζωνται, οὐ διὰ τούτου τοῦ ὀνόματος τὰς διωμοσίας ποιοῦνται, ἀλλὰ δι' οὗπερ ἐγὼ κακῶς ἀκήκοα· ὁ μὲν γὰρ διώκων ὡς ἔκτεινε διόμνυται, ὁ δὲ φεύγων ὡς οὐκ ἔκτεινεν. (12) Οὐκοῦν ἄτοπον ἂν εἴη τὸν δόξαντα κτεῖναι φάσκοντα ἀνδροφόνον εἶναι, ὅτι ὁ διώκων, ὡς ἔκτεινε, τὸν φεύγοντα διωμόσατο. Τί γὰρ ταῦτα, ὧν οὗτος ἐρεῖ, διαφέρει; καὶ αὐτὸς μὲν Θέωνι κακηγορίας ἐδικάσω εἰπόντι σε ἐρριφέναι τὴν ἀσπίδα. Καίτοι περὶ μὲν τοῦ ῥῖψαι οὐδὲν ἐν τῷ νόμῳ εἴρηται, ἐὰν δέ τις εἴπῃ ἀποβεβληκέναι τὴν ἀσπίδα, πεντακοσίας δραχμὰς ὀφείλειν κελεύει. (13) Οὐκοῦν δεινόν, εἰ, ὅταν μὲν δέῃ σε κακῶς ἀκούσαντα τοὺς ἐχθροὺς τιμωρεῖσθαι, οὕτω τοὺς νόμους ὥσπερ ἐγὼ νῦν λαμβάνειν, ὅταν δ' ἕτερον παρὰ τοὺς νόμους εἴπῃς κακῶς, οὐκ ἀξιοῖς δοῦναι δίκην. Πότερον οὕτω σὺ δεινὸς εἶ ὥστε ὅπως ἂν βούλῃ, οἷός τ' εἶ χρῆσθαι τοῖς νόμοις, ἢ τοσοῦτον δύνασαι ὥστ' οὐδέποτε οἴει τοὺς ἀδικουμένους ὑπὸ σοῦ τιμωρίας τεύξεσθαι; (14) Εἶτ' οὐκ αἰσχύνῃ οὕτως ἀνοήτως διακείμενος;

TESTES.

6. Forsan igitur, judices, de his nihil respondebit; vobis autem ea dicet quæ coram arbitro dicere audebat, nempe non esse eorum quæ lege interdicuntur, si quis aliquem dixerit τὸν πατέρα ἀπεκτονέναι, *patrem occidisse* : hæc enim legem non vetare, sed ἀνδροφόνον, *homicidam*, aliquem appellare. (7) Ego vero, judices, arbitror vos non de vocabulis, sed de vocabulorum sententiis laborare, omnesque intelligere quod quicumque ἀνδροφόνοι, *homicidæ*, sunt, aliquem necessario ἀπεκτόνασι, *occiderunt*. Magnum enim fuisset negotium legislatori omnia vocabula scribere quæ eandem significationem habeant : at quum unum protulerit, idem statuit de omnibus. (8) Non enim, Theomneste, si quis te dixerit πατραλοίαν, *patricidam*, vel μητραλοίαν, *matricidam*, pœnas tibi ab eo deberi existimares : si quis autem dixerit matrem vel patrem a te cæsum esse, putares utique eum indemnem esse habendum, quod nihil eorum dixisset quæ lex diserte vetat. (9) Nam lubenter a te audirem (quippe ad hæc peritissimus es, et tam verbis quam factis exercitatissimus), si quis te dixerit ῥῖψαι scutum, quum in lege scribatur eum qui dixerit ἀποβεβληκέναι pœnis esse obnoxium, utrum hunc in jus non duceres, at tibi satis esset dicere te id non curare, quia dixit te scutum ἐρριφέναι? non enim idem esse ῥῖψαι et ἀποβεβληκέναι. (10) Sed neque, si unus esses undecimvirorum, admitteres si quis aliquem coram te sisteret, dicens θοἰμάτιον ἀποδεδύσθαι, *pallio se esse ab illo exutum*, vel τὸν χιτωνίσκον ἐκδεδύσθαι, *interulam sibi ab illo detractam esse*, et eodem modo absolveres quod non λωποδύτης appellaretur : neque si quis deprehensus esset τὸν παῖδα ἐξαγαγών, *mancipium furtim abducens*, diceres eum esse ἀνδραποδιστήν, *plagiarium*, si verbis milites, neque rebus ipsis animum advertas, quarum causa omnes verbis utuntur. (11) Id insuper considerate, judices (iste enim mihi videtur præ segnitie et socordia in Areopagum nunquam ascendisse) : scitis omnes quod ii qui in illa curia de cæde litigant, quum præstant juramenta, non hac voce utantur quam lex exhibet, sed illa quæ in me jacta est per convicium. Actor enim quod ἔκτεινε juramento affirmat, reus quod non ἔκτεινεν. (12) Atqui absurdum foret eum qui convincitur κτεῖναι, fatentem se esse ἀνδροφόνον, ideo absolvi quia actor juravit quod reus ἔκτεινε. Quid enim hæc discrepant ab iis quæ iste dicet? Et ipse quidem Theona postulasti convicii quod dixerit te scutum ἐρριφέναι, *projecisse*. Attamen de ῥῖψαι in lege altum silentium; si quis vero dixerit ἀποβεβληκέναι, *abjecisse*, scutum, eum quingentas drachmas persolvere decernit. (13) Iniquum est igitur te, ubi opus sit inimicos tuos ob convicia ulcisci, ita leges interpretari ut ego nunc; at ubi alteri præter leges conviciatus fueris, pœnas subire nolle. Tune adeo peritus es ut possis uti legibus pro tuo libitu; aut adeo potens ut eos arbitreris qui a te læduntur pœnas nunquam posse repetere? (14) Deinde non te pudet, quum

ὥστ' οὐκ ἐξ ὧν εὖ πεποίηκας τὴν πόλιν, ἀλλ' ἐξ ὧν ἀδικῶν οὐ δέδωκας δίκην, οἴει δεῖν πλεονεκτεῖν; Καί μοι ἀνάγνωθι τὸν νόμον.

ΝΟΜΟΣ.

15. Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, ὑμᾶς μὲν πάντας εἰδέναι ἡγοῦμαι ὅτι ἐγὼ μὲν ὀρθῶς λέγω, τοῦτον δὲ οὕτω σκαιὸν εἶναι ὥστε οὐ δύνασθαι μαθεῖν τὰ λεγόμενα. Βούλομαι οὖν αὐτὸν καὶ ἐξ ἑτέρων νόμων περὶ τούτων διδάξαι, ἄν πως ἀλλὰ νῦν ἐπὶ τοῦ βήματος παιδευθῇ καὶ τὸ λοιπὸν ἡμῖν μὴ παρέχῃ πράγματα. Καί μοι ἀνάγνωθι τούτους τοὺς νόμους τοὺς Σόλωνος τοὺς παλαιούς.

16. ΝΟΜΟΣ. « Δεδέσθαι δ' ἐν τῇ ποδοκάκκῃ ἡμέρας πέντε τὸν πόδα, ἐὰν προστιμήσῃ ἡ ἡλιαία. »

Ἡ ποδοκάκκη αὐτό ἐστιν, ὦ Θεόμνηστε, ὃ νῦν καλεῖται ἐν τῷ ξύλῳ δεδέσθαι. Εἰ οὖν ὁ δεθεὶς ἐξελθὼν ἐν ταῖς εὐθύναις τῶν ἕνδεκα κατηγοροίη ὅτι οὐκ ἐν τῇ ποδοκάκκῃ ἐδέδετο ἀλλ' ἐν τῷ ξύλῳ, οὐκ ἂν ἠλίθιον αὐτὸν νομίζοιεν; Λέγε ἕτερον νόμον.

17. ΝΟΜΟΣ. « Ἐπεγγυᾶν δ' ἐπιορκήσαντα τὸν Ἀπόλλω. Δεδιότα δὲ δίκης ἕνεκα δρασκάζειν. »

Τούτων τὸ μὲν ἐπιορκήσαντα ὀμόσαι ἐστί, τὸ δὲ δρασκάζειν, ὃ νῦν ἀποδιδράσκειν ὀνομάζομεν.

« Ὅστις δὲ ἀπίλλει τῇ θύρᾳ, ἔνδον τοῦ κλέπτου ὄντος. »

Τὸ ἀπίλλειν τὸ ἀποκλείειν νομίζεται, καὶ μηδὲν διὰ τοῦτο διαφέρου.

18. « Τὸ ἀργύριον στάσιμον εἶναι ἐφ' ὁπόσῳ ἂν βούληται ὁ δανείζων. »

Τὸ στάσιμον τοῦτό ἐστιν, ὦ βέλτιστε, οὐ ζυγῷ ἱστάναι, ἀλλὰ τόκον πράττεσθαι ὁπόσον ἂν βούληται. Ἐπανάγνωθι τουτὶ τοῦ νόμου τὸ τελευταῖον.

(19) « Ὅσαι δὲ πεφασμένως πολοῦνται, »

καὶ,

« Οἰκῆος καὶ βλάβης τὴν δούλην εἶναι ὀφείλειν. »

Προσέχετε τὸν νοῦν· τὸ μὲν πεφασμένως ἐστὶ φανερῶς, πολεῖσθαι δὲ βαδίζειν, τὸ δὲ οἰκῆος θεράποντος. (20) Πολλὰ δὲ τοιαῦτα καὶ ἄλλα ἐστίν, ὦ ἄνδρες δικασταί. Ἀλλ' εἰ μὴ σιδηροῦς ἐστιν, οἴομαι αὐτὸν ἔννουν γεγονέναι ὅτι τὰ μὲν πράγματα ταὐτά
118 ἐστι νῦν τε καὶ πάλαι, τῶν δὲ ὀνομάτων ἐνίοις οὐ τοῖς αὐτοῖς χρώμεθα νῦν τε καὶ πρότερον. Δηλώσει δέ· οἰχήσεται γὰρ ἀπιὼν ἀπὸ τοῦ βήματος σιωπῇ. (21) Εἰ δὲ μή, δέομαι ὑμῶν, ὦ ἄνδρες δικασταί, τὰ δίκαια ψηφίσασθαι, ἐνθυμουμένους ὅτι πολὺ μεῖζον κακόν ἐστιν ἀκούσαντα τὸν πατέρα ἀπεκτονέναι ἢ τὴν ἀσπίδα ἀποβεβληκέναι. Ἐγὼ γοῦν δεξαίμην ἂν πάσας τὰς ἀσπίδας ἐρριφέναι ἢ τοιαύτην γνώμην ἔχειν περὶ τὸν πατέρα. (22) Οὗτος οὖν ἔνοχος μὲν ὢν τῇ αἰτίᾳ, ἐλάττονος δὲ οὔσης αὐτῷ τῆς συμφορᾶς, οὐ μόνον ὑφ' ὑμῶν ἠλεήθη, ἀλλὰ καὶ τὸν μαρτυρήσαντα ἠτίμωσεν. Ἐγὼ δὲ ἑωρακὼς μὲν ἐκεῖνο τοῦτον ποιήσαντα ὃ καὶ ὑμεῖς ἴστε, αὐτὸς δὲ σώσας τὴν ἀσπίδα, ἀκηκοὼς δὲ οὕτως ἄνομον καὶ δεινὸν πρᾶγμα, μεγίστης δὲ οὔσης μοι τῆς συμφορᾶς, εἰ ἀποφεύξεται, τούτῳ δ' οὐδενὸς ἀξίας, εἰ κακηγορίας ἁλώσεται, οὐκ ἄρα δίκην παρ'

ea sis dementia, ut non ex tuis in rempublicam meritis, sed ex impunitate scelerum tuorum erga ipsam ceteris putes te antecellere debere? Et mihi legem recita.

LEX.

15. Ego igitur, judices, vos omnes scire arbitror me vera dicere, at istum ita esse vecordem ut ea quæ dicuntur non possit intelligere. Ipsum autem volo de hisce rebus ex legibus aliis admonere, ut qua ratione at nunc saltem pro tribunali edoceatur, ne negotium nobis in posterum facessat. Et mihi recita antiquas Solonis leges.

16. LEX. « Vinciri ἐν τῇ ποδοκάκκῃ, *in pedica*, per quinque dies pede, si et hanc pœnam adjecerit Heliæa. »

Hoc ipsum ποδοκάκκη, Theomneste, idem est ac quod nunc vocatur ἐν τῷ ξύλῳ vinciri. Si igitur vinctus liberatus undecimviros accusaret, quum rationes reddunt, quod non ἐν τῇ ποδοκάκκῃ vinctus fuerit, sed ἐν τῷ ξύλῳ, annon omnes eum dementem existimarent? Recita aliam legem.

17. LEX. « Spondere ἐπιορκήσαντα per Apollinem. Timentem litis causa δρασκάζειν.

Horum verborum ἐπιορκήσαντα est ὀμόσαι, *dejerare*, et δρασκάζειν id quod nunc vocamus ἀποδιδράσκειν, *aufugere*.

« Quicumque ἀπίλλῃ foribus, quum fur intus sit. »

Hic ἀπίλλειν est ἀποκλείειν, *concludere*, et propter hoc ne disputa.

18. « Argentum est στάσιμον pro arbitrio fœneratoris. »

Ibi, dulcissime, στάσιμον non est ζυγῷ ἱστάναι, *ad libram appendere*, sed τόκον πράττεσθαι, *fœnore collocare* pro arbitrio. Recita quoque hoc legis momentum ultimum.

19. « Quæcumque πεφασμένως πολοῦνται. »

Et,

« Unumquemque οἰκῆος et famulæ mulctam debere. »

Animadvertite, judices, πεφασμένως idem est quod φανερῶς, *propalam*, πολεῖσθαι idem quod βαδίζειν, *ambulare*, οἰκῆος idem quod θεράποντος, servi.

20. Hujusmodi alia plurima reperiri possunt, judices. Sed istum arbitror, nisi plumbeus sit, jam saltem percipere, res ipsas easdem nunc et olim fuisse, verborum vero quorundam usum non eundem nunc esse atque olim fuit. Ostendet autem utrum perceperit; namque a tribunali abibit tacitus. (21) Sin minus, vos obtestor, judices, ut quæ justa sint decernatis, id habentes in animo, multo gravius esse exprobrari quod patrem quis interfecerit, quam quod clypeum abjecerit. Ego sane mallem omnes quotquot sunt clypeos abjecisse, quam ita animatum fuisse in parentem. (22) Iste igitur quum re ipsa foret crimini obnoxius, ipsique levior futura esset calamitas, non solum misericordiam vestram consecutus est, sed etiam eum qui ipsum petivit testimonio, infamavit : ego autem qui ipsum vidi id facientem quod vos quoque scitis, qui meum ipse clypeum servavi, qui tam immane et exsecrabile facinus mihi exprobrari audivi, qui insignem calamitatem passurus sum si iste effugerit, quum isti levissima tantummodo continget etiam convicto et damnato convicii; egone, inquam, pœnas

αὐτοῦ λήψομαι; (23) Τίνος ὄντος ἐμοὶ πρὸς ὑμᾶς ἐγκλήματος; πότερον ὅτι δικαίως ἀκήκοα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. Ἀλλ' ὅτι βελτίων καὶ ἐκ βελτιόνων ὁ φεύγων ἐμοῦ; ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. Ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα δικάζομαι κακηγορίας τῷ σώσαντι; ἀλλ' οὐχ οὗτος ὁ λόγος ἐν τῇ πόλει κατεσκέδασται. (24) Ἀναμνήσθητε δὲ ὅτι μεγάλην καὶ καλὴν ἐκείνην δωρεὰν αὐτῷ δεδώκατε· ἐν ᾗ τίς οὐκ ἂν ἐλεήσειεν Διονύσιον, τοιαύτῃ μὲν συμφορᾷ περιπεπτωκότα, ἄνδρα δὲ ἄριστον ἐν τοῖς κινδύνοις γεγενημένον, (25) ἀπιόντα δὲ ἀπὸ τοῦ δικαστηρίου λέγοντα ὅτι δυστυχεστάτην ἐκείνην εἴημεν στρατείαν ἐστρατευμένοι, ἐν ᾗ πολλοὶ μὲν ἡμῶν ἀπέθανον, οἱ δὲ σώσαντες τὰ ὅπλα ψευδομαρτυριῶν ὑπὸ τῶν ἀποβαλόντων ἑαλώκασι, κρεῖττον δὲ ἦν αὐτῷ τότε ἀποθανεῖν ἢ οἴκαδ' ἐλθόντι τοιαύτῃ τύχῃ χρῆσθαι; (26) Μὴ τοίνυν ἀκούσαντα Θεόμνηστον κακῶς τὰ προσήκοντα ἐλεεῖτε, καὶ ὑβρίζοντι καὶ λέγοντι παρὰ τοὺς νόμους συγγνώμην ἔχετε. Τίς γὰρ ἂν ἐμοὶ μείζων ταύτης γένοιτο συμφορά, περὶ τοιούτου πατρὸς οὕτως αἰσχρὰς αἰτίας ἀκηκοότι; (27) ὃς πολλάκις μὲν ἐστρατήγησε, πολλοὺς δὲ καὶ ἄλλους κινδύνους μεθ' ὑμῶν ἐκινδύνευσε· καὶ οὔτε τοῖς πολεμίοις τὸ ἐκείνου σῶμα ὑποχείριον ἐγένετο, οὔτε τοῖς πολίταις οὐδεμίαν πώποτε ὦφλεν εὐθύνην, ἔτη δὲ γεγονὼς ἑπτὰ καὶ ἑξήκοντα ἐν ὀλιγαρχίᾳ δι' εὔνοιαν τοῦ ὑμετέρου πλήθους ἀπέθανεν. (28) Ἆρ' ἄξιον ὀργισθῆναι τῷ εἰρηκότι καὶ βοηθῆσαι τῷ πατρί, ὡς καὶ ἐκείνου κακῶς ἀκηκοότος; Τί γὰρ ἂν τούτου ἀνιαρότερον γένοιτο αὐτῷ, ἢ τεθνάναι μὲν ὑπὸ τῶν ἐχθρῶν, αἰτίαν δ' ἔχειν ὑπὸ τῶν παίδων; οὗ ἔτι καὶ νῦν, ὦ ἄνδρες δικασταί, τῆς ἀρετῆς τὰ μνημεῖα πρὸς τοῖς ὑμετέροις [ἱεροῖς] ἀνάκειται, τὰ δὲ τούτου καὶ τοῦ τούτου πατρὸς τῆς κακίας πρὸς τοῖς τῶν πολεμίων· οὕτω σύμφυτος αὐτοῖς ἡ δειλία. (29) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ὅσῳ μείζους εἰσὶ καὶ νεανίαι τὰς ὄψεις, τοσούτῳ μᾶλλον ὀργῆς ἄξιοί εἰσι· δῆλον γὰρ ὅτι τοῖς μὲν σώμασι δύνανται, τὰς δὲ ψυχὰς οὐκ ἔχουσιν.

30. Ἀκούω δ' αὐτόν, ὦ ἄνδρες δικασταί, ἐπὶ τοῦτον τὸν λόγον τρέψεσθαι, ὡς ὀργισθεὶς εἴρηκε ταῦτα ἐμοῦ μαρτυρήσαντος τὴν αὐτὴν μαρτυρίαν Διονυσίῳ. Ὑμεῖς δ' ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταί, ὅτι ὁ νομοθέτης οὐδεμίαν ὀργῇ συγγνώμην δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποφαίνῃ ὡς ἔστιν ἀληθῆ τὰ εἰρημένα. Ἐγὼ δὲ δὶς ἤδη περὶ τούτου μεμαρτύρηκα· οὐ γάρ πω ᾔδειν ὅτι ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβάλλουσι συγγνώμην ἔχετε.

31. Περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· ἐγὼ δ' ὑμῶν δέομαι καταψηφίσασθαι Θεομνήστου, ἐνθυμουμένους ὅτι οὐκ ἂν γένοιτο τούτου μείζων ἀγών μοι. Νῦν γὰρ διώκω κακηγορίας, τῇ δ' αὐτῇ ψήφῳ φόνου φεύγω τοῦ πατρός, ὃς μόνος, ἐπειδὴ τάχιστα ἐδοκιμάσθην, ἐπεξῆλθον τοῖς τριάκοντα ἐν Ἀρείῳ πάγῳ. (32) Ὧν μεμνημένοι καὶ ἐμοὶ καὶ τῷ πατρὶ βοηθήσατε καὶ τοῖς νόμοις τοῖς κειμένοις καὶ τοῖς ὅρκοις οἷς ὀμωμόκατε.

ab eo non repetam? (23) Cujus criminis apud vos suspectus? Anne quod vere mihi objecta sit hæc exprobratio? at nec vos id dicere possitis. Anne quod reus melior sit quam ego et ex melioribus prognatus? at ne iste quidem affirmaverit. Anne quod egomet, armis meis abjectis, eum convicii postulem qui sua domum salva retulit? at non ea fama percrebuit in civitate. (24) Recordemini vero quod isti vos inclytam et pulcherrimam mercedem impertiveritis: atque ibi quis non Dionysium misereatur tantam calamitatem expertum, et strenui viri functum officio in periculis. (25) Qui quum a tribunali recederet, dicebat: Infelicissimam certe expeditionem illam gessimus, in qua multi cives cecidere, et ii qui arma servarunt falsi testimonii damnati sunt ab iis qui abjecerunt. Illi nimirum fuisset præstabilius in prœlio interire quam in urbem reversum talem fortunam experiri. (26) Ne igitur vos Theomnesti misereat merita audientis convicia, eidemque insolescenti et maledicenti contra leges condonetis. Ecquæ enim major calamitas mihi posset evenire, quam exprobrationes audiisse tam fœdas de parente illo, (27) qui vestris exercitibus sæpius præfuit, qui multa vobiscum subiit pericula longe diversa ab iis quæ in judicio fiunt, qui nunquam in hostium potestatem venit, nunquam a civibus damnatus fuit pecuniarum male gestarum, qui annos natus sexaginta septem, propter suam erga populum Atheniensem benevolentiam, in oligarchia occisus est? (28) Annon igitur æquum est talia exprobranti succensere, patrique succurrere, in quem recidunt conjecta in me opprobria? Quid enim illi acerbius contingere poterat quam ab hostibus interfici, infamari vero quasi a propriis filiis interfectus fuisset? cujus etiamnunc, judices, virtutis monumenta in templis vestris conspiciuntur; istius autem patrisque ignaviæ in templis hostium apparent: adeo ipsis innata est timiditas! (29) At enim, judices, quanto magis isti et corpore et vultu præstant, tanto magis eis vos succensere decet: eos quippe constat tam animis destitui quam corporibus valent.

30. Et quidem audio, judices, istum ad hanc orationem declinaturum, quod, quum ego idem testimonium perhibuerim ac Dionysius, hæc præ ira in me effuderit. At vos, judices, recordemini nullam iracundiæ veniam dare legislatorem, verum pœnas a conviciatore sumi, ni ea quæ dixerit vera esse demonstret. Ego sane jam bis de isto testatus sum; neque enim noveram vos pœna eos afficere qui alios arma abjicere videant, et ipsis abjicientibus condonare.

31. Atque de his nihil video cur plura mihi dicenda sint. Vos autem obtestor ut Theomnestum condemnetis, reputantes graviorem mihi contentionem quam hodiernam nullam esse posse. Nunc enim actor sum in causa convicii, eodem tamen judicio cædis paternæ reus constituor, qui solus, simul ac inter viros sum adnumeratus, triginta viros ad Areopagum in jus vocavi. (32) Cujus rei memores, quum mihi et patri, tum legibus quæ latæ sunt et juramento quod præstitistis, subvenite.

XI.

119 ## ΚΑΤΑ ΘΕΟΜΝΗΣΤΟΥ Β.

"Οτι μὲν τὸν πατέρα μ' ἔφασκεν ἀπεκτονέναι, πολλοὶ συνοίδασιν ὑμῶν, καὶ μαρτυροῦσι δέ μοι· ὅτι δὲ οὐ πεποίηκα, ἔτη γάρ ἐστί μοι δύο καὶ τριάκοντα, ἐξ οὗ δ' ὑμεῖς κατήλθετε, εἰκοστὸν τουτί. (2) Φαίνομαι οὖν δωδεκαέτης ὤν, ὅτε ὁ πατὴρ ὑπὸ τῶν τριάκοντα ἀπέθνησκεν, ὥστ' οὐδ' ὅ τι ὀλιγαρχία ἦν ᾔδειν, οὐδὲ τῷ πατρὶ βοηθεῖν οἷός τ' ἦν. Ἀλλὰ μὴν οὐδὲ τῶν χρημάτων ἕνεκα ἐπεβούλευσα αὐτῷ· ὁ γὰρ πρεσβύτερος ἀδελφὸς πάντα λαβὼν ἀπεστέρησεν ἡμᾶς.

3. Ἴσως δ' ἐρεῖ ὡς οὐκ ἔστι τῶν ἀπορρήτων, ἐάν τις φῇ τὸν πατέρα ἀπεκτονέναι· τὸν γὰρ νόμον οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν. Ἐγὼ δ' οἶμαι δεῖν οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ περὶ τῆς τῶν ἔργων διανοίας, καὶ πάντας εἰδέναι ὅτι ὁπόσοι ἀπεκτόνασί τινας, καὶ ἀνδροφόνοι τῶν αὐτῶν εἰσι, καὶ ὅσοι ἀνδροφόνοι τινός, καὶ ἀπεκτόνασι τοῦτον. (4) Πολὺ γὰρ ἂν ἔργον εἴη τῷ νομοθέτῃ πάντα γράφειν τὰ ὀνόματα, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει· ἀλλὰ περὶ ἑνὸς εἰπὼν περὶ πάντων ἐδήλωσεν. Οὐ γὰρ δήπου ἐὰν μέν τις πατραλοίαν ἢ μητραλοίαν καλῇ σε, ὑπόδικός ἐστιν, ἐὰν δέ τις τὴν τεκοῦσαν ἢ τὸν φυτεύσαντα τύπτειν φῇ, ἀζήμιος ἔσται. (5) Καὶ εἴ τις εἴποι ῥίψασπιν, ἀθῷος ἔσται· τὸν γὰρ νόμον, ἐάν τις εἴπῃ ἀποβεβληκέναι τὴν ἀσπίδα, ζημίαν τάττειν, ἀλλ' οὐκ ἄν τις ῥῖψαι φῇ αὐτήν. Ὁμοίως δ' ἂν καὶ τῶν ἕνδεκα γενόμενος οὐκ ἂν ἀπεδέχου τὸν ἀπαγόμενον, ὅτι θοἰμάτιον ἔξω θέμενος ἢ τὸν χιτωνίσκον, εἰ μὴ λωποδύτην ὠνόμαζεν· οὐδ' εἴ τις παῖδ' ἐξῆγεν ὡς ἀνδραποδιστήν. (6) Καὶ αὐτὸς μὲν ἐδικάσω κακηγορίας τῷ εἰπόντι σε ῥῖψαι τὴν ἀσπίδα· καίτοι ἐν τῷ νόμῳ οὐ γέγραπται, ἀλλ' ἐάν τις φῇ ἀποβεβληκέναι. Πῶς οὖν οὐ δεινόν, ἐὰν μέν τις σὲ εἴπῃ, τοὺς νόμους ἐκλαμβάνειν οὕτως ὥσπερ ἐγὼ νῦν, καὶ τιμωρεῖσθαι τοὺς ἐχθρούς, ἐὰν δ' αὐτὸς εἴπῃς, οὐκ ἀξιοῦν δοῦναι δίκην; (7) Βοηθήσατε οὖν μοι, ἐνθυμούμενοι ὅτι μεῖζόν ἐστι κακὸν [ἀκοῦσαι] τὸν πατέρα ἀπεκτονέναι ἢ τὴν ἀσπίδα ῥῖψαι. Ἐγὼ γοῦν δεξαίμην ἂν πάσας ἀποβεβληκέναι ἢ τοιαύτην γνώμην περὶ τὸν πατέρα ἔχειν. Καίτοι γε τοῦτον μὲν ἑώρακα ποιοῦντα, ὡς καὶ ὑμεῖς ἴστε, αὐτὸς δ' ἔσωσα τὴν ἀσπίδα. (8) Ὥστε διὰ τί οὐκ ἂν λάβοιμι δίκην παρ' αὐτοῦ; τίνος ἐγκλήματός μοι ὄντος; πότερον ὡς δικαίως ἤκουσα; ἀλλ' οὐδ' ἂν αὐτοὶ φήσαιτε. Ἀλλ' ὡς βελτίονος ὄντος; ἀλλ' οὐδ' ἂν αὐτὸς ἀξιώσειεν. Ἀλλ' ὅτι ἀποβεβληκὼς τὰ ὅπλα σώσαντι δικάζομαι; ἀλλ' οὐχ οὗτος ὁ λόγος διέσπαρται κατὰ τὴν πόλιν. (9) Μὴ δὴ κακῶς ἀκούοντα τὰ προσήκοντα ἐλεεῖτε, μηδ' ὑβρίζοντί τε καὶ λέγοντι παρὰ τοὺς νόμους συγγνώμην ἔχετε, καὶ ταῦτα εἰς ἄνδρα ὃς πολλὰς μὲν στρατηγίας ἐστρατήγηκε, πολλοὺς δὲ μεθ' ὑμῶν [κινδύνους] κεκινδύνευκε, καὶ οὔτε τοῖς πολεμίοις ὑποχείριος γέγονεν οὔθ' ὑμῖν εὐθύνας ὦφλεν, ἑβδομήκοντα δ' ἐτῶν ὢν ὑπ' ὀλιγαρχίας ἐτελεύτησε διὰ τὴν

XI.

CONTRA THEOMNESTUM ALTERA.

Multi vestrûm sciunt et mihi sunt testes, quod Theomnestus dixerit me patrem meum occidisse. Quod autem non occiderim manifestum est. (2) Duo enim et triginta annos natus sum, et a vestro reditu hic est annus vicesimus. Patet igitur annos duodecim me natum fuisse quum pater meus a trigintaviris est interfectus. Illa autem ætate, neque quid fuerit oligarchia scire, neque patri succurrere potui. Neque etiam recte pecuniarum causa illi insidiatus fuissem: omnes enim facultates invadens frater major natu, patriis bonis nos spoliavit.

3. Forsan dicet non esse eorum quæ lege interdicuntur, si quis dixerit aliquem patrem ἀπεκτονέναι, *occidisse*: hæc enim legem non vetare, sed ἀνδροφόνον, *homicidam*, aliquem appellare. Ego vero arbitror non de vocabulis, sed de vocabulorum sententiis laborandum esse, omnesque intelligere, quod quicumque aliquos *occiderunt* eorundem sunt *homicidæ*; et quicumque alicujus sunt *homicidæ*, hunc *occiderunt*. (4) Magnum enim fuisset negotium legislatori omnia vocabula scribere quæ eandem significationem habeant; at quum unum protulerit, idem statuit de omnibus. Non enim, Theomneste, si quis te vocet πατραλοίαν vel μητραλοίαν, *parricidam* vel *matricidam*, pœnis obnoxius est; si quis vero dixerit te verberasse genitricem vel genitorem, a pœna immunis erit. (5) Et, si quis te dixerit ῥίψασπιν, *scuti projectorem*, impunitus erit; lege enim pœnam caveri, si quis dixerit aliquem scutum *abjecisse*, sed non si quis eundem dixerit id *projecisse*. Similiter si unus esses virorum undecim, non reciperes hominem adductum ab aliquo qui togam vel tunicam spoliatus esset, si eum non nominaret λωποδύτην, *grassatorem*: et si quis παῖδ' ἐξῆγεν, *servum furto abduxit*, non reciperes ut ἀνδραποδιστήν, *plagiarium*. Et ipse quidem virum postulasti convicii quod dixerit te *projecisse scutum*. Attamen de verbo *projicere* in lege altum silentium; sed si quis dicat *abjecisse*. Quomodo igitur non iniquum est te, ubi opus sit inimicos tuos ulcisci, ita leges interpretari ut ego nunc; at ubi alteri conviciatus fueris, pœnas subire nolle. (7) Mihi igitur succurrite, id habentes in animo, multo gravius esse exprobrari quod patrem quis interfecerit, quam quod clypeum abjecerit. Ego sane mallem omnes quotquot sunt clypeos abjecisse, quam ita animatum fuisse in parentem. Istum utique vidi id facientem quod vos quoque scitis, et meum ipse clypeum servavi. (8) Cur itaque ab eo pœnas non repeterem? cujus criminis apud vos suspectus? Anne quod vere mihi objecta sit hæc exprobratio? at nec vos id dicere possitis. Anne quod reus melior sit quam ego? at nec iste quidem affirmaverit. Anne quod egomet, armis meis abjectis, eum convicii postulem qui sua domum salva retulit? at non ea fama percrebuit in civitate. (9) Ne igitur vos misereat merita audientis convicia, eidemque insolescenti et maledicenti contra leges condonetis: præsertim de illo homine qui vestris exercitibus sæpius præfuit, qui multa vobiscum subiit pericula, qui nunquam in hostium potestatem venit, qui annos natus septuaginta, propter suam in populum

ὑμετέραν εὔνοιαν. (10) Ἄξιον δὲ ὀργισθῆναι ὑπὲρ αὐτοῦ· τί γὰρ ἂν τούτου ἀνιαρότερον ἀκούσειεν, εἰ τεθνηκὼς ὑπὸ τῶν ἐχθρῶν αἰτίαν ἔχοι ὑπὸ τῶν τέκνων ἀνῃρῆσθαι; οὗ τῆς ἀρετῆς τὰ μνημεῖα πρὸς τοῖς ὑμετέροις ἱεροῖς ἀνάκειται, τῆς δὲ τούτων κακίας πρὸς τοῖς τῶν πολεμίων.

11. Ἐρεῖ δὲ ὡς ὀργισθεὶς εἴρηκεν. Ὑμεῖς δ' ἐνθυμεῖσθε ὅτι ὁ νομοθέτης οὐδεμίαν συγγνώμην ὀργῇ δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ. Ἐγὼ δὲ δὶς περὶ τούτου μεμαρτύρηκα· οὐ γὰρ ᾔδειν ὅτι ὑμεῖς τοὺς μὲν ἰδόντας τιμωρεῖσθε, τοῖς δὲ ἀποβάλλουσι συγγνώμην ἔχετε. Δέομαι οὖν καταψηφίσασθαι 120 αὐτοῦ. (12) Νυνὶ γὰρ διώκω μὲν κακηγορίας, τῇ δ' αὐτῇ ψήφῳ φόνου φεύγω τοῦ πατρός, οὗ μείζων ἀγὼν οὐκ ἂν γένοιτό μοι, ὃς μόνος δοκιμασθεὶς τοῖς τριάκοντ' ἐπεξῆλθον ἐν Ἀρείῳ πάγῳ. Βοηθήσατ' οὖν κἀκείνῳ κἀμοί.

XII.

ΚΑΤΑ ΕΡΑΤΟΣΘΕΝΟΥΣ

ΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΤΩΝ ΤΡΙΑΚΟΝΤΑ, ΟΝ ΑΥΤΟΣ ΕΙΠΕ ΛΥΣΙΑΣ.

Οὐκ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι, ὦ ἄνδρες δικασταί, τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι· τοιαῦτα αὐτοῖς τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος εἴργασται, ὥστε μήτ' ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατηγορῆσαι, μήτε τἀληθῆ βουλόμενον εἰπεῖν ἅπαντα δύνασθαι, ἀλλ' ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν ἢ τὸν χρόνον ἐπιλιπεῖν. (2) Τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ. Πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη πρὸς τοὺς φεύγοντας· νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ' ὅτου τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. Οὐ μέντοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφορὰς τοὺς λόγους ποιοῦμαι, ἀλλ' ὡς ἅπασι πολλῆς ἀφθονίας οὔσης ὑπὲρ τῶν ἰδίων ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι. (3) Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταί, οὔτ' ἐμαυτοῦ πώποτε οὔτε ἀλλότρια πράγματα πράξας νῦν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων τούτου κατηγορεῖν, ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην, μὴ διὰ τὴν ἀπειρίαν ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν ποιήσωμαι· ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι δι' ἐλαχίστων διδάξαι.

4. Οὑμὸς πατὴρ Κέφαλος ἐπείσθη μὲν ὑπὸ Περικλέους εἰς ταύτην τὴν γῆν ἀφικέσθαι, ἔτη δὲ τριάκοντα ᾤκησε, καὶ οὐδενὶ πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδικασάμεθα οὔτε ἐφύγομεν, ἀλλ' οὕτως ᾠκοῦμεν δημοκρατούμενοι, ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτάνειν μήτε ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι. (5) Ἐπειδὴ δ' οἱ τριάκοντα πονηροὶ μὲν καὶ συκοφάνται ὄντες εἰς

Atheniensem benevolentiam, in oligarchia occisus est. (10) Par est sane succensere pro tali viro. Quid enim illi acerbius contingere poterat quam ab hostibus interfici, infamari vero quasi a propriis liberis interfectus fuisset? cujus virtutis monumenta in templis vestris conspiciuntur, istorum autem ignaviæ in templis hostium apparent.

11. At dicet quod hæc præ ira in me effuderit. At vos recordimini nullam iracundiæ veniam dare legislatorem, verum pœnas a conviciatore sumi, ni ea quæ dixerit vera esse demonstret. Equidem jam bis de isto testatus sum: neque enim noveram vos pœna eos afficere qui alios arma abjicere videant, et ipsis abjicientibus condonare. Vos igitur obtestor ut Theomnestum condemnetis. (12) Nunc enim actor sum in causa convicii, eodem tamen judicio cædis paternæ reus constituor (qua contentione nulla gravior esse mihi possit), qui solus, simul ac inter viros sum adnumeratus, trigintaviros ad Areopagum in jus vocavi. Quapropter mihi patrique meo subvenite.

XII.

CONTRA ERATOSTHENEM

UNUM E TRIGINTA VIRIS ORATIO AB IPSO LYSIA DICTA.

Non mihi videtur difficile esse, judices, hujus accusationis principium, sed exitum reperire. Tot enim ab istis facinora tamque atrocia perpetrata sunt, ut neque qui mentiatur graviora criminari, neque qui vera dicere cupiat, omnia possit complecti; verum necesse sit aut deficere accusatorem, aut deesse tempus. (2) Mihi autem videtur aliter jam nobis eventurum, quam in superiori tempore solebat. Namque olim accusatores oportuit ostendere quænam sibi cum reis inimicitiæ intercederent: nunc autem ipsi rei sunt interrogandi, quænam ipsis cum civitate intercesserint inimicitiæ, unde tam graviter in illam peccare sustinuerint. Neque tamen hæc dico quasi privatorum odiorum propriæque calamitatis expers; sed quia cunctis civibus multæ irascendi causæ sint et de privatis et de publicis injuriis. (3) Ego igitur, judices, qui lites neque meas neque aliorum ullas unquam sum persecutus, hodie cogor ex ipsa rerum atrocitate accusare Eratosthenem. Ex quo mihi sæpius valde diffisus sum, ne propter rei insolentiam minus digne minusque valide pro fratre meque ipso accusationem hanc possem aggredi. Verumtamen conabor quam brevissime potuero rem omnem ab initio vos edocere.

4. Cephalus, pater meus, Periclis suasu in hanc urbem commigravit, ubi per triginta annos commoratus est; per quod tempus neque nos neque ille ullum unquam in jus vocavimus, nec ab ullo vocati sumus; verum ita viximus in statu populari, ut nec unquam offenderimus alios, nec ab aliis ullam perpessi fuerimus injuriam. (5) Postea vero quam trigintaviri adepti fuerunt imperium,

τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν καὶ τοὺς λοιποὺς πολίτας ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι, καὶ τοιαῦτα λέγοντες οὐ τοιαῦτα ποιεῖν ἐτόλμων, ὡς ἐγὼ περὶ τῶν ἐμαυτοῦ πρῶτον εἰπὼν καὶ περὶ τῶν ὑμετέρων ἀναμνῆσθαι πειράσομαι. (6) Θέογνις γὰρ καὶ Πείσων ἔλεγον ἐν τοῖς τριάκοντα περὶ τῶν μετοίκων, ὡς εἶέν τινες τῇ πολιτείᾳ ἀχθόμενοι· καλλίστην οὖν εἶναι πρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν, τῷ δ' ἔργῳ χρηματίζεσθαι· πάντως δὲ τὴν μὲν πόλιν πένεσθαι, τὴν δ' ἀρχὴν δεῖσθαι χρημάτων. (7) Καὶ τοὺς ἀκούοντας οὐ χαλεπῶς ἔπειθον· ἀποκτιννύναι μὲν γὰρ ἀνθρώπους περὶ οὐδενὸς ἡγοῦντο, λαμβάνειν δὲ χρήματα περὶ πολλοῦ ἐποιοῦντο. Ἔδοξεν οὖν αὐτοῖς δέκα συλλαβεῖν, τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς ᾖ πρὸς τοὺς ἄλλους ἀπολογία, ὡς οὐ χρημάτων ἕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα τῇ πολιτείᾳ γεγένηται, ὥσπερ τι τῶν ἄλλων εὐλόγως πεποιηκότες. (8) Διαλαβόντες δὲ τὰς οἰκίας ἐβάδιζον. Καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα κατέλαβον, οὓς ἐξελάσαντες Πείσωνί με παραδιδόασιν· οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες τὰ ἀνδράποδα ἀπεγράφοντο. Ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων εἰ βούλοιτό με σῶσαι χρήματα λαβών·
121 ὁ δ' ἔφασκεν, εἰ πολλὰ εἴη. (9) Εἶπον οὖν ὅτι τάλαντον ἀργυρίου ἕτοιμος εἴην δοῦναι· ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. Ἠπιστάμην μὲν οὖν ὅτι οὔτε θεοὺς οὔτ' ἀνθρώπους νομίζει, ὅμως δ' ἐκ τῶν παρόντων ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν. (10) Ἐπειδὴ δὲ ὤμοσεν ἐξώλειαν ἑαυτῷ καὶ τοῖς παισὶν ἐπαρώμενος, λαβὼν τὸ τάλαντόν με σώσειν, εἰσελθὼν εἰς τὸ δωμάτιον τὴν κιβωτὸν ἀνοίγνυμι· Πείσων δ' αἰσθόμενος εἰσέρχεται, καὶ ἰδὼν τὰ ἐνόντα καλεῖ τῶν ὑπηρετῶν δύο, καὶ τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν. (11) Ἐπεὶ δὲ οὐχ ὅσον ὡμολόγησα εἶχεν, ὦ ἄνδρες δικασταί, ἀλλὰ τρία τάλαντα ἀργυρίου καὶ τετρακοσίους κυζικηνοὺς καὶ ἑκατὸν δαρεικοὺς καὶ φιάλας ἀργυρᾶς τέσσαρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι δοῦναι, ὁ δ' ἀγαπήσειν με ἔφασκεν, εἰ τὸ σῶμα σώσω. (12) Ἐξιοῦσι δ' ἐμοὶ καὶ Πείσωνι ἐπιτυγχάνει Μηλόβιός τε καὶ Μνησιθείδης ἐκ τοῦ ἐργαστηρίου ἀπιόντες, καὶ καταλαμβάνουσι πρὸς αὐταῖς ταῖς θύραις, καὶ ἐρωτῶσιν ὅπῃ βαδίζοιμεν· ὁ δ' ἔφασκεν εἰς τὰ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ, ἵνα καὶ τὰ ἐν ἐκείνῃ τῇ οἰκίᾳ σκέψηται. Ἐκεῖνον μὲν οὖν ἐκέλευον βαδίζειν, ἐμὲ δὲ μεθ' αὐτῶν ἀκολουθεῖν εἰς Δαμνίππου. (13) Πείσων δὲ προσελθὼν σιγᾶν μοι παρεκελεύετο καὶ θαρρεῖν, ὡς ἥξων ἐκεῖσε. Καταλαμβάνομεν δὲ αὐτόθι Θέογνιν ἑτέρους φυλάττοντα· ᾧ παραδόντες ἐμὲ πάλιν ᾤχοντο. Ἐν τοιούτῳ δ' ὄντι μοι κινδυνεύειν ἐδόκει, ὡς τοῦ γε ἀποθανεῖν ὑπάρχοντος ἤδη. (14) Καλέσας δὲ Δάμνιππον λέγω πρὸς αὐτὸν τάδε, « ἐπιτήδειος μέν μοι τυγχάνεις ὤν, ἥκω δ' εἰς τὴν σὴν οἰκίαν, ἀδικῶ δ' οὐδέν, χρημάτων δ' ἕνεκα ἀπόλλυμαι. Σὺ οὖν ταῦτα πάσχοντί μοι πρόθυμον παράσχου τὴν σεαυτοῦ δύναμιν εἰς τὴν ἐμὴν σωτηρίαν. » Ὁ δ' ὑπέσχετο ταῦτα ποιήσειν. Ἐδόκει δ' αὐτῷ βέλτιον εἶναι πρὸς Θέογνιν μνησθῆναι·

dicebant quidem perversi homines et odiosi, civitatem ab improbis esse purgandam, ceterosque cives ad virtutis et justitiæ studia esse convertendos; at dicta factis non comprobabant, quemadmodum ego enitar vobis in memoriam revocare, primum de meis, deinde de rebus vestris orationem adornaturus. (6) Dixerunt apud trigintaviros Theognis et Piso de inquilinis, esse nonnullos qui præsentem reipublicæ statum ægre ferrent: pulcherrimam ergo hanc se nactos esse opportunitatem, verbo quidem pœnas repetendi, re autem vera faciendi quæstum: ac omnino urbem pauperem esse, imperium vero tenentes pecuniis indigere. (7) Quod nullo negotio persuasere audientibus, qui ut vitam hominum parvi, ita pecunias magni faciebant. Istis igitur visum est decem comprehendere; et ex his duos inopes, ut hæc ipsis adversus alios parata esset defensio, ista fieri scilicet non lucri privati causa, sed publici emolumenti; quasi ulla unquam in re juste et honeste egissent. (8) Ædes itaque inter se partiti proficiscuntur: et me quidem hospites convivio excipientem offenderunt, quibus expulsis me Pisoni tradidere; aliique ad officinam vadentes servorum nomina inscripsere. Ibi ego Pisonem interrogavi utrum me servare vellet accepta pecunia: annuit ille si modo multa foret. (9) Dixi igitur me paratum esse argenti talentum dare. Ille id facturum in se recepit. Noveram equidem eum neque deos neque homines quidquam revereri, verumtamen pro re nata necessarium maxime arbitrabar ut fidem ab ipso acciperem. (10) Postquam igitur juravit, sibi liberisque perniciem imprecatus, me a se, accepto talento, servatum iri, cubiculum ingressus arcam aperio. Piso autem animadvertens ingreditur ipse, iisque conspectis quæ inerant, duos ex famulis vocat, jubetque auferre quidquid habebat arca. (11) Atque ubi, judices, non quantum inter nos convenerat, sustulit, verum tria argenti talenta, et quadringentos Cyzicenos et centum Daricos, paterasque quattuor argenteas, rogavi mihi viaticum saltem relinqueret. Ille mecum bene actum esse aiebat, si vitam servarem. (12) Exeuntibus autem mihi et Pisoni obviam facti sunt Melobius et Mnesithides ex officina redeuntes; et in ipsis foribus nacti nos interrogant quo tenderemus. Ait Piso se ire ad fratrem meum, ut singula et illius domus bona perlustraret. Eum ergo ire jubent, me vero se ad Damnippi ædes comitari. (13) Tum accedens Piso me tacere et bono animo esse jubet; nam se quoque illuc venturum. Offendimus autem ibi Theognim alios custodientem; cui quum me tradidissent, abiere. Mihi autem in tali discrimine versanti aliquam servandæ salutis rationem tentandam esse visum est, quippe jam interituro. (14) Vocatum igitur Damnippum his verbis compellavi: Necessarius mihi es et familiaris; in tuis ædibus versor; nihil tamen admisi sceleris, sed propter pecunias meas pereo. Tu itaque mihi perpesso talia alacrem tuam operam in meam salutem præstes. Pollicetur ille se id facturum. Ipsi autem consultissimum visum est ut hæc cum Theognide

ἡγεῖτο γὰρ ἅπαν ποιήσειν αὐτόν, εἴ τις ἀργύριον διδοίη. (15) Ἐκείνου δὲ διαλεγομένου Θεόγνιδι (ἔμπειρος γὰρ ὢν ἐτύγχανον τῆς οἰκίας, καὶ ᾔδειν ὅτι ἀμφίθυρος εἴη) ἐδόκει μοι ταύτῃ πειρᾶσθαι σωθῆναι, ἐνθυμουμένῳ ὅτι, ἐὰν μὲν λάθω, σωθήσομαι, ἐὰν δὲ ληφθῶ, ἡγούμην μέν, εἰ Θέογνις εἴη πεπεισμένος ὑπὸ τοῦ Δαμνίππου χρήματα λαβεῖν, οὐδὲν ἧττον ἀφεθήσεσθαι, εἰ δὲ μή, ὁμοίως ἀποθανεῖσθαι. (16) Ταῦτα διανοηθεὶς ἔφευγον, ἐκείνων ἐπὶ τῇ αὐλείῳ θύρᾳ τὴν φυλακὴν ποιουμένων· τριῶν δὲ θυρῶν οὐσῶν, ἃς ἔδει με διελθεῖν, ἅπασαι ἀνεῳγμέναι ἔτυχον. Ἀφικόμενος δὲ εἰς Ἀρχένεω τοῦ ναυκλήρου, ἐκεῖνον πέμπω εἰς ἄστυ, πευσόμενον περὶ τοῦ ἀδελφοῦ· ἥκων δὲ ἔλεγεν ὅτι Ἐρατοσθένης αὐτὸν ἐν τῇ ὁδῷ λαβὼν εἰς τὸ δεσμωτήριον ἀπαγάγοι. (17) Καὶ ἐγὼ τοιαῦτα πεπυσμένος τῆς ἐπιούσης νυκτὸς διέπλευσα Μέγαράδε. Πολεμάρχῳ δὲ παρήγγειλαν οἱ τριάκοντα τὸ ὑπ' ἐκείνων εἰθισμένον παράγγελμα, πίνειν κώνειον, πρὶν τὴν αἰτίαν εἰπεῖν δι' ἥντινα ἔμελλεν ἀποθανεῖσθαι· οὕτω πολλοῦ ἐδέησε κριθῆναι καὶ ἀπολογήσασθαι. (18) Καὶ ἐπειδὴ ἀπεφέρετο ἐκ τοῦ δεσμωτηρίου τεθνεώς, τριῶν ἡμῖν οἰκιῶν οὐσῶν οὐδεμιᾶς εἴασαν ἐξενεχθῆναι, ἀλλὰ κλίσιον μισθωσάμενοι προὔθεντο αὐτόν. Καὶ πολλῶν ὄντων ἱματίων αἰτοῦσιν οὐδὲν ἔδοσαν εἰς τὴν ταφήν, ἀλλὰ τῶν φίλων ὁ μὲν ἱμάτιον, ὁ δὲ προσκεφάλαιον, ὁ δὲ ὅ τι ἕκαστος ἔτυχεν ἔδωκεν εἰς τὴν ἐκείνου ταφήν. (19) Καὶ ἔχοντες μὲν ἑπτακοσίας ἀσπίδας τῶν ἡμετέρων, ἔχοντες δὲ ἀργύριον καὶ χρυσίον τοσοῦτον, χαλκὸν δὲ καὶ κόσμον καὶ ἔπιπλα καὶ ἱμάτια γυναικεῖα ὅσα οὐδεπώποτε ᾤοντο κτήσασθαι, καὶ ἀνδράποδα εἴκοσι καὶ ἑκατόν, ὧν τὰ μὲν βέλτιστα ἔλαβον, τὰ δὲ λοιπὰ εἰς τὸ δημόσιον ἀπέδοσαν, εἰς τοσαύτην ἀπληστίαν καὶ αἰσχροκέρδειαν ἀφίκοντο καὶ τοῦ τρόπου τοῦ αὑτῶν ἀπόδειξιν ἐποιήσαντο· τῆς γὰρ Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλικτῆρας, οὓς ἔχουσα ἐτύγχανεν ὅτε τὸ πρῶτον ἦλθεν εἰς τὴν οἰκίαν Μηλόβιος, ἐκ τῶν ὤτων ἐξεί-
122λετο. (20) Καὶ οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οὐσίας ἐλέου παρ' αὐτῶν ἐτυγχάνομεν· ἀλλ' οὕτως εἰς ἡμᾶς διὰ τὰ χρήματα ἐξημάρτανον, ὥσπερ ἂν ἕτεροι μεγάλων ἀδικημάτων ὀργὴν ἔχοντες, οὐ τούτων ἀξίους γε ὄντας τῇ πόλει, ἀλλὰ πάσας τὰς χορηγίας χορηγήσαντας, πολλὰς δ' εἰσφορὰς εἰσενεγκόντας, κοσμίους δ' ἡμᾶς αὐτοὺς παρέχοντας καὶ πᾶν τὸ προσταττόμενον ποιοῦντας, ἐχθρὸν δ' οὐδένα κεκτημένους, πολλοὺς δ' Ἀθηναίων ἐκ τῶν πολεμίων λυσαμένους τοιούτων ἠξίωσαν, οὐχ ὁμοίως μετοικοῦντας ὥσπερ αὐτοὶ ἐπολιτεύοντο. (21) Οὗτοι γὰρ πολλοὺς μὲν τῶν πολιτῶν εἰς τοὺς πολεμίους ἐξήλασαν, πολλοὺς δ' ἀδίκως ἀποκτείναντες ἀτάφους ἐποίησαν, πολλοὺς δ' ἐπιτίμους ὄντας ἀτίμους τῆς πόλεως κατέστησαν, πολλῶν δὲ θυγατέρας μελλούσας ἐκδίδοσθαι ἐκώλυσαν. (22) Καὶ εἰς τοσοῦτόν εἰσι τόλμης ἀφιγμένοι, ὥσθ' ἥκουσιν ἀπολογησόμενοι, καὶ λέγουσιν ὡς οὐδὲν κακὸν οὐδ' αἰσχρὸν εἰργασμένοι εἰσίν. Ἐγὼ δ' ἐβουλόμην ἂν αὐτοὺς ἀληθῆ λέγειν· μετῆν γὰρ ἂν καὶ ἐμοὶ τούτου τἀγαθοῦ οὐκ ἐλάχιστον μέρος· (23) νῦν

communicaret, quem omnia facturum arbitrabatur, si quis ipsi offerret pecuniam. (15) Dum igitur is cum Theognide colloqueretur (eram enim ædium peritus, easque noveram esse bifores), statui mihi tentandum esse aliquid ut hac aufugerem; reputans scilicet me, si id facerem clanculum, salvum fore; sin deprehenderer, nihilo tamen minus posse liberari, si Damnippus Theognidi persuaderet pecuniam accipere; sin renueret, me pariter interiturum. (16) Quæ cogitans subripui me, istis atria servantibus; et quum tres essent fores per quas transire me oportuit, eas omnes offendi apertas. Atque quum ad Archenei nauclerì ædes pervenissem, illum ad urbem mitto de meo fratre percontaturum. Reversus narrat eum ab Eratosthene in via deprehensum et in carcerem deductum esse. (17) His ego auditis insequenti nocte Megaram navigavi. Polemarcho autem solitum istud edictum trigintaviri denuntiarunt ut cicutam biberet, nulla causa necis prolata: adeo non ipsi licuit lege experiri seque ipsum defendere. (18) Et quum ex carcere mortuus exportaretur, quanquam nobis tres erant ædes, ex nulla tamen harum eum efferri permiserunt, sed conducto tugurio, ibi eum exponebant. Et quum nobis vestes essent plurimæ, nullam tamen concessere ad sepulturam petentibus, verum amicorum unus vestem, pulvinum alter, alter quodcumque præsto esset, in funus dabat. (19) Jam qui habebant ex bonis nostris septingentos clypeos, tantum auri atque argenti, præterea æs, et varia ornamenta, mundumque muliebrem, quantum nunquam se nacturos esse arbitrabantur, mancipia denique centum et viginti, quorum præstantissima sibi reservarunt, reliqua contulerunt in publicum; in eam tamen inexplebilem cupiditatem turpemque lucri amorem processere, ea morum suorum prodidere specimina, ut Ptolemarchi uxoris inaures aureas, quas habuit ubi primum in ædes ejus venerat Melobius, ex auribus detraxerit. (20) Et ne minima quidem in parte fortunarum nostrarum quidquam humanitatis ab istis sumus experti; verum propter divitias nostras ita atrociter nos exceperunt, ut solent alii propter gravissimas injurias. Atqui non hæc meriti eramus a republica: verum nobis qui sumptus omnes publicos tulimus, qui multa tributa persolvimus, qui nos modeste gessimus, qui omnia imperata exsecuti fuimus, qui nullius nobis inimicitias conciliavimus, multosque Athenienses ab hostibus redimendos curavimus; nobis, inquam, hanc gratiam retulere, nobis qui inquilinos ejusmodi nos non præstitimus quales illi se reipublicæ duces præstabant. (21) Illi etenim civium multos ad hostes confugere coegerunt, multos inique occisos jacere insepultos passi sunt, multos jure civium utentes civitatis communione expulerunt, multorumque filias jam nupturas prohibuerunt ne nuberent: (22) eo tamen audaciæ sunt provecti, ut etiam veniant defensionem meditantes, ac dicant se nihil mali, nihil turpe commisisse. Vellem utique eos hæc vera dicere; istius enim boni non minima pars ad me pertineret: (23) jam vero longe aliter

δὲ οὔτε πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει οὔτε πρὸς ἐμέ· τὸν ἀδελφὸν γάρ μου, ὥσπερ καὶ πρότερον εἶπον, Ἐρατοσθένης ἀπέκτεινεν, οὔτε αὐτὸς ἰδίᾳ ἀδικούμενος οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνοντα, ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως ἐξυπηρετῶν. (24) Ἀναβιβασάμενος δ' αὐτὸν βούλομαι ἐρέσθαι, ὦ ἄνδρες δικασταί. Τοιαύτην γὰρ γνώμην ἔχω· ἐπὶ μὲν τῇ τούτου ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου διαλέγεσθαι ἀσεβὲς εἶναι νομίζω, ἐπὶ δὲ τῇ τούτου βλάβῃ καὶ πρὸς αὐτὸν τοῦτον ὅσιον καὶ εὐσεβές. Ἀνάβηθι οὖν μοι καὶ ἀπόκριναι, ὅ τι ἄν σε ἐρωτῶ.

25. Ἀπήγαγες Πολέμαρχον ἢ οὔ; Τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς ἐποίουν. Ἦσθα δ' ἐν τῷ βουλευτηρίῳ, ὅτε οἱ λόγοι ἐγίνοντο περὶ ἡμῶν; Ἦν. Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι ἢ ἀντέλεγες; Ἀντέλεγον. Ἵνα μὴ ἀποθάνωμεν; Ἵνα μὴ ἀποθάνητε. Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια; Ἄδικα.

26. Εἶτ', ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μὲν ἵνα σώσειας, συνελάμβανες δὲ ἵνα ἀποκτείναις; καὶ ὅτε μὲν τὸ πλῆθος ἦν ὑμῶν κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν φῂς τοῖς βουλομένοις ἡμᾶς ἀπολέσαι, ἐπειδὴ δὲ ἐπὶ σοὶ μόνῳ ἐγένετο καὶ σῶσαι Πολέμαρχον καὶ μή, εἰς τὸ δεσμωτήριον ἀπήγαγες; εἶθ' ὅτι μέν, ὡς φῄς, ἀντειπὼν οὐδὲν ὠφέλησας, ἀξιοῖς χρηστὸς νομίζεσθαι, ὅτι δὲ συλλαβὼν ἀπέκτεινας, οὐκ οἴει ἐμοὶ καὶ τουτοισὶ δοῦναι δίκην;

27. Καὶ μὴν οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν, εἴπερ ἀληθῆ λέγει φάσκων ἀντειπεῖν, ὡς αὐτῷ προσετάχθη. Οὐ γὰρ δήπου ἐν τοῖς μετοίκοις πίστιν παρ' αὐτοῦ ἐλάμβανον. Ἔπειτα τῷ ἧττον εἰκὸς ἦν προσταχθῆναι ἢ ὅστις ἀντειπών γε ἐτύγχανεν καὶ γνώμην ἀποδεδειγμένος; τίνα γὰρ εἰκὸς ἦν ἧττον ταῦτα ὑπηρετῆσαι ἢ τὸν ἀντειπόντα οἷς ἐκεῖνοι ἐβούλοντο πραχθῆναι; (28) Ἔτι δὲ τοῖς μὲν ἄλλοις Ἀθηναίοις ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν γεγενημένων εἰς τοὺς τριάκοντα ἀναφέρειν τὴν αἰτίαν· αὐτοὺς δὲ τοὺς τριάκοντα, ἂν εἰς σφᾶς αὐτοὺς ἀναφέρωσι, πῶς εἰκὸς ὑμᾶς ἀποδέχεσθαι; (29) Εἰ μὲν γάρ τις ἦν ἐν τῇ πόλει ἀρχὴ ἰσχυροτέρα αὐτῆς, ὑφ' ἧς αὐτῷ προσετάττετο παρὰ τὸ δίκαιον ἀνθρώπους ἀπολλύναι, ἴσως ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχετε· νῦν δὲ παρὰ τοῦ ποτε καὶ λήψεσθε δίκην, εἴπερ ἐξέσται τοῖς τριάκοντα λέγειν ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποίουν; (30) Καὶ μὲν δὴ οὐκ ἐν τῇ οἰκίᾳ, ἀλλ' ἐν τῇ ὁδῷ σῴζοντα αὐτὸν καὶ τὰ τούτοις ἐψηφισμένα, ὃν συλλαβὼν ἀπήγαγεν. Ὑμεῖς δὲ πάντες ὀργίζεσθε, ὅσοι εἰς τὰς οἰκίας ἦλθον τὰς ὑμετέρας ζήτησιν ποιούμενοι ἢ ὑμῶν ἢ τῶν ὑμετέρων τινός. (31) Καίτοι εἰ χρὴ τοῖς διὰ τὴν ἑαυτῶν σωτη-
123 ρίαν ἑτέρους ἀπολέσασι συγγνώμην ἔχειν, ἐκείνοις ἂν δικαιότερον ἔχοιτε· κίνδυνος γὰρ ἦν πεμφθεῖσι μὴ ἐλθεῖν καὶ καταλαβοῦσιν ἐξάρνοις γενέσθαι. Τῷ δὲ Ἐρατοσθένει ἐξῆν εἰπεῖν ὅτι οὐκ ἀπήντησεν, ἔπειτα ὅτι οὐκ εἶδεν· ταῦτα γὰρ οὔτ' ἔλεγχον οὔτε βάσανον

res ab istis gestæ sunt tum erga me tum erga civitatem. Fratrem enim meum, ut prius dixi, Eratosthenes interfecit, nulla privatim injuria læsus, nihilque illum delinquentem nactus in civitatem, verum suæ improbitati cupide morem gerens. (24) Hunc autem productum interrogare velim, judices. Quippe in ea sententia sum, ut salutis hujus gratia cum alio homine sermocinari impium esse existimem, sed ejusdem exitii causa vel cum eo ipso colloqui sanctum esse et pium judicem. Ascende igitur, et si quid te interrogavero, responde.

25. Abduxistine Polemarchum, an non? Quæ a collegis meis imperata erant metu coactus exsequebar. Aderasne in curia quum sermo de nobis habitus est? Adfui. Assentiebarisne iis qui nostram mortem suadebant, an contradicebas? Contradicebam. Quid? ne interficeremur? Ne interficeremini. Arbitratusne nos iniqua pati vel æqua? Iniqua.

26. Itane igitur, omnium sceleratissime, contradicebas ut nos servares, comprehendisti vero ut interficeres? Et quum penes vos universos nostra salus erat, te ais contradixisse nostram mortem cupientibus: quum autem penes te unum erat Polemarchum vel servare vel occidere, in carcerem abduxisti? Deinde, quod, ut ais, contradicendo profeceris nihil, vis haberi vir probus; quod autem comprehensum virum interfeceris, non arbitraris te mihi et his pœnas daturum?

27. Atqui si verum est quod ait, se contradixisse, non ipsi credendum est quum dicit sibi illud munus fuisse demandatum; siquidem in advenis fidem ejus experiri noluissent. Nam cui credibile est ei illud munus demandatum fuisse qui contradicebat, suamque sententiam palam professus est? Quem enim minus credere licet imperata ab illis exsequenda recepisse, quam iis rebus contradicentem quas illi perfici voluerunt? (28) Ad hæc, ceteris quidem civibus rerum gestarum mihi videtur parata esse satis honesta excusatio, si culpam in trigintaviros conferant: at si ipsi trigintaviri culpam mutuo conferant in se ipsos, qui possitis illud admittere? (29) Etenim si fuisset in republica major aliqua potestas a qua isti imperatum esset homines enecare præter jus, non injuria forsan veniam isti concederetis: jam autem quando demum ab isto repetetis pœnas, si licebit trigintaviris dicere quod trigintavirorum imperiis paruerint, ipsorumque decreta exsequerentur? (30) Huc accedit quod Polemarchum non in domo sua, sed in via publica offendens, quum hoc modo servare ipsum salvis istorum decretis potuisset, nihilominus comprehensum abduxit. Vos quidem omnes succensetis, si qui in ædes vestras irruerunt, aut vos aut e vestris aliquem quæsituri. (31) Attamen si his qui ut suæ salutis rationem haberent alios in exitium rapuerunt, ignoscendum est, illis profecto justius ignoscetis. Periculum enim erat, si aut missi non abirent, aut si deprehendentes negarent se deprehendisse. Eratostheni autem licebat dicere se vel non occurrisse viris vel ipsos non novisse. Excusationes hujusmodi neque scru-

εἶχεν, ὥστε μηδ' ὑπὸ τῶν ἐχθρῶν βουλομένων οἷόν τ' εἶναι ἐξελεγχθῆναι. (32) Χρῆν δέ σε, ὦ Ἐρατόσθενες, εἴπερ ἦσθα χρηστός, πολὺ μᾶλλον τοῖς μέλλουσιν ἀδίκως ἀποθανεῖσθαι μηνυτὴν γενέσθαι ἢ τοὺς ἀδίκως ἀπολουμένους συλλαμβάνειν. Νῦν δέ σου τὰ ἔργα φανερὰ γεγένηται οὐχ ὡς ἀνιωμένου, ἀλλ' ὡς ἡδομένου τοῖς γιγνομένοις, (33) ὥστε τούσδε ἐκ τῶν ἔργων χρὴ μᾶλλον ἢ ἐκ τῶν λόγων τὴν ψῆφον φέρειν, ἃ ἴσασι γεγενημένα τῶν τότε λεγομένων τεκμήρια λαμβάνοντας, ἐπειδὴ μάρτυρας περὶ αὐτῶν οὐχ οἷόν τε παρασχέσθαι. Οὐ γὰρ μόνον ἡμῖν παρεῖναι οὐκ ἐξῆν, ἀλλ' οὐδὲ παρ' αὐτοῖς εἶναι, ὥστ' ἐπὶ τούτοις ἐστὶ πάντα τὰ κακὰ εἰργασμένοις τὴν πόλιν πάντα τἀγαθὰ περὶ αὑτῶν λέγειν. (34) Τοῦτο μέντοι οὐ φεύγω, ἀλλ' ὁμολογῶ σοι, εἰ βούλει, ἀντειπεῖν. Θαυμάζω δὲ τί ἄν ποτε ποιήσαις συνειπών, ὁπότε ἀντειπεῖν φάσκων ἀπέκτεινας Πολέμαρχον. Φέρε δή, τί ἂν εἰ καὶ ἀδελφοὶ ὄντες ἐτύχετε αὐτοῦ ἢ καὶ υἱεῖς; ἀπεψηφίσασθε; δεῖ γάρ, ὦ ἄνδρες δικασταί, Ἐρατοσθένην δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτόν, ἢ ὡς δικαίως τοῦτ' ἔπραξεν. Οὗτος δὲ ὡμολόγηκεν ἀδίκως συλλαβεῖν, ὥστε ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκε. (35) Καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἥκουσιν εἰσόμενοι τίνα γνώμην περὶ τούτων ἕξετε. Ὧν οἱ μὲν ὑμέτεροι ὄντες πολῖται μαθόντες ἀπίασιν ὅτι ἢ δίκην δώσουσιν ὧν ἂν ἐξαμάρτωσιν, ἢ πράξαντες μὲν ὧν ἐφίενται τύραννοι τῆς πόλεως ἔσονται, δυστυχήσαντες δὲ τὸ ἴσον ὑμῖν ἕξουσιν· ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν, εἴσονται πότερον ἀδίκως τοὺς τριάκοντα ἐκκηρύττουσιν ἐκ τῶν πόλεων ἢ δικαίως. Εἰ γὰρ δὴ αὐτοὶ οἱ κακῶς πεπονθότες λαβόντες ἀφήσουσιν, ἦπου σφᾶς αὐτοὺς ἡγήσονται περιέργους ὑπὲρ ὑμῶν τιμωρουμένους. (36) Οὐκ οὖν δεινὸν εἰ τοὺς μὲν στρατηγούς, οἳ ἐνίκων ναυμαχοῦντες, ὅτι διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε, ἡγούμενοι χρῆναι τῇ τῶν τεθνεώτων ἀρετῇ παρ' ἐκείνων δίκην λαβεῖν, τούτους δὲ δή, οἳ ἰδιῶται μὲν ὄντες καθ' ὅσον ἐδύναντο ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας, ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι, οὐκ ἄρα χρὴ αὐτοὺς καὶ τοὺς παῖδας ὑφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι;

37. Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, ἠξίουν ἱκανὰ εἶναι τὰ κατηγορημένα· μέχρι γὰρ τούτου νομίζω χρῆναι κατηγορεῖν ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι ἄξια εἰργάσθαι· ταύτην γὰρ ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν. Ὥστ' οὐκ οἶδ' ὅ τι δεῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν, οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων δὶς ἀποθανόντες δίκην δοῦναι δύναιντ' ἄν. (38) Οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτῷ προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστίν, πρὸς μὲν τὰ κατηγορημένα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν ἕτερα λέγοντες ἐνίοτε ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνύντες ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς

tinium neque probationem admittunt; adeo ut iste neque ab inimicis, etiamsi id maxime vellent, convinci potuisset. (32) Oportuit te, Eratosthenes, si quidem probus eras, multo magis viros injuste perituros præmonuisse, quam eosdem comprehendere eo consilio ut injustam ipsi mortem paterentur. Nunc autem res a te gestæ satis arguunt te non doluisse, sed gavisum esse his quæ fiebant. (33) Quapropter hos in sententia ferenda facta magis oportet quam verba spectare, ex his quæ gesta esse sciunt ea quæ tunc dicebantur judicantes, quandoquidem de his testes produci non possint. Nobis enim non solum adesse, sed ne manere quidem domi licebat. Istos itaque penes est, quum de republica pessime sunt meriti, optima omnia de se prædicare. (34) Equidem non infitior, at concedam, si velis, te contradixisse. Miror autem quid tandem facturus fuisses assentiens, quum contradicens interfeceris Polemarchum. Age vero, judices, si fratres fuissetis illius aut filii, an istum absolveretis? Oportet enim Eratosthenem horum alterum commonstrare, aut hominem non abduxisse, aut id jure fecisse: ipse porro confessus est se illum comprehendisse præter jus; fecit igitur ut de ipso facile judicium ferre possitis. (35) Ac multi quidem huc venerunt quum cives, tum hospites, cogniturі quænam de istis vestra sententia sit futura. Quorum qui vestri sunt cives, admoniti discedent, se vel eorum quæ egerint male pœnas daturos, vel iis quæ in animo habeant ad exitum perductis, futuros esse civitatis tyrannos, spe autem excidentes nihilominus paria vobiscum consecuturos. Ex hospitibus vero qui adsunt, ediscent utrum jure an injuria trigintaviros e civitatibus suis voce præconis expellant. Nam si vos qui pertulistis mala, comprehensos trigintaviros dimiseritis, ipsi profecto existimabunt se inani prorsus opera vestri gratia pœnas de illis sumere. (36) Nonne igitur illud foret iniquissimum si, quum vos olim duces navali prœlio victoriam adeptos, ob hoc quod, ut ipsi aiebant, propter tempestatem recipere submersos non potuerint, capitali supplicio affeceritis, arbitrati deberi hoc virtuti interemptorum ut ejusmodi pœnas reposceretis; istos nunc, qui et privati, quantum in ipsis erat, cladem vobis navalem compararunt, fatenturque se rerum potitos indicta causa plurimos cives ultro interfecisse, istos, inquam, ipsorumque liberos nonne a vobis extremis suppliciis mulctari decet?

37. Equidem, judices, ea sufficere arbitrabar quæ hactenus sum criminatus. Eo usque enim accusandum esse existimo, quousque constabit reum ea perpetrasse quæ morte sunt vindicanda; hoc enim ultimum est supplicium quod ab eo sumere possumus. Non video itaque cur longa accusatio sit instituenda contra istiusmodi homines, qui, si ob unumquodque facinus quod admiserunt, bis mortem consequerentur, pœnas tamen ne sic quidem justas essent daturi. (38) Neque denique huic facere licet quod in hac civitate fieri solet, scilicet ut criminibus quæ objiciuntur nihil omnino respondeant, de se vero aliena commemorantes vos in fraudem, si liceat, inducant, ostendentes

τῶν πολεμίων ναῦς ἔλαβον τριηραρχήσαντες, ἢ πόλεις πολεμίας οὔσας φίλας ἐποίησαν· (39) ἐπεὶ κελεύετε αὐτὸν ἀποδεῖξαι ὅπου τοσούτους τῶν πολεμίων ἀπέκτειναν ὅσους τῶν πολιτῶν, ἢ ναῦς ὅπου τοσαύτας ἔλαβον ὅσας αὐτοὶ παρέδοσαν, ἢ πόλιν ἥντινα τοιαύτην προσεκτήσαντο οἵαν τὴν ὑμετέραν κατεδουλώσαντο. (40) Ἀλλὰ γὰρ ὅπλα τῶν πολεμίων ἐσκύλευσαν ὅσα περ ὑμῶν ἀφείλοντο; ἀλλὰ τείχη τοιαῦτα εἷλον οἷα τῆς
124 ἑαυτῶν πατρίδος κατέσκαψαν; οἵτινες καὶ τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον, καὶ ὑμῖν ἐδήλωσαν ὅτι οὐδὲ τὸν Πειραιᾶ Λακεδαιμονίων προσταττόντων περιεῖλον, ἀλλ' ὅτι αὑτοῖς τὴν ἀρχὴν οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι.

41. Πολλάκις οὖν ἐθαύμασα τῆς τόλμης τῶν λεγόντων ὑπὲρ αὐτῶν, πλὴν ὅταν ἐνθυμηθῶ ὅτι τῶν αὐτῶν ἐστιν αὐτούς τε πάντα τὰ κακὰ ἐργάζεσθαι καὶ τοὺς τοιούτους ἐπαινεῖν. (42) Οὐ γὰρ νῦν πρῶτον τῷ ὑμετέρῳ πλήθει τὰ ἐναντία ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ τῶν τετρακοσίων ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστὰς ἔφευγεν ἐξ Ἑλλησπόντου τριήραρχος καταλιπὼν τὴν ναῦν, μετὰ Ἰατροκλέους καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν. Ἀφικόμενος δὲ δεῦρο τἀναντία τοῖς βουλομένοις δημοκρατίαν εἶναι ἔπραττεν. Καὶ τούτων μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

43. Τὸν μὲν τοίνυν μεταξὺ βίον αὐτοῦ παρήσω· ἐπειδὴ δὲ ἡ ναυμαχία καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο, δημοκρατίας ἔτι οὔσης, ὅθεν τῆς στάσεως ἦρξαν, πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων, συναγωγεῖς μὲν τῶν πολιτῶν, ἄρχοντες δὲ τῶν συνωμοτῶν, ἐναντία δὲ τῷ ὑμετέρῳ πλήθει πράττοντες· ὧν Ἐρατοσθένης καὶ Κριτίας ἦσαν. (44) Οὗτοι δὲ φυλάρχους τε ἐπὶ τὰς φυλακὰς κατέστησαν, καὶ ὅ τι δέοι χειροτονεῖσθαι καὶ οὕστινας χρείη ἄρχειν παρήγγελλον, καὶ εἴ τι ἄλλο πράττειν βούλοιντο, κύριοι ἦσαν· οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὑπὸ τούτων πολιτῶν ὄντων ἐπεβουλεύεσθε ὅπως μήτ' ἀγαθὸν μηδὲν ψηφίσαισθε πολλῶν τε ἐνδεεῖς ἔσεσθε. (45) Τοῦτο γὰρ καὶ ἠπίσταντο, ὅτι ἄλλως μὲν οὐχ οἷοί τε ἔσονται περιγενέσθαι, κακῶς δὲ πραττόντων δυνήσονται· καὶ ὑμᾶς ἡγοῦντο τῶν παρόντων κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι περὶ τῶν μελλόντων οὐκ ἐνθυμήσεσθαι. (46) Ὡς τοίνυν τῶν ἐφόρων ἐγένετο, μάρτυρας ὑμῖν παρέξομαι, οὐ τοὺς τότε συμπράττοντας (οὐ γὰρ ἂν δυναίμην), ἀλλὰ τοὺς αὐτοῦ Ἐρατοσθένους ἀκούσαντας. (47) Καίτοι εἰ ἐσωφρόνουν, κατεμαρτύρουν ἂν αὐτῶν, καὶ τοὺς διδασκάλους τῶν σφετέρων ἁμαρτημάτων σφόδρ' ἂν ἐκόλαζον, καὶ τοὺς ὅρκους, εἰ ἐσωφρόνουν, οὐκ ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς πιστοὺς ἐνόμιζον, ἐπὶ δὲ τοῖς τῆς πόλεως ἀγαθοῖς ῥᾳδίως παρέβαινον. Πρὸς μὲν οὖν τούτους τοσαῦτα λέγω, τοὺς δὲ μάρτυράς μοι κάλει. Καὶ ὑμεῖς ἀνάβητε.

se aut strenuos esse bellatores, aut triremibus præfectos multas hostium naves cepisse, aut inimicas civitates nobis fecisse amicas. (39) Verum jubete ut vos doceat ubi isti tot hostes quot cives interfecerint, ubi tot naves ceperint quot ipsi prodiderunt, aut quam tantam urbem nostræ ditioni adjunxerint, quantam nostram redegerunt in servitutem. (40) Quid? istine tot arma hostibus detraxerunt, quot vobis abstulere? Taliane hostium mœnia expugnarunt qualia suæ ipsorum patriæ diruerunt? Qui quidem everterunt Atticæ propugnacula, vobisque significarunt, se Piræeum non Lacedæmoniorum jussu sustulisse, sed quod ita firmiorem sibi dominatum comparari existimabant.

41. Sæpe igitur mirari soleo audaciam eorum qui pro istis verba faciunt, donec in mentem subeat eorundem hominum esse et omnia facinora perpetrare et hujusmodi facinorosos laudare. (42) Ceterum non nunc iste primum populi commodis adversatus est; sed jam sub virorum quadringentorum dominatu, oligarchia in castris constituta, ex Hellesponto, relicta navi cui præerat, aufugit, una cum Iatrocle, aliisque quorum nomina recensere hic non necesse habeo. Huc quum advenisset, contraria molitus est iis qui democratiam tuebantur : quarum rerum testes vobis producam.

TESTES.

43. Vitam istius quæ ex eo tempore consecuta est omittam; commisso autem prœlio illo navali, quum res quidem civitatis afflictæ essent, at democratia tamen adhuc servaretur, quinque viri ephororum nomine (quod dissidiorum initium fuit) ab iis constituti sunt qui vocabantur *socii*; qui quidem civium conciliatores videbantur esse, sed reipsa conjuratorum erant principes et popularis status eversores. Horum in numero fuere Eratosthenes et Critias. (44) Jam vero isti phylarchis urbem custodiendam commiserunt, et quid suffragiis decernendum, quinam ad magistratus essent provehendi, in mandatis dedere, ac si quid aliud fieri vellent, id ipsos penes erat. Atque ideo non ab hostibus solum, sed ab his ipsis civibus insidiæ vobis parabantur, ut et nihil boni statueretis, et plurimarum rerum inopia laboraretis. (45) Hoc enim providebant, alia ratione fieri non posse ut vos superarent, rebus autem vestris se male habentibus fieri posse : et vos existimabant præsentibus malis liberari desiderantes, de futuris rebus non fore prospecturos. (46) Quod autem iste inter ephoros fuerit, testibus id edocebo, non iis qui una agebant (neque enim ita possem), sed iis qui ex ipso Eratosthene audierunt. (47) Attamen illi, si saperent, contra istos homines dicerent testimonium, suorumque delictorum magistros punirent graviter, neque, si cordati forent, ratum sanctumque haberent jusjurandum in civium perniciem, dum in communi civitatis bono temere violarent. De illis igitur hæc dicta sunto. Voca mihi testes; et vos huc ascendite.

ΜΑΡΤΥΡΕΣ.

48. Τῶν μὲν μαρτύρων ἀκηκόατε. Τὸ δὲ τελευταῖον εἰς τὴν ἀρχὴν καταστὰς ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν. Καίτοι εἴπερ ἦν ἀνὴρ ἀγαθός, ἐχρῆν ἂν πρῶτον μὲν μὴ παρανόμως ἄρχειν, ἔπειτα τῇ βουλῇ μηνυτὴν γίνεσθαι περὶ τῶν εἰσαγγελιῶν ἁπασῶν, ὅτι ψευδεῖς εἶεν, καὶ Βάτραχος καὶ Αἰσχυλίδης οὐ τἀληθῆ μηνύουσιν, ἀλλὰ τὰ ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι, συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ. (49) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ὅσοι κακόνοι ἦσαν τῷ ὑμετέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον σιωπῶντες· ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες καὶ πράττοντες ὧν οὐχ οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι τῇ πόλει. Ὁπόσοι δ' εὖνοί φασιν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λέγοντες καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες;

50. Ἴσως δ' ἂν ἔχοι εἰπεῖν ὅτι ἐδεδοίκει, καὶ ὑμῶν τοῦτο ἐνίοις ἱκανὸν ἔσται. Ὅπως τοίνυν μὴ φανήσεται ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος· εἰ δὲ μή, ἐνταυθοῖ δῆλος ἔσται ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε, καὶ τοσοῦτον ἐδύνατο ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ' αὐτῶν. Χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύτην τὴν προθυμίαν ἔχειν, ἀλλὰ μὴ ὑπὲρ Θηραμένους, ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτεν. (51) Ἀλλ' οὗτος τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς φίλους, ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμη-125ρίοις παραστήσω, καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς οὐχ ὑπὲρ ὑμῶν, ἀλλ' ὑπὲρ ἑαυτῶν γινομένας, ὁπότεροι ταῦτα πράξουσι καὶ τῆς πόλεως ἄρξουσι. (52) Καὶ γὰρ εἰ ὑπὲρ τῶν ἀδικουμένων ἐστασίαζον, ποῦ κάλλιον ἂν ἦν ἀνδρὶ ἄρχοντι, ἢ Θρασυβούλου Φυλὴν κατειληφότος, τότ' ἐπιδείξασθαι τὴν αὑτοῦ συνουσίαν; Ὁ δ' ἀντὶ τοῦ ἐπαγγείλασθαί τι ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ἐπὶ Φυλῇ, ἐλθὼν μετὰ τῶν συναρχόντων εἰς Σαλαμῖνα καὶ Ἐλευσῖνάδε τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμωτήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων θάνατον κατεψηφίσατο. (53) Ἐπειδὴ δὲ εἰς τὸν Πειραιᾶ ἤλθομεν καὶ αἱ ταραχαὶ γεγενημέναι ἦσαν καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγίνοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους ἔσεσθαι ὡς ἀμφότεροι ἔδοξαν. (54) Οἱ μὲν γὰρ ἐκ Πειραιῶς κρείττους ὄντες εἴασαν αὐτοὺς ἀπελθεῖν· οἱ δὲ εἰς τὸ ἄστυ ἐλθόντες τοὺς μὲν τριάκοντα ἐξέβαλον πλὴν Φείδωνος καὶ Ἐρατοσθένους, ἄρχοντας δὲ τοὺς ἐκείνοις ἐχθίστους εἵλοντο, ἡγούμενοι δικαίως ἂν ὑπὸ τῶν αὐτῶν τούς τε τριάκοντα μισεῖσθαι καὶ τοὺς ἐν Πειραιεῖ φιλεῖσθαι. (55) Τούτων τοίνυν Φείδων ὁ τῶν τριάκοντα γενόμενος καὶ Ἱπποκλῆς καὶ Ἐπιχάρης ὁ Λαμπτρεὺς καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτατοι Χαρικλεῖ καὶ Κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὐτοὺς εἰς τὴν ἀρχὴν κατέστησαν, πολὺ μείζω στάσιν καὶ πόλεμον ἐπὶ τοὺς ἐν Πειραιεῖ τοῖς ἐξ ἄστεος ἐποίησαν. (56) Ἧι καὶ φανερῶς ἐπεδείξαντο ὅτι οὐχ ὑπὲρ τῶν ἐν Πειραιεῖ οὐδ' ὑπὲρ τῶν ἀδίκως ἀπολλυμένων ἐστα-

TESTES.

48. Testes audivistis. Ad postremum iste summo imperio potitus, nihil quidquam boni admisit, sed mala multa. Attamen si vir bonus fuisset, primum oportuit injustum imperium sibi non conciliare, deinde senatui indicare delationes omnes esse falsas, Batrachumque et Æschylidem non vera deferre, sed quæ a trigintaviris excogitata fuerant in civium perniciem. (49) Et profecto, judices, quicumque in statum popularem iniquo erant animo, non pejori loco erant dum silerent; siquidem alii erant qui ista egerunt et dixerunt, quibus graviora mala civitati accidere non poterant. Quicumque autem prædicant se fuisse benevolos, cur id tunc non significarunt optima suadendo et delinquentes dehortando?

50. Sed forsitan dicet (quod nonnullis vestrûm sufficere arbitror) se timuisse ne verbis aperte videretur trigintaviris adversari. Hoc si non dixerit, hinc declarabit vel tyrannica ipsi placuisse, vel tantum potuisse ut etiam adversans nihil ab illis mali pateretur. Ipsum autem oportuit pro vestra salute, non pro Theramene qui tam graviter in vos peccavit, eam animi alacritatem expromere. (51) Verum ipse civitatem nostram judicavit inimicam, inimicos autem nostros pro amicis habuit: quod utrumque vobis multis argumentis confirmabo, et contentiones quæ inter illos ortæ sint, non vestra, sed sua ipsorum causa contigisse, utri scilicet in privatos tyrannica agerent et civitatem suo dominatu opprimerent. (52) Et vero si eorum causa inter se dissensissent qui læsi erant, quæ honestior occasio homini principi contingere potuit ad studium suum et factionis suæ in rempublicam declarandum quam quum Thrasybulus Phylen occupasset? Iste autem adeo nihil boni vel præstitit vel præstare suscepit erga Phylenses, ut cum iis quos habuit imperii socios Salamina et Eleusinem profectus, trecentos cives in carcerem abduxerit, unaque sententia omnes capitali supplicio addixerit. (53) Quum vero Piræeum ceperant exules, et dissensiones in urbe factæ sunt, ac jam de reconciliatione agi cœptum est, maxima utrimque spes illuxit fore ut ex ambarum partium sententia res succederent. (54) Piræenses enim victoria potiti, captos a se urbanos abire permiserunt: qui urbem ingressi statim trigintaviros ejecere, præter Phidonem et Eratosthenem, ducesque elegere illis infensissimos, a quibus ducibus arbitrabantur jure ac merito et trigintaviros odio haberi et eos, qui in Piræeo erant, diligi. (55) Horum igitur Phido qui ex trigintaviris fuit, et Hippocles et Epichares Lamptrensis, ceterique qui videbantur infensissimi fuisse Charicli et Critiæ eorumque sodalitio, ubi imperium fuerunt adepti, longe graviorem seditionem et contra Piræenses bellum oppidanis excitarunt. (56) Qua re etiam liquido significarunt se non pro Piræensibus inter se discordare, neque pro iis qui injuste fuerant interempti,

σιάζον, οὐδ' οἱ τεθνεῶτες αὐτοὺς ἐλύπουν, οὐδ' οἱ μέλλοντες ἀποθανεῖσθαι, ἀλλ' οἱ μεῖζον δυνάμενοι καὶ θᾶσσον πλουτοῦντες. (57) Λαβόντες γὰρ τὰς ἀρχὰς καὶ τὴν πόλιν ἀμφοτέροις ἐπολέμουν, τοῖς τε τριάκοντα πάντα κακὰ εἰργασμένοις καὶ ὑμῖν πάντα κακὰ πεπονθόσι. Καίτοι τοῦτο πᾶσι δῆλον ἦν, ὅτι εἰ μὲν ἐκεῖνοι ἀδίκως ἔφευγον, ὑμεῖς δικαίως, εἰ δ' ὑμεῖς ἀδίκως, οἱ τριάκοντα δικαίως· οὐ γὰρ δὴ ἑτέρων ἔργων αἰτίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων, (58) ὥστε σφόδρα χρὴ ὀργίζεσθαι ὅτι Φείδων αἱρεθεὶς ὑμᾶς διαλλάξαι καὶ καταγαγεῖν, τῶν αὐτῶν ἔργων Ἐρατοσθένει μετεῖχε καὶ τῇ αὐτῇ γνώμῃ τοὺς μὲν κρείττους αὐτῶν δι' ὑμᾶς κακῶς ποιεῖν ἕτοιμος ἦν, ὑμῖν δὲ ἀδίκως φεύγουσιν οὐκ ἠθέλησεν ἀποδοῦναι τὴν πόλιν, ἀλλ' ἐλθὼν εἰς Λακεδαίμονα ἔπειθεν αὐτοὺς στρατεύσασθαι, διαβάλλων ὅτι Βοιωτῶν ἡ πόλις ἔσται, καὶ ἄλλα λέγων οἷς ᾤετο πείσειν μάλιστα. (59) Οὐ δυνάμενος δὲ τούτων τυχεῖν, εἴτε καὶ τῶν ἱερῶν ἐμποδὼν ὄντων εἴτε καὶ αὐτῶν οὐ βουλομένων, ἑκατὸν τάλαντα ἐδανείσατο, ἵνα ἔχοι ἐπικούρους μισθοῦσθαι. Καὶ Λύσανδρον ἄρχοντα ᾐτήσαντο, εὐνούστατον μὲν ὄντα τῇ ὀλιγαρχίᾳ, κακονούστατον δὲ τῇ πόλει, μισοῦντα δὲ μάλιστα τοὺς ἐν Πειραιεῖ. (60) Μισθωσάμενοι δὲ πάντας ἀνθρώπους ἐπ' ὀλέθρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγοντες, καὶ τελευτῶντες Λακεδαιμονίους καὶ τῶν συμμάχων ὁπόσους ἐδύναντο πεῖσαι, οὐ διαλλάξαι, ἀλλ' ἀπολέσαι παρεσκευάζοντο τὴν πόλιν εἰ μὴ δι' ἄνδρας ἀγαθούς, οἷς ὑμεῖς δηλώσατε παρὰ τῶν ἐχθρῶν δίκην λαβόντες, ὅτι καὶ ἐκείνοις χάριν ἀποδώσετε. (61) Ταῦτα δὲ ἐπίστασθε μὲν καὶ αὐτοί, καὶ οἶδ' ὅτι οὐ δεῖ μάρτυρας παρασχέσθαι· ὅμως δ'· ἐγώ τε γὰρ δέομαι ἀναπαύσασθαι, ὑμῶν τ' ἐνίοις ἥδιον ὡς πλείστων τοὺς αὐτοὺς λόγους ἀκούειν.

ΜΑΡΤΥΡΕΣ.

62. Φέρε δὴ καὶ περὶ Θηραμένους ὡς ἂν δύνωμαι διὰ βραχυτάτων διδάξω. Δέομαι δ' ὑμῶν ἀκοῦσαι ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως. Καὶ μηδενὶ τοῦτο παραστῇ, ὡς Ἐρατοσθένους κινδυνεύοντος Θηραμένους κατηγορῶ· πυνθάνομαι γὰρ ταῦτα ἀπολογήσεσθαι αὐτόν, ὅτι ἐκείνῳ φίλος ἦν καὶ τῶν αὐτῶν ἔργων μετεῖχε.
126 (63) Καίτοι σφόδρ' ἂν αὐτὸν οἶμαι μετὰ Θεμιστοκλέους πολιτευόμενον προσποιεῖσθαι πράττειν ὅπως οἰκοδομηθήσεται τὰ τείχη, ὁπότε καὶ μετὰ Θηραμένους ὅπως καθαιρεθήσεται. Οὐ γάρ μοι δοκοῦσιν ἴσου ἄξιοι γεγενῆσθαι· ὁ μὲν γὰρ Λακεδαιμονίων ἀκόντων ᾠκοδόμησεν αὐτά, οὗτος δὲ τοὺς πολίτας ἐξαπατήσας καθεῖλε. (64) Περιέστηκεν οὖν τῇ πόλει τοὐναντίον ἢ ὡς εἰκὸς ἦν. Ἄξιον μὲν γὰρ καὶ τοὺς φίλους τοῦ Θηραμένους προσαπολωλέναι, πλὴν εἴ τις ἐτύγχανεν ἐκείνῳ τἀναντία πράττων· νῦν δὲ ὁρῶ τάς τε ἀπολογίας εἰς ἐκεῖνον ἀναφερομένας, τούς τ' ἐκείνῳ συνόντας τιμᾶσθαι πειρωμένους, ὥσπερ πολλῶν ἀγαθῶν αἰτίου, ἀλλ' οὐ μεγάλων κακῶν γεγενημένου. (65) Ὃς πρῶτον μὲν τῆς προτέρας ὀλιγαρχίας αἰτιώτατος

neque luctu eorum, qui vel jam occubuerant vel mox erant occubituri, sed invidia eorum qui erant potentiores et celerius ditescebant. (57) Occupatis enim et imperio et civitate, cum utrisque bellum gesserunt et cum trigintaviris qui omnia atrocia perpetrarant et vobiscum qui omnia infanda perpessi fueratis. Attamen id omnibus manifestum erat quod, si illi injuria exulabant, vos certe jure, et si vos injuria, triginta illi jure erant exules: neque enim ob alias causas, nisi ob scelera erga vos, civitate ejecti sunt. (58) Graviter itaque Phidoni succensendum est, quod, quum ad hoc electus esset ut vos mutuo conciliaret atque in urbem reduceret, eadem egerit quæ Eratosthenes; quod eadem animi sententia eos qui inter urbanos potentia magis valebant propter vos opprimere studuerit, vobisque injuria exulantibus patriam restituere noluerit; sed Lacedæmona profectus suaserit Lacedæmoniis ut ipsi adversus Athenas militarent, calumniatus hanc civitatem Bœotorum esse futuram, aliaque commemorans per quæ maxime se persuasurum existimabat. (59) Hac autem spe dejectus, sive quod res divinæ essent impedimento, sive quod Lacedæmonii nollent ipsi morem gerere, centum talenta mutuatus est ad auxilia conducenda, et Lysandrum ducem impetravit, qui ut in oligarchiam maxime benevolus, ita in democratiam inprimis erat malevolus, præsertimque Piræensibus infensissimus. (60) In civitatis igitur perniciem omnibus undique pretio concitatis, multis inductis civitatibus, et ad postremum Lacedæmoniis ipsis sociisque quibuscumque persuadere potuerunt, civitatem non reconciliare, sed delere penitus cogitabant: quod et perfecissent, ni intercessissent viri fortes; quibus nunc ostendite sumentes ab inimicis pœnas, ipsis quoque vos gratiam relaturos. (61) Et hæc quidem vobis cognita sunt, neque mihi testibus opus esse video: testes tamen producam; nam et mihi requiescendum est paulisper, vestrûmque nonnullis gratum erit de iisdem sæpius audire.

TESTES.

62. Age autem jam de Theramene quam paucissimis potero edocebo. Vos autem obtestor ut pro me ipso et pro universa civitate me dicentem audiatis. Neque cujusquam menti id occurrat me in Eratosthenis periculo ad Theramenem accusandum accedere: eam enim defensionem audio isti esse comparatam, se nempe amicitia cum illo fuisse conjunctum, ideoque eorundem operum participem. (63) Atqui opinor fore haud dubie ut iste, si una cum Themistocle in republica versatus fuisset, jactasset se cum illo efficere ut mœnia ædificarentur, sicuti nunc cum Theramene effecit ut diruerentur. Duo tamen illi viri mihi neutiquam videntur esse conferendi; siquidem alter invitis Lacedæmoniis mœnia exstruxit, alter deceptis civibus subvertit. (64) Accidit igitur civitati contra quam oportebat. Erat enim æquum amicos Theramenis una interimi, iis exceptis qui diversa in republica studia sectabantur; jam autem video defensiones omnes ad illum referri, ejusque familiares existimare sibi deberi laudem et gratiam, quasi ipsi una cum illo maximorum bonorum, at non malorum auctores exstiterint. (65) Qui primum prioris oligarchiæ præcipua causa

ἐγένετο, πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν ἑλέσθαι. Καὶ ὁ μὲν πατὴρ αὐτοῦ τῶν προβούλων ὢν ταῦτ' ἔπραττεν, αὐτὸς δὲ δοκῶν εὐνούστατος εἶναι τοῖς πράγμασι στρατηγὸς ὑπ' αὐτῶν ᾑρέθη. (66) Καὶ ἕως μὲν ἐτιμᾶτο, πιστὸν ἑαυτὸν παρεῖχεν· ἐπειδὴ δὲ Πείσανδρον μὲν καὶ Κάλλαισχρον καὶ ἑτέρους ἑώρα προτέρους αὑτοῦ γινομένους, τὸ δὲ ὑμέτερον πλῆθος οὐκέτι βουλόμενον τούτων ἀκροᾶσθαι, τότ' ἤδη διά τε τὸν πρὸς ἐκείνους φθόνον καὶ τὸ παρ' ὑμῶν δέος μετέσχε τῶν Ἀριστοκράτους ἔργων. (67) Βουλόμενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν πιστὸς εἶναι, Ἀντιφῶντα καὶ Ἀρχεπτόλεμον φιλτάτους ὄντας αὐτῷ κατηγορῶν ἀπέκτεινεν, εἰς τοσοῦτον δὲ κακίας ἦλθεν, ὥστε ἅμα μὲν διὰ τὴν πρὸς ἐκείνους πίστιν ὑμᾶς κατεδουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς τοὺς φίλους ἀπώλεσεν. (68) Τιμώμενος δὲ καὶ τῶν μεγίστων ἀξιούμενος, αὐτὸς ἐπαγγειλάμενος σώσειν τὴν πόλιν αὐτὸς ἀπώλεσε, φάσκων πρᾶγμα εὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον. Ὑπέσχετο δὲ εἰρήνην ποιήσειν μήτε ὅμηρα δοὺς μήτε τὰ τείχη καθελὼν μήτε τὰς ναῦς παραδούς· ταῦτα δὲ εἰπεῖν μὲν οὐδενὶ ἠθέλησεν, ἐκέλευσε δὲ αὐτῷ πιστεύειν. (69) Ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πραττούσης μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν, ἀντιλεγόντων δὲ πολλῶν Θηραμένει, εἰδότες δὲ ὅτι οἱ μὲν ἄλλοι ἄνθρωποι τῶν πολεμίων ἕνεκεν τἀπόρρητα ποιοῦνται, ἐκεῖνος δ' ἐν τοῖς αὑτοῦ πολίταις οὐκ ἠθέλησεν εἰπεῖν ταῦθ' ἃ πρὸς τοὺς πολεμίους ἔμελλεν ἐρεῖν, ὅμως ἐπετρέψατε αὐτῷ πατρίδα καὶ παῖδας καὶ γυναῖκας καὶ ὑμᾶς αὐτούς. (70) Ὁ δὲ ὧν μὲν ὑπέσχετο οὐδὲν ἔπραξεν, οὕτω δὲ ἐνετεθύμητο, ὡς χρὴ μικρὰν καὶ ἀσθενῆ γενέσθαι τὴν πόλιν, ὥστε περὶ ὧν οὐδεὶς πώποτε οὔτε τῶν πολεμίων ἐμνήσθη οὔτε τῶν πολιτῶν ἤλπισε, ταῦθ' ὑμᾶς ἔπεισε πρᾶξαι, οὐχ ὑπὸ Λακεδαιμονίων ἀναγκαζόμενος, ἀλλ' αὐτὸς ἐκείνοις ἐπαγγελλόμενος, τοῦ τε Πειραιῶς τὰ τείχη περιελεῖν καὶ τὴν ὑπάρχουσαν πολιτείαν καταλῦσαι, εὖ εἰδὼς ὅτι, εἰ μὴ πασῶν τῶν ἐλπίδων ἀποστερηθήσεσθε, ταχεῖαν παρ' αὐτοῦ τὴν τιμωρίαν κομιεῖσθε. (71) Καὶ τὸ τελευταῖον, ὦ ἄνδρες δικασταί, οὐ πρότερον εἴασε τὴν ἐκκλησίαν γενέσθαι, ἕως ὁ λεγόμενος ὑπ' ἐκείνου καιρὸς ἐπιμελῶς ὑπ' αὐτοῦ ἐτηρήθη, καὶ μετεπέμψατο μὲν τὰς μετὰ Λυσάνδρου ναῦς ἐκ Σάμου, ἐπεδήμησε δὲ τὸ τῶν πολεμίων στρατόπεδον. (72) Τότε δὲ τούτων ὑπαρχόντων, καὶ παρόντων Λυσάνδρου καὶ Φιλοχάρους καὶ Μιλτιάδου, περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν, ἵνα μήτε ῥήτωρ μηδεὶς αὐτοῖς ἐναντιοῖτο μηδὲ ἀπειλοῖ, ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα ἕλοισθε, ἀλλὰ τἀκείνοις δοκοῦντα ψηφίσαισθε. (73) Ἀναστὰς δὲ Θηραμένης ἐκέλευσεν ὑμᾶς τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν, καὶ τῇ πολιτείᾳ χρῆσθαι ἣν Δρακοντίδης ἀπέφαινεν. Ὑμεῖς δ' ὅμως καὶ οὕτω διακείμενοι ἐθορυβεῖτε ὡς οὐ ποιήσοντες ταῦτα· ἐγινώσκετε γὰρ ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκκλησιάζετε. (74) Θηραμένης δέ, ὦ ἄνδρες δικασταί (καὶ
127 τούτων ὑμᾶς αὐτοὺς μάρτυρας παρέξομαι), εἶπεν ὅτι

fuit, dum vobis suasit ut quadringentorum virorum administrationem admitteretis. Cujus quidem pater, quum esset unus ex principibus senatus, id impense agebat, effecitque ut ipsius filius qui in publicas res strenuam operam videbatur impendere, dux exercitus eligeretur. (66) Et sane Theramenes, quamdiu gratia et honore floruit, se fidelem præstitit reipublicæ : ubi vero animadvertit Pisandrum, Callæschrum atque alios se auctoritate anteire, populumque sibi jam non morem gerere; tum demum illorum invidia vestroque metu adductus Aristocrati se socium adjunxit. (67) Ac quum vellet studium suum in populum expromere, Antiphontem et Archeptolemum sibi amicissimos in judicium vocatos interfecit, eoque venit improbitatis, ut eadem opera propter fidem erga illos vos in servitutem redegerit, et propter eandem erga vos, amicos perdiderit. (68) Maximo igitur honore maximaque auctoritate pollens, quum civitatem servandam in se recepisset, ipse solus evertit; affirmans nimirum se commentum insigne maximique pretii repperisse. Promittit quippe se pacem facturum, neque datis obsidibus, neque muris dirutis, neque navibus traditis. Hoc vero nemini enuntiare voluit, sed fidem sibi jussit adhiberi. (69) Vos autem, Athenienses, quum senatus Areopagiticus de salute vestra esset sollicitus, plurimique Therameni adversarentur, ac vos probe nosceretis ceteros quidem homines id agere ne secreta hostibus palam fiant, at istum noluisse cum suis civibus communicare quæ hostibus erat renuntiaturus; nihilo tamen secius isti commisistis et patriam et liberos et uxores et vosmetipsos. (70) Verum iste nihil omnino eorum quæ pollicitus erat præstitit, sed ita intendit animo, ut reipublicæ vires imminuerentur, ut quæ nulli unquam hostium in mentem venerant neque civium quisquam exspectabat, ea vobis agenda persuaserit, non a Lacedæmoniis coactus, sed ipse illis sponte pollicitus se Piræei muros demoliturum, et præsentem administrationis rationem dissoluturum; hoc scilicet pro comperto habens, quod, nisi omnis salutis spes vobis esset erepta, celeres ab eo pœnas repeteretis. (71) Ad postremum, judices, concionem prius haberi non permisit, quam tempus ab ipso indictum ab ipso accurate esset observatum; quam classem quæ cum Lysandro fuit e Samo adduxisset, hostiumque exercitus jam in finibus nostris adesset. (72) Tunc rebus ita constitutis, et præsentibus Lysandro, Philochare et Miltiade, isti de ornanda republica concionem habuerunt, ut neque orator quispiam ipsis aut adversaretur aut minaretur, ac vos non quæ civitati profutura essent eligeretis, sed quæ illis viderentur statueretis. (73) Ibi surgens Theramenes hortatur ut viris triginta committeretis rempublicam, eaque administrationis forma uteremini quam Dracontides præscriberet. Vos autem, quamvis in eo loco res vestræ essent, tumultuabamini tamen, velut qui ea non sitis facturi; intelligebatis enim illo die agi de servitute et libertate. (74) At Theramenes (hujus rei vos ipsos testes faciam) negavit vestrum tumultum sibi curæ esse, quum

οὐδὲν αὐτῷ μέλλοι τοῦ ὑμετέρου θορύβου, ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων εἰδείη τοὺς τὰ ὅμοια πράττοντας αὐτῷ, δοκοῦντα δὲ Λυσάνδρῳ καὶ Λακεδαιμονίοις λέγοι. Μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς ἄλλα τε πολλὰ εἶπε καὶ ὅτι παρασπόνδους ὑμᾶς ἔχοι, καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν ἔσται, ἀλλὰ περὶ σωτηρίας, εἰ μὴ ποιήσαιθ' ἃ Θηραμένης κελεύοι. (75) Τῶν δ' ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ μένοντες ἡσυχίαν ἦγον, οἱ δ' ᾤχοντο ἀπιόντες, τοῦτο γοῦν σφίσιν αὐτοῖς συνειδότες, ὅτι οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο· ὀλίγοι δέ τινες καὶ πονηροὶ καὶ κακῶς βουλευόμενοι τὰ προσταχθέντα ἐχειροτόνησαν. (76) Παρηγγέλλετο γὰρ αὐτοῖς δέκα μὲν οὓς Θηραμένης ἀπέδειξε χειροτονῆσαι, δέκα δὲ οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν, δέκα δ' ἐκ τῶν παρόντων· οὕτω γὰρ τὴν ὑμετέραν ἀσθένειαν ἑώρων καὶ τὴν αὐτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον ᾔδεσαν τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. (77) Ταῦτα δὲ οὐκ ἐμοὶ δεῖ πιστεῦσαι, ἀλλὰ ἐκείνῳ· πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν, ὀνειδίζων μὲν τοῖς φεύγουσιν, ὅτι δι' αὐτὸν κατέλθοιεν, οὐδὲν φροντιζόντων Λακεδαιμονίων, ὀνειδίζων δὲ τοῖς τῆς πολιτείας μετέχουσιν ὅτι πάντων τῶν πεπραγμένων τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ αὐτὸς αἴτιος γεγενημένος τοιούτων τυγχάνοι, πολλὰς πίστεις αὐτὸς ἔργῳ δεδωκὼς καὶ παρ' ἐκείνων ὅρκους εἰληφώς. (78) Καὶ τοσούτων καὶ ἑτέρων κακῶν καὶ αἰσχρῶν καὶ πάλαι καὶ νεωστὶ καὶ μικρῶν καὶ μεγάλων αἰτίου γεγενημένου τολμήσουσιν αὐτοὺς φίλους ὄντας ἀποφαίνειν, οὐχ ὑπὲρ ὑμῶν ἀποθανόντος Θηραμένους, ἀλλ' ὑπὲρ τῆς αὐτοῦ πονηρίας, καὶ δικαίως μὲν ἐν ὀλιγαρχίᾳ δίκην δόντος (ἤδη γὰρ αὐτὴν κατέλυσε), δικαίως δ' ἂν ἐν δημοκρατίᾳ· δὶς γὰρ ὑμᾶς κατεδουλώσατο, τῶν μὲν παρόντων καταφρονῶν, τῶν δὲ ἀπόντων ἐπιθυμῶν, καὶ τῷ καλλίστῳ ὀνόματι χρώμενος δεινοτάτων ἔργων διδάσκαλος καταστάς.

79. Περὶ μὲν τοίνυν Θηραμένους ἱκανά μοί ἐστι τὰ κατηγορημένα· ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρός, ἐν ᾧ δεῖ συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις, ἀλλὰ παρὰ Ἐρατοσθένους καὶ τῶν τουτουὶ συναρχόντων δίκην λαβεῖν, μηδὲ μαχομένους [μὲν] κρείττους εἶναι τῶν πολεμίων, ψηφιζομένους δὲ ἥττους τῶν ἐχθρῶν. (80) Μηδ' ὧν φασι μέλλειν πράξειν πλείω χάριν αὐτοῖς ἴστε, ἢ ὧν ἐποίησαν ὀργίζεσθε· μηδ' ἀποῦσι μὲν τοῖς τριάκοντα ἐπιβουλεύετε, παρόντας δ' ἀφῆτε· μηδὲ τῆς τύχης, ἣ τούτους παρέδωκε τῇ πόλει, κάκιον ὑμῖν αὐτοῖς βοηθήσητε. (81) Κατηγορεῖτε δὲ Ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς ἀπολογίας ἀνοίσει καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. Ὁ μέντοι ἀγὼν οὐκ ἐξ ἴσου τῇ πόλει καὶ Ἐρατοσθένει· οὗτος μὲν γὰρ κατήγορος καὶ δικαστὴς αὐτὸς ἦν τῶν γινομένων, ἡμεῖς δὲ νυνὶ εἰς κατηγορίαν καὶ ἀπολογίαν καθέσταμεν. (82) Καὶ οὗτοι μὲν τοὺς οὐδὲν ἀδικοῦντας ἀπέκτειναν ἀκρίτους, ὑμεῖς δὲ τοὺς ἀπολέσαντας τὴν

multos Athenienses sciret eadem secum moliri, atque ea ipse diceret quæ Lysandro et Lacedæmoniis placerent. Post hunc vero consurgens Lysander quum alia multa tum illud inprimis dixit, quod vos haberet fœdifragos, et quod jam non de reipublicæ forma, sed de salute ageretur, nisi ea faceretis quæ juberet Theramenes. (75) Tunc quicumque boni cives concioni intererant, quum prava consilia vimque adhibitam perspicerent, partim ibi manentes conticuere, partim discessere, hujus saltem sibimetipsis conscii quod nullum tulerant suffragium contra rempublicam: pauci vero homines scelerati et patriæ male consulentes, quæ imperata erant decernunt. (76) Jussi sunt enim decem quos Theramenes proponeret eligere, decem quos constituti ephori mandarent, et decem ex iis qui aderant. Vestram quippe imbecillitatem suamque potentiam ita habuere perspectam nostri inimici, ut quæ in concione essent agenda prius cognoscerent. (77) Atque hujus rei fidem non a me, sed a Theramene ipso quærite. Omnia enim quæ mox a me dicta sunt, ea ipse dixit in senatu ad se purgandum, exulibus exprobrans quod ipsius opera reversi fuissent, Lacedæmoniorum nulla habita ratione; publicæ administrationis qui participes erant, exprobrans quod, quum ipse omnium eorum quæ eo quo dixi modo facta sunt, auctor exstiterit, talem nunc mercedem consequeretur, quum fidem suam erga ipsos re ipsa sæpius demonstrasset, ab ipsisque juramenta accepisset. (78) Isti igitur hæc ceteraque turpia et indigna, et olim et nuper, quum parva tum magna, una cum Theramene quum perpetraverint, audebunt se jactare amicos Theramenis qui non vestra causa, sed ob suam ipsius improbitatem mortem oppetivit, qui jure pœnas dedit in oligarchia quam volebat evertere, jure etiam dedisset in democratia? vos etenim bis in servitutem redegerat, rerum præsentium tædio, absentium desiderio affectus; qui, quum honestissima oratione uteretur, turpissimorum flagitiorum præceptor exstitit.

79. Atque ea quidem quæ in Theramenem dixi sufficiunt. Jam autem vobis tempus adest, in quo neque veniæ neque misericordiæ locus in animis vestris esse debet, sed pœnæ ab Eratosthene ejusque collegis omnino sunt repetendæ. Neque par est vos in bello hostibus esse superiores, in judiciis ab inimicis superari; (80) neque plus istis habere gratiæ ob ea quæ se præstituros jactitant, quam irarum ob ea quæ præstiterunt; neque a trigintaviris, quum absint, pœnas reposcere, præsentes vero dimittere; neque vobis ipsis pejus consuluisse quam consulit fortuna quæ istos in manus civitatis tradidit. (81) Accusate nunc Eratosthenem ejusque amicos, ad quos defensionem suam referet, quorumque opera usus est in istis rebus perpetrandis. Atque hic quidem non judicatis Eratosthenem eadem ratione qua vos ab Eratosthene judicabamini. Iste enim reorum accusator erat simul et judex: apud vos ut accusatori, ita defensori suus datur locus. (82) Et isti quidem eos qui nihil mali admiserant, indemnatos occiderunt: vos

πόλιν κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν, παρ' ὧν οὐδ' ἂν παρανόμως βουλόμενοι δίκην λαμβάνειν ἀξίαν τῶν ἀδικημάτων ὧν τὴν πόλιν ἠδικήκασι λάβοιτε. Τί γὰρ ἂν παθόντες δίκην τὴν ἀξίαν εἴησαν τῶν ἔργων δεδωκότες; (83) Πότερον εἰ αὐτοὺς ἀποκτείνοιτε καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν, ὧν οὗτοι πατέρας καὶ υἱεῖς καὶ ἀδελφοὺς ἀκρίτους ἀπέκτειναν; Ἀλλὰ γὰρ εἰ τὰ χρήματα τὰ φανερὰ δημεύσετε, καλῶς ἂν ἔχοι ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ τοῖς ἰδιώταις, ὧν οἰκίας ἐξεπόρθησαν; (84) Ἐπειδὴ τοίνυν πάντα ποιοῦντες δίκην παρ' αὐτῶν οὐκ ἂν δύναισθε λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἥντινοῦν ἀπολι-
128πεῖν, ἥντινά τις βούλοιτο παρὰ τούτων λαμβάνειν; Πᾶν δ' ἄν μοι δοκεῖ τολμῆσαι, ὅστις νυνὶ οὐχ ἑτέρων ὄντων τῶν δικαστῶν, ἀλλ' αὐτῶν τῶν κακῶς πεπονθότων, ἥκει ἀπολογησόμενος πρὸς αὐτοὺς τοὺς μάρτυρας τῆς τούτου πονηρίας· τοσοῦτον δ' ὑμῶν καταπεφρόνηκεν ἢ ἑτέροις πεπίστευκεν. (85) Ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι, ἐνθυμουμένους ὅτι οὔτ' ἂν ἐκεῖνα ἐδύναντο ποιεῖν μὴ ἑτέρων συμπραττόντων οὔτ' ἂν νῦν ἐπεχείρησαν ἐλθεῖν μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι, οἳ οὐ τούτοις ἥκουσι βοηθήσοντες, ἀλλὰ ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι τῶν πεπραγμένων καὶ τοῦ λοιποῦ ποιεῖν ὅ τι ἂν βούλωνται, εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντες ἀφήσετε.

86. Ἀλλὰ καὶ τῶν ξυνερούντων αὐτοῖς ἄξιον θαυμάζειν, πότερον ὡς καλοὶ κἀγαθοὶ αἰτήσονται, τὴν αὐτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς [τούτων] πονηρίας· ἐβουλόμην μέντἂν αὐτοὺς οὕτω προθύμους εἶναι σώζειν τὴν πόλιν, ὥσπερ οὗτοι ἀπολλύναι· ἢ ὡς δεινοὶ λέγειν ἀπολογήσονται καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν. Ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν οὐδὲ τὰ δίκαια πώποτε ἐπεχείρησεν εἰπεῖν.

87. Ἀλλὰ τοὺς μάρτυρας ἄξιον ἰδεῖν, οἳ τούτοις μαρτυροῦντες αὑτῶν κατηγοροῦσι, σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες ὑμᾶς εἶναι, εἰ διὰ μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἡγοῦνται τοὺς τριάκοντα σώσειν, διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ δεινὸν ἦν καὶ τῶν τεθνεώτων ἐπ' ἐκφορὰν ἐλθεῖν. (88) Καίτοι οὗτοι μὲν σωθέντες πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι· ἐκεῖνοι δέ, οὓς οὗτοι ἀπώλεσαν, τελευτήσαντες τὸν βίον πέρας ἔχουσι τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας. Οὐκ οὖν δεινὸν εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι συναπώλλυντο, αὐτοῖς δὲ τοῖς τὴν πόλιν ἀπολέσασιν ἐπ' ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε βοηθεῖν τοσοῦτοι παρασκευάζονται; (89) Καὶ μὲν δὴ πολὺ ῥᾷδιον ἡγοῦμαι εἶναι ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε ἀντειπεῖν, ἢ ὑπὲρ ὧν οὗτοι πεποιήκασιν ἀπολογήσασθαι. Καίτοι λέγουσιν ὡς Ἐρατοσθένει ἐλάχιστα τῶν τριάκοντα κακὰ εἴργασται, καὶ διὰ τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι· ὅτι δε τῶν ἄλλων Ἑλλήνων πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴονται χρῆναι αὐτὸν ἀπολέσθαι. (90) Ὑμεῖς δὲ δείξατε ἥντινα γνώμην ἔχετε περὶ τῶν πραγμάτων. Εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπρα-

autem cum civitatis eversoribus jure agitis, a quibus neque si præter jus agere volueritis, pœnas possitis repetere iis dignas quæ in civitatem peccarunt. Quo enim affecti supplicio pœnas factis æquales erunt daturi? (83) Utrumne, si ipsos ipsorumque liberos interfeceritis, nos justas cædis pœnas sumpturi erimus, quorum parentes, filios fratresque isti, indicta causa, interfecerunt? Utrumne si villas ipsorum et domos fisco adjudicabitis, satis id erit vel reipublicæ cujus isti plurima diripuerunt, vel privatis quorum ædes expilarunt? (84) Quum igitur, quidquid conemini, istos nullo satis gravi supplicio possitis plectere, qui non vobis turpe sit illud omittere quocumque saltem quis eos afficere velit? Is autem mihi videtur paratus esse ad omne audendum, qui, quum iidem judices sedeant et injuriam pertulerint, ad se defendendum prodeat coram iis qui suæ ipsius improbitatis testes sunt, et eo usque contemnat vos aut confidat aliorum præsidio. (85) Quorum utriusque rationem vos habere decet, cogitantes nimirum fore ut isti neque talia potuerint perficere nisi adjuti ab aliis, neque nunc venirent ad causam dicendam, nisi sperarent se per eosdem servatum iri. Qui nunc adsunt non tam istis auxiliaturi, quam existimantes eorum et quæ olim admiserunt et quæ in posterum admissuri sunt, maximam ipsis impunitatem fore, si maximorum scelerum auctores nacti dimiseritis.

86. Sed et eos qui pro istis causam dicent mirari æquum est, utrum ut boni cives et strenui istos sibi condonari rogaturi sint, ostendentes suam ipsorum virtutem improbitatem istorum superare; equidem velim hos ita alacres esse ad civitatem servandam, ut isti fuerunt ad perdendam: an defensionem comparaturi, ut eloquentia maxima præditi, istorumque res gestas reipublicæ utiles fuisse demonstraturi. At horum nemo unquam pro vobis ne justa quidem defendere suscepit.

87. Verum etiam testes contemplari operæ pretium est, qui se ipsos accusant dum istos testimoniis suis protegunt, vos nimirum arbitrati socordes esse et obliviosos, si existiment se sine periculo per populum vestrum posse trigintaviros servare, quum per Eratosthenem ejusque socios periculum esset interfectorum funera prosequi. (88) Atque istiusmodi si serventur, rursus rempublicam possint labefactare: illi autem quos ipsi occiderunt, vita defuncti non possunt amplius ab inimicis pœnas exposcere. Gravissimum igitur est si, quum injuste interemptorum amici quoque interimerentur, multi sane ad eorum funera prodeant qui urbem perdiderunt, quandoquidem tot nunc adsunt ipsis auxiliaturi. (89) Ceterum multo facilius esse arbitror istos accusare de iis quæ vos passi estis, quam eosdem defendere de iis quæ ipsi perpetrarunt. Attamen dicunt Eratosthenem e trigintaviris unum minime peccasse, ideoque æquum censent ut is servetur. Quod vero ceterorum Græcorum plurima in vos deliquerit, non ideo arbitrantur eum morte plecti debere. (90) Vos autem jam palam facite quisnam sit vester de his rebus animus. Nam si hunc hominem morti adjudicaveritis, manifestum erit quod has

γμένοις· εἰ δὲ ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες, καὶ οὐχ ἕξετε λέγειν ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποιεῖτε· (91) νυνὶ μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκάζει παρὰ τὴν ὑμετέραν γνώμην ἀποψηφίζεσθαι. Ὥστε συμβουλεύω μὴ τούτων ἀποψηφισαμένους ὑμῶν αὐτῶν καταψηφίσασθαι. Μηδ' οἴεσθε κρύβδην τὴν ψῆφον εἶναι· φανερὰν γὰρ τῇ πόλει τὴν ὑμετέραν γνώμην ποιήσετε.

92. Βούλομαι δὲ ὀλίγα ἑκατέρους ἀναμνήσας καταβαίνειν, τούς τε ἐξ ἄστεος καὶ τοὺς ἐκ Πειραιῶς, ἵνα τὰς ὑμῖν διὰ τούτων γεγενημένας συμφορὰς παραδείγματα ἔχοντες τὴν ψῆφον φέρητε. Καὶ πρῶτον μὲν ὅσοι ἐξ ἄστεός ἐστε, σκέψασθε ὅτι ὑπὸ τούτων οὕτω σφόδρα ἤρχεσθε, ὥστε ἀδελφοῖς καὶ υἱέσι καὶ πολίταις ἠναγκάζεσθε πολεμεῖν τοιοῦτον πόλεμον, ἐν ᾧ ἡττηθέντες μὲν τοῖς νικήσασι τὸ ἴσον ἔχετε, νικήσαντες δ' ἂν τούτοις ἐδουλεύετε. (93) Καὶ τοὺς ἰδίους οἴκους οὗτοι μὲν ἂν ἐκ τῶν πραγμάτων μεγάλους ἐκτήσαντο, ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλήλους πόλεμον ἐλάττους ἔχετε· συνωφελεῖσθαι μὲν γὰρ ὑμᾶς οὐκ ἠξίουν, συνδιαβάλλεσθαι δ' ἠνάγκαζον, εἰς τοσοῦτον ὑπεροψίας ἐλθόντες ὥστε οὐ τῶν ἀγαθῶν κοινούμενοι πιστοὺς ὑμᾶς ἐκτῶντο, ἀλλὰ τῶν ὀνειδῶν μεταδιδόντες εὔνους ᾤοντο εἶναι. (94) Ἀνθ' ὧν ὑμεῖς νῦν ἐν τῷ θαρραλέῳ ὄντες, καθ' ὅσον δύνασθε, καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν
129 ἐκ Πειραιῶς τιμωρήσασθε, ἐνθυμηθέντες μὲν ὅτι ὑπὸ τούτων πονηροτάτων ὄντων ἤρχεσθε, ἐνθυμηθέντες δὲ ὅτι μετ' ἀνδρῶν νῦν ἀρίστων πολιτεύεσθε καὶ τοῖς πολεμίοις μάχεσθε καὶ περὶ τῆς πόλεως βουλεύεσθε, ἀναμνησθέντες δὲ τῶν ἐπικούρων, οὓς οὗτοι φύλακας τῆς σφετέρας ἀρχῆς καὶ τῆς ὑμετέρας δουλείας εἰς τὴν ἀκρόπολιν κατέστησαν. (95) Καὶ πρὸς ὑμᾶς μὲν ἔτι πολλῶν ὄντων εἰπεῖν τοσαῦτα λέγω. Ὅσοι δ' ἐκ Πειραιῶς ἐστε, πρῶτον μὲν τῶν ὅπλων ἀναμνήσθητε, ὅτι πολλὰς μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι οὐχ ὑπὸ τῶν πολεμίων, ἀλλ' ὑπὸ τούτων εἰρήνης οὔσης ἀφῃρέθητε τὰ ὅπλα, ἔπειθ' ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως, ἣν ὑμῖν οἱ πατέρες παρέδοσαν, φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν πόλεων ἐξῃτοῦντο. (96) Ἀνθ' ὧν ὀργίσθητε μὲν ὥσπερ ὅτ' ἐφεύγετε, ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν ἃ πεπόνθατε ὑπ' αὐτῶν, οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς, τοὺς δ' ἐκ τῶν ἱερῶν συναρπάζοντες βιαίως ἀπέκτειναν, τοὺς δὲ ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν ἀφέλκοντες φονέας αὐτῶν ἠνάγκασαν γενέσθαι καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης εἴασαν τυχεῖν, ἡγούμενοι τὴν αὐτῶν ἀρχὴν βεβαιοτέραν εἶναι τῆς παρὰ τῶν θεῶν τιμωρίας. (97) Ὅσοι δὲ τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες καὶ εἰς πολλὰς πόλεις πλανηθέντες καὶ πανταχόθεν ἐκκηρυττόμενοι, ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν ἐν πολεμίᾳ τῇ πατρίδι τοὺς παῖδας καταλιπόντες, οἱ δ' ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων ἤλθετε εἰς τὸν Πειραιᾶ. Πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων ἄνδρες ἀγαθοὶ γενόμενοι τοὺς μὲν ἠλευθερώσατε, τοὺς δ' εἰς τὴν πατρίδα κατηγάγετε.

res gestas indigne feratis: quod si absolveritis, videbimini eadem quæ illi concupivisse. Neque ad eam orationem confugere poteritis quod a trigintaviris imperata estis exsecuti; (91) siquidem nunc nemo vos cogit istos absolvere præter voluntatem. Hortor igitur ut nolitis hujusmodi facinorosos absolventes vosmetipsos condemnare. Neque putate occulto vos sententiam laturos: omnibus enim civibus judicium vestrum manifestum facietis.

92. Ac jam egomet finem faciam, ubi pauca in animos revocavero, tum eis qui in urbe remanserunt, tum eis qui ex Piræeo redierunt; ut calamitates quas per istos homines tulistis, tanquam exempla ponentes ob oculos, sententiam feratis. Et primum quidem, quotquot in urbe remansistis, recordamini vos istorum tam sævo imperio fuisse oppressos, ut cum fratribus et filiis et civibus cogeremini hujusmodi bellum gerere, in quo nempe superati eandem cum victoribus conditionem haberetis, victores vero sub istis turpiter serviretis. (93) Istorum scilicet res familiares ex publicis rebus turbatis augebantur; vestræ autem minuebantur propter bellum intestinum. Nam ex sua tyrannide emolumentum aliquod vobiscum communicare noluerunt, at infamiam exinde orituram vos participare coegerunt. Eo denique superbiæ processerunt, ut non ex communicata aliqua utilitate vos fidos habere vellent, verum ex ignominiis quarum vos fecerunt participes, vos benevolos fore arbitrarentur. (94) Pro quibus rebus, jam securitatem nacti, quantum in vobis est, et vos ipsos et eos qui ex Piræeo redierunt, vindicetis; reputantes quod istorum hominum nequissimorum imperia sustinueritis; reputantes quod nunc una cum optimis civibus rempublicam geratis, et adversus hostes dimicetis, et de patria consilium capiatis; memores etiam auxiliorum quæ isti ad suam dominationem vestramque servitutem firmandam in arce collocarunt. (95) Ac vobis, quanquam multa adhuc supererant dicenda, hæc tantum dico. Quotquot autem ex Piræeo venistis, primum quidem arma in animum revocate, pluribus scilicet bellis in hostili regione confectis, non per hostes, sed per istos homines, hæc in pace vobis adempta: deinde recordamini quod præconis voce ex ea civitate expulsi fueritis quam majores vestri vobis reliquerunt, quod vos jam exulantes in aliis civitatibus isti exposcerent. (96) Quapropter nunc non minus succensete quam quum exulavistis; recordamini cetera quoque mala quæ ab iisdem perpessi fueritis, qui alios e foro, alios e templis raptos, per vim interfecere, alios a liberorum, parentum aut uxorum amplexibus avulsos, sibimetipsis mortem inferre compulerunt, neque siverunt sepulturam legitimam consequi; existimantes suum dominatum stabiliorem esse quam ut deorum ira everti posset. (97) Quotquot vero mortem effugistis, varia ubique pericula experti, plurimas civitates pervagati, undique publice ejecti, rerum necessariarum inopes, alii in patria hostili liberos relinquentes, alii in regione peregrina, plurimis obstantibus, in Piræeum tandem devenistis. Ibi multis et magnis periculis objecti, fortium virorum officiis functi, alios in libertatem vindicastis, alios

(98) Εἰ δὲ ἐδυστυχήσατε καὶ τούτων ἡμάρτετε, αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε μὴ πάθητε τοιαῦτα οἷα καὶ πρότερον, καὶ οὔτ' ἂν ἱερὰ οὔτε βωμοὶ ὑμᾶς ἀδικουμένους διὰ τοὺς τούτων τρόπους ὠφέλησαν, ἃ καὶ τοῖς ἀδικοῦσι σωτηρία γίνεται· οἱ δὲ παῖδες ὑμῶν, ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο, οἱ δ' ἐπὶ ξένης μικρῶν ἂν ἕνεκα συμβολαίων ἐδούλευον ἐρημίᾳ τῶν ἐπικουρησόντων.

99. Ἀλλὰ γὰρ οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέγειν, τὰ πραχθέντα ὑπὸ τούτων οὐ δυνάμενος εἰπεῖν· οὐδὲ γὰρ ἑνὸς κατηγόρου οὐδὲ δυοῖν ἔργον ἐστίν, ἀλλὰ πολλῶν. Ὅμως δὲ τῆς ἐμῆς προθυμίας [οὐδὲν] ἐλλέλειπται, ὑπὲρ τῶν ἱερῶν, ἃ οὗτοι τὰ μὲν ἀπέδοντο, τὰ δ' εἰσιόντες ἐμίαινον, ὑπέρ τε τῆς πόλεως, ἣν μικρὰν ἐποίουν, ὑπέρ τε τῶν νεωρίων, ἃ καθεῖλον, καὶ ὑπὲρ τῶν τεθνεώτων, οἷς ὑμεῖς, ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἠδύνασθε, ἀποθανοῦσι βοηθήσατε. (100) Οἶμαι δ' αὐτοὺς ἡμῶν τε ἀκροᾶσθαι καὶ ὑμᾶς εἴσεσθαι τὴν ψῆφον φέροντας, ἡγουμένους, ὅσοι μὲν ἂν τούτων ἀποψηφίσησθε, αὐτῶν θάνατον καταψηφιεῖσθαι, ὅσοι δ' ἂν παρὰ τούτων δίκην λάβωσιν, ὑπὲρ αὐτῶν [τὰς] τιμωρίας πεποιημένους.

Παύσομαι κατηγορῶν. Ἀκηκόατε, ἑωράκατε, πεπόνθατε, ἔχετε. Δικάζετε.

in patriam reduxistis. (98) Quodsi rem gessissetis infeliciter, et spe fuissetis frustrati, vos denuo exulassetis, eadem quæ sustinuistis olim formidantes; et neque templa, neque aræ, propter istorum crudelitatem, vobis injuria affectis quidquam profuissent, quæ ipsis etiam injuriam facientibus saluti sunt. Jam liberi vestri, quotquot remansissent in urbe, ab istis contumeliose excepti fuissent; at quotquot habitarent peregre, auxiliorum inopia, ob vile pretium misere serviissent.

99. Verumtamen non quæ isti verisimiliter fecissent dicam, quum quæ revera fecerunt recensere non possim: neque enim unius accusatoris aut duorum hoc opus est, sed plurimorum. Nihil tamen a me studii omissum est, neque pro templis quæ vel hostibus vendiderunt, vel ipsi ingressi profanarunt; neque pro civitate cujus potentiam imminuerunt; neque pro navalibus quæ diruerunt; neque pro vita defunctis, quibus auxilium quod vivis præstare nequivistis, nunc tandem interemptis præstate. (100) Quos arbitror et vos audire et vestram sententiam fore intellecturos: qui existimabunt vos quotquot istos absolveritis se condemnare, et quotquot condemnaveritis se ulcisci.

Hic finem accusandi faciam. Audivistis, vidistis, pertulistis, habetis. Judicate.

XIII.

ΚΑΤΑ ΑΓΟΡΑΤΟΥ ΕΝΔΕΙΞΕΩΣ.

Προσήκει μέν, ὦ ἄνδρες δικασταί, πᾶσιν ὑμῖν τιμωρεῖν ὑπὲρ τῶν ἀνδρῶν οἳ ἀπέθανον εὖνοι ὄντες τῷ πλήθει τῷ ὑμετέρῳ, προσήκει δὲ κἀμοὶ οὐχ ἥκιστα· κηδεστὴς γάρ μοι ἦν Διονυσόδωρος καὶ ἀνεψιός. Τυγχάνει οὖν ἐμοὶ ἡ αὐτὴ ἔχθρα πρὸς Ἀγόρατον τουτονὶ καὶ τῷ πλήθει τῷ ὑμετέρῳ ὑπάρχουσα· ἔπραξε γὰρ οὗτος τοιαῦτα, δι' ἃ ὑπ' ἐμοῦ νυνὶ εἰκότως μισεῖται, ὑπό
130 τε ὑμῶν, ἂν θεὸς θέλῃ, δικαίως τιμωρηθήσεται. (2) Διονυσόδωρον γὰρ τὸν κηδεστὴν τὸν ἐμὸν καὶ ἑτέρους πολλούς, ὧν δὴ τὰ ὀνόματα ἀκούσεσθε, ἄνδρας ὄντας ἀγαθοὺς περὶ τὸ πλῆθος τὸ ὑμέτερον, ἐπὶ τῶν τριάκοντα ἀπέκτεινε, μηνυτὴς κατ' ἐκείνων γενόμενος. Ποιήσας δὲ ταῦτα ἐμὲ μὲν ἰδίᾳ καὶ ἕκαστον τῶν προσηκόντων μεγάλα ἐζημίωσε, τὴν δὲ πόλιν κοινῇ πᾶσαν τοιούτων ἀνδρῶν ἀποστερήσας οὐ μικρά, ὡς ἐγὼ νομίζω, ἔβλαψεν. (3) Ἐγὼ οὖν, ἄνδρες δικασταί, δίκαιον καὶ ὅσιον ἡγοῦμαι εἶναι καὶ ἐμοὶ καὶ ὑμῖν ἅπασι τιμωρεῖσθαι καθ' ὅσον ἕκαστος δύναται· καὶ ποιοῦσι ταῦτα νομίζω ἡμῖν καὶ παρὰ θεῶν καὶ παρ' ἀνθρώπων ἄμεινον ἂν γίγνεσθαι. (4) Δεῖ δ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἐξ ἀρχῆς τῶν πραγμάτων ἁπάντων ἀκοῦσαι, ἵν' εἰδῆτε πρῶτον μὲν ᾧ τρόπῳ ὑμῖν ἡ δημοκρατία κατελύθη καὶ ὑφ' ὅτου, ἔπειτα ᾧ τρόπῳ οἱ ἄνδρες ὑπ' Ἀγοράτου ἀπέθανον, καὶ δὴ ὅ τι ἀποθνήσκειν μέλλοντες ἐπέσκηψαν·

XIII.

CONTRA AGORATUM ORATIO.

Quum ad vos spectat universos, judices, illorum hominum mortem ulcisci quos suum in plebem studium occidit, tum ad me quoque haud minime pertinet. Mecum enim erat Dionysodorus et affinitate et sanguine conjunctus, sororis meæ maritus meusque consobrinus. Eædem ergo mihi atque vobis intercedunt cum Agorato simultates. Is enim ea perpetravit facinora propter quæ haud injuria nunc a me odio habetur, et a vobis, deo volente, jure punietur. (2) Namque Dionysodorum affinem meum, et alios quamplurimos, quorum nomina audietis, viros de vestra republica egregie meritos, sub trigintaviris delator interfecit. Quo facto privatim et me et cognatorum unumquemque graviter læsit, civitatem vero universam, talibus viris, ejus potissimum opera, destitutam, non leviter, mea quidem sententia, vulneravit. (3) Ego igitur, judices, quum mihi, tum vobis omnibus, justum et fas esse existimo, pro suis quemque viribus pœnas reposcere. Quod si fecerimus, nobis nos opinor et deorum et hominum benevolentiam conciliaturos. (4) Vos autem oportet, Athenienses, res omnes quomodo gestæ sint a principio audire, ut pernoscatis primum quo pacto et cujus opera democratia eversa sit; deinde qua ratione illi viri ab Agorato sint interfecti, et quænam vobis jam morituri commendarint. His omni-

ἅπαντα γὰρ ταῦτα ἀκριβῶς ἂν μαθόντες ἥδιον καὶ ὁσιώτερον Ἀγοράτου τουτουὶ καταψηφίζοισθε. Ὅθεν οὖν ἡμεῖς τε ῥᾷστα διδάξομεν καὶ ὑμεῖς μαθήσεσθε, ἐντεῦθεν ὑμῖν ἄρξομαι διηγεῖσθαι.

5. Ἐπειδὴ γὰρ αἱ νῆες αἱ ὑμέτεραι διεφθάρησαν καὶ τὰ πράγματα ἐν τῇ πόλει ἀσθενέστερα ἐγεγένητο, οὐ πολλῷ χρόνῳ ὕστερον αἵ τε νῆες αἱ Λακεδαιμονίων ἐπὶ τὸν Πειραιᾶ ἀφικνοῦνται, καὶ ἅμα λόγοι πρὸς Λακεδαιμονίους περὶ τῆς εἰρήνης ἐγίγνοντο. (6) Ἐν δὲ τῷ χρόνῳ τούτῳ οἱ βουλόμενοι νεώτερα πράγματα ἐν τῇ πόλει γίγνεσθαι ἐπεβούλευον, νομίζοντες κάλλιστον καιρὸν εἰληφέναι καὶ μάλιστα ἐν τῷ τότε χρόνῳ τὰ πράγματα, ὡς αὐτοὶ ἠβούλοντο, καταστήσασθαι. (7) Ἡγοῦντο δὲ οὐδὲν ἄλλο σφίσιν ἐμποδὼν εἶναι ἢ τοὺς τοῦ δήμου προεστηκότας καὶ τοὺς στρατηγοῦντας καὶ ταξιαρχοῦντας. Τούτους οὖν ἐβούλοντο ἁμωσγέπως ἐκποδὼν ποιήσασθαι, ἵνα ῥᾳδίως ἃ βούλοιντο διαπράττοιντο. Πρῶτον μὲν οὖν Κλεοφῶντι ἐπέθεντο ἐκ τρόπου τοιούτου. (8) Ὅτε γὰρ ἡ πρώτη ἐκκλησία περὶ τῆς εἰρήνης ἐγίγνετο, καὶ οἱ παρὰ Λακεδαιμονίων ἥκοντες ἔλεγον ἐφ' οἷς ἕτοιμοι εἶεν τὴν εἰρήνην ποιεῖσθαι Λακεδαιμόνιοι, εἰ κατασκαφείη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα στάδια ἑκατέρου, τότε ὑμεῖς τε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἠνέσχεσθε ἀκούσαντες περὶ τῶν τειχῶν τῆς κατασκαφῆς, Κλεοφῶν τε ὑπὲρ ὑμῶν πάντων ἀναστὰς ἀντεῖπεν ὡς οὐδενὶ τρόπῳ οἷόν τε εἴη ποιεῖν ταῦτα. (9) Μετὰ δὲ ταῦτα Θηραμένης, ἐπιβουλεύων τῷ πλήθει τῷ ὑμετέρῳ, ἀναστὰς λέγει ὅτι, ἐὰν αὐτὸν ἕλησθε περὶ τῆς εἰρήνης πρεσβευτὴν αὐτοκράτορα, ποιήσειν ὥστε μήτε τῶν τειχῶν διελεῖν μήτε ἄλλο τὴν πόλιν ἐλαττῶσαι μηδέν· οἴοιτο δὲ καὶ ἄλλο τι ἀγαθὸν παρὰ Λακεδαιμονίων τῇ πόλει εὑρήσεσθαι. (10) Πεισθέντες δὲ ὑμεῖς εἵλεσθε ἐκεῖνον πρεσβευτὴν αὐτοκράτορα, ὃν τῷ προτέρῳ ἔτει στρατηγὸν χειροτονηθέντα ἀπεδοκιμάσατε, οὐ νομίζοντες εὔνουν εἶναι τῷ πλήθει τῷ ὑμετέρῳ. (11) Ἐκεῖνος μὲν οὖν ἐλθὼν εἰς Λακεδαίμονα, ἔμεινεν ἐκεῖ πολὺν χρόνον, καταλιπὼν ὑμᾶς πολιορκουμένους, εἰδὼς τὸ ὑμέτερον πλῆθος ἐν ἀπορίᾳ ἐχόμενον καὶ διὰ τὸν πόλεμον καὶ τὰ κακὰ τοὺς πολλοὺς τῶν ἐπιτηδείων ἐνδεεῖς ὄντας, νομίζων, εἰ διαθείη ὑμᾶς ἀπόρως ὥσπερ διέθηκεν, ἀσμένως ὁποιαντινοῦν ἐθελῆσαι ἂν εἰρήνην ποιήσασθαι. (12) Οἱ δ' ἐνθάδε ὑπομένοντες καὶ ἐπιβουλεύοντες καταλῦσαι τὴν δημοκρατίαν εἰς ἀγῶνα Κλεοφῶντα καθιστᾶσι, πρόφασιν μὲν ὅτι οὐχ ἦλθεν εἰς τὰ ὅπλα ἀναπαυσόμενος, τὸ δ' ἀληθὲς ὅτι ἀντεῖπεν ὑπὲρ ὑμῶν μὴ καθαιρεῖν τὰ τείχη. Ἐκείνῳ μὲν οὖν δικαστήριον παρασκευάσαντες καὶ εἰσελθόντες οἱ βουλόμενοι ὀλιγαρχίαν καταστήσασθαι ἀπέκτειναν ἐν τῇ προφάσει ταύτῃ. (13) Θηραμένης δὲ ὕστερον ἀφικνεῖται ἐκ Λακεδαίμονος. Προσιόντες δ' αὐτῷ τῶν τε στρατηγῶν τινες καὶ τῶν ταξιάρχων, ὧν ἦν Στρομ-
131 βιχίδης καὶ Διονυσόδωρος, καὶ ἄλλοι τινὲς τῶν πολιτῶν εὐνοοῦντες ὑμῖν, ὥς γ' ἐδήλωσαν ὕστερον, ἠγανάκτουν σφόδρα. Ἦλθε γὰρ φέρων εἰρήνην τοιαύτην, ἣν

bus rite perspectis, hominem lubentius et sanctius condemnabitis. Unde igitur mihi facillimum erit docere vos et vobis doceri, inde narrandi principium sumam.

5. Vestra enim classe profligata, et civitatis rebus accisis, non multo tempore post Lacedæmoniæ naves Piræeum appulere, simulque verba fiebant de pace cum Lacedæmoniis. (6) In hoc temporis articulo, qui novis rebus in civitate studebant, insidias parare cœperunt, rati pulcherrimam sibi hanc occasionem eâ potissimum tempestate oblatam, publicas res suo arbitratu ordinandi. (7) Existimabant autem suis consiliis nihil fore impedimento præter populi duces et exercituum præfectos. Hos igitur omni ratione de medio tollere nitebantur, quo facilius id quod in animo concepissent ad exitum perducerent. Primum itaque Cleophontem hoc aggrediuntur modo. (8) Concione prima de pace habita, et conditionibus a Sparta allatis, quibus pacem iniri Lacedæmonii voluere, ut nimirum diruerentur longorum mœnium ad decem stadia utrimque, ibi quum vos, Athenienses, de mœnium eversione ne verbum quidem tolerare voluistis, tum Cleopho surgens vestro nomine respondit, hæc nullo modo fieri posse. (9) Post hæc, Theramenes democratiæ insidiatus in concione dixit fore ut, si de pace legatum summa cum potestate renunciaveritis, perficeret ut neque diruerentur mœnia, neque quidquam omnino reipublicæ opes imminuerentur; arbitrari quoque fieri posse ut aliud quidpiam boni pro civitate a Lacedæmoniis impetrare posset. (10) Hac oratione deliniti eum cum summa potestate renunciastis legatum, quem superiori anno electum jam suffragiis ducem exercitus in scrutinio reprobastis ideo, quod visus vobis sit a partibus plebis alienior. (11) Ille itaque profectus Lacedæmona, ibi diutius desidebat, vobis interea domi obsessis. Noverat ille populum Atheniensem summa rerum angustia teneri, ac plurimos, propter bellum et belli mala, victu etiam necessario indigere : existimavit porro si vos ad extrema perduceret, quemadmodum et perduxit, vos lubenter qualiscumque pacis conditionem fore accepturos. (12) Jam qui relicti erant Athenis, et democratiam per insidias parabant evertere, Cleophontem vocant in judicium, nomine quidem quod militans ab armis cessasset, re autem vera quod pro vobis responderit muros non esse diruendos. Comparatis igitur adversus ipsum judicibus, eundem apud illos accusatum oligarchiæ fautores hoc nomine interfecerunt. (13) Theramenes postea Lacedæmone revertitur. Ad quem accedentes ex militaribus præfectis quidam, quorum in numero erant Strombichides et Dionysodorus, quin et alii nonnulli ex civibus vestrûm studiosi, uti deinceps comparuit, huic graviter succensebant; siquidem tales conditiones pacis

ἡμεῖς ἔργῳ μαθόντες ἔγνωμεν· πολλοὺς γὰρ τῶν πολιτῶν καὶ ἀγαθοὺς ἀπωλέσαμεν, καὶ αὐτοὶ ὑπὸ τῶν τριάκοντα ἐξηλάθημεν. (14) Ἦν γὰρ ἀντὶ μὲν τοῦ ἐπὶ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν ὅλα τὰ μακρὰ τείχη κατασκάψαι, ἀντὶ δὲ τοῦ ἄλλο τι ἀγαθὸν τῇ πόλει εὑρέσθαι τάς τε ναῦς παραδοῦναι τοῖς Λακεδαιμονίοις καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος περιελεῖν. (15) Ὁρῶντες δὲ οὗτοι οἱ ἄνδρες ὀνόματι μὲν εἰρήνην λεγομένην, τῷ δ' ἔργῳ τὴν δημοκρατίαν καταλυομένην, οὐκ ἔφασαν ἐπιτρέψαι ταῦτα γενέσθαι, οὐκ ἐλεοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ τείχη, εἰ πεσεῖται, οὐδὲ κηδόμενοι τῶν νηῶν, εἰ Λακεδαιμονίοις παραδοθήσονται (οὐδὲν γὰρ αὐτοῖς τούτων πλεῖον ἢ ὑμῶν ἑκάστῳ προσῆκεν), (16) ἀλλ' αἰσθόμενοι ἐκ τοῦ τρόπου τούτου τὸ ὑμέτερον πλῆθος καταλυθησόμενον; οὐδ' (ὥς φασί τινες) οὐκ ἐπιθυμοῦντες εἰρήνην γίγνεσθαι, ἀλλὰ βουλόμενοι βελτίω ταύτης εἰρήνην τῷ δήμῳ τῶν Ἀθηναίων ποιήσασθαι. Ἐνόμιζον δὲ δυνήσεσθαι, καὶ ἔπραξαν ἂν ταῦτα, εἰ μὴ ὑπ' Ἀγοράτου τουτουὶ ἀπώλοντο. (17) Γνοὺς δὲ ταῦτα Θηραμένης καὶ οἱ ἄλλοι οἱ ἐπιβουλεύοντες ὑμῖν, ὅτι εἰσί τινες οἳ κωλύσουσι τὸν δῆμον καταλυθῆναι καὶ ἐναντιώσονται περὶ τῆς ἐλευθερίας, εἵλοντο, πρὶν τὴν ἐκκλησίαν τὴν περὶ τῆς εἰρήνης γενέσθαι, τούτους πρῶτον εἰς διαβολὰς καὶ κινδύνους καταστῆσαι, ἵνα μηδεὶς ἐκεῖ ὑπὲρ τοῦ ὑμετέρου πλήθους ἀντιλέγοι. (18) Ἐπιβουλὴν οὖν τοιαύτην ἐπιβουλεύουσι. Πείθουσι γὰρ Ἀγόρατον τουτονὶ μηνυτὴν κατὰ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων γενέσθαι, οὐ ξυνειδότα ἐκείνοις, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδέν (οὐ γὰρ δήπου ἐκεῖνοι οὕτως ἀνόητοι ἦσαν καὶ ἄφιλοι, ὥστε περὶ τηλικούτων ἂν πραγμάτων πράττοντες Ἀγόρατον ὡς πιστὸν καὶ εὔνουν, δοῦλον καὶ ἐκ δούλων ὄντα, παρεκάλεσαν), ἀλλ' ἐδόκει αὐτοῖς οὗτος ἐπιτήδειος εἶναι μηνυτής. (19) Ἐβούλοντο οὖν ἄκοντα δοκεῖν αὐτὸν καὶ μὴ ἑκόντα μηνύειν, ὅπως πιστότερα ὑμῖν ὑποφαίνοιτο. Ὡς δὲ ἑκὼν ἐμήνυσε, καὶ ὑμᾶς οἶμαι ἐκ τῶν πεπραγμένων αἰσθήσεσθαι. Ἐκπέμπουσι γὰρ εἰς τὴν βουλὴν τὴν πρὸ τῶν τριάκοντα βουλεύουσαν Θεόκριτον τὸν τοῦ Ἐλαφοστίκτου καλούμενον· ὁ δὲ Θεόκριτος οὗτος ἑταῖρος ἦν τῷ Ἀγοράτῳ καὶ ἐπιτήδειος. (20) Ἡ δὲ βουλὴ ἡ πρὸ τῶν τριάκοντα βουλεύουσα διέφθαρτο καὶ ὀλιγαρχίας ἐπεθύμει, ὡς ἴστε, μάλιστα. Τεκμήριον δέ· οἱ γὰρ πολλοὶ ἐξ ἐκείνης τῆς βουλῆς τὴν ὑστέραν βουλὴν τὴν ἐπὶ τῶν τριάκοντα ἐβούλευον. Τοῦ δ' ἕνεκα ταῦτα λέγω ὑμῖν; ἵν' εἰδῆτε ὅτι τὰ ψηφίσματα τὰ ἐξ ἐκείνης τῆς βουλῆς οὐκ ἐπ' εὐνοίᾳ τῇ ὑμετέρᾳ, ἀλλ' ἐπὶ καταλύσει τοῦ δήμου τοῦ ὑμετέρου ἅπαντα ἐλέγετο, καὶ ὡς τοιούτοις οὖσιν αὐτοῖς τὸν νοῦν προσέχητε. (21) Εἰσελθὼν δὲ εἰς ταύτην τὴν βουλὴν ἐν ἀπορρήτῳ Θεόκριτος μηνύει ὅτι συλλέγονταί τινες ἐναντιωσόμενοι τοῖς τότε καθισταμένοις πράγμασι. Τὰ μὲν οὖν ὀνόματα οὐκ ἔφη αὐτῶν ἐρεῖν καθ' ἕκαστον· ὅρκους τε γὰρ ὀμωμοκέναι τοὺς αὐτοὺς ἐκείνοις, καὶ εἶναι ἑτέρους οἳ ἐροῦσι τὰ ὀνόματα, αὐτὸς δὲ οὐκ ἄν ποτε ποιῆσαι

reportavit, quales nos re ipsa experti novimus. Multos enim cives, et sane optimos, amisimus, ipsique a trigintaviris sumus expulsi. (14) Longa scilicet mœnia, non jam ad stadia decem, sed tota erant diruenda; atque illud quidpiam boni reipublicæ præstandum, eo tendebat ut naves traderentur Lacedæmoniis, et dirueretur Piræei munimentum. (15) Ibi illi viri perspicientes pacem quidem nomine proponi, re autem vera democratiæ eversionem, palam pronunciabant se non hæc ita fieri permissuros; non adeo, Athenienses, quod ipsos mœnium diruendorum miseresceret, vel quod naves curarent Lacedæmoniis tradendas (neque enim major pars horum ad ipsos pertinuit quam ad unumquemque vestrûm), (16) quam quod his artibus democratiam everti præsenserunt; neque, ut nonnulli clamitant, quod animos habuerint a pace alienos, sed quod æquiorem hac pacem populo Atheniensium optarent. Id autem se præstare posse arbitrabantur, et re ipsa præstitissent, ni ab Agorato fuissent interempti. (17) His cognitis, Theramenes ceterique vobis insidiantes, esse nimirum in civitate qui popularem statum labefactari non sinerent et communi libertati patrocinarentur, statuerunt hos in criminationes et pericula adducere, priusquam de pace concio haberetur, ut illic nullus pro salute civium verba facere posset. (18) Tales igitur insidias struunt: Persuadent Agorato ut militarium præfectorum delator fieret: non quod esset cum istis consiliorum particeps (neque enim erant adeo vel mentis vel amicorum inopes, ut de tantis rebus agentes, Agoratum in communionem rerum a se gerendarum quasi fidum et benevolentem asciscerent, servum et servili loco natum); sed iste videbatur ipsis ad hoc munus idoneus. (19) Voluerunt igitur hujus indicia minime voluntaria videri, sed ab invito extorta, quo majorem apud vos fidem nancisceretur. Atqui fuisse voluntaria indicia, credo ego vos ex iis quæ gesta sunt persensuros. Ad senatum illum qui proxime ante trigintaviros exsistebat, Theocritum quendam mittunt qui Elaphosticti filius dicebatur: qui quidem Theocritus fuit cum Agorato summa familiaritate conjunctus. (20) Senatus autem ille ante trigintaviros exsistens corruptus erat, et oligarchiam appetebat maxime, ut ipsi nunc scitis. Cujus rei hoc est argumentum, quod ex illo senatu quamplurimi in senatum qui postea sub trigintaviris exstitit, fuerint ascripti. Quare autem hæc dico? ut nempe intelligatis illius senatus nulla decreta ex studio in vos, sed ad pessumdandam rempublicam profecta esse, et ut pro talibus ea habentes vos deliberationem instituatis. (21) Ad hunc igitur progressus Theocritus denunciat secreto quosdam convenire res constituendas impedituros. Eorum nomina negat se prolaturum, siquidem eodem atque illi sacramento constrictus ipse teneretur; esse autem alios qui ea proferrent, at id se nullo modo factu-

ταῦτα. (22) Καίτοι εἰ μὴ ἐκ παρασκευῆς ἐμηνύετο, πῶς οὐκ ἂν ἠνάγκασεν ἡ βουλὴ εἰπεῖν τὰ ὀνόματα Θεόκριτον καὶ μὴ ἀνώνυμον τὴν μήνυσιν ποιήσασθαι; νυνὶ δὲ τοῦτο τὸ ψήφισμα ἐψηφίσατο.

ΨΗΦΙΣΜΑ.

23. Ἐπειδὴ τοίνυν τοῦτο τὸ ψήφισμα ἐψηφίσθη, κατέρχονται ἐπὶ τὸν Ἀγόρατον εἰς τὸν Πειραιᾶ οἱ αἱρεθέντες τῶν βουλευτῶν, καὶ περιτυχόντες αὐτῷ ἐν ἀγορᾷ ἐζήτουν ἄγειν. Παραγενόμενος δὲ Νικίας καὶ Νικομένης καὶ ἄλλοι τινές, ὁρῶντες τὰ πράγματα οὐχ οἷα βέλ-
132 τιστα ἐν τῇ πόλει ὄντα, ἄγειν μὲν τὸν Ἀγόρατον οὐκ ἔφασαν προήσεσθαι, ἀφῃροῦντο δὲ καὶ ἠγγυῶντο καὶ ὡμολόγουν παρέξειν εἰς τὴν βουλήν. (24) Γραψάμενοι δὲ οἱ βουλευταὶ τὰ ὀνόματα τῶν ἐγγυωμένων καὶ κωλυόντων, ἀπιόντες ᾤχοντο εἰς ἄστυ. Ὁ δὲ Ἀγόρατος καὶ οἱ ἐγγυηταὶ καθίζουσιν ἐπὶ τὸν βωμὸν Μουνυχίασιν· ἐπειδὴ δὲ ἐκεῖ ἦσαν, ἐβουλεύοντο τί χρὴ ποιεῖν. (25) Ἐδόκει οὖν τοῖς ἐγγυηταῖς καὶ τοῖς ἄλλοις ἅπασιν ἐκποδὼν ποιήσασθαι τὸν Ἀγόρατον ὡς τάχιστα, καὶ παρορμίσαντες δύο πλοῖα Μουνυχίασιν ἐδέοντο αὐτοῦ παντὶ τρόπῳ ἀπελθεῖν Ἀθήνηθεν, καὶ αὐτοὶ ἔφασαν συνεκπλευσεῖσθαι, ἕως τὰ πράγματα κατασταίη, λέγοντες ὅτι, εἰ κομισθείη εἰς τὴν βουλήν, βασανιζόμενος ἴσως ἀναγκασθήσεται ὀνόματα εἰπεῖν Ἀθηναίων ὧν ἂν ὑποβάλωσιν οἱ βουλόμενοι κακόν τι ἐν τῇ πόλει ἐργάζεσθαι. (26) Ταῦτα ἐκείνων δεομένων, καὶ παρασκευασάντων πλοῖα, καὶ αὐτῶν ἑτοίμων ὄντων συνεκπλεῖν, οὐκ ἠθέλησε πείθεσθαι αὐτοῖς Ἀγόρατος οὑτοσί. Καίτοι, ὦ Ἀγόρατε, εἰ μή τί σοι ἦν παρεσκευασμένον καὶ ἐπίστευες μηδὲν κακὸν πείσεσθαι, πῶς οὐκ ἂν ᾤχου καὶ πλοίων παρεσκευασμένων καὶ τῶν ἐγγυητῶν ἑτοίμων ὄντων σοι συνεκπλεῖν; ἔτι γὰρ οἷόν τέ σοι ἦν, καὶ οὔπω ἡ βουλή σου ἐκράτει. (27) Ἀλλὰ μὲν δὴ οὐχ ὅμοιά γε σοὶ καὶ ἐκείνοις ὑπῆρχε. Πρῶτον μέν γε Ἀθηναῖοι ἦσαν ὥστε οὐκ ἐδεδίεσαν βασανισθῆναι· ἔπειτα πατρίδα σφετέραν αὐτῶν καταλιπόντες ἕτοιμοι ἦσαν συνεκπλεῖν μετὰ σοῦ, ἡγησάμενοι ταῦτα μᾶλλον λυσιτελεῖν ἢ τῶν πολιτῶν πολλοὺς καὶ ἀγαθοὺς ὑπὸ σοῦ ἀδίκως ἀπολέσθαι. Σοὶ δὲ πρῶτον μὲν κίνδυνος ἦν βασανισθῆναι ὑπομείναντι, ἔπειτα οὐ πατρίδα ἂν σαυτοῦ ἀπέλιπες· ὥστ' ἐκ παντὸς τρόπου σοὶ μᾶλλον ἐκπλεῦσαι ἢ ἐκείνοις συνέφερεν, εἰ μή τι ἦν ᾧ ἐπίστευες. (28) Νῦν δὲ ἄκων μὲν προσποιῇ, ἑκὼν δὲ πολλοὺς καὶ ἀγαθοὺς Ἀθηναίων ἀπέκτεινας. Ὡς δὲ παρεσκευάσθη ἅπαντα ἃ ἐγὼ λέγω, καὶ μάρτυρές εἰσι καὶ αὐτὸ τὸ ψήφισμα σοῦ τὸ τῆς βουλῆς καταμαρτυρήσει.

ΨΗΦΙΣΜΑ.

29. Ἐπειδὴ τοίνυν τοῦ τοτὸ ψήφισμα ἐψηφίσθη καὶ ἦλθον οἱ ἐκ τῆς βουλῆς Μουνυχίαζε, ἑκὼν ἀνέστη Ἀγόρατος ἀπὸ τοῦ βωμοῦ· καίτοι νῦν γε βίᾳ φησὶν ἀφαιρεθῆναι. (30) Ἐπειδὴ δὲ εἰς τὴν βουλὴν ἐκομίσθη, ἀπογράφει Ἀγόρατος πρῶτον μὲν τῶν αὐτοῦ ἐγγυητῶν

rum (22) Attamen nisi ex composito facta esset hæc denunciatio, quare senatus Theocritum non adegit ad nomina indicanda, atque hunc denunciationem nominibus destitutam facere permisit? Jam vero hocce tulit decretum.

DECRETUM.

23. Postquam igitur hoc decretum latum est, ad Agoratum in Piræeum descendunt delecti ex senatorum numero; quem in foro sibi obviam factum abducere voluerunt. Ibi qui forte aderant Nicias et Nicomenes, et alii nonnulli, qui videbant res civitatis non optime se habere, negarunt se permissuros ut Agoratus abduceretur, sed eo abrepto, ac fidejussione suscepta, spondebant fore ut eum coram senatu sisterent. (24) Senatores, relatis in tabulas nominibus spondentium et prohibentium ne istum ipsi agerent, in urbem revertuntur. Agoratus autem et fidejussores ad aram quæ est Munychiæ confugiunt, ibique consilium ineunt quid facto opus esset. (25) Fidejussoribus ceterisque omnibus consultissimum esse visum est, Agoratum celerrime amovere, ac duo navigia Munychiæ in ancoris tenentes, eum enixe rogarunt ut Athenis discederet; profitentes se paratos esse una navigare dum turbæ civitatis conquiescerent: ipsum enim, si in senatum se conferret, tormentis forte adductum iri ad eorum Atheniensium nomina enuncianda quos ii suggererent qui reipublicæ interitum meditabantur. (26) Hæc illis rogantibus, et habentibus naves instructas, ipsisque ad una navigandum paratis, Agoratus parere noluit. Attamen, Agorate, nisi consilia tibi fuissent meditata, nisi confidisses te extra periculum fore, cur non esses profectus, navibus jam instructis, et fidejussoribus ad id paratis ut una tecum navigarent? adhuc enim tibi integrum fuit, et nondum te senatus in potestate sua habebat. (27) Jam vero non erat illis eadem quæ tibi proficiscendi necessitas. Nam primum, quum illi cives essent Athenienses, tormenta non reformidabant; deinde sua ipsorum patria relicta parati erant navem tecum conscendere, id multo præstabilius existimantes quam cives plurimos fortissimosque tua opera injuste occidi. Tibi autem manenti primum metuenda erant tormenta; deinde patriam tuam non fugisses: ita ut omni modo tibi potius quam illis enavigasse expediret, nisi aliquid erat quo tu confideres. (28) Nunc vero invitus, ut simulas, at re ipsa spontaneus multos et egregios cives interfecisti. Hæc autem omnia quæ dixi ex composito facta fuisse, et testes declarant, et ipsum senatus decretum contra te testabitur.

DECRETUM.

29. Perlato hoc decreto, ubi Munychiam advenere delecti ex senatoribus, sponte ab ara Agoratus consurgit, licet hodie dicat se ab ea fuisse vi abreptum. (30) Postquam ad senatum ventum est, ibi defert Agoratus primum suorum

τὰ ὀνόματα, ἔπειτα τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων, ἔπειτα δὲ καὶ ἄλλων τινῶν πολιτῶν. Ἡ δὲ ἀρχὴ αὕτη τοῦ παντὸς κακοῦ ἐγένετο. Ὡς δὲ ἀπέγραψε τὰ ὀνόματα, οἶμαι μὲν καὶ αὐτὸν ὁμολογήσειν· εἰ δὲ μή, ἐπ' αὐτοφώρῳ ἐγὼ αὐτὸν ἐξελέγξω. Ἀπόκριναι δή μοι.

ΕΡΩΤΗΣΙΣ.

31. Ἐβούλοντο τοίνυν, ὦ ἄνδρες δικασταί, ἔτι πλειόνων αὐτὸν τὰ ὀνόματα ἀπογράψαι· οὕτω σφόδρα ἔρρωτο ἡ βουλὴ κακόν τι ἐργάζεσθαι, αὐτὸς δ' οὐκ ἐδόκει αὐτοῖς ἅπαντα τἀληθῆ πω κατηγορηκέναι. Τούτους μὲν οὖν ἅπαντας ἑκὼν ἀπογράφει, οὐδεμιᾶς αὐτῷ ἀνάγκης οὔσης. (32) Ἐπειδὴ δὲ ἡ ἐκκλησία Μουνυχίασιν ἐν τῷ θεάτρῳ ἐγίγνετο, οὕτω σφόδρα τινὲς ἐπεμελοῦντο ὅπως καὶ ἐν τῷ δήμῳ περὶ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων μήνυσις γένοιτο (περὶ δὲ τῶν ἄλλων ἀπέχρη ἐν τῇ βουλῇ μήνυσις μόνη γεγενημένη), ὥστε καὶ ἐκεῖ παράγουσιν εἰς τὸν δῆμον. Καί μοι ἀπόκριναι, ὦ Ἀγόρατε· οὐ γὰρ οἶμαί σε ἔξαρνον γενέσθαι ἃ ἐναντίον Ἀθηναίων ἁπάντων ἐποίησας.

ΕΡΩΤΗΣΙΣ.

33. Ὁμολογεῖ μὲν καὶ αὐτός, ὅμως δὲ καὶ τὰ ψηφίσματα ὑμῖν τοῦ δήμου ἀναγνώσεται.

ΨΗΦΙΣΜΑΤΑ.

Ὅτι μὲν ἀπέγραψεν Ἀγόρατος οὑτοσὶ τῶν ἀνδρῶν ἐκείνων τὰ ὀνόματα, καὶ τὰ ἐν τῇ βουλῇ καὶ τὰ ἐν τῷ δήμῳ, καὶ ἔστι φονεὺς ἐκείνων, σχεδόν τι οἶμαι ὑμᾶς ἐπίστασθαι· ὡς τοίνυν ἁπάντων τῶν κακῶν αἴτιος τῇ πόλει ἐγένετο καὶ οὐδ' ὑφ' ἑνὸς αὐτὸν προσήκει ἐλεεῖσθαι, ἐγὼ οἶμαι ὑμῖν ἐν κεφαλαίοις ἀποδείξειν. (34)
133 Ἐπειδὴ γὰρ ἐκεῖνοι συλληφθέντες ἐδέθησαν, τότε καὶ ὁ Λύσανδρος εἰς τοὺς λιμένας τοὺς ὑμετέρους εἰσέπλευσε, καὶ αἱ νῆες αἱ ὑμέτεραι Λακεδαιμονίοις παρεδόθησαν, καὶ τὰ τείχη κατεσκάφη, καὶ οἱ τριάκοντα κατέστησαν, καὶ τί οὐ τῶν δεινῶν τῇ πόλει ἐγένετο; (35) Ἐπειδὴ τοίνυν οἱ τριάκοντα κατεστάθησαν, εὐθέως κρίσιν τοῖς ἀνδράσι τούτοις ἐποίουν ἐν τῇ βουλῇ, ὁ δὲ δῆμος ἐν τῷ δικαστηρίῳ ἐν δισχιλίοις ἐψηφίσατο. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

36. Εἰ μὲν οὖν ἐν τῷ δικαστηρίῳ ἐκρίνοντο, ῥᾳδίως ἂν ἐσῴζοντο· ἅπαντες γὰρ ἤδη ἐγνωκότες ἦτε οὗ ἦν κακοῦ ἡ πόλις, ἐν ᾧ οὐδὲν ἔτι ὠφελεῖν ἐδύνασθε· νῦν δ' εἰς τὴν βουλὴν αὐτοὺς τὴν ἐπὶ τῶν τριάκοντα εἰσάγουσιν. Ἡ δὲ κρίσις τοιαύτη ἐγένετο, οἵαν καὶ ὑμεῖς αὐτοὶ ἐπίστασθε. (37) Οἱ μὲν γὰρ τριάκοντα ἐκάθηντο ἐπὶ τῶν βάθρων, οὗ νῦν οἱ πρυτάνεις καθέζονται· δύο δὲ τράπεζαι ἐν τῷ πρόσθεν τῶν τριάκοντα ἐκείσθην· τὴν δὲ ψῆφον οὐκ εἰς καδίσκους, ἀλλὰ φανερὰν ἐπὶ τὰς τραπέζας ταύτας ἔδει τίθεσθαι, τὴν μὲν ἐπὶ τὴν πρώτην, τὴν δὲ καθαιροῦσαν ἐπὶ τὴν ὑστέραν· ὥστ' ἐκ τίνος τρό-

quidem fidejussorum nomina, deinde præfectorum militarium, tum autem nonnullorum præterea civium. Atque hæc quidem omnis mali origo fuit. Quod vero hæc nomina detulerit, neque ipsum arbitror iturum infitias; sin minus, suo ipsum testimonio convincam. Age mihi responde.

INTERROGATIO.

31. Senatus igitur, judices, voluit istum plurium adhuc nomina deferre: adeo vehementer incitabatur ad mala perpetranda; et iste nondum videbatur omnia vera detulisse. Hos itaque omnes sponte detulit, nulla necessitate coactus. (32) Posteaquam vero Munychiæ in theatro concio habita est, nonnulli adeo impense operam dabant ut coram populo quoque præfectorum militarium delatio fieret (nam de ceteris factum in senatu indicium sufficere videbatur), ut illic istum coram populo sisterent. Et mihi responde, Agorate; non enim opinor te ea infitias iturum quæ coram omnibus Atheniensibus fecisti.

INTERROGATIO.

33. Ipse quidem confitetur; nihilominus tamen etiam decreta populi vobis scriba recitabit.

DECRETA.

Agoratum igitur illorum virorum nomina detulisse quum in senatu tum in populo, eorumque esse interfectorem, jam fere vos scire arbitror. Nunc vero eundem omnium calamitatum quæ reipublicæ contigerunt, auctorem fuisse, neque dignum esse qui ab ullo misericordiam consequatur, id vobis summatim exponere conabor. (34) Illis enim in carcerem detrusis, tunc et Lysander ad vestros portus appulit, et vestræ naves Lacedæmoniis tradebantur, et diruebantur mœnia, et trigintaviri sunt constituti, et istæc tanta reipublicæ illata est calamitas. (35) Potiti jam imperio trigintaviri illisce viris statim diem dici curant in senatu, quum eodem tempore populus in tribunali per bis mille cives decretum tulit. Et mihi recita decretum.

DECRETUM.

36. Si igitur in tribunali judicium experti essent, salutem facile essent consecuti. Vos enim jam intellexeratis quantæ essent reipublicæ calamitates quibus mederi jam non amplius poteratis. Nunc vero ad senatum ducuntur qui sub trigintaviris exstitit. Hujusmodi autem fuit judicium, ut vos bene nostis. (37) Trigintaviri in subselliis sedebant ubi nunc sedent prytanes. Duæ mensæ ante ipsos Triginta collocatæ erant, et oportuit calculum non urnis injicere, sed palam mensis imponere, eum qui condemnabat posteriori, eum qui absolvebat priori: unde quo pacto aliquis

που ἔμελλέ τις αὐτῶν σωθήσεσθαι; (38) Ἑνὶ δὲ λόγῳ, ὅσοι εἰς τὸ βουλευτήριον ἐπὶ τῶν τριάκοντα εἰσῆλθον κριθησόμενοι, ἁπάντων θάνατος κατεγιγνώσκετο καὶ οὐδενὸς ἀπεψηφίσαντο, πλὴν Ἀγοράτου τουτουί· τοῦτον δὲ ἀφεῖσαν ὡς εὐεργέτην ὄντα· ἵνα δὲ εἰδῆτε ὡς πολλοὶ ὑπὸ τούτου τεθνᾶσι, βούλομαι ὑμῖν τὰ ὀνόματα αὐτῶν ἀναγνῶναι.

ΟΝΟΜΑΤΑ.

39. Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες δικασταί, θάνατος κατεγνώσθη αὐτῶν καὶ ἔδει αὐτοὺς ἀποθνήσκειν, μεταπέμπονται εἰς τὸ δεσμωτήριον ὁ μὲν ἀδελφήν, ὁ δὲ μητέρα, ὁ δὲ γυναῖκα, ὁ δ' ἥτις ἦν ἑκάστῳ αὐτῶν προσήκουσα, ἵνα τὰ ὕστατα ἀσπασάμενοι τοὺς αὑτῶν οὕτω τὸν βίον τελευτήσειαν. (40) Καὶ δὴ καὶ Διονυσόδωρος μεταπέμπεται τὴν ἀδελφὴν τὴν ἐμὴν εἰς τὸ δεσμωτήριον, γυναῖκα ἑαυτοῦ οὖσαν. Πυθομένη δ' ἐκείνη ἀφικνεῖται, μέλαν τε ἱμάτιον ἠμφιεσμένη, ὡς εἰκὸς ἦν ἐπὶ τῷ ἀνδρὶ αὐτῆς τοιαύτῃ συμφορᾷ κεχρημένῳ. (41) Ἐναντίον δὲ τῆς ἀδελφῆς τῆς ἐμῆς Διονυσόδωρος τά τε οἰκεῖα τὰ ἑαυτοῦ διέθετο ὅπως αὐτῷ ἐδόκει, καὶ περὶ Ἀγοράτου τούτου ἔλεγεν ὅτι αἴτιος ἦν τοῦ θανάτου, καὶ ἐπέσκηπτεν ἐμοὶ καὶ Διονυσίῳ τούτῳ, τῷ ἀδελφῷ τῷ αὑτοῦ, καὶ τοῖς φίλοις πᾶσι τιμωρεῖν ὑπὲρ αὑτοῦ Ἀγόρατον· (42) καὶ τῇ γυναικὶ τῇ αὑτοῦ ἐπέσκηπτε, νομίζων αὐτὴν κυεῖν ἐξ αὑτοῦ, ἐὰν γένηται αὐτῇ παιδίον, φράζειν τῷ γενομένῳ ὅτι τὸν πατέρα αὐτοῦ Ἀγόρατος ἀπέκτεινε, καὶ κελεύειν τιμωρεῖν ὑπὲρ αὐτοῦ ὡς φονέα ὄντα. Ὡς οὖν ἀληθῆ λέγω, μάρτυρας τούτων παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

43. Οὗτοι μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπ' Ἀγοράτου ἀπογραφέντες ἀπέθανον· ἐπεὶ δὲ τούτους ἐκποδὼν ἐποιήσαντο οἱ τριάκοντα, σχεδὸν οἶμαι ὑμᾶς ἐπίστασθαι ὡς πολλὰ καὶ δεινὰ μετὰ ταῦτα τῇ πόλει ἐγένετο· ὧν οὗτος ἁπάντων αἴτιός ἐστιν, ἀποκτείνας ἐκείνους. (44) Ἀνιῶμαι μὲν οὖν ὑπομιμνήσκων τὰς γεγενημένας συμφορὰς τῇ πόλει, ἀνάγκη δ' ἐστίν, ὦ ἄνδρες δικασταί, ἐν τῷ παρόντι καιρῷ, ἵν' εἰδῆτε ὡς σφόδρα ὑμῖν ἐλεεῖν προσήκει Ἀγόρατον. Ἴστε μὲν γὰρ τοὺς ἐκ Σαλαμῖνος τῶν πολιτῶν κομισθέντας, οἷοι ἦσαν καὶ ὅσοι, καὶ οἵῳ ὀλέθρῳ ὑπὸ τῶν τριάκοντα ἀπώλοντο· ἴστε δὲ τοὺς ἐξ Ἐλευσῖνος, ὡς πολλοὶ ταύτῃ τῇ συμφορᾷ ἐχρήσαντο· μέμνησθε δὲ καὶ τοὺς ἐνθάδε διὰ τὰς ἰδίας ἔχθρας ἀπαγομένους εἰς τὸ δεσμωτήριον· (45) οἳ οὐδὲν κακὸν τὴν πόλιν ποιήσαντες ἠναγκάζοντο αἰσχίστῳ καὶ ἀκλεεστάτῳ ὀλέθρῳ ἀπόλλυσθαι, οἱ μὲν γονέας σφετέρους αὐτῶν πρεσβύτας καταλιπόντες, οἳ ἤλπιζον ὑπὸ τῶν σφετέρων αὐτῶν παίδων γηροτροφηθέντες, ἐπειδὴ τε-
134 λευτήσαιεν τὸν βίον, ταφήσεσθαι, οἱ δὲ ἀδελφὰς ἀνεκδότους, οἱ δὲ παῖδας μικροὺς πολλῆς ἔτι θεραπείας δεομένους· (46) οὕς, ὦ ἄνδρες δικασταί, ποίαν τινὰ οἴεσθε γνώμην περὶ τούτου ἔχειν, ἢ ποίαν τινὰ ἂν ψῆφον θέσθαι, εἰ ἐπ' ἐκείνοις γένοιτο, ἀποστερηθέντας διὰ τοῦτον

illorum servari potuit? (38) Uno verbo, quicumque ad curiam trigintaviralis senatus accessere judicium subituri, capite damnati sunt, absoluto nemine præter Agoratum; quem scilicet dimisere tanquam de republica bene meritum. Ut autem sciatis quot ab isto sint interempti, eorum nomina vobis recensebo.

NOMINA.

39. Postquam igitur, judices, illi viri morte damnati sunt, ipsisque erat moriendum, arcessunt ad carcerem, hic quidem sororem, matrem ille, alius uxorem, aut quæcumque singulis conjunctissima erat, ut suis ultimum salutatis ita vita defungerentur. (40) Et Dionysodorus quidem arcessit sororem meam, suam uxorem, ad carcerem. Quæ, his auditis, advenit, lugubri veste induta, ut par erat, quum vir ipsius tali fortuna uteretur. (41) Dionysodorus autem coram sorore mea res suas familiares testamento ordinavit, prout sibi visum fuerat, et hæc adjecit de Agorato, eum mortis suæ causam esse, mihique in mandatis dedit, et Dionysio fratri suo, amicisque omnibus, ut ab Agorato ipsius nomine pœnas exposcerent, (42) et uxori mandavit (existimans eam a se esse gravidam) ut si puerum pareret, diceret ei, quod Agoratus ipsius patrem interfecerit, a quo pœnas cædis aliquando repeteret. Atque hæc vera esse ut constet, testes producam.

TESTES.

43. Illi igitur, Athenienses, delati ab Agorato mortem oppetiere. Ubi autem eos de medio sustulerant trigintaviri, vos fere scire arbitror quantæ et quam graves calamitates huic civitati contigerint; quarum omnium iste fuit auctor, quum illos viros interfecerit. (44) Piget profecto civitatis infortunia refricare, hodie tamen necesse habeo, judices, ut pernoscatis quod ne levissimam quidem misericordiam Agoratus dignus sit a vobis consequi. Recordamini nempe cives Salamine advectos, quales quantique fuerint, et quali exitio a trigintaviris sint interempti: recordamini quot ab Eleusine venientes eodem interitu perierint: recordamini quoque quot hic in urbe ob privatas simultates in vincula abrepti sint. (45) Qui quum nihil mali admisissent in civitatem, turpissimo et inhonestissimo mortis genere interiere; partim relictis parentibus senioribus, qui sperabant post sustentatam a liberis suis senectutem, ab iisdem mortuos sepeliendos esse; partim relictis sororibus nondum elocatis; partim infantulis qui multa adhuc cura indigerent. (46) Quos, judices, quali animo in istum esse existimatis, aut qualem sententiam laturos, si in ipsorum potestate sita res esset, istius opera rebus

τῶν ἡδίστων; Ἔτι δὲ τὰ τείχη ὡς κατεσκάφη, καὶ αἱ νῆες τοῖς πολεμίοις παρεδόθησαν, καὶ τὰ νεώρια καθῃρέθη, καὶ Λακεδαιμόνιοι τὴν ἀκρόπολιν ὑμῶν εἶχον, καὶ ἡ δύναμις ἅπασα τῆς πόλεως παρελύθη, ὥστε μηδὲν διαφέρειν τῆς ἐλαχίστης πόλεως τὴν πόλιν. (47) Πρὸς δὲ τούτοις τὰς ἰδίας οὐσίας ἀπωλέσατε, καὶ τὸ τελευταῖον συλλήβδην ἅπαντες ὑπὸ τῶν τριάκοντα ἐκ τῆς πατρίδος ἐξηλάθητε. Ταῦτα ἐκεῖνοι οἱ ἀγαθοὶ ἄνδρες αἰσθόμενοι οὐκ ἔφασαν ἐπιτρέψαι τὴν εἰρήνην, ὦ ἄνδρες δικασταί, ποιήσασθαι· (48) οὓς σύ, Ἀγόρατε, βουλομένους ἀγαθόν τι πρᾶξαι τῇ πόλει ἀπέκτεινας, μηνύσας αὐτοὺς τῇ πόλει ἐπιβουλεύειν τῷ πλήθει τῷ ὑμετέρῳ, καὶ αἴτιος εἶ ἁπάντων τῇ πόλει τῶν κακῶν τῶν γεγενημένων. Νῦν οὖν μνησθέντες καὶ τῶν ἰδίων ἕκαστος δυστυχημάτων καὶ τῶν κοινῶν τῆς πόλεως, τιμωρεῖσθε τὸν αἴτιον τούτων.

49. Θαυμάζω δ' ἔγωγε, ὦ ἄνδρες δικασταί, ὅ τί ποτε τολμήσει πρὸς ὑμᾶς ἀπολογεῖσθαι· δεῖ γὰρ αὐτὸν ἀποδεῖξαι ὡς οὐ κατεμήνυσε τῶν ἀνδρῶν τούτων οὐδ' αἴτιος αὐτοῖς ἐστι τοῦ θανάτου, ὅπερ οὐκ ἂν δύναιτο οὐδέποτε ἀποδεῖξαι. (50) Πρῶτον μὲν γὰρ τὰ ψηφίσματα αὐτοῦ τὰ ἐκ τῆς βουλῆς καὶ τοῦ δήμου καταμαρτυρεῖ, διαρρήδην ἀγορεύοντα περὶ ὧν Ἀγόρατος κατείρηκεν· ἔπειτα ἡ κρίσις, ἣν ἐκρίθη ἐπὶ τῶν τριάκοντα καὶ ἀφείθη, διαρρήδην λέγει, « διότι » φησίν « ἔδοξε τἀληθῆ εἰσαγγεῖλαι. » Καί μοι ἀνάγνωθι.

ΨΗΦΙΣΜΑΤΑ. ΓΝΩΣΙΣ. ΓΡΑΦΑΙ.

51. Ὡς μὲν οὖν οὐκ ἀπέγραψεν, οὐδενὶ τρόπῳ δύναιτ' ἂν ἀποδεῖξαι· δεῖ τοίνυν αὐτὸν ὡς δικαίως ἐμήνυσε ταῦτα ἀποφαίνειν, ὁρῶν αὐτοὺς πονηρὰ καὶ οὐκ ἐπιτήδεια τῷ δήμῳ τῷ ὑμετέρῳ πράττοντας· οἴομαι δ' οὐδ' ἂν τοῦτο αὐτὸν ἐπιχειρῆσαι ἀποδεικνύναι. Οὐ γὰρ δήπου, εἴ τι κακὸν τὸν δῆμον τῶν Ἀθηναίων εἰργάσαντο, οἱ τριάκοντα, δεδιότες μὴ καταλυθείη ὁ δῆμος, τιμωροῦντες ὑπὲρ τοῦ δήμου ἂν αὐτοὺς ἀπέκτειναν, ἀλλ' οἶμαι πολὺ τοὐναντίον τούτου.

52. Ἀλλ' ἴσως φήσει ἄκων τοσαῦτα κακὰ ἐργάσασθαι· ἐγὼ δ' οὐκ οἶμαι, ὦ ἄνδρες δικασταί, οὐδ' ἐάν τις ὑμᾶς ὡς μάλιστα ἄκων μεγάλα κακὰ ἐργάσηται, ὧν μὴ οἷόν τε γενέσθαι ἐστὶν ὑπερβολήν, οὐ τούτου ἕνεκα οὐ δεῖν ὑμᾶς ἀμύνεσθαι. Εἶτα δὲ καὶ ἐκείνων μέμνησθε, ὅτι ἐξῆν Ἀγοράτῳ τούτῳ, πρὶν εἰς τὴν βουλὴν κομισθῆναι, ὅτ' ἐπὶ τοῦ βωμοῦ ἐκάθητο Μουνυχίασι, σωθῆναι· καὶ γὰρ πλοῖα παρεσκεύαστο καὶ οἱ ἐγγυηταὶ ἕτοιμοι ἦσαν συναπιέναι. (53) Καίτοι εἰ ἐκείνοις ἐπείθου καὶ ἠθέλησας ἐκπλεῦσαι μετ' ἐκείνων, οὔτ' ἂν ἑκὼν οὔτε ἄκων τοσούτους Ἀθηναίους ἀπέκτεινας· νῦν δὲ πεισθεὶς ὑφ' ὧν τότε ἐπείσθης, εἰ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων τὰ ὀνόματα μόνον εἴποις, μέγα τι ᾤου παρ' αὐτῶν διαπράξασθαι. Οὔκουν τούτου ἕνεκα δεῖ σε παρ' ἡμῶν συγγνώμης τινὸς τυχεῖν, ἐπεὶ οὐδὲ ἐκεῖνοι παρὰ σοῦ οὐδεμιᾶς ἔτυχον, οὓς σὺ ἀπέκτεινας. (54) Καὶ Ἱππίας μὲν ὁ Θάσιος καὶ Ξενοφῶν ὁ Ἰκαριεύς, οἳ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ

dulcissimis orbatos? Recordamini etiam quo pacto diruta sint mœnia, naves hostibus proditæ, sublata navalia, arx vestra occupata a Lacedæmoniis, omnesque civitatis vires profligatæ, ita ut hæc civitas nihil quidquam ab infirmissima differret. (47) Huc accedit quod privatas opes amiseritis, et ad extremum simul omnes a triginta viris fueritis expulsi. Quæ quum cives egregii præviderent, negarunt, judices, pacem fieri se permissuros. (48) Quos tu, Agorate, dum de republica bene mereri cupiebant, interfecisti, ipsos deferendo ad senatum tanquam nostris omnium commodis insidiantes, cunctorumque malorum quæ civitatem oppressere causa fuisti. Nunc igitur recordati unusquisque calamitatum quum privatarum, tum publicarum, harum auctorem ulciscamini.

49. Miror autem, judices, quamnam defensionem instituere audebit. Eum enim oportet demonstrare se non detulisse illos viros, neque eorum perniciem concitasse, id quod nunquam demonstrare possit. (50) Namque primum decreta et ex senatu et ex populo contra ipsum testantur, quæ diserte eorum nomina memorant quos Agoratus detulit; deinde judicium quod sub triginta viris subiit et quo absolutus est, expressis verbis ait: « Quod, inquit, visus est vera denunciasse. » Tu mihi recita.

DECRETA. SENTENTIA. TABELLÆ.

51. Se igitur non detulisse viros nullo pacto potest demonstrare. Oportet itaque ipsum ostendere quod indicium jure fecerit, animadvertens scilicet illos mala consilia et populo perniciosa agitare. At neque hoc istum arbitror ostendere conaturum. Non enim sane si quid mali contra populum Atheniensem moliti fuissent, triginta viri timentes né populare imperium everteretur, ipsos punientes occidissent populi nomine; at, opinor, contrarium prorsus fecissent.

52. Fortassis autem contendet se invitum tot mala perpetrasse. Equidem existimo, judices, si quis vel quammaxime invitus tantorum vobis malorum auctor fuerit, ut eis majora esse nequeant, non idcirco eum non esse a vobis puniendum. Deinde vero et hoc mementote, licuisse nimirum Agorato, priusquam ad senatum adductus erat, quum Munychiæ ad aram sederet, licuisse, inquam, aufugere et servari: nam et instructa erant navigia, et sponsores parati ad una proficiscendum. (53) Atqui si illis obtemperasses et cum iisdem una voluisses enavigare, neque volens neque invitus tot Atheniensibus mortem intulisses. Jam vero ab iis persuasus a quibus tunc temporis passus es persuaderi, egregium aliquid ab eis impetraturum te existimasti, si præfectorum militarium nomina dumtaxat deferres. Nullam itaque a nobis tu consequi debes misericordiam, quoniam illi quos tu occidisti nullam a te consecuti sunt. (54) Et Hippias quidem Thasius et Xenophon Icariensis, qui eadem

τούτῳ ὑπὸ τῆς βουλῆς μετεπέμφθησαν, οὗτοι μὲν ἀπέθανον, ὁ μὲν στρεβλωθείς, Ξενοφῶν, ὁ δὲ Ἱππίας...., διότι οὐκ ἄξιοι ἐδόκουν τοῖς τριάκοντα σωτηρίας εἶναι (οὐδένα γὰρ Ἀθηναίων ἀπώλλυσαν)· Ἀγόρατος δὲ ἀφείθη, διότι ἐδόκει ἐκείνοις τὰ ἥδιστα πεποιηκέναι.

55. Ἀκούω δ' αὐτὸν καὶ εἰς Μενέστρατον ἀναφέρειν τι περὶ τῶν γραφῶν τούτων. Τὸ δὲ τοῦ Μενεστράτου πρᾶγμα τοιοῦτον ἐγένετο. Ὁ Μενέστρατος οὗτος ἀπεγράφη ὑπὸ τοῦ Ἀγοράτου καὶ συλληφθεὶς ἐδέδετο· Ἁγνόδωρος δ' ἦν Ἀμφιτροπαιεύς, δημότης τοῦ Μενεστράτου, Κριτίου κηδεστὴς τοῦ τῶν τριάκοντα. Οὑτοσὶ οὖν, ὅτε ἡ ἐκκλησία Μουνυχίασιν ἐν τῷ θεάτρῳ ἐγίνετο, ἅμα μὲν βουλόμενος τὸν Μενέστρατον σωθῆναι, ἅμα δὲ ὡς πλείστους ἀπογραφέντας ἀπολέσθαι, παράγει αὐτὸν εἰς τὸν δῆμον. Καὶ εὑρίσκονται αὐτῷ κατὰ τὸ ψήφισμα τουτὶ ἄδειαν.

ΨΗΦΙΣΜΑ.

56. Ἐπειδὴ δὲ τοῦτο τὸ ψήφισμα ἐγένετο, μηνύει ὁ Μενέστρατος καὶ προσαπογράφει ἑτέρους τῶν πολιτῶν. Τοῦτον μέντοι οἱ μὲν τριάκοντα ἀφεῖσαν ὥσπερ Ἀγόρατον τουτονί, δόξαντα τἀληθῆ εἰσαγγεῖλαι, ὑμεῖς δὲ πολλῷ χρόνῳ ὕστερον λαβόντες ἐν δικαστηρίῳ ὡς ἀνδροφόνον ὄντα, θάνατον δικαίως καταψηφισάμενοι, τῷ δημίῳ παρέδοτε, καὶ ἀπετυμπανίσθη. (57) Καίτοι εἰ ἐκεῖνος ἀπέθανεν, ἦ που Ἀγόρατός γε δικαίως ἀποθανεῖται, ὅς γε τόν τε Μενέστρατον ἀπογράψας αἴτιος ἐκείνῳ ἐστὶ τοῦ θανάτου, καὶ τοῖς ὑπὸ Μενεστράτου ἀπογραφεῖσι τίς αἰτιώτερος ἢ ὁ εἰς τοιαύτην ἀνάγκην ἐκεῖνον καταστήσας;

58. Ἀνόμοιος δέ μοι δοκεῖ Ἀριστοφάνει γενέσθαι τῷ Χολλίδῃ, ὃς ἐγγυητὴς τότε τούτου ἐγένετο καὶ τὰ πλοῖα παρασκευάσας Μουνυχίασιν ἕτοιμος ἦν συνεκπλεῖν μετὰ τούτου. Καὶ τό γε ἐπ' ἐκεῖνον εἶναι ἐσώθης, καὶ οὔτ' ἂν Ἀθηναίων οὐδένα ἀπώλεσας οὔτ' ἂν αὐτὸς σὺ εἰς τοιούτους κινδύνους κατέστης· (59) νυνὶ δὲ καὶ τὸν σωτῆρα τὸν σαυτοῦ ἐτόλμησας ἀπογράψαι, καὶ ἀπέγραψας καὶ ἐκεῖνον καὶ τοὺς ἄλλους ἐγγυητάς. Τοῦτον μέντοι ὡς οὐ καλῶς Ἀθηναῖον ὄντα ἐβούλοντό τινες βασανισθῆναι, καὶ τουτὶ τὸ ψήφισμα τὸν δῆμον ἀναπείθουσι ψηφίσασθαι.

ΨΗΦΙΣΜΑ.

60. Μετὰ τοῦτο τοίνυν προσιόντες τῷ Ἀριστοφάνει οἱ πράττοντες τότε τὰ πράγματα ἐδέοντο αὐτοῦ κατειπεῖν καὶ σῴζεσθαι, καὶ μὴ κινδυνεύειν ἀγωνισάμενον τῆς ξενίας τὰ ἔσχατα παθεῖν. Ὁ δὲ οὐκ ἔφη οὐδέποτε· οὕτω χρηστὸς ἦν καὶ περὶ τοὺς δεδεμένους καὶ περὶ τὸν δῆμον τῶν Ἀθηναίων, ὥστε εἵλετο μᾶλλον ἀποθανεῖν ἢ κατειπεῖν καὶ ἀδίκως τινὰς ἀπολέσαι. (61) Ἐκεῖνος μὲν τοίνυν καὶ ὑπὸ σοῦ ἀπολλύμενος τοιουτοσὶ ἐγένετο, καὶ Ξενοφῶν ὁ στρεβλωθεὶς καὶ Ἱππίας ὁ Θάσιος· σὺ δ' οὐδὲν τοῖς ἀνδράσιν ἐκείνοις συνειδώς, πεισθεὶς δὲ ὡς σύ γε, ἂν ἐκεῖνοι ἀπόλωνται, μεθέξεις τῆς τότε πολι-

de causa, qua Agoratus, arcessebantur, interfecti sunt, Xenophon tortus crudeliter, Hippias autem..... propterea quod non videbantur trigintaviris salute digni, quum neminem Atheniensium indiciis suis perdidissent; Agoratus autem dimissus est, propterea quod rem istis jucundissimam præstiterat.

55. Istum autem audio delationum illarum aliquam in Menestratum conferre. Res porro Menestrati ita se habet. Is ab Agorato delatus fuit et in vincula conjectus. Erat Hagnodorus Amphitropæensis, ejusdem demi ac Menestratus, Critiæque, trigintavirorum unius, affinis. Hic igitur, quum Munychiæ in theatro concio habebatur, una cupiens Menestratum servari, et quamplurimos delatos interire, adducit eum ad populum, ac juxta hoc decretum ipse collegæque impunitatem ei conciliant.

DECRETUM

56. Perlato hoc decreto, alios præterea cives indicat, et defert Menestratus. Hunc igitur trigintaviri absolverunt, quemadmodum et Agoratum, quod ejus denunciationem veram habebant. At vos, longo tempore post, nacti in judicio cædis convictum, capitis damnatum carnifici in supplicium tradidistis, et fustuario interfectus est. (57) Atqui si hic juste interiit, sane multo justius interibit Agoratus, siquidem et Menestrato et illis delatis a Menestrato causa mortis fuit. Quis enim magis causa fuit quam qui Menestratum ad eam adegit necessitatem?

58. Iste autem mihi longe dissimilis videtur fuisse Aristophani Chollidæ, qui pro ipso spopondit olim, et navibus Munychiæ subductis paratus erat una proficisci. Et profecto, quantum in illo erat, tu servatus fuisses, Agorate, et neque Atheniensium aliquem perdidisses, neque ipse in hujusmodi discrimen esses redactus. (59) Jam vero tu tuum servatorem deferre sustinuisti, atque eum detulisti ceterosque fidejussores. Ceterum Aristophanem, utpote non liquido civem Atheniensem, nonnulli voluerunt tormentis cruciari, et hoc decretum ferre populo persuadent.

DECRETUM.

60. Post hæc cum Aristophane collocuti ii penes quos summa rerum tunc erat, orabant eum ut faceret indicium, et vitam servaret suam, neque de civitatis jure postulatus extrema supplicia adiret. Ille negavit se hoc facturum. Adeo honeste se gessit erga vinctos et erga populum Atheniensem, ut mori maluerit, quam indicio suo aliquos præter jus interimere. (61) Ille igitur qui tua opera interemptus est, talem se præstitit, et Xenophon quoque qui tormentis cruciatus periit, et Hippias Thasius. Tu autem nullius rei hisce viris conscius, sed spe adductus, illis e medio sub

τείας καθισταμένης, ἀπέγραφες καὶ ἀπέκτεινας Ἀθηναίων πολλοὺς καὶ ἀγαθούς.

62. Βούλομαι δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐπιδεῖξαι οἵων ἀνδρῶν ὑπ' Ἀγοράτου ἀπεστέρησθε. Εἰ μὲν οὖν οὐ πολλοὶ ἦσαν, καθ' ἕκαστον ἂν περὶ αὐτῶν ἠκούετε, νῦν δὲ συλλήβδην περὶ πάντων. Οἱ μὲν γὰρ στρατηγήσαντες ὑμῖν πολλάκις μείζω τὴν πόλιν τοῖς διαδεχομένοις στρατηγοῖς παρεδίδοσαν· οἱ δ' ἑτέρας μεγάλας ἀρχὰς ἄρξαντες καὶ τριηραρχίας πολλὰς τριηραρχήσαντες οὐδεπώποτε ὑφ' ὑμῶν οὐδεμίαν αἰτίαν αἰσχρὰν ἔσχον· (63) οἱ δ' αὐτῶν περιγενόμενοι καὶ σωθέντες, οὓς οὗτος μὲν ἀπέκτεινεν ὠμῶς καὶ θάνατος αὐτῶν κατεγνώσθη, ἡ δὲ τύχη καὶ ὁ δαίμων περιεποίησε· φυγόντες γὰρ ἐνθένδε καὶ οὐ συλληφθέντες οὐδὲ ὑπομείναντες τὴν κρίσιν, κατελθόντες ἀπὸ Φυλῆς τιμῶνται ὑφ' ὑμῶν ὡς ἄνδρες ἀγαθοὶ ὄντες.

64. Τούτους μέντοι τοιούτους ὄντας Ἀγόρατος τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ φυγάδας ἐντεῦθεν ἐποίησε, τίς ὢν αὐτός; δεῖ γὰρ ὑμᾶς εἰδέναι ὅτι δοῦλος καὶ ἐκ δούλων ἐστίν, ἵν' εἰδῆτε οἷος ὢν ὑμᾶς ἐλυμαίνετο· τούτῳ μὲν γὰρ πατὴρ ἦν Εὐμάρης, ἐγένετο δὲ ὁ Εὐμάρης οὗτος Νικοκλέους καὶ Ἀντικλέους. Καί μοι ἀνάβητε μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

65. Πολλὰ τοίνυν, ὦ ἄνδρες δικασταί, ὅσα κακὰ καὶ αἰσχρὰ καὶ τούτῳ καὶ τοῖς τούτου ἀδελφοῖς ἐπιτετήδευται, πολὺ ἂν εἴη ἔργον λέγειν. Περὶ δὲ συκοφαντίας, ὅσας οὗτος ἢ δίκας ἰδίας συκοφαντῶν ἐδικάζετο ἢ γραφὰς ὅσας ἐγράφετο ἢ ἀπογραφὰς ἀπέγραφεν, οὐδέν με δεῖ καθ' ἕκαστον λέγειν· συλλήβδην γὰρ ὑμεῖς ἅπαντες καὶ ἐν τῷ δήμῳ καὶ ἐν τῷ δικαστηρίῳ συκο-
136 φαντίας αὐτοῦ κατέγνωτε καὶ ὤφλησεν ὑμῖν μυρίας δραχμάς, ὥστε τοῦτο μὲν ἱκανῶς ὑπὸ ὑμῶν ἁπάντων μεμαρτύρηται. (66) Γυναῖκας τοίνυν τῶν πολιτῶν τοιοῦτος ὢν μοιχεύειν καὶ διαφθείρειν ἐλευθέρας ἐπεχείρησε, καὶ ἐλήφθη μοιχός· καὶ τούτου θάνατος ἡ ζημία ἐστίν. Ὡς δὲ ἀληθῆ λέγω, μάρτυρας κάλει.

ΜΑΡΤΥΡΕΣ.

67. Ἦσαν τοίνυν οὗτοι, ὦ ἄνδρες δικασταί, τέτταρες ἀδελφοί. Τούτων εἷς μὲν ὁ πρεσβύτερος ἐν Σικελίᾳ παραφρυκτωρευόμενος τοῖς πολεμίοις ληφθεὶς ὑπὸ Λαμάχου ἀπετυμπανίσθη· ὁ δὲ ἕτερος εἰς Κόρινθον μὲν ἐντευθενὶ ἀνδράποδον ἐξήγαγεν, ἐκεῖθεν δὲ παιδίσκην ἀστῆς ἐξαγαγὼν ἁλίσκεται, καὶ ἐν τῷ δεσμωτηρίῳ δεδεμένος ἀπέθανε· (68) τὸν δὲ τρίτον Φαινιππίδης ἐνθάδε λωποδύτην ἀπήγαγε, καὶ ὑμεῖς κρίναντες αὐτὸν ἐν τῷ δικαστηρίῳ καὶ καταγνόντες αὐτοῦ θάνατον ἀποτυμπανίσαι παρέδοτε. Ὡς δὲ ἀληθῆ λέγω, καὶ αὐτὸν οἶμαι ὁμολογήσειν τοῦτον καὶ μάρτυρας παρεξόμεθα.

ΜΑΡΤΥΡΕΣ.

69. Πῶς οὖν οὐχ ἅπασι προσήκει ὑμῖν τούτου κα-

latis novæ reipublicæ una administrandæ, detulisti et interfecisti multos et egregios cives.

62. Volo autem, judices, vobis exponere cujusmodi viris ab Agorato sitis orbati. Quodsi non ita multi forent, singulatim aliquid de unoquoque commemorassem; jam vero accipite universim de omnibus. Quorum alii vestris exercitibus sæpius imperantes, auctiorem rempublicam succedentibus sibi imperatoribus tradiderunt; alii diverso in genere magnis magistratibus defuncti et triremibus sæpenumero præfecti, nullius unquam turpitudinis a vobis criminationem subiere; (63) alii denique superstites et conservati, quos iste occidit crudeliter, quorumque de capite est judicatum, sed quos sua sors et fortuna eripuit, hi fuga elapsi, et elusis vinculis, neque judicio exspectato, huc reversi e Phyla a vobis honorantur ut optimi cives.

64. Hos omnes ejusmodi viros, Agoratus partim morte affecit, partim in exilium ejecit: ipse autem qualis? Vos enim oportet cognoscere eum servum esse et e servis prognatum; ut sciatis qualis homo vobis calamitatem importarit. Isti enim pater erat Eumares; Eumares autem Nicoclis erat servus et Anticlis. Et mihi horum testes ascendite.

TESTES.

65. Quot igitur, judices, quam prava et flagitiosa ab isto et istius fratribus perpetrata sunt, operosum esset dicere: de calumniis autem quas vel in privatis judiciis, vel in publicis accusationibus, vel in delationibus faciendis, exercuit, nihil opus est singulatim loqui; vos enim omnes summatim et apud populum et apud tribunal, calumniarum eum condemnastis, et decem mille drachmis mulctatus est. Vestro itaque omnium testimonio opprimitur. (66) Atqui, talis quum sit, civium uxores liberas stuprare et vitiare instituit, et in ipso adulterio est deprehensus; cui facinori mors pœna a legibus præscribitur. Quod autem vera proferam, testes voca.

TESTES.

67. Erant igitur isti, judices, fratres quattuor; quorum natu maximus in Sicilia a Lamacho deprehensus hostibus indicium per accensos ignes fecisse, fustuario punitus est. Alius hinc Corinthum abduxit mancipium; qui quum rursus illinc puellam civis reportare plagio item surreptam conaretur, comprehenditur et in vinculis moritur. (68) Tertium Phænippides reum furti sistebat; et vos quæstione in tribunali habita, capite damnatum fustuario puniendum tradidistis. Hæc ita se habere et ipsum arbitror non infitias iturum, et testes producam.

TESTES.

69. Qui igitur non a vobis omnibus iste debet conde-

ταψηφίζεσθαι; Εἰ γὰρ τούτων ἕκαστος δι' ἓν ἁμάρτημα θανάτου ἠξιώθη, ἦ που τοῦ γε πολλὰ ἐξημαρτηκότος καὶ δημοσίᾳ εἰς τὴν πόλιν καὶ ἰδίᾳ εἰς ἕκαστον ὑμῶν, ὧν ἑκάστου ἁμαρτήματος ἐν τοῖς νόμοις θάνατος ἡ ζημία ἐστί, δεῖ ὑμᾶς σφόδρα θάνατον αὐτοῦ καταψηφίσασθαι.

70. Λέξει δέ, ὦ ἄνδρες δικασταί, καὶ ἐξαπατῆσαι ὑμᾶς πειράσεται, ὡς ἐπὶ τῶν τετρακοσίων Φρύνιχον ἀπέκτεινε, καὶ ἀντὶ τούτου φησὶν αὐτὸν Ἀθηναῖον τὸν δῆμον ποιήσασθαι, ψευδόμενος, ὦ ἄνδρες δικασταί· οὔτε γὰρ Φρύνιχον ἀπέκτεινεν, οὔτε Ἀθηναῖον αὐτὸν ὁ δῆμος ἐποιήσατο. (71) Φρυνίχῳ γάρ, ὦ ἄνδρες δικασταί, κοινῇ Θρασύβουλός τε ὁ Καλυδώνιος καὶ Ἀπολλόδωρος ὁ Μεγαρεὺς ἐπεβούλευσαν· ἐπειδὴ δὲ ἐπετυχέτην αὐτῷ βαδίζοντι, ὁ μὲν Θρασύβουλος τύπτει τὸν Φρύνιχον καὶ καταβάλλει πατάξας, ὁ δὲ Ἀπολλόδωρος οὐχ ἥψατο, ἀλλ' ἐν τούτῳ κραυγὴ γίνεται καὶ ᾤχοντο φεύγοντες. Ἀγόρατος δὲ οὑτοσὶ οὔτε παρεκλήθη οὔτε παρεγένετο οὔτε οἶδε τοῦ πράγματος οὐδέν. Ὡς δὲ ἀληθῆ λέγω, αὐτὸ ὑμῖν τὸ ψήφισμα δηλώσει.

ΨΗΦΙΣΜΑ.

72. Ὅτι μὲν οὐκ ἀπέκτεινε Φρύνιχον, ἐξ αὐτοῦ τοῦ ψηφίσματος δῆλον· οὐδαμοῦ γάρ ἐστιν Ἀγόρατον Ἀθηναῖον εἶναι ὥσπερ Θρασύβουλον καὶ Ἀπολλόδωρον· καίτοι εἴπερ ἀπέκτεινε Φρύνιχον, ἔδει αὐτὸν ἐν τῇ αὐτῇ στήλῃ, ἵνα περ Θρασύβουλον καὶ Ἀπολλόδωρον, Ἀθηναῖον πεποιημένον... τὰ μέντοι ὀνόματα διαπράττονται σφῶν αὐτῶν, δόντες ἀργύριον τῷ ῥήτορι, προσγραφῆναι εἰς τὴν στήλην ὡς εὐεργέτας ὄντας. Καὶ ὡς ἀληθῆ λέγω, τοῦτο τὸ ψήφισμα ἐλέγξει.

ΨΗΦΙΣΜΑ.

73. Οὕτω μέντοι οὗτος πολὺ ὑμῶν καταφρονεῖ, ὥστε οὐκ ὢν Ἀθηναῖος καὶ ἐδίκαζε καὶ ἐξεκλησίαζε καὶ γραφὰς τὰς ἐξ ἀνθρώπων ἐγράφετο, ἐπιγραφόμενος Ἀναγυράσιος εἶναι. Ἔπειτα δὲ καὶ ἕτερον μέγα τεκμήριον ὡς οὐκ ἀπέκτεινε Φρύνιχον, δι' ὃν Ἀθηναῖός φησι γεγενῆσθαι. Ὁ Φρύνιχος γὰρ οὗτος τοὺς τετρακοσίους κατέστησεν· ἐπειδὴ δ' ἐκεῖνος ἀπέθανεν, οἱ πολλοὶ τῶν τετρακοσίων ἔφυγον. (74) Πότερον οὖν δοκοῦσιν ὑμῖν οἱ τριάκοντα καὶ ἡ βουλὴ ἡ ἐπὶ τῶν τριάκοντα βουλεύουσα, οἳ αὐτοὶ ἦσαν ἅπαντες τῶν τετρακοσίων τῶν φυγόντων, ἀφεῖναι ἂν λαβόντες τὸν Φρύνιχον ἀποκτείναντα, ἢ τιμωρήσασθαι ὑπὲρ Φρυνίχου καὶ τῆς φυγῆς ἧς αὐτοὶ ἔφυγον; ἐγὼ μὲν οἶμαι τιμωρεῖσθαι ἄν. (75) Εἰ μὲν οὖν μὴ ἀποκτείνας προσποιεῖται, ἀδικεῖ, ὡς ἐγώ φημι· εἰ δὲ ἀμφισβητεῖς καὶ φῄς Φρύνιχον ἀποκτεῖναι, δῆλον ὅτι μείζω τὸν δῆμον τῶν Ἀθηναίων κακὰ ποιήσας τὴν ὑπὲρ Φρυνίχου αἰτίαν πρὸς τοὺς τριάκοντα ἀπελύσω· οὐδέποτε γὰρ πείσεις οὐδένα ἀνθρώπων ὡς Φρύνιχον ἀποκτείνας
137 ἀφείθης ἂν ὑπὸ τῶν τριάκοντα, εἰ μὴ μεγάλα τὸν δῆμον τῶν Ἀθηναίων καὶ ἀνήκεστα κακὰ εἰργάσω.

mnari? Nam si fratrum ipsius unusquisque unam ob noxam capite mulctatus fuit, istum certe qui commisit plurima quum publice in civitatem, tum privatim in unumquemque vestrûm, quorum unumquodque facinus legibus morte punitur, vos omnino decet capite damnare.

70. Dicet autem, judices, et vos decipere sataget, quod sub quadringentis viris Phrynichum interfecerit, et hujus rei gratia civitate donatus fuerit a populo Atheniensi. In utroque mentitur, judices; neque enim Phrynichum interfecit, neque ipsum populus civitate donavit. (71) Namque Phrynicho, judices, Thrasybulus Calydonius et Apollodorus Megarensis una insidias struxere. Cui deambulanti quum obviam facti essent, Thrasybulus quidem hominem ictu prosternit, Apollodorus vero non attigit; sed oborto inter hæc clamore, in fugam se ambo conjiciunt. Agoratus autem neque in facinoris societatem assumptus est, neque una adfuit, neque quidquam de ea re scivit. Hæc autem vera esse, ipsum vobis decretum ostendet.

DECRETUM.

72. Istum itaque non occidisse Phrynichum ex decreto constat. Nusquam enim in eo legitur Agoratum civitate donatum esse, quemadmodum Thrasybulum et Apollodorum. Quanquam si Phrynichum occidisset, ipsum oportuit in eadem columna, qua Thrasybulus et Apollodorus, inscriptum esse factum Atheniensem. Atqui *multi*, oratoribus pecunia delinitis, id peragunt ut in columna inscribantur tanquam de republica bene meriti. Hæc vera esse, idem arguet decretum jam recitandum.

DECRETUM.

73. Iste autem adeo vos contemptui habet, ut, quum non fuerit civis, nihilominus jus dixerit, concionibus interfuerit, omnia accusationum genera instituerit, inscriptus Anagyrasius. Ecce autem et aliud argumentum non leve quod iste Phrynichum non interfecerit, propter quem ait se civem esse factum. Phrynichus enim quadringentos viros constituit, atque illo exstincto eorum plurimi fugerunt. (74) Utrum igitur videntur trigintaviri, et senatus qui sub iis exstitit, qui omnes erant ex numero Quadringentorum fuga elapsorum, comprehensum Phrynichi interfectorem absoluturi, an Phrynichi suæque fugæ pœnas repetituri? Equidem pœnas repetituros fuisse existimo. (75) Quare si profitetur se virum interfecisse, quamvis non interfecerit, inique agit, sicut ego opinor. Quod si etiamnum contendis Phrynichum a te esse interfectum, manifestum est quod majori aliqua calamitate populo Atheniensi illata, istius cædis culpam a tringintaviris redemisti. Namque nemini unquam persuadere poteris, te Phrynichi percussorem a trigintaviris dimissum fuisse, nisi populum Atheniensem gravi aliquo et insigni malo affecis-

(76) Ἐὰν μὲν οὖν φάσκῃ Φρύνιχον ἀποκτεῖναι, τούτων μέμνησθε, καὶ τοῦτον τιμωρεῖσθε ἀνθ' ὧν ἐποίησεν· ἐὰν δ' οὐ φάσκῃ, ἔρεσθε αὐτὸν δι' ὅ τι φησὶν Ἀθηναῖος ποιηθῆναι. Ἐὰν δὲ μὴ ἔχῃ ἀποδεῖξαι, τιμωρεῖσθε αὐτὸν ὅτι καὶ ἐδίκαζε καὶ ἐξεκλησίαζε καὶ ἐσυκοφάντει πολλοὺς ὡς Ἀθηναῖος τοὔνομα ἐπιγραφόμενος.

77. Ἀκούω δ' αὐτὸν παρασκευάζεσθαι ἀπολογεῖσθαι ὡς ἐπὶ Φυλήν τε ᾤχετο καὶ συγκατῆλθε τοῖς ἀπὸ Φυλῆς, καὶ τοῦτο μέγιστον ἀγώνισμα εἶναι. Ἐγένετο δὲ τοιοῦτον. Ἦλθεν οὗτος ἐπὶ Φυλήν· καίτοι πῶς ἂν γένοιτο ἄνθρωπος μιαρώτερος, ὅστις εἰδὼς ὅτι εἰσί τινες ἐπὶ Φυλὴν τῶν ὑπὸ τούτου ἐκπεπτωκότων ἐτόλμησεν ἐλθεῖν ὡς τούτους; (78) Ἐπειδὴ δὲ εἶδον αὐτόν, τάχιστα συλλαβόντες ἄγουσιν ἄντικρυς ὡς ἀποκτενοῦντες, οὗπερ καὶ τοὺς ἄλλους ἀπέσφαττον, εἴ τινα λῃστὴν ἢ κακοῦργον λάβοιεν. Στρατηγῶν δὲ Ἄνυτος ἐπὶ Φυλὴν οὐκ ἔφη χρῆναι ποιεῖν αὐτοὺς ταῦτα, λέγων ὅτι οὔπω οὕτω διακέοιντο ὥστε τιμωρεῖσθαί τινας τῶν ἐχθρῶν, ἀλλὰ νῦν μὲν δεῖν αὐτοὺς ἡσυχίαν ἔχειν, εἰ δέ ποτε οἴκαδε κατέλθοιεν, τότε καὶ τιμωρήσοιντο τοὺς ἀδικοῦντας. (79) Ταῦτα λέγων αἴτιος ἐγένετο τοῦ ἀποφυγεῖν τοῦτον ἐπὶ Φυλήν· ἀνάγκη δὲ ἦν στρατηγοῦ ἀνδρὸς ἀκροᾶσθαι, εἴπερ ἔμελλον σωθήσεσθαι. Ἀλλ' ἕτερον· οὔτε γὰρ συσσιτήσας τούτῳ οὐδεὶς φανήσεται οὔτε σύσκηνος γενόμενος, οὔτε ταξίαρχος εἰς τὴν φυλὴν κατατάξας, ἀλλ' ὥσπερ ἀλιτηρίῳ οὐδεὶς ἀνθρώπων αὐτῷ διελέγετο. Καί μοι κάλει τὸν ταξίαρχον.

ΜΑΡΤΥΣ.

80. Ἐπειδὴ δὲ διαλλαγαὶ πρὸς ἀλλήλους ἐγένοντο καὶ ἔπεμψαν οἱ πολῖται ἐκ Πειραιῶς τὴν πομπὴν εἰς πόλιν, ἡγεῖτο μὲν Αἴσιμος τῶν πολιτῶν, οὗτος δὲ οὕτω τολμηρὸς καὶ ἐκεῖ ἐγένετο· συνηκολούθει γὰρ λαβὼν τὰ ὅπλα καὶ συνέπεμπε τὴν πομπὴν μετὰ τῶν πολιτῶν πρὸς τὸ ἄστυ. (81) Ἐπειδὴ δὲ πρὸς ταῖς πύλαις ἦσαν καὶ ἔθεντο τὰ ὅπλα, πρὶν εἰσιέναι εἰς τὸ ἄστυ, ὁ μὲν Αἴσιμος αἰσθάνεται καὶ προσελθὼν τήν τε ἀσπίδα αὐτοῦ λαβὼν ἔρριψε, καὶ ἀπιέναι ἐκέλευσεν ἐς κόρακας ἐκ τῶν πολιτῶν· οὐ γὰρ ἔφη δεῖν ἀνδροφόνον αὐτὸν ὄντα συμπέμπειν τὴν πομπὴν τῇ Ἀθηνᾷ. Τούτῳ τῷ τρόπῳ ὑπὸ Αἰσίμου ἀπηλάθη. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

82. Τούτῳ τῷ τρόπῳ, ὦ ἄνδρες δικασταί, καὶ ἐπὶ Φυλῇ καὶ ἐν Πειραιεῖ πρὸς τοὺς πολίτας διέκειτο· οὐδεὶς γὰρ αὐτῷ διελέγετο ὡς ἀνδροφόνῳ ὄντι, τοῦ τε μὴ ἀποθανεῖν Ἄνυτος ἐγένετο αὐτῷ αἴτιος. Ἐὰν οὖν τῇ ἐπὶ Φυλὴν ὁδῷ ἀπολογίᾳ χρῆται, ὑπολαμβάνειν χρὴ εἰ Ἄνυτος αὐτῷ ἐγένετο αἴτιος μὴ ἀποθανεῖν ἑτοίμων ὄντων τιμωρεῖσθαι, καὶ εἰ ἔρριψεν αὐτοῦ Αἴσιμος τὴν ἀσπίδα καὶ οὐκ εἴα μετὰ τῶν πολιτῶν πέμπειν τὴν πομπήν, καὶ εἴ τις αὐτὸν ταξίαρχος εἰς τάξιν τινὰ κατέταξεν.

ses. (76) Si igitur affirmabit se Phrynichum interfecisse, id mementote, et hujus mali quod in vos patravit pœnas reposcite. Quodsi factum negaverit, interrogate unde civitate fuerit donatus; et si id commonstrare nequeat, tum pro eo pœnas exigite quod et jus dixerit, et concionibus interfuerit, et multos per calumnias insimulaverit, se ipsum pro cive Atheniensi inscribens.

77. Audio autem et hanc quoque isti defensionem paratam esse, quod nempe Phylen venerit, et inde redierit cum ceteris; atque hoc quasi maximo causæ firmamento usurum. Res autem fuit hujusmodi. Venit iste Phylen (atqui quomodo vir posset nequior esse, quam is qui, quum sciret esse ad Phylen eorum nonnullos qui per ipsum patria exciderunt, in horum tamen conspectum venire sustinuit?) : (78) at ubi eum sunt conspicati, continuo comprehensum eo palam adducunt ad supplicium, ubi alios supplicio afficere solebant, si quem aut furem aut maleficum comprehendissent. Verum Anytus qui ad Phylen imperabat, negavit hæc ita fieri oportere, quod nondum ea conditione essent ut pœnas repeterent ab inimicis; sed nunc ipsis quietem agendam esse : quodsi quando domum essent reversuri, tunc integrum esset de nefariorum hominum capite statuere. (79) Hæc illius oratio isti salutis ad Phylen causa fuit : namque oportebat milites imperatoris consilio obtemperare, si salvi esse vellent. Sed aliud huic pœnæ genus inflixerunt : nullus enim visus est qui una cum eo cibum caperet, nullus qui sub eodem habitaret tabernaculo, neque eundem taxiarchus ulli ordini adscripsit; verum unusquisque eum tanquam piaculum aversabatur. Et mihi voca taxiarchum.

TESTIS.

80. Posteaquam autem urbanos inter et Piræenses inita sunt conventa, et cives ex Piræeo solenni cum pompa in urbem perrexerunt, ipsorum duce Æsimo, iste ibi quoque audaciam exprompsit suam. Sumptis enim armis, ceteris se adjunxit, et una cum civibus pompam ad urbem comitabatur. (81) Ubi vero jam portis appropinquabant, atque arma posuere priusquam urbem intrarent, sensit Æsimus, hominemque accedens, scutum ejus arreptum projecit, et eum in malam rem abire jussit ex civibus : neque enim dixit oportere homicidam in pompa ire cum ceteris Minervæ sacrificaturum. Hoc pacto ab Æsimo repulsus est. Hæc vera esse ut constet, voca mihi testes.

TESTES.

82. Ita erga istum, judices, et ad Phylen et in Piræeo se cives habuere. Cum eo enim, utpote homicida, nemo sermonem conferebat; quod vero mortem effugerit, in causa fuit Anytus. Itaque si profectione ad Phylen se defendere sataget, hæc ei subjicere mementote, utrum scilicet Anytus eum a capitali supplicio liberaverit, quum celeri parati essent ad pœnas repetendas; utrum Æsimus ejus scutum projecerit, eumque non siverit in pompa pergere cum civibus; utrum denique taxiarchus ipsum alicui ordini ascripserit.

83. Μήτε οὖν ταῦτα αὐτοῦ ἀποδέχεσθε, μήτε ἂν λέγῃ ὅτι πολλῷ χρόνῳ ὕστερον τιμωρούμεθα. Οὐ γὰρ οἶμαι οὐδεμίαν τῶν τοιούτων ἀδικημάτων προθεσμίαν εἶναι, ἀλλ' ἐγὼ μὲν οἶμαι, εἴτ' εὐθὺς εἴτε χρόνῳ τις τιμωρεῖται, τοῦτον δεῖν ἀποδεικνύναι ὡς οὐ πεποίηκε περὶ ὧν ἐστιν ἡ αἰτία. (84) Οὗτος τοίνυν τοῦτο ἀποφαινέτω, ἢ ὡς οὐκ ἀπέκτεινεν ἐκείνους ἢ ὡς δικαίως, κακόν τι ποιοῦντας τὸν δῆμον τῶν Ἀθηναίων. Εἰ δὲ πάλαι δέον τιμωρεῖσθαι ὕστερον ἡμεῖς τιμωρούμεθα, τὸν χρόνον κερδαίνει ὃν ἔζη οὐ προσῆκον αὐτῷ, οἱ δὲ ἄνδρες ὑπὸ τούτου οὐδὲν ἧττον τεθνήκασιν.

85. Ἀκούω δ' αὐτὸν καὶ διισχυρίζεσθαι, ὅτι ἐπ' αὐτοφώρῳ τῇ ἀπαγωγῇ ἐπιγέγραπται· ὃ πάντων ἐγὼ οἶμαι εὐηθέστατον· ὡς εἰ μὲν τὸ ἐπ' αὐτοφώρῳ μὴ προσεγέγραπτο, ἔνοχος ὢν τῇ ἀπαγωγῇ· διότι δὲ τοῦτο
138 προσγέγραπται, ῥᾳστώνην τινὰ οἴεται αὐτῷ εἶναι. Τοῦτο δὲ οὐδενὶ ἄλλῳ ἔοικεν ἢ ὁμολογεῖν ἀποκτεῖναι, μὴ ἐπ' αὐτοφώρῳ δέ, καὶ περὶ τούτου διισχυρίζεσθαι, ὥσπερ, εἰ μὴ ἐπ' αὐτοφώρῳ μέν, ἀπέκτεινε δέ, τούτου ἕνεκα δέον αὐτὸν σώζεσθαι. (86) Δοκοῦσι δ' ἔμοιγε οἱ ἕνδεκα οἱ παραδεξάμενοι τὴν ἀπαγωγὴν ταύτην, οἰόμενοι Ἀγοράτῳ συμπράττειν τότε καὶ διισχυριζόμενοι σφόδρα ὀρθῶς ποιῆσαι Διονύσιον, τὴν ἀπαγωγὴν ἀπάγειν ἀναγκάζοντες, προσγράψασθαι τότε ἐπ' αὐτοφώρῳ, ἢ ὅπου ἂν ᾖ· πρῶτον μὲν ἐναντίον πεντακοσίων ἐν τῇ βουλῇ, εἶτα πάλιν ἐναντίον Ἀθηναίων ἁπάντων ἐν τῷ δήμῳ ἀπογράψας τινὰς ἀποκτείνειε καὶ αἴτιος γένοιτο τοῦ θανάτου. (87) Οὐ γὰρ δήπου τοῦτο μόνον οἴεται ἐπ' αὐτοφώρῳ, ἐάν τις ξύλῳ ἢ μαχαίρᾳ πατάξας καταβάλῃ, ἐπεὶ ἔκ γε τοῦ σοῦ λόγου οὐδεὶς φανήσεται ἀποκτείνας τοὺς ἄνδρας οὓς σὺ ἀπέγραψας· οὔτε γὰρ ἐπάταξεν αὐτοὺς οὐδεὶς οὔτ' ἀπέσφαξεν, ἀλλ' ἀναγκασθέντες ὑπὸ τῆς σῆς ἀπογραφῆς ἀπέθανον. Οὐκ οὖν ὁ αἴτιος τοῦ θανάτου, οὗτος ἐπ' αὐτοφώρῳ ἐστί; Τίς οὖν ἄλλος αἴτιος ἢ σὺ ἀπογράψας; ὥστε πῶς οὐκ ἐπ' αὐτοφώρῳ σὺ εἶ ὁ ἀποκτείνας;

88. Πυνθάνομαι δ' αὐτὸν καὶ περὶ τῶν ὅρκων καὶ περὶ τῶν συνθηκῶν μέλλειν λέγειν, ὡς παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας ἀγωνίζεται ἃς συνεθέμεθα πρὸς τοὺς ἐν ἄστει οἱ ἐν τῷ Πειραιεῖ. Σχεδὸν μὲν οὖν τούτοις ἰσχυριζόμενος ὁμολογεῖ ἀνδροφόνος εἶναι· ἐμποδὼν γοῦν ἢ ὅρκους ἢ συνθήκας ἢ χρόνον ἢ ἐπ' αὐτοφώρῳ τι ποιεῖται, αὐτῷ δὲ τῷ πράγματι οὔ τι πιστεύει καλῶς ἀγωνιεῖσθαι. (89) Ὑμῖν δέ, ὦ ἄνδρες δικασταί, οὐ προσήκει περὶ τούτων ἀποδέχεσθαι· ἀλλ' ὡς οὐκ ἀπέγραψεν οὐδὲ οἱ ἄνδρες τεθνᾶσι, περὶ τούτων κελεύετε αὐτὸν ἀπολογεῖσθαι. Ἔπειτα τοὺς ὅρκους καὶ τὰς συθήκας οὐδὲν ἡγοῦμαι προσήκειν ἡμῖν πρὸς τοῦτον. Οἱ γὰρ ὅρκοι τοῖς ἐν ἄστει πρὸς τοὺς ἐν Πειραιεῖ γεγένηνται. (90) Εἰ μὲν οὖν οὗτος μὲν ἐν ἄστει, ἡμεῖς δ' ἐν Πειραιεῖ ἦμεν, εἶχόν τινα λόγον αὐτῷ αἱ συνθῆκαι· νῦν δὲ καὶ οὗτος ἐν Πειραιεῖ ἦν καὶ ἐγὼ καὶ Διονύσιος καὶ οὗτοι ἅπαντες οἱ τοῦτον τιμωρούμενοι, ὥστε οὐκ ἔστιν ἡμῖν ἐμποδὼν οὐδέν· οὐδένα γὰρ ὅρκον οἱ ἐν Πειραιεῖ ἢ τοῖς ἐν ἄστει ὤμοσαν.

83. Ne igitur istas defensiones admittite, neque si dicat longo tempore post nos pœnas reposcere. Neque enim arbitror esse istis criminibus vindicandis ullum tempus constitutum; at sive quis extemplo, sive serius pœnas sumat, reo cuivis omnino hoc esse demonstrandum, se utique ea non perpetrasse quorum reus sistitur. (84) Hoc igitur iste ostendat, aut quod illos viros non occiderit, aut quod occiderit jure de populo Atheniensi male meritos. Quodsi serius pœnas reposcamus quæ dudum debitæ erant, tantum temporis lucrifecit quo vixit præter ipsius meritum : illi autem viri nihilominus ab ipso sunt interfecti.

85. Audio autem istum hac re niti maxime, quod in libello accusatorio legantur ea verba ἐπ' αὐτοφώρῳ (*in flagrante delicto*); id quod est, ut opinor, omnium absurdissimum : nempe accusatione ipse teneretur si ea verba non addita fuissent; quia autem addita sunt, eo sibi levamen quoddam reperisse existimat. Sed id nihil aliud est quam fateri se fuisse homicidam, et de hoc contendere, quod, si homicidium perpetraverit, non tamen ἐπ' αὐτοφώρῳ deprehensus fuerit, idcirco sibi condonari oporteret. (86) Verum mihi videntur undecimviri qui libellum hunc accusatorium recepere, *non* quod Agorato hoc profuturum existimarent, sed eo ipso confirmantes recte et jure agere Dionysium, hanc litem in forum introducentes coegisse Dionysium libello ascribere, se accusare Agoratum ut homicidam ἐπ' αὐτοφώρῳ, quandoquidem Agoratus primum coram Quingentis in senatu, deinde coram universis Atheniensibus in concione, ipse deferens nonnullos occidisset. (87) Non enim certe hoc solummodo putant esse ἐπ' αὐτοφώρῳ, si quis vel fuste vel ferro aliquem percussum humi prostraverit : nam ex tua interpretatione nemo erit qui illos viros occiderit quos tu detulisti; neque enim eos aliquis percussit aut jugulavit, sed tua delatione coacti sunt mori cicutam bibentes. Nonne igitur is, qui auctor necis est, ἐπ' αὐτοφώρῳ est? Quis vero alius auctor fuit quam tu qui ipsos detulisti? Itaque qui tu eorum non occisor fuisti ἐπ' αὐτοφώρῳ?

88. Accepi quoque eum de jurejurando et de conventis aliquid dicturum, quod nempe in jus vocetur contra jusjurandum, et contra ea conventa quæ Piræenses cum urbanis iniverunt. His igitur confisus fatetur se fuisse homicidam : opponit scilicet jusjurandum, conventa, elapsum tempus, verba ἐπ' αὐτοφώρῳ addita; at ipsi causæ diffidit, neque hinc sperat rem ipsi bene cessuram. (89) Hujusmodi autem effugia vestrum est, judices, prorsus rejicere; sed istum jubete illud defendere, vel quod illos viros non detulerit, vel quod illi non interierint : siquidem jusjurandum et conventa nihil ad vos pertinere arbitror erga istum. Jusjurandum enim datum est urbanis a Piræensibus. (90) Si igitur iste in urbe fuisset, et nos in Piræeo, haberet utique rationis speciem quod ipse de conventis profert. Jam vero iste in Piræeo erat, sicut et ego et Dionysius, atque hi omnes qui eum in jus vocant. Nihil itaque nobis est impedimento, quum Piræenses nullo se juramento obstrinxerint erga eos qui *non* erant in urbe.

91. Ἐκ παντὸς δὲ τρόπου ἔμοιγε δοκεῖ οὐχ ἑνὸς θανάτου ἄξιος εἶναι, ὅστις φησὶ μὲν ὑπὸ τοῦ δήμου ...., τὸν δὲ δῆμον, ὃν αὐτός φησι πατέρα αὑτοῦ εἶναι, φαίνεται κακώσας, καὶ ἀφεὶς καὶ προδοὺς ἐξ ὧν ἐκεῖνος μείζων καὶ ἰσχυρότερος ἐγίγνετο. Ὅστις οὖν τόν τε γόνῳ πατέρα τὸν αὑτοῦ ἔτυπτε καὶ οὐδὲν παρεῖχε τῶν ἐπιτηδείων, τόν τε ποιητὸν πατέρα ἀφείλετο ἃ ἦν ὑπάρχοντα ἐκείνῳ ἀγαθά, πῶς οὐ καὶ διὰ τοῦτο κατὰ τὸν τῆς κακώσεως νόμον ἄξιός ἐστι θανάτῳ ζημιωθῆναι;

92. Προσήκει δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἅπασι τιμωρεῖν ὑπὲρ ἐκείνων τῶν ἀνδρῶν ὁμοίως ὥσπερ ἡμῶν ἑνὶ ἑκάστῳ. Ἀποθνήσκοντες γὰρ ἡμῖν ἐπέσκηψαν καὶ ὑμῖν καὶ τοῖς ἄλλοις ἅπασι τιμωρεῖν ὑπὲρ σφῶν αὐτῶν Ἀγόρατον τουτονὶ ὡς φονέα ὄντα, καὶ κακῶς ποιεῖν καθ' ὅσον ἂν βραχὺ ἕκαστος δύνηται. Εἰ τοίνυν τι ἐκεῖνοι ἀγαθὸν τὴν πόλιν ἢ τὸ πλῆθος τὸ ὑμέτερον φανεροί εἰσι πεποιηκότες, ἃ καὶ αὐτοὶ ὑμεῖς ὁμολογεῖτε, ἀνάγκη ὑμᾶς ἐστι πάντας ἐκείνοις φίλους καὶ ἐπιτηδείους εἶναι, ὥστε οὐδὲν μᾶλλον ἡμῖν ἢ καὶ ὑμῶν ἑνὶ ἑκάστῳ ἐπέσκηψαν. (93) Οὔκουν οὔτε ὅσιον οὔτε νόμιμον ὑμῖν ἐστιν ἀνεῖναι Ἀγόρατον τουτονί. Ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, νυνὶ δή, ἐπειδὴ ἐν τῷ τότε χρόνῳ, ἐν ᾧ ἐκεῖνοι ἀπέθνησκον, οὐχ οἷοί τε ἐκείνοις ἐπαρκέσαι γεγόνατε διὰ τὰ πράγματα τὰ περιεστηκότα, νυνί, ἐν ᾧ δύνασθε, τιμωρήσατε τὸν ἐκείνων φονέα. Ἐνθυμεῖσθε δ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ πάντων ἔργον σχετλιώτατον ἐργάσησθε. Εἰ γὰρ ἀποψηφιεῖσθε
139 Ἀγοράτου τουτουί, οὐ μόνον τοῦτο διαπράττεσθε, ἀλλὰ καὶ ἐκείνων τῶν ἀνδρῶν, οὓς ὁμολογεῖτε ὑμῖν εὔνους εἶναι, τῇ αὐτῇ ψήφῳ ταύτῃ θάνατον καταψηφίζεσθε· (94) ἀπολύοντες γὰρ τὸν αἴτιον ὄντα ἐκείνοις τοῦ θανάτου οὐδὲν ἄλλο γιγνώσκετε ἢ ἐκείνους δικαίως ὑπὸ τούτου τεθνηκέναι. Καὶ οὕτως ἂν δεινότατα πάντων πάθοιεν, εἰ οἷς ἐπέσκηπτον ἐκεῖνοι ὡς φίλοις οὖσι τιμωρεῖν ὑπὲρ αὐτῶν, οὗτοι ὁμόψηφοι κατ' ἐκείνων τῶν ἀνδρῶν τοῖς τριάκοντα γενήσονται. (95) Μηδαμῶς, ὦ ἄνδρες δικασταί, πρὸς θεῶν Ὀλυμπίων, μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ θάνατον ἐκείνων τῶν ἀνδρῶν καταψηφίσησθε, οἳ πολλὰ κἀγαθὰ ὑμᾶς ποιήσαντες διὰ ταῦτα ὑπὸ τῶν τριάκοντα καὶ Ἀγοράτου τουτουῒ ἀπέθανον. Ἀναμνησθέντες οὖν ἁπάντων τῶν δεινῶν, καὶ τῶν κοινῶν τῇ πόλει καὶ τῶν ἰδίων, ὅσα ἑκάστῳ ἐγένοντο ἐπειδὴ ἐκεῖνοι οἱ ἄνδρες ἐτελεύτησαν, τιμωρήσατε τὸν αἴτιον τούτων. Ἀποδέδεικται δ' ὑμῖν ἅπαντα καὶ ἐκ τῶν ψηφισμάτων καὶ ἐκ τῶν ἀπογραφῶν καὶ ἐκ τῶν ἄλλων ἁπάντων Ἀγόρατος ὢν αὐτοῖς αἴτιος τοῦ θανάτου. (96) Ἔτι δὲ καὶ προσήκει ὑμῖν ἐναντία τοῖς τριάκοντα ψηφίζεσθαι. Ὧν μὲν τοίνυν ἐκεῖνοι θάνατον κατέγνωσαν, ὑμεῖς ἀποψηφίσασθε· ὧν δ' ἐκεῖνοι θάνατον οὐ κατέγνωσαν, ὑμεῖς καταγινώσκετε. Οἱ τριάκοντα τοίνυν τῶν μὲν ἀνδρῶν τούτων, οἳ ἦσαν ὑμέτεροι φίλοι, θάνατον κατέγνωσαν, ὧν δεῖ ὑμᾶς ἀποψηφίζεσθαι· Ἀγοράτου δὲ ἀπεψηφίσαντο, διότι ἐδόκει

91. Ceterum omni ratione is mihi videtur non semel mori commeritus, qui dicit se a populo *civem esse adoptatum*, et eum tamen populum arguitur quem patrem suum vocat injuria affecisse, deseruisse, ac ea omnia prodidisse quibus ille major et potentior effectus est. Qui igitur et patrem quem natura habuit, verberavit, neque ei vitæ necessaria suppeditavit, et quem adoptione nactus est, suis spoliavit facultatibus, quo pacto is propter hæc, ex lege injuriarum erga parentes, morte dignus non censebitur?

92. Oportet autem, judices, vos omnes illorum virorum injurias persequi, non minus quam nostrûm unumquemque. Morituri enim vobis, quemadmodum et nobis, ceterisque omnibus mandarunt ut Agoratum pro se ipsis persequeremini, tanquam homicidam, et ut unusquisque pro sua vel minima parte hominem male exciperet. Si igitur constiterit illos de civitate aut populo Atheniensi bene fuisse meritos, quod et vos confitemini, necesse est vos omnes his amicos fieri et benevolos; ideoque non magis nobis quam unicuique vestrûm hoc ab illis mandatum erat. (93) Quamobrem neque ex religione neque ex lege absolvendus erit Agoratus. Vos igitur, Athenienses, nunc tandem, quandoquidem illo tempore quo interempti sunt, eis suppetias ferre non potuistis propter acerbam rerum conditionem, nunc, inquam, quum jam potestis, ipsorum interfectorem ulciscamini. Videte, Athenienses, ne rem omnium indignissimam perpetretis. Nam si absolveritis Agoratum, non isti modo attuleritis salutem, verum et illos homines quorum benevolentiam in vos agnoscitis, eadem sententia morte condemnatis. (94) Quum enim eum liberatis qui ipsos interfecit, nihil aliud decernitis quam quod illi ab isto haud injuria fuerint interfecti. Unde cum iis miserrime actum erit, si quibus ipsi, tanquam amicis, mortem suam ulciscendam mandarunt, eos ipsos nacti fuerint trigintaviralis sententiæ comprobatores. (95) Nequaquam, judices, per deos immortales oro atque obtestor, nullo modo nullaque ratione illos viros morte condemnetis, qui ideo a trigintaviris atque ab Agorato occisi sunt, quod de vobis sæpius optime meruerant. Recordantes igitur earum quæ vel publice civitati, vel privatim unicuique vestrûm, ingruerunt calamitatum, ubi illi viri interierunt, ab earum auctore pœnas sumite. Undequaque vobis demonstratum est, tum ex decretis, tum ex delationibus, tum ex ceteris omnibus, Agoratum fuisse illorum mortis causam. (96) Insuper et decet vos trigintaviris contraria decernere. Quos igitur isti morte condemnarunt, vos absolvite; eosque rursus vos condemnate, quos isti indemnatos reliquerunt. Porro trigintaviri illos viros condemnarunt, vestros amicos, quos nunc oportet a vobis absolvi; Agoratum vero absolverunt, propterea quod videbatur

προθύμως τούτους ἀπολλύναι· οὓ προσήκει καταψηφίζεσθαι. (97) Ἐὰν οὖν τὰ ἐναντία τοῖς τριάκοντα ψηφίζησθε, πρῶτον μὲν οὐχ ὁμόψηφοι γίγνεσθε, ἔπειτα τοῖς ὑμετέροις αὐτῶν φίλοις τετιμωρηκότες ἔσεσθε, ἔπειτα τοῖς πᾶσιν ἀνθρώποις δόξετε δίκαια καὶ ὅσια ψηφίσασθαι.

XIV.

ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ ΛΙΠΟΤΑΞΙΟΥ.

Ἡγοῦμαι μέν, ὦ ἄνδρες δικασταί, οὐδεμίαν ὑμᾶς ποθεῖν ἀκοῦσαι πρόφασιν παρὰ τῶν βουλομένων Ἀλκιβιάδου κατηγορεῖν· τοιοῦτον γὰρ πολίτην ἑαυτὸν ἐξ ἀρχῆς παρέσχεν, ὥστε καὶ εἰ μή τις ἰδίᾳ ἀδικούμενος ὑπ' αὐτοῦ τυγχάνει, οὐδὲν ἧττον προσήκει ἐκ τῶν ἄλλων ἐπιτηδευμάτων ἐχθρὸν αὐτὸν ἡγεῖσθαι. (2) Οὐ γὰρ μικρὰ τὰ ἁμαρτήματα οὐδὲ συγγνώμης ἄξια, οὐδ' ἐλπίδα παρέχοντα ὡς ἔσται τοῦ λοιποῦ βελτίων, ἀλλ' οὕτω πεπραγμένα καὶ εἰς τοσοῦτον κακίας ἀφιγμένα, ὥστ' ἐπ' ἐνίοις ὧν οὗτος φιλοτιμεῖται τοὺς ἐχθροὺς αἰσχύνεσθαι. Ἐγὼ μέντοι, ὦ ἄνδρες δικασταί, καὶ πρότερον πρὸς τοὺς πατέρας ἡμῖν διαφορᾶς ὑπαρχούσης, καὶ πάλαι τοῦτον ἐχθρὸν ἡγούμενος, καὶ νῦν ὑπ' αὐτοῦ πεπονθὼς κακῶς, πειράσομαι περὶ πάντων τῶν πεπραγμένων μεθ' ὑμῶν αὐτὸν τιμωρήσασθαι. (3) Περὶ μὲν οὖν τῶν ἄλλων Ἀρχεστρατίδης ἱκανῶς κατηγόρησε· καὶ γὰρ τοὺς νόμους ἐπέδειξε καὶ μάρτυρας πάντων παρέσχετο· ὅσα δ' οὗτος παραλέλοιπεν, ἐγὼ καθ' ἕκαστον ὑμᾶς διδάξω. Ἀνάγνωθι δέ μοι τὸν νόμον.

ΝΟΜΟΣ.

4. Εἰκὸς τοίνυν ἐστίν, ὦ ἄνδρες δικασταί, ἐξ οὗ τὴν εἰρήνην ἐποιησάμεθα, πρῶτον περὶ τούτων νυνὶ δικάζοντας μὴ μόνον δικαστάς, ἀλλὰ καὶ νομοθέτας αὐτοὺς γενέσθαι, εὖ εἰδότας ὅτι, ὅπως ἂν ὑμεῖς νυνὶ περὶ αὐτῶν γνῶτε, οὕτω καὶ τὸν ἄλλον χρόνον ἡ πόλις αὐτοῖς χρήσεται. Δοκεῖ δέ μοι καὶ πολίτου χρηστοῦ καὶ δικαστοῦ δικαίου ἔργον εἶναι ταύτῃ τοὺς νόμους διαλαμβάνειν, ὅπῃ καὶ εἰς τὸν λοιπὸν χρόνον μέλλει συνοίσειν τῇ
140 πόλει. (5) Τολμῶσι γάρ τινες λέγειν ὡς οὐδεὶς ἔνοχός ἐστι λιποταξίου οὐδὲ δειλίας· μάχην γὰρ οὐδεμίαν γεγονέναι, τὸν δὲ νόμον κελεύειν, ἐάν τις λίπῃ τὴν τάξιν εἰς τοὐπίσω δειλίας ἕνεκα, μαχομένων τῶν ἄλλων, περὶ τούτου τοὺς στρατιώτας δικάζειν. Ὁ δὲ νόμος οὐ περὶ τούτων κελεύει μόνον, ἀλλὰ καὶ ὁπόσοι ἂν μὴ παρῶσιν ἐν τῇ πεζῇ στρατιᾷ. Ἀνάγνωθί μοι τὸν νόμον.

ΝΟΜΟΣ.

6. Ἀκούετε, ὦ ἄνδρες δικασταί, ὅτι περὶ ἀμφοτέρων κεῖται, καὶ ὅσοι ἂν μάχης οὔσης εἰς τοὐπίσω ἀναχωρήσωσι, καὶ ὅσοι ἂν ἐν τῇ πεζῇ στρατιᾷ μὴ παρῶσι.

illos lubenter perdere, quem a vobis par est condemnari. (97) Quapropter si trigintaviris contraria decernatis, primum impiorum hominum vobisque inimicissimorum sententias non comprobabitis; deinde vestros ipsorum amicos ulti fueritis; postremo secundum jus et fas sententiam tulisse omnibus hominibus videbimini.

XIV.

CONTRA ALCIBIADEM, OB ORDINEM DESERTUM.

Arbitror, judices, vos neutiquam exspectare ut ullam accusandi causam prætexant qui Alcibiadem in jus vocare meditantur. Hujusmodi enim civem se ab initio præstitit, ut, quamvis privatim nemo ab eo læsus fuisset, ex ceteris tamen vitæ institutis deberent eum in inimici loco habere. (2) Neque enim levia sunt istius facinora, aut venia digna, neque ejusmodi ut sperare possimus ipsum posthac meliorem evasurum, sed ita fœde perpetrata, tantæque improbitatis, ut ob nonnulla quibus ipse gloriatur, erubescant etiam ipsius inimici. Equidem, judices, quum et domesticæ simultates nobis olim a patribus intercesserint, quum et eum jam pridem pro inimico habuerim, et is nuper de me pessime meritus fuerit, ob hæc enitar ut omnium quæ ab ipso flagitiose gesta sunt, pœnas per vos reposcam. (3) Atque de ceteris quidem sufficienter accusavit Archestratides; nam et leges produxit, omniaque testimoniis comprobavit: quæ vero ille prætermisit, ea ego vos singulatim edocebo. Et mihi legem recita.

LEX.

4. Par est igitur, judices, ut, quandoquidem hodie primum, ex quo pacem fecimus, de his rebus judicatis, non judices solum, sed et legislatores vos præstetis, persuasos nimirum quod, uti vos nunc de his rebus statueritis, ita civitas per reliquum tempus eas sit habitura. Mihi autem videtur et civis boni et justi judicis officium esse leges in eam interpretari partem quæ reipublicæ in futurum erit maxime utilis. (5) Nam sustinuerunt quidam dicere, neminem vel deserti ordinis vel timiditatis posse fieri reum: nullam enim pugnam fuisse; id autem jubere legem, ut, si quis ordinem deseruerit retrocedens propter timiditatem, ceteris pugnantibus, de eo strategi cognoscant. At non de his solum præcipit lex, sed de omnibus quicumque inter pedites non comparuerint. Mihi recita legem.

LEX.

6. Auditis, judices, latam esse legem de utrisque, quum de iis qui, prœlio commisso, retrocesserint, tum de iis etiam qui peditatui non interfuerint. Vos autem dispicite

Σκέψασθε δὲ τίνες εἰσὶν οὓς δεῖ παρεῖναι. Οὐχ οἵτινες ἂν τὴν ἡλικίαν ταύτην ἔχωσιν; οὐχ οὓς ἂν οἱ στρατηγοὶ καταλέξωσιν; (7) Ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί, ὅλῳ τῷ νόμῳ μόνον αὐτὸν τῶν πολιτῶν ἔνοχον εἶναι· ἀστρατείας μὲν γὰρ δικαίως ἂν αὐτὸν ἁλῶναι, ὅτι καταλεγεὶς οὐ παρῆν, λιποταξίου δέ, ὅτι οὐκ ἐπεξῆλθε μεθ' ὑμῶν στρατοπεδευόμενος, οὐδὲ παρέσχε μετὰ τῶν ἄλλων ἑαυτὸν τάξαι, δειλίας δέ, ὅτι δεῖν αὐτὸν μετὰ τῶν ὁπλιτῶν κινδυνεύειν ἱππεύειν εἵλετο. (8) Καίτοι φασὶν αὐτὸν ταύτην τὴν ἀπολογίαν ποιήσεσθαι, ὡς ἐπειδήπερ ἵππευεν, οὐδὲν ἠδίκει τὴν πόλιν. Ἐγὼ δ' ἡγοῦμαι διὰ τοῦθ' ὑμᾶς δικαίως ἂν αὐτῷ ὀργίζεσθαι, ὅτι τοῦ νόμου κελεύοντος, ἐάν τις ἀδοκίμαστος ἱππεύῃ, ἄτιμον εἶναι, ἐτόλμησεν ἀδοκίμαστος ἱππεύειν. Καί μοι ἀνάγνωθι τὸν νόμον.

ΝΟΜΟΣ.

9. Οὗτος τοίνυν εἰς τοῦτ' ἦλθε πονηρίας, καὶ οὕτως ὑμῶν κατεφρόνησε καὶ τοὺς πολεμίους ἔδεισε καὶ ἱππεύειν ἐπεθύμησε καὶ τῶν νόμων οὐκ ἐφρόντισεν, ὥστε οὐδὲν αὐτῷ τούτων τῶν κινδύνων ἐμέλησεν, ἀλλ' ἐβουλήθη καὶ ἄτιμος εἶναι καὶ τὰ χρήματ' αὐτοῦ δημευθῆναι καὶ πάσαις ταῖς κειμέναις ζημίαις ἔνοχος γενέσθαι μᾶλλον ἢ μετὰ τῶν πολιτῶν εἶναι καὶ ὁπλίτης γενέσθαι. (10) Καὶ ἕτεροι μὲν οὐδεπώποτε ὁπλιτεύσαντες, ἱππεύοντες δὲ τὸν ἄλλον χρόνον καὶ πολλὰ κακὰ τοὺς πολεμίους πεποιηκότες, οὐκ ἐτόλμησαν ἐπὶ τοὺς ἵππους ἀναβῆναι, δεδιότες ὑμᾶς καὶ τὸν νόμον· οὕτω γὰρ ἦσαν παρεσκευασμένοι, οὐχ ὡς ἀπολουμένης τῆς πόλεως, ἀλλ' ὡς σωθησομένης καὶ μεγάλης ἐσομένης καὶ τιμωρησομένης τοὺς ἀδικοῦντας· Ἀλκιβιάδης δ' ἐτόλμησεν ἀναβῆναι, οὔτε εὔνους ὢν τῷ πλήθει οὔτε πρότερον ἱππεύσας οὔτε νῦν ἐπιστάμενος οὔτε ὑφ' ὑμῶν δοκιμασθείς, ὡς οὐκ ἐξεσόμενον τῇ πόλει δίκην παρὰ τῶν ἀδικούντων λαμβάνειν. (11) Ἐνθυμηθῆναι δὲ χρὴ ὅτι, εἰ ἐξέσται ὅ τι ἄν τις βούληται ποιεῖν, οὐδὲν ὄφελος νόμους κεῖσθαι ἢ ὑμᾶς συλλέγεσθαι ἢ στρατηγοὺς αἱρεῖσθαι. Θαυμάζω δέ, ὦ ἄνδρες δικασταί, εἴ τις ἀξιοῖ, ἐὰν μέν τις προσιόντων τῶν πολεμίων τῆς πρώτης τάξεως τεταγμένος τῆς δευτέρας γένηται, τούτου μὲν δειλίαν καταψηφίζεσθαι, ἐὰν δέ τις ἐν τοῖς ὁπλίταις τεταγμένος ἐν τοῖς ἱππεῦσιν ἀναφανῇ, τούτῳ συγγνώμην ἔχειν. (12) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ἡγοῦμαι δικάζειν ὑμᾶς οὐ μόνον τῶν ἐξαμαρτανόντων ἕνεκα, ἀλλ' ἵνα καὶ τοὺς ἄλλους τῶν ἀκοσμούντων σωφρονεστέρους ποιῆτε. Ἐὰν μὲν τοίνυν τοὺς ἀγνῶτας κολάζητε, οὐδεὶς ἔσται τῶν ἄλλων βελτίων· οὐδεὶς γὰρ εἴσεται τὸν ὑφ' ὑμῶν καταψηφισθέντα· ἐὰν δὲ τοὺς ἐπιφανεστάτους τῶν ἐξαμαρτανόντων τιμωρῆσθε, πάντες πεύσονται, ὥστε τούτῳ παραδείγματι χρώμενοι βελτίους ἔσονται οἱ πολῖται. (13) Εἰ τοίνυν τούτου καταψηφιεῖσθε, οὐ μόνον οἱ ἐν τῇ πόλει εἴσονται, ἀλλὰ καὶ οἱ σύμμαχοι αἰσθήσονται καὶ οἱ πολέμιοι πεύσονται, καὶ ἡγήσονται πολὺ πλείονος ἀξίαν εἶναι τὴν πόλιν, ἐὰν ὁρῶσιν ἐπὶ τοῖς τοιούτοις τῶν

quos interesse oporteat. Annon eos qui hanc habent ætatem? annon eos quos strategi conscripserint? (7) Equidem existimo, judices, istum solum ex civibus omni legis dispositione constrictum teneri; etenim ἀστρατείας sive absentiæ a castris merito reus peragitur, quod conscriptus non comparuerit; λιποταξίου sive deserti ordinis, quod non exierit una vobiscum militans; δειλίας denique sive ignaviæ, quod, quum ipsum oportuerit cum gravis armaturæ militibus discrimen subire, equitatui se adjungere maluerit. (8) Atqui prædicant istum hac defensione usurum, quod, quoniam equitem se præbuit, non læserit rempublicam. Ego autem arbitror, vos idcirco jure ei succensere posse, quod, quum præcipiat lex eum infamem esse, si quis non probatus equitaverit, ipse tamen equitare ausus fuerit non probatus. Et mihi legem recita.

LEX.

9. Iste igitur eo venit improbitatis, vos ita contempsit et hostes formidavit, adeo impense studuit equitare, legesque neglexit, ut parum curaverit hæc pericula, verum maluerit et infamis fieri, et bona sua publicari, et pœnis omnibus teneri quæ lege statuuntur, quam se adjungere civibus suis et gravis armaturæ militiam obire. (10) Et ceteri quidem qui eo militiæ genere nunquam defuncti, ad id usque tempus inter equites militaverant, hostesque reipublicæ malis affecerant plurimis, non ausi fuerunt in equos ascendere, vos et legem reveriti : ita enim comparati erant, non quasi exspectarent rempublicam interituram, sed incolumem magnamque futuram, et eam quæ posset a delinquentibus pœnas reposcere. Alcibiades vero equitare non dubitavit, qui neque in populum benevolo fuit animo, neque antea equo meruerat, neque nunc ejus militiæ peritus est, neque a vobis probatus, quasi futurum existimans ut nunquam reipublicæ liceret delinquentes punire. (11) Vobis autem est animadvertendum quod, si unicuique impune erit facere quod voluerit, nihil jam opus sit aut leges ferri, aut vos congregari, aut strategos eligi. Miror, judices, si quis æquum esse putaverit eum timiditatis condemnare, qui, accedentibus hostibus, in primo ordine constitutus, se in secundum ordinem transtulerit; si quis vero constitutus inter pedites militaverit in equitatu, eum venia dignum censere. (12) Atqui profecto, judices, vos arbitror judicia exercere non solum eorum causa qui deliquerunt, verum etiam ut ceteros qui contra legis præscriptum agunt, ad modestiam revocetis. Si igitur puniatis obscuros homines, ceterorum nemo exinde fiet melior (pœnam enim quam irrogatis nullus audiet); quodsi in clarissimos quosque delinquentium animadvertatis, ea fama ad omnes perventura est, adeo ut cives, admoniti exemplo, meliores sint evasuri. (13) Si igitur istum condemnabitis, non solum ii qui in civitate sunt intelligent, verum et socii sentient, et hostes audient, meliusque de nostra republica

ἁμαρτημάτων μάλισθ' ὑμᾶς ὀργιζομένους καὶ μηδεμιᾶς συγγνώμης τοὺς ἀκοσμοῦντας ἐν τῷ πολέμῳ τυγχάνοντας. (14) Ἐνθυμεῖσθε δ', ὦ ἄνδρες δικασταί, ὅτι τῶν στρατιωτῶν οἱ μὲν κάμνοντες ἐτύγχανον, οἱ δὲ ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, καὶ ἡδέως ἂν οἱ μὲν ἐν ταῖς πόλεσι καταμείναντες ἐθεραπεύοντο, οἱ δὲ οἴκαδ' ἀπελθόν-
141 τες τῶν οἰκείων ἐπεμέλοντο, οἱ δὲ ψιλοὶ ἐστρατεύοντο, οἱ δ' ἐν τοῖς ἱππεῦσιν ἐκινδύνευον· (15) ἀλλ' ὅμως οὐκ ἐτολμᾶτε ἀπολιπεῖν τὰς τάξεις οὐδὲ τὰ ἀρεστὰ ὑμῖν αὐτοῖς αἱρεῖσθαι, ἀλλὰ πολὺ μᾶλλον ἐφοβεῖσθε τοὺς τῆς πόλεως νόμους ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον. Ὧν χρὴ μεμνημένους ὑμᾶς νυνὶ τὴν ψῆφον φέρειν, καὶ πᾶσι φανερὸν ποιεῖν ὅτι Ἀθηναίων οἱ μὴ βουλόμενοι τοῖς πολεμίοις μάχεσθαι ὑφ' ὑμῶν κακῶς πείσονται.

16. Ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί, περὶ μὲν τοῦ νόμου καὶ αὐτοῦ τοῦ πράγματος οὐχ ἕξειν αὐτοὺς ὅ τι λέξουσιν· ἀναβαίνοντες δ' ὑμᾶς ἐξαιτήσονται καὶ ἀντιβολήσουσιν, οὐκ ἀξιοῦντες τοῦ Ἀλκιβιάδου υἱέος τοσαύτην δειλίαν καταγνῶναι, ὡς ἐκεῖνον πολλῶν ἀγαθῶν, ἀλλ' οὐχὶ πολλῶν κακῶν αἴτιον γεγενημένον, ὃν εἰ τηλικοῦτον ὄντα ἀπεκτείνατε, ὅτε πρῶτον εἰς ὑμᾶς ἐλάβετε ἐξαμαρτάνοντα, οὐκ ἂν ἐγένοντο συμφοραὶ τοσαῦται τῇ πόλει. (17) Δεινὸν δέ μοι δοκεῖ, ὦ ἄνδρες δικασταί, εἶναι, εἰ αὐτοῦ μὲν ἐκείνου θάνατον κατέγνωτε, τοῦ δὲ υἱοῦ ἀδικοῦντος δι' ἐκεῖνον ἀποψηφιεῖσθε, ὃς αὐτὸς μὲν οὐκ ἐτόλμα μεθ' ὑμῶν μάχεσθαι, ὁ δὲ πατὴρ αὐτοῦ μετὰ τῶν πολεμίων ἠξίου στρατεύεσθαι. Καὶ ὅτε μὲν παῖς ὢν οὔπω δῆλος ἦν ὁποῖός τις ἔσται, διὰ τὰ τοῦ πατρὸς ἁμαρτήματα ὀλίγου τοῖς ἕνδεκα παρεδόθη· ἐπειδὴ δὲ πρὸς τοῖς ἐκείνῳ πεπραγμένοις ἐπίστασθε καὶ τὴν τούτου πονηρίαν, διὰ τὸν πατέρα ἐλεεῖν αὐτὸν ἀξιώσετε; (18) Οὐκ οὖν δεινόν, ὦ ἄνδρες δικασταί, τούτους μὲν οὕτως εὐτυχεῖς εἶναι ὥστ', ἐπειδὰν ἐξαμαρτάνοντες ληφθῶσι, διὰ τὸ αὐτῶν γένος σώζεσθαι, ἡμᾶς δέ, εἰ δυστυχήσαιμεν διὰ τοὺς οὕτως ἀτακτοῦντας, μηδένα ἂν δύνασθαι παρὰ τῶν πολεμίων ἐξαιτήσασθαι μηδὲ διὰ τὰς τῶν προγόνων ἀρετάς; (19) Καίτοι πολλαὶ καὶ μεγάλαι καὶ ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων γεγόνασι, καὶ οὐδὲν ὅμοιαι τοῖς ὑπὸ τούτων περὶ τὴν πόλιν πεπραγμένοις, ὦ ἄνδρες δικασταί. Εἰ δ' ἐκεῖνοι δοκοῦσι βελτίους εἶναι σώζοντες τοὺς φίλους, δῆλον ὅτι καὶ ὑμεῖς ἀμείνους δόξετε εἶναι τιμωρούμενοι τοὺς ἐχθρούς. (20) Ἀξιῶ δ', ὦ ἄνδρες δικασταί, ἐὰν μέν τινες τῶν συγγενῶν αὐτὸν ἐξαιτῶνται, ὀργίζεσθαι ὅτι τούτου μὲν οὐκ ἐπεχείρησαν δεηθῆναι, ἢ δεηθέντες οὐκ ἐδύναντο εὑρέσθαι, ποιεῖν τὰ ὑπὸ τῆς πόλεως προσταττόμενα, ὑμᾶς δὲ πείθειν πειρῶνται ὡς οὐ χρὴ παρὰ τῶν ἀδικούντων δίκην λαμβάνειν· (21) ἐὰν δέ τινες τῶν ἀρχόντων βοηθῶσιν αὐτῷ ἐπίδειξιν μὲν τῆς ἑαυτῶν δυνάμεως ποιούμενοι, φιλοτιμούμενοι δὲ ὅτι καὶ τοὺς φανερῶς ἡμαρτηκότας σώζειν δύνανται, ὑμᾶς δὲ χρὴ ὑπολαμβάνειν πρῶτον μὲν ὅτι, εἰ πάντες Ἀλκιβιάδῃ ὅμοιοι ἐγένοντο, οὐδὲν ἂν ἔδει τοῦ στρατηγεῖν (οὐδὲ γὰρ εἶχον ὅτου ἡγοῦντο), ἔπειθ' ὅτι πολὺ μᾶλλον αὐτοὺς προσήκει τῶν λιπόντων

existimabunt, si intellexerint vos hujusmodi flagitiis graviter succensere, nullamque a vobis veniam consequi eos qui in bello legum negligentes se exhibent. (14) Considerate etiam, judices, quod ex militibus alii adversa valetudine, alii rerum necessariarum inopia laborabant, quorum libenter illi in oppidis morati se curare, hi reversi domum res familiares tutari voluissent: considerate quod libenti animo nonnulli aut inter velites militassent, aut pugnassent inter equites. (15) Attamen ne sic quidem sustinuistis ordines deserere, aut ea eligere quæ vobis grata erant; verum multo magis civitatis leges verebamini quam periculum ab hostibus. Quarum rerum memores vos suffragia nunc ferre oportet, omnibusque perspicuum facere, quod Atheniensium ii qui cum hostibus dimicare noluerint, a vobis male excipientur.

16. Arbitror autem, judices, de lege et de ipsa re istos nihil habituros quod respondeant; sed huc ascendentes vos deprecabuntur, postulabuntque ne Alcibiadis filio tantam timiditatis notam inurere velitis; quasi ille multorum bonorum, ac non malorum multorum auctor exstiterit. Quem si in prima ætate sustulissetis, ubi statim deprehendistis in vos delinquentem, tot calamitates civitatem vestram non invasissent. (17) Absurdum vero mihi videtur esse, judices, si, quum patrem capite damnaveritis, filium sontem propter eum ipsum absolvetis; qui ipse vobiscum in pugnam una prodire non sustinuit, pater autem ejus etiam cum hostibus militavit. Atque hic quidem, adhuc puer, quum nondum constaret qualis esset futurus, propter paterna delicta undecimviris pæne traditus est: nunc quum præter ea quæ pater commisit, hujus etiam improbitatem perspiciatis, num patris gratia eum miserabimini? (18) Grave igitur fuerit, judices, istos ea felicitate uti, ut, quum sceleris convincuntur, propter generis nobilitatem evadant; nobis vero, si quid incommode evenerit propter istos legum militiæ contemptores, hostium veniam exorari nihil posse, ne per ipsam quidem majorum nostrorum virtutem. (19) Quorum tamen facinora multa et præclara exstiterunt, et in communem Græciæ salutem, et longe dissimilia ab eis quæ isti reipublicæ præstiterunt, judices. Ceterum si illi boni habentur quod amicorum saluti studuerint; certe vos habebimini meliores dum inimicos ulciscemini. (20) Æquum autem censeo, judices, ut, si qui ex cognatis pro isto deprecentur, indignemini, quod eum aut orare noluerunt, aut orantes non impetrarunt, ut pareret civitatis legibus, et vobis contra conantur persuadere non esse in delinquentes animadvertendum. (21) Quodsi nonnulli ex militiæ ducibus isti patrocinentur, vel ut ostendant quantum in civitate possint, vel ut eloquentiæ laudem aliquam aucupentur ita manifesto sontes e periculis eripiendo; vos utique subjicere oportet, primum quod, si omnes Alcibiadi similes forent, nihil opus esset militiæ ducibus, neque enim haberent quenquam quem ducerent; deinde quod ipsis multo magis deceret de-

τὴν τάξιν κατηγορεῖν ἢ ὑπὲρ τῶν τοιούτων ἀπολογεῖσθαι. Τίς γάρ ἐστιν ἐλπὶς τοὺς ἄλλους ἐθελήσειν ποιεῖν τὰ ὑπὸ τῶν στρατηγῶν προσταττόμενα, ὅταν αὐτοὶ οὗτοι τοὺς ἀκοσμοῦντας σώζειν πειρῶνται; (22) Ἐγὼ τοίνυν ἀξιῶ, ἂν μὲν ἀποδείξωσιν οἱ λέγοντες καὶ αἰτούμενοι ὑπὲρ Ἀλκιβιάδου ὡς ἐστρατεύσατο ἐν τοῖς ὁπλίταις ἢ ὡς ἵππευε δεδοκιμασμένος, ἀποψηφίσασθαι· ἐὰν δὲ μηδὲν ἔχοντες δίκαιον κελεύωσιν αὐτοῖς χαρίζεσθαι, μεμνῆσθαι χρὴ ὅτι διδάσκουσιν ὑμᾶς ἐπιορκεῖν καὶ τοῖς νόμοις μὴ πείθεσθαι, καὶ ὅτι λίαν προθύμως τοῖς ἀδικοῦσι βοηθοῦντες πολλοὺς τῶν αὐτῶν ἔργων ἐπιθυμεῖν ποιήσουσιν.

23. Θαυμάζω δὲ μάλιστα, ὦ ἄνδρες δικασταί, εἴ τις ὑμῶν τὸν Ἀλκιβιάδην ἀξιώσει διὰ μὲν τοὺς βοηθοῦντας σώζεσθαι, διὰ δὲ τὴν αὑτοῦ πονηρίαν μὴ ἀπολέσθαι. Ἧς ἄξιον ὑμᾶς ἀκοῦσαι, ἵν' ἐπίστησθε ὅτι οὐκ ἂν εἰκότως αὐτοῦ ἀποψηφίζοισθε, ὡς ταῦτα μὲν ἡμαρτηκότος, τὰ δ' ἄλλα πολίτου χρηστοῦ γεγενημένου· ἐκ γὰρ τῶν ἄλλων τῶν τούτῳ πεπραγμένων δικαίως ἂν αὐτοῦ θάνατον καταψηφίζοισθε. (24) Προσήκει δ' ὑμῖν
112 περὶ αὐτῶν εἰδέναι· ἐπειδὴ γὰρ καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε λεγόντων τὰς σφετέρας αὐτῶν ἀρετὰς καὶ τὰς τῶν προγόνων εὐεργεσίας, εἰκὸς ὑμᾶς καὶ τῶν κατηγόρων ἀκροᾶσθαι, ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πολλὰ εἰς ὑμᾶς ἡμαρτηκότας καὶ τοὺς προγόνους αὐτῶν πολλῶν κακῶν αἰτίους γεγενημένους. (25) Οὗτος γὰρ παῖς μὲν ὢν παρ' Ἀρχεδήμῳ τῷ γλάμωνι, οὐκ ὀλίγα τῶν ὑμετέρων ὑφῃρημένῳ, πολλῶν ὁρώντων ἔπινε μὲν ὑπὸ τῷ αὐτῷ ἱματίῳ κατακείμενος, ἐκώμαζε δὲ μεθ' ἡμέραν, ἄνηβος ἑταίραν ἔχων, μιμούμενος τοὺς ἑαυτοῦ προγόνους, καὶ ἡγούμενος οὐκ ἂν δύνασθαι πρεσβύτερος ὢν λαμπρὸς γενέσθαι, εἰ μὴ νέος ὢν πονηρότατος δόξει εἶναι. (26) Μετεπέμφθη δ' ὑπὸ Ἀλκιβιάδου, ἐπειδὴ φανερῶς ἐξημάρτανε. Καίτοι ποῖόν τινα χρὴ αὐτὸν ὑφ' ὑμῶν νομίζεσθαι εἶναι, ὅστις κἀκείνῳ τοιαῦτ' ἐπιτηδεύων διεβέβλητο, ὃς τοὺς ἄλλους ταῦτ' ἐδίδασκε; Μετὰ Θεοτίμου δὲ ἐπιβουλεύσας τῷ πατρὶ Ὠρεοὺς προὔδωκεν. Ὁ δὲ παραλαβὼν τὸ χωρίον πρότερον μὲν ὕβριζεν αὐτὸν ὡραῖον ὄντα, τελευτῶν δὲ δήσας ἀργύριον εἰσεπράττετο. (27) Ὁ δὲ πατὴρ αὐτὸν οὕτως ἐμίσει σφόδρα, ὥστ' οὐδ' ἂν ἀποθανόντος ἔφασκε τὰ ὀστᾶ κομίσασθαι. Τελευτήσαντος δ' ἐκείνου ἐραστὴς γενόμενος Ἀρχεβιάδης αὐτὸν ἐλύσατο. Οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κατακυβεύσας τὰ ὄντα, ἐκ Λευκῆς ἀκτῆς ὁρμώμενος τοὺς φίλους κατεπόντιζεν. (28) Ὅσα μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἢ εἰς τοὺς πολίτας ἢ εἰς τοὺς οἰκείους ἢ περὶ τοὺς αὑτοῦ ξένους ἢ περὶ τοὺς ἄλλους ἡμάρτηκε, μακρὸν ἂν εἴη λέγειν· Ἱππόνικος δὲ πολλοὺς παρακαλέσας ἐξέπεμψε τὴν αὑτοῦ γυναῖκα, φάσκων τοῦτον ὡς οὐκ ἀδελφὸν αὐτῆς, ἀλλ' ὡς ἄνδρα ἐκείνης εἰς τὴν οἰκίαν εἰσιέναι τὴν αὑτοῦ. (29) Καὶ τοιαῦθ' ἡμαρτηκότι καὶ οὕτω δεινὰ καὶ πολλὰ καὶ μεγάλα πεποιηκότι οὔτε τῶν πεπραγμένων αὐτῷ μεταμέλει οὔτε τῶν μελλόντων ἔσεσθαι. Ὃν μᾶλλον ἔδει κοσμιώτατον εἶναι τῶν πολι-

sertores ordinum accusare quam eorum causam defendere. Quid enim spei est ceteros mandata ducum exsecuturos, quando illi ipsi servare satagunt militarium legum violatores? (22) Sic igitur statuo : si ii qui pro Alcibiade deprecantur, ejusque causam agunt, poterunt commonstrare, eum aut inter gravis armaturæ milites fuisse, aut probatum equitasse, reum absolvite : quod si nihil justi proferentes, jubebunt vos gratificari ipsis, mementote quod vos moneat et jusjurandum violare, et legibus non parere, quodque, quum delinquentibus tali studio patrocinentur, plures ad eadem flagitia excitabunt.

23. Equidem potissimum miror, judices, si quis vestrûm existimaverit Alcibiadem propter advocatos esse servandum, et propter suam ipsius improbitatem non esse perdendum. De qua æquum est vos nonnulla audire, ut cognoscatis vos merito condonare illi non posse, quod in hac quidem re deliquerit, in ceteris vero omnibus optimi civis functus sit officio. Nam ex reliquis quoque vitæ institutis jure ipsum plectetis capite; (24) quæ vos convenit edoceri. Quum enim toleretis reos suæ ipsorum virtutis facinora egregiaque majorum merita recensentes, par est omnino accusatores etiam audire, si commonstrare potuerint et reos ipsos multa in vos deliquisse, et eorum majores plurima vobis mala intulisse. (25) Iste quum puer esset, apud Archedemum Lippum, qui ex vestris non pauca surripuit, multis conspicientibus, in eadem jacens stragula potabat, comessabaturque interdiu, impubes, cum scorto, majores suos imitatus, arbitratusque fore ut non posset in adulta ætate præclarus fieri, nisi in tenera pueritia palam videretur nequissimus. (26) Ab Alcibiade porro accersitus est, quum ipsius flagitia jam manifesta fierent. At cujusmodi eum a vobis haberi oportet qui et eadem cum illo studia sectatus est, et infamabatur quasi qui ceteros in iis studiis institueret? Operam is Theotimo præstans et patri insidiatus, Oreos prodidit. Theotimus, oppido recepto, istius adolescentia flagitiose abusus, tandem in vincula conjecit ut pecuniam exposceret. (27) Sed filium pater tam graviter oderat ut negaret se vel mortui ossa recepturum. Illo e vivis sublato, Archebiades hujus amator factus eum redemit ex vinculis. Non ita multo post, bonis suis alea disperditis, solvens ex Leuca Acta amicos submersit. (28) Quot igitur, judices, vel in cives, vel in cognatos, vel in hospites suos, aliosque admisit, longum esset recensere. Hipponicus autem pluribus convocatis, uxorem repudiavit, quum diceret hunc non ut fratrem illius, sed ut maritum, in ædes suas esse ingressum. (29) Atque hunc qui talia deliquit, qui tot et tam indigna perpetravit, neque præteritorum pœnitet quidquam, neque eorum pœnitebit quæ futura sunt : imo quem maxime inter cives oportuit esse

τῶν, ἀπολογίαν ποιούμενον τὸν ἑαυτοῦ βίον τῶν τοῦ πατρὸς ἁμαρτημάτων, οὗτος ἑτέρους ὑβρίζειν πειρᾶται, ὥσπερ δυνάμενος ἂν πολλοστὸν μέρος τῶν ὀνειδῶν τῶν ἑαυτῷ προσηκόντων τοῖς ἄλλοις μεταδοῦναι, (30) καὶ ταῦθ' υἱὸς ὢν Ἀλκιβιάδου, ὃς ἔπεισε μὲν Δεκέλειαν Λακεδαιμονίους ἐπιτειχίσαι, ἐπὶ δὲ τὰς νήσους ἀποστήσων ἔπλευσε, διδάσκαλος δὲ τῶν τῆς πόλεως κακῶν ἐγένετο, πλεονάκις δὲ μετὰ τῶν ἐχθρῶν ἐπὶ τὴν πατρίδα ἐστρατεύσατο ἢ μετὰ τῶν πολιτῶν ἐπ' ἐκείνους. Ἀνθ' ὧν καὶ ὑμῖν καὶ τοῖς μέλλουσιν ἔσεσθαι τιμωρεῖσθαι προσήκει ὅντινα λαμβάνετε τούτων. (31) Καίτοι σφόδρα εἴθισται λέγειν ὡς οὐκ εἰκός ἐστι τὸν μὲν πατέρα αὐτοῦ κατελθόντα δωρεὰς παρὰ τοῦ δήμου λαβεῖν, τοῦτον δ' ἀδίκως διὰ τὴν φυγὴν τὴν ἐκείνου διαβεβλῆσθαι. Ἐμοὶ δὲ δοκεῖ δεινὸν εἶναι, εἰ τὰς μὲν δωρεὰς αὐτοῦ ἀφείλεσθε ὡς οὐ δικαίως δεδωκότες, τούτου δὲ ἀδικοῦντος ἀποψηφιεῖσθε ὡς τοῦ πατρὸς χρηστοῦ περὶ τὴν πόλιν γεγενημένου. (32) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ἄλλων τε πολλῶν ἄξιον ἕνεκεν αὐτοῦ καταψηφίσασθαι, καὶ ὅτι ταῖς ὑμετέραις ἀρεταῖς χρῆται παραδείγματι περὶ τῆς ἑαυτοῦ πονηρίας. Τολμᾷ γὰρ λέγειν ὡς Ἀλκιβιάδης οὐδὲν δεινὸν εἴργασται ἐπὶ τὴν πατρίδα στρατεύσας· (33) καὶ γὰρ ὑμᾶς φεύγοντας Φυλὴν καταλαβεῖν καὶ δένδρα τεμεῖν καὶ πρὸς τὰ τείχη προσβαλεῖν, καὶ ταῦτα ποιήσαντας οὐκ ὄνειδος τοῖς παισὶ καταλιπεῖν, ἀλλὰ τιμὴν παρὰ πᾶσιν ἀνθρώποις κτήσασθαι, ὡς τῶν αὐτῶν ὄντας ἀξίους ὅσοι φυγόντες μετὰ τῶν πολεμίων ἐπὶ τὴν χώραν ἐστράτευσαν, καὶ ὅσοι κατῄεσαν Λακεδαιμονίων ἐχόντων τὴν πόλιν. (34) Καὶ μὲν δὴ πᾶσιν ἡγοῦμαι δῆλον εἶναι ὅτι οὗτοι μὲν ἐζήτουν κατιέναι ὡς τὴν μὲν τῆς θαλάττης ἀρχὴν Λακεδαιμονίοις παραδώσοντες, αὐτοὶ δ' ὑμῶν ἄρξοντες· τὸ δ' ὑμέτερον πλῆθος κατελθὸν τοὺς μὲν πολεμίους ἐξήλασε, τῶν δὲ πολιτῶν καὶ τοὺς βουλομένους δουλεύειν ἠλευθέρωσεν· ὥστ' οὐχ ὁμοίων τῶν ἔργων ἀμφοτέροις γεγενημένων τοὺς λόγους ποιεῖται. (35) Ἀλλ' ὅμως τοσούτων συμφορῶν καὶ οὕτως αὐτῷ μεγάλων ὑπαρχουσῶν ἐπὶ τῇ τοῦ πατρὸς πονηρίᾳ φιλοτιμεῖται, καὶ λέγει ὡς οὕτως ἐκεῖνος ἐδύνατο μέγα ὥστε τῇ πόλει πάντων κακῶν αἴτιος γεγένηται. Καίτοι τίς οὕτως ἄπειρος τῆς ἑαυτοῦ πατρίδος, ὃς οὐκ ἂν βουλόμενος εἶναι πονηρὸς εἰσηγήσαιτο μὲν τοῖς πολεμίοις ἃ χρὴ καταλαβεῖν τῶν χωρίων, δηλώσειε δ' ἂν ἃ κακῶς φυλάττεται τῶν φρουρίων, διδάξειε δ' ἂν ἃ πονηρῶς ἔχει τῶν πραγμάτων, μηνύσειε δ' ἂν τοὺς βουλομένους ἀφίστασθαι τῶν συμμάχων; (36) Οὐ γὰρ δήπου, ὅτε μὲν ἔφευγε, διὰ τὴν δύναμιν κακῶς οἷός τ' ἦν ποιεῖν τὴν πόλιν, ἐπειδὴ δὲ ὑμᾶς ἐξαπατήσας κατῆλθε καὶ πολλῶν ἦρξε τριήρων, οὔτε τοὺς πολεμίους ἐδύνατο ἐκ τῆς χώρας ἐκβαλεῖν, οὔτε Χίους οὓς ἀπέστησε πάλιν φίλους ποιῆσαι, οὔτε ἄλλο οὐδὲν ἀγαθὸν ὑμᾶς ἐργάσασθαι. (37) Ὥστ' οὐ χαλεπὸν γνῶναι ὅτι Ἀλκιβιάδης δυνάμει μὲν οὐδὲν τῶν ἄλλων διέφερε, πονηρίᾳ δὲ τῶν πολιτῶν πρῶτος ἦν. Ἃ μὲν γὰρ ᾔδει τῶν ὑμετέρων κακῶς

modestissimum, si qua ratione posset paterna vitia propriis virtutibus eluere, is in ceteros contumeliosus esse satagit, quasi possit suorum saltem flagitiorum partem aliquam in alios transferre; (30) atque sic se gerit quum sit filius Alcibiadis istius, qui Lacedæmoniis persuasit ut Deceleam munirent, in insulas navigavit ad defectionem sollicitaturus, civitatis suæ mala exteros edocuit, denique sæpius contra patriam cum hostibus bella gessit, quam cum civibus contra hostes. Pro quibus universis et vos et posteros vestros decet punire quoscumque istius generis homines nacti fueritis. (31) Attamen illud frequenter in ore habet, minime esse consentaneum se propter patris exilium contra jus infamari, quum pater ab exilio redux præmia a populo acceperit. Mihi vero absurdum videtur, quum ille a vobis privatus sit præmiis tanquam præter fas decretis, hunc absolvi nocentem, quasi ille de republica optime sit meritus. (32) Quum ob alia quamplurima hunc oportet condemnari, judices, tum propter hoc quod vestris virtutibus abutitur tanquam exemplis ad purganda sui generis flagitia. Audet enim dicere, nihil mali admisisse Alcibiadem quum arma contra rempublicam tulit: (33) quippe et vos exulantes Phylen occupasse, arbores succidisse, mœnia oppugnasse; iisque facinoribus nihil dedecoris liberis vestris reliquisse, sed gloriam apud omnes homines comparasse. Quasi eodem in loco essent habendi ii qui facti exules una cum hostibus Atticam invaserunt, et ii qui domum redierunt Lacedæmoniis urbem obtinentibus. (34) Et id sane omnibus manifestum esse judico, istos reditum tentasse ut maris imperium Lacedæmoniis traderent, et ipsi vobis imperarent; dum contra redux ipse populus et hostes ejecit, et civium etiam eos qui servitutem expetebant, in libertatem vindicavit. Quapropter iste res comparat longe inter se dissimiles. (35) At quum tot tantæque calamitates sibi adhærescant, de patris nequitia nihilominus gloriatur, et illum prædicat tantum potuisse, ut unus reipublicæ omnia mala intulerit. Attamen quis est suæ patriæ adeo ignarus, qui, si improbus esse velit, nequeat hostibus significare quæ loca sint occupanda, commonstrare quænam præsidia minus valide muniantur, docere qua parte publicæ res laborent, indicare socios qui ad defectionem inclinent? (36) Neque enim ille, dum in exilio fuit, is erat qui per suam potentiam civitati noceret; et postquam vobis deceptis rediit domum, multisque triremibus præfuit, neque tunc potuit hostes ex finibus amovere, neque Chios, quorum animos abalienaverat, rursus reducere in gratiam, neque quidquam boni vobis afferre. (37) Unde non difficile est judicatu, Alcibiadem potentia nemini antecessisse, improbitate vero civium fuisse primum. Quascumque enim

ἔχοντα, μηνυτὴς αὐτῶν Λακεδαιμονίοις ἐγένετο· ἐπειδὴ δ' ἔδει αὐτὸν στρατηγεῖν, οὐδὲν κακὸν ποιεῖν ἐκείνους ἐδύνατο, ἀλλ' ὑποσχόμενος δι' ἑαυτὸν παρέξειν βασιλέα χρήματα, πλέον ἢ διακόσια τάλαντα τῆς πόλεως ὑφείλετο. (38) Καὶ οὕτω πολλὰ ἐνόμιζεν εἰς ὑμᾶς ἡμαρτηκέναι, ὥστε λέγειν δυνάμενος καὶ φίλων ὄντων καὶ χρήματα κεκτημένος οὐδέποτ' ἐλθὼν εὐθύνας ἐτόλμησε δοῦναι, ἀλλὰ φυγὴν αὑτοῦ καταγνοὺς καὶ Θρᾴκης καὶ πάσης πόλεως ἐβούλετο πολίτης γενέσθαι μᾶλλον ἢ τῆς πατρίδος εἶναι τῆς ἑαυτοῦ. Καὶ τὸ τελευταῖον, ὦ ἄνδρες δικασταί, ὑπερβολὴν ποιησάμενος τῆς προτέρας πονηρίας ἐτόλμησε τὰς ναῦς Λυσάνδρῳ μετὰ Ἀδειμάντου προδοῦναι. (39) Ὥστε εἴ τις ὑμῶν ἢ τοὺς τεθνεῶτας ἐν [τῇ] ναυμαχίᾳ ἐλεεῖ, ἢ ὑπὲρ τῶν δουλευσάντων τοῖς πολεμίοις αἰσχύνεται, ἢ τῶν τειχῶν καθῃρημένων ἀγανακτεῖ, ἢ Λακεδαιμονίους μισεῖ, ἢ τοῖς τριάκοντα ὀργίζεται, τούτων ἁπάντων χρὴ τὸν τούτου πατέρα αἴτιον ἡγεῖσθαι, καὶ ἐνθυμηθῆναι ὅτι Ἀλκιβιάδην μὲν τὸν πρόπαππον αὐτοῦ καὶ τὸν πατρὸς πρὸς μητρὸς πάππον Μεγακλέα οἱ ὑμέτεροι πρόγονοι δὶς ἀμφοτέρους ἐξωστράκισαν, τοῦ δὲ πατρὸς αὐτοῦ οἱ πρεσβύτεροι ὑμῶν θάνατον κατέγνωσαν, (40) ὥστε νῦν χρὴ ἡγησαμένους πατρικὸν ἐχθρὸν τοῦτον εἶναι τῇ πόλει καταψηφίσασθαι, καὶ μήτε ἔλεον μήτε συγγνώμην μήτε χάριν μηδεμίαν περὶ πλείονος ποιήσασθαι τῶν νόμων τῶν κειμένων καὶ τῶν ὅρκων οὓς ὠμόσατε.

41. Σκέψασθαι δὲ χρή, ὦ ἄνδρες δικασταί, διὰ τί ἄν τις τοιούτων ἀνδρῶν φείσαιτο; Πότερον ὡς πρὸς μὲν τὴν πόλιν δεδυστυχήκασιν, ἄλλως δὲ κόσμιοί εἰσι καὶ σωφρόνως βεβιώκασιν; Οὐχ οἱ μὲν πολλοὶ αὐτῶν ἡταιρήκασιν, οἱ δὲ ἀδελφαῖς συγγεγόνασι, τοῖς δ' ἐκ θυγατέρων παῖδες γεγόνασιν, (42) οἱ δὲ μυστήρια πεποιήκασι καὶ τοὺς Ἑρμᾶς περικεκόφασι καὶ περὶ πάντας τοὺς θεοὺς ἠσεβήκασι καὶ εἰς ἅπασαν τὴν πόλιν ἡμαρτήκασιν, ἀδίκως καὶ παρανόμως καὶ πρὸς τοὺς ἄλλους διακείμενοι καὶ πρὸς σφᾶς αὐτοὺς πολιτευόμενοι, οὐδεμιᾶς τόλμης ἀπεχόμενοι, οὐδὲ ἔργου δεινοῦ ἄπειροι γεγενημένοι; Ἀλλὰ καὶ πεπόνθασι καὶ πεποιήκασιν ἅπαντα. Οὕτω γὰρ διάκεινται ὥστ' ἐπὶ μὲν τοῖς καλοῖς αἰσχύνεσθαι, ἐπὶ δὲ τοῖς κακοῖς φιλοτιμεῖσθαι. (43) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ἤδη τινῶν ἀπεψηφίσασθε ἀδικεῖν μὲν νομίσαντες, οἰόμενοι δ' εἰς τὸ λοιπὸν χρησίμους ὑμῖν ἔσεσθαι. Τίς οὖν ἐλπὶς ὑπὸ τούτου τι ἀγαθὸν πείσεσθαι τὴν πόλιν, ὃν ὑμεῖς, ὅτι μὲν οὐδενὸς ἄξιός ἐστιν, ἐπειδὰν ἀπολογῆται, εἴσεσθε, ὅτι δὲ πονηρός ἐστιν, ἐκ τῶν ἄλλων ἐπιτηδευμάτων ἴστε; (44) Ἀλλὰ μὲν δὴ οὐδ' ἂν ἐξελθὼν ἐκ τῆς πόλεως
144 οὐδὲν δύναιτο κακὸν ὑμᾶς ἐργάσασθαι, δειλὸς ὢν καὶ πένης καὶ πράττειν ἀδύνατος καὶ τοῖς οἰκείοις διάφορος καὶ ὑπὸ τῶν ἄλλων μισούμενος. (45) Ὥστ' οὐδὲ τούτων ἕνεκα αὐτὸν ἄξιον φυλάττεσθαι, ἀλλὰ πολὺ μᾶλλον παράδειγμα ποιῆσαι καὶ τοῖς ἄλλοις καὶ τοῖς τούτου φίλοις, οἳ τὰ μὲν προσταττόμενα ποιεῖν οὐκ ἐθέλουσι, τοιούτων δ' ἔργων ἐπιθυμοῦσι, καὶ περὶ

vestras res debiliores esse intellexit, eas enunciavit Lacedæmoniis; ac postquam vestro exercitui ipsum imperare oportuit, eosdem nullo detrimento potuit afficere; sed pollicitus Persarum regem, propter suam gratiam, pecuniam vobis suppeditaturum, plus quam ducenta talenta reipublicæ subtraxit. (38) Et adeo multa sibi ipse conscivit se contra vos commisisse, ut, quamvis dicendo valeret plurimum, multis amicis polleret et divitiis, tamen ad rationes reddendas nunquam ausus sit accedere; verum damnans se ipsum exilio, Thraciæ et cujusvis omnino civitatis maluit quam suæ patriæ civis fieri. Ad postremum, judices, ut superiorem omnem cumularet improbitatem, naves vestras, una cum Adimanto, Lysandro prodere sustinuit. (39) Quamobrem si quis vestrûm aut navali pugna interemptos misereatur, aut civium hostibus servientium pudore teneatur, aut propter diruta mœnia succenseat, aut odio habeat Lacedæmonios, aut trigintaviris irascatur, horum omnium auctor judicandus est istius pater, et vobis revocandum in memoriam quod Alcibiadem hujus proavum, avumque maternum Megaclem, majores vestri bis utrumque civitate ejecerunt, patremque maximi natu inter vos capite damnaverunt. (40) Quare nunc oportet hereditarium civitatis inimicum hunc reputantes, condemnare, neque misericordiam, neque veniam, neque ullam omnino gratiam sinere apud vos plus valere quam leges quæ latæ sunt, et jusjurandum quod præstitistis.

41. Reputate autem, judices, quanam de causa istiusmodi viris aliquis parcat: utrumne quod in republica infeliciter se gesserint, alias vero honeste vixerint et moderate? nonne eorum multi turpissimis se fœdarunt libidinibus? nonne alii cum sororibus consueverunt; alii ex filiabus prolem susceperunt; (42) alii mysteria celebrarunt, et Hermas mutilarunt, et in omnes deos impie, atque in universam civitatem nefarie egerunt, viventes cum omni et erga ceteros et erga se ipsos injuria et insolentia, a nulla temeritate alieni, a nullo facinore abstinentes, sed qui omnia omnino et passi sunt et fecerunt? Ita enim sunt comparati, ut rerum honestarum eos pudeat et inhonestis glorientur. (43) Ac nonnullos jam absolvistis, quos habebatis quidem pro sontibus, putabatis autem strenuos cives posthac futuros. At quænam spes ut iste aliquando de republica bene mereatur, quem vos, ubi causam dixerit, hominem nullius pretii esse reperietis, improbum ex ceteris vitæ studiis cognoscitis? (44) Sed neque patria expulsus quidquam mali poterit vobis inferre, timidus, inops, ad gerendas res imbellis, cum propinquis inimicitias exercens, ceteris exosus. (45) Quapropter neque idcirco dignus est iste a quo caveatis, sed multo potius in exemplum producendus, quum aliis, tum ipsius amicis, qui et imperata recusant exsequi, et similia facinora concupiscunt, quique,

τῶν σφετέρων αὐτῶν κακῶς βουλευσάμενοι περὶ τῶν ὑμετέρων δημηγοροῦσιν.

46. Ἐγὼ μὲν οὖν ὡς ἐδυνάμην ἄριστα κατηγόρηκα, ἐπίσταμαι δ' ὅτι οἱ μὲν ἄλλοι τῶν ἀκροωμένων θαυμάζουσιν, ὅπως ποθ' οὕτως ἀκριβῶς ἐδυνήθην ἐξευρεῖν τὰ τούτων ἁμαρτήματα, οὗτος δέ μου καταγελᾷ, ὅτι οὐδὲ πολλοστὸν μέρος εἴρηκα τῶν τούτοις ὑπαργόντων κακῶν. (47) Ὑμεῖς οὖν καὶ τὰ εἰρημένα καὶ τὰ παραλελειμμένα ἀναλογισάμενοι πολὺ μᾶλλον αὐτοῦ καταψηφίσασθε, ἐνθυμηθέντες ὅτι ἔνοχος μέν ἐστι τῇ γραφῇ, μεγάλη δ' εὐτυχία τὸ τοιούτων πολιτῶν ἀπαλλαγῆναι πόλει. Ἀνάγνωθι δ' αὐτοῖς τοὺς νόμους καὶ τοὺς ὅρκους καὶ τὴν γραφήν· καὶ τούτων μεμνημένοι ψηφιοῦνται τὰ δίκαια.

ΝΟΜΟΙ. ΟΡΚΟΙ. ΓΡΑΦΗ.

XV.

ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ ΑΣΤΡΑΤΕΙΑΣ.

Ἐγὼ μέν, ὦ ἄνδρες δικασταί, καὶ ὑμᾶς αἰτοῦμαι τὰ δίκαια ψηφίσασθαι, καὶ τῶν στρατηγῶν δέομαι, ἐπεὶ καὶ ἐν τῇ ἄλλῃ ἀρχῇ πολλοῦ ἄξιοι τῇ πόλει γεγόνασι, καὶ περὶ τῶν τῆς ἀστρατείας γραφῶν κοινοὺς εἶναι τῷ τε διώκοντι καὶ τῷ φεύγοντι, καὶ μὴ βοηθοῦντας ὡς ἂν βούλωνται πᾶσαν προθυμίαν ἔχειν παρὰ τὸ δίκαιον ὑμᾶς ψηφίσασθαι, (2) ἐνθυμουμένους ὅτι σφόδρ' ἂν ἠγανακτεῖτε, εἰ ἐν τῇ ὑμετέρᾳ δοκιμασίᾳ οἱ θεσμοθέται ἀναβάντες ὑμῶν ἐδέοντο καταψηφίσασθαι, ἡγούμενοι δεινὸν εἶναι, εἰ οἱ τιθέντες τὸν ἀγῶνα καὶ τὴν ψῆφον διδόντες παρακελεύσονται τῶν μὲν μὴ [καταψηφίζεσθαι, τῶν δὲ] καταψηφίζεσθαι. (3) Τί δ' ἂν αἴσχιον ἔθος ἢ δεινότερον πρᾶγμα τούτου τῇ πόλει γένοιτο, εἰ τολμήσει ὁ μὲν ἄρχων ἐν ταῖς τῶν ἐπικλήρων δίκαις ἀντιβολεῖν καὶ ἱκετεύειν τοὺς δικαστὰς ὅ τι ἂν βούληται πραχθῆναι, ὁ δὲ πολέμαρχος καὶ οἱ ἕνδεκα δεήσονται ἐν ταῖς δίκαις ταῖς ὑφ' ἑαυτῶν εἰσαγομέναις, ὥσπερ καὶ νῦν; (4) Χρὴ τοίνυν καὶ ὑπὲρ ὑμῶν αὐτῶν τὴν αὐτὴν γνώμην ἔχειν, ἐνθυμουμένους ὅτι οὐδὲν διοίσει ὑμᾶς ἰδίᾳ περὶ τῆς ἀστρατείας βοηθεῖν, ἢ τούτων τινὰς δεῖσθαι αὐτοὺς τὴν ψῆφον διδόντας. (5) Σκέψασθε δέ, ὦ ἄνδρες δικασταί, ἐὰν ἱκανὸν γένηται τεκμήριον ὅτι οὐδείς πω τῶν ἀρχόντων ἐν τῷ στρατοπέδῳ Ἀλκιβιάδῃ ἦν παρεσκευασμένος. Ἐχρῆν γὰρ αὐτούς, εἴπερ ἀληθῆ λέγουσιν, ἀνακαλεῖν μὲν Πάμφιλον, ὅτι ἀφαιρῶν τὸν ἵππον ἱππέως ἀπεστέρει τὴν πόλιν, ἐπιβάλλειν δὲ τῷ φυλάρχῳ, ὅτι ἐξελαύνων Ἀλκιβιάδην ἐκ τῆς φυλῆς ἄκυρον ἐποίει τὴν τούτων τάξιν, κελεύειν δὲ τὸν ταξίαρχον ἐξαλείφειν αὐτὸν ἐκ τοῦ τῶν ὁπλιτῶν καταλόγου. (6) Νῦν δὲ τούτων οὐδὲν ἐποίησαν, ἀλλ' ἐν μὲν τῷ στρατοπέδῳ περιεώρων αὐ-

ubi suis rebus pessime consuluerint, de vestris concionantur.

46. Ego igitur quam potui optime accusavi. Non ignoro hos quidem auditores mirari quo pacto potuerim istorum flagitia tam accurate investigare; istum autem mihi irridere quod neque multesimam ipsorum nequitiæ partem persecutus fuerim. (47) Vos itaque et ea quæ dixi et ea quæ prætermisi cogitantes, reum exinde multo magis condemnate; rati scilicet istum crimine teneri, ac bene agi cum republica si ab istiusmodi civibus liberetur. Judicibus recita leges, jusjurandum, et libellum accusatorium: quorum memores justa et æqua decernent.

LEGES. JUSJURANDUM.

LIBELLUS ACCUSATORIUS.

XV.

CONTRA ALCIBIADEM, OB DESERTAM MILITIAM.

Equidem, judices, et vos oro ut quæ justa sint decernatis, et strategos rogo, ut, quum in ceteris officii partibus utilem reipublicæ operam præstiterint, ubi agitur de deserta militia, se quum actori tum reo æquales præbeant, neque quibus libeat opitulantes, omni studio id enitantur ut vos contra jus statuatis. (2) Quod vos ne faciatis velim, reputantes quod indigne ferretis si thesmothetæ, dum de vobis inquisitio habetur, prodeuntes vos orarent ut condemnaretis; id iniquum esse rati, ut qui actionem instituunt et dividunt calculos, hortentur judices ut hunc condemnent, illum absolvant. (3) Quænam autem turpior consuetudo, quodnam facinus indignum magis in republica posset accidere, quam si archon in pupillarum causis judices auderet obtestari ut ad ipsius voluntatem res procederent; quam si polemarchus et undecimviri, in actionibus quas ipsi inducunt, supplicent, uti nunc fieri video? (4) Oportet igitur ut et de vobis idem sentiatis, cogitantes quod neque vos decebit privatim desertæ militiæ reis patrocinari, neque hos ipsos qui calculos vobis dividunt, pro iis apud vos intercedere. (5) Considerate autem, judices, utrum hoc pro idoneo argumento sit habendum, unde constet neminem ducum, qui nunc pro Alcibiade contendunt, illo tempore quo in castris adhuc erant, in favorem ejus conciliatum fuisse. Vera enim ea si essent, quæ nunc illi jactant, oportebat eos Pamphilum in jus vocare quod, Alcibiadis equo adempto, rempublicam equite orbaret; oportebat phylarcho mulctam irrogasse, quod Alcibiadem ex ordine ejiciens, ipsorum dispositionem irritam faceret; oportebat taxiarcho mandasse ut e peditum numero nomen istius moveret. (6) Jam vero nihil horum fecerunt; at in

τὸν ὑπὸ πάντων προπηλακιζόμενον κἂν τοῖς ἱπποτοξόταις ἱππεύοντα, ἐπειδὴ δὲ ὑμᾶς δεῖ παρὰ τῶν ἀδικούντων δίκην λαμβάνειν, χαριζόμενοι μαρτυροῦσιν ὑφ' ἑαυτῶν αὐτὸν τετάχθαι. Καίτοι δεινόν, ὦ ἄνδρες δικασταί, αὐτοὺς μὲν τοὺς στρατηγοὺς ὑπὸ τοῦ δήμου χειροτονηθέντας μὴ ἂν τολμῆσαι πρότερον ἡμῶν ἡγήσασθαι, ἕως ἂν ἐδοκιμάσθησαν κατὰ τοὺς νόμους, Ἀλκιβιάδην δὲ τολμᾶν παρὰ τοὺς τῆς πόλεως νόμους ὑπ' αὐτῶν ταχθῆναι. (7) Δεινὸν δέ μοι δοκεῖ εἶναι, ὦ
145 ἄνδρες δικασταί, εἰ τῶν μὲν δεδοκιμασμένων ἱππέων οὐκ ἐπὶ τούτοις ἐστὶν ὅντινα βούλονται αὐτοὶ εἰς τοὺς ὁπλίτας καταλέξαι, τῶν δὲ ὁπλιτῶν ἀδοκιμάστων ὄντων ἐπὶ τούτοις ἔσται ὅντιν' ἂν βούλωνται ἱππεύειν. (8) Εἰ μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ὄντες κύριοι πολλῶν βουλομένων μηδένα τῶν ἄλλων ἱππεύειν εἴασαν, οὐκ ἂν δικαίως χαρίζοισθε αὐτοῖς· εἰ δ' ἄκυροι ὄντες ὁμολογήσουσι τάξαι, ἐνθυμεῖσθαι χρὴ ὅτι ὀμωμόκατε τὰ δίκαια γνώσεσθαι, ἀλλ' οὐχ ὅ τι ἂν οὗτοι κελεύωσι ψηφιεῖσθαι, ὥστε οὐδένα χρὴ τῶν δεομένων περὶ πλείονος ὑμῶν αὐτῶν καὶ τῶν ὅρκων ποιεῖσθαι. (9) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, εἴ τῳ δοκεῖ μεγάλη ἡ ζημία εἶναι καὶ λίαν ἰσχυρὸς ὁ νόμος, μεμνῆσθαι χρὴ ὅτι οὐ νομοθετήσοντες περὶ αὐτῶν ἥκετε, ἀλλὰ κατὰ τοὺς κειμένους νόμους ψηφιούμενοι, οὐδὲ τοὺς ἀδικοῦντας ἐλεήσοντες, ἀλλὰ πολὺ μᾶλλον αὐτοῖς ὀργιούμενοι καὶ ὅλῃ τῇ πόλει βοηθήσοντες, εὖ εἰδότες ὅτι ὑπὲρ τῶν παρεληλυθότων ὀλίγους τιμωρησάμενοι πολλοὺς ποιήσετε κοσμιωτέρους ἐν τοῖς μέλλουσι κινδυνεύειν. (10) Χρὴ δέ, ὦ ἄνδρες δικασταί, ὥσπερ οὗτος ἀμελήσας τῆς πόλεως τὴν αὑτοῦ σωτηρίαν ἐσκέψατο, οὕτως ὑμᾶς ἀμελήσαντας τούτου τῇ πόλει τὰ βέλτιστα ψηφίσασθαι, ἄλλως τε καὶ ὅρκους ὀμωμοκότας καὶ περὶ Ἀλκιβιάδου μέλλοντας ψηφίσασθαι, ὃς ἂν ὑμᾶς ἐξαπατήσῃ, καταγελῶν τῆς πόλεως ἄπεισιν· οὐ γὰρ δὴ χάριν γε ὑμῖν ἀποδώσει τῇ ψήφῳ κρύβδην εὖ παθών, ὃς τῶν φίλων τοὺς φανερῶς αὐτὸν εὖ ποιήσαντας κακῶς ποιεῖ. (11) Ὑμεῖς οὖν, ὦ ἄνδρες δικασταί, τὰς τούτων δεήσεις περὶ ἐλάττονος ποιησάμενοι τὰ δίκαια ψηφίσασθε. Ἀποδέδεικται δὲ καταλεγεὶς εἰς τοὺς ὁπλίτας καὶ λιπὼν τὴν τάξιν καὶ τῶν νόμων κωλυόντων ἀδοκίμαστος ἱππεύσας, καὶ περὶ ὧν οἱ νόμοι διαρρήδην οὔτε στρατηγὸν οὔτε ἵππαρχον οὔτε ἄλλον οὐδένα κυριώτερον ἐκείνων ἀποδεικνύουσι, περὶ τούτων ἰδιώτης ὢν τὴν ἐξουσίαν αὑτῷ δεδωκώς. (12) Ἐγὼ μὲν οὖν καὶ φίλῳ ὄντι Ἀρχεστρατίδῃ βοηθῶν, καὶ Ἀλκιβιάδην ἐχθρὸν ὄντα ἐμαυτοῦ τιμωρούμενος, δέομαι τὰ δίκαια ψηφίσασθαι· ὑμᾶς δὲ χρὴ τὴν αὐτὴν γνώμην ἔχοντας τὴν ψῆφον φέρειν, ἥνπερ ὅτε ᾤεσθε πρὸς τοὺς πολεμίους διακινδυνεύειν.

castris eum siverunt ab omnibus contumeliose excipi, et inter equites sagittarios merere. Sed quum vos oportet pœnas reposcere a delinquentibus, ibi Alcibiadi gratificantes, testantur eum a se ipsis ordini ascriptum. Atqui intolerandum est, judices, quum ipsi strategi electi a populo non audeant vobis imperare, priusquam legibus approbentur, Alcibiadem audere contra civitatis leges ab his alicui ordini assignari. (7) Iniquum autem mihi videtur esse, judices, si, dum his non licet ex equitibus approbatis quemcumque voluerint in peditum ordinem ascribere, iisdem licebit ex peditibus, qui non approbantur, quemcumque voluerint ad equitatum transferre. (8) Si igitur, judices, ea res penes eos esset, et, multis cupientibus, neminem alium equitatui ascripsissent, non jure hoc illis concederetis: quodsi neque ea auctoritate sint muniti, et nihilominus fateantur adscripsisse, cogitare oportet quod juravistis vos justa, non quæcumque illi jusserint, pronunciaturos. Neminem itaque deprecantium oportet pluris facere quam vos ipsos et jusjurandum vestrum. (9) At enim, judices, si cui videatur gravior pœna aut lex severior, id meminisse oportet, vos huc venire non leges de his rebus laturos, sed juxta latas judicaturos, neque ut delinquentes misericordia prosequamini, sed potius ut eis succenseatis, atque universæ civitati succurratis; persuasi nimirum quod, si paucos vindicetis ob præterita, plures qui belli periculum erunt experturi, emendatiores habebitis. (10) Oportet autem, judices, quemadmodum iste, posthabita republica, suæ saluti prospexit, ita et vos quoque, posthabita istius ratione, quæ reipublicæ maxime ex usu erunt statuere; præsertim et jurejurando obstrictos, et pronunciaturos de Alcibiade, qui, si vos deceperit, civitatem suam abibit irridens. Neque enim vobis gratiam referet, quorum judicio clam servabitur, qui amicos palam de ipso bene meritos injuriis afficit. (11) Vos itaque, judices, istorum obtestationibus despectis, justa decernite. Demonstratur istum recensitum fuisse inter pedites, deseruisse ordinem, contra leges equitatui se adjunxisse non approbatum; et in quibus leges diserte neque peditum duci, neque præfecto equitum, neque alii cuiquam potestatem sibi superiorem concesserunt, in iis privatum sibimetipsi auctoritatem arrogasse. (12) Ego igitur et Archestratidi amico suppetias ferens, et meas cum Alcibiade inimicitias persecutus, oro ut quæ justa sint decernatis, vos autem oportet eadem animi constantia sententiam ferre, qua usi estis adversus hostes dimicaturi.

XVI.

ΕΝ ΒΟΥΛΗ͂Ι

ΜΑΝΤΙΘΕΩ͂Ι ΔΟΚΙΜΑΖΟΜΕΝΩ͂Ι ΑΠΟΛΟΓΙΑ.

Εἰ μὴ συνῄδειν, ὦ βουλή, τοῖς κατηγόροις βουλομένοις ἐκ παντὸς τρόπου κακῶς ἐμὲ ποιεῖν, πολλὴν ἂν αὐτοῖς χάριν εἶχον ταύτης τῆς κατηγορίας· ἡγοῦμαι γὰρ τοῖς ἀδίκως διαβεβλημένοις τούτους εἶναι μεγίστων ἀγαθῶν αἰτίους, οἵτινες ἂν αὐτοὺς ἀναγκάζωσιν εἰς ἔλεγχον τῶν αὐτοῖς βεβιωμένων καταστῆναι. (2) Ἐγὼ γὰρ οὕτω σφόδρα ἐμαυτῷ πιστεύω, ὥστ' ἐλπίζω καὶ εἴ τις πρός με τυγχάνει ἀηδῶς ἢ κακῶς διακείμενος, ἐπειδὰν ἐμοῦ λέγοντος ἀκούσῃ περὶ τῶν πεπραγμένων, μεταμελήσειν αὐτῷ καὶ πολὺ βελτίω με εἰς τὸν λοιπὸν χρόνον ἡγήσεσθαι. (3) Ἀξιῶ δέ, ὦ βουλή, ἐὰν μὲν τοῦτο μόνον ὑμῖν ἐπιδείξω, ὡς εὔνους εἰμὶ τοῖς καθεστηκόσι πράγμασι καὶ ὡς ἠνάγκασμαι τῶν αὐτῶν κινδύνων μετέχειν ὑμῖν, μηδέν πώ μοι πλέον εἶναι· ἐὰν δὲ φαίνωμαι περὶ τὰ ἄλλα μετρίως βεβιωκὼς καὶ πολὺ παρὰ τὴν δόξαν καὶ παρὰ τοὺς λόγους τοὺς τῶν ἐχθρῶν, δέομαι ὑμῶν ἐμὲ μὲν δοκιμάζειν, τούτους δὲ ἡγεῖσθαι χείρους εἶναι. Πρῶτον δὲ ἀποδείξω ὡς οὐχ ἵππευον οὐδ' ἐπεδήμουν ἐπὶ τῶν τριάκοντα, οὐδὲ μετέσχον τῆς τότε πολιτείας.

4. Ἡμᾶς γὰρ ὁ πατὴρ πρὸ τῆς ἐν Ἑλλησπόντῳ συμφορᾶς ὡς Σάτυρον τὸν ἐν τῷ Πόντῳ διαιτησομένους ἐξέπεμψε, καὶ οὔτε τῶν τειχῶν καθαιρουμένων οὔτε μεθισταμένης τῆς πολιτείας, ἀλλ' ἤλθομεν πρὶν τοὺς ἀπὸ Φυλῆς εἰς τὸν Πειραιᾶ κατελθεῖν πρότερον πένθ' ἡμέραις. (5) Καίτοι οὔτε ἡμᾶς εἰκὸς ἦν εἰς τοιοῦτον καιρὸν ἀφιγμένους ἐπιθυμεῖν μετέχειν τῶν ἀλλοτρίων κινδύνων, οὔτ' ἐκεῖνοι φαίνονται τοιαύτην γνώμην ἔχοντες ὥστε καὶ τοῖς ἀποδημοῦσι καὶ τοῖς μηδὲν ἐξαμαρτάνουσι μεταδιδόναι τῆς πολιτείας, ἀλλὰ μᾶλλον ἠτίμαζον καὶ τοὺς συγκαταλύσαντας τὸν δῆμον. (6) Ἔπειτα δὲ ἐκ μὲν τοῦ σανιδίου τοὺς ἱππεύσαντας σκοπεῖν εὔηθές ἐστιν· ἐν τούτῳ γὰρ πολλοὶ μὲν τῶν ὁμολογούντων ἱππεύειν οὐκ ἔνεισιν, ἔνιοι δὲ τῶν ἀποδημούντων ἐπιγεγραμμένοι εἰσίν. Ἐκεῖνος δ' ἐστὶν ἔλεγχος μέγιστος· ἐπειδὴ γὰρ κατήλθετε, ἐψηφίσασθε τοὺς φυλάρχους ἀπενεγκεῖν τοὺς ἱππεύσαντας, ἵνα τὰς καταστάσεις ἀναπράττητε παρ' αὐτῶν. (7) Ἐμὲ τοίνυν οὐδεὶς ἂν ἀποδείξειεν οὔτ' ἀπενεχθέντα ὑπὸ τῶν φυλάρχων οὔτε παραδοθέντα τοῖς συνδίκοις οὔτε κατάστασιν παραλαβόντα. Καίτοι πᾶσι ῥᾴδιον τοῦτο γνῶναι, διότι ἀναγκαῖον ἦν τοῖς φυλάρχοις, εἰ μὴ ἀποδείξαιεν τοὺς ἔχοντας τὰς καταστάσεις, αὐτοῖς ζημιοῦσθαι. Ὥστε πολὺ ἂν δικαιότερον ἐκείνοις τοῖς γράμμασιν ἢ τούτοις πιστεύοιτε· ἐκ μὲν γὰρ τούτων ῥᾴδιον ἦν ἐξαλειφθῆναι τῷ βουλομένῳ, ἐν ἐκείνοις δὲ τοὺς ἱππεύσαντας ἀναγκαῖον ἦν ὑπὸ τῶν φυλάρχων ἀπενεχθῆναι. (8) Ἔτι δέ, ὦ βουλή, εἴπερ ἵππευσα, οὐκ ἂν ἦν ἔξαρνος ὡς δεινόν τι πεποιηκώς, ἀλλ' ἠξίουν, ἀποδείξας ὡς οὐδεὶς ὑπ' ἐμοῦ τῶν πολιτῶν κακῶς πέπονθε, δοκιμάζεσθαι.

XVI.

CORAM SENATU

PRO MANTITHEO EXAMEN SUBEUNTE.

Nisi nossem, senatores, accusatores meos id omni ratione moliri ut mihi noceant, multum utique ipsis gratiæ haberem quod me accusent. Arbitror enim de iis qui falsis criminationibus impetuntur eos mereri maxime qui ipsos ad anteactæ vitæ rationem reddendam coegerint. (2) Ego enim mihi tam vehementer confido, ut sperem, si quis in me minus benevolo aut inimiciori usus sit animo, fore ut, ubi me de vita præterita perorantem audiverit, animum mutet et æquiora de me in posterum statuat. (3) Postulo autem, senatores, si hoc solum vobis confirmavero, me præsenti rerum statui bene studere, et coactum fuisse eadem discrimina vobiscum experiri, ut nihil quicquam inde emolumenti reportem : sed si comparuero et in ceteris rebus moderate me gessisse, longeque præter inimicorum opinionem et sermones, obtestor ut et me approbetis et istos pejores esse judicetis. Primum autem ostendam me neque equo meruisse, neque omnino domi fuisse sub trigintaviris, neque adeo ullam partem illius administrationis habuisse.

4. Nos enim pater ante cladem in Hellesponto acceptam ad Satyrum in Ponto commoraturos misit; et neque quum muri diruerentur, neque quum reipublicæ status novaretur, adfuimus, sed reversi sumus quinque diebus antequam Phylenses in Piræeum descenderent. (5) Atqui neque verisimile est nos in tali tempore reversos alienis periculis nos admiscere voluisse, neque illi erant ita animati ut cum peregre profectis et nulla sceleris communione adjunctis, reipublicæ administrationem communicare vellent : verum cum ejusmodi viris contumeliosius agebant quam honorifice cum iis qui una evertebant statum popularem. (6) Deinde ex tabulis qui equites fuerint cognoscere velle absurdum est; in quibus multi non inscribuntur qui fatentur se equo meruisse, nonnulli etiam inscribuntur eorum qui peregre erant. Illud autem est longe certissimum argumentum : domum enim reversi decrevistis ut phylarchi nomina eorum qui equitaverant deferrent, quo possetis ab eis stipendia data exigere. (7) Me igitur nemo demonstraverit aut delatum a phylarchis aut syndicis traditum, aut stipendium accepisse. At enim hoc omnibus erat in promptu scire, propterea quod necesse fuit phylarchos ipsos mulctari ni eos detulissent qui stipendium acceperant. Adeo ut his tabulis multo justius fides adhibenda foret quam illis : ex illis quippe cuique qui id expetivit deleri facile erat, dum in his necesse fuit equites a phylarchis deferri. (8) Tum autem, senatores, si eques fuissem, non irem infitias quasi aliquid grave admisissem; verum postularem ut approbarer, ubi demonstrassem neminem civium a me injuriam tulisse. Qua

Ὁρῶ δὲ καὶ ὑμᾶς ταύτῃ τῇ γνώμῃ χρωμένους, καὶ πολλοὺς μὲν τῶν τότε ἱππευσάντων βουλεύοντας, πολλοὺς δ' αὐτῶν στρατηγοὺς καὶ ἱππάρχους κεχειροτονημένους· ὥστε μηδὲν δι' ἄλλο με ἡγεῖσθε ταύτην ποιεῖσθαι τὴν ἀπολογίαν, ἢ ὅτι περιφανῶς ἐτόλμησάν μου καταψεύσασθαι. Ἀνάβηθι δέ μοι καὶ μαρτύρησον.

ΜΑΡΤΥΡΙΑ.

9. Περὶ μὲν τοίνυν ταύτης τῆς αἰτίας οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· δοκεῖ δέ μοι, ὦ βουλή, ἐν μὲν τοῖς ἄλλοις ἀγῶσι περὶ αὐτῶν μόνων τῶν κατηγορημένων προσήκειν ἀπολογεῖσθαι, ἐν δὲ ταῖς δοκιμασίαις δίκαιον εἶναι παντὸς τοῦ βίου λόγον διδόναι. Δέομαι οὖν ὑμῶν μετ' εὐνοίας ἀκροάσασθαί μου. Ποιήσομαι δὲ τὴν ἀπολογίαν ὡς ἂν δύνωμαι διὰ βραχυτάτων.

10. Ἐγὼ γὰρ πρῶτον μὲν οὐσίας μοι οὐ πολλῆς καταλειφθείσης διὰ τὰς συμφορὰς καὶ τὰς τοῦ πατρὸς καὶ τὰς τῆς πόλεως, δύο μὲν ἀδελφὰς ἐξέδωκα, ἐπιδοὺς τριάκοντα μνᾶς ἑκατέρᾳ, πρὸς τὸν ἀδελφὸν δ' οὕτως ἐνειμάμην ὥστ' ἐκεῖνον πλέον ὁμολογεῖν ἔχειν ἐμοῦ τῶν πατρῴων, καὶ πρὸς τοὺς ἄλλους ἅπαντας οὕτω βεβίωκα ὥστε μηδεπώποτέ μοι μηδὲ πρὸς ἕνα μηδὲν ἔγκλημα γενέσθαι. (11) Καὶ τὰ μὲν ἴδια οὕτω διῴκησα· περὶ δὲ τῶν κοινῶν μοι μέγιστον ἡγοῦμαι τεκμήριον εἶναι τῆς ἐμῆς ἐπιεικείας, ὅτι τῶν νεωτέρων ὅσοι περὶ κύβους ἢ πότους ἢ περὶ τὰς τοιαύτας ἀκολασίας τυγχάνουσι τὰς διατριβὰς ποιούμενοι, πάντας αὐτοὺς ὄψεσθέ μοι διαφόρους ὄντας, καὶ πλεῖστα τούτους περὶ ἐμοῦ λογοποιοῦντας καὶ ψευδομένους. Καίτοι δῆλον ὅτι, εἰ τῶν αὐτῶν ἐπεθυμοῦμεν, οὐκ ἂν τοιαύτην γνώμην εἶχον περὶ ἐμοῦ. (12) Ἔτι δ', ὦ βουλή, οὐδεὶς ἂν ἀποδεῖξαι περὶ ἐμοῦ δύναιτο οὔτε δίκην αἰσχρὰν οὔτε γραφὴν οὔτε εἰσαγγελίαν γεγενημένην· καίτοι ἑτέρους ὁρᾶτε πολλάκις εἰς τοιούτους ἀγῶνας καθεστηκότας. Πρὸς τοίνυν τὰς στρατείας καὶ τοὺς κινδύνους τοὺς πρὸς τοὺς πολεμίους σκέψασθε οἷον ἐμαυτὸν παρέχω τῇ πόλει. (13) Πρῶτον μὲν γάρ, ὅτε τὴν συμμαχίαν ἐποιήσασθε πρὸς τοὺς Βοιωτοὺς καὶ εἰς Ἁλίαρτον ἔδει βοηθεῖν, ὑπὸ Ὀρθοβούλου κατειλεγμένος ἱππεύειν, ἐπειδὴ πάντας ἑώρων τοῖς μὲν ἱππεύουσιν ἀσφάλειαν εἶναι δεῖν νομίζοντας, τοῖς δ' ὁπλίταις κίνδυνον ἡγουμένους, ἑτέρων
147 ἀναβάντων ἐπὶ τοὺς ἵππους ἀδοκιμάστων παρὰ τὸν νόμον, ἐγὼ προσελθὼν ἔφην τῷ Ὀρθοβούλῳ ἐξαλεῖψαί με ἐκ τοῦ καταλόγου, ἡγούμενος αἰσχρὸν εἶναι τοῦ πλήθους μέλλοντος κινδυνεύειν ἄδειαν ἐμαυτῷ παρασκευάσαντι στρατεύεσθαι. Καί μοι ἀνάβηθι, Ὀρθόβουλε.

ΜΑΡΤΥΡΙΑ.

14. Συλλεγέντων τοίνυν τῶν δημοτῶν πρὸ τῆς ἐξόδου, εἰδὼς αὐτῶν ἐνίους πολίτας μὲν χρηστοὺς ὄντας καὶ προθύμους, ἐφοδίων δὲ ἀπορούντας, εἶπον ὅτι χρὴ τοὺς ἔχοντας παρέχειν τὰ ἐπιτήδεια τοῖς ἀπόρως διακειμένοις. Καὶ οὐ μόνον τοῦτο συνεβούλευον τοῖς ἄλλοις, ἀλλὰ καὶ αὐτὸς ἔδωκα δυοῖν ἀνδροῖν τριάκοντα

in sententia vos quoque esse intelligo, quum videam multos ex iis qui tunc temporis equites erant, hodie in senatorum esse numero, multos peditum et equitum duces creari. Quapropter vos arbitrari velim me nullam aliam ob causam uti hoc genere defensionis, quam ut ostendam istos palàm adversus me mentiri. Ascende mihi tu et testare.

TESTIMONIUM.

9. De hac igitur criminatione non video quod amplius mihi dicendum sit. Mihi autem videtur, senatores, in ceteris quidem causis ad ea quæ criminantur adversarii solummodo esse respondendum; at in approbationibus, universæ vitæ rationem exponendam esse. Vos igitur obtestor ut me benevole audiatis, dum meam defensionem quam brevissime expediam.

10. Ego enim primum, quamvis exiguæ admodum opes essent relictæ quum propter domesticas, tum etiam propter reipublicæ calamitates, duas tamen sorores elocavi, utrique triginta minis in dotem datis : rem vero cum fratre ita partitus sum, ut ille ex bonis paternis plura abstulisse se fateatur : erga ceteros omnes ita me gessi, ut nunquam in judicio cum ullo homine contenderim. (11) Atque in rebus quidem domesticis talem me exhibui; in reliquis autem id meæ moderationis maximum argumentum esse judico, quod quicumque juvenes aut aleæ, aut comissationibus, aut libidinibus ejusmodi dediti sunt, hos omnes mihi infensos esse sentietis, plurimaque de me effutire et mentiri. At manifestum est quod, si ego et illi iisdem cupiditatibus teneremur, longe aliter in me essent animati. (12) Ad hæc, senatores, nemo commonstrare possit mihi unquam scriptam fuisse litem turpem, sive privatam, sive publicam; cujusmodi tamen in negotia plerosque alios videtis sæpius incidisse. Quod vero ad militiam attinet et pericula bellica, spectate cujusmodi civem me præstiterim. (13) Primum enim, ubi, inita cum Bœotis societate, Haliarto erat auxiliandum, ab Orthobulo ascriptus eques, postquam animadverti omnes existimare equites extra periculum esse constituendos, idque omne peditatui impendere, ibi, quum alii præter legem sine approbatione in equitatum transilierint, ego accedens Orthobulum ab ipso petii ut me ex equitum delectu deleret; turpe mihi fore ratus me, dum plebs periclitaretur, militare extra periculum. Et ascende mihi, Orthobule.

TESTIMONIUM.

14. Congregatis igitur *demotis* meis ante expeditionem, ubi intellexi nonnullos esse bonos quidem cives et ad bellum alacres, sed indigere commeatu, dixi oportere ut qui re essent lautiori, aliquid inopibus suppeditarent. Neque ad id ceteros solummodo hortabar, verum et ipse binis mili-

δραχμὰς ἑκατέρῳ, οὐχ ὡς πολλὰ κεκτημένος, ἀλλ' ἵνα παράδειγμα τοῦτο τοῖς ἄλλοις γένηται. Καί μοι ἀνάβητε, [μάρτυρες].

ΜΑΡΤΥΡΕΣ.

15. Μετὰ ταῦτα τοίνυν, ὦ βουλή, εἰς Κόρινθον ἐξόδου γενομένης καὶ πάντων προειδότων ὅτι δεήσει κινδυνεύειν, ἑτέρων ἀναδυομένων, ἐγὼ διεπραξάμην ὥστε τῆς πρώτης τεταγμένος μάχεσθαι τοῖς πολεμίοις· καὶ μάλιστα τῆς ἡμετέρας φυλῆς δυστυχησάσης, καὶ πλείστων ἐνθανόντων, ὕστερον ἀνεχώρησα τοῦ σεμνοῦ Στειριέως τοῦ πᾶσιν ἀνθρώποις δειλίαν ὠνειδικότος. (16) Καὶ οὐ πολλαῖς ἡμέραις ὕστερον μετὰ ταῦτα ἐν Κορίνθῳ χωρίων ἰσχυρῶν κατειλημμένων, ὥστε τοὺς πολεμίους μὴ δύνασθαι προσιέναι, Ἀγησιλάου δ' εἰς τὴν Βοιωτίαν ἐμβαλόντος, ψηφισαμένων τῶν ἀρχόντων ἀποχωρίσαι τάξεις αἵτινες βοηθήσουσι, φοβουμένων ἁπάντων (εἰκότως, ὦ βουλή· δεινὸν γὰρ ἦν ἀγαπητῶς ὀλίγῳ πρότερον σεσωσμένους ἐφ' ἕτερον κίνδυνον ἰέναι), προσελθὼν ἐγὼ τὸν ταξίαρχον ἐκέλευον ἀκληρωτὶ τὴν ἡμετέραν τάξιν πέμπειν. (17) Ὥστ' εἴ τινες ὑμῶν ὀργίζονται τοῖς τὰ μὲν τῆς πόλεως ἀξιοῦσι πράττειν, ἐκ δὲ τῶν κινδύνων ἀποδιδράσκουσιν, οὐκ ἂν δικαίως περὶ ἐμοῦ τὴν γνώμην ταύτην ἔχοιεν· οὐ γὰρ μόνον τὰ προστattόμενα ἐποίουν προθύμως, ἀλλὰ καὶ κινδυνεύειν ἐτόλμων. Καὶ ταῦτ' ἐποίουν οὐχ ὡς οὐ δεινὸν ἡγούμενος εἶναι Λακεδαιμονίοις μάχεσθαι, ἀλλ' ἵνα, εἴ ποτε ἀδίκως εἰς κίνδυνον καθισταίμην, διὰ ταῦτα βελτίων ὑφ' ὑμῶν νομιζόμενος ἁπάντων τῶν δικαίων τυγχάνοιμι. Καί μοι ἀνάβητε τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ

18. Τῶν τοίνυν ἄλλων στρατειῶν καὶ φρουρῶν οὐδεμιᾶς ἀπελείφθην πώποτε, ἀλλὰ πάντα τὸν χρόνον διατετέλεκα μετὰ τῶν πρώτων μὲν τὰς ἐξόδους ποιούμενος, μετὰ τῶν τελευταίων δὲ ἀναχωρῶν. Καίτοι χρὴ τοὺς φιλοτίμως καὶ κοσμίως πολιτευομένους ἐκ τῶν τοιούτων σκοπεῖν, ἀλλ' οὐκ εἴ τις τολμᾷ, διὰ τοῦτο μισεῖν· τὰ μὲν γὰρ τοιαῦτα ἐπιτηδεύματα οὔτε τοὺς ἰδιώτας οὔτε τὸ κοινὸν τῆς πόλεως βλάπτει, ἐκ δὲ τῶν κινδυνεύειν ἐθελόντων πρὸς τοὺς πολεμίους ἅπαντες ὑμεῖς ὠφελεῖσθε. (19) Ὥστε οὐκ ἄξιον ἀπ' ὄψεως, ὦ βουλή, οὔτε φιλεῖν οὔτε μισεῖν οὐδένα, ἀλλ' ἐκ τῶν ἔργων σκοπεῖν· πολλοὶ μὲν γὰρ μικρὸν διαλεγόμενοι καὶ κοσμίως ἀμπεχόμενοι μεγάλων κακῶν αἴτιοι γεγόνασιν, ἕτεροι δὲ τῶν τοιούτων ἀμελοῦντες πολλὰ κἀγαθὰ ὑμᾶς εἰσιν εἰργασμένοι.

20. Ἤδη δέ τινων ᾐσθόμην, ὦ βουλή, καὶ διὰ ταῦτα ἀχθομένων μοι, ὅτι νεώτερος ὢν ἐπεχείρησα λέγειν ἐν τῷ δήμῳ. Ἐγὼ δὲ τὸ μὲν πρῶτον ἠναγκάσθην ὑπὲρ τῶν ἐμαυτοῦ πραγμάτων δημηγορῆσαι, ἔπειτα μέντοι καὶ ἐμαυτῷ δοκῶ φιλοτιμότερον διατεθῆναι τοῦ δέοντος, ἅμα μὲν τῶν προγόνων ἐνθυμούμενος, ὅτι οὐδὲν πέπαυνται τὰ τῆς πόλεως πράττοντες, (21) ἅμα δὲ ὑμᾶς ὁρῶν (τὰ γὰρ ἀληθῆ χρὴ λέγειν) τούτους μόνους ἀξίους νομίζοντας εἶναι, ὥστε ὁρῶν ὑμᾶς ταύτην τὴν γνώμην

tibus triginta drachmas viritim donavi; non sane quod dives eram, sed ut ea res ceteris esset exemplo. Et mihi horum testes ascendite.

TESTES.

15. Post hæc, senatores, suscepta in Corinthum expeditione, quum omnes præscirent non mediocre periculum esse futurum, ceteris declinantibus, ego effeci ut in primo ordine cum hoste contenderem. Quum autem nostra tribus gravissime laboraret, plurimique cecidissent, retrocessi tardius, inclyto illo Stiriensi ignaviam omnibus exprobrante. (16) Paucis diebus post, Corinthi locis munitioribus occupatis, quum Agesilaus invaderet Bœotiam, et duces nostri decernerent ut cohortium delectus fieret quæ opem essent laturæ, ibi metu omnibus perculsis (nec injuria, senatores; gravissimum enim erat modo ex summo periculo ægre ereptis statim aliud inire), ego ad taxiarchum accedens jussi ut cohortem nostram sine sorte educeret. (17) Quapropter si qui vestrûm eis succensuerint qui rempublicam quidem administrare suscipiant, sed subducant se a periculis, hujusmodi de me opinionem jure habere nequeunt. Neque enim solum quæ imperata erant lubens exsecutus sum, sed et periculo me ultro objeci, non quod rem levem ducerem cum Lacedæmoniis dimicare, sed ut si quando per injuriam in periculum aliquod judiciale inciderem, propter illa gesta a vobis in aliquo pretio habitus, justa omnia facile impetrarem. Et mihi horum testes ascendite.

TESTES.

18. Ceterarum autem expeditionum custodiarumque nullam unquam neglexi, sed per omnem ætatem continuo inter primos exivi, et cum extremis recessi. Eos igitur qui honori student et moderate vivunt, ex his indiciis spectare oportet; non autem si quis confidenter se gerit, idcirco odio prosequi. Hujusmodi enim studia et instituta neque privatos neque rempublicam lædunt; sed in eorum virtute qui pericula alacri animo subeunt, communis omnium vestrûm salus continetur. (19) Neminem itaque, senatores, ex conspectu solo aut amare aut odisse oportet, sed ex factis judicium facere. Multi enim et summisse loquentes et modeste incedentes, plurimorum malorum auctores fuere: alii qui talia posthabebant, summa in vos beneficia contulere.

20. Nonnullos autem animadverti, senatores, mihi ideo succensere, quod junior adhuc coram populo concionari sustinuerim. Ego vero primum coactus fui de meis rationibus verba facere; deinde et mihi nimio honoris studio commotus videor, quum majorum meorum res gestas recolens qui civitatis negotia gerere nunquam destiterunt, (21) tum et vos intelligens (verum enim dicendum est) hos solos in existimatione et pretio habere. Perspecto igitur hoc animorum vestrorum habitu, quis non studiose pro repu-

ἔχοντας τίς οὐκ ἂν ἐπαρθείη πράττειν καὶ λέγειν ὑπὲρ τῆς πόλεως; ἔτι δὲ τί ἂν τοῖς τοιούτοις ἄχθοισθε; οὐ γὰρ ἕτεροι περὶ αὐτῶν κριταί εἰσιν, ἀλλ' ὑμεῖς.

XVII.

148 ## ΠΕΡΙ ΔΗΜΟΣΙΩΝ ΧΡΗΜΑΤΩΝ.

Ἴσως τινὲς ὑμῶν, ὦ ἄνδρες δικασταί, διὰ τὸ βούλεσθαί με ἄξιον εἶναί τινος ἡγοῦνται καὶ εἰπεῖν ἂν μᾶλλον ἑτέρου δύνασθαι· ἐγὼ δὲ τοσούτου δέω περὶ τῶν μὴ προσηκόντων ἱκανὸς εἶναι λέγειν, ὥστε δέδοικα μὴ καὶ περὶ ὧν ἀναγκαῖόν μοί ἐστι λέγειν, ἀδύνατος ὦ τὰ δέοντα εἰπεῖν. Οἴομαι μὲν οὖν, ἂν πάντα διηγήσωμαι τὰ πεπραγμένα ἡμῖν πρὸς Ἐράτωνα καὶ τοὺς ἐκείνου παῖδας, ῥᾳδίως ἐξ αὐτῶν ὑμᾶς εὑρήσειν ἃ προσήκει σκέψασθαι περὶ ταύτης τῆς διαδικασίας. Ἐξ ἀρχῆς οὖν ἀκούσατε.

2. Ἐράτων ὁ Ἐρασιφῶντος πατὴρ ἐδανείσατο παρὰ τοῦ ἐμοῦ πάππου τάλαντα δύο. Ὅτι μὲν οὖν ἔλαβε τἀργύριον καὶ ὡς τοσοῦτόν γε ἐδεήθη δανεῖσαι, ὧν ἐναντίον ἐδόθη, μάρτυρας ὑμῖν παρέξομαι· ἃ δ' ἐχρήσατο αὐτῷ καὶ ὅσα ὠφελήθη, οἱ μᾶλλόν τε ἐμοῦ εἰδότες καὶ παραγεγενημένοι οἷς ἐκεῖνος ἔπραττε διηγήσονται ὑμῖν καὶ μαρτυρήσουσι. Καί μοι κάλει μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

3. Ἕως τοίνυν ὁ Ἐράτων ἔζη, τούς τε τόκους ἀπελάμβανον ἐγὼ καὶ τἆλλα τὰ συγκείμενα· ἐπειδὴ δὲ ἐτελεύτησε καταλιπὼν υἱοὺς τρεῖς, Ἐρασιφῶντα καὶ Ἐράτωνα καὶ Ἐρασίστρατον, οὗτοι οὐδὲν ἔτι ἡμῖν τῶν δικαίων ἐποίουν. Ἐν μὲν οὖν τῷ πολέμῳ, διότι οὐκ ἦσαν δίκαι, οὐ δυνατοὶ ἦμεν παρ' αὐτῶν ἃ ὤφειλον πράξασθαι· ἐπειδὴ δὲ εἰρήνη ἐγένετο, ὅτε περ πρῶτον αἱ ἀστικαὶ δίκαι ἐδικάζοντο, λαχὼν ὁ πατὴρ παντὸς τοῦ συμβολαίου Ἐρασιστράτῳ, ὅσπερ μόνος τῶν ἀδελφῶν ἐπεδήμει, κατεδικάσατο ἐπὶ Ξεναινέτου ἄρχοντος. Μάρτυρας δὲ καὶ τούτων παρέξομαι ὑμῖν. Καί μοι κάλει μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

4. Ὅτι μὲν τὰ Ἐράτωνος δικαίως ἂν ἡμέτερα εἴη, ἐκ τούτων ῥᾴδιον εἰδέναι, ὅτι δὲ πάντα δημεύεται, ἐξ αὐτῶν τῶν ἀπογραφῶν· τρεῖς γὰρ καὶ τέσσαρες ἕκαστα ἀπογεγράφασι. Καίτοι τοῦτό γε παντὶ εὔγνωστον, ὅτι οὐκ ἂν παραλιπόντες, εἴ τι ἄλλο τῶν Ἐράτωνος οἷόν τε ἦν δημεύειν, τὴν πάντα τὰ Ἐράτωνος ἀπέγραφον, καὶ λόγῳ πολὺν ἤδη χρόνον κέκτημαι. Ὡς μὲν οὖν ἡμῖν οὐδ' ἑτέρωθεν εἰσπράξασθαι οἷόν τε, ἂν ὑμεῖς ταῦτα δημεύσητε, εὔγνωστόν μοι δοκεῖ εἶναι· (5) ὡς δὲ τὴν ἀμφισβήτησιν ἐποιησάμην πρός τε ὑμᾶς καὶ τοὺς ἰδιώτας, ἔτι ἀκούσατε. Ἕως μὲν γὰρ ἡμῖν οἱ Ἐρασιφῶντος οἰκεῖοι τούτων τῶν χρημάτων ἠμφισβήτουν, ἅπαντα ἠξίουν ἐμὰ εἶναι, διότι ὑπὲρ ἅπαντος τοῦ χρέους ἀν-

blica tum diceret tum ageret? Præterea, quid hæc vos moleste ferretis? de his enim talibus non alii, sed vos soli estis judices.

XVII.

DE PECUNIIS PUBLICIS.

Nonnulli fortasse vestrûm, judices, quia in aliquo loco haberi velim, existimare possunt me ceteris etiam eloquentia præstare : tantum vero abest ut de rebus quæ nihil ad me pertineant copiose eloqui possim, ut etiam verear ne ea de quibus mihi necessario dicendum est, satis commode expromere queam. Arbitror igitur, si omnia enarravero quæ nobis cum Eratone ejusque filiis intercessere, vos ex iis facile esse perspecturos quid in hac disceptatione considerandum sit. Quapropter ab initio rem omnem audite.

2. Erato Erasiphontis pater ab avo nostro duo talenta mutuo sumpsit. Eum igitur pecuniam accepisse, et ab illo petiisse ut hanc sibi summam crederet, iis testibus docebo quorum in conspectu pecunia numerabatur : ad quem vero usum eam adhibuerit, et quantum exinde fructum perceperit, ii qui rem melius norunt quam ego, et qui illius negotiis interfuere, vobis declarabunt et testificabuntur. Et mihi testes voca.

TESTES.

3. Dum Erato vixit, et usuram et reliqua quæ inter nos pacta erant ego accepi. Illo autem mortuo relictis tribus filiis, Erasiphonte, Eratone, et Erasistrato, ii nihil æqui et justi nobis tribuerunt. Bello igitur durante, propterea quod jus tunc temporis silebat, debita obtinere non potuimus : facta vero pace, simul atque jus civile administrari cœptum est, vocatum ad judices ob debitum universum Erasistratum, qui solus fratrum in urbe erat, pater judicio vicit, Xenæneto archonte. Horum quoque testes vobis producam. Et mihi testes voca.

TESTES.

4. Eratonis igitur bona jure ad nos pertinere, facile ex his comparebit : ea autem omnia esse publicata, reperietis ex tabulis. Singula enim tres vel quattuor viri descripserunt. Atqui hoc omnibus patet quod nihil erant omissuri, si quid præterea Eratonis publicari potuit. Quum itaque omnia Eratonis bona descripserint, descripserunt et ea quæ ego per multum temporis possedi. Nobis igitur quod non liceat nostra aliunde repetere, si hæc publicaveritis, id mihi certum videtur et indubitatum : ob quam autem causam petitionem fecerimus et adversus vos et adversus privatos, id demum audite. (5) Nam dum Erasiphontis propinqui vobiscum disceptabant de his bonis, ea omnia nostra esse existimabam, quoniam de toto debito Erasistratus cum patre contendens causa cecidit. Et fundos quidem

τιδικῶν πρὸς τὸν πατέρα ὁ Ἐρασίστρατος ἡττήθη· καὶ τὰ μὲν Σφηττοῖ ἤδη τρία ἔτη μεμίσθωκα, τῶν δὲ Κικυννοῖ καὶ τῆς οἰκίας ἐδικαζόμην τοῖς ἔχουσι. Πέρυσι μὲν οὖν διέγραψάν μου τὰς δίκας, ἔμποροι φάσκοντες εἶναι· νυνὶ δὲ λαχόντος ἐν τῷ Γαμηλιῶνι μηνὶ οἱ ναυτοδίκαι οὐκ ἐξεδίκασαν. (6) Ἐπειδὴ δ' ὑμῖν τὰ Ἐρασιφῶντος δημεύειν ἔδοξε, ἀφεὶς τῇ πόλει τὼ δύο μέρη τὰ Ἐρασιστράτου ἀξιῶ μοι ψηφισθῆναι, διότι ταῦτά γε ἤδη καὶ πρότερον ἐγνώκατε ἡμέτερα εἶναι. Ὡρισάμην οὖν ἐμαυτῷ τὸ τρίτον μέρος τῆς ἐκείνων οὐσίας οὐ τὴν ἀκρίβειαν ἐπισκεψάμενος, ἀλλὰ πολλῷ πλέον ἢ τὼ δύω μέρη τῷ δημοσίῳ ὑπολιπών. (7) Ῥᾴδιον δὲ γνῶναι ἐκ τοῦ τιμήματος τοῦ ἐπιγεγραμμένου τοῖς χρήμασιν. Ἅπαντα μὲν γὰρ πλείονος ἢ ταλάντου τετίμηνται, ὧν δ' ἐγὼ ἀμφισβητῶ τῷ μὲν πέντε μνᾶς, τῷ δὲ χιλίας δραχμὰς ἐπεγραψάμην· καὶ εἰ πλείονος ἄξιά ἐστιν ἢ τοσούτου, ἀποκηρυχθέντων τὸ περιττὸν ἡ πόλις λήψεται. (8) Ἵνα οὖν εἰδῆτε ὅτι ταῦτα ἀληθῆ ἐστι, μάρτυρας ὑμῖν παρέξομαι πρῶτον μὲν τοὺς μεμισθωμένους παρ' ἐμοῦ τὸ Σφηττοῖ
149 χωρίον, ἔπειτα τοῦ Κικυννοῖ τοὺς γείτονας, οἳ ἴσασιν ἡμᾶς ἤδη τρία ἔτη ἀμφισβητοῦντας, ἔτι δὲ τούς τε πέρυσιν ἄρξαντας, πρὸς οὓς αἱ δίκαι ἐλήχθησαν, καὶ τοὺς νῦν ναυτοδίκας. (9) Ἀναγνωσθήσονται δὲ ὑμῖν καὶ αὗται αἱ ἀπογραφαί· ἐκ τούτων γὰρ μάλιστα γνώσεσθε ὅτι οὔτε νεωστὶ ταῦτα τὰ χρήματα ἀξιοῦμεν ἡμέτερα εἶναι, οὔτε νυνὶ τῷ δημοσίῳ πλειόνων ἀμφισβητοῦμεν ἢ τῷ ἔμπροσθεν χρόνῳ τοῖς ἰδιώταις. Καί μοι κάλει μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

10. Ὅτι μὲν οὖν, ὦ ἄνδρες δικασταί, οὐ παρὰ τὸ δίκαιον ἀξιῶ μοι ψηφίσασθαι τὸ διαδίκασμα, ἀλλ' αὐτὸς τῇ πόλει πολλὰ τῶν ἐμαυτοῦ ἀφιεὶς τοῦτο ἀξιῶ μοι ἀποδοθῆναι, ἀποδέδεικται. Ἤδη δέ μοι δοκεῖ δίκαιον εἶναι καὶ δεηθῆναι ὑμῶν τε καὶ τῶν συνδίκων ἐναντίον ὑμῶν.

XVIII.

ΠΕΡΙ ΔΗΜΕΥΣΕΩΣ ΤΩΝ ΤΟΥ ΝΙΚΙΟΥ ΑΔΕΛΦΟΥ ΕΠΙΛΟΓΟΣ.

Ἐνθυμήθητε τοίνυν, ὦ ἄνδρες δικασταί, οἷοί τινες ὄντες πολῖται καὶ αὐτοὶ καὶ ὧν προσήκοντες ἀδικούμενοι ἀξιοῦμεν ἐλεεῖσθαι ὑφ' ὑμῶν καὶ τῶν δικαίων τυγχάνειν· οὐ γὰρ μόνον περὶ τῆς οὐσίας ἀγωνιζόμεθα, ἀλλὰ καὶ περὶ τῆς πολιτείας, εἰ χρὴ δημοκρατουμένης τῆς πόλεως ἡμῖν μετεῖναι. (2) Πρῶτον μὲν οὖν περὶ Νικίου τοῦ ἡμετέρου θείου ἀναμνήσθητε. Ἐκεῖνος γὰρ ὅσα μὲν τῇ ἑαυτοῦ γνώμῃ χρώμενος ὑπὲρ τοῦ πλήθους τοῦ ὑμετέρου ἔπραξε, πανταχοῦ φανήσεται πολλῶν μὲν καὶ ἀγαθῶν αἴτιος τῇ πόλει γεγενημένος, πλεῖστα δὲ καὶ μέγιστα κακὰ τοὺς πολεμίους εἰργασμένος· ὅσα δὲ οὐ βουλόμενος, ἀλλ' ἄκων ἠναγκάσθη ποιῆσαι, τῶν μὲν κακῶν οὐκ ἐλάχιστον αὐτὸς μετέσχε μέρος, τὴν δ' αἰ-

Sphettenses jam triennium elocavi; de iis autem qui sunt Cicynni et de ædibus, cum possessoribus lege agebam. Anno igitur præterito thesmothetæ meam litem distulere, eam mercatoriam esse profitentes : nunc vero quos adii litium mercatoriarum judices, mense Gamelione, actionem meam nondum disceptarunt. (6) Postquam vero vobis placuit Erasiphontis bona publicare, ego reipublicæ concedens duas partes, Erasistrati partem mihi decerni postulo, propterea quod hanc olim meam fuisse statuistis. Mihi igitur definivi tertiam partem illorum facultatum, non accuratissimam divisionem secutus, sed ærario relinquens plus quam duas partes. (7) Quod facile est cognitu ex æstimatione bonis inscripta. Summa enim talento pluris æstimabatur : quæ autem mihi vindico, hæc quinque minis, illa millenis drachmis æstimavi. Quodsi majoris pretii esse videbuntur, ubi sub hasta vendita erunt, quod supererit accipiet respublica. (8) Ut autem cognoscatis hæc vera esse, vobis testes producam; primum quidem eos qui agros Sphettenses a me conduxerunt, deinde Cicynnorum vicinos qui meminere nos de agris Cicynnensibus tribus abhinc annis disceptantes, tum autem magistratus anni superioris, ad quos hæ actiones delatæ tum fuerunt, eos denique qui nunc mercatoriarum litium constituti sunt judices : (9) recitabuntur etiam vobis ipsæ quæstoris tabulæ. Ex his enim maxime cognoscetis quod neque nuper hæc bona vindicemus, neque nunc cum fisco de pluribus agamus quam olim cum privatis. Et mihi testes voca.

TESTES.

10. Quod igitur non præter jus mihi adjudicari rem controversam postulem, sed quod reipublicæ gratia multum de meis decedens, hanc mihi reddi petam, vobis demonstratum est. Jam autem mihi æquum videtur, et vos et syndicos coram vobis obsecrare ut mihi secundum justa succurratis.

XVIII.

DE PUBLICATIONE BONORUM FRATRIS NICIÆ EPILOGUS.

Considerate igitur, judices, et quales nos ipsi cives, et quibuscum genere conjuncti, a vobis misericordiam petamus, et ut justa omnia consequamur injuria affecti. Non enim solum in contentionem venimus de bonis nostris, verum etiam de civitate, utrum scilicet nobis concedatur libera republica frui. (2) Primum quidem Niciam, patruum nostrum, in memoriam revocate. Quæcumque enim suo consilio usus pro populo Atheniensi egit, comparebit eum in iis omnibus multorum bonorum auctorem exstitisse, et reipublicæ hostes multis insignibusque malis affecisse : quæcumque autem non sua sponte, sed invitus facere coactus est, in his calamitatum non minimam partem ipse pertulit,

τίαν τῆς συμφορᾶς οἱ πείσαντες ὑμᾶς δικαίως ἂν ἔχοιεν, (3) ἐπεὶ τήν γε πρὸς ὑμᾶς εὔνοιαν καὶ τὴν ἀρετὴν τὴν αὑτοῦ ἐν ταῖς εὐτυχίαις ταῖς ὑμετέραις καὶ ταῖς δυστυχίαις ταῖς τῶν ἐχθρῶν ἐπέδειξε· στρατηγῶν γὰρ πολλὰς μὲν πόλεις εἷλε, πολλὰ δὲ καὶ καλὰ κατὰ τῶν πολεμίων ἔστησε τρόπαια, ὧν καθ' ἓν ἕκαστον πολὺ ἂν ἔργον εἴη λέγειν. (4) Εὐκράτης τοίνυν, ἀδελφὸς μὲν ὢν ἐκείνου, πατὴρ δ' ἐμός, ἤδη τῆς τελευταίας ναυμαχίας γεγενημένης φανερὰν ἐπεδείξατο τὴν εὔνοιαν ἣν εἶχε περὶ τὸ πλῆθος τὸ ὑμέτερον· ἡττημένων γὰρ ἐν [τῇ] ναυμαχίᾳ στρατηγὸς ὑφ' ὑμῶν ᾑρημένος, καὶ παρακαλούμενος μετέχειν τῆς ὀλιγαρχίας ὑπὸ τῶν ἐπιβουλευόντων τῷ πλήθει, οὐκ ἠθέλησεν αὐτοῖς πείθεσθαι, (5) ἐν τοιούτῳ καιρῷ ληφθεὶς ἐν ᾧ οἱ πλεῖστοι τῶν ἀνθρώπων καὶ μεταβάλλονται πρὸς τὰ παρόντα καὶ ταῖς τύχαις εἴκουσι, δυστυχοῦντος τοῦ δήμου, οὐκ ἀπελαυνόμενος τῆς πολιτείας οὐδ' ἰδίας ἔχθρας ὑπαρχούσης πρὸς τοὺς ἄρξειν μέλλοντας, ἀλλ' ἐξὸν αὐτῷ καὶ τῶν τριάκοντα γενέσθαι καὶ μηδενὸς ἔλαττον δύνασθαι, μᾶλλον εἵλετο πράττων ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀπολέσθαι ἢ ἐπιδεῖν τὰ τείχη καθαιρούμενα καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδιδομένας καὶ τὸ ὑμέτερον πλῆθος καταδουλούμενον. (6) Καὶ οὐ πολλῷ χρόνῳ ὕστερον Νικήρατος, ἀνεψιὸς ὢν ἐμὸς καὶ υἱὸς Νικίου, εὔνους ὢν τῷ ὑμετέρῳ πλήθει, συλληφθεὶς ὑπὸ τῶν τριάκοντα ἀπέθανεν, οὔτε γένει οὔτε οὐσίᾳ οὔθ' ἡλικίᾳ δοκῶν ἀνάξιος εἶναι τῆς πολιτείας μετασχεῖν· ἀλλὰ τοιαῦτα ἐνομίζετο τὰ ὑπάρχοντα αὐτῷ πρὸς τὸ ὑμέτερον πλῆθος εἶναι καὶ διὰ τοὺς προγόνους καὶ αὐτόν, ὥστε οὐκ ἄν ποθ' ἑτέρας ἐπιθυμῆσαι πολιτείας. (7) Συνῄδεσαν γὰρ ἅπασιν αὐτοῖς ὑπὸ τῆς πόλεως τιμωμένοις, καὶ πολλαχοῦ μὲν ὑπὲρ ὑμῶν κεκινδυνευκόσι, μεγάλας δ' εἰσφορὰς εἰσενηνοχόσι καὶ λελειτουργηκόσι κάλλιστα, καὶ τῶν ἄλλων οὐδενὸς πώποτ' ἀποστᾶσιν ὧν ἡ πόλις αὐτοῖς προσέταξεν, ἀλλὰ προθύμως λειτουργοῦσι. (8) Καίτοι τίνες ἂν ἡμῶν εἴησαν δυστυχέστεροι, εἰ ἐν μὲν τῇ ὀλιγαρχίᾳ ἀποθνῄσκοιμεν εὖνοι ὄντες τῷ πλήθει, ἐν δὲ τῇ δημοκρατίᾳ ὡς κακόνοι ὄντες τῷ πλήθει ἀποστεροίμεθα τῶν ὄντων; (9) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, καὶ Διόγνητος διαβληθεὶς μὲν ὑπὸ τῶν συκοφαντῶν φεύγων ᾤχετο, μετ' ὀλίγων δὲ τῶν ἐκπεπτωκότων οὔτ' ἐπὶ τὴν πόλιν ἐστρατεύσατο οὔτ' εἰς Δεκέλειαν ἀφίκετο· οὐδ' ἔστιν ὅτου κακοῦ αἴτιος οὔτε φυγὼν οὔτε κατελθὼν τῷ ὑμετέρῳ πλήθει γεγένηται, ἀλλ' εἰς τοῦτ' ἀρετῆς ἦλθεν ὥστε μᾶλλον ὠργίζετο τοῖς εἰς ὑμᾶς ἡμαρτηκόσιν ἢ τοῖς αὐτῷ τῆς καθόδου αἰτίοις γεγενημένοις ἔχαιρε. (10) Καὶ ἀρχὴν μὲν οὐδεμίαν ἦρξεν ἐν τῇ ὀλιγαρχίᾳ· ἐπειδὴ δὲ τάχιστα ἦλθον εἰς τὴν Ἀκαδημίαν Λακεδαιμόνιοι καὶ Παυσανίας, λαβὼν τὸν Νικηράτου καὶ ἡμᾶς παῖδας ὄντας, ἐκεῖνον μὲν κατέθηκεν ἐπὶ τοῖς γόνασι τοῖς Παυσανίου, ἡμᾶς δὲ παραστησάμενος ἔλεγε πρὸς ἐκεῖνον καὶ τοὺς ἄλλους τοὺς παρόντας ὅσα εἴημεν πεπονθότες καὶ οἵαις τύχαις κεχρημένοι, καὶ ἠξίου Παυσανίαν βοηθῆσαι καὶ διὰ τὴν φιλίαν καὶ διὰ τὴν ξενίαν τὴν ὑπάρχουσαν, καὶ τιμωρὸν

culpam vero in eos jure conferatis quorum consiliis ea sunt suscepta : (3) nam suam erga vos benevolentiam suamque virtutem et in vestris secundis rebus hostiumque adversis satis declaravit : qui vobis imperans multas urbes cepit, multa et præclara contra hostes statuit tropæa; quorum unumquodque singulatim recensere esset infinitum. (4) Eucrates autem ejus frater, pater meus, post ultimum istud navale prælium, studium suum in rempublicam insigniter demonstravit. Vestra enim classe profligata, dux a vobis creatus, et ab iis inductus qui popularem statum labefactare moliebantur, ut oligarchiæ particeps fieret, eis parere noluit, (5) licet in eo rerum articulo deprehensus in quo plurimi rebus præsentibus se accommodant et fortunæ cedunt, populo infortuniis oppresso, licet non exclusus rebus gerendis, nec privata aliqua simultate ab iis alienatus qui dominatum appetebant; at quum ipse posset trigintavirorum unus fieri et nulli horum potentia esse inferior, maluit vestræ saluti consulens interire, quam videre muros dirutos, classem hostibus traditam populumque in servitutem redactum. (6) Non multo tempore post Niceratus, Niciæ filius, patruelis meus, quum populi studiosus esset, a trigintaviris comprehensus et interfectus est, quamvis nec propter genus, nec propter censum, nec propter ætatem indignus videretur qui ad res administrandas accederet. Existimabat nempe eam sibi intercedere cum populo necessitudinem et a majoribus et a se ipso natam, ut alienam reipublicæ formam nunquam concupisceret. (7) Noverat enim se et avos suos a republica fuisse honoratos, sæpius se pro vestra salute periculis objecisse, tributa magna persolvisse, civilibus officiis cum laude defunctos fuisse, et nihil unquam detrectasse eorum quæ civitas ipsis imperaverat, sed munia alacriter obiisse. (8) Attamen quinam nobis erunt infeliciores, si intereamus in oligarchia, quod benevolentiam in populum declaravimus; in democratia vero, tanquam populo malevoli, fortunis nostris spoliemur? (9) Jam vero, judices, Diognetus criminationibus falsis impetitus, quum e civitate ejectus esset, cum paucis exulibus neque contra patriam militavit, neque confugit ad Deceleam, neque populo ullius calamitatis auctor exstitit aut in exilio aut in reditu; sed eo virtutis processit ut magis succenseret iis qui in vos deliquerant, quam caritate amplecteretur eos, quibus beneficium reditus in patriam deberet. (10) Ac nullo magistratu functus est in oligarchia; ut primum autem in Academiam accesserunt Lacedæmonii et Pausanias, sumens ille Nicerati filium et nos puerulos adhuc, illum imposuit genibus Pausaniæ, et nobis circum astare jussis, Pausaniæ et reliquis præsentibus narravit qualia perpessi et quali fortuna usi fuerimus, et obsecravit Pausaniam ut suppetias ferret propter hospitium et amicitiam quæ sibi cum ipso erat, atque ut pœnas repeteret eorum quæ

γενέσθαι τῶν εἰς ἡμᾶς ἡμαρτηκότων. (11) Ὅθεν Παυσανίας ἤρξατο εὔνους εἶναι τῷ δήμῳ, παράδειγμα ποιούμενος πρὸς τοὺς ἄλλους Λακεδαιμονίους τὰς ἡμετέρας συμφορὰς τῆς τῶν τριάκοντα πονηρίας· δῆλον γὰρ ἅπασι τοῖς ἐλθοῦσι Πελοποννησίων ἐγεγένητο, ὅτι οὐ τοὺς πονηροτάτους τῶν πολιτῶν ἀπέκτεινον, ἀλλ' οἷς μάλιστα προσῆκον καὶ διὰ γένος καὶ διὰ πλοῦτον καὶ διὰ τὴν ἄλλην ἀρετὴν τιμᾶσθαι. (12) Οὕτω δ' ἠλεούμεθα καὶ πᾶσι δεινὰ ἐδοκοῦμεν πεπονθέναι, ὥστε Παυσανίας τὰ μὲν παρὰ τῶν τριάκοντα ξένια οὐκ ἠθέλησε λαβεῖν, τὰ δὲ παρ' ἡμῶν ἐδέξατο. Καίτοι δεινόν, ὦ ἄνδρες δικασταί, ὑπὸ μὲν τῶν πολεμίων παῖδας ὄντας ἡμᾶς ἐλεεῖσθαι, οἳ τῇ ὀλιγαρχίᾳ βοηθήσοντες ἦλθον, ὑπὸ δὲ ὑμῶν, ὦ ἄνδρες δικασταί, τοιούτους γεγενημένους τῶν ὄντων ἀποστερεῖσθαι, ὧν οἱ πατέρες ὑπὲρ τῆς δημοκρατίας ἀπέθανον.

13. Εὖ δ' οἶδ', ὦ ἄνδρες δικασταί, ὅτι περὶ πλείστου ἂν ποιήσαιτο Πολίοχος τοῦτον τὸν ἀγῶνα κατορθῶσαι, ἡγούμενος αὑτῷ καλὴν εἶναι τὴν ἀπόδειξιν καὶ πρὸς τοὺς πολίτας καὶ τοὺς ξένους, ὅτι Ἀθήνησι τοσοῦτον δύναται ὥσθ' ὑμᾶς τοὺς αὐτούς, περὶ ὧν ὅρκους ὀμωμόκατε, ὑμῖν αὐτοῖς τἀναντία ποιεῖν ψηφίζεσθαι. (14) Πάντες γὰρ εἴσονται ὅτι τότε μὲν χιλίαις δραχμαῖς ἐζημίωσε τὸν βουλόμενον τὴν ἡμετέραν γῆν δημοσίαν ποιῆσαι, νυνὶ δὲ κελεύων δημεῦσαι νενίκηκε, καὶ περὶ τούτων δὴ ἀμφοτέρων Ἀθηναῖοι, παρανόμων φεύγοντος τοῦ αὐτοῦ ἀνδρός, τἀναντία σφίσιν αὐτοῖς ἐψηφίσαντο. (15) Οὐκ οὖν αἰσχρόν, εἰ ἃ μὲν Λακεδαιμονίοις συνέθεσθε βεβαιώσετε, ἃ δὲ αὐτοῖς ἐψηφίσασθε οὕτω ῥᾳδίως διαλύσετε· καὶ τὰς μὲν πρὸς ἐκείνους συνθήκας κυρίας ποιήσετε, τὰς δὲ πρὸς αὑτοὺς ἀκύρους· καὶ τοῖς μὲν ἄλλοις Ἕλλησιν ὀργίζοισθε, εἴ τις Λακεδαιμονίους ὑμῶν περὶ πλείονος ποιεῖται, ὑμεῖς δ' αὐτοὶ φανήσεσθε πιστότερον πρὸς ἐκείνους ἢ πρὸς ὑμᾶς αὐτοὺς διακείμενοι; (16) Ἄξιον δὲ μάλιστα φθονῆσαι ὅτι οὕτως ἤδη οἱ τὰ τῆς πόλεως πράττοντες διάκεινται, ὥστ' οὐχ ὅ τι ἂν τῇ πόλει βέλτιστον ᾖ, τοῦτο οἱ ῥήτορες λέγουσιν, ἀλλ' ἀφ' ὧν ἂν αὐτοὶ κερδαίνειν μέλλωσι, ταῦτα ὑμεῖς ψηφίζεσθε. (17) Καὶ εἰ μὲν τῷ ὑμετέρῳ πλήθει συνέφερε τοὺς μὲν ἔχειν τὰ αὑτῶν, τῶν δὲ ἀδίκως δημεύεσθαι τὴν οὐσίαν, εἰκότως ἂν ἠμελεῖτε τῶν ὑφ' ἡμῶν λεγομένων· νυνὶ δὲ πάντες ἂν ὁμολογήσαιτε ὁμόνοιαν μέγιστον ἀγαθὸν εἶναι πόλει, στάσιν δὲ πάντων κακῶν αἰτίαν, διαφέρεσθαι δὲ πρὸς ἀλλήλους ἐκ τῶν τοιούτων μάλιστ', ἂν οἱ μὲν τῶν ἀλλοτρίων ἐπιθυμῶσιν, οἱ δ' ἐκ
151 τῶν ὄντων ἐκπίπτωσι. (18) Καὶ ταῦθ' ὑμεῖς ἔγνωτε νεωστὶ κατελθόντες, ὀρθῶς βουλευόμενοι· ἔτι γὰρ ἐμέμνησθε τῶν γεγενημένων συμφορῶν, καὶ τοῖς θεοῖς εἰς ὁμόνοιαν εὔχεσθε καταστῆναι τὴν πόλιν μᾶλλον, ἢ ἐπὶ τιμωρίαν τῶν παρεληλυθότων τραπόμενοι, τὴν μὲν πόλιν στασιάσαι, τοὺς δὲ λέγοντας ταχέως πλουτῆσαι. (19) Καίτοι πλείων συγγνώμη μνησικακεῖν νεωστὶ κατεληλυθόσιν, ἔτι τῆς ὀργῆς οὔσης προσφάτου, ἢ τοσούτῳ χρόνῳ ὕστερον ἐπὶ τιμωρίαν τῶν παρεληλυθότων τρα-

in nos commissa essent. (11) Unde Pausanias populo studere cœpit, ad ceteros Lacedæmonios nostris calamitatibus usus exemplo trigintavirorum improbitatis. Manifestum enim erat cunctis Peloponnesiis qui aderant, istos non civium improbissimos occidere, sed quos maxime decebat propter genus et divitias ceteraque merita honorari. (12) Eam autem misericordiam consecuti sumus, et ita indigna omnibus videbamur pertulisse, ut Pausanias noluerit a trigintaviris hospitalia munera accipere quæ a nobis accepit. Atqui, judices, durum sane foret nos, quum pueruli adhuc misericordiam consecuti fuerimus ab hostibus qui aderant oligarchiæ subventuri, a vobis, judices, nostris facultatibus spoliari, qui tales nos exhibuimus, et quorum patres pro democratia occubuere.

13. Equidem non dubito, judices, quin plurimi faceret Poliochus in hac causa vincere, ratus id sibi fore egregium tum apud cives tum apud exteros, tantum se posse Athenis ut vos ipsos cogat vobismetipsis contraria statuere in iis causis ad quas jurati acceditis. (14) Omnes enim cognoscent Poliochum olim mille drachmis mulctasse hominem qui agros nostros publicare voluit, et eundem nunc causa vicisse qua fundum nostrum publicari jubet; et Athenienses in duplici causa, auctore eodem homine legum violatarum reo, contrarias sibi invicem sententias tulisse. (15) Turpe esset igitur vos, qui rata facitis ea quæ cum Lacedæmoniis pepigistis, adeo temere violare quæ vobismetipsis statuistis: turpe esset vos, qui ceteris Græcis succensetis si quis Lacedæmonios pluris quam Athenienses fecerit, majorem fidem conspici cum illis quam cum vobismetipsis servare. (16) Tum autem maxime indignandum est, plurimos eorum qui ad rempublicam accedunt ita se gerere, ut non quod reipublicæ sit utilissimum, id oratores suadeant, sed quod ex ipsorum re sit futurum, id vos decernatis. (17) Quodsi populo istud conferret, alios aliena possidere, aliorum fortunas injuste publicari, orationem nostram haud injuria negligeretis: jam vero vos omnes confessuros esse arbitror, reipublicæ cuivis maximum esse bonum concordiam, discordiam autem omnium malorum causam; et ex his præcipue oriri dissidium, si alii aliena concupiscant, alii fortunis suis exuantur. (18) Id quod vos statuistis nuper domum reversi, optimo consilio. Memineratis enim adhuc præteritarum calamitatum, diisque potius supplicastis ut ad concordiam cives redigerentur, quam ut ex suppliciis ob res præteritas sumptis ad seditionem concitarentur, atque ita oratores vestri citius ditescerent. (19) Attamen id magis condonandum fuisset, vos modo reversos maleficiorum memoriam gerere, recenti adhuc indignatione, quam post diutinum tempus injurias præteritas velle persequi; ab iis persuasos, qui,

πέσθαι, ὑπὸ τοιούτων πεισθέντας οἱ ἐν ἄστει μείναντες ταύτην ὑμῖν οἴονται διδόναι πίστιν τῆς αὑτῶν εὐνοίας, ἑτέρους κακῶς ποιοῦντες, ἀλλ' οὐ σφᾶς αὐτοὺς χρηστοὺς παρέχοντες, καὶ νυνὶ τῶν τῆς πόλεως εὐτυχιῶν ἀπολαύοντες, ἀλλ' οὐ πρότερον τῶν ὑμετέρων κινδύνων μετέχοντες.

20. Καὶ εἰ μὲν ἑωρᾶτε, ὦ ἄνδρες δικασταί, σωζόμενα τῇ πόλει τὰ ὑπὸ τούτων δημευόμενα, συγγνώμην ἂν εἴχομεν· νῦν δ' ἐπίστασθε ὅτι τὰ μὲν αὐτῶν ὑπὸ τούτων ἀφανίζεται, τὰ δὲ πολλοῦ ἄξια ὄντα ὀλίγου πιπράσκεται. Ἂν δ' ἐμοὶ πείθησθε, οὐκ ἔλαττω ἀπ' αὐτῶν ὑμεῖς ὠφεληθήσεσθε ἢ ἡμεῖς οἱ κεκτημένοι, (21) ἐπεὶ καὶ νυνὶ Διόμνηστος καὶ ἐγὼ καὶ ὁ ἀδελφὸς ἐκ μιᾶς οἰκίας τρεῖς ὄντες τριηραρχοῦμεν, καὶ ὅταν ἡ πόλις δέηται χρημάτων, ἀπὸ τούτων ὑμῖν εἰσφέρομεν. Ὡς οὖν ἡμῶν ταύτῃ τῇ γνώμῃ χρωμένων, καὶ τῶν προγόνων τῶν ἡμετέρων τοιούτων γεγενημένων, φείδεσθε ἡμῶν. (22) Οὐδὲν γὰρ ἂν ἡμᾶς κωλύοι, ὦ ἄνδρες δικασταί, ἀθλιωτάτους εἶναι, ἐπὶ μὲν τῶν τριάκοντα ὀρφανοὺς καταλειφθέντας, ἐν δὲ τῇ δημοκρατίᾳ τῶν ὄντων ἐστερημένους, οἷς ἡ τύχη παρέδωκεν ὥστ' ἔτι ἡμᾶς παῖδας ὄντας ἐπὶ τὴν Παυσανίου σκηνὴν ἐλθόντας βοηθῆσαι τῷ πλήθει. Καὶ τοιούτων ἡμῖν ὑπαρχόντων, εἰς τίνας ἂν ἐβουλήθημεν δικαστὰς καταφυγεῖν; (23) οὐκ εἰς τοὺς οὕτω πολιτευομένους ὑπὲρ τῆς πολιτείας ἧς καὶ ὁ πατὴρ καὶ οἱ προσήκοντες ἡμῖν ἀπέθανον; Νῦν τοίνυν ταύτην ἀνθ' ἁπάντων ἀπαιτοῦμεν ὑμᾶς τὴν χάριν, μὴ περιιδεῖν ἡμᾶς ἀπόρως διατεθέντας μηδ' ἐνδεεῖς τῶν ἐπιτηδείων γενομένους, μηδὲ τὴν τῶν προγόνων εὐδαιμονίαν καταλῦσαι, ἀλλὰ πολὺ μᾶλλον παράδειγμα ποιῆσαι τοῖς βουλομένοις τὴν πόλιν εὖ ποιεῖν, οἵων ὑμῶν ἐν τοῖς κινδύνοις τεύξονται.

24. Οὐκ ἔχω, ὦ ἄνδρες δικασταί, οὕστινας δεησομένους ὑπὲρ ἡμῶν ἀναβιβάσομαι· τῶν γὰρ προσηκόντων οἱ μὲν ἄνδρας ἀγαθοὺς αὑτοὺς παρασχόντες καὶ μεγάλην τὴν πόλιν ποιοῦντες ἐν τῷ πολέμῳ τεθνᾶσιν, οἱ δ' ὑπὲρ τῆς δημοκρατίας καὶ τῆς ὑμετέρας ἐλευθερίας ὑπὸ τῶν τριάκοντα κώνειον πιόντες, (25) ὥστε τῆς ἐρημίας τῆς ἡμετέρας αἴτιαι γεγόνασιν αἵ τε τῶν προσηκόντων ἀρεταὶ καὶ αἱ τῆς πόλεως συμφοραί. Ὧν ἄξιον ὑμᾶς ἐνθυμηθέντας προθύμως ἡμῖν βοηθῆσαι, ἡγησαμένους τούτους ἂν ἐν δημοκρατίᾳ δικαίως εὖ πάσχειν ὑφ' ὑμῶν, οἵπερ ἐν ὀλιγαρχίᾳ τῶν συμφορῶν μετέσχον τὸ μέρος· (26) ἄξιον δὲ καὶ τούτους τοὺς συνδίκους εὔνους ἡμῖν εἶναι, ἐκείνου τοῦ χρόνου μνησθέντας, ὅτ' ἐκ τῆς πατρίδος ἐκπεπτωκότες καὶ τὰς οὐσίας ἀπολωλεκότες ἄνδρας ἀρίστους ἐνομίζετ' εἶναι τοὺς ὑπὲρ ὑμῶν ἀποθνήσκοντας, καὶ τοῖς θεοῖς εὔχεσθε δυνηθῆναι χάριν τοῖς ἐξ ἐκείνων ἀποδοῦναι. (27) Ἡμεῖς τοίνυν, υἱεῖς ὄντες καὶ συγγενεῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας προκεκινδυνευκότων, ἀπαιτοῦμεν ὑμᾶς νυνὶ ταύτην τὴν χάριν, καὶ ἀξιοῦμεν μὴ ἀδίκως ἡμᾶς ἀπολέσαι, ἀλλὰ πολὺ μᾶλλον βοηθεῖν τοῖς τῶν αὐτῶν μετασχοῦσι συμφορῶν. Ἐγὼ μὲν οὖν καὶ δέομαι καὶ ἀντιβολῶ καὶ ἱκετεύω, καὶ τούτων

quod domi remanserunt, eam suæ benevolentiæ fidem vobis dare existimant, si vexent ceteros, non si semetipsos bonos cives præstent, qui nunc reipublicæ prospera fortuna utuntur, nec vestrorum periculorum partem antea habuerunt.

20. Quodsi, judices, videretis fieri ut quæ ab istis publicantur, in civitatis commodum cederent, non moleste ferrem : nunc autem scitis horum alia ab ipsis intercipi, et quæ maximi sunt pretii, vilissimo venire. At si mihi auscultatis, ex iis vos fructum percepturi eritis non minorem quam nos qui ea possidemus; (21) quandoquidem etiam nunc Diomnestus et ego et frater, tres ex una domo sumptus tribus trierarchiis necessarios facimus; et ubi civitati opus est pecuniis, ex nostris facultatibus in vestram utilitatem conferimus. Nobis igitur, quum ita simus animati, majoresque nostri tales se præstiterint, nobis, inquam, parcite. (22) Neque enim non possumus esse, judices, omnium miserrimi, qui sub trigintavirorum dominatu orbi relicti, restituta republica bonis omnibus exuimur : quibus tamen id largita est fortuna, ut in puerili adhuc ætate ad Pausaniæ tentorium delati Atheniensi populo opitularemur. Quum res nobis ita habeant, ad quos judices confugeremus? (23) nonne ad eos qui eam reipublicæ formam tuentur pro qua et pater et cognati nostri occubuere? Pro his omnibus eam unam a vobis reposcimus gratiam, ne nos sinatis in extremas augustias redactos rerum necessariarum inopia premi, neu majorum nostrorum felicitatem subvertatis; sed potius nos velitis esse exemplo iis qui de republica bene mereri cupiunt, quales vos in periculis erunt nacturi.

24. Non habeo, judices, quos producam nostri causa deprecaturos. Cognatorum enim alii strenuorum virorum functi officio, et publicæ gloriæ studiosi, in bello periere; alii a trigintaviris, vestræ democratiæ vestræque libertatis gratia, cicuta interempti sunt. (25) Nostram igitur solitudinem effecerunt et domestica virtus et reipublicæ calamitates. Quorum vos memores decet nobis subvenire alacriter, reputantes nempe eos in democratia beneficiis esse a vobis exornandos, qui in oligarchia calamitatum partem sustinuerunt. (26) Decet syndicos quoque nobis esse benevolos, illam tempestatem recordantes quum patria pulsi et fortunis exuti, eos existimabatis viros optimos qui pro vobis interierunt, et orabatis superos ut possetis aliquando illorum posteris gratiam referre. (27) Nos igitur, filii et cognati eorum qui pro libertate pericula adierunt, eam hodie gratiam exposcimus; rogamusque ne nos per injuriam perdatis, sed ut potius succurratis vestrarum calamitatum sociis. Ego igitur obsecro et obtestor ut hæc a vobis impe-

παρ' ὑμῶν τυγχάνειν ἀξιῶ· οὐ γὰρ περὶ μικρῶν κινδυνεύομεν, ἀλλὰ περὶ τῶν ὄντων ἁπάντων.

XIX.

152 ΥΠΕΡ ΤΩΝ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΧΡΗΜΑΤΩΝ, ΠΡΟΣ ΤΟ ΔΗΜΟΣΙΟΝ.

Πολλήν μοι ἀπορίαν παρέχει ὁ ἀγὼν οὑτοσί, ὦ ἄνδρες δικασταί, ὅταν ἐνθυμηθῶ ὅτι, ἂν ἐγὼ μὲν μὴ νῦν εὖ εἴπω, οὐ μόνον ἐγὼ ἀλλὰ καὶ ὁ πατὴρ δόξει ἄδικος εἶναι καὶ τῶν ὄντων ἁπάντων στερήσομαι. Ἀνάγκη οὖν, εἰ καὶ μὴ δεινὸς πρὸς ταῦτα πέφυκα, βοηθεῖν τῷ πατρὶ καὶ ἐμαυτῷ οὕτως ὅπως ἂν δύνωμαι. (2) Τὴν μὲν οὖν παρασκευὴν καὶ προθυμίαν τῶν ἐχθρῶν ὁρᾶτε, καὶ οὐδὲν δεῖ περὶ τούτων λέγειν· τὴν δ' ἐμὴν ἀπειρίαν πάντες ἴσασιν, ὅσοι ἐμὲ γιγνώσκουσιν. Αἰτήσομαι οὖν ὑμᾶς δίκαια καὶ ῥᾴδια χαρίσασθαι, ἄνευ ὀργῆς καὶ ἡμῶν ἀκοῦσαι, ὥσπερ τῶν κατηγόρων. (3) Ἀνάγκη γὰρ τὸν ἀπολογούμενον, κἂν ἐξ ἴσου ἀκροᾶσθε, ἔλαττον ἔχειν. Οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύοντες, αὐτοὶ ἄνευ κινδύνων ὄντες, τὴν κατηγορίαν ἐποιήσαντο, ἡμεῖς δ' ἀγωνιζόμεθα μετὰ δέους καὶ διαβολῆς καὶ κινδύνου μεγίστου. Εἰκὸς οὖν ὑμᾶς εὔνοιαν πλείω ἔχειν τοῖς ἀπολογουμένοις. (4) Οἶμαι γὰρ πάντας ὑμᾶς εἰδέναι ὅτι πολλοὶ ἤδη πολλὰ καὶ δεινὰ κατηγορήσαντες παραχρῆμα ἐξηλέγχθησαν ψευδόμενοι οὕτω φανερῶς, ὥσθ' ὑπὲρ πάντων τῶν πεπραγμένων μισηθέντες ἀπελθεῖν· οἱ δ' αὖ μαρτυρήσαντες τὰ ψευδῆ καὶ ἀδίκως ἀπολέσαντες ἀνθρώπους ἑάλωσαν, ἡνίκα οὐδὲν ἦν πλέον τοῖς πεπονθόσιν. (5) Ὅτ' οὖν τοιαῦτα πολλὰ γεγένηται, ὡς ἐγὼ ἀκούω, εἰκὸς ὑμᾶς, ὦ ἄνδρες δικασταί, μήπω τοὺς τῶν κατηγόρων λόγους ἡγεῖσθαι πιστούς, πρὶν ἂν καὶ ἡμεῖς εἴπωμεν. Ἀκούω γὰρ ἔγωγε, καὶ ὑμῶν δὲ τοὺς πολλοὺς οἶμαι εἰδέναι, ὅτι πάντων δεινότατόν ἐστι διαβολή. (6) Μάλιστα δὲ τοῦτο ἔχοι ἄν τις ἰδεῖν, ὅταν πολλοὶ ἐπὶ τῇ αὐτῇ αἰτίᾳ εἰς ἀγῶνα καταστῶσιν. Ὡς γὰρ ἐπὶ τὸ πολὺ οἱ τελευταῖοι κρινόμενοι σῴζονται· πεπαυμένοι γὰρ τῆς ὀργῆς αὐτῶν ἀκροᾶσθε, καὶ τοὺς ἐλέγχους ἤδη θέλοντες ἀποδέχεσθε. (7) Ἐνθυμεῖσθε οὖν ὅτι Νικόφημος καὶ Ἀριστοφάνης ἄκριτοι ἀπέθανον, πρὶν παραγενέσθαι τινὰ αὐτοῖς ἐλεγχομένοις ὡς ἠδίκουν. Οὐδεὶς γὰρ οὐδ' εἶδεν ἐκείνους μετὰ τὴν σύλληψιν· οὐδὲ γὰρ θάψαι τὰ σώματ' αὐτῶν ἀπέδωκαν, ἀλλ' οὕτω δεινὴ συμφορὰ γεγένηται ὥστε πρὸς τοῖς ἄλλοις καὶ τούτου ἐστέρηνται. (8) Ἀλλὰ ταῦτα μὲν ἐάσω· οὐδὲν γὰρ ἂν περαίνοιμι· πολὺ δὲ ἀθλιώτεροι δοκοῦσί μοι οἱ παῖδες οἱ Ἀριστοφάνους. Οὐδένα γὰρ οὔτ' ἰδίᾳ οὔτε δημοσίᾳ ἠδικηκότες οὐ μόνον τὰ πατρῷα ἀπολωλέκασι παρὰ τοὺς νόμους τοὺς ὑμετέρους, ἀλλὰ καὶ ἡ ὑπόλοιπος ἐλπὶς ἦν, ὑπὸ τοῦ πάππου ἐκτραφῆναι, ἐν οὕτω δεινῷ καθέστηκεν. (9) Ἔτι δ' ἡμεῖς ἐστερημένοι μὲν κηδεστῶν, ἐστερημένοι δὲ τῆς προικός, παιδάρια δὲ τρία ἠναγκασμένοι τρέφειν, προσέτι συκοφαντούμε-

trem: non enim de rebus minimis periclitamur, sed de fortunis nostris omnibus.

XIX.

DE BONIS ARISTOPHANIS, AD ÆRARIUM.

Ingentem mihi affert sollicitudinem hæc causa, judices, dum in animo mecum reputo quod, si nunc causam minus bene dicam, non ego solum, verum etiam pater meus videbitur iniqua egisse, et præterea bonis omnibus excidam. Necesse est igitur, tametsi ad dicendum minime aptus sim natura, et patri et mihi ipsi succurrere quam potero commodissime. (2) Apparatum inimicorum et studium perspicitis, neque opus habeo de ea re pluribus admonere; meam autem dicendi inopiam sciunt omnes qui me norunt. Quare a vobis postulo ut mihi quæ justa sunt et facilia, gratificemini, scilicet ut et nos, quemadmodum accusatores, omni ira remota, audiatis. (3) Necesse est enim reum, tametsi æquo studio utrique attendatis, non tamen ex æquo contendere. Quippe accusatores, causa jam diu secum meditata, ipsi ab omni periculi timore immunes, actionem instituerunt: nos vero dicimus non sine formidine, falso crimine petiti, et cum summo periculo. Æquum est itaque, judices, ut majori benevolentia reos excipiatis quam accusatores. (4) Omnes enim vos scire arbitror multos fuisse qui, quum multa et gravissima crimina objecissent, statim mendacii tam manifeste convicti sunt, ut ex judicio cum odio omnium excesserint; itemque alios qui, postquam falsa perhibuissent testimonia, et cives injuste perdidissent, tum demum deprehensi sunt et condemnati, quum jam interfectis nihil hoc esset profuturum. (5) Quando igitur multa ejusmodi, ut ego audio, contigerunt, æquum est vos, judices, accusatorum verbis non prius fidem adhibere, quam nos quoque dixerimus. Audio enim, et vestrûm plerosque scire opinor, rem omnium gravissimam esse falsam criminationem. (6) Id autem longe gravissimum esse censebitur, ubi multi adducuntur in judicium ejusdem criminis rei: nam plerumque ii effugiunt qui postremi sistuntur; auditis enim eos animis jam sedatis, eorumque argumenta lubentius admittitis. (7) Reputate igitur Nicophemum et Aristophanem indicta causa periisse, priusquam aliquis adesset illis facinoris cujusquam convictis. Namque nemo eos ne aspexit quidem; imo neque eorum corpora sepelienda reddidere: sed ea fuit ipsorum calamitatis acerbitas, ut præter alia etiam hoc privarentur. (8) At vero hæc missa faciam, neque enim quidquam profecerim; multo infeliciores autem videntur mihi Aristophanis liberi. Qui quum neminem neque publice neque privatim læserint, non solum paternam hæreditatem amisere præter leges nostras, verum etiam, quæ relicta spes erat, ut ab avo educarentur, vel ea ipsa (obitu patris) tam misere evanuit. (9) Tum nos etiam orbati affinibus, orbati dote, et tres puerulos alere coacti, ad hæc falsis criminibus vexamur, et in discrimen

θα, καὶ κινδυνεύομεν περὶ ὧν οἱ πρόγονοι ἡμῖν κατέλιπον κτησάμενοι ἐκ τοῦ δικαίου. Καίτοι, ὦ ἄνδρες δικασταί, ὁ ἐμὸς πατὴρ ἐν ἅπαντι τῷ βίῳ πλείω εἰς τὴν πόλιν ἀνάλωσεν ἢ εἰς αὑτὸν καὶ τοὺς οἰκείους, διπλάσια δὲ ἢ νῦν ἔστιν ἡμῖν, ὡς ἐγὼ λογιζομένῳ αὐτῷ πολλάκις παρεγενόμην. (10) Μὴ οὖν προκαταγινώσκετε ἀδικίαν τοῦ εἰς αὑτὸν μὲν μικρὰ δαπανῶντος, ὑμῖν δὲ πολλὰ καθ' ἕκαστον τὸν ἐνιαυτόν, ἀλλ' ὅσοι καὶ τὰ πατρῷα καὶ ἄν τί ποθεν λάβωσιν, εἰς τὰς αἰσχίστας ἡδονὰς εἰθισμένοι εἰσὶν ἀναλίσκειν. (11) Χαλεπὸν μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἀπολογεῖσθαι πρὸς δόξαν ἣν ἔνιοι ἔχουσι περὶ τῆς Νικοφήμου οὐσίας, καὶ σπάνιν ἀργυρίου ἣ νῦν ἔστιν ἐν τῇ πόλει, καὶ τοῦ ἀγῶνος πρὸς τὸ δημόσιον ὄντος· 153 ὅμως δὲ καὶ τούτων ὑπαρχόντων ῥᾳδίως γνώσεσθε ὅτι οὐκ ἀληθῆ ἐστι τὰ κατηγορημένα. Δέομαι δ' ὑμῶν πάσῃ τέχνῃ καὶ μηχανῇ μετ' εὐνοίας ἀκροασαμένους ἡμῶν διὰ τέλους, ὅ τι ἂν ὑμῖν ἄριστον καὶ εὐορκότατον νομίζητε εἶναι, τοῦτο ψηφίσασθαι.

12. Πρῶτον μὲν οὖν, ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, διδάξω ὑμᾶς. Στρατηγῶν γὰρ Κόνων περὶ Πελοπόννησον, τριηραρχήσαντι τῷ ἐμῷ πατρὶ πάλαι φίλος γεγενημένος, ἐδεήθη δοῦναι τὴν ἀδελφὴν αἰτοῦντι τῷ υἱεῖ τῷ Νικοφήμου. (13) Ὁ δὲ ὁρῶν αὐτοὺς ὑπ' ἐκείνου τε πεπιστευμένους γεγονότας τε ἐπιεικεῖς τῇ τε πόλει ἔν γε τῷ τότε χρόνῳ ἀρέσκοντας, ἐπείσθη δοῦναι, οὐκ εἰδὼς τὴν ἐσομένην διαβολήν, ἀλλ' ὅτε καὶ ὑμῶν ὁστισοῦν ἂν ἐκείνοις ἠξίωσε κηδεστὴς γενέσθαι, ἐπεὶ ὅτι γε οὐ χρημάτων ἕνεκα, ῥᾴδιον γνῶναι ἐκ τοῦ βίου παντὸς καὶ τῶν ἔργων τῶν τοῦ πατρός. (14) Ἐκεῖνος γὰρ ὅτ' ἦν ἐν τῇ ἡλικίᾳ, παρὸν μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην, τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην, ὅτι δὲ Ξενοφῶντος ἦν θυγάτηρ τοῦ Εὐριπίδου υἱέος, ὃς οὐ μόνον ἰδίᾳ χρηστὸς ἐδόκει εἶναι, ἀλλὰ καὶ στρατηγεῖν αὐτὸν ἠξιώσατε, ὡς ἐγὼ ἀκούω. (15) Τὰς τοίνυν ἐμὰς ἀδελφὰς θελόντων τινῶν λαβεῖν ἀπροίκους πάνυ πλουσίων οὐ δέδωκεν, ὅτι ἐδόκουν κάκιον γεγονέναι, ἀλλὰ τὴν μὲν Φιλομήλῳ τῷ Παιανιεῖ, ὃν οἱ πολλοὶ βελτίονα ἡγοῦνται εἶναι ἢ πλουσιώτερον, τὴν δὲ πένητι γεγενημένῳ οὐ διὰ κακίαν, ἀδελφιδῷ δὲ Φαίδρῳ ὄντι Μυρρινουσίῳ, ἐπιδοὺς τετταράκοντα μνᾶς, καὶ Ἀριστοφάνει τὸ ἴσον. (16) Πρὸς δὲ τούτοις ἐμοὶ πολλὴν ἐξὸν πάνυ προῖκα λαβεῖν ἐλάττω συνεβούλευσεν, ὥστ' εὖ εἰδέναι ὅτι κηδεσταῖς χρησοίμην κοσμίοις καὶ σώφροσι. Καὶ νῦν ἔχω γυναῖκα τὴν Κριτοδήμου θυγατέρα τοῦ Ἀλωπεκῆθεν, ὃς ὑπὸ Λακεδαιμονίων ἀπέθανεν, ὅτε ἡ ναυμαχία ἐγένετο ἐν Ἑλλησπόντῳ. (17) Καίτοι, ὦ ἄνδρες δικασταί, ὅστις αὐτός τε ἄνευ χρημάτων ἔγημε ταῖν τε θυγατέροιν πολὺ ἀργύριον ἐπέδωκε τῷ τε υἱῷ ὀλίγην προῖκα ἔλαβε, πῶς οὐκ εἰκὸς περὶ τούτου πιστεύειν ὡς οὐχ ἕνεκα χρημάτων τούτοις κηδεστὴς ἐγένετο;

18. Ἀλλὰ μὴν ὅ γε Ἀριστοφάνης ἤδη ἔχων τὴν γυναῖκα ὅτι πολλοῖς ἂν μᾶλλον ἐχρῆτο ἢ τῷ ἐμῷ πατρί, ῥᾴδιον γνῶναι. Ἥ τε γὰρ ἡλικία πολὺ διάφορος, ἥ τε φύσις ἔτι πλέον· ἐκείνῳ μὲν γὰρ ἦν τὰ ἑαυτοῦ πράττειν,

venimus de iis quæ majores nostri jure parta nobis reliquere. Attamen, judices, pater meus omni vitæ suæ tempore plura in rempublicam impendebat quam in se et propinquos suos, erogavit in rempublicam duplo plus quam nobis nunc in fortunis est; quemadmodum ipsi computanti sæpius adfui. (10) Nolite igitur eum præjudicio vestro damnare iniquitatis, qui paucissima in se, in vestrum usum plurima insumebat: eos potius damnate qui non solum hæreditates paternas, sed et quæcumque acceperint alicunde, in fœdissimas libidines impendere consueverunt. (11) Difficile est sane, judices, causam agere contra opinionem nonnullorum de Nicophemi fortunis, et contra pecuniarum inopiam in qua nunc versatur respublica, inprimis quum hæc nobis contentio sit adversus ærarium publicum. Verumtamen, tametsi ea res ita se habeat, facile intelligetis falsa esse ea quæ nobis objiciuntur. Vos autem obtestor omni studio et industria, ut, oratione nostra benevole ad finem usque accepta, id quod vobis optimum et juramento vestro accommodatissimum videbitur, decernatis.

12. Primum igitur quo pacto illi nobis affinitate sint conjuncti, vos docebo. Dum circa Peloponnesum exercitui imperans Conon adfuit, meo patri triremi præfecto olim amicus, ipsum oravit ut sororem meam Nicophemi filio petenti elocaret. (13) Ille ubi intellexit hos homines esse in aliqua fide apud Cononem, reipublicæ autem studere, et tunc temporis gratia aliqua florere, exorari se passus est, ignarus calumniæ in illos posthac venturæ, atque eo tempore hoc fecit quo quilibet vestrûm cum illis affinitatem contrahere cupiisset. Namque hæc lucri gratia non facta fuisse, facile constabit ex totius vitæ ratione gestisque rebus mei parentis. (14) Ille enim quum esset ætate integra et uxorem posset ducere bene dotatam, meam matrem duxit nihil afferentem, quia nempe filia erat Xenophontis, Euripidis filii, qui non solum in privatis vitæ rationibus probus est habitus, sed quem etiam exercitibus præesse voluistis, ut ego audio. (15) Meas autem sorores ditissimis quibusdam ducere cupientibus, ille non dedit, quod indole non satis honesta præditi esse viderentur: verum unam Philomelo Pæaniensi, quem plerique norunt melioribus esse moribus quam fortunis; alteram civi pauperculo quidem facto, sed citra hominis vitium, Phædro, e sorore nepoti, cum eadem dote quam postea etiam Aristophanes ab eo accepit, quadraginta scilicet minis. (16) Quin et quum mihi lautissimam dotem accipere liceret, minorem accipiendam esse suasit, dummodo scirem me affinibus probis et honestis esse usurum. Itaque nunc uxorem habeo Critodemi filiam Alopecensis, qui a Lacedæmoniis occisus est, quum pugna illa navalis in Hellesponto committeretur. (17) Atqui, judices, qui et ipse uxorem duxit indotatam, et filiabus utrisque grandem dotem dedit, et filio minus dotatam uxorem cepit, qui non de illo admodum credatis, quod illam affinitatem non pecuniarum causa fuerit aucupatus?

18. Ceterum Aristophanem, domum uxore ducta, aliis familiariorem fuisse quam patri meo, facile est cognitu. Nam et ætate multum discrepabat, et ingenio multo etiam magis. Patri res suas agere satis erat: Aristophanes non

Ἀριστοφάνης δὲ οὐ μόνον τῶν ἰδίων, ἀλλὰ καὶ τῶν κοινῶν ἐβούλετο ἐπιμελεῖσθαι, καὶ εἴ τι ἦν αὐτῷ ἀργύριον, ἀνήλωσεν ἐπιθυμῶν τιμᾶσθαι. (19) Γνώσεσθε δὲ ὅτι ἀληθῆ λέγω, ἐξ αὐτῶν ὧν ἐκεῖνος ἔπραττε. Πρῶτον μὲν γὰρ βουλομένου Κόνωνος πέμπειν τινὰ εἰς Σικελίαν, ᾤχετο ὑποστὰς μετὰ Εὐνόμου καὶ Λυσίου, φίλου ὄντος καὶ ξένου, τὸ πλῆθος τὸ ὑμέτερον πλεῖστα ἀγαθὰ πεποιηκότος, ὡς ἐγὼ ἀκήκοα τῶν ἐν Πειραιεῖ παραγενομένων. (20) Ἦσαν δ' ἐλπίδες τοῦ πλοῦ πεῖσαι Διονύσιον κηδεστὴν μὲν γενέσθαι Εὐαγόρᾳ, πολέμιον δὲ Λακεδαιμονίοις, φίλον δὲ καὶ σύμμαχον τῇ πόλει τῇ ὑμετέρᾳ. Καὶ ταῦτ' ἔπραττον πολλῶν κινδύνων ὑπαρχόντων πρὸς τὴν θάλασσαν καὶ τοὺς πολεμίους, καὶ ἔπεισαν Διονύσιον μὴ πέμψαι τριήρεις ἃς τότε παρεσκευάσατο Λακεδαιμονίοις. (21) Μετὰ δὲ ταῦτα ἐπειδὴ οἱ πρέσβεις ἧκον ἐκ Κύπρου ἐπὶ τὴν βοήθειαν, οὐδὲν ἐνέλιπε προθυμίας σπεύδων. Ὑμεῖς δὲ τριήρεις αὐτοῖς ἔδοτε καὶ τἄλλα ἐψηφίσασθε, ἀργυρίου δ' εἰς τὸν ἀπόστολον ἠπόρουν. Ὀλίγα μὲν γὰρ ἦλθον ἔχοντες χρήματα, πολλῶν δὲ προσεδεήθησαν· οὐ γὰρ μόνον εἰς τὰς ναῦς, ἀλλὰ καὶ πελταστὰς ἐμισθώσαντο καὶ ὅπλα ἐπρίαντο. (22) Ἀριστοφάνης δ' οὖν τῶν χρημάτων τὰ μὲν πλεῖστα αὐτὸς παρέσχεν· ἐπειδὴ δὲ οὐχ ἱκανὰ ἦν, τοὺς φίλους ἔπειθε δεόμενος καὶ ἐγγυώμενος, καὶ τοῦ ἀδελφοῦ τοῦ ὁμοπατρίου ἀποκειμένας παρ' αὐτῷ τεσσαράκοντα μνᾶς εἰπὼν κατεχρήσατο. Τῇ δὲ
154 προτεραίᾳ ᾗ ἀνήγετο, εἰσελθὼν ὡς τὸν πατέρα τὸν ἐμὸν ἐκέλευσε χρῆσαι ὅ τι εἴη ἀργύριον· προσδεῖν γὰρ ἔφη πρὸς τὸν μισθὸν τοῖς πελτασταῖς. Ἦσαν δ' ἡμῖν ἔνδον ἑπτὰ μναῖ· ὁ δὲ καὶ ταύτας λαβὼν κατεχρήσατο. (23) Τίνα γὰρ οἴεσθε, ὦ ἄνδρες δικασταί, φιλότιμον μὲν ὄντα, ἐπιστολῶν δ' αὐτῷ ἡκουσῶν παρὰ τοῦ πατρὸς μηδὲν ἀπορήσειν ἐκ Κύπρου, ᾑρημένον δὲ πρεσβευτὴν καὶ μέλλοντα πλεῖν ὡς Εὐαγόραν, ὑπολείπεσθαι ἄν τι τῶν ὄντων, ἀλλ' οὐκ εἰ ἦν δυνατὸς πάντα παρασχόντα χαρίσασθαι ἐκείνῳ τε καὶ κομίσασθαι μὴ ἐλάττω; Ὡς τοίνυν ταῦτ' ἐστὶν ἀληθῆ, κάλει μοι Εὔνομον.

ΜΑΡΤΥΡΕΣ.

24. Τῶν μὲν μαρτύρων ἀκούετε, οὐ μόνον ὅτι ἔχρησαν ἐκείνου δεηθέντος, ἀλλὰ καὶ ὅτι ἀπειλήφασιν· ἐκομίσθη γὰρ αὐτοῖς ἐπὶ τῆς τριήρους.

Ῥᾴδιον μὲν οὖν ἐκ τῶν εἰρημένων γνῶναι ὅτι τοιούτων καιρῶν συμπεσόντων οὐδενὸς ἂν ἐφείσατο τῶν ἑαυτοῦ· ὃ δὲ μέγιστον τεκμήριον· (25) Δῆμος γὰρ ὁ Πυριλάμπους, τριηραρχῶν εἰς Κύπρον, ἐδεήθη μου προσελθεῖν αὐτῷ, λέγων ὅτι ἔλαβε σύμβολον παρὰ βασιλέως τοῦ μεγάλου φιάλην χρυσῆν, ὡς Ἀριστοφάνην λαβεῖν ἑκκαίδεκα μνᾶς ἐπ' αὐτῇ, ἃς ἔχοι ἀναλίσκειν εἰς τὰς τριηραρχίας· ἐπειδὴ δὲ εἰς Κύπρον ἀφίκοιτο, λύσεσθαι ἀποδοὺς εἴκοσι μνᾶς· πολλῶν γὰρ ἀγαθῶν καὶ ἄλλων καὶ χρημάτων εὐπορήσειν διὰ τὸ σύμβολον ἐν πάσῃ τῇ ἠπείρῳ. (26) Ἀριστοφάνης τοίνυν ἀκούων μὲν

solum negotia sua, verum etiam publica administrare voluit, et si quid pecuniæ suppeteret, id omne consumpsit in honoribus ambiendis. (19) Ea autem quæ dico vera esse, constabit ex iis quæ ille gessit. Primum enim quum Conon vellet legatum mittere in Siciliam, ille ea re ultro suscepta, profectus est una cum Eunomo et Lysia, cujus amicitia et hospitio utebatur, et qui optime de populo Atheniensi meritus erat, ut ex iis audivi qui in Piræeo erant et ipsi agenti adfuere. (20) Ea autem mente legati mittebantur, ut Dionysium sollicitarent fieri affinem Evagoræ, Lacedæmoniis hostem, vestræ reipublicæ socium et amicum. Atque hæc agebant quum multa pericula tam a mari quam ab hostibus essent exspectanda; et a Dionysio impetrarunt uti naves quas tunc comparabat, Lacedæmoniis subsidio non mitteret. (21) Post hæc, ubi aderant legati ex Cypro de auxiliis impetrandis, nihil de studio suo remisit. Quibus etsi vos contuleratis triremes et alia decreveratis maxime necessaria, pecuniis tamen nonnihil indigebant ad classem deducendam. Domo enim abierunt mediocriter opibus instructi, ac multis insuper opus erat ut non solum milites classiarios, sed et peltastas conducerent et arma emerent. (22) Aristophanes igitur plurimam pecuniam ipse præstitit; at quum hæc non sufficeret, aliam ab amicis comparavit et precibus et sponsionibus, et quadraginta minis a fratre germano apud se depositis usus est, ipsius consensu ante impetrato. Pridie autem quam solveret, ad patrem meum veniens rogavit quantum haberet pecuniæ sibi mutuo daret; aliquantulo enim adhuc se opus habere quod peltastis in mercedem daret. Nobis intus erant minæ septem, quibus ille acceptis usus est. (23) Quamnam enim, judices, virum et laudis cupidum et certiorem factum paternis litteris ex Cypro sibi defuturum nihil, et nominatum jam legatum, et ad Evagoram navigaturum, quamnam opum suarum partem intactam relicturum esse arbitramini? an non putatis eum quæcumque haberet exhausturum fuisse, ut illi regi gratificans ab eodem non pauciora referret? Hæc ut ostendam vera esse, voca mihi Eunomum.

TESTES.

24. Ex testibus audivistis quod non solum illo orante mutuo æs dederint, sed quod dinumeratum receperint; namque id ad ipsos allatum est in triremi reduce ex Cypro.

Facile est igitur ex iis quæ dicta sunt intelligere quod ille in tali temporis articulo suis fortunis nullatenus parcere voluisset. Cujus rei hoc maximum est argumentum. (25) Demus enim, Pyrilampis filius, triremi in Cyprum navigaturæ præfectus, rogavit me ut ad Aristophanem accederem, dicens se accepisse tesseram a magno rege phialam auream; hanc se velle Aristophani oppignerare pro minis sedecim, quas in navem instruendam impenderet: has se, ubi Cyprum venisset, soluturum, dinumeratis minis viginti; quippe propter tesseram omnibus bonis et rebus in tota Asia se abundaturum. (26) Aristophanes igitur, his ex Demo auditis, quamvis Demum pre-

ταῦτα Δήμου, δεομένου δ' ἐμοῦ, μέλλων δ' ἄξειν χρυσίον, τέτταράς δὲ μνᾶς τόκον λήψεσθαι, οὐκ ἔφη εἶναι, ἀλλ' ὤμνυε καὶ προσδεδανεῖσθαι τοῖς ξένοις ἄλλοθεν, ἐπειδὴ ἥδιστ' ἂν ἀνθρώπων ἄγειν τε εὐθὺς ἐκεῖνο τὸ σύμϐολον καὶ χαρίσασθαι ἡμῖν ἃ ἐδεόμεθα. (27) Ὡς δὲ ταῦτ' ἐστὶν ἀληθῆ, μάρτυρας ὑμῖν παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

Ὅτι μὲν τοίνυν οὐ κατέλιπεν Ἀριστοφάνης ἀργύριον οὐδὲ χρυσίον, ῥᾴδιον γνῶναι ἐκ τῶν εἰρημένων καὶ μεμαρτυρημένων· χαλκώματα δὲ σύμμικτα οὐ πολλὰ ἐκέκτητο· ἀλλὰ καὶ ὅθ' εἱστία τοὺς παρ' Εὐαγόρου πρεσϐεύοντας, αἰτησάμενος ἐχρήσατο. Ἃ δὲ κατέλιπεν ἀναγνώσεται ὑμῖν.

ΑΠΟΓΡΑΦΗ ΧΡΗΜΑΤΩΝ.

28. Ἴσως ἐνίοις ὑμῶν, ὦ ἄνδρες δικασταί, δοκεῖ ὀλίγα εἶναι· ἀλλ' ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι πρὶν τὴν ναυμαχίαν νικῆσαι, γῆ μὲν οὐκ ἦν ἀλλ' ἢ χωρίδιον μικρὸν Ῥαμνοῦντι· ἐγένετο δ' ἡ ναυμαχία ἐπ' Εὐϐούλου ἄρχοντος. (29) Ἐν οὖν τέτταρσιν ἢ πέντε ἔτεσι, πρότερον μὴ ὑπαρχούσης οὐσίας, χαλεπόν, ὦ ἄνδρες δικασταί, τραγῳδοῖς τε δὶς χορηγῆσαι, ὑπὲρ αὑτοῦ τε καὶ τοῦ πατρός, καὶ τρία ἔτη συνεχῶς τριηραρχῆσαι, εἰσφοράς τε πολλὰς εἰσενηνοχέναι, οἰκίαν τε πεντήκοντα μνῶν πρίασθαι, γῆς τε πλέον ἢ τριακόσια πλέθρα κτήσασθαι, ἔτι δὲ πρὸς τούτοις οἴεσθαι χρῆναι ἔπιπλα πολλὰ καταλελοιπέναι. (30) Ἀλλ' οὐδ' οἱ πάλαι πλούσιοι δοκοῦντες εἶναι ἄξια λόγου ἔχοιεν ἂν ἐξενεγκεῖν· ἐνίοτε γὰρ οὐκ ἔστιν, οὐδ' ἐάν τις πάνυ ἐπιθυμῇ, πρίασθαι τοιαῦτα ἃ κτησαμένῳ εἰς τὸν λοιπὸν χρόνον ἡδονὴν ἂν παρέχοι. (31) Ἀλλὰ τόδε σκοπεῖτε. Τῶν ἄλλων ὅσων ἐδημεύσατε χρήματα, οὐχ ὅπως σκεύη ἀπέδοσθε, ἀλλὰ καὶ αἱ θύραι ἀπὸ τῶν οἰκημάτων ἀφηρπάσθησαν· ἡμεῖς δὲ ἤδη δεδημευμένων καὶ ἐξεληλυθυίας τῆς ἐμῆς ἀδελφῆς φύλακα κατεστήσαμεν τῇ οἰκίᾳ, ἵνα μήτε θυρώματα μήτε ἀγγεῖα μήτε ἄλλο μηδὲν ἀπόλοιτο. Ἔπιπλα δὲ ἀπεφαίνοντο πλέον ἢ χιλίων δραχμῶν, ὅσα οὐδενὸς πώποτ' ἐλάϐετε. (32) Πρὸς δὲ τούτοις καὶ πρότερον πρὸς τοὺς συνδίκους καὶ νῦν ἐθέλομεν πίστιν δοῦναι, ἥτις ἐστὶ μεγίστη τοῖς ἀνθρώποις, μὴ ἔχειν τῶν Ἀριστοφάνους χρημάτων, ὀφείλεσθαι δὲ τὴν προῖκα τῆς ἀδελφῆς καὶ ἑπτὰ μνᾶς, ἃς ᾤχετο λαϐὼν παρὰ τοῦ πατρὸς τοῦ ἐμοῦ. (33) Πῶς ἂν οὖν εἶεν ἄνθρωποι ἀθλιώτεροι, ἢ εἰ τὰ σφέτερ' αὐτῶν ἀπολωλεκότες δοκοῖεν τἀκείνων ἔχειν; Ὃ δὲ πάντων δεινότατον, τὴν
155 ἀδελφὴν ὑποδέξασθαι παιδία ἔχουσαν πολλά, καὶ ταῦτα τρέφειν, μηδ' αὐτοὺς ἔχοντας μηδέν, ἐὰν ὑμεῖς τὰ ὄντ' ἀφέλησθε. (34) Φέρε πρὸς θεῶν Ὀλυμπίων· οὕτω γὰρ σκοπεῖτε, ὦ δικασταί. Εἴ τις ὑμῶν ἔτυχε δοὺς Τιμοθέῳ τῷ Κόνωνος τὴν θυγατέρα ἢ τὴν ἀδελφήν, καὶ ἐκείνου ἀποδημήσαντος καὶ ἐν διαϐολῇ γενομένου ἐδημεύθη ἡ οὐσία, καὶ μὴ ἐγένετο τῇ πόλει πραθέντων ἁπάντων τέτταρα τάλαντα ἀργυρίου, διὰ τοῦτο ἠξιοῦτε

cibus meis adjuvarem, ille vero phialam auream habiturus et ostentaturus atque quattuor minas fœneraturus esset, negavit tamen sibi quidquam esse pecuniæ, sed cum jurejurando affirmavit se a peregrinis aliunde mutuo sumpsisse, ceterum omnium lubentissime se et tesseram accepturum, et in iis quæ nos rogabamus gratum facturum. (27) Hæc ut constet vera esse testes vobis producam.

TESTES.

Aristophanem igitur neque argentum neque aurum reliquisse, facile est intelligere ex dictis et testatis. Vasa autem ex ære conflata non multa admodum possedit; sed quum convivio excepit Evagoræ legatos, plura ab aliis petens mutuatus est. Quæ porro reliquit, ea vobis scriba leget.

INDEX BONORUM.

28. Fortasse nonnullis vestrûm hæc videntur pauca esse; sed reputate Nicophemo et Aristophani, ante victoriam navalem, agrorum nihil fuisse præter modicum Rhamnunte agellum. Pugna autem illa contigit sub Eubulo archonte. (29) Atqui, judices, intra quattuor aut quinque annos (nam antea nullæ ei opes erant), quum in ludis scenicis sumptus pro se ipso et patre bis fecerit, quum per triennium continuum triremi præfuerit, multa tributa dependerit, ædes quadraginta minis emerit, et agrorum plus quam trecenta jugera comparaverit, existimatu difficile est multam ab eo supellectilem debuisse relinqui. (30) At neque illi qui jam a majoribus divites esse existimantur, horum quidquam maximi pretii proferre possint. Aliquando enim, etiamsi quis maxime velit, non possit talia emere quæ possidenti sibi in posterum oblectationem afferant. (31) Verum et hoc animadvertite. Ceterorum quorum publicastis bona, tantum aberat ut supellectilem modo venderetis, ut etiam fores ædium abriperentur. Ego autem, bonis Aristophanis jam publicatis, et egressa sorore mea, ædibus custodes apposui tanquam meis, ut neque fores, neque vasa, neque aliud quidquam auferretur. Descripta porro est supellex ultra mille drachmas, quantam a nullo unquam accepistis. (32) Insuper et olim voluimus et nunc volumus coram syndicis fidem dare, quæcumque maxima est hominibus, nihil nos ex Aristophanis bonis habere, sed deberi adhuc sororis dotem et septem minas quas ille a patre meo mutuatus est. (33) Qui igitur sint homines nobis infortunatiores, quam si, nostris amissis, aliena habere videamur? Hoc vero fuerit omnium acerbissimum, nempe sororem cum pluribus liberis recipere et alere nos cogi, quibus nihil suppetet, si ea quæ restant vos eripiatis. (34) Agite vero, per deos Olympios; sic enim reputate, judices: si quis vestrûm Timotheo, Cononis filio, filiam aut sororem elocasset, ejusque peregre profecti et in suspicionem venientis, bona fuissent publicata, et ad civitatem, divenditis omnibus, non rediissent quattuor ta-

καὶ τοὺς προσήκοντας τοὺς ἐκείνου ἀπολέσθαι, ὅτι οὐδὲ πολλοστὸν μέρος τῆς δόξης τῆς παρ' ὑμῖν ἐφάνη τὰ χρήματα; (35) Ἀλλὰ μὴν τοῦτο πάντες ἐπίστασθε, Κόνωνα μὲν ἄρχοντα, Νικόφημον δὲ ποιοῦντα ὅ τι ἐκεῖνος προστάττοι. Τῶν οὖν ὠφελειῶν Κόνωνα εἰκὸς πολλοστὸν μέρος ἄλλῳ τινὶ μεταδιδόναι, ὥστ' εἰ οἴονται πολλὰ γενέσθαι Νικοφήμῳ, ὁμολογήσειαν ἂν τὰ Κόνωνος εἶναι πλείονα ἢ δεκαπλάσια. (36) Ἔτι δὲ φαίνονται οὐδὲν πώποτε διενεχθέντες, ὥστ' εἰκὸς καὶ περὶ τῶν χρημάτων ταὐτὰ γνῶναι, ἱκανὰ μὲν ἐνθάδε τῷ υἱεῖ ἑκάτερον καταλιπεῖν, τὰ δὲ ἄλλα παρ' αὑτοῖς ἔχειν· ἦν γὰρ Κόνωνι μὲν υἱὸς ἐν Κύπρῳ καὶ γυνή, Νικοφήμῳ δὲ γυνὴ καὶ θυγάτηρ, ἡγοῦντο δὲ καὶ τὰ ἐκεῖ ὁμοίως σφίσιν εἶναι ἴσα ὥσπερ καὶ τὰ ἐνθάδε. (37) Πρὸς δὲ τούτοις ἐνθυμεῖσθε ὅτι καὶ εἴ τις μὴ κτησάμενος, ἀλλὰ παρὰ τοῦ πατρὸς παραλαβὼν τοῖς παισὶ διένειμεν, οὐκ ἐλάχιστα ἂν αὑτῷ ὑπέλιπε· βούλονται γὰρ πάντες ὑπὸ τῶν παίδων θεραπεύεσθαι ἔχοντες χρήματα μᾶλλον ἢ ἐκείνων δεῖσθαι ἀποροῦντες. (38) Νῦν τοίνυν εἰ δημεύσαιτε τὰ Τιμοθέου, — ὃ μὴ γένοιτο, εἰ μή τι μέλλει μέγα ἀγαθὸν ἔσεσθαι τῇ πόλει, — ἐλάττω ἐὰν ἐξ αὐτῶν λάβοιτ' ἢ ἐκ τῶν Ἀριστοφάνους γεγένηται, τούτου ἕνεκα ἠξιοῦτε τοὺς ἀναγκαίους τοὺς ἐκείνου τὰ σφέτερ' αὐτῶν ἀπολέσαι; (39) Ἀλλ' οὐκ εἰκός, ὦ ἄνδρες δικασταί· ὁ γὰρ Κόνωνος θάνατος καὶ αἱ διαθῆκαι, ἃς διέθετο ἐν Κύπρῳ, σαφῶς ἐδήλωσαν ὅτι πολλοστὸν μέρος ἦν τὰ χρήματα ὧν ὑμεῖς προσεδοκᾶτε· τῇ μὲν γὰρ Ἀθηνᾷ καθιέρωσεν εἰς ἀναθήματα καὶ τῷ Ἀπόλλωνι εἰς Δελφοὺς πεντακισχιλίους στατῆρας· (40) τῷ δὲ ἀδελφιδῷ τῷ ἑαυτοῦ, ὃς ἐφύλαττεν αὐτῷ καὶ ἐταμίευε πάντα τὰ ἐν Κύπρῳ, ἔδωκεν ὡς μυρίας δραχμάς, τῷ δὲ ἀδελφῷ τρία τάλαντα· τὰ δὲ λοιπὰ τῷ υἱεῖ κατέλιπε, τάλαντα ἑπτακαίδεκα. Τούτων δὲ κεφάλαιον γίγνεται περὶ τετταράκοντα τάλαντα. (41) Καὶ οὐδενὶ οἷόν τε εἰπεῖν ὅτι διηρπάσθη ἢ ὡς οὐ δικαίως ἀπεφάνθη· αὐτὸς γὰρ ἐν τῇ νόσῳ ὢν εὖ φρονῶν διέθετο. Καί μοι κάλει τούτων μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

42. Ἀλλὰ μὴν ὁστισοῦν, ὦ ἄνδρες δικασταί, πρὶν ἀμφότερα δῆλα γενέσθαι, πολλοστὸν μέρος τὰ Νικοφήμου τῶν Κόνωνος χρημάτων ᾠήθη ἂν εἶναι. Ἀριστοφάνης τοίνυν γῆν μὲν καὶ οἰκίαν ἐκτήσατο πλέον ἢ πέντε ταλάντων, κατεχορήγησε δὲ ὑπὲρ αὑτοῦ καὶ τοῦ πατρὸς πεντακισχιλίας δραχμάς, τριηραρχῶν δὲ ἀνήλωσεν ὀγδοήκοντα μνᾶς. (43) Εἰσενήνεκται δὲ ὑπὲρ ἀμφοτέρων οὐκ ἔλαττον μνῶν τετταράκοντα. Εἰς δὲ τὸν ἐν Σικελίᾳ πλοῦν ἀνήλωσεν ἑκατὸν μνᾶς. Εἰς δὲ τὸν ἀπόστολον τῶν τριήρων, ὅτε οἱ Κύπριοι ἦλθον καὶ ἔδοτε αὐτοῖς τὰς δέκα ναῦς, καὶ τῶν πελταστῶν τὴν μίσθωσιν καὶ τῶν ὅπλων τὴν ὠνὴν παρέσχε τρισμυρίας δραχμάς. Καὶ τούτων κεφάλαιον πάντων γίγνεται μικροῦ λείποντος πεντεκαίδεκα τάλαντα. (44) Ὥστε οὐκ ἂν εἰκότως ἡμᾶς αἰτιᾶσθε, ἐπεὶ τῶν Κόνω-

lenta argenti, ideone existimassetis perdendos esse illius propinquos, quod longe infra spem vestram bona illius reciderent? (35) Attamen hoc novistis omnes, Cononem imperitasse, et Nicophemum quæcumque ille jusserit peregisse. Cononem igitur verisimile est minimam emolumentorum partem communicasse cum alio. Quare si putant multa pervenisse ad Nicophemum, fatebuntur sane partem Cononis fuisse plus quam decuplam. (36) Quin et videntur illi in nulla re unquam dissensisse; ita ut ipsos in re quoque nummaria eadem cogitasse credibile sit, utrumque scilicet filio quem hic habebat ea reliquisse quæ satis erant, reliqua apud se retinuisse. Cononi enim erat filius et uxor in Cypro; Nicophemo uxor et filia. Putabamus autem bona quæ illic habuerunt iis esse æqualia quæ hic habebant. (37) Cogitate insuper quod is etiam qui non suo labore parta, sed a majoribus accepta liberis distribuit, non minimam sibi partem reservat. Omnes enim cupiunt a liberis coli, ipsique potius pecuniis abundare quam ad eorum liberalitatem confugere. (38) Jam igitur si Timothei bona publicaretis (quod ita ne sit, nisi magno fiat reipublicæ commodo), et minora inde provenerint quam ex Aristophanis bonis provenerunt, idcircone existimaretis ejus necessarios suis fortunis esse spoliandos? (39) At non esset æquum, judices; siquidem Cononis mors et testamentum quod in Cypro fecit, liquido declararunt exiguas admodum præ vestra exspectatione fuisse illius facultates. Minervæ enim et Apollini in Delphis donavit quinquies mille stateras; (40) fratris autem filio, qui omnia quæ in Cypro habebat custodivit atque administravit, dedit fere decem millia drachmarum, fratri tria talenta; filio legavit cetera, talenta septendecim. Horum summa quadraginta est circiter talentorum. (41) Neque cuiquam dicere licet vel direptas esse Cononis facultates, aut earum non juste redditam rationem. Ipse enim dum in insula manebat, sana mente testamentum fecit. Et mihi voca horum testes.

TESTES.

42. At enim, judices, antequam utriusque fortunæ manifestæ fierent, nemo est qui non putasset Nicophemi fortunas exiguas admodum fuisse cum Cononis facultatibus comparatas. Aristophanes igitur agrum sibi et domum comparavit pluris quam quinque talentis; in publicis ludis pro se et patre expendit quinque millia drachmarum; in triremium præfectura dinumeravit octoginta minas; (43) tributorum pro utroque solutiones ad minas quadraginta accedunt; in expeditionem Siculam centum minas insumpsit; in triremium denique apparatum, quum Cyprii venissent, eisque vos decem naves decrevissetis, in peltastarum conductionem armorumque emptionem præbuit tricena millia drachmarum. Quæ omnia quindecim fere talentorum summam efficiunt. (44) Itaque nos injuria culparetis, quandoquidem Cononis bonorum quæ multo

νος, τῶν ὁμολογουμένων δικαίως ἀποφανθῆναι ὑπ' αὐτοῦ ἐκείνου, πολλαπλασίων δοκούντων πλέον ἢ τρίτον μέρος φαίνεται τὰ Ἀριστοφάνους. Καὶ οὐ προσλογιζόμεθα ὅσα αὐτὸς ἐν Κύπρῳ ἔσχε Νικόφημος, οὔσης αὐτῷ ἐκεῖ γυναικὸς καὶ θυγατρός.

45. Ἐγὼ μὲν οὐκ ἀξιῶ, ὦ ἄνδρες δικασταί, οὕτω πολλὰ καὶ μεγάλα τεκμήρια παρασχομένους ἡμᾶς ἀπολέσθαι ἀδίκως. Ἀκήκοα γὰρ ἔγωγε καὶ τοῦ πα-
156 τρὸς καὶ ἄλλων πρεσβυτέρων, ὅτι οὐ νῦν μόνον, ἀλλὰ καὶ ἐν τῷ πρόσθεν χρόνῳ πολλῶν ἐψεύσθητε τῆς οὐσίας, καὶ ζῶντες μὲν πλουτεῖν ἐδόκουν, ἀποθανόντες δὲ πολὺ παρὰ τὴν δόξαν τὴν ὑμετέραν ἐφάνησαν. (46) Αὐτίκα Ἰσχομάχῳ, ἕως ἔζη, πάντες ᾤοντο εἶναι πλέον ἢ ἑβδομήκοντα τάλαντα, ὡς ἐγὼ ἀκούω· ἐνειμάσθην δὲ τὼ υἱέε οὐδὲ δέκα τάλαντα ἑκατέρω ἀποθανόντες. Στεφάνῳ δὲ τῷ Θάλλου ἐλέγετο εἶναι πλέον ἢ πεντήκοντα ταλάντων, ἀποθανόντος δ' ἡ οὐσία ἐφάνη περὶ ἕνδεκα τάλαντα. (47) Ὁ τοίνυν Νικίου οἶκος προσεδοκᾶτο εἶναι οὐκ ἔλαττον ἢ ἑκατὸν ταλάντων, καὶ τούτων τὰ πολλὰ ἔνδον ἦν· Νικήρατος δ' ὅτ' ἀπέθνησκεν, ἀργύριον μὲν ἢ χρυσίον οὐδ' αὐτὸς ἔφη καταλιπεῖν οὐδέν, ἀλλὰ τὴν οὐσίαν ἣν κατέλιπε τῷ υἱεῖ, οὐ πλείονος ἀξία ἐστὶν ἢ τεττάρων καὶ δέκα ταλάντων. (48) Καλλίας τοίνυν ὁ Ἱππονίκου, ὅτε νεωστὶ ἐτεθνήκει ὁ πατήρ, πλεῖστα τῶν Ἑλλήνων ἐδόκει κεκτῆσθαι, καὶ ὥς φησι, διακοσίων ταλάντων ἐτιμήσατο αὑτοῦ ὁ πάππος· τὸ τούτου τοίνυν τίμημ' οὐδὲ δυοῖν ταλάντοιν ἐστί. Κλεοφῶντα δὲ πάντες ἴστε, ὅτι πολλὰ ἔτη διεχείρισε τὰ τῆς πόλεως πάντα καὶ προσεδοκᾶτο πάμπολλα ἐκ τῆς ἀρχῆς ἔχειν· ἀποθανόντος δ' αὐτοῦ οὐδαμοῦ δῆλα τὰ χρήματα, ἀλλὰ καὶ οἱ προσήκοντες καὶ οἱ κηδεσταί, παρ' οἷς κατέλιπεν, ὁμολογουμένως πένητές εἰσι. (49) Φαινόμεθα δὴ καὶ τῶν ἀρχαιοπλούτων πολὺ ἐψευσμένοι καὶ τῶν νεωστὶ παρὰ τὸ εἰκὸς ἐν δόξῃ γεγενημένων. Αἴτιον δέ μοι δοκεῖ εἶναι, ὅτι ῥᾳδίως τινὲς τολμῶσι λέγειν ὡς ὁ δεῖνα ἔχει τάλαντα πολλὰ ἐκ τῆς ἀρχῆς. Καὶ ὅσα μὲν περὶ τεθνεώτων λέγουσιν, οὐ πάνυ θαυμάζω (οὐ γὰρ ὑπό γε ἐκείνων ἐξελεγχθεῖεν ἄν), ἀλλ' ὅσα ζώντων ἐπιχειροῦσι καταψεύδεσθαι. (50) Αὐτοὶ γὰρ ἔναγχος ἠκούετε ἐν τῇ ἐκκλησίᾳ, ὡς Διότιμος ἔχοι τάλαντα τετταράκοντα πλείω ἢ ὅσα αὐτὸς ὡμολόγει παρὰ τῶν ναυκλήρων καὶ ἐμπόρων· καὶ ταῦτα, ἐπειδὴ ἦλθεν, ἐκείνου ἀπογράφοντος καὶ χαλεπῶς φέροντος ὅτι ἀπὼν διεβάλλετο, οὐδεὶς ἐξήλεγξε, δεομένης μὲν τῆς πόλεως χρημάτων, ἐθέλοντος δὲ ἐκείνου λογίσασθαι. (51) Ἐνθυμεῖσθε τοίνυν οἷον ἂν ἐγένετο, εἰ Ἀθηναίων ἁπάντων ἀκηκοότων ὅτι τετταράκοντα τάλαντα ἔχοι Διότιμος, εἶτα ἔπαθέ τι πρὶν καταπλεῦσαι δεῦρο. Εἶτα οἱ προσήκοντες ἂν αὐτοῦ ἐν κινδύνῳ ἦσαν τῷ μεγίστῳ, εἰ ἔδει αὐτοὺς πρὸς τοσαύτην διαβολὴν ἀπολογεῖσθαι, μὴ εἰδότας μηδὲν τῶν πεπραγμένων. Αἴτιοι οὖν εἰσι καὶ ὑμῖν πολλῶν ἤδη ψευσθῆναι καὶ δὴ ἀδίκως γέ τινας ῥᾳδίως ἀπολέσθαι οἱ τολμῶντες ψεύδεσθαι καὶ συκοφαντεῖν ἀνθρώπους ἐπιθυμοῦντες. (52) Ἔπειτ' οἴομαι

copiosiora habebantur, quorumque computum rite ab eo ipso relatum fuisse constat, tertiam partem exsuperent bona Aristophanis. Neque hic adnumeramus quæcumque Nicophemus in Cypro possedit, quum ibi haberet uxorem et filiam.

45. Rogo vos igitur, judices, ne nos, tot et tanta proferentes argumenta, injuste perditos velitis. Audivi enim ex patre aliisque ætate provectioribus, quod non hodie solum, verum etiam olim de aliorum fortunis vestra vos opinio fefellit: qui vivi quidem locupletes habebantur, quorum tamen mortuorum res longe infra spem vestram cecidere. (46) Verbi gratia, Ischomachum, dum vivebat, omnes arbitrabantur habere ultra septuaginta talenta, ut audio: illo autem mortuo, filio utrique ne decem quidem talenta contigerunt. Stephanus, Thalli filius, plus quam septuaginta talenta dicebatur possedisse: mortuus reliquit circiter undecim. (47) Niciæ facultates credebantur non minores esse quam talenta centum; atque harum plurima pars domi erat: Niceratus ipsius filius jam moriturus affirmavit se nihil auri et argenti relinquere; totaque adeo res quam filio legavit, ea non pluris æstimatur quam quattuordecim talentis. (48) Callias deinde filius Hipponici, qui, patre nuper mortuo, habebatur omnium Græcorum ditissimus, cujusque avus, uti dicit, rem suam familiarem ducentis talentis æstimavit, nunc ne duorum quidem talentorum censum habere existimatur. Cleophontem omnes novistis universa reipublicæ bona per plures annos administrasse; putabatur quoque grandem pecuniam ex honoribus quos gesserat collegisse: demortui autem bona nusquam comparuerunt, affinesque et propinquos, quibus omnia reliquit, constat esse pauperes. (49) Itaque patet nos decipi quum circa eos qui jam antiquitus ditescebant, tum erga eos qui nuperius divitiarum fama innotescebant. Cujus rei causa mihi videtur esse, quod quidam temere affirmare audent hunc aut illum multa talenta e gestis honoribus corrasisse. Et quæ de mortuis prædicant non admodum miror, quum ab illis non possint redargui, sed quæ in vivos falso dicere aggrediuntur. (50) Vos enim nuper in concione audivistis, Diotimum a naviculatoribus et mercatoribus quadraginta talenta coegisse ultra quam ipse agnoscebat: illum tamen Athenas reversum, actionem instituentem atque ægre ferentem quod absens per injuriam incusaretur, nemo convicit, quum et respublica pecuniis indigeret, et ipse paratus esset ad rationes reddendas. (51) Considerate igitur quid fuisset futurum, si Diotimo, quem omnes Athenienses audierant quadraginta talenta penes se ipsum habere, aliquid humanitus accidisset priusquam huc reverteretur; tum ejus propinqui in maximo versarentur periculo, quod ipsis respondendum esset ad tantam calumniam, rerum gestarum nihil exploratum habentibus. Ceterum in causa sunt cur vos in multis decipiamini, atque etiam nonnulli facile præter jus perdantur, istiusmodi homines qui et mentiri audeant, et ceteros studeant falso criminari. (52) Ad hæc non ignorare vos arbitror Alcibiadem

ὑμᾶς εἰδέναι ὅτι Ἀλκιβιάδης τέτταρα ἢ πέντε ἔτη ἐφεξῆς ἐστρατήγει ἐπικρατῶν καὶ νενικηκὼς Λακεδαιμονίους, καὶ διπλάσια ἐκείνῳ ἠξίουν αἱ πόλεις διδόναι ἢ ἄλλῳ τινὶ τῶν στρατηγῶν, ὥστ' ᾤοντο εἶναί τινες αὐτῷ πλέον ἢ ἑκατὸν τάλαντα. Ὁ δ' ἀποθανὼν ἐδήλωσεν ὅτι οὐκ ἀληθῆ ταῦτα ἦν· ἔλαττω γὰρ οὐσίαν κατέλιπε τοῖς παισὶν ἢ αὐτὸς παρὰ τῶν ἐπιτροπευσάντων παρέλαβεν.

per quattuor vel quinque annos continenter bellum gessisse, profligatis et debellatis Lacedæmoniis, eique civitates duplo majora quam ulli alii ex ducibus ultro impertivisse. Quare nonnulli crediderunt eum plus possidere quam centum talenta; illo tamen mortuo constabat hæc non ita se habere, siquidem liberis rem minorem reliquit quam ipse a tutoribus acceperat.

53. Ὅτι μὲν οὖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τοιαῦτα ἐγίγνετο, ῥᾴδιον γνῶναι· φασὶ δὲ καὶ τοὺς ἀρίστους καὶ σοφωτάτους μάλιστα ἐθέλειν μεταγινώσκειν. Εἰ οὖν δοκοῦμεν εἰκότα λέγειν καὶ ἱκανὰ τεκμήρια παρέχεσθαι, ὦ ἄνδρες δικασταί, πάσῃ τέχνῃ καὶ μηχανῇ ἐλεήσατε. Ὡς ἡμεῖς τῆς μὲν διαβολῆς οὕτω μεγάλης οὔσης ἀεὶ προσεδοκῶμεν κρατήσειν μετὰ τοῦ ἀληθοῦς· ὑμῶν δὲ μηδενὶ τρόπῳ ἐθελησάντων πεισθῆναι οὐδ' ἐλπὶς οὐδεμία σωτηρίας ἐδόκει ἡμῖν εἶναι. (54) Ἀλλὰ πρὸς θεῶν Ὀλυμπίων, ὦ ἄνδρες δικασταί, βούλεσθε ἡμᾶς δικαίως σῶσαι μᾶλλον ἢ ἀδίκως ἀπολέσαι, καὶ πιστεύετε τούτοις ἀληθῆ λέγειν, οἳ ἂν καὶ σιωπῶντες ἐν ἅπαντι τῷ βίῳ παρέχωσι σώφρονας σφᾶς αὐτοὺς καὶ δικαίους.

53. Talia nimirum contigisse superioribus quoque annis, facile est intellectu. Aiunt autem optimos quosque et prudentissimos maxime velle ab errore deduci. Quapropter si vobis videamur, judices, verisimilia dicere et idonea argumenta afferre, omni ratione modoque miseremini. In tanta enim criminatione, semper speravimus, veritate adjuvante, nos superaturos, modo vos æquos et non præoccupatos nancisceremur; vestris vero animis ad defensionem nostram prorsus occlusis, nulla salutis spes nobis reliqua esse videbatur. (54) Sed, per deos Olympios, judices, velitis nos jure potius servare quam injuria perdere; atque eos vera dicere existimetis, qui etiam tacentes per totam vitam probe et sapienter se gesserint.

55. Περὶ μὲν οὖν αὐτῆς τῆς γραφῆς, καὶ ᾧ τρόπῳ κηδεσταὶ ἡμῖν ἐγένοντο, καὶ ὅτι οὐκ ἐξήρκει τὰ ἐκεί-
157 νου εἰς τὸν ἔκπλουν, ἀλλὰ καὶ ὡς ἄλλοθεν προσεδανείσατο, ἀκηκόατε καὶ μεμαρτύρηται ὑμῖν· περὶ δ' ἐμαυτοῦ βραχέα βούλομαι εἰπεῖν. Ἐγὼ γὰρ ἔτη γεγονὼς ἤδη τριάκοντα οὔτε τῷ πατρὶ οὐδὲν πώποτε ἀντεῖπον, οὔτε τῶν πολιτῶν οὐδείς μοι ἐνεκάλεσεν, ἐγγύς τε οἰκῶν τῆς ἀγορᾶς οὔτε πρὸς δικαστηρίῳ οὔτε πρὸς βουλευτηρίῳ ὤφθην οὐδεπώποτε, πρὶν ταύτην τὴν συμφορὰν γενέσθαι. (56) Περὶ μὲν οὖν ἐμαυτοῦ τοσαῦτα λέγω, περὶ δὲ τοῦ πατρός, ἐπειδὴ ὥσπερ ἀδικοῦντος αἱ κατηγορίαι γεγένηνται, συγγνώμην ἔχετε, ἐὰν λέγω ἃ ἀνήλωσεν εἰς τὴν πόλιν καὶ εἰς τοὺς φίλους· οὐ γὰρ φιλοτιμίας ἕνεκα, ἀλλὰ τεκμήριον ποιούμενος ὅτι οὐ τοῦ αὐτοῦ ἐστιν ἀνδρὸς ἄνευ ἀνάγκης τε πολλὰ ἀναλίσκειν καὶ μετὰ κινδύνου τοῦ μεγίστου ἐπιθυμῆσαι ἔχειν τι τῶν κοινῶν. (57) Εἰσὶ δέ τινες οἱ προαναλίσκοντες οὐ μόνου τούτου ἕνεκεν, ἀλλ' ἵνα ἄρχειν ὑφ' ὑμῶν ἀξιωθέντες διπλάσια κομίσωνται. Ὁ τοίνυν ἐμὸς πατὴρ ἄρχειν μὲν οὐδεπώποτε ἐπεθύμησε, τὰς δὲ χορηγίας ἁπάσας κεχορήγηκε, τετριηράρχηκε δὲ ἑπτάκις, εἰσφορὰς δὲ πολλὰς καὶ μεγάλας εἰσενήνοχεν. Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς, καθ' ἑκάστην ἀναγνώσεται.

55. De tota igitur accusatione, et quo pacto nobis illi fuerint affinitate conjuncti, et quod Aristophanis bona ad expeditionem navalem non suffecerint, sed quod aliunde mutuo sumere coactus sit, audivistis et testibus vobis comprobatum est; nunc de me ipso pauca dicam. Ego enim annos jam natus triginta, nulla unquam in re patri adversatus fui, neque ullus civium unquam me in jus vocavit; et tametsi prope forum habito, nunquam in judiciis, nunquam in senatu deprehensus sum, priusquam mihi hæc calamitas obvenerit. (56) Atque hæc de me dicta sint; de patre autem meo qui accusatur tanquam qui inique egerit, ignoscite, judices, quod proferam quanta in civitatem, quanta in amicos impenderit. Neque enim hæc dico ad aucupandam laudem, sed ut ostendam non ejusdem esse hominis multos sumptus absque necessitate facere, et pecunias publicas maximo cum periculo concupiscere. (57) Sunt autem nonnulli qui non solum laudis studio sua impendere consueverunt, sed ut magistratus adepti dupla recipiant. Meus autem pater nullum unquam magistratum ambivit, sed choregiis omnibus perfunctus est, triremem septies adornavit, tributa multa et magna persolvit. Quæ omnia ut probe intelligatis, scriba recensebit singulatim.

ΛΕΙΤΟΥΡΓΙΑΙ.

LARGITIONES.

58. Ἀκούετε, ὦ ἄνδρες δικασταί, τὸ πλῆθος. Πεντήκοντα γὰρ ἔτη ἐστὶν ὅσα ὁ πατὴρ καὶ τοῖς χρήμασι καὶ τῷ σώματι τῇ πόλει ἐλειτούργει. Ἐν οὖν τοσούτῳ χρόνῳ δοκοῦντά τι ἐξ ἀρχῆς ἔχειν οὐδεμίαν εἰκὸς δαπάνην πεφευγέναι. Ὅμως δὲ καὶ μάρτυρας ὑμῖν παρέξομαι.

58. Audite, judices, quot ille pro vobis fecerit. Pater enim per quinquaginta annos et bonis et corpore reipublicæ operam præstitit. In tanto igitur annorum spatio, qui videretur * * habere, nullos sumptus effugisse per se patet; verumtamen testes adducam.

ΜΑΡΤΥΡΕΣ.

59. Τούτων συμπάντων κεφάλαιόν ἐστιν ἐννέα τάλαντα καὶ δισχίλιαι δραχμαί. Ἔτι τοίνυν καὶ ἰδίᾳ τισὶ τῶν πολιτῶν ἀποροῦσι συνεξέδωκε θυγατέρας καὶ ἀδελφάς, τοὺς δ' ἐλύσατο ἐκ τῶν πολεμίων, τοῖς δ' εἰς ταφὴν παρεῖχεν ἀργύριον. Καὶ ταῦτ' ἐποίει ἡγούμενος εἶναι ἀνδρὸς ἀγαθοῦ ὠφελεῖν τοὺς φίλους, καὶ εἰ μηδεὶς μέλλοι εἴσεσθαι· νῦν δὲ πρέπον ἐστὶ καὶ ὑμᾶς ἀκοῦσαί μου. Καί μοι κάλει τὸν καὶ τόν.

ΜΑΡΤΥΡΕΣ.

60. Τῶν μὲν οὖν μαρτύρων ἀκηκόατε· ἐνθυμεῖσθε δὲ ὅτι ὀλίγον μὲν χρόνον δύναιτ' ἄν τις πλάσασθαι τὸν τρόπον τὸν αὑτοῦ, ἐν ἑβδομήκοντα δὲ ἔτεσιν οὐδ' ἂν εἷς λάθοι πονηρὸς ὤν. Τῷ τοίνυν πατρὶ τῷ ἐμῷ ἄλλα μὲν ἄν τις ἔχοι ἐπικαλέσαι ἴσως, εἰς χρήματα δὲ οὐδεὶς οὐδὲ τῶν ἐχθρῶν ἐτόλμησε πώποτε. (61) Οὔκουν ἄξιον τοῖς τῶν κατηγόρων λόγοις πιστεῦσαι μᾶλλον ἢ τοῖς ἔργοις, ἃ ἐπράχθη ἐν ἅπαντι τῷ βίῳ, καὶ τῷ χρόνῳ, ὃν ὑμεῖς σαφέστατον ἔλεγχον τοῦ ἀληθοῦς νομίσατε. Εἰ γὰρ μὴ ἦν τοιοῦτος, οὐκ ἂν ἐκ πολλῶν ὀλίγα κατέλιπεν, ἐπεὶ εἰ νῦν γε ἐξαπατηθείητε ὑπὸ τούτων καὶ δημεύσαιθ' ἡμῶν τὴν οὐσίαν, οὐδὲ δύο τάλαντα λάβοιτ' ἄν. Ὥστ' οὐ μόνον πρὸς δόξαν, ἀλλὰ καὶ εἰς χρημάτων λόγον λυσιτελεῖ μᾶλλον ὑμῖν ἀποψηφίσασθαι· πολὺ γὰρ πλείω ὠφελήσεσθε, ἂν ἡμεῖς ἔχωμεν. (62) Σκοπεῖτε δὲ ἐκ τοῦ παρεληλυθότος χρόνου, ὅσα φαίνεται ἀνηλωμένα εἰς τὴν πόλιν· καὶ νῦν ἀπὸ τῶν ὑπολοίπων τριηραρχῶ μὲν ἐγώ, τριηραρχῶν δὲ ὁ πατὴρ ἀπέθανεν, πειράσομαι δ', ὥσπερ ἐκεῖνον ἑώρων, ὀλίγα κατὰ μικρὸν παρασκευάσασθαι εἰς τὰς κοινὰς ὠφελείας. Ὥστε τῷ γ' ἔργῳ πάλαι ταῦτ' ἐστί, καὶ οὔτ' ἐγὼ ἀφῃρημένος ἀδικεῖσθαι οἰήσομαι, ὑμῖν δὲ πλείους οὕτως αἱ ὠφέλειαι ἢ εἰ δημεύσαιτε. (63) Πρὸς δὲ τούτοις ἄξιον ἐνθυμηθῆναι οἵαν φύσιν εἶχεν ὁ πατήρ. Ὅσα γὰρ ἔξω τῶν ἀναγκαίων ἐπεθύμησεν ἀναλίσκειν, πάντα φανήσεται τοιαῦτα ὅθεν καὶ τῇ πόλει τιμὴ ἔμελλεν ἔσεσθαι. Αὐτίκα ὅτε ἵππευεν, οὐ μόνον ἵππους ἐκτήσατο λαμπρούς, ἀλλὰ καὶ ἀθλητάς, καὶ ἐνίκησεν Ἰσθμοῖ καὶ Νεμέᾳ, ὥστε τὴν πόλιν κηρυχθῆναι καὶ αὐτὸν στεφανωθῆναι. (64) Δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, καὶ τούτων καὶ τῶν ἄλλων μεμνημένους ἁπάντων τῶν εἰρημένων βοηθεῖν ἡμῖν καὶ μὴ περιιδεῖν ὑπὸ τῶν ἐχθρῶν ἀναιρεθέντας. Καὶ ταῦτα ποιοῦντες τά τε δίκαια ψηφιεῖσθε καὶ ὑμῖν αὐτοῖς τὰ συμφέροντα.

TESTES.

59. Horum omnium summa est talenta novem et drachmarum duo millia. Præterea tenuiores quosdam cives in filiabus et sororibus elocandis adjuvit, nonnullos ex hostibus redemit, aliis pecuniam ad suorum funus dedit. Atque hæc omnia peregit, ratus viri boni esse amicis opitulari, tametsi nemo esset resciturus; ea vero par est nunc et vos a me audire. Et mihi hunc et hunc voca.

TESTES.

60. Testes igitur audivistis. Id autem cogitate quod ad breve tempus aliquis sibi possit fingere indolem, at per septuaginta annos suam improbitatem nemo dissimulaverit. Patri quidem meo alia fortasse possint objici, sed pecuniarum cupiditatem nemo unquam, ne inimicus quidem, exprobrare ausus est. (61) Quare accusatorum verbis non major fides est adhibenda quam rebus ipsis quas ille in omni tempore et per totam ætatem gessit. Ad illud vos habete optimum veritatis argumentum, quod, si ille non fuisset ejusmodi, non utique ex plurimis tam pauca reliquisset. Ceterum si vos hodie ab istis decepti rem nostram publicaveritis, ne bina quidem talenta accipietis. Non igitur famæ vestræ magis quam utilitati expedit, ut absolvamur; siquidem multo inde uberiorem fructum percipietis, si apud nos nostra bona maneant. (62) Ex tempore autem præterito reputate quanta in rempublicam a nobis insumpta fuerint; et nunc ex reliquis ego triremem instruxi, quo in munere pater meus obiit. Conabor et egomet, quemadmodum patrem animadverti, pauca paulatim comparare ad publicam utilitatem : ita ut reapse hæc bona mea civitati sint, neque ego mea videar amisisse per injuriam, et vos plures ex meis capiatis utilitates quam si ea publicetis. (63) Quin et patris mei spectare ingenium convenit. Quoscumque enim sumptus facere expetivit præter necessitatem, omnes erant ejusmodi ut reipublicæ honorem afferrent. Longe ne abeam, equestri quum esset in ordine, equos non solum egregios comparavit, verum etiam in ludis certare doctos, quibus vicit in ludis Isthmiis et Nemeis, unde et civitati præconium et sibi coronam acquisivit. (64) Vos igitur obtestor, judices, ut hæc et cetera quæ dixi habentes in animo, nobis opitulemini, neque ab inimicis nos opprimi patiamini. Qua ex re quum justa tum vobis ipsis utilia decernetis.

XX.

158ΥΠΕΡ ΠΟΛΥΣΤΡΑΤΟΥ, ΔΗΜΟΥ ΚΑΤΑΛΥΣΕΩΣ ΑΠΟΛΟΓΙΑ.

Οὔ μοι δοκεῖ χρῆναι ὀργίζεσθαι ὑμᾶς τῷ ὀνόματι τῷ τῶν τετρακοσίων, ἀλλὰ τοῖς ἔργοις ἐνίων. Οἱ μὲν γὰρ ἐπιβουλεύσαντες ἦσαν αὐτῶν, οἱ δ' ἵνα μήτε τὴν πόλιν μηδὲν κακὸν ἐργάσαιντο μήθ' ὑμῶν μηδένα, ἀλλ' εὔνοι ὄντες εἰσῆλθον εἰς τὸ βουλευτήριον, ὧν εἷς ὢν οὗτος τυγχάνει Πολύστρατος. (2) Οὗτος γὰρ ᾑρέθη μὲν ὑπὸ τῶν φυλετῶν ὡς χρηστὸς ὢν ἀνὴρ καὶ περὶ τοὺς δημότας καὶ περὶ τὸ πλῆθος τὸ ὑμέτερον· κατηγοροῦσι δὲ αὐτοῦ ὡς οὐκ εὔνους ἦν τῷ πλήθει τῷ ὑμετέρῳ, αἱρεθεὶς ὑπὸ τῶν φυλετῶν, οἳ ἄριστα διαγνοῖεν ἂν περὶ σφῶν αὐτῶν ὁποῖοί τινές εἰσιν. (3) Οὗτος δὲ τίνος ἂν ἕνεκα ὀλιγαρχίας ἐπεθύμησε; πότερον ὡς ἡλικίαν εἶχε λέγων τι διαπράττεσθαι παρ' ὑμῖν, ἢ τῷ σώματι πιστεύων, ἵνα ὑβρίζοι εἰς τῶν ὑμετέρων τινά; Ἀλλ' ὁρᾶτε αὐτοῦ τὴν ἡλικίαν, ἣ καὶ τοὺς ἄλλους ἱκανός ἐστιν ἀποτρέπειν τούτων. (4) Ὅστις μὲν οὖν ἄτιμος ὤν, κακόν τι ἐργασάμενος ἐν τῷ πρόσθεν χρόνῳ, ἑτέρας πολιτείας ἐπεθύμησε, διὰ τὰ πρόσθεν ἁμαρτήματα αὐτοῦ ἕνεκ' ἂν ἔπραττε· τούτῳ δὲ τοιοῦτον οὐδὲν ἡμάρτηται, ὥστε αὐτοῦ ἕνεκα μισεῖν τὸ πλῆθος τὸ ὑμέτερον, ἢ τῶν παίδων. Ὁ μὲν γὰρ ἐν Σικελίᾳ ἦν, οἱ δ' ἐν Βοιωτοῖς· ὥστε μηδὲ τούτων ἕνεκα ἑτέρας πολιτείας ἐπιθυμῆσαι. (5) Καὶ κατηγοροῦσι μὲν αὐτοῦ ὡς πολλὰς ἀρχὰς ἦρξεν, ἀποδεῖξαι δὲ οὐδεὶς οἷός τέ ἐστιν ὡς οὐ καλῶς ἦρξεν. Ἐγὼ δ' ἡγοῦμαι οὐ τούτους ἀδικεῖν ἐν τοῖς πράγμασιν ἐκείνοις, ἀλλ' εἴ τις ὀλίγας ἄρξας ἀρχὰς μὴ τὰ ἄριστα ἦρξε τῇ πόλει. Οὐ γὰρ οἱ καλῶς ἄρχοντες προὐδίδοσαν τὴν πόλιν, ἀλλ' οἱ μὴ δικαίως. (6) Οὗτος δὲ πρῶτον μὲν ἄρξας ἐν Ὠρωπῷ οὔτε προέδωκε καὶ ἑτέραν πολιτείαν κατέστησε, τῶν ἄλλων ἁπάντων, ὅσοι ἦρχον, καταπροδόντων τὰ πράγματα. Οἱ δ' οὐχ ὑπέμειναν, καταγνόντες σφῶν αὐτῶν ἀδικεῖν· ὁ δὲ ἡγούμενος μηδὲν ἠδικηκέναι δίκην δίδωσι. (7) Καὶ τοὺς μὲν ἀδικοῦντας οἱ κατήγοροι ἐκκλέπτουσιν, ἀργύριον λαμβάνοντες· παρ' ὧν δ' ἂν μὴ κερδαίνωσιν, ἀδικοῦντας ἀποφαίνουσι. Καὶ ὁμοίας τὰς κατηγορίας ποιοῦνται τῶν τε εἰπόντων γνώμην τινὰ ἐν τῇ βουλῇ καὶ τῶν μή. Οὗτος δὲ οὐδὲ γνώμην οὐδεμίαν εἶπε περὶ τοῦ ὑμετέρου πλήθους. (8) Ἐγὼ δ' ἡγοῦμαι ἀξίους εἶναι τούτους μηδὲν πάσχειν ὑφ' ὑμῶν κακόν, εἰ ὑμῖν μὲν εὔνοι ἦσαν, ἐκείνοις δὲ οὐκ ἀπηχθάνοντο. Τῶν γὰρ λεγόντων ἐναντία ἐκείνοις οἱ μὲν ἔφευγον, οἱ δ' ἀπέθνησκον, ὥστ' εἴ τις καὶ ἐβούλετο ἐναντιοῦσθαι ὑπὲρ ὑμῶν, τὸ δέος καὶ ὁ φόβος τῶν πεπονθότων ἀπέτρεπε πάντας. (9) Ὥστε οἱ πολλοὶ πάντα ἐγίγνωσκον αὐτῶν· τοὺς μὲν γὰρ ἐξήλαυνον αὐτῶν, τοὺς δὲ ἀπεκτίννυσαν. Οἳ δὲ ἐκείνων ἔμελλον ἀκροᾶσθαι καὶ μηδὲν ἐπιβουλεύειν μηδὲ ἐξαγγέλλειν, τούτους ἂν καθίσταντο· ὥστε οὐκ ἂν ῥᾳδίως μετέστη ἂν ὑμῖν ἡ πολιτεία. Οὔκουν δίκαιοί εἰσιν, ὧν ὑμῖν εὔνοι ἦσαν, τούτων δίκην διδόναι. (10) Δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ τοῖς εἰποῦσι περὶ τὸ πλῆθος τὸ

XX.

PRO POLYSTRATO

EVERSÆ REIPUBLICÆ APOLOGIA.

Non mihi videtur oportere vos succensere nomini Quadringentorum, sed operibus nonnullorum ex Quadringentis. Ex illis enim alii vobis insidiabantur, alii non ut civitatem læderent aut vestrum quemvis, sed benevoli et in rempublicam et in privatos curiam ingressi sunt : quorum in numero hic est Polystratus. (2) Sui namque eum tribules elegerunt, quod videretur et popularibus suis et civitati vestræ studere. Jam vero accusatur quod reipublicæ non studuerit, quum tamen a tribulibus suis renuntiaretur, qui optimum possunt de se invicem judicium facere quales sint. (3) Hic autem qua mente oligarchiam appetivisset? num quod ea esset ætate, qua speraret se posse orationibus aliquid apud vos perficere? an quod viribus fretus alicui vestrûm contumeliam afferre vellet? Sed ætatem videtis, quæ etiam alios ab istiusmodi rebus possit avertere. (4) Jam qui infamatus, olim perpetrato scelere aliquo, novam administrationem exoptat, is ob priora flagitia hoc fecerit; a Polystrato autem nihil tale est commissum, ut vel suo nomine, vel liberorum, odium cum populo exerceret. Unus enim in Sicilia, alii in Bœotia erant; adeo ut neque horum gratia neque ob priora flagitia novam reipublicæ formam expeteret. (5) Et ipsum etiam accusant quod plurimis magistratibus functus sit; nemo autem possit ostendere quod non præclare functus sit. Equidem arbitror non eos peccare qui plures magistratus exercuerunt, sed si quis paucos duntaxat exercens, non eo exercuerit modo qui reipublicæ sit profuturus. Non enim qui bene functi sunt magistratu, rempublicam prodiderunt, sed qui male. (6) Hic porro magistratu primum Oropi functus, neque rempublicam prodidit neque immutavit, quum ceteri omnes qui cum potestate erant, res vestras prodiderint. Et horum plures fugerunt, se ipsos læsæ reipublicæ condemnantes; hic nullius peccati sibi conscius prodit ut judicetur. (7) Qui re ipsa deliquere, eos accusatores largitionibus corrupti furtim judicio subtrahunt; a quibus accipiunt nihil, eos tanquam pœnæ obnoxios deferunt : et utrosque pariter accusant, tam eos qui in senatu aliquam sententiam dixere, quam qui non dixere. Hic autem nullam unquam sententiam dixit contra populum. (8) Equidem existimo eos nullum a vobis malum pati debere qui, licet in vos benevoli, Quadringentorum odium timebant incurrere. Nam eorum qui illis in dicenda sententia adversabantur, alii exulabant, alii interibant : ita ut si quis voluisset vestrûm causa adversari, eos omnes metus et aliorum mors averterent. (9) Quare populus de se desperabat, quum videret alios expulsos, alios interemptos, Quadringentosque iis solis parcentes qui ipsorum jussa videbantur audituri, qui nihil contra moliebantur, nihil divulgabant; adeo ut non facile vestra respublica in integrum restitui potuisset. Non igitur æquum foret ut pro his pœnas darent, qui in vos fuerunt benevoli. (10) Jam vero absurdum mihi videtur esse si eadem futura sit conditio

ὑμέτερον μὴ τὰ ἄριστα ὁ μηδὲν εἰπὼν ταὐτὰ πείσεται. Καὶ ἐν μὲν ἑβδομήκοντα ἔτεσιν οὐδὲν ἐξήμαρτεν εἰς ὑμᾶς, ἐν ὀκτὼ δ' ἡμέραις· καὶ οἱ μὲν τὸν βίον ἅπαντα πονηροὶ ὄντες χρηστοὶ ἐν τῷ λογιστηρίῳ γεγένηνται, πείσαντες τοὺς κατηγόρους, οἳ δ' ἀεὶ ὑμῖν χρηστοὶ ἦσαν, οὗτοι πονηροί. (11) Καίτοι ἔν γε ταῖς πρότερον κατηγορίαις τά τε ἄλλα κατηγόρησαν ψευδῆ τοῦ πατρός, καὶ συγγενῆ Φρύνιχον αὐτοῦ εἶναι ἔφασαν. Καίτοι εἴ τις βούλεται, ἐν τῷ λόγῳ τῷ ἐμῷ μαρτυρησάτω ὡς ἀναγ-
159 καῖον ὄντα Φρυνίχῳ. Ἀλλὰ γὰρ ψευδῆ κατηγόρουν. Ἀλλὰ μὴν οὐδ' ἐκ παιδείας φίλος ἦν αὐτῷ· ὁ μὲν γὰρ ἐν ἀγρῷ πένης ὢν ἐποίμαινεν, ὁ δὲ πατὴρ ἐν τῷ ἄστει ἐπαιδεύετο. (12) Καὶ ἐπειδὴ ἀνὴρ ἐγένετο, ὁ μὲν ἐγεώργει, ὁ δ' ἐλθὼν εἰς τὸ ἄστυ ἐσυκοφάντει, ὥστε μηδὲν ὁμολογεῖν τὼ τρόπω τὼ ἀλλήλοιν. Καὶ ὅτ' ἐξέτινε τῷ δημοσίῳ, οὐκ εἰσήνεγκεν αὐτῷ τὸ ἀργύριον· καίτοι ἐν τοῖς τοιούτοις μάλιστα δηλοῦσιν οἳ ἂν φίλοι ὦσιν. Εἰ δ' ἦν δημότης, οὐ δίκαιος διὰ τοῦτο βλάπτεσθαί ἐστιν ὁ πατήρ, εἰ μὴ καὶ ὑμεῖς ἀδικεῖτε, ὅτι ὑμῶν ἐστι πολίτης. (13) Πῶς δ' ἂν γένοιτο δημοτικώτερος, ἢ ὅστις ὑμῶν ψηφισαμένων πεντακισχιλίοις παραδοῦναι τὰ πράγματα καταλογεὺς ὢν ἐνακισχιλίους κατέλεξεν, ἵνα μηδεὶς αὐτῷ διάφορος εἴη τῶν δημοτῶν, ἀλλ' ἵνα τὸν μὲν βουλόμενον γράφοι, εἰ δέ τῳ μὴ οἷόν τ' εἴη, χαρίζοιτο. Καίτοι οὐχ οἳ ἂν πλείους πολίτας ποιῶσιν, οὗτοι καταλύουσι τὸν δῆμον, ἀλλ' οἳ ἂν ἐκ πλειόνων ἐλάττους. (14) Οὗτος δὲ οὔτε ὀμόσαι ἤθελεν οὔτε καταλέγειν, ἀλλ' αὐτὸν ἠνάγκαζον, ἐπιβολὰς ἐπιβάλλοντες καὶ ζημιοῦντες· ἐπεὶ δὲ ἠναγκάσθη καὶ ὤμοσε τὸν ὅρκον, ὀκτὼ ἡμέρας εἰσελθὼν εἰς τὸ βουλευτήριον ἐξέπλει εἰς Ἐρέτριαν, καὶ ἐδόκει ἐκεῖ τὴν ψυχὴν οὐ πονηρὸς εἶναι ἐν ταῖς ναυμαχίαις, καὶ τετρωμένος δεῦρ' ἦλθε, καὶ ἤδη μετεπεπτώκει τὰ πράγματα· καὶ οὗτος μὲν οὔτ' εἰπὼν γνώμην οὐδεμίαν, οὔτε πλέον ὀκτὼ ἡμερῶν ἐλθὼν εἰς τὸ βουλευτήριον ὦφλε χρήματα τοσαῦτα· τῶν δὲ εἰπόντων ὑμῖν τἀναντία καὶ διὰ τέλους ἐν τῷ βουλευτηρίῳ ὄντων πολλοὶ ἀποπεφεύγασι. (15) Καὶ οὐ φθονῶν τούτοις λέγω, ἀλλ' ἡμᾶς ἐλεῶν· οἱ μὲν γὰρ δοκοῦντες ἀδικεῖν ἐξῃτημένοι εἰσὶν ὑπὸ τῶν ὑμῖν προθύμων ἐν τοῖς πράγμασι γενομένων, οἱ δ' ἠδικηκότες ἐκπριάμενοι τοὺς κατηγόρους οὐδὲν ἔδοξαν ἀδικεῖν. Πῶς ἂν οὖν οὐκ ἂν δεινὰ πάσχοιμεν; (16) Καὶ κατηγοροῦσι μὲν τῶν τετρακοσίων, ὅτι ἦσαν κακοί· καίτοι ὑμεῖς αὐτοὶ πεισθέντες ὑπὸ τούτων παρέδοτε τοῖς πεντακισχιλίοις, καὶ εἰ αὐτοὶ τοσοῦτοι ὄντες ἐπείσθητε, ἕνα ἕκαστον τῶν τετρακοσίων οὐ χρῆν πεισθῆναι; Ἀλλ' οὐχ οὗτοι ἀδικοῦσιν, ἀλλ' οἳ ὑμᾶς ἐξηπάτων καὶ κακῶς ἐποίουν. Οὗτος δ' ἐν πολλοῖς δηλοῖ ὑμῖν ὅτι, εἴ πέρ τι νεωτερίζειν ἐβούλετο εἰς τὸ ὑμέτερον πλῆθος, οὐκ ἄν ποτ' ἐν ὀκτὼ ἡμέραις εἰσελθὼν εἰς τὸ βουλευτήριον ᾤχετο ἐκπλέων. (17) Ἀλλ' εἴποι ἄν τις ὅτι κερδαίνειν ἐπιθυμῶν ἐξέπλευσεν, ὥσπερ ἔνιοι ἥρπαζον καὶ ἔφερον. Οὐδεὶς τοίνυν ἂν εἴποι ὅπως τι τῶν ὑμετέρων ἔχει, ἀλλὰ πάντα μᾶλλον κατηγοροῦσιν ἢ εἰς τὴν ἀρχήν. Καὶ οἱ κατήγοροι τότε μὲν οὐδαμῇ εὖνοι ὄντες

quum eorum qui adversus populum sententiam male dixerunt, tum ejus qui nullam; si pater meus, qui per septuaginta annos in vos nihil peccavit, per octo dies peccaverit; si per totam vitam qui improbi fuerunt, ii boni et strenui cives facti sint in curia censoria; qui autem bonos et strenuos in vestra commoda se exhibuerunt, ii demum renuntientur improbi. (11) Ceterum in factis antea adversus patrem criminationibus, eum tum in reliquis falso insimulabant, tum quod Phrynicho esset genere conjunctus. Attamen si quis velit, ascendat vel in mea aqua, et testetur se scire Polystratum Phrynicho fuisse necessarium. Sed enim falsa accusabant, siquidem hic illi neque a pueris fuerit amicus. Ille puer rure degebat, inops et ovium pastor; hic in urbe erudiebatur. (12) Deinde ubi ad virilem ætatem ambo pervenerunt, hic colebat agrum, ille veniens in urbem artem accusatoriam exercuit: adeo ut ipsi inter se nequaquam moribus convenirent. Jam quum ille mulctam habuit ærario solvendam, hic illum pecunia sua non adjuvit, licet in talibus amicitia maxime declaretur. Quodsi pater meus ejusdem fuerit cum illo demi, non idcirco a vobis lædi debet; nisi et vos sitis in culpa quod ille vobiscum ejusdem fuerit civitatis. (13) Quo autem pacto aliquis benevolentiam in populum luculentius potuit demonstrare, quam is qui, ubi vos decrevistis ut quinque millibus virorum summa reipublicæ committeretur, conscriptor delectus novem millia virorum conscripsit? Ut scilicet suorum sibi demotarum nemo succenseret, conscribebat volentem, nolenti morem gerebat. Attamen non illi evertunt rempublicam qui quamplurimos asciscunt ejus administratores, sed qui ex pluribus pauciores efficiunt. (14) Quum hic conscriptoris munus et jusjurandum detrectaret, ipsum coegerunt mulcta grandi imposita. Coactus igitur et suscepto jurejurando per octo dies in curiam ingressus, ad Eretriam navigavit, ibique in navalibus prœliis fortitudinem suam manifestavit. Domum deinde rediit vulneratus, quo tempore mutatæ erant publicæ res. Hic igitur, qui neque sententiam dixit, neque ultra octo dies frequentavit curiam, tantarum pecuniarum damnatus est; dum eorum qui sententias dixerunt vestris rationibus adversas, nec unquam a curia abfuerunt, multi evasere. (15) Neque hoc ex invidia erga eos dico, sed commiseratione erga nos. Qui enim nocentes in judicio visi fuerant, eos condonastis precibus illorum qui in rebus vestris studium exprompserunt; atque etiam ii qui re ipsa deliquerant, pecunia corruptis accusatoribus, declarati sunt innocentes. Quo igitur modo non inclementer nobiscum actum esset? (16) Et quadraginta viros incusant improbitatis; attamen vos ab illis persuasi quinque millibus viris vosmet commisistis. Si vero vos universi ab illis persuasi fuistis, qui unus ex Quadringentis ab iisdem non persuasus fuisset? Verum non ii sunt culpabiles qui decepti fuere, sed qui vobis damnum decipiendo attulere. Polystratus autem in multis significavit se non esse in vos malevolum, nec minime quia, si adversus populum novare res voluerat, nunquam per octo solum dies in curiam ingressus, deinde nave abiisset. (17) Sed objiciat aliquis eum lucri studio profectum esse, sicut et alii nonnulli qui socios nostros diripiebant. Sed nemo possit dicere eum habere bona sociorum nostrorum; at omnia potius criminantur quam quæ is gessit in magistratu. Et ejus accusatores

ἐφαίνοντο τῷ δήμῳ οὐδὲ ἐβοήθουν· νῦν δὲ ἡνίκα αὐτὸς ἑαυτῷ εὐνούστατός ἐστιν ὁ δῆμος, βοηθοῦσι τῷ μὲν ὀνόματι ὑμῖν, τῷ δὲ ἔργῳ σφίσιν αὐτοῖς. (18) Καὶ μὴ θαυμάζετε, ὦ ἄνδρες δικασταί, ὅτι τοσαῦτα ὦφλε χρήματα· ἔρημον γὰρ αὐτὸν λαβόντες, αὐτοῦ τε καὶ ἡμῶν κατηγοροῦντες εἷλον· τῷ μὲν γὰρ οὐδ' εἴ τις εἶχε μαρτυρίαν, εἶχε μαρτυρεῖν διὰ τὸ δέος τὸ τῶν κατηγόρων, τοῖς δὲ καὶ τὰ ψευδῆ δεδοικότες ἐμαρτύρουν. (19) Ἦ δεινά γ' ἂν πάθοιμεν, ὦ ἄνδρες δικασταί, εἰ τοὺς μὲν οὐχ οἵους τε ὄντας ἐξάρνους εἶναι μὴ οὐ χρήματα ἔχειν ὑμῶν, τούτους μὲν ἀφεῖτε ἀνδρὶ ἐξαιτουμένῳ, ἡμῖν δὲ αὐτοῖς τε προθύμοις γεγενημένοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ τοῦ πατρὸς οὐδὲν ὑμᾶς ἠδικηκότος, οὐ χαριεῖσθε. Καὶ εἰ μὲν ξένος τις ἐλθὼν ὑμᾶς ἢ χρήματα ᾔτει ἢ εὐεργέτης ἀναγραφῆναι ἠξίου, ἔδοτε ἂν αὐτῷ· ἡμῖν δὲ οὐ δώσετε ἡμᾶς αὐτοὺς ἐπιτίμους ὑμῖν γενέσθαι. (20) Εἰ δέ τινες κακόνοι ἐγένοντο εἰς τὰ ὑμέτερα πράγματα ἢ γνώμην μὴ ἐπιτηδείαν εἶπον, οὐχ οἱ ἀπόντες τούτων αἴτιοί εἰσιν, ἐπεὶ καὶ τοὺς παρόντας ὑμεῖς ἀπελύσατε. Οὐδὲ γὰρ εἴ τις τῶν ἐνθάδε μὴ τὰ ἄριστα λέγων πείθει ὑμᾶς, οὐχ ὑμεῖς ἐστε αἴτιοι, ἀλλ' ὁ ἐξαπατῶν ὑμᾶς. (21) Ἐκεῖνοι δὲ σφῶν αὐτῶν προκαταγνόντες ἀδι-
160 κεῖν οἴχονται, ἵνα μὴ δοῖεν δίκην· καὶ εἴ τινες ἄλλοι ἀδικοῦσιν, ἧττον μὲν ἐκείνων, ἀδικοῦσι δέ, τὸ δέος αὐτοὺς ποιεῖ τό τε ὑμέτερον καὶ τὸ τῶν κατηγόρων μὴ ἐπιδημεῖν, ἀλλὰ στρατεύεσθαι, ἵνα ἢ ὑμᾶς πρᾳοτέρους ποιῶσιν ἢ τούτους πείθωσιν. (22) Οὗτος δὲ ὑμῖν δίκην δέδωκεν, οὐδὲν ὑμᾶς ἀδικῶν, εὐθὺς μετὰ τὰ πράγματα, ὅτε ὑμεῖς τε μάλιστα ἐμέμνησθε τῶν γενομένων καὶ οὗτος ἐλεγχθήσεσθαι ἔμελλε, πιστεύων αὑτῷ μηδὲν ἡμαρτῆσθαι, ἀλλ' ἀγωνιεῖσθαι εὖ μετὰ τοῦ δικαίου. Ὡς δ' ἦν δημοτικός, ἐγὼ ὑμῖν ἀποδείξω. (23) Πρῶτον μὲν γὰρ ὅσων οὐδεμιᾶς στρατείας ἀπελείφθη, ἀλλ' ἐστρατεύετο, ὡς συνειδότες ἂν εἴποιεν οἱ δημόται· καὶ ἐξὸν αὐτῷ τὴν οὐσίαν ἀφανῆ καταστήσαντι μηδὲν ὑμᾶς ὠφελεῖν, εἵλετο μᾶλλον συνειδέναι ὑμᾶς, ἵν', εἰ καὶ βούλοιτο κακὸς εἶναι, μὴ ἐξείη αὐτῷ, ἀλλ' εἰσφέροι τε τὰς εἰσφορὰς καὶ λειτουργοίη. Καὶ ἡμᾶς παρεσκεύασεν, ὡς ἂν τῇ πόλει ὠφελιμώτατοι εἴημεν. (24) Καὶ ἐμὲ μὲν εἰς Σικελίαν ἐξέπεμψεν, ὑμῖν δ' οὐχ ἦν, ὥστ' εἰδέναι τοὺς ἱππέας, οἷος ἦν τὴν ψυχήν, ἕως τὸ στρατόπεδον σῶν ἦν· ἐπειδὴ δὲ διεφθάρη καὶ ἀνεσώθην εἰς Κατάνην, ἐλῃζόμην ὁρμώμενος ἐντεῦθεν καὶ τοὺς πολεμίους κακῶς ἐποίουν, ὥστε τῇ θεῷ τε τὰς δεκάτας ἐξαιρεθῆναι πλέον ἢ τριάκοντα μνᾶς καὶ τοῖς στρατιώταις εἰς σωτηρίαν, ὅσοι ἐν τοῖς πολεμίοις ἦσαν. (25) Καὶ ἐπειδὴ Καταναῖοι ἠνάγκαζον ἱππεύειν, οὐδενὸς οὐδ' ἐνταῦθα κινδύνου ἀπελιπόμην, ὥστ' εἰδέναι ἅπαντας οἷος ἦν τὴν ψυχὴν ἱππεύων τε καὶ ὁπλιτεύων. Ὧν ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

26. Ἀκηκόατε μὲν τῶν μαρτύρων, ὦ ἄνδρες δικασταί· οἷος δ' εἰμὶ περὶ τὸ ὑμέτερον πλῆθος, ἐγὼ ὑμῖν ἀποδείξω. Ἀφικομένου γὰρ ἐκεῖσε Συρακουσίου ὅρκιον

nullatenus tunc in populum se benevolos exhibuerunt, nihilque ei tulerunt suppetiarum : nunc vero quum ipse sibi populus maxime sit benevolus, auxiliantur nomine quidem vobis, re autem ipsa sibimetipsis. (18) Jam ne miremini, judices, hunc tantis pecuniis fuisse damnatum. Eum quippe nacti ab amicis destitutum, eum et nos accusantes judicio vicerunt. Nullus enim huic, si potuit testimonio adjuvare, adesse sustinuit; quin et istis nonnulli falsum testimonium perhibuere ex eodem metu. (19) Id nimirum, judices, gravissimum foret, si, quum eos qui infitias ire nequeunt quin aliquid de vestris subripuerint, alicujus precibus condonetis, nobis vero qui et ipsi magnum in plebem studium declaravimus, quorumque pater nihil mali in vos admisit, nulla in re gratificemini. Quodsi peregrinus aliquis de vobis bene meritus, vel a vobis flagitaret pecuniam, vel *benefactor* appellari postularet, vos huic petita libenter concederetis; nobis vero non dabitis ut jure communi in hac urbe potiamur! (20) Si qui autem vel rebus vestris male consuluerint, vel sententiam minus commodam dixerint, non ii qui aberant in causa esse putandi sunt, quandoquidem et eos qui aderant absolvistis. Neque enim, si quis eorum qui hic concionantur, vos in malum consilium induxerit, vobis id erit vitio vertendum, sed ei qui decepit. (21) Nocentissimi quidem suo præjudicio damnati ultro exularunt, ne pœnas luerent : ac si qui alii minus quam hi offenderunt, at offenderunt tamen, metus vester et accusatorum extorres fecit, atque in militiam impulit, ut vel lenire vos, vel istos exorare possint. (22) Hic autem, nullo perpetrato facinore, prodiit a vobis judicandus, statim post ipsa facta, quo tempore et vos horum maxime recordabamini, atque ipse facillime convinci poterat, prodiit, inquam, fretus innocentia sua, et spe vincendi, æquitate secum pugnante. Fuisse hunc populi studiosum, ego etiam aliunde vobis demonstrabo. (23) Primum enim nullam earum quas vos militavistis militiarum detrectavit; sed meruit, quemadmodum possint dicere omnes ipsius demotæ qui testes sunt. Et quum ipsi liceret fortunas suas occultantem, nihil conferre in vestra commoda, vos habere maluit rerum suarum conscios, ut, si quammaxime vellet improbum civem se gerere, id ei non foret liberum, sed et tributa conferret, et cetera obiret ministeria. Nos etiam filios suos ita instituit, quo pacto possemus reipublicæ utilissimi evadere. (24) Me scilicet in Siciliam misit ad equites vestros. Ac dum salvus erat exercitus, non poteratis meam in bellicis rebus virtutem cognoscere. Postquam autem is profligatus fuit, et in Catanam fuga me recepi, hinc prædabar hostes, eosque detrimento afficiebam; adeo ut ex præda Minervæ eximerentur decimæ plus quam minæ triginta, et militibus ad redemptionem si qui captivi erant. (25) Et ubi Catanæi me cogebant equitare, equitavi, ac nullum ibi quoque defugi periculum; ita ut omnes mei commilitones meæ fortitudinis in utraque militia, tam pedestri quam equestri, conscii esse possint. Quarum rerum testes vobis producam.

TESTES.

26. Testes audivistis, judices. Qualis autem sim in populum Atheniensem, ego vobis declarabo. Nam quum advenisset Syracusanus quidam cum sacramenti militaris for-

ἔχοντος καὶ ἑτοίμου ὄντος ὁρκοῦν καὶ προσιόντος πρὸς ἕνα ἕκαστον τῶν ἐκεῖ ὄντων, ἀντεῖπον εὐθὺς αὐτῷ, καὶ ἐλθὼν ὡς Τυδέα διηγούμην ταῦτα, καὶ συλλογὴν ἐποίει, καὶ λόγοι οὐκ ὀλίγοι ἦσαν. Ὧν δ' οὖν ἐγὼ εἶπον, καλῶ μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

27. Σκέψασθε δὴ καὶ τοῦ πατρὸς τὴν ἐπιστολήν, ἣν ἔδωκεν ἀποδοῦναί μοι, πότερα τῷ ὑμετέρῳ πλήθει ἀγαθὸς ἦν ἢ οὔ. Τά τε γὰρ οἰκεῖα ἐνεγέγραπτο, καὶ ἔτι, ὅτε καλῶς ἔχοι τὰ ἐν Σικελίᾳ, ἥκειν. Καίτοι ταὐτὰ ὑμῖν συνέφερε καὶ τοῖς ἐκεῖ· ὥστ' εἰ μὴ εὔνους ἦν τῇ πόλει καὶ ὑμῖν, οὐκ ἄν ποτε τοιαῦτα ἐπέστελλεν.

28. Ἀλλὰ μὴν καὶ τὸν ἀδελφὸν τὸν νεώτατον, οἷος εἰς ὑμᾶς ἐστιν, ἐγὼ ἀποδείξω. Καταδρομῆς γὰρ γενομένης τῶν φυγάδων, οἳ οὐ μόνον ἐνθάδε ὅ τι οἷοί τ' ἦσαν κακὸν εἰργάζοντο, ἀλλὰ καὶ ἀπὸ τοῦ τείχους ἔφερον καὶ ἦγον ὑμᾶς, ἐξελάσας ἐκ τῶν ἄλλων ἱππέων ἕνα ἀπέκτεινεν. Ὧν ὑμῖν αὐτοὺς μάρτυρας τοὺς παραγενομένους παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

29. Τὸν δὲ πρεσβύτατον ἀδελφὸν αὐτοὶ οἱ συστρατευόμενοι ἴσασιν, οἵτινες ἐνθάδε ὄντες ἦτε ἐν Ἑλλησπόντῳ, ὥστε νομίζειν μηδενὸς ἧττον' εἶναι ἀνθρώπων τὴν ψυχήν. Καί μοι ἀνάβητε δεῦρο.

ΜΑΡΤΥΡΕΣ.

30. Πῶς οὖν οὐ χρὴ χάριν παρ' ὑμῶν ἀπολαμβάνειν, εἰ τοιοῦτοί ἐσμεν; Ὧν μὲν ὁ πατὴρ διαβέβληται εἰς ὑμᾶς οὐ δικαίως, τούτων δεῖ ἡμᾶς ἕνεκα ἀπολέσθαι, δι' ὧν δὲ πρόθυμοι εἰς τὴν πόλιν γεγενήμεθα, μηδεμίαν ὠφέλειαν γενέσθαι; ἀλλ' οὐ δίκαιον. Ἀλλ' εἰ διὰ τὴν τούτου διαβολὴν δεῖ ἡμᾶς πάσχειν, δίκαιοί ἐσμεν διὰ τὴν ἡμετέραν προθυμίαν τοῦτόν τε σῶσαι καὶ ἡμᾶς. (31) Οὐ γὰρ ἡμεῖς χρημάτων γε ἕνεκα, ἵνα λάβοιμεν, εὖ ὑμᾶς ἐποιοῦμεν, ἀλλ' ἵνα, εἴ ποτε κίνδυνος εἴη ἡμῖν, ἐξαιτούμενοι παρ' ὑμῶν τὴν ἀξίαν χάριν ἀπολάβοιμεν. Χρὴ δὲ ὑμᾶς καὶ τῶν ἄλλων ἕνεκα τοιούτους εἶναι, γιγνώσκοντας ὅτι, ἐάν τις πρόθυμος εἰς ὑμᾶς ᾖ, οὐ μόνον ἡμᾶς ὠφελήσετε. Ἡμῶν μὲν γὰρ καὶ πρὶν δεηθῆναι πεπείρασθε, οἷοί ἐσμεν εἰς ὑμᾶς· τοὺς δὲ ἄλλους προθυμοτέρους ποιήσετε, κατ' ἀξίαν χαριζόμενοι, ὅταν τις ὑμᾶς εὖ ποιῇ. (32) Καὶ μηδαμῶς τοῖς λέγουσι βεβαιώ-
161 σητε λόγον τὸν πάντων πονηρότατον· λέγεται γὰρ τοὺς κακῶς πεπονθότας μεμνῆσθαι μᾶλλον ἢ τοὺς εὖ. Τίς γὰρ ἔτι θελήσει χρηστὸς εἶναι, εἰ ἡττηθήσονται τῶν κακῶς ὑμᾶς ποιούντων οἱ εὖ ποιοῦντες; Ἔχει δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, οὕτω: Περὶ ἡμῶν γάρ ἐστι ψῆφος ὑμῖν, καὶ οὐ περὶ χρημάτων. (33) Ἕως μὲν γὰρ εἰρήνη ἦν, ἡμῖν φανερὰ οὐσία, καὶ ἦν ὁ πατὴρ ἀγαθὸς γεωργός· ἐπειδὴ δὲ εἰσέβαλον οἱ πολέμιοι, πάντων τούτων ἐστερήθημεν. Ὥστε αὐτῶν τούτων ἕνεκα πρόθυμοί ἐσμεν εἰς ὑμᾶς, εἰδότες ὅτι χρήματα μὲν ἡμῖν οὐκ εἴη πόθεν ἐκτίσομεν, αὐτοὶ δὲ πρόθυμοι ὄντες εἰς ὑμᾶς ἀξιοῦμεν

mula, paratusque esset nostros fide adigere, et unumquemque adiisset eorum qui ibi aderant, ego statim homini adversabar, et Tydea adiens ea ipsum edocui. Qui concilium edixit, multaque ibi verba de ea re habebantur. Horum quæ dixi vocabo testes.

TESTES.

27. Considerate porro et patris litteras, quas mihi tradendas dedit, quænam fuerint: ntrum in rem populi Atheniensis necne. Nam in illis præter domesticas res hæc quoque inerant, me non rediturum nisi quum res Siculæ melius se haberent. Attamen hæc erant in utilitatem quum vestram, tum eorum qui in Sicilia erant. Quare nisi et reipublicæ et vobis optime voluisset, hujusmodi litteras non erat scripturus.

28. Jam et frater meus minor qualis sit in vos ostendam. Exulum enim incursione facta, qui non solum Atticam quocumque poterant modo vastabant, verum ex muro quoque vos rapere atque agere studuerunt, hic ex suorum equitum globo erumpens, unum ex exulibus occidit. Cujus rei vobis eos ipsos testes adducam qui adfuerunt.

TESTES.

29. Fratrem vero natu maximum norunt quicumque vestrûm in Hellesponto fuistis, ejus commilitones, eumque existimant nemini virtute bellica cedere. Et mihi testes huc ascendite.

TESTES.

30. Quomodo igitur non oportet nos a vobis gratiam referre, quum tales simus? Anne earum rerum causa quæ in patrem falso conjiciuntur, nos perire oporteat; earum autem quas pro republica alacriter gessimus, nullam utilitatem consequi? At non ita justum est: verum si propter criminationem falsam qua hic petitur nos male afficiendi sumus, propter studium nostrum in rempublicam et hic et nos ipsi sumus eripiendi. (31) Neque enim ut ad nos inde pecuniæ advenirent de vobis bene meruimus, sed ut si quando nobis periculum instaret, deprecati pœnam, dignam a vobis gratiam consequeremur. Vos autem etiam aliorum causa, si quis alacritatem expromat suam, ita animatos esse decet; reputantes quod non solum in nos beneficium conferetis, quorum in vos studium ante perspectum fuit quam nostra opera indigeretis; verum et ceteros efficietis alacriores, si pro merito eos remuneretis qui de vobis bene mereantur. (32) Cavete ne istum confirmetis sermonem omnium sane iniquissimum. Vulgo enim dicitur homines meminisse magis injuriarum quam beneficiorum. Nam quis amplius strenuus civis esse volet, si ab iis qui de vobis merentur male, vincantur ii qui bene? Ita autem se res habet. De nobismetipsis hodie, non de pecuniis agitur. (33) Quam diu pax erat, prædia nobis suppetebant, eratque pater optimus agricola: at post hostium incursionem, his omnibus spoliati sumus. Atque ob id ipsum vobis studemus maxime, quum sciamus nobis defuturas esse facultates unde mulcta solvatur, sed nobis deberi

εὑρίσκεσθαι χάριν. (34) καίτοι ὁρῶμέν γ' ὑμᾶς, ὦ ἄνδρες δικασταί, ἐάν τις παῖδας αὑτοῦ ἀναβιβασάμενος κλαίῃ καὶ ὀλοφύρηται, τούς τε παῖδας καὶ αὐτὸν εἰ ἀτιμωθήσονται ἐλεοῦντας, καὶ ἀφιέντας τὰς τῶν πατέρων ἁμαρτίας διὰ τοὺς παῖδας, οὓς οὔπω ἴστε εἴτε ἀγαθοὶ εἴτε κακοὶ ἡβήσαντες γενήσονται· ἡμᾶς δ' ἴστε ὅτι πρόθυμοι γεγενήμεθα εἰς ὑμᾶς, καὶ τὸν πατέρα οὐδὲν ἡμαρτηκότα. Ὥστε πολλῷ δικαιότεροί ἐστε, ὧν πεπείρασθε, τούτοις χαρίσασθαι, ἢ οὓς οὐκ ἴστε ὁποῖοί τινες ἔσονται. (35) Πεπόνθαμεν δὲ τοὐναντίον τοῖς ἄλλοις ἀνθρώποις. Οἱ μὲν γὰρ ἄλλοι τοὺς παῖδας παραστησάμενοι ἐξαιτοῦνται ὑμᾶς, ἡμεῖς δὲ τὸν πατέρα τουτονὶ καὶ ἡμᾶς ἐξαιτούμεθα, μὴ ἡμᾶς ἀντὶ μὲν ἐπιτίμων ἀτίμους ποιήσητε, ἀντὶ δὲ πολιτῶν ἀπόλιδας· ἀλλ' ἐλεήσατε καὶ τὸν πατέρα γέροντα ὄντα καὶ ἡμᾶς. Εἰ δὲ ἡμᾶς ἀδίκως ἀπολεῖτε, πῶς ἢ οὗτος ἡμῖν ἡδέως συνέσται ἢ ἡμεῖς ἀλλήλοις ἐν τῷ αὐτῷ, ὄντες ὑμῶν τε ἀνάξιοι καὶ τῆς πόλεως; Ἀλλ' ὑμῶν δεόμεθα τρεῖς ὄντες ἐᾶσαι ἡμᾶς ἔτι προθυμοτέρους γενέσθαι. (36) Δεόμεθα οὖν ὑμῶν πρὸς τῶν ὑπαρχόντων ἀγαθῶν ἑκάστῳ, ὅτῳ μὲν εἰσιν υἱεῖς, τούτων ἕνεκεν ἐλεῆσαι, ὅστις δ' ἡμῖν ἡλικιώτης τυγχάνει ἢ τῷ πατρί, ἐλεήσαντας ἀποψηφίσασθαι. Καὶ μὴ ἡμᾶς βουλομένους εὖ ποιεῖν τὴν πόλιν ὑμεῖς κωλύσητε. Δεινὰ δ' ἂν πάθοιμεν, εἰ ὑπὸ τῶν πολεμίων μὲν ἐσώθημεν, οὓς εἰκὸς ἦν διακωλύειν μὴ σώζεσθαι, παρ' ὑμῶν δὲ μηδὲ εὑρησόμεθα τὸ σωθῆναι.

a vobis nostri in vos studii gratiam. (34) Porro videmus, judices, si quis liberis productis lacrimetur et ploret, vos hujus liberorumque miseritos non sustinere eos infamare, sed parentum delicta filiis condonare, qui tamen incertum est bonine an improbi cives, ubi adoleverint, sint futuri. Nos autem novistis magno vobis studio operam navasse, et patrem nihil quidquam peccasse. Multo igitur justius est ut iis gratificemini quorum fidem perspexistis, quam iis quorum de futura se gerendi ratione nihil explorati habetis. (35) Hic nobis longe aliter accidit quam ceteris hominibus adsolet. Alii enim liberis productis vos deprecantur; nos vero et patrem nostrum et nosmetipsos producentes, oramus ne nos infames ex integris, extorres ex civibus efficiatis, verum vos misereseat et patris senis nostrique. Quodsi vobis videatur nos præter jus condemnare, quomodo vel hic nobiscum jucunde versabitur, aut nos filii in eodem loco simul vivemus, judicati nimirum et vobis et civitate indigni? At enim tres numero vos supplicamus, ut nobis per vos liceat majorem adhuc benevolentiam in civitatem proferre. (36) Obsecramus unumquemque vestrûm per carissima quæ cuique sunt pignora; si cui sint liberi, ut horum gratia nostri misereatur; si quis autem sit vel nobis vel patri æqualis, misericordia motus nos absolvat, neque prohibeat de republica bene mereri studentes. Acerbissimum sane foret si, quum ab hostibus servati simus, a quibus exspectabamus exitium, judicemur a vobis indigni qui servemur.

XXI.

ΑΠΟΛΟΓΙΑ ΔΩΡΟΔΟΚΙΑΣ ΑΠΑΡΑΣΗΜΟΣ.

Περὶ μὲν τῶν κατηγορημένων, ὦ ἄνδρες δικασταί, ἱκανῶς ὑμῖν ἀποδέδεικται· ἀκοῦσαι δὲ καὶ περὶ τῶν ἄλλων ὑμᾶς ἀξιῶ, ἵν' ἐπίστησθε περὶ οἵου τινὸς ὄντος ἐμοῦ ψηφιεῖσθε. Ἐγὼ γὰρ ἐδοκιμάσθην μὲν ἐπὶ Θεοπόμπου ἄρχοντος, καταστὰς δὲ χορηγὸς τραγῳδοῖς ἀνήλωσα τριάκοντα μνᾶς καὶ τρίτῳ μηνὶ Θαργηλίοις νικήσας ἀνδρικῷ χορῷ δισχιλίας δραχμάς, ἐπὶ δὲ Γλαυκίππου ἄρχοντος εἰς πυρριχιστὰς Παναθηναίοις τοῖς μεγάλοις ὀκτακοσίας. (2) Ἔτι δ' ἀνδράσι χορηγῶν εἰς Διονύσια ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος ἐνίκησα, καὶ ἀνήλωσα, σὺν τῇ τοῦ τρίποδος ἀναθέσει, πεντακισχιλίας δραχμάς, καὶ ἐπὶ Διοκλέους Παναθηναίοις τοῖς μικροῖς κυκλικῷ χορῷ τριακοσίας. Τὸν δὲ μεταξὺ χρόνον ἐτριηράρχουν ἑπτὰ ἔτη, καὶ ἓξ τάλαντα ἀνήλωσα. (3) Καὶ τοσαύτας δαπάνας δαπανώμενος, καὶ καθ' ἡμέραν ὑπὲρ ὑμῶν κινδυνεύων καὶ ἀποδημῶν, ὅμως εἰσφορὰς τὴν μὲν τριάκοντα μνᾶς τὴν δὲ τετρακισχιλίας δραχμὰς εἰσενήνοχα. Ἐπειδὴ δὲ κατέπλευσα ἐπὶ Ἀλεξίου ἄρχοντος, εὐθὺς ἐγυμνασιάρχουν εἰς Προμήθεια, καὶ ἐνίκων ἀναλώσας
162 δώδεκα μνᾶς. Καὶ ὕστερον κατέστην χορηγὸς παιδικῷ χορῷ, καὶ ἀνήλωσα πλέον ἢ πεντεκαίδεκα

XXI.

ACCEPTORUM MUNERUM SINE NOMINE DEFENSIO.

Ac de iis quidem quæ ab adversariis objecta sunt, judices, satis luculenter omnia vobis demonstrata esse arbitror: jam de reliqua vitæ ratione auscultetis velim, ut cognoscatis de quali homine sententiam sitis laturi. Ego Theopompo archonte, inscriptus inter viros, et ludis tragicis choregus factus, insumpsi triginta minas; et post tertium mensem, Thargeliis victor virili choro, duo millia drachmarum; et Glaucippo archonte, in pyrrhichistas, ludis Panathenaicis magnis, drachmas octingentas. (2) Eodem archonte, in Dionysiis, virilem chorum adornans, victor recessi, et cum tripodis consecratione insumpsi quinque millia drachmarum; et Diocle archonte, Panathenaicis minoribus, choro cyclico drachmas trecentas. Interjecto tempore, per septem annos, præfui triremibus sex talentorum impendio. (3) Et præter tot sumptus, præter quotidiana fere pericula procul ab urbe pro vobis suscepta, nihilo tamen minus duas contuli contributiones, alteram triginta minarum, quater alteram mille drachmarum. Domum reversus, Alexia archonte, statim gymnasiarcha factus sum ludis Prometheis, et vici duodecim minis insumptis, et deinde choregus electus puerili choro minis plus quinde-

μνᾶς. (4) Ἐπὶ δὲ Εὐκλείδου ἄρχοντος κωμῳδοῖς χορηγῶν Κηφισοδώρῳ ἐνίκων, καὶ ἀνήλωσα σὺν τῇ τῆς σκευῆς ἀναθέσει ἑκκαίδεκα μνᾶς, καὶ Παναθηναίοις τοῖς μικροῖς ἐχορήγουν πυρριχισταῖς ἀγενείοις, καὶ ἀνήλωσα ἑπτὰ μνᾶς. (5) Νενίκηκα δὲ τριήρει μὲν ἁμιλλώμενος ἐπὶ Σουνίῳ, ἀναλώσας πεντεκαίδεκα μνᾶς· χωρὶς δὲ ἀρχιθεωρίας καὶ ἀρρηφορίας καὶ ἄλλα τοιαῦτα, εἰς ἃ ἐμοὶ δεδαπάνηται πλέον ἢ τριάκοντα μναῖ. Καὶ τούτων ὧν κατέλεξα, εἰ ἐβουλόμην κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ λειτουργεῖν, οὐδ' ἂν τὸ τέταρτον μέρος ἀνήλωσα. (6) Τὸν δὲ χρόνον ὃν ἐτριηράρχουν, ἡ ναῦς ἄριστά μοι ἔπλει παντὸς τοῦ στρατοπέδου. Τεκμήριον δὲ τούτου ὑμῖν μέγιστον ἐρῶ. Πρῶτον μὲν γὰρ Ἀλκιβιάδης, ὃν ἐγὼ περὶ πολλοῦ ἂν ἐποιησάμην μὴ συμπλεῖν μοι, οὔτε φίλος ὢν οὔτε συγγενὴς οὔτε φυλέτης ἔπλει ἐπὶ τῆς ἐμῆς νεώς. (7) Καίτοι ὑμᾶς οἶμαι εἰδέναι ὅτι στρατηγὸς ὤν, ᾧ ἐξῆν ποιεῖν ὅ τι ἐβούλετο, οὐκ ἂν ποτε ἀνέβη ἐπ' ἄλλην ναῦν εἰ μὴ τὴν ἄριστα πλέουσαν, μέλλων αὐτὸς κινδυνεύσειν. (8) Ἐπειδὴ δὲ ἐκείνους μὲν ὑμεῖς ἐπαύσατε τῆς ἀρχῆς, τοὺς δὲ μετὰ Θρασύλου δέκα εἵλεσθε, οὗτοι πάντες ἐβούλοντο ἐπὶ τῆς ἐμῆς νεὼς πλεῖν, ἀνέβη μέντοι πολλῶν λοιδοριῶν αὐτοῖς γενομένων Ἀρχέστρατος ὁ Φρεάρριος· ἀποθανόντος δὲ τούτου ἐν Μυτιλήνῃ Ἐρασινίδης μετ' ἐμοῦ συνέπλει. Καίτοι οὕτω παρεσκευασμένην τριήρη πόσα οἴεσθε ἀνηλωκέναι χρήματα ἢ πόσα τοὺς πολεμίους εἰργάσθαι κακά, ἢ πόσα τὴν πόλιν εὖ πεποιηκέναι; (9) Τεκμήριον δὲ τούτου μέγιστον· ὅτε γὰρ ἐν τῇ τελευταίᾳ ναυμαχίᾳ αἱ νῆες διεφθάρησαν, οὐδενός μοι συμπλέοντος στρατηγοῦ (ἵνα καὶ τούτου μνησθῶ, ἐπειδὴ καὶ τοῖς τριηράρχοις ὠργίσθητε διὰ τὴν γενομένην συμφοράν) ἐγὼ τήν τε ἐμαυτοῦ ναῦν ἐκόμισα καὶ τὴν Ναυσιμάχου τοῦ Φαληρέως ἔσωσα. (10) Καὶ ταῦτα οὐκ ἀπὸ τύχης ἐγένετο, ἀλλ' ἀπὸ παρασκευῆς τῆς ἐμῆς· εἶχον γὰρ χρήμασι πείσας κυβερνήτην Φαντίαν ἅπαντα τὸν χρόνον, ὃς ἐδόκει τῶν Ἑλλήνων ἄριστος εἶναι, παρεσκευασάμην δὲ καὶ τὸ πλήρωμα πρὸς ἐκεῖνον καὶ τὴν ἄλλην ὑπηρεσίαν ἀκόλουθον. Καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, πάντες ἐπίστασθε, ὅσοι ἐτυγχάνετε ὄντες ἐκεῖ τῶν στρατιωτῶν. Κάλεσον δὲ καὶ Ναυσίμαχον.

ΜΑΡΤΥΡΙΑ.

11. Αἱ μὲν τοίνυν σωθεῖσαι τῶν νεῶν δώδεκα ἦσαν· ἐγὼ δ' ὑμῖν δύο ἐκόμισα, τὴν ἐμαυτοῦ καὶ τὴν Ναυσιμάχου τριήρη.

Καὶ οὕτω πολλοὺς κινδύνους ὑπὲρ ὑμῶν κεκινδυνευκὼς καὶ τοσαῦτα ἀγαθὰ εἰργασμένος τὴν πόλιν, νυνὶ δέομαι οὐ δωρεὰν ὥσπερ ἕτεροι ἀντὶ τούτων παρ' ὑμῶν λαβεῖν, ἀλλὰ μὴ στερηθῆναι τῶν ἐμαυτοῦ, ἡγούμενος καὶ ὑμῖν αἰσχρὸν εἶναι παρά τε ἑκόντος ἐμοῦ καὶ παρ' ἄκοντος λαμβάνειν. (12) Καὶ οὐ τοσοῦτόν μοι μέλει εἴ με δεῖ τὰ ὄντα ἀπολέσαι· ἀλλ' οὐκ ἂν δεξαίμην ὑβρισθῆναι, οὐδὲ παραστῆναι τοῖς διαδυομένοις τὰς λειτουργίας ἐμοὶ μὲν ἀχάριστα εἶναι τὰ εἰς ὑμᾶς ἀνη-

cim impendi. (4) Archonte Euclide, ludis comicis, choregum agens dum Cephisodotus erat chori magister, vici, et computata supellectile et vestimentorum dedicatione, impendi sedecim minas; et Panathenaicis minoribus, pyrrhichistarum imberbium choregus factus, septem minas insumpsi. (5) Vici autem in navali certamine ad Sunium, sumptu in triremem facto minarum quindecim : ad hæc, vici in architheoriis, arrhephoriis, et ceteris ejusmodi; quæ victoriæ mihi constiterunt pluris quam triginta minis. Quarum omnium summarum, si juxta legis verba administrare res voluissem, ne quarta quidem pars mihi fuisset insumenda. (6) Per id temporis quo triremis præfecturam gessi, alias omnes naves mea navis antecedebat. Cujus rei insigne argumentum adducam. Primum enim Alcibiades (quem plurimi vellem mecum una non navigasse) mihi neque amicitia, neque genere, neque tribu conjunctus, in nave mea vehebatur. (7) Attamen vos omnes scire arbitror, ducem exercitus, cui omnia parebant, non nisi celerrimam navem fuisse conscensurum, quum ipsi periculum esset subeundum. (8) Postquam vero illum ab imperio exclusistis, suffectis decem ducibus, quorum in numero Thrasyllus erat, ii omnes in nave mea vehi efflagitabant. Conscendit vero, multis conviciis ultro citroque habitis, Archestratus Phrearrhius. Quo defuncto Mytilenis, una mecum navigavit Erasinides. At enim navem ita instructam quanti constitisse arbitremini? quantas calamitates hostibus, quantas reipublicæ commoditates attulisse? (9) Cujus rei maximum erit indicium : nam in pugna navali novissima ubi naves interierunt, nullo ex ducibus mecum navigante (ut id non taceam), quo tempore etiam præfectis triremium ob acceptam cladem graviter succensebatis, ego et meam ipsius navem incolumem reduxi, et alteram, quæ Nausimachi erat Phalerei, servavi. (10) Neque hæc fortuito evenerunt, sed consilio meo. Magna enim mercede conductus, toto belli tempore, navem meam gubernabat Phantias, qui inter Græcos habebatur nauticæ rei peritissimus. Ceterum autem apparatum, nautas et remiges habui gubernatori congruentes. Atque hæc vera esse cognoscitis vos qui illic in numero militum adfuistis; mihi tamen voca Nausimachum.

TESTIMONIUM.

11. Naves igitur servatæ erant duodecim; quarum duas ego vobis reduxi, meam utique et Nausimachi triremem.

Atque ego tot periculis pro vestra salute defunctus et, toties bene meritus de republica, hodie pro his rogo, non, quemadmodum ceteri, ut præmium aliquod a vobis reportem, sed ne me fortunis meis despolietis; ratus id vobis turpe esse, si a me et gratis et ingratis auferatis. (12) Nec me adeo movet rerum mearum jactura; sed ægre ferrem me ignominia affici; neque eam velim esse opinionem eis qui publica munia declinare solent, nullam scilicet mihi haberi

λωμένα, ἐκείνους δὲ δοκεῖν ὀρθῶς βεβουλεῦσθαι ὅτι ὑμῖν οὐδὲν προεῖνται τῶν σφετέρων αὐτῶν. Ἂν οὖν ἐμοὶ πεισθῆτε, τά τε δίκαια ψηφιεῖσθε καὶ τὰ λυσιτελοῦντα ὑμῖν αὐτοῖς αἱρήσεσθε. (13) Ὁρᾶτε γάρ, ὦ ἄνδρες δικασταί, τὰ προσιόντα τῇ πόλει ὡς ὀλίγα ἐστί, καὶ ταῦτα ὡς ὑπὸ τῶν ἐφεστηκότων ἁρπάζεται· ὥστ' ἄξιον ταύτην ἡγεῖσθαι πρόσοδον βεβαιοτάτην τῇ πόλει, τὰς οὐσίας τῶν ἐθελόντων λειτουργεῖν. (14) Ἂν οὖν εὖ βουλεύσησθε, οὐδὲν ἧττον ἐπιμελήσεσθε τῶν ἡμετέρων χρημάτων ἢ τῶν ἰδίων τῶν ὑμετέρων αὐτῶν, εἰδότες ὅτι ἕξετε πᾶσι χρῆσθαι τοῖς ἡμετέροις ὥσπερ καὶ πρότερον. Οἶμαι δὲ πάντας ὑμᾶς ἐπίστασθαι ὅτι τῶν ἐμῶν ἐγὼ πολὺ βελτίων ὑμῖν ἔσομαι ταμίας τῶν τὰ τῆς πόλεως ὑμῖν ταμιευόντων. Ἐὰν δ' ἐμὲ πένητα ποιήσητε, καὶ ὑμᾶς αὐτοὺς ἀδικήσετε· ἕτεροι δὲ καὶ ταῦτα διανεμοῦνται, ὥσπερ καὶ τἆλλα.

163 15. Ἄξιον δέ ἐστιν ἐνθυμηθῆναι ὅτι πολὺ μᾶλλον ὑμῖν προσήκει τῶν ὑμετέρων ἐμοὶ διδόναι ἢ τῶν ἐμῶν ἐμοὶ ἀμφισβητῆσαι, καὶ πένητα γενόμενον ἐλεῆσαι μᾶλλον ἢ πλουτοῦντι φθονῆσαι, καὶ τοῖς θεοῖς εὔχεσθαι τοὺς ἄλλους εἶναι τοιούτους πολίτας, ἵνα τῶν μὲν ἑτέρων μὴ ἐπιθυμήσωσι, τὰ δὲ σφέτερα αὐτῶν εἰς ὑμᾶς ἀναλίσκωσιν. (16) Ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί (καὶ μηδεὶς ὑμῶν ἀχθεσθῇ), πολὺ ἂν δικαιότερον ὑμᾶς ὑπὸ τῶν ζητητῶν ἀπογραφῆναι τὰ ἐμὰ ἔχειν, ἢ ἐμὲ νυνὶ κινδυνεύειν ὡς τοῦ δημοσίου χρήματα ἔχοντα. Τοιοῦτον γὰρ ἐμαυτὸν τῇ πόλει παρέχω, ὥστ' ἰδίᾳ μὲν φείδομαι, δημοσίᾳ δὲ λειτουργῶν ἥδομαι, καὶ οὐκ ἐπὶ τοῖς περιοῦσι μέγα φρονῶ, ἀλλ' ἐπὶ τοῖς εἰς ὑμᾶς ἀνηλωμένοις, (17) ἡγούμενος τούτων μὲν αὐτὸς αἴτιος εἶναι, τὴν δ' οὐσίαν ἑτέρους μοι καταλιπεῖν, καὶ διὰ ταύτην μὲν ὑπὸ τῶν ἐχθρῶν ἀδίκως συκοφαντεῖσθαι, δι' ἐκεῖνα δὲ ὑφ' ὑμῶν δικαίως σώζεσθαι. Ὥστ' οὐκ ἂν εἰκότως ἕτεροί με ἐξῃτήσαντο παρ' ὑμῶν, καὶ εἴ τις τῶν ἐμῶν φίλων τοιοῦτον ἀγῶνα ἠγωνίζετο, ὑμᾶς ἂν ἠξίουν ἐμοὶ δοῦναι τὴν χάριν, καὶ εἰ παρ' ἄλλοις ἐκινδύνευον, ὑμᾶς εἶναι τοὺς δεομένους ὑπὲρ ἐμοῦ. (18) Τοῦτο δ' οὐκ ἂν εἰπεῖν ἔχοι τις, ὡς πολλὰς ἀρχὰς ἄρξας ἐκ τῶν ὑμετέρων ὠφέλημαι, ἢ ὡς αἰσχρὰς δίκας δεδίκασμαι, ἢ ὡς αἰσχροῦ τινος αἴτιός εἰμι, ἢ ὡς τὰς τῆς πόλεως συμφορὰς ἀσμένως εἶδον· ὑπὲρ ἁπάντων δὲ καὶ [τῶν] ἰδίων καὶ τῶν δημοσίων οὕτως ἡγοῦμαί μοι πεπολιτεῦσθαι, καὶ ὑμᾶς εἰδέναι, ὥστε οὐδὲν δεῖν με ἀπολογήσασθαι περὶ αὐτῶν. (19) Δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, τὴν αὐτὴν νῦν περὶ ἐμοῦ γνώμην ἔχειν ἥνπερ καὶ ἐν τῷ τέως χρόνῳ, καὶ μὴ μόνον τῶν δημοσίων λειτουργιῶν μεμνῆσθαι, ἀλλὰ καὶ τῶν ἰδίων ἐπιτηδευμάτων ἐνθυμεῖσθαι, ἡγουμένους ταύτην εἶναι τὴν λειτουργίαν ἐπιπονωτάτην, διὰ τέλους τὸν πάντα χρόνον κόσμιον εἶναι καὶ σώφρονα καὶ μήθ' ὑφ' ἡδονῆς ἡττηθῆναι μήθ' ὑπὸ κέρδους ἐπαρθῆναι, ἀλλὰ τοιοῦτον παρασχεῖν ἑαυτὸν ὥστε μηδένα τῶν πολιτῶν μήτε μέμψασθαι μήτε δίκην τολμῆσαι προσκαλέσασθαι.

20. Οὔκουν ἄξιον, ὦ ἄνδρες δικασταί, πειθομένους

gratiam eorum quæ pro vobis impendi, ab ipsis autem bene et sapienter consultum fuisse quod vobis nihil quidquam de suis impertiverint. Si igitur mihi auscultetis, et quæ justa sunt statuetis, et quæ vobismetipsis utilia eligetis. (13) Videtis enim, judices, civitatis reditus quam sint exigui, quamque ab iis qui fisco præsunt, diripiantur. Hunc itaque certissimum reipublicæ reditum existimare oportet, eorum fortunas qui ad obeunda reipublicæ munia sunt parati. (14) Si igitur bene consulatis, non minorem rei nostræ rationem habebitis quam propriæ uniuscujusque vestrûm; id scientes res meas semper ad utilitatem vestram fore promptissimas, ut et olim fuerunt. Apud vos autem omnes constare arbitror me vobis mearum fortunarum longe meliorem fore dispensatorem quam eos qui vobis pecunias publicas dispensant. Quodsi me ad paupertatem adigatis, vobismetipsis damnum feretis, et alii etiam mea eodem modo, quo cetera, inter se divident.

15. Vos vero par est reputare longe æquius esse ut mihi aliquid de vestris impertiatis, quam ut mecum de meis disceptetis; ut vos mei misereseat si pauper fiam, quam ut diviti invideatis; ut denique deos oretis ceteros quoque cives esse hujusmodi, qui aliena non appetant, et sua in vos impendant. (16) Equidem existimo, judices (neque quisquam vestrûm succenseat), multo esse justius ut vos ab inquisitoribus deferamini quod mea habeatis, quam ut ego nunc in periculum adducar quod reipublicæ pecunias habeam. Talem enim me in civitate præbeo, ut meis privatim parcam, publice lubens sumptus faciam; ut non ego superbiam propter opes, sed propter hæc quæ a me vobis impenduntur : (17) arbitratus scilicet horum me esse auctorem, meas autem fortunas a majoribus fuisse mihi relictas; arbitratus quoque me propter has ab inimicis inique accusari, at propter impensa a me jure me a vobis esse absolvendum. Quare adeo non decet ut alii pro me vos deprecentur, ut, si quis amicorum meorum in hujusmodi periculum adduceretur, æquum putarem meis meritis eum a vobis condonari, et si apud alios causam dicerem, vos ipsos pro me intercedere. (18) At vero nemo quisquam possit dicere me compluribus magistratibus functum ex vestro reditu meas fortunas auxisse, aut turpia judicia sublisse, aut inhonestum aliquod in me admisisse, aut reipublicæ calamitates lubenter aspexisse : verum ego in omnibus, tam privatis quam publicis, ita me versatum esse contendo, vosque scire arbitror, ut nihil necesse sit ad meæ vitæ rationes defendendas descendere. (19) Vos igitur oro, judices, ut de me nunc idem sentiatis, quod et olim sensistis, et ut non solum publicorum munerum memoriam teneatis, sed ut privata quoque studia recolatis; reputantes illud esse munus longe operosissimum, per omnem ætatem scilicet moderate et decenter vivere, et neque voluptate vinci, neque lucro efferri, verum ejusmodi civem se exhibere, ut nemo civium vel queri possit, vel jure postulare.

20. Indignum fuerit, judices, vos ab his accusatoribus

κατηγόροις τοιούτοις ἐμοῦ καταψηφίσασθαι, οἳ περὶ ἀσεβείας μὲν ἀγωνιζόμενοι τηλικοῦτοι γεγόνασιν, οὐκ ἂν δυνάμενοι δ' ὑπὲρ τῶν σφετέρων ἁμαρτημάτων ἀπολογήσασθαι, ἑτέρων κατηγορεῖν τολμῶσι· καὶ ὧν Κινησίας οὕτω διακείμενος πλείους στρατείας ἐστράτευται, οὗτοι περὶ τῶν τῆς πόλεως ἀγανακτοῦσι· καὶ ἐξ ὧν μὲν ἡ πόλις εὐδαίμων ἔσται, οὐ συμβάλλονται, πάντα δὲ ποιοῦσιν ὅπως ὑμεῖς τοῖς εὖ πεποιηκόσιν ὀργισθήσεσθε. (21) Οὗτοι μὲν οὖν, ὦ ἄνδρες δικασταί, ἐν τῷ δήμῳ κατείποιεν ὑμῖν τὰ σφέτερ' αὐτῶν ἐπιτηδεύματα· οὐ γὰρ ἂν ἔχοιμι ὅ τι τούτου μεῖζον αὐτοῖς εὐξαίμην κακόν· ἐγὼ δ' ὑμῶν δέομαι καὶ ἱκετεύω καὶ ἀντιβολῶ μὴ καταγνῶναι δωροδοκίαν ἐμοῦ, μηδ' ἡγήσασθαι τοσαῦτα χρήματα εἶναι, δι' ἃ ἐγὼ βουληθείην ἄν τι κακὸν τῇ πόλει γενέσθαι. (22) Μαινοίμην γὰρ ἄν, ὦ ἄνδρες δικασταί, εἰ τὴν μὲν πατρῴαν οὐσίαν φιλοτιμούμενος εἰς ὑμᾶς ἀναλίσκοιμι, ἐπὶ δὲ τῷ τῆς πόλεως κακῷ παρὰ τῶν ἄλλων δωροδοκοίην. Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταί, οὐκ οἶδ' οὕστινας ἢ ὑμᾶς ἐβουλήθην περὶ ἐμοῦ δικαστὰς γενέσθαι, εἴπερ χρὴ τοὺς εὖ πεπονθότας περὶ τῶν εὖ πεποιηκότων εὔχεσθαι τὴν ψῆφον φέρειν. (23) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί (ἐπιθυμῶ γὰρ καὶ τούτων μνησθῆναι), οὐδεπώποτε λειτουργεῖν ὑπὲρ ὑμῶν δέον . . . . , εἰ τοσούτῳ πενεστέρους τοὺς παῖδας καταλείψω, ἀλλὰ πολὺ μᾶλλον εἰ μὴ προθύμως ποιήσω τὰ προσταχθέντα· (24) οὐδ' εἴ ποτε κινδυνεύσειν ἐν ταῖς ναυμαχίαις μέλλοιμι, οὐδεπώποτ' ἠλέησα οὐδ' ἐδάκρυσα οὐδ' ἐμνήσθην γυναικὸς οὐδὲ παίδων τῶν ἐμαυτοῦ, οὐδ' ἡγούμην δεινὸν εἶναι εἰ τελευτήσας ὑπὲρ τῆς πατρίδος τὸν βίον ὀρφανοὺς καὶ πατρὸς ἀπεστερημένους
164 αὐτοὺς καταλείψω, ἀλλὰ πολὺ μᾶλλον εἰ σωθεὶς αἰσχρῶς ὀνείδη καὶ ἐμαυτῷ καὶ ἐκείνοις περιάψω. (25) Ἀνθ' ὧν ὑμᾶς ἀπαιτῶ νῦν τὴν χάριν, καὶ ἀξιῶ, ἐν τοῖς κινδύνοις ἐμοῦ τοιαύτην περὶ ὑμῶν γνώμην ἔχοντος, ὑμᾶς νυνὶ ἐν τῷ θαρραλέῳ ὄντας ἐμὲ καὶ τοὺς παῖδας τούτους περὶ πολλοῦ ποιήσασθαι, ἡγουμένους ἡμῖν μὲν δεινόν, ὑμῖν δὲ αἰσχρὸν εἶναι, εἰ ἀναγκασθησόμεθα ἐπὶ τοιαύταις αἰτίαις ἄτιμοι γενέσθαι, ἢ στερηθέντες τῶν ὑπαρχόντων πένητες εἶναι καὶ πολλῶν ἐνδεεῖς ὄντες περιιέναι, ἀνάξια μὲν ἡμῶν αὐτῶν πεπονθότες, ἀνάξια δὲ τῶν εἰς ὑμᾶς ὑπηργμένων. Μηδαμῶς, ὦ ἄνδρες δικασταί· ἀλλ' ἀποψηφισάμενοι τοιούτοις ἡμῖν χρῆσθε πολίταις οἷοισπερ ἐν τῷ πρόσθεν χρόνῳ.

persuasos me condemnare, qui ipsi postulati impietatis tantæ sunt nequitiæ ut, quum proprias criminationes diluere nequeant, alios in jus ducere non dubitent. Et ii quibus Cinesias, quum sit talis, plures militias militavit, civitatis sortem indignantur; atque unde civitas prospera utatur fortuna qui nihil omnino conferunt, nihil tamen relinquunt infectum quo eis irascamini qui de republica bene merentur. (21) Isti porro, judices, utinam sua vobis turpia et occulta palam proferant studia! neque enim eis pejus quid possum imprecari. Ego autem vos oro et obtestor ne me munerum acceptorum condemnetis, neu existimetis tantas pecunias esse posse quas ego publicæ felicitati lubens anteponerem. (22) Insanirem enim, judices, si, quum patria bona in vestro favore ambiendo profundam, in reipublicæ detrimentum ab aliis acciperem munera. Equidem nescio quosnam nisi vos mihi in hac causa dari judices malim, si hoc sit exoptandum ut qui beneficiis affecti fuerint de beneficiorum auctoribus statuant. (23) Ac profecto, judices, (nam et hæc quoque meminisse cupio) nunquam, quando munus aliquod pro vobis obeundum erat, reputavi si tanto pauperiores liberos relinquerem, sed multo magis si sat magno studio imperata exsequerer. (24) Nunquam in navalibus pugnis dimicaturus, memet miseratus sum, neque ploravi, neque memini uxoris aut liberorum meorum; neque grave esse arbitratus sum, si pro patria defunctus liberos relinquerem parente orbatos, sed multo magis si indecore servatus et mihi ipsi et illis infamiæ notam inurerem. (25) Pro quibus mihi nunc gratiam referri postulo, et oro ut, quum ego in periculis ita in vos animatus fuerim, vos hodie extra periculum constituti, et mei et liberorum aliquam rationem habeatis; existimantes quum mihi grave, tum vobis turpe futurum, si in criminibus ejusmodi infames evadamus, aut omnibus bonis exuti ad inopiam redigamur, atque obambulemus omni re necessaria destituti, eam experti fortunam quæ et vobismetipsis et meis in vos meritis non digna sit. Nequaquam, judices; sed me vestra sententia absoluto, tali nunc cive utamini qualem in superiori tempore nacti fuistis.

XXII.

ΚΑΤΑ ΤΩΝ ΣΙΤΟΠΩΛΩΝ.

Πολλοί μοι προσεληλύθασιν, ὦ ἄνδρες δικασταί, θαυμάζοντες ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ βουλῇ κατηγόρουν, καὶ λέγοντες ὅτι ὑμεῖς, εἰ ὡς μάλιστα αὐτοὺς ἀδικεῖν ἡγεῖσθε, οὐδὲν ἧττον καὶ τοὺς περὶ τούτων ποιουμένους λόγους συκοφαντεῖν νομίζετε. Ὅθεν οὖν ἠνάγκασμαι κατηγορεῖν αὐτῶν, περὶ τούτων πρῶτον εἰπεῖν βούλομαι.

2. Ἐπειδὴ γὰρ οἱ πρυτάνεις ἀπέδοσαν εἰς τὴν βουλὴν περὶ αὐτῶν, οὕτως ὠργίσθησαν αὐτοῖς, ὥστε ἔλεγόν τινες τῶν ῥητόρων ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι θανάτῳ ζημιῶσαι. Ἡγούμενος δὲ ἐγὼ δεινὸν εἶναι τοιαῦτα ἐθίζεσθαι ποιεῖν τὴν βουλήν, ἀναστὰς εἶπον ὅτι μοι δοκοίη κρίνειν τοὺς σιτοπώλας κατὰ τὸν νόμον, νομίζων, εἰ μὲν εἰσιν ἄξια θανάτου εἰργασμένοι, ὑμᾶς οὐδὲν ἧττον ἡμῶν γνώσεσθαι τὰ δίκαια, εἰ δὲ μηδὲν ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς ἀκρίτους ἀπολωλέναι. (3) Πεισθείσης δὲ τῆς βουλῆς ταῦτα, διαβάλλειν ἐπεχείρουν με λέγοντες ὡς ἐγὼ σωτηρίας οὕνεκα τῆς τῶν σιτοπωλῶν τοὺς λόγους τούτους ἐποιούμην. Πρὸς μὲν οὖν τὴν βουλήν, ὅτ' ἦν αὐτοῖς ἡ κρίσις, ἔργῳ ἀπελογησάμην· τῶν γὰρ ἄλλων ἡσυχίαν ἀγόντων, ἀναστὰς αὐτῶν κατηγόρουν, καὶ πᾶσι φανερὸν ἐποίησα ὅτι οὐχ ὑπὲρ τούτων ἔλεγον, ἀλλὰ τοῖς νόμοις τοῖς κειμένοις ἐβοήθουν. (4) Ἠρξάμην μὲν οὖν τούτων ἕνεκα, δεδιὼς τὰς αἰτίας· αἰσχρὸν δ' ἡγοῦμαι πρότερον παύσασθαι, πρὶν ἂν ὑμεῖς περὶ αὐτῶν ὅ τι ἂν βούλησθε ψηφίσησθε.

5. Καὶ πρῶτον μὲν ἀνάβηθι καὶ εἰπὲ σὺ ἐμοί, μέτοικος εἶ; Ναί. Μετοικεῖς δὲ πότερον ὡς πεισόμενος τοῖς νόμοις τῆς πόλεως, ἢ ὡς ποιήσων ὅ τι ἂν βούλῃ; Ὡς πεισόμενος. Ἄλλο τι οὖν ἀξιοῖς ἢ ἀποθανεῖν, εἴ τι πεποίηκας παρὰ τοὺς νόμους, ἐφ' οἷς θάνατος ἡ ζημία; Ἔγωγε. Ἀπόκριναι δή μοι, εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι κελεύνι. Ἐγὼ τῶν ἀρχόντων κελευόντων συνεπριάμην.

6. Ἂν μὲν τοίνυν ἀποδείξῃ, ὦ ἄνδρες δικασταί, ὡς ἔστι νόμος ὃς κελεύει τοὺς σιτοπώλας συνωνεῖσθαι τὸν σῖτον, ἂν οἱ ἄρχοντες κελεύωσιν, ἀποψηφίσασθε· εἰ δὲ μή, δίκαιον ὑμᾶς καταψηφίσασθαι. Ἡμεῖς γὰρ ὑμῖν παρεσχόμεθα τὸν νόμον, ὃς ἀπαγορεύει μηδένα τῶν ἐν τῇ πόλει πλείω σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι.

7. Χρῆν μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἱκανὴν εἶναι ταύτην τὴν κατηγορίαν, ἐπειδὴ οὗτος μὲν ὁμολογεῖ συμπρίασθαι, ὁ δὲ νόμος ἀπαγορεύων φαίνεται, ὑμεῖς δὲ κατὰ τοὺς νόμους ὀμωμόκατε ψηφιεῖσθαι· ὅμως δ' ἵνα πεισθῆτε ὅτι καὶ κατὰ τῶν ἀρχόντων ψεύδονται, ἀνάγκη καὶ μακρότερον εἰπεῖν περὶ αὐτῶν. (8) Ἐπειδὴ γὰρ οὗτοι τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον, παρακαλέσαντες τοὺς ἄρχοντας ἠρωτῶμεν. Καὶ οἱ μὲν δύο οὐδὲν ἔφασαν εἰδέναι τοῦ πράγματος,

XXII.

ADVERSUS FRUMENTARIOS.

Multi me adierunt, judices, qui mirari se dicerent quod ego frumentarios in senatu non accusarem, atque etiam affirmarent vos, si quammaxime eos deliquisse existimetis, nihilo tamen minus etiam illos qui de istis verba faciunt, in calumniatorum loco habere. Unde igitur ad istorum accusationem coactus fuerim descendere, de eo primum eloqui volo.

2. Nam quum prytanes de iis ad senatum retulissent, senatores ira adeo in ipsos erant inflammati, ut oratorum nonnulli dicerent eos indicta causa undecimviris tradendos esse et morte plectendos. Ego autem non ferendum esse ratus in eam consuetudinem adduci senatum, assurgens dixi meam esse sententiam ut de frumentariis secundum legem quæreretur; arbitratus nimirum, si quid isti morte dignum admisissent, vos nihilo minus quam nos justa omnia esse decreturos; sin autem nihil deliquissent, nequaquam oportere ut indemnati ad supplicium ducerentur. (3) Quod ubi comprobavit senatus, conati quidam sunt me calumniari, affirmantes hæc ideo a me dici ut a periculo frumentarii liberarentur. Apud senatum igitur, ubi de iis quæstio habita est, facto dilui hanc criminationem. Ceteris enim tacentibus, surrexi ego atque accusavi frumentarios, palamque feci omnibus, me non hæc istorum gratia dixisse, sed latis legibus subvenisse. (4) Exorsus igitur hanc causam sum metuens a plebe criminationes; turpe autem esse existimo prius desistere quam vos de istis quodcumque visum fuerit statueritis.

5. Huc primum ascende tu et responde mihi. Esne inquilinus? — Ego vero. — Quanam mente es inquilinus? utrumne ut hujus civitatis legibus obtemperaturus, an ut facturus quodcumque tibi collibuerit? — Ut obtemperaturus. — Aliamne tibi statuis quam mortis pœnam, si quid admisisti adversus leges quæ pœnam mortis habent adjunctam? — Nullam aliam statuo. — Responde mihi insuper. Utrumne confiteris te plus frumenti coemisse quam quinquaginta corbes quos lex permittit? — Ego jubentibus emi magistratibus.

6. Si igitur legem ostenderit, judices, quæ frumentariis permittat frumentum coemere si jubeant magistratus, absolvitote; sin minus, æquum est eum a vobis condemnari: nos enim legem vobis exhibuimus quæ diserte prohibet ne quisquam in civitate emat ultra corbes quinquaginta.

7. Oportebat porro, judices, huc usque satis hunc esse accusatum, quum ipse confiteatur se coemisse, lex autem evidenter prohibeat, et vos juraveritis secundum leges ferre sententiam: attamen ut vobis constet falso hæc ab istis in magistratus dici, paulo latius de his mihi necessario agendum est. (8) Nam quum isti in illos culpam rejicerent, magistratus compellatos interrogavi. Quorum duo responderunt nihil se harum rerum scire; Anytus autem

Ἄνυτος δ' ἔλεγεν ὡς τοῦ προτέρου χειμῶνος, ἐπειδὴ 165 τίμιος ἦν ὁ σῖτος, τούτων ὑπερβαλλόντων ἀλλήλους καὶ πρὸς σφᾶς αὐτοὺς μαχομένων, συμβουλεύσειεν αὐτοῖς παύσασθαι φιλονεικοῦσιν, ἡγούμενος συμφέρειν ὑμῖν τοῖς παρὰ τούτων ὠνουμένοις ὡς ἀξιώτατον τούτους πρίασθαι· δεῖν γὰρ αὐτοὺς ὀβολῷ μόνον πωλεῖν τιμιώτερον. (9) Ὡς τοίνυν οὐ συμπριαμένους καταθέσθαι ἐκέλευεν αὐτούς, ἀλλὰ μὴ ἀλλήλοις ἀντωνεῖσθαι συνεβούλευεν, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι, καὶ ὡς οὗτος μὲν ἐπὶ τῆς προτέρας βουλῆς τούτους εἶπε τοὺς λόγους, οὗτοι δ' ἐπὶ τῆσδε συνωνούμενοι φαίνονται.

ΜΑΡΤΥΣ.

10. Ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευσθέντες συνεπρίαντο τὸν σῖτον, ἀκηκόατε· ἡγοῦμαι δ', ἂν ὡς μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ αὐτῶν αὐτοὺς ἀπολογήσεσθαι, ἀλλὰ τούτων κατηγορήσειν· περὶ γὰρ ὧν εἰσι νόμοι διαρρήδην γεγραμμένοι, πῶς οὐ χρὴ διδόναι δίκην καὶ τοὺς μὴ πειθομένους καὶ τοὺς κελεύοντας τούτοις τἀναντία πράττειν;

11. Ἀλλὰ μὲν γάρ, ὦ ἄνδρες δικασταί, οἴομαι αὐτοὺς ἐπὶ μὲν τοῦτον τὸν λόγον οὐκ ἐλεύσεσθαι· ἴσως δ' ἐροῦσιν, ὥσπερ καὶ ἐν τῇ βουλῇ, ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ὑμῖν πωλοῖεν. Μέγιστον δ' ὑμῖν ἐρῶ καὶ περιφανέστατον τεκμήριον ὅτι ψεύδονται. (12) Ἐχρῆν γὰρ αὐτούς, εἴπερ ὑμῶν ἕνεκα ἔπραττον ταῦτα, φαίνεσθαι τῆς αὐτῆς τιμῆς πολλὰς ἡμέρας πωλοῦντας, ἕως ὁ συνεωνημένος αὐτοὺς ἐπέλιπε· νυνὶ δ' ἐνίοτε τῆς αὐτῆς ἡμέρας ἐπώλουν δραχμῇ τιμιώτερον, ὥσπερ κατὰ μέδιμνον συνωνούμενοι. Καὶ τούτων ὑμῖν μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

13. Δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ, ὅταν μὲν εἰσφορὰν εἰσενεγκεῖν δέῃ, ἣν πάντες εἴσεσθαι μέλλουσιν, οὐκ ἐθέλουσιν, ἀλλὰ πενίαν προφασίζονται, ἐφ' οἷς δὲ θάνατός ἐστιν ἡ ζημία καὶ λαθεῖν αὐτοῖς συνέφερε, ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. Καίτοι πάντες ἐπίστασθε ὅτι τούτοις ἥκιστα προσήκει τοιούτους ποιεῖσθαι λόγους. Τἀναντία γὰρ αὐτοῖς καὶ τοῖς ἄλλοις συμφέρει· τότε γὰρ πλεῖστα κερδαίνουσιν, ὅταν κακοῦ τινος ἀπαγγελθέντος τῇ πόλει τίμιον τὸν σῖτον πωλῶσιν. (14) Οὕτω δ' ἄσμενοι τὰς συμφορὰς τὰς ὑμετέρας ὁρῶσιν, ὥστε τὰς μὲν πρότεροι τῶν ἄλλων πυνθάνονται, τὰς δ' αὐτοὶ λογοποιοῦσιν, ἢ τὰς ναῦς διεφθάρθαι τὰς ἐν τῷ Πόντῳ, ἢ ὑπὸ Λακεδαιμονίων ἐκπλεούσας συνειλῆφθαι, ἢ τὰ ἐμπόρια κεκλεῖσθαι, ἢ τὰς σπονδὰς μέλλειν ἀπορρηθήσεσθαι, καὶ εἰς τοῦτ' ἔχθρας ἐληλύθασιν, ὥστ' ἐν τούτοις τοῖς καιροῖς ἐπιβουλεύουσιν ἡμῖν, ἐν οἷσπερ οἱ πολέμιοι. (15) Ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμενοι, ἀναρπάζουσιν οὗτοι καὶ οὐκ ἐθέλουσι πωλεῖν, ἵνα μὴ περὶ τῆς τιμῆς διαφερώμεθα, ἀλλ' ἀγαπῶμεν ἂν ὁποσουτινοσοῦν πριάμενοι παρ' αὐτῶν ἀπέλθωμεν· ὥστ'

dixit se superiore hieme, quum annona esset carior, ac alius horum alio pluris licitaretur, atque inter se contenderent, suasisse ut ab hujusmodi abstinerent contentionibus; putabat scilicet vobis expedire ut ii a quibus frumentum empturi eratis, quam vilissimo pretio emerent; oportere enim ipsos carius obolo tantum vendere. (9) Quod igitur non jusserit ut annonam coementes in granariis ad tempus caritatis reservarent, sed suasisse ut in licitando se non superarent invicem, eum ipsum Anytum vobis testem producam : atque inde manifestum erit quod ille in superioris anni senatu hæc de quibus loquor dixerit, illi autem hoc anno frumentum coemerint.

TESTIS.

10. Eos igitur non magistratuum jussu frumentum coemisse, audivistis. Ego autem arbitror, si admittamus quod isti hæc vera dicant, hoc non ad suam defensionem, sed ad accusationem magistratuum pertinere. Nam de quibus rebus leges diserte constitutæ sunt, nonne pœnæ pertingunt pariter tam ad eos qui leges violant quam ad eos qui violare jubent?

11. Verum, judices, istos opinor hac oratione non esse usuros, sed dicturos forsan, quemadmodum in senatu dixerunt, se studio in rempublicam frumentum coemisse, ut nobis quam vilissimo pretio divenderent. Ego autem maximum et certissimum argumentum exhibebo ipsos mentiri. (12) Eos enim oportuit, si vestri gratia hæc erant facta, eodem pretio per plures dies vendere, donec divenditum erat quod coemerant : jam vero interdum eodem die drachma pluris vendiderunt, perinde ac si emissent per singulos medimnos. Cujus rei vobis testes exhibebo.

TESTES.

13. Absurdum autem mihi videtur esse, si, quum tributum erit pendendum, quod omnibus palam innotescere oportet, ibi refugiant, et paupertatem obtendant; in iis vero ubi capitis res agitur, et iis latuisse expediebat, dicant se vestri studio leges neglexisse. Quanquam vobis universis constat istos minime decere hac oratione uti; siquidem ipsis contraria in utilitatem cedunt atque aliis. Tunc enim quæstum faciunt plurimum, quum calamitate aliqua civitati renuntiata, annonam vendunt quam carissime. (14) Vestris infortuniis adeo delectantur, ut alia primi omnium resciscant, alia ipsi comminiscantur; scilicet aut naves in Ponto esse deletas, aut inter navigandum a Lacedæmoniis interceptas, aut portus occlusos esse, aut inducias dissolutum iri : eoque inimicitiarum adversus vos provecti sunt ut in eodem rerum articulo quo adversarii vobis insidientur. (15) Nam in maxima annonæ caritate, frumentum isti undique corradunt, et vendere idcirco recusant, ut parum de pretio solliciti simus, sed bene nobiscum agi arbitremur si quocumque demum pretio possimus auferre; adeo

ἐνίοτε εἰρήνης οὔσης ὑπὸ τούτων πολιορκούμεθα. (16) Οὕτω δὲ πάλαι περὶ τῆς τούτων πανουργίας καὶ κακονοίας ἡ πόλις ἔγνωκεν, ὥστ' ἐπὶ μὲν τοῖς ἄλλοις ὠνίοις ἅπασι τοὺς ἀγορανόμους φύλακας κατεστήσατε, ἐπὶ δὲ ταύτῃ μόνῃ τῇ τέχνῃ χωρὶς σιτοφύλακας ἀποκληροῦτε· καὶ πολλάκις ἤδη παρ' ἐκείνων πολιτῶν ὄντων δίκην τὴν μεγίστην ἐλάβετε, ὅτι οὐχ οἷοί τ' ἦσαν τῆς τούτων πονηρίας ἐπικρατῆσαι. Καίτοι τί χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας ὑφ' ὑμῶν πάσχειν, ὁπότε καὶ τοὺς οὐ δυναμένους φυλάττειν ἀποκτείνετε;

17. Ἐνθυμεῖσθαι δὲ χρὴ ὅτι ἀδύνατόν ἐστιν ὑμῖν ἀποψηφίσασθαι. Εἰ γὰρ ἀπογνώσεσθε ὁμολογούντων αὐτῶν ἐπὶ τοὺς ἐμπόρους συνίστασθαι, δόξεθ' ὑμεῖς ἐπιβουλεύειν τοῖς εἰσπλέουσιν. Εἰ μὲν γὰρ ἄλλην τινὰ ἀπολογίαν ἐποιοῦντο, οὐδεὶς ἂν εἶχε τοῖς ἀποψηφισαμένοις ἐπιτιμᾶν· ἐφ' ὑμῖν γὰρ ὁποτέροις βούλεσθε πιστεύειν· νῦν δὲ πῶς οὐ δεινὰ ἂν δόξαιτε ποιεῖν, εἰ τοὺς ὁμολογοῦντας παρανομεῖν ἀζημίους ἀφήσετε; (18) Ἀναμνήσθητε δέ, ὦ ἄνδρες δικασταί, ὅτι πολλῶν ἤδη
166 ἐχόντων ταύτην τὴν αἰτίαν καὶ μάρτυρας παρεχομένων θάνατον κατέγνωτε, πιστοτέρους ἡγησάμενοι τοὺς τῶν κατηγόρων λόγους. Καίτοι πῶς ἂν οὐ θαυμαστὸν εἴη, εἰ περὶ τῶν αὐτῶν ἁμαρτημάτων δικάζοντες μᾶλλον ἐπιθυμεῖτε παρὰ τῶν ἀρνουμένων δίκην λαμβάνειν; (19) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, πᾶσιν ἡγοῦμαι φανερὸν εἶναι ὅτι οἱ περὶ τῶν τοιούτων ἀγῶνες κοινότατοι τυγχάνουσιν ὄντες τοῖς ἐν τῇ πόλει, ὥστε πεύσονται ἥντινα γνώμην περὶ αὐτῶν ἔχετε, ἡγούμενοι, ἂν μὲν θάνατον αὐτῶν καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι τοὺς λοιπούς· ἂν δ' ἀζημίους ἀφῆτε, πολλὴν ἄδειαν αὐτοῖς ἐψηφισμένοι ἔσεσθε ποιεῖν ὅ τι ἂν βούλωνται. (20) Χρὴ δέ, ὦ ἄνδρες δικασταί, μὴ μόνον τῶν παρεληλυθότων ἕνεκα αὐτοὺς κολάζειν, ἀλλὰ καὶ παραδείγματος ἕνεκα τῶν μελλόντων ἔσεσθαι· οὕτω γὰρ ἔσονται μόγις ἀνεκτοί. Ἐνθυμεῖσθε δ' ὅτι ἐκ ταύτης τῆς τέχνης πλεῖστοι περὶ τοῦ σώματός εἰσιν ἠγωνισμένοι· καὶ οὕτω μεγάλα ἐξ αὐτῆς ὠφελοῦνται, ὥστε μᾶλλον αἱροῦνται καθ' ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν ἢ παύσασθαι παρ' ὑμῶν ἀδίκως κερδαίνοντες. (21) Καὶ μὲν δὴ οὐδ' ἂν ἀντιβολῶσιν ὑμᾶς καὶ ἱκετεύωσι, δικαίως ἂν αὐτοὺς ἐλεήσαιτε, ἀλλὰ πολὺ μᾶλλον τῶν τε πολιτῶν οἳ διὰ τὴν τούτων πονηρίαν ἀπέθνησκον, καὶ τοὺς ἐμπόρους ἐφ' οὓς οὗτοι συνέστησαν· οἷς ὑμεῖς χαριεῖσθε καὶ προθυμοτέρους ποιήσετε, δίκην παρ' αὐτῶν λαμβάνοντες. Εἰ δὲ μή, τίν' αὐτοὺς οἴεσθε γνώμην ἕξειν, ἐπειδὰν πύθωνται ὅτι τῶν καπήλων, οἳ τοῖς εἰσπλέουσιν ὡμολόγησαν ἐπιβουλεύειν, ἀπεψηφίσασθε;

22. Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· περὶ μὲν γὰρ τῶν ἄλλων τῶν ἀδικούντων, ὅτε δικάζονται, δεῖ παρὰ τῶν κατηγόρων πυθέσθαι, τὴν δὲ τούτων πονηρίαν ἅπαντες ἐπίστασθε. Ἂν οὖν τούτων καταψηφίσησθε, τά τε δίκαια ποιήσετε καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε· εἰ δὲ μή, τιμιώτερον.

ut nonnunquam in media pace ab iis obsideamur. (16) Porro de istorum versutia atque improbitate ita sensit olim civitas, ut, quum cunctis aliis rebus venalibus ædiles pro custodibus præfeceritis, huic mercaturæ seorsum frumenti inspectores constitueritis : et sæpissime evenit ut ab iis, vestris licet civibus, ultimum sumeretis supplicium, quod istorum hominum nequitiam comprimere non potuerint. At enim quasnam pœnas vobis dabunt qui deliquerint ipsi, quando eos interficitis qui illos non potuerunt compescere?

17. Vobis autem cogitandum est fieri nullo modo posse ut istos absolvatis. Si enim eos indemnes vestra sententia præstabitis qui fatentur se in mercatores conspirasse, videbimini profecto iis insidiari qui in vestros portus appellunt. Nam si aliquo alio defensionis genere uterentur, nemo absolventes vos reprehendere poterat, quum in vestro sit arbitrio positum utris libuerit fidem adhibere : nunc vero qui non erit istud gravissimum si reos confitentes a periculo liberabitis? (18) Recordemini, quæso, judices, multos qui ob hoc ipsum crimen in jus erant vocati, testesque producebant, a vobis capitali pœna condemnatos esse, quod accusatorum verba veriora esse credebatis. Atqui nonne mirum erit si vos de iisdem delictis judicantes, paratiores sitis ad pœnas sumendas de iis qui infitiantur? (19) Attamen omnibus constare existimo hujusmodi judicia ad eos quotquot in urbe degunt maxime pertinere : ita ut illi sciscitaturi sint quamnam de istis sententiam feratis; rati nimirum si eos morti adjudicetis, reliquos futuros esse moderatiores, sin autem dimittatis impunes, vos magnam illis licentiam quidlibet in posterum pro libidine audendi decreturos. (20) Porro oportet, judices, non solum ob præterita delicta pœnas ab iis exposcere, sed ut exemplo sint futuris delinquentibus : nam et sic vix erunt ferendi. Reputate quoque plurimos ob hunc quæstum de capite jam dimicasse, ab eoque tantum emolumenti percipere ut malint quotidiano periculo objectare animas quam ab injusto in vestrum damnum lucro abstinere. (21) Neque si vos orabunt et deprecabuntur, ipsos debeatis miserari, sed multo magis eos cives qui propter ipsorum improbitatem interiere, et mercatores in quos ipsi conjurarunt. Quibus gratiam referetis, studiumque excitabitis in rempublicam, dum debitas ab istis pœnas sumpseritis. Sin minus, quem illis animum fore credatis, quum resciverint vos istos caupones absolvisse qui se insidias huc adnavigantibus fecisse non negant?

22. Non video quod plura dicere necesse sit. Nam de sontibus ceteris, quum in jus sistuntur, rem oportet ediscere ab accusatoribus; istorum autem improbitatem vos omnes cognovistis. Quapropter si eos condemnaveritis, et statuetis id quod justum est, et minori pretio emetis frumentum; sin minus, majori.

XXIII.

ΚΑΤΑ ΠΑΓΚΛΕΩΝΟΣ,

ΟΤΙ ΟΥΚ ΗΝ ΠΛΑΤΑΙΕΥΣ.

Πολλὰ μὲν λέγειν, ὦ ἄνδρες δικασταί, περὶ τουτουὶ τοῦ πράγματος οὔτ' ἂν δυναίμην οὔτε μοι δοκεῖ δεῖν· ὡς δὲ ὀρθῶς τὴν δίκην ἔλαχον τούτῳ Παγκλέωνι οὐκ ὄντι Πλαταιεῖ, τοῦτο ὑμῖν πειράσομαι ἀποδεῖξαι.

2. Ὡς γὰρ ἀδικῶν με πολὺν χρόνον οὐκ ἐπαύετο, ἐλθὼν ἐπὶ τὸ γναφεῖον ἐν ᾧ εἰργάζετο προσεκαλεσάμην αὐτὸν πρὸς τὸν πολέμαρχον, νομίζων μέτοικον εἶναι. Εἰπόντος δὲ τούτου ὅτι Πλαταιεὺς εἴη, ἠρόμην ὁπόθεν δημοτεύοιτο, παραινέσαντός τινος τῶν παρόντων προσκαλέσασθαι καὶ πρὸς τὴν φυλήν, ἧστινος εἶναι σκήπτοιτο. Ἐπειδὴ δὲ ἀπεκρίνατο ὅτι Δεκελειόθεν, προσκαλεσάμενος αὐτὸν καὶ πρὸς τοὺς τῇ Ἱπποθωντίδι δικάζοντας, (3) ἐλθὼν ἐπὶ τὸ κουρεῖον τὸ παρὰ τοὺς Ἑρμᾶς, ἵνα οἱ Δεκελεῖς προσφοιτῶσιν, ἠρώτων, οὕς τε ἐξευρίσκοιμι Δεκελέων ἐπυνθανόμην εἴ τινα γιγνώσκοιεν Δεκελειόθεν δημοτευόμενον Παγκλέωνα. Ἐπειδὴ δὲ οὐδεὶς ἔφασκεν γιγνώσκειν αὐτόν, πυθόμενος ὅτι καὶ ἑτέρας δίκας τὰς μὲν φύγοι, τὰς δ' ὠφλήκοι παρὰ τῷ πολεμάρχῳ, ἔλαχον καὶ ἐγώ.

4. Πρῶτον μὲν οὖν ὑμῖν Δεκελέων οὓς ἠρόμην μάρτυρας παρέξομαι, ἔπειτα δὲ καὶ τῶν ἄλλων τῶν λαχόντων τε δίκας αὐτῷ πρὸς τὸν πολέμαρχον καὶ καταδικασαμένων, ὅσοι τυγχάνουσι παρόντες. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

5. Ἐκ μὲν τούτων πεισθεὶς πρὸς τὸν πολέμαρχον αὐτῷ τὴν δίκην ἔλαχον· ἐπειδὴ δέ μοι αὐτὴν ἀντε-167 γράψατο μὴ εἰσαγώγιμον εἶναι, περὶ πολλοῦ ποιούμενος μηδενὶ δόξαι ὑβρίζειν βούλεσθαι μᾶλλον ἢ δίκην λαβεῖν ὧν ἠδικήθην, πρῶτον μὲν Εὐθύκριτον, ὃν πρεσβύτατόν τε Πλαταιέων ἐγίγνωσκον καὶ μάλιστα ᾠόμην εἰδέναι, ἠρόμην εἴ τινα γιγνώσκοι Ἱππαρμοδώρου υἱὸν Παγκλέωνα Πλαταιέα· (6) ἔπειτα δέ, ἐπειδὴ ἐκεῖνος ἀπεκρίνατό μοι ὅτι τὸν Ἱππαρμόδωρον μὲν γιγνώσκοι, υἱὸν δὲ ἐκείνῳ οὐδένα οὔτε Παγκλέωνα οὔτε ἄλλον οὐδένα εἰδείη ὄντα, ἠρώτων δὴ καὶ τῶν ἄλλων ὅσους ᾔδειν Πλαταιέας ὄντας. Πάντες οὖν ἀγνοοῦντες τὸ ὄνομα αὐτοῦ, ἀκριβέστατα ἂν ἔφασάν με πυθέσθαι ἐλθόντα εἰς τὸν χλωρὸν τυρὸν τῇ ἕνῃ καὶ νέᾳ· ταύτῃ γὰρ τῇ ἡμέρᾳ τοῦ μηνὸς ἑκάστου ἐκεῖσε συλλέγεσθαι τοὺς Πλαταιέας. (7) Ἐλθὼν οὖν εἰς τὸν τυρὸν ταύτῃ τῇ ἡμέρᾳ ἐπυνθανόμην αὐτῶν, εἴ τινα γιγνώσκοιεν Παγκλέωνα πολίτην σφέτερον. Καὶ οἱ μὲν ἄλλοι οὐκ ἔφασαν γιγνώσκειν, εἷς δέ τις εἶπεν ὅτι τῶν μὲν πολιτῶν οὐδενὶ εἰδείη τοῦτο ὂν τὸ ὄνομα, δοῦλον μέντοι ἔφη ἑαυτοῦ ἀφεστῶτα εἶναι Παγκλέωνα, τήν τε ἡλικίαν λέγων τὴν τούτου καὶ τὴν τέχνην ᾗ οὗτος χρῆται. (8) Ταῦτ' οὖν ὡς ἀληθῆ ἐστι, τόν τε

XXIII.

CONTRA PANCLEONEM,

HUNC NON ESSE PLATÆENSEM.

Multa dicere, judices, de hoc negotio neque possum, neque video esse necessarium. Me autem jure isti Pancleoni litem scripsisse, neque eum esse Platæensem, id vobis demonstrare conabor.

2. Quoniam iste per diutinum tempus me injuriis lacessere non destitit, ad fulloniam in qua mercenariam operam navabat, accessi, et quod ipsum advenam esse existimabam, ad polemarchum vocavi. Homo autem quum diceret se esse Platæensem, ipsum interrogavi in quem demum fuisset ascriptus, submonente quodam eorum qui astabant, ut in jus apud eam tribum vocarem ex qua se esse contenderet. Respondentem se factum fuisse Deceleensem, in jus vocavi apud eos qui in Hippothoontide tribu judicabant; (3) et ad tonstrinam juxta Hermas, quo Deceleenses ventitabant, accedens, interrogabam essentne ibi Deceleenses, et percunctatus sum ab iis quos offendebam Deceleensibus, si quem novissent Pancleonem ipsorum demo accensitum. Ubi nemo se nosse dixit, quum istum accepissem et in aliis litibus apud polemarchum partim adhuc esse reum, partim jam esse condemnatum, ego quoque ei litem scripsi.

4. Primum igitur eos quos interrogavi Deceleenses, deinde et eorum qui istum vocarunt ad polemarchum reumque peregerunt, quotquot hic adsunt, testes producam. Tu vero aquam inhibe.

TESTES.

5. His igitur persuasus, istum vocavi ad polemarchum. Ubi autem iste, exceptione usus, negabat posse lege agi, ego magni faciens ut nemini viderer aliquem injuria afficere potius quam illatæ mihi injuriæ pœnas repetere velle, primum quidem Euthycritum, quem et Platæensium natu maximum noveram, et hæc maxime sciturum esse arbitrabar, interrogavi si quem novisset Hipparmodori filium Pancleonem, Platæensem: (6) deinde vero, quum ille mihi respondisset se quidem Hipparmodorum novisse, at huic filium neminem, neque Pancleonem, neque alium quemvis, alios interrogavi quoscumque Platæenses esse cognoveram. Verum hi omnes tale nomen ignotum sibi esse dicentes, me rem accuratissime posse intelligere significabant si Calendis mensis proximi ad forum casei recentis proficiscerer; Calendis enim mensis cujuslibet ibi convenire solere Platæenses. (7) Dicto igitur die ad dictum forum profectus, a Platæensibus sciscitabar si quem nossent Pancleonem civem suum. Atque reliqui quidem se negabant novisse; sed unus aliquis ait se quidem nullum nosse civem eo nomine, sibi autem servum esse fugitivum Pancleonem: et simul commemoravit ætatem qua iste est et artem quam exercet. (8) Hæc esse vera ut ostendam, vobis et Euthycritum quem

Εὐθύκριτον, ὃν πρῶτον ἠρόμην, καὶ τῶν ἄλλων Πλαταιέων ὅσοις προσῆλθον, καὶ τὸν ὃς ἔφη δεσπότης τούτου εἶναι, μάρτυρας παρέξομαι. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

9. Ἡμέραις τοίνυν μετὰ ταῦτα οὐ πολλαῖς ὕστερον ἰδὼν ἀγόμενον τουτονὶ Παγκλέωνα ὑπὸ Νικομήδους, ὃς ἐμαρτύρησεν αὐτοῦ δεσπότης εἶναι, προσῆλθον βουλόμενος εἰδέναι ὁποῖόν τι περὶ αὐτοῦ πραχθήσοιτο. Τότε μὲν οὖν ἐπειδὴ ἐπαύσαντο μαχόμενοι, εἶπόν τινες τῶν τούτῳ παρόντων ὅτι εἴη αὐτῷ ἀδελφὸς ὃς ἐξαιρήσοιτο αὐτὸν εἰς ἐλευθερίαν· ἐπὶ τούτοις ἐγγυησάμενοι παρέξειν εἰς ἀγορὰν ᾤχοντο ἀπιόντες. (10) Τῇ δ' ὑστεραίᾳ τῆς τε ἀντιγραφῆς ἕνεκα ταυτησὶ καὶ αὐτῆς τῆς δίκης ἔδοξέ μοι χρῆναι μάρτυρας λαβόντι παραγενέσθαι, ἵν' εἰδείην τόν τ' ἐξαιρησόμενον αὐτὸν καὶ ὅ τι λέγων ἀφαιρήσοιτο. Ἐφ' οἷς μὲν οὖν ἐξηγγυήθη, οὔτε ἀδελφὸς οὔτε ἄλλος οὐδεὶς ἦλθε, γυνὴ δὲ φάσκουσα αὑτῆς αὐτὸν εἶναι δοῦλον, ἀμφισβητοῦσα τῷ Νικομήδει, καὶ οὐκ ἔφη ἐάσειν αὐτὸν ἄγειν. (11) Ὅσα μὲν οὖν αὐτόθι ἐρρήθη, πολὺς ἂν εἴη μοι λόγος διηγεῖσθαι· εἰς τοῦτο δὲ βιαιότητος ἦλθον οἵ τε παρόντες τούτῳ καὶ αὐτὸς οὗτος, ὥστε ἐθέλοντος μὲν τοῦ Νικομήδους, ἐθελούσης δὲ τῆς γυναικὸς ἀφιέναι, εἴ τις ἢ εἰς ἐλευθερίαν τοῦτον ἄγοι ἢ φάσκων ἑαυτοῦ δοῦλον εἶναι, τούτων οὐδὲν ποιήσαντες ἀφελόμενοι ᾤχοντο. Ὡς οὖν τῇ τε προτεραίᾳ ἐπὶ τούτοις ἐξηγγυήθη καὶ τότε βίᾳ ᾤχοντο ἀφελόμενοι αὐτόν, μάρτυρας παρέξομαι ὑμῖν. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

12. Ῥᾴδιον τοίνυν εἰδέναι ὅτι οὐδ' αὐτὸς Παγκλέων νομίζει ἑαυτὸν μὴ ὅτι Πλαταιέα εἶναι, ἀλλ' οὐδ' ἐλεύθερον. Ὅστις γὰρ ἐβουλήθη βίᾳ ἀφαιρεθεὶς ἐνόχους καταστῆσαι τοὺς ἑαυτοῦ ἐπιτηδείους τοῖς βιαίοις μᾶλλον ἢ κατὰ τοὺς νόμους εἰς τὴν ἐλευθερίαν ἐξαιρεθεὶς δίκην λαβεῖν παρὰ τῶν ἀγόντων αὐτόν, οὐδενὶ χαλεπὸν γνῶναι ὅτι εὖ εἰδὼς ἑαυτὸν ὄντα δοῦλον ἔδεισεν ἐγγυητὰς καταστήσας περὶ τοῦ σώματος ἀγωνίσασθαι.

13. Ὅτι μὲν οὖν Πλαταιεὺς εἶναι πολλοῦ δεῖ, οἶμαι ὑμᾶς ἐκ τούτων σχεδόν τι γιγνώσκειν· ὅτι δὲ οὐδ' οὗτος, ὃς ἄριστα οἶδε τὰ αὑτοῦ, ἡγήσατο δόξαι ἂν ὑμῖν Πλαταιεὺς εἶναι, ἐξ ὧν ἔπραξε ῥᾳδίως μαθήσεσθε. Ἐν τῇ ἀντωμοσίᾳ γὰρ τῆς δίκης ἣν αὐτῷ ἔλαχεν Ἀριστόδικος οὑτοσί, ἀμφισβητῶν μὴ πρὸς τὸν πολέμαρχον εἶναί οἱ τὰς δίκας διεμαρτυρήθη μὴ Πλαταιεὺς εἶναι, (14) ἐπισκηψάμενος δὲ τῷ μάρτυρι οὐκ ἐπεξῆλθεν, ἀλλ' εἴασε καταδικάσασθαι αὑτοῦ τὸν Ἀριστόδικον. Ἐπεὶ δὲ ὑπερήμερος ἐγένετο, ἐξέτισε τὴν δίκην, καθότι ἔπειθε. Καὶ τούτων, ὡς ἀληθῆ ἐστι, μάρτυρας ἐγὼ παρέξομαι ὑμῖν. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

15. Πρὶν τοίνυν ταῦτα ὁμολογηθῆναι αὐτῷ, δεδιὼς
168: τὸν Ἀριστόδικον, μεταστὰς ἐντεῦθεν Θήβησι μετῴκει.

primum interrogavi, ceterorumque Platæensium quoscumque conveni, et Nicomedem qui affirmavit se esse istius dominum, testes producam. Tu vero aquam inhibe.

TESTES.

9. Paucis diebus postquam hæc facta sunt, conspicatus Pancleonem duci a Nicomede qui ejus se dominum esse asseruit, accessi ego cognoscendi cupidus quorsum ea res evaderet. Tunc igitur ubi cessatum est a rixando, dixerunt nonnulli ex iis qui Pancleoni aderant, isti fratrem esse qui eum in libertatem vindicaret. Quamobrem quum fidejussissent se istum exhibituros, in forum abierunt. (10) Postridie vero, exceptionis simul diluendæ et litis confirmandæ causa, mihi visum est oportere me adesse cum testibus, ut et illum qui vindicaturus erat cognoscerem, atque intelligerem simul qua oratione usus vindicaret. Ob quas igitur res fidejussores dati erant, earum gratia nemo, neque frater, neque quispiam alius, in judicio apparuit, unicam præter mulierem quæ contendebat istum suum esse servum, cum Nicomede litigans, neque permissuram se aiens ut eum ille abduceret. (11) Quæ verba tunc sint habita, mihi longum est enarrare : sed eousque violentiæ processerunt et qui Pancleoni aderant et ipse Pancleo, ut, quum vellet Nicomedes, vellet etiam mulier hominem dimittere, si quis ipsum vel ut liberum vindicaret, vel suum servum esse affirmaret, neutrum horum facientes, per vim abducto homine abierint. Ut igitur constet ob hæc quæ dixi pridie pro isto fidejussionem fuisse datam, eumque tunc per vim fuisse abductum, producam testes. Tu mihi aquam inhibe.

TESTES.

12. Facile est igitur scitu Pancleonem suo ipsius judicio non modo non Platæensem esse, sed ne liberum quidem. Qui enim maluit vi ereptus suos necessarios reddere legibus de vi obnoxios, quam lege in libertatem vindicatus, pœnas ab iis reposcere qui eum abducebant in servitutem, non est difficile intellectu eum, suæ servitutis conscium, timuisse ne dati fidejussores de capite contenderent.

13. Multum igitur abesse ut iste Platæensis sit, id vobis ex iis quæ dicta sunt fere constare arbitror : jam autem neque eum ipsum qui ea quæ ad se pertinent novit optime, existimasse vos se pro Platæensi habituros, id ex iis quæ fecit facile intelligetis. In ea enim litis contestatione quam ipsi scripsit Aristodicus, quum contenderet sibi apud polemarchum causam non esse agendam, alicujus testimonio erat convictus se non esse Platæensem. (14) Quum vero actionem falsi testimonii adversus illum testem denuntiaret, non tamen persecutus est, sed se ab Aristodico condemnari sustinuit. Et posteaquam legitimum solvendi diem elabi passus est, compositione quam commodissime potuit facta, mulctam solvit. Atque hæc ut sciatis vera esse, vobis ego testes producam. Tu mihi aquam inhibe.

TESTES.

15. Antequam igitur hæc ipsi pacta fuissent cum Aristodico, hujus metu Thebas commigravit. At enim vos scire

Καίτοι οἶμαι εἰδέναι ὑμᾶς ὅτι εἴπερ ἦν Πλαταιεύς, πανταχοῦ μᾶλλον ἢ Θήβησιν εἰκὸς ἦν αὐτὸν μετοικῆσαι. Ὡς οὖν ᾤκει [ἐκεῖ] πολὺν χρόνον, τούτων ὑμῖν μάρτυρας παρέξομαι. Καί μοι ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΕΣ.

16. Ἐξαρκεῖν μοι νομίζω τὰ εἰρημένα, ὦ ἄνδρες δικασταί· ἐὰν γὰρ διαμνημονεύητε, οἶδ' ὅτι τά τε δίκαια καὶ τἀληθῆ ψηφιεῖσθε, καὶ ἃ ἐγὼ ὑμῶν δέομαι.

XXIV.

ΠΡΟΣ ΤΗΝ ΕΙΣΑΓΓΕΛΙΑΝ ΠΕΡΙ ΤΟΥ ΜΗ ΔΙΔΟΣΘΑΙ ΤΩ ΑΔΥΝΑΤΩ ΑΡΓΥΡΙΟΝ.

Οὐ πολλοῦ δέω χάριν ἔχειν, ὦ βουλή, τῷ κατηγόρῳ, ὅτι μοι παρεσκεύασε τὸν ἀγῶνα τουτονί. Πρότερον γὰρ οὐκ ἔχων πρόφασιν ἐφ' ἧς τοῦ βίου λόγον δοίην, νυνὶ διὰ τοῦτον εἴληφα. Καὶ πειράσομαι τῷ λόγῳ τοῦτον μὲν ἐπιδεῖξαι ψευδόμενον, ἐμαυτὸν δὲ βεβιωκότα μέχρι τῆσδε τῆς ἡμέρας ἐπαίνου μᾶλλον ἄξιον ἢ φθόνου· διὰ γὰρ οὐδὲν ἄλλο μοι δοκεῖ παρασκευάσαι τόνδε μοι τὸν κίνδυνον οὗτος ἢ διὰ φθόνον. (2) Καίτοι ὅστις τούτοις φθονεῖ οὓς οἱ ἄλλοι ἐλεοῦσι, τίνος ἂν ὑμῖν ὁ τοιοῦτος ἀποσχέσθαι δοκεῖ πονηρίας; εἰ μὲν γὰρ ἕνεκα χρημάτων, συκοφαντεῖ· εἰ δ' ὡς ἐχθρὸν ἑαυτοῦ με τιμωρεῖται, ψεύδεται· διὰ γὰρ τὴν πονηρίαν αὐτοῦ οὔτε φίλῳ οὔτε ἐχθρῷ πώποτε ἐχρησάμην αὐτῷ. (3) Ἤδη τοίνυν, ὦ βουλή, δῆλός ἐστι φθονῶν, ὅτι τοιαύτῃ κεχρημένος συμφορᾷ τούτου βελτίων εἰμὶ πολίτης. Καὶ γὰρ οἶμαι δεῖν, ὦ βουλή, τὰ τοῦ σώματος δυστυχήματα τοῖς τῆς ψυχῆς ἐπιτηδεύμασιν ἰᾶσθαι καλῶς. Εἰ γὰρ ἐξ ἴσου τῇ συμφορᾷ καὶ τὴν διάνοιαν ἕξω καὶ τὸν ἄλλον βίον διάξω, τί τούτου διοίσω;

4. Περὶ μὲν οὖν τούτων τοσαῦτά μοι εἰρήσθω· ὑπὲρ ὧν δέ μοι προσήκει λέγειν ὡς ἂν οἷόν τε διὰ βραχυτάτων ἐρῶ. Φησὶ γὰρ ὁ κατήγορος οὐ δικαίως με λαμβάνειν τὸ παρὰ τῆς πόλεως ἀργύριον· καὶ γὰρ τῷ σώματι δύνασθαι καὶ οὐκ εἶναι τῶν ἀδυνάτων, καὶ τέχνην ἐπίστασθαι τοιαύτην ὥστε καὶ ἄνευ τοῦ διδομένου τούτου ζῆν. (5) Καὶ τεκμηρίοις χρῆται τῆς μὲν τοῦ σώματος ῥώμης, ὅτι ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τῆς δ' ἐν τῇ τέχνῃ εὐπορίας, ὅτι δύναμαι συνεῖναι δυναμένοις ἀνθρώποις ἀναλίσκειν. Τὴν μὲν οὖν ἐκ τῆς τέχνης εὐπορίαν καὶ τὸν ἄλλον τὸν ἐμὸν βίον, οἷος τυγχάνει, πάντας ὑμᾶς οἴομαι γινώσκειν· ὅμως δὲ κἀγὼ διὰ βραχέων ἐρῶ. (6) Ἐμοὶ γὰρ ὁ μὲν πατὴρ κατέλιπεν οὐδέν, τὴν δὲ μητέρα τελευτήσασαν πέπαυμαι τρέφων τρίτον ἔτος τουτί, παῖδες δέ μοι οὔπω εἰσὶν οἵ με θεραπεύσουσι. Τέχνην δὲ κέκτημαι βραχέα δυναμένην ὠφελεῖν, ἣν αὐτὸς μὲν ἤδη χαλεπῶς ἐργάζομαι, τὸν διαδεξόμενον δ' αὐτὴν οὔπω δύναμαι κτήσασθαι. Πρόσοδος δέ μοι οὐκ ἔστιν ἄλλη πλὴν

arbitror eum, si revera fuisset Plataeensis, ubivis potius quam Thebis ex probabili habitaturum fuisse. Quod vero illic per diutinum tempus commoratus sit, ejus rei testes producam. Tu mihi aquam inhibe.

TESTES.

16. Ea quae dixi satis esse opinor, judices : quorum si memineritis, nullus dubito quin justa et vera, et quae a vobis postulo, sitis decreturi.

XXIV.

ADVERSUS DELATIONEM QUOD PECUNIA PUBLICA EI COLLATA ESSET QUI IMPOTENS NON ERAT.

Parum abest, senatores, quin gratiam habeam accusatori, quod hanc mihi contentionem comparaverit. Nam quum nullam antehac occasionem habuerim meae vitae rationes exponendi, eam hodie per istum inveni. Id igitur in mea oratione enitar, ut et istum mendacii arguam, et me ipsum ostendam ita in hunc usque diem vitam instituisse, ut laude magis quam invidia dignus sim. Nulla enim alia de causa iste mihi videtur hanc contentionem instituisse quam propter invidiam. (2) Attamen quicumque eis invidet quos miserantur ceteri, quonam improbitatis genere abstinere vobis videatur? Quodsi ideo me accusat quod dives sim, calumniatorem agit: sin me cupit ulcisci tanquam inimicum, in hoc quoque mentitur; siquidem propter improbitatem ipsius eum nunquam amici aut inimici in loco habui. (3) Constat igitur, senatores, istum mihi invidere, quod ego scilicet hujusmodi calamitate oppressus praestantiorem ipso civem me geram. Quippe existimo, senatores, corporis incommoda animi dotibus esse emendanda. Et profecto jure ita sentio : si enim similem corporis calamitati, et animum geram et ceteram vitae rationem instituam, qua ratione istum superabo?

4. De his igitur hactenus : de quibus autem mihi dicendum est, ea quam brevissime fieri poterit expediam. Contendit accusator me praeter jus pecunia publica sustentari : nam et corpore valere, neque esse e numero invalidorum, ac praeterea artem callere ejusmodi, ut sine hoc emolumento vivere queam. (5) Atque harum rerum argumentis utitur, corporei scilicet roboris, quod in equos ascendam; quaestus autem ex arte provenientis, quod eorum hominum familiaritate utar qui sumptibus tolerandis sufficiunt. Quaestum igitur qui mihi ex arte suppetit, ceteramque omnem vitae meae rationem vos omnes cognoscere arbitror; ego tamen paucis attingam. (6) Mihi pater nihil reliquit; matrem defunctam tribus abhinc annis alere destiti. Liberos nondum habeo qui me curent : et artem calleo ex qua exiguus admodum fructus oritur; quam exerceo aegerrime, et servum cui in manus tradere possim nondum inveni. Hic igitur solus mihi relinquitur proven-

ταύτης, ἣν ἂν ἀφέλησθέ με, κινδυνεύσαιμ' ἂν ὑπὸ τῇ δυσχερεστάτῃ γενέσθαι τύχῃ. (7) Μὴ τοίνυν, ἐπειδή γε ἔστιν, ὦ βουλή, σῶσαί με δικαίως, ἀπολέσητε ἀδίκως· μηδὲ ἃ νεωτέρῳ καὶ μᾶλλον ἐρρωμένῳ ὄντι ἔδοτε, πρεσβύτερον καὶ ἀσθενέστερον γιγνόμενον ἀφέλησθε· μηδὲ πρότερον καὶ περὶ τοὺς οὐδὲν ἔχοντας κακὸν ἐλεημονέστατοι δοκοῦντες εἶναι, νυνὶ διὰ τοῦτον τοὺς καὶ τοῖς ἐχθροῖς ἐλεεινοὺς ὄντας ἀγρίως ἀποδέξησθε· μηδ' ἐμὲ τολμήσαντες ἀδικῆσαι καὶ τοὺς ἄλλους τοὺς ὁμοίως ἐμοὶ διακειμένους ἀθυμῆσαι ποιήσητε. (8) Καὶ γὰρ ἂν ἄτοπον εἴη, ὦ βουλή, εἰ ὅτε μὲν ἁπλῆ μοι ἦν ἡ συμφορά, τότε μὲν φαινοίμην λαμβάνων τὸ ἀργύριον τοῦτο, νῦν δ' ἐπειδὴ καὶ γῆρας καὶ νόσοι καὶ τὰ τούτοις ἑπόμενα
169 κακὰ προσγίνεταί μοι, τότε ἀφαιρεθείην. (9) Δοκεῖ δέ μοι τῆς πενίας τῆς ἐμῆς τὸ μέγεθος ὁ κατήγορος ἂν ἐπιδεῖξαι σαφέστατα μόνος ἀνθρώπων. Εἰ γὰρ ἐγὼ κατασταθεὶς χορηγὸς τραγῳδοῖς προκαλεσαίμην αὐτὸν εἰς ἀντίδοσιν, δεκάκις ἂν ἕλοιτο χορηγῆσαι μᾶλλον ἢ ἀντιδοῦναι ἅπαξ. Καὶ πῶς οὐ δεινόν ἐστι νῦν μὲν κατηγορεῖν ὡς διὰ πολλὴν εὐπορίαν ἐξ ἴσου δύναμαι συνεῖναι τοῖς πλουσιωτάτοις, εἰ δὲ ὧν ἐγὼ λέγω τύχοι τι γενόμενον, τοιοῦτον εἶναι καὶ ἔτι πονηρότερον;

10. Περὶ δὲ τῆς ἐμῆς ἱππικῆς, ἧς οὗτος ἐτόλμησε μνησθῆναι πρὸς ὑμᾶς, οὔτε τὴν τύχην δείσας οὔτε ὑμᾶς αἰσχυνθείς, οὐ πολὺς ὁ λόγος. Ἐγὼ γάρ, ὦ βουλή, πάντας οἶμαι τοὺς ἔχοντάς τι δυστύχημα τοιοῦτον ῥᾳστώνην τινὰ ζητεῖν καὶ τοῦτο φιλοσοφεῖν, ὅπως ὡς ἀλυπότατα μεταχειριοῦνται τὸ συμβεβηκὸς πάθος. Ὧν εἷς ἐγώ, καὶ περιπεπτωκὼς τοιαύτῃ συμφορᾷ ταύτην ἐμαυτῷ ῥᾳστώνην ἐξεῦρον εἰς τὰς ὁδοὺς τὰς μακροτέρας τῶν ἀναγκαίων. (11) Ὃ δὲ μέγιστον, ὦ βουλή, τεκμήριον ὅτι διὰ τὴν συμφορὰν ἀλλ' οὐ διὰ τὴν ὕβριν, ὡς οὗτός φησιν, ἐπὶ τοὺς ἵππους ἀναβαίνω, ῥᾴδιόν ἐστι μαθεῖν. Εἰ γὰρ ἐκεκτήμην οὐσίαν, ἐπ' ἀστράβης ἂν ὠχούμην, ἀλλ' οὐκ ἐπὶ τοὺς ἀλλοτρίους ἵππους ἀνέβαινον· νυνὶ δ' ἐπειδὴ τοιοῦτον οὐ δύναμαι κτήσασθαι, τοῖς ἀλλοτρίοις ἵπποις ἀναγκάζομαι χρῆσθαι πολλάκις. (12) Καίτοι πῶς οὐκ ἄτοπόν ἐστιν, ὦ βουλή, τοῦτον αὐτόν, εἰ μὲν ἐπ' ἀστράβης ὀχούμενον ἑώρα με, σιωπᾶν, (τί γὰρ ἂν καὶ ἔλεγεν;) ὅτι δ' ἐπὶ τοὺς ᾐτημένους ἵππους ἀναβαίνω, πειρᾶσθαι πείθειν ὑμᾶς ὡς δυνατὸς εἴην; καὶ ὅτι μὲν δυοῖν βακτηρίαιν χρῶμαι τῶν ἄλλων μιᾷ χρωμένων, μὴ κατηγορεῖν ὡς καὶ τοῦτο τῶν δυναμένων ἐστίν· ὅτι δ' ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τεκμηρίῳ χρῆσθαι πρὸς ὑμᾶς ὡς εἰμὶ τῶν δυναμένων; οἷς ἐγὼ διὰ τὴν αὐτὴν αἰτίαν ἀμφοτέροις χρῶμαι.

13. Τοσοῦτον δὲ διενήνοχεν ἀναισχυντίᾳ τῶν ἁπάντων ἀνθρώπων, ὥστε ὑμᾶς πειρᾶται πείθειν, τοσούτους ὄντας εἷς ὤν, ὡς οὐκ εἰμὶ τῶν ἀδυνάτων ἐγώ. Καίτοι εἰ τοῦτο πείσει τινὰς ὑμῶν, ὦ βουλή, τί με κωλύει κληροῦσθαι τῶν ἐννέα ἀρχόντων, καὶ ὑμᾶς ἐμοῦ μὲν ἀφελέσθαι τὸν ὀβολὸν ὡς ὑγιαίνοντος, τούτῳ δὲ ψηφίσασθαι πάντας ὡς ἀναπήρῳ; οὐ γὰρ δήπου τὸν αὐτὸν ὑμεῖς μὲν ὡς δυνάμενον ἀφαιρήσεσθε τὸ διδόμενον, οἱ δὲ ὡς ἀδύ-

tus : quem si adimatis, periculum erit ne tristissima opprimar fortuna. (7) Nolite igitur, senatores, quum me jure servare possitis, me injuria perdere; neque ea quæ juniori et valentiori dedistis, jam seniori et debiliori eripere. Nolite vos, qui nulla calamitate oppressos humaniter excipere prius consuevistis, hodie, huic auscultantes, eos inclementer tractare qui vel ab inimicis misericordiam consequuntur; neque de me statuentes crudeliter, alios qui simili mecum conditione utuntur, ad summam desperationem redigere. (8) Absurdum enim foret, senatores, si, quum simplex mihi erat calamitas, tunc pecuniam hanc acciperem; nunc vero, quum accedat senectus et morbi ac cetera quæ his adjunguntur mala, tunc mihi hæc adimeretur. (9) Mihi autem videtur inopiæ meæ magnitudinem unus ipse accusator dilucidissime posse commonstrare. Nam si ego ad ludos tragicos choregus electus, ad permutationem ipsum provocarem, mallet decies choregum agere quam semel facultates permutare. Qui igitur non iniquum sit, eum me nunc accusare quod propter lautissimas fortunas ditissimorum quorumque consortio uti possim, qui, si res forte contingeret ut dixi, ejusmodi foret, vel etiam nequior?

10. Quod vero me equitare memoravit, neque fortunam timens, neque vos reveritus, de ea re non est cur multa dicam. Ego enim, senatores, omnes qui hujusmodi incommodis gravantur, oportere arbitror sedulo meditari quo pacto calamitatem suam ita tractent, ut minimo cum dolore vitam transigere queant. Quorum ego unus, quum in hoc infortunium inciderim, hoc mihi levamen inveni ad itinera paulo longiora. (11) Quod porro maximum est argumentum, senatores, me imbecillitatis causa, non luxus, ut iste contendit, equos ascendere, id facile intelligere possitis. Nam si mihi opes essent, mulo potius uterer quam in alienos equos ascenderem : jam vero qui mulum comparare nequeam, alienis equis uti frequenter cogor. (12) Verumtamen nonne hoc est absurdum, senatores, eum ipsum qui, si me mulo utentem conspicaretur, nihil diceret, (quid est enim quod posset dicere?) nunc, quod equis commodatis insideam, inde vobis conatur persuadere me esse validum et divitem; quique, quod duobus baculis innixus incedam, quum alii uno sint contenti, non objicit quod hoc quoque ad validos et divites pertineat, meam vero equitationem profert tanquam virium et opum indicium? quum tamen et baculis duobus et equis ob eandem causam utar.

13. Jamque adeo omnes homines impudentia superat, ut unus ipse vobis, quum tot sitis, persuadere aggrediatur me non esse ex numero invalidorum. Atqui si vestrûm nonnullis hoc persuadeat, quid me prohibet unum ex novem archontibus sorte eligi? quid prohibet vos a me obolum ut valenti et robusto auferre, et isti hanc stipem decernere ut invalido? Non enim eundem virum, vos ut corpore valentem, concessa stipe fraudabitis, illi vero sortitione

νατον ὄντα κληροῦσθαι κωλύσουσιν. (14) Ἀλλὰ γὰρ οὔτε ὑμεῖς τούτῳ τὴν αὐτὴν ἔχετε γνώμην, οὔθ' οὗτος εὖ ποιῶν. Ὁ μὲν γὰρ ὥσπερ ἐπικλήρου τῆς συμφορᾶς οὔσης ἀμφισβητήσων ἥκει καὶ πειρᾶται πείθειν ὑμᾶς ὡς οὐκ εἰμὶ τοιοῦτος οἷον ὑμεῖς ὁρᾶτε πάντες· ὑμεῖς δὲ (ὃ τῶν εὖ φρονούντων ἔργον ἐστί) μᾶλλον πιστεύετε τοῖς ὑμετέροις αὐτῶν ὀφθαλμοῖς ἢ τοῖς τούτου λόγοις.

15. Λέγει δ' ὡς ὑβριστής εἰμι καὶ βίαιος καὶ λίαν ἀσελγῶς διακείμενος, ὥσπερ εἰ φοβερῶς ὀνομάσαι, μέλλων ἀληθῆ λέγειν, ἀλλ' οὐκ ἂν πάνυ πραόνως, μηδὲ ψεύδηται, ταῦτα ποιήσων. Ἐγὼ δ' ὑμᾶς, ὦ βουλή, σαφῶς οἶμαι δεῖν διαγινώσκειν οἷς τ' ἐγχωρεῖ τῶν ἀνθρώπων ὑβρισταῖς εἶναι καὶ οἷς οὐ προσήκει. (16) Οὐ γὰρ πενομένους καὶ λίαν ἀπόρως διακειμένους ὑβρίζειν εἰκός, ἀλλὰ τοὺς πολλῷ πλείω τῶν ἀναγκαίων κεκτημένους· οὐδὲ τοὺς ἀδυνάτους τοῖς σώμασιν ὄντας, ἀλλὰ τοὺς μάλιστα πιστεύοντας ταῖς αὐτῶν ῥώμαις· οὐδὲ τοὺς ἤδη προβεβηκότας τῇ ἡλικίᾳ, ἀλλὰ τοὺς ἔτι νέους καὶ νέαις ταῖς διανοίαις χρωμένους. (17) Οἱ μὲν γὰρ πλούσιοι τοῖς χρήμασιν ἐξωνοῦνται τοὺς κινδύνους, οἱ δὲ πένητες ὑπὸ τῆς παρούσης ἀπορίας σωφρονεῖν ἀναγκάζονται· καὶ οἱ μὲν νέοι συγγνώμης ἀξιοῦνται τυγχάνειν παρὰ τῶν πρεσβυτέρων, τοῖς δ' ἑτέροις ἐξαμαρτάνουσιν ὁμοίως ἐπιτιμῶσιν ἀμφότεροι· (18) καὶ τοῖς μὲν ἰσχυροῖς ἐγχωρεῖ μηδὲν αὐτοῖς πάσχουσιν, οὓς ἂν βουληθῶσιν, ὑβρίζειν, τοῖς δὲ ἀσθενέσιν οὐκ ἔστιν οὔτε ὑβριζομένοις ἀμύνεσθαι τοὺς ὑπάρξαντας οὔτε ὑβρίζειν βουλομένοις περιγίνεσθαι τῶν ἀδικουμένων. Ὥστε μοι δοκεῖ ὁ κατήγορος εἰπεῖν περὶ τῆς ἐμῆς ὕβρεως οὐ σπουδάζων, ἀλλὰ παίζων, οὐδ' ὑμᾶς πεῖσαι βουλόμενος ὡς εἰμὶ τοιοῦτος, ἀλλ' ἐμὲ κωμῳδεῖν βουλόμενος, ὥσπερ τι καλὸν ποιῶν.

19. Ἔτι δὲ καὶ συλλέγεσθαί φησιν ἀνθρώπους ὡς ἐμὲ πονηροὺς καὶ πολλούς, οἳ τὰ μὲν ἑαυτῶν ἀνηλώκασι, τοῖς δὲ τὰ σφέτερα σώζειν βουλομένοις ἐπιβουλεύουσιν. Ὑμεῖς δὲ ἐνθυμήθητε πάντες ὅτι ταῦτα λέγων οὐδὲν ἐμοῦ κατηγορεῖ μᾶλλον ἢ τῶν ἄλλων ὅσοι τέχνας ἔχουσιν, οὐδὲ τῶν ὡς ἐμὲ εἰσιόντων μᾶλλον ἢ τῶν ὡς τοὺς ἄλλους δημιουργούς. (20) Ἕκαστος γὰρ ὑμῶν εἴθισται προσφοιτᾶν ὁ μὲν πρὸς μυροπωλεῖον, ὁ δὲ πρὸς κουρεῖον, ὁ δὲ πρὸς σκυτοτομεῖον, ὁ δ' ὅποι ἂν τύχῃ, καὶ πλεῖστοι μὲν ὡς τοὺς ἐγγυτάτω τῆς ἀγορᾶς κατεσκευασμένους, ἐλάχιστοι δὲ ὡς τοὺς πλεῖστον ἀπέχοντας αὐτῆς· ὥστ' εἴ τις ὑμῶν πονηρίαν καταγνώσεται τῶν ὡς ἐμὲ εἰσιόντων, δῆλον ὅτι καὶ τῶν παρὰ τοῖς ἄλλοις διατριβόντων· εἰ δὲ κἀκείνων, ἁπάντων Ἀθηναίων· ἅπαντες γὰρ εἴθισθε προσφοιτᾶν καὶ διατρίβειν ἁμοῦ γέ που.

21. Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ τι δεῖ λίαν με ἀκριβῶς ἀπολογούμενον πρὸς ἓν ἕκαστον ὑμῖν τῶν εἰρημένων ἐνοχλεῖν πλείω χρόνον. Εἰ γὰρ ὑπὲρ τῶν μεγίστων εἴρηκα, τί δεῖ περὶ τῶν ὁμοίως τούτῳ φαύλων σπουδάζειν; ἐγὼ δ' ὑμῶν, ὦ βουλή, δέομαι πάντων τὴν αὐτὴν ἔχειν περὶ ἐμοῦ διάνοιαν, ἥνπερ καὶ πρότερον· (22) μηδ' οὗ μόνου μεταλαβεῖν ἔδωκεν ἡ τύχη μοι τῶν ἐν τῇ πατρίδι,

excludent ut viribus infirmum. (14) Sed neque vobis eadem atque isti est sententia, neque isti hæc erit si recte agat. Iste nimirum de mea calamitate, quasi ampla esset aliqua hæreditas, venit controversiam moturus, vobisque persuadere nititur me non esse talem qualem vos omnes cernitis: vos autem, ut sapientes viros decet, vestris ipsorum oculis majorem fidem adhibetis quam istius orationi.

15. Dicit me esse contumeliosum, petulantem et procacem nimis; quasi vera dicturus sit si me formidandum hominem appellat, et non si admodum mitem me dicit, ac quasi eo ipso ita agat, ne mendacium proferat. Ego vero, senatores, opinor vobis accurate dignoscendum quibusnam hominibus petulantibus esse usuveniat, et quibusnam contra. (16) Non enim paupertate et inopia oppressos credibile est contumeliose agere, verum eos potius qui multo plura quam necessitas velit, possident; non corpore fractos et debilitatos, sed eos qui viribus maxime confidunt; non ætate jam provectos, sed juvenes adhuc et juvenili animo præditos. (17) Nam divites pecunia possunt redimere pericula; pauperes contra propter præsentem inopiam moderate vivere coguntur: et juvenes se condonatum iri sperant a senioribus, at delinquentes seniores utrique pariter, et juvenes et senes, reprehendunt: (18) rursus facile est validis, absque proprio detrimento, in quoscumque velint protervíam suam expromere; infirmiores autem, neque si injuriam accipiant, aggressores propulsare, neque si inferre meditentur, adversarios possunt superare. Videtur itaque mihi accusator, ubi meam proterviam memorat, non serio agere, sed ludo et joco; neque id eniti ut vobis persuadeat me esse ejusmodi, sed ut me potius ludificetur, quasi aliquid laude dignum præstiturus.

19. Præterea domum meam ventitare ait homines nequam et non paucos, qui rem familiarem dilapidarunt, ac ceteris qui suæ rationem habent, insidiantur. At vos omnes animadvertite istum, quum mihi hæc objicit, non me potius accusare quam ceteros quoslibet qui artem aliquam exercent; neque hæc esse dicta magis in eos qui domum meam ventitant, quam qui ceterorum artificum officinas frequentant. (20) Unusquisque enim vestrûm itare consuevit hic ad tabernam unguentariam, ad tonstrinam ille, alius ad sutrinam, alius quocumque sibi collibuerit; et plurimi quidem ad eos qui foro proximiores habitant, paucissimi vero ad eos qui absunt longius. Quare si quis vestrûm improbitatis eos condemnet qui domum ad me veniunt, eadem porro ratione et eos condemnaturus est qui ad ceteros; quodsi illos, cunctos pariter Athenienses: cuncti enim consuevistis itare aliquo et ibi commorari.

21. At enim intelligo mihi non esse opus, ut, sollicite nimis respondendo ad singula eorum quæ dicuntur, vobis diutius sim molestus. Nam si ad gravissima quæque respondi, quid opus est in iis ponere studium quæ non minus quam iste vilia sunt? Ego autem vos omnes, senatores; obtestor ut idem de me atque olim sentiatis; (22) nec quam solam utilitatem mihi in patria percipiendam fortuna

τούτου διὰ τουτονὶ ἀποστερήσητέ με· μηδ' ἃ πάλαι κοινῇ πάντες ἔδοτέ μοι, νῦν οὗτος εἷς ὢν πείσῃ πάλιν ὑμᾶς ἀφελέσθαι. Ἐπειδὴ γάρ, ὦ βουλή, τῶν μεγίστων ἀρχῶν ὁ δαίμων ἀπεστέρησεν ἡμᾶς, ἡ πόλις ἡμῖν ἐψηφίσατο τοῦτο τὸ ἀργύριον, ἡγουμένη κοινὰς εἶναι τὰς τύχας τοῖς ἅπασι καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν. (23) Πῶς οὖν οὐκ ἂν δειλαιότατος εἴην, εἰ τῶν μὲν καλλίστων καὶ μεγίστων διὰ τὴν συμφορὰν ἀπεστερημένος εἴην, ἃ δ' ἡ πόλις ἔδωκε προνοηθεῖσα τῶν οὕτως διακειμένων, διὰ τὸν κατήγορον ἀφαιρεθείην; Μηδαμῶς, ὦ βουλή, ταύτῃ θῆσθε τὴν ψῆφον. (24) Διὰ τί γὰρ ἂν καὶ τύχοιμι τοιούτων ὑμῶν; πότερον ὅτι δι' ἐμέ τις εἰς ἀγῶνα πώποτε καταστὰς ἀπώλεσε τὴν οὐσίαν; ἀλλ' οὐδ' ἂν εἷς ἀποδείξειεν. Ἀλλ' ὅτι πολυπράγμων εἰμὶ καὶ θρασὺς καὶ φιλαπεχθήμων; ἀλλ' οὐ τοιαύταις ἀφορμαῖς τοῦ βίου πρὸς τὰ τοιαῦτα τυγχάνω χρώμενος. (25) Ἀλλ' ὅτι λίαν ὑβριστὴς καὶ βίαιος; ἀλλ' οὐδ' ἂν αὐτὸς φήσειεν, εἰ μὴ βούλοιτο καὶ τοῦτο ψεύδεσθαι τοῖς ἄλλοις ὁμοίως. Ἀλλ' ὅτι ἐπὶ τῶν τριάκοντα γενόμενος ἐν δυνάμει κακῶς ἐποίησα πολλοὺς τῶν πολιτῶν; ἀλλὰ μετὰ τοῦ ὑμετέρου πλήθους ἔφυγον εἰς Χαλκίδα τὴν ἐπ' Εὐρίπῳ, καὶ ἐξόν μοι μετ' ἐκείνων ἀδεῶς πολιτεύεσθαι, μεθ' ὑμῶν εἱλόμην κινδυνεύειν ἁπάντων. (26) Μὴ τοίνυν, ὦ βουλή, μηδὲν ἡμαρτηκὼς ὁμοίως ὑμῶν τύχοιμι τοῖς πολλὰ ἠδικηκόσιν, ἀλλὰ τὴν αὐτὴν ψῆφον θέσθε περὶ ἐμοῦ ταῖς ἄλλαις βουλαῖς, ἀναμνησθέντες ὅτι οὔτε χρήματα διαχειρίσας τῆς πόλεως δίδωμι λόγον αὐτῶν, οὔτε ἀρχὴν ἄρξας οὐδεμίαν εὐθύνας ὑπέχω νῦν αὐτῆς, ἀλλὰ περὶ ὀβολοῦ μόνον ποιοῦμαι τοὺς λόγους. (27) Καὶ οὕτως ὑμεῖς μὲν τὰ δίκαια γνώσεσθε πάντες, ἐγὼ δὲ τούτων ὑμῖν τυχὼν ἕξω τὴν χάριν, οὗτος δὲ τοῦ λοιποῦ μαθήσεται μὴ τοῖς ἀσθενεστέροις ἐπιβουλεύειν, ἀλλὰ τῶν ὁμοίων αὐτῷ περιγίνεσθαι.

dedit, eam propter istum eripiatis; nec quæ prius vos universi mihi impertistis, ea iste, unus quum sit, persuadeat esse adimenda. Posteaquam enim, senatores, maximis magistratibus nos fortuna orbavit, hanc nobis pecuniam decrevit respublica, existimans malorum et bonorum sortem omnibus esse communem. (23) Quo pacto igitur non essem omnium miserrimus, si rebus maximis et splendidissimis privatus per calamitatem meam, iis quoque quæ mihi civitas largita est, conditionis meæ miserta, per istum accusatorem spoliarer? Nequaquam, senatores, ita decernite. (24) Cur enim tales vos in me haberem? anne quod mea opera quisquam in jus vocatus, bona sua perdidit? at id ne unus quidem commonstrare potest. Anne quod inquietus nimis, quod audax, et inimicitias libenter suscipiens? at vitæ meæ conditio cum talibus institutis nunquam congruit. (25) Anne quod insolens nimis et contumeliosus? sed istud ne ipse quidem adversarius dixerit, nisi et hoc volit, ut cetera, mentiri. Anne quod sub trigintaviris magistratu aliquo functus cives multos læserim? sed una cum populo Chalcidem quæ est ad Euripum profugi; et quum mihi fuisset liberum impune cum illis versari in republica, periculorum vestrorum societatem prætuli. (26) Ne igitur, senatores, quum nihil mali commiserim, tales vos in me experiar quales experti sunt qui commiserunt mali plurimum; verum eandem de me ferte sententiam atque alii antea tulerunt senatus: illud in animo habentes, me nunc non pecuniarum publicarum rationes reddere, non magistratus gesti disquisitionem subire, sed verba facere tantum de obolo. (27) Ita et vos omnes æqua decernetis, et ego jus a vobis consecutus maximam habebo gratiam; iste denique in futurum discet non amplius infirmioribus insidiari, at cum similibus de victoria contendere.

XXV.

171 ΔΗΜΟΥ ΚΑΤΑΛΥΣΕΩΣ ΑΠΟΛΟΓΙΑ.

Ὑμῖν μὲν πολλὴν συγγνώμην ἔχω, ὦ ἄνδρες δικασταί, ἀκούουσι τοιούτων λόγων καὶ ἀναμιμνησκομένοις τῶν γεγενημένων, εἰ ὁμοίως ἅπασιν ὀργίζεσθε τοῖς ἐν ἄστει μείνασι· τῶν δὲ κατηγόρων θαυμάζω, οἳ ἀμελοῦντες τῶν οἰκείων, τῶν ἀλλοτρίων ἐπιμελοῦνται· οἳ σαφῶς εἰδότες τοὺς μηδὲν ἀδικοῦντας καὶ τοὺς πολλὰ ἐξημαρτηκότας ζητοῦσι κερδαίνειν ἢ ὑμᾶς πείθειν περὶ ἁπάντων ἡμῶν τὴν γνώμην ταύτην ἔχειν. (2) Εἰ μὲν οὖν οἴονται, ἃ ὑπὸ τῶν τριάκοντα γεγένηνται τῇ πόλει, ἐμοῦ κατηγορηκέναι, ἀδυνάτους αὐτοὺς ἡγοῦμαι λέγειν· οὐδὲ γὰρ πολλοστὸν μέρος τῶν ἐκείνοις πεπραγμένων εἰρήκασιν· εἰ δὲ ὡς ἐμοί τι προσῆκον περὶ αὐτῶν ποιοῦνται τοὺς λόγους, ἀποδείξω τούτους μὲν ἅπαντα ψευδομένους, ἐμαυτὸν δὲ τοιοῦτον ὄντα οἷόσπερ ἂν τῶν ἐκ Πειραιῶς [ὁ] βέλτιστος ἐν ἄστει μείνας ἐγένετο. (3) Δέομαι δ' ὑμῶν, ὦ ἄνδρες δικασταί, μὴ τὴν αὐτὴν γνώμην ἔχειν

XXV.

DE AFFECTATA TYRANNIDE APOLOGIA.

Vobis equidem, judices, libens ignosco, quod orationes istiusmodi audientes, et rerum gestarum memoriam in animo habentes, omnibus æque succenseatis qui in urbe remanserunt: sed accusatores miror, qui, posthabitis rebus suis, alienas curant; qui, quum ipsis liquido constiterit quinam nihil mali admiserint et quinam plurimum, quæstum potius facere meditantur, quam vobis persuadere satagunt ut nos omnes in eodem loco ne habeatis. (2) Quodsi existimant se ea quæ a trigintaviris perpessa est civitas enarrasse magis quam me accusasse, eos rudes et dicendi imperitos esse arbitror (neque illorum scelerum protulerunt partem multesimam): sin autem, quasi ea res ad me spectet, de illis verba faciunt, ostendam et istos in omnibus mentiri, et me ita vitam instituisse quemadmodum instituisset Piræensium optimus quisque, si in urbe restitisset. (3) Vos utique, judices, obsecro atque obtestor ne eundem animum quem

τοῖς συκοφανταις. Τούτων μὲν γὰρ ἔργον ἐστὶ καὶ τοὺς μηδὲν ἡμαρτηκότας εἰς αἰτίαν καθιστάναι (ἐκ τούτων γὰρ ἂν μάλιστα χρηματίζοιντο), ὑμέτερον δὲ τοῖς μηδὲν ἀδικοῦσιν ἐξ ἴσου τῆς πολιτείας μεταδιδόναι· οὕτω γὰρ ἂν τοῖς καθεστηκόσι πράγμασι πλείστους συμμάχους ἔχοιτε. (4) Ἀξιῶ δέ, ὦ ἄνδρες δικασταί, ἐὰν ἀποφανῶ συμφορᾶς μὲν μηδεμιᾶς αἴτιος γεγενημένος, πολλὰ δὲ κἀγαθὰ εἰργασμένος τὴν πόλιν καὶ τῷ σώματι καὶ τοῖς χρήμασι, ταῦτα γοῦν μοι παρ' ὑμῶν ὑπάρχειν, ὧν οὐ μόνον τοὺς εὖ πεποιηκότας, ἀλλὰ καὶ τοὺς μηδὲν ἀδικοῦντας τυγχάνειν δίκαιόν ἐστι. (5) Μέγα μὲν οὖν ἡγοῦμαι τεκμήριον εἶναι, ὅτι, εἴπερ ἐδύναντο οἱ κατήγοροι ἰδίᾳ με ἀδικοῦντα ἐξελέγξαι, οὐκ ἂν τὰ τῶν τριάκοντα ἁμαρτήματα ἐμοῦ κατηγόρουν, οὐδ' ἂν ᾤοντο χρῆναι ὑπὲρ τῶν ἐκείνοις πεπραγμένων ἑτέρους διαβάλλειν, ἀλλ' αὐτοὺς τοὺς ἀδικοῦντας τιμωρεῖσθαι· νῦν δὲ νομίζουσι τὴν πρὸς ἐκείνους ὀργὴν ἱκανὴν εἶναι καὶ τοὺς μηδὲν κακὸν εἰργασμένους ἀπολέσαι. (6) Ἐγὼ δὲ οὐχ ἡγοῦμαι δίκαιον εἶναι οὔτε εἴ τινες τῇ πόλει πολλῶν ἀγαθῶν αἴτιοι γεγένηνται, ἄλλους τινὰς ὑπὲρ τούτων τιμὴν ἢ χάριν κομίσασθαι παρ' ὑμῶν, οὔτ' εἴ τινες πολλὰ κακὰ εἰργασμένοι εἰσίν, εἰκότως ἂν δι' ἐκείνους τοὺς μηδὲν ἀδικοῦντας ὀνείδους καὶ διαβολῆς τυγχάνειν· ἱκανοὶ γὰρ οἱ ὑπάρχοντες ἐχθροὶ τῇ πόλει καὶ μέγα κέρδος νομίζοντες εἶναι τοὺς ἀδίκως ἐν ταῖς διαβολαῖς καθεστηκότας.

7. Πειράσομαι δ' ὑμᾶς διδάξαι, οὓς ἡγοῦμαι τῶν πολιτῶν προσήκειν ὀλιγαρχίας ἐπιθυμεῖν καὶ δημοκρατίας. Ἐκ τούτου γὰρ καὶ ὑμεῖς γνώσεσθε, κἀγὼ περὶ ἐμαυτοῦ τὴν ἀπολογίαν ποιήσομαι, ἀποφαίνων ὡς οὔτε ἐξ ὧν ἐν δημοκρατίᾳ οὔτε ἐξ ὧν ἐν ὀλιγαρχίᾳ πεποίηκα, οὐδέν μοι προσῆκον κακόνουν εἶναι τῷ πλήθει τῷ ὑμετέρῳ. (8) Πρῶτον μὲν οὖν ἐνθυμηθῆναι χρὴ ὅτι οὐδείς ἐστιν ἀνθρώπων φύσει οὔτε ὀλιγαρχικὸς οὔτε δημοκρατικός, ἀλλ' ἥτις ἂν ἑκάστῳ πολιτεία συμφέρῃ, ταύτην προθυμεῖται καθιστάναι· ὥστε οὐκ ἐλάχιστον ἐν ὑμῖν ἐστι μέρος ὡς πλείστους ἐπιθυμεῖν τῶν παρόντων νυνὶ πραγμάτων. Καὶ ταῦτα ὅτι οὕτως ἔχει, οὐ χαλεπῶς ἐκ τῶν πρότερον γεγενημένων μαθήσεσθε. (9) Σκέψασθε γάρ, ὦ ἄνδρες δικασταί, τοὺς προστάντας ἀμφοτέρων τῶν πολιτειῶν, ὁσάκις δὴ μετεβάλοντο. Οὐ Φρύνιχος μὲν καὶ Πείσανδρος καὶ οἱ μετ' ἐκείνων δημαγωγοί, ἐπειδὴ πολλὰ εἰς ὑμᾶς ἐξήμαρτον, τὰς περὶ τούτων δείσαντες τιμωρίας τὴν προτέραν ὀλιγαρχίαν κατέστησαν, πολλοὶ δὲ τῶν τετρακοσίων μετὰ τῶν ἐκ Πειραιῶς συγκατῆλθον, ἔνιοι δὲ τῶν ἐκείνους ἐκβαλόντων αὐτοὶ αὖθις τῶν
172 τριάκοντα ἐγένοντο; εἰσὶ δὲ οἵτινες τῶν Ἐλευσινάδε ἀπογραψαμένων, ἐξελθόντες μεθ' ὑμῶν, ἐπολιορκοῦντο μετ' αὐτῶν. (10) Οὔκουν χαλεπὸν γνῶναι, ὦ ἄνδρες δικασταί, ὅτι οὐ περὶ πολιτείας εἰσὶν αἱ πρὸς ἀλλήλους διαφοραί, ἀλλὰ περὶ τῶν ἰδίᾳ συμφερόντων ἑκάστῳ. Ὑμᾶς οὖν χρὴ ἐκ τούτων δοκιμάζειν τοὺς πολίτας, σκοποῦντας μὲν ὅπως ἦσαν ἐν τῇ δημοκρατίᾳ πεπολιτευμένοι, ζητοῦντας δὲ εἴ τις αὐτοῖς ὠφέλεια ἐγίνετο τῶν πραγμάτων μεταπε-

calumniatores geratis. Istorum enim opus est eos qui nihil mali admiserunt in jus ducere (hinc enim maxime quæstum fecerint); vestrum contra, eis qui a culpa sint immunes, omnia civitatis jura æqualiter impertiri. (4) Ego autem, judices, si declaravero me nullius calamitatis auctorem fuisse, atque in rempublicam multa insigniaque beneficia et corpore et facultatibus contulisse, postulo ut ea a vobis reportem, quæ reportare fas sit eos qui de vobis bene, nec unquam male, meriti sunt. (5) Illud vero maximum est innocentiæ meæ argumentum, quod, si accusatores me alicujus facinoris potuissent convincere, nequaquam trigintavirorum flagitia objecissent, neque existimassent ea aliis imputanda quæ ab illis gesta sunt, sed ab ipsis potius scelerum auctoribus pœnas expetissent. Nunc autem arbitrantur odium in illos conflatum sufficere ad eos etiam opprimendos qui nihil omnino deliquerint. (6) Ego vero minime æquum esse arbitror, neque ut, si qui plurima in rempublicam beneficia contulerint, illorum beneficiorum alii præmia vel gratiam a vobis consequantur; neque ut, si qui pessime de ea meruerint, insontes idcirco opprobrium experiantur et calumniam. Sat enim magnus est eorum hominum numerus qui inimico sunt animo in rempublicam, et qui in magno lucro deputant plures nostrûm iniquis criminationibus circumveniri.

7. Ceterum ego enitar vobis exponere quibusnam civibus conveniat appetere oligarchiam et quibusnam democratiam. Namque ita et vos facillime de causa cognoscetis, et ego una meam defensionem peragam, demonstrando scilicet quod neque ex iis quæ in democratia, neque ex iis quæ in oligarchia gessi, mihi ullo modo expediret ut animum alienum a populo Atheniensi haberem. (8) Ac primo quidem illud animadvertendum est, neminem scilicet a natura esse comparatum vel ad democratiam vel ad oligarchiam; sed quamcumque administrationem sibi maxime expedire contigerit, eam locum obtinere et stabiliri cupit. Vestra igitur potissimum in potestate situm est ut quam plurimi præsentem reipublicæ formam adament. Atque hæc ita se habere ex anteactis rebus facile intelligetis. (9) Revocate in animum, quæso, utriusque administrationis duces quoties ingenium mutaverint. Nonne Phrynichus et Pisander, et qui una cum illis populo præerant, ex offensis pœnam metuentes, superiorem oligarchiam constituere? nonne multi ex quadringentis viris cum Piræensibus in urbem reduces facti sunt? nonne aliqui qui Quadringentos expulerunt, ipsi inter Triginta numerabantur? sunt etiam nonnulli ex iis qui nomina dederunt ad Eleusinem, qui tametsi prius vobiscum egressi, cum Triginta tamen obsidebantur. (10) Quapropter, judices, non difficile est intellectu quod non de administrationum forma hominibus nata sint dissidia, sed de iis quæ unicuique expediunt. Vos igitur æquum est ex his quæ dico civium animos explorare, quærentes nimirum quo pacto se in democratia gesserint, atque scrutantes si quid eis utilitatis ex mutata republica accedere

σόντων· οὕτω γὰρ ἂν δικαιοτάτην κρίσιν περὶ αὐτῶν ποιοῖσθε. (11) Ἐγὼ τοίνυν ἡγοῦμαι, ὅσοι μὲν ἐν τῇ δημοκρατίᾳ ἄτιμοι ἦσαν εὐθύνας δεδωκότες ἢ τῶν ὄντων ἀπεστερημένοι ἢ ἄλλῃ τινὶ συμφορᾷ τοιαύτῃ κεχρημένοι, προσήκειν αὐτοῖς ἑτέρας ἐπιθυμεῖν πολιτείας, ἐλπίζοντας τὴν μεταβολὴν ὠφέλειάν τινα αὐτοῖς ἔσεσθαι· ὅσοι δὲ τὸν δῆμον πολλὰ κἀγαθὰ εἰργασμένοι εἰσί, κακὸν δὲ μηδὲν πώποτε, ὀφείλεται δὲ αὐτοῖς χάριν κομίσασθαι παρ' ὑμῶν μᾶλλον ἢ δοῦναι δίκην τῶν πεπραγμένων, οὐκ ἄξιον τὰς τούτων ἀποδέχεσθαι διαβολάς, οὐδ' ἂν πάντες οἱ τὰ τῆς πόλεως πράττοντες ὀλιγαρχικοὺς αὐτοὺς φάσκωσιν εἶναι. (12) Ἐμοὶ τοίνυν, ὦ ἄνδρες δικασταί, οὔτ' ἰδίᾳ οὔτε δημοσίᾳ συμφορὰ ἐν ἐκείνῳ τῷ χρόνῳ οὐδεμία πώποτε ἐγένετο, ἀνθ' ἧστινος ἂν προθυμούμενος τῶν παρόντων κακῶν ἀπαλλαγῆναι ἑτέρων ἐπεθύμουν πραγμάτων. Ἐτριηράρχησα μὲν γὰρ πεντάκις, καὶ τετράκις νεναυμάχηκα, καὶ εἰσφορὰς ἐν τῷ πολέμῳ πολλὰς εἰσενήνοχα, καὶ τἆλλα λελειτούργηκα οὐδενὸς χεῖρον τῶν πολιτῶν. (13) Καίτοι διὰ τοῦτο πλείω τῶν ὑπὸ τῆς πόλεως προσταττομένων ἐδαπανώμην, ἵνα καὶ βελτίων ὑφ' ὑμῶν νομιζοίμην, καὶ εἴ πού μοί τις συμφορὰ γένοιτο, ἄμεινον ἀγωνιζοίμην. Ὧν ἐν τῇ ὀλιγαρχίᾳ ἁπάντων ἀπεστερούμην· οὐ γὰρ τοὺς τῷ πλήθει ἀγαθοῦ τινος αἰτίους γεγενημένους χάριτος παρ' αὐτῶν ἠξίουν τυγχάνειν, ἀλλὰ τοὺς πλεῖστα κακὰ ὑμᾶς εἰργασμένους εἰς τὰς τιμὰς καθίστασαν, ὡς ταύτην παρ' ἡμῶν πίστιν εἰληφότες. Ἃ χρὴ πάντας ἐνθυμουμένους μὴ τοῖς τούτων λόγοις πιστεύειν, ἀλλὰ καὶ ἐκ τῶν ἔργων σκοπεῖν ἃ ἑκάστῳ τυγχάνει πεπραγμένα. (14) Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, οὔτε τῶν τετρακοσίων ἐγενόμην· ἢ τῶν κατηγόρων ὁ βουλόμενος παρελθὼν ἐλεγξάτω· οὐ τοίνυν οὐδ' ἐπειδὴ οἱ τριάκοντα κατέστησαν, οὐδείς με ἀποδείξει οὔτε βουλεύσαντα οὔτε ἀρχὴν οὐδεμίαν ἄρξαντα. Καίτοι εἰ μὲν ἐξόν μοι ἄρχειν μὴ ἠβουλόμην, ὑφ' ὑμῶν νυνὶ τιμᾶσθαι δίκαιός εἰμι· εἰ δὲ οἱ τότε δυνάμενοι μὴ ἠξίουν μοι μεταδιδόναι τῶν πραγμάτων, πῶς ἂν φανερώτερον ἢ οὕτω ψευδομένους ἀποδείξαιμι τοὺς κατηγόρους;

15. Ἔτι τοίνυν, ὦ ἄνδρες δικασταί, καὶ ἐκ τῶν ἄλλων τῶν ἐμοὶ πεπραγμένων ἄξιον σκέψασθαι. Ἐγὼ γὰρ τοιοῦτον ἐμαυτὸν ἐν ταῖς τῆς πόλεως συμφοραῖς παρέσχον ὥστε, εἰ πάντες τὴν αὐτὴν γνώμην ἔσχον ἐμοί, μηδένα ἂν ὑμῶν μηδεμιᾷ κεχρῆσθαι συμφορᾷ. Ὑπ' ἐμοῦ γὰρ ἐν τῇ ὀλιγαρχίᾳ οὔτε ἀπαχθεὶς οὐδεὶς φανήσεται, οὔτε τῶν ἐχθρῶν οὐδεὶς τετιμωρημένος, οὔτε τῶν φίλων εὖ πεπονθώς. (16) Καὶ τοῦτο μὲν οὐκ ἄξιον θαυμάζειν· εὖ μὲν γὰρ ποιεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ χαλεπὸν ἦν, ἐξαμαρτάνειν δὲ τῷ βουλομένῳ ῥᾴδιον. Οὐ τοίνυν οὔτ' εἰς τὸν κατάλογον Ἀθηναίων καταλέξας οὐδένα φανήσομαι, οὔτε δίαιταν καταδιαιτησάμενος οὐδενός, οὐδὲ πλουσιώτερος ἐκ τῶν ὑμετέρων γεγονὼς συμφορῶν. Καίτοι εἰ τοῖς τῶν γεγενημένων κακῶν αἰτίοις ὀργίζεσθε, εἰκὸς καὶ τοὺς μηδὲν ἡμαρτηκότας βελτίους ὑφ' ὑμῶν νομίζεσθαι. (17) Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, μεγίστην ἡγοῦμαι περὶ ἐμαυτοῦ τῇ δημοκρατίᾳ πίστιν δεδωκέναι· ὅστις

potuisset; ita enim accuratissimum de ipsis judicium mihi facturi videmini. (11) Equidem existimo, quicumque in democratia post rationes redditas infamia notati sunt, vel fortunis exuti, vel simili aliqua calamitate pressi, eis omnino convenire ut aliam administrationis formam exoptarent, sperantes eam mutationem alicui commodo sibi esse futuram: at quicumque sæpius de populo optime, nunquam male, meriti sunt, et quos æquius est a vobis consequi gratiam quam dare pœnas, adversus eos non oportet criminationes admittere, etiamsi omnes reipublicæ administratores eos oligarchiæ studiosos esse dixerint. (12) Porro, judices, nulla unquam mihi vel privatim vel publice contigit calamitas, cujus ergo præsentibus malis liberari gestiens, novas res expeterem. Quinquies enim triremi præfectus fui, quater classe conflixi, multas pecunias durante bello contuli, ceteraque publica munia nihilo segnius obivi quam quisquam civium. (13) Atqui idcirco majores sumptus feci quam mihi a republica imperabantur, ut civis melior a vobis existimarer; et, si quid unquam mihi periculum accideret, æquiori conditione dimicarem. Quibus omnibus commodis in oligarchia privabar. Non enim eos qui de populo bene meriti fuerant, sua gratia illi dignati sunt; sed qui vos malis affecerant plurimis, eos ad honores evexere, hoc quasi fidei pignus ab iis accipientes. Quæ in animo reputantes unumquemque vestrûm oportet non istorum orationibus fidem adhibere, sed ex rebus ipsis quid a quoquam gestum sit judicare. (14) Ego autem, judices, neque quadringentorum virorum unus fui; vel accusatorum quilibet huc accedens id demonstret: neque postquam triginta viri imperio sunt potiti, quisquam me arguet vel in senatu fuisse, vel magistratum aliquem gessisse. Verumtamen si, quum mihi licuisset, magistratum tamen defugi, a vobis nunc honorem consequi debeo: si vero illi qui tunc rerum potiebantur, me in reipublicæ administrandæ societatem admittere noluerunt, quonam argumento dilucidiori refutare queam accusatorum mendacia?

15. Ad hæc, judices, et ex aliis vitæ meæ institutis vos spectare me decet. Ego enim talem me ipsum in civitatis calamitatibus præstiti ut, si omnes eodem mecum fuissent animo, nemo vestrûm ullam incommoditatem fuisset subiturus. Siquidem constabit in oligarchia me neminem in carcerem abduxisse, ab inimicorum nullo ultionem cepisse, nullum amicorum beneficiis ornavisse. (16) Neque id mirum cuiquam esse debet. Bene enim facere per illud tempus erat difficile, insolenter agere cuivis facile. Neque etiam convincar in albo Atheniensium quenquam per fraudem inscripsisse, vel arbiter electus condemnasse, vel ex calamitatibus vestris fortunas meas adauxisse. Atqui si malorum auctoribus succenseatis, æquum est ut qui nihil in vos offenderint viros bonos existimetis. (17) Et profecto, judices, arbitror maximam de me ipso fidem ad de-

γὰρ τότε οὐδὲν ἐξήμαρτον οὕτω πολλῆς δεδομένης ἐξουσίας, ἦ που νῦν σφόδρα προθυμηθήσομαι χρηστὸς εἶναι, εὖ εἰδὼς ὅτι, ἐὰν ἀδικῶ, παραχρῆμα δώσω δίκην. Ἀλλὰ γὰρ τοιαύτην διὰ τέλους γνώμην ἔχω, ὥστ' ἐν ὀλι-
173 γαρχίᾳ μὲν μὴ ἐπιθυμεῖν τῶν ἀλλοτρίων, ἐν δημοκρατίᾳ δὲ τὰ ὄντα προθύμως εἰς ὑμᾶς ἀναλίσκειν.

18. Ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί, οὐκ ἂν δικαίως ὑμᾶς μισεῖν τοὺς ἐν τῇ ὀλιγαρχίᾳ μηδὲν πεπονθότας κακόν, ἐξὸν ὀργίζεσθαι τοῖς εἰς τὸ πλῆθος ἐξημαρτηκόσιν, οὐδὲ τοὺς μὴ φυγόντας ἐχθροὺς νομίζειν, ἀλλὰ τοὺς ὑμᾶς ἐκβαλόντας, οὐδὲ τοὺς προθυμουμένους τὰ ἑαυτῶν σῶσαι, ἀλλὰ τοὺς τὰ τῶν ἄλλων ἀφῃρημένους, οὐδὲ οἳ τῆς σφετέρας αὐτῶν σωτηρίας ἕνεκα ἔμειναν ἐν τῷ ἄστει, ἀλλ' οἵτινες ἑτέρους ἀπολέσαι βουλόμενοι μετέσχον τῶν πραγμάτων. Εἰ δὲ οἴεσθε χρῆναι, οὓς ἐκεῖνοι παρέλιπον ἀδικοῦντες, ὑμεῖς ἀπολέσαι, οὐδεὶς τῶν πολιτῶν ἀπολειφθήσεται.

19. Σκοπεῖν δὲ χρὴ καὶ ἐκ τῶνδε, ὦ ἄνδρες δικασταί. Πάντες γὰρ ἐπίστασθε ὅτι ἐν τῇ προτέρᾳ δημοκρατίᾳ τῶν τὰ τῆς πόλεως πραττόντων πολλοὶ μὲν τὰ δημόσια ἔκλεπτον, ἔνιοι δ' ἐπὶ τοῖς ὑμετέροις ἐδωροδόκουν, οἱ δὲ συκοφαντοῦντες τοὺς συμμάχους ἀφίστασαν. Καὶ εἰ μὲν οἱ τριάκοντα τούτους μόνους ἐτιμωροῦντο, ἄνδρας ἀγαθοὺς καὶ ὑμεῖς ἂν αὐτοὺς ἡγεῖσθε· νῦν δέ, ὅτι ὑπὲρ τῶν ἐκείνοις ἡμαρτημένων τὸ πλῆθος κακῶς ποιεῖν ἠξίουν, ἠγανακτεῖτε, ἡγούμενοι δεινὸν εἶναι τὰ τῶν ὀλίγων ἀδικήματα πάσῃ τῇ πόλει κοινὰ γίνεσθαι. (20) Οὐ τοίνυν ἄξιον χρῆσθαι τούτοις, οἷς ἐκείνους ἑωρᾶτε ἐξαμαρτάνοντας, οὐδὲ ἃ πάσχοντες ἄδικα ἐνομίζετε πάσχειν, ὅταν ἑτέρους ποιῆτε, δίκαια ἡγεῖσθαι, ἀλλὰ τὴν αὐτὴν κατελθόντες περὶ αὐτῶν γνώμην ἔχετε, ἥνπερ φεύγοντες περὶ ὑμῶν αὐτῶν εἴχετε· ἐκ τούτων γὰρ καὶ ὁμόνοιαν πλείστην ποιήσετε, καὶ ἡ πόλις ἔσται μεγίστη, καὶ τοῖς ἐχθροῖς ἀνιαρότατα ψηφιεῖσθε.

21. Ἐνθυμηθῆναι δὲ χρή, ὦ ἄνδρες δικασταί, καὶ τῶν ἐπὶ τῶν τριάκοντα γεγενημένων, ἵνα τὰ τῶν ἐχθρῶν ἁμαρτήματα ἄμεινον ὑμᾶς ποιήσῃ περὶ τῶν ὑμετέρων αὐτῶν βουλεύσασθαι. Ὅτε μὲν γὰρ ἀκούοιτε τοὺς ἐν ἄστει τὴν αὐτὴν γνώμην ἔχειν, μικρὰς ἐλπίδας εἴχετε τῆς καθόδου, ἡγούμενοι τὴν ἡμετέραν ὁμόνοιαν μέγιστον κακὸν εἶναι τῇ ὑμετέρᾳ φυγῇ· (22) ἐπειδὴ δὲ πυνθάνοισθε τοὺς μὲν τρισχιλίους στασιάζοντας, τοὺς δὲ ἄλλους πολίτας ἐκκεκηρυγμένους ἐκ τοῦ ἄστεος, τοὺς δὲ τριάκοντα μὴ τὴν αὐτὴν γνώμην ἔχοντας, πλείους δ' ὄντας τοὺς ὑπὲρ ἡμῶν δεδιότας ἢ τοὺς ὑμῖν πολεμοῦντας, τότ' ἤδη καὶ κατιέναι προσεδοκᾶτε καὶ παρὰ τῶν ἐχθρῶν λήψεσθαι δίκην. Ταῦτα γὰρ τοῖς θεοῖς εὔχεσθε, ἅπερ ἐκείνους ἑωρᾶτε ποιοῦντας, ἡγούμενοι διὰ τὴν τῶν τριάκοντα πονηρίαν πολὺ μᾶλλον σωθήσεσθαι ἢ διὰ τὴν τῶν φευγόντων δύναμιν κατιέναι. (23) Χρὴ τοίνυν, ὦ ἄνδρες δικασταί, τοῖς πρότερον γεγενημένοις παραδείγμασι χρωμένους βουλεύεσθαι περὶ τῶν μελλόντων ἔσεσθαι, καὶ τούτους ἡγεῖσθαι δημοτικωτάτους, οἵτινες ὁμονοεῖν ὑμᾶς βου-

mocratiam dedisse. Qui enim tunc temporis nihil peccavi, quum tantum licuerit, certe nunc vehementer enitar bonus civis esse; id probe sciens quod, si quid deliquero, statim pœnas sim daturus. Verum hæc mea est perpetua et constans sententia, ut in oligarchia alienas opes non concupiscam, in democratia meas lubens in vestram utilitatem impendam.

18. Existimo autem, judices, vos nequaquam justo odio eos esse persecuturos qui in oligarchia nihil mali perpessi sunt, quum rectius eis succensere possitis qui populum læserunt; neque eos pro inimicis habere qui non exularunt, sed qui vos expulerunt; neque eos qui sua servare studuerunt, sed qui aliena diripuerunt; neque eos qui suæ salutis causa in urbe remanserunt, sed qui, ut alios perderent, reipublicæ negotia susceperunt. Quodsi putetis eos quibus illi pepercerunt, a vobis esse injuste occidendos, jam nullus civium relinquetur.

19. Hoc quoque animadvertite, judices: vos omnes nosse arbitror quod in priori democratia multi reipublicæ administratores expilabant ærarium, nonnulli res vestras et jura vestra pretio venumdabant, alii falsis criminationibus socios nostros abalienabant. Quodsi triginta viri in eos solos animadvertissent, illos fuisse viros probos vos ipsi judicassetis: nunc vero quod pro eorum peccatis sævierint in populum, indignabamini, putantes iniquum esse delicta paucorum universæ reipublicæ fieri communia. (20) Minime igitur vos decet ea vos uti ratione quam illos videbatis peccando sequi; neque quæ dum sustinuistis, iniqua esse judicabatis, ea quum contra alios statuitis, æqua esse arbitremini: sed reversi domum eandem de aliis habeatis opinionem, quam in fuga de vobismetipsis habuistis. Ita enim maximam efficietis concordiam, et respublica erit amplissima, atque ea decernetis quæ inimicos urent maxime.

21. Considerare autem oportet, judices, quæ sub trigintavirali dominatu gesta sunt, quo inimicorum delicta id demum efficiant, ut vos de rebus vestris melius deliberetis. Quamdiu enim audivistis idem sentire eos qui in urbe remanserant, levissimam spem habuistis redeundi; autumantes nostram concordiam maximum esse vobis in fuga vestra incommodum: (22) at simul ac intellexistis tria millia urbanorum dissidere, ceterosque cives publice ex civitate ejici, et trigintaviros sententiis discordare, pluresque pro vobis timere quam vobis adversari, tum demum et vos redituros, et ab inimicis supplicium sumpturos exspectabatis. Ea enim a diis immortalibus ut fierent precabamini, quæ jam illos facere videbatis, arbitrantes vos multo facilius per improbitatem trigintavirorum salutem consecuturos quam per vires exulum reversuros. (23) Vos igitur oportet, judices, rebus præteritis pro exemplis usos, de futuris consultare, eosque democratiæ studiosissimos judicare qui vestri consensus cupidissimi,

λόμενοι τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμένουσι, νομίζοντες καὶ τῆς πόλεως ταύτην ἱκανωτάτην εἶναι σωτηρίαν καὶ τῶν ἐχθρῶν μεγίστην τιμωρίαν· οὐδὲν γὰρ ἂν εἴη αὐτοῖς χαλεπώτερον τούτων, ἢ πυνθάνεσθαι μὲν ἡμᾶς μετέχοντας τῶν πραγμάτων, αἰσθάνεσθαι δὲ οὕτω διακειμένους τοὺς πολίτας ὥσπερ μηδενὸς ἐγκλήματος πρὸς ἀλλήλους γεγενημένου. (24) Χρὴ δὲ εἰδέναι, ὦ ἄνδρες δικασταί, ὅτι οἱ φεύγοντες τῶν ἄλλων πολιτῶν ὡς πλείστους καὶ διαβεβλῆσθαι καὶ ἠτιμῶσθαι βούλονται, ἐλπίζοντες τοὺς ὑφ' ὑμῶν ἀδικουμένους ἑαυτοῖς ἔσεσθαι συμμάχους, τοὺς δὲ συκοφάντας εὐδοκιμεῖν δέξαιντ' ἂν παρ' ὑμῖν καὶ μέγα δύνασθαι ἐν τῇ πόλει· τὴν γὰρ τούτων πονηρίαν ἑαυτῶν ἡγοῦνται σωτηρίαν.

25. Ἄξιον δὲ μνησθῆναι τῶν μετὰ τοὺς τετρακοσίους πραγμάτων· εὖ γὰρ εἴσεσθε ὅτι, ἃ μὲν οὗτοι συμβουλεύουσιν, οὐδεπώποτε ὑμῖν ἐλυσιτέλησεν, ἃ δ' ἐγὼ παραινῶ, ἀμφοτέραις ἀεὶ ταῖς πολιτείαις συμφέρει.
174 Ἴστε γὰρ Ἐπιγένην καὶ Δημοφάνην καὶ Κλεισθένην ἰδίᾳ μὲν καρπωσαμένους τὰς τῆς πόλεως συμφοράς, δημοσίᾳ δὲ ὄντας μεγίστων κακῶν αἰτίους. (26) Ἐνίων μὲν γὰρ ἔπεισαν ὑμᾶς ἀκρίτων θάνατον καταψηφίσασθαι, πολλῶν δὲ ἀδίκως δημεῦσαι τὰς οὐσίας, τοὺς δ' ἐξελάσαι καὶ ἀτιμῶσαι τῶν πολιτῶν· τοιοῦτοι γὰρ ἦσαν ὥστε τοὺς μὲν ἡμαρτηκότας ἀργύριον λαμβάνοντες ἀφιέναι, τοὺς δὲ μηδὲν ἠδικηκότας εἰς ὑμᾶς εἰσιόντες ἀπολλύναι. Καὶ οὐ πρότερον ἐπαύσαντο, ἕως τὴν μὲν πόλιν εἰς στάσεις καὶ τὰς μεγίστας συμφορὰς κατέστησαν, αὐτοὶ δ' ἐκ πενήτων πλούσιοι ἐγένοντο. (27) Ὑμεῖς δὲ οὕτω διετέθητε ὥστε τοὺς μὲν φεύγοντας κατεδέξασθε, τοὺς δ' ἀτίμους ἐπιτίμους ἐποιήσατε, τοῖς δ' ἄλλοις περὶ ὁμονοίας ὅρκους ὠμνυτε· τελευτῶντες δὲ ἥδιον ἂν τοὺς ἐν τῇ δημοκρατίᾳ συκοφαντοῦντας ἐτιμωρήσασθε ἢ τοὺς ἄρξαντας ἐν τῇ ὀλιγαρχίᾳ. Καὶ εἰκότως, ὦ ἄνδρες δικασταί· πᾶσι γὰρ ἤδη φανερόν ἐστιν ὅτι διὰ μὲν τοὺς ἀδίκως πολιτευομένους ἐν τῇ ὀλιγαρχίᾳ δημοκρατία γίνεται, διὰ δὲ τοὺς ἐν τῇ δημοκρατίᾳ συκοφαντοῦντας ὀλιγαρχία δὶς κατέστη. Ὥστε οὐκ ἄξιον τούτοις χρῆσθαι πολλάκις συμβούλοις, οἷς οὐδὲ ἅπαξ ἐλυσιτέλησε πειθομένοις. (28) Σκέψασθαι δὲ χρὴ ὅτι καὶ τῶν ἐκ Πειραιῶς οἱ μεγίστην δόξαν ἔχοντες καὶ μάλιστα κεκινδυνευκότες καὶ πλεῖστα ὑμᾶς ἀγαθὰ εἰργασμένοι πολλάκις ἤδη τῷ ὑμετέρῳ πλήθει διεκελεύσαντο τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμένειν, ἡγούμενοι ταύτην δημοκρατίας εἶναι φυλακήν· τοῖς μὲν γὰρ ἐξ ἄστεος ὑπὲρ τῶν παρεληλυθότων ἄδειαν ποιήσειν, τοῖς δ' ἐκ Πειραιῶς οὕτω πλεῖστον χρόνον τὴν πολιτείαν ἂν παραμεῖναι. (29) Οἷς ὑμεῖς πολὺ ἂν δικαιότερον πιστεύοιτε ἢ τούτοις, οἳ φεύγοντες μὲν δι' ἑτέρους ἐσώθησαν, κατελθόντες δὲ συκοφαντεῖν ἐπιχειροῦσιν. Ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί, τοὺς μὲν τὴν αὐτὴν γνώμην ἔχοντας ἐμοὶ τῶν ἐν ἄστει μεινάντων φανεροὺς γεγενῆσθαι καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ ὁποῖοί τινές εἰσι πολῖται· (30) τούτων δ' ἄξιον

pacta et juramenta religiose observant, existimantes civitatis hanc esse salutem certissimam, atque inimicorum ultionem maximam. Nulla enim res eis injucundior hac potest contingere, nempe si audiant nos ad rempublicam posse accedere, simulque intelligant ita se habere cives quasi nullæ unquam mutuæ criminationes exstitissent. (24) Illud autem non ignorate, judices, exules id maxime velle, ut ceterorum civium quamplurimi in criminationem veniant et infamentur, ea scilicet spe, ut qui a vobis habeantur male, eos nanciscantur socios; eosdem etiam magni facere ut calumniatores apud vos in honore sint et in civitate plurimum valeant: istorum enim improbitatem suam salutem existimant.

25. Meminisse etiam operæ pretium est earum rerum quæ post quadringentos viros gestæ sunt. Facile enim intelligetis istorum consilia nunquam vobis profuisse, ea autem quorum ego auctor sum, utrique semper reipublicæ expedire. Novistis scilicet Epigenem et Demophanem et Clisthenem privatim quidem ex reipublicæ calamitatibus fructus collegisse, publice vero maximorum malorum auctores exstitisse. (26) Vobis quippe persuaserunt nonnullos indicta causa capite damnare, multorum facultates per summam injuriam publicare, alios cives exterminare atque infamare. Ita enim erant comparati ut sontes pecunia accepta missos facerent, et innocentissimos ad vos ingressi morte mulctarent. Neque finem prius fecerunt quam civitatem impulissent in seditiones et maximas calamitates, ipsi autem e pauperibus locupletes evasissent. (27) Vos contra ita fuistis animati, ut et exules reciperetis, infamia notatos in integrum restitueretis, atque erga ceteros cives de concordia jusjurandum præstaretis, denique ut prócliviores essetis ad pœnas ab iis repetendas qui in democratia alios falsis criminibus impetebant, quam ab iis qui in oligarchia imperabant. Nec immerito, judices. Jam enim apud omnes constat per eos qui inique imperant in oligarchia nasci democratiam, per eos autem qui falso criminantur in democratia bis jam oligarchiam fuisse constitutam; ita ut minime conveniat eorum sæpius consiliis uti, quibus ne semel quidem auscultantes profecistis. (28) Animadvertere autem oportet quod Piræensium qui summo in honore erant, qui maxima adierant pericula, plurimaque in vos beneficia contulerant, sæpissime populum sint hortati ut juramentis pactisque permaneret, rati in eo esse sitam democratiæ incolumitatem: ita enim et eis qui in urbe remanserant præteritorum impunitatem fore, et eis qui e Piræeo venerant diuturnitatem imperii. (29) Quibus multo æquius fidem habeatis quam istis qui exulantes per alios restituti sunt, reversi vero calumniari meditantur. Equidem arbitror, judices, eos qui ejusdem mecum animi in urbe remanserunt, satis declarasse quales sint cives tam in oligarchia quam in democratia: (30) istos autem miremur quidnam

θαυμάζειν, ὅ τι ἂν ἐποίησαν, εἴ τις αὐτοὺς εἴασε τῶν τριάκοντα γενέσθαι, οἳ νῦν δημοκρατίας οὔσης ταὐτὰ ἐκείνοις πράττουσι, καὶ ταχέως μὲν ἐκ πενήτων πλούσιοι γεγένηνται, πολλὰς δ' ἀρχὰς ἄρχοντες οὐδεμιᾶς εὐθύνην διδόασιν, ἀλλ' ἀντὶ μὲν ὁμονοίας ὑποψίαν πρὸς ἀλλήλους πεποιήκασιν, ἀντὶ δὲ εἰρήνης πόλεμον κατηγγέλκασι, διὰ τούτους δὲ ἄπιστοι τοῖς Ἕλλησι γεγενήμεθα. (31) Καὶ τοσούτων κακῶν καὶ ἑτέρων πολλῶν ὄντες αἴτιοι, καὶ οὐδὲν διαφέροντες τῶν τριάκοντα πλὴν ὅτι ἐκεῖνοι μὲν ὀλιγαρχίας οὔσης ἐπεθύμουν ὧνπερ οὗτοι, οὗτοι δὲ δημοκρατίας τῶν αὐτῶν ὧνπερ ἐκεῖνοι, ὅμως οἴονται χρῆναι οὕτω ῥᾳδίως ὃν ἂν βούλωνται κακῶς ποιεῖν, ὥσπερ τῶν μὲν ἄλλων ἀδικούντων, ἄριστοι δὲ ἄνδρες αὐτοὶ γεγενημένοι. (32) Καὶ τούτων μὲν οὐκ ἄξιον θαυμάζειν, ὑμῶν δέ, ὅτι οἴεσθε μὲν δημοκρατίαν εἶναι, γίγνεται δὲ ὅ τι ἂν οὗτοι βούλωνται, καὶ δίκην διδόασιν οὐχ οἱ τὸ ὑμέτερον πλῆθος ἀδικοῦντες, ἀλλ' οἱ τὰ σφέτερα αὐτῶν μὴ διδόντες. Καὶ δέξαιντ' ἂν μικρὰν εἶναι τὴν πόλιν μᾶλλον ἢ δι' ἄλλους μεγάλην καὶ ἐλευθέραν, (33) ἡγούμενοι νῦν μὲν διὰ τοὺς ἐκ Πειραιῶς κινδύνους αὐτοῖς ἐξεῖναι ποιεῖν ὅ τι ἂν βούλωνται, ἐὰν δ' ὕστερον ὑμῖν δι' ἑτέρους σωτηρία γένηται, τούτους μὲν ἐπιλύσεσθαι, ἐκείνους δὲ μεῖζον δυνήσεσθαι· ὥστε τὸ αὐτὸ πάντες ἐμποδών εἰσιν, ἐάν τι δι' ἄλλων ἀγαθὸν ὑμῖν φαίνηται. (34) Τοῦτο μὲν οὖν οὐ χαλεπὸν τῷ βουλομένῳ κατανοῆσαι· αὐτοί τε γὰρ οὐκ ἐπιθυμοῦσι λανθάνειν, ἀλλ' αἰσχύνονται μὴ δοκοῦντες εἶναι πονηροί, ὑμεῖς δὲ τὰ μὲν αὐτοὶ ὁρᾶτε, τὰ δ' ἑτέρων πολλῶν ἀκούετε. Ἡμεῖς δέ, ὦ ἄνδρες δικασταί, δίκαιον μὲν ἡγούμεθ' εἶναι πρὸς πάντας ὑμᾶς τοὺς πολίτας ταῖς συνθήκαις καὶ τοῖς ὅρκοις ἐμμένειν, (35) ὅμως
175 δέ, ὅταν μὲν ἴδωμεν τοὺς τῶν κακῶν αἰτίους δίκην διδόντας, τῶν τότε περὶ ὑμᾶς γεγενημένων μεμνημένοι συγγνώμην ἔχομεν, ὅταν δὲ φανεροὶ γένησθε τοὺς μηδὲν αἰτίους ἐξ ἴσου τοῖς ἀδικοῦσι τιμωρούμενοι, τῇ αὐτῇ ψήφῳ πάντας ἡμᾶς εἰς ὑπο . . . . . .

facturi fuissent, si quis ipsos inter trigintaviros accensuisset, qui nunc in democratia eadem atque illi perpetrare audeant; qui subito e pauperibus facti sunt divites, multisque magistratibus defuncti nullius unquam rationes reddiderunt, sed pro concordia suspiciones mutuas intulere, pro pace bellum renuntiarunt : per eosdem utique fidem inter Graecos perdidimus. (31) Atque isti tot malorum auctores aliorumque quamplurimorum, et in nulla re a trigintaviris discrepantes, nisi quod illi in oligarchia eadem atque isti concupivere, et isti in democratia eadem quæ illi; isti, inquam, ita sibi licere arbitrantur quemcumque voluerint injuria afficere, quasi ceteri omnes inique agerent, et ipsi soli viri essent boni. (32) Attamen non tam istos mirari decet, quam vos, quod democratiam esse creditis, quum omnia ad istorum libitum aguntur. Et pœnas quidem persolvunt non qui populum malis afflixere; sed qui de facultatibus suis non largiuntur : jam isti mallent sua opera exiguam esse rempublicam, quam aliorum beneficio amplam et liberam. (33) Existimant scilicet propter adita in Piræeo discrimina sibi nunc quæcumque libuerit licere; et si posthac vobis per alios salus obvenerit, se nullo in pretio futuros esse, illos autem majorem auctoritatem adepturos. Itaque unanimiter contra nituntur, si qua vobis beneficii spes aliunde affulserit. (34) Quos certe arguere cuivis proclive est, siquidem dissimulare norunt, sed erubescunt potius ni palam videantur improbi : vos autem partim ipsi videtis, partim auditis ex aliis. Nos vero, judices, arbitramur vobis standum esse juramento et pactis erga omnes cives : (35) verumtamen quum videamus malorum auctores pœnas dare, eorum quæ tunc vobis acciderunt memores, facile ignoscimus; at quum palam easdem pœnas resposcitis ab innocentibus quas a maxime facinorosis, eodem suffragio nos omnes in *suspicionem adducitis vos quoque tyrannidem affectare....*

XXVI.

ΠΕΡΙ ΤΗΣ ΕΥΑΝΔΡΟΥ ΔΟΚΙΜΑΣΙΑΣ.

. . . . . ἡγούμενος ἀκριβῆ νῦν τὴν δοκιμασίαν αὐτοὺς διὰ τὸν χρόνον ποιήσεσθαι, ἐπεὶ σύνοισθα πολλὰ καὶ δεινὰ εἰς αὐτοὺς ἐξημαρτηκώς, ὧν ἐπιλελῆσθαι καὶ οὐδ' ἀναμνησθήσεσθαι ἐνίους αὐτῶν νομίζεις. Ὃ δὴ ἔγωγε καὶ ἀγανακτῶ, εἰ ταύτῃ τῇ ἐλπίδι εἰς ὑμᾶς ἥκει πιστεύων, ὥσπερ ἄλλων μέν τινων ὄντων τῶν ἠδικημένων, ἑτέρων δὲ τῶν ταῦτα διαψηφιουμένων, ἀλλ' οὐκ ἀμφότερα τῶν αὐτῶν καὶ πεπονθότων καὶ ἀκουσομένων. (2) Αἴτιοι δὲ τούτων ὑμεῖς ἐστε· οὐ γὰρ ἐνθυμεῖσθε ὅτι οὗτοι μέν, ὅτε ἡ πόλις ὑπὸ τῶν Λακεδαιμονίων ἤρχετο, οὐδὲ τῆς αὐτῆς δουλείας ὑμῖν μεταδοῦναι

XXVI.

DE EVANDRI PROBATIONE.

...... existimans hos judices longo post tempore accuratam inquisitionem nunc non habituros. Attamen tibi conscius es multarum graviumque injuriarum quas illi a te acceperint, quarumque oblitos esse, neque recordari velle nonnullos eorum arbitraris. Quod ego vehementer indignor, si ea fiducia fretus iste ad vos accedat; quasi alii fuissent qui acceperint injuriam, alii de ea laturi sententias, et non iidem qui et perpessi sunt et hodie audituri. (2) Horum autem vos estis culpandi : non enim animadvertitis quod isti, quum hæc civitas a Lacedæmoniis regeretur, ne servitutem quidem ipsam vobiscum voluerunt

ἠξίωσαν, ἀλλὰ καὶ τῆς πόλεως ἐξήλασαν, ὑμεῖς δ' ἐλευθέραν αὐτὴν ποιήσαντες οὐ μόνον τῆς ἐλευθερίας αὐτοῖς, ἀλλὰ καὶ τοῦ δικάζειν καὶ τοῦ ἐκκλησιάζειν περὶ τῶν κοινῶν μετέδοτε, ὥστε εἰκότως ὑμῶν ταύτην τὴν εὐήθειαν καταγιγνώσκουσιν. (3) Ὧν εἷς οὗτος ὢν οὐκ ἀγαπᾷ εἴ τις αὐτὸν ἐᾷ τούτων μετέχειν, ἀλλὰ καὶ πρὶν ἐκείνων δοῦναι δίκην πάλιν ἄρχειν ἀξιοῖ. Καὶ νυνὶ αὐτὸν ἀκούομεν, ὑπὲρ ὧν αὐτοῦ κατηγοροῦμεν, διὰ βραχέων ἀπολογήσεσθαι, ἐπισύροντα τὰ πράγματα καὶ διακλέπτοντα τῇ ἀπολογίᾳ τὴν κατηγορίαν, λέξειν δὲ ὡς πολλὰ εἰς τὴν πόλιν ἀνηλώκασι καὶ φιλοτίμως λελειτουργήκασι καὶ νίκας πολλὰς καὶ καλὰς ἐν δημοκρατίᾳ νενικήκασι, καὶ ὅτι αὐτὸς κόσμιός ἐστι καὶ οὐχ ὁρᾶται ποιῶν ἃ ἕτεροι ἐνταῦθα τολμῶσιν, ἀλλὰ τὰ ἑαυτοῦ πράττειν ἀξιοῖ. (4) Ἐγὼ δὲ πρὸς τούτους τοὺς λόγους οὐ χαλεπὸν οἶμαι ἀντειπεῖν, πρὸς μὲν τὰς λειτουργίας, ὅτι κρείττων ἦν ὁ πατὴρ αὐτοῦ μὴ λειτουργήσας ἢ τοσαῦτα τῶν ἑαυτοῦ ἀναλώσας· διὰ γὰρ ταῦτα πιστευθεὶς ὑπὸ τοῦ δήμου κατέλυσε τὴν δημοκρατίαν, ὥστ' εἶναι ταῦτα τὰ ἔργα ἀειμνηστότερα ἢ τὰ ἐκ τῶν λειτουργιῶν αὐτῷ ἀναθήματα· (5) πρὸς δὲ τὴν ἡσυχιότητα τὴν τούτου, ὅτι οὐ νῦν δεῖ αὐτὸν ἐξετάζειν εἰ σώφρων ἐστίν, ὅτ' αὐτὸν οὐκ ἔξεστιν ἀσελγαίνειν, ἀλλ' ἐκεῖνον τὸν χρόνον σκοπεῖν, ἐν ᾧ ἐξὸν ὁποτέρως ἐβούλετο ζῆν εἵλετο παρανόμως πολιτευθῆναι. Τοῦ μὲν γὰρ νῦν μηδὲν ἐξαμαρτάνειν οἱ κωλύσαντες αἴτιοι, τῶν δὲ τότε γεγενημένων ὁ τούτου τρόπος καὶ οἱ τούτῳ ἐπιτρέπειν ἀξιοῦντες. Ὥστε ἂν ἐκ τούτων δοκιμάζεσθαι ἀξιοῖ, ταῦτα χρὴ ὑπολαμβάνειν, μὴ εὐήθεις αὐτῷ εἶναι δοκῆτε.

6. Ἂν δὲ καὶ ἐπὶ τοιόνδε λόγον τράπωνται, ὡς ὁ χρόνος οὐκ ἐγχωρεῖ ἄλλον ἀποκληρῶσαι, ἀλλ' ἀνάγκη, ἐὰν αὐτὸν ἀποδοκιμάσητε, ἄθυτα τὰ πάτρια ἱερὰ γίγνεσθαι, τάδ' ἐνθυμήθητε, ὅτι πάλαι ὁ χρόνος ἤδη παρελήλυθεν. Ἡ γὰρ αὔριον ἡμέρα μόνη λοιπὴ τοῦ ἐνιαυτοῦ ἐστιν, ἐν δὲ ταύτῃ τῷ Διὶ τῷ σωτῆρι θυσία γίγνεται, δικαστήριον δὲ παρὰ τοὺς νόμους οὐ δυνατὸν πληρωθῆναι. (7) Εἰ δὲ ταῦτα πάνθ' οὗτος ὥστε γενέσθαι διαπέπρακται, τί προσδοκῆσαι δεῖ δοκιμασθέντ' αὐτὸν ποιήσειν, εἰ τὴν ἐξιοῦσαν ἀρχὴν πέπεικεν αὐτοῦ ἕνεκα παρανομῆσαι; ἆρ' ἂν ὀλίγα τοιαῦτα ἐν τῷ ἐνιαυτῷ διαπράξασθαι; ἐγὼ μὲν γὰρ οὐκ ἂν οἶμαι. (8) Ἔστι δ' ὑμῖν οὐ τοῦτο μόνον σκεπτέον, ἀλλὰ καὶ πότερον εὐσεβέστερον τὸν βασιλέα καὶ τοὺς συνάρχοντας τὰ ὑπὲρ τοῦ μέλλοντος ἄρξειν ἱερὰ θῦσαι, ὡς καὶ πρότερον ἤδη γεγένηται, ἢ καὶ τοῦτον, ὃν οὐδὲ καθαρὸν εἶναι τὰς χεῖρας οἱ εἰδότες μεμαρτυρήκασι, καὶ πότερον ὑμεῖς ὠμόσατε εἰς τὴν ἀρχὴν ἀδοκίμαστον καταστήσειν, ἢ δο-
176 κιμάσαντες τὸν ἄξιον τῆς ἀρχῆς στεφανώσειν. (9) Ταῦτα γὰρ σκοπεῖσθε· κἀκεῖνο ἐνθυμεῖσθε, ὅτι ὁ θεὶς τὸν περὶ τῶν δοκιμασιῶν νόμον οὐχ ἥκιστα περὶ τῶν ἐν ὀλιγαρχίᾳ ἀρξάντων ἕνεκα ἔθηκεν, ἡγούμενος δεινὸν εἶναι, εἰ δι' οὓς ἡ δημοκρατία κατελύετο, οὗτοι ἐν αὐτῇ τῇ πολιτείᾳ πάλιν ἄρξουσι, καὶ κύριοι γενήσονται τῶν νόμων

communicare, sed e civitate ejecerunt : vos contra, restituta libertate, cum istis non solum libertatem communicastis, verum etiam potestatem judicandi et conciones habendi de republica. Itaque eam simplicitatem merito vobis isti ipsi exprobrant : (3) quorum Evander unus quum sit, non sibi sat habet, si his liceat impune frui; at priusquam præteritorum scelerum det pœnas, rursus magistratu fungi postulat. Et nunc audio istum accusationi meæ paucissima responsurum, res constringendo, totamque accusationem in defensione sua quasi suffurando : dicturum scilicet majores suos multa in civitatem impendisse, muneribus publicis magnifice esse perfunctos, multasque et præclaras victorias in democratia reportasse; se autem moderate vivere, neque ea videri agere quæ alii solent, sed suis duntaxat rebus occupari. (4) Quibus dictis non difficile esse arbitror respondere. Quod ad munera publica attinet, repono multo præstantius fuisse ipsius patrem ea munera non exsequi quam ex suis facultatibus tantas pecunias insumere. Ob hæc enim fidem populi consecutus, popularem statum evertit : adeo ut eorum malorum quæ inde intulit longe firmior sit memoria quam monumentorum quæ obitis muneribus victor consecravit. (5) Quod vero spectat ad istius moderationem, respondeo non nunc inspiciendos esse istius mores, utrum modesti sint necne, quum insolescere non conceditur; sed illud potius tempus considerandum, in quo, utrovis modo vivendi libertate permissa, vitam improbam secutus est. Quod enim nunc nihil delinquat, id eis tribuendum qui obstant : quæ autem tunc temporis perpetravit, ea sunt imputanda suis moribus, atque eis qui ea fieri permiserunt. Quare si ex his quæ nunc agit approbari postulet, ea quæ dico subjiciatis, ne isti vos simplices esse videamini.

6. Quodsi in eam orationem diverterint, nos scilicet tempore excludi quominus quisquam eligatur alius, verum necesse esse ut, si iste reprobetur, intermittantur sacra consueta; id in animo reputetis jam dudum id tempus præteriisse. Crastinus enim dies anni est supremus; eo autem die Jovi Servatori sacra fiunt; judicium vero haberi per leges nullo modo licet. (7) Quodsi iste sategit ut hæc omnia fierent, quid ipsum jam probatum facturum esse arbitremini, si nondum probatus exeunti magistratui persuaserit in suam gratiam leges violare? an pauca hujusmodi in suo anno perpetraturum? mihi profecto non videtur. (8) Quanquam non id solum vobis considerandum est, sed utrum magis religioni vestræ conveniat regem sacrorum nunc gerentem cum collegis pro futuro magistratu sacra facere, ut jam antea factum est, an istum, quem ne puris quidem esse manibus testantur ii qui id sciunt; et utrum juraveritis vos eum magistratum electuros quem non probavistis, an, probatione facta, eum coronaturos quem magistratu dignum comperistis. (9) Hæc debetis vos considerare, atque illud etiam reputare in animo, eum qui tulit legem de probationibus, non minime eorum causa qui in oligarchia magistratibus perfuncti sunt, eam tulisse; quum putaret id esse iniquum, si quorum opera eversa sit democratia, ii, eadem restituta, iterum ad magistratus accederent, com-

καὶ τῆς πόλεως, ἣν πρότερον παραλαβόντες οὕτως αἰσχρῶς καὶ δεινῶς ἐλωβήσαντο. Ὥστ' οὐκ ἄξιον τῆς δοκιμασίας ὀλιγώρως ἔχειν, οὐδὲ μικρὸν ἡγουμένους τὸ πρᾶγμα μὴ φροντίζειν αὐτῆς, ἀλλὰ φυλάττειν· ὡς ἐν τῷ ἕκαστον δικαίως ἄρχειν ἥ τε πολιτεία καὶ τὸ ἄλλο πλῆθος τὸ ὑμέτερον σώζεται. (10) Εἰ μὲν δὴ βουλεύσων νυνὶ ἐδοκιμάζετο καὶ ὡς ἱππευκότος αὐτοῦ ἐπὶ τῶν τριάκοντα ὄνομα ἐν ταῖς σανίσιν ἐνεγέγραπτο, καὶ ἄνευ κατηγόρου ἂν αὐτὸν ἀπεδοκιμάζετε· νυνὶ δέ, ὅτε μὴ μόνον ἱππευκὼς μηδὲ βεβουλευκώς, ἀλλὰ καὶ εἰς τὸ πλῆθος ἐξημαρτηκὼς φαίνεται, οὐκ ἂν ἄτοπον ποιήσαιτε, εἰ μὴ τὴν αὐτὴν γνώμην ἔχοντες περὶ αὐτοῦ φανοῖσθε; (11) Καὶ μὲν δὴ βουλεύειν γε δοκιμασθεὶς πεντακοσιοστὸς ὢν μετὰ τῶν ἄλλων ἐνιαυτὸν ἂν μόνον ἐβούλευσεν, ὥστε καὶ εἴ τι ἐν τούτῳ τῷ χρόνῳ ἐξαμαρτάνειν ἐβούλετο, ῥᾳδίως ἂν ὑπὸ τῶν ἄλλων ἐκωλύετο. Ταύτην δὲ τὴν ἀρχὴν ἀξιοῖ μόνος αὐτὸς καθ' αὑτὸν ἄρχειν, καὶ μετὰ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς τὸν ἅπαντα χρόνον τῶν μεγίστων κύριος γενέσθαι· (12) ὥστε ὑμῖν καθήκειν περὶ ταύτης τῆς ἀρχῆς ἀκριβεστέραν τὴν δοκιμασίαν ἢ περὶ τῶν ἄλλων ἀρχῶν ποιεῖσθαι. Εἰ δὲ μή, πῶς οἴεσθε τὸ ἄλλο πλῆθος τῶν πολιτῶν διακείσεσθαι, ὅταν αἴσθωνται, ὃν προσῆκε δίκας τῶν ἡμαρτημένων διδόναι, τοῦτον ὑφ' ὑμῶν τοιαύτης ἀρχῆς ἠξιωμένον; καὶ φόνου δίκας δικάζοντα, ὃν ἔδει αὐτὸν ὑπὸ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς κρίνεσθαι; καὶ πρὸς τούτοις ἴδωσιν ἐστεφανωμένον, καὶ ἐπικλήρων καὶ ὀρφανῶν κύριον γεγενημένον, ὧν ἐνίοις αὐτὸς οὗτος τῆς ὀρφανίας αἴτιος γεγένηται; (13) Ἆρ' οὐκ οἴεσθε αὐτοὺς χαλεπῶς διακείσεσθαι καὶ ὑμᾶς αὐτῶν αἰτίους ἡγήσεσθαι, ὅταν γένωνται ἐν ἐκείνοις τοῖς χρόνοις, ἐν οἷς αὐτῶν πολλοὶ εἰς τὸ δεσμωτήριον ἀπήγοντο καὶ ἄκριτοι ὑπὸ τούτων ἀπώλλυντο καὶ φεύγειν τὴν σφετέραν αὐτῶν ἠναγκάζοντο; Κἀκεῖνο προσενθυμηθῶσιν, ὅτι ὁ αὐτὸς οὗτος ἀνὴρ Θρασύβουλος αἴτιος γεγένηται Λεωδάμαντά τε ἀποδοκιμασθῆναι καὶ τοῦτον δοκιμασθῆναι, τοῦ μὲν κατήγορος γενόμενος, ὑπὲρ τούτου δὲ ἀπολογήσασθαι παρασκευασάμενος; ὃς ὅπως πρὸς τὴν πόλιν διέκειτο καὶ πόσων αἴτιος αὐτῇ κακῶν γεγένηται. . . . (14) ᾗ πειθόμενοι πῶς ἂν οἴεσθε διαβληθῆναι; Τότε μὲν γὰρ ὑμᾶς ᾤοντο ὀργισθέντας Λεωδάμαντα ἀποδοκιμάσαι· ἐὰν δὲ αὐτὸν δοκιμάσητε, εὖ εἴσονται ὅτι οὐ δικαίᾳ γνώμῃ περὶ αὐτοῦ κέχρησθε. Ἔστι δὲ τούτοις μὲν πρὸς ὑμᾶς ἀγών, ὑμῖν δὲ πρὸς ἅπασαν τὴν πόλιν, ἣ σκοπεῖ νυνὶ τίνα ὑμεῖς γνώμην περὶ αὐτῆς ἕξετε. (15) Καὶ μηδεὶς ὑμῶν ἡγείσθω με Λεωδάμαντι χαριζόμενον κατηγορεῖν Εὐάνδρου, ὅτι φίλος ὢν τυγχάνει, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῆς πόλεως προνοούμενον. Ῥᾴδιον δ' ἐξ αὐτοῦ τοῦ πράγματος μαθεῖν. Λεωδάμαντι γὰρ συμφέρει τοῦτον δοκιμασθῆναι, οὕτω γὰρ ὑμεῖς μάλιστα διαβληθήσεσθε, καὶ δόξετε ἀντὶ δημοτικῶν ἀνθρώπων ὀλιγαρχικοὺς εἰς τὰς ἀρχὰς καθιστάναι· ὑμῖν δὲ τόνδε ἀποδοκιμάσαι, δόξετε γὰρ κἀκεῖνον δικαίως ἀποδοκιμάσαι· ἐὰν δὲ μηδὲ τόνδε, οὐδ' ἐκεῖνον δικαίως.

potes facti legum et civitatis quam prius a se oppressam tam turpiter tamque indigne labefactarunt. Constat igitur non negligenter probationem esse exercendam, neque a vobis despectui habendam tanquam leviculam rem et nullius momenti, sed severe observandam, quum in justo uniuscujusque magistratus imperio et reipublicæ et populi salus contineatur. (10) Quodsi iste probationem subiret pro senatoris officio, nomenque ejus in tabulis equitum sub trigintaviris descriptum reperiretur, eum vel nullo accusante reprobaretis. Nunc vero quum non solum istum fuisse equitem, sed in populum graviter deliquisse constet, annon foret omnium absurdissimum si non eadem de eo sentiretis? (11) At enim ex probatione in senatorium ordinem cooptatus, unus ipse cum quingentis aliis per unum duntaxat annum consedisset: ita ut si quid per istud tempus meditaretur mali, facile a ceteris prohiberetur. Hunc vero magistratum gerere solus ipse per se postulat, et deinde cum senatu Areopagitico per omnem ætatem summis et gravissimis rebus præesse. (12) Vos igitur quammaxime decet de hoc magistratu accuratiorem multo quam de ceteris probationem adhibere. Sin minus, quo demum animo censetis ceteros cives futuros, ubi intellexerint quem suorum flagitiorum pœnas dare oporteret, eum tali a vobis dignitate ornari; et de cæde judicare, quem ipsum oportuit judicari a senatu Areopagitico; atque etiam coronari viderint, fierique pupillarum orphanorumque patronum, quorum nonnullis ipse, tali præditus ingenio, orbitatis auctor exstitit? (13) Annon existimatis eos ægre admodum laturos, atque omnium vobis culpam ascripturos, ubi illorum temporum memoriam revocaverint, in quibus multi ipsorum in carcerem abducebantur, et indicta causa ab istis capite plectebantur, vel suam patriam relinquere cogebantur; idque etiam cogitaverint, eundem Thrasybulum in causa fuisse ut et reprobaretur Laodamas, et iste approbaretur, illum accusando, et istius defensionem meditando, quem scitis omnes quali animo sit in civitatem, et quantas calamitates ei intulerit. (14) Cui si adhibeatis fidem, quantam criminationis molem vobis impendere existimatis? Tunc enim arbitrabantur vos præ ira Laodamantem reprobasse: si autem istum approbabitis, bene scient vos non juste de illo statuisse. Atque istis quidem video contentionem vobiscum comparari, vobis vero cum universa civitate, quæ nunc studiose observat quænam de se futura sit vestra sententia. (15) Et nemo vestrûm arbitretur me in Laodamantis gratiam, quod mecum amicitia sit conjunctus, Evandrum accusare: imo hunc accuso quod vobis et reipublicæ optime consulere velim. Atque id ex re ipsa facile fuerit colligere. In rem enim est Laodamantis ut iste approbetur (ea quippe ratione vos gravissimam infamiam subituri estis et palam videbimini pro viris popularibus oligarchicos ad magistratus promovere); in rem autem vestram ut reprobetis: ita enim dicemini illum quoque merito reprobasse. Quodsi neque iste a vobis reprobetur, ille dicetur a vobis immerito fuisse reprobatus.

16. Καίτοιγε αὐτὸν ἀκούω λέξειν ὡς οὐ περὶ αὐτοῦ μόνον ἡ δοκιμασία ἐστίν, ἀλλὰ περὶ πάντων τῶν ἐν ἄστει μεινάντων, καὶ τοὺς ὅρκους καὶ τὰς συνθήκας ὑμᾶς ὑπομνήσειν, ὡς ἐκ τούτων προσληψόμενον αὐτὸν δοκιμαστὰς τοὺς ἐν ἄστει μείναντας. Ἐγὼ δ' ὑπὲρ τοῦ πλήθους βραχέα πρὸς αὐτὸν εἰπεῖν βούλομαι, ὅτι ὁ δῆμος οὐ τὴν αὐτὴν γνώμην ἔχει περὶ πάντων τῶν ἐν ἄστει
177 μεινάντων, ἀλλὰ περὶ μὲν τῶν τοιαῦτα ἐξαμαρτανόντων οἵαν ἐγώ φημι δεῖν, περὶ δὲ τῶν ἄλλων τὴν ἐναντίαν. (17) Τεκμήριον δέ· οὐ γὰρ ἐλάττους τούτων ἡ πόλις τετίμηκε τῶν ἐπὶ Φυλὴν ἐλθόντων καὶ τὸν Πειραιᾶ καταλαβόντων. Εἰκότως· τοὺς μὲν γὰρ ἴσασιν ὁποῖοί τινες ἐν δημοκρατίᾳ μόνῃ γεγένηνται, ὁποῖοι δ' ἄν τινες ἐν ὀλιγαρχίᾳ γένοιντο, οὔπω πεῖραν εἰλήφασι· παρὰ δὲ τούτων ἑκατέρας τῆς πολιτείας ἱκανὴν βάσανον ἔχουσιν, ὥστ' εἰκότως πιστεύειν. (18) Καὶ ἡγοῦνταί γε διὰ μὲν τοὺς τοιούτους τοὺς συλληφθέντας τότε ἀποθανεῖν, διὰ δὲ τοὺς ἄλλους τοὺς συλληφθέντας ἐκφυγεῖν, ἐπεὶ εἴ γε τὴν αὐτὴν γνώμην ἅπαντες ἔσχον, οὔτ' ἂν φυγὴ οὔτ' ἂν κάθοδος οὔτ' ἄλλο οὐδὲν ἂν τῶν γεγενημένων τῇ πόλει συνέβη. (19) Ἀλλὰ καὶ τὸ ἄλογον δοκοῦν εἶναι παρά τισιν, ὅπως ποτὲ πολλοὶ ὄντες ὑπ' ὀλίγων τῶν ἐν Πειραιεῖ ἡττήθησαν, οὐδαμόθεν ἄλλοθεν ἢ ἐκ τῆς τούτων προνοίας γεγένηται· οὗτοι γὰρ εἵλοντο μετὰ τῶν κατελθόντων πολιτεύεσθαι μᾶλλον ἢ μετὰ τῶν τριάκοντα Λακεδαιμονίοις δουλεύειν. (20) Τοιγάρτοι ἀντὶ τούτων αὐτοὺς ὁ δῆμος ταῖς μεγίσταις τιμαῖς τετίμηκεν, ἱππαρχεῖν καὶ στρατηγεῖν καὶ πρεσβεύειν ὑπὲρ αὐτῶν αἱρούμενοι· καὶ οὐδέποτε αὐτοῖς μετεμέλησε. Καὶ διὰ μέν γε τοὺς πολλὰ ἐξαμαρτόντας τὰς δοκιμασίας εἶναι ἐψηφίσαντο, διὰ δὲ τοὺς μηδὲν τοιοῦτον πράξαντας τὰς συνθήκας ἐποιήσαντο. Τοιαῦτά σοι ἐγὼ ὑπὲρ τοῦ δήμου ἀποκρίνομαι.

21. Ὑμέτερον δὴ ἔργον ἐστίν, ὦ ἄνδρες βουλευταί, σκέψασθαι ποτέρῳ ἂν πειθόμενοι περὶ τῆς δοκιμασίας ταύτης ἄμεινον βουλεύσαισθε, πότερον ἐμοὶ ἢ Θρασυβούλῳ, ὃς αὐτῷ ἀπολογήσεται. Περὶ μὲν οὖν ἐμοῦ ἢ τοῦ παιδὸς ἢ τῶν προγόνων οὐδὲν οὗτος εἰπεῖν ἕξει εἰς μισοδημίαν. Οὔτε γὰρ ὡς ὀλιγαρχίας μετέσχον (ὕστερον γὰρ τῶν χρόνων τούτων ἀνὴρ εἶναι ἐδοκιμάσθην), οὔθ' ὡς ὁ πατήρ (πρὸ γὰρ τῶν στάσεων πολὺ ἐν Σικελίᾳ ἄρχων ἐτελεύτησεν)· (22) οὐδ' ὡς οἱ πρόγονοι ὑπὸ τοῖς τυράννοις ἐγένοντο· στασιάζοντες γὰρ πρὸς αὐτοὺς τὸν ἅπαντα χρόνον διετέλεσαν. Ἀλλὰ μὲν δὴ οὐδὲ τὴν οὐσίαν ἡμᾶς ἐν τῷ πολέμῳ φήσει κτήσασθαι, εἰς δὲ τὴν πόλιν οὐδὲν ἀνηλωκέναι· πᾶν γὰρ τοὐναντίον, ἐν εἰρήνῃ μὲν ὀγδοηκοντατάλαντος ἡμῶν ὁ οἶκος ἐγένετο, εἰς δὲ τὴν τῆς πόλεως σωτηρίαν ἐν τῷ πολέμῳ ἅπας ἀνηλώθη. (23) Ἐγὼ δὲ περὶ τούτου τρία ἕξω εἰπεῖν τηλικαῦτα τὸ μέγεθος, ὥστ' ἄξιον εἶναι ἕκαστον ἔργον θανάτου· πρῶτον μὲν ὅτι τὴν ἐν Βοιωτοῖς πολιτείαν χρήματα λαβὼν μετέστησε καὶ τῆς συμμαχίας ὑμᾶς ταύτης ἀπεστέρησεν, ἔπειτα ὅτι τὰς ναῦς προὔδωκε καὶ τὴν πόλιν περὶ σωτηρίας βουλεύεσθαι πεποίηκεν, (24) ἔπειτα ὅτι παρὰ τῶν αἰ-

16. At enim audio istum dicturum non ad se solum hanc probationem pertinere, sed ad omnes qui in urbe remanserunt; vosque de jurejurando et pactis admoniturum; quasi inde sui probatores sibi conciliaturus esset eos qui in urbe remanserunt. Ego autem pro populo pauca huic respondere volo: scilicet populum non idem sentire de omnibus qui in urbe remanserunt; verum de iis qui talia perpetrarunt qualia Evander, ita ut ego aio oportere, de reliquis contrario modo. (17) Cujus rei hoc argumentum esse possit. Non enim pauciores ex his auxit honoribus respublica, quam ex iis qui Phylen accesserunt et Piræeum occuparunt. Et quidem merito: hos quippe norunt cujusmodi essent in sola democratia, quales vero sint futuri in oligarchia, nondum sunt experti; illorum autem in utraque politia satis experimenti habent, ut non immerito possint confidere: (18) et existimant per tales qualis fuit Evander, tum morti fuisse datos eos qui comprehendebantur, per alios vero effugisse. Nam si omnes eodem animo fuissent, neque fuga, neque reditus, neque quidquam aliud eorum quæ facta sunt, civitati contigisset. (19) Verum etiam quod nonnullis præter rationem videtur accidisse, quo pacto nimirum viri tam multi a Piræensibus tam paucis debellari potuerint, id non aliunde provenit quam ex horum quos loquor cura et consilio. Ii enim maluere una cum redeuntibus rempublicam administrare, quam cum triginta viris Lacedæmoniis servire. (20) Quapropter eos civitas amplissimis ornavit honoribus, ut ex iis equitum præfecti, imperatores, legati eligerentur; nec ejus rei ipsam unquam pœnituit. Ac propter reos quidem multorum delictorum, probationes habendas esse decrevit; propter eos autem, qui nihil tale perpetrarunt, pacta inivit et concordiam. Atque hæc quidem pro populo respondeo.

21. Vestrûm autem est, senatores, deliberare utri adhibentes fidem de hac probatione, rectius eritis decreturi, utrum mihi an Thrasybulo qui istius defensionem suscepturus est. De me igitur, de patre meo, aut majoribus, nihil ab illo dici potest ex quo odium populi in nos concitaverimus: neque enim vel me oligarchiæ participem fuisse, qui post id tempus virilem ætatem attigi; vel patrem meum, qui multo ante has turbas in Sicilia dux copiarum obiit; (22) non denique majores se tyrannis submisisse, cum quibus æternum bellum gesserunt. Neque ille dicere sustinebit nos in bello rem familiarem auxisse, et in rempublicam nihil contulisse. Contrarium enim accidit; siquidem fortuna nostra quæ in pace octoginta talentorum erat, in reipublicæ salutem tota in bello absumpta est. (23) At ego de illo tria habeo dicere, tamque nefaria, ut unumquodque morte sit dignissimum. Primum quidem, pecunia accepta, apud Bœotos politiam immutavit, eaque hinc nos fraudavit societate: deinde prodidit naves, atque hanc civitatem eo redegit ut de salute consuleret: (24) denique a captivis, quos ipse perdidit,

χμαλώτων, οὓς αὐτὸς ἀπώλεσε, τριάκοντα μνᾶς ἐσυκοφάντησεν, οὐ φάσκων αὐτοὺς λύσεσθαι, εἰ μὴ τοῦτο αὐτῷ παρὰ σφῶν αὐτῶν παράσχοιεν. Συνειδότες οὖν ἡμῶν ἑκατέρῳ τὸν βίον, πρὸς ταῦτα βουλεύεσθε ὁποτέρῳ χρὴ πιστεύειν περὶ τῆς Εὐάνδρου δοκιμασίας, καὶ οὕτως οὐχ ἐξαμαρτήσεσθε.

triginta minas abstulit per fraudem, affirmans se eos non redempturum nisi hæ sibi ab ipsis præberentur. Vos igitur vita utriusque nostrûm probe intellecta, perpendite utri fidem adhibere oporteat, atque inde vos minime peccabitis.

XXVII.

ΚΑΤΑ ΕΠΙΚΡΑΤΟΥΣ ΚΑΙ ΤΩΝ ΣΥΜΠΡΕΣΒΕΥΤΩΝ ΕΠΙΛΟΓΟΣ ΩΣ ΘΕΟΔΩΡΟΣ.

Κατηγόρηται μέν, ὦ ἄνδρες Ἀθηναῖοι, Ἐπικράτους ἱκανὰ καὶ τῶν συμπρεσβευτῶν· ἐνθυμεῖσθαι δὲ χρὴ ὅτι πολλάκις ἠκούσατε τούτων λεγόντων, ὁπότε βούλοιντό τινα ἀδίκως ἀπολέσαι, ὅτι, εἰ μὴ καταψηφιεῖσθε ὧν αὐτοὶ κελεύουσιν, ἐπιλείψει ὑμᾶς ἡ μισθοφορά. (2) Καὶ
178 νῦν οὐδὲν ἧττον τοσοῦτον ἐνδεῖ, ὥστε τὸ μὲν πλῆθος καὶ ἡ αἰσχύνη ἡ διὰ τούτων ὑμῖν γίγνεται, ἡ δ' ὠφέλεια τούτοις· πεπείρανται γὰρ ὅτι, ὁπότε ἂν οὗτοι καὶ οἱ τούτων λόγοι δοκῶσιν αἴτιοι εἶναι ψηφιεῖσθαι ὑμᾶς παρὰ τὸ δίκαιον, ῥᾳδίως παρὰ τῶν ἀδικούντων χρήματα λαμβάνουσι. (3) Καίτοι τίνα χρὴ ἐλπίδα ἔχειν σωτηρίας, ὁπόταν ἐν χρήμασιν ᾖ καὶ σωθῆναι τῇ πόλει καὶ μή, ταῦτα δὲ οὗτοι, φύλακες ὑφ' ὑμῶν καταστάντες, οἱ τῶν ἀδικούντων κολασταί, κλέπτωσί τε καὶ καταδωροδοκῶσι; Καὶ οὐ νῦν πρῶτον ὤφθησαν ἀδικοῦντες, ἀλλὰ καὶ πρότερον ἤδη δώρων ἐκρίθησαν. (4) Καὶ ὑμῖν ἔχω ἐπικαλέσαι ὅτι τοῦ αὐτοῦ ἀδικήματος Ὀνομάσαντος μὲν κατεψηφίσασθε, τούτου δὲ ἀπεψηφίσασθε, τοῦ αὐτοῦ ἀνδρὸς ἁπάντων κατηγοροῦντος καὶ τῶν αὐτῶν καταμαρτυρούντων, οἳ οὐχ ἑτέρων ἤκουσαν, ἀλλ' αὐτοὶ ἦσαν οἱ περὶ τῶν χρημάτων καὶ τῶν δώρων πρὸς τούτους πράττοντες. (5) Καίτοι τοῦτο ἅπαντες ἐπίστασθε, ὅτι οὐχ ὅταν τοὺς μὴ δυναμένους λέγειν κολάζητε, τότε ἔσται παράδειγμα τοῦ μὴ ὑμᾶς ἀδικεῖν, ἀλλ' ὁπόταν παρὰ τῶν δυναμένων δίκην λαμβάνητε, τότε πάντες παύσονται ἐπιχειροῦντες εἰς ὑμᾶς ἐξαμαρτάνειν. (6) Νῦν δ' ἀσφαλῶς αὐτοῖς ἔχει τὰ ὑμέτερα κλέπτειν· ἂν μὲν γὰρ λάθωσιν, ἀδεῶς αὐτοῖς ἔξουσι χρῆσθαι· ἂν δὲ ὀφθῶσιν, ἢ μέρει τῶν ἀδικημάτων τὸν κίνδυνον ἐξεπρίαντο, ἢ εἰς ἀγῶνα καταστάντες τῇ αὐτῶν δυνάμει ἐσώθησαν. Νῦν τοίνυν, ὦ ἄνδρες δικασταί, παράδειγμα ποιήσετε τοῖς ἄλλοις δικαίοις εἶναι, παρὰ τούτων δίκην λαβόντες. (7) Ἥκουσι δὲ πάντες οἱ τὰ τῆς πόλεως πράττοντες οὐχ ἡμῶν ἀκροασόμενοι, ἀλλ' ὑμᾶς εἰσόμενοι ἥντινα γνώμην περὶ τῶν ἀδικούντων ἕξετε. Ὥστ' εἰ μὲν ἀποψηφιεῖσθε τούτων, οὐδὲν δεινὸν δόξει αὐτοῖς εἶναι ὑμᾶς ἐξαπατήσαντας ἐκ τῶν ὑμετέρων ὠφελεῖσθαι· ἐὰν δὲ καταψηφισάμενοι θανάτου τιμήσητε, τῇ αὐτῇ ψήφῳ τούς τε ἄλλους κοσμιωτέρους ποιήσετε ἢ νῦν εἰσι, καὶ παρὰ τούτων δίκην εἰληφότες ἔσεσθε. (8) Ἡγοῦμαι δ', ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' εἰ μὴ προθέντες αὐτοῖς κρί-

XXVII.

CONTRA EPICRATEM ET LEGATIONIS SOCIOS EPILOGUS, UTI THEODORUS AIT.

Hucusque, Athenienses, satis dictum est ab accusatoribus adversus Epicratem et legationis socios. Reputate autem quod sæpius defensores istius, ubi perdere aliquem injuste volebant, dicere audivistis, vobis nempe, ni eos quos ipsi jusserint condemnaveritis, mercedem vestram esse defuturam. (2) Et nunc nihilominus tantum abest rem ita contingere, ut multitudo quidem flagitiorum et infamia in vos accidat, utilitas vero in ipsos. Experti sunt enim quod, quum ipsi et suæ ipsorum orationes videantur vos adducere ad sententiam præter jus ferendam, tunc facile a reis pecuniam accipiant. (3) At enim qualem salutis spem habere nos oportet, quum reipublicæ salus in pecuniis sita sit, atque isti qui a vobis civitatis custodes et facinorosorum hominum vindices constituuntur, furentur vestras pecunias, et muneribus se corrumpi sinant? Neque hodie primum in hac re peccasse comperti sunt, sed jam olim adducti sunt in jus ob accepta munera. (4) Porro est de vobis quod querar, qui in ejusdem criminis causa Onomasantem quidem condemnaveritis, hunc vero Epicratem absolveritis, quem omnes accusant, iidemque premunt testimonio, qui non acceperunt aliunde, sed ii ipsi fuerunt qui cum istis de pecunia atque donis egerunt. (5) Attamen hoc novistis omnes, non tunc quum ab iis sumatis supplicium qui in dicendo minime valent, exemplum fore quo alii a peccando in vos deterreantur; sed quum a disertis pœnas reposcatis, tunc demum omnes, desituros in vos delinquere. (6) Jam autem istis vestra furari impune licet. Si enim lateant, iis secure uti poterunt: sin deprehendantur, vel parte eorum quæ per flagitium paravere, periculum redimunt, vel sua ipsorum facundia servabuntur. Nunc igitur, judices, ceteris exemplum dabitis ut juste se gerant, si ab istis supplicium sumpseritis. (7) Adsunt autem omnes qui reipublicæ tractant negotia, non ut nostram orationem audiant, sed ut intelligant qualem vos sententiam de sontibus sitis habituri. Quare si istos absolveritis, nihil jam grave illis videbitur, vobis deceptis, ex vestris pecuniis ditescere: sin condemnatos morte mulctaveritis, eodem judicio et ceteros moderatiores efficietis quam hodie sunt, et ab istis justas pœnas acceperitis. (8) Equidem arbitror, Athenienses, non, si eos vel in jus non deductos, vel causam dicere non permissos, ultimo

σιν, ἢ ἀπολογουμένων μὴ ἐθελήσαντες ἀκοῦσαι, καταψηφισάμενοι τῶν ἐσχάτων τιμήσαιτε, οὐκ ἂν ἀκρίτους αὐτοὺς ἀπολωλέναι, ἀλλὰ τὴν προσήκουσαν δίκην δεδωκέναι. Οὐ γὰρ οὗτοι ἄκριτοί εἰσι, περὶ ὧν ἂν ὑμεῖς εἰδότες τὰ πραχθέντα ψηφίσησθε, ἀλλ' οἵτινες ἂν ὑπὸ τῶν ἐχθρῶν διαβληθέντες περὶ ὧν ὑμεῖς μὴ ἴστε, ἀκροάσεως μὴ τύχωσι. Τούτων δὲ τὰ μὲν πράγματα κατηγορεῖ, ἡμεῖς δὲ καταμαρτυροῦμεν· (9) καὶ οὐ τοῦτο δέδοικα, ὡς ἐὰν ἀκροᾶσθε αὐτῶν ἀποψηφιεῖσθε· ἀλλ' οὐκ ἂν ἡγοῦμαι αὐτοὺς δίκην ἀξίαν δεδωκέναι, εἰ ἀκροασάμενοι αὐτῶν καταψηφίσαισθε. Πῶς γάρ, ὦ ἄνδρες δικασταί, οἷς οὐδὲ ταὐτὰ καὶ ὑμῖν συμφέρει; οὗτοι μὲν γὰρ ἐν τῷ πολέμῳ ἐκ πενήτων πλούσιοι γεγόνασιν ἐκ τῶν ὑμετέρων, ὑμεῖς δὲ διὰ τούτους πένητες. (10) Καίτοι οὐ ταῦτα ἀγαθῶν δημαγωγῶν ἐστι, τὰ ὑμέτερα ἐν ταῖς ὑμετέραις συμφοραῖς λαμβάνειν, ἀλλὰ τὰ ἑαυτῶν ὑμῖν διδόναι. Καὶ γάρ τοι εἰς τοσοῦτον ἥκομεν, ὥσθ' οἳ πρότερον ἐν τῇ εἰρήνῃ οὐδὲ σφᾶς αὐτοὺς ἐδύναντο τρέφειν, νῦν ὑμῖν εἰσφορὰς εἰσφέρουσι καὶ χορηγοῦσι καὶ οἰκίας μεγάλας οἰκοῦσι. (11) Καίτοι ἑτέροις ὑμεῖς ἔστιν ὅτε τὰ πατρῷα κεκτημένοις ταῦτα ποιοῦσιν ἐφθονεῖτε· νῦν δ' οὕτως ἡ πόλις διάκειται, ὥστε οὐκέτι ὧν οὗτοι κλέπτουσιν ὀργίζεσθε, ἀλλ' ὧν αὐτοὶ λαμβάνετε χάριν ἴστε, ὥσπερ ὑμεῖς τὰ τούτων μισθοφοροῦντες, ἀλλ' οὐ τούτων τὰ ὑμέτερα κλεπτόντων. (12) Τὸ δὲ πάντων ὑπερφυέστατον, ὅτι ἐν μὲν τοῖς ἰδίοις οἱ ἀδικούμενοι δακρύουσι καὶ ἐλεεινοί εἰσιν, ἐν δὲ τοῖς δημοσίοις οἱ μὲν ἀδικοῦντες ἐλεεινοί, ὑμεῖς δ' οἱ ἀδικούμενοι ἐλεεῖτε. καὶ νῦν ἴσως ποιήσουσιν ἅπερ καὶ πρότερον ἦσαν εἰθισμένοι, καὶ δημόται καὶ φίλοι κλαίοντες ἐξαιτήσονται αὐτοὺς παρ' ὑμῶν. (13) Ἐγὼ δ' οὕτως ἀξιῶ γενέσθαι· εἰ μὲν ἀδι-179κεῖν τούτους μηδὲν νομίζουσιν, ἀποδείξαντας ὡς ψευδῆ τὰ κατηγορημένα, οὕτω πείθειν ὑμᾶς ἀποψηφίσασθαι· εἰ δὲ νομίσαντες ἀδικεῖν αἰτήσονται, δῆλον ὅτι τοῖς ἀδικοῦσιν εὐνούστεροί εἰσιν ἢ ὑμῖν τοῖς ἀδικουμένοις, ὥστ' οὐ χάριτος ἄξιοι τυχεῖν ἀλλὰ τιμωρίας, ὁπόταν ὑμεῖς δύνησθε. (14) Ἔτι δὲ τοὺς αὐτοὺς ἡγεῖσθαι χρὴ καὶ τῶν κατηγόρων σφόδρα δεήσεσθαι, νομίζοντας πολὺ ἂν θᾶττον παρ' ἡμῶν ὀλίγων ὄντων ταύτην τὴν χάριν λαμβάνειν ἢ παρ' ὑμῶν, ἔτι δὲ ῥᾷον ἄλλους τινὰς τὰ ὑμέτερα καταχαρίζεσθαι ἢ ὑμᾶς αὐτούς γε. (15) Ἡμεῖς μὲν τοίνυν οὐκ ἠθελήσαμεν προδοῦναι, ἀξιοῦμεν δὲ μηδ' ὑμᾶς, ἐνθυμουμένους ὅτι σφόδρ' ἂν ἡμῖν ὠργίζεσθε καὶ ἐτιμωρεῖσθε, ὅπου παρεπίπτομεν, ὡς εἰκὸς τοὺς ἀδικοῦντας, εἰ ἡμεῖς παρὰ τούτων ἢ χρήματα λαβόντες ἢ ἄλλῳ τινὶ τρόπῳ διηλλάγημεν. Καίτοι εἰ τοῖς μὴ δικαίως ἐπεξιοῦσιν ὀργίζεσθε, ἦ που σφόδρα χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας τιμωρεῖσθαι. (16) Νῦν τοίνυν, ὦ ἄνδρες δικασταί, καταψηφισάμενοι Ἐπικράτους τῶν ἐσχάτων τιμήσατε, καὶ μή, ὥσπερ ἐν τῷ τέως χρόνῳ εἰθισμένοι ἐστέ, ἐπειδὰν καταψηφισάμενοι ἐξελέγξητε τοὺς ἀδικοῦντας, ἐν τῷ τιμήματι ἀζημίους ἀφίετε, ἔχθραν, οὐ δίκην παρὰ τῶν ἀδικούντων λαμβάνοντες, ὥσπερ τοῦ ὀνείδους, ἀλλ' οὐ τῆς ζημίας αὐτοῖς μέλον, εὖ εἰδότες ὅτι

supplicio affeceritis, eos injudicatos periisse, sed meritas pœnas subiisse. Non enim ii injudicati haberi possunt, quorum flagitiis compertis, vos fertis sententiam, sed qui ab inimicis infamati de rebus quas non novistis, ad causam dicendam non admittantur. Istos vero ipsæ res gestæ accusant, nos duntaxat testimonium dicimus. (9) Neque id vereor ne, si istos audiatis, absolvatis; verum opinor ipsos non satis justas pœnas subituros, si dicta causa condemnaveritis. Quomodo enim, judices, non juste punirentur quibus non idem quod vobis expedit? Isti quippe in bello ex egenis divites sunt facti ex vestris reditibus; vos autem propter istos, egeni. (10) At enim non hoc est optimorum populi ducum, in vestris calamitatibus vestra surripere, verum sua vobis impertire. Itaque in id recidimus, ut qui olim in pace se ipsos alere nequiverunt, nunc tributa vobis persolvant, choregias exerceant, amplas domos possideant. (11) Attamen erat ubi invideretis eis e vestro numero qui bonis patriis fruentes ita agerent; nunc ita comparata est respublica, ut non amplius ob ea quæ isti auferunt succenseatis, sed eorum quæ vos ab ipsis accipitis gratiam habeatis, quasi sua vobis largiantur, non vestra furentur. (12) Quod est autem omnium maxime prodigiosum, in privatis quidem rebus, ii qui læduntur ad lacrimas confugiunt et misericordiam captant; in publicis vero, ii sunt miserabiles qui injuriam fecerunt, et vos qui accepistis, misericordes. Et nunc fortasse idem facient quod et prius facere consueverunt demotæ et amici, ut suis lacrimis vestram iracundiam deprecentur. (13) Ego autem ita se rem habere oportere judico: si eos nihil quidquam mali perpetrasse autument, tunc commonstrantes falsa esse quæ objiciuntur, ita vos flectere conentur ad absolutionem: sin vobis supplicent rati eos deliquisse, manifestum est ipsos benevolentiores esse injuriam facientibus quam vobis patientibus: ita ut non gratiam, sed pœnam, quando penes vos erit, digni sint consequi. (14) Præterea eosdem existimare oportet accusatores impensius sollicitavisse, arbitratos multo citius a nobis qui pauci sumus, hanc gratiam se posse reportare, quam a vobis; tum autem facilius alios vestra condonaturos, quam vosmetipsos. (15) Noluimus nos causam prodere; et vos speramus idem facturos esse, existimaturosque quod nobis maxime succenseretis, atque etiam pœnas, quando in manus vestras incideremus, tanquam a sontibus sumeretis, si nos cum istis vel pecunia accepta, vel alio quovis modo, in gratiam reduceremur. Attamen si eis indignaremini qui litem non recte persequerentur, certe sontes ipsos gravissime punire decet. (16) Nunc igitur, judices, Epicratem condemnatum ultimo supplicio mulctate, neque, ut olim facere consuevistis, improbos judicio convictos, impunitos in ipsa litis æstimatione dimittatis, ab iis inimicitiam, non pœnam reportantes, quasi probrum, non pœna

ἐν μὲν τῇ ψήφῳ οὐδὲν ἄλλο ποιεῖτε ἢ ὀνειδίζετε τοῖς ἀδικοῦσιν, ἐν δὲ τῷ τιμήματι τιμωρεῖσθε τοὺς ἐξαμαρτάνοντας.

XXVIII.

ΚΑΤΑ ΕΡΓΟΚΛΕΟΥΣ ΕΠΙΛΟΓΟΣ.

Τὰ μὲν κατηγορημένα οὕτως ἐστὶ πολλὰ καὶ δεινά, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε οὐκ ἄν μοι δοκεῖ δύνασθαι Ἐργοκλῆς ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων αὐτῷ πολλάκις ἀποθανὼν δοῦναι δίκην ἀξίαν τῷ ὑμετέρῳ πλήθει. Καὶ γὰρ πόλεις προδεδωκὼς φαίνεται, καὶ προξένους καὶ πολίτας ὑμετέρους ᾑδικηκώς, καὶ ἐκ πένητος ἐκ τῶν ὑμετέρων πλούσιος γεγενημένος. (2) Καίτοι πῶς αὐτοῖς χρὴ συγγνώμην ἔχειν, ὅταν ὁρᾶτε τὰς μὲν ναῦς, ὧν ἦρχον οὗτοι, δι' ἀπορίαν χρημάτων καταλυομένας καὶ ἐκ πολλῶν ὀλίγας γινομένας, τούτους δὲ πένητας καὶ ἀπόρους ἐκπλεύσαντας οὕτω ταγέως πλείστην τῶν πολιτῶν οὐσίαν κεκτημένους; (3) Ὑμέτερον τοίνυν ἔργον ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τοῖς τοιούτοις ὀργίζεσθαι· καὶ γὰρ δὴ δεινὸν ἂν εἴη, εἰ νῦν μὲν οὕτως αὐτοὶ πιεζόμενοι ταῖς εἰσφοραῖς συγγνώμην τοῖς κλέπτουσι καὶ τοῖς δωροδοκοῦσιν ἔχοιτε, ἐν δὲ τῷ τέως χρόνῳ καὶ τῶν οἴκων τῶν ὑμετέρων μεγάλων ὄντων καὶ τῶν δημοσίων προσόδων μεγάλων οὐσῶν, θανάτῳ ἐκολάζετε τοὺς τῶν ὑμετέρων ἐπιθυμοῦντας. (4) Οἶμαι δ' ἔγωγε πάντας ὑμᾶς ὁμολογῆσαι, εἰ ὑμῖν Θρασύβουλος ἐπηγγέλλετο τριήρεις ἔχων ἐκπλεύσεσθαι καὶ ταύτας παλαιὰς ἀντὶ καινῶν παραδώσειν, καὶ τοὺς μὲν κινδύνους ὑμετέρους ἔσεσθαι, τὰς δ' ὠφελείας τῶν αὑτοῦ φίλων, καὶ ὑμᾶς μὲν διὰ τὰς εἰσφορὰς πενεστέρους ἀποδείξειν, Ἐργοκλέα δὲ καὶ τοὺς κόλακας τοὺς αὑτοῦ πλουσιωτάτους τῶν πολιτῶν ποιήσειν, οὐδένα ἂν ὑμῶν ἐπιτρέψαι τὰς ναῦς ἐκεῖνον ἔχοντα ἐκπλεῦσαι. (5) Ἄλλως τε καὶ ἐπειδὴ τάχιστα ὑμεῖς ἐψηφίσασθε τὰ χρήματα ἀπογράψαι τὰ ἐκ τῶν πόλεων εἰλημμένα καὶ τοὺς ἄρχοντας τοὺς μετ' ἐκείνου καταπλεῖν εὐθύνας δώσοντας, Ἐργοκλῆς ἔλεγεν ὡς ἤδη συκοφαντεῖτε καὶ τῶν ἀρχαίων νόμων ἐπιθυμεῖτε, καὶ Θρασυβούλῳ συνεβούλευε Βυ-
180 ζάντιον καταλαβεῖν καὶ τὰς ναῦς ἔχειν καὶ τὴν Σεύθου θυγατέρα γαμεῖν· (6) « ἵνα αὐτῶν ἐκκόψῃς, ἔφη, τὰς συκοφαντίας· ποιήσεις γὰρ αὐτοὺς οὐκ ἐπιβουλεύοντας σοὶ καθῆσθαι καὶ τοῖς σοῖς φίλοις, ἀλλὰ περὶ αὑτῶν δεδιέναι. » Οὕτως, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπειδὴ τάχιστα ἐνεπέπληντο καὶ τῶν ὑμετέρων ἀπέλαυσαν, ἀλλοτρίους τῆς πόλεως ἑαυτοὺς ἡγήσαντο. (7) Ἅμα γὰρ πλουτοῦσι καὶ ὑμᾶς μισοῦσι, καὶ οὐκέτι ὡς ἀρξόμενοι παρασκευάζονται, ἀλλ' ὡς ὑμῶν ἄρξοντες, καὶ δεδιότες ὑπὲρ ὧν ὑφήρηνται ἕτοιμοί εἰσι καὶ χωρία καταλαμβάνειν καὶ ὀλιγαρχίαν καθιστάναι καὶ πάντα πράττειν, ὅπως ὑμεῖς ἐν τοῖς δεινοτάτοις κινδύνοις καθ' ἑκάστην ἡμέραν ἔσεσθε· οὕτω γὰρ ἡγοῦνται οὐκέτι τοῖς σφετέροις αὐτῶν ἁμαρτήμασι τὸν νοῦν ὑμᾶς προσέξειν, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν καὶ

ipsis esset curæ : id tandem intelligatis vos in judicio nihil facere aliud quam sua facinorosis scelera exprobrare; at in mulcta irroganda vos punire delinquentes.

XXVIII.

CONTRA ERGOCLEM PERORATIO.

Tot et tanta sunt accusationis capita, Athenienses, ut mihi Ergocles non videatur, pro unoquoque delicto sæpius mortem subiens, dignas satis populo Atheniensi pœnas posse persolvere. Constat enim istum civitates prodidisse, vestrosque hospites et cives injuria affecisse, atque etiam ex egeno, direptis opibus vestris, factum esse divitem. (2) Verum quo pacto istis concedatis veniam, quum videatis classem, cui ipsi præfuerunt, pecuniarum inopia dissolvi, et ex magno navium numero ad paucitatem redigi; istos autem qui hinc enavigabant egeni et inopes, facultates tam celeriter longe in civitate amplissimas comparasse? (3) Vestrum igitur est, Athenienses, ob talia succensere. Indignum enim foret, si vos, qui olim, quum et patrimonia vestra ampla essent, et multa redirent ad civitatem, capite tamen eos plectebatis qui vestris opibus inhiabant, nunc tributis pressi eis veniam condonaretis qui vestra surripiunt et muneribus se corrumpi sinunt. (4) Equidem arbitror vos omnes confessuros esse, si jactasset Thrasybulus se cum triremibus exiturum, easque pro novis veteres reddilurum, et pericula vestra, at commoditates amicorum ipsius esse futuras, se vos tributis ad egestatem redacturum, Ergoclem vero et suos ipsius adulatores divitiis cumulaturum. neminem vestrûm permissurum fuisse, ut ille cum navibus vestris enavigaret, (5) præsertim quum, postquam vos decreveratis pecuniam describere quæ ex civitatibus esset accepta, et præfectos qui cum Thrasybulo enavigarant huc ad rationes reddendas reverti, Ergocles dixerit vos jam sycophantas agere, atque ad priscos mores redire, et Thrasybulo consilium dederit ut Byzantium occuparet, et classe retenta Seuthi filiam uxorem duceret : (6) « ut præcidas, aiebat, illorum sycophantias; sic enim efficies ut non tibi tuisque insidias struant domi desides, sed sibi ipsis timeant. » Ita, Athenienses, ubi primum saturati sunt, et vestris opibus perfruebantur, tunc se ipsos alienos a civitate existimabant. (7) Simul enim ditescunt et vos oderunt, neque jam se comparant ut pareant vobis, sed ut vobis imperent; et pro iis timentes quæ surripuere, parati sunt ad loca munita occupanda, ad oligarchiam constituendam, ad omnia denique exsequenda quo vos in summis periculis quotidie versemini. Ea enim ratione existimant futurum ut vos non amplius ad ipsorum flagitia animum advertere velitis, sed pro vobis-

τῆς πόλεως ὀρρωδοῦντας ἡσυχίαν πρὸς τούτους ἔξειν. (8) Θρασύβουλος μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, (οὐδὲν γὰρ δεῖ περὶ αὐτοῦ πλείω λέγειν) καλῶς ἐποίησεν οὕτω τελευτήσας τὸν βίον· οὐ γὰρ ἔδει αὐτὸν οὔτε ζῆν τοιούτοις ἔργοις ἐπιβουλεύοντα, οὔθ' ὑφ' ὑμῶν ἀποθανεῖν ἤδη τι δοκοῦντα ὑμᾶς ἀγαθὸν πεποιηκέναι, ἀλλὰ τοιούτῳ τρόπῳ τῆς πόλεως ἀπαλλαγῆναι. (9) Ὁρῶ δ' αὐτοὺς διὰ τὴν πρῴην ἐκκλησίαν οὐκέτι φειδομένους τῶν χρημάτων, ἀλλ' ὠνουμένους τὰς αὑτῶν ψυχὰς καὶ παρὰ τῶν λεγόντων καὶ παρὰ τῶν ἐχθρῶν καὶ παρὰ τῶν πρυτάνεων, καὶ πολλοὺς Ἀθηναίων ἀργυρίῳ διαφθείρειν. Ὑπὲρ ὧν ὑμῖν ἄξιόν ἐστιν ἀπολογήσασθαι παρὰ τούτου νῦν δίκην λαβοῦσι, καὶ πᾶσιν ἀνθρώποις ἐπιδεῖξαι ὅτι οὐκ ἔστι τοσαῦτα χρήματα, ὧν ὑμεῖς ἡττήσεσθε ὥστε μὴ τιμωρεῖσθαι τοὺς ἀδικοῦντας. (10) Ἐνθυμεῖσθε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι οὐκ Ἐργοκλῆς μόνος κρίνεται, ἀλλὰ καὶ ἡ πόλις ὅλη. Νυνὶ γὰρ τοῖς ἄρχουσι τοῖς ὑμετέροις ἐπιδείξετε πότερον χρὴ δικαίοις εἶναι, ἢ ὡς πλεῖστα τῶν ὑμετέρων ὑφελομένοις τῷ αὐτῷ τρόπῳ τὴν σωτηρίαν παρασκευάζεσθαι, ᾧπερ οὗτοι νυνὶ πειρῶνται. (11) Καίτοι εὖ εἰδέναι χρή, ὦ ἄνδρες δικασταί· ὅστις ἐν τοσαύτῃ ἀπορίᾳ τῶν ὑμετέρων πραγμάτων ἢ πόλεις προδίδωσιν ἢ χρήματα κλέπτειν ἢ δωροδοκεῖν ἀξιοῖ, οὗτος καὶ τὰ τείχη καὶ τὰς ναῦς τοῖς πολεμίοις παραδίδωσι καὶ ὀλιγαρχίαν ἐκ δημοκρατίας καθίστησιν· ὥστ' οὐκ ἄξιον ὑμῖν τῆς τούτων παρασκευῆς ἡττᾶσθαι, ἀλλὰ παράδειγμα πᾶσιν ἀνθρώποις ποιῆσαι καὶ μήτε κέρδος μήτε ἔλεον μήτ' ἄλλο μηδὲν περὶ πλείονος ποιήσασθαι τῆς τούτων τιμωρίας.

12. Οἶμαι δ' Ἐργοκλέα, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ μὲν Ἁλικαρνασσοῦ καὶ περὶ τῆς ἀρχῆς καὶ περὶ τῶν αὐτῷ πεπραγμένων οὐκ ἐπιχειρήσειν ἀπολογεῖσθαι, ἐρεῖν δ' ὡς ἀπὸ Φυλῆς κατῆλθε καὶ ὡς δημοτικός ἐστι καὶ ὡς τῶν κινδύνων τῶν ὑμετέρων μετέσχεν. Ἐγὼ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ τοιαύτην γνώμην ἔχω περὶ τῶν τοιούτων· (13) ἀλλ' ὅσοι μὲν ἐλευθερίας καὶ τοῦ δικαίου ἐπιθυμοῦντες καὶ τοὺς νόμους ἰσχύειν βουλόμενοι καὶ τοὺς ἀδικοῦντας μισοῦντες τῶν ὑμετέρων κινδύνων μετέσχον, οὐ πονηροὺς εἶναι πολίτας, οὐδὲ ἀδίκως τούτοις φημὶ ἂν εἶναι ὑπόλογον τὴν ἐκείνων φυγήν· ὅσοι δὲ κατελθόντες ἐν δημοκρατίᾳ τὸ μὲν ὑμέτερον πλῆθος ἀδικοῦσι, τοὺς δὲ ἰδίους οἴκους ἐκ τῶν ὑμετέρων μεγάλους ποιοῦσι, πολὺ μᾶλλον αὐτοῖς προσήκει ὀργίζεσθαι ἢ τοῖς τριάκοντα. (14) Οἱ μὲν γὰρ ἐπὶ τοῦτ' ἐχειροτονήθησαν, ἵνα κακῶς, εἴ πῃ δύναιντο, ὑμᾶς ποιήσαιεν· τούτοις δ' ὑμᾶς αὐτοὺς ἐπετρέψατε, ὡς μεγάλην καὶ ἐλευθέραν τὴν πόλιν ποιήσωσιν· ὧν ὑμῖν οὐδὲν ἀποβέβηκεν, ἀλλὰ τὸ ἐπὶ τούτοις εἶναι ἐν τοῖς δεινοτάτοις κινδύνοις καθεστήκατε, ὥστε πολὺ ἂν δικαιότερον ὑμᾶς αὐτοὺς ἢ τούτους ἐλεοῖτε, καὶ τοὺς ὑμετέρους παῖδας καὶ γυναῖκας, ὅτι ὑπὸ τοιούτων ἀνδρῶν λυμαίνεσθε. (15) Ὅταν γὰρ ἡγησώμεθα σωτηρίας ἀντειλῆφθαι, δεινότερα ὑπὸ τῶν ἡμετέρων ἀρχόντων πάσχομεν ἢ ὑπὸ τῶν πολεμίων. Καί-

metipsis et civitate formidantes, ab ipsis abstineatis. (8) Thrasybulus igitur, Athenienses, (neque enim necesse est plura de eo dicere) recte fecit talem vitæ exitum sortitus. Neque enim eum vivere decuit, quum tam nefaria consilia meditaretur; neque a vobis capite plecti, quum bene de vobis meruisse olim videretur: verum hoc modo conveniebat civitatem ab ipso liberari. (9) Istos autem video propter concionem nuper habitam muneribus non parcere, sed suas vitas redemptum ire ab oratoribus, ab inimicis et a prytanibus, atque Atheniensium plurimos pecunia corrumpere. Cujus flagitii suspicionem a vobis removere vos decet, ab isto nunc pœnas sumentes, omnibusque mortalibus palam facere, nullas opes esse tantas quibus victi facinorosis hominibus parcatis. (10) Cogitate enim, Athenienses, non de Ergocle solum, sed de tota civitate, judicium fieri. Jam enim vestris magistratibus ostendetis utrum ipsos oporteat justos esse, vel, vobis expilatis, eadem ratione salutem quærere qua isti nunc meditantur. (11) Atqui probe nosse vos oportet, judices, eum, qui in tantis rerum vestrarum angustiis, vel civitates prodiderit, vel pecunias subducere aut munera accipere sustinuerit, etiam mœnia et naves hostibus traditurum atque oligarchiam ex democratia constituturum esse. Vos igitur minime decet istorum fraudibus superari, at exemplo omnes mortales edocere, vos neque quæstum, neque gratiam, aut aliud quidpiam pluris facere, quam talium hominum supplicia.

12. Arbitror autem, Athenienses, Ergoclem de Halicarnasso, deque navium præfectura, deque rebus a se gestis, se purgare non esse conaturum; at dicturum duntaxat, se a Phyle rediisse, et esse populi studiosum, et vobiscum una pericula subiisse. Ego vero, Athenienses, de his non eadem sentio atque isti: (13) sed quicumque libertatis et justitiæ studiosi, quicumque eo consilio ut leges valere possent, et ex odio improborum hominum, vestra pericula participarunt, eos censeo non malos esse cives, nec injuria ipsorum exilii rationem esse habendam. Quicumque autem reversi, in democratia vexant populum, et privatas fortunas ex vestris adaugent, eis multo magis convenit succensere vos quam trigintaviris. (14) Illi enim ideo constituebantur ut, qua ratione possent, vos malo afficerent: istis autem vosmetipsos commisistis, ut magnam et liberam redderent civitatem. Quorum nihil contigit, sed quantum in ipsis fuit, in gravissima pericula incidistis. Quare multo esset æquius ut vestrûm ipsorum vos misereret, vestrorumque liberorum et conjugum, quam horum impurorum qui omni contumelia vos afficiunt. (15) Nam quando speravimus nos salutem fuisse consecutos, graviora a nostris ducibus patimur quam ab hostibus. Attamen omnes intelligitis

181 τοι πάντες ἐπίστασθε ὅτι οὐδεμία ἐλπὶς σωτηρίας ὑμῖν δυστυχήσασιν. Ὥστε ἄξιον ὑμᾶς παρακελευσαμένους ὑμῖν αὐτοῖς παρὰ τούτων νυνὶ τὴν μεγίστην δίκην λαβεῖν, καὶ τοῖς ἄλλοις Ἕλλησιν ἐπιδεῖξαι ὡς τοὺς ἀδικοῦντας τιμωρεῖσθε, καὶ τοὺς ὑμετέρους ἄρχοντας βελτίους ποιήσετε. (16) Ἐγὼ μὲν οὖν ταῦθ' ὑμῖν παρακελεύομαι· ὑμᾶς δὲ χρὴ εἰδέναι ὅτι, ἂν μὲν ἐμοὶ πεισθῆτε, εὖ περὶ αὐτῶν βουλεύσεσθε, εἰ δὲ μή, χείροσι τοῖς ἄλλοις πολίταις χρήσεσθε. Ἔτι δέ, ὦ ἄνδρες Ἀθηναῖοι, ἂν αὐτῶν ἀποψηφίσησθε, οὐδεμίαν ὑμῖν εἴσονται χάριν, ἀλλὰ τοῖς ἀνηλωμένοις καὶ τοῖς χρήμασιν οἷς ὑφῄρηνται· ὥστε τὴν μὲν ἔχθραν ὑμῖν αὐτοῖς καταλείψετε, τῆς δὲ σωτηρίας ἐκείνοις εἴσονται χάριν. (17) Καὶ μὲν δή, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Ἁλικαρνασσεῖς καὶ οἱ ἄλλοι οἱ ὑπὸ τούτων ἠδικημένοι, ἂν μὲν παρὰ τούτων τὴν μεγίστην δίκην λάβητε, νομιοῦσιν ὑπὸ τούτων μὲν ἀπολωλέναι, ὑμᾶς δὲ αὐτοῖς βεβοηθηκέναι· ἐὰν δὲ τούτους σώσητε, ἡγήσονται καὶ ὑμᾶς ὁμογνώμονας γεγονέναι τοῖς αὐτοὺς προδεδωκόσιν. Ὥστ' ἄξιον τούτων ἁπάντων ἐνθυμηθέντας ἅμα τοῖς φίλοις τοῖς ὑμετέροις ἀποδοῦναι χάριν καὶ παρὰ τῶν ἀδικούντων τὴν δίκην λαβεῖν.

quod in adversis rebus nulla vobis salutis spes reliqua esse possit. Quare decet ut vosmetipsos hortantes jam ab istis extremum sumatis supplicium, ceterisque Græcis commonstretis vos studere flagitiosos cives coercere, vestrosque duces emendare. (16) Hæc igitur ego vobis suadeo; vos autem scire oportet quod, si mihi auscultetis, de istis recte statuetis; sin minus, quod reliquos cives efficietis deteriores. Præterea vero, Athenienses, si istos absolvatis, nullam vobis habebunt gratiam, sed salutem ascribent pecuniis quas furto subreptas profudere : adeo ut inimicitias vobismetipsis reliqueritis, et isti salutem suis ipsorum divitiis acceptam retulerint. (17) Denique, Athenienses, tum Halicarnassenses tum alii qui ab istis injuriose accepti sunt, si istos ultimo mulctaveritis supplicio, existimabunt se ab istis quidem perditos fuisse, a vobis autem recreatos : quodsi eosdem foveritis, arbitrabuntur vos cum iis sensisse qui se prodiderunt. Convenit igitur, hæc omnia in memoria habentes, vos eadem opera et amicis vestris gratiam referre, et de facinorosis supplicium sumere.

XXIX.

ΚΑΤΑ ΦΙΛΟΚΡΑΤΟΥΣ ΕΠΙΛΟΓΟΣ.

Ὁ μὲν ἀγὼν οὗτος, ὦ ἄνδρες δικασταί, ἐρημότερος γεγένηται ἢ ἐγὼ προσεδόκων. Πολλοὶ γὰρ ἦσαν οἱ ἀπειλοῦντες καὶ οἱ φάσκοντες Φιλοκράτους κατηγορήσειν· ὧν οὐδεὶς νυνὶ φαίνεται. Ὃ κἀμοὶ δοκεῖ οὐδενὸς ἔλαττον εἶναι τεκμήριον τῆς ἀπογραφῆς ὅτι ἀληθὴς οὖσα τυγχάνει· εἰ γὰρ μὴ πολλὰ τῶν Ἐργοκλέους εἶχε χρημάτων, οὐκ ἂν οὕτως οἷός τ' ἦν ἀπαλλάξαι τοὺς κατηγόρους. (2) Ἐγὼ δέ, ὦ ἄνδρες δικασταί, πάντας ὑμᾶς ἡγοῦμαι εἰδέναι ὅτι Ἐργοκλέους διὰ τοῦτο ὑμεῖς θάνατον κατεχειροτονήσατε, ὅτι κακῶς διαθεὶς τὰ τῆς πόλεως πλέον ἢ τριάκοντα ταλάντων οὐσίαν ἐκτήσατο. Καὶ τούτων τῶν χρημάτων οὐδὲν ἐν τῇ πόλει φαίνεται. Καίτοι ποῖ χρὴ τραπέσθαι ἢ πῇ ζητῆσαι τὰ χρήματα; εἰ γὰρ παρὰ τοῖς κηδεσταῖς καὶ οἷς ἐκεῖνος οἰκειότατ' ἀνθρώπων ἐχρῆτο μὴ φανήσεται, χαλεπῶς παρὰ τοῖς ἐχθροῖς εὑρεθήσεται. (3) Τίνα δὲ Ἐργοκλῆς περὶ πλείονος Φιλοκράτους ἐποιεῖτο, ἢ πρὸς τίν' ἀνθρώπων διέκειτο οἰκειότερον; οὐ τῶν μὲν ὑμετέρων πωλητὴν αὐτὸν ἐξήγαγε, τῶν δ' αὑτοῦ χρημάτων ταμίαν ἐποίησε, καὶ τὸ τελευταῖον τριήραρχον αὐτὸν κατέστησε; (4) Καίτοι δεινὸν εἰ οἱ μὲν τὰς οὐσίας ἔχοντες ὀλοφυροῦνται τριηραρχοῦντες, οὗτος δὲ οὐδὲν πρότερον κεκτημένος ἐν ἐκείνῳ τῷ χρόνῳ ἐθελοντὴς ὑπέστη ταύτην τὴν λειτουργίαν. Οὐκοῦν δὴ οὐχ ὡς ζημιωθησόμενον αὐτὸν τριήραρχον κατέστησεν,

XXIX.

CONTRA PHILOCRATEM PERORATIO.

Hæc contentio, judices, longe est infrequentior quam ego exspectabam. Multi enim erant qui minitarentur et dicerent se Philocratem accusaturos; quorum nemo hodie apparet. Id quod mihi videtur nullo infirmius argumentum veram esse hanc delationem. Nam nisi ex Ergoclis pecuniis iste plurima intervertisset, non ita facile dimisisset accusatores. (2) Ego autem, judices, vos omnes scire arbitror, vos Ergoclem ideo capite damnasse, quod ex republica male administrata plus quam triginta talentorum sibi rem confecerat. Quarum pecuniarum nihil comparet in civitate. At quo vertemus nos, aut qua via ipsas investigabimus? Si enim apud affines, et eos quibus ille hominibus familiarissime utebatur, non appareant, ægre apud inimicos reperientur. (3) Quem autem Ergocles pluris fecit quam Philocratem? cuinam erat familiaritate conjunctior? nonne istum inter vestros cives præcipue selegit, quem suarum facultatum procuratorem efficeret, et postremo, præfectum triremis constituit? (4) Attamen hoc mirum accidit, si, quum fortunatiores illud munus ægre recipiant, iste antea pauperrimus, illo tempore lubens susceperit id oneris. Istum igitur ille triremis præfectum constituit, non ut incommodi aliquid, sed ut po-

ἀλλ' ὡς ὠφεληθησόμενον καὶ φυλάξοντα τὰ αὐτοῦ χρήματα, οὐκ ἔχων ὅτῳ χρὴ μᾶλλον τούτου πιστεῦσαι. (5) Ἡγοῦμαι δὲ, ὦ ἄνδρες δικασταί, Φιλοκράτει δύο εἶναι καὶ μόνας ἀπολογίας· προσήκειν γὰρ αὐτῷ ἀποδεῖξαι ἢ ἑτέρους ἔχοντας τὰ Ἐργοκλέους χρήματα, ἢ ἀδίκως ἀπολωλότα ἐκεῖνον καὶ οὐδὲν ὑφῃρημένον τῶν ὑμετέρων οὐδὲ δεδωροδοκηκότα. Εἰ δὲ τούτων μηδέτερον ποιήσει, δέδοκται καταψηφίζεσθαι, καὶ μὴ τοῖς μὲν παρὰ τῶν ἄλλων λαμβάνουσιν ὀργίζεσθαι, τοῖς δὲ τὰ ὑμέτερ' αὐτῶν ἔχουσι συγγνώμην ἔχειν.

182 6. Τίς δ' οὐκ οἶδεν Ἀθηναίων τρία τάλαντα παρ' Ἐργοκλέους μεσεγγυηθέντα τοῖς λέγουσιν, εἰ δύναιντο αὐτὸν σῶσαι καὶ μὴ κατηγορεῖν; οἳ ἐπειδὴ ἑώρων τὴν ὑμετέραν ὀργὴν τιμωρεῖσθαι βουλομένην, ἡσυχίαν ἦγον καὶ οὐκ ἐτόλμων σφᾶς αὐτοὺς φανεροὺς ποιῆσαι. Καὶ τὸ μὲν πρῶτον οὗτος οὐ κομιζόμενος παρ' αὐτῶν τὰ χρήματα μηνύειν ἔφη τῇ πόλει· (7) ἐπειδὴ δὲ καὶ ταῦτα ἀπείληφε καὶ τῶν ἄλλων τῶν ἐκείνου κύριος γεγένηται, εἰς τοῦτο τόλμης ἐλήλυθεν, ὥστε μάρτυρας πεπόρισται οἳ μαρτυρήσουσιν αὐτῷ ὡς ἦν ἔχθιστος ἁπάντων ἀνθρώπων Ἐργοκλεῖ. Καίτοι οἴεσθ' ἂν αὐτὸν, ὦ ἄνδρες δικασταί, εἰς τοῦτο μανίας ἀφικέσθαι, ὥστε Θρασυβούλου στρατηγοῦντος καὶ Ἐργοκλέους αὐτῷ διαφερομένου ἐθελοντὴν ὑποστῆναι τριήραρχον; Πῶς γὰρ ἂν θᾶττον ἀπώλετο, ἢ πῶς ἂν μᾶλλον ἐπηρεάζετο;

8. Περὶ μὲν οὖν τούτων ἱκανὰ τὰ εἰρημένα· ἐγὼ δ' ὑμᾶς ἀξιῶ ὑμῖν αὐτοῖς βοηθῆσαι, καὶ πολὺ μᾶλλον τοὺς ἀδικοῦντας τιμωρεῖσθαι ἢ τοὺς τὰ τῆς πόλεως ἔχοντας ἐλεεινοὺς ἡγεῖσθαι. Οὐδὲν γὰρ τῶν αὐτοῦ καταθήσει, ἀλλὰ τὰ ὑμέτερα ὑμῖν αὐτοῖς ἀποδώσει, καὶ πολλῷ πλείω αὐτῷ τούτων περιέσται. (9) Καὶ γὰρ ἂν καὶ δεινὸν εἴη, ὦ ἄνδρες δικασταί, εἰ τοῖς μὲν μὴ δυναμένοις τὰ σφέτερ' αὐτῶν εἰσφέρειν ὀργίζοισθε καὶ τὰς οὐσίας αὐτῶν ὡς ἀδικούντων δημεύοιτε, τοὺς δὲ τὰ ὑμέτερ' αὐτῶν ἔχοντας μὴ τιμωροῖσθε, ἀλλὰ τῶν τε χρημάτων ἀποστεροῖσθε καὶ τούτους χαλεπωτέρους ἐχθροὺς ἔχοιτε. (10) Ἕως γὰρ ἂν τὰ ὑμέτερα ἔχοντες σφίσιν αὐτοῖς ξυνειδῶσιν, οὐδέποτε ὑμῖν παύσονται κακονοοῦντες, νομίζοντες τὰς τῆς πόλεως δυστυχίας μόνας ἀπαλλαγὴν εἶναι τῶν πρὸς αὐτοὺς πραγμάτων.

11. Ἡγοῦμαι δ', ὦ ἄνδρες δικασταί, οὐ μόνον περὶ χρημάτων αὐτῷ προσήκειν ἀγωνίζεσθαι, ἀλλὰ καὶ περὶ τοῦ σώματος κινδυνεύειν. Καὶ γὰρ ἂν καὶ δεινὸν εἴη, εἰ οἱ μὲν τὰ τῶν ἰδιωτῶν ἀπολλύμενα τοῖς κλέπταις συνειδότες τοῖς αὐτοῖς ἐνέχοιντο, οὗτος δὲ τὰ τῆς πόλεως Ἐργοκλεῖ συνειδὼς κλέπτοντι καὶ ἐπὶ τοῖς ὑμετέροις δωροδοκοῦντι μὴ τῆς αὐτῆς τιμωρίας τυγχάνοι, ἀλλὰ ἆθλα λάβοι τὴν ὑπ' ἐκείνου καταλειφθεῖσαν οὐσίαν ἀντὶ τῆς αὐτοῦ πονηρίας. (12) Ἄξιοι δ' ὑμῖν εἰσιν ὀργῆς, ὦ ἄνδρες δικασταί. Οὗτοι γάρ, ὅτε Ἐργοκλῆς ἐκρίνετο, ἐν τῷ δήμῳ περιιόντες ἔλεγον ὡς πεντακόσιοι μὲν αὐτοῖς εἴησαν ἐκ τοῦ Πειραιῶς δεδεκασμένοι, ἑξακόσιοι δὲ καὶ χίλιοι ἐκ τοῦ ἄστεος· μᾶλλον δὲ προσεποιοῦντο πιστεύειν τοῖς χρήμασιν ἢ δεδιέναι τὰ αὐτῶν ἁμαρτή-

tius commodi importaturum, suasque pecunias administraturum diligentius, neminem scilicet reperiens cui majorem fidem adhiberet. (5) Existimo autem, judices, Philocrati duas relinqui duntaxat defensionis rationes : aut enim ipsi commonstrandum esse alios habere Ergoclis pecunias, aut illum per injuriam interiisse, nihilque de vestris surripuisse, nec muneribus fuisse corruptum. Quodsi horum neutrum fecerit, vobis ratum sit istum condemnare, neque eis quidem qui ab aliis aliquid accipiunt succenseatis, eis autem qui vestras res habent condonetis.

6. Quis vero ignorat Atheniensium, tria talenta ab Ergocle fuisse deposita apud aliquem danda oratoribus, si potuissent ipsum e periculo liberare, vel accusare noluissent? Qui postquam persenserunt indignationem vestram ad pœnas exposcendas esse paratissimam, destiterunt, neque ausi sunt se ipsos prodere. Et primum quidem Philocrates, pecunia a sequestro non restituta, minitabatur se omnem rem civitati denuntiaturum; (7) verum ubi et hanc receperat, et in cetera Ergoclis bona successerat, eo impudentiæ venit, ut compararit testes, qui testarentur ipsum fuisse ex omnibus mortalibus Ergocli inimicissimum. Attamen putetisne, judices, istum eousque fuisse insanum, ut, imperante Thrasybulo, atque Ergocle sibi infenso, sponte voluerit triremis præfecturam suscipere? Qua enim ratione sibi celerius perniciem comparare, aut insignius damnum sibi arcessere potuisset?

8. De his igitur ea quæ dicta sunt sufficiunt. Ego autem vos oro ut vobismetipsis opitulemini, multoque magis pœnas reposcatis a flagitiosis hominibus, quam eos censeatis miseratione dignos qui publicas interverterunt pecunias. Nihil enim iste de suis traditurus est, sed vobis vestra redditurus; quibus tamen longe plura ipsi superfutura sunt. (9) Indignum enim foret, judices, si, quum eis succenseatis qui ex privatis fortunis tributa publica persolvere nequeant, eorumque res familiares, tanquam delinquentium in vos, publicetis, eos dimiseritis impunitos qui pecuniam publicam retinent, ipsique vestris spoliemini fortunis, istisque gravioribus adhuc inimicis utamini. (10) Quamdiu enim sibi conscii fuerint pecuniæ vestræ direptæ, tamdiu infestum in vos animum habere non desistent; rati nimirum per solas civitatis calamitates se posse ab omni quæstione liberari.

11. Equidem arbitror, judices, oportere ut iste non modo in fortunarum, verum etiam in capitis discrimen adducatur. Neque enim tolerandum esset, si, quum ii qui furibus conscii sunt rei a privatis hominibus ablatæ, eodem reatu teneantur, iste vero Ergocli conscius facultates publicas intervertenti et in vestrum detrimentum muneribus corrumpi se sustinenti, non easdem pœnas daret, sed suæ improbitatis præmium auferret, fortunas ab illo relictas. (12) Philocles scilicet et ejus asseclæ vestram indignationem consequi merentur, judices : qui, quando Ergocles coram populo judicabatur, prædicantes circumirent quingentos viros ex Piræeo suis corruptos esse muneribus, et ex urbe mille et sexcentos, profiterenturque se majorem spem habere ex pecuniis quam metum ex deli-

ματα. (13) Ἐκεῖ μὲν οὖν ἐπεδείξατε αὐτοῖς, ἐὰν δὲ εὖ φρονῆτε, καὶ νυνὶ τοῦτο φανερὸν πᾶσιν ἀνθρώποις ποιήσετε, ὅτι οὐκ ἔστι τοσαῦτα χρήματα ἃ ὑμᾶς, οὓς ἂν λαμβάνητε ἀδικοῦντας, ἀποτρέψει τιμωρεῖσθαι, καὶ μηδεμίαν αὐτοῖς ἄδειαν δώσετε τὰ ὑμέτερα αὐτῶν διαρπάζουσι καὶ κλέπτουσιν. (14) Ἐγὼ μὲν οὖν ταῦτα ὑμῖν παραινῶ. Πάντες γὰρ ἐπίστασθε ὅτι Ἐργοκλῆς χρηματιούμενος, ἀλλ' οὐ πρὸς ὑμᾶς φιλοτιμησόμενος ἐξέπλευσε, καὶ οὐδεὶς ἄλλος ἔχει τὰ χρήματα ἢ οὗτος. Ἐὰν οὖν σωφρονῆτε, τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε.

ctis. (13) Istis igitur tunc significastis (et si sentiatis recte, nunc quoque omnibus facietis palam) non esse tantam pecuniam quæ vos possit avertere ab iis puniendis quos in flagitiis deprehendatis, nullamque vos impunitatem eis concessuros qui vestra diripiunt et furantur. (14) Hæc sunt quæ ego vobis suadeo. Omnes enim novistis Ergoclem sui emolumenti causa, non vestri honoris studio, enavigasse, et neminem alium præter hunc illius pecunias habere. Si igitur sapiatis, vestras ipsorum res recuperabitis.

XXX.

183 ΚΑΤΑ ΝΙΚΟΜΑΧΟΥ ΓΡΑΜΜΑΤΕΩΣ

ΕΥΘΥΝΩΝ ΚΑΤΗΓΟΡΙΑ.

Ἤδη, ὦ ἄνδρες δικασταί, τινὲς εἰς κρίσιν καταστάντες ἀδικεῖν μὲν ἔδοξαν, ἀποφαίνοντες δὲ τὰς τῶν προγόνων ἀρετὰς καὶ τὰς σφετέρας αὐτῶν εὐεργεσίας συγγνώμης ἔτυχον παρ' ὑμῶν. Ἐπειδὴ τοίνυν καὶ τῶν ἀπολογουμένων ἀποδέχεσθε, ἐάν τι ἀγαθὸν φαίνωνται τὴν πόλιν πεποιηκότες, ἀξιῶ καὶ τῶν κατηγόρων ὑμᾶς ἀκροάσασθαι, ἐὰν ἀποφαίνωσι τοὺς φεύγοντας πάλαι πονηροὺς ὄντας. (2) Ὅτι μὲν τοίνυν ὁ πατὴρ ὁ Νικομάχου δημόσιος ἦν, καὶ οἷα νέος ὢν οὗτος ἐπετήδευσε, καὶ ὅσα ἔτη γεγονὼς εἰς τοὺς φράτορας εἰσήχθη, πολὺ ἂν ἔργον εἴη λέγειν· ἐπειδὴ δὲ τῶν νόμων ἀναγραφεὺς ἐγένετο, τίς οὐκ οἶδεν οἷα τὴν πόλιν ἐλυμήνατο; προσταχθὲν γὰρ αὐτῷ τεσσάρων μηνῶν ἀναγράψαι τοὺς νόμους τοὺς Σόλωνος, ἀντὶ μὲν Σόλωνος αὑτὸν νομοθέτην κατέστησεν, ἀντὶ δὲ τεττάρων μηνῶν ἑξέτη τὴν ἀρχὴν ἐποιήσατο, καθ' ἑκάστην δὲ ἡμέραν ἀργύριον λαμβάνων τοὺς μὲν ἐνέγραφε, τοὺς δὲ ἐξήλειφεν. (3) Εἰς τοῦτο δὲ κατέστημεν ὥστε ἐκ τῆς τούτου χειρὸς ταμιευόμεθα τοὺς νόμους· καὶ οἱ ἀντίδικοι ἐπὶ τοῖς δικαστηρίοις ἐναντίους παρείχοντο, ἀμφότεροι παρὰ Νικομάχου φάσκοντες εἰληφέναι. Ἐπιβαλλόντων δὲ τῶν ἀρχόντων ἐπιβολὰς καὶ εἰσαγόντων εἰς τὸ δικαστήριον οὐκ ἠθέλησε παραδοῦναι τοὺς νόμους· ἀλλὰ πρότερον ἡ πόλις εἰς τὰς μεγίστας συμφορὰς κατέστη, πρὶν τοῦτον ἀπαλλαγῆναι τῆς ἀρχῆς καὶ τῶν πεπραγμένων εὐθύνας ὑποσχεῖν. (4) Καὶ γάρ τοι, ὦ ἄνδρες δικασταί, ἐπειδὴ ἐκείνων δίκην οὐ δέδωκεν, ὁποίαν καὶ νῦν τὴν ἀρχὴν κατεστήσατο; ὅστις πρῶτον μὲν τέτταρα ἔτη ἀνέγραψεν, ἐξὸν αὐτῷ τριάκοντα ἡμερῶν ἀπαλλαγῆναι· ἔπειτα διωρισμένον ἐξ ὧν ἔδει ἀναγράφειν, αὑτὸν ἁπάντων κύριον ἐποιήσατο, καὶ ὅσα.... διαχειρίσας μόνος οὗτος τῶν ἀρξάντων εὐθύνας οὐκ ἔδωκεν, (5) ἀλλ' οἱ μὲν ἄλλοι τῆς αὑτῶν ἀρχῆς κατὰ πρυτανείαν λόγον ἀναφέρουσι, σὺ δέ, ὦ Νικόμαχε, οὐδὲ τεττάρων ἐτῶν ἠξίωσας ἐγγράψαι, ἀλλὰ μόνῳ σοὶ τῶν πολιτῶν ἐξεῖναι νομίζεις ἄρχειν πολὺν χρόνον, καὶ μήτε εὐθύνας διδόναι μήτε τοῖς ψηφίσμασι πείθεσθαι μήτε τῶν νόμων φροντίζειν, ἀλλὰ τὰ μὲν ἐγ-

XXX.

ADVERSUS NICOMACHUM SCRIBAM,

RATIONUM NON REDDITARUM ACCUSATIO.

Haud raro evenit, judices, ut in jus vocati quum visi essent peccasse, commemoratis majorum virtutibus suisque bene meritis, veniam tamen a vobis consecuti sint. Quod igitur reos benigne auditis, si quid de republica vestra bene meruisse videantur, æquum esse arbitror ut accusatores etiam auscultetis, si veterem reorum improbitatem possint commonstrare. (2) Quod igitur Nicomachi pater servus fuerit publicus, et hic ipse Nicomachus quibus in studiis adolescentiam contriverit, quotque jam annos natus in civium censum fuerit relatus, hæc enarrare operosum esset. Ubi vero ad leges describendas admotus fuit, quis ignorat quantis malis vexaverit rempublicam? Nam quum illi demandatum fuisset intra quattuor menses leges Solonis describere, ipse pro Solone se ipsum legislatorem constituit, et officium sexenne effecit. Singulis autem diebus pecunia accepta, leges alias inscripsit, alias delevit; (3) atque eo ventum est ut ex istius manu leges nobis depromptas haberemus, et disceptantes in judiciis contrarias proferrent, utrique affirmantes se a Nicomacho accepisse. Mulctas autem irrogantibus magistratibus, ipsumque trahentibus in judicium, leges tradere noluit; verum respublica prius in extremas redacta fuit angustias, quam iste discederet ab officio, rerumque gestarum rationes redderet. (4) Attamen, judices, quum illorum pœnas non dederit, qualem tandem etiam nunc sibi auctoritatem constituit? qui primum quattuor annos in describendo insumpsit, quum ipsi licuisset eo munere triginta diebus defungi; deinde quum præscriptum esset unde eæ fuissent describendæ, iste se omnium dominum et arbitrum effecit, et quum tot (*quot nemo alius*) administraverit solus ex omnibus qui magistratum gesserunt, non reddidit rationes. (5) Ac ceteri quidem sui magistratus unaquaque prytanide rationes referunt: tu vero, Nicomache, post quattuor annos non retulisti, sed tibi soli civium licere existimas per diutinum tempus magistratum gerere, neque rationes reddere, neque decretis populi auscultare, neque leges curare; sed alia scribis, alia deles,

γράφεις, τὰ δ' ἐξαλείφεις, καὶ εἰς τοῦτο ὕβρεως ἥκεις ὥστε σαυτοῦ νομίζεις εἶναι τὰ τῆς πόλεως, αὐτὸς δημόσιος ὤν. (6) Ὑμᾶς τοίνυν χρή, ὦ ἄνδρες δικασταί, ἀναμνησθέντας καὶ τῶν προγόνων τῶν Νικομάχου, οἵτινες ἦσαν, καὶ οὗτος ὡς ἀχαρίστως ὑμῖν προσενήνεκται παρανομήσας, κολάσαι αὐτόν, καὶ ἐπειδὴ ἑνὸς ἑκάστου δίκην οὐκ εἰλήφατε, νῦν ὑπὲρ ἁπάντων γε αὐτῶν τὴν τιμωρίαν ποιήσασθαι.

7. Ἴσως δέ, ὦ ἄνδρες δικασταί, ἐπειδὰν περὶ αὑτοῦ μηδὲν δύνηται ἀπολογεῖσθαι, ἐμὲ διαβάλλειν πειράσεται. Τότε δὲ περὶ τῶν ἐμῶν τούτῳ ἀξιῶ πιστεύειν ὑμᾶς, ὁπόταν ἀπολογίας ἐμοὶ δοθείσης μὴ δύνωμαι ψευδόμενον αὐτὸν ἐξελέγξαι. Ἐὰν δ' ἄρα ἐπιχειρῇ λέγειν ἅπερ ἐν τῇ βουλῇ, ὡς ἐγὼ τῶν τετρακοσίων ἐγενόμην, ἐνθυμεῖσθε· τούτων τοιαῦτα λεγόντων ἐκ τῶν τετρακοσίων πλεῖον ἢ χίλιοι γενήσονται· καὶ γὰρ τοὺς ἔτι παῖδας ὄντας ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ τοὺς ἀποδημοῦντας οἱ διαβάλλειν βουλόμενοι ταῦτα λοιδοροῦσιν. (8) Ἐγὼ δὲ οὕτω πολλοῦ ἐδέησα τῶν τετρακοσίων γενέσθαι, ὥστε οὐδὲ τῶν τρισχιλίων κατελέγην. Δεινὸν δέ μοι δοκεῖ εἶναι ὅτι, εἰ μὲν περὶ ἰδίων συμβολαίων ἀγωνιζόμενος οὕτω φανερῶς ἐξήλεγχον αὐτὸν ἀδικοῦντα, οὐδ' ἂν αὐτὸς ἠξίωσε τοιαῦτα ἀπολογούμενος
184 ἀποφεύγειν, νυνὶ δὲ περὶ τῶν τῆς πόλεως κρινόμενος οἰήσεται χρῆναι ἐμοῦ κατηγορῶν ὑμῖν μὴ δοῦναι δίκην.

9. Ἔτι δέ, οἶμαι, θαυμαστὸν νομίζω Νικόμαχον ἑτέροις ἀδικοῦσι μνησικακεῖν ἀξιοῦν, ὃν ἐγὼ ἐπιβουλεύσαντα τῷ πλήθει ἀποδείξω. Καί μου ἀκούσατε· δίκαιον γάρ, ὦ ἄνδρες δικασταί, περὶ τῶν τοιούτων ἀνθρώπων τὰς τοιαύτας κατηγορίας ἀποδέχεσθαι, οἵτινες τότε συγκαταλύσαντες τὸν δῆμον νυνὶ δημοτικοί φασιν εἶναι. (10) Ἐπειδὴ γὰρ ἀπολομένων τῶν νεῶν ἡ μετάστασις ἐπράττετο, Κλεοφῶν τὴν βουλὴν ἐλοιδόρει, φάσκων συνεστάναι καὶ οὐ τὰ βέλτιστα βουλεύειν τῇ πόλει. Σάτυρος δὲ Κηφισιεὺς βουλεύων ἔπεισε τὴν βουλὴν δήσαντας αὐτὸν παραδοῦναι δικαστηρίῳ. (11) Οἱ δὲ βουλόμενοι αὐτὸν ἀπολέσαι, δεδιότες μὴ οὐκ ἀποκτείνωσιν ἐν τῷ δικαστηρίῳ, πείθουσι Νικομαχίδην νόμον ἀποδεῖξαι ὡς χρὴ καὶ τὴν βουλὴν συνδικάζειν. Καὶ ὁ πάντων οὗτος πονηρότατος οὕτω φανερῶς συνεστασίασεν, ὥστε τῇ ἡμέρᾳ ᾗ ἡ κρίσις ἐγένετο ἀποδεῖξαι τὸν νόμον. (12) Κλεοφῶντος τοίνυν, ὦ ἄνδρες δικασταί, ἕτερα μὲν ἄν τις ἔχοι κατηγορῆσαι· τοῦτο δὲ παρὰ πάντων ὁμολογεῖται, ὅτι οἱ καταλύοντες τὸν δῆμον ἐκεῖνον ἐβούλοντο μάλιστα τῶν πολιτῶν ἐκποδὼν γενέσθαι, καὶ ὅτι Σάτυρος καὶ Χρέμων οἱ τῶν τριάκοντα γενόμενοι οὐχ ὑπὲρ ὑμῶν ὀργιζόμενοι Κλεοφῶντος κατηγόρουν, ἀλλ' ἵνα ἐκεῖνον ἀποκτείναντες αὐτοὶ ὑμᾶς κακῶς ποιῶσι. (13) Καὶ ταῦτα διεπράξαντο διὰ τὸν νόμον ὃν Νικόμαχος ἀπέδειξεν. Εἰκὸς τοίνυν, ὦ ἄνδρες δικασταί, ἐνθυμεῖσθαι καὶ ὁπόσοι ὑμῶν ἐνόμιζον Κλεοφῶντα κακὸν πολίτην εἶναι, ὅτι καὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ ἀποθανόντων ἴσως τις ἦν πονηρός, ἀλλ' ὅμως καὶ διὰ τοὺς τοιούτους ὠργίζεσθε τοῖς τριάκοντα, ὅτι οὐ τῶν ἀδικη-

eoque insolentiæ processisti ut arbitreris res civitatis tuas esse, quum ipse sis servus publicus. (6) Vos igitur oportet, judices, reputantes Nicomachi majores quales fuerint, et ipse quam ingrate vobiscum egerit contemptis legibus, oportet, inquam, hominem coercere; et, quum singulorum scelerum supplicium non sumpseritis, hodie universorum simul pœnas exposcere.

7. Fortasse autem, judices, quum pro se ipso nihil respondere poterit, me calumniari conabitur. Ego vero de meis rationibus tunc vos isti fidem adhibere postulo, ubi defensionis vice ad me delata, istius mendacia refellere non potuerim. Quodsi ea conetur dicere quæ in senatu dixit, me scilicet in numero fuisse quadringentorum virorum, reputate quod ex sermonibus talia dicentium, pro quadringentis plus quam mille exstiterint. Eos enim qui pueruli tunc aut peregre profecti erant, homines calumniandi studiosi in eam criminationem adducunt. (8) At tantum abfuit ut in numero quadringentorum essem, ut neque inter quinque millia accenserer. Mihi autem absurdum videtur esse quod is qui, si in privata causa ipsum tam manifesto reum peregissem, non sperasset tali defensione usus evadere; nunc in causa publica existimet oportere ut me calumniando ipse pœnas non solvat.

9. Præterea mirum esse arbitror Nicomachum postulare ut erga alios præteritorum delictorum memoriam servetis, quem egomet demonstrabo populo Atheniensi fuisse insidiatum. Mihi velim auscultetis, judices; siquidem æquum sit de hujusmodi hominibus hujusmodi accusationes admittere, qui, quum olim popularem statum everterint, jam populares se profitentur. (10) Nam ubi classe profligata agitabantur res novæ, Cleophon senatui conviciabatur, illum affirmans, facta conjuratione, non ea consulere quæ reipublicæ essent salutaria. Satyrus vero Cephisiensis, qui ex senatu erat, senatoribus persuasit ut istum in vincula conjectum judicibus traderent. (11) Illi qui mortem ejus expetebant, veriti ne eum judices non interficerent, suadent Nicomacho ut legem proferret juxta quam oporteret senatum una judicare. Atque iste omnium sceleratissimus adeo palam cum illis conjuravit, ut ipso judicii die protulerit legem. (12) Cleophonti quidem, judices, sunt alia quæ fortasse objici possunt; at illud omnes confitentur, quod popularis status eversores illum omnium civium maxime de medio tolli exoptabant, et præter hæc quod Satyrus et Chremon, qui ex trigintaviris erant, non vestrûm causa Cleophontem accusarunt, sed ut illo sublato ipsi vos possent labefactare : (13) quod effecerunt per legem quam protulit Nicomachus. Æquum est igitur, judices, ut unusquisque vestrûm qui existimabat Cleophontem fuisse civem improbum, secum reputet eorum qui in oligarchia perierunt, forsan nonneminem improbum fuisse : verumtamen etiam talium civium causa trigintaviris succen-

μάτων ἕνεκα, ἀλλὰ κατὰ στάσιν αὐτοὺς ἀπέκτειναν. (14) Ἐὰν οὖν πρὸς ταῦτα ἀπολογῆται, τοσοῦτον μέμνησθε, ὅτι ἐν τοιούτῳ καιρῷ τὸν νόμον ἀπέδειξεν ἐν ᾧ ἡ πολιτεία μεθίστατο, καὶ τούτοις χαριζόμενος οἳ τὸν δῆμον κατέλυσαν, καὶ ταύτην τὴν βουλὴν συνδικάζειν ἐποίησεν ἐν ᾗ Σάτυρος μὲν καὶ Χρέμων μέγιστον ἐδύναντο, Στρομβιχίδης δὲ καὶ Καλλιάδης καὶ ἕτεροι πολλοὶ καὶ καλοὶ κἀγαθοὶ τῶν πολιτῶν ἀπώλλυντο.

15. Καὶ περὶ τούτων οὐδένα ἂν ἐποιησάμην λόγον, εἰ μὴ ᾐσθανόμην αὐτὸν ὡς δημοτικὸν ὄντα πειράσεσθαι παρὰ τὸ δίκαιον σώζεσθαι, καὶ τῆς εὐνοίας τῆς εἰς τὸ πλῆθος τεκμηρίῳ χρησόμενον ὅτι ἔφυγεν. Ἐγὼ δὲ καὶ ἑτέρους ἂν ἔχοιμι ἐπιδεῖξαι τῶν συγκαταλυσάντων τὸν δῆμον τοὺς μὲν ἀποθανόντας, τοὺς δὲ φυγόντας τε καὶ οὐ μετασχόντας τῆς πολιτείας, ὥστε οὐδένα εἰκὸς αὐτῷ τούτου ὑπόλογον γενέσθαι. (16) Τοῦ μὲν γὰρ ὑμᾶς φυγεῖν μέρος τι καὶ οὗτος συνεβάλετο, τοῦ δὲ τοῦτον κατελθεῖν τὸ πλῆθος τὸ ὑμέτερον αἴτιον ἐγένετο. Ἔτι δὲ καὶ δεινόν, εἰ ὧν μὲν ἄκων ἔπαθε χάριν αὐτῷ εἴσεσθε, ὧν δ' ἑκὼν ἐξήμαρτε μηδεμίαν τιμωρίαν ποιήσεσθε.

17. Πυνθάνομαι δὲ αὐτὸν λέγειν ὡς ἀσεβῶ καταλύων τὰς θυσίας. Ἐγὼ δ' εἰ μὲν νόμους ἐτίθην περὶ τῆς ἀναγραφῆς, ἡγούμην ἂν ἐξεῖναι Νικομάχῳ τοιαῦτα εἰπεῖν περὶ ἐμοῦ· νῦν δὲ τοῖς κοινοῖς καὶ κειμένοις ἀξιῶ τοῦτον πείθεσθαι. Θαυμάζω δὲ εἰ μὴ ἐνθυμεῖται, ὅταν ἐμὲ φάσκῃ ἀσεβεῖν λέγοντα ὡς χρὴ θύειν τὰς θυσίας τὰς ἐκ τῶν κύρβεων καὶ τῶν στηλῶν κατὰ τὰς συγγραφάς, ὅτι καὶ τῆς πόλεως κατηγορεῖ· ταῦτα γὰρ ὑμεῖς ἐψηφίσασθε. Ἔπειτα εἰ ταῦτα νομίζεις δεινά, ἦπου σφόδρα ἐκείνους ἡγῇ ἀδικεῖν, οἳ τὰ ἐκ τῶν κύρβεων μόνον ἔθυον. (18) Καίτοι, ὦ ἄνδρες δικασταί, περὶ εὐσεβείας οὐ παρὰ Νικομάχου χρὴ μανθάνειν, ἀλλ' ἐκ τῶν γεγενημένων σκοπεῖν. Οἱ τοίνυν πρόγονοι τὰ ἐκ τῶν κύρβεων θύοντες μεγίστην καὶ εὐδαιμονεστάτην τῶν Ἑλληνίδων τὴν πόλιν παρέδωκαν, ὥστε ἄξιον ἡμῖν τὰς αὐτὰς ἐκείνοις θυσίας ποιεῖσθαι καὶ εἰ μηδὲν δι' ἄλλο, τῆς τύχης ἕνεκα τῆς ἐξ ἐκείνων τῶν ἱερῶν γε-185γενημένης. (19) Πῶς δ' ἄν τις εὐσεβέστερος γένοιτο ἐμοῦ, ὅστις ἀξιῶ πρῶτον μὲν κατὰ τὰ πάτρια θύειν, ἔπειτα ἃ μᾶλλον συμφέρει τῇ πόλει, ἔτι δὲ ἃ ὁ δῆμος ἐψηφίσατο καὶ δυνησόμεθα δαπανᾶν ἐκ τῶν προσιόντων χρημάτων; Σὺ δέ, ὦ Νικόμαχε, τούτων τἀναντία πεποίηκας· ἀναγράψας γὰρ πλείω τῶν προσταχθέντων αἴτιος γεγένησαι τὰ προσιόντα χρήματα εἰς ταῦτα μὲν ἀναλίσκεσθαι, ἐν δὲ ταῖς πατρίοις θυσίαις ἐπιλείπειν. (20) Αὐτίκα πέρυσιν ἱερὰ ἄθυτα τριῶν ταλάντων γεγένηται τῶν ἐν ταῖς κύρβεσι γεγραμμένων. Καὶ οὐχ οἷόν τε εἰπεῖν ὡς οὐχ ἱκανὰ εἶναι προσῆλθε τῇ πόλει· εἰ γὰρ οὗτος μὴ πλείω ἀνέγραψεν ἓξ ταλάντοις, εἰς τε τὰς θυσίας τὰς πατρίους ἂν ἐξήρκεσε καὶ τρία τάλαντα ἂν περιεγένετο τῇ πόλει. Περὶ δὲ τῶν εἰρημένων καὶ μάρτυρας ὑμῖν παρέξομαι.

setis, quod eos non ob ipsorum improbitatem, sed ex privatis dissidiis interimerunt. (14) Itaque si ad hæc respondere suscipiat, id duntaxat recordemini, istum in tali tempore protulisse legem in quo respublica inclinari cœpit, et ut iis gratificaretur qui democratiam everterunt, atque adeo illi senatui una cum legitimis judicibus judicandi potestatem conciliasse, in quo Satyrus et Chremon plurimum valebant, et a quo Strombichides, Calliades, aliique boni et strenui cives interempti sunt.

15. Et de his rebus nullum fecissem verbum, ni istum animadvertissem præter jus ex studio suo in populum salutem consequi velle, ejusque studii illud argumentum præbere quod in exilium profectus sit. At ego alios præterea proferre possim qui quamvis operam tyrannis ad evertendam remp. navarint, tamen partim trucidati, partim in exilium acti sint, a dominatioris certe consortio exclusi. Quare non decet istum ea defensione adjuvari. (16) Vestræ enim fugæ is suam contulit operam; ipsius autem reditûs populus solus auctor exstitit. Ad hæc, iniquum foret si eorum quæ invitus pertulit, isti habeatis gratiam; et quæ idem libens perpetravit, eorum pœnas non reposcatis.

17. Audio autem istum prædicare quod impietatis reus sim propter sacra abolita. Ego vero si leges tulissem de sumptibus in sacra faciendis, arbitrarer licuisse Nicomacho hæc in me effutire: nunc autem communibus et receptis legibus censeo eum debere obsequi. Ceterum miror istum non animadvertere, quum me impietatis insimulat propterea quod sacra ex cyrbibus et stelis definita, juxta præscripta literis consignata, facienda esse pronuntiem, quod simul universam civitatem insimulet: hæc enim vos ipsi decrevistis. Deinde, Nicomache, si hæc quæ postulo reprehendenda esse existimes, certe multo magis eos culpandos esse judicabis qui sacra secundum cyrbes solummodo fecerunt. (18) Attamen, judices, non a Nicomacho pietatem edicere nos oportet, sed factis de ea judicare. Majores nempe nostri sacra secundum cyrbes facientes, hanc civitatem totius Græciæ maximam et fortunatissimam nobis tradiderunt. Quare nos decet ut eadem sacra atque illi faciamus si non aliam ob causam, at ob fortunam tamen quæ illa sacrificia sequebatur. (19) Sed quomodo aliquis me magis pius esse possit? qui suadeo, primum sacra patrio more esse facienda; deinde ea quæ civitati maxime prosunt, tum ea quæ scivit populus, quorumque sumptus ex reditibus nostris possimus suppeditare. Tu autem, Nicomache, his omnia contraria fecisti. Nam quum in descriptione sacrorum plura facienda jusseris quam quæ erant imperata, effecisti ut, dum in his novis facultates nostræ absumerentur, ad avita peragenda nihil superesset. (20) Exempli causa, superiore anno sacra trium talentorum quæ inscribuntur in cyrbibus, infecta sunt. Neque id possit dici ad ea civitatis reditus non suffecisse. Nam nisi iste nova sacra descripsisset, in quæ sex talenta impendi debent, non modo reditus ad sacra patria suffecissent, sed etiam tria talenta superfuissent civitati. Atque horum quæ a me dicta sunt testes producam.

ΜΑΡΤΥΡΕΣ.

21. Ἐνθυμεῖσθε τοίνυν, ὦ ἄνδρες δικασταί, ὅτι, ὅταν μὲν κατὰ τὰς συγγραφὰς ποιῶμεν, ἅπαντα τὰ πάτρια θύεται, ἐπειδὰν δὲ κατὰ τὰς στήλας ἃς οὗτος ἀνέγραψε, πολλὰ τῶν ἱερῶν καταλύεται. Καίτοι οὗτος ὁ ἱερόσυλος περιτρέχει, λέγων ὡς εὐσέβειαν ἀλλ' οὐκ εὐτέλειαν ἀνέγραψε· καὶ εἰ μὴ ταῦτα ὑμῖν ἀρέσκει, ἐξαλείφειν κελεύει, καὶ ἐκ τούτων οἴεται πείθειν ὡς οὐδὲν ἀδικεῖ· ὃς ἐν δυοῖν μὲν ἐτοῖν πλείω ἤδη τοῦ δέοντος δώδεκα ταλάντοις ἀνάλωσε, παρ' ἕκαστον δὲ τὸν ἐνιαυτὸν ἐπεχείρησεν ἓξ ταλάντοις τὴν πόλιν ζημιῶσαι, (22) καὶ ταῦτα ὁρῶν αὐτὴν ἀποροῦσαν χρημάτων καὶ Λακεδαιμονίους μὲν ἀπειλοῦντας, ὅταν μὴ ἀποπέμψωμεν αὐτοῖς τὰ χρήματα, Βοιωτοὺς δὲ σῦλα ποιουμένους, ὅτι οὐ δυνάμεθα δύο τάλαντα ἀποδοῦναι, τοὺς δὲ νεωσοίκους καὶ τὰ τείχη περικαταρρέοντα, εἰδὼς δὲ ὅτι ἡ βουλὴ ἡ βουλεύουσα, ὅταν μὲν ἔχῃ ἱκανὰ χρήματα εἰς διοίκησιν, οὐδὲν ἐξαμαρτάνει, ὅταν δὲ εἰς ἀπορίαν καταστῇ, ἀναγκάζεται εἰσαγγελίας δέχεσθαι καὶ δημεύειν τὰ τῶν πολιτῶν καὶ τῶν ῥητόρων τοῖς πονηρότατα λέγουσι πείθεσθαι. (23) Χρὴ τοίνυν, ὦ ἄνδρες δικασταί, μὴ τοῖς βουλεύουσιν ἑκάστοτε ὀργίζεσθαι, ἀλλὰ τοῖς εἰς τοιαύτας ἀπορίας καθιστᾶσι τὴν πόλιν. Προσέχουσι τὸν νοῦν οἱ βουλόμενοι τὰ κοινὰ κλέπτειν, ὅπως Νικόμαχος ἀγωνιεῖται· οἷς ὑμεῖς, ἐὰν μὴ τοῦτον τιμωρήσησθε, πολλὴν ἄδειαν ποιήσετε· ἐὰν δὲ καταψηφισάμενοι τῶν ἐσχάτων αὐτῷ τιμήσητε, τῇ αὐτῇ ψήφῳ τούς τε ἄλλους βελτίους ποιήσετε καὶ παρὰ τούτου δίκην εἰληφότες ἔσεσθε. (24) Ἐπίστασθε δέ, ὦ ἄνδρες δικασταί, ὅτι παράδειγμα τοῖς ἄλλοις ἔσται μὴ τολμᾶν εἰς ὑμᾶς ἐξαμαρτάνειν οὐχ ὅταν τοὺς ἀδυνάτους εἰπεῖν κολάζητε, ἀλλ' ὅταν παρὰ τῶν δυναμένων λέγειν δίκην λαμβάνητε. Τίς οὖν τῶν ἐν τῇ πόλει ἐπιτηδειότερος Νικομάχου δοῦναι δίκην; τίς ἐλάττω τὴν πόλιν ἀγαθὰ πεποίηκεν ἢ πλείω ἠδίκηκεν; (25) ὃς καὶ τῶν ὁσίων καὶ τῶν ἱερῶν ἀναγραφεὺς γενόμενος εἰς ἀμφότερα ταῦτα ἡμάρτηκεν. Ἀναμνήσθητε δ' ὅτι πολλοὺς ἤδη τῶν πολιτῶν ἐπὶ κλοπῇ χρημάτων ἀπεκτείνατε. Καίτοι ἐκεῖνοι μὲν τοσοῦτον μόνον ὑμᾶς ἔβλαψαν ὅσον ἐν τῷ παρόντι, οὗτοι δ' ἐπὶ τῇ τῶν νόμων ἀναγραφῇ καὶ τῶν ἱερῶν δῶρα λαμβάνοντες εἰς ἅπαντα τὸν χρόνον τὴν πόλιν ζημιοῦσι.

26. Διὰ τί δ' ἄν τις ἀποψηφίσαιτο τούτου; πότερον ὡς ἀνδρὸς ἀγαθοῦ πρὸς τοὺς πολεμίους καὶ πολλαῖς μάχαις καὶ ναυμαχίαις παραγεγενημένου; ἀλλὰ ὅτε ὑμεῖς ἐκινδυνεύετε ἐκπλέοντες, οὗτος αὐτοῦ μένων τοὺς Σόλωνος νόμους ἐλυμαίνετο. Ἀλλ' ὅτι χρήματα δεδαπάνηκε καὶ πολλὰς εἰσφορὰς εἰσενήνοχεν; ἀλλ' οὐχ ὅπως ὑμῖν τῶν αὑτοῦ τι ἐπέδωκεν, ἀλλὰ τῶν ὑμετέρων πολλὰ ὑφῄρηται. (27) Ἀλλὰ διὰ τοὺς προγόνους; ἤδη γάρ τινες καὶ διὰ τοῦτο συγγνώμης ἔτυχον παρ' ὑμῶν. Ἀλλὰ τούτῳ γε προσήκει διὰ μὲν αὐτὸν τεθνάναι, διὰ δὲ τοὺς προγόνους πεπρᾶσθαι. Ἀλλ'

TESTES.

21. Cogitate igitur, judices, quod, quando juxta præscriptum populi sacra facimus, omnia sacrificia fiant a majoribus tradita; ubi autem ex cippis quos iste descripsit, plurimæ ex religionibus vestris aboleantur. Atqui obambulat iste sacrilegus, jactitans se pietatem, non parcimoniam, descripsisse; et si hæc displiceant quæ tulit, abolere jubet, atque exinde evincere arbitratur se nihil admisisse mali: qui uno biennio duodecim talentis majorem quam oportebat impensam fecit, et in singulos annos sex talentis civitatem fraudare conatus est; (22) idque quum sentiret eam pecuniis indigere, et Lacedæmonios nobis minitari ni constitutum æs solverimus, Bœotos prædas agere quod bina talenta reddere non possimus, navalia et muros collapsum ire; quum sentiret etiam senatum, qui pro tempore consederit, quum satis instructus sit pecunia ad usitatas largitiones, nihil delinquere; at ubi in angustias redactus fuerit, tunc cogi delationes admittere, fortunas civium publicare, et oratorum pessimis auscultare. (23) Oportet igitur, judices, non senatoribus uniuscujusque anni succensere, sed eis qui in has angustias civitatem adigunt: oportet cogitare quod ii qui publica furari meditantur, sollicite animadvertant qualis futura sit hodierna Nicomachi contentio. Quibus vos, nisi ab isto homine pœnas sumpseritis, plurimam concedetis peccandi licentiam. Sin autem condemnatum ultimis pœnis affeceritis, eadem sententia emendabitis ceteros, et de isto sumetis supplicium. (24) Jam hoc scitote, judices, istud insigne exemplum fore ne quis alius in vos peccare audeat, non quum rudes dicendi punietis, sed quum a disertis pœnas exposcetis. Quis igitur in urbe Nicomacho dignior qui puniatur? quis civitatem minus demeruit, quis graviter magis offendit? (25) qui scriba constitutus rerum civilium sacrarumque, in utrisque fidem fefellit. Recordemini, quæso, vos, multos jam cives ob furtum pecuniarum publicarum capite damnasse. Attamen illi in præsens tantum vos læserunt; hi autem in legibus et sacris describendis muneribus corrupti, in omnem ætatem rempublicam vulnerant.

26. Ecqua tandem de causa aliquis absolvat? utrumne quod adversus hostem se fortem virum præstitit, multisque prœliis terra marique interfuit? At quum vos ad magna discrimina enavigabatis, iste domi manens Solonis leges adulterabat. An quod fortunas in publicam utilitatem impendit, et tributa multa persolvit? At iste adeo non ex suis aliquid in vestrum emolumentum impertivit, ut ex vestris plurimum surripuerit. (27) Anne propter ipsius majores? nonnulli enim quandoque vel eo nomine veniam a vobis consecuti sunt. At istum oportet sui ipsius gratia occidi, majorum causa venumdari. An ideo quod, si ei hodie

186ώς, ἐὰν νῦν αὐτοῦ φείσησθε, αὖθις ἀποδώσει τὰς χάριτας; ὃς οὐδ' ὧν πρότερον μετέλαβε παρ' ὑμῶν ἀγαθῶν μέμνηται. Καίτοι ἀντὶ μὲν δούλου πολίτης γεγένηται, ἀντὶ δὲ πτωχοῦ πλούσιος, ἀντὶ δὲ ὑπογραμματέως νομοθέτης. (28) Ἃ καὶ ὑμῶν ἔχοι ἄν τις κατηγορῆσαι, ὅτι οἱ μὲν πρόγονοι νομοθέτας ᾑροῦντο Σόλωνα καὶ Θεμιστοκλέα καὶ Περικλέα, ἡγούμενοι τοιούτους ἔσεσθαι τοὺς νόμους οἷοί περ ἂν ὦσιν οἱ τιθέντες, ὑμεῖς δὲ Τισαμενὸν τὸν Μηχανίωνος καὶ Νικόμαχον καὶ ἑτέρους ἀνθρώπους ὑπογραμματέας· καὶ τὰς μὲν ἀρχὰς ὑπὸ τῶν τοιούτων ἡγεῖσθε διαφθείρεσθαι, αὐτοῖς δὲ τούτοις πιστεύετε. (29) Ὃ δὲ πάντων δεινότατον· ὑπογραμματεῦσαι μὲν οὐκ ἔξεστι δὶς τὸν αὐτὸν τῇ ἀρχῇ τῇ αὐτῇ, περὶ δὲ τῶν μεγίστων τοὺς αὐτοὺς ἐᾶτε πολὺν χρόνον κυρίους εἶναι. Καὶ τὸ τελευταῖον Νικόμαχον εἵλεσθε ἀναγράφειν τὰ πάτρια, ᾧ κατὰ πατέρα τῆς πόλεως οὐ προσήκει· (30) καὶ ὃν ἔδει ὑπὲρ τοῦ δήμου κρίνεσθαι, οὗτος τὸν δῆμον συγκαταλύσας φαίνεται. Νῦν τοίνυν ὑμῖν μεταμελησάτω τῶν πεπραγμένων, καὶ μὴ ὑπὸ τούτων ἀεὶ κακῶς πάσχοντες ἀνέχεσθε, μηδὲ ἰδίᾳ μὲν ὀνειδίζετε τοῖς ἀδικοῦσιν, ἐπειδὰν δ' ἐξῇ δίκην παρ' αὐτῶν λαμβάνειν, ἀποψηφίζεσθε.

31. Καὶ περὶ μὲν τούτων ἱκανά μοι τὰ εἰρημένα· περὶ δὲ τῶν ἐξαιτησομένων βραχέα πρὸς ὑμᾶς εἰπεῖν βούλομαι. Παρεσκευασμένοι τινές εἰσι καὶ τῶν φίλων καὶ τῶν τὰ τῆς πόλεως πραττόντων δεῖσθαι ὑπὲρ αὐτοῦ· ὧν ἐγὼ ἡγοῦμαι ἐνίοις προσήκειν ὑπὲρ τῶν ἑαυτοῖς πεπραγμένων ἀπολογεῖσθαι πολὺ μᾶλλον ἢ τοὺς ἀδικοῦντας σώζειν προαιρεῖσθαι. (32) Δεινὸν δέ μοι δοκεῖ εἶναι, ὦ ἄνδρες δικασταί, εἰ τούτου μὲν ἑνὸς ὄντος καὶ οὐδὲν ὑπὸ τῆς πόλεως ἠδικημένου οὐκ ἐπεχείρησαν δεῖσθαι ὡς χρὴ παύσασθαι εἰς ὑμᾶς ἐξαμαρτάνοντα, ὑμᾶς δὲ τοσούτους ὄντας καὶ ἠδικημένους ὑπὸ τούτου ζητήσουσιν ὡς οὐ χρὴ δίκην παρ' αὐτοῦ λαμβάνειν. (33) Χρὴ τοίνυν, ὥσπερ καὶ τούτους ὁρᾶτε προθύμως σώζοντας τοὺς φίλους, οὕτω καὶ ὑμᾶς τοὺς ἐχθροὺς τιμωρεῖσθαι, εὖ εἰδότας ὅτι τούτοις πρώτοις ἄνδρες ἀμείνους δόξετε εἶναι, ἐὰν παρὰ τῶν ἀδικούντων δίκην λαμβάνητε. Ἐνθυμεῖσθε δὲ ὅτι οὔτε Νικόμαχος οὔτε τῶν αἰτησομένων οὐδεὶς τοσαῦτα ἀγαθὰ πεποίηκε τὴν πόλιν, ὅσα οὗτος ἠδίκηκεν, ὥστε πολὺ μᾶλλον ὑμῖν προσήκει τιμωρεῖσθαι ἢ τούτοις βοηθεῖν. (34) Εὖ δ' εἰδέναι χρὴ τοὺς αὐτοὺς τούτους, ὅτι πολλὰ δεηθέντες τῶν κατηγόρων ἡμᾶς μὲν οὐδαμῶς ἔπεισαν, τὴν δὲ ὑμετέραν ψῆφον καταπειράσοντες εἰσεληλύθασιν εἰς τὸ δικαστήριον, καὶ ἐλπίζουσιν ὑμᾶς ἐξαπατήσαντες ἄδειαν εἰς τὸν λοιπὸν χρόνον λήψεσθαι τοῦ ποιεῖν ὅ τι ἂν βούλωνται. (35) Ἡμεῖς μὲν τοίνυν οὐκ ἠθελήσαμεν ὑπὸ τούτων ἀξιούμενοι πεισθῆναι, τὸ δὲ αὐτὸ τοῦτο παρακαλοῦμεν, μὴ πρὸ τῆς κρίσεως μισοπονηρεῖν, ἀλλ' ἐν τῇ κρίσει τιμωρεῖσθαι τοὺς τὴν ὑμετέραν νομοθεσίαν ἀφανίζοντας· οὕτω γὰρ ἐννόμως διοικηθήσεται τὰ κατὰ τὴν πολιτείαν ἅπαντα.

peperceritis, postmodum gratias erit relaturus? qui neque præteritorum beneficiorum memoriam ullam retinet. Et tamen pro servo civis factus est, pro paupere dives, pro scriba legislator. (28) Quod vobis etiam crimini dare aliquis possit; nam majores vestri legum latores elegerunt Solonem, Themistoclem et Periclem, arbitrati tales futuras esse leges, quales erant qui laturi essent: vos autem elegistis Tisamenum Mechanionis filium, et Nicomachum aliosque inferioris ordinis scribas; et magistratus vestros existimatis ab istis corrumpi, quibus ipsis tamen vos fiditis. (29) Jam quod est omnium gravissimum, quum duos continuos annos in eodem magistratu scribatus munere fungi non liceat, eosdem per diutinum tempus permittitis summam rerum gravissimarum auctoritatem habere. Postremum tandem Nicomachum elegistis ut patria instituta describeret, qui genere nihil civitatem attingit; (30) et quem oportuit judicari tanquam reum læsæ majestatis erga populum, eum constat populi potestatem evertentibus operam suam præstitisse. Vos igitur nunc tandem aliquando horum cœptorum pœniteat, neque ab omnibus pessimis pessime vos accipi patiamini, neque quibus sua scelera privatim exprobratis, eosdem, quum pœnas liceat ab ipsis sumere, impunitos dimittatis.

31. Ac de his quidem hactenus: de iis autem qui reum precando liberare studebunt pauca dicere volo. Parati nempe sunt et amicorum nonnulli, et eorum qui reipublicæ tractant negotia, pro isto supplicare; quorum aliquibus arbitror magis pro suis rebus gestis defensionem esse, quam aggrediendum nocentes viros servare. (32) Indignum sane mihi videtur, judices, si quum hunc unum, eumque a civitate nullo malo affectum, obtestari noluerint ut vos male tractare desinat, vobis autem tot numero, et ab eo injuriosa acceptis, persuadere nitantur quod pœnas ab eo repetere non oporteat. (33) Æquum est igitur, quemadmodum hos perspicitis alacri studio amicos ab exitio defendere, eodem animo vos inimicos persequi; intelligentes quod his primis viri meliores esse videbimini, quum a nefariis hominibus supplicium sumpseritis. Cogitate porro quod neque Nicomachus, neque eorum quisquam qui deprecaturus veniet, tantis beneficiis civitatem affecerit, quantis hic Nicomachus injuriis: ita ut multo magis ad vos pertineat pœnas ab hoc reposcere quam ad illos huic favere. (34) Porro scire vos oportet eos ipsos accusatoribus multum supplicasse, et quum nihil a nobis profecerint, in judicium venisse vestra suffragia tentaturos, atque id sperare, vobis in fraudem inductis, se impunitatem summamque licentiam in posterum adepturos. (35) Nos igitur noluimus horum precibus morem gerere; atque hinc hortamur ut nolitis ante judicium duntaxat improbitatem detestari, sed in ipso judicio eos coercere qui legum vestrarum rationes labefactant. Ita enim optime administrabitur respublica.

XXXI.

ΚΑΤΑ ΦΙΛΩΝΟΣ ΔΟΚΙΜΑΣΙΑΣ.

Ὤμην μέν, ὦ βουλή, οὐκ ἄν ποτ' εἰς τοῦτο τόλμης Φίλωνα ἀφικέσθαι, ὥστε ἐθελῆσαι ὡς ὑμᾶς ἐλθεῖν δοκιμασθησόμενον· ἐπειδὴ δὲ οὐχ ἕν τι μόνον ἀλλὰ πολλὰ τολμηρός ἐστιν, ἐγὼ δὲ ὀμόσας εἰσῆλθον εἰς τὸ βουλευτήριον τὰ βέλτιστα συμβουλεύσειν τῇ πόλει, (2) ἔνεστί τε ἐν τῷ ὅρκῳ ἀποφαίνειν εἴ τίς τινα οἶδε τῶν λαχόντων ἀνεπιτήδειον ὄντα βουλεύειν, ἐγὼ τὴν κατὰ τουτουὶ 187 Φίλωνος ποιήσομαι κατηγορίαν, οὐ μέντοι γε ἰδίαν ἔχθραν οὐδεμίαν μεταπορευόμενος, οὐδὲ τῷ δύνασθαι καὶ εἰωθέναι λέγειν ἐν ὑμῖν ἐπαρθείς, ἀλλὰ τῷ πλήθει τῶν ἁμαρτημάτων αὐτοῦ πιστεύων, καὶ τοῖς ὅρκοις οἷς ὤμοσα ἐμμένειν ἀξιῶν. (3) Γνώσεσθε μὲν οὖν ὅτι οὐκ ἀπὸ ἴσης παρασκευῆς ἐγώ τε τοῦτον ἐλέγξω οἷός ἐστι, καὶ οὗτος ἐπεχείρησε πονηρὸς εἶναι· ὅμως εἴ τι ἐγὼ ἐλλείποιμι τῷ λόγῳ τῆς κατηγορίας, οὐκ ἂν δίκαιος εἴη οὗτος διὰ τοῦτο ὠφεληθῆναι, ἀλλὰ μᾶλλον, ὅ τι ἱκανῶς διδάξαιμι, ἐκ τούτων ἀποδοκιμασθῆναι. (4) Ἐνδεῶς μὲν γὰρ διὰ τὴν ἀπειρίαν πάντων τῶν τούτῳ πεπραγμένων, ἱκανῶς δὲ διὰ τὴν περὶ αὐτὸν κακίαν εἰρηκὼς ἂν εἴην. Ἀξιῶ δὲ καὶ ὑμῶν οἵτινες δυνατώτεροι ἐμοῦ εἰσι, λόγῳ ἀποφῆναι μείζω ὄντα αὐτοῦ τὰ ἁμαρτήματα, καὶ ἐξ ὧν ἂν ἐγὼ ὑπολίπωμαι, πάλιν αὐτοὺς περὶ ὧν ἴσασι κατηγορῆσαι Φίλωνος· οὐ γὰρ ἐκ τῶν ὑπ' ἐμοῦ λεγομένων δεῖ ὑμᾶς περὶ αὐτοῦ ὁποῖός ἐστι σκέψασθαι. (5) Ἐγὼ γὰρ οὐκ ἄλλους τινάς φημι δίκαιον εἶναι βουλεύειν περὶ ἡμῶν, ἢ τοὺς πρὸς τῷ εἶναι πολίτας καὶ ἐπιθυμοῦντας τούτου. Τούτοις μὲν γὰρ μεγάλα τὰ διαφέροντά ἐστιν εὖ τε πράττειν τὴν πόλιν τήνδε καὶ ἀνεπιτηδείως διὰ τὸ ἀναγκαῖόν σφισιν αὐτοῖς ἡγεῖσθαι εἶναι μετέχειν τὸ μέρος τῶν δεινῶν, ὥσπερ καὶ τῶν ἀγαθῶν μετέχουσιν· (6) ὅσοι δὲ φύσει μὲν πολῖταί εἰσι, γνώμῃ δὲ χρῶνται ὡς πᾶσα γῆ πατρὶς αὐτοῖς ἐστιν ἐν ᾗ ἂν τὰ ἐπιτήδεια ἔχωσιν, οὗτοι δῆλοί εἰσιν ὅτι ἂν παρέντες τὸ τῆς πόλεως κοινὸν ἀγαθὸν ἐπὶ τὸ ἑαυτῶν ἴδιον κέρδος ἔλθοιεν διὰ τὸ μὴ τὴν πόλιν, ἀλλὰ τὴν οὐσίαν πατρίδα ἑαυτοῖς ἡγεῖσθαι. (7) Ἐγὼ τοίνυν ἀποφανῶ Φίλωνα τουτονὶ περὶ πλείονος ποιησάμενον τὴν ἰδίαν ἀσφάλειαν ἢ τὸν κοινὸν τῆς πόλεως κίνδυνον, καὶ ἡγησάμενον κρεῖττον εἶναι αὐτὸν ἀκινδύνως τὸν βίον διάγειν ἢ τὴν πόλιν σώζειν ὁμοίως τοῖς ἄλλοις πολίταις κινδυνεύοντα. (8) Οὗτος γάρ, ὦ βουλή, ὅτε ἡ συμφορὰ τῇ πόλει ἦν (ἧς ἐγώ, καθ' ὅσον ἀναγκάζομαι, κατὰ τοῦτο μέμνημαι), ἐκκεκηρυγμένος ἐκ τοῦ ἄστεος ὑπὸ τῶν τριάκοντα μετὰ τοῦ ἄλλου πλήθους τῶν πολιτῶν τέως μὲν ᾤκει ἐν ἀγρῷ, ἐπειδὴ δὲ οἱ ἀπὸ Φυλῆς κατῆλθον εἰς τὸν Πειραιᾶ, καὶ οὐ μόνον οἱ ἐκ τῶν ἀγρῶν, ἀλλὰ καὶ οἱ ἐκ τῆς ὑπερορίας οἱ μὲν εἰς τὸ ἄστυ, οἱ δ' εἰς τὸν Πειραιᾶ συνελέγοντο, καὶ καθ' ὅσον ἕκαστος οἷός τ' ἦν, κατὰ τοσοῦτον ἐβοήθει τῇ πατρίδι, τὰ ἐναντία ἅπασι τοῖς ἄλλοις πολίταις ἐποίησε· (9) συσκευασάμενος γὰρ τὰ ἑαυτοῦ

XXXI.

ADVERSUS PHILONEM DE PROBATIONE.

Nunquam existimavi, senatores, eo usque audaciæ processurum fuisse Philonem, ut vos adire sustineret senator approbandus. Verum quum non in una re tantum, sed in multis audaciam expromat suam; quum egomet juramento obstrictus in judicium venerim ut optima quæque reipublicæ darem consilia, (2) quumque ejus juramenti pars sit ut, si quis quem noverit eorum quos senatores elegit sors, indignum qui senatorio munere fungatur, ejus nomen deferat: ego hujusce Philonis accusationem suscipiam, non hinc tamen privatas aliquas injurias persequens, neque mea in dicendo aut facultate aut consuetudine fretus, sed istius delictorum multitudine confisus, et juramento quod suscepi stare confirmatus. (3) Intelligetis nimirum me non ex æquo apparatu descendere ad istius accusationem, et istum ad male agendum proruisse. Veruntamen si quid egomet in accusatione defecero, certe iste indignus est qui exinde utilitatem aliquam capiat; sed potius, si quid satis commonstravero, dignus fuerit qui reprobetur. (4) Minus enim copiose propter ignorantiam omnium ipsius delictorum, copiose satis propter ejusdem improbitatis magnitudinem, eloqui potuerim. Oro autem ut e vobis qui ea valent dicendi facultate ut melius quam ego majora Philonis delicta exponere queant, ea colligentes quæ ipse omisero, super iis quæ sciunt de integro istum accusent: siquidem non ex mea duntaxat oratione hominem qualis sit spectare vos oportet. (5) Equidem non alios de nobis consulere in senatorum numero oportere arbitror, quam eos qui, præterquam quod cives sint, esse etiam bona fide contendant. Horum enim maxime interest utrum bene agatur cum republica an secus, propterea quod videant sibi necessario calamitatum partem esse sustinendam, quemadmodum et felicitatis habent. (6) Qui enim sunt natura quidem cives, eo autem ingenio ut omnem civitatem, ubi ad victum necessaria sibi suppetant, patriam suam existiment, eos certum est omisso communi reipublicæ bono, ad privatum commodum festinaturos; propterea quod non civitatem, sed fortunas suas patriæ in loco habeant. (7) Ego igitur commonstrabo Philonem pluris fecisse propriam salutem quam commune reipublicæ periculum, atque habuisse satius ipsum sine periculo vitam transigere, quam rempublicam servare una cum ceteris civibus periclitantem. (8) Iste enim, senatores, quum reipublicæ calamitas incubuit (cujus eatenus meminero quatenus necesse habeam), a trigintaviris urbe publice ejectus, tantisper rure se continuit: ubi vero Phylenses in Piræeum descenderunt, et non solum ii qui in agris, verum etiam ii qui extra Atticæ fines habitabant, vel in urbem vel in Piræeum se contulere, et quantum quisque poterat, tantum reipublicæ subvenit, iste secus egit omnino atque omnes ceteri. (9) Rebus quippe convasatis, se proripuit extra

ἐνθάδε εἰς τὴν ὑπερορίαν ἐξῴκησε, καὶ ἐν Ὠρωπῷ μετοίκιον κατατιθεὶς ἐπὶ προστάτου ᾤκει, βουληθεὶς παρ' ἐκείνοις μετοικεῖν μᾶλλον ἢ μεθ' ἡμῶν πολίτης εἶναι. Οὐ τοίνυν οὐδ' ὥσπερ ἔνιοί τινες τῶν πολιτῶν μετεβάλοντο, ἐπειδὴ ἑώρων τοὺς ἀπὸ Φυλῆς ἐν οἷς ἔπραττον εὐτυχοῦντας, οὐδὲ τούτων τι τῶν εὐτυχημάτων ἠξίωσε μετασχεῖν, ἐπὶ κατειργασμένοις μᾶλλον ἐλθεῖν βουλόμενος ἢ συγκατελθεῖν κατεργασάμενός τι τῶν τῇ κοινῇ πολιτείᾳ συμφερόντων· οὐδ' ἦλθεν εἰς τὸν Πειραιᾶ, οὐδ' ἔστιν ὅπου ἑαυτὸν ὑμῖν τάξαι παρέσχε. (10) Καίτοι ὅστις εὐτυχοῦντας ὁρῶν ὑμᾶς ἐτόλμα προδιδόναι, τί ποτε ὡς μὴ βουλόμεθά γε πράττοντας ἐποίησεν ἄν; Ὅσοι μὲν τοίνυν διὰ συμφορὰς ἰδίας οὐ μετέσχον τῶν τότε γενομένων τῇ πόλει κινδύνων, συγγνώμης τινὸς ἄξιοί εἰσι τυχεῖν· οὐδενὶ γὰρ οὐδὲν ἑκούσιον δυστύχημα γίγνεται· (11) ὅσοι δὲ γνώμῃ τοῦτο ἔπραξαν, οὐδεμιᾶς συγγνώμης ἄξιοί εἰσιν· οὐ γὰρ διὰ δυστυχίαν, ἀλλὰ δι' ἐπιβουλὴν ἐποίησαν αὐτό. Καθέστηκε δέ τι ἔθος δίκαιον πᾶσιν ἀνθρώποις τῶν αὐτῶν ἀδικημάτων μάλιστα ὀργίζεσθαι τοῖς μάλιστα δυναμένοις μὴ ἀδικεῖν, τοῖς δὲ πένησιν ἢ ἀδυνάτοις τῷ σώματι συγγνώμην ἔχειν διὰ τὸ ἡγεῖσθαι ἄκοντας αὐτοὺς ἁμαρτάνειν. (12) Οὗτος τοίνυν οὐδεμιᾶς συγγνώμης ἄξιός ἐστι τυχεῖν· οὔτε γὰρ τῷ σώματι ἀδύνατος ἦν ταλαιπωρεῖν, ὡς καὶ ὑμεῖς ὁρᾶτε,
188 οὔτε τῇ οὐσίᾳ ἄπορος λειτουργεῖν, ὡς ἐγὼ ἀποδείξω. Ὅστις οὖν ὅσον δυνατὸς ἦν ὠφελεῖν, τοσοῦτον κακὸς ἦν, πῶς οὐκ ἂν εἰκότως ὑπὸ πάντων ὑμῶν μισοῖτο; (13) Ἀλλὰ μὴν οὐδ' ἀπεχθήσεσθέ γε τῶν πολιτῶν οὐδενὶ τοῦτον ἀποδοκιμάσαντες· οὐ γὰρ τοὺς ἑτέρους, ἀλλ' ἀμφοτέρους φανερός ἐστι προδούς, ὥστε μήτε τοῖς ἐν τῷ ἄστει γενομένοις φίλον προσήκειν εἶναι τοῦτον (οὐ γὰρ ἠξίωσεν ὡς αὐτοὺς ἐλθεῖν κινδυνεύοντας), μήτε τοῖς τὸν Πειραιᾶ καταλαβοῦσιν· οὐδὲ γὰρ τούτοις ἠθέλησε συγκατελθεῖν. Φησὶ δὲ καὶ ταῦτα καὶ αὐτὸς γενόμενος. (14) Εἰ μέντοι τι μέρος περίεστι τῶν πολιτῶν ὅ τι τῶν αὐτῶν μετέσχε τούτῳ πραγμάτων, μετ' ἐκείνων, ἐάν ποτε (ὃ μὴ γένοιτο) λάβωσι τὴν πόλιν, βουλεύειν ἀξιούτω.

Ὡς οὖν ᾤκει τε ἐν Ὠρωπῷ ἐπὶ προστάτου καὶ ἐκέκτητο ἱκανὴν οὐσίαν καὶ οὔτ' ἐν τῷ Πειραιεῖ οὔτ' ἐν τῷ ἄστει ἔθετο τὰ ὅπλα, ἵνα εἰδῆτε ὅτι ταῦτα πρῶτον ἀληθῆ λέγω, ἀκούσατε τῶν μαρτύρων.

ΜΑΡΤΥΡΕΣ.

15. Ὑπολείπεται τοίνυν αὐτῷ λέγειν ὡς τῷ μὲν σώματι δι' ἀσθένειάν τινα γενομένην ἀδύνατος κατέστη βοηθῆσαι εἰς τὸν Πειραιᾶ, ἀπὸ δὲ τῶν ὑπαρχόντων ἐπαγγειλάμενος αὐτὸς ἢ χρήματ' εἰσενεγκεῖν εἰς τὸ πλῆθος τὸ ὑμέτερον ἢ ὁπλίσαι τινὰς τῶν ἑαυτοῦ δημοτῶν, ὥσπερ καὶ ἄλλοι πολλοὶ τῶν πολιτῶν αὐτοὶ οὐ δυνάμενοι λειτουργεῖν τοῖς σώμασιν. (16) Ἵνα οὖν μὴ ἐγγένηται αὐτῷ ψευσαμένῳ ἐξαπατῆσαι, καὶ περὶ τούτων ἤδη σαφῶς ὑμῖν ἀποδείξω, ἐπειδὴ ὕστερον οὐκ ἐξέσται μοι παρελθόντι ἐνθάδ' ἐλέγχειν αὐτόν. Καί μοι κάλει αὐτὸν Διότιμον Ἀχαρνέα καὶ τοὺς αἱρεθέν-

Atticam, et Oropi mercede inquilini persoluta, sub patrono habitavit, maluitque cum illis inquilinus quam nobiscum civis esse. Neque præterea quorundam civium exemplo, qui, postquam exules secundiori fortuna uti animadvertebant, mentem mutarunt, vel horum successuum ullam habere partem voluit, cupiens magis confectis jam rebus accedere, quam una cum aliis reverti, postquam ea perpetrasset quæ reipublicæ salus postulabat, neque venit in Piræeum, neque locus ullus est in quo collocandi sui copiam vobis fecisset. (10) At vero qui in rebus secundis sustinuit nos deserere, quid eum in adversis facturum arbitremini? Quicumque igitur propter domesticas calamitates periculo in quo tunc versabatur civitas interesse non poterant, aliqua saltem venia digni sunt (nullus enim infortunium ultro arcessit); (11) qui autem consulto aberant, iis nullatenus ignosci debet; non enim per infortunium, sed ex industria peccavere. Jam autem æquum est et apud omnes obtinuit, ab iis hominibus pœnas reposcere maximas quibus maxime integrum erat non peccare, tenuioribus vero aut corpore invalidis ideo facile condonare, quia ipsos non sponte offendere arbitrantur. (12) Iste porro nullam veniam dignus est consequi; siquidem non dici potest ipsum corpore fuisse a laboribus alieno, uti vos quoque videtis, vel re ad sumptus faciendos parum idonea, ut ego docebo. Qui igitur quatenus prodesse potuit, eatenus malum civem se exhibuit, quo pacto hic non jure ab omnibus vobis odio habebitur? (13) At sane nemini civium ingratum eritis facturi, si istum hominem reprobaveritis, qui non alteram utram solummodo partem, sed utramque aperte deseruit: adeo ut amicus esse debeat neque eis qui in urbe remanserunt, quorum periculis se adjungere noluit; nec Piræensibus, quibuscum una redire non sustinuit. Et id ipse confitetur. (14) Quodsi ulla pars civium supersit quæ easdem cum illo rationes sit secuta, cum iis demum, si quando (quod deus avertat) rempublicam occupaverint, senatorio munere perfungi postulet.

Eum igitur Oropi sub patrono vixisse, remque satis magnam habere, et neque in Piræeo neque in urbe arma cepisse, ut intelligatis me hæc primo vera dicere, audite a testibus.

TESTES.

15. Ipsi igitur reliquum est dicere quod ob corporis infirmitatem Piræensibus se adjungere non potuerit, sed ex facultatibus suis in se susceperit vel pecuniam in populi utilitatem conferre, vel ex suis demotis aliquos armare, quemadmodum multi alii ex civibus fecerunt qui ipsi labores perferre non potuerint. (16) Ut igitur isti non liceat mendaciis vos decipere, de his quoque evidenter fidem faciam; quandoquidem mihi jam non concedetur iterum huc prodire hominem convicturus. Et mihi voca Dioti-

τας μετ' αὐτοῦ τοὺς δημότας ὁπλίσαι ἀπὸ τῶν εἰσενεχθέντων χρημάτων.

ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΠΕΡΙ ΔΙΟΤΙΜΟΝ.

17. Οὗτος τοίνυν οὐχ ὅπως ὠφελήσει τὴν πόλιν ἐν τοιούτῳ καιρῷ καὶ τοιαύτῃ καταστάσει διενοήθη, ἀλλ' ὅπως τι κερδανεῖ ἀπὸ τῶν ὑμετέρων συμφορῶν παρεσκευάσατο· ὁρμώμενος γὰρ ἐξ Ὠρωποῦ, τοτὲ μὲν αὐτὸς μόνος, τοτὲ δ' ἑτέροις ἡγούμενος οἷς τὰ ὑμέτερα δυστυχήματα εὐτυχήματα ἐγεγόνει, (18) περιιὼν κατὰ τοὺς ἀγροὺς καὶ ἐντυγχάνων τῶν πολιτῶν τοῖς πρεσβυτάτοις, οἳ κατέμειναν ἐν τοῖς δήμοις ὀλίγα μὲν τῶν ἐπιτηδείων ἔχοντες, ἀναγκαῖα δέ, εὖνοι μὲν ὄντες τῷ πλήθει, ἀδύνατοι δὲ ὑπὸ τῆς ἡλικίας βοηθεῖν, τούτους ἀφῃρεῖτο τὰ ὑπάρχοντα, περὶ πλείονος ποιούμενος αὐτὸς μικρὰ κερδαίνειν ἢ ἐκείνους μηδὲν ἀδικεῖν· οἳ νῦν αὐτὸν δι' αὐτὸ τοῦτο οὐχ οἷοί τέ εἰσιν ἐπεξελθεῖν ἅπαντες, δι' ὅπερ καὶ τότε ἀδύνατοι τῇ πόλει βοηθεῖν ἦσαν. (19) Οὐ μέντοι τοῦτόν γε χρὴ διὰ τὴν ἐκείνων ἀδυναμίαν δὶς ὠφεληθῆναι, τότε τ' ἀφελόμενον ἃ εἶχον, νῦν τε δοκιμασθέντα ὑφ' ὑμῶν· ἀλλὰ κἂν ὁστισοῦν παραγένηται τῶν ἀδικηθέντων, μέγα αὐτὸ ἡγήσασθε εἶναι, καὶ τοῦτον ὑπερμισήσατε, ὅστις ἐτόλμησεν, οἷς ἕτεροι διδόναι παρ' ἑαυτῶν τι προῃροῦντο διὰ τὴν ἀπορίαν οἰκτείραντες αὐτούς, τούτων ἀφαιρεῖσθαι τὰ ὑπάρχοντα. Κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

20. Οὐ τοίνυν ἔγωγε οἶδα ὅ τι ὑμᾶς διαφερόντως δεῖ γιγνώσκειν περὶ αὐτοῦ ἢ οἱ οἰκεῖοι γιγνώσκουσι· τοιαῦτα γάρ ἐστιν, ὥστ' εἰ καὶ μηδὲν αὐτῷ ἄλλο ἡμάρτητο, διὰ μόνα ταῦτα ἱκανὸν εἶναι ἀποδοκιμασθῆναι. Οἷα μὲν οὖν ζῶσα ἡ μήτηρ αὐτοῦ κατηγόρει, παρήσω· ἐξ ὧν δὲ τελευτῶσα τὸν βίον διεπράξατο τεκμαιρομένοις ῥᾴδιόν ἐστιν ὑμῖν γνῶναι ὁποῖός τις ἦν περὶ αὐτήν. (21) Ἐκείνη γὰρ τούτῳ μὲν ἠπίστησεν ἀποθανοῦσαν ἑαυτὴν ἐπιτρέψαι, Ἀντιφάνει δὲ οὐδὲν προσήκουσα πιστεύσασα ἔδωκεν εἰς τὴν ἑαυτῆς ταφὴν τρεῖς μνᾶς ἀργυρίου, παραλιποῦσα τοῦτον υἱὸν ὄντα ἑαυτῆς. Ἆρα δῆλον ὅτι εὖ ᾔδει αὐτὸν οὐδὲ διὰ τὸ προσήκειν αὐτῇ τὰ δέοντα ἂν ποιήσοντα; (22) Καίτοι εἰ μήτηρ, ἣ πέφυκε καὶ ἀδικουμένη ὑπὸ τῶν ἑαυτῆς παίδων μάλιστα ἀνέχεσθαι καὶ μηδ' ὠφελουμένη μεγάλα ἔχειν ἡγεῖσθαι διὰ τὸ εὐνοίᾳ μᾶλλον ἢ ἐλέγχῳ τὰ γιγνόμενα
189 δοκιμάζειν, ἐνόμιζε τοῦτον κἂν ἀπὸ τεθνεώσης φέρειν ἑαυτῆς, τί χρὴ ὑμᾶς περὶ αὐτοῦ διανοηθῆναι; (23) Ὅστις γὰρ περὶ τοὺς ἑαυτοῦ ἀναγκαίους τοιαῦτα ἁμαρτάνει ἁμαρτήματα, τί ἂν περί γε τοὺς ἀλλοτρίους ποιήσειεν; Ὡς οὖν καὶ ταῦτ' ἀληθῆ ἐστιν, ἀκούσατε αὐτοῦ τοῦ λαβόντος τὸ ἀργύριον καὶ θάψαντος αὐτήν.

ΜΑΡΤΥΣ.

24. Τί ἂν οὖν βουληθέντες ὑμεῖς τοῦτον δοκιμάσαιτε; πότερον ὡς οὐχ ἡμαρτηκότα; ἀλλὰ τὰ μέγιστα

mum Acharnensem, eosque qui cum illo electi sunt ad demotas armandos ex collatitia pecunia.

TESTIMONIA DIOTIMI ET COLLEGARUM.

17. Iste igitur in tali tempestate et in tali rerum fortuna, non ad civitatem adjuvandam animum adjecit, sed ita se comparavit ut ex vestris calamitatibus aliquid lucri auferret. Profectus enim Oropo, modo ipse solus, modo aliis comitantibus qui calamitates vestras felicitatem suam ducebant, (18) agros circumiens, civesque ætate provectissimos adortus, qui in domibus manserant, modicis, sed necessariis facultatibus, prædití, animo quidem in populum benevolo, at propter ætatem ad opem huic ferendam inhabiles, eos, inquam, bonis exuit, satius existimans ut ipse paululum lucri faceret, quam ut illos non læderet: qui nunc ob eam ipsam causam istum persequi omnes non possunt, ob quam tunc civitati suppetias ferre non potuerunt. (19) Atenim non par est ut iste ex illorum infirmitate duplicem reportaret commoditatem, nempe ut tunc res eorum abstulerit, atque nunc a vobis approbetur: verum si quisquam injuria ab ipso affectorum adfuerit, magnum id esse existimetis, eumque maximo odio habeatis qui eos spoliare sustinuit, quibus ceteri, misericordia propter inopiam commoti, de suis conferre decreverant. Mihi testes voca.

TESTES.

20. Equidem arbitror non debere vos aliter de eo statuere quam statuunt ejus propinquissimi. Talis enim fuit erga illos, ut, etiamsi nihil aliud fuisset ab eo peccatum, ob id solum reprobari deberet. Qualia igitur mater vivens ipsum incusabat, ea prætermittam: ex iis vero quæ fecit moritura, vobis conjectare facile est, qualem se iste in parentem præstiterit. (21) Ea quippe isti se mortuam committere noluit; verum Antiphani, cui non erat genere conjuncta, fidem adhibens, dedit ad sepulturam tres argenti minas, proprio filio præterito. Nonne igitur patet eam bene intellexisse, istum quantumvis intima necessitudine conjunctum ipsi justa non facturum? (22) Atqui si mater, quæ a liberis etiam injuriose habita, ita natura comparata est ut sufferre soleat, putetque, quum magna non accipiat, magna tamen se habere, propterea quod res ex benevolentia magis quam ex effectu perpendat; si illa, inquam, existimavit istum se vel mortuam compilaturum, qualem vos animum de isto eodem habere oportebit? (23) Quicumque enim talia audeat contra propinquissimos, quid audebit contra alienos? Ut autem constet hæc vera esse, ipsum hominem audite qui pecuniam accepit et mulierem sepelivit.

TESTIS.

24. Quo igitur animo istum approbabitis? anne quod nihil mali admiserit? Atqui maxima deliquit in patriam. Anne

περὶ τὴν πατρίδα ἠδίκηκεν. Ἀλλ' ὡς ἔσται βελτίων; τοιγάρτοι πρότερον βελτίων γενόμενος περὶ τὴν πόλιν ὕστερον βουλεύειν ἀξιούτω, φανερόν τι ἀγαθὸν ὥσπερ τότε κακὸν ποιήσας. Σωφρονέστερον γάρ ἐστιν ὕστερον πᾶσι τῶν ἔργων τὰς χάριτας ἀποδιδόναι· δεινὸν γὰρ ἔμοιγε δοκεῖ εἶναι, εἰ ἐξ ὧν μὲν ἤδη ἡμάρτηκε μηδέποτε τιμωρηθήσεται, ἐξ ὧν δὲ μέλλει εὖ ποιήσειν ἤδη τετιμήσεται. (25) Ἀλλ' ἄρα ἵνα βελτίους ὦσιν οἱ πολῖται ὁρῶντες ἅπαντας ὁμοίως τιμωμένους, διὰ τοῦτο δοκιμαστέον ἐστίν; ἀλλὰ κίνδυνος καὶ τοὺς χρηστούς, ἐὰν αἰσθάνωνται ὁμοίως τοὺς πονηροὺς τιμωμένους, παύσεσθαι τῶν χρηστῶν ἐπιτηδευμάτων, τῶν αὐτῶν ἡγουμένους εἶναι τούς τε κακοὺς τιμᾶν καὶ τῶν ἀγαθῶν ἀμνημονεῖν. (26) Ἄξιον δὲ καὶ τόδε ἐνθυμηθῆναι, ὅτι εἰ μέν τις φρούριόν τι προὔδωκεν ἢ ναῦν ἢ στρατόπεδόν τι, ἐν ᾧ μέρος τι ἐτύγχανε τῶν πολιτῶν ὄν, ταῖς ἐσχάταις ἂν ζημίαις ἐζημιοῦτο, οὗτος δὲ προδοὺς ὅλην τὴν πόλιν οὐχ ὅπως τιμωρηθήσεται παρασκευάζεται. Καίτοι δικαίως γ' ἂν ὅστις φανερῶς ὥσπερ οὗτος προὔδωκε τὴν ἐλευθερίαν, οὐ περὶ τοῦ βουλεύειν, ἀλλὰ περὶ τοῦ δουλεύειν καὶ τῆς μεγίστης ἀπορίας ἐκκλησιάζεται.

27. Ἀκούω δ' αὐτὸν λέγειν ὡς, εἴ τι ἦν ἀδίκημα τὸ μὴ παραγενέσθαι ἐν ἐκείνῳ τῷ καιρῷ, νόμος ἂν ἔκειτο περὶ αὐτοῦ διαρρήδην, ὥσπερ καὶ περὶ τῶν ἄλλων ἀδικημάτων. Οὐ γὰρ οἴεται ὑμᾶς γνώσεσθαι ὅτι διὰ τὸ μέγεθος τοῦ ἀδικήματος οὐδεὶς περὶ αὐτοῦ ἐγράφη νόμος. Τίς γὰρ ἄν ποτε ῥήτωρ ἐνεθυμήθη ἢ νομοθέτης ἤλπισεν ἁμαρτήσεσθαί τινα τῶν πολιτῶν τοσαύτην ἁμαρτίαν; (28) Οὐ γὰρ ἂν δήπου, εἰ μέν τις λίποι τὴν τάξιν μὴ αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης, ἀλλ' ἑτέρους εἰς τοῦτο καθιστάσης, ἐτέθη νόμος ὡς μεγάλα ἀδικοῦντος, εἰ δέ τις αὐτῆς τῆς πόλεως ἐν κινδύνῳ οὔσης λίποι τὴν πόλιν αὐτήν, οὐκ ἂν ἄρα ἐτέθη. Σφόδρα γ' ἄν, εἴ τις ᾠήθη τινὰ τῶν πολιτῶν ἁμαρτήσεσθαί τι τοιοῦτόν ποτε. (29) Τίς δ' οὐκ ἂν εἰκότως ἐπιτιμήσειεν ὑμῖν, εἰ τοὺς μετοίκους μέν, ὅτι οὐ κατὰ τὸ προσῆκον ἑαυτοῖς ἐβοήθησαν τῷ δήμῳ, ἐτιμήσατε ἀξίως τῆς πόλεως, τοῦτον δέ, ὅτι παρὰ τὸ προσῆκον ἑαυτῷ προὔδωκε τὴν πόλιν, μὴ κολάσετε, εἰ μή γε ἄλλῳ τινὶ μείζονι, τῇ γε παρούσῃ ἀτιμίᾳ; (30) Ἀναμνήσθητε δὲ δι' ὅ τι ποτὲ τοὺς ἀγαθοὺς ἄνδρας γινομένους περὶ τὴν πόλιν τιμᾶτε καὶ τοὺς κακοὺς ἀτιμάζετε. Ἐδείχθη γὰρ ἀμφότερα ταῦτα οὐ τῶν γεγενημένων μᾶλλόν τι ἕνεκα ἢ τῶν γενησομένων, ἵν' ἀγαθοὶ προθυμῶνται γίνεσθαι ἐκ παρασκευῆς, κακοὶ δὲ μηδὲ ἐξ ἑνὸς τρόπου ἐπιχειρῶσιν. (31) Ἔτι δὲ ἐνθυμήθητε ποίων ἂν ὑμῖν δοκεῖ οὗτος ὅρκων φροντίσαι, ὃς ἔργῳ τοὺς πατρῴους θεοὺς προὔδωκεν; ἢ πῶς ἂν χρηστόν τι βουλεῦσαι περὶ τῆς πολιτείας, ὃς οὐδὲ ἐλευθερῶσαι τὴν πατρίδα ἐβουλήθη; ἢ ποῖα ἂν ἀπόρρητα τηρῆσαι, ὃς οὐδὲ τὰ προειρημένα ποιῆσαι ἠξίωσε; Πῶς δ' εἰκός ἐστι τοῦτον, ὃς οὐδὲ τελευταῖος ἐπὶ τοὺς κινδύνους ἦλθε, πρότερον τῶν κατεργασαμένων καὶ οὕτω συντιμηθῆ-

quod melior fiet? Verumenimvero postquam melior factus fuerit erga civitatem, tunc munus senatorium affectet, notus ob benefacta sicut et prius ob malefacta innotescebat. Consultius est enim gratias post facta unicuique rependere. Nam mihi videtur esse iniquum, si ob ea quæ jam peccavit nunquam punietur, ob ea autem quæ aliquando bene facturus est jam nunc honoratur. (25) Sed anne ut ceteri cives meliores fiant, quum omnes viderint pariter honoratos, ideo iste approbandus est? At periculum est ne et boni cives, ubi viderint malos secum pariter honorari, de bonis suis rationibus remittant, arbitrati eorundem esse et malos honorare et bonorum oblivisci. (26) Quin et hoc quoque reputemus, quod, si quis prodidisset vel castellum vel navem vel castra, ubi ulla pars civium contineretur, is extrema omnia supplicia subiret: iste vero, etsi universam civitatem prodidit, non is est qui de pœna subeunda sit sollicitus. Attamen quicumque evidenter, ut iste, libertatem prodidit, is jure non de dignitate senatoria, sed de servitute summaque inopia periclitaretur.

27. Audio autem istum dicere quod, si nefas esset ejusmodi in tempore patriæ deesse, de ea re diserte lata fuisset lex, quemadmodum de ceteris maleficiis. Arbitratur enim vos nescire quod propter magnitudinem flagitii de hoc nulla sit lata lex. Nam quis aut orator cogitasset, aut legislator exspectasset, civium quenquam tale facinus admissurum? (28) Non enim profecto, si quis deseruerit ordinem, quum civitas non ipsa in periculo versetur, sed alios in periculum adducat, lata fuisset lex tanquam delicto gravi admisso; sin autem quis civitatem ipsam in periculo versantem deseruerit, tum lata non fuisset. Omnino fuisset lata, si quis potuisset exspectare tale facinus a quoquam civium admissum iri. (29) Jam quis vos non jure increparet si, quum inquilinos qui præter debitum populo opitulati sunt, honoraveritis ut rempublicam decebat; istum, quod præter officium civitatem prodiderit, non mulctetis, sin minus majori supplicio, at saltem eo dedecore de quo hic agitur? (30) Recordemini, quæso, quanam mente bonos cives honore, malos ignominia afficiatis. Utrumque enim institutum est non magis præteritorum gratia quam futurorum, ut nempe nostri dedita opera nitantur boni cives esse, mali nulla prorsus ratione esse conentur. (31) Ad hæc, cogitate cujusnam juramenti is videatur rationem habiturus, qui re ipsa patrios deos prodidit; vel quo pacto reipublicæ bene consulturus, qui patriam ne liberare quidem voluit; vel quænam arcana servaturus, qui ne diserte quidem enuntiata legibus facere suscepit. Qui vero decebit eum qui ne ultimus quidem venit ad pericula, in honoribus, iisque tantis, conferendis præhaberi iis ipsis, quorum

ναι; Σχέτλιον δ' ἂν εἴη, εἰ οὗτος μὲν ἅπαντας τοὺς πολίτας περὶ οὐδενὸς ἡγήσατο, ὑμεῖς δὲ τοῦτον ἕνα ὄντα μὴ ἀποδοκιμάσαιτε. (32) Ὁρῶ δέ τινας οἳ νῦν μὲν τούτῳ παρασκευάζονται βοηθεῖν καὶ δεῖσθαι ὑμῶν, ἐπειδὴ ἐμὲ οὐχ ἠδύναντο πεῖσαι· τότε δέ, ὅτε οἱ κίνδυνοι μὲν ὑμῖν καὶ οἱ μέγιστοι ἀγῶνες ἦσαν, τὰ δὲ ἆθλα αὐτὴ ἡ πολιτεία ἔκειτο, καὶ ἔδει οὐ μόνον περὶ τοῦ βουλεύειν ἀλλὰ καὶ περὶ τῆς ἐλευθερίας βουλεύεσθαι, τότε οὐκ ἐδέοντο αὐτοῦ βοηθῆσαι καὶ ὑμῖν καὶ κοινῇ τῇ πόλει, καὶ μὴ προδοῦναι μήτε τὴν πατρίδα μήτε τὴν βουλήν, ἧς νῦν ἀξιοῖ τυχεῖν οὐ μετὸν αὐτῷ, ἄλλων γε κατεργασαμένων. (33) Μόνος δή, ὦ βουλή, δικαίως οὐδ' ἂν ἀγανακτοίη μὴ τυχών· οὐ γὰρ ὑμεῖς νῦν αὐτὸν ἀτιμάζετε, ἀλλ' αὐτὸς αὑτὸν τότε ἀπεστέρησεν, ὅτε οὐκ ἠξίωσεν, ὥσπερ νῦν προθύμως κληρωσόμενος ἦλθε, καὶ τότε διαμαχόμενος περὶ αὐτῆς καταστῆναι μεθ' ὑμῶν.

34. Ἱκανά μοι νομίζω εἰρῆσθαι, καίτοι πολλά γε παραλιπών· ἀλλὰ πιστεύω ὑμᾶς καὶ ἄνευ τούτων αὐτοὺς τὰ συμφέροντα τῇ πόλει γνώσεσθαι. Οὐ γὰρ ἄλλοις τισὶν ὑμᾶς δεῖ περὶ τῶν ἀξίων ὄντων βουλεύειν τεκμηρίοις χρῆσθαι ἢ ὑμῖν αὐτοῖς, ὁποῖοί τινες ὄντες αὐτοὶ περὶ τὴν πόλιν ἐδοκιμάσθητε. Ἔστι γὰρ τὰ τούτου ἐπιτηδεύματα κοινὰ παραδείγματα καὶ πάσης δημοκρατίας ἀλλότρια.

XXXII.

ΚΑΤΑ ΔΙΟΓΕΙΤΟΝΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Διόδοτος, εἷς τῶν μετὰ Θρασύλου καταλεγέντων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μέλλων ἐκπλεῖν εἰς τὴν Ἀσίαν ἐπὶ Γλαυκίππου ἄρχοντος, ἔχων νήπια παιδία, διαθήκας ἐποιήσατο, καταλιπὼν αὐτοῖς ἐπίτροπον τὸν ἑαυτοῦ μὲν ἀδελφόν, Διογείτονα, τῶν δὲ παιδίων θεῖόν τε καὶ πάππον ἀπὸ μητρός. Αὐτὸς μὲν οὖν ἐν Ἐφέσῳ μαχόμενος ἀποθνήσκει· Διογείτων δὲ πᾶσαν τὴν οὐσίαν τῶν ὀρφανῶν διαχειρισάμενος, καὶ ἐκ πολλῶν πάνυ χρημάτων οὐδὲν ἀποδείξας, αὐτὸς ἔτι περιὼν κατηγορεῖται πρὸς ἑνὸς τῶν μειρακίων δοκιμασθέντος κακῆς ἐπιτροπῆς. Λέγει δὲ κατ' αὐτοῦ τὴν δίκην ὁ τῆς ἐκείνου μὲν θυγατριδῆς, τῶν δὲ μειρακίων ἀδελφῆς, ἀνήρ. Προὔλαβον δὲ τὴν ὑπόθεσιν ἵνα μᾶλλον γένηται καταφανές, εἰ μετρίᾳ καὶ προσηκούσῃ ἀρχῇ κέχρηται.

Εἰ μὲν μὴ μεγάλα ἦν, ὦ ἄνδρες δικασταί, τὰ διαφέροντα, οὐκ ἄν ποτε εἰς ὑμᾶς εἰσελθεῖν τούτους εἴασα, νομίζων αἴσχιστον εἶναι πρὸς τοὺς οἰκείους διαφέρεσθαι, εἰδώς τε ὅτι οὐ μόνον οἱ ἀδικοῦντες χείρους ὑμῖν εἶναι δοκοῦσιν, ἀλλὰ καὶ οἵτινες ἂν ἔλαττον ὑπὸ τῶν προσηκόντων ἔχοντες ἀνέχεσθαι μὴ δύνωνται· ἐπειδὴ μέντοι, ὦ ἄνδρες δικασταί, πολλῶν χρημάτων ἀπεστέρηνται καὶ πολλὰ καὶ δεινὰ πεπονθότες ὑφ' ὧν ἥκιστα ἐχρῆν ἐπ' ἐμὲ κηδεστὴν ὄντα κατέφυγον, ἀνάγκη μοι γεγένηται εἰπεῖν ὑπὲρ αὐτῶν. (2) Ἔχω δὲ τούτων μὲν ἀδελφήν, Διογείτονος δὲ θυγατριδῆν, καὶ πολλὰ δεηθεὶς

laboribus urbs servata est? Miserum sane esset si, quum iste universos cives nihili fecerit, vos istum, unus quum sit, non reprobaretis. (32) Quosdam autem video qui nunc huic patrocinari meditantur, vosque obsecrare, ubi me exorare nequiverunt; at tunc quum pericula vobis maximaque aderant certamina, quum ipsa reipublicæ administratio præmium erat in medio positum, et oportebat non de dignitate senatoria, sed de ipsa libertate capere consilium; tunc, inquam, istum non obsecrabant ut vobis et universæ reipublicæ patrocinaretur, ut nollet prodere nec patriam, nec senatum, cujus nunc præter jus et æquum communionem flagitat, quum alii eum in integrum restituerint. (33) Solus iste, senatores, non succensere debet si a senatu excludatur. Non enim vos nunc ipsum infamatis, sed ipse se tunc exclusit, quum ea alacritate qua nunc accessit sorte eligendus, tunc noluerit vobiscum una prœliari de senatu restituendo.

34. Sat dicta esse arbitror, tametsi multa prætermiserim; verum confido vos sine his quod reipublicæ utile est judicaturos. Non enim aliis argumentis vos uti decet quam vobismetipsis, ut cognoscatis quinam senatu sint digni; recordamini quali vos ipsi animo erga rempublicam quum essetis, in senatum cooptari meruistis. Hujus quidem Philonis studia communia (*nova?*) sunt exempla, et omni democratiæ adversaria.

XXXII.

CONTRA DIOGITONEM.

ARGUMENTUM.

Dionysius Hal. De Lysia : Diodotus unus de numero in bellum Peloponnesiacum sub Thrasyllo duce adlectorum, in Asiam archonte Glaucippo navigaturus, quum filios puerulos haberet, testamentum condidit, iisdemque tutorem assignavit Diogitonem, fratrem suum, puerorum avunculum et maternum avum. Ac Diodotus quidem Ephesi in pugna occubuit; Diogiton vero, quum omnia pupillorum bona administrasset et ex ampla fortuna nihil protulisset, ipse superstes adhuc ab uno puerorum qui virilem togam sumpserat, male administratæ tutelæ accusatur. Causam dicit contra ipsum puerorum sororis, ipsius e filia neptis, maritus. Argumentum ideo præmisi, ut evidentius appareret an convenienti aptoque exordio orator usus fuerit.

Nisi profecto, judices, magni momenti res essent de quibus controversia est, haudquaquam permisissem hosce pueros apud vos contendere, turpe esse existimans adversus affines et consanguineos in judicio disceptare, illudque sciens, vobis non solum deteriores videri eos qui injuriam faciunt, sed et eos qui detrimenti aliquid ab affinibus et propinquis habentes, id moderate ferre nequeant. Verumenimvero, judices, quum hi pueri ingenti pecunia fraudati sint, et magna et gravia a quibus minime oportuit passi, ad me affinem suum confugerint, necesse fuit ipsorum patrocinium dicendo suscipere. (2) Ego autem horum sororem, Diogitonis e fratre natam, in uxorem duxi. Ac primum quidem plurimis

ἀμφοτέρων, τὸ μὲν πρῶτον ἔπεισα αὐτοὺς τοῖς φίλοις ἐπιτρέψαι δίαιταν, περὶ πολλοῦ ποιούμενος τὰ τούτων πράγματα μηδένα τῶν ἄλλων εἰδέναι· ἐπεὶ δὲ ὁ Διογείτων ἃ φανερῶς ἔχων ἐξηλέγχετο, περὶ τούτων οὐδενὶ τῶν αὐτοῦ φίλων ἐτόλμα πείθεσθαι, ἀλλ' ἐβουλήθη καὶ φεύγειν δίκας καὶ μὴ οὔσας διώκειν καὶ ὑπομεῖναι τοὺς ἐσχάτους κινδύνους μᾶλλον ἢ τὰ δίκαια ποιήσας ἀπηλλάχθαι τῶν πρὸς τούτους ἐγκλημάτων, (3) ὑμῶν δέομαι, ἐὰν μὲν ἀποδείξω οὕτως αἰσχρῶς αὐτοὺς ἐπιτετροπευμένους ὑπὸ τοῦ πάππου ὡς οὐδεὶς πώποτε ὑπὸ τῶν οὐδὲν προσηκόντων ἐν τῇ πόλει, βοηθεῖν αὐτοῖς τὰ δίκαια, εἰ δὲ μή, τούτῳ μὲν ἅπαντα πιστεύειν, ἡμᾶς δὲ εἰς τὸν λοιπὸν χρόνον ἡγεῖσθαι χείρους εἶναι. Ἐξ ἀρχῆς δ' ὑμᾶς περὶ αὐτῶν διδάξαι πειράσομαι.

Ἄξιον δὲ καὶ τὴν διήγησιν ὡς ᾠκονόμηται καταμαθεῖν. Ἔχει δὲ οὕτως·

4. Ἀδελφοὶ ἦσαν, ὦ ἄνδρες δικασταί, Διόδοτος καὶ Διογείτων ὁμοπάτριοι καὶ ὁμομήτριοι, καὶ τὴν μὲν ἀφανῆ οὐσίαν ἐνείμαντο, τῆς δὲ φανερᾶς ἐκοινώνουν. Ἐργασαμένου δὲ Διοδότου κατ' ἐμπορίαν πολλὰ χρήματα, πείθει αὐτὸν λαβεῖν Διογείτων τὴν ἑαυτοῦ θυγατέρα, ἥπερ ἦν αὐτῷ μόνη· καὶ γίνονται αὐτῷ δύο υἱοὶ καὶ θυγάτηρ. (5) Χρόνῳ δὲ ὕστερον καταλεγεὶς Διόδοτος μετὰ Θρασύλου τοῦ ἐπὶ τῶν ὁπλιτῶν, καλέσας τὴν ἑαυτοῦ γυναῖκα, ἀδελφιδῆν οὖσαν, καὶ τὸν ἐκείνης μὲν πατέρα, αὑτοῦ δὲ κηδεστὴν καὶ ἀδελφὸν ὁμοπάτριον, πάππον δὲ τῶν παιδίων καὶ θεῖον, ἡγούμενος διὰ ταύτας τὰς ἀνάγκας οὐδενὶ μᾶλλον προσήκειν δικαίῳ περὶ τοὺς αὑτοῦ παῖδας ἐπιτρόπῳ γενέσθαι, διαθήκην αὐτῷ δίδωσι καὶ πέντε τάλαντα ἀργυρίου παρακαταθήκην· (6) ναυτικὰ δὲ ἐπέδειξεν ἐκδεδομένα ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, δισχιλίας δὲ ὀφειλομένας ἐν Χερρονήσῳ· ἐπέσκηψε δέ, ἐάν τι πάθῃ, τάλαντον μὲν ἐπιδοῦναι τῇ γυναικὶ καὶ τὰ ἐν τῷ δωματίῳ δοῦναι, τάλαντον δὲ τῇ θυγατρί. Κατέλιπε δὲ καὶ εἴκοσι μνᾶς τῇ γυναικὶ καὶ τριάκοντα στατῆρας Κυζικηνούς. (7) Ταῦτα δὲ πράξας καὶ οἴκοι ἀντίγραφα καταλιπὼν ᾤχετο στρατευσόμενος μετὰ Θρασύλου. Ἀποθανόντος δὲ ἐκείνου ἐν Ἐφέσῳ, Διογείτων τὴν μὲν θυγατέρα ἔκρυπτε τὸν θάνατον τοῦ ἀνδρός, καὶ τὰ γράμματα λαμβάνει ἃ κατέλιπε σεσημασμένα, φάσκων τὰ ναυτικὰ χρήματα δεῖν ἐκ τούτων τῶν γραμματείων κομίσασθαι. (8) Ἐπεὶ δὲ τῷ χρόνῳ ἐδήλωσε τὸν θάνατον αὐτοῖς καὶ ἐποίησαν τὰ νομιζόμενα, τὸν μὲν πρῶτον ἐνιαυτὸν ἐν Πειραιεῖ διῃτῶντο· ἅπαντα γὰρ αὐτοῦ κατελέλειπτο τὰ ἐπιτήδεια· ἐκείνων δὲ ἐπιλειπόντων τοὺς μὲν παῖδας εἰς ἄστυ ἀναπέμπει, τὴν δὲ μητέρα αὐτῶν ἐκδίδωσιν ἐπιδοὺς πεντακισχιλίας δραχμάς, χιλίαις ἔλαττον ὧν ὁ ἀνὴρ αὐτῇ ἔδωκεν. (9) Ὀγδόῳ δ' ἔτει δοκιμασθέντος μετὰ ταῦτα τοῦ πρεσβυτέρου τοῖν μειρακίοιν, καλέσας αὐτοὺς εἶπε Διογείτων ὅτι καταλίποι αὐτοῖς ὁ πατὴρ εἴκοσι μνᾶς ἀργυρίου καὶ τριάκοντα στατῆρας. « Ἐγὼ οὖν πολλὰ τῶν ἐμαυτοῦ δεδαπάνηκα

verbis suasi utrisque ut arbitris amicis rem committerent, permagni nempe interesse ratus horum negotia palam non divulgari. Quum vero de his quæ habere aperte convincitur, nihil amicis suis cedere Diogiton sustinuerit; sed quum lites fugere, exceptione pugnare, et ultimum potius discrimen subire voluerit, quam, æquitate observata, controversiis quas cum his habet liberari: (3) peto a vobis, ut, si clare ostendero neminem hactenus in urbe nostra tam fœde ab alienis habitum quam hos ab avo suo pupillos, his secundum jus succurratis; sin minus, isti ut in omnibus credatis, nosque ut nefarios in posterum habeatis. Porro ab initio rem omnem, ut se habet, edocere vos contendam.

Scire etiam operæ pretium est quomodo ille narrationem suam instituerit; quæ sic se habet:

4. Diodotus et Diogiton, judices, fratres erant ejusdem patris et matris: ac supellectilem quidem et res mobiles inter se diviserunt; iis vero quæ erant fundi communiter utebantur. Quum autem Diodotus, negotiatione facta, magnam sibi pecuniam comparasset, rogat eum Diogiton suam ut filiam, quam habebat unicam, in matrimonium capiat: ex qua dein illi filii duo et una filia procreati sunt. (5) Aliquo post tempore, quum Diodotus sub Thrasyllo, duce peditum, ad militiam adlectus esset, et uxorem suam quæ fratris erat filia, simul et uxoris patrem, suum germanum et affinem, liberorum suorum avum et patruum, ad se vocasset, ratus ob arctum hoc necessitudinis vinculum nemini se melius liberorum tutelam posse committere, testamentum huic in manus consignat, et quinque argenti talenta apud eum deponit. (6) Declaravit ad hæc talenta septem et quadraginta minas ad fœnus nauticum exposita, et bis mille drachmas sibi in Chersoneso debitas. Jussit quoque, si quid pateretur humanitus, unum uxori talentum dari, simul et domesticam supellectilem; filiæ quoque talentum reliquit, et viginti minas et triginta stateres Cyzicenos. (7) His peractis, et horum antigraphis domi relictis, cum Thrasyllo in militiam profectus est. Illo autem Ephesi mortuo, Diogiton filiam suam mariti mortem celavit, et testamenti tabellas, quas ille domi obsignatas reliquerat, arripuit, dicens se hisce e tabellis nauticas pecunias recuperare debere. (8) Quum vero matri et liberis mortem Diodoti tandem indicasset, et hi defuncto justa persolvissent, primum annum in Piræeo commorabantur: omnia enim ad victum necessaria ibi erant. Quibus deficientibus, liberos in urbem remittit, et matrem elocat in matrimonium, assignatis in dotem quinis drachmarum millibus, detractis mille drachmis ex iis quas maritus ipsi dotis nomine reliquerat. (9) Octavo post anno, quum filius natu major ad ætatem virilem pervenisset, pupillos tutor vocavit ad se, dicens patrem illis viginti minas argenti et triginta stateres reliquisse. « Ego, inquit, multa e facultatibus meis

εἰς τὴν ὑμετέραν τροφήν. Καὶ ἕως μὲν εἶχον, οὐδέν μοι διέφερε· νυνὶ δὲ καὶ αὐτὸς ἀπόρως διάκειμαι. Σὺ οὖν, ἐπειδὴ δεδοκίμασαι καὶ ἀνὴρ γεγένησαι, σκόπει αὐτὸς ἤδη πόθεν ἕξεις τὰ ἐπιτήδεια. » (10) Ταῦτ' ἀκούσαντες ἐκπεπληγμένοι καὶ δακρύοντες ᾤχοντο πρὸς τὴν μητέρα, καὶ παραλαβόντες ἐκείνην ἧκον πρὸς ἐμέ, οἰκτρῶς ὑπὸ τοῦ πάθους διακείμενοι καὶ ἀθλίως ἐκπεπτωκότες, κλαίοντες καὶ παρακαλοῦντές με μὴ περιιδεῖν αὐτοὺς ἀποστερηθέντας τῶν πατρῴων μηδ' εἰς πτωχείαν καταστάντας, ὑβρισμένους ὑφ' ὧν ἥκιστα ἐχρῆν, ἀλλὰ βοηθῆσαι καὶ τῆς ἀδελφῆς οὕνεκα καὶ σφῶν αὐτῶν. (11) Πολλὰ ἂν εἴη λέγειν, ὅσον πένθος ἐν τῇ ἐμῇ οἰκίᾳ ἦν ἐν ἐκείνῳ τῷ χρόνῳ. Τελευτῶσα δὲ ἡ μήτηρ αὐτῶν ἠντιβόλει με καὶ ἱκέτευε συναγαγεῖν αὐτῆς τὸν πατέρα καὶ τοὺς φίλους, εἰποῦσα ὅτι, εἰ καὶ πρότερον μὴ εἴθισται λέγειν ἐν ἀνδράσι, τὸ μέγεθος αὐτὴν ἀναγκάσει τῶν συμφορῶν περὶ τῶν σφετέρων κακῶν δηλῶσαι πάντα πρὸς ἡμᾶς. (12) Ἐλθὼν δ' ἐγὼ ἠγανάκτουν μὲν πρὸς Ἡγήμονα τὸν ἔχοντα τὴν τούτου θυγατέρα, λόγους δ' ἐποιούμην πρὸς τοὺς ἄλλους ἐπιτηδείους, ἠξίουν δὲ τοῦτον εἰς ἔλεγχον ἰέναι περὶ τῶν πραγμάτων. Διογείτων δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελε, τελευτῶν δὲ ὑπὸ τῶν φίλων ἠναγκάσθη. Ἐπειδὴ δὲ συνήλθομεν, ἤρετο αὐτὸν ἡ γυνή, τίνα ποτὲ ψυχὴν ἔχων ἀξιοῖ περὶ τῶν παίδων τοιαύτῃ γνώμῃ χρῆσθαι, « ἀδελφὸς μὲν ὢν τοῦ πατρὸς αὐτῶν, πατὴρ δ' ἐμός, θεῖος δὲ αὐτοῖς καὶ πάππος. (13) Καὶ εἰ μηδένα ἀνθρώπων ᾐσχύνου, τοὺς θεοὺς ἐχρῆν σε, φησί, δεδιέναι· ὃς ἔλαβες μέν, ὅτ' ἐκεῖνος ἐξέπλει, πέντε τάλαντα παρ' αὐτοῦ παρακαταθήκην. Καὶ περὶ τούτων ἐγὼ θέλω τοὺς παῖδας παραστησαμένη καὶ τούτους καὶ τοὺς ὕστερον ἐμαυτῇ γενομένους ὀμόσαι ὅπου ἂν αὐτὸς λέγῃς. Καίτοι οὐχ οὕτως ἐγώ εἰμι ἀθλία, οὐδ' οὕτω περὶ πολλοῦ ποιοῦμαι χρήματα, ὥστ' ἐπιορκήσασα κατὰ τῶν παίδων τῶν ἐμαυτῆς τὸν βίον καταλιπεῖν, ἀδίκως δὲ ἀφελέσθαι τὴν τοῦ πατρὸς οὐσίαν· » (14) Ἔτι τοίνυν ἐξήλεγχεν αὐτὸν ἑπτὰ τάλαντα κεκομισμένον ναυτικὰ καὶ τετρακισχιλίας δραχμάς, καὶ τούτων τὰ γράμματα ἀπέδειξεν· ἐν γὰρ τῇ διοικίσει, ὅτ' ἐκ Κολλυτοῦ διῳκίζετο εἰς τὴν Φαίδρου οἰκίαν, τοὺς παῖδας ἐπιτυχόντας ἐκβεβλημένῳ τῷ βιβλίῳ ἐνεγκεῖν πρὸς ταύτην. (15) Ἀπέφηνε δ' αὐτὸν ἑκατὸν μνᾶς κεκομισμένον ἐγγείους ἐπὶ τόκῳ δεδανεισμένας, καὶ ἑτέρας δισχιλίας δραχμὰς καὶ ἔπιπλα πολλοῦ ἄξια· φοιτᾶν δὲ καὶ σῖτον αὐτοῖς ἐκ Χερρονήσου καθ' ἕκαστον ἐνιαυτόν. « Ἔπειτα σὺ ἐτόλμησας, ἔφη, εἰπεῖν, ἔχων τοσαῦτα χρήματα, ὡς δισχιλίας δραχμὰς ὁ τούτων πατὴρ κατέλιπε καὶ τριάκοντα στατῆρας, ἅπερ ἐμοὶ καταλειφθέντα ἐκείνου τελευτήσαντος ἐγώ σοι ἔδωκα. (16) Καὶ ἐκβαλεῖν τούτους ἠξίωκας θυγατριδοῦς ὄντας ἐκ τῆς οἰκίας τῆς αὐτῶν ἐν τριβωνίοις, ἀνυποδήτους, οὐ μετὰ ἀκολούθου, οὐ μετὰ στρωμάτων, οὐ μετὰ ἱματίων, οὐ μετὰ τῶν ἐπίπλων ἃ ὁ πατὴρ αὐτοῖς κατέλιπεν, οὐδὲ μετὰ τῶν παρακαταθηκῶν ἃς ἐκεῖνος παρὰ σοὶ κατέθετο. (17) Καὶ νῦν τοὺς μὲν ἐκ τῆς μητρυιᾶς τῆς ἐμῆς

in vestrum alimentum impendi; et quamdiu quidem res lauta fuit, curavi nihil : jam vero ipse pauper sum et inops. Tu igitur quum jam ad virilem ætatem perveneris et inter viros ascriptus sis, prospice qua ratione tibi victum compares. » (10) Hisce auditis, perculsi et lacrimantes ierunt ad matrem, et simul cum illa venerunt ad me, suo incommodo luctuosum in modum afflicti, bonis suis indigne expulsi, flentes, meque hortantes ne se paternis bonis frustratos pauperesque jam factos, et gravi a quibus non oportuit injuria affectos, desererem, sed sororis suaque causa defenderem. (11) Multa sane dici possent de luctu qui tunc in domo mea habitus fuerit. Mater tandem oravit et obtestata est ut suum patrem ceterosque amicos convocarem, dicens se, etsi inter viros prius loqui non assueverit, tamen coactam calamitatum magnitudine de suis apud illos infortuniis conquesturam. (12) Ego vero adiens Hegemonem, qui Diogitonis filiam in matrimonio habebat, apud illum ob rem indignabar, et apud alios propinquos et amicos verba faciebam, postulabamque ut Diogiton ad crimina diluenda accederet. Quod quidem iste initio detrectavit, sed tandem eo ab amicis adactus est. Quum igitur convenissemus, interrogabat ipsum mulier quo tandem animo erga pueros talem se præbuerit; « quum, inquit, frater sis patris eorum, pater meus, eorundemque patruus et avus; (13) et, si mortalium neminem vereberis, deos tamen te timere oportebat. Qui quidem accepisti, illo discedente, quinque talenta, depositum : de quibus ego et hos et alios qui postea mihi nati sunt exhibens, jurare parata sum, quocumque loco jusseris. Atqui non adeo misera sum, nec tanti pecuniam facio, ut velim mori postquam super meis liberis pejerarim, aut per nefas patri facultates auferam. » (14) Istum etiam convicit quod pecunias nauticas, septem talenta, recuperaverit et quattuor drachmarum millia; atque horum tabellas protulit. Nam in migratione, quando commeabat e Collyto in Phædri ædes, filios aiebat in libellum ejectum incidentes ad se detulisse. (15) Ostendit quoque istum viginti minas fœnore solito commodatas, et alia duo drachmarum millia, et magni pretii supellectilem recepisse : quin et singulis annis frumentum venire e Chersoneso in ipsorum alimoniam. « Deinde, aiebat, quum tantum penes te haberes pecuniarum, dicere ausus es horum patrem bis mille drachmas et triginta stateres duntaxat reliquisse. (16) Hosce quos mihi reliquit ille moriens, ex tua filia natos ejecisti e propriis eorum ædibus, attritis indutos vestimentis, discalceatos, sine famulo, sine vestibus, sine supellectile quam eis pater reliquerat, sine pecunia quam apud te deposuerat. (17) Filios ex noverca mea tibi natos in ampla rerum omnium

παιδεύεις ἐν πολλοῖς χρήμασιν εὐδαίμονας ὄντας· καὶ ταῦτα μὲν καλῶς ποιεῖς· τοὺς δ' ἐμοὺς ἀδικεῖς, οὓς ἀτίμως ἐκ τῆς οἰκίας ἐκβαλὼν ἀντὶ πλουσίων πτωχοὺς ἀποδεῖξαι προθυμῇ. Καὶ ἐπὶ τοιούτοις ἔργοις οὔτε τοὺς θεοὺς φοβῇ, οὔτε ἐμὲ τὴν σὴν θυγατέρα τὴν συνειδυῖαν αἰσχύνῃ, οὔτε τοῦ ἀδελφοῦ μέμνησαι, ἀλλὰ πάντας ἡμᾶς περὶ ἐλάττονος ποιῇ χρημάτων. » (18) Τότε μὲν οὖν, ὦ ἄνδρες δικασταί, πολλῶν καὶ δεινῶν ὑπὸ τῆς γυναικὸς ῥηθέντων οὕτω διετέθημεν πάντες οἱ παρόντες ὑπὸ τῶν τούτῳ πεπραγμένων καὶ τῶν λόγων τῶν ἐκείνης, ὁρῶντες μὲν τοὺς παῖδας, οἷα ἦσαν πεπονθότες, ἀναμιμνησκόμενοι δὲ τοῦ ἀποθανόντος, ὡς ἀνάξιον τῆς οὐσίας τὸν ἐπίτροπον κατέλιπεν, ἐνθυμούμενοι δὲ ὡς χαλεπὸν ἐξευρεῖν ὅτῳ χρὴ περὶ τῶν ἑαυτοῦ πιστεῦσαί τινα, ὥστε, ὦ ἄνδρες δικασταί, μηδένα τῶν παρόντων δύνασθαι φθέγξασθαι, ἀλλὰ καὶ δακρύοντας μηδὲν ἧττον τῶν πεπονθότων ἀπιόντας οἴχεσθαι σιωπῇ.

copia beatos instituis : et hoc quidem facis recte; sed hosce meos injuria cumulas, quos indecore domo sua ejectos, e divitibus inopes reddere satagis. Atque hæc quum agas, nec deos times, nec me tuam filiam revereris, nec fratris tui recordaris, at omnes nos pecuniis postponis. » (18) Itaque, judices, quum multa tunc et acerba a muliere dicta essent, omnes quotquot aderamus, ita gestorum ab isto indignitate et mulieris verbis permoti sumus, dum videremus scilicet pupillos talia perpessos; dum mortui Diodoti recordaremur, quam rerum suarum indignum tutorem reliquisset, dum cogitaremus quam difficile sit reperire cui quis sua tuto credere queat : ita, inquam, judices, omnes sumus permoti, ut nemo nostrûm præ miseratione hiscere potuerit; sed cuncti lacrimantes, non minus quam qui ista patiebantur, discesserimus cum silentio.

Ἵνα δὲ καὶ ὁ τῶν ἀποδείξεων χαρακτὴρ καταφανὴς γένηται, θήσω καὶ τὰ ἐπὶ τούτοις λεγόμενα. Τὰς μὲν οὖν ἰδίας πίστεις ὡς οὐ πολλῶν ἔτι λόγων δεομένας δι' αὐτῶν βεβαιοῦται τῶν μαρτύρων, οὐδὲν ἕτερον ἢ τοῦτο εἰπών·

Ut autem et qualis argumentorum ratio fuerit, evidens fiat, exponam et sequentia. Proprias utique probationes quæ non multis verbis indigent, testibus confirmat, nihil dicens aliud quam hoc :

Πρῶτον μὲν οὖν τούτων ἀνάβητέ μοι μάρτυρες·

Primum quidem horum testes ascendite;

τὰ δὲ τοῦ ἀντιδίκου δίκαια διχῇ νείμας, ὡς τὰ μὲν ὁμολογήσαντος αὐτοῦ λαβεῖν καὶ εἰς τὰς τροφὰς τῶν ὀρφανῶν ἀνηλωκέναι σκηψαμένου, τὰ δὲ ἐξάρνου γενηθέντος εἰληφέναι κἄπειτα ἐλεγχθέντος, ὑπὲρ ἀμφοτέρων ποιεῖται τὸν λόγον, τάς τε δαπάνας οὐχ ἃς ἐκεῖνος ἀπέφηνε γενέσθαι λέγων καὶ περὶ τῶν ἀμφιβόλων τὰς πίστεις ἀποδιδούς.

adversarii vero rationibus dupliciter divisis, quum iste fateretur se nonnulla accepisse, sed causaretur se ea insumpsisse in educationem pupillorum, alia autem negaret sibi relicta fuisse; deinde isto convicto et refutato, de utrisque verba facit, dicitque illos sumptus non esse factos quos iste jactat, ac de dubiis certissima profert argumenta.

19. Ἀξιῶ τοίνυν, ὦ ἄνδρες δικασταί, τῷ λογισμῷ προσέχειν τὸν νοῦν, ἵνα τοὺς μὲν νεανίσκους διὰ τὸ μέγεθος τῶν συμφορῶν ἐλεήσητε, τοῦτον δ' ἅπασι τοῖς πολίταις ἄξιον ὀργῆς ἡγήσησθε. Εἰς τοσαύτην γὰρ ὑποψίαν Διογείτων πάντας ἀνθρώπους εἰς ἀλλήλους καθίστησιν, ὥστε μήτε ζῶντας μήτε ἀποθνήσκοντας μηδὲν μᾶλλον τοῖς οἰκειοτάτοις ἢ τοῖς ἐχθίστοις πιστεύειν· (20) ὃς ἐτόλμησε τὰ μὲν ἔξαρνος γενέσθαι, τὰ δὲ τελευτῶν ὁμολογήσας ἔχειν, εἰς δύο παῖδας καὶ ἀδελφὴν λῆμμα καὶ ἀνάλωμα ἐν ὀκτὼ ἔτεσιν ἑπτὰ τάλαντα ἀργυρίου καὶ ἑπτακισχιλίας δραχμὰς ἀποδεῖξαι. Καὶ εἰς τοῦτο ἦλθεν ἀναισχυντίας, ὥστε οὐκ ἔχων ὅποι τρέψειε τὰ χρήματα, εἰς ὄψον μὲν δυοῖν παιδίοιν καὶ ἀδελφῇ πέντε ὀβολοὺς τῆς ἡμέρας ἐλογίζετο, εἰς ὑποδήματα δὲ καὶ εἰς γναφεῖον καὶ εἰς κουρεῖον οὐκ ἦν αὐτῷ κατὰ μῆνα οὐδὲ κατ' ἐνιαυτὸν γεγραμμένα, συλλήβδην δὲ παντὸς τοῦ χρόνου πλεῖον ἢ τάλαντον ἀργυρίου. (21) Εἰς δὲ τὸ μνῆμα τοῦ πατρὸς οὐκ ἀναλώσας πέντε καὶ εἴκοσι μνᾶς ἐκ πεντακισχιλίων δραχμῶν, τὸ μὲν ἥμισυ αὐτῷ τίθησι, τὸ δὲ τούτοις λελόγισται. Εἰς Διονύσια τοίνυν, ὦ ἄνδρες δικασταί, (οὐκ ἄτοπον γάρ μοι δοκεῖ καὶ περὶ τούτου μνησθῆναι) ἑκκαίδεκα δραχμῶν ἀπέφαινεν ἐωνημένον ἀρνίον, καὶ τούτων τὰς ὀκτὼ δραχμὰς ἐλογίζετο τοῖς παισίν· ἐφ' ᾧ ἡμεῖς οὐχ ἥκιστα ὠργίσθημεν. Οὕτως, ὦ ἄνδρες, ἐν ταῖς μεγάλαις ζημίαις ἐνίοτε οὐχ ἧττον τὰ μικρὰ λυπεῖ τοὺς ἀδικουμέ-

19. Velim igitur vos, judices, rationibus meis animum diligenter advertere, ut nempe et pupillorum tam gravia passorum vos capiat miseratio, istum autem judicetis dignum cui omnes cives succenseant. Siquidem Diogiton omnibus in se invicem hominibus talem suspicionem impressit, ut neque vivi neque morientes propinquissimis magis quam inimicissimis fidem habendam censeant : (20) qui ausus fuit, alia negando, alia tandem confitendo, album recepti et expensi proferre, quo constet in duorum puerorum et unius puellæ victum, per octo annos, septem argenti talenta et septem drachmarum millia insumpta esse. Quin et eo venit impudentiæ, ut quum ostendere non posset in quas res pecuniam impenderit, in victum duorum puerorum et unius puellæ quinos in diem obolos impensos numeraret; in calceos vero, in fullones et in tonsores quæ insumpserit, sibi nec per mensem nec per annum scripta erant, sed toto illo tempore summatim complectendo, ultra talentum argenti numeravit. (21) Jam in eorum patris monumentum quum vix minas viginti quinque extulerit, ex quinis drachmarum millibus dimidiam partem illis imputat. In Dionysia quoque, judices, (non enim abs re fuerit hujus quoque meminisse) sedecim drachmis sibi ait agnum emptum, et horum octo puerorum rationibus ascripsit : quo nomine non parum indignati sumus. Ita in majoribus damnis non minus interdum parva movent animos injuria

νους· λίαν γὰρ φανερὰν τὴν πονηρίαν τῶν ἀδικούντων ἐπιδείκνυσιν. (22) Εἰς τοίνυν τὰς ἄλλας ἑορτὰς καὶ θυσίας ἐλογίσατο αὐτοῖς πλέον ἢ τετρακισχιλίας δραχμὰς ἀνηλωμένας, ἕτερά τε παμπληθῆ, ἃ πρὸς τὸ κεφάλαιον συνελογίζετο, ὥσπερ διὰ τοῦτο ἐπίτροπος τῶν παιδίων καταλειφθείς, ἵνα γράμματα αὐτοῖς ἀντὶ χρημάτων ἀποδείξειε καὶ πενεστάτους ἀντὶ πλουσίων ἀποφήνειε, καὶ ἵνα, εἰ μέν τις αὐτοῖς πατρικὸς ἐχθρὸς ἦν, ἐκείνου μὲν ἐπιλάθωνται, τῷ δ', ἐπεὶ τῶν πατρῴων εἰσὶν ἀπεστερημένοι, πολεμῶσι. (23) Καίτοι εἰ ἐβούλετο δίκαιος εἶναι περὶ τοὺς παῖδας, ἐξῆν αὐτῷ, κατὰ τοὺς νόμους οἳ κεῖνται περὶ τῶν ὀρφανῶν καὶ τοῖς ἀδυνάτοις τῶν ἐπιτρόπων καὶ τοῖς δυναμένοις, μισθῶσαι τὸν οἶκον ἀπηλλαγμένος πολλῶν πραγμάτων, ἢ γῆν πριάμενος ἐκ τῶν προσιόντων τοὺς παῖδας τρέφειν· καὶ ὁπότερον τούτων ἐποίησεν, οὐδενὸς ἂν ἧττον Ἀθηναίων πλούσιοι ἦσαν. Νῦν δέ μοι δοκεῖ οὐδεπώποτε διανοηθῆναι ὡς φανερὰν καταστήσων τὴν οὐσίαν, ἀλλ' ὡς αὐτὸς ἕξων τὰ τούτων, ἡγούμενος δεῖν τὴν αὐτοῦ πονηρίαν κληρονόμον εἶναι τῶν τοῦ τεθνεῶτος χρημάτων. (24) Ὃ δὲ πάντων δεινότατον, ὦ δικασταί· οὗτος γὰρ συντριηραρχῶν Ἀλέξιδι τῷ Ἀριστοδίκου, φάσκων δυοῖν δεούσας πεντήκοντα μνᾶς ἐκείνῳ συμβαλέσθαι, τὸ ἥμισυ τούτων τοῖς ὀρφανοῖς οὖσι λελόγισται, οὓς ἡ πόλις οὐ μόνον παῖδας ὄντας ἀτελεῖς ἐποίησεν, ἀλλὰ καὶ ἐπειδὰν δοκιμασθῶσιν, ἐνιαυτὸν ἀφῆκεν ἁπασῶν τῶν λειτουργιῶν· οὗτος δὲ πάππος ὢν παρὰ τοὺς νόμους τῆς ἑαυτοῦ τριηραρχίας παρὰ τῶν αὐτοῦ θυγατριδῶν τὸ ἥμισυ πράττεται. (25) Καὶ ἀποπέμψας εἰς τὸν Ἀδρίαν ὁλκάδα δυοῖν ταλάντοιν, ὅτε μὲν ἀπέστελλεν, ἔλεγε πρὸς τὴν μητέρα αὐτῶν ὅτι τῶν παίδων ὁ κίνδυνος εἴη, ἐπεὶ δὲ ἐσώθη καὶ ἐδιπλασίασεν, αὑτοῦ τὴν ἐμπορίαν ἔφασκεν εἶναι. Καίτοι εἰ μὲν τὰς ζημίας τούτων ἀποδείξει, τὰ δὲ σωθέντα τῶν χρημάτων αὐτὸς ἕξει, ὅποι μὲν ἀνήλωται τὰ χρήματα, οὐ χαλεπῶς εἰς τὸν λόγον ἐγγράψει, ῥᾳδίως δὲ ἐκ τῶν ἀλλοτρίων αὐτὸς πλουτήσει. (26) Καθ' ἕκαστον μὲν οὖν, ὦ δικασταί, πολὺ ἂν εἴη ἔργον πρὸς ὑμᾶς λογίζεσθαι· ἐπειδὴ δὲ μόλις παρ' αὐτοῦ παρέλαβον τὰ γράμματα, μάρτυρας ἔχων ἠρώτων Ἀριστόδικον τὸν ἀδελφὸν τὸν Ἀλέξιδος (αὐτὸς γὰρ ἐτύγχανε τετελευτηκώς) εἰ ὁ λόγος αὐτῷ εἴη τῆς τριηραρχίας· ὁ δὲ ἔφασκεν εἶναι, καὶ ἐλθόντες οἴκαδε εὕρομεν Διογείτονα τέτταρας καὶ εἴκοσι μνᾶς ἐκείνῳ συμβεβλημένον εἰς τὴν τριηραρχίαν· (27) οὗτος δὲ ἐπέδειξε δυοῖν δεούσας πεντήκοντα μνᾶς ἀνηλωκέναι, ὥστε τούτοις λελογίσθαι ὅσον περ ὅλον τὸ ἀνάλωμα αὐτῷ γεγένηται. Καίτοι τί αὐτὸν οἴεσθε πεποιηκέναι περὶ ὧν αὐτῷ οὐδεὶς σύνοιδεν, ἀλλ' αὐτὸς μόνος διεχείριζεν, ὃς ἃ δι' ἑτέρων ἐπράχθη καὶ οὐ χαλεπὸν ἦν περὶ τούτων πυθέσθαι, ἐτόλμησε ψευσάμενος τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὑτοῦ θυγατριδοῦς ζημιῶσαι; Καί μοι ἀνάβητε τούτων μάρτυρες.

affectos, judices, quam maxima : illa enim aperte ostendunt improborum hominum perversitatem. (22) In alias porro festivitates sacrificiaque numeravit plus quam quattuor drachmarum millia, aliaque plurima his similia quæ summatim recensuit : quasi pupillorum tutor ideo relictus esset, ut pro pecuniis litteras ostenderet, ac pro divitibus, quales erant, pauperrimos declararet; et ut si quis ipsis paternus superesset inimicus, illius obliviscerentur, et cum hoc a quo patriis bonis privati sunt, inimicitias gererent. (23) Attamen si se justum erga pueros declarare voluisset, licuisset ipsi, secundum leges latas tam tenuioris ingenii tutoribus quam ingeniosissimis, aut domum locanti multis molestiis se liberare, aut fundum ementi pueros ex annuis proventibus alere. Et alterutrum horum si fecisset, non minus hi quam alii Athenienses divites essent. Nunc vero ne semel quidem mihi videtur cogitasse quomodo opes eorum apertas constitueret, sed qua ipse ratione res eorum invaderet; ratus suam ipsius nequitiam in defuncti hereditatem debere succedere. (24) Hoc vero omnium est gravissimum, judices : ipse enim triremis præfectus quum esset una cum Alexide Aristodici filio, diceretque quadraginta octo minas in hoc munus se dedisse, harum dimidiam partem in pupillorum rationes retulit. Quos tamen respublica non solum quoad pueri essent, sed etiam postquam jam viri essent facti, per annum integrum ab omni publico munere immunes esse voluit. Ipse vero avus quum esset, contra omnes leges dimidiam partem sumptuum in triremis præfectura factorum a suis nepotibus exigit. (25) Quumque navem onerariam, duorum talentorum merces vehentem, in Adriam misisset, nave proficiscente matri horum aiebat se periculo et damno pupillorum misisse : nave autem incolumi reversa et duplicato lucro, suum esse lucrum dicebat. Atqui si horum dixerit esse damna, sibi vero lucra et pecuniam retinuerit, haud difficulter quum impensarum pecuniarum computa poterit referre, tum ipse ex alienis divitiis ditescet. (26) Magni negotii foret, judices, singulorum vobis rationem reddere : at quum ægre ab ipso tabellas accepissem, testibus adductis interrogabam Aristodicum Alexidis fratrem (ipse enim jam mortuus erat) num ipse trierarchiæ rationes haberet. Qui quum dixisset se habere, domum ejus profecti, invenimus Diogitonem viginti quattuor tantum minas cum illo contulisse; (27) at ipse declaravit se impendisse quadraginta octo : adeo ut in pupillorum rationes illatum sit quidquid in toto illo negotio insumpsisset. At enim quid istum putetis fecisse in iis quorum nemo conscius erat, sed quæ ipse solus gessit, qui et ea quæ gessit per alios, et de quibus inquiri facile poterat, ausus est mentiendo suos ipsius nepotes viginti quattuor minis defraudare? Atque horum mihi testes ascendite.

ΜΑΡΤΥΡΕΣ.

28. Τῶν μὲν μαρτύρων ἀκηκόατε, ὦ δικασταί· ἐγὼ δ' ὅσα τελευτῶν ὡμολόγησεν αὐτὸς ἔχειν χρήματα, ἑπτὰ τάλαντα καὶ τετταράκοντα μνᾶς, ἐκ τούτων αὐτῶν λογιοῦμαι, πρόσοδον μὲν οὐδεμίαν ἀποφαίνων, ἀπὸ δὲ τῶν ὑπαρχόντων ἀναλίσκων, καὶ θήσω ὅσον οὐδεὶς πώποτε ἐν τῇ πόλει, εἰς δύο παῖδας καὶ ἀδελφὴν καὶ παιδαγωγὸν καὶ θεράπαιναν χιλίας δραχμὰς ἑκάστου ἐνιαυτοῦ, μικρῷ ἔλαττον ἢ τρεῖς δραχμὰς τῆς ἡμέρας. (29) Ἐν ὀκτὼ αὗται ἔτεσι γίνονται ὀκτακισχίλιαι δραχμαί, καὶ ἀποδείκνυνται ἓξ τάλαντα περιόντα τῶν ἑπτὰ ταλάντων καὶ εἴκοσι μναῖ. Οὐ γὰρ ἂν δύναιτο ἀποδεῖξαι οὔθ' ὑπὸ τῶν λῃστῶν ἀπολωλεκὼς οὔτε ζημίαν εἰληφὼς οὔτε χρήσταις ἀποδεδωκώς. . . .

TESTES.

28. Testes audivistis, judices; ego vero ex ea quam ipse tandem fassus est recepisse, pecunia, septem nimirum talentis et quadraginta minis, nulla fœnoris facta ratione, at sorti omnia detrahens, rationem subducam, et statuam (quantum nullus unquam in hac urbe duobus filiis ac uni filiæ, pædagogo et ancillæ impendit) mille drachmas in singulos annos, quæ efficiunt paullo minus tribus drachmis in singulos dies. (29) Fiunt autem hinc per octo annos octo drachmarum millia; et colliguntur superesse ex septem talentis sex talenta, et (ex quadraginta minis) viginti minæ. Neque enim iste demonstrare potest pecunias aut a prædonibus esse ablatas, aut damno amissas, aut creditoribus numeratas.

XXXIII.

ΟΛΥΜΠΙΑΚΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἔστι δή τις αὐτῷ πανηγυρικὸς λόγος, ἐν ᾧ πείθει τοὺς Ἕλληνας ἀγομένης Ὀλυμπίασι τῆς πανηγύρεως, ἐκβάλλειν Διονύσιον τὸν τύραννον τῆς ἀρχῆς καὶ Σικελίαν ἐλευθερῶσαι, ἄρξασθαί τε τῆς ἔχθρας αὐτίκα μάλα διαρπάσαντας τὴν τοῦ τυράννου σκηνὴν χρυσῷ τε καὶ πορφύρᾳ καὶ ἄλλῳ πλούτῳ πολλῷ κεκοσμημένην. Ἔπεμψε γὰρ θεωροὺς εἰς τὴν πανήγυριν ὁ Διονύσιος ἄγοντας θυσίαν τῷ θεῷ, μεγαλοπρεπής τε καταγωγὴ τῶν θεωρῶν ἐγίνετο ἐν τῷ τεμένει καὶ πολυτελής, ἵνα θαυμασθείη μᾶλλον ὁ τύραννος ὑπὸ τῆς Ἑλλάδος. Ταύτην λαβὼν τὴν ὑπόθεσιν τοιαύτην πεποίηται τὴν ἀρχὴν τοῦ λόγου·

Ἄλλων τε πολλῶν καὶ καλῶν ἔργων ἕνεκα, ὦ ἄνδρες, ἄξιον Ἡρακλέους μεμνῆσθαι, καὶ ὅτι τόνδε τὸν ἀγῶνα πρῶτος συνήγειρε δι' εὔνοιαν τῆς Ἑλλάδος. Ἐν μὲν γὰρ τῷ τέως χρόνῳ ἀλλοτρίως αἱ πόλεις πρὸς ἀλλήλας διέκειντο· (2) ἐπειδὴ δὲ ἐκεῖνος τοὺς τυράννους ἔπαυσε καὶ τοὺς ὑβρίζοντας ἐκώλυσεν, ἀγῶνα μὲν σωμάτων ἐποίησε, φιλοτιμίαν δὲ πλούτου, γνώμης δ' ἐπίδειξιν ἐν τῷ καλλίστῳ τῆς Ἑλλάδος, ἵνα τούτων ἁπάντων ἕνεκα εἰς τὸ αὐτὸ συνέλθωμεν, τὰ μὲν ὀψόμενοι, τὰ δὲ ἀκουσόμενοι· ἡγήσατο γὰρ τὸν ἐνθάδε σύλλογον ἀρχὴν γενήσεσθαι τοῖς Ἕλλησι τῆς πρὸς ἀλλήλους φιλίας. Ἐκεῖνος μὲν οὖν ταῦθ' ὑφηγήσατο, ἐγὼ δ' ἥκω οὐ μικρολογησόμενος οὐδὲ περὶ τῶν ὀνομάτων μαχούμενος. Ἡγοῦμαι γὰρ ταῦτα ἔργα μὲν εἶναι σοφιστῶν λίαν ἀχρήστων καὶ σφόδρα βίου δεομένων, ἀνδρὸς δὲ ἀγαθοῦ καὶ πολίτου πολλοῦ ἀξίου περὶ τῶν μεγίστων συμβουλεύειν, ὁρῶν οὕτως αἰσχρῶς διακειμένην τὴν Ἑλλάδα, καὶ πολλὰ μὲν αὐτῆς ὄντα ὑπὸ τῷ βαρβάρῳ, πολλὰς δὲ πόλεις ὑπὸ τυράννων ἀναστάτους γεγενημένας. (4) Καὶ ταῦτα εἰ μὲν δι' ἀσθένειαν ἐπάσχομεν, στέργειν ἂν ἦν ἀνάγκη τὴν τύχην· ἐπειδὴ δὲ διὰ στάσιν καὶ τὴν πρὸς ἀλλήλους φιλονεικίαν, πῶς οὐκ ἄξιον τῶν μὲν παύσασθαι, τὰ δὲ κωλῦσαι, εἰδότας ὅτι φιλονεικεῖν μέν ἐστιν εὖ πραττόντων, γνῶναι δὲ τὰ βέλτιστα τῶν αὐτῶν; (5) Ὁρῶμεν

XXXIII.

OLYMPICUS.

ARGUMENTUM.

Scripsit quandam orationem panegyricam, in qua Græcos universos hortatur ut Dionysium tyrannum regno exuant, et Siciliam ab ejus tyrannide liberent, atque odium confestim in ipsum exserant, tentorium ejus auro et purpura atque aliis ornamentis insigne diripiendo. Miserat enim Dionysius ad Olympicam ludorum celebritatem legatos qui victimas deo agerent. Commoratio istorum in campo Olympico splendida fuit et magnifica, ut universæ Græciæ tyrannus majori foret admirationi. Hoc suscepto argumento, ita orationem suam orator exorsus est:

Æquissimum est, viri Græci, ob multa quidem præclare gesta memoriam Herculis celebrare, tum præsertim quod primus ipse hoc certamen benevolentia in Græciam ductus constituerit. Ad illud enim usque tempus mutuis inter se dissensionibus civitates ardebant: (2) postquam autem ille tyrannos domuerat et contumeliosos coercuerat, corporum illud certamen, divitiarum contentionem, et ingenii ostentationem instituit in loco totius Græciæ pulcherrimo; ut nimirum propter hæc omnia eundem in locum conveniremus, partim visuri, partim audituri. Illum enim conventum mutuæ Græcis amicitiæ et concordiæ initium quoddam futurum esse existimavit. (3) Hæc ille reputabat: ego vero huc veni non de parvis dicturus, neque de verbis certaturus. Namque arbitror hoc spectare ad vanos et victum quæritantes sophistas, at hominis boni civisque optimi partes esse de maximis rebus consultare; sic, inquam, arbitror videns Græciam adeo deformatam, multaque hujus loca a Barbaro occupata, et plurimas a tyrannis urbes eversas. (4) Quæ si per nostram infirmitatem passi essemus, sortem nostram ferremus necesse esset: sed quum ob seditiones contentionesque mutuas patiamur, quomodo non operæ pretium fuerit nos illas finire et has cohibere? qui novimus felices quidem viros posse inter se contendere, at esse infelicium optima consulere: (5) undique enim pericula nobis imminere con-

γὰρ τοὺς κινδύνους καὶ μεγάλους καὶ πανταχόθεν περιεστηκότας· ἐπίστασθε δὲ ὅτι ἡ μὲν ἀρχὴ τῶν κρατούντων τῆς θαλάσσης, τῶν δὲ χρημάτων βασιλεὺς ταμίας, τὰ δὲ τῶν Ἑλλήνων σώματα τῶν δαπανᾶσθαι δυναμένων, ναῦς δὲ πολλὰς μὲν αὐτὸς κέκτηται, πολλὰς δ' ὁ τύραννος τῆς Σικελίας. (6) Ὥστε ἄξιον τὸν μὲν πρὸς ἀλλήλους πόλεμον καταθέσθαι, τῇ δ' αὐτῇ γνώμῃ χρωμένους τῆς σωτηρίας ἀντέχεσθαι, καὶ περὶ μὲν τῶν παρεληλυθότων αἰσχύνεσθαι, περὶ δὲ τῶν μελλόντων ἔσεσθαι δεδιέναι, καὶ τοὺς προγόνους μιμεῖσθαι, οἳ τοὺς μὲν βαρβάρους ἐποίησαν τῆς ἀλλοτρίας ἐπιθυμοῦντας τῆς σφετέρας αὐτῶν ἐστερῆσθαι, τοὺς δὲ τυράννους ἐξελάσαντες κοινὴν ἅπασι τὴν ἐλευθερίαν κατέστησαν. (7) Θαυμάζω δὲ Λακεδαιμονίους πάντων μάλιστα, τίνι ποτὲ γνώμῃ χρώμενοι καιομένην τὴν Ἑλλάδα περιορῶσιν, ἡγεμόνες ὄντες τῶν Ἑλλήνων οὐκ ἀδίκως καὶ διὰ τὴν ἔμφυτον ἀρετὴν καὶ διὰ τὴν πρὸς τὸν πόλεμον ἐπιστήμην, μόνοι δὲ οἰκοῦντες ἀπόρθητοι καὶ ἀτείχιστοι καὶ ἀστασίαστοι καὶ ἀήττητοι καὶ τρόποις ἀεὶ τοῖς αὐτοῖς χρώμενοι· ὧν ἕνεκα ἐλπὶς ἀθάνατον τὴν ἐλευθερίαν αὐτοὺς κεκτῆσθαι, καὶ ἐν τοῖς παρεληλυθόσι κινδύνοις σωτῆρας γενομένους τῆς Ἑλλάδος περὶ τῶν μελλόντων προορᾶσθαι. (8) Οὐ τοίνυν ὁ ἐπιὼν καιρὸς τοῦ παρόντος βελτίων· οὐ γὰρ ἀλλοτρίας δεῖ τὰς τῶν ἀπολωλότων συμφορὰς νομίζειν, ἀλλ' οἰκείας, οὐδ' ἀναμεῖναι ἕως ἂν ἐπ' αὐτοὺς ἡμᾶς αἱ δυνάμεις ἀμφοτέρων ἔλθωσιν, ἀλλ' ἕως ἔτι ἔξεστι, τὴν τούτων ὕβριν κωλῦσαι. (9) Τίς γὰρ οὐκ ἂν ἐνορῶν ἐν τῷ πρὸς ἀλλήλους πολέμῳ μεγάλους αὐτοὺς γεγενημένους; ὧν οὐ μόνον αἰσχρῶν ὄντων, ἀλλὰ καὶ δεινῶν, τοῖς μὲν μεγάλα ἡμαρτηκόσιν ἐξουσία γεγένηται τῶν πεπραγμένων, τοῖς δὲ Ἕλλησιν οὐδεμία αὐτῶν τιμωρία. . . . .

XXXIV.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΚΑΤΑΛΥΣΑΙ ΤΗΝ ΠΑΤΡΙΟΝ ΠΟΛΙΤΕΙΑΝ ΑΘΗΝΗΣΙ.

ΥΠΟΘΕΣΙΣ.

Ἑνὸς ἔτι παράδειγμα θήσω λόγου συμβουλευτικοῦ, ἵνα καὶ τούτου τοῦ γένους τοῦ λόγου ὁ χαρακτὴρ γένηται σαφής. Ὑπόθεσιν δὲ περιείληφε περὶ τοῦ μὴ καταλῦσαι τὴν πάτριον πολιτείαν Ἀθήνησι· τοῦ γὰρ δήμου κατελθόντος ἐκ Πειραιῶς καὶ ψηφισαμένου διαλύσασθαι πρὸς τοὺς ἐν ἄστει καὶ μηδενὸς τῶν γεγενημένων μνησικακεῖν, δέους δὲ ὄντος μὴ πάλιν τὸ πλῆθος εἰς τοὺς εὐπόρους ὑβρίζῃ τὴν ἀρχαίαν ἐξουσίαν κεκομισμένον, καὶ πολλῶν ὑπὲρ τούτου γινομένων λόγων, Φορμίσιός τις τῶν συγκατελθόντων μετὰ τοῦ δήμου γνώμην εἰσηγήσατο, τοὺς μὲν φεύγοντας κατιέναι, τὴν δὲ πολιτείαν μὴ πᾶσιν, ἀλλὰ τοῖς γῆν ἔχουσι παραδοῦναι, βουλομένων ταῦτα γενέσθαι καὶ Λακεδαιμονίων. Ἔμελλον δὲ τοῦ ψηφίσματος τούτου κυρωθέντος πεντακισχίλιοι σχεδὸν Ἀθηναίων ἀπελαθήσεσθαι τῶν κοινῶν. Ἵνα δὴ μὴ τοῦτο γένοιτο, γράφει τὸν λόγον τόνδε ὁ Λυσίας τῶν ἐπισήμων τινὶ καὶ πολι-

spicimus. Scitis autem imperium esse eorum qui mari dominantur, Persarum regem dispensatorem esse pecuniarum, et Græcorum corpora ad eos pertinere qui sumptus facere queunt. Naves ipse multas possidet, multas etiam Siciliæ tyrannus. (6) Convenit igitur bellum mutuum nos deponere, et communi sententia saluti nostræ prospicere; de præteritis erubescere et de futuris metuere; majores denique imitari qui barbaros alienis possessionibus inhiantes suis ipsorum exuerunt, tyrannisque expulsis communem omnibus libertatem attulerunt. (7) Præ ceteris autem Lacedæmonios demiror, quonam tandem animo patiantur Græciam vastari, quum ipsi Græcorum duces sint et principes; idque non immerito, sed per propriam virtutem et rei militaris scientiam. Soli quippe muris, vastationibus et seditione carent, invicti sunt et iisdem semper moribus utentes. Atque ideo sperandum est ipsos perpetuam libertatem esse habituros; quumque in præteritis periculis Græciæ servatores exstiterint, eosdem etiam futura prævisuros. (8) Nulla autem futura occasio hac præsenti melior erit. Neque enim eorum qui perierunt calamitates ut alienæ sunt habendæ, sed propriæ; nec exspectandum donec regis Persarum et Siciliæ tyranni potentia nos opprimat, sed quamdiu adhuc integrum est, ipsorum injuriam cohibere oportet. (9) Quis enim non erubuerit quum videat hostes communes per bellum nostrum intestinum accrevisse? In hoc rerum statu non solum turpi, verum etiam misero, eis qui gravissime deliquerunt licentia delictorum data est, et Græci nullum ab ipsis supplicium sumpserunt....

XXXIV.

DE ANTIQUA REIPUBLICÆ FORMA ATHENIS NON IMMUTANDA.

ARGUMENTUM.

Unius adhuc exemplum proferam, suasoriæ scilicet orationis, ut appareat qualem et in hoc genere stylum ille habuerit. Suscepit autem hoc argumentum: non esse abolendam Athenis antiquam administrationem. Quum enim populus e Piræeo reversus esset, et decrevisset reconciliationem cum eis qui in urbe fuerant faciendam esse, nullamque præteritorum commissorum memoriam habendam, quum timor esset ne iterum plebs, veterem adepta licentiam, in ditiores insolesceret, multis verbis de hac re habitis, Phormisius quidam, e numero eorum qui cum populo reversi erant, hanc in sententiam proposuit: exules reverti debere, at publicam administrationem non omnibus, sed iis tantum qui agros possiderent, committendam; quod et Lacedæmonii ita fieri volebant. Quod decretum si perferretur, quinque millia ferme Atheniensium a reipublicæ regimine amovendi erant. Hoc porro ne fiat, hanc Lysias orationem scripsit uni ex illustribus viris et reipublicæ administratoribus. An

τευομένων. Εἰ μὲν οὖν ἐρρήθη τότε, ἄδηλον· σύγκειται γοῦν ὡς πρὸς ἀγῶνα ἐπιτηδείως. Ἔστι δὲ ὅδε·

Ὅτε ἐνομίζομεν, ὦ Ἀθηναῖοι, τὰς γεγενημένας συμφορὰς ἱκανὰ μνημεῖα τῇ πόλει καταλελεῖφθαι, ὥστε μηδ' ἂν τοὺς ἐπιγινομένους ἑτέρας πολιτείας ἐπιθυμεῖν, τότε δὴ οὗτοι τοὺς κακῶς πεπονθότας καὶ ἀμφοτέρων πεπειραμένους ἐξαπατῆσαι ζητοῦσι τοῖς αὐτοῖς ψηφίσμασιν οἷσπερ καὶ πρότερον δὶς ἤδη. (2) Καὶ τούτων μὲν οὐ θαυμάζω, ὑμῶν δὲ τῶν ἀκροωμένων, ὅτι πάντων ἐστὲ ἐπιλησμονέστατοι ἢ πάσχειν ἑτοιμότατοι κακῶς ὑπὸ τοιούτων ἀνδρῶν, οἳ τῇ μὲν τύχῃ τῶν ἐκ Πειραιῶς πραγμάτων μετέσχον, τῇ δὲ γνώμῃ τῶν ἐξ ἄστεος. Καίτοι τί ἔδει φεύγοντας κατελθεῖν, εἰ χειροτονοῦντες ὑμᾶς αὐτοὺς καταδουλώσεσθε; (3) Ἐγὼ μὲν οὖν, ὦ Ἀθηναῖοι, . . . οὔτε γένει ἀπελαυνόμενος, ἀλλ' ἀμφότερα τῶν ἀντιλεγόντων πρότερος ὤν, ἡγοῦμαι ταύτην μόνην σωτηρίαν εἶναι τῇ πόλει, ἅπασιν Ἀθηναίοις τῆς πολιτείας μετεῖναι, ἐπεὶ ὅτε καὶ τὰ τείχη καὶ τὰς ναῦς καὶ τὰ χρήματα καὶ συμμάχους ἐκτήμεθα, οὐχ ὅπως Ἀθηναίων τινὰ ἀπώσομεν διενοούμεθα, ἀλλὰ καὶ Εὐβοεῦσιν ἐπιγαμίαν ἐποιούμεθα· νῦν δὲ καὶ τοὺς ὑπάρχοντας πολίτας ἀπολοῦμεν; (4) Οὐκ ἂν ἔμοιγε πείθησθε, οὐδὲ μετὰ τῶν τειχῶν καὶ ταῦτα ἡμῶν αὐτῶν περιαιρησόμεθα, ὁπλίτας πολλοὺς καὶ ἱππέας καὶ τοξότας, ὧν ὑμεῖς ἀντεχόμενοι βεβαίως δημοκρατήσεσθε, τῶν δὲ ἐχθρῶν πλέον ἐπικρατήσετε, ὠφελιμώτεροι δὲ τοῖς συμμάχοις ἔσεσθε· ἐπίστασθε γὰρ ἐν ταῖς ἐφ' ἡμῶν ὀλιγαρχίαις γεγενημέναις οὐ τοὺς γῆν κεκτημένους ἔχοντας τὴν πόλιν, ἀλλὰ καὶ πολλοὺς μὲν αὐτῶν ἀποθανόντας, πολλοὺς δ' ἐκ τῆς πόλεως ἐκπεσόντας, οὓς ὁ δῆμος καταγαγὼν ὑμῖν μὲν τὴν ὑμετέραν ἀπέδωκεν, αὐτὸς δὲ ταύτης οὐκ ἐτόλμησε μετασχεῖν. (5) Ὥστε, ἂν ἔμοιγε πείθησθε, οὐ τοὺς εὐεργέτας, καθὸ δύνασθε, τῆς πατρίδος ἀποστερήσετε, οὐδὲ τοὺς λόγους πιστοτέρους τῶν ἔργων οὐδὲ τὰ μέλλοντα τῶν γεγενημένων νομιεῖτε, ἄλλως τε καὶ μεμνημένοι τῶν περὶ τῆς ὀλιγαρχίας μαχομένων, οἳ τῷ μὲν λόγῳ τῷ δήμῳ πολεμοῦσι, τῷ δὲ ἔργῳ τῶν ὑμετέρων ἐπιθυμοῦσιν· ἅπερ κτήσονται, ὅταν ὑμᾶς ἐρήμους συμμάχων λάβωσιν. (6) Εἶτα τοῖς τῶν ὑμῖν ὑπαρχόντων ἐρωτῶσι τίς ἔσται σωτηρία τῇ πόλει, εἰ μὴ ποιήσομεν ἃ Λακεδαιμόνιοι κελεύουσιν; Ἐγὼ δὲ τούτους εἰπεῖν ἀξιῶ, τί τῷ πλήθει περιγενήσεται, εἰ ποιήσαιμεν ἃ ἐκεῖνοι προστάττουσιν. Εἰ δὲ μή, πολὺ κάλλιον μαχομένους ἀποθνήσκειν ἢ φανερῶς ἡμῶν αὐτῶν θάνατον καταψηφίσασθαι. (7) Ἡγοῦμαι γάρ, ἐὰν μὲν πείθω, ἀμφοτέροις κοινὸν εἶναι κίνδυνον. Ὁρῶ δὲ Ἀργείους καὶ Μαντινέας τὴν αὐτὴν ἔχοντας γνώμην τὴν αὐτῶν οἰκοῦντας, τοὺς μὲν ὁμόρους ὄντας Λακεδαιμονίοις, τοὺς δὲ ἐγγὺς οἰκοῦντας, καὶ τοὺς μὲν οὐδὲν ἡμῶν πλείους, τοὺς δὲ οὐδὲ τρισχιλίους ὄντας. (8) Ἴσασι γὰρ ὅτι, κἂν πολλάκις εἰς τὴν τούτων ἐμβάλλωσι, πολλάκις αὐτοῖς ἀπαντήσονται ὅπλα λαβόντες, ὥστε οὐ καλὸς ὁ κίνδυνος αὐτοῖς δοκεῖ εἶναι, ἐὰν μὲν νικήσωσι, τούτους οὐ κα-

vero tunc habita fuerit, non constat; scripta certe est tanquam ad verum certamen. Ita utique se habet:

Quum putaremus, Athenienses, calamitates præteritas civitati satis evidentia monumenta esse ne posteri novam administrationem appeterent, tunc exorti sunt isti qui nos et mala passos et utriusque reipublicæ fortunam expertos, iisdem quibus antea decretis decipere conantur. (2) Idcirco non istos miror, sed vos qui hæc auditis, quod omnium sitis obliviosi, et tam facile ab iis omnia patiamini, qui casu rerum Piræensium, animo urbanarum, participes fuerunt. Ad quid autem exulantes reverti oportuit, si vestro suffragio vosmetipsos in servitutem redigatis? (3) Ego vero, Athenienses, qui neque genere inferior sum *neque bonis ulli posthabendus*, sed qui mihi contradicentes utrisque supero, hanc solam civitati salutem esse arbitror, si omnes cives publicæ administrationis partem habeant. Siquidem quum muros, naves, pecunias, socios haberemus, tantum aberat ut Atheniensium alicui jus civitatis denegare vellemus, ut vel Eubœensibus jus connubii concederemus; nunc vero etiam eos qui jam sunt cives amittemus? (4) Nequaquam, mihi credite: neque cum muris et hæc ipsa nostra a nobis auferemus, multos scilicet pedites, equites, sagittarios. Quos quidem vos dum retinebitis, firmiorem habebitis democratiam, hostes magis profligabitis, et sociis vestris multo utiliores eritis. Scitis enim per nostræ ætatis oligarchias, nec eos qui fundos possiderent urbem secure habitasse, sed et plurimos eorum occisos fuisse, multosque e civitate expulsos: quos populus reducens, vobis vestros agros reddidit, nec eos occupare ausus est. (5) Quamobrem si mihi obtemperetis, neque benefactores vestros, quantum in vobis erit, patria exuetis, neque verbis potius quam operibus, neque futuris magis quam præteritis, credetis præsertim quum recordemini oligarchiæ fautores, verbis quidem populo adversari, sed re ipsa vestris rebus inhiare, quas possidebunt, quando vos sociorum præsidio destitutos deprehendent. (6) Deinde ii qui nostra concupiscunt nos interrogant ecqua erit civitati salus, nisi ea fecerimus quæ Lacedæmonii jubent! Ego vero istos dicere velim, quid populo eventurum sit si illorum jussa fecerimus. Sin minus, multo præclarius erit pugnantes occumbere, quam aperte nos nostro suffragio capite condemnare. (7) Existimo enim, si persuadeam, utrisque, et nobis et Lacedæmoniis, commune instare periculum. Cujus sententiæ etiam Argivos et Mantineenses, qui suum solum incolunt, esse video, illos Lacedæmoniis conterminos, hos prope habitantes; illos nobis non plures numero, hos vix tria hominum millia efficientes. (8) Sciunt enim Lacedæmonii eos, quamvis ipsi sæpe in eorum agros sint irrupturi, sibi sæpe sumptis armis occursuros. Ita ut honestum ipsis pericu-

ταδουλώσεσθαί γε, ἐὰν δὲ ἡττηθῶσι, σφᾶς αὐτοὺς τῶν ὑπαρχόντων ἀγαθῶν ἀποστερῆσαι· ὅσῳ δ' ἂν ἄμεινον πράττωσι, τοσούτῳ [ἧττον] ἐπιθυμοῦσι κινδυνεύειν. (9) Εἴχομεν δέ, ὦ Ἀθηναῖοι, καὶ ἡμεῖς ταύτην τὴν γνώμην, ὅτε τῶν Ἑλλήνων ἤρχομεν, καὶ ἐδοκοῦμεν καλῶς βουλεύεσθαι περιορῶντες μὲν τὴν χώραν τεμνομένην, οὐ νομίζοντες δὲ χρῆναι περὶ αὐτῆς διαμάχεσθαι· ἄξιον γὰρ ἦν ὀλίγων ἀμελοῦντας πολλῶν ἀγαθῶν φείσασθαι. Νῦν δέ, ἐπεὶ ἐκείνων μὲν ἁπάντων μάχῃ ἐστερήμεθα, ἡ δὲ πατρὶς ἡμῖν λέλειπται, ἴσμεν ὅτι ὁ κίνδυνος οὗτος μόνος ἔχει τὰς ἐλπίδας τῆς σωτηρίας. (10) Ἀλλὰ γὰρ χρὴ ἀναμνησθέντας ὅτι ἤδη καὶ ἑτέροις ἀδικουμένοις βοηθήσαντες ἐν τῇ ἀλλοτρίᾳ πολλὰ τρόπαια τῶν πολεμίων ἐστήσαμεν, ἄνδρας ἀγαθοὺς περὶ τῆς πατρίδος καὶ ἡμῶν αὐτῶν γίνεσθαι, πιστεύοντας μὲν τοῖς θεοῖς καὶ ἐλπίζοντας τὸ δίκαιον μετὰ τῶν ἀδικουμένων ἔσεσθαι. (11) Δεινὸν γὰρ ἂν εἴη, ὦ Ἀθηναῖοι, εἰ, ὅτε μὲν ἐφεύγομεν, ἐμαχόμεθα Λακεδαιμονίοις, ἵνα κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα, ἵνα μὴ μαχώμεθα. Οὐκοῦν αἰσχρὸν εἰ εἰς τοῦτο κακίας ἥξομεν, ὥστε οἱ μὲν πρόγονοι καὶ ὑπὲρ τῆς τῶν ἄλλων ἐλευθερίας Ἑλλήνων διεκινδύνευον, ὑμεῖς δὲ οὐδὲ ὑπὲρ τῆς ὑμετέρας αὐτῶν τολμᾶτε πολεμεῖν; . . . .

lum non videatur, si vincent, eos non redigere in servitutem; et si vincantur, bonis suis se ipsos spoliari: quanto autem melius res gerunt, tanto minus cupiunt periclitari. (9) Eodem et nos sensu aliquando animati fuimus, Athenienses, quum principatum Græcorum haberemus; et id recte consulere videbamur, quod regionem nostram sineremus vastari, nec putaremus pro ea esse depugnandum. Namque par erat pauca et parva negligentes, multis et magnis bonis parcere. Jam vero quum illis omnibus spoliati fuerimus per pugnam, et sola nobis patria relicta sit, scimus solo bellorum periculo omnem salutis spem contineri. (10) Sed enim oportet recordantes quod olim etiam aliis succurrendo injuria affectis, in terra alienigena multa tropæa de hostibus erexerimus, nunc viros nos præbere dum pro patria et pro nobismetipsis certamus, diis confidentes, sperantesque justitiam cum affectis injuria militaturam. (11) Acerbum enim esset, Athenienses, si nos qui exulantes pugnavimus contra Lacedæmonios ut reverteremur, reversi iterum in exilium agamur, ne pugnam committamus. Nonne igitur turpe erit tantum nos dedecus admittere, ut, quum majores vestri etiam pro aliorum Græcorum libertate pugnaverint, vos pro vestra ipsorum pugnare non audeatis? . . . .

ΙΣΑΙΟΣ.

I.

85 ## ΠΕΡΙ ΤΟΥ ΚΛΕΩΝΥΜΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἀδελφιδοῖ Κλεωνύμου τελευτήσαντος ἐπὶ τὸν κλῆρον ἔρχονται κατὰ γένος, τὰς διαθήκας, ἃς παρέχονται εἰς αὐτοὺς οἱ περὶ Φερένικον καὶ Σίμωνα καὶ Ποσείδιππον, γράψαι, ὡς ἀληθὲς ἦν, καὶ θεῖναι παρὰ τοῖς ἄρχουσιν ὁμολογοῦντες Κλεώνυμον κατὰ τὴν πρὸς Δεινίαν τὸν ἐπίτροπον αὐτῶν ὀργήν, ὕστερον δὲ ἐπιχειρήσαντα λῦσαι καὶ μεταπεμψάμενον τὸν ἀστυνόμον ἐξαίφνης [ἀποθανεῖν]· καὶ Πολύαρχον δὲ τὸν πάππον αὐτῶν, Κλεωνύμου δὲ πατέρα, προστάξαι, εἴ τι πάσχοι Κλεώνυμος, δοῦναι αὐτοῖς τὰ ὑπάρχοντα. Ἡ στάσις ὅρος διπλοῦς κατὰ ἀμφισβήτησιν· οἱ μὲν γὰρ ἄλλοι ταῖς γενομέναις ἐξ ἀρχῆς διαθήκαις διισχυρίζονται, οἱ δέ, λέγοντες ὅτι μετεκαλέσατο τὸν ἄρχοντα, ἵνα λύσῃ αὐτάς, τοῖς τελευταῖον παρὰ τοῦ Κλεωνύμου γενομένοις.

Πολλὴ μὲν ἡ μεταβολή μοι γέγονεν, ὦ ἄνδρες, τελευτήσαντος Κλεωνύμου· ἐκεῖνος γὰρ ζῶν μὲν ἡμῖν κατέλιπε τὴν οὐσίαν, ἀποθανὼν δὲ κινδυνεύειν περὶ αὐτῆς πεποίηκε. Καὶ τότε μὲν οὕτως ὑπ' αὐτοῦ σωφρόνως ἐπαιδευόμεθα, ὥστ' οὐδ' ἀκροασόμενοι οὐδέποτ' ἤλθομεν ἐπὶ δικαστήριον, νῦν δὲ ἀγωνιούμενοι περὶ πάντων ἥκομεν τῶν ὑπαρχόντων· οὐ γὰρ τῶν Κλεωνύμου μόνον ἀμφισβητοῦσιν, ἀλλὰ καὶ τῶν πατρῴων, ὀφείλειν ἐπὶ τούτοις ἐκείνῳ φάσκοντες ἀργύριον. (2) Καὶ οἱ μὲν οἰκεῖοι καὶ οἱ προσήκοντες οἱ τούτων ἀξιοῦσιν ἡμᾶς καὶ τῶν ὁμολογουμένων, ὧν Κλεώνυμος κατέλιπεν, αὐτοῖς τούτων ἰσομοιρῆσαι· οὗτοι δὲ εἰς τοῦτο ἥκουσιν ἀναισχυντίας, ὥστε καὶ τὰ πατρῷα προσαφελέσθαι ζητοῦσιν ἡμᾶς, οὐκ ἀγνοοῦντες, ὦ ἄνδρες, τὸ δίκαιον, ἀλλὰ πολλὴν ἐρημίαν ἡμῶν καταγνόντες. (3) Σκέψασθε γὰρ οἷς ἑκάτεροι πιστεύοντες ὡς ὑμᾶς εἰσεληλύθαμεν· οὗτοι μὲν διαθήκαις ἰσχυριζόμενοι τοιαύταις, ἃς ἐκεῖνος διέθετο μὲν οὐχ ἡμῖν ἐγκαλῶν, ἀλλ' ὀργισθεὶς τῶν οἰκείων τινὶ τῶν ἡμετέρων, ἔλυσε δὲ πρὸ τοῦ θανάτου, πέμψας Ποσείδιππον ἐπὶ τὴν ἀρχήν· (4) ἡμεῖς δὲ γένει μὲν ἐγγυτάτω προσήκοντες, χρώμενοι δὲ ἐκείνῳ πάντων οἰκειότατα, δεδωκότων δ' ἡμῖν καὶ τῶν νόμων κατὰ τὴν ἀγχιστείαν καὶ αὐτοῦ τοῦ Κλεωνύμου διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν αὐτῷ, ἔτι δὲ Πολυάρχου, τοῦ πατρὸς τοῦ Κλεωνύμου, πάππου δ' ἡμετέρου, προστάξαντος, εἴ τι πάθοι Κλεώνυμος ἄπαις, ἡμῖν δοῦναι τὰ αὐτοῦ. (5) Τοσούτων τοίνυν ἡμῖν ὑπαρχόντων οὗτοι, καὶ συγγενεῖς ὄντες καὶ οὐδὲν δίκαιον εἰπεῖν ἔχοντες, οὐκ αἰσχύνονται καταστήσαντες ἡμᾶς εἰς ἀγῶνα περὶ τούτων, περὶ ὧν αἰσχρὸν ἦν ἀμφισβητῆσαι καὶ τοῖς μηδὲν προσήκουσιν. (6) Οὐχ ὁμοίως δέ μοι δοκοῦμεν, ὦ ἄνδρες,

I.

DE CLEONYMI HEREDITATE.

ARGUMENTUM. (1—5)

Mortuo Cleonymo nepotes ex fratre jure cognationis succedunt in hereditatem, testamentum, quod adducunt in sui favorem Pherenicus et Simon et Posidippus, scripsisse quidem, ut verum erat, et deposuisse apud magistratus affirmantes Cleonymum, odio quo prosequebatur Diniam eorum tutorem; postremo vero aggressum esse dissolvere et ædili accersito derepente interiisse; et Polyarchum eorum avum, Cleonymique patrem, mandasse, si quid humanitus accideret Cleonymo, dari illis quæ superessent. Quæstio duplicibus terminis constat propter ambiguitatem: namque adversarii nituntur primo testamento; ii vero, quorum nomine hæc oratio habetur, dicunt vocari jussisse magistratum, ut rescinderet illud, et postremis Cleonymi factis nituntur.

A Cleonymi e rebus humanis excessu magnam passæ sunt, o viri, meæ res commutationem. Facultates enim ille suas adhuc superstes nobis condicebat, mortuus autem pro iis periculum litis reliquit. Olim quidem ab illo tam pudice educabamur, ut nunquam in forum veniremus ne alios quidem audiendi gratia litigantes, nunc autem huc descendendum nobis fuit quo ipsi de tota substantia contenderemus: non enim de Cleonymi solummodo hereditate nobiscum contendunt adversarii, sed etiam de patrimonio nostro, aientes nos illi pecuniam super eodem nostro patrimonio debere. (2) Et familiares quidem atque propinqui adversariorum nostrorum æquum censuerunt ut nos æquam portionem ferremus eorum adeo bonorum, quæ a Cleonymo relicta esse in confesso est: hi autem eo procedunt impudentiæ, ut ipso patrimonio nostro nos evertere conentur, non quod æquum et verum ignorent, o viri, sed quod nos ab amicis desertos existiment. (3) Spectate modo quibus causæ momentis freti nostrûm utrique ad litem descenderimus. Fidunt nempe hi testamento quod Cleonymus scripsit quidem, non nobis offensus, sed iratus alicui nostrorum necessariorum; verumtamen hoc ante excessum per Posidippum hujus rei causa ad magistratum allegatum rescidit, quoad per ipsum stetit: (4) nos autem et sanguinis necessitudine proxima Cleonymum attingimus, et usi eo sumus omnium amicissimo, præterea jus civile nobis hereditatem ejus addicit ex titulo propinquitatis, ipse quoque Cleonymus pro sua nostri caritate heredes nos sibi esse voluit, denique pater Cleonymi, Polyarchus, idemque avus noster, præceperat, ut Cleonymo improle exstincto, nos in bona sua immitteremur. (5) Tot quum essemus muniti titulis, hos tamen, qui et cognati essent et ab omni vel speciosa modo prætensione denudati, nil puduit nos in certamen conjicere super iis bonis, super quibus nobiscum contendere vel alienissimi quique turpe sibi duxissent. (6) Vi-

διακεῖσθαι πρὸς ἀλλήλους. Ἐγὼ μὲν γὰρ οὐχ ὅτι ἀδίκως κινδυνεύω, τοῦθ' ἡγοῦμαι μέγιστον εἶναι τῶν παρόντων κακῶν, ἀλλ' ὅτι ἀγωνίζομαι πρὸς οἰκείους, οὓς οὐδ' ἀμύνεσθαι καλῶς ἔχει· οὐ γὰρ ἂν ἐλάττω συμφορὰν ἡγησαίμην κακῶς ποιεῖν τούτους ἀμυνόμενος, οἰκείους ὄντας, ἢ κακῶς παθεῖν ἐξ ἀρχῆς ὑπὸ τούτων·
36 (7) οὗτοι δ' οὐ τοιαύτην ἔχουσι τὴν γνώμην, ἀλλ' ἥκουσιν ἐφ' ἡμᾶς καὶ τοὺς φίλους παρακαλέσαντες καὶ ῥήτορας παρασκευασάμενοι καὶ οὐδὲν ἀπολείποντες τῆς αὐτῶν δυνάμεως, ὥσπερ, ὦ ἄνδρες, ἐχθροὺς τιμωρησόμενοι, καὶ οὐκ ἀναγκαίους καὶ συγγενεῖς κακῶς ποιήσοντες. (8) Τὴν μὲν οὖν τούτων ἀναισχυντίαν καὶ τὴν αἰσχροκέρδειαν ἔτι μᾶλλον γνώσεσθε, ἐπειδὰν πάντων ἀκούσητε· ὅθεν δ' οἶμαι τάχιστ' ἂν ὑμᾶς μαθεῖν περὶ ὧν ἀμφισβητοῦμεν, ἐντεῦθεν ἄρξομαι διδάσκειν.

9. Δεινίας γὰρ ὁ τοῦ πατρὸς ἀδελφὸς ἐπετρόπευσεν ἡμᾶς, θεῖος ὢν ὀρφανοὺς ὄντας. Κλεωνύμου δ' οὗτος, ὦ ἄνδρες, διάφορος ὢν ἔτυχεν. Ὁπότερος μὲν οὖν αὐτῶν ἦν τῆς διαφορᾶς αἴτιος, ἴσως οὐκ ἐμὸν ἔργον ἐστὶ κατηγορεῖν· πλὴν τοσοῦτόν γε ἂν δικαίως αὐτοῖς ἀμφοτέροις μεμψαίμην, ὅτι καὶ φίλοι τέως ὄντες καὶ προφάσεως οὐδεμιᾶς γενομένης ἐκ λόγων τινῶν οὕτως εἰκῇ πρὸς ἀλλήλους ἔχθραν ἀνείλοντο. (10) Ὅτι δ' οὖν ἐκ ταύτης τῆς ὀργῆς Κλεώνυμος ταύτας ποιεῖται τὰς διαθήκας, οὐχ ἡμῖν ἐγκαλῶν, ὡς ὕστερον ἐσώθη, ἔλεγεν, ὁρῶν δὲ ἡμᾶς ἐπιτροπευομένους ὑπὸ Δεινίου, καὶ δεδιὼς μὴ τελευτήσειεν αὐτὸς ἔτι παῖδας ἡμᾶς καταλιπὼν καὶ τῆς οὐσίας ἡμετέρας οὔσης γένοιτο κύριος Δεινίας· ἡγεῖτο γὰρ δεινὸν εἶναι τὸν ἔχθιστον τῶν οἰκείων ἐπίτροπον καὶ κύριον τῶν αὑτοῦ καταλιπεῖν, καὶ ποιεῖν αὑτῷ τὰ νομιζόμενα τοῦτον, ἕως ἡμεῖς ἡβήσαιμεν, ᾧ ζῶν διάφορος ἦν· ταῦτα διανοηθεὶς ἐκεῖνος, εἴτ' ὀρθῶς εἴτε μή, τὰς διαθήκας ταύτας διέθετο. (11) Καὶ εὐθὺς ἐρωτῶντος τοῦ Δεινίου παραχρῆμα εἴ τι ἡμῖν ἢ τῷ πατρὶ ἐγκαλεῖ τῷ ἡμετέρῳ, ἀπεκρίνατο πάντων τῶν πολιτῶν ἐναντίον ὅτι οὐδὲν πονηρὸν ἐγκαλεῖ, καὶ ἐμαρτύρησεν ὡς ὀργιζόμενος ἐκείνῳ καὶ οὐκ ὀρθῶς βουλευόμενος ταῦτα διέθετο. Πῶς γὰρ ἂν εὖ φρονῶν, ὦ ἄνδρες, κακῶς ποιεῖν ἡμᾶς ἐβουλήθη, τοὺς μηδὲν αὐτὸν ἠδικηκότας; (12) Ὕστερον δὲ τούτων, ὃ μέγιστον ἡμῖν τεκμήριον ὅτι οὐδὲ ταῦτα ἔπραξεν ἡμᾶς βλάπτειν βουλόμενος· τελευτήσαντος γὰρ Δεινίου καὶ τῶν πραγμάτων ἡμῖν πονηρῶς ἐχόντων οὐδὲ περιεῖδεν ἡμᾶς οὐδενὸς ἐνδεεῖς ὄντας, ἀλλ' αὐτοὺς μὲν εἰς τὴν οἰκίαν τὴν αὑτοῦ κομισάμενος ἐπαίδευε, τὴν δ' οὐσίαν ἀφελέσθαι τῶν χρήστων ἐπιβουλευσάντων ἔσωσεν ἡμῖν, ἐπεμελεῖτό τε ὁμοίως τῶν ἡμετέρων ὥσπερ τῶν αὑτοῦ πραγμάτων. (13) Καίτοι χρὴ θεωρεῖν αὐτοῦ τὴν ἔννοιαν ἐκ τούτων τῶν ἔργων μᾶλλον ἢ ἐκ τῶν διαθηκῶν, καὶ τεκμηρίοις χρῆσθαι μὴ τοῖς μετ' ὀργῆς πραχθεῖσιν, ἐν οἷς ἅπαντες πεφύκαμεν ἁμαρτάνειν, ἀλλ' ἀφ' ὧν ὕστερον φανερὰν τὴν αὑτοῦ διάνοιαν ἐποίησεν. Ἔτι γὰρ μᾶλλον ἐν τοῖς τελευταίοις ἐδήλωσεν ὡς εἶχε πρὸς ἡμᾶς. (14) Ἤδη γὰρ ἀσθενῶν ταύτην τὴν νόσον ἐξ ἧς ἐτελεύτησεν, ἐβου-

detur nempe, judices, animus erga nos mutuus non idem nobis esse. Nam ego quidem non hoc fero ægerrime quod in hoc certamen per nefas conjectus sum, sed quod commissus sum cum necessariis, quorum ne repellere quidem insultus satis decorum sit; non enim minor calamitas esse mihi videtur defensione mea lædere necessarios, quam priorem ab iis injuria affici : (7) hi contra prorsus alio animo sunt; in arenam prodeuntes cum agmine amicorum convocato et manu oratorum conscripta, copiarum suarum partem nullam sibi reliquam fecerunt, quasi inimicos ultum irent, non necessarios et cognatos læsum. (8) Verum melius adhuc eorum impudentiam et fœdam cupiditatem intelligetis, ubi totam rei gestæ rationem acceperitis : unde autem citissime rem mihi videamini percepturi de qua contendimus, inde exponendi faciam exordium.

9. Dinias patris nostri frater orbos nos factos in tutela habuit. Sed Cleonymus, o viri, cum eo dissidebat. Dissidii princeps uter eorum fuerit nescio an me minus deceat quærere; hactenus tamen eos mihi videor merito posse reprehendere, quod cognati quum essent nullaque idonea causa simultatis intercessisset, e sermonibus quibusdam tam inconsulto simultates susceperint. (10) Ipse quidem Cleonymus nobis postmodum ut e morbo convaluit affirmavit, isto jurgio se motum illud testamentum scripsisse, non quo nobis succenseret, sed metuens ne moriendum sibi esset nobis adhuc pupillis et in Diniæ tutela constrictis, adeo ut Dinias bonorum suorum (Cleonymi puta) arbiter esset futurus : nam grave et acerbum sibi ducebat si hominem inimicissimum moriens et necessariorum relinqueret tutorem et bonorum suorum arbitrum; porro si is a quo superstes dissidebat, mortuo sibi, donec nos adolevissemus, inferias faceret. Hac mente Cleonymus, sive jure sive injuria, testamentum illud scripsit. (11) Quo facto quum Dinias eum protinus interrogaret, num aut de nobis aut de patre nostro haberet quod quereretur, respondit Cleonymus coram civibus omnibus se nil de nobis queri, sed sua cum Dinia simultate abreptum neque recto usum consilio se testamentum hoc scripsisse testatus est. Et qui tandem potuisset, recte si sapuisset, malum nobis dare voluisse qui nihil eum offenderamus? (12) Post hæc vero (id quod luculentissime probat non ideo illud eum fecisse, quo nos læderet), Dinia scilicet vita defuncto, quum res nostræ male se haberent, non passus est Cleonymus ullius rei nos egere, sed ipsos nos in domum suam translatos educavit, patrimoniumque nobis conservavit cui creditores insidiabantur, et negotia nostra perinde atque sua propria curavit. (13) Atqui animum ejus erga nos qui fuerit magis ex his ejus moribus quam e tabulis testamenti spectare oportet, et argumentari non ex iis quæ percitus iracundia egit — qua occæcatus quis mortalium non labatur? —, sed ex illis per quæ postmodum veram animi sui sententiam patefecit. Verum adhuc magis hunc animum suum in articulo mortis constitutus declaravit. (14) Jam enim ex illa decumbens valetudine quæ eum sustulit, volens illud testamentum tol-

λήθη ταύτας τὰς διαθήκας ἀνελεῖν καὶ προσέταξε Ποσειδίππῳ τὴν ἀρχὴν εἰσαγαγεῖν. Ὁ δὲ οὐ μόνον οὐκ εἰσήγαγεν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν ἀπέπεμψεν. Ὀργισθεὶς δὲ τούτῳ Κλεώνυμος πάλιν ἐς τὴν ὑστεραίαν Διοκλεῖ καλέσαι τοὺς ἄρχοντας προσέταξε· καὶ οὐχ οὕτως ἀσθενῶς διακείμενος, ἀλλ' ἔτι πολλῶν οὐσῶν ἐλπίδων ἐξαπίνης τῆς νυκτὸς ταύτης ἀπέθανεν.

15. Πρῶτον μὲν οὖν ὑμῖν παρέξομαι μάρτυρας ὡς οὐχ ἡμῖν ἐγκαλῶν, ἀλλὰ Δεινίᾳ πολεμῶν ταύτας τὰς διαθήκας διέθετο, ἔπειτα ὡς ἐκείνου τελευτήσαντος ἐπεμελεῖτό τε τῶν ἡμετέρων ἁπάντων, καὶ αὐτοὺς ἐπαίδευεν εἰς τὴν οἰκίαν τὴν αὑτοῦ κομισάμενος, πρὸς δὲ τούτοις ὡς Ποσείδιππον ἔπεμψεν ἐπὶ τὸν ἀστυνόμον, οὗτος δ' οὐ μόνον αὐτὸς οὐκ εἰσεκάλεσεν, ἀλλὰ καὶ ἐλθόντα ἐπὶ τὴν θύραν Ἀρχωνίδην ἀπέπεμψεν. (16) Ὡς οὖν ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Ἔτι τοίνυν ὡς οἱ τούτων φίλοι καὶ Κηφίσανδρος ἠξίουν νείμασθαι τὴν οὐσίαν καὶ τὸ τρίτον μέρος ἡμᾶς ἔχειν ἁπάντων τῶν Κλεωνύμου, καὶ τούτων μοι κάλει
37 μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

17. Ἡγοῦμαι μὲν τοίνυν, ὦ ἄνδρες, πᾶσι τοῖς τῶν κλήρων ἀμφισβητοῦσιν, ὅταν ἀποφήνωσι σφᾶς αὐτοὺς ὥσπερ ἡμεῖς καὶ τῷ γένει προτέρους ὄντας καὶ τῇ φιλίᾳ τῇ πρὸς τὸν τετελευτηκότα, περίεργον εἶναι τοὺς ἄλλους λόγους λέγειν· ἐπειδὴ δὲ τούτων οὐδέτερον ἔχοντες οὗτοι τολμῶσι τῶν οὐ προσηκόντων ἀμφισβητεῖν καὶ ψευδεῖς παρασκευάζονται λόγους, βούλομαι βραχέα καὶ περὶ τούτων αὐτῶν εἰπεῖν. (18) Ἰσχυρίζονται γὰρ ταῖς διαθήκαις, λέγοντες ὡς Κλεώνυμος μετεπέμπετο τὴν ἀρχὴν οὐ λῦσαι βουλόμενος αὐτάς, ἀλλ' ἐπανορθῶσαι καὶ βεβαιῶσαι σφίσιν αὐτοῖς τὴν δωρεάν. Ὑμεῖς δὲ σκοπεῖσθε τὰς διαθήκας τὰς μετ' ὀργῆς γενομένας πότερα εἰκός ἐστι βουληθῆναι Κλεώνυμον ἀνελεῖν, ἐπειδὴ πρὸς ἡμᾶς οἰκείως ἔσχεν, ἢ σκοπεῖν ὅπως ἔτι βεβαιότερον ἡμᾶς ἀποστερήσει τῶν αὑτοῦ. (19) Τοῖς μὲν γὰρ ἄλλοις κἀκείνων ὧν ἂν ὀργισθέντες τοὺς οἰκείους ἀδικήσωσιν ὕστερον μεταμέλει· οὗτοι δὲ ἐκεῖνον ἀποφαίνουσιν, ἐν ᾧ πρὸς ἡμᾶς οἰκειότατα διέκειτο, μᾶλλον βεβαιοῦν τὴν διαθήκην βουλόμενον, ἣν ὀργιζόμενος ἐποιήσατο. Ὥστ' εἰ καὶ ἡμεῖς ὁμολογήσομεν ταῦτα καὶ ὑμεῖς αὐτοὶ πιστεύσετε, ἐνθυμεῖσθε ὅτι παράνοιαν αὐτοῦ τὴν μεγίστην οὗτοι κατηγοροῦσι. (20) Τίς γὰρ ἂν γένοιτο ταύτης μανία μείζων, ἢ τότε μὲν ὅτε Δεινίᾳ διάφορος ὢν ἔτυχεν, ἡμᾶς κακῶς ποιεῖν τε καὶ διατίθεσθαι τοιαύτας διαθήκας, ἐξ ὧν οὐκ ἐκεῖνον ἐτιμωρεῖτο, ἀλλὰ τοὺς οἰκειοτάτους ἠδίκει· νυνὶ δὲ χρώμενος ἡμῖν καὶ περὶ πλείστου ποιούμενος ἁπάντων, μόνους ἐβουλήθη τοὺς ἀδελφιδοῦς, ὡς οὗτοί φασιν, ἀκλήρους ποιῆσαι τῶν ἑαυτοῦ. Καὶ τίς ἂν εὖ φρονῶν, ὦ ἄνδρες,

lere, Posidippo mandabat ut magistratum arcesseret. Ille vero magistratum in domum Cleonymi non modo non induxit, sed ultro quoque venientem exclusit. Quam ob fraudem Cleonymus Posidippo iratus injunxit Diocli ut proximo die archontas advocaret : verum hæc quum præcepisset Cleonymus, non ut conclamate cubans, sed ut in nonnulla spe rursus adhuc convalescendi, subito proxima nocte exstinctus est.

15. Primum itaque testes coram vobis producam, confirmaturos Cleonymum illud testamentum non ex offensione a nobis accepta, sed quod cum Dinia simultatem gereret, scripsisse; deinde Dinia mortuo Cleonymum res nostras omnes procurasse, ipsosque nos suam in domum translatos educasse; postremo quod, quum Cleonymus Posidippum ad ædilem allegasset, Posidippus ædilem non modo non arcesserit, sed ultro quoque ad ostium venientem Archonidem rejecerit. (16) Hæc me vera dicere, testes cita.

TESTES.

Præterea quoque ut horum [Posidippi et Dioclis] amici et Cephisander æquum censuerunt hereditatem dividi et nos tertiam universæ substantiæ partem a Cleonymo relictæ adipisci, etiam hujus rei cita testes.

TESTES.

17. Jam existimo equidem, judices, quicunque super hereditatibus contendant, ubi planum fecerint sese defunctos proxima sanguinis necessitudine contingere arctissimaque familiaritate cum iis fuisse conjunctos, reliquis omnibus argumentationibus ut supervacaneis supersedere posse; quia tamen hi adversarii nostri, tametsi neutrum horum pro se afferre possint, nihilominus tamen de alienis bonis contendere conantur et mendacia ad hoc componunt, etiam de his brevissima quædam exponam. (18) Fatentes igitur ædilem a Cleonymo arcessitum esse, causantur id eo fecisse Cleonymum, ut testamentum non rescinderet, sed corrigeret donationemque ipsis decretam confirmaret. Vos autem, judices, reputate, utrum credibilius sit Cleonymum, quo tempore nos caritate summa prosequeretur, eo voluisse testamentum per iracundiam scriptum rescindere, an id egisse quo nos bonis suis hoc certius privaret. (19) Reliqui quidem homines, si qua in re necessarios per iracundiam læserint, pœnitentia postmodum ducti errorem emendant : hi vero Cleonymum aiunt, quo tempore studio nos prosequebatur calidissimo, eo ipso testamentum esse confirmatum per iracundiam in damnum nostrum scriptum. Quod ipsum etiamsi nos largiremur verum esse et vos quoque crederetis, vos tamen una id quoque reputare oporteret, hos id jactantes Cleonymum summi furoris insimulare. (20) Ecquis enim major esse possit furor quam, si tum quidem, quo tempore simultates cum Dinia exercebat, nostrum in damnum testamentum scripsisset, quo non inimicum ultus esset, sed nos læsisset; postmodum autem, tametsi nos omnium maximi fecisset, tamen hereditatis suæ exsortes, id quod hi aiunt, nos declarare voluisset qui ejus e fratre nepotes essemus? Ecquis, o judices, homo recte

τοιαῦτα περὶ τῶν αὑτοῦ βουλεύσαιτο; (21) Ὥστ' ἐκ τούτων τῶν λόγων ῥᾳδίαν ὑμῖν τὴν διάγνωσιν πεποιήκασι περὶ αὐτῶν. Εἰ μὲν γὰρ ἀνελεῖν τὰς διαθήκας βουλόμενος μετεπέμπετο τὴν ἀρχήν, ὥσπερ ἡμεῖς φαμεν, οὐδεὶς ἔνεστι τούτοις λόγος· εἰ δ' οὕτω παραφρονῶν ἔτυχεν ὥσθ' ἡμᾶς περὶ ἐλαχίστου ποιεῖσθαι, τοὺς γένει πρωτεύοντας καὶ χρωμένους αὐτῷ πάντων οἰκειότατα, δικαίως ἂν δήπου τὰς τοιαύτας διαθήκας ἀκύρους ποιήσαιτε. (22) Ἔτι τοίνυν ἐνθυμεῖσθε ὅτι φάσκοντες καλεῖν τὴν ἀρχὴν Κλεώνυμον, ἵνα βεβαιώσῃ τὴν αὐτῶν δωρεάν, προσταχθὲν αὐτοῖς οὐκ ἐτόλμησαν εἰσαγαγεῖν, ἀλλὰ καὶ τὸν ἐλθόντα τῶν ἀρχόντων ἐπὶ τὴν θύραν ἀπέπεμψαν. Καὶ δυοῖν τοῖν ἐναντιωτάτοιν θάτερα μέλλοντες, ἢ τὴν οὐσίαν ἕξειν βεβαιοτέραν ἢ ἐκείνῳ μὴ ποιήσαντες ἀπεχθήσεσθαι, τὴν ἀπέχθειαν εἵλοντο μᾶλλον ταύτης τῆς δωρεᾶς. (23) Καίτοι πῶς ἂν ἕτερα τούτων γένοιτο ἀπιστότερα; τοὺς μὲν τηλικαῦτα μέλλοντας ἐκ τοῦ πράγματος κερδαίνειν, ὥσπερ ζημιωθησομένους, φυλάξασθαι τὴν διακονίαν, Κλεώνυμον δ' ὑπὲρ τῆς τούτων ὠφελείας τοσαύτην ποιήσασθαι σπουδὴν ὥστε Ποσειδίππῳ μέν, ὅτι κατημέλησεν, ὀργισθῆναι, Διοκλέους δὲ ταῦτα πάλιν ἐς τὴν ὑστεραίαν δεηθῆναι; (24) Εἰ γὰρ δή, ὦ ἄνδρες, ὡς οὗτοί φασιν, ἐν ταῖς νῦν γεγραμμέναις διαθήκαις ἔδωκεν αὐτοῖς τὴν οὐσίαν, καὶ τοῦτ' ἄξιον εἶναί μοι δοκεῖ θαυμάζειν, ὅ τί ποτε ἐπανορθώσας κυριωτέρας αὐτὰς ἡγοῖτ' ἂν ποιῆσαι· τοῖς γὰρ ἄλλοις οὗτος ὅρος ἐστίν, ὦ ἄνδρες, τῶν δωρεῶν. (25) Ἔτι δὲ καὶ εἴ τι προσγράψαι τούτοις ἐβούλετο, διὰ τί οὐκ ἐν ἑτέρῳ γράψας αὐτὰ γραμματείῳ κατέλιπεν, ἐπειδὴ τὰ γράμματα παρὰ τῶν ἀρχόντων οὐκ ἐδυνήθη λαβεῖν; Ἀνελεῖν μὲν γάρ, ὦ ἄνδρες, οὐχ οἷός τ' ἦν ἄλλο γραμματεῖον ἢ τὸ παρὰ τῇ ἀρχῇ κείμενον· γράψαι δ' ἐξῆν εἰς ἕτερον εἴ τι ἐβούλετο, καὶ μηδὲ τοῦθ' ἡμῖν ἀμφισβητήσιμον ἐᾶν. (26) Εἰ τοίνυν καὶ τοῦτο συγχωρήσαιμεν, ὡς ἐκεῖνος ἐπανορθῶσαι τὰς διαθήκας ἐβούλετο, πᾶσι δήπου φανερὸν ὑμῖν ἐστιν ὅτι οὐκ ὀρθῶς αὐτὰς ἔχειν ἡγεῖτο. Καίτοι σκοπεῖτε καὶ ἐντεῦθεν τὴν ἀναισχυντίαν αὐτῶν, οἵτινες ταύτας τὰς διαθήκας ἀξιοῦσιν εἶναι κυρίας, ἃς ὁμολογοῦσι μηδ' αὐτὸν τὸν διαθέμενον ταῦτα ὀρθῶς ἔχειν ἡγεῖσθαι, καὶ πείθουσιν ὑμᾶς ἐναντία καὶ τοῖς νόμοις καὶ τῷ δικαίῳ καὶ τῇ τοῦ τετελευτηκότος γνώμῃ ψηφίσασθαι. (27) Ἔτι τοίνυν τούτων ἁπάντων ἀναιδέστατος τῶν λόγων ἐστίν, ὅταν τολμῶσι λέγειν ὡς Κλεώνυμος οὐδὲν ἡμᾶς τῶν αὑτοῦ λαβεῖν ἐβούλετο. Καίτοι, ὦ ἄνδρες, τίνας ἂν ἄλλους ταῦτα ἔχειν ἐβουλήθη μᾶλλον ἢ τούτους, οὓς καὶ ζῶν ἐκ τῶν αὑτοῦ πλεῖστα τῶν οἰκείων ὠφέλει; (28) Πάντων δ' ἂν εἴη θαυμασιώτατον, εἰ Κηφίσανδρος μὲν ὁ τούτων οἰκεῖος δίκαιον ἡγεῖτο εἶναι μέρος ἕκαστον ἡμῶν ἔχειν τῆς οὐσίας, Κλεώνυμος δ' ὃς ἦν ἡμῖν οἰκειότατος καὶ ἡμᾶς εἰς τὴν οἰκίαν τὴν αὑτοῦ λαβὼν ἐθεράπευε καὶ ἐπεμελεῖτο τῶν ἡμετέρων ὥσπερ τῶν αὑτοῦ πραγμάτων, οὗτος μόνος ἐβούλετο ἡμᾶς ἀκλήρους εἶναι τῶν αὑτοῦ. (29) Καὶ

sapiens de propinquissimis tam iniqua decernat? (21) Verum per has ipsas causationes facilem vobis, o judices, litis disceptationem reddiderunt. Sive enim Cleonymus eo jussit magistratum arcessi quo testamentum rescinderet, uti nos dicimus, prætensio illis omnis est erepta; sin autem revera tam furiosus fuit Cleonymus, ut minimi semper nos faceret necessarios suos, qui tum sanguine proxime ipsum attingeremus, tum eo semper usi fuissemus familiarissime, jure vos, o judices, ejusmodi testamentum rescinderetis ipsi. (22) Præterea hoc quoque meminisse vos velim. Cleonymum hi aiunt eo arcessi jussisse ædilem, quo decretam ipsis donationem confirmaret: et nihilominus tamen huic mandato adversari magistratumque non modo non arcessere, sed etiam ultro venientem excludere foribus ausi sunt; et quum ex duobus contrariis prorsus alterutrum futurum esset, ut aut hereditatem hoc certius tenerent, aut Cleonymi, si minus mandata facerent, in offensionem incurrerent, illum lædere quam donum ab eodem percipere maluerunt. (23) Atqui nihil his incredibilius esse potest: eos videlicet qui arcessito magistratu tantum lucrum essent acquisituri, quasi damnum metuerent, a mandati executione abstinuisse; Cleonymum autem horum utilitatis tantam curam gessisse, ut et Posidippo, qui mandatum neglexisset, irasceretur, et Dioclem ut in crastinum vocaret magistratum rogaret. (24) Quodsi, o viri, testamento illis legaverat Cleonymus facultates, ut ipsi aiunt, mirum mihi videtur, quod emendando firmius illud se effecturum existimaverit: reliqui enim homines, quum testamentum scripserunt, extremum fecisse quod fieri in donationibus potest putant. (25) Quodsi addere aliquid jam scriptis voluit, cur codicillos non condidit, quoniam ipsum testamenti exemplum a magistratibus auferre non potuerat? Et abolere quidem nonnisi eam scripturam poterat, quam apud magistratus deposuerat: licebat tamen eidem aliam condere, si collibuisset, omnemque nobis in posterum controversiam de medio tollere. (26) Nunc si forte concedamus, voluisse Cleonymum tabulas emendare, jam certe omnibus patet se eas recte fecisse non esse arbitratum. Atque ex hoc etiam adversariorum impudentiam discite, qui illud testamentum ratum esse confirmant, quod ipsum testatorem fatentur non bene a se conditum judicasse, vobisque suadent ut contra leges et æquitatem et ipsius defuncti voluntatem sententiam feratis. (27) Ille vero est omnium impudentissimus sermo, quum dicere audent Cleonymum nihil suarum facultatum a nobis percipi voluisse. Atqui, o viri, quosnam alios eas habere maluisset quam nos, quos et præ omnibus necessariis re familiari sua vivens juvabat? (28) Multo autem mirabilissimum esset, si, quum Cephisander adversariorum nostrorum cognatus æquum censeat nos quoque in partem hereditatis vocari, Cleonymus contra nobis affinitate longe conjunctior quique nos in familiaritatem suam receptos educavit resque nostras non secus ac suas cordi habuit, is (inquam) unus nos ab hereditate depellere voluisset. (29) Jam quis vestrûm sibi persuadeat

τίς ἂν ὑμῶν πιστεύσειεν εὐνουστέρους καὶ μετριωτέρους τοὺς ἀντιδίκους ἡμῖν εἶναι τῶν οἰκειοτάτων; κἀκεῖνον μέν, ᾧ καὶ ἀναγκαῖον εὖ ποιεῖν ἡμᾶς καὶ αἰσχρὸν ἡμῶν ἀμελῆσαι, μηδὲν τῶν αὐτοῦ ἡμῖν δοῦναι· τούτους δέ, οἷς οὔτ' ἀνάγκη ἐστὶν οὔτ' αἰσχύνην οὐδεμίαν φέρει, τῶν οὐ προσηκόντων, ὥς φασιν, ἡμῖν μεταδιδόναι; Ἀλλὰ ταῦτα μέν, ὦ ἄνδρες, πολλὴν ἀπιστίαν ἔχει.

30. Ἔπειτα, εἰ μὲν καὶ νῦν οὕτω πρὸς ἀμφοτέρους ἡμᾶς ἔχων ἐτελεύτησεν, ὥσπερ ὅτε τὰς διαθήκας ταύτας ἐποιήσατο, εἰκότως ἄν τις ὑμῶν πιστεύσαι τοῖς λόγοις τοῖς τουτωνί· νυνὶ δὲ πᾶν τοὐναντίον εὑρήσετε. Τότε μὲν γὰρ ἔτυχε Δεινίᾳ, ὃς ἡμᾶς ἐπετρόπευε, διάφορος ὢν ἡμῖν τε οὔπω χρώμενος τούτοις τε ἅπασιν ἐπιτηδείως διακείμενος· νῦν δὲ τούτων μέν τισι διάφορος ἐγένετο, ἡμῖν δὲ πάντων ἐχρῆτο οἰκειότατα. (31) Καὶ ἐξ ὧν μὲν αὐτῷ πρὸς τούτους ἐγένετο ἡ διαφορά, περίεργόν ἐστι λέγειν· σημεῖα δ' ὑμῖν ἐρῶ μεγάλα, περὶ ὧν καὶ μάρτυρας ἕξω παρασχέσθαι. Πρῶτον μὲν γὰρ θύων τῷ Διονύσῳ, καὶ τοὺς οἰκείους ἅπαντας καλέσας καὶ τῶν ἄλλων πολιτῶν πολλούς, Φερένικον οὐδαμοῦ παρεστήσατο. Ἔπειτα μικρὸν πρὶν τελευτῆσαι βαδίζων εἰς Πάνορμον μετὰ Σίμωνος, καὶ συντυχὼν αὐτῷ, προσειπεῖν οὐκ ἐτόλμησεν. (32) Ἔτι δὲ πρὸς τούτοις πυνθανομένου τὴν διαφορὰν τοῦ Σίμωνος τήν τ' ἔχθραν διηγήσατο, καὶ προσηπείλησεν ὅτι δηλώσοι ποτ' ἂν τούτῳ ὡς διάκειται πρὸς αὐτόν. Καὶ ὡς ἀληθῆ λέγω, κάλει μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

33. Οἴεσθε οὖν, ὦ ἄνδρες, τὸν οὑτωσὶ πρὸς ἑκατέρους ἡμᾶς διακείμενον ἡμῖν μέν, οἷς οἰκειότατα ἐχρῆτο, οὕτω ποιεῖν ὥστε μηδὲ λόγον ὑπολείψειν, τούτοις δέ, ὧν τισι καὶ διάφορος ἦν, σκοπεῖν ὅπως ἅπασαν βεβαιώσει τὴν οὐσίαν; καὶ τούτους μὲν νῦν περὶ πλείονος ποιεῖσθαι ταύτης ὑπούσης τῆς ἔχθρας, ἡμᾶς δὲ τοσαύτης οἰκειότητος καὶ φιλίας γενομένης πειρᾶσθαι μᾶλλον κακῶς ποιεῖν; (34) Ἀλλ' ἔγωγε, εἰ κατηγορεῖν ἐβούλοντο τῶν διαθηκῶν ἢ τοῦ τετελευτηκότος, οὐκ οἶδ' ὅ τι ἂν ἄλλο πρὸς ὑμᾶς εἶπον, οἵ γε τὰς διαθήκας μὲν ἀποφαίνουσιν οὔτ' ὀρθῶς ἐχούσας οὔτ' ἀρεσκούσας τῷ διαθεμένῳ, τοῦ δὲ τοσαύτην μανίαν κατηγοροῦσιν, ὥστε φασὶν αὐτὸν περὶ πλείονος ποιεῖσθαι τοὺς αὐτῷ διαφερομένους ἢ τοὺς οἰκείως χρωμένους, καὶ οἷς μὲν ζῶν οὐ διελέγετο ἅπασαν δοῦναι τὴν οὐσίαν, τοὺς δ' οἰκειότατα κεχρημένους οὐδὲ πολλοστοῦ μέρους ἀξιῶσαι. (35) Ὥστε τίς ἂν ὑμῶν ταύτας εἶναι κυρίας τὰς διαθήκας ψηφίσαιτο, ἃς ὁ μὲν διαθέμενος ὡς οὐκ ὀρθῶς ἐχούσας ἀπεδοκίμασεν, οὗτοι δ' ἔργῳ λύουσιν ἐθέλοντες ἡμῖν ἰσομοιρῆσαι τῆς οὐσίας, πρὸς δὲ τούτοις ἡμεῖς ὑμῖν ἀποφαίνομεν ἐναντίας οὔσας καὶ τῷ νόμῳ καὶ τοῖς δικαίοις καὶ τῇ τοῦ τετελευτηκότος διανοίᾳ;

36. Οἶμαι δ' ὑμᾶς τὸ περὶ ἡμῶν δίκαιον σαφέστατ' ἂν παρ' αὐτῶν τούτων πυνθάνεσθαι. Εἰ γάρ τις αὐτοὺς

adversarios benevolentiores esse erga nos quam hominem conjunctissimum? et eum quidem, cui plane necessarium erat nobis benefacere et turpe negligere, nihil suarum facultatum nobis dedisse; hos vero, quibus nulla necessitas benefaciendi est neque ulla ex neglectu ignominia imminet, nobiscum ea bona communicare, quæ, ut aiunt, ad nos prorsus non attinent? Hæc, inquam, o viri, a fide vehementer abhorrent.

30. Præterea si, quum Cleonymus obiit, eo adhuc animo erga nos et adversarios nostros fuisset, quem gessit quum testamentum scribebat, æquum foret vos sermonibus adversariorum fidem adjungere: nunc autem plane contrarium deprehendetis. Olim quippe nobis tutor erat Dinias, invisus Cleonymo, qui necdum consuetudine nostra utebatur, et his omnibus adversariis nostris erat familiaris: postea vero et horum nonnullis factus est inimicus Cleonymus, et nobis familiarissimus esse cœpit. (31) Et qua quidem de causa Cleonymi animus ab adversariis nostris aversus sit, otiosum est dicere: rei tamen ipsius magna indicia exhibebo, quæ quidem per testes confirmabo. Nam primum quum Baccho sacrum faceret Cleonymus, omnesque necessarios multosque e civibus advocasset, Pherenicum prorsus non invitavit. Rursus paullo ante obitum quum Panormum iret Simone comite, occurrissetque forte eidem Pherenico, non tulit eum salutare. (32) Præterea quum de ea simultate sciscitaretur Cleonymum Simon, ille et odium aperte fassus est, et minatus etiam se quo animo in Pherenicum esset ostensurum. Ut autem constet me vera dicere, testes voca.

TESTES.

33. Postquam igitur cognovistis, o viri, quomodo erga nos adversariosque nostros affectus fuerit Cleonymus, num putabitis eum adversus nos, quibuscum amicissime versabatur, ita se gessisse ut ne appellaret quidem in tabulis; his autem, quorum nonnullis erat infensus, magnopere curasse ut universam hereditatem assereret? eosdemque hac simultate intercedente plurimi fecisse; nos vero, quibuscum erat ei tanta necessitudo et benevolentia, maluisse damno afficere? (34) Sane, si isti vellent aut tabulas aut mortuum vituperare, haud scio quidnam aliud apud vos essent dicturi, quum videlicet et tabulas haud recte confectas significent et ipsi testatori non probatas, eundem vero tam furiosum declarent, ut ab eo inimicos pluris factos affirment quam familiares, et iis quos vivens non alloquebatur facultates ab eodem esse legatas, consuetudine autem devinctis ne partem quidem aliquantam fuisse donatam. (35) Quare quis vestrûm eas tabulas esse ratas decernat, quas testator ipse ut inique factas improbavit, adversarii autem reapse abrogant, quum a nobis quoque æquam portionem hereditatis percipiendam censent: ad hæc vobis etiam demonstrare nos possumus hasce tabulas et legibus et æquitati et ipsius testantis menti adversari.

36. Existimo autem jus nostrum vos ab ipsis adversariis evidentissime posse cognoscere. Nam si quis eos roget cur

ἔροιτο διὰ τί ἀξιοῦσι κληρονόμοι γενέσθαι τῶν Κλεωνύμου, τοῦτ' ἂν εἰπεῖν ἔχοιεν, ὅτι καὶ γένει ποθὲν προσήκουσι καὶ ἐκεῖνος αὐτοῖς χρόνον τινὰ ἐπιτηδείως διέκειτο. Οὐκ ἂν ἄρα ὑπὲρ ἡμῶν μᾶλλον ἢ ὑπὲρ σφῶν αὐτῶν εἶεν εἰρηκότες; (37) Εἴ τε γὰρ διὰ τὴν τοῦ γένους ἀγχιστείαν δεῖ γενέσθαι τινὰς κληρονόμους, ἡμεῖς ἐγγυτέρω γένει προσήκομεν· εἴ τε διὰ τὴν φιλίαν τὴν ὑπάρχουσαν, ἴσασιν αὐτὸν ἅπαντες ἡμῖν οἰκειότερον διακείμενον. Ὥστ' οὐ χρὴ παρ' ἡμῶν, ἀλλὰ καὶ παρ' αὐτῶν τούτων πυνθάνεσθαι τὸ δίκαιον. (38) Πάντων δ' ἂν εἴη δεινότατον, εἰ τοῖς μὲν ἄλλοις ψηφίζοισθε, ὅταν θάτερα τούτων ἀποφαίνωσι σφᾶς αὐτούς, ἢ γένει προτέρους ὄντας ἢ τῇ φιλίᾳ τῇ πρὸς τὸν τετελευτηκότα, ἡμᾶς δ' οἷς ἐστιν ἀμφότερα ταῦτα παρὰ πάντων ὁμολογούμενα, ἀξιώσετε μόνους ἀκλήρους ποιῆσαι τῶν ἐκείνου.

39. Καὶ εἰ μὲν Πολύαρχος ὁ πατὴρ ὁ Κλεωνύμου, πάππος δ' ἡμέτερος, ζῶν ἐτύγχανε καὶ τῶν ἐπιτηδείων ἐνδεὴς ὤν, ἢ Κλεώνυμος ἐτελεύτησε θυγατέρας ἀπορουμένας καταλιπών, ἡμεῖς ἂν διὰ τὴν ἀγχιστείαν καὶ τὸν πάππον γηροτροφεῖν ἠναγκαζόμεθα καὶ τὰς Κλεωνύμου θυγατέρας ἢ λαβεῖν αὐτοὶ γυναῖκας ἢ προῖκα ἐπιδιδόντες ἑτέροις ἐκδιδόναι, καὶ ταῦθ' ἡμᾶς καὶ ἡ συγγένεια καὶ οἱ νόμοι καὶ ἡ παρ' ὑμῶν αἰσχύνη ποιεῖν ἠνάγκαζεν ἄν, ἢ ταῖς μεγίσταις ζημίαις καὶ τοῖς ἐσχάτοις ὀνείδεσι περιπεσεῖν· (40) εἰ δ' οὐσία κατελείφθη, δίκαιον ἡγήσεσθ' εἶναι ταύτης ἑτέρους ὑμῶν μᾶλλον κληρονομεῖν, οὐκ ἄρα δίκαια οὐδ' ὑμῖν αὐτοῖς συμφέροντα οὐδὲ τοῖς νόμοις ὁμολογούμενα ψηφιεῖσθε, εἰ τῶν μὲν συμφορῶν τοὺς ἐγγυτάτω γένει κοινωνεῖν ἀναγκάσετε, χρημάτων δὲ καταλειφθέντων πάντας ἀνθρώπους κυριωτέρους ἢ τούτους ποιήσετε.

41. Χρὴ δέ, ὦ ἄνδρες, καὶ διὰ τὴν συγγένειαν καὶ διὰ τὴν τοῦ πράγματος ἀλήθειαν, ὅπερ ποιεῖτε, τοῖς κατὰ γένους ψηφίζεσθαι μᾶλλον ἢ τοῖς κατὰ διαθήκην ἀμφισβητοῦσι. Τὴν μὲν γὰρ τοῦ γένους οἰκειότητα πάντες ἐπιστάμενοι τυγχάνετε, καὶ οὐχ οἷόν τε τοῦτ' ἐστὶ πρὸς ὑμᾶς ψεύσασθαι· διαθήκας δ' ἤδη πολλοὶ ψευδεῖς ἀπέφηναν, καὶ οἱ μὲν τὸ παράπαν οὐ γενομένας, ἐνίων δ' οὐκ ὀρθῶς βεβουλευμένων. (42) Καὶ νῦν ὑμεῖς τὴν μὲν συγγένειαν καὶ τὴν οἰκειότητα τὴν ἡμετέραν, οἷς ἡμεῖς ἀγωνιζόμεθα, ἅπαντες ἐπίστασθε· τὰς δὲ διαθήκας, αἷς οὗτοι πιστεύοντες ἡμᾶς συκοφαντοῦσιν, οὐδεὶς ὑμῶν οἶδε κυρίας γενομένας. Ἔπειτα τὴν μὲν ἡμετέραν συγγένειαν εὑρήσετε καὶ παρ' αὐτῶν τῶν ἀντιδίκων ὁμολογουμένην, τὰς δὲ διαθήκας ὑφ' ἡμῶν ἀμφισβητουμένας· οὗτοι γὰρ τὸ ἀνελεῖν αὐτὰς ἐκείνου βουλομένου διεκώλυσαν. (43) Ὥσθ' ὑμῖν, ὦ ἄνδρες, πολὺ κάλλιόν ἐστι ψηφίσασθαι κατὰ τὸ γένος τὸ παρ' ἀμφοτέρων ἡμῶν ὁμολογούμενον μᾶλλον ἢ κατὰ τὰς διαθήκας τὰς οὐ δικαίως γεγενημένας. Πρὸς δὲ τούτοις ἐνθυμήθητε ὅτι αὐτὰς ἔλυσε μὲν Κλεώνυμος εὖ φρονῶν, διέθετο δὲ ὀργισθεὶς καὶ οὐκ ὀρθῶς βουλευόμενος· ὥστε πάντων ἂν εἴη δεινότατον, εἰ κυριωτέραν αὐτοῦ τὴν ὀργὴν ἢ τὴν διάνοιαν ποιήσετε.

sibi Cleonymi hereditatem vindicent, utique respondeant, quod et genere illum aliquantum attingant, et idem eos ad tempus aliquod benevolentia complexus sit. Jam vero utrum pro se an potius pro nobis hæc dixerint? (37) Nam sive propter generis affinitatem oportet fieri heredem, nos sanguine propinquiores sumus; sive propter affectum, omnibus prorsus exploratum est Cleonymum nemini vehementius quam nobis studuisse. Quare non ex nobis, sed ex adversariis jus hujus hereditatis adeundæ discendum est. (38) Iniquissimum autem esset si, quum ceteroqui pro iis suffragia ferre soleatis qui alterutrum ostenderint, se nimirum aut genere aut benevolentia priores fuisse apud mortuum, nos, quibus utrumque manifesto adest, solos indignos hereditate Cleonymi judicaretis.

39. Quodsi forte Polyarchus pater Cleonymi, avus noster, adhuc viveret et necessariis ad victum careret, aut si Cleonymus obiisset relictis filiabus pauperibus, nobis profecto propter propinquitatem tum avi senectam alere necesse foret, tum Cleonymi filias aut in matrimonium recipere aut dotatas aliis collocare; atque ita nos agere tum propinquitas et leges, tum etiam natura insitus pudor cogeret; secus enim et grandi mulctæ et summo dedecori fieremus obnoxii: (40) nunc contra si hereditas relicta est, æquum judicabitis hanc ad alios potius devenire? Næ vos sive recta sive vobis ipsis convenientia sive legibus consentanea non decerneretis, si nimirum proximos genere participes incommodorum esse cogeretis, bonorum autem relictorum quosvis potius quam hos dominos faceretis.

41. Ac sane oportet, o viri, et propter generis prærogativam et propter rei ipsius veritatem, ut reapse soletis, consanguineis potius quam in tabularum jure nitentibus vos suffragia tribuere. Nam generis quidem necessitudo omnibus explorata est, neque eadem apud vos confingi potest: tabulas contra multi falsas protulerunt, et quidem interdum omnino nullas, interdum vero quorundam qui non bene sua consilia agitaverunt. (42) Atqui affinitatem quidem et nostram necessitudinem, pro qua nos judicio certamus, vos omnes scitis: tabulas autem, quibus isti confisi negotium nobis facessunt, nemo vestrûm ratas esse novit. Insuper nostram quidem affinitatem etiam apud adversarios in confesso esse deprehendetis, testamentum autem a nobis in controversiam vocari, quoniam isti Cleonymum abolere illud volentem impediverunt. (43) Ut plane vobis, o viri, multo honestius sit suffragium ferre pro genere de quo neutra pars ambigit, quam pro testamento non juste confecto. Denique cogitate Cleonymum, quum placidus esset, illud abrogasse, confecisse, quum ira perturbaretur nec sapienter consilio uteretur: ut plane nefarium futurum sit, si magis ratam Cleonymi iram quam sanam ejusdem mentem habeatis.

44. Οἶμαι δ' ὑμᾶς καὶ λαμβάνειν παρὰ τούτων ἀξιοῦν καὶ μὴ τυγχάνοντας ἀγανακτεῖν, οἷς ἂν ὑπάρχῃ καὶ παρ' ὑμῶν τῶν αὐτῶν τυχεῖν. Εἰ τοίνυν συνέβη Κλεωνύμῳ μὲν ζῆν, ἐξερημωθῆναι δὲ τὸν ἡμέτερον οἶκον ἢ τὸν τούτων, σκέψασθε ποτέρων ἐκεῖνος ἐγίγνετο κληρονόμος· δίκαιον γάρ ἐστι τούτους ἔχειν τὰ ἐκείνου, παρ' ὧν ὠφείλετο καὶ λαβεῖν αὐτῷ. (45) Εἰ μὲν τοίνυν Φερένικος ἢ τῶν ἀδελφῶν τις ἐτελεύτησεν, οἱ παῖδες οἱ τούτων, οὐκ ἐκεῖνος ἐγίγνετο κύριος τῶν καταλειφθέντων· ἡμῶν δὲ τοιαύτῃ τύχῃ χρησαμένων Κλεώνυμος ἁπάντων ἐγίγνετο κληρονόμος. Οὔτε γὰρ παῖδες ἡμῖν ἦσαν οὔτ' ἄλλοι συγγενεῖς, ἀλλ' ἐκεῖνος καὶ γένει προσήκων ἐγγυτάτω καὶ τῇ χρείᾳ πάντων ἦν οἰκειότατος· (46) ὥστε διὰ ταῦτα καὶ οἱ νόμοι δεδώκασιν αὐτῷ, καὶ ἡμεῖς οὐδένα ἄλλον ἠξιώσαμεν ταύτης τῆς δωρεᾶς. Οὐ γὰρ δήπου ζῶντες μὲν οὕτως ἂν ἐνεχειρίσαμεν αὐτῷ τὴν οὐσίαν, ὥστε περὶ τῶν ἡμετέρων κυριωτέραν εἶναι τὴν ἐκείνου διάνοιαν τῆς ἡμετέρας αὐτῶν, ἀποθνήσκοντες δὲ ἄλλους κληρονόμους ἐβουλήθημεν αὐτῶν μᾶλλον ἢ τὸν πάντων οἰκειότατον. (47) Ὥσθ' ἡμᾶς μὲν ἐν ἀμφοτέροις, ὦ ἄνδρες, καὶ ἐν τῷ δοῦναι καὶ ἐν τῷ λαβεῖν οἰκείους ὄντας εὑρήσετε, τούτους δὲ νῦν μὲν ἀναισχυντοῦντας καὶ τὴν οἰκειότητα καὶ τὴν ἀγχιστείαν λέγοντας, ὅτι λήψεσθαί τι προσδοκῶσιν· ἐν δὲ τῷ δοῦναι πολλοὺς ἂν καὶ συγγενεῖς καὶ φίλους ἐκείνου προείλοντο οἰκειοτέρους.

48. Κεφάλαιον δὲ τῶν εἰρημένων, ᾧ πάντας ὑμᾶς προσέχειν δεῖ τὸν νοῦν· ὅσῳ γὰρ ἂν ταῦτα λέγοντες ἀποφαίνωσι καὶ πειρῶνται πείθειν ὑμᾶς ὡς ἐκεῖνος διέθετο ταύτας τὰς διαθήκας καὶ οὐδὲ πώποτε ὕστερον αὐτῷ μετεμέλησε, καὶ νῦν ἐβούλετο ἡμᾶς μὲν μηδὲν τῶν αὐτοῦ λαβεῖν, σφίσι δ' αὐτοῖς βεβαιῶσαι τὴν δωρεάν, (49) καὶ ταῦτα πάντα λέγοντες καὶ διισχυριζόμενοι μηδέτερον ἀποφαίνωσι, μήθ' ὡς ἐγγυτέρω γένει προσήκουσι μήθ' ὡς οἰκειότερον ἡμῶν πρὸς Κλεώνυμον διέκειντο, ὑμεῖς ἐνθυμεῖσθε ὅτι ἐκείνου κατηγοροῦσιν, ἀλλ' οὐχ ὡς δίκαιόν ἐστι τὸ πρᾶγμα διδάσκουσιν ὑμᾶς. (50) Ὥσθ' ὑμεῖς ὅταν μὲν τοῖς τούτων λόγοις πιστεύητε, οὐ τούτους προσήκει ποιῆσαι τῶν ἐκείνου κληρονόμους, ἀλλὰ παράνοιαν Κλεωνύμου καταγινώσκειν, ὅταν δὲ τοῖς ἡμετέροις, ἐκεῖνόν τε νομίζειν ὀρθῶς βεβουλεῦσθαι λῦσαι τὰς διαθήκας βουλόμενον, ἡμᾶς τε μὴ συκοφαντεῖν ἀλλὰ δικαίως τούτων ἀμφισβητεῖν. (51) Ἔπειτα, ὦ ἄνδρες, ἐνθυμεῖσθε ὅτι οὐχ οἷόντε ὑμῖν ἐστι κατὰ τοὺς τούτων λόγους γνῶναι περὶ αὐτῶν. Πάντων γὰρ ἂν εἴη δεινότατον, εἰ τῶν ἀντιδίκων γινωσκόντων ἡμᾶς δίκαιον εἶναι τὸ μέρος αὐτῶν λαβεῖν, ὑμεῖς ἅπαντ' αὐτοὺς ἔχειν ψηφίσαισθε, καὶ τούτους μὲν ἡγήσαισθε χρῆναι πλείω λαβεῖν ὧν αὐτοὶ σφᾶς αὐτοὺς ἠξίωσαν, ἡμᾶς δὲ μηδὲ τούτων ἀξιώσαιτε ὧν οἱ ἀντίδικοι συγχωροῦσιν ἡμῖν.

44. Puto insuper videri vobis æquum accipere, item vos ægre ferre si non accipiatis, ab iis quibus quidem invicem contingere posset ut aliquid a vobis consequerentur. Si igitur accidisset ut Cleonymus viveret, nostra autem aut adversariorum domus dominis orbaretur, considerate utrorum Cleonymus heres fieret : æquum enim est bona illius ad eos devenire, a quibus item bona ille esset consecuturus. (45) Itaque si Pherenicus aut aliquis ejus fratrum exstinctus esset, filii utique eorum, non Cleonymus, relictæ rei dominium invasissent : contra si nos ea fata obivissemus, Cleonymus ex asse heres fuisset. Neque enim nobis aut liberi sunt aut alii propinqui, ille autem genere proximus et usu præ omnibus familiaris : (46) quare et leges hereditatem eidem adjudicassent, imo nos ipsi neminem alium ejusmodi largitate donandum censuissemus. Neque enim viventes quidem ita Cleonymo rei nostræ rationes tradidissemus, ut in negotiis agundis firmior ejus esset sententia quam nostra, morientes autem alios heredes scribere maluissemus quam omnium maxime necessarium. (47) Quare nos, o Athenienses, et in dando et in accipiendo propinquitatis rationem sequi deprehendetis : adversarios autem nunc impudenter jactare necessitudinem et affinitatem, quia aliquid accipere exspectant; quum, si dandum foret, multos omnino et affines et amicos Cleonymo præponerent uti propinquiores.

48. Omnium quæ diximus caput est, cui et vos omnes mentem advertere necesse est : scilicet quanto magis adversarii asseverant vobisque suadere conantur Cleonymum et has reapse tabulas condidisse, neque deinceps pœnitentia ulla fuisse captum, nullamque partem bonorum suorum nunc voluisse nos assequi, sed donationem ipsis confirmare studuisse, (49) hæc inquam omnia quum dicant et argumentis comprobant, et nihilo tamen magis ostendunt se Cleonymo vel genere propiores quam nos vel benevolentia familiariores, vos reputate Cleonymum ab ipsis accusari, non rei æquitatem vos edoceri : (50) ut, si eorum orationi crederetis, non eis Cleonymi hereditatem decerni, sed Cleonymi vesaniam damnari a vobis oporteret : secus si nostræ orationi fidem adjungatis, sequitur ut illum existimetis recte deliberasse quum antiquare tabulas voluit, nos autem non calumniosam causam agere, sed jure hæc bona judicio persequi. (51) Ad extremum memineritis, o viri, fieri non posse ut suffragia pro adversariis nostris feratis, si vel ipsorum orationi mentem advertatis. Multo enim iniquissimum esset si, quum adversarii non detrectent hereditatem nobiscum communicare, vos illis universam adjudicaretis, et iisdem plura tribueretis quam ipsi sibi vindicant, nos autem ne ea quidem parte dignos censeretis quam ultro adversarii concedunt.

II.

ΠΕΡΙ ΤΟΥ ΜΕΝΕΚΛΕΟΥΣ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Μενεκλέους ποιησαμένου υἱὸν καὶ ἐπιβιώσαντος τῇ ποιήσει εἴκοσι τρία ἔτη, ἀδελφῶν ἀμφισβητησάντων τοῦ κλήρου ἐμαρτύρησέ τις Φιλωνίδης μὴ εἶναι τὸν κλῆρον ἐπίδικον, καταλείψαντος υἱὸν Μενεκλέους. Τούτῳ ἐπέσκηψαν ψευδομαρτυρίας οἱ ἀδελφοί, καὶ πρὸς τούτους ὁ παῖς ὑπὲρ αὐτοῦ τὴν ἀπολογίαν εἰσέρχεται. Ἔστι δὲ ὁ λόγος οὗτος ἐναντίος τῷ περὶ τοῦ Κλεωνύμου κλήρου· ἐκεῖ μὲν γὰρ ὑπὲρ συγγενείας εἶπεν, ὧδε δὲ ὑπὲρ διαθήκης Ἡ στάσις ἀντίληψις κατὰ στοχασμόν· λέγει γὰρ ὅτι ἐξῆν αὐτῷ ποιεῖν ἑαυτῷ υἱόν· εἶτα τὸ στοχαστικόν, ὅτι οὐ πεισθεὶς γυναικὶ ἐποιήσατό με.

Ἡγούμην μέν, ὦ ἄνδρες, εἴ τις καὶ ἄλλος ἐποιήθη ὑπό τινος κατὰ τοὺς νόμους, καὶ ἐγὼ ποιηθῆναι, καὶ οὐκ ἄν ποτε εἰπεῖν οὐδένα τολμῆσαι ὡς ἐποιήσατό με Μενεκλῆς παρανοῶν ἢ γυναικὶ πειθόμενος· ἐπειδὴ δὲ ὁ θεῖος οὐκ ὀρθῶς βουλευόμενος, ὡς ἐγώ φημι, πειρᾶται ἐξ ἅπαντος τρόπου τὸν ἀδελφὸν τὸν αὐτοῦ ἄπαιδα τεθνεῶτα καταστῆσαι, οὔτε τοὺς θεοὺς τοὺς πατρῴους οὔθ' ὑμῶν αἰσχυνόμενος οὐδένα, ἐμοὶ ἀνάγκη ἐστὶ πολλὴ βοηθεῖν τε τῷ πατρὶ τῷ ποιησαμένῳ με καὶ ἐμαυτῷ. (2) Διδάξω οὖν ὑμᾶς ἐξ ἀρχῆς ὡς προσηκόντως τε καὶ κατὰ τοὺς νόμους ἐγένετο ἡ ποίησις, καὶ οὐκ ἔστιν ἐπίδικος ὁ κλῆρος ὁ Μενεκλέους ὄντος ἐμοῦ υἱοῦ ἐκείνου, ἀλλ' ὁ μάρτυς διεμαρτύρησε τἀληθῆ. Δέομαι δ' ὑμῶν ἁπάντων καὶ ἀντιβολῶ καὶ ἱκετεύω μετ' εὐνοίας ἀποδέχεσθαί μου τοὺς λόγους.

3. Ἐπώνυμος γὰρ ὁ Ἀχαρνεύς, ὁ πατὴρ ὁ ἡμέτερος, ὦ ἄνδρες, φίλος ἦν καὶ ἐπιτήδειος Μενεκλεῖ, καὶ ἐχρῆτο οἰκείως· ἦμεν δὲ αὐτῷ παῖδες τέτταρες ἡμεῖς, δύο μὲν υἱεῖς, δύο δὲ θυγατέρες. Τελευτήσαντος δὲ τοῦ πατρὸς ἐκδίδομεν ἡμεῖς τὴν πρεσβυτέραν ἀδελφήν, ἐπειδὴ εἶχεν ὥραν, Λευκολόφῳ, προῖκα ἐπιδόντες εἴκοσι μνᾶς. (4) Καὶ ἀπ' ἐκείνου τοῦ χρόνου τετάρτῳ ἔτει ἢ πέμπτῳ ὕστερον ἥ τε ἀδελφὴ ἡμῖν ἡ νεωτέρα σχεδὸν ἡλικίαν εἶχεν ἀνδρὶ συνοικεῖν, καὶ τῷ Μενεκλεῖ ἡ γυνὴ τελευτᾷ ἣν εἶχε πρότερον. Ἐπειδὴ οὖν ἐκείνῃ τὰ νομιζόμενα ἐποίησεν ὁ Μενεκλῆς, ᾔτει τὴν ἀδελφὴν ἡμᾶς, ὑπομιμνήσκων τήν τε φιλίαν τὴν τοῦ πατρὸς καὶ ἑαυτοῦ, καὶ ὡς πρὸς ἡμᾶς αὐτὸς ἦν διακείμενος· (5) καὶ ἡμεῖς εἰδότες ὅτι καὶ ὁ πατὴρ οὐδενὶ ἂν ἔδωκεν ἥδιον ἢ ἐκείνῳ, δίδομεν αὐτῷ, οὐκ ἄπροικον, ὡς οὗτος λέγει ἑκάστοτε, ἀλλὰ τὴν ἴσην προῖκα ἐπιδόντες ἥνπερ καὶ τῇ πρεσβυτέρᾳ ἀδελφῇ ἐπέδομεν· καὶ ἐκ τοῦ τρόπου τούτου, πρότερον ὄντες αὐτοῦ φίλοι, κατέστημεν οἰκεῖοι. Καὶ ὡς ἔλαβεν εἴκοσι μνᾶς ὁ Μενεκλῆς ἐπὶ τῇ ἀδελφῇ προῖκα, τὴν μαρτυρίαν ταύτην πρῶτον βούλομαι παρασχέσθαι.

II.

DE MENECLIS HEREDITATE.

ARGUMENTUM.

Quum filium Menecles adoptasset et viginti tribus annis adoptationi supervixisset, hereditate ad forum a fratribus delata, Philonides quidam testatus est hereditatem controversiæ non esse obnoxiam, eo quod Menecles filium reliquerat. Eum falsi dicti testimonii insimularunt fratres, et adversus eos pro se puer defensionem instituit. Hæc vero ac quæ de Cleonymi hereditate dicta est, orationes adversariæ sunt : ibi enim de consanguinitate dixit, hic vero de testamento. Status antilepsis secundum conjecturam est : dicit enim illi jure licitum esse adoptare sibi filium. Deinde conjecturale, quod non mulieri morem gerens me adoptavit.

Autumabam, viri, si quis prorsus alius cuivis fuisset legibus adoptatus, me quoque adoptatum esse, ac neminem aliquando fore qui dicere auderet, Meneclem delirantem aut mulieri parentem adoptasse me : quoniam vero patruus sinistris usus consiliis, uti sentio, fratrem suum, qui fato functus est, omni modo conatur improlem facere, reverentia tum deorum patriorum tum vestrûm omnium exuta, necessitas mihi obvenit magna patremque qui me adoptavit et memet ipsum vindicandi. (2) Vos igitur moneo principio adoptationem rite atque secundum leges factam esse, nec Meneclis hereditatem, quum ego filius ejus sim, controversiæ obnoxiam esse, testemque vere testatum esse. Ita vos omnes obtestorque et supplico, orationem meam benigne admittatis.

3. Etenim Eponymus Acharnensis, pater noster, viri, amicus Meneclis et familiaris fuit, eoque necessario usus est : nos autem liberi ejus quattuor numero fuimus, filii duo, duæ filiæ. Patre autem vita defuncto, sororem nos nostram natu majorem, viro tempestivam, Leucolopho in matrimonium collocamus, viginti minis in dotem additis. (4) Et quarto anno post, tum soror nostra natu minima conjugio ferme erat par, tum uxor, quam prius duxerat Menecles, mortua est. Postquam vero illi justa fecerat Menecles, sororem nostram a nobis expetebat, amicitiam suam in memoriam suggerens cum patre olim initam, et quo animo in nosmet ipsos esset : (5) et nos certo scientes, vel patrem nemini eum generum posthabiturum fuisse, ei sororem in matrimonium damus, non indotatam, ut iste identidem dicit, sed numerata dote quæ æquivalebat ei quam et sorori natu majori addideramus; qua ratione qui prius amici ejus fuimus, evasimus necessarii. Utque Menecles triginta minas una cum sorore receperit, hoc testimonium inprimis proferre volo.

ΜΑΡΤΥΡΙΑ.

6. Ἐκδόντες τοίνυν τὰς ἀδελφάς, ὦ ἄνδρες, καὶ ὄντες αὐτοὶ ἐν ἡλικίᾳ ἐπὶ τὸ στρατεύεσθαι ἐτραπόμεθα, καὶ ἀπεδημήσαμεν μετὰ Ἰφικράτους εἰς Θρᾴκην· ἐκεῖ δὲ δόξαντές του εἶναι ἄξιοι περιποιησάμενοί τι κατεπλεύσαμεν δεῦρο, καὶ καταλαμβάνομεν τῇ πρεσβυτέρᾳ ἀδελφῇ ὄντα δύο παιδία, τὴν δὲ νεωτέραν, ἣν εἶχε Μενεκλῆς, ἄπαιδα. (7) Καὶ ἐκεῖνος δευτέρῳ μηνὶ ἢ τρίτῳ, πολλὰ ἐπαινέσας τὴν ἀδελφήν, λόγους ἐποιεῖτο πρὸς ἡμᾶς, καὶ ἔφη τήν τε ἡλικίαν ὑφορᾶσθαι τὴν ἑαυτοῦ καὶ τὴν ἀπαιδίαν· οὔκουν ἔφη δεῖν ἐκείνην τῆς χρηστότητος τῆς ἑαυτῆς τοῦτο ἀπολαῦσαι, ἄπαιδα καταστῆναι συγκαταγηράσασαν αὐτῷ· ἱκανὸς γὰρ ἔφη αὐτὸς ἀτυχῶν εἶναι. (8) Καὶ ἐκ ταύτης τῆς λέξεως δῆλον ὅτι φιλῶν ἀπεδάλετο· οὐδεὶς γὰρ μισῶν τινα ἱκετεύει αὐτῷ. Ἐδεῖτο οὖν ἡμῶν δοῦναι χάριν ταύτην αὐτῷ, ἐκδοῦναι ἄλλῳ αὐτὴν μετὰ τῆς γνώμης τῆς ἑαυτοῦ. Καὶ ἡμεῖς ἐκελεύομεν αὐτὸν πείθειν αὐτὴν περὶ τούτων· ὅ τι γὰρ ἂν ἐκείνη πεισθῇ, τοῦτ' ἔφαμεν ποιήσειν. (9) Κἀκείνη τὸ μὲν πρῶτον οὐδ' ἠνέσχετ' αὐτοῦ λέγοντος, προϊόντος δὲ τοῦ χρόνου μόλις ἐπείσθη· καὶ οὕτως ἐκδίδομεν αὐτὴν Ἠλείῳ Σφηττίῳ, καὶ ὁ Μενεκλῆς τήν τε προῖκα ἐπιδίδωσιν αὐτῇ, μετασχὼν τοῦ οἴκου τῆς μισθώσεως τῶν παίδων τοῦ Νικίου, καὶ τὰ ἱμάτια, ἃ ἦλθεν ἔχουσα παρ' ἐκεῖνον, καὶ τὰ χρυσίδια, ἃ ἦν, δίδωσιν αὐτῇ. (10) Μετὰ δὲ ταῦτα χρόνου διαγενομένου ἐσκόπει ὁ Μενεκλῆς ὅπως μὴ ἔσοιτο ἄπαις, ἀλλ' ἔσοιτο αὐτῷ ὅστις ζῶντά τε γηροτροφήσοι καὶ τελευτήσαντα θάψοι αὐτὸν καὶ εἰς τὸν ἔπειτα χρόνον τὰ νομιζόμενα αὐτῷ ποιήσοι. Τούτῳ μὲν οὖν ἑώρα ἕνα μόνον υἱὸν ὄντα, ὥστε ἐδόκει αὐτῷ αἰσχρὸν εἶναι ἄπαιδα τοῦτον καθιστάντα ἀρρένων παίδων αὐτῷ κελεύειν δοῦναι τοῦτον εἰσποιήσασθαι. (11) Εὕρισκεν οὖν οὐδένα ἄλλον οἰκειότερον ὄνθ' ἡμῶν ἑαυτῷ. Λόγους οὖν πρὸς ἡμᾶς ἐποιεῖτο, καὶ ἔφη δοκεῖν αὐτῷ καλῶς ἔχειν, ἐπειδὴ οὕτως αὐτῷ ἡ τύχη συνέβη ὥστε ἐκ τῆς ἀδελφῆς τῆς ἡμετέρας παῖδας αὐτῷ μὴ γενέσθαι, ἐκ ταύτης τῆς οἰκίας υἱὸν αὐτῷ ποιήσασθαι, ὅθεν καὶ φύσει παῖδας ἐβουλήθη ἂν αὐτῷ γενέσθαι· « Ὑμῶν οὖν, ἔφη, βούλομαι τὸν ἕτερον ποιήσασθαι, ὁποτέρῳ ὑμῶν καλῶς ἔχει. » (12) Καὶ ὁ ἀδελφὸς ὁ ἐμὸς ἀκούσας ταῦτα, ἐπειδὴ προετίμησεν αὐτὸν πάντων, ἐπῄνεσέ τε τοὺς λόγους αὐτοῦ, καὶ εἶπεν ὅτι δέοιτο ἥ τε ἡλικία καὶ ἡ παροῦσα ἐρημία ἐκείνου τοῦ θεραπεύσοντος αὐτὸν καὶ ἐπιδημήσοντος· « Ἐμοὶ μὲν οὖν, ἔφη, συμβαίνει ἀποδημία, ὡς σὺ οἶσθα· ὁ δὲ ἀδελφὸς οὑτοσί » ἐμὲ λέγων « τῶν τε σῶν ἐπιμελήσεται καὶ τῶν ἐμῶν, ἐὰν βούλῃ τοῦτον ποιήσασθαι. » Καὶ ὁ Μενεκλῆς καλῶς ἔφη αὐτὸν λέγειν, καὶ ἐκ τοῦ τρόπου τούτου ποιεῖταί με.

13. Ὡς οὖν κατὰ τοὺς νόμους ἐγένετο ἡ ποίησις, τοῦτο ὑμᾶς βούλομαι διδάξαι. Καί μοι τὸν νόμον ἀνάγνωθι, ὃς κελεύει τὰ ἑαυτοῦ ἐξεῖναι διαθέσθαι ὅπως ἂν ἐθέλῃ, ἐὰν μὴ παῖδες ἄρρενες ὦσι γνήσιοι. Ὁ γὰρ

TESTIMONIUM.

6. Sororibus igitur sic in matrimonium collocatis, nos ætate florentes militiam capessivimus, inque Thraciam duce Iphicrate peregre profecti sumus; atque quum ibi bene meruissemus, ditati Athenas appulimus, et sororem quidem natu majorem binos liberos habentem invenimus, minimam vero, quam duxerat Menecles, improlem. (7) Atque ille ex reditu mense secundo vel tertio, bonis omnibus de sorore prædicatis, nobiscum verba conserebat, dixitque ætatem suam provectam et liberorum orbitatem se deplorare : nequaquam dixit eam oportere talem suæ virtutis mercedem capere, nempe ut simul cum ipso senescens evaderet improlis; satis enim esse ipsum fortunam malam expertum esse. (8) Tali sermone usus, plane indicat amiciter sorori nostræ nuntium remisisse : nemo enim quem odit supplex orat. Hoc igitur a nobis beneficii loco petebat, ut sororem scilicet, assensu ipsius impetrato, in matrimonium alteri collocaremus. Et nos eum hortabamur uxorem hisce de rebus persuadere; quæ si assenserit, ei decisioni nos satisfacturos promisimus. (9) Ac primum quidem sermonis ejus minime patiens, vix ægreque tamen tandem assensa est. Atque ita eam in matrimonium Eleo Sphettio collocamus; dotemque ei reddit Menecles, quippe qui illo tempore ex bonis Nicianis, quorum partem fœnori sumpserat, satis pecuniæ in manibus haberet, et mundum muliebrem quem secum attulit, tricasque aureas, quas habuit, reddidit. (10) Post hæc evoluto tempore prospiciebat Menecles quomodo orbitatem devitaret, atque haberet qui se, dum viveret, jam senem curaret, et mortuo exsequias redderet, inque posterum justa persolveret. Hunc igitur [adversarium] videbat filium unicum habentem, quem si postulasset sibi in adoptationem dari, eo quod prole masculina hunc orbasset, sibi fore dedecori putabat. (11) Idcirco, rebus ita se habentibus, nobis sibi magis familiarem neminem invenit. Proinde nos allocutus est, et æquum dixit sibi videri, quum forte fortuna nullos ex sorore nostra liberos procreasset, ex hac familia filium asciscere, unde prolem naturaliter habuisse voluisset : « Cuicumque ergo, inquit, vestrûm duûm conditio placet, mihimet ipsum adoptare volo. » (12) His auditis, quia omnibus eum prætulerat, frater meus sermonem ejus collaudavit, et fassus est ætati ejus et præsenti orbitati opus esse ut comitem habeat, qui ei ministraret inque urbe versaretur : « Mihi itaque, inquit, necesse est ut domo absim, id quod notum tibi; hic vero frater meus (me dicens) res tuasque measque curabit, si eum adoptatum iveris. » Atque Menecles verba ejus approbavit, meque hac ratione sibi filium ascivit.

13. Quod igitur secundum leges inita est adoptatio, de hoc vos certos factos cupio. Proinde legem recita, quæ jubet cuivis licere de fortunis suis disponere, ea conditione ut nullam prolem masculinam legitime quæsitam habeat.

νομοθέτης, ὦ ἄνδρες, διὰ τοῦτο τὸν νόμον ἔθηκεν οὕτως, ὁρῶν μόνην ταύτην καταφυγὴν οὖσαν τῆς ἐρημίας καὶ παραψυχὴν τοῦ βίου τοῖς ἄπαισι τῶν ἀνθρώπων, τὸ ἐξεῖναι ποιήσασθαι ὅντινα ἂν βούλωνται. (14) Διδόντων οὖν τῶν νόμων αὐτῷ ποιεῖσθαι διὰ τὸ εἶναι ἄπαιδα, ἐμὲ ποιεῖται, οὐκ ἐν διαθήκαις, ὦ ἄνδρες, γράψας, μέλλων ἀποθνήσκειν, ὥσπερ ἄλλοι τινὲς τῶν ἀνθρώπων, οὐδ' ἀσθενῶν· ἀλλ' ὑγιαίνων, εὖ φρονῶν, εὖ νοῶν, ποιησάμενος εἰσάγει με εἰς τοὺς φράτορας παρόντων τούτων, καὶ εἰς τοὺς δημότας με ἐγγράφει καὶ εἰς τοὺς ὀργεῶνας. (15) Καὶ τότε μὲν οὐδὲν ἀντέλεγον αὐτῷ οὗτοι ὡς οὐκ εὖ φρονοῦντι· καίτοι πολὺ κάλλιον ἦν ζῶντα πείθειν ἐκεῖνον, εἴ τι βούλοιντο, μᾶλλον ἢ τελευτήσαντα ὑβρίζειν καὶ ἐξερημοῦν αὐτοῦ τὸν οἶκον. Ἐπεβίω γὰρ ἐκεῖνος μετὰ τὴν ποίησιν οὐχ ἐνιαυτὸν ἕνα ἢ δύο, ἀλλὰ τρία καὶ εἴκοσιν ἔτη· καὶ ἐν τούτῳ τῷ χρόνῳ, τοσούτῳ ὄντι, οὐδὲν ἐκεῖνος μετέγνω τῶν πεπραγμένων ἑαυτῷ, διὰ τὸ παρὰ πάντων ὁμολογεῖσθαι ὅτι ἦν ὀρθῶς βεβουλευμένος. (16) Καὶ ὡς ἀληθῆ λέγω ταῦτα, τῆς μὲν ποιήσεως ὑμῖν τοὺς φράτορας καὶ τοὺς ὀργεῶνας καὶ τοὺς δημότας παρέξομαι μάρτυρας, ὡς δ' ἐξῆν ποιήσασθαι, τὸν νόμον αὐτὸν ὑμῖν ἀναγνώσεται, καθ' ὃν ἡ ποίησις ἐγένετο. Καί μοι τὰς μαρτυρίας ἀνάγνωθι ταύτας καὶ τὸν νόμον.

ΜΑΡΤΥΡΙΑΙ. ΝΟΜΟΣ.

17. Ὡς μὲν τοίνυν ἐξῆν τῷ Μενεκλεῖ ποιήσασθαι υἱὸν αὑτῷ ὅντινα ἐβούλετο, ὁ νόμος αὐτὸς δηλοῖ· ὡς δὲ ἐποιήσατο, οἵ τε φράτορες καὶ οἱ δημόται καὶ οἱ ὀργεῶνες ὑμῖν μεμαρτυρήκασιν· ὥστε περιφανῶς ἀποδέδεικται ἡμῖν, ὦ ἄνδρες, ὁ μάρτυς τἀληθῆ διαμεμαρτυρηκώς, καὶ οὗτοι πρός γε τὴν ποίησιν αὐτὴν λόγον οὐδ' ὀντινοῦν δύναιντ' ἂν ἀντειπεῖν. (18) Πραχθέντων δὲ τούτων ἐσκόπει ὁ Μενεκλῆς γυναῖκά μοι, καὶ ἔφη με χρῆναι γῆμαι· καὶ ἐγὼ λαμβάνω τὴν τοῦ Φιλωνίδου θυγατέρα. Κἀκεῖνός τε τὴν πρόνοιαν εἶχεν ὥσπερ εἰκός ἐστι πατέρα περὶ υἱέος ἔχειν, καὶ ἐγὼ τὸν αὐτὸν τρόπον ὥσπερ γόνῳ ὄντα πατέρα ἐμαυτοῦ ἐθεράπευόν τε καὶ ᾐσχυνόμην, καὶ ἐγὼ καὶ ἡ γυνὴ ἡ ἐμή, ὥστε ἐκεῖνον πρὸς τοὺς δημότας ἐπαινεῖν ἅπαντας.

19. Ὅτι δὲ οὐ παρανοῶν οὐδὲ γυναικὶ πειθόμενος ὁ Μενεκλῆς ἐποιήσατο, ἀλλ' εὖ φρονῶν, ἐνθένδε ἐστὶν ὑμῖν ῥᾴδιον ἐπιγνῶναι. Πρῶτον μὲν γὰρ ἡ ἀδελφή, περὶ ἧς οὗτος τὸν πλεῖστον τοῦ λόγου πεποίηται, ὡς ἐκείνῃ πεισθεὶς ἐμὲ ἐποιήσατο, πολλῷ πρότερον ἦν ἐκδεδομένη ἢ τὴν ποίησιν γενέσθαι, ὥστ' εἴ γ' ἐκείνῃ πεισθεὶς τὸν υἱὸν ἐποιεῖτο, τῶν ἐκείνης παίδων τὸν ἕτερον ἐποιήσατ' ἄν· δύο γάρ εἰσιν αὐτῇ. (20) Ἀλλ', ὦ ἄνδρες, οὐχ ὑπ' ἐκείνης πεισθεὶς ἐμὲ ἐποιήσατο υἱόν, ἀλλὰ μάλιστα μὲν ὑπὸ τῆς ἐρημίας ἐπείσθη, δεύτερον δὲ διὰ τὰς προειρημένας αἰτίας καὶ διὰ τὴν εὔνοιαν τὴν ὑπάρχουσαν πρὸς τὸν πατέρα τὸν ἐμόν, τρίτον δὲ διὰ τὸ μὴ εἶναι συγγενῆ μηδέν' ἄλλον αὐτῷ, ὁπόθεν ἂν ἐποιήσατο υἱόν. Ταῦτα τηνικαῦτα ἐνῆγεν ἐμὲ ποιή-

Etenim legislator, viri, sic lege sanxit, quippe qui compertum haberet, hunc solum esse orbitatis receptum, hanc eorum qui liberis carerent vitæ consolationem, licere scilicet quos vellent adoptare. (14) Idcirco, quum ei orbitate laboranti facultatem filium asciscendi leges impertissent, me adoptavit, non in testamento, viri, legans, moribundus, sicut nescio qui civium, neque ægrotans, sed corpore sano, sana mente, animo sano, me ceu filium adoptatum hisce præsentibus apud phratores introduxit, meque in album demotarumque et orgeonum inscribi curavit. (15) Atque hi quidem tunc temporis ei quasi deliro nihil oblocuti sunt : quanquam multo fuisset honestius eum vivum precibus permovisse, si quid voluissent, quam mortuum dehonestare ejusque familiam desolatum ire. Supervixit enim non unum alterumve, sed tres et viginti annos; perque tempus tam productum facti eum non pœnituit, propterea quod res omnibus in confessum venit, eum nempe rectum consilium iniisse. (16) Vera autem vobis ut constet hæc esse quæ dico, testes sistam phratores et demotas et orgeones, qui adoptationi intererant; utque filium asciscere appareat licuisse, scriba vobis ipsam recitabit legem, secundum quam adoptatio facta est. Proinde mihi recites testimonia hæcce et legem.

TESTIMONIA. LEX.

17. Ipsamet lex adeo declarat, quod, quem vellet, Menecli licebat adoptare; quodque filium ascivit, phratoresque demotæque et orgeones testificati sunt : quapropter testem vera testatum esse, luculenter, o viri, a nobis demonstratum est, hique ne verbum quidem habent quod adoptationi obloquantur. (18) Quo facto conjugem mihi prospiciebat Menecles, meque connubio jungi hortabatur; atque ego filiam Philonidæ uxorem duxi. Is nimirum de me eam habuit curam, quam patrem decet de filio, et ego pari ratione ceu natura datum mihi patrem eum ita colui et veneratus sum, egoque et uxor mea, ut ille apud omnes tribules nos collaudaret.

19. Porro quod neque delirans neque mulieri morem gerens filium Menecles ascivit, sed bene sanus, exinde vobis facile est intellectu. Primum enim soror, quam iste [adversarius] in oratione sua perplurimum exagitavit, quasi si illi morem gerens me adoptasset, longe ante in matrimonium collocata est, quam inita adoptatio, quare saltem si illi parens filium ascivisset, unum ex illius liberis adoptasset : duos enim habebat. (20) Atqui, viri, nequaquam illi morem gerens me adoptavit, eum vero præcipue liberorum orbitas persuasit, deinde quas supra dixi causas veraque erga patrem meum affectio, denique quod nullum alium cognatum habebat, unde filium ascisceret. Hæc demum me adoptare eum induxerunt : quare

σασθαι· ὥστε οὐ παραφρονῶν φαίνεται οὐδὲ τῇ γυναικὶ πεισθείς, εἰ μὴ ἄρα τὴν ἐρημίαν αὐτοῦ καὶ τὴν ἀπαιδίαν οὗτος βούλεται τὸ ὄνομα τοῦτο προσαγορεύειν. (21) Ἡδέως δ' ἂν μοι δοκῶ τούτου πυθέσθαι τοῦ φάσκοντος εὖ φρονεῖν, τίνα ποιήσασθαι ἐχρῆν ἀπὸ τῶν συγγενῶν; πότερα τὸν υἱὸν τὸν τούτου; Ἀλλ' οὐκ ἂν αὐτῷ ἔδωκεν, ἄπαιδα αὐτὸν καθιστάς· οὐχ οὕτως οὗτός ἐστι φιλοχρήματος. Ἀλλὰ τὸν τῆς ἀδελφῆς ἢ τὸν τῆς ἀνεψιᾶς ἢ τὸν τοῦ ἀνεψιοῦ; Ἀλλὰ τὴν ἀρχὴν οὐκ ἐγένετο αὐτῷ οὐδεὶς τούτων τῶν συγγενῶν. (22) Οὐκοῦν ἐξ ἀνάγκης ἦν αὐτῷ ἄλλον τινὰ ποιήσασθαι μᾶλλον ἢ ἄπαιδα καταγηρᾶν, ὥσπερ οὗτος ἀξιοῖ νυνὶ αὐτόν. Ἐγὼ τοίνυν πάντας ἂν οἶμαι ὁμολογῆσαι ὑμᾶς ὡς οὐκ ἂν ποιησάμενος ἄλλον οἰκειότερον ἐμοῦ ποιήσαιτ' ἄν. Δειξάτω γὰρ οὗτος ὑμῖν. Ἀλλ' οὐκ ἄν ποτε δύναιτο· ἦν γὰρ οὐδεὶς ἄλλος συγγενὴς αὐτῷ πλὴν τούτων.

23. Ἀλλὰ νῦν οὗτος ἐπιτιμῶν αὐτῷ φαίνεται οὐχ ὅτι τὸν υἱὸν οὐκ ἐποιήσατο τὸν αὐτοῦ, ἀλλ' ὅτι τὸ παράπαν ἐποιήσατο καὶ οὐκ ἐτελεύτησεν ἄπαις. Τοῦτ' ἔστιν ὃ ἐπιτιμᾷ, ἐπίφθονον πρᾶγμα καὶ οὐ δίκαιον ποιῶν· ὄντων γὰρ αὐτῷ παίδων ἐκείνῳ ὄντι ἄπαιδι καὶ ἀτυχοῦντι φαίνεται ἐπιτιμῶν. (24) Καὶ τοῖς μὲν ἄλλοις ἅπασιν ἀνθρώποις καὶ Ἕλλησι καὶ βαρβάροις δοκεῖ καλῶς οὗτος ὁ νόμος κεῖσθαι, ὁ περὶ τῆς ποιήσεως, καὶ διὰ τοῦτο χρῶνται πάντες αὐτῷ· ὁ δὲ θεῖος οὑτοσὶ οὐκ αἰσχύνεται τὸν αὑτοῦ ἀδελφὸν ταύτης τῆς ἐξουσίας ἀποστερῶν νῦν, τοῦ ποιήσασθαι, ἧς οὐδὲ τοῖς οὐδὲν γένει προσήκουσιν οὐδεὶς πώποτε ἐφθόνησεν. (25) Οἶμαι δὲ καὶ τοῦτον, εἴ τις ἐρωτήσειεν αὐτὸν τί δή ποτ' ἂν ἐποίησεν εἰς τὴν αὐτὴν τύχην ἐκείνῳ καταστάς, οὐκ ἄλλ' οὐδὲν εἰπεῖν ἢ ὅτι ἐποιήσατ' ἂν ὅστις αὐτὸν ἔμελλε ζῶντα θεραπεύσειν καὶ τελευτήσαντα θάψειν· καὶ δῆλον ὅτι κατὰ τὸν αὐτὸν τοῦτον νόμον ἡ ποίησις ἐγένετ' ἄν, καθ' ὅν περ ἡ ἐμή. Εἶτα αὐτὸς μὲν εἰ ἦν ἄπαις, ἐποιήσατ' ἄν· τὸν δὲ Μενεκλέα ποιήσαντα ταὐτὰ τούτῳ παραφρονεῖν φησι καὶ γυναικὶ πειθόμενον ποιήσασθαι. Πῶς οὖν οὐ σχέτλια λέγων φαίνεται; (26) Ἐγὼ γὰρ οἶμαι πολλῷ μᾶλλον τοῦτον παραφρονεῖν τῷ τε λόγῳ τούτῳ ᾧ νυνὶ λέγει, καὶ οἷς ποιεῖ. Τοῖς τε γὰρ νόμοις καὶ τοῖς δικαίοις καὶ οἷς αὐτὸς ἐποίησεν ἂν τἀναντία λέγων φαίνεται, καὶ οὐκ αἰσχύνεται αὑτῷ μὲν τὸν νόμον τὸν περὶ τῆς ποιήσεως ποιῶν κύριον, τῷ δὲ ἀδελφῷ τὸν αὐτὸν τοῦτον ζητῶν ἄκυρον ποιῆσαι.

27. Εἶτα νῦν διὰ τί διαφερόμενος ζητεῖ οὗτος τὸν ἀδελφὸν τὸν ἑαυτοῦ ἄπαιδα καταστῆσαι, ἄξιόν ἐστιν, ὦ ἄνδρες, ἀκοῦσαι. Εἰ μὲν γὰρ περὶ τοῦ ὀνόματός μοι διαφέρεται καὶ ἀναίνεται, εἰ ἐγὼ ἔσομαι υἱὸς Μενεκλέους, πῶς οὐ φθονερός ἐστιν; Εἰ δὲ περὶ χρημάτων ἐστὶν ὁ λόγος αὐτῷ, ἐπιδειξάτω ὑμῖν ὁποῖον χωρίον ἢ συνοικίαν ἢ οἰκίαν κατέλιπεν ἐκεῖνος, ἃ ἐγὼ ἔχω νυνί. Εἰ δὲ μηδὲν τούτων κατέλιπεν, ἃ δ' ἦν αὐτῷ ὑπόλοιπα, ἐπειδὴ τῷ ὀρφανῷ τὸ ἀργύριον ἀπέδωκεν, οὗτος ἔλαβε ζῶντος ἐκείνου ἔτι, πῶς οὐ περιφανῶς ἐξελέγχεται ἀναιδὴς ὤν; Ὡς δὲ ἔχει, ἐγὼ ἐπιδείξω. (28) Ἐπειδὴ

neque delirasse eum neque mulieri morem gessisse evicit adversarius, nisi profecto solitudinem ejus et orbitatem istoc nomine appellet. (21) Lubens ergo ab hoc homine, qui sapere se dicit, postularim, ecquemnam cognatorum adoptare Menecles debebat? num istius filium? Atqui ei filium suum non concessisset, improlem ipse se faciens: næ iste pecuniarum non ita amans homo est. At sororis filium, consobrinæve vel consobrini? Atqui omnino id genus consanguineos nunquam habuerat. (22) Idcirco ei necesse erat alium quendam adoptare, ut ne improlis senium ageret, sicut iste nunc ab eo requirit. Atque omnes, puto, confitebuntur quod, si quenquam prorsus adoptasset, neminem magis me familiarem adoptare potuisset. Ostendat vobis. At nunquam potuerit: nullum enim alium cognatum præter hos habuit.

23. Iste vero nunc, ut videtur, Meneclem incusat, non quod filium suum non adoptavit, sed quod ullam unquam adoptationem iniit orbusque fato non functus est. Hoc est quod incusat, invidiose et inique agens: sibi enim quum liberi sint, huic orbitatis infortunio laboranti conviciatur. (24) Ac apud ceteros quidem homines tum Græcos tum barbaros hæc de adoptatione sancita lex in pretio habetur, eaque propter omnes ea utuntur: iste vero patruus nunc fratrem suum inverecunde hac facultate privatum it, filium scilicet asciscendi; quam vel iis, quibuscum nullæ necessitudines intercedebant, nemo unquam invidit. (25) Verum enimvero huncce opinor cuilibet eum interroganti, ecquid eadem usus sorte fecisset, non aliud responsurum, quam quod adoptasset, qui eum esset dum viveret loco parentis culturus exsequiasque soluturus defuncto: et planum id quidem est, eadem hac lege, qua mea, sibi initum iri adoptationem. Tum iste, si liberis caruisset, filium ascitum isset: at vero Meneclem, eo quod eandem viam institit, dementem esse ait mulierique morem gerentem filium adoptasse. Nonne hercle meras nugas dicit? (26) Mea enim opinione iste multo magis homo dictisque factisque delirat. Legibus enim et institutis et quæ ipse fecisset, prorsus aliena hiaterat, neque eum pudet, quam, quod ad fratrem attinet, de adoptatione abrogatum it legem, eam bonam ratam sibi servare.

27. Cur insuper obloquens cupiat iste fratrem suum improlem facere, operæ pretium est, viri, ut audiatis. Etenim, si propter nomen quidem animo mihi inimico est atque ne filius Meneclis sim habendus recusat, nonne plane invidiosus est? Si vero de bonis verba facit, planum vobis faciat e quo prædio aut insula domove decessit Menecles, quæ ego nunc possideo. Sin nullum horum dereliquerit, sed quæ ei reliqua erant, quando pupillo pecuniam præstitit, iste eo adhuc vivo acceperit, nonne iste improbus et trifurcifer videtur? (28) Quemadmodum autem res se ha-

γὰρ ἔδει τῷ ὀρφανῷ τὰ χρήματα ἀποδίδοσθαι, ὁ δ' οὐκ εἶχεν ὁπόθεν ἀποδῷ, τόκοι δὲ πολλοῦ χρόνου συνερρυηκότες ἦσαν αὐτῷ, τὸ χωρίον ἐπώλει. Καὶ οὗτος καιροῦ λαβόμενος καὶ βουλόμενος αὐτῷ ἐπηρεάζειν, ὅτι ἐμὲ ἐποιήσατο, διεκώλυε τὸ χωρίον πραθῆναι, ἵνα κατόχιμον γένηται καὶ ἀναγκασθῇ τῷ ὀρφανῷ ἀποστῆναι. Ἠμφισβήτει οὖν αὐτῷ μέρους τινὸς τοῦ χωρίου, πρότερον οὐδὲ πώποτε ἀμφισβητήσας, καὶ ἀπηγόρευε τοῖς ὠνουμένοις μὴ ὠνεῖσθαι. (29) Κἀκεῖνος ἠγανάκτει, οἶμαι, καὶ ἠναγκάζετο ὑπολείπεσθαι οὗ ἠμφισβήτησεν οὗτος. Τὸ δὲ ἄλλο ἀποδίδοται Φιλίππῳ τῷ Πιτθεῖ ἑβδομήκοντα μνῶν, καὶ οὕτω διαλύει τὸν ὀρφανόν, ἑπτὰ μνᾶς καὶ τάλαντον ἀποδοὺς ἀπὸ τῆς τιμῆς τοῦ χωρίου· τούτῳ δὲ λαγχάνει δίκην τῆς ἀπορρήσεως. Λόγων δὲ πολλῶν γενομένων καὶ ἔχθρας πολλῆς ἔδοξεν ἡμῖν χρῆναι, ἵνα μή ποτε εἴπῃ τις ἐμὲ φιλοχρηματεῖν καὶ ἐχθροὺς ἀδελφοὺς ὄντας αὐτοὺς καθιστάναι, ἐπιτρέψαι τῷ τε κηδεστῇ τῷ τούτου καὶ τοῖς φίλοις διαιτῆσαι. (30) Ἐκεῖνοι δ' εἶπον ἡμῖν, εἰ μὲν ἐπιτρέποιμεν αὐτοῖς ὥστε τὰ δίκαια διαγνῶναι, οὐκ ἂν ἔφασαν διαιτῆσαι· οὐδὲν γὰρ δεῖσθαι ἀπέχθεσθαι οὐδετέροις ἡμῶν· εἰ δ' ἐάσομεν αὐτοὺς γνῶναι τὰ συμφέροντα πᾶσιν, ἔφασαν διαιτήσειν. Καὶ ἡμεῖς, ἵνα δὴ πραγμάτων ἀπαλλαγῶμεν, ὥς γε δὴ ᾠόμεθα, οὕτως ἐπιτρέπομεν. (31) Καὶ ἐκεῖνοι ὀμόσαντες ἡμῖν πρὸς τῷ βωμῷ τῷ τῆς Ἀφροδίτης Κεφαλῆσι τὰ συμφέροντα γνώσεσθαι, διῄτησαν ἡμᾶς ἀποστῆναι ὧν οὗτος ἠμφισβήτησε καὶ δοῦναι δωρεάν· οὐ γὰρ ἔφασαν εἶναι ἄλλην ἀπαλλαγὴν οὐδεμίαν, εἰ μὴ μεταλήψονται οὗτοι τῶν ἐκείνου. (32) Ἐκ δὲ τοῦ λοιποῦ χρόνου ἔγνωσαν ἡμᾶς εὖ ποιεῖν ἀλλήλους καὶ λόγῳ καὶ ἔργῳ, καὶ ταῦτα ὀμόσαι ἠνάγκασαν ἡμᾶς ἀμφοτέρους πρὸς τῷ βωμῷ ἦ μὴν ποιήσειν· καὶ ἡμεῖς ὠμόσαμεν εὖ ποιεῖν ἀλλήλους ἐκ τοῦ ἐπιλοίπου χρόνου, κατὰ δύναμιν εἶναι, καὶ λόγῳ καὶ ἔργῳ. (33) Καὶ ὡς ὅ τε ὅρκος ἐγένετο, καὶ ἔχουσιν οὗτοι ἃ ἐγνώσθη αὐτοῖς ὑπὸ τῶν οἰκείων τῶν τούτου, εἶτα νυνὶ ταυτὶ τὰ ἀγαθὰ ποιοῦσιν ἡμᾶς, τὸν μὲν τεθνεῶτα ἄπαιδα βουλόμενοι καταστῆσαι, ἐμὲ δ' ἐκβάλλειν ὑβρίσαντες ἐκ τοῦ οἴκου, τοὺς γνόντας αὐτοὺς ὑμῖν παρέξομαι μάρτυρας, ἐὰν ἐθέλωσιν ἀναβαίνειν (εἰσὶ γὰρ τούτων οἰκεῖοι), εἰ δὲ μή, τοὺς παραγενομένους. (34) Καί μοι τὰς μαρτυρίας ἀνάγνωθι ταυτασί· σὺ δ' ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΙΑΙ.

Λαβὲ δή μοι τὰς μαρτυρίας ἐκείνας, ὡς τό τε χωρίον ἑβδομήκοντα μνῶν ἐπράθη, καὶ ὡς ἀπέλαβεν ὁ ὀρφανὸς ἑπτὰ καὶ ἑξήκοντα μνᾶς πραθέντος τοῦ χωρίου.

ΜΑΡΤΥΡΙΑΙ.

35. Ὁ θεῖος τοίνυν οὑτοσί, ὦ ἄνδρες, κεκληρονομηκὼς τῶν ἐκείνου ἔργῳ καὶ οὐ λόγῳ ὥσπερ ἐγώ, καὶ ἔχων ἐμοῦ πολλῷ πλείονα· ἐγὼ μὲν γὰρ τὰς τριακοσίας δραχμὰς ἔλαβον τὰς περιλειφθείσας ἀπὸ τῆς τιμῆς τοῦ χωρίου, καὶ οἰκίδιον ὃ ἐστιν οὐκ ἄξιον τριῶν μνῶν·

bet, ego explicabo. Postquam enim pupillo oportuit pecuniam præstare, eique unde præstaret deficiebat, et fœnora porro post longum tempus confluebant, venum prædium dedit. Ac iste arrepta occasione vexandi eum propter meam adoptationem, quominus prædium venum iret intercessit, ut obligatum esset atque eo pupillo cedere Menecles cogeretur. Cum eo igitur super quadam parte prædii contendit, etsi nullam unquam litem olim movisset, emptoribusque interdixit ne emerent. (29) Atque is quidem querebatur, puto, et parte, super qua iste contendit, cedere cogebatur, et reliquum septuaginta minis Philippo Pitthensi assignatur. Et sic, talento et septem minis de pretio prædii depensis, pupillo satisfecit : actionem autem interdictionis cum isto instituit. At vero multis utrimque jactis clamoribus ac conviciis, nobis visum est oportere ut, ne quis me avaritiæ incuset et qui fratres fuerint inimicos faciat, necessario socero istius atque amicis arbitrium deferre. (30) Illi vero nobis declarabant, si ea conditione causam perscrutari illis permiserimus ut summo jure sententiam pronuntiarent, se haudquaquam arbitrium suscepturos; nolle enim se ab alterutro nostrûm in odio haberi : sin vero eos sinamus quæ omnibus conducibilia sint decidere, se rem disceptaturos. Ac nos, quo molestias dilueremus, uti putabamus certe, ea permittimus. (31) Quumque illi ad aram Veneris, quæ in pago Cephala est, semet ipsos jurejurando obstrinxissent se controversiam nostram æque decisuros, sententia sua decreverunt ut nos parte super qua iste contendit cederemus donoque daremus : nullam enim reconciliationem fore dixerunt, ni hi (adversarius ejusque filius) partem aliquam bonorum Meneclis acciperent. (32) Inque posterum jusserunt nobis nos invicem dictisque et factis benefacturos, et istæc bona fide facturos ad aram jurejurando nos invicem obstrinxerunt : et nos jusjurandum dedimus, in posterum, quoad potis essemus, nos invicem dictis factisque amicitiam culturos. (33) Et jam, accepto jurejurando, quodque compromissionarii isti hujus familiares adjudicarant asserto, hisce beneficiis nos afficiunt, fratrem scilicet suum defunctum facere improlem volentes, meque contumeliose tractatum e domo ejicere : cujus rei testes ego sistam ipsos illos arbitros, suggestum ascendere si velint — istorum enim familiares sunt —, sin minus, eos qui affuerant. (34) Et mihi recita testimonia hæcce : tuque aquam inhibe.

TESTIMONIA.

Cape jam illa testimonia, quæ, quod septuaginta minis prædium veniit, quodque pupillus de pretio divenditi prædii septem et sexaginta minas accepit, testantur.

TESTIMONIA.

35. Iste igitur patruus, viri, quum hereditatem ejus esset reapse consecutus et non sicut ego verbotenus, atque me multo plura possideat — ego enim trecentas quæ prædii de pretio restabant drachmas, ac domunculam ne tribus quidem minis valentem, adeptus sum : iste vero qui

οὗτος δὲ πλεῖον ἢ δέκα μνῶν χωρίον ἔχων, εἶτα προσέτι νῦν ἥκει τὸν οἶκον αὐτοῦ ἐξερημώσων. (36) Καὶ ἐγὼ μὲν ὁ ποιητὸς ἐκεῖνόν τε ζῶντα ἐθεράπευον, καὶ αὐτὸς καὶ ἡ ἐμὴ γυνή, θυγάτηρ οὖσα τουτουὶ Φιλωνίδου, καὶ τῷ ἐμῷ παιδίῳ ἐθέμην τὸ ὄνομα τὸ ἐκείνου, ἵνα μὴ ἀνώνυμος ὁ οἶκος αὐτοῦ γένηται, καὶ τελευτήσαντα ἔθαψα ἀξίως ἐκείνου τε καὶ ἐμαυτοῦ, καὶ ἐπίθημα καλὸν ἐπέθηκα, καὶ τὰ ἔνατα καὶ τἆλλα πάντα ἐποίησα τὰ περὶ τὴν ταφὴν ὡς οἷόν τε κάλλιστα, ὥστε τοὺς δημότας ἐπαινεῖν ἅπαντας· (37) οὗτος δὲ ὁ συγγενής, ὁ ἐπιτιμῶν αὐτῷ ὅτι υἱὸν ἐποιήσατο, ζῶντος μὲν τὸ χωρίον τὸ περιλειφθὲν αὐτῷ περιείλετο, τελευτήσαντα δ' αὐτὸν ἄπαιδα καὶ ἀνώνυμον βούλεται καταστῆσαι. Τοιοῦτός ἐστιν οὗτος. Καὶ ὡς ἔθαψά τ' ἐγὼ αὐτὸν καὶ τὰ τρίτα καὶ τὰ ἔνατα ἐποίησα καὶ τἆλλα τὰ περὶ τὴν ταφήν, τὰς μαρτυρίας ὑμῖν τῶν εἰδότων ἀναγνώσεται.

ΜΑΡΤΥΡΙΑΙ.

38. Ὅτι τοίνυν ὁ Μενεκλῆς, ὦ ἄνδρες, ἐποιήσατό με οὐ παρανοῶν οὐδὲ γυναικὶ πειθόμενος, βούλομαι ὑμῖν καὶ αὐτοὺς τούτους μάρτυρας παρασχέσθαι, καὶ ἐμοὶ μαρτυροῦντας ἔργῳ καὶ οὐ λόγῳ, ἐξ ὧν ἔπραξαν αὐτοί, ὅτι ἐγὼ τἀληθῆ λέγω. Τὰς γὰρ διαλύσεις φαίνονται πρὸς ἐμὲ ποιησάμενοι ἀμφότεροι οὗτοι, καὶ οὐ πρὸς τὸν Μενεκλέα, καὶ ὀμόσαντες ὅρκους [ἐμοὶ] καὶ ἐγὼ τούτοις. (39) Καίτοι εἴ γε μὴ κατὰ τοὺς νόμους ἐγεγένητο ἡ ποίησις, μηδὲ κληρονόμος ἦν ἐγὼ τῶν Μενεκλέους ὑπ' αὐτῶν τούτων δεδοκιμασμένος, τί ἔδει αὐτοὺς ὀμνύναι ἐμοὶ ἢ παρ' ἐμοῦ λαμβάνειν ὅρκους; οὐδὲ ἓν δήπου. Οὐκοῦν ὁπότε ἐποίησαν ταῦτα, φαίνονται αὐτοὶ οὗτοι ἐμοὶ μαρτυροῦντες ὅτι κατὰ τοὺς νόμους ἐποιήθη ἡ ποίησις καὶ δικαίως εἰμὶ κληρονόμος τῶν Μενεκλέους. (40) Ἐγὼ δ' οἶμαι καταφανὲς ὑμῖν ἅπασι τοῦτ' εἶναι, ὡς καὶ παρὰ τούτων αὐτῶν ὁμολογούμενόν ἐστιν ὅτι Μενεκλῆς οὐ παρεφρόνει, ἀλλὰ πολὺ μᾶλλον οὗτος νυνί, ὅς γε ποιησάμενος τῆς ἔχθρας διάλυσιν πρὸς ἡμᾶς καὶ ὀμόσας ὅρκους πάλιν νῦν ἥκει τὰ ὁμολογηθέντα καὶ ὀμοθέντα παραβάς, καὶ ἀφελέσθαι με ἀξιοῖ ταυτὶ τὰ λοιπά, οὕτως ὄντα μικρά. (41) Ἐγὼ δὲ εἰ μὴ πάνυ τὸ πρᾶγμα αἰσχρὸν εἶναι ἐνόμιζον καὶ ἐπονείδιστον, προδοῦναι τὸν πατέρα οὗ εἶναι ὠνομάσθην καὶ ὅς ἐποιήσατό με, ταχὺ ἂν ἀπέστην αὐτῷ τῶν ἐκείνου· ἔστι γὰρ ὑπόλοιπον οὐδὲ ἕν, ὡς καὶ ὑμᾶς οἴομαι αἰσθάνεσθαι. (42) Νυνὶ δὲ δεινὸν τὸ πρᾶγμα καὶ αἰσχρὸν εἶναι τῇδε νομίζω, εἰ ἡνίκα μὲν ὁ Μενεκλῆς εἶχέ τι, τότε μὲν ἔδωκα ἐμαυτὸν υἱὸν αὐτῷ ποιήσασθαι, καὶ ἀπὸ τῆς οὐσίας τῆς ἐκείνου, πρὶν πραθῆναι τὸ χωρίον, ἐγυμνασιάρχουν ἐν τῷ δήμῳ καὶ ἐφιλοτιμήθην ὡς υἱὸς ὢν ἐκείνου, καὶ τὰς στρατείας, ὅσαι ἐγένοντο ἐν τῷ χρόνῳ τούτῳ, ἐστράτευμαι ἐν τῇ φυλῇ τῇ ἐκείνου καὶ ἐν τῷ δήμῳ· (43) ἐπειδὴ δὲ ἐκεῖνος ἐτελεύτησεν, εἰ προδώσω καὶ ἐξερημώσας αὐτοῦ τὸν οἶκον ἀπιὼν οἰχήσομαι, πῶς οὐκ ἂν δεινὸν τὸ πρᾶγμα εἶναι καὶ καταγέλαστον δοκοίη, καὶ τοῖς βουλομένοις περὶ ἐμοῦ βλασφη-

prædium pluris quam decem minis valens tenet, nunc demum insuper domum ejus orbatum it. (36) Atque ego quidem in locum filii adoptatus, dum vixit Meneclem colui, ipsemetque et uxor mea, hujusce Philonidæ filia, et puerulum meum e nomine ejus nuncupavi, ne nomen in domo in totum exolesceret, et exsequias ei fato functo pro dignitate ejus meaque duxi, et cippum instruxi decorum, et novemdialia ceteraque officia inferialia quam honorificentissime exegi, ita ut omnes municipales me collaudarent: (37) iste vero consanguineus, qui eum propter adoptationem incusat, prædio quod restabat ipsum vivum denudavit, atque defunctum improlem facere atque anonymum studet. Tam perditus iste homo est. Verumtamen, quod exsequias ei reddidi, atque tridialia novemdialiaque exegi, eorum qui norunt testimonia recitabit scriba.

TESTIMONIA.

38. Quod igitur Menecles, viri, neque delirans neque mulieri parens me adoptavit, etiam hos ipsos adversarios meos testes præstare volo, eosque tales, qui non verbo, sed actis suis testentur me vera dicere. Isti enim ambo mecum, nequaquam vero cum Menecle, pacificationem perpetrasse ostenduntur, juribusjurandis inter nos invicem datis et acceptis. (39) Sin adoptatio minus secundum leges facta fuisset, neque ego heres Meneclis fuissem istorum consensu approbatus, quorsum tandem isti mihi jurarent aut a me jusjurandum exigerent? nemo causulam dixerit. Quando igitur hæc fecerunt, e me plane testatos esse isti ipsi deprehenduntur, quod adoptatio secundum leges inita est, bonorumque Meneclis jure ego heres sum. (40) Proinde hoc opinor vobis omnibus manifestum esse, ab istis scilicet concessum quod non delirabat Menecles, sed iste multo magis dementem nunc agit, qui, quum lites diluisset nobisque jurasset, nunc adest pactionibus rursus ac juramentis violatis, meque ceteris, tantilla quamvis sint, spoliare studet. (41) Ego, ni patrem, cujus esse nuncupatus sum quique me adoptavit, deserere turpe prorsus ac flagitiosum esse existimarem, bonis ejus cito illi cessissem: nihil enim reliquum est, uti etiam vos percipere autumo. (42) Nunc vero dedecus inhonestumque hac lege esse puto, si, quo tempore Menecles pecuniosus fuit, eo me ipsum ei in locum filii adoptari concesserim, deque bonis ejus, ante prædii venditionem, in demo gymnasiarchatu functus sim et munificentia utpote filius ejus inclaruerim, militias porro, quæ tunc temporis ordinatæ sunt, omnes in tribu ejus ac demo sustinuerim: (43) eo autem mortuo, si deseruerim domoque ejus liberis orbata abierim, nonne facinus monstrosum deridiculumque perpetrarim magnamque calumnia-

μεῖν πολλὴν ἐξουσίαν παρασχοίμην; Καὶ οὐ μόνον ταῦτ' ἐστὶ τὰ ποιοῦντά με ἀγωνίζεσθαι τὸν ἀγῶνα τοῦτον, ἀλλ' εἰ οὕτω φαῦλος ἄνθρωπος δοκῶ εἶναι καὶ μηδενὸς ἄξιος, ὥστε ὑπὸ μὲν εὖ φρονοῦντος μηδ' ὑφ' ἑνὸς ἂν ποιηθῆναι τῶν φίλων, ὑπὸ δὲ παραφρονοῦντος, ταῦτ' ἐστὶ τὰ λυποῦντά με.

44. Ἐγὼ οὖν δέομαι ὑμῶν πάντων, ὦ ἄνδρες, καὶ ἀντιβολῶ καὶ ἱκετεύω ἐλεῆσαί με καὶ ἀποψηφίσασθαι τοῦ μάρτυρος τουτουί. Ἀπέφηνα δ' ὑμῖν πρῶτον μὲν ποιηθέντα ἐμαυτὸν ὑπὸ τοῦ Μενεκλέους ὡς ἄν τις δικαιότατα ποιηθείη, καὶ οὐ λόγῳ οὐδὲ διαθήκῃ τὴν ποίησιν γεγενημένην, ἀλλ' ἔργῳ· (45) καὶ τούτων ὑμῖν τούς τε φράτορας καὶ τοὺς δημότας καὶ τοὺς ὀργεῶνας παρεσχόμην μάρτυρας· καὶ ἐκεῖνον ἐπέδειξα τρία καὶ εἴκοσιν ἐπιβιοῦντα ἔτη. Εἶτα τοὺς νόμους ἐπέδειξα ὑμῖν τοὺς ἅπασι τοῖς ἀνθρώποις ἐξουσίαν διδόντας υἱεῖς ποιεῖσθαι. Καὶ ἔτι πρὸς τούτοις ζῶντά τε φαίνομαι θεραπεύων αὐτὸν καὶ τελευτήσαντα θάψας. (46) Οὗτος δὲ νυνὶ ἄκληρον μὲν ἐμὲ ποιεῖν τοῦ κλήρου τοῦ πατρῴου, εἴτε μείζων ἐστὶν οὗτος εἴτε ἐλάττων, ἄπαιδα δὲ τὸν τελευτήσαντα καὶ ἀνώνυμον βούλεται καταστῆσαι, ἵνα μήτε τὰ ἱερὰ τὰ πατρῷα ὑπὲρ ἐκείνου μηδεὶς τιμᾷ μήτ' ἐναγίζῃ αὐτῷ καθ' ἕκαστον ἐνιαυτόν, ἀλλὰ ἀφαιρεῖται τὰς τιμὰς τὰς ἐκείνου· ἃ προνοηθεὶς ὁ Μενεκλῆς, κύριος ὢν τῶν ἑαυτοῦ, ἐποιήσατο υἱὸν ἑαυτῷ, ἵνα τούτων ἁπάντων τυγχάνῃ. (47) Μὴ οὖν, ὦ ἄνδρες, πεισθέντες ὑπὸ τούτων ἀφέλησθέ μου τὸ ὄνομα τῆς κλη-
37 ρονομίας, ὃ ἔτι μόνον λοιπόν ἐστιν, ἄκυρον δὲ τὴν ποίησιν αὐτοῦ καταστήσητε· ἀλλ' ἐπειδὴ τὸ πρᾶγμα εἰς ὑμᾶς ἀφῖκται καὶ ὑμεῖς κύριοι γεγόνατε, βοηθήσατε καὶ ἡμῖν καὶ ἐκείνῳ τῷ ἐν Ἅιδου ὄντι, καὶ μὴ περιίδητε, πρὸς θεῶν καὶ δαιμόνων δέομαι ὑμῶν, προπηλακισθέντα αὐτὸν ὑπὸ τούτων, ἀλλὰ μεμνημένοι τοῦ νόμου καὶ τοῦ ὅρκου ὃν ὀμωμόκατε καὶ τῶν εἰρημένων ὑπὲρ τοῦ πράγματος, τὰ δίκαια καὶ τὰ εὔορκα κατὰ τοὺς νόμους ψηφίσασθε.

toribus meis copiam dederim? Neque hæc sola me acuunt ad agendum istac actione, sed quod homo tam perditus et vilis esse videor, quem nemo quidem sanus amicorum adoptasse voluerit, sed quidam plane delirans, hoc illud est quod me angit.

44. Quare vos omnes oro, viri, et obtestor et supplico, ut me adjuvetis et huncce testem condemnetis. Planum vero vobis feci inprimis me Menecli fuisse adoptatum modo quo possit adoptari aliquis justissimo, neque verbo neque testamento adoptationem initam esse, sed reapse; (45) phratores porro et demotas et orgeones hæc testantes præstiti; eum præterea tres et viginti annos supervixisse demonstravi. Deinde leges citavi, quæ copiam filios asciscendi omnibus dant. Ad hæc eum vivum coluisse eique fato functo exsequias reddidisse appareo. (46) Iste vero me nunc paterna hereditate, qualis ea cumque sit, majorve minorve, denudatum it, atque defunctum improlem simul et anonymum facere studet, ut nemo super eo sacra patria celebret, neque singulis annis ei parentet, sed honoribus suis eum privet: quæ quum ante prospexisset Menecles, donec suis potiebatur, sibi filium ascivit, quo hæc omnia obtineret. (47) Nequaquam igitur, viri, istis morem gerentes me nomine hereditario privetis, id quod adhuc solum reliquum est, ejusque adoptationem antiquatum eatis: sed postquam negotium ad vos devenit et vos arbitri ejus facti estis, ferte opem nobis et illi qui fato functus est, et ne despiciatis, per deos et genios vos oro, affectum ab his contumelia, sed memores legis et jurisjurandi quod præstitistis et eorum quæ dicta sunt, pro lite justa et jurijurando respondentia secundum leges decernite.

III.

38 ΠΕΡΙ ΤΟΥ ΠΥΡΡΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Πύρρου τὸν ἕτερον τῆς ἀδελφῆς υἱὸν υἱοποιησαμένου Ἔνδιον, καὶ τούτου πλέον ἢ εἴκοσιν ἔτη τὸν κλῆρον κατασχόντος, εἶτα ἀποθανόντος, Ξενοκλῆς λαχὼν τῶν χρημάτων ὑπὲρ Φίλης, τῆς ἑαυτοῦ γυναικός, διεμαρτύρησεν εἶναι αὐτὴν γνησίαν Πύρρου θυγατέρα, ἀμφισβητούσης τοῦ κλήρου τῆς Ἐνδίου μητρός· καὶ ἑάλω ψευδομαρτυριῶν, Νικοδήμου καὶ αὐτοῦ μαρτυρήσαντος ἐγγυῆσαι Πύρρῳ τὴν ἀδελφὴν κατὰ τοὺς νόμους, ἐξ ἧς γεγονέναι τὴν Φίλην. Ὁ Ἐνδίου δὲ ἀδελφὸς νόθην εἶναί φησιν, ἐξ ἑταίρας Πύρρῳ γενομένην, καὶ οὕτως ὑπὸ Ἐνδίου ἐκδοθῆναι Ξενοκλεῖ. Ἡ στάσις στοχασμός, τὸ δὲ ἔγκλημα ψευδομαρτυριῶν κατὰ τοῦ Νικοδήμου.

Ἄνδρες δικασταί, ὁ ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς Πύρρος, ἄπαις ὢν γνησίων παίδων, ἐποιήσατο Ἐν-

III.

DE PYRRHI HEREDITATE.

ARGUMENTUM.

Pyrrhus alterum sororis filium Endium adoptavit, qui ultra viginti annos fruitus hereditate obiit: Xenocles de hereditate illa pro Phile uxore actionem instituens, testatus est Philen esse Pyrrhi filiam legitimam, contendente Endii matre de hereditate; et deprehensus est falsum testimonium dixisse, ipso etiam Nicodemo testante in uxorem junxisse sororem Pyrrho secundum leges, et ex ea natam esse Philen; Endii vero frater dicit esse spuriam et ex concubina Pyrrho ortam, et ut talem ab Endio locatam esse Xenocli. Quæstio conjecturalis: accusatio testatur de falso testimonio contra Nicodemum.

Pyrrhus matris meæ frater, o judices, prole carens legitima, fratrem meum Endium pro filio atque herede ado-

διον τὸν ἀδελφὸν τὸν ἐμὸν υἱὸν ἑαυτῷ· ὃς κληρονόμος ὢν τῶν ἐκείνου ἐβίω πλείω ἔτη ἢ εἴκοσι, καὶ ἐν χρόνῳ τοσούτῳ ἔχοντος ἐκείνου τὸν κλῆρον οὐδεὶς πώποτε προσεποιήσατο οὐδ' ἠμφισβήτησε τῆς κληρονομίας ἐκείνῳ. (2) Τελευτήσαντος δὲ τοῦ ἀδελφοῦ πέρυσιν, ὑπερβᾶσα τὸν τελευταῖον κληρονόμον, γνησία θυγάτηρ τοῦ ἡμετέρου θείου ἥκει φάσκουσα εἶναι Φίλη, καὶ κύριος Ξενοκλῆς Κόπριος τοῦ Πύρρου κλήρου λαχεῖν τὴν λῆξιν ἠξίωσεν, ὃς τετελευτήκει πλείω ἢ εἴκοσιν ἔτη, τρία τάλαντα τίμημα τῷ κλήρῳ ἐπιγραψάμενος. (3) Ἀμφισβητούσης δὲ τῆς μητρὸς τῆς ἡμετέρας, ἀδελφῆς δὲ τοῦ Πύρρου, ὁ κύριος τῆς εἰληχυίας τοῦ κλήρου γυναικὸς ἐτόλμησε διαμαρτυρῆσαι μὴ ἐπίδικον τῇ ἡμετέρᾳ μητρὶ τὸν τοῦ ἀδελφοῦ κλῆρον εἶναι, ὡς οὔσης γνησίας θυγατρὸς Πύρρῳ, οὗ ἦν ἐξ ἀρχῆς ὁ κλῆρος. (4) Ἐπισκηψάμενοι δὲ ἡμεῖς, καὶ εἰς ὑμᾶς εἰσαγαγόντες τὸν διαμαρτυρῆσαι τολμήσαντα κατὰ ταῦτα, ἐκεῖνόν τε ἐξελέγξαντες περιφανῶς τὰ ψευδῆ μεμαρτυρηκότα, τὴν τῶν ψευδομαρτυριῶν δίκην εἵλομεν παρ' ὑμῖν, καὶ τουτονὶ Νικόδημον παραχρῆμα ἐξηλέγξαμεν ἐν τοῖς αὐτοῖς δικασταῖς ἀναισχυντότατον τῇ μαρτυρίᾳ ὄντα ταύτῃ, ὅς γε ἐτόλμησε μαρτυρῆσαι ἐγγυῆσαι τῷ θείῳ τῷ ἡμετέρῳ τὴν ἀδελφὴν τὴν ἑαυτοῦ γυναῖκα εἶναι κατὰ τοὺς νόμους. (5) Ὅτι μὲν οὖν καὶ ἐν τῇ προτέρᾳ δίκῃ ἡ τούτου μαρτυρία ψευδὴς ἔδοξεν εἶναι, ὁ τόθ' ἑαλωκὼς μάρτυς σαφέστατα τοῦτον ἐξελέγχει. Εἰ γὰρ μὴ ἐδόκει οὗτος τὰ ψευδῆ τότε μαρτυρῆσαι, δῆλον ὅτι ἐκεῖνός τ' ἂν ἀποφυγὼν τὴν διαμαρτυρίαν ἀπῆλθε, καὶ κληρονόμος ἂν τῶν τοῦ θείου ἡ διαμαρτυρηθεῖσα γνησία θυγάτηρ εἶναι, ἀλλ' οὐχ ἂν ἡ ἡμετέρα κατέστη μήτηρ. (6) Ἁλόντος δὲ τοῦ μάρτυρος καὶ ἀποστάσης τοῦ κλήρου τῆς ἀμφισβητούσης γνησίας θυγατρὸς Πύρρῳ εἶναι, μεγάλη ἀνάγκη ἅμα καὶ τὴν τούτου μαρτυρίαν ἑαλωκέναι· περὶ γὰρ αὐτοῦ τούτου διαμαρτυρήσας τὴν τῶν ψευδομαρτυριῶν δίκην ἠγωνίζετο, πότερον ἐξ ἐγγυητῆς ἢ ἐξ ἑταίρας ἡ ἀμφισβητοῦσα τοῦ κλήρου τῷ θείῳ γυναικὸς εἴη. Γνώσεσθε δ' ἀκούσαντες καὶ ὑμεῖς τῆς τε ἀντωμοσίας τῆς ἡμετέρας καὶ τῆς τούτου μαρτυρίας καὶ τῆς ἁλούσης διαμαρτυρίας. (7) Ἀναγίνωσκε λαβὼν τασδὶ αὐτοῖς.

ΑΝΤΩΜΟΣΙΑ. ΜΑΡΤΥΡΙΑ. ΔΙΑΜΑΡΤΥΡΙΑ.

Ὡς μὲν ἔδοξε παραχρῆμα εὐθὺς τότε τὰ ψευδῆ μαρτυρῆσαι Νικόδημος, ἐπιδέδεικται τότε πᾶσι· προσήκει δὲ καὶ παρ' ὑμῖν τοῖς περὶ αὐτοῦ τούτου τὴν δίκην μέλλουσι ψηφιεῖσθαι ἐξελεγχθῆναι τὴν τούτου μαρτυρίαν. (8) Ἐπιθυμῶ δὲ πρῶτον μὲν περὶ αὐτοῦ τούτου πυθέσθαι, ἥντινά ποτε προῖκά φησιν ἐπιδοὺς ἐκδοῦναι τὴν ἀδελφὴν ὁ μεμαρτυρηκὼς τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ, εἶτα πότερον ἡ ἐγγυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα ζῶντα ἢ τελευτήσαντος τὸν οἶκον αὐτοῦ, καὶ παρ' ὅτου ἐκομίσατο τὴν τῆς ἀδελφῆς προῖκα οὗτος, ἐπειδὴ τετελευτηκὼς ἦν ᾧ μεμαρτύρηκεν οὗτος αὐτὴν ἐγγυῆσαι, (9) ἢ εἰ μὴ ἐκομίζετο, ὁποίαν δίκην σίτου ἢ τῆς

ptaverat; qui Endius plus viginti annis ei supervixit, et bona ejus possedit, totoque illo tempore nemo unquam simulavit se existimare illam hereditatem ad se pertinere, neque super ea cum Endio contendit. (2) Verum Endio fratre meo anno superiori vita defuncto, prætermittens heredem hunc postremum Phile mulier, avunculi nostri filiam se fert legitimam, et maritus ejus Xenocles Coprius, uxoris nomine, litem exorsus est super Pyrrhi hereditate jam plusquam viginti annis ante vita defuncti, petivitque illam hereditatem a se in libello petitorio tribus talentis æstimatam. (3) Ibi mater nostra, Pyrrhi soror, eadem de hereditate contendere; sed vir, in cujus potestate illa mulier est, intercedebat obnuntiatione quam ausus est interponere, qua testem agens negat matri nostræ jus ullum esse fratris hereditatem petendi, quoniam Pyrrho, primo bonorum domino, filia legitime nata supersit adhuc in vivis. (4) Opposuimus vero nos actionem de falso dicto testimonio, vestrumque ad forum pertraximus eum qui interponenda obnuntiatione sua ausus fuerat hereditatis aditu nos excludere, atque non illum modo [Xenoclem] dicti falsi testimonii luculentissime coarguimus et actionem de falso testimonio in hoc eodem vestro foro vicimus, sed etiam hunc Nicodemum tum quoque in continenti coarguimus, qui coram iisdem judicibus falsum illud Xenoclis testimonium suo perinde falso fultum ierat, aiens a se sororem suam avunculo nostro Pyrrho rite desponsam fuisse, quo uxor ejus jure optimo esset. (5) Testimonium hoc Nicodemi jam in priore actione judicibus qui tum sedebant falsum fuisse visum, docet testis tum condemnatus Xenocles. Nam si Nicodemus tum visus non fuisset falsa testatus esse, constat hoc eventurum fuisse ut et Xenocles in causa obtestationis absolutus abiret, et mulier, quam Xenoclis obtestatio filiam Pyrrhi legitimam perhibet esse, avunculi nostri bonorum heres declararetur; non mater nostra. (6) Sed victus et condemnatus discessit testis, et mulier illa quæ Pyrrhi se ferebat filiam, ab hereditate quam poscebat destitit; unde invicta exsistit necessitas Nicodemi quoque testimonium reprobatum fuisse. Nam Xenocles hoc de ipso actionem falsi testimonii certabat, utrum mulier hereditatem petens Pyrrho e meretrice an ex uxore legitima nata esset. Sed vos quoque statum causæ cognoscetis, ubi audiveritis et jusjurandum nostrum ab illis dicto oppositum et Nicodemi testimonium et Xenoclis obtestationem convictam falsitatis. (7) Recita tu judicibus tres hasce schedas.

CONTRAJURAMENTUM. TESTIMONIUM. OBTESTATIO.

Nicodemum ergo jam tum statim visum fuisse falsum testem, id liquido tum demonstratum fuit omnibus : verum etiam coram vobis, judices, convenit testimonium ejus mendacii coargui, quippe qui hoc de ipso sedeatis judicaturi. (8) Ante omnia itaque percontari volo, quamnam dotem a se sorori aiat additam fuisse Nicodemus, qui testimonio asseveravit, sororem a se Pyrrho rite elocatam fuisse, substantiam possidenti tribus talentis æquiparabilem; deinde percontari volo, utrum illa prætensa Pyrrhi uxor virum adhuc superstitem an eo exstincto domum ejus deseruerit, et, posterius hoc si evenit, a quonam dotem sorori contributam recuperarit post ejus excessum cui se illam despondisse ait, (9) aut si dotem minus recuperarit, quam-

39 προικὸς αὐτῆς ἐν εἴκοσιν ἔτεσι τῷ ἔχοντι τὸν κλῆρον δικάσασθαι ἠξίωσεν, ἢ εἴ του ἀνθρώπων ἐναντίον προσῆλθεν ἐγκαλῶν τῷ κληρονόμῳ περὶ τῆς προικὸς τῆς ἀδελφῆς ἐν χρόνῳ τοσούτῳ. Περί τε οὖν τούτων ἡδέως ἂν πυθοίμην, ὅ τι ποτ' ἦν τὸ αἴτιον τοῦ μηδὲν τούτων γεγενῆσθαι περὶ τῆς ἐγγυητῆς (ὡς μεμαρτύρηκεν οὗτος) γυναικός, (10) καὶ πρὸς τούτοις εἴ τις ἄλλος ἐγγυητὴν ἔσχε τὴν τούτου ἀδελφὴν γυναῖκα, ἢ τῶν πρότερον χρησαμένων πρὶν γνῶναι τὸν ἡμέτερον θεῖον αὐτήν, ἢ ὅσοι ἐκείνου γιγνώσκοντος ἐπλησίαζον αὐτῇ, ἢ ὅσοι ὕστερον ἐπλησίαζον τετελευτηκότος ἐκείνου· δῆλον γὰρ ὅτι τὸν αὐτὸν τρόπον ὁ ἀδελφὸς αὐτὴν ἅπασι τοῖς πλησιάζουσιν ἐδεδώκει. (11) Περὶ ὧν εἰ δεήσειε καθ' ἕκαστον διελθεῖν, οὐκ ἂν πάνυ μικρὸν ἔργον γένοιτο. Ἐὰν μὲν οὖν ὑμεῖς κελεύητε, περὶ ἐνίων μνησθείην ἂν αὐτῶν· εἰ δέ τισιν ὑμῶν ἀηδὲς ἀκούειν ἐστίν, ὥσπερ ἐμοὶ λέγειν τι περὶ τούτων, αὐτὰς τὰς μαρτυρίας ὑμῖν παρέξομαι τὰς μαρτυρηθείσας ἐν τῇ προτέρᾳ δίκῃ, ὧν οὐδεμιᾷ ἐπισκήψασθαι ἠξίωσαν οὗτοι. Καίτοι ὅπου κοινὴν αὐτὴν ὡμολογήκασιν εἶναι τοῦ βουλομένου, τὴν γυναῖκα, πῶς ἂν εἰκότως ἡ αὐτὴ γυνὴ ἐγγυητὴ δόξειεν εἶναι; (12) Ἀλλὰ μὴν ὁπότε μὴ ἐπεσκημμένοι εἰσὶ ταῖς περὶ αὐτοῦ τούτου μαρτυρίαις, ὡμολογηκότες εἰσὶ ταῦτα. Ἀκούσαντες δὲ καὶ ὑμεῖς αὐτῶν τῶν μαρτυριῶν, γνώσεσθε ὡς οὗτός τε περιφανῶς τὰ ψευδῆ μεμαρτύρηκε, καὶ ὀρθῶς καὶ κατὰ τοὺς νόμους οἱ δικάσαντες τὴν δίκην ἔγνωσαν τὴν κληρονομίαν μὴ προσήκειν τῇ μὴ ὀρθῶς γεγενημένῃ γυναικί. Ἀναγίνωσκε· σὺ δ' ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΙΑΙ.

13. Ὡς μὲν ἑταίρα ἦν τῷ βουλομένῳ καὶ οὐ γυνὴ τοῦ ἡμετέρου θείου, ἣν οὗτος ἐγγυῆσαι ἐκείνῳ μεμαρτύρηκεν, ὑπὸ τῶν ἄλλων οἰκείων καὶ ὑπὸ τῶν γειτόνων τῶν ἐκείνου μεμαρτύρηται πρὸς ὑμᾶς· οἳ μάχας καὶ κώμους καὶ ἀσέλγειαν πολλήν, ὁπότε ἡ τούτου ἀδελφὴ εἴη παρ' αὐτῷ, μεμαρτυρήκασι γίνεσθαι περὶ αὐτῆς. (14) Καίτοι οὐ δή πού γε ἐπὶ γαμετὰς γυναῖκας οὐδεὶς ἂν κωμάζειν τολμήσειεν· οὐδὲ αἱ γαμεταὶ γυναῖκες ἔρχονται μετὰ τῶν ἀνδρῶν ἐπὶ τὰ δεῖπνα, οὐδὲ συνδειπνεῖν ἀξιοῦσι μετὰ τῶν ἀλλοτρίων, καὶ ταῦτα μετὰ τῶν ἐπιτυχόντων. Ἀλλὰ μὴν τῷ γε μεμαρτυρηκότι οὐδ' ἐπισκήψασθαι οὗτοι ἠξίωσαν. Καὶ ὡς ἀληθῆ λέγω, ἀναγίνωσκε πάλιν αὐτοῖς τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

15. Ἀνάγνωθι δὴ καὶ τὰς περὶ τῶν πλησιασάντων αὐτῇ μαρτυρίας, ἵνα εἰδῶσιν ὅτι ἑταίρα τε ἦν τοῦ βουλομένου, καὶ ὅτι οὐδ' ἐξ ἑνὸς ἄλλου φαίνεται τεκοῦσα. Ἀναγίνωσκε αὐτοῖς.

ΜΑΡΤΥΡΙΑΙ.

16. Ὡς μὲν τοίνυν ἦν κοινὴ τῷ βουλομένῳ, ἣν οὗτος ἐγγυῆσαι τῷ ἡμετέρῳ θείῳ μεμαρτύρηκε, μνημονεύειν χρὴ ὑφ' ὅσων ὑμῖν μεμαρτύρηται, καὶ ὅτι οὐδενὶ ἄλλῳ

nam actionem sive titulo alimentorum mulieri præbendorum sive dotis ipsius reddendæ intra viginti annorum decursum in eum intentarit qui hereditatem Pyrrhi in potestate habuit, aut quonam coram teste congressus cum herede, de dote sorori reddenda intra tam longinquum tempus expostulaverit. Horum itaque omnium cur nihil factum sit, libenter ex eo perconter, ea super muliere quam legitime elocatam fuisse hic testatus est, (10) et præterea, num quis adhuc alius sororem ejus habuerit uxorem sibi rite desponsam, sive ille unus est ex eorum numero qui muliere illa familiariter usi sunt, antequam avunculus noster notitiam cum ea contraheret, sive ex eorum qui avunculo cum ea consuescente mulierem frequentarunt, sive denique eorum qui avunculo e vivis sublato amicam eam habuerunt : constat enim eam eorum unicuique conditione eadem elocatam fuisse a fratre qua avunculo nostro fuit. (11) Non modicum mihi datum foret negotium, si de horum unoquoque sigillatim exponere necesse fuerit. Quodsi ergo vos jubeatis de quibusdam eorum a me mentionem fieri, faciam : sin autem vestrûm quibusdam perinde insuave sit audire ista, atque mihi est in iis oratione versari, sola vobis exhibebo testimonia in priore actione dicta, quorum omnium in nullum hi ausi sunt falsitatis actionem instruere. Atqui fieri qui possit, ut rite desponsa cuiquam videatur ea mulier, quam hi ipsi confitentur volenti cuique patuisse? (12) Quod enim testimonia hac ipsa de re dicta falsitatis actione persecuti non sunt, eo ipso rem confessi sunt. Quæ testimonia ubi vos quoque audieritis, cognoscetis et Nicodemum testimonium dixisse manifeste falsum et superioris actionis judices jure æquo pronuntiasse, hereditatem uxori haud legitimæ non competere. Recita tu, tu autem inhibe clepsydram.

TESTIMONIA.

13. Quod ergo meretrix volenti cuique obnoxia, non autem uxor legitima nostri avunculi, fuerit ea mulier, quam Nicodemus testatus est a se illi legitime desponsam fuisse, de eo jam constat vobis quum e reliquorum propinquorum tum e vicinorum testimoniis; nunc autem testati sunt rixas fuisse et comissationes et petulantiam incredibilem, quoties hæc Nicodemi soror penes Pyrrhum esset. (14) Atqui nemo facile ausit ad matronas comissabundus accedere; neque uxores maritos ad convivia comitantur, neque compotantibus assident inter ignotos et alienos eosque fortuito oblatos. Neque adversarii mei ausi sunt contra testium illorum quemquam actionem falsitatis instituere. Vera me hæc affirmare quo constet, recita tu illis hoc testimonium iterum.

TESTIMONIUM.

15. Sed et illa recita testimonia de viris cum illa congressis, quo constet et meretricem illam fuisse volenti cuique obnoxiam, et neminem illorum alium ex ea liberos suscepisse. Recita ipsis.

TESTIMONIA.

16. Meminisse jam vos oportet quot homines coram vobis, judices, contestati sint, quam mulierem hic avunculo nostro a se desponsam ait fuisse, eam commune omnium

ἐγγυηθεῖσα οὐδὲ συνοικήσασα φαίνεται· σκεψώμεθα δὲ καὶ ἐξ ὧν ἄν τις ὑπονοήσειεν ἐγγύην γενέσθαι τοιαύτης γυναικός, εἰ ἄρα καὶ τῷ ἡμετέρῳ θείῳ τοιοῦτόν τι συμβέβηκεν. (17) Ἤδη γάρ τινες νέοι ἄνθρωποι ἐπιθυμήσαντες τοιούτων γυναικῶν, καὶ ἀκρατῶς ἔχοντες αὑτῶν, ἐπείσθησαν ὑπ' ἀνοίας εἰς αὑτοὺς τοιοῦτόν τι ἐξαμαρτεῖν. Πόθεν οὖν ἄν τις σαφέστερον γνοίη περὶ τούτων, ἢ ἔκ τε τῶν μαρτυριῶν τῶν τούτοις μεμαρτυρημένων ἐν τῇ προτέρᾳ δίκῃ καὶ ἐκ τῶν εἰκότων τῶν περὶ αὐτὸ τὸ πρᾶγμα σκεψάμενος; (18) Ἐνθυμεῖσθε δὲ τὴν ἀναίδειαν ὧν λέγουσιν. Ὁ μὲν γὰρ ἐγγυᾶν μέλλων εἰς τὸν τριτάλαντον οἶκον, ὥς φησι, τὴν ἀδελφήν, διαπραττόμενος τηλικαῦτα ἕνα μάρτυρα παρεῖναι αὑτῷ Πυρετίδην προσεποιήσατο, καὶ τούτου ἐκμαρτυρίαν ἐπ' ἐκείνῃ τῇ δίκῃ παρέσχοντο οὗτοι· ἣν Πυρετίδης οὐκ ἀναδέδεκται αὐτοῖς, οὐδὲ ὁμολογεῖ μαρτυρῆσαι οὐδὲ εἰδέναι τούτων ἀληθὲς ὂν οὐδέν. (19) Μέγα δὲ τεκμήριον ὡς περιφανῶς ψευδῆ τὴν μαρτυρίαν οὗτοι παρέσχοντο ταύτην· ἴστε γὰρ πάντες ὡς ὅταν μὲν ἐπὶ προδήλους πράξεις ἴωμεν, ἃς δεῖ μετὰ μαρτύρων γενέσθαι, τοὺς οἰκειοτάτους καὶ οἷς ἂν τυγχάνωμεν χρώμενοι μάλιστα, τούτους παραλαμβάνειν εἰώθαμεν ἐπὶ τὰς πράξεις τὰς τοιαύτας, τῶν δὲ ἀδήλων καὶ ἐξαίφνης γινομένων τοὺς προστυχόντας ἕκαστοι μάρτυρας ποιούμεθα. (20) Καὶ ἐπὶ μὲν ταῖς μαρτυρίαις αὐταῖς τοῖς παραγενομένοις αὐτοῖς, ὁποῖοί τινες ἂν ὦσι, τούτοις μάρτυσι χρῆσθαι ἀναγκαῖόν ἐστιν ἡμῖν· παρὰ δὲ τῶν ἀσθενούντων ἢ τῶν ἀποδημεῖν μελλόντων ὅταν τις ἐκμαρτυρίαν ποιῆται, τοὺς ἐπιεικεστάτους τῶν πολιτῶν καὶ τοὺς ἡμῖν γνωριμωτάτους ἕκαστος ἡμῶν παρακαλεῖ μάλιστα, καὶ οὐ μεθ' ἑνὸς οὐδὲ μετὰ δυοῖν, (21) ἀλλ' ὡς ἂν μετὰ πλείστων δυνώμεθα τὰς ἐκμαρτυρίας πάντες ποιούμεθα, ἵνα τῷ τε ἐκμαρτυρήσαντι μὴ ἐξείη ὕστερον ἐξάρνῳ γενέσθαι τὴν μαρτυρίαν, ὑμεῖς τε πολλοῖς καὶ καλοῖς κἀγαθοῖς ταῦτα μαρτυροῦσι πιστεύοιτε μᾶλλον. (22) Ξενοκλῆς τοίνυν Βήσαζε μὲν ἰὼν εἰς τὸ ἐργαστήριον τὸ ἡμέτερον εἰς τὰ ἔργα, οὐχ ἡγήσατο δεῖν τοῖς ἀπὸ τοῦ αὐτομάτου ἐκεῖ ἐντυχοῦσι μάρτυσι χρῆσθαι περὶ τῆς ἐξαγωγῆς, ἀλλ' ἧκεν ἔχων ἐνθένδε Διόφαντον τὸν Σφήττιον μεθ' ἑαυτοῦ, ὃς ἔλεγε τὴν δίκην ὑπὲρ τούτου, καὶ Δωρόθεον τὸν Ἐλευσίνιον καὶ τὸν ἀδελφὸν αὐτοῦ Φιλοχάρη καὶ ἄλλους πολλοὺς μάρτυρας, παρακεκληκὼς ἐνθένδε σταδίους ἐγγὺς τριακοσίους ἐκεῖσε· (23) περὶ δὲ τῆς ἐγγύης τῆς τήθης τῶν παίδων τῶν ἑαυτοῦ ἐν τῷ ἄστει ἐκμαρτυρίαν (ὥς φησι) ποιούμενος τῶν μὲν οἰκείων οὐδένα τῶν ἑαυτοῦ παρακεκληκὼς φαίνεται, Διονύσιον δὲ Ἐρχιέα καὶ Ἀριστόλοχον τὸν Αἰθαλίδην· μετὰ δυοῖν τούτοιν ἐν τῷ ἄστει αὑτοῦ τὴν ἐκμαρτυρίαν ποιήσασθαί φασιν οὗτοι. Τοιαῦτα μὲν τὰ τούτων· οἷς οὐδ' ἂν περὶ ὁτουοῦν πιστεύσειεν ἄλλου οὐδείς. (24) Ἴσως γὰρ ἦν νὴ Δία πάρεργον καὶ φαῦλον, περὶ οὗ τὴν ἐκμαρτυρίαν παρὰ τοῦ Πυρετίδου φασὶ ποιήσασθαι οὗτοι, ὥστε οὐδὲν θαυμαστὸν ὀλιγωρηθῆναι ἦν τὸ πρᾶγμα. Καὶ πῶς; ὥστε περὶ αὐτοῦ τούτου ὁ ἀγὼν ἦν ὁ τῶν ψευ-

fuisse prostibulum, et constare jam aliorum nemini eam desponsam fuisse neque cohabitasse. Verum age excutiamus, unde suspicio nascatur fieri tamen potuisse ut ejusmodi mulier rite desponderetur, si nostro quoque avunculo contigisset hac in re humanum quid pati. (17) Usu enim nonnunquam venit ut adolescentes, quum talium mulierum amore exarsissent, sui haud compotes insania sua ad peccandum in se ipsos compellerentur. Unde igitur de his quid statuendum sit certius intelligatur, quam partim e testimoniis in actione superiori horum in causa dictis, partim ex indiciis probabilibus quæ ipsa res suppeditat? (18) Jam spectate impudentiam eorum quæ protulerunt. Nicodemus enim viro rem trium talentorum possidenti, uti ait, desponsurus sororem, comminiscitur unum solummodo testem, Pyretidem, sibi præsto fuisse. Et hujus rei testimonium absentis nomine scriptum exhibuere; quod ipse Pyretides suscipere recusat, negatque sibi constare horum quicquam verum esse. (19) Luculentum ego vero edam documentum, unde constet testimonium hoc manifesto ementitum esse: nostis enim vos omnes, quum res prævisas suscipiamus quibus testes adesse debent, tum solere nos advocare propinquissimos eosque quibus utamur quam familiarissime; subitarum autem rerum, quarum eventum præscire nemo possit, testes producere eos qui fortuito rei interfuerunt. (20) In ipsis testimoniis, ubi testes in judicum conspectum producimus, facere non possumus quin præsentes testes, quicunque tandem sunt, producamus; sin vero absentium propter morbum vel iter testimoniis uti aliquis velit, tum operam damus ut civium probatissimos quosque vobisque notissimos adhibeamus, (21) neque uno teste duobusve defungimur, sed quamplurimos corrogamus, quo et auctori testimonii postmodum negatum sit a se scripta rursus infitiari, et vos fidem hoc promptius habeatis quo testes et numero plures et fama atque dignitate meliores sint. (22) Xenocles quidem ubi Besam profectus est ad officinam metallicam, quæ ibi nobis est a Pyrrho relicta, uxoris nomine invadendam, non existimabat oportere se testibus eductionis uti quos fors esset objectura, sed in viam se dabat habens secum Diophantum Sphettium, eundem qui Xenoclis in superiore actione patronus fuit, et Dorotheum Eleusinium fratremque suum Philocharem multosque alios ad testandum convocatos, quos hinc illuc perduxit Xenocles per trecenta fere stadia: (23) super elocatione autem mulieris quæ liberis suis avia est, quum in urbe sibi dari curaret extestimonium, necessariorum suorum neminem advocasse deprehenditur, sed solummodo Dionysium Erchiensem et Aristolochum Æthalidem. Per hos duos Xenocles ejusque socii hic in urbe extestimonium sibi procurasse dicunt. Hujusmodi sunt eorum mores; quibus nemo facile ulla alia in re fidem adhibeat. (24) At medius fidius leve quid erat atque frivolum id, cujus causa extestimonium a Pyretide hi poscebant, ut mirandum nil sit ab eo rem istam tanta cum socordia actam esse? Atqui levis hæc res qui, quæso, erit ei, cui in hoc ipso verteretur cardo certaminis

δομαρτυριῶν, ὃν Ξενοκλῆς ἔφευγεν, ἢ ἐξ ἑταίρας ἢ ἐξ ἐγγυητῆς τὴν ἑαυτοῦ γυναῖκα εἶναι. Εἶτα ἐπὶ ταύτην ἂν τὴν μαρτυρίαν, εἰ ἦν ἀληθής, οὐκ ἂν ἅπαντας τοὺς οἰκείους τοὺς ἑαυτοῦ παρακαλεῖν ἐκεῖνος ἠξίωσεν; (25) Ναὶ μὰ Δία, ὥς ἔγωγε ᾤμην, εἴ γε ἦν ἀληθὲς τὸ πρᾶγμα. Οὐ τοίνυν φαίνεται, ἀλλ' ὁ μὲν Ξενοκλῆς πρὸς τοὺς ἐπιτυχόντας δύο ἐκμαρτυρησάμενος τὴν μαρτυρίαν ταύτην, Νικόδημος δὲ οὗτος ἕνα μόνον μάρτυρα παρακαλέσας μεθ' ἑαυτοῦ τῷ τὸν τριτάλαντον οἶκον κεκτημένῳ ἐγγυῆσαί φησι τὴν ἀδελφήν. (26) Καὶ οὗτος μὲν τὸν Πυρετίδην μόνον, οὐχ ὁμολογοῦντα, προσεποιήσατο μετὰ αὑτοῦ παραγενέσθαι· ὑπὸ δὲ τοῦ ἐγγυήσασθαι μέλλοντος τὴν τοιαύτην Λυσιμένης καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Χαίρων καὶ Πυλάδης, φασὶ παρακληθέντες τῇ ἐγγύῃ παραγενέσθαι, καὶ ταῦτα θεῖοι ὄντες τῷ ἐγγυωμένῳ. (27) Ὑμέτερον οὖν ἔργον σκέψασθαι νῦν, εἰ δοκεῖ πιστὸν εἶναι τὸ πρᾶγμα. Ἐγὼ μὲν γὰρ νομίζω, ἐκ τῶν εἰκότων σκοπούμενος, πολὺ ἂν μᾶλλον τὸν Πύρρον πάντας ἂν τοὺς οἰκείους βούλεσθαι λεληθέναι, εἴ τι παρεσκευάζετο ὁμολογεῖν ἢ πράττειν ἀνάξιον τῶν αὑτοῦ, ἢ παρακαλέσαι μάρτυρας τοὺς θείους τοὺς ἑαυτοῦ ἐπὶ ἁμάρτημα τηλικοῦτον.

28. Ἔτι δὲ καὶ περὶ ἐκείνου θαυμάζω, εἰ μηδεμίαν προῖκα μήθ' ὁ διδοὺς μήθ' ὁ λαμβάνων διωμολογήσαντο ἐξεῖν ἐπὶ τῇ γυναικί. Τοῦτο μὲν γὰρ εἴ τινα ἐδίδου, εἰκὸς ἦν καὶ τὴν δοθεῖσαν ὑπὸ τῶν παραγενέσθαι φασκόντων μαρτυρεῖσθαι· τοῦτο δ' εἰ δι' ἐπιθυμίαν τὴν ἐγγύην ὁ θεῖος ἡμῶν ἐποιεῖτο τῆς τοιαύτης γυναικός, δῆλον ὅτι κἂν ἀργύριον πολλῷ μᾶλλον ὁ ἐγγυῶν διωμολογήσατο ἔχειν αὐτὸν ἐπὶ τῇ γυναικί, ἵνα μὴ ἐπ' ἐκείνῳ γένοιτο ῥᾳδίως ἀπαλλάττεσθαι, ὁπότε βούλοιτο, τῆς γυναικός· (29) καὶ μάρτυράς γε πολλῷ πλείους τὸν ἐγγυῶντα παρακαλεῖν ἢ τὸν ἐγγυώμενον τὴν τοιαύτην· οὐδεὶς γὰρ ὑμῶν ἀγνοεῖ ὅτι ὀλίγα διαμένειν εἴωθε τῶν τοιούτων. Ὁ μὲν τοίνυν ἐγγυῆσαι φάσκων μετὰ ἑνὸς
41 μάρτυρος καὶ ἄνευ ὁμολογίας προικὸς εἰς τὸν τριτάλαντον οἶκον ἐγγυῆσαί φησι τὴν ἀδελφήν· οἱ δὲ θεῖοι τῷ ἀδελφιδῷ ἄπροικον τὴν τοιαύτην ἐγγυωμένῳ μεμαρτυρήκασι παραγενέσθαι.

30. Καὶ οἱ αὐτοὶ θεῖοι οὗτοι ἐν τῇ δεκάτῃ τῆς θυγατρὸς ἀποφανθείσης εἶναι ὑπὸ τοῦ ἀδελφιδοῦ κληθέντες μεμαρτυρήκασι παραγενέσθαι. Ἐφ' ᾧ δὴ καὶ δεινῶς ἀγανακτῶ, ὅτι ὁ μὲν ἀνὴρ λαγχάνων ὑπὲρ τῆς γυναικὸς τῆς αὐτοῦ τοῦ κλήρου τοῦ πατρῴου Φίλην ὄνομα εἶναι ἐγράψατο τῇ γυναικί, οἱ δὲ τοῦ Πύρρου θεῖοι ἐν τῇ δεκάτῃ φάσκοντες παραγενέσθαι τὸ τῆς τήθης ὄνομα Κλειταρέτην τὸν πατέρα ἐμαρτύρησαν θέσθαι αὐτῇ. (31) Θαυμάζω οὖν εἰ ὁ ἀνὴρ ὁ συνοικῶν πλείω ἢ ὀκτὼ ἔτη ἤδη μὴ ᾔδει τοὔνομα τῆς ἑαυτοῦ γυναικός. Εἶτα οὐδὲ παρὰ τῶν αὑτοῦ μαρτύρων πρότερον ἐδυνήθη πυθέσθαι, οὐδ' ἡ μήτηρ τῆς γυναικὸς τὸ τῆς θυγατρὸς ὄνομα τῆς αὐτῆς ἐν χρόνῳ τοσούτῳ ἔφρασεν αὐτῷ, οὐδ' ὁ θεῖος αὐτός, Νικόδημος, (32) ἀλλ' ἀντὶ τοῦ τῆς τήθης ὀνόματος, εἴ τις ᾔδει τοῦθ' ὑπὸ τοῦ πατρὸς κείμενον

ejus, quod de falso testimonio certandum fuit, utrum uxor sua e scorto nata an e matre familias suscepta esset? Itane vero ad testimonium hac de re, si verum fuisset, non amicos atque familiares omnes advocasset? (25) Utique, ita me deus amet, vere factum id si fuisset, quod ii factum aiunt. Atqui non ita rem habere apparet; nam Xenocles quidem extestimonium sibi dari curavit coram duobus solummodo testibus fortuito oblatis, Nicodemus autem, id agens ut sororem viro substantiam habenti tribus talentis parem elocasse probaret, non habuit secum nisi unum solummodo testem advocatum. (26) Et Nicodemus quidem se solum Pyretidem secum habuisse commentus est; Pyretides enim ipse factum infitiatur; ab eo autem viro, qui ejusmodi mulierem sibi desponderi curaret, advocatos se sponsalibus interfuisse aiunt Lysimenes et fratres ejus, Chæron et Pylades. Hoc aiunt hi, qui despondendi avunculi essent. (27) Jam vestrum est, judices, dispicere commentum hoc utrum sit credibile. Nam ego equidem autumo, ex eo colligens quod consentaneum est fieri, si Pyrrhus sibi proposuisset aliquid aut spondere aut agere quod genere ipsius esset indignum, multo eum magis operam fuisse daturum ut id insciis necessariis omnibus faceret, quam voluisse avunculos ad errorem tam fœdum contestandum advocare.

28. Præterea hoc quoque miror, cur de dote nullum pactum intercesserit neque a parte dantis neque a parte accipientis. Sive enim Nicodemus dotem Pyrrho dedit, consentaneum erat ut, qui testes se sponsalibus aiunt interfuisse, hi iidem quoque testarentur illam dotem Pyrrho in manus datam fuisse: sin autem cupiditate mulieris accensus avunculus noster passus esset indotatam sibi desponderi talem mulierem, paret Nicodemum multo etiam magis operam daturum fuisse ut Pyrrhus coram testibus affirmaret se dotem pro muliere accepisse atque sic caveret, ne facile ei esset mulierem, si quando luberet, a se ablegare; (29) multo etiam plures tum testes despondens adhibuisset quam is qui sibi talem mulierem desponderi curaret. Nemo enim vestrûm ignorat, ejusmodi connubia utplurimum mox dissolvi. Et nihilominus tamen Nicodemus, sororem a se desponsam aiens, viro substantiam habenti tribus talentis æquiparabilem ait eam despondisse uno tantum cum teste et sine pactione dotis; et avunculi aiunt se interfuisse sponsalibus iis quibus suus ex sorore nepos mulierem talem sibi curasset indotatam desponderi.

30. Testati præterea quoque sunt hi iidem Pyrrhi avunculi se advocatos a nepote affuisse die nominali filiæ, quæ ei nata esse perhibebatur. Hic vero loci gravissime indignor, quod maritus quidem uxoris nomine litem instituens de hereditate Pyrrhi veluti de patrimonio uxoris in libello accusatorio uxoris suæ Philæ nomen ediderit; avunculi autem Pyrrhi, qui die nominali affuisse testati sint, eam a patre ex aviæ nomine Clitaretam appellatam fuisse. (32) Miror itaque qui factum sit ut maritus, octavum jam in annum uxorem domi habens, verum ejus nomen ignorarit, et neque a testibus suis id ante hunc diem didicerit, neque socrus ei filiæ suæ nomen intra tam longinquum tempus prodiderit, et ne ipse quidem avunculus Nicodemus, (33) sed pro aviæ nomine — si revera nomen aviæ mulieri fuit unquam impositum — maritus uxori suæ nomen Philæ

ταύτῃ, Φίλην ὁ ἀνὴρ ὄνομα ἐπεγράψατο εἶναι αὐτῇ, καὶ ταῦτα λαγχάνων αὐτῇ τοῦ κλήρου τοῦ πατρῴου. Τίνος ἕνεκα; ἢ ἵνα καὶ τοῦ τῆς τήθης ὀνόματος τοῦ ὑπὸ τοῦ πατρὸς τεθέντος ἄκληρον ὁ ἀνὴρ καταστήσειεν εἶναι τὴν αὑτοῦ γυναῖκα; (33) Ἆρά γε οὐχὶ δῆλον, ὦ ἄνδρες, ὅτι ἃ πάλαι οὗτοι μαρτυροῦσι γενέσθαι, πολλῷ πλέον τῆς λήξεως τοῦ κλήρου σύγκειται αὐτοῖς; Οὐ γὰρ ἄν ποτε οἱ μὲν εἰς τὴν δεκάτην (ὥς φασι) κληθέντες τῆς τοῦ Πύρρου θυγατρός, ἀδελφιδῆς δὲ τούτου, ἐξ ἐκείνης τῆς ἡμέρας, ἥτις ἦν ποτε, ἀκριβῶς εἰς τὸ δικαστήριον ἧκον μεμνημένοι ὅτι Κλειταρέτην ὁ πατὴρ ἐν τῇ δεκάτῃ ὠνόμηνεν, (34) οἱ δ' οἰκειότατοι τῶν ἁπάντων, ὁ πατὴρ καὶ ὁ θεῖος καὶ ἡ μήτηρ οὐκ ἂν ᾔδει τὸ ὄνομα τῆς θυγατρός, ὥς φασι, τῆς αὑτοῦ. Πολύ γε μάλιστ' ἄν, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα. Ἀλλὰ περὶ μὲν τούτων καὶ ὕστερον ἐγχωρήσει εἰπεῖν.

35. Περὶ δὲ τῆς τούτου μαρτυρίας οὐ χαλεπὸν καὶ ἐξ αὐτῶν τῶν νόμων ἐστὶ γνῶναι ὅτι φαίνεται περιφανῶς τὰ ψευδῆ μεμαρτυρηκὼς οὗτος. Ὅπου γάρ, ἐάν τίς τι ἀτίμητον δῷ ἕνεκα τοῦ γάμου, ἐὰν ἀπολίπῃ ἡ γυνὴ τὸν ἄνδρα ἢ ἐὰν ὁ ἀνὴρ ἐκπέμψῃ τὴν γυναῖκα, οὐκ ἔξεστι πράξασθαι τῷ δόντι ὃ μὴ ἐν προικὶ τιμήσας ἔδωκεν, ἦ που ὅστις γέ φησιν ἄνευ ὁμολογίας προικὸς τὴν ἀδελφὴν ἐγγυῆσαι, περιφανῶς ἀναίσχυντος ὢν ἐλέγχεται. (36) Τί γὰρ ἔμελλεν ὄφελος εἶναι αὐτῷ τῆς ἐγγύης, εἰ ἐπὶ τῷ ἐγγυησαμένῳ ἐκπέμψαι ὁπότε βούλοιτο τὴν γυναῖκα ἦν; Ἦν δ' ἂν ἐπ' ἐκείνῳ, ὦ ἄνδρες, δῆλον ὅτι, εἰ μηδεμίαν προῖκα διωμολογήσατο ἕξειν ἐπ' αὐτῇ. Εἶτ' ἐπὶ τούτοις ἂν Νικόδημος ἐνεγύησε τῷ ἡμετέρῳ θείῳ τὴν ἀδελφήν; καὶ ταῦτα εἰδὼς τὸν ἅπαντα χρόνον ἄτοκον οὖσαν αὐτήν, καὶ τῆς ὁμολογηθείσης προικὸς ἐκ τῶν νόμων γινομένης εἰς αὐτόν, εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ; (37) Ἆρ' οὖν δοκεῖ τῷ ὑμῶν ὀλιγώρως οὕτως ἔχειν χρημάτων Νικόδημος, ὥστε παραλιπεῖν ἄν τι τῶν τοιούτων; ἐγὼ μὲν γὰρ οὐ νομίζω. Εἶτα παρὰ τούτου ὁ ἡμέτερος θεῖος ἠξίωσεν ἂν ἐγγυήσασθαι τὴν ἀδελφήν, ὃς αὐτὸς ξενίας φεύγων ὑπὸ ἑνὸς τῶν φρατόρων ὧν φησιν αὐτοῦ εἶναι, παρὰ τέτταρας ψήφους μετέσχε τῆς πόλεως; Καὶ ὡς ἀληθῆ λέγω, ἀναγίνωσκε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

38. Οὗτος τοίνυν τῷ ἡμετέρῳ θείῳ ἄπροικον τὴν ἀδελφὴν τὴν ἑαυτοῦ μεμαρτύρηκεν ἐγγυῆσαι, καὶ ταῦτα τῆς προικὸς εἰς αὐτὸν γινομένης, εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ. Λαβὲ δὴ καὶ ἀνάγνωθι τοὺς νόμους τουτοὶ αὐτοῖς.

ΝΟΜΟΙ.

39. Δοκεῖ ἂν ὑμῖν οὕτως ὀλιγώρως ἔχειν χρημάτων Νικόδημος, ὥστε, εἰ ἦν ἀληθὲς τὸ πρᾶγμα, οὐκ ἂν σφόδρα διακριβώσασθαι περὶ τῶν ἑαυτῷ συμφερόντων; Ναὶ μὰ Δία, ὡς ἔγωγ' οἶμαι, ἐπεὶ καὶ οἱ ἐπὶ παλλακίᾳ διδόντες τὰς ἑαυτῶν πάντες πρότερον διομολογοῦνται

curarit in tabulis publicis scribi, idque in sortitione litis super hereditate bonorum paternorum. Quid ita? ipsone adeo aviæ nomine a patre imposito uxorem privatum ibat ipse maritus? (33) Non jam liquet, judices, quæ hi dudum ante evenisse aiunt, ea multum post institutam hereditatis petitionem commentos esse? Neque enim credibile est, ut testes quidem ad diem nominalem convocati, ut aiunt, nominis quod Pyrrhi filiæ et Nicodemi neptidi a patre inditum est, ab illo inde die, quicunque fuit, tam probe memores in judicium convenirent; (34) qui autem omnium eidem sunt propinquissimi, pater et avunculus et mater ipsa, nomen ignoraverint filiæ quam pro Pyrrhi filia venditant. Imo vero hi omnium certissime nomen mulieris tenebant. Verum de his etiam postea dicendi erit locus.

35. De hujus autem Nicodemi testimonio difficile non est ex ipsis adeo legibus colligere, id manifesto falsum esse dictum. Ubi enim, quidquid in dote non æstimatum tu alteri nuptiarum ergo dederis, id tibi postmodum repetere non licet, si forte fiat ut aut uxor sponte sua maritum deserat, aut maritus eam domo expellat: quanto ille magis arguitur esse hominum impudentissimus qui aiat, quum sororem elocaret, tum se nil curasse de dote sibi caveri! (36) Ecquid enim tibi profuisset sororem despondisse, si commisisses ut, cui tu eam despondisses, in ejus fuisset arbitrio illam rursus pro lubitu quandocunque repudiare? Hoc autem constat fuisse in Pyrrhi arbitrio futurum, si ei cum Nicodemo de dote nil convenisset. In hanccine legem existimandus est Nicodemus sororem avunculo nostro despondisse? præsertim qui sciret eam ex eorum quibuscum consuevisset nullo peperisse, legesque nosset ipsi dotem adjudicare cum marito compromissam, si contingeret ut mulier sine prole decederet? (37) Estne quisquam, cui Nicodemus tam lucri contemptor esse videatur, ut hujusmodi pactionum ullam prætereat? Mihi quidem non videtur. Itane vero noster avunculus ab eo dignatus fuisset sororem sibi uxorem petere, qui actione peregrinitatis ab uno quodam eorum phratorum, quibus ipse sese arrogat, exagitatus, quattuor solummodo suffragiis debeat quod civis nunc sit? Quod ut constet vere a me dici, recita tu hoc testimonium.

TESTIMONIUM.

38. Hic igitur testatus est Nicodemum avunculo nostro indotatam sororem suam tradidisse, idque quum ipsi dos ex jure deberetur, si soror ejus absque prole decederet. Recita tu hanc quoque nostri juris e codice legum particulam.

LEGES.

39. Videturne vobis Nicodemus ad emolumenta tam segnis fuisse, ut, si vera res esset, non summa cum diligentia suis fuisset commodis prospecturus? Ego quidem medius fidius arbitror. Nam etiam qui ad pellicatum mulieres elocant, omnes caveri sibi curant de emolumentis quorum

περὶ τῶν δοθησομένων ταῖς παλλακαῖς· Νικόδημος δὲ
42 ἐγγυᾶν μέλλων, ὥς φησι, τὴν ἀδελφὴν τὴν αὑτοῦ μόνον τὸ κατὰ τοὺς νόμους ἐγγυῆσαι διεπράξατο; ὃς ἐπ' ὀλίγῳ ἀργυρίῳ, οὗ ἐπιθυμῶν λέγει πρὸς ὑμᾶς, σφόδρα βούλεται πονηρὸς εἶναι;

40. Περὶ μὲν οὖν τῆς τούτου πονηρίας καὶ σιωπῶντος ἐμοῦ οἱ πολλοὶ γινώσκουσιν ὑμῶν, ὥστε οὐκ ἀπορῶ γε μαρτύρων, ὅταν τι λέγω περὶ αὐτοῦ· βούλομαι δὲ πρῶτον ἐκ τῶν τοιῶνδε ἐξελέγξαι τοῦτον ἀναισχυντότατον τῇ μαρτυρίᾳ ὄντα ταύτῃ. Φέρε γάρ, ὦ Νικόδημε, εἰ ᾖσθα ἐγγεγυηκὼς τῷ Πύρρῳ τὴν ἀδελφὴν καὶ εἰ ᾔδεις ἐξ αὐτῆς θυγατέρα γνησίαν καταλειπομένην, πῶς ἐπέτρεψας τῷ ἡμετέρῳ ἀδελφῷ ἐπιδικάσασθαι τοῦ κλήρου ἄνευ τῆς γνησίας θυγατρός, ἥν φῂς τῷ ἡμετέρῳ θείῳ καταλειφθῆναι; (41) ἢ οὐκ ᾔδεις ἐν τῇ ἐπιδικασίᾳ τοῦ κλήρου νόθην καθισταμένην τὴν ἀδελφιδῆν τὴν σαυτοῦ; Ὁπότε γάρ τις ἐπεδικάζετο τοῦ κλήρου, νόθην τὴν θυγατέρα τοῦ καταλιπόντος τὸν κλῆρον καθίστη. (42) Ἔτι δὲ πρότερον ὁ Πύρρος ὁ ποιησάμενος τὸν ἀδελφὸν τὸν ἐμὸν υἱὸν αὑτῷ· οὔτε γὰρ διαθέσθαι οὔτε δοῦναι οὐδενὶ οὐδὲν ἔξεστι τῶν ἑαυτοῦ ἄνευ τῶν θυγατέρων, ἐάν τις καταλιπὼν γνησίας τελευτᾷ. Γνώσεσθε δὲ αὐτῶν ἀκούσαντες τῶν νόμων ἀναγιγνωσκομένων. Ἀναγίνωσκε τούσδε αὐτοῖς.

NOMOI.

43. Δοκεῖ ἂν ὑμῖν ὁ μεμαρτυρηκὼς ἐγγυῆσαι ἐπιτρέψαι ἄν τι τούτων γίγνεσθαι, καὶ οὐκ ἂν ἐπὶ τοῦ κλήρου τῇ λήξει, ἣν ὁ Ἔνδιος λαχὼν ἐπεδικάζετο, ἀμφισβητῆσαι ἂν ὑπὲρ τῆς ἀδελφιδῆς τῆς ἑαυτοῦ, καὶ οὐκ ἂν διαμαρτυρῆσαι μὴ ἐπίδικον τῷ Ἐνδίῳ τὸν ἐκείνης πατρῷον κλῆρον εἶναι; Ἀλλὰ μὴν ὥς γε ἐπεδικάσατο ὁ ἡμέτερος ἀδελφὸς τοῦ κλήρου καὶ οὐχ ἠμφισβήτησεν οὐδεὶς ἐκείνῳ, ἀναγίνωσκε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

44. Γενομένης τοίνυν τῆς ἐπιδικασίας ταύτης οὐκ ἐτόλμησεν ἀμφισβητῆσαι τοῦ κλήρου Νικόδημος, οὐδὲ διαμαρτυρῆσαι τὴν ἀδελφιδῆν τὴν ἑαυτοῦ γνησίαν θυγατέρα Πύρρῳ καταλειφθῆναι.

45. Περὶ μὲν οὖν τῆς ἐπιδικασίας ἔχοι ἄν τις ψεῦδος προφασίσασθαι πρὸς ὑμᾶς· ἢ γὰρ λαθεῖν σφᾶς προσποιήσαιτ' ἂν οὗτος, ἢ καὶ ψεύδεσθαι αἰτιῷτ' ἂν ἡμᾶς. Τοῦτο μὲν οὖν παρῶμεν· ἐπειδὴ δὲ τῷ Ξενοκλεῖ ἐνεγύα ὁ Ἔνδιος τὴν ἀδελφιδῆν σου, ἐπέτρεψας ἄν, ὦ Νικόδημε, τὴν ἐκ τῆς ἐγγυητῆς τῷ Πύρρῳ γεγενημένην ὡς ἐξ ἑταίρας ἐκείνῳ οὖσαν ἐγγυᾶσθαι; (46) Καὶ οὐκ ἂν εἰσήγγελλες πρὸς τὸν ἄρχοντα κακοῦσθαι τὴν ἐπίκληρον ὑπὸ τοῦ εἰσποιήτου οὕτως ὑβριζομένην καὶ ἄκληρον τῶν ἑαυτῆς πατρῴων καθισταμένην, ἄλλως τε καὶ μόνων τούτων τῶν δικῶν ἀκινδύνων τοῖς διώκουσιν οὐσῶν καὶ ἐξὸν τῷ βουλομένῳ βοηθεῖν ταῖς ἐπικλήροις; (47) Οὔτε γὰρ ἐπιτίμιον ταῖς πρὸς τὸν ἄρχοντα εἰσαγγελίαις ἔπεστιν, οὐδ' ἐὰν οὐδὲ μίαν τῶν ψήφων οἱ εἰσαγγείλαντες

fructum sperare debeat ejusmodi pellex; Nicodemus autem in sorore, ut ait, despondenda, hoc unum scilicet spectaverit ut legitime eam desponderet? illene, qui minuti æris causa, cujus cupiditate forenses causas actitat, nequam esse haud veretur?

40. Verum etsi nequitia hujus hominis, me vel tacente, plerisque vestrûm ita perspecta est, ut mihi de eo quippiam eloquenti testes non sint defuturi; juvat tamen ante omnia summam ejus in dicendo falso testimonio impudentiam hisce argumentis denudare. Dic, sodes, Nicodeme, sororem si tu Pyrrho legitime despondisti ex eaque nosti filiam illi rite natam, cur passus es fratrem nostrum hereditatem Pyrrhi a judicibus petere eamque illi adjudicari, præterita filia quam tu ais ab avunculo nostro relictam? (41) An te fugiebat per hanc ipsam hereditatis adjudicationem filiam e sorore tua natam declarari spuriam? Nam profecto frater noster illa petenda et impetranda nil aliud fecit, quam ut filiam, quæ se fert ejus a quo hereditas relicta fuit, spuriam declararet. (42) Verum dudum ante idem fecerat ipse quoque Pyrrhus eo quod fratrem nostrum pro filio adoptavit: quibus enim filiæ sint legitime quæsitæ, eorum nulli per leges licet neque filium instituere neque bonorum partem alicui legare nisi cum filiabus. Id quod vos ipsi e legibus intelligetis, quum recitatas audieritis. Recita tu illis hasce.

LEGES.

43. Videturne jam vobis Nicodemus ille qui testatus sit a se sororem Pyrrho desponsam esse, fratri nostro permissurus fuisse ut eorum quicquam ageret? Annon potius Endio hereditatem petente intercessisset pro sua ex sorore nepte obnuntiando jus Endio nullum esse hereditatem petendi superstite filia legitima cui soli bona paterna debeantur? Quo autem certi sitis, Endium, fratrem nostrum, hereditatem Pyrrhi sibi legitime adjudicari curasse nemine controversiam obmovente, recita tu hoc testimonium.

TESTIMONIUM.

44. Nicodemus itaque non ausus est neque controversiam hereditatis commovere, neque testimonium interponere, quod filia legitime suscepta supersit a Pyrrho relicta.

45. Et de adjudicatione quidem hereditatis possit aliquis vos, judices, commentitiis excusationibus ludificari: causatus enim fuerit se eam ignorasse, vel etiam nos mendacii incusarit. Verum transmittamus hunc locum. Xenocli autem quum Endius filiam tuæ sororis in manus daret, fuissesne tu unquam, Nicodeme, permissurus, ut ea pro spuria desponderetur, quæ e legitima uxore Pyrrho nata esset? (46) Annon potius actione intronuntiationis fuisses usus, ad archontem denuncians, mulierem, cujus in jure sit hereditas ei a patre relicta, a filio adoptato contumeliose haberi, qui eam hereditate paterna denudatum eat? præsertim quum actionum omnium hoc unum genus sit in quo actores discrimen damni accipiendi nullum adeant, et volenti cuique liceat filiabus succurrere, si quæ sine fratribus cum patrimonio relictæ fuerint. (47) Nam neque mulctæ luendæ locus est in hujusmodi ad archontem denuntiationibus, ne si quidem prorsus nullum suffragium deaum-

μεταλάβωσιν, οὔτε πρυτανεῖα οὔτε παράστασις οὐδεμία τίθεται τῶν εἰσαγγελιῶν· ἀλλὰ τοῖς μὲν διώκουσιν ἀκινδύνως εἰσαγγέλλειν ἔξεστι, τῷ βουλομένῳ, τοῖς δ' ἁλισκομένοις αἱ ἔσχαται τιμωρίαι ἐπὶ ταῖς εἰσαγγελίαις ἔπεισιν. (48) Ἔπειτα εἰ ἦν ἐξ ἐγγυητῆς ἡ τούτου ἀδελφιδῆ τῷ ἡμετέρῳ θείῳ γεγενημένη, ἐπέτρεψεν ἂν Νικόδημος ὡς ἐξ ἑταίρας οὖσαν αὐτὴν ἐγγυᾶσθαι; καὶ γενομένων αὐτῶν οὐκ ἂν εἰσήγγελλε πρὸς τὸν ἄρχοντα ὑβρίζεσθαι τὴν ἐπίκληρον ὑπὸ τοῦ οὕτως ἐγγυήσαντος αὐτήν; Καὶ εἰ ἦν ἀληθῆ ἃ νυνὶ τετόλμηκας μαρτυρῆσαι, παραχρῆμα εὐθὺς τότε ἐτιμωρήσω ἂν τὸν ἀδικοῦντα, ἢ καὶ ταῦτα λαθεῖν σεαυτὸν προσποιήσει; (49) Ἔπειτ' οὐδ' ἐκ τῆς ἐπιδοθείσης αὐτῇ προικὸς ᾔσθου; Ὥστε καὶ δι' αὐτὸ τοῦτο ἀγανακτήσαντι δήπου σοι εἰσαγγεῖλαι τὸν Ἔνδιον προσῆκεν, εἰ αὐτὸς μὲν τριτάλαντον οἶκον ἔχειν ἠξίου ὡς προσῆκον αὐτῷ, τῇ δὲ γνησίᾳ οὔσῃ τρισχιλίας δραχμὰς προῖκα ἐπιδοὺς ἐκδοῦναι ἠξίωσεν ἄλλῳ. Εἶτ' ἐπὶ τούτοις οὐκ ἀγανακτήσας εἰσήγγειλεν ἂν τὸν Ἔνδιον οὗτος; ναὶ μὰ Δία, εἴ γ' ἦν ἀληθὲς τὸ πρᾶγμα. (50) Οἶμαι δὲ οὐδ' ἂν τὴν ἀρχὴν ἐκεῖνον οὐδ' ἄλλον δὴ τῶν εἰσποιήτων οὐδένα οὕτως εὐήθη οὐδ' ἂν
43 ὀλίγωρον τῶν νόμων τῶν κειμένων γίνεσθαι, ὥσθ' ὑπαρχούσης γνησίας θυγατρὸς τῷ τὸν κλῆρον καταλιπόντι ἑτέρῳ δοῦναι ταύτην ἀνθ' ἑαυτοῦ. Ἀκριβῶς γὰρ ᾔδει διότι τοῖς γε ἐκ τῆς γνησίας θυγατρὸς παισὶ γεγονόσιν ἁπάντων τῶν παππῴων κληρονομία προσήκει. Εἶτα εἰδὼς ἄν τις ταῦτα ἑτέρῳ παραδοίη τὰ αὑτοῦ, καὶ ταῦτα τηλικαῦτα ὄντα ὅσων ἠμφισβήτησαν οὗτοι; (51) Δοκεῖ δ' ἄν τις ὑμῖν οὕτως ἀναιδὴς ἢ τολμηρὸς εἰσποίητος γενέσθαι, ὥστε μηδὲ τὸ δέκατον μέρος ἐπιδοὺς ἐκδοῦναι τῇ γνησίᾳ θυγατρὶ τῶν πατρῴων; Γενομένων δὲ τούτων δοκεῖ ἂν ὑμῖν ὁ θεῖος ἐπιτρέψαι, ὁ ἐγγυῆσαι μεμαρτυρηκὼς αὐτῆς τὴν μητέρα; ἐγὼ μὲν γὰρ οὐ νομίζω, ἀλλὰ καὶ ἠμφισβήτησεν ἂν τοῦ κλήρου καὶ διεμαρτύρησε καὶ εἰσήγγειλεν ἂν πρὸς τὸν ἄρχοντα, καὶ ἄλλο εἴ τι ἦν ἰσχυρότερον τούτων, ἅπαντ' ἂν διεπράξατο. (52) Ὁ μὲν τοίνυν Ἔνδιος ὡς ἐξ ἑταίρας οὖσαν ἐνεγύησεν, ἥν φησιν ἀδελφιδῆν Νικόδημος εἶναι αὑτῷ· οὗτος δὲ οὔτε τῷ Ἐνδίῳ τοῦ Πύρρου κλήρου ἀμφισβητῆσαι ἠξίωσεν, οὔτ' ἐγγυήσαντα τὴν ἀδελφιδῆν ὡς οὖσαν ἐξ ἑταίρας εἰσαγγεῖλαι πρὸς τὸν ἄρχοντα ἠξίωσεν, οὔτ' ἐπὶ τῇ δοθείσῃ προικὶ αὐτῇ ἠγανάκτησεν οὐδέν, ἀλλὰ πάντα ταῦτα εἴασε γενέσθαι. Οἱ δὲ νόμοι περὶ ἁπάντων διορίζουσι τούτων. (53) Ἀναγνώσεται οὖν πρῶτον ὑμῖν τὴν περὶ τῆς ἐπιδικασίας τοῦ κλήρου μαρτυρίαν πάλιν, ἔπειτα τὴν περὶ τῆς ἐγγυήσεως τῆς γυναικός. Ἀναγίνωσκε αὐτοῖς.

ΜΑΡΤΥΡΙΑΙ.

Ἀνάγνωθι δὴ καὶ τοὺς νόμους.

ΝΟΜΟΙ.

Λαβὲ δὴ καὶ τὴν τούτου μαρτυρίαν.

tiatores abstulerint, neque sportulæ solvuntur neque sacramentum deponitur; sed actori quidem, quicunque esse vult, sine ullo periculo denuntiandi potestas est, reos autem condemnatos extremæ manent pœnæ in hujusmodi causis præscriptæ. (48) Jam igitur si e legitima uxore neptis hujus suscepta esset, num passurus Nicodemus fuisset eam quasi e meretrice natam desponderi? Et si acta res jam esset, nonne apud archontem actionem instituisset de injuria, quam mulier, unica paternorum heres bonorum, accepisset ab isto eam modo despondente? Porro vera si fuissent ista, quæ tu nunc ausus es pro testimonio affirmare, utrum tu tunc statim, recente adhuc injuria, auctorem ejus ultum isses, an etiam ista Endium aies clam et inscio te patrasse? Annon ex ipsa dote, quam Endius spuriæ suæ sorori addebat, rem odorabaris? (49) Debuisses propter hoc ipsum concepta indignatione Endium apud archontem denuntiare, si ipse quidem substantiam tribus talentis æquiparabilem possidere postularet, filiam vero patris sui adoptivi legitimam alii cuipiam cum addita dote ter mille drachmarum solummodo elocandam censeret. Et Nicodemus hoc æquo tulisset animo? non Endium detulisset? Fecisset profecto, ita me deus amet, si, quod ait, verum id fuisset. (50) Quid? quod ne videtur quidem mihi unquam neque Endius neque ullus alius filius adoptatus tam tardus legumque contemptor fuisse in rep. obtinentium, ut, si pater adoptivus una cum hereditate filiam reliquisset legitime natam, non ipse eam domum duceret, sed alii cuipiam nuptui elocaret. Probe enim norat Endius liberorum ab filia legitima procreatorum universam aliquando futuram esse avitam hereditatem. Itane vero quisquam hujus rei gnarus, alii cuiquam bona sua sciens traderet, præsertim tam ampla, atque hæc sunt bona super quibus hi nobiscum contendunt? (51) Videturne vobis ullus filius adoptatus tam fore impudens, ut filiam sui patris legitimam alii elocaret cum dote ne decimam quidem partem paternæ hereditatis exæquante? Aut, si factum tamen id fuisset, videturne vobis illius mulieris avunculus id fieri passurus fuisse, is qui matrem puellæ despondisse asseveravit? Mihi quidem Nicodemus non videtur æquo id animo laturus, sed potius contentionem super hereditate exorsurus et obtestationem interpositurus et indicaturus rem archonti, et, aliud si quod superfuisset telum adhuc acrius, eo usurus fuisse videtur. (52) Jam Endius quidem mulierem, quam Nicodemus e sorore natam ait, ut e meretrice susceptam elocavit; hic Nicodemus autem neque cum Endio de Pyrrhi hereditate contendere ausus est neque Endium apud archontem deferendum censuit, quanquam is Nicodemi neptem pro spuria e scorto nata elocasset, neque dotis mediocritatem ægre se ferre significavit, sed illa omnia fieri æquo animo passus est. Atqui leges de his omnibus diligenter definiunt. (53) Recitabit jam scriba vobis primo quidem loco iterum testimonium de hereditatis adjudicatione, deinde vero de mulieris elocatione. Recita tu ipsis.

TESTIMONIA.

Recita leges quoque.

LEGES.

Cape jam hoc hujus quoque [Nicodemi] testimonium.

ΜΑΡΤΥΡΙΑ.

54. Πῶς οὖν ἄν τις σαφέστερον ἐξελέγχοι ψευδομαρτυριῶν διώκων ἢ ἔκ τε τῶν πεπραγμένων αὐτοῖς τούτοις ἐπιδεικνύων καὶ ἐκ τῶν νόμων ἁπάντων τῶν ἡμετέρων;

Περὶ μὲν οὖν τούτου σχεδὸν εἴρηται τὰ πολλά· σκέψασθε δὲ καὶ περὶ τοῦ ἔχοντος τὴν ἀδελφιδῆν τὴν τούτου γυναῖκα, ἐὰν ἄρα τι γένηται καὶ ἐκ τούτου τεκμήριον ὡς ἔστι ψευδῆ τὰ μεμαρτυρημένα Νικοδήμῳ. (55) Ὡς μὲν οὖν ἐνεγυήσατο καὶ ἔλαβεν ὡς οὖσαν ἐξ ἑταίρας τὴν γυναῖκα, ἐπιδέδεικται καὶ μεμαρτύρηται· ὡς δ' ἀληθὴς ἡ μαρτυρία ἐστὶν αὕτη, ὁ Ξενοκλῆς αὐτὸς ἔργῳ οὐκ ὀλίγον χρόνον ἤδη ἀληθῆ ταῦτα μεμαρτύρηκε. Δῆλον γὰρ ὅτι, εἰ μὴ ἐνεγεγύητο παρὰ τοῦ Ἐνδίου ὡς ἐξ ἑταίρας οὖσαν τὴν γυναῖκα, ὄντων αὐτῷ παίδων ἤδη τηλικούτων ἐκ τῆς γυναικός, ζῶντι ἂν τῷ Ἐνδίῳ ἠμφισβήτησεν ὑπὲρ τῆς γνησίας θυγατρὸς τῶν πατρῴων, (56) ἄλλως τε καὶ παρεσκευασμένος μὴ ὁμολογεῖν τὴν τοῦ Ἐνδίου ποίησιν τῷ Πύρρῳ γενέσθαι· ὡς δὴ οὐχ ὁμολογῶν πως ἐπεσκήπτετο τοῖς μεμαρτυρηκόσιν ἐπὶ τῇ διαθήκῃ τοῦ Πύρρου παραγενέσθαι. Καὶ ὡς ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὴν μαρτυρίαν τὴν μαρτυρηθεῖσαν. Ἀναγίνωσκε αὐτοῖς.

ΜΑΡΤΥΡΙΑ.

57. Ἀλλὰ μὴν κἀκεῖνό γε δῆλον, ὡς οὐχ ὁμολογοῦσι τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύρρου γενέσθαι. Οὐ γὰρ ἂν ὑπερβάντες τὸν τελευταῖον τοῦ οἴκου γεγενημένον κληρονόμον ὑπὲρ τῆς γυναικὸς τοῦ Πύρρου κλήρου λαχεῖν τὴν λῆξιν ἠξίωσαν οὗτοι. Ὁ μὲν γὰρ Πύρρος πλείω ἢ εἴκοσιν ἔτη τετελεύτηκεν ἤδη, ὁ δὲ Ἔνδιος τοῦ Μεταγειτνιῶνος μηνὸς πέρυσιν, ἐν ᾧ ἔλαχον τοῦ κλήρου τὴν λῆξιν τρίτῃ ἡμέρᾳ εὐθέως οὗτοι. (58) Ὁ δὲ νόμος πέντε ἐτῶν κελεύει δικάσασθαι τοῦ κλήρου, ἐπειδὰν τελευτήσῃ ὁ κληρονόμος. Οὐκοῦν δυοῖν τὰ ἕτερα προσῆκε τῇ γυναικί, ἢ ζῶντι τῷ Ἐνδίῳ ἀμφισβητῆσαι τῶν πατρῴων, ἢ ἐπειδὴ τετελευτηκὼς ἦν ὁ εἰσποίητος, τῶν τοῦ ἀδελφοῦ τὴν ἐπιδικασίαν ἀξιοῦν ποιεῖσθαι, ἄλλως τε καὶ εἰ, ὥς φασιν οὗτοι, ἠγγυήκει αὐτὴν τῷ Ξενοκλεῖ ὡς γνησίαν ἀδελφὴν οὖσαν αὐτοῦ. (59) Ἀκριβῶς γὰρ ἐπιστάμεθα πάντες ὅτι ἀδελφῶν μὲν κλήρων ἐπιδικασία πᾶσίν ἐστιν ἡμῖν, ὅτῳ δὲ γόνῳ γεγόνασι γνήσιοι παῖδες, οὐδενὶ ἐπιδικάζεσθαι τῶν πατρῴων προσήκει. Καὶ περὶ τούτων οὐδένα λόγον λεχθῆναι δεῖ· ἅπαντες γὰρ ὑμεῖς καὶ οἱ ἄλλοι πολῖται ἀνεπίδικα ἔχουσι τὰ ἑαυτῶν ἕκαστοι πατρῷα. (60) Οὗτοι τοίνυν εἰς τοῦτο τόλμης ἀφιγμένοι εἰσίν, ὥστε τῷ μὲν εἰσποιήτῳ οὐκ ἔφασαν ἐπιδικάσασθαι προσήκειν τῶν δοθέντων, τῇ δὲ Φίλῃ, ἣν φασι θυγατέρα γνησίαν τῷ Πύρρῳ καταλελεῖφθαι, λαχεῖν τοῦ κλήρου τοῦ πατρῴου τὴν λῆξιν ἠξίωσαν. Καίτοι (ὅπερ εἶπον καὶ πρότερον) ὅσοι μὲν ἂν καταλίπωσι γνησίους παῖδας ἐξ αὑτῶν, οὐ προσήκει τοῖς παισὶν ἐπιδικάσασθαι τῶν πατρῴων· ὅσοι δὲ δια-

TESTIMONIUM.

54. Quomodo jam quis, actione de falso dicto testimonio aliquem persequens, evidentius reum arguat, quam si illum et ex ipsis rebus gestis et ex universo vestro jure civili mendacii convincat?

Exsecutus itaque quum jam sim eorum pleraque quæ de Nicodemo dicenda habebam, Xenoclem quoque spectate, qui neptem hujus uxorem habet, num ex illo quoque indicium sit, unde constet dictum a Nicodemo testimonium falsum fuisse. (55) Xenoclem itaque uxorem ut e meretrice natam desponderi sibi sivisse et accepisse, patet ex argumentis et ex testimonio, cujus de veritate Xenocles ipse per tempus haud modicum rebus ipsis testatus est. Patet enim, nisi Xenocles uxorem sibi ut spuriam ab Endio desponderi sivisset, operam eum fuisse daturum quum liberi ei jam essent ex illa uxore suscepti jam adulti, ut Endio adhuc superstiti controversiam moveret de filia legitima ut sola herede bonorum patris, (56) præsertim qui paratus esset Endii adoptationem a Pyrrho unquam factam infitiari : utique, quo eam infitiaretur, exceptionem falsitatis opposuit iis qui testati fuerant se interfuisse quum Pyrrhus testamentum conderet. Quæ a me vera dici, recitabit scriba vobis testimonium ab iis quos dico perhibitum. Recita ipsis.

TESTIMONIUM.

57. Atqui etiam ex hoc patet hos non agnoscere factam fuisse Endii a Pyrrho adoptationem. Nam alias non transeuntes heredem postremum, Endium, hereditatem ut paternam sive a Pyrrho Philæ relictam, sed ut fraternam pro muliere postularent. Plus enim quam viginti anni ab excessu Pyrrhi exierunt, Endius autem anno superiori demum mense Metagitnione exspiravit; quo facto, protinus tertio die post cœperunt veniam in jure petere hereditatem Pyrrhi adeundi. (58) Atqui lex præcipit, ut petens hereditatem alicujus intra quinquennium ab ejus excessu eam petat. Conveniebat itaque mulieri alterutrum facere, aut cum superstite adhuc Endio de patrimonio contendere, aut Endio exstincto hereditatem ejus petere; præsertim si verum fuit, quod hi præ se ferunt, eam ab Endio pro legitima sorore Xenocli desponsam et in manus traditam fuisse. (59) Novimus enim probe nos omnes, nobis omnibus licere fratrum hereditates in jure petere; quibus autem natu liberi sint, eorum bona in jure petere nemini prorsus licere. Horum de bonis controversiæ locus omnino nullus est : omnes enim, et vos et reliqui cives, patrum patrimonia tenent incontestabilia. (60) Et nihilominus tamen hi tam sunt audaces, ut dicant adoptato quidem filio haud convenisse ut sibi per testamentum donata in jure peteret confirmari, pro Phila autem, quam aiunt a Pyrrho filiam genuinam esse relictam, se recte contentionem super hereditate paterna capessere. Atqui (prout paulo ante docebam) quicunque liberos legitimos reliquerint, eorum liberi haud tenentur bona paterna in jure petere : si qui autem per testamentum

θήκαις αὐτοῖς εἰσποιοῦνται, τούτοις ἐπιδικάζεσθαι προσήκει τῶν δοθέντων. (61) Τοῖς μὲν γάρ, ὅτι γόνῳ γεγόνασιν, οὐδεὶς ἂν δήπου ἀμφισβητήσειε περὶ τῶν πατρῴων· πρὸς δὲ τοὺς εἰσποιήτους ἅπαντες οἱ κατὰ γένος προσήκοντες ἀμφισβητεῖν ἀξιοῦσιν. Ἵνα οὖν μὴ παρὰ τοῦ ἐντυχόντος τῶν κλήρων αἱ λήξεις τοῖς ἀμφισβητεῖν βουλομένοις γίγνωνται, καὶ μὴ ὡς ἐρήμων τῶν κλήρων ἐπιδικάζεσθαί τινες τολμῶσι, τούτου ἕνεκα τὰς ἐπιδικασίας οἱ εἰσποίητοι πάντες ποιοῦνται. (62) Μηδεὶς οὖν ὑμῶν ἡγείσθω, εἰ ἐνόμιζε γνησίαν εἶναι τὴν ἑαυτοῦ γυναῖκα Ξενοκλῆς, λαχεῖν ἂν ὑπὲρ αὐτῆς τὴν λῆξιν τοῦ κλήρου τοῦ πατρῴου, ἀλλ' ἐβάδιζεν ἂν ἡ γνησία εἰς τὰ ἑαυτῆς πατρῷα, καὶ εἴ τις αὐτὴν ἀφῃρεῖτο ἢ ἐβιάζετο, ἐξῆγεν ἂν ἐκ τῶν πατρῴων, καὶ οὐκ ἂν ἰδίας μόνον δίκας ἔφευγεν ὁ βιαζόμενος, ἀλλὰ καὶ δημοσίᾳ εἰσαγγελθεὶς εἰς τὸν ἄρχοντα ἐκινδύνευεν ἂν περὶ τοῦ σώματος καὶ τῆς οὐσίας ἁπάσης τῆς ἑαυτοῦ. (63) Ἔτι δ' ἂν πρότερον τοῦ Ξενοκλέους οἱ τοῦ Πύρρου θεῖοι, εἰ ᾔδεσαν γνησίαν θυγατέρα τῷ ἑαυτῶν ἀδελφιδῷ καταλειπομένην καὶ ἡμῶν μηδένα λαμβάνειν ἐθέλοντα αὐτήν, οὐκ ἄν ποτε ἐπέτρεψαν Ξενοκλέα, τὸν μηδαμόθεν μηδὲν γένει προσήκοντα Πύρρῳ, λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς γυναῖκα. (64) Ἦ δεινόν γ' ἂν εἴη. Τὰς μὲν ὑπὸ τῶν πατέρων ἐκδοθείσας καὶ συνοικούσας ἀνδράσι γυναῖκας (περὶ ὧν τίς ἂν ἄμεινον ἢ ὁ πατὴρ βουλεύσαιτο;) — καὶ τὰς οὕτω δοθείσας, ἂν ὁ πατὴρ αὐτῶν τελευτήσῃ μὴ καταλιπὼν αὐταῖς γνησίους ἀδελφούς, τοῖς ἐγγύτατα γένους ἐπιδίκους ὁ νόμος εἶναι κελεύει, καὶ πολλοὶ συνοικοῦντες ἤδη ἀφῄρηνται τὰς ἑαυτῶν γυναῖκας· (65) εἶτα τὰς μὲν ὑπὸ τῶν πατέρων ἐκδοθείσας διὰ τὸν νόμον ἐξ ἀνάγκης ἐπιδίκους εἶναι προσήκει· Ξενοκλεῖ δὲ ἄν τις τόδ' ἐπέτρεψε τῶν τοῦ Πύρρου θείων, εἰ ἦν γνησία θυγάτηρ ἐκείνῳ καταλειπομένη, λαβόντα ἔχειν τὴν κατὰ γένος προσήκουσαν αὐτοῖς γυναῖκα, καὶ τοσαύτης οὐσίας τοῦτον καταστῆναι κληρονόμον ἀνθ' ἑαυτῶν; (66) Μὴ νομίσητε ὑμεῖς, ὦ ἄνδρες· οὐδεὶς γὰρ ἀνθρώπων μισεῖ τὸ λυσιτελοῦν, οὐδὲ περὶ πλείονος τοὺς ἀλλοτρίους ἑαυτοῦ ποιεῖται. Ἐὰν οὖν προφασίζωνται διὰ τὴν τοῦ Ἐνδίου ποίησιν μὴ ἐπίδικον εἶναι τὴν γυναῖκα, καὶ διὰ ταῦτα μὴ φῶσιν ἀμφισβητῆσαι αὐτῆς, πρῶτον μὲν ἐκεῖνα αὐτοὺς ἐρέσθαι χρή, εἰ ὁμολογοῦντες τὴν τοῦ Ἐνδίου ποίησιν ὑπὸ τοῦ Πύρρου γενέσθαι ἐπεσκημμένοι εἰσὶ τοῖς μεμαρτυρηκόσι ταῦτα, (67) εἶτα παρελθόντες τὸν τελευταῖον τοῦ οἴκου γεγενημένον κληρονόμον τοῦ Πύρρου κλήρου τὴν λῆξιν λαχεῖν ἠξίωσαν παρὰ τὸν νόμον. Πρὸς δὲ τούτοις ἐκεῖνο αὐτοὺς ἔρεσθε, εἴ τις τῶν γνησίων αὑτοῦ ἐπιδικάζεσθαι ἀξιοῖ. Ταῦτα πρὸς τὴν ἀναίδειαν αὐτῶν πυνθάνεσθε. Ὡς δ' ἦν ἐπίδικος ἡ γυνή, εἴ περ γνησία καταλειφθείη, ἐκ τῶν νόμων σαφέστατα μαθεῖν ἔστι τοῦτο. (68) Ὁ γὰρ νόμος διαρρήδην λέγει ἐξεῖναι διαθέσθαι ὅπως ἂν ἐθέλῃ τις τὰ αὑτοῦ, ἐὰν μὴ παῖδας γνησίους καταλίπῃ ἄρρενας· ἂν δὲ θηλείας καταλίπῃ, σὺν ταύταις. Οὐκοῦν μετὰ τῶν θυγατέρων ἔστι δοῦναι καὶ διαθέσθαι τὰ αὑτοῦ· ἄνευ δὲ τῶν γνη-

adoptati fuerint, illos oportet operam dare ut bona sibi legata a judicibus adjudicentur. (61) Illis enim, quia natu liberi sunt, nemo facile controversiam de bonis paternis moverit; cum adoptatis autem cognati omnes jus contendendi habere postulant. Super hereditatibus itaque ne a quocunque contendere volente lites moverentur, et ne essent qui hereditates veluti desolatas sibi peterent adjudicari, propterea dant adoptati omnes operam ut sibi legata formula juris adjudicentur. (62) Nemo jam vestrûm existimet Xenoclem, si putasset uxorem suam legitime natam esse, pro ea super hereditate ipsius paterna contentionem fuisse suscepturum. Nil minus. Filia legitime nata si fuisset, tacita in bona paterna immigrasset, eaque si quis illi adimere per vim conatus esset, e suis eum ejecisset, homoque ejusmodi violentiam ausus non privatas solummodo lites haberet decertandas, verum etiam apud archontem reus agi posset ceu turbator pacis publicæ et in discrimen incurreret amittendi capitis fortunarumque omnium. (63) Adde, quod Pyrrhi avunculi, si scissent a sororis suæ filio filiam genuinam esse relictam, et nostrûm neminem illam mulierem in matrimonium ducere velle, profecto non permisissent Xenocli ut, qui nullo pacto Pyrrhum cognatione attingeret, illam mulierem secum cognatam sibi præriperet. (64) Gravis utique res foret. Nam leges edicunt ut mulieres ab ipsis patribus elocatæ et jam in matrimonio degentes (de quibus quis melius filiæ quam pater consulat?), ut vel sic elocatæ, inquam, quum pater earum decesserit, nulla prole mascula legitima relicta, proximis genere in matrimonium a judicibus adjudicentur; et profecto complures jam sic uxoribus mulctati sunt, quibuscum jamdudum cohabitassent. (65) Igitur quum quæ ab ipsis patribus elocatæ sunt, lege controversiæ eas necessario esse obnoxias oporteat, Xenocli tamen avunculorum Pyrrhi unus aliquis permisisset et uxorem domum ducere sibi ipsi convenientem, si Pyrrhus filiam genuinam reliquisset, tantamque substantiam ipse sibi denegasset, Xenocli tribuisset? (66) Nolite illos tam stultos existimare. Nemo lucrum facile aversatur, nec alienos sibi præfert. Quodsi ergo prætextu utentur hoc, ut aiant propter adoptationem Endii controversiæ mulierem haud fuisse obnoxiam, et idcirco de ea obtinenda in jure contendere se negent voluisse, primum hoc debebitis eos interrogare, quum factam a Pyrrho Endii fateantur adoptationem, cur tamen oppugnent eos testes qui Endium a Pyrrho adoptatum fuisse testati sunt? (67) deinde, quum præterissent eum qui bonorum a Pyrrho relictorum postremus possessor et heres fuisset, cur tamen contra formulam juris hereditatem in jure petere nunc demum incipiant? Denique eos interrogate, num quis legitimus postulet de jure in bona sua immitti? Has quæstiones opponite vos eorum impudentiæ. Philam autem controversiæ utique obnoxiam fuisse, si quidem legitime nata fuerit, id vero licet e legibus quam evidentissime cernere. (68) Lex enim expressis verbis ita præcipit, qui prolem masculam nullam relinquat, ei licere bona sua per testamentum cuicunque velit legare : sin autem idem filias relinquat, ita valituram esse voluntatem patris, ut, qui hereditatem ejus adeat, is una quoque filiam in matrimonium ducat. Licet ergo alicui bona sua legare, si una cum bonis filiam quoque eidem deleget pater : non licet autem

σίων θυγατέρων οὐχ οἷόν τε οὔτε ποιήσασθαι οὔτε δοῦναι οὐδενὶ οὐδὲν τῶν ἑαυτοῦ. (69) Οὐκοῦν εἰ μὲν ἄνευ τῆς γνησίας θυγατρὸς τὸν Ἔνδιον Πύρρος ἐποιεῖτο υἱὸν αὑτῷ, ἄκυρος ἂν ἦν αὐτοῦ ἡ ποίησις κατὰ τὸν νόμον· εἰ δὲ τὴν θυγατέρα ἐδίδου καὶ ἐπὶ τούτῳ ποιησάμενος κατέλιπε, πῶς ἂν ὑμεῖς ἐπετρέψατε ἐπιδικάζεσθαι, τὼ τοῦ Πύρρου θείω, τὸν Ἔνδιον τοῦ Πύρρου κλήρου ἄνευ τῆς γνησίας θυγατρός, εἰ ἦν ἐκείνῳ, ἄλλως τε εἰ καὶ ἐμαρτυρήσατε ὡς ἐπέσκηψεν ὑμῖν ὁ ἀδελφιδοῦς ἐπιμελεῖσθαι τούτου τοῦ παιδίου; (70) Ἀλλ' ὦ 'γαθέ, τοῦτο μὲν καὶ λαθεῖν φήσαιτ' ἂν ὑμᾶς· ὅτε δ' ἐνεγύα καὶ ἐξεδίδου ὁ Ἔνδιος τὴν γυναῖκα, ἐπετρέπετε ὑμεῖς οἱ θεῖοι τὴν τοῦ ἀδελφιδοῦ τοῦ ὑμετέρου αὐτῶν ὡς ἐξ ἑταίρας οὖσαν ἐκείνῳ ἐγγυᾶσθαι, ἄλλως τε καὶ παραγενέσθαι φάσκοντες, ὅτε ὁ ἀδελφιδοῦς ὑμῶν ἐνεγυᾶτο τὴν μητέρα τὴν ταύτης κατὰ νόμους ἕξειν γυναῖκα, ἔτι δὲ καὶ ἐν τῇ δεκάτῃ τῇ ταύτης κληθέντες συνεστιᾶσθαι; (71) Πρὸς δὲ τούτοις (τουτὶ γὰρ τὸ δεινόν ἐστιν) ἐπισκῆψαι φάσκοντες ὑμῖν τὸν ἀδελφιδοῦν ἐπιμελεῖσθαι τούτου τοῦ παιδίου, οὕτως ἐπεμελήθητε ὥστ' ἐᾶσαι ὡς ἐξ ἑταίρας οὖσαν αὐτὴν ἐγγυᾶσθαι, ἄλλως τε καὶ ἔχουσαν τοὔνομα τῆς ὑμετέρας αὐτῶν ἀδελφῆς, ὡς ἐμαρτυρεῖτε;

72. Ἐκ τοίνυν τούτων, ὦ ἄνδρες, καὶ ἐξ αὐτοῦ τοῦ πράγματος ῥᾴδιόν ἐστι γνῶναι ὅσον ἀναισχυντότατοι ἀνθρώπων εἰσὶν οὗτοι. Τίνος γὰρ ἕνεκα, εἰ ἦν γνησία θυγάτηρ τῷ ἡμετέρῳ θείῳ καταλειπομένη, ποιησάμενος ὁ θεῖος κατέλιπε τὸν ἐμὸν ἀδελφὸν υἱὸν ἑαυτῷ; πότερον ὅτι προσήκοντες αὐτῷ ἐγγυτέρω γένους ἡμῶν ἦσαν ἄλλοι, οὓς βουλόμενος τὴν ἐπιδικασίαν τῆς θυγατρὸς ἀποστερῆσαι, ἐποιεῖτο τὸν ἀδελφὸν υἱὸν αὑτῷ; Ἀλλ' οὔτε ἐγένετο οὔτ' ἔστι, μὴ γενομένων δὲ παίδων γνησίων ἐκείνῳ, ἐγγυτέρω ἡμῶν οὐδὲ εἷς]· ἀδελφὸς μὲν γὰρ οὐκ ἦν αὐτῷ οὐδ' ἀδελφοῦ παῖδες, ἐκ δὲ τῆς ἀδελφῆς ἡμεῖς ἦμεν αὐτῷ. (73) Ἀλλὰ νὴ Δία ἄλλον τινὰ ποιησάμενος τῶν συγγενῶν ἔδωκεν ἂν ἔχειν τὸν κλῆρον καὶ τὴν θυγατέρα τὴν ἑαυτοῦ; Καὶ τί αὐτὸν ἔδει καταφανῶς καὶ ὁτῳοῦν ἀπεχθέσθαι τῶν οἰκείων, ἐξόν, εἴπερ ἦν ἐγγεγυημένος τὴν ἀδελφὴν τὴν Νικοδήμου, τὴν θυγατέρα τὴν ἐκ ταύτης ἀποφανθεῖσαν εἶναι εἰς τοὺς φράτορας εἰσαγαγόντι ὡς οὖσαν γνησίαν ἑαυτῷ, ἐπὶ ἅπαντι τῷ κλήρῳ ἐπίδικον καταλιπεῖν αὐτήν, καὶ ἐπισκῆψαι τῶν γιγνομένων τῆς θυγατρὸς παίδων εἰσαγαγεῖν υἱὸν ἑαυτῷ; (74) Δῆλον μὲν γὰρ ὅτι ἐπίκληρον καταλιπὼν ἀκριβῶς ἂν ᾔδει ὅτι δυοῖν θάτερον ἔμελλεν ὑπάρχειν αὐτῇ· ἢ γὰρ ἡμῶν τινα τῶν ἐγγύτατα γένους ἐπιδικασάμενον ἕξειν γυναῖκα, ἢ εἰ μηδεὶς ἡμῶν ἐβούλετο λαμβάνειν, τῶν θείων τινὰ τούτων τῶν μαρτυρούντων, εἰ δὲ μή, τῶν ἄλλων τινὰ συγγενῶν τὸν αὐτὸν τρόπον περὶ πάσης τῆς οὐσίας ἐπιδικασάμενον κατὰ τοὺς νόμους ἕξειν ταύτην γυναῖκα. (75) Οὐκοῦν ἐκ μὲν τοῦ τὴν θυγατέρα εἰς τοὺς φράτορας εἰσαγαγεῖν καὶ μὴ ποιήσασθαι τὸν ἐμὸν ἀδελφὸν υἱὸν αὑτῷ, ταῦτ' ἂν διεπράξατο· ἐκ δὲ τοῦ τοῦτον μὲν ποιήσασθαι, τὴν δὲ μὴ εἰσαγαγεῖν, τὴν μὲν νόθην, ὥσπερ αὐτῷ προσῆκε, καὶ

filiarum legitime natarum ratione nulla habita aliquem adoptare eique bona sua legare. (69) Quodsi ergo Pyrrhus legitima filia præterita Endium adoptavit, lex illam adoptationem illegitimam declaravit: sin autem Endio filiam dedit eaque conditione adoptatum in bonis Endium reliquit, cur passi vos duo estis, qui Pyrrhi essetis avunculi, ut Endius bona Pyrrhi a judicibus sibi curaret] attribui, tametsi prætensam illam Pyrrhi filiam in matrimonium haud duceret? præsertim testati quum sitis ipsi Pyrrhum, sororis vestræ filium, ipsum vobis demandasse ut hujus natæ suæ curam haberetis? (70) At agite, o boni, excusabitis forsitan obliviositatem vestram; at Endius tamen quum mulierem desponderet atque elocaret, cur tum vos permisistis mulieri, ut tacita et nil contra hiscens se pateretur pro spuria Pyrrhi desponderi, vos qui Pyrrhi avunculi essetis? præsertim quum ipsi aiatis vos affuisse tum, quum Pyrrhus matrem hujus mulieris ut legitimam uxorem sibi curaret despondendam, et præterea iis epulis vos aiatis invitatos interfuisse, quæ die hujus filiæ nominali celebratæ fuissent; (71) denique (id quod deterrimum est) ipsi quum aiatis Pyrrhum morientem demandasse, curam hujus puellæ ut velletis habere, tam probe consuluistis ei ut pateremini eam pro spuria desponderi, præsertim quæ sororis vestræ nomen gereret, ut ipsi testimonio affirmastis.

72. Ex his itaque a me dictis et ex tota causa facile perspectu cuique est, quam impudentissimi sint hi homines. Avunculus enim noster si filiam rite sibi natam reliquisset, ecquo fratrem nostrum pro filio adoptato in bonis reliquisset? Ideone, quod alii essent necessitudine propiores quam nos, quos ille volens facultate filiam suam in jure petendi excludere, fratrem nostrum adoptasset? At neque fuit unquam filia ejusmodi, neque est. Liberis itaque nullis ingenuis ab eo relictis, nemo illi propior est quam nos sumus; nam neque frater illi fuit neque nepotes ex fratre, sed nos sumus ex ejus sorore nati. (73) Atque tamen medius fidius Pyrrhus alium e cognatis si adoptasset, una cum hereditate filiam quoque ei dedisset habendam pro uxore? Ecquid, inquam, oportebat Pyrrhum ita palam quemcunque tandem cognatorum offendere? cui licebat, si revera Nicodemi sororem sibi curasset desponderi, filiam, quæ ex ea nata fertur esse, in phratoras inducere ut ex se legitime natam, et virginem heredem universæ substantiæ relinquere, ea lege ut proximus cognatus eam sibi a judicibus curaret adjudicandam, et e nepotibus, si qui ex filia nascerentur, unus aliquis sibi institueretur filii loco. (74) Constat enim eum, si filiam heredem reliquisset, certissime cognitum habuisse alterutrum horum esse eventurum, ut aut nostrûm, qui cognatione sumus proximi, quisquam filiam illam suam uxorem haberet sibi a judicibus adjudicatam, aut, si nostrûm quisquam eam ducere recusaret, ut horum avunculorum suorum alter, qui nunc testimonia præstant, aut reliquorum cognatorum quisquam pari modo, petita in jure universa hereditate, eam uxorem haberet. (75) Hæc ille perfecturus erat, si filiam in phratoras induxisset fratremque meum pro filio haud adoptasset: eo autem quod fratrem meum adoptavit, illam vero in phratoras non induxit, hanc quidem pro spuria, id quod eum decebat quoque facere, fratrem vero

ἄκληρον κατέστησε, τὸν δὲ κληρονόμον κατέλιπε τῶν ἑαυτοῦ. (76) Ἀλλὰ μὴν ὥς γε οὔτε γαμηλίαν εἰσήνεγκεν ὁ θεῖος ἡμῶν, οὔτε τὴν θυγατέρα, ἥν φασι γνησίαν αὐτῷ εἶναι οὗτοι, εἰσαγαγεῖν εἰς τοὺς φράτορας ἠξίωσε, καὶ ταῦτα νόμου ὄντος αὐτοῖς, ἀναγνώσεται ὑμῖν τὴν τῶν φρατόρων τῶν ἐκείνου μαρτυρίαν. Ἀναγίνωσκε· σὺ δ' ἐπίλαβε τὸ ὕδωρ.

ΜΑΡΤΥΡΙΑ.

Λαβὲ δὲ καὶ ὡς ἐποιήσατο τὸν ἐμὸν ἀδελφὸν υἱὸν αὑτῷ.

ΜΑΡΤΥΡΙΑ.

77. Εἶτα ὑμεῖς τὴν Νικοδήμου μαρτυρίαν τῶν αὐτοῦ τοῦ θείου ἐκμαρτυριῶν πιστοτέραν ἡγήσεσθε εἶναι, καὶ τὴν οὕτω κοινὴν τοῖς βουλομένοις γεγενημένην, ταύτην ἐπιχειρήσει τις ὑμᾶς πείθειν ὅτι ἐγγυητὴν γυναῖκα ὁ ἡμέτερος θεῖος ἔσχεν; (78) Ἀλλ' ὑμεῖς, ὡς ἔγωγ' οἶμαι, οὐ πιστεύσετε, ἐὰν μὴ ἀποφαίνῃ ὑμῖν, ὅπερ ἀρχόμενος εἶπον τοῦ λόγου, πρῶτον μὲν ἐπὶ τίνι προικὶ οὗτος ἐγγυῆσαι τῷ Πύρρῳ φησὶ τὴν ἀδελφήν, ἔπειτα πρὸς ὁποῖον ἄρχοντα ἡ ἐγγυητὴ γυνὴ ἀπέλιπε τὸν ἄνδρα ἢ τὸν οἶκον αὐτοῦ, εἶτα παρ' ὅτου ἐκομίσατο τὴν προῖκα αὐτῆς, ἐπειδὴ τετελευτηκὼς ἦν ᾧ φησιν αὐτὴν ἐγγυῆσαι· ἢ εἰ ἀπαιτῶν μὴ ἐδύνατο κομίσασθαι ἐν εἴκοσιν ἔτεσιν, ὁποίαν δίκην σίτου ἢ τῆς προικὸς αὐτῆς ὑπὲρ τῆς ἐγγυητῆς γυναικὸς ἐδικάσατο τῷ ἔχοντι τὸν Πύρρου κλῆρον οὗτος. (79) Ἔτι δὲ πρὸς τούτοις ἐπιδειξάτω ὅτῳ πρότερον ἢ ὕστερον ἐνεγύησεν οὗτος τὴν ἀδελφήν, ἢ εἰ ἐξ ἄλλου τινὸς γεγενημένοι εἰσὶ παῖδες αὐτῇ. Ταῦτα οὖν ἀξιοῦτε πυνθάνεσθαι παρ' αὐτοῦ, καὶ περὶ τῆς τοῖς φράτορσι γαμηλίας μὴ ἀμνημονεῖτε. Οὐ γὰρ τῶν ἐλαχίστων πρὸς τὴν τούτου μαρτυρίαν τεκμήριόν ἐστι τοῦτο. Δῆλον γὰρ ὅτι, εἰ ἐπείσθη ἐγγυήσασθαι, ἐπείσθη ἂν καὶ γαμηλίαν ὑπὲρ αὐτῆς τοῖς φράτορσιν εἰσενεγκεῖν καὶ εἰσαγαγεῖν τὴν ἐκ ταύτης ἀποφανθεῖσαν θυγατέρα ὡς γνησίαν οὖσαν αὐτῷ. (80) Καὶ ἐν τῷ δήμῳ κεκτημένος τὸν τριτάλαντον οἶκον, εἰ ἦν γεγαμηκώς, ἠναγκάζετο ἂν ὑπὲρ τῆς γαμετῆς γυναικὸς καὶ θεσμοφόρια ἑστιᾶν τὰς γυναῖκας, καὶ τἆλλα ὅσα προσῆκε λειτουργεῖν ἐν τῷ δήμῳ ὑπὲρ τῆς γυναικὸς ἀπό γε οὐσίας τηλικαύτης. Οὐ τοίνυν φανεῖται οὐδὲν τούτων γεγενημένον οὐδεπώποτε. Οἱ μὲν οὖν φράτορες μεμαρτυρήκασιν ὑμῖν· λαβὲ δὲ καὶ τὴν τῶν δημοτῶν τῶν ἐκείνου μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

meum heredem bonorum suorum declaravit. (76) Quod autem avunculus noster neque sacrificium neque epulum nuptiale intulerit neque in phratoras induxerit filiam, quam hi aiunt ei legitime natam esse, quanquam apud phratoras obtinet hic ritus, his de rebus ut vobis constet, recitabit vobis scriba testimonium phratorum qui olim avunculo nostro fuerunt. Recita tu : tu autem inhibe aquam.

TESTIMONIUM.

Cape hoc quoque testimonium, docens illud, ab avunculo fratrem meum adoptatum esse.

TESTIMONIUM.

77. Vosne jam, judices, testimonio Nicodemi majorem fidem, quam avunculi nostri extestimoniis habebitis? Jam quisquam persuadere vobis conetur, quæ mulier volenti cuique patuerit, eam avunculo nostro uxorem fuisse legitimam? (78) Atqui vos, ut opinor, hoc non credetis, nisi planum fecerit id, quod initio hujus orationis urgebam, primum hoc, cujusnam sub dotis conditione Nicodemus Pyrrho sororem suam desponderit; deinde apud quemnam archontem mulier denuntiaverit se domo mariti ultro excessisse; post a quonam Nicodemus dotem sororis recuperarit post excessum ejus, cui se ait illam spopondisse; aut, si dotem quum reposceret recuperare non potuerit, quamnam intra viginti annos actionem de dandis alimentis vel de dote reddenda in eum intenderit qui Pyrrhi hereditatem possedit. (79) Præterea doceto Nicodemus, num alii cuipiam sororem suam desponderit sive antea sive etiam post, item num ab illa muliere adhuc alii liberi aliis nati fuerint. Hæc vobis ex illo percontanda esse existimate, neque obliviscimini de victima nuptiali in phratoras illata interrogare. Argumentum enim hoc est non levissimum adversus Nicodemi testimonium. Planum enim est si Pyrrhus induci potuerit ut mulierem hanc pro uxore legitima sibi sineret desponderi, passurum quoque eum fuisse se adduci ut pro ea victimam nuptialem in phratoras inferret, item ut filiam, quæ ex illa muliere ipsi nata proditur, induceret pro filia sibi legitime nata; (80) denique, quum substantiam tria talenta valentem haberet, si Pyrrhus revera illam pro legitima uxore habuisset, etiam in pago ejus nomine matronas in Thesmophoriis epulis excipere aliaque nonnulla in pago suo pro matrefamilias, præsertim e re tam ampla, peragere munia debebat. Atqui horum omnium nihil factum esse constat. Phratores jam testimonium dixerunt. Accipite jam testimonia paganorum quoque qui Pyrrho quondam fuerunt.

TESTIMONIUM.

IV.

ΠΕΡΙ ΤΟΥ ΝΙΚΟΣΤΡΑΤΟΥ ΚΛΗΡΟΥ ΕΠΙΛΟΓΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Νικοστράτου ἐν ὑπερορίᾳ τελευτήσαντος, Ἅγνων καὶ Ἁγνόθεος ὡς ὄντες ἀνεψιοὶ ἐκ πατραδέλφου ἀμφισβητοῦσι τοῦ κλήρου πρὸς Χαριάδην, φάσκοντα κληρονόμον αὐτοῦ εἶναι κατὰ δόσιν, ὅ ἐστι κατὰ διαθήκας. Ἰσαῖος οὖν ὁ ῥήτωρ, ὡς συγγενὴς ὢν τῶν περὶ τὸν Ἅγνωνα, λέγει συνηγορῶν αὐτοῖς. Ἡ στάσις στοχασμός.

Ἐπιτήδειοί μοι τυγχάνουσιν, ὦ ἄνδρες, ὄντες Ἅγνων τε οὑτοσὶ καὶ Ἁγνόθεος, καὶ ὁ πατὴρ αὐτῶν ἔτι πρότερον. Εἰκὸς οὖν μοι δοκεῖ εἶναι, ὡς ἂν οἷός τε ὦ, συνειπεῖν αὐτοῖς.

Περὶ μὲν οὖν τῶν ἐν τῇ ὑπερορίᾳ πραχθέντων οὔτε μάρτυρας ἐξευρεῖν οἷόν τε, οὔτε τοὺς ἀντιδίκους, ἐάν τι ψεύδωνται, ἐλέγχειν ῥᾴδιον, διὰ τὸ μηδέτερον τούτων ἐκεῖσε ἀφῖχθαι· τὰ δὲ ἐνθάδε συμβεβηκότα δοκεῖ μοι ὑμῖν ἱκανὰ γενέσθαι ἂν τεκμήρια, ὅτι ἅπαντες οἱ κατὰ τὴν δόσιν τῶν Νικοστράτου ἀμφισβητοῦντες ἐξαπατῆσαι ὑμᾶς βούλονται. (2) Πρῶτον μὲν οὖν, ὦ ἄνδρες, περὶ τῆς τῶν ὀνομάτων ἐπιγραφῆς ἄξιόν ἐστιν ἐξετάσαι, καὶ σκέψασθαι ὁπότεροι ἁπλούστερον καὶ κατὰ φύσιν μᾶλλον τὰς λήξεις ἐποιήσαντο. Ἅγνων μὲν γὰρ οὑτοσὶ καὶ Ἁγνόθεος Θρασυμάχου ἐπεγράψαντο τὸν Νικόστρατον, καὶ ἑαυτοὺς ἐκείνῳ ἀνεψιοὺς ἀποφαίνουσι, καὶ τούτων μάρτυρας παρέχονται· (3) Χαριάδης δὲ καὶ οἱ συνδικοῦντες αὐτῷ Σμίκρου μὲν πατρὸς εἶναί φασι τὸν Νικόστρατον, ἀμφισβητοῦσι δὲ τοῦ Θρασυμάχου υἱοῦ κλήρου. Καὶ οἵδε μὲν οὐδὲν προσποιοῦνται ἐκείνου τοῦ ὀνόματος οὔτε γινώσκειν οὔτε προσήκειν αὐτοῖς· φασὶ μὲν οὖν εἶναι Θρασυμάχου Νικόστρατον, τούτου δὲ ὁμοίως τῆς οὐσίας ἀμφισβητοῦσι. (4) Καὶ εἰ μὲν τὸ ὄνομα πατρόθεν τὸ αὐτὸ ὡμολόγουν εἶναι τοῦ Νικοστράτου, περὶ δὲ τοῦ κλήρου μόνου διεφέροντο, οὐδὲν ἂν ἔδει ὑμᾶς σκέψασθαι ἀλλ' εἴ τι διέθετο ἐκεῖνος ὁ Νικόστρατος, ὃν ἀμφότεροι ὡμολόγουν· νῦν δὲ πῶς οἷόν τε τῷ ἀνδρὶ δύο πατέρας ἐπιγράψασθαι; τοῦτο γὰρ Χαριάδης πεποίηκεν· αὐτός τε γὰρ ἔλαχε τοῦ Σμίκρου Νικοστράτου, τούτοις δὲ τοῦ Θρασυμάχου λαχοῦσι παρακατέβαλεν ὡς τὸν αὐτὸν ὄντα. (5) Ἔστι μὲν οὖν ἅπαντα ταῦτα ἐπήρεια καὶ παρασκευή. Ἡγοῦνται γὰρ τούτους, ἁπλοῦ μὲν ὄντος τοῦ πράγματος καὶ μηδεμιᾶς αὐτοῖς ταραχῆς ἐγγιγνομένης, οὐ χαλεπῶς ἐπιδείξειν ὅτι οὐδὲν Νικόστρατος διέθετο· ἐὰν δὲ μὴ τὸν πατέρα τὸν αὐτὸν εἶναι φῶσι, τοῦ δὲ κλήρου μηδὲν ἧττον ἀμφισβητῶσιν, ἀκριβῶς ἴσασιν ὅτι πλείονι λόγῳ εἰπεῖν τουτουσὶ δεήσει ὡς Νικόστρατος Θρασυμάχου ἦν ἢ ὡς οὐδὲν διέθετο. (6) Ἔτι δὲ καὶ ὁμολογοῦντες Θρασυμάχου μὲν εἶναι τὸν Νικόστρατον οὐκ ἂν εἶχον ἐξελέγξαι τούσδε ὡς οὐκ εἰσὶν ἐκείνῳ ἀνεψιοί· ἄλλον δὲ πατέρα τῷ τεθνεῶτι κατασκευάζοντες οὐ μόνον περὶ

IV.

DE NICOSTRATI HEREDITATE EPILOGUS.

ARGUMENTUM.

Mortuo in expeditione apud exteros Nicostrato, Hagnon et Hagnotheus consobrini patrueles contendunt de hereditate cum Chariade, se heredem illius donatione profitente, per testamentum. Isæus itaque orator, utpote consanguineus Hagnonis, orans patrocinatur illis. Lis est controversialis.

Hagnon hic, o judices, Hagnotheusque familiariter me utuntur, et jam antea pater eorum quoque me pariter usus fuit. Quocirca consentaneum esse mihi videtur, me causam eorum quam potero diligentissime agere.

Foris itaque gestorum extra ditionem Atticam neque testes possunt inveniri, neque, si quid adversarii de iis mentiuntur, facile est eos coarguere, quia fratrum quos modo nominabam neuter illuc profectus est [ubi Nicostratus exspiravit] : quæ autem hic evenere, satis ea mihi videntur idonea essa documenta e quibus constet, quicunque ex titulo donationis hereditatem Nicostrati petunt, eos omnes hoc agere ut vobis imponant. (2) Ante omnia itaque, judices, nomen quæri par est quod in tabulis petitoriis utrinque editum est, et dijudicari utri simplicius atque rei naturæ convenientius hereditatem petierint. Hagnon scilicet hic atque Hagnotheus apud archontem professi sunt hereditatem abs se peti Nicostrati ejus qui filius Thrasymachi fuisset, consobrinosque se ejus esse, testesque hujus rei exhibent : (3) Chariades autem ejusque advocati Nicostratum qui Smicri filius esset nominarunt, et nihilominus hereditatem ejus Nicostrati, qui Thrasymachi filius fuit, prætendunt ad se pertinere. Et hi quidem, Hagnon atque Hagnotheus, nomen illud ad se quicquam facere notumque ipsis esse negant; dicunt igitur Thrasymachi filium esse Nicostratum; hujus vero de hereditate perinde contendunt. (4) Jam si nomen Nicostrati a patre idem utrique faterentur, et de hereditate solummodo differrent, hac una de re vos oporteret disceptare quidnam in testamento constituisset ille Nicostratus, de quo homine ambæ partes consentirent : jam vero qui licet eidem homini duos patres imputare? Id enim fecit Chariades, qui, hereditatem petens ejus Nicostrati qui filius Smicri fuit, adversus hos tamen deposito contendit sacramento, qui hereditatem petunt a Nicostrato Thrasymachi filio relictam; quasi Smicrus et Thrasymachus idem homo fuissent. (5) Mera quidem hæc est malitia et machinatio. Existimant enim, causam si sinant simplicem manere nihilque turbelæ ei immisceant, difficile his non futurum ut planum faciant a Nicostrato testamentum scriptum prorsus nullum esse : sin autem patrem Nicostrati non eundem edentes hereditatem nihilominus petant, certi sunt fore ut hi verborum plus conterant in docendo Nicostratum Thrasymachi filium fuisse, quam in eo, Nicostratum testamentum nullum scripsisse. (6) Præterea si Nicostratum confiterentur Thrasymachi filium esse, non possent hoc arguere consobrinos hos illius non esse : quum autem defuncto patrem

τῶν διαθηκῶν ἀλλὰ καὶ περὶ τοῦ γένους λόγον ἐμβεβλήκασιν.

7. Οὐκ ἐκ τούτων δὲ μόνον γνοίητ' ἂν ὅτι ἄλλοι τινές εἰσιν οἱ ταῦτα ἐπὶ τουτουσὶ ἐπάγοντες, ἀλλὰ καὶ ἐκ τῶν κατ' ἀρχὰς γεγενημένων. Τίς γὰρ οὐκ ἀπεκείρατο, ἐπειδὴ τὼ δύο ταλάντω ἐξ Ἄκης ἠλθετον; ἢ τίς οὐ μέλαν ἱμάτιον ἐφόρησεν, ὡς διὰ τὸ πένθος κληρονομήσων τῆς οὐσίας; Ἢ πόσοι συγγενεῖς καὶ υἱεῖς κατὰ δόσιν προσεποιήσαντο τῶν Νικοστράτου; (8) Δημοσθένης μέν γε ἀδελφιδοῦς ἔφη αὐτῷ εἶναι, ἐπειδὴ δ' ἐξηλέγχθη ὑπὸ τούτων, ἀπέστη· Τήλεφος δὲ δοῦναι αὐτῷ Νικόστρατον ἅπαντα τὰ ἑαυτοῦ· καὶ οὗτος οὐ πολλῷ ὕστερον ἐπαύσατο. Ἀμινιάδης δὲ υἱὸν αὐτῷ πρὸς τὸν ἄρχοντα ἧκεν ἄγων οὐδὲ τριετῆ γεγονότα, καὶ ταῦτ' οὐκ ἐπιδεδημηκότος τοῦ Νικοστράτου ἕνδεκα ἐτῶν Ἀθήνησι. (9) Πύρρος δὲ ὁ Λαμπτρεὺς τῇ μὲν Ἀθηνᾷ ἔφη τὰ χρήματα ὑπὸ Νικοστράτου καθιερῶσθαι, αὑτῷ δ' ὑπ' αὐτοῦ ἐκείνου δεδόσθαι. Κτῆσις δ' ὁ Βησαιεὺς καὶ Κραναὸς τὸ μὲν πρῶτον δίκην ἔφασαν τοῦ Νικοστράτου ταλάντου καταδεδικάσθαι, ἐπειδὴ δ' οὐκ εἶχον τοῦτο ἀποδεῖξαι, ἀπελεύθερον αὐτὸν ἑαυτῶν προσεποιήσαντο εἶναι· καὶ οὐδ' οὗτοι ἃ ἔλεγον ἀπέδειξαν. (10) Καὶ οἱ μὲν εὐθὺς κατὰ τὰ πρῶτα ἐπὶ τὰ Νικοστράτου ᾄξαντες οὗτοί εἰσι· Χαριάδης δὲ τότε μὲν οὐδαμοῦ ἠμφισβήτησεν, ὕστερον δὲ οὐ μόνον αὐτὸς ἀλλὰ καὶ τὸ ἐκ τῆς ἑταίρας παιδίον εἰσποιῶν ἦλθε. Τοῦτο δ' ἦν αὐτῷ ὡς ἢ τῶν χρημάτων κληρονομήσοντι ἢ τὸ παιδίον ἀστὸν ποιήσοντι. Αἰσθόμενος δὲ καὶ οὗτος ὅτι περὶ τοῦ γένους ἐλεγχθήσοιτο, τὴν μὲν τοῦ παιδίου ἀμφισβήτησιν παρέλυσεν, ἑαυτῷ δὲ κατὰ δόσιν παρακατέβαλεν.

11. Ἐχρῆν μὲν οὖν, ὦ ἄνδρες, ὅστις κατὰ δόσιν χρημάτων ἀμφισβητῶν ἡττηθείη, μὴ κατὰ τὸ τέλος ζημιοῦσθαι, ἀλλ' ἐφ' ὅσα περ ληψόμενος ᾔει, τοσαῦτα τῇ πόλει ἀποτίνειν· οὕτω γὰρ ἂν οὔθ' οἱ νόμοι κατεφρονοῦντο οὔτε τὰ γένη ὑβρίζετο πρὸς τούτων, οὐδ' ἂν τῶν τεθνεώτων οὐδεὶς κατεψεύδετο. Ἐπειδὴ δὲ ἅπασι καὶ τῶν ἀλλοτρίων ἁπάντων, καθ' ὅ τι ἄν τις βούληται, ἀμφισβητεῖν ἔξεστιν, ὑμᾶς χρὴ περὶ αὐτῶν ὡς οἷόν τ' ἀκριβέστατα ἐξετάζειν καὶ μηδὲν εἰς ὅσον δύνασθε παραλείπειν. (12) Ἐν μόναις δὲ ταῖς τῶν κλήρων εἰσαγωγαῖς δοκεῖ μοι προσήκειν τεκμηρίοις μᾶλλον ἢ μάρτυσι πιστεύειν. Περὶ μὲν γὰρ τῶν ἄλλων συμβολαίων οὐ πάνυ χαλεπὸν τοὺς τὰ ψευδῆ μαρτυροῦντας ἐλέγχειν· ζῶντος γὰρ καὶ παρόντος τοῦ πράξαντος καταμαρτυροῦσι· περὶ δὲ τῶν διαθηκῶν πῶς ἄν τις γνοίη τοὺς μὴ τἀληθῆ λέγοντας, εἰ μὴ πάνυ μεγάλα τὰ διαφέροντα εἴη, αὐτοῦ μὲν καθ' οὗ μαρτυροῦσι τεθνεῶτος, τῶν δὲ συγγενῶν μηδὲν τῶν πεπραγμένων εἰδότων, τοῦ δὲ ἐλέγχου μηδαμῶς ἀκριβοῦς γινομένου; (13) Ἔτι δέ, ὦ ἄνδρες, καὶ τῶν διατιθεμένων οἱ πολλοὶ οὐδὲ λέγουσι τοῖς παραγινομένοις ὅ τι διατίθενται, ἀλλ' αὐτοῦ μόνου, τοῦ καταλιπεῖν διαθήκας, μάρτυρας παρίστανται, τοῦ δὲ συμβαίνοντός ἐστι καὶ γραμματεῖον ἀλλαγῆναι καὶ τἀναντία ταῖς τοῦ τεθνεῶτος διαθήκαις μεταγρα-

affingant commentitium, non solum de testamento, sed etiam de consanguinitate dicendi necessitatem imposuerunt.

7. Verum non ex his solummodo intelligatis subesse certos quosdam alios, qui istos adversarios in amicos meos instigarint, sed etiam ex illis quæ a principio statim evenerunt. Ecquis enim non super excessu Nicostrati comam tondebat, quum hereditas duum talentorum ex Ace venit? Ecquis non pullam induit, quasi per luctum hereditatem adepturus? Quot se mentiti sunt cognatos Nicostrati aut filios ab eo per testamentum adoptatos? (8) Demosthenes quidem se nepotem ejus ex fratre ferebat, ab his autem mendacii convictus desistebat : bona sua omnia Nicostratum sibi donasse prætendebat Telephus; sed hic quoque paulo post conticescebat : Aminiades puerum nondum triennem ad archontem afferebat, aiens eum Nicostrati esse, quum is totos undecim annos Athenis abfuisset : (9) Pyrrhus Lamptrensis Nicostratum aiebat bona sua (ex parte) Minervæ consecrasse, et (reliqua) sibi donasse : Ctesis Besæensis et Cranaus jactabant Nicostratum a se in jus vocatum talenti mulctæ condemnatum fuisse, quod quum demonstrare nequirent, comminiscebantur eum libertum suum fuisse; verum ne hoc quidem probare poterant. (10) Hi sunt qui ab initio hereditati Nicostrati inhiarunt : Chariades autem tum quidem eam non petebat, postmodum vero cœpit petere, neque solus ipse, sed etiam spurium suum e meretrice filium subjectum ivit Nicostrato, ut aut bona corriperet ipse aut saltim spurio suo jus civitatis acquireret. Sentiens autem suum de cognatione assertum mendacii convictum iri, petitionem pueri quidem rescidit, pro semetipso autem sacramentum deposuit, ut is cui per testamentum bona Nicostrati data fuissent.

11. Oportebat quidem, judices, quicunque bona ex titulo donationis testamentariæ petens causa cecidisset, eum non ad mulctam pro rata condemnari, sed ad tantundem reipublicæ fisco luendum, quanti sit summa bonorum ab eo petitorum : quod si fieret, leges non ita contemnerentur, neque cognationes ab istis lacesserentur, neque defunctorum nomine abuti auderent. Quoniam vero per leges omnibus licet hereditates quorumcunque quo quisque titulo velit petere, vestrûm est in hujusmodi causas quanta poteritis summa diligentia inquirere nihilque transmittere. (12) Et in hoc solo genere causarum, hereditario puta, videntur ad fidem faciendam validiora etiam esse indicia quam ipsi testes. Nam in cæteris quidem contractibus haud admodum difficile est falsa testatos coarguere, superstite adhuc et præsente eo quem testati sint hoc vel illud egisse : in causa vero hereditaria ecqui falsi testes noscitabuntur, nisi permagnum sit discrimen? illo ipso de cujus factis testimonium perhibetur vivis exempto, cognatisque ea quæ ab illo gesta sint prorsus ignorantibus, denique ubi scrutinium severo exerceri nequeat. (13) Adde, quod testamenta condentium plerique testibus ne dicunt quidem, quid in tabulis scriptum sit, sed ideo solummodo adstare jubent, quo testentur testamentum esse relictum; etiam hoc usu venire solet, ut tabulæ permutentur, et ut in subdititias ingerantur prorsus

φῆναι· οὐδὲν γὰρ μᾶλλον οἱ μάρτυρες εἴσονται, εἰ ἐφ' αἷς ἐκλήθησαν διαθήκαις, αὗται ἀποφαίνονται. (14) Ὁπότε δὲ καὶ τοὺς ὁμολογουμένως παραγενομένους οἷόν τ' ἐστὶν ἐξαπατῆσαι, πῶς οὐκ ἂν ὑμᾶς γε τοὺς μηδὲν τοῦ πράγματος εἰδότας πολὺ μᾶλλον ἑτοιμότερόν τις παρακρούσασθαι ἐγχειρήσαι; Ἀλλὰ μὴν καὶ ὁ νόμος, ὦ ἄν-
48 δρες, οὐκ ἐάν τις διαθῆται μόνον, κυρίας εἶναι κελεύει τὰς διαθήκας, ἀλλὰ ἐὰν εὖ φρονῶν. Σκεπτέον δὴ ὑμῖν πρῶτον μὲν εἰ ἐποιήσατο τὰς διαθήκας, ἔπειτα εἰ μὴ παρανοῶν διέθετο. (15) Ἀντιλεγόντων δ' ἡμῶν μηδὲ τὸ παράπαν γενέσθαι τὰς διαθήκας, ἐκ τίνος ἂν τρόπου, εἴ τις παρανοῶν διέθετο, γνοίητε, πρὶν περὶ αὐτοῦ τοῦ διαθέσθαι πιστεῦσαι; Τοὺς μὲν οὖν κατὰ τὴν δόσιν ἀμφισβητοῦντας ὁρᾶτε ὅσον ἔργον ἐστὶν αἰσθέσθαι εἰ ἀληθῆ λέγουσι, τοὺς δὲ κατὰ τὸ γένος πρῶτον μὲν οὐδὲν δεῖ μάρτυρας παρασχέσθαι ὡς αὐτῶν ἐστιν ὁ κλῆρος (παρὰ πάντων γὰρ ὡμολόγηται τοῖς ἐγγυτάτω γένους τὰ τοῦ τελευτήσαντος γίνεσθαι), (16) ἔπειτα οἱ νόμοι οὐ μόνον οἱ περὶ τῶν γενῶν ἀλλὰ καὶ οἱ περὶ τῶν δόσεων τοῖς συγγενέσι βοηθοῦσι. Δοῦναι μὲν γὰρ ὁ νόμος οὐδενὶ ἐᾷ τὰ ἑαυτοῦ, ἐὰν ὑπὸ γήρως ἢ ὑπὸ νόσου ἢ ὑπὸ τῶν ἄλλων ἃ καὶ ὑμεῖς ἴστε παρανοήσῃ· κατὰ δὲ τὸ γένος καὶ τὰ τοῦ ὁπωσοῦν διακειμένου ὁ ἐγγύτατα γένους ἀναμφισβητήτως λαμβάνει. (17) Χωρὶς δὲ τούτων ταῖς μὲν διαθήκαις διὰ μαρτύρων ὑμᾶς δεῖ πιστεῦσαι, ὑφ' ὧν ἔνι καὶ ἐξαπατηθῆναι (οὐ γὰρ ἂν ἦσαν ψευδομαρτυριῶν ἐπισκήψεις), τῇ δ' ἀγχιστείᾳ δι' ὑμῶν αὐτῶν· κατὰ γὰρ τοὺς νόμους οἱ συγγενεῖς ἀμφισβητοῦσιν, οὓς ὑμεῖς ἔθεσθε. (18) Πρὸς δὲ τούτοις, ὦ ἄνδρες, εἰ μὲν οἱ κατὰ τὰς διαθήκας ἀμφισβητοῦντες ὁμολογουμένως Νικοστράτῳ ἐπιτήδειοι ὄντες ἐτύγχανον, τὸ μὲν ἀκριβὲς οὐδ' ἂν οὕτως, ὅμως μέντοι μᾶλλον εἰκὸς ἦν ἀληθεῖς εἶναι δόξειν τὰς διαθήκας· ἤδη γάρ τινες οὐκ εὖ διακείμενοι τοῖς συγγενέσιν ὀθνείους φίλους τῶν πάνυ σφόδρα προσηκόντων περὶ πλείονος ἐποιήσαντο· νῦν δὲ οὔτε συσσίτους οὔτε φίλους οὔτ' ἐν τάξει τῇ αὐτῇ. Τούτων δ' ὑμῖν μάρτυρας ἁπάντων παρεσχήμεθα. (19) Ὃ δὲ μέγιστον, καὶ μάλιστα τῆς Χαριάδου ἀναιδείας καταμαρτυρεῖ, τοῦτο σκέψασθε. Ὅπου γὰρ τὸν αὑτὸν ποιησάμενον οὔτ' ἀποθανόντα ἀνείλετο οὔτ' ἔκαυσεν οὔτε ὠστολόγησεν, ἀλλὰ πάντα τοῖς μηδὲν προσήκουσι παρῆκε ποιῆσαι, πῶς οὐκ ἂν ἀνοσιώτατος εἴη, ὃς τῷ τεθνεῶτι μηδὲν τῶν νομιζομένων ποιήσας τῶν χρημάτων αὐτοῦ κληρονομεῖν ἀξιοῖ; (20) Ἀλλὰ νὴ Δία ἐπειδὴ τούτων οὐδὲν ἐποίησε, τὴν οὐσίαν τοῦ Νικοστράτου διεχείρισεν; ἀλλὰ καὶ ταῦτα μεμαρτύρηται ὑμῖν, καὶ τὰ πλεῖστα οὐδ' αὐτὸς ἀρνεῖται. Προφάσεις δὲ οἶμαι ἀναγκαίας ἐφ' ἑκάστας τῶν πράξεων εὑρῆσθαι· τί γὰρ ὑπολείπεται τῷ διαρρήδην ὁμολογοῦντι;

21. Σαφῶς μὲν οὖν ἴστε, ὦ ἄνδρες, ὅτι οὗτοι οὐ δικαίως τῶν Νικοστράτου ἐφίενται, ἀλλὰ βούλονται μὲν ὑμᾶς ἐξαπατῆσαι, τουτουσὶ δὲ συγγενεῖς ὄντας ἐκείνου, ἃ οἱ νόμοι ἔδοσαν αὐτοῖς, ἀποστερῆσαι. Οὐ μόνον δὲ Χαριάδης τοῦτο πεποίηκεν, ἀλλὰ καὶ ἄλλοι πολ-

contraria iis quæ defunctus constituisset; nam testes non ideo magis quod interfuere certo sciunt, veræne sint tabulæ quæ in judicio proferuntur an subdititiæ. (14) Quod si itaque illi ipsi adeo decipi possunt, quos quum testamenta scriberentur interfuisse in confesso est, quanto quis vos promptius circumvenire conetur qui rerum gestarum nihil teneatis? Porro, judices, non omnia omnino testamenta lex jubet esse rata, sed ea solummodo quæ scribens quisque suæ mentis esset compos. Ante omnia itaque dispiciendum vobis est, num Nicostratus testamentum scripserit, tum si scripserit, rectene sapiens scripserit an desipiens. (15) Nam negantibus nobis omnino scriptum esse testamentum, ecqui decernetis a delirante scriptum esse, priusquam certo constiterit de hoc quod testamentum scripserit? Videtis, quam difficile sit deprehendere, num vera dicant hi qui ex titulo donationis testamentariæ hereditates petunt: cognationis antem ex titulo petentes nil habent opus ut testes producant ad docendum de jure, quod iis est, hereditates petendi (constat enim inter omnes defuncti cujusque bona ad proximos in sanguine devenire); (16) deinde non illæ solum leges de jure cognatorum, sed hæ quoque quæ de donationibus præcipiunt, secundæ sunt cognatis, vetantes quenquam bona sua cuiquam dare, aut præ senio aut per valetudinem aliisque de causis, quas vos omnes tenetis, mentis non compotem; cognatione autem ut quisque proximus est, ita bona defuncti, quæcunque ejus conditio fuerit, absque ulla controversia suscipit. (17) Præterea testamentis non potestis fidere, nisi per interventum testium, a quibus facile factu est ut decipiamini (nam alias non essent actiones exceptoriæ de falsis dictis testimoniis), cognationi autem fidere vobis licet per vosmet ipsos; cognati enim ex illis legibus certant, quas ipsimet vos sanxistis. (18) Præterea, judices, si ex testamento hereditatem petentes constaret familiares Nicostrati fuisse, accuratius examinanti ne sic quidem, sed magis tamen probabile esset verum judicari testamentum; complures enim visi sunt, quod animo a cognatis essent alieniore, amicos iis prætulisse nulla secum necessitudine sanguinis conjunctos: jam vero constat hos adversarios nostros Nicostrato neque contubernales fuisse neque familiares neque in eodem ordine aciei stetisse. De quibus omnibus testes produximus. (19) Quod autem maximum est, et in primis impudentiæ Chariadis obloquitur, expendite. Nam a quo heredem se factum dicit, eum prœlio occisum neque sustulit neque rogo imposuit neque ossa ejus legit, sed ista omnia hominibus a Nicostrato alienis peragenda permisit: ecqui jam non sit ille facinorosissimus, qui, quum justorum nihil defuncto fecisset, postulet ut ad ejus hereditatem admittatur? (20) At enimvero, quanquam nihil horum fecit, facultates Nicostrati tamen administravit? Atqui vel in hæc testes dedimus, et horum pleraque ne ipse quidem infitiatur: causæ vero, opinor, quæ aliquo modo prætexi possint, in omnibus rebus inveniri solent. Quid itaque reliquum quod obloquatur, ei qui disertis verbis crimen fateatur?

21. Jam bene tenetis, judices, istos nullo jure Nicostrati bona appetere, sed hoc agere ut cum vos decipiant, tum hos qui Nicostrati cognati sunt, et quibus leges bona ejus contribuunt, illis evertant. Verum non Chariades solus id agit, sed alii quoque complures hereditates eorum qui

λοὶ ἤδη τῶν ἐν τῇ ὑπερορίᾳ ἀποθνησκόντων οὐδὲ γινώσκοντες ἐνίους τῆς οὐσίας ἠμφισβήτησαν· (22) ἐνθυμοῦνται γὰρ ὅτι κατορθώσασι μὲν τὰ ἀλλότρια ἔχειν, διαμαρτοῦσι δὲ μικρὸς ὁ κίνδυνος· μαρτυρεῖν δὲ καὶ τὰ ψευδῆ τινες ἐθέλουσιν, οἱ δ' ἔλεγχοι περὶ ἀφανῶν. Συνελόντι πολὺ τὸ διαφέρον κατὰ γένος ἢ κατὰ δόσιν ἀμφισβητεῖν. Ἀλλ' ὑμᾶς χρή, ὦ ἄνδρες, πρῶτον μὲν τὰς διαθήκας σκοπεῖν, εἰ δοκοῦσι γενέσθαι· τοῦτο γὰρ οἵ τε νόμοι ἡγοῦνται καὶ δικαιότατόν ἐστι. (23) Μὴ σαφῶς δὲ μήτ' αὐτοὺς τὴν ἀλήθειαν εἰδότας, μήτε τῶν μαρτύρων τοῦ τελευτήσαντος ἐπιτηδείων ὄντων, ἀλλὰ Χαριάδου τοῦ τἀλλότρια βουλομένου λαβεῖν, τί ἂν εἴη δικαιότερον ἢ τοῖς συγγενέσι τὰ τοῦ συγγενοῦς ψηφίζεσθαι; Καὶ γὰρ εἴ τι οἶδε ἔπαθον, οὐδενὶ ἂν ἄλλῳ ἢ Νικοστράτῳ τὰ τούτων ἐγένετο· κατὰ γὰρ τὸ αὐτὸ γένος ἂν ἠμφισβήτει, ἀνεψιὸς ὢν αὐτοῖς ἐκ πατραδέλφων. (24) Μὰ Δί' ἀλλ' οὐκ ἔστιν ὁ Ἅγνων οὐδ' ὁ Ἁγνόθεος τοῦ Νικοστράτου συγγενεῖς, ὡς οἱ ἀντίδικοί φασιν, ἀλλ' ἕτεροι. Ἔπειτα τῷ μὲν κατὰ τὴν δόσιν τοῦ κλήρου λαχόντι μαρτυροῦσιν, αὐτοὶ δὲ κατὰ τὸ γένος οὐκ ἀμφισβητήσουσιν; Οὐ γὰρ εἰς τοῦτό γε ἀνοίας ἥκουσιν ὥστε πιστεύσαντες ταῖς διαθήκαις οὕτω ῥᾳδίως τοσούτων χρημάτων ἀφίστανται. Ἀλλὰ μὴν καὶ ἐξ ὧν αὐτοὶ οὗτοι λέγουσι, τούσδε τοῖς συγγενέσιν αὐτοῖς ἐπιδικάσασθαι συμφέρει τῶν Νικοστράτου μᾶλλον ἢ Χαριάδην. (25) Εἰς γὰρ τὸν λοιπὸν χρόνον, εἰ μὲν οἵδε κατὰ τὸ γένος ἀμφισβητοῦντες λήψονται τὸν κλῆρον, ἐξέσται καὶ τούτοις, ὁπόταν βούλωνται, κατὰ τὸ γένος λαχοῦσιν ἐπιδεῖξαι ὑμῖν ὡς αὐτοὶ ἐγγυτέρω ἦσαν τοῦ Νικοστράτου, καὶ ὡς Σμίκρου ἦν καὶ οὐ Θρασυμάχου· ἐὰν δὲ Χαριάδης αὐτῶν κληρονομήσῃ, οὐκ ἔσται οὐδενὶ συγγενεῖ ἐπὶ τὰ Νικοστράτου ἐλθεῖν. Κατὰ δόσιν γὰρ ἔχοντος τοῦ ἐπιδεδικασμένου, τί φανοῦνται λέγοντες οἱ κατὰ τὸ γένος λαγχάνοντες;

26. Ὅπερ ἂν οὖν καὶ ὑμῶν ἕκαστος ἀξιώσειε, τοῦτο καὶ τουτοισὶ τοῖς νεανίσκοις βεβαιώσατε. Παρέσχοντο δ' ὑμῖν μάρτυρας πρῶτον μὲν ὡς ἀνεψιοί εἰσιν ἐκ πατραδέλφων Νικοστράτου, ἔπειτα δὲ ὡς οὐδεπώποτε ἐκείνῳ διάφοροι ἦσαν, ἔτι δὲ καὶ ὡς ἔθαψαν Νικόστρατον, πρὸς δὲ τούτοις ὡς Χαριάδης οὑτοσὶ οὐδαμῶς οὔτ' ἐνθάδε οὔτ' ἐπὶ στρατεύματι ἐχρῆτο Νικοστράτῳ, ἔτι δὲ καὶ τὴν κοινωνίαν, ᾗ μάλισθ' οὗτος ἰσχυρίζεται, ψευδῆ οὖσαν.

27. Καὶ ἄνευ τούτων, ὦ ἄνδρες, ἄξιον ὑμῖν ἐξετάσαι ἑκατέρους αὐτῶν οἷοί εἰσι. Θράσιππος μὲν γὰρ ὁ Ἅγνωνος καὶ Ἁγνοθέου πατὴρ ἤδη τι καὶ ἐλειτούργησεν ὑμῖν καὶ εἰσήνεγκε, καὶ ἄλλως σπουδαῖος ἦν πολίτης· αὐτοὶ δὲ οὗτοι οὔτε ἀποδεδημήκασιν οὐδαμῇ πώποτε, ὅποι ἂν μὴ ὑμεῖς προστάξητε, οὔτ' ἐνθάδε μένοντες ἄχρηστοί εἰσι τῇ πόλει, ἀλλὰ καὶ στρατεύονται καὶ εἰσφέρουσι καὶ τἆλλα πάντα ποιοῦσι τὰ προσταττόμενα καὶ αὐτοὺς (ὡς πάντες ἴσασι) κοσμίους παρέχουσιν, (28) ὥστε πολὺ μᾶλλον τούτους προσήκει κατὰ δόσιν τῶν χρημάτων τῶν Νικοστράτου ἢ Χαριάδην ἀμφισ-

extra ditionem Atticam defuncti sunt, petiverunt, quamvis eos interdum ne nossent quidem. (22) Cogitant enim se, si bene res cesserit, bona aliena habituros esse, sin minus, haud magnum adire periculum: esse quoque qui linguam venalem ad falsa testimonia dicendum offerant; examina instituenda in rebus obscuris versari. Brevis ut sim, permultum interest, sive ex cognatione sive ex testamento hereditates petantur. Vos autem, judices, primum hoc oportet quærere, sitne probabile testamentum scriptum esse: id enim leges suadent, et est æquissimum. (23) In ejusmodi autem causa, cujus neque vos veritatem perspicue cernatis, neque testes sint defuncti familiares, sed Chariades, homo bonis alienis insidians, ecquid justius sit quam ut cognatis bona cognati adjudicentur? Nam et his si fatalis hora fuisset obeunda, bona eorum ad Nicostratum fuissent perventura: nam hic ex eodem cognationis titulo bona illorum petisset, quippe qui consobrinus illis esset; pater enim Nicostrati horum patri frater fuit. (24) Atqui, medius fidius, Hagnon atque Hagnotheus cognati Nicostrati non sunt, ut testes Chariadis aiunt, sed alii (ipsi). Cur ergo Chariadi quidem ex testamento hereditatem petenti operam præstant testimonio dicendo, ipsi vero ex consanguinitate pro se hereditatem eandem petere non audent? Non enim profecto eo stultitiæ processerunt ut testamento isti fidentes tam facile de tantis bonis decedant. Quid? quod ex ipsis iis quæ hi adversarii nostri dictitant elucescit, ipsis cognatis magis expedire ut Hagnon et Hagnotheus, quam ut Chariades hereditatem Nicostrati in jure petant. (25) Nam si Hagnoni et Hagnotheo hereditas ex titulo consanguinitatis nunc adjudicatur, licebit tamen etiam Chariadis advocatis imposterum, ubi volent, eandem ex eodem cognationis titulo petere, atque planum tum facere se Nicostrato propinquiores esse, et Nicostratum Smicri filium fuisse, non Thrasymachi: sin Chariades hereditatem Nicostrati adipiscatur, non licebit ulli ex consanguineis illam petere. Ubi enim hereditatem tenebit is, qui petitam ex titulo donationis abstulerit, ecquid afferent hi, si qui ex titulo cognationis petant?

26. Quod igitur unusquisque vestrûm ipsimet sibi æquum esse censuerit, idem his quoque adolescentibus ratum facite; qui testes exhibuerunt confirmantes, primum hoc, eos Nicostrati consobrinos patrueles esse, tum alterum istud, nullas unquam iis cum Nicostrato simultates intercessisse, tertium denique illud, sepultum ab iis esse Nicostratum, quartum tandem, Chariadem Nicostrato nusquam locorum neque hic in urbe neque in castris usum fuisse familiariter, quintum postremo, communionem qua Chariades hic maxime fidit ementitam esse.

27. Et præterea, judices, æquum est, vos mores utriusque partis inter se comparare. Thrasippus enim, pater Hagnonis et Hagnothei, et muniis pro vobis functus est sumptuosis et ærario contulit, et cætera quoque civis frugi fuit: ipsi autem ejus filii neque usquam locorum, quo non essent a vobis ire jussi, profecti sunt, neque in urbe commorantes inutiles reip. fuerunt, sed militia funguntur et de suo conferunt ad ærarium, et reliqua omnia imperata exsequuntur et pudentes probosque se (de quo inter vos omnes constat) præbent; (28) quocirca multo etiam digniores sint quam Chariades qui hereditatem Nicostrati ex titulo donationis

δητεῖν. Οὗτος γάρ, ὅτ' ἐπεδήμει ἐνθάδε, πρῶτον μὲν εἰς τὸ δεσμωτήριον ὡς κλέπτης ὢν ἐπ' αὐτοφώρῳ ἀπήχθη, τότε δὲ ἀφεθεὶς μεθ' ἑτέρων τινῶν ὑπὸ τῶν ἕνδεκα, οὓς δημοσίᾳ ἅπαντας ὑμεῖς ἀπεκτείνατε, πάλιν ἀπογραφεὶς εἰς τὴν βουλὴν κακουργῶν, ὑποχωρῶν ᾤχετο καὶ οὐχ ὑπήκουσεν, ἀλλ' ἀπ' ἐκείνου ἑπτακαίδεκα ἐτῶν Ἀθήναζε οὐκ ἀφίκετο, πλὴν ἐπειδὴ Νικόστρατος ἀπέθανε. (29) Καὶ ὑπὲρ μὲν ὑμῶν οὔτε στρατείαν οὐδεμίαν ἐστράτευται οὔτε εἰσφορὰν οὐδεμίαν εἰσενήνοχε, πλὴν εἴ τι ἄρα ἐξ ὅτου τῶν Νικοστράτου ἠμφισβήτησεν, οὔτ' ἄλλ' οὐδὲν ὑμῖν λελειτούργηκεν. Ἔπειτα τοιοῦτος ὢν οὐκ ἀγαπᾷ εἰ μὴ τῶν ἡμαρτημένων δίκην δώσει, ἀλλὰ καὶ τῶν ἀλλοτρίων ἀμφισβητεῖ. (30) Εἰ μὲν οὖν οἵδε φιλοπράγμονες ἢ ἄλλοις ὅμοιοι πολίταις ἦσαν, ἴσως ἂν οὐ περὶ τῶν Νικοστράτου χρημάτων ἠμφισβήτει, ἀλλ' ὑπὲρ τοῦ σώματος ἠγωνίζετο· νῦν δ', ὦ ἄνδρες δικασταί, τοῦτον μὲν ἄλλος, ἐάν τις βούληται, τιμωρήσεται, τουτοισὶ δ' ὑμεῖς βοηθήσατε, καὶ μὴ περὶ πλείονος ποιήσεσθε τοὺς ἀδίκως τἀλλότρια ἔχειν βουλομένους ἢ τοὺς γένει τῷ τεθνεῶτι προσήκοντας καὶ χωρὶς τούτων ἤδη τι ἐκεῖνον εὐεργετηκότας, ἀλλὰ καὶ τῶν νόμων ἀναμνησθέντες καὶ τῶν ὅρκων οὓς ὠμόσατε, πρὸς δὲ τούτοις καὶ τῶν μαρτυριῶν ἃς ἡμεῖς παρεσχήμεθα, τὰ δίκαια ψηφίσασθε.

V.

ΠΕΡΙ ΤΟΥ ΔΙΚΑΙΟΓΕΝΟΥΣ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Δικαιογένους τελευτήσαντος ἄπαιδος ἐπὶ τέσσαρσιν ἀδελφαῖς Πρόξενος ἧκε διαθήκην ἔχων, ἐν ᾗ Δικαιογένης ὁ τελευτήσας τὸν υἱὸν αὐτοῦ, τοῦ Προξένου, Δικαιογένην υἱὸν θετὸν ἐποιήσατο ἐπὶ τῷ τρίτῳ μέρει τῆς οὐσίας. Τοῦτον δὲ τὸν τρόπον διανειμαμένων αὐτῶν τὴν ὅλην οὐσίαν, τελευταῖον ἦλθεν ὁ υἱὸς Προξένου Δικαιογένης φάσκων ἐπὶ ὅλῃ τῇ οὐσίᾳ γεγονέναι υἱός, καὶ νικήσας ἀνέλαβε καὶ τὰ δύο μέρη τῶν ἀδελφῶν τοῦ τελευτήσαντος. Ὕστερον πάλιν οἱ παῖδες τῶν ἀδελφῶν δικασάμενοι πρὸς Δικαιογένην ἐνίκησαν, καὶ συνέθετο Δικαιογένης ἀποδοῦναι πάλιν τὰ δύο μέρη αὐτοῖς καθαρὰ καὶ ἀνέπαφα, ἐγγυησαμένου ταῦτα Λεωχάρους. Νῦν δὲ ἀρνουμένων τὰ δόξαντα τῶν περὶ Δικαιογένην καὶ Λεωχάρην, ἐγκαλοῦσιν οἱ παῖδες τῶν ἀδελφῶν περὶ τῶν δύο μερῶν τῷ μὲν ὡς συνθεμένῳ, τῷ δὲ ὡς ἐγγυητῇ. Ἡ στάσις στοχασμός· ἀρνοῦνται γάρ.

Ὠιόμεθα μέν, ὦ ἄνδρες, περὶ ὧν διεφερόμεθα πρὸς Δικαιογένην, τὰ ὡμολογημένα ἐπὶ τοῦ δικαστήριου κύρια ἡμῖν ἔσεσθαι· ἀποστάντος γὰρ Δικαιογένους τοῖν δυοῖν μεροῖν τοῦ κλήρου, καὶ ἐγγυητὰς καταστήσαντος ἦ μὴν παραδώσειν ἡμῖν ταῦτα τὰ μέρη ἀναμφισβήτητα, ἀφήκαμεν ἀλλήλους τῶν ἐγκλημάτων· ἐπειδὴ δέ, ὦ ἄνδρες, οὐ ποιεῖ Δικαιογένης ἃ ὡμολόγησε, δικαζόμεθα Λεωχάρει ἐγγυητῇ γενομένῳ Δικαιογένους, ὥσπερ ἀντωμόσαμεν. (2) Καί μοι ἀνάγνωθι τὴν ἀντωμοσίαν.

petant. Nam Chariades Athenis adhuc habitans pro fure ipso in facinore deprehenso in carcerem abductus est, et tunc una cum aliis quibusdam emissus ab iis undecimviris, quos publice condemnatos supplicio affecistis omnes; postea iterum ut malas artes exercens ad senatum delatus est; a quo citatus non comparuit, sed urbe excessit, ab eoque inde tempore totos septendecim annos Athenis abfuit, neque rediit prius quam post excessum Nicostrati. (29) Pro salute vestra quidem nullam unquam obiit militiam neque suo de penu vestro quicquam contulit, nisi forte ex eo inde tempore, ex quo super hereditate Nicostrati contendit, neque alia quapiam functione sumptuaria functus est. Et tamen, talis quum sit, non satis habet tot scelera impune patrasse, sed aliena quoque appetit. (30) Quod si Hagnon et Hagnotheus curiosi in rebus alienis rimandis in eoque similes multis aliis nostrorum civium essent, nescio an Chariadi nunc non hæc hereditaria, sed capitis causa agenda esset: verum hunc quidem alius aliquis ulciscetur, judices, vos autem his succurrite, neque majoris facite alienorum per nefas appetentes quam defuncti cognatos, eosdemque præterea bene de illo meritos; sed et legum memores jurisque jurandi a vobis dicti et testimoniorum denique quæ nos exhibuimus, sententiam ex æquo pronuntiate.

V.

DE DICÆOGENIS HEREDITATE.

ARGUMENTUM.

Dicæogene sine liberis mortuo, superstitibus quatuor sororibus, Proxenus venit testamentum exhibens, quo Dicæogenes mortuus ipsius Proxeni filium Dicæogenem adoptaverat ex triente bonorum. Hoc pacto divisis inter eos bonis, postremo venit filius Proxeni Dicæogenes dicens se adoptatum esse ex asse, et vincens potitus est cæteris duabus partibus sororum defuncti. Postea rursum filii sororum litigantes cum Dicæogene vicerunt, et conventum est Dicæogenem reddere denuo illis duas partes integras et intactas, sponsore Leochare. Nunc vero infitiantibus Dicæogene et Leochare anteacta, filii sororum vocant in jus pro duabus partibus, hunc quidem ut eum cum quo pacti sint, illum vero ut sponsorem. Status conjecturalis est: infitiantur enim.

1. Opinabamur quidem, judices, quibus de rebus antehac litigabamur, de iis in judicio condicta rata nobis esse futura. Dicæogenes nempe quum se bessem hereditatis nobis concessurum dixisset, et sponsores dedisset illam bessem nobis a se traditum iri controversiæ haud obnoxiam: nos alteri alteris gravamina nostra remisimus: verum Dicæogene verbis fidem non faciente, Leocharetem pro illo sponsorem factum in jus vocamus, pro tenore jurisjurandi mutuo dicti. (2) Recita tu mihi hoc jusjurandum.

ΑΝΤΩΜΟΣΙΑ.

Ὡς τοίνυν ἀληθῆ ἀντωμόσαμεν, Κηφισόδοτος οὑτοσὶ οἶδε, καὶ μάρτυρας ὑμῖν παρεξόμεθα πρῶτον μὲν ὡς ἀπέστη Δικαιογένης ἡμῖν τοῖν δυοῖν μεροῖν τοῦ κλήρου, εἶτα ὡς ἐνεγυήσατο Λεωχάρης. Καί μοι ἀνάγνωθι τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

3. Τῶν μὲν μαρτύρων ἀκηκόατε, καὶ ὡς οὐ τἀληθῆ μεμαρτυρήκασιν, οὐδ' ἂν αὐτὸν οἶμαι Λεωχάρην εἰπεῖν· ἴσως δὲ ἐπ' ἐκεῖνον τρέψεται τὸν λόγον, ὡς Δικαιογένης τε ἃ ἡμῖν ὡμολόγησεν ἅπαντα πεποίηκε, καὶ αὐτὸς τὴν ἐξεγγύην ὅτι ἀπέδωκεν. Εἰ οὖν ταῦτ' ἐρεῖ, ψεύσεται καὶ ῥᾳδίως ἐλεγχθήσεται. Ἀναγνώσεται γὰρ ὑμῖν ὅσα κατέλιπε Δικαιογένης ὁ Μενεξένου ἐν τῷ κλήρῳ καὶ τὰ χρήματα ἃ ἔλαβεν.

ΑΠΟΓΡΑΦΗ.

4. Ταῦτα εἰ μὲν μή φασι Δικαιογένην τὸν ἡμέτερον θεῖον ζῶντα κεκτῆσθαι καὶ ἀποθνήσκοντα ἡμῖν δοῦναι, ἀποδειξάτωσαν· εἰ δὲ καὶ ἐκεῖνον καταλιπεῖν καὶ ἡμᾶς κεκομίσθαι, μαρτυρησάτω τις αὐτοῖς. Ὅτι μὲν γὰρ Δικαιογένης ὡμολόγει παραδώσειν ἡμῖν ὧν κατέλιπεν ὁ Μενεξένου τὰ δύο μέρη, ἡμεῖς μάρτυρας παρεχόμεθα, καὶ ὅτι Λεωχάρης ἐνεγυήσατο αὐτὸν ταῦτα ποιήσειν· καὶ γὰρ δικαζόμεθα διὰ τοῦτο, καὶ ταῦτα ἀντωμόσαμεν. Καί μοι ἀνάγνωθι τὴν ἀντωμοσίαν.

ΑΝΤΩΜΟΣΙΑ.

5. Εἰ μὲν τοίνυν, ὦ ἄνδρες, περὶ τούτων ἔμελλον ἀπολογήσασθαι μόνον Λεωχάρης ἢ Δικαιογένης, ἤρκει ἄν μοι τὰ εἰρημένα· ἐπειδὴ δὲ παρεσκευασμένοι εἰσὶν ἐξ ἀρχῆς περὶ τοῦ κλήρου λέγειν, βούλομαι ὑμᾶς καὶ παρ' ἐμοῦ τὰ πραχθέντα πυθέσθαι, ἵνα εἰδότες τἀληθῆ, ὅ τι ἂν δοκῇ ὑμῖν, ψηφίσησθε, ἀλλὰ μὴ ἐξηπατημένοι. Μενεξένῳ γὰρ τῷ ἡμετέρῳ πάππῳ ἐγένετο υἱὸς μὲν εἷς, Δικαιογένης, θυγατέρες δὲ τέτταρες, ὧν ἔλαβε μίαν μὲν Πολυάρατος ὁ πατὴρ ὁ ἐμός, ἄλλην δὲ Δημοκλῆς ὁ Φρεάρριος, τὴν δὲ Κηφισοφῶν ὁ Παιανιεύς· ἡ δὲ Θεοπόμπῳ ἐγήματο τῷ Κηφισοδότου πατρί. (6) Καὶ ὁ μὲν Δικαιογένης, τριήραρχος ἐκπλεύσας τῆς Παράλου, ἐτελεύτησε μαχόμενος ἐν Κνίδῳ· ἀποθανόντος δ' αὐτοῦ ἄπαιδος διαθήκην ἀπέφηνε Πρόξενος ὁ Δικαιογένους πατήρ, ᾗ πιστεύσαντες οἱ ἡμέτεροι πατέρες ἐνείμαντο τὸν κλῆρον. Καὶ ἐπὶ μὲν τῷ τρίτῳ μέρει τοῦ κλήρου Δικαιογένης ὅδε τῷ Μενεξένου Δικαιογένει, ἡμετέρῳ δὲ θείῳ, υἱὸς ἐγίνετο ποιητός· τῶν δὲ λοιπῶν ἑκάστη τὸ μέρος ἐπεδικάσατο τῶν Μενεξένου θυγατέρων· ὧν ἐγὼ τοὺς τότε παρόντας ὑμῖν μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

7. Ἐπειδὴ δὲ ἐνείμαντο τὸν κλῆρον, ὀμόσαντες μὴ παραβήσεσθαι τὰ ὡμολογημένα, ἐκέκτητο ἕκαστος δώδεκα ἔτη ἃ ἔλαχε· καὶ ἐν τοσούτῳ χρόνῳ οὐσῶν δικῶν

JUSJURANDUM MUTUUM.

Vera itaque esse ea quæ contrajuramento affirmavimus, Cephisodotus hic novit, testesque ad vos 'producemus primum de hoc, quod Dicæogenes besse hereditatis se abdicarit, tum de isto, quod Leochares hujus rei sponsorem se scribi passus fuerit. Recita testimonium.

TESTIMONIUM.

3. Audivistis, judices, e testibus, quos verum dixisse ne ipse quidem Leochares videtur infitiaturus esse: at fortasse ad hanc confugiet excusationem, ut aiat Dicæogenem omnibus nobiscum pactis satisfecisse, sponsionemque a se factam præstitam esse. Quæ quum aiet, mentietur facileque falsi convincetur. Recitabit enim scriba vobis quæcunque Dicæogenes (ll) Menexeni filius reliquit, et quam supellectilem hic (Dicæogenes III) suscepit.

TABELLÆ.

4. Hæc si negabunt adversarii Dicæogenem avunculum nostrum dum adhuc superesset possedisse, nobisque vita decedentem legasse, planum id faciunto: sin autem et illum istæc possedisse et nos accepisse aient, testis hæc confirmato. Dicæogenes (III) enim quod receperit tradendam a se nobis bessem bonorum Dicæogenis, qui est Menexeni filius, et quod Leochares sponsorem se constitui passus sit de præstandis his promissis, id nos testibus confirmavimus. Nam de his ipsis in jure contendimus, et hæc jurejurando mutuo recepimus. Recita tu illud jusjurandum.

JURAMENTUM MUTUUM.

5. Quod si jam, judices, hæc Dicæogenes et Leochares in defensione sui sola essent tractaturi, dicta hactenus nobis sufficerent: quia vero parati sunt narrationem de hereditate a principio inde repetere, induxi ego quoque animum totam rem ut gesta est vos docere, quo certiores de veritate facti, non autem mendaciis circumventi ex animi vestri sententia decernatis. Menexeno avo nostro nati sunt, filius quidem unus Dicæogenes, filiæ autem quatuor, quarum unam duxit Polyartus pater meus, aliam Democles Phrearrhius, aliam Ctesiphon Pæaniensis, aliam denique Theopompus pater Cephisodoti. (6) Jam Dicæogenes quidem, quum trierarchus e portu solvisset in Paralo, pugnans apud Cnidum occubuit: defuncto hoc improle, pater Dicæogenis (III) Proxenus testamentum protulit, cui fidem habentes patres nostri hereditatem creverunt. Et sic factus est hic Dicæogenes illi Dicæogeni Menexeni filio, avunculo nostro, filius adoptivus ea lege ut sola triente contentus esset; reliquorum autem partem ratam sibi a judicibus adjudicari curabat unaquæque Menexeni filiarum. Horum ego testes exhibebo eos, qui tum rebus interfuere.

TESTES.

7. Jurejurando itaque quum cavissent ne pacta conventa violarentur, possedit unusquisque portionem hereditatis suam duodecim per annos; et quanquam nullum tum esset

οὐδεὶς αὐτῶν ἠξίωσε τὰ πεπραγμένα εἰπεῖν ἀδίκως πεπρᾶχθαι, πρὶν δυστυχησάσης τῆς πόλεως καὶ στάσεως γενομένης κἀγῶνος οὑτοσὶ πεισθεὶς ὑπὸ Μέλανος τοῦ Αἰγυπτίου, ᾧ περ καὶ τἆλλα ἐπείθετο, ἠμφισβήτει ἡμῖν ἅπαντος τοῦ κλήρου, φάσκων ἐφ' ὅλῃ ποιηθῆναι υἱὸς ὑπὸ τοῦ θείου τοῦ ἡμετέρου. (8) Ἡμεῖς μὲν οὖν μαίνεσθαι αὐτὸν ἡγούμεθα τῇ λήξει, οὐκ ἄν ποτε οἰόμενοι τὸν αὐτὸν ἄνδρα τοτὲ μὲν φάσκοντα ἐπὶ τῷ τρίτῳ μέρει ποιηθῆναι τοτὲ δ' ἐφ' ἅπαντι τῷ κλήρῳ δόξαι τἀληθὲς λέγειν ὑμῖν· εἰς δὲ τὸ δικαστήριον εἰσελθόντες καὶ πολλῷ πλείω καὶ δικαιότερα λέγοντες ἠδικήθημεν, οὐχ ὑπὸ τῶν δικαστῶν ἀλλ' ὑπὸ Μέλανος τοῦ Αἰγυπτίου καὶ τῶν ἐκείνου φίλων, οἳ διὰ τὰς τῆς πόλεως συμφορὰς ἐξουσίαν σφίσιν αὐτοῖς ἡγοῦντο εἶναι κεκτῆσθαί τε τἀλλότρια καὶ τὰ ψευδῆ ἀλλήλοις μαρτυρεῖν· ὑπὸ δὲ τῶν τὰ τοιαῦτα ποιούντων ἐξηπατήθησαν οἱ δικασταί. (9) Καὶ ἡμεῖς μὲν καταψευδομαρτυρηθέντες ἀπωλέσαμεν τὰ ὄντα· καὶ γὰρ ὁ πατὴρ οὐ πολλῷ χρόνῳ ὕστερον μετὰ τὴν δίκην ἐτελεύτησε, πρὶν ἐπεξελθεῖν οἷς ἐπεσκήψατο τῶν μαρτύρων· Δικαιογένης δὲ πρὸς ἡμᾶς ὡς ἐβούλετο ἀγωνισάμενος τῇ αὐτῇ ἡμέρᾳ ἐξήλασε μὲν τὴν Κηφισοφῶντος τοῦ Παιανιέως θυγατέρα ἐκ τοῦ μέρους, ἀδελφιδῆν οὖσαν Δικαιογένους τοῦ καταλιπόντος τὰ χρήματα, ἀφείλετο δὲ τὴν Δημοκλέους γενομένην γυναῖκα, ἃ Δικαιογένης ἀδελφὸς ὢν ἔδωκεν, ἀφείλετο δὲ καὶ τὴν Κηφισοδότου μητέρα καὶ αὐτὸν τοῦτον ἅπαντα. (10) Καὶ γὰρ τούτων τε ἅμα καὶ ἐπίτροπος καὶ κύριος καὶ ἀντίδικος ἦν, καὶ οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οἰκειότητος ἐλέου παρ' αὐτοῦ ἔτυχον, ἀλλ' ὀρφανοὶ καὶ ἔρημοι καὶ πένητες γενόμενοι πάντων καὶ τῶν καθ' ἡμέραν ἐπιτηδείων ἦσαν ἐνδεεῖς. Οὕτως αὐτοὺς Δικαιογένης οὑτοσὶ ἐγγυτάτω ὢν γένους ἐπετρόπευεν· ὅς γε, ἃ μὲν ὁ πατὴρ αὐτοῖς Θεόπομπος κατέλιπε, τοῖς τούτων ἐχθροῖς παρέδωκεν, ἃ δὲ ὁ πρὸς μητρὸς θεῖος καὶ ὁ πάππος αὐτοῖς ἔδωκεν, αὐτὸς ἀφείλετο πρὸ δίκης. (11) Καὶ ὃ πάντων δεινότατον, τὴν οἰκίαν αὐτῶν τὴν πατρῴαν, παίδων ὄντων τούτων, πριάμενος καὶ κατασκάψας τὸν κῆπον ἐποιήσατο πρὸς τῇ αὑτοῦ οἰκίᾳ τῇ ἐν ἄστει. Καὶ λαμβάνων μίσθωσιν ὀγδοήκοντα μνᾶς ἐκ τῶν Δικαιογένους τοῦ ἡμετέρου θείου χρημάτων, τὸν ἐκείνου ἀδελφιδοῦν Κηφισόδοτον τῷ ἑαυτοῦ ἀδελφῷ Ἁρμοδίῳ συνέπεμψεν εἰς Κόρινθον ἀντ' ἀκολούθου· εἰς τοῦτο ὕβρεως καὶ μιαρίας ἀφίκετο. Καὶ πρὸς τοῖς ἄλλοις κακοῖς ὀνειδίζει καὶ ἐγκαλεῖ αὐτῷ ὅτι ἐμβάδας καὶ τριβώνια φορεῖ, ὥσπερ ἀδικούμενός τι εἰ ἐμβάδας Κηφισόδοτος φορεῖ, ἀλλ' οὐκ ἀδικῶν ὅτι ἀφελόμενος αὐτὸν τὰ ὄντα πένητα πεποίηκεν.

12. Ἀλλὰ μὴν περὶ τούτων τοσαῦτά μοι εἰρήσθω· πάλιν δ' ἐπάνειμι ὅθεν ἀπέλιπον. Μενέξενος γὰρ ὁ Κηφισοφῶντος υἱός, ἀνεψιὸς ὢν Κηφισοδότῳ τούτῳ καὶ ἐμοί, καὶ προσῆκον αὐτῷ τοῦ κλήρου μέρος ὅσον περ ἐμοί, ἐπεξῄει τοῖς καταμαρτυρήσασιν ἡμῶν καὶ ἐκείνου τὰ ψευδῆ, καὶ Λύκωνα, ὅνπερ εἰσήγαγε πρῶτον εἰς τὸ δικαστήριον, τοῦτον εἷλεν· ὃς ἐμαρτύρησε Δικαιογένη

justitium, nemo tamen tam longinquo tempore ausus est affirmare per nefas ista acta fuisse : tandem vero republica laborante obortaque seditione, concitatus Dicæogenes a Melane Ægyptio, cui aliis quoque in rebus obsecundavit, universam cœpit hereditatem petere, affirmans ab avunculo nostro se heredem ex asse scriptum esse. (8) Furere nos quidem illum autumabamus, ejusmodi causam in forum deferentem; verum, tametsi non speraveramus fore ut vera dicere vobis videretur is qui idem modo cum triente modo ex asse adoptatum se ferret, tamen ingressi forum, quum et multo plura quam illi argumenta proferremus et æquiora, tamen injuriam accepimus, non a judicibus, sed a Melane Ægyptio ejusque amicis, qui per turbida ista reipublicæ tempora sibi datam existimabant licentiam aliena diripiendi falsisque testimoniis mutuo sese sublevandi : ab his itaque talia committentibus judices decipiebantur. (9) Et nos quidem a falsis testibus victi nostra perdebamus; nam pater haud multo post litem vivis excessit, priusquam actionem in falsos testes capessere posset : Dicæogenes autem causa factus superior eadem protinus die Cephisophontis Pæaniensis filiam ex illa portione quam sortita fuerat expulit, tametsi Dicæogenis defuncti, a quo illa bona relicta fuerant, ex sorore neptis esset; Democlis item viduam iis spoliavit, quæ Dicæogenes ipsius frater ei dederat; Cephisodoti quoque matrem ipsumque hunc Cephisodotum bonis omnibus denudavit; (10) quippe qui horum idem tutor et curator atque adversarius esset. Verum ne minimo quidem sensu necessitudinis ad misericordiam his impertiendam flectebatur, sed quum orbi et deserti et pauperes essent, etiam in diem necessariis rebus carebant. Tam præclare Dicæogenes hic tutelam eorum gessit, qui arctissima consanguinitate junctus ipsis esset. Theopompus pater quæ his reliquerat, ea inimicis eorum prodidit, et quæ avunculus avusque maternus ipsis legaverant, ea ipse illis etiam nondum jure sibi addicta eripuit. (11) Et quod est indignissimum, pueri adhuc quum hi essent, domum eorum paternam emit, eaque diruta, ex area hortum illum fecit, quem domui suæ adjunctum in urbe habet; et quanquam e Dicæogenis bonis, avunculi nostri, locarium annuum octogenas minas redigat, tamen Cephisodotum Dicæogenis (II) e sorore nepotem Harmodio fratri suo Corinthum proficiscenti pro calone addidit : tam immanis istius contumelia fuit et flagitium. Et reliquis malis hunc veluti cumulum addit, quod ei per probrum objectet quod ocreas atque penulam gestet, quasi injuria aliqua affectus, si ocreas Cephisodotus gestat, sed nullam e contra ei injuriam faciens eo quod bonis omnibus eum privarit eoque ad mendicitatem redegerit.

12. Verum hæc hactenus : illuc redeo, unde excesseram. Menexenus itaque Cephisophontis filius, Cephisodoti hujus itemque meus consobrinus, cui portio hereditatis par meæ competit, actionem adversus eos instituit qui nobisque ipsique adversa et noxia testati fuerant, Lyconemque, quem primum in judicium induxerat, reum peregit; qui Lyco testatus fuerat ab avunculo nostro Dicæogenem hunc, qui

ποιηθῆναι τὸν νῦν ὄντα ὑπὸ τοῦ θείου τοῦ ἡμετέρου υἱὸν ἐπὶ παντὶ τῷ κλήρῳ. Μαρτυρήσας δὲ ταῦτα ἑάλω ψευδομαρτυριῶν. (13) Ἐπειδὴ δὲ Δικαιογένης, ὦ ἄνδρες, οὐκέτι ὑμᾶς δύναται ἐξαπατᾶν, πείθει Μενέξενον τὸν ὑπὲρ ἡμῶν τε καὶ ὑπὲρ αὑτοῦ πράττοντα, ἃ ἐγὼ αἰσχυνόμενος ἀναγκάζομαι διὰ τὴν ἐκείνου πονηρίαν λέγειν, — τί ποιῆσαι; κομισάμενον αὐτὸν μέρος ἐκ τοῦ κλήρου ὅ τι ἐγίγνετο, ἡμᾶς μὲν ὑπὲρ ὧν ἔπραττε προδοῦναι, τοὺς δὲ μήπω ἑαλωκότας τῶν μαρτύρων ἀφεῖναι.
52 Καὶ ἡμεῖς μὲν ταῦτα ὑπὸ τῶν φίλων καὶ τῶν ἐχθρῶν παθόντες εἴχομεν ἡσυχίαν. Τούτων δ' ὑμῖν μάρτυρας παρέξομαι.

adhuc superest, ea lege fuisse adoptatum ut bonorum suorum ex asse heres esset. Hæc ille Lyco testatus falsi dicti testimonii convictus est. (13) Dicæogenes itaque quum jam non amplius vos decipere posset, persuasit Menexeno nostramque suamque causam communem agenti (id quod, etsi pudet, propter illius improbitatem proloqui cogor), quidnam facere? ratam hereditatis portionem sibi contingentem a se auferre, gratiæque in mercedem nos quorum causam ageret sibi prodere, reliquosque falsos testes in forum nondum ab ipso pertractos missos facere. Hæc nos ab amicis pariter inimicisque tolerantes tamen quievimus. Testes horum ad vos producam.

ΜΑΡΤΥΡΕΣ.

14. Ὁ μὲν τοίνυν Μενέξενος παθὼν ἄξια τῶν ἑαυτοῦ τρόπων ἠπατήθη ὑπὸ τοῦ Δικαιογένους· ἀφεὶς γὰρ τοὺς μάρτυρας καὶ ἡμᾶς προδούς, ὧν ἕνεκα ταῦτ' ἔπραξεν οὐκ ἐκομίσατο. Ἀδικηθεὶς δὲ ὑπὸ Δικαιογένους μεθ' ἡμῶν πάλιν ἔπραττεν. Ἡμεῖς δὲ καθηγούμενοι οὐκέτι προσήκειν Δικαιογένει ἔχειν τῶν ἐκ τοῦ κλήρου μέρος οὐδέν, ἐπειδὴ οἱ μάρτυρες ἑάλωσαν, ἀμφισβητοῦμεν αὐτῷ ἅπαντος τοῦ οἴκου κατ' ἀγχιστείαν. Καὶ ὅτι ἡμεῖς τε ὀρθῶς ἐγνώκαμεν καὶ οὐδὲν ἔτι προσήκει Δικαιογένει τοῦ κλήρου, ῥᾳδίως διδάξω. (15) Δύο γὰρ διαθῆκαι ἐφάνησαν, ἡ μὲν πάλαι πολλῷ, ἡ δ' ὕστερον· καὶ κατὰ μὲν τὴν παλαιάν, ἣν ἀπέφηνε Πρόξενος ὁ Δικαιογένους τούτου πατήρ, ἐπὶ τῷ τρίτῳ μέρει τοῦ κλήρου ἐγίγνετο τῷ θείῳ τῷ ἡμετέρῳ υἱὸς ποιητός, καθ' ἣν δ' αὐτὸς ἀπέφηνε Δικαιογένης, ἐπὶ παντὶ τῷ οἴκῳ. Ταύταιν δὲ ταῖν διαθήκαιν ἣν μὲν Πρόξενος ἀπέφηνε, Δικαιογένης ἔπεισε τοὺς δικαστὰς ὡς οὐκ ἀληθὴς εἴη· ἣν δὲ Δικαιογένης ἀπέφηνεν, οἱ μαρτυρήσαντες αὐτὴν τὸν θεῖον τὸν ἡμέτερον διαθέσθαι ἑάλωσαν ψευδομαρτυριῶν. (16) Ἀμφοῖν δὲ ταῖν διαθήκαιν ἀκύροιν γινομέναιν, καὶ ἑτέρας μηδεμιᾶς ὁμολογουμένης εἶναι, κατὰ δόσιν μὲν οὐδενὶ προσῆκε τοῦ κλήρου, κατ' ἀγχιστείαν δὲ ταῖς Δικαιογένους τοῦ ἀποθανόντος ἀδελφαῖς, ὧν εἰσιν αἱ ἡμέτεραι μητέρες. Διὰ δὲ ταῦτα ἔδοξέ τε ἡμῖν λαχεῖν τοῦ κλήρου κατ' ἀγχιστείαν, καὶ ἐλάχομεν τὸ μέρος ἕκαστος. Μελλόντων δ' ἡμῶν ἀντόμνυσθαι διεμαρτύρησε Λεωχάρης οὑτοσὶ μὴ ἐπίδικον εἶναι τὸν κλῆρον ἡμῖν. (17) Ἐπισκηψαμένων δ' ἡμῶν ἡ μὲν λῆξις τοῦ κλήρου διεγράφη, ἡ δὲ τῶν ψευδομαρτυριῶν δίκη εἰσῄει. Ἐν δὲ τῷ δικαστηρίῳ πάντα μὲν ἡμῶν εἰπόντων ἅ περ νυνί, πολλὰ δὲ Λεωχάρους ἀνταπολογησαμένου, ἔγνωσαν τὰ ψευδῆ μαρτυρῆσαι Λεωχάρην οἱ δικασταί. Ἐπειδὴ δὲ τοῦτο φανερὸν ἐγένετο ἐξαιρεθεισῶν τῶν ψήφων, ἃ μὲν τῶν δικαστῶν καὶ ἡμῶν ἐδεήθη Λεωχάρης ἢ ὅσα ἡμῖν ἐξεγένετο διαπράξασθαι τότε, οὐκ οἶδ' ὅ τι δεῖ λέγειν, ἃ δὲ ὡμολογήθη ἡμῖν, ταῦτα ἀκούσατε. (18) Συγχωρούντων γὰρ ἡμῶν τῷ ἄρχοντι μὴ συναριθμεῖν ἀλλὰ συγχέαι τὰς ψήφους, ἀφίστατο μὲν Δικαιογένης τοῖν δυοῖν μεροῖν τοῦ κλήρου ταῖς Δικαιογένους ἀδελφαῖς, καὶ ὡμολόγει ἀναμφισβή-

TESTES.

14. Verum Menexenus ab Dicæogene delusus fuit, id quod merito ei contigit: nam a testium persecutione quum destitisset atque nos prodidisset, fraudatus est iis quorum spe illectus illa commiserat. Injuriam hanc a Dicæogene passus rursus ad nostras partes rediit. Et nos arbitrati Dicæogeni jam nullam amplius hereditatis portionem competere, postquam testes falsi testimonii coarguti essent, cum eo de universa hereditate ex titulo propioris consanguinitatis contendimus. Qua in re nos rectum cepisse consilium, et jam nullam amplius hereditatis partem competere Dicæogeni facile demonstrabo. (15) Binæ enim tabulæ ejusdem testamenti prolatæ fuerant, alteræ quidem dudum ante, alteræ autem multo post: et vetustiores quidem, a Proxeno hujus Dicæogenis patre prolatæ, Dicæogenem hunc avunculi nostri filium adoptivum ea lege faciebant, ut is trientem solummodo hereditatis haberet; posteriores autem ab ipso Dicæogene prolatæ hunc ipsum heredem ex asse declarabant. Harum tabularum alteras quidem, illas a Proxeno proditas, Dicæogenes judicibus persuasit ut crederent commentitias esse; quod vero ad eas quas ipse Dicæogenes protulit, testes qui affirmaverant ab ipso avunculo nostro eas scriptas esse, falsi testimonii convicti sunt. (16) Ambobus itaque illis testamentis pariter debilitatis, aliud nullum exstare quum in confesso sit, liquet jam neminem esse cui hereditas ex titulo legationis competat, ex titulo consanguinitatis autem solis eam competere sororibus Dicæogenis defuncti, quarum e numero nostræ sunt matres. Quocirca visum nobis fuit in jure petere hereditatem ex titulo propinquitatis, et sic petivimus portionem unusquisque sibi ratam. Verum in eo jam quum essemus ut jurejurando mutuo adigeremur, intercessit Leochares hic, obnuntians hereditatem hanc controversiæ haud esse obnoxiam. (17) Quem testem quum rejiceremus, petitio quidem hereditatis antiquabatur, contra vero actio de falsitate dicti testamenti inducebatur. Ibi quum nos omnia dixissemus eadem atque nunc dicimus, itemque Leochares sui purgandi causa multa protulisset, pronunciarunt tandem judices Leocharetem falsa testatum esse. Quod quum palam esset factum ex depromtis suffragiis, quæ quidem Leochares judicesque ipsosque nosmet rogaverit et quæ nobis tum perficere contra eum licuerit, nescio an minus necesse sit enarrari: satis est ea vos audire, de quibus inter nos convenit. (18) Nobis enim concedentibus archonti ut suffragia non dinumerata confunderet, abdicabat ipse sese Dicæogenes de besse hereditatis eamque sororibus Dicæogenis defuncti permittebat, promittens sese portiones illas ut controversiæ non obnoxias nobis esse traditurum; eaque

τητα παραδώσειν ἡμῖν ταῦτα τὰ μέρη· καὶ ταῦτα ἐνεγυᾶτο αὐτὸν Λεωχάρης οὗτος καὶ ὡμολόγει ποιήσειν, οὐ μόνος, ἀλλὰ καὶ Μνησιπτόλεμος ὁ Πλωθειεύς. Καὶ τούτων ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

19. Ἡμεῖς τοίνυν ταῦτα παθόντες ὑπὸ Λεωχάρους, καὶ ἐγγενόμενον ἡμῖν αὐτὸν ἐπειδὴ εἵλομεν τῶν ψευδομαρτυριῶν ἀτιμῶσαι, οὐκ ἐβουλήθημεν, ἀλλ' ἐξήρκεσε τὰ ἡμέτερα ἡμῖν κομισαμένοις ἀπηλλάχθαι. Τοιοῦτοι δὲ γενόμενοι περὶ Λεωχάρην καὶ Δικαιογένην ἐξηπατήθημεν ὑπ' αὐτῶν, ὦ ἄνδρες· οὔτε γὰρ Δικαιογένης τὰ δύο μέρη ἡμῖν τοῦ κλήρου παρέδωκεν, ὁμολογήσας ἐπὶ τοῦ δικαστηρίου, οὔτε Λεωχάρης ὁμολογεῖ ἐγγυήσασθαι αὐτὸν τότε. (20) Καίτοι εἰ μὴ ἐναντίον μὲν τῶν δικαστῶν, πεντακοσίων ὄντων, ἐναντίον δὲ τῶν περιεστηκότων ἐνεγυᾶτο, οὐκ οἶδ' ὅ τι ἂν ἐποίησεν. Ὡς μὲν τοίνυν περιφανῶς ψεύδονται, μάρτυρας ὑμῖν παρεχόμεθα τοὺς παρόντας, ὅτε Δικαιογένης μὲν ἀφίστατο τοῖν δυοῖν μεροῖν τοῦ κλήρου καὶ ὡμολόγει ἀναμφισβήτητα παραδώσειν ταῖς Δικαιογένους ἀδελφαῖς, Λεωχάρης δὲ ἐνεγυᾶτο αὐτὸν ἃ ὡμολόγησε καὶ ποιήσειν. Δεόμεθα δὲ καὶ ὑμῶν, ὦ ἄνδρες, εἴ τις ἐτύγχανε παρὼν τότε, ἀναμνησθῆναι εἰ λέγομεν ἀληθῆ καὶ βοηθῆσαι ἡμῖν· (21) ἐπεί, ὦ ἄνδρες, εἰ Δικαιογένης ἀληθῆ λέγει, τί ἡμεῖς ὠφελούμεθα νικήσαντες, ἢ τί οὗτος ἐζημιώθη ἡττηθείς; εἰ γὰρ ἀπέστη μόνον (ὥς φησι) τοῖν δυοῖν μεροῖν τοῦ κλήρου, ἀναμφισβήτητα δὲ μὴ ὡμολόγει παραδώσειν, τί ἐζημιοῦτο ἀφιστάμενος ὧν τιμὴν εἶχεν; οὐδὲ γὰρ πρὶν ἡττηθῆναι τὴν δίκην εἶχεν ὧν ἡμεῖς δικαζόμεθα, ἀλλ' οἱ παρὰ τούτου πριάμενοι καὶ θέμενοι, οἷς ἔδει αὐτὸν ἀποδόντα τὴν τιμὴν ἡμῖν τὰ μέρη ἀποδοῦναι. (22) Διὰ ταῦτα γὰρ καὶ τοὺς ἐγγυητὰς παρ' αὐτοῦ ἐλάβομεν, οὐ πιστεύοντες αὐτῷ ἃ ὡμολόγησε ποιήσειν. Πλὴν γὰρ δυοῖν οἰκιδίοιν ἔξω τείχους καὶ ἐν Πεδίῳ ἑξήκοντα πλέθρων οὐδὲν κεκομίσμεθα, ἀλλ' οἱ παρὰ τούτου θέμενοι καὶ πριάμενοι. Ἡμεῖς δ' οὐκ ἐξάγομεν· δεδίαμεν γὰρ μὴ ὄφλωμεν δίκας. Καὶ γὰρ Μικίωνα, κελεύοντος Δικαιογένους καὶ φάσκοντος μὴ βεβαιώσειν, ἐξάγοντες ἐκ τοῦ βαλανείου ὤφλομεν τετταράκοντα μνᾶς διὰ Δικαιογένην, ὦ ἄνδρες. (23) Ἡγούμενοι γὰρ οὐκ ἂν αὐτὸν βεβαιώσειν οὐδὲν ὧν ἡμῖν ἀπέστη ἐν τῷ δικαστηρίῳ, διισχυριζόμεθα πρὸς Μικίωνα ἐναντίον τῶν δικαστῶν, ἐθέλοντες ὁτιοῦν πάσχειν, εἰ βεβαιώσειεν αὐτῷ Δικαιογένης τὸ βαλανεῖον, οὐκ ἄν ποτε οἰόμενοι αὐτὸν ἐναντία οἷς ὡμολόγησε πρᾶξαι, οὐ δι' ἄλλ' οὐδὲν ἢ διὰ τοὺς ἐγγυητάς, ὅτι καθειστήκεσαν ἡμῖν. (24) Ἀποστὰς δὲ Δικαιογένης ταῦτα τὰ μέρη, ὧν καὶ νῦν ὁμολογεῖ ἀφεστάναι ἡμῖν, ἐβεβαίωσε Μικίωνι τὸ βαλανεῖον. Καὶ ἐγὼ μὲν ὁ ἄθλιος οὐχ ὅπως τι ἐκ τοῦ κλήρου εἰληφώς, ἀλλὰ προσαπολωλεκὼς τετταράκοντα μνᾶς, ἀπῄειν ὑβρισμένος ὑπὸ τοῦ Δικαιογένους. Καὶ τούτων ὑμῖν μάρτυρας παρέξομαι.

de re Leochares ut sponsor fidem suam interponebat, aiens Dicæogenem hæc facturum esse; non solus ille, verum simul etiam Mnesiptolemus Plothiensis. Quarum rerum vobis hos edam testes.

TESTES.

19. Nobis itaque talia a Leochare passis, quum liceret eum infamia notare ut falsi dicti testimonii convictum, noluimus tamen, sed satis habuimus, ubi nostra nobis debita abstulissemus, quiescere. Verum enimvero, quanquam tales nos erga Leocharem atque Dicæogenem gesseramus, tamen ab ipsis lusi fuimus, o judices: nam neque Dicæogenes, quam hereditatis bessem nobis a se tradendam coram judicibus recepisset, eam nobis tradidit, et Leochares se negat tum temporis pro Dicæogene sponsorem esse factum. (20) Atqui nisi coram judicibus, quingentis numero, et coram circumstantium corona sponsionem suscepisset, nescio quid eo factum fuisset. Manifesto itaque illos mentiri constat vobis e testibus qui coram aderant, quo tempore Dicæogenes quidem besse hereditatis se abdicabat eamque sororibus Dicæogenis defuncti sine ulla controversia a se tradendam recipiebat, Leochares autem sponsor fiebat, quæ Dicæogenes verbis recepisset, ea reapse esse præstiturum. Sed et vos, o viri, rogamus, quotquot rei tum gestæ interfuistis, ut num vera dicamus a memoria vestra requirere nobisque succurrere velitis; (21) nam si vera dicit Dicæogenes, quid nobis prodest causa vicisse? aut quid ille minus habet postquam causa cecidit? Nam si verbotenus tantum, id quod ait, besse destitit, neutiquam autem promisit eam traditurum nulli controversiæ obnoxiam, ecquod tandem detrimentum accepit ab cessione bonorum, quorum tenet valorem. Ipsa enim bona ne habuit quidem antequam causa caderet, sed habent illa hi, qui ab illo quum emissent aut pignoris loco accepissent, pecunia parata compensarunt; quam pecuniam debebat Dicæogenes ipsis reluere, et sic nostrûm cuique ratam suam portionem restituere. (22) Ideo enim sponsores ab eo sumpsimus, non fidentes illum ultro promissa exsecuturum. Nam præter duas domunculas extra mœnia et sexaginta jugera in Pedio nil retulimus, sed illi reliqua habent, qui aut emerunt ab eo aut oppignerata sibi habent: quos inde non deducimus, ne in judicio condemnati mulctas debeamus. Nam Micionem quoque quod balneo deduxissemus, id quod jussu Dicæogenis feceramus, negantis se emptionis vindicias præstiturum, quadraginta minis condemnati sumus, fraude Dicæogenis decepti. (23) Existimantes enim Dicæogenem quæ nobis in judicio concessisset, eorum emptionem non ut legitime factam præstiturum esse, adversus Micionem coram judicibus affirmabamus, paratos nos esse nihil non pati, si Dicæogenes ipsi balnei emptionem uti validam præstaret; opinabamur enim illum pacta nunquam factis esse refutaturum, idque nullam aliam ob causam quam ob sponsores, qui fidem suam hac de re interposuerant. (24) Verum enimvero, quamvis Dicæogenes illis portionibus decessisset, quibus se etiam nunc fatetur nostri causa decessisse, Micioni tamen balneum confirmavit. Sic ego miser non modo nullum hujus hereditatis fructum percepi, sed præterea etiam quadraginta minis mulctatus fui, et discessi contumelia a Dicæogene affectus. Etiam hujus rei testes vobis præstabo.

ΜΑΡΤΥΡΕΣ.

25. Ταῦτα μὲν πεπόνθαμεν ὑπὸ Δικαιογένους, ὦ ἄνδρες· ὁ δ' ἐγγυησάμενος αὐτὸν Λεωχάρης καὶ τῶν πάντων ἡμῖν κακῶν αἴτιος οὔ φησιν ἐγγυήσασθαι ἃ καταμαρτυρεῖται αὐτοῦ, ὅτι ἐν τῷ γραμματείῳ τῷ ἐπὶ τοῦ δικαστηρίου γραφέντι οὐκ ἔνεστι ταῦτα. Ἡμεῖς δέ, ὦ ἄνδρες, τότ' ἐπὶ τοῦ βήματος σπεύδοντες τὰ μὲν ἐγράψαμεν, τῶν δὲ μάρτυρας ἐποιησάμεθα· οὗτοι δέ, ἃ μὲν αὐτοῖς συμφέρει τῶν ὁμολογηθέντων τότε, κύριά φασιν εἶναι, εἰ καὶ μὴ γέγραπται, ἃ δ' οὐ συμφέρει, οὐ κύρια, εἰ μὴ γέγραπται. (26) Ἐγὼ δ', ὦ ἄνδρες, οὐ θαυμάζω ὅτι ἔξαρνοί εἰσι τὰ ὡμολογημένα· οὐδὲ γὰρ τὰ γραφέντα ἐθέλουσι ποιεῖν. Ἡμεῖς δ' ὡς ἐλέγομεν ἀληθῆ, καὶ ἄλλο τι τεκμήριον παρεξόμεθα. Πρωταρχίδῃ γὰρ τῷ Ποταμίῳ ἔδωκε Δικαιογένης τὴν ἀδελφὴν τὴν ἑαυτοῦ ἐπὶ τετταράκοντα μναῖς, ἀντὶ δὲ τῆς προικὸς τὴν οἰκίαν αὐτῷ τὴν ἐν Κεραμεικῷ παρέδωκε. Ταύτῃ δὲ τῇ γυναικί, ἣν ὁ Πρωταρχίδης ἔχει, προσήκει τοῦ κλήρου μέρος ὅσον περ τῇ μητρὶ τῇ ἐμῇ. (27) Ἐπεὶ δ' οὖν ἀπέστη Δικαιογένης ταῖς γυναιξὶ τοῖν δυοῖν μεροῖν τοῦ κλήρου, ἠξίου ὁ Λεωχάρης τὸν Πρωταρχίδην παραδιδόναι αὐτῷ τὴν συνοικίαν ἣν εἶχεν ἀντὶ τῆς προικός, ὡς ὄντι ἐγγυητῇ αὐτῷ, τὸ δὲ μέρος ὑπὲρ τῆς γυναικὸς τοῦ κλήρου παρ' αὐτοῦ κομίζεσθαι. Παραλαβὼν δὲ τὴν συνοικίαν τὸ μέρος οὐ παρέδωκε. Καὶ τούτων ὑμῖν μάρτυρα τὸν Πρωταρχίδην παρέξομαι.

ΜΑΡΤΥΣ.

28. Περὶ δὲ ἐπισκευῆς τοῦ βαλανείου καὶ οἰκοδομίας καὶ πρότερον εἴρηκε Δικαιογένης καὶ νῦν ἴσως ἐρεῖ, ὡς ὁμολογήσαντες αὐτῷ ἀποδώσειν τὰ ἀναλωμένα οὐκ ἀπεδώκαμεν, καὶ ὅτι διὰ τοῦτο οὐ δύναται ἀπαλλάσσειν τοὺς χρήστας, οὐδὲ ἡμῖν παραδοῦναι ἃ δεῖ αὐτόν. (29) Ἡμεῖς δέ, ὦ ἄνδρες, ἐπὶ τοῦ δικαστηρίου, ὅτε ἠναγκάζομεν αὐτὸν ἀφίστασθαι τούτων, ἀντὶ τῶν λειτουργιῶν καὶ τῶν εἰς τὰ οἰκοδομήματα ἀναλωμένων ἀφεῖμεν αὐτῷ τοὺς καρπούς, οὕτω τῶν δικαστῶν γιγνωσκόντων· ὕστερον δ' οὐκ ἀναγκαζόμενοι ἀλλ' ἑκόντες ἔδομεν αὐτῷ τὴν ἐν ἄστει οἰκίαν ἐξαιρεθέντες πρὸς τῷ τρίτῳ μέρει τοῦ κλήρου ἔχειν ἀντὶ τῶν ἐπεσκευασμένων, ἣν οὗτος ἀντὶ πεντακισχιλίων δραχμῶν παρέδωκε Φιλονείκῳ. (30) Ἔδομεν δὲ οὐ διὰ τὴν τοῦ Δικαιογένους χρηστότητα, ὦ ἄνδρες, ἀλλ' ἐπιδεικνύμενοι ὅτι οὐ περὶ πλείονος χρήματα ποιούμεθα τῶν οἰκείων, οὐδ' ἂν πάνυ πονηροὶ ὦσι. Καὶ γὰρ πρότερον ὅτ' ἐφ' ἡμῖν ἐγένετο Δικαιογένην τιμωρήσασθαι καὶ ἀφελέσθαι ἃ εἶχεν, οὐκ ἐβουλήθημεν τῶν τούτου κτήσασθαι οὐδέν, ἀλλὰ τὰ ἡμέτερα μόνον κομίσασθαι ἐξήρκει ἡμῖν. Οὗτος δ' ὅτ' ἐκράτησεν ἡμῶν, ἀπεσύλησεν ἃ ἐδύνατο, καὶ ὡς ἐχθροὺς ἀλλ' οὐ προσήκοντας ἀπόλλυσι. (31) Τεκμήριον δὲ καὶ τῶν ἡμετέρων τρόπων καὶ τῆς τούτου ἀδικίας μέγα παρεξόμεθα. Μελλούσης γὰρ τῆς πρὸς Λεωχάρην δίκης εἰσιέναι, ὦ ἄνδρες, ἐν τῷ Μαιμακτηριῶνι μηνί,

TESTES.

25. **Hæc nos, o judices, a Dicæogene passi sumus : Leochares autem, a quo hæc omnia nobis conflata sunt, quum pro illo spopondisset, negat se ea spopondisse quæ testes edicunt; nullam enim mentionem ejus rei fieri in tabulis coram judicio conditis. Nos autem, o judices, tunc temporis in tribunali festinantes, alia in tabulas referri, aliorum testes solummodo nobis esse curavimus : hi autem ea modo quæ e re ipsorum sunt, rata aiunt esse, etiamsi in tabulis scripta non sint; quæ autem ipsis non conducunt, ea, scripta si minus fuerint, rata esse negant. (26) Ego vero, judices, nil miror eos pacta infitiari verbis solummodo inita : nam ne scripta quidem servare volunt. Vera autem nos dicere, aliud adhuc argumentum proferam. Protarchidi Potamio Dicæogenes dedit sororem suam cum dote quadraginta minarum, et loco dotis domum ei tradidit in Ceramico sitam. Huic mulieri, quam Protarchides habet, æqualis portio hereditatis competebat atque matri meæ. (27) Quum igitur Dicæogenes mulieribus de besse hereditatis concessisset, rogabat Leochares Protarchidem ut sibi traderet insulam quam pro dote Protarchides habebat; a se enim [Leochare] ut sponsore ipsum [Protarchidem] partem hereditatis uxori ejus debitam ablaturum esse. Nactus vero Leochares insulam hereditatis portionem non tradidit, eaque de re testem Protarchidem vobis exhibebo.**

TESTIS.

28. **De reparatione balnei autem et ædificationibus si nunc quoque proferet eadem quæ jamdudum prætendit, nos nimirum, quos ei sumptus factos refundendos recepissemus, eos non refudisse, et propterea se non potuisse creditoribus satisfacere, ideoque nobis quoque ea non potuisse tradere quæ deberet : occurram ei sic. (29) Quo tempore, judices, coram judicio eum cogebamus his de bonis decedere, in compensationem sumptuum ab ipso tam in munera publica borum bonorum nomine quam in ædificationes factorum permisimus illi horum bonorum usum fructum, judicibus ita fieri debere censentibus : tempore autem post dedimus ei non coacti, sed sponte nostra, veluti præcipuum aliquod a reliqua massa separatum, domum in urbe, quam haberet adhuc præter trientem hereditatis in compensationem reparaturarum, quamque Dicæogenes Philonico quinquaginta minis vendidit. (30) Dedimus autem nos illam domum Dicæogeni, judices, non ob illius probitatem, sed quo testatum faceremus divitias a nobis pluris non fieri quam necessarios, sint licet quam nequissimi. Nam antea quoque, quum penes nos esset Dicæogenem ulcisci et fortunis denudare omnibus, tamen noluimus bonorum ejus ullam in partem invadere, sed satis habuimus nos nostra recuperare. Ille contra superior factus quæcumque potuit nobis eripuit, et pessumdare nos laborat non ut cognatos, sed ut inimicos homines. (31) Proferemus evidens documentum et morum nostrorum et hujus viri nequitiæ. In eo quum esset actio adversus Leocharem ut in tribunal inferretur, mense Mæma-**

ἠξίου Λεωχάρης καὶ Δικαιογένης δίαιταν ἡμᾶς ἐπιτροπεύειν, τὴν δίκην ἀναβαλλομένους. Καὶ ἡμεῖς ὥσπερ μικρὰ ἀδικούμενοι συνεχωρήσαμεν, καὶ ἐπετρέψαμεν διαιτηταῖς τέτταρσιν, ὧν τοὺς μὲν δύο ἡμεῖς ἠγάγομεν, τοὺς δὲ δύο ἐκεῖνοι. Καὶ ἐναντίον τούτων ὡμολογήσαμεν ἐμμενεῖν οἷς ἂν οὗτοι γνοῖεν, καὶ ὠμόσαμεν. (32) Καὶ οἱ διαιτηταὶ ἔφασαν, εἰ μὲν ἀνώμοτοι δύναιντ' ἂν ἡμᾶς διαλλάξαι, οὕτω ποιήσειν, εἰ δὲ μή, καὶ αὐτοὶ ὀμόσαντες ἀποφανεῖσθαι ἃ δίκαια ἡγοῦνται εἶναι. Ἀνακρίναντες δὲ ἡμᾶς πολλάκις καὶ πυθόμενοι τὰ πραχθέντα οἱ διαιτηταί, οἱ μὲν δύο οὓς ἐγὼ προὐβαλόμην, Διότιμος καὶ Μελάνωπος, ἤθελον καὶ ἀνώμοτοι καὶ ὀμόσαντες ἀποφήνασθαι ἃ ἐγίνωσκον ἀληθέστατα ἐκ τῶν λεγομένων, οὓς δὲ Λεωχάρης προὐβάλετο, οὐκ ἔφασαν ἀποφανεῖσθαι. (33) Καίτοι Διοπείθης ὁ ἕτερος τῶν διαιτητῶν Λεωχάρει μὲν ἦν τούτῳ κηδεστής, ἐμὸς δ' ἐχθρὸς καὶ ἀντίδικος ἐξ ἑτέρων συμβολαίων· Δημάρατος δὲ ὁ μετ' αὐτοῦ Μνησιπτολέμῳ τῷ ἐγγυησαμένῳ Δικαιογένη μετὰ Λεωχάρους ἦν ἀδελφός. Οὗτοι μέντοι οὐκ ἠθέλησαν ἀποφήνασθαι, ὁρκώσαντες ἡμᾶς ἦ μὴν ἐμμενεῖν οἷς ἂν αὐτοὶ γνοῖεν. Καὶ τούτων ὑμῖν μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

34. Οὐκ οὖν δεινὸν εἰ δεήσεται ὑμῶν, ὦ ἄνδρες, Λεωχάρης ἀποψηφίσασθαι ἃ Διοπείθης κηδεστὴς ὢν αὐτοῦ κατεψηφίσατο; ἢ ὑμῖν πῶς καλὸν ἀπογνῶναι Λεωχάρους ἅ γε οὐδ' οἱ προσήκοντες αὐτοῦ ἀπέγνωσαν; Δέομαι οὖν ὑμῶν καταψηφίσασθαι Λεωχάρους, ἵν' ἃ ἡμῖν οἱ πρόγονοι κατέλιπον κομισώμεθα, καὶ μὴ μόνον τὰ ὀνόματα αὐτῶν ἔχωμεν, ἀλλὰ καὶ τὰ χρήματα· τῶν δὲ Λεωχάρους ἰδίων οὐκ ἐπιθυμοῦμεν. (35) Δικαιογένην γάρ, ὦ ἄνδρες, οὔτ' ἐλεεῖν ἐστε δίκαιοι κακῶς πράττοντα καὶ πενόμενον, οὔτ' εὖ ποιεῖν ὡς ἀγαθόν τι εἰργασμένον τὴν πόλιν· οὐδέτερα γὰρ αὐτῷ τούτων ὑπάρχει, ὡς ἐγὼ ἀποφανῶ, ὦ ἄνδρες. Ἅμα δὲ καὶ πλούσιον καὶ πονηρότατον αὐτὸν ὄντα ἀνθρώπων ἀποδείξω καὶ εἰς τὴν πόλιν καὶ εἰς τοὺς προσήκοντας καὶ εἰς τοὺς φίλους. Οὗτος γὰρ παραλαβὼν τὸν κλῆρον παρ' ἡμῶν φέροντα μίσθωσιν τοῦ ἐνιαυτοῦ ὀγδοήκοντα μνᾶς, καρπωσάμενος αὐτὸν δέκα ἔτη οὔτε ἀργύριον ὡμολόγει κεκτῆσθαι οὔτε ὅποι ἀνήλωσεν ἔχοι ἂν ἐπιδεῖξαι, ὦ ἄνδρες. (36) Ἄξιον δὲ καὶ ὑμῖν λογίσασθαι. Οὗτος γὰρ τῇ μὲν φυλῇ εἰς Διονύσια χορηγήσας τέταρτος ἐγένετο, τραγῳδοῖς δὲ καὶ πυρριχισταῖς ὕστατος· ταύτας δὲ μόνας ἀναγκασθεὶς λειτουργίας λειτουργῆσαι ἀπὸ τοσαύτης προσόδου οὕτω καλῶς ἐχορήγησεν. Ἀλλὰ μὴν τριηράρχων τοσούτων κατασταθέντων οὔτ' αὐτὸς ἐτριηράρχησεν οὐθ' ἑτέρῳ συμβέβληκεν ἐν τοιούτοις καιροῖς, ἀλλ' ἕτεροι μὲν οὐσίαν κεκτημένοι ἐλάττω ἢ οὗτος μίσθωσιν λαμβάνει τριηραρχοῦσι. (37) Καίτοι, ὦ ἄνδρες, οὐχ ὁ πατὴρ αὐτῷ τὴν πολλὴν οὐσίαν κατέλιπεν, ἀλλ' ὑμεῖς ἔδοτε τῇ ψήφῳ· ὥστε εἰ καὶ μὴ πολίτης ἦν, διά γε τοῦτο δίκαιος ἦν τὴν πόλιν εὖ ποιεῖν. Εἰσφορῶν τοίνυν το-

cterione, judices, conveniebant nos Leochares atque Dicæogenes, rogantes ut, prosecutione litis aliud in tempus rejecta, viam compositionis per arbitros prius experiremur. Quibus nos, quasi minuta in re læsi, assensi quattuor arbitris litem permisimus disceptandam, quorum binos alteros nos adducebamus, alteros illi. Coram his promisimus, nos ab eorum arbitratu non discessuros, idque jurejurando sanximus. (32) Et arbitri dicebant si injurati conciliare nos possent, ita se facturos; sin minus, ipsos quoque juratos ea quæ justa ipsis esse viderentur, declaraturos. Jam quum iterum iterumque nos interrogassent et quæ res esset intellexissent, illi duo quos ego mihi delegeram, Diotimus et Melanopus, parati erant pronuntiare, sive jurati sive non jurati, quæ e dictis colligere potuissent verissima esse; quos autem Leochares arbitros tulerat, hi nolebant pronuntiare. (33) Tametsi alter eorum Diopithes Leocharis affinis erat, mihi vero inimicus ex negotiis quibusdam forensibus; alter autem Demaratus frater illius erat Mnesiptolemi, qui una cum Leochare pro Dicæogene spopondit. Hi ergo duo pronuntiare recusabant, tametsi nos jurejurando adegissent, nos a sententia ab ipsis pronuntianda haud esse discessuros. Testes hujus rei vobis exhibebo.

TESTES.

34. Nonne igitur res gravis foret, si Leochares vos rogaret, judices, ut se absolveretis eadem in causa, in qua Diopithes affinis ejus qui esset ipsum condemnavit? et qui deceret vos Leocharem ab illa culpa liberare, a qua ne necessarii quidem liberarunt? Quare vos rogo Leocharem condemnetis, ut quæ nobis majores reliquerunt recipiamus, et non solum nomina illorum sed etiam possessiones habeamus; ex privato vero Leocharis nihil conferri cupimus. (35) Indignus enim est Dicæogenes vestra commiseratione atque contentione bene de eo merendi; neque enim pauper et in re curta est, neque de rep. præclare meritus : quod utrumque docebo, judices, planum facturus eundem et locupletissimum et nequissimum hominem esse, pessimeque de rep., de necessariis, de amicis denique meritum. Hic enim quum a nobis accepisset hanc hereditatem, octogenas minas annuorum vectigalium ferentem, ejusque fructus toto decennio percepisset, tum negat sibi pecuniam esse, tum tamen non habet docere quo eam insumpserit. (36) Vos ipsi, fas enim est, existimate. In Dionysiis choregatu tribûs suæ fungens quartus fuit, tragœdiæque atque pyrrhichiæ palmas retulit postremas : hæc sola sunt munera quæ edidit coactus, et tam præclare, e reditu tam amplo. Et trierarchi tot quum constituti sint, Dicæogenes neque ipse trierarchatum gessit neque alteri cuipiam gerenti de penu suo ad sumptus contulit, præsertim ejusmodi in reip. temporibus : sed alii, quibus tenuior res familiaris est, quam huic sunt reditus annui, tamen trierarchatus gerunt. (37) Quamquam splendidas illas facultates non pater ei reliquit, sed vos suffragio vestro donastis; quapropter, etiamsi civis non esset, tamen eum deceret liberalitate in remp. voluntatem vestram demereri. Porro

σούτων γεγενημένων πᾶσι τοῖς πολίταις εἰς τὸν πόλεμον καὶ τὴν σωτηρίαν τῆς πόλεως Δικαιογένης οὐκ ἔστιν ἥντινα εἰσενήνοχε· πλὴν ὅτε Λέχαιον ἑάλω, κληθεὶς ὑπὸ ἑτέρου ἐπέδωκεν ἐν τῷ δήμῳ τριακοσίας δραχμάς, ἔλαττον ἢ Κλεώνυμος ὁ Κρής· (38) καὶ τοῦτο ἐπέδωκεν, οὐκ εἰσήνεγκεν, ἀλλ' ἐπ' αἰσχίστῳ ἐπιγράμματι ἐξετέθη αὐτοῦ τοὔνομα ἔμπροσθεν τῶν ἐπωνύμων, ὅτι οὐδὲ εἰς σωτηρίαν τῆς πόλεως ὑποσχόμενοι τῷ δήμῳ εἰσοίσειν χρήματα ἐθελονταὶ οὐκ εἰσήνεγκαν. Καίτοι πῶς ἄξιον θαυμάζειν, ὦ ἄνδρες, εἰ ἐμὲ ἐξηπάτησεν ἕνα ὄντα, ὃς ὑμᾶς ἅπαντας ἅμα συνειλεγμένους ἐν τῇ ἐκκλησίᾳ τοιαῦτα ἐποίησε; Καὶ τούτων ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

39. Εἰς μὲν τὴν πόλιν οὕτω καὶ τοσαῦτα λελειτούργηκε Δικαιογένης ἀπὸ τοσούτων χρημάτων· περὶ δὲ τοὺς προσήκοντας τοιοῦτός ἐστιν οἷον ὁρᾶτε, ὥστε τοὺς μὲν ἡμῶν ἀφείλετο τὴν οὐσίαν, ὅτι μεῖζον ἐδυνήθη, τοὺς δὲ περιεώρα εἰς τοὺς μισθωτοὺς ἰόντας δι' ἔνδειαν τῶν ἐπιτηδείων. Τὴν δὲ μητέρα τὴν αὑτοῦ καθημένην ἐν τῷ τῆς Εἰληθυίας ἱερῷ πάντες ἑώρων, καὶ τούτῳ ἐγκαλοῦσαν ἃ ἐγὼ αἰσχύνομαι λέγειν, οὗτος δὲ ποιῶν οὐκ ᾐσχύνετο. (40) Τῶν δ' ἐπιτηδείων Μέλανα μὲν τὸν Αἰγύπτιον, ᾧ ἐκ μειρακίου φίλος ἦν, ὅπερ ἔλαβε παρ' αὐτοῦ ἀργύριον ἀποστερήσας, ἔχθιστός ἐστι· τῶν δὲ ἄλλων αὐτοῦ φίλων οἱ μὲν οὐκ ἀπέλαβον ἃ ἐδάνεισαν, οἱ δ' ἐξηπατήθησαν, καὶ οὐκ ἔλαβον ἃ ὑπέσχετο αὐτοῖς, εἰ ἐπιδικάσαιτο τοῦ κλήρου, δώσειν. (41) Καίτοι, ὦ ἄνδρες, οἱ ἡμέτεροι πρόγονοι οἱ ταῦτα κτησάμενοι καὶ καταλιπόντες πάσας μὲν χορηγίας ἐχορήγησαν, εἰσήνεγκαν δὲ εἰς τὸν πόλεμον χρήματα πολλὰ ὑμῖν, καὶ τριηραρχοῦντες οὐδένα χρόνον διέλιπον. Καὶ τούτων μαρτύρια ἐν τοῖς ἱεροῖς ἀναθήματα ἐκεῖνοι ἐκ τῶν περιόντων, μνημεῖα τῆς αὑτῶν ἀρετῆς, ἀνέθεσαν, τοῦτο μὲν ἐν Διονύσου τρίποδας, οὓς χορηγοῦντες καὶ νικῶντες ἔλαβον, τοῦτο δ' ἐν Πυθίου· (42) ἔτι δ' ἐν ἀκροπόλει ἀπαρχὰς τῶν ὄντων ἀναθέντες πολλοῖς, ὡς ἀπὸ ἰδίας κτήσεως, ἀγάλμασι χαλκοῖς καὶ λιθίνοις κεκοσμήκασι τὸ ἱερόν. Αὐτοὶ δ' ὑπὲρ τῆς πατρίδος πολεμοῦντες ἀπέθανον, Δικαιογένης μὲν ὁ Μενεξένου τοῦ ἐμοῦ πάππου πατὴρ στρατηγῶν ὅτε ἡ ἐν Ἐλευσῖνι μάχη ἐγένετο, Μενέξενος δ' ὁ ἐκείνου υἱὸς φυλαρχῶν τῆς Ὀλυσίας ἐν Σπαρτώλῳ, Δικαιογένης δὲ ὁ Μενεξένου τριηραρχῶν τῆς Παράλου ἐν Κνίδῳ. (43) Τὸν μὲν τούτου οἶκον σύ, ὦ Δικαιόγενες, παραλαβὼν κακῶς καὶ αἰσχρῶς διολώλεκας, καὶ ἐξαργυρισάμενος πενίαν ὀδύρῃ, ποῖ ἀναλώσας; οὔτε γὰρ εἰς τὴν πόλιν οὔτε εἰς τοὺς φίλους φανερὸς εἶ δαπανηθεὶς οὐδέν. Ἀλλὰ μὴν οὐδὲ καθιπποτρόφηκας· οὐ γὰρ πώποτε ἐκτήσω ἵππον πλείονος ἄξιον ἢ τριῶν μνῶν· οὔτε κατεζευγοτρόφηκας, ἐπεὶ οὐδὲ ζεῦγος ἐκτήσω ὀρικὸν οὐδεπώποτε ἐπὶ τοσούτοις ἀγροῖς καὶ κτήμασιν. (44) Ἀλλ' οὐδ' ἐκ τῶν πολεμίων ἔλυσω οὐδένα. Ἀλλ' οὐδὲ τὰ ἀναθήματα, ἃ

tot contributiones quum factæ sint a civibus ad bellum sustinendum patriæque salutem tuendam, Dicæogenes ne semel quidem quicquam contulit; nisi quod, quum Lechæum caperetur, provocatus ab alio pollicitus est in concione se trecentas drachmas, minus adeo quam Cleonymus Cretensis dedit, esse daturum : (38) at quod pollicitus est non præstitit, sed turpissima de causa nomen ejus apud Eponymos in tabula publica proscriptum, ut unus eorum qui, quam largitionem ad salutem patriæ tuendam sponte sua polliciti fuissent, non præstitissent. Qui jam mirandum sit, me qui unus sim ab eo deceptum esse, qui vos cunctos in concionem congressos deceperit? Etiam hujus rei testes præstabo.

TESTES.

39. In remp. ergo Dicæogenes hoc pacto et tam magnifice e re tam lauta erogavit : erga necessarios autem eum se gerit quem videtis; nam alios nostrûm fortunis exuebat præpollens, alios æquo animo ferebat ob penuriam victus quotidiani peregre proficisci mercenarios. Viderunt omnes matrem ejus in fano Ilithyiæ sedentem, filioque scelus exprobrantem, quod proferre verecundor, quanquam illum committere scelus nil puduit. (40) Melane Ægyptio quum esset a puero familiariter usus, habet nunc eundem sibi inimicissimum, quod pecuniam ab illo mutuo sumptam non reddit : reliquorum qui amici ejus fuerunt, alii non recuperarunt nummos ipsi mutuo datos, alii decepti sunt ab eo non præstante ea quæ se daturum promisisset, si hereditatem in judicio adipisceretur. (41) Nostri autem majores, o judices, qui bona istæc reliquerunt sudore suo parta, nullis non choregatibus defuncti sunt, pecuniasque quamplurimas ad onera belli perferenda contulerunt, neque tempus ullum vacavit ipsorum trierarchatibus. Quorum documenta sunt donaria ab illis in fanis deorum, ex eo quod ipsis de necessariis impensis redundaret dedicata, quo monumenta suæ virtutis essent; tripodes, alii in templo Bacchi consecrati, quos choregi quum essent, præmia victoriæ abstulerant, alii in templo Pythii Apollinis consecrati : (42) præterea quoque in arce primitias fortunarum consecrantes fanum quod ibi est Minervæ simulacris æneisque saxeisque numero multis, ut e re familiari privata, exornarunt. Ipsi autem pro patria dimicantes occubuerunt, Dicæogenes quidem Menexeni, avi mei pater, strategi cum dignitate apud Eleusinem, Menexenus autem filius ejus, equitum magister, apud Spartolum in Olysiorum (*Olynthiorum*) ditione, Dicæogenes autem hujus Menexeni filius occubuit in pugna apud Cnidum, trierarchatu fungens navis Parali. (43) Hanc tu domum, Dicæogene, quum suscepisses, pessime summo cum dedecore pessumdedisti; ac fundos quum nummis commutaveris, nihilominus paupertatem quereris! qui? quo impendisti pecuniam? In remp. quidem constat nihil te impendisse neque in amicos. Neque equis alendis prodegisti rem, qui nunquam habueris equum plus tribus minis veneuntem; neque etiam in bigas mulares profudisti, quas nunquam possedisti, tam amplos fundos et tam instructos habens. (44) Neque ex hostibus captivum ullum redemisti. Ne ipsa quidem illa donaria in urbem intulisti

Μενέξενος τριῶν ταλάντων ποιησάμενος ἀπέθανε πρὶν ἀναθεῖναι, εἰς τὴν πόλιν κεκόμικας, ἀλλ' ἐν τοῖς λιθουργείοις ἔτι κυλινδεῖται, καὶ αὐτὸς μὲν ἠξίους κεκτῆσθαι ἅ σοι οὐδὲν προσῆκε χρήματα, τοῖς δὲ θεοῖς οὐκ ἀπέδωκας ἃ ἐκείνων ἐγίγνετο ἀγάλματα. (45) Διὰ τί οὖν ἀξιώσεις σου τοὺς δικαστὰς ἀποψηφίσασθαι, ὦ Δικαιόγενες; πότερον ὅτι πολλὰς λειτουργίας λελειτούργηκας τῇ πόλει, καὶ πολλὰ χρήματα δαπανήσας σεμνοτέραν τὴν πόλιν τούτοις ἐποίησας; ἢ ὡς τριηραρχῶν πολλὰ κακὰ τοὺς πολεμίους εἰργάσω, καὶ εἰσφορὰς δεομένῃ τῇ πατρίδι εἰς τὸν πόλεμον εἰσενεγκὼν μεγάλα ὠφέληκας; ἀλλ' οὐδέν σοι τούτων πέπρακται. (46) Ἀλλ' ὡς στρατιώτης ἀγαθός; ἀλλ' οὐκ ἐστράτευσαι τοσούτου καὶ τοιούτου γενομένου πολέμου, εἰς ὃν Ὀλύνθιοι μὲν καὶ νησιῶται ὑπὲρ τῆσδε τῆς γῆς ἀποθνήσκουσι μαχόμενοι τοῖς πολεμίοις, σὺ δέ, ὦ Δικαιόγενες, πολίτης ὢν οὐδ' ἐστράτευσαι. Ἀλλ' ἴσως διὰ τοὺς προγόνους ἀξιώσεις μου πλέον ἔχειν, ὅτι τὸν τύραννον ἀπέκτειναν. Ἐγὼ δ' ἐκείνους μὲν ἐπαινῶ, σοὶ δὲ οὐδὲν ἡγοῦμαι τῆς ἐκείνων ἀρετῆς μετεῖναι. (47) Πρῶτον μὲν γὰρ εἵλου ἀντὶ τῆς ἐκείνων δόξης τὴν ἡμετέραν οὐσίαν κτήσασθαι, καὶ ἐβουλήθης μᾶλλον Δικαιογένους καλεῖσθαι υἱὸς ἢ Ἁρμοδίου, ὑπεριδὼν μὲν τὴν ἐν Πρυτανείῳ σίτησιν, καταφρονήσας δὲ προεδριῶν καὶ ἀτελειῶν, ἃ τοῖς ἐξ ἐκείνων γεγονόσι δέδοται. Ἔτι δὲ ὁ Ἀριστογείτων ἐκεῖνος καὶ Ἁρμόδιος οὐ διὰ τὸ γένος ἐτιμήθησαν, ἀλλὰ διὰ τὴν ἀνδραγαθίαν, ἧς σοι οὐδὲν μέτεστιν, ὦ Δικαιόγενες.

VI.

56 ΠΕΡΙ ΤΟΥ ΦΙΛΟΚΤΗΜΟΝΟΣ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Εὐκτήμονος υἱὸς Φιλοκτήμων τὸν τῆς ἑτέρας τῶν ἀδελφῶν καὶ Φανοστράτου υἱὸν Χαιρέστρατον ποιησάμενος κατὰ διαθήκας τὰς τεθείσας παρὰ Χαιρέᾳ τῷ τῆς ἑτέρας ἀδελφῆς ἀνδρί, ἐτελεύτησε ζῶντος ἔτι τοῦ πατρός· ὕστερον δὲ κἀκείνου ἀποθανόντος ἔλαχεν ὁ Χαιρέστρατος τοῦ κλήρου κατὰ τὸν νόμον. Διαμαρτυρήσαντος δὲ Ἀνδροκλέους μὴ εἶναι ἐπίδικον, ὄντος Ἀντιδώρου γνησίου παιδὸς Εὐκτήμονι, οἱ περὶ Χαιρέστρατον ἐπεσκήψαντο τῇ διαμαρτυρίᾳ, καὶ τοῦτον καὶ τὴν ἀδελφὴν αὐτοῦ νόθους γεγονέναι φάσκοντες, τὸν δὲ νόμον διαγορεύειν νόθῳ καὶ νόθῃ μὴ εἶναι ἀγχιστείαν. Ἡ στάσις στοχασμός· ἄδηλον γὰρ εἰ ἐποίησε Φιλοκτήμων Χαιρέστρατον υἱὸν ἑαυτῷ, καὶ πάλιν ἄδηλον εἰ γνήσιοί εἰσιν οἱ περὶ Ἀντίδωρον.

Ὅτι μέν, ὦ ἄνδρες, πάντων οἰκειότατα χρῶμαι Φανοστράτῳ τε καὶ Χαιρεστράτῳ τούτῳ, τοὺς πολλοὺς οἶμαι ὑμῶν εἰδέναι, τοῖς δὲ μὴ εἰδόσιν ἱκανὸν ἐρῶ τεκμήριον· ὅτε γὰρ εἰς Σικελίαν ἐξέπλει τριηραρχῶν Χαιρέστρατος, διὰ τὸ πρότερον αὐτὸς ἐκπεπλευκέναι προῄδειν πάντας τοὺς ἐσομένους κινδύνους, ὅμως δὲ δεομένων τούτων καὶ συνεξέπλευσα καὶ συνεδυστύχησα καὶ ἑάλωμεν εἰς τοὺς πολεμίους. (2) Ἄτοπον δὴ εἰ ἐκεῖνα μὲν προδήλων ὄντων τῶν κινδύνων ὅμως διὰ τὸ χρῆσθαι τούτοις καὶ φίλους νομίζειν ὑπέμενον, νῦν δὲ οὐ πειρῴμην συνειπεῖν ἐξ ὧν ὑμεῖς τά τε εὔορκα ψηφιεῖ-

dedicanda, quæ Menexenus quum tribus talentis facienda locasset, vita excessit priusquam dedicaret, sed volutantur adhuc in officina lapicidæ; et tu quidem dignum te censuisti possidere te bona ad te nullo jure pertinentia, diis autem oblivisceris donaria reddere iis destinata. (45) Ecquid igitur est id ob quod tu, Dicæogene, postules, judices te absolvere? num quod multa munera civitati edideris, magnoque æris impendio magis eam spectabilem reddideris? an quod trierarchus clades hostibus acerbas intuleris? an quod egenti patriæ largitiones conferendo ampla pepereris emolumenta? Atqui horum omnium fecisti nihil. (46) Verumtamen miles bonus et fortis es? Atqui nunquam in castra isti, toto hoc tenente bello tam atroce; quod ipsi Olynthii et insularum incolæ nobiscum participare non recusarunt, sed pro nobis dimicantes mortem oppetunt, tu vero, Dicæogene, quum civis esses, arma pro patria gerere ausus non es. At fortasse ob majores postulabis mihi præhaberi, quod illi tyrannos sustulerint? Ego vero, quum illos laudo, tum te nego in communionem laudis illis debitæ venire: (47) qui primum quidem, omissa gloriæ illorum æmulatione, latro factus sis bonorum nostrorum, malueris que Dicæogenis filius appellari quam Harmodii, et jus epulandi in Prytaneo spreveris, et reliqua quoque jura posterorum Harmodii, ut præsidatus et immunitates, contempseris. Denique non ob genus suum honoribus affecti sunt Harmodius atque Aristogiton, sed ob virtutem suam et fortitudinem, quibus decoribus tu cares, Dicæogene.

VI.

DE PHILOCTEMONIS HEREDITATE.

ARGUMENTUM.

Euctemonis filius Philoctemon filium alterius sororis et Phanostrati Chærestratum adoptans testamento deposito apud Chæream alterius sororis virum, vivo adhuc patre mortuus est: postea vero et illo mortuo Chærestratus lege hereditatem consecutus est. Androcle vero testante non ad illum jure hereditatem spectare, quum Euctemoni superstes esset filius legitimus Antidorus, contra Chærestratus accusavit testem falsi, et dixit et hunc et fratrem ejus esse nothos, legeque sancitum esse utriusque sexus nothis consanguinitatem non esse. Causæ status est conjecturalis: incertum enim an Philoctemon Chærestratum adoptaverit, et rursum incertum an Antidorus legitimus sit.

Familiaritatem mihi summam cum Phanostrato atque Chærestrato hocce esse, judices, plerosque vestrûm nosse autumo. Ignorantibus autem sufficiens dicam documentum: Chræcrestrato enim in Siciliam proficiscente cum classe in qua trierarchum agebat, ego prævidens pericula ibi imminentia, quippe qui jam antea eadem expeditione defunctus essem, tamen rogantibus his navigationis comes calamitatumque consors fui, una cum illis captus ab hostibus. (2) Quocirca futurum sit inconsentaneum me, qui horum in gratiam illa discrimina obissem tam perspicua, quod iis familiariter uterer amicosque ducerem esse, nunc recusare pro iis causam dicere eaque proferre, ex quibus

σθε καὶ τούτοις τὰ δίκαια γενήσεται. Δέομαι οὖν ὑμῶν συγγνώμην τε ἔχειν καὶ μετ' εὐνοίας ἀκροάσασθαι· ὁ γὰρ ἀγὼν οὐ μικρὸς αὐτοῖς, ἀλλὰ περὶ τῶν μεγίστων.

3. Φιλοκτήμων γὰρ ὁ Κηφισιεὺς φίλος ἦν Χαιρεστράτῳ τούτῳ· δοὺς δὲ τὰ ἑαυτοῦ καὶ υἱὸν αὐτὸν ποιησάμενος ἐτελεύτησε. Λαχόντος δὲ τοῦ Χαιρεστράτου κατὰ τὸν νόμον τοῦ κλήρου, ἐξὸν ἀμφισβητῆσαι Ἀθηναίων τῷ βουλομένῳ καὶ εὐθυδικίᾳ εἰσελθόντι εἰς ὑμᾶς, εἰ φαίνοιτο δικαιότερα λέγων, ἔχειν τὸν κλῆρον, (4) διεμαρτύρησεν Ἀνδροκλῆς οὑτοσὶ μὴ ἐπίδικον εἶναι τὸν κλῆρον, ἀποστερῶν τοῦτον τῆς ἀμφισβητήσεως καὶ ὑμᾶς τοῦ κυρίους γενέσθαι ὅντινα δεῖ κληρονόμον καταστήσασθαι τῶν Φιλοκτήμονος· καὶ ἐν μιᾷ ψήφῳ καὶ ἑνὶ ἀγῶνι οἴεται ἀδελφοὺς καταστήσειν ἐκείνῳ τοὺς οὐδὲν προσήκοντας, καὶ τὸν κλῆρον ἀνεπίδικον ἕξειν αὐτός, καὶ τῆς ἀδελφῆς τῆς ἐκείνου κύριος γενήσεσθαι, καὶ τὴν διαθήκην ἄκυρον ποιήσειν. (5) Πολλῶν δὲ καὶ δεινῶν ὄντων ἃ διαμεμαρτύρηκεν Ἀνδροκλῆς, τοῦτ' αὐτὸ πρῶτον ἐπιδείξω ὑμῖν, ὡς διέθετο καὶ ἐποιήσατο υἱὸν τουτονὶ Χαιρέστρατον. Ἐπειδὴ γὰρ τῷ Φιλοκτήμονι ἐκ μὲν τῆς γυναικὸς ᾗ συνῴκει οὐκ ἦν παιδίον οὐδέν, πολέμου δ' ὄντος ἐκινδύνευε καὶ ἱππεὺς στρατευόμενος καὶ τριήραρχος πολλάκις ἐκπλέων, ἔδοξεν αὐτῷ διαθέσθαι τὰ αὑτοῦ, μὴ ἔρημον καταλίπῃ τὸν οἶκον, εἴ τι πάθοι. (6) Τὼ μὲν οὖν ἀδελφὼ αὐτῷ, ὥσπερ ἐγενέσθην, ἄμφω ἄπαιδε ἐτελευτησάτην· ταῖν δὲ ἀδελφαῖν τῇ μὲν ἑτέρᾳ, ᾗ ὁ Χαιρέας συνῴκει, οὐκ ἦν ἄρρεν παιδίον οὐδὲ ἐγένετο πολλὰ ἔτη συνοικούσῃ, ἐκ δὲ τῆς ἑτέρας, ᾗ συνῴκει Φανόστρατος οὑτοσί, ἤστην υἱὼ δύο. Τούτων τὸν πρεσβύτερον τουτονὶ Χαιρέστρατον ἐποιήσατο υἱόν· (7) καὶ ἔγραψεν οὕτως ἐν διαθήκῃ, εἰ μὴ γένοιτο αὐτῷ παιδίον ἐκ τῆς γυναικός, τοῦτον κληρονομεῖν τῶν ἑαυτοῦ. Καὶ τὴν διαθήκην κατέθετο παρὰ τῷ κηδεστῇ Χαιρέᾳ, τῷ τὴν ἑτέραν αὐτοῦ ἀδελφὴν ἔχοντι. Καὶ ὑμῖν ἥ τε διαθήκη αὕτη ἀναγνωσθήσεται καὶ οἱ παραγενόμενοι μαρτυρήσουσι. Καί μοι ἀνάγνωθι.

ΔΙΑΘΗΚΗ. ΜΑΡΤΥΡΕΣ.

8. Ὡς μὲν διέθετο καὶ ἐφ' οἷς ἐποιήσατο υἱὸν τοῦτον, ἀκηκόατε· ὡς δ' ἐξὸν αὐτῷ ταῦτ' ἔπραξεν, ὅθεν δικαιότατα ἡγοῦμαι τὰ τοιαῦτ' εἶναι μανθάνειν, τοῦτον
57 ὑμῖν αὐτὸν παρέξομαι τὸν νόμον. Καί μοι ἀνάγνωθι.

ΝΟΜΟΣ.

9. Οὑτοσὶ ὁ νόμος, ὦ ἄνδρες, κοινὸς ἅπασι κεῖται, ἐξεῖναι τὰ ἑαυτοῦ διαθέσθαι, ἐὰν μὴ παῖδες ὦσι γνήσιοι ἄρρενες, ἐὰν μὴ ἄρα μανεὶς ἢ ὑπὸ γήρως ἢ δι' ἄλλο τι τῶν ἐν τῷ νόμῳ παρανοῶν διαθῆται. Ὅτι δ' οὐδενὶ τούτων ἔνοχος ἦν Φιλοκτήμων, βραχέα εἰπὼν δηλώσω ὑμῖν. Ὅστις γὰρ καὶ ἕως ἔζη τοιοῦτον πολίτην ἑαυτὸν παρεῖχεν, ὥστε διὰ τὸ ὑφ' ὑμῶν τιμᾶσθαι ἄρχειν ἀξιοῦσθαι, καὶ ἐτελεύτησε μαχόμενος τοῖς πολε-

vos sententiam feratis cum jurejurando vestro consentientem et hi jure suo potiantur. Quapropter vos rogo, ut veniam mihi dicturo detis atque secundis auribus me audiatis : certamen enim illis hoc est haud leve, sed summa eorum res agitur.

3. Philoctemon enim Cephisiensis, hoc Chærestrato familiariter utens, bona ei sua legabat eundemque pro filio adoptabat, eoque facto diem supremum obibat. Chærestrato itaque hereditatem ex formula juris petente (quoniam Atheniensium cuique licet de vacuefacta quacunque hereditate certare, et recto judicio utenti, si potiora protulisse visus sit, hereditatem sibi auferre), (4) Androcles hic testimonium interposuit quo hereditatem hanc controversiæ obnoxiam esse negabat; quo effecit ut et hic Chærestratus petitione hereditatis excluderetur et vobis eriperetur jus heredem Philoctemonis ex sententia vestra constituendi; sperat nempe se effecturum unius judicii suffragiis ut Philoctemoni fratres obtrudantur homines ab eo alienissimi, et ut ipse hereditatem sine controversia habeat, item ut Philoctemonis sorore potiatur, et Philoctemonis testamentum irritum reddat. (5) Multa vero quum sint et nefanda omnia quæ Androcles pro testimonio confirmavit, primum hoc demonstrabo, Philoctemonem utique testamentum scripsisse in eoque Chærestratum hunc pro filio adoptasse. Philoctemoni nempe neque uxor pariebat, et bellum tum sæviens perpetua pericula objiciebat alias equestri alias navali militia fungenti; trierarchatum enim sæpenumero gessit : quibus de causis visum ei fuit de bonis suis per testamentum præcipere, ne humani quid passus, desertam domum relinqueret. (6) Fuerat ei quidem par fratrum : verum ambo sine prole decesserant; sororum autem altera Chæreæ nupta prole mascula carebat, tametsi diu penes Chæream fuisset, altera Phanostrato duo mares peperit. Horum natu majorem Chærestratum hunc Philoctemon sibi filium adoptavit; (7) et in testamento hanc scripsit clausulam, nisi uxor sua sibi filium adhuc pareret, velle se ut hic Chærestratus sibi heres esset. Testamentum hoc penes Chæream, alterius sororis maritum, deposuit. Quod testamentum vobis jam recitabitur, atque testes qui scribendo interfuere testabuntur. Recita.

TESTAMENTUM. TESTES.

8. Audistis ergo, judices, Philoctemonem testamentum scripsisse, et quibus conditionibus hunc sibi filium adoptarit : Philoctemoni autem sic agere licuisse uti constet, legem affero, ex qua hæc justissime disci posse arbitror. Tu recita.

LEX.

9. Hæc lex communis omnibus fixa est, judices, præcipiens, nemini non licere de bonis suis constituere, prole mascula carenti, nisi si forte furiosus sit aut præ senio aut per aliam quampiam causam hac in lege indicatam mentis parum sit compos. Quorum omnium vitiorum nulli Philoctemonem fuisse obnoxium, id vero paucis verbis demonstrabo. Civem enim qui se et quoad vixit gesserit eum, ut penes vos in honore esset, dignusque haberetur cui mu-

μίοις, πῶς ἄν τις τοῦτον τολμήσειεν εἰπεῖν ὡς οὐκ εὖ ἐφρόνει;

10 Ὅτι μὲν οὖν διέθετο καὶ ἐποιήσατο εὖ φρονῶν, ἐξὸν αὐτῷ, ἀποδέδεικται ὑμῖν, ὥστε κατὰ μὲν τοῦτο ψευδῆ μεμαρτυρηκὼς Ἀνδροκλῆς ἀποδέδεικται· ἐπειδὴ δὲ προσδιαμεμαρτύρηκεν ὡς υἱὸν εἶναι γνήσιον Εὐκτήμονος τοῦτον, καὶ ταῦτ' ἀποδείξω ψευδῆ ὄντα. Εὐκτήμονι γάρ, ὦ ἄνδρες, τῷ Φιλοκτήμονος πατρί, τοὺς μὲν ὄντως γενομένους παῖδας, Φιλοκτήμονα καὶ Ἐργαμένην καὶ Ἡγήμονα καὶ δύο θυγατέρας, καὶ τὴν μητέρα αὐτῶν, ἣν ἔγημεν ὁ Εὐκτήμων, Μιξιάδου Κηφισιέως θυγατέρα, πάντες οἱ προσήκοντες ἴσασι καὶ οἱ φράτορες καὶ τῶν δημοτῶν οἱ πολλοί, καὶ μαρτυρήσουσιν ὑμῖν· (11) ὅτι δ' ἄλλην τινὰ ἔγημε γυναῖκα, ἐξ ἧστινος οἵδε αὐτῷ ἐγένοντο, οὐδεὶς τὸ παράπαν οἶδεν οὐδ' ἤκουσε πώποτε ζῶντος Εὐκτήμονος. Καίτοι τούτους εἰκὸς πιστοτάτους εἶναι νομίζειν μάρτυρας· τοὺς γὰρ οἰκείους εἰδέναι προσήκει τὰ τοιαῦτα. Καί μοι τούτους κάλει πρῶτον, καὶ τὰς μαρτυρίας ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

12. Ἔτι τοίνυν καὶ τοὺς ἀντιδίκους ἐπιδείξω ἔργῳ ὑμῖν ταῦτα μεμαρτυρηκότας. Ὅτε γὰρ αἱ ἀνακρίσεις ἦσαν πρὸς τῷ ἄρχοντι καὶ οὗτοι παρακατέβαλον ὡς ὑπὲρ γνησίων τῶνδ' Εὐκτήμονος ὄντων, ἐρωτώμενοι ὑφ' ἡμῶν τίς εἴη αὐτῶν μήτηρ καὶ ὅτου θυγάτηρ οὐκ εἶχον ἀποδεῖξαι, διαμαρτυρομένων ἡμῶν καὶ τοῦ ἄρχοντος κελεύοντος ἀποκρίνασθαι κατὰ τὸν νόμον . . . . ὦ ἄνδρες, ἀμφισβητεῖν μὲν ὡς ὑπὲρ γνησίων καὶ διαμαρτυρεῖν, μητέρα δὲ ἥτις ἦν μὴ ἔχειν ἀποδεῖξαι, μηδὲ προσήκοντα αὐτοῖς μηδένα. (13) Ἀλλὰ τότε μὲν Λημνίαν σκηψάμενοι ταύτην ἀναβολὴν ἐποιήσαντο· τὸ δ' ὕστερον ἥκοντες εἰς τὴν ἀνάκρισιν, πρὶν καί τινα ἐρέσθαι, εὐθὺς ἔλεγον ὅτι Καλλίππη μήτηρ, αὕτη δ' εἴη Πιστοξένου θυγάτηρ, ὡς ἐξαρκέσον εἰ ὄνομα μόνον πορίσαιντο τὸν Πιστόξενον. Ἐρομένων δ' ἡμῶν ὅστις εἴη καὶ εἰ ζῇ ἢ μή, ἐν Σικελίᾳ ἔφασαν ἀποθανεῖν στρατευόμενον, καταλιπόντα ταύτην θυγατέρα παρὰ τῷ Εὐκτήμονι, ἐξ ἐπιτροπευομένης δὲ τούτῳ γενέσθαι, πρᾶγμα πλάττοντες ἀναιδείᾳ ὑπερβάλλον καὶ οὐδ' ἐγγενόμενον, ὡς ἐγὼ ὑμῖν ἀποφανῶ ἐκ τούτων πρῶτον ὧν αὐτοὶ ἀπεκρίναντο. (14) Τῇ μὲν γὰρ στρατιᾷ, ἀφ' οὗ ἐξέπλευσεν εἰς Σικελίαν, ἤδη ἐστὶ δύο καὶ πεντήκοντα ἔτη, ἀπὸ Ἀριμνήστου ἄρχοντος, τῷ δὲ πρεσβυτέρῳ τούτων, ὧν φασιν ἐκ τῆς Καλλίππης καὶ τοῦ Εὐκτήμονος εἶναι, οὔπω ὑπὲρ εἴκοσιν ἔτη. Ἀφελόντι οὖν ταῦτα ἀπὸ τῶν ἐν Σικελίᾳ ὑπολείπεται πλείω ἢ τριάκοντα ἔτη· ὥστ' οὔτ' ἐπιτροπεύεσθαι προσῆκε τὴν Καλλίππην ἔτι, τριακοντοῦτίν γε οὖσαν, οὔτε ἀνέκδοτον καὶ ἄπαιδα εἶναι, ἀλλὰ πάνυ πάλαι συνοικεῖν, ἢ ἐγγυηθεῖσαν κατὰ νόμον ἢ ἐπιδικασθεῖσαν. (15) Ἔτι δὲ καὶ γινώσκεσθαι αὐτὴν ὑπὸ τῶν Εὐκτήμονος οἰκείων ἀναγκαῖον ἦν καὶ ὑπὸ τῶν οἰκετῶν, εἴ πέρ γε συνῴκησεν ἐκείνῳ ἢ διῃτήθη τοσοῦτον χρόνον ἐν τῇ οἰκίᾳ.

nera publica mandaretis, et qui pugnans pro patria occubuerit, ecquis ei negabit mentem constitisse?

10. Mentis ergo qui compos esset, ei licuisse testamentum scribere filiumque adoptare, planum vobis factum est; unde constat, hactenus certe Androclem falsa testatum esse: verum hoc quoque falsi arguam, quod idem addit hunc Euctemonis genuinum esse filium. Euctemoni enim, patri Philoctemonis, præter Philoctemonem et Ergamenem et Hegemonem duasque filias, legitima ex uxore susceptos, filia Mixiadis Cephisiensis, alios nullos fuisse liberos, norunt cognati omnes atque phratores et demotarum plerique, iidemque vobis id testimoniis suis confirmabunt: (11) aliam autem illi fuisse uxorem, unde hosce [quos Androcles subjectum it] susceperit, nemo est qui aut norit aut fando unquam inaudierit Euctemone adhuc superstite. Atqui testes hi sunt, quos consentaneum sit omnium esse fidissimos: cognatos enim hujusmodi res scire par est. Hos tu mihi primo loco cita, et horum testimonia recita.

TESTIMONIA.

12. Verum ipsos quoque vobis præstabo adversarios hæc eadem reapse comprobantes. Nam in examine coram archonte habito, quum hi sacramentum deposuissent super his tanquam genuinis Euctemonis filiis et nos interrogassemus eos quænam esset horum mater et cujus filia, docere non poterant, tametsi et contestatione nostra urgerentur, et archon ipsis injungeret ad interrogata ut responderent prout lex fieri juberet. *At quomodo*, judices, pro aliis veluti pro liberis genuinis aliquis in jure contendat, et obnuntiationem interponat, si idem tamen neque quæ his insititiis mater fuerit docere habeat, neque ullum cum ea cognatum edere? (13) Sed tum quidem prætexendo mulierem esse Lemniam moram aliquam injiciebant: postmodum autem ad examen quum convenissent, vel prius etiam quam interrogarentur, statim aiebant, Callippen eorum matrem esse, Pistoxeni filiam, id solum existimantes sufficere, nomen unum aliquod edi nescio cujus Pistoxeni. Qui cujas fuisset quærentibus nobis et num in vivis adhuc superesset, in Sicilia eum aiebant occubuisse in castris, relicta hac filia apud Euctemonem ejus tutorem, et ex ea illi hosce duos pueros natos fuisse, facinus fingentes impudentissimum et vel a specie veri abhorrens, uti planum faciemus primum ex ipsis horum responsionibus in scrutinio editis. (14) Nam ex illa Sicula expeditione sive ab Arimnesto archonte duo et quinquaginta anni effluxere; natu vero maximus horum, quos ab Euctemone ex illa Callippe procreatos perhibent, ætatis annum vigesimum nondum excessit. Detractis igitur his viginti annis ab illius Siculæ expeditionis tempestate, remanent plus quam triginta anni: atqui Callippen, ætatis annum trigesimum jam egressam, adhuc in Euctemonis tutela fuisse, nondum elocatam nondumque matrem factam, credibile non est, sed potius eam in manu mariti jam dudum ante fuisse, sive ex lege a necessariis vel tutore elocatam, sive a judicibus alicui adjudicatam. (15) Præterea Callippen hanc necesse est ut Euctemonis necessarii famulique norint, si quidem uxor ei fuerit, aut certe tam

Τὰ γὰρ τοιαῦτα οὐκ εἰς τὴν ἀνάκρισιν μόνον δεῖ πορίζεσθαι ὀνόματα, ἀλλὰ τῇ ἀληθείᾳ γεγονότα φαίνεσθαι καὶ ὑπὸ τῶν προσηκόντων καταμαρτυρεῖσθαι. (16) Ἀποδεῖξαι τοίνυν ἡμῶν κελευόντων ὅστις οἶδε τῶν Εὐκτήμονος οἰκείων ἢ συνοικήσασαν ἐκείνῳ τινὰ ἢ τὴν Καλλίππην ἐπιτροπευομένην, καὶ παρὰ τῶν ὄντων θεραπόντων τὸν ἔλεγχον ποιεῖσθαι, ἢ εἴ τις τῶν παρ' αὐτοῖς οἰκετῶν φάσκει ταῦτα εἰδέναι, ἡμῖν παραδοῦ-
58 ναι, οὔτε λαβεῖν ἠθέλησαν οὔθ' ἡμῖν παραδοῦναι. Καί μοι λαβὲ τήν τ' ἀπόκρισιν αὐτῶν καὶ τὰς ἡμετέρας μαρτυρίας καὶ προκλήσεις.

diu in domo ejus versata sit. Non enim sufficit nomina solummodo in confrontationibus temere jactari, sed etiam rebus ipsis eorum veritas patefacienda est, hoc est, testimoniis necessariorum. (16) Jam vero nobis demonstrari jubentibus aliquem ex Euctemonis necessariis, qui Callippen quandam sive pro uxore sive pro pupilla in domo Euctemonis versatam nosset; atque de omnibus nostris servis ab adversariis quæstionem haberi, vel si quis adversariorum famulus ista se nosse aiat, eum nobis tradi : illi neque accipere a nobis servos neque nobis tradere voluerunt. Cape tu istorum responsiones et testimonia de provocationibus nostris.

ΑΠΟΚΡΙΣΙΣ. ΜΑΡΤΥΡΙΑΙ. ΠΡΟΚΛΗΣΕΙΣ.

RESPONSIO. TESTIMONIUM. PROVOCATIO.

17. Οὗτοι μὲν τοίνυν τοιοῦτο πρᾶγμα ἔφυγον· ἐγὼ δ' ὑμῖν ἐπιδείξω καὶ ὅθεν εἰσὶ καὶ οἵτινες αὐτοὺς γνησίους διεμαρτύρησαν εἶναι καὶ κληρονόμους ζητοῦσι καταστῆσαι τῶν Εὐκτήμονος. Ἴσως μέν ἐστιν ἀηδὲς Φανοστράτῳ, ὦ ἄνδρες, τὰς Εὐκτήμονος συμφορὰς φανερὰς καθεστάναι· ὀλίγα δ' ἀναγκαῖον ῥηθῆναι, ἵν' ὑμεῖς τὴν ἀλήθειαν εἰδότες ῥᾶον τὰ δίκαια ψηφίσησθε. (18) Εὐκτήμων μὲν γὰρ ἐβίω ἔτη ἓξ καὶ ἐνενήκοντα, τούτου δὲ τοῦ χρόνου τὸν μὲν πλεῖστον ἐδόκει εὐδαίμων εἶναι (καὶ γὰρ οὐσία ἦν οὐκ ὀλίγη αὐτῷ καὶ παῖδες καὶ γυνή, καὶ τἆλλ' ἐπιεικῶς εὐτύχει), ἐπὶ γήρως δὲ αὐτῷ συμφορὰ ἐγένετο οὐ μικρά, ἣ ἐκείνου πᾶσαν τὴν οἰκίαν ἐλυμήνατο καὶ χρήματα πολλὰ διώλεσε καὶ αὐτὸν τοῖς οἰκειοτάτοις εἰς διαφορὰν κατέστησεν. (19) Ὅθεν δὲ καὶ ὅπως ταῦτ' ἐγένετο, ὡς ἂν δύνωμαι διὰ βραχυτάτων δηλώσω. Ἀπελευθέρα ἦν αὐτοῦ, ὦ ἄνδρες, ἣ ἐναυκλήρει συνοικίαν ἐν Πειραιεῖ αὐτοῦ καὶ παιδίσκας ἔτρεφε. Τούτων μίαν ἐκτήσατο ᾗ ὄνομα ἦν Ἀλκή, ἣν καὶ ὑμῶν οἶμαι πολλοὺς εἰδέναι. Αὕτη δὲ ἡ Ἀλκὴ ὠνηθεῖσα πολλὰ μὲν ἔτη καθῆστο ἐν οἰκήματι, ἤδη δὲ πρεσβυτέρα οὖσα ἀπὸ μὲν τοῦ οἰκήματος ἀνίσταται, (20) διαιτωμένη δὲ αὐτῇ ἐν τῇ συνοικίᾳ συνῆν ἄνθρωπος ἀπελεύθερος, Δίων ὄνομα αὐτῷ, ἐξ οὗ ἔφη ἐκείνη τούτους γεγονέναι· καὶ ἔθρεψεν αὐτοὺς ὁ Δίων ὡς ὄντας ἑαυτοῦ. Χρόνῳ δὲ ὕστερον ὁ μὲν Δίων ζημίαν εἰργασμένος καὶ δείσας ὑπὲρ αὑτοῦ ὑπεχώρησεν εἰς Σικυῶνα· τὴν δ' ἄνθρωπον ταύτην, τὴν Ἀλκήν, καθίστησιν Εὐκτήμων ἐπιμελεῖσθαι τῆς ἐν Κεραμεικῷ συνοικίας, τῆς παρὰ τὴν πυλίδα, οὗ ὁ οἶνος ὤνιος. (21) Κατοικισθεῖσα δ' ἐνταυθοῖ πολλῶν καὶ κακῶν ἦρξεν, ὦ ἄνδρες. Φοιτῶν γὰρ ὁ Εὐκτήμων ἐπὶ τὸ ἐνοίκιον ἑκάστοτε τὰ πολλὰ διέτριβεν ἐν τῇ συνοικίᾳ, ἐνίοτε δὲ καὶ ἐσιτεῖτο μετὰ τῆς ἀνθρώπου, καταλιπὼν καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας καὶ τὴν οἰκίαν ἣν ᾤκει. Χαλεπῶς δὲ φερούσης τῆς γυναικὸς καὶ τῶν υἱέων οὐχ ὅπως ἐπαύσατο, ἀλλὰ τελευτῶν παντελῶς διῃτᾶτο ἐκεῖ, καὶ οὕτω διετέθη εἴθ' ὑπὸ φαρμάκων εἴθ' ὑπὸ νόσου εἴθ' ὑπ' ἄλλου τινός, ὥστε ἐπείσθη ὑπ' αὐτῆς τὸν πρεσβύτερον τοῖν παίδοιν εἰσαγαγεῖν εἰς τοὺς φράτορας ἐπὶ τῷ αὑτοῦ ὀνόματι. (22) Ἐπειδὴ δὲ οὔθ' ὁ υἱὸς αὐτῷ Φιλοκτήμων συνεχώ-

17. Rem ergo tam gravem hi quidem defugerunt; ego verò demonstrabo vobis, et unde hi sint pueri et quinam isti qui interponenda obnuntiatione testati sunt eos genuinos Euctemonis liberos esse, quo student eos in Euctemonis hereditatem immittere. Phanostrato quidem nescio an insuave sit Euctemonis ulcera denudari : necesse vero est pauca quædam aperiri, quo vos rei gestæ certiores facti hoc facilius justa decernatis. (18) Vixit annos nonaginta sex; temporis hujus per partem potissimam visus fuit beatus esse (nam et fortunæ erant haud contemnendæ et uxor et liberi et res reliquæ pariter sic satis secundæ), verum seni jam infortunium haud mediocre obtigit, quod universam illius domum corrupit opumque magnam vim pessumdedit ipsumque in apertum cum necessariis dissidium conjecit. (19) Quæ unde nata et qui sint, paucissimis declarabo. Erat Euctemoni, judices, liberta, quæ insulæ Euctemonis in Piræeo erat præposita, et puellas alebat meretrices, inter easque unam Alcen dictam, quam vestrûm quoque complures, ni fallor, norunt. Hæc Alce in foro empta multos per annos in cella prostitit, tandem vero marcescentibus annis e lupanari excessit : (20) mulieri igitur isti in insula hac versanti consuescebat Dio quidam, homo libertus, e quo ista Alce se aiebat hosce liberos peperisse; et Dio quoque pro suis eos alebat. Tempore autem post idem Dio, quum noxiam commeruisset, sibi metuens Athenis Sicyonem secessit : quo facto Euctemon Alcen illam gubernatricem constituit insulæ in Ceramico prope portulam sitæ ubi vinum venumdatur. (21) Illam igitur in domum immissa, judices, multorum sane malorum principium dedit. Euctemon enim sæpius illuc itans sub prætextu locarii tollendi, plurimum temporis in illa insula versabatur; sæpe quoque illa cum muliere cibum capiebat, relictis uxore liberisque domoque in qua ipse habitabat. Quod ægre ferentibus uxore liberisque, tantum abest ut Euctemon a muliere hac se abstineret, ut ad extremum domicilium prorsus ad eam transferret et sive philtro sive furore sive alio casu dementabatur ita, ut rogatu mulieris alterum liberorum ejus in phratoras suos induceret, addens ei suum nomen. (22) Quoniam autem neque filius ejus Philoctemon ei concedebat neque phratores admittebant, sed sacri-

ρει οὐθ' οἱ φράτορες εἰσεδέξαντο, ἀλλ' ἀπηνέχθη τὸ κούρειον, ὀργιζόμενος ὁ Εὐκτήμων τῷ υἱεῖ καὶ ἐπηρεάζειν βουλόμενος ἐγγυᾶται γυναῖκα Δημοκράτους τοῦ Ἀφιδναίου ἀδελφήν, ὡς ἐκ ταύτης παῖδας ἀποφανῶν καὶ εἰσποιήσων εἰς τὸν οἶκον, εἰ μὴ συγχωροίη τοῦτον εἰσαχθῆναι. (23) Εἰδότες δ' οἱ ἀναγκαῖοι ὅτι ἐξ ἐκείνου μὲν οὐκ ἂν ἔτι γένοιντο παῖδες ταύτην τὴν ἡλικίαν ἔχοντος, φανήσοιντο δ' ἄλλῳ τινὶ τρόπῳ, καὶ ἐκ τούτων ἔσοιντο ἔτι μείζους διαφοραί, ἔπειθον, ὦ ἄνδρες, τὸν Φιλοκτήμονα ἐᾶσαι εἰσαγαγεῖν τοῦτον τὸν παῖδα ἐφ' οἷς ἐζήτει ὁ Εὐκτήμων, χωρίον ἓν δόντα. (24) Καὶ ὁ Φιλοκτήμων αἰσχυνόμενος μὲν ἐπὶ τῇ τοῦ πατρὸς ἀνοίᾳ, ἀπορῶν δ' ὅ τι χρήσαιτο τῷ παρόντι κακῷ, οὐκ ἀντέλεγεν οὐδέν. Ὁμολογηθέντων δὲ τούτων, καὶ εἰσαχθέντος τοῦ παιδὸς ἐπὶ τούτοις, ἀπηλλάγη τῆς γυναικὸς ὁ Εὐκτήμων, καὶ ἐπεδείξατο ὅτι οὐ παίδων ἕνεκα ἐγάμει, ἀλλ' ἵνα τοῦτον εἰσαγάγοι. (25) Τί γὰρ ἔδει αὐτὸν γαμεῖν, ὦ Ἀνδρόκλεις, εἴπερ οἵδε ἦσαν ἐξ αὐτοῦ καὶ γυναικὸς ἀστῆς, ὡς σὺ μεμαρτύρηκας; Τίς γὰρ ἂν γνησίους ὄντας οἷός τε ἦν κωλῦσαι εἰσαγαγεῖν; ἢ διὰ τί ἐπὶ ῥητοῖς αὐτὸν εἰσήγαγε, τοῦ νόμου κελεύοντος ἅπαντας τοὺς γνησίους ἰσομοίρους εἶναι τῶν πατρῴων; (26) ἢ διὰ τί τὸν μὲν πρεσβύτερον τοῖν παίδοιν ἐπὶ ῥητοῖς εἰσήγαγε, τοῦ δὲ νεωτέρου ἤδη
59 γεγονότος οὐδὲ λόγον ἐποιεῖτο ζῶντος Φιλοκτήμονος οὔτε πρὸς αὐτὸν ἐκεῖνον οὔτε πρὸς τοὺς οἰκείους; οὓς σὺ νῦν διαρρήδην μεμαρτύρηκας γνησίους εἶναι καὶ κληρονόμους τῶν Εὐκτήμονος. Ταῦτα τοίνυν ὡς ἀληθῆ λέγω, ἀναγίνωσκε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

27. Μετὰ ταῦτα τοίνυν ὁ Φιλοκτήμων τριηραρχῶν περὶ Χίον ἀποθνήσκει ὑπὸ τῶν πολεμίων· ὁ δ' Εὐκτήμων ὕστερον χρόνῳ πρὸς τοὺς κηδεστὰς εἶπεν ὅτι βούλοιτο τὰ πρὸς τὸν υἱόν οἱ πεπραγμένα γράψας καταθέσθαι. Καὶ ὁ μὲν Φανόστρατος ἐκπλεῖν ἔμελλε τριηραρχῶν μετὰ Τιμοθέου, καὶ ἡ ναῦς αὐτῷ ἐξώρμει Μουνυχίασι, καὶ ὁ κηδεστὴς Χαιρέας παρὼν συναπέστελλεν αὐτόν· ὁ δ' Εὐκτήμων παραλαβών τινας ἧκεν οὗ ἐξώρμει ἡ ναῦς, καὶ γράψας διαθήκην, ἐφ' οἷς εἰσήγαγε τὸν παῖδα, κατατίθεται μετὰ τούτων παρὰ Πυθοδώρῳ Κηφισιεῖ, προσήκοντι αὐτῷ. (28) Καὶ ὅτι μέν, ὦ ἄνδρες, οὐχ ὡς περὶ γνησίων ἔπραττεν Εὐκτήμων, ὃ Ἀνδροκλῆς μεμαρτύρηκε, καὶ αὐτὸ τοῦτο ἱκανὸν τεκμήριον· τοῖς γὰρ φύσει υἱέσιν αὐτοῦ οὐδεὶς οὐδενὶ ἐν διαθήκῃ γράφει δόσιν οὐδεμίαν, διότι ὁ νόμος αὐτὸς ἀποδίδωσι τῷ υἱεῖ τὰ τοῦ πατρὸς καὶ οὐδὲ διαθέσθαι ἐᾷ ὅτῳ ἂν ὦσι παῖδες γνήσιοι. (29) Κειμένου δὲ τοῦ γραμματείου σχεδὸν δύ' ἔτη καὶ τοῦ Χαιρέου τετελευτηκότος, ὑποπεπτωκότες οἵδε τῇ ἀνθρώπῳ, καὶ ὁρῶντες ἀπολλύμενον τὸν οἶκον καὶ τὸ γῆρας καὶ τὴν ἄνοιαν τοῦ Εὐκτήμονος, ὅτι εἴη αὐτοῖς ἱκανὴ ἀφορμή, συνεπιτίθενται. (30) Καὶ πρῶτον μὲν πείθουσι τὸν Εὐκτήμονα τὴν μὲν διαθήκην ἀνελεῖν ὡς οὐ χρη-

ficium pro pueri receptione oblatum repudiabant, ira adversus filium Philoctemonem incensus eique ægre facere ardens desponderi sibi volebat Democratis Aphidnæi sororem, hoc agitans ut liberos ab illa muliere procreatos perhiberet et in bona sua immitteret, si Philoctemon concedere nollet ut hunc in phratoras induceret. (23) Necessarii itaque bene gnari, ab ipso quidem illuc ætatis provecto prolem non esse exspectandam, sed verendum esse ne alio quopiam modo liberi prodirent, ex eaque re multo majus exstiturum esse dissidium, persuadebant, o judices, Philoctemoni, ut sineret a patre puerum hunc in phratoras induci conditionibus iis quæ Euctemoni placerent, hoc est, cum uno addito agello. (24) Philoctemon itaque, tametsi eum patris stultitiæ pnderet, nullam tamen cernens rationem ex hac difficultate sese expediendi, cedens nil repugnavit. Pactis igitur conventis, pueroque in phratoras inducto, ab uxoris ducendæ consilio jam destitit Euctemon; quo facto planum faciebat, de uxore ducenda non eo se cogitare cœpisse quo liberos ex ea quæreret, sed quo hunc puerum in phratoras induceret. (25) Ecquid enim oportebat eum uxorem ducere, Androcle, si hi pueri, uti tu testatus es, ex ipso et e muliere quæ civis Attica esset, nati erant? Ecquis enim impedire potuisset quominus eos, si vere ingenui fuissent, in phratoras induceret? aut cur sub certis conditionibus hunc in phratoras induxisset, lege edicente ut liberi omnes rite nati æquali jure in herciscundo patrimonio gaudeant? (26) aut cur seniorem quidem horum duûm puerorum sub conditionibus induxisset, minoris autem nullam prorsus mentionem fecisset, donec Philoctemon superfuit, neque ad ipsum Philoctemonem neque ad reliquos necessarios? quum tu tamen diserto testimonio affirmasti hos ambos genuinos Euctemonis liberos atque heredes esse. Vera hæc a me dici quo constet, recita tu hæc testimonia.

TESTIMONIA.

27. Secundum hæc gesta Philoctemon trierarchatu fungens in pugna navali apud Chium cecidit ab hostibus interemptus. Aliquanto post Euctemon ad generos professus est, se velle pacta in quæ sibi cum filio convenisset tabularum monumentis consignata deponere. Et Phanostratus quidem trierarchi munere tum fungens in procinctu stabat cum Timotheo e portu solvendi, et jam navis in ancoris ei stabat ad Munychiam; alter autem gener Chæreas Phanostratum ad portum deduxerat. Illuc ergo ubi navis stabat Euctemon veniebat, secum habens amicos quosdam ascitos; et quum testamenti tabulis consignasset, quibus conditionibus puerum in phratoras induxisset, una cum his deponit tabulas apud Pythodorum Cephisiensem agnatum suum. (28) Hæc, quæ egit Euctemon, eum non egisse tanquam pro filiis genuinis, et Androcles testatus est, judices, et hoc ipsum satis est testimonium: nemo enim liberis genuinis quicquam per testamentum legat, quia jus civile filio patris bona delegat, patremque cui liberi genuini sint non sinit per testamentum constituere. (29) Tabulæ illæ quum per biennium fere jacuissent et interim Chæreas vita excessisset, Androcles ejusque consortes quum apud Alcen blandiendo se insinuassent, cernerentque substantiam Euctemonis jam pessum euntem et in senio atque vecordia delirantis egregiam sibi datam opportunitatem furandi, uua cum femina parant insidias. (30) Et primum quidem eum impellunt ut testamentum tolleret,

σίμην οὖσαν τοῖς παισί· τῆς γὰρ φανερᾶς οὐσίας οὐδένα κύριον ἔσεσθαι τελευτήσαντος Εὐκτήμονος ἄλλον ἢ τὰς θυγατέρας καὶ τοὺς ἐκ τούτων γεγονότας· εἰ δὲ ἀποδόμενός τι τῶν ὄντων ἀργύριον καταλίποι, τοῦτο βεβαίως ἕξειν αὐτούς. (31) Ἀκούσας δ' ὁ Εὐκτήμων, εὐθὺς ἀπῄτει τὸν Πυθόδωρον τὸ γραμματεῖον, καὶ προσεκαλέσατο εἰς ἐμφανῶν κατάστασιν. Καταστάντος δὲ ἐκείνου πρὸς τὸν ἄρχοντα, ἔλεγεν ὅτι βούλοιτ' ἀνελέσθαι τὴν διαθήκην. (32) Ἐπειδὴ δ' ὁ Πυθόδωρος ἐκείνῳ μὲν καὶ τῷ Φανοστράτῳ παρόντι ὡμολόγει ἀναιρεῖν, τοῦ δὲ Χαιρέου τοῦ συγκαταθεμένου θυγάτηρ ἦν μία, ἧς ἐπειδὴ κύριος κατασταίη, τότε ἠξίου ἀνελεῖν, καὶ ὁ ἄρχων οὕτως ἐγίνωσκε, διομολογησάμενος ὁ Εὐκτήμων ἐναντίον τοῦ ἄρχοντος καὶ τῶν παρέδρων καὶ ποιησάμενος πολλοὺς μάρτυρας ὡς οὐκέτ' αὐτῷ κέοιτο ἡ διαθήκη, ᾤχετο ἀπιών. (33) Καὶ ἐν πάνυ ὀλίγῳ χρόνῳ, οὗπερ ἕνεκα οὗτοι λῦσαι αὐτὸν ἔπεισαν, ἀποδίδοται ἀγρὸν μὲν Ἀθμονοῖ πέντε καὶ ἑβδομήκοντα μνῶν Ἀντιφάνει, τὸ δ' ἐν Σηραγγίῳ βαλανεῖον τρισχιλίων Ἀριστολόχῳ· οἰκίαν δὲ ἐν ἄστει τεττάρων καὶ τεσσαράκοντα μνῶν ὑποκειμένην ἀπέλυσε τῷ ἱεροφάντῃ. Ἔτι δὲ αἶγας ἀπέδοτο σὺν τῷ αἰπόλῳ τριῶν καὶ δέκα μνῶν, καὶ ζεύγη δύο ὀρικά, τὸ μὲν ὀκτὼ μνῶν, τὸ δὲ πεντήκοντα καὶ πεντακοσίων δραχμῶν, καὶ δημιουργοὺς ὅσοι ἦσαν αὐτῷ. (34) Σύμπαντα δὲ πλείονος ἢ τριῶν ταλάντων, ἃ ἐπράθη διὰ ταχέων πάνυ τελευτήσαντος Φιλοκτήμονος. Καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, καθ' ἕκαστον ὑμῖν τῶν εἰρημένων πρῶτον καλῶ τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

35 Ταῦτα μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε· περὶ δὲ τῶν ὑπολοίπων εὐθὺς ἐπεβούλευον, καὶ πάντων δεινότατον πρᾶγμα κατεσκεύασαν, ᾧ ἄξιόν ἐστι προσέχειν τὸν νοῦν. Ὁρῶντες γὰρ τὸν Εὐκτήμονα κομιδῇ ἀπειρηκότα ὑπὸ γήρως καὶ οὐδ' ἐκ τῆς κλίνης ἀνίστασθαι δυνάμενον, ἐσκόπουν ὅπως καὶ τελευτήσαντος ἐκείνου δι' αὐτῶν ἔσοιτο ἡ οὐσία. (36) Καὶ τί ποιοῦσιν; ἀπογράφουσι τὼ παῖδε τούτω πρὸς τὸν ἄρχοντα ὡς εἰσποιήτω τοῖς τοῦ Εὐκτήμονος υἱέσι τοῖς τετελευτηκόσιν, ἐπιγράψαντες σφᾶς αὐτοὺς ἐπιτρόπους, καὶ μισθοῦν ἐκέλευον τὸν ἄρχοντα τοὺς οἴκους ὡς ὀρφανῶν ὄντων, ὅπως ἐπὶ τοῖς τούτων ὀνόμασι τὰ μὲν μισθωθείη τῆς οὐσίας, τὰ δὲ ἀποτιμήματα κατασταθείη καὶ ὅροι τεθεῖεν ζῶντος ἔτι τοῦ Εὐκτήμονος, μισθωταὶ δὲ αὐτοὶ γενόμενοι τὰς προσόδους λαμβάνοιεν. (37) Καὶ ἐπειδὴ πρῶτον τὰ δικαστήρια ἐπληρώθη, ὁ μὲν ἄρχων προεκήρυττεν, οἱ δ' ἐμισθοῦντο. Παραγενόμενοι δέ τινες ἐξαγγέλλουσι τοῖς οἰκείοις τὴν ἐπιβουλήν, καὶ ἐλθόντες ἐδήλωσαν τὸ πρᾶγμα τοῖς δικασταῖς, καὶ οὕτως ἀπεχειροτόνησαν οἱ δικασταὶ μὴ μισθοῦν τοὺς οἴκους· εἰ δ' ἔλαθεν, ἀπολώλει ἂν ἅπασα ἡ οὐσία. Καί μοι κάλει τοὺς παραγενομένους μάρτυρας.

quippe quod e re puerorum haud esset; quoniam ipso, Euctemone, defuncto bonorum immobilium nemo alius sit potiturus quam filiæ ipsius earumque liberi : fundorum autem si quid venderet, redactam inde pecuniam sine controversia certam pueris esse mansuram. (31) Euctemon hac oratione motus, statim tabulas testamenti a Pythodoro repoposcit, provocans ut tabulas ejus in medium proferret. Stante itaque Pythodoro coram archonte, aiebat Euctemon velle testamentum a se scriptum tollere. (32) Quoniam vero Pythodorus dicebat quantum quidem ad Euctemonem et Phanostratum in judicio præsentem attineret, se non intercedere quominus pacta tollerentur, quantum vero ad Chæreæ, qui una cum Euctemone pactionem deposuisset, filiam attineret, tum demum quum tutor ejus constitutus esset, pacta tolli posse, atque eadem archontis sententia erat : Euctemon coram archonte ejusque assessoribus multisque testibus professionem sibi dari curavit, quod ipse pactione haud amplius teneretur, eoque facto abiit. (33) Nec multo post fecit id cujus causa isti eum ad abrogationem illam impulerant. Vendidit nempe fundum Athmonensem Antiphani, quinque et septuaginta minis, balneum vero in Serangio triginta minis Antilocho, domum vero in urbe pro quattuor et quadraginta minis sibi obligatam a debitore hierophanta, accepta pecunia liberavit. Prætereaque gregem caprarum ipso cum caprario tredecim minis vendidit, et duas bigas mulares, alteras octo, alteras quinque minis et semisse, opifices item quotquot illi erant omnes. (34) Unde summam æris redigebat plus quam tria talenta. Vendita ista sunt perquam cito post obitum Philoctemonis. Quo autem vobis constet, judices, horum quæ dixi singula quæque vere a me dicta esse, primum cito testes.

TESTES.

35. Sic ista quidem ita habebant : ut autem reliquis potirentur statim incipiebant machinari, et rem inter se comparabant omnium fœdissimam, cui vos par est animum attendere. Cernentes enim Euctemonem præ senio ita prorsus enervatum ut ne lecto quidem resurgere posset, meditabantur quomodo etiam post obitum ejus facultates in potestate sua futuræ essent. (36) Quid ergo instituunt? Deferunt horum duûm puerorum nomina ad archontem velut adoptatorum a duobus Euctemonis filiis jam defunctis ; et, quia semet ipsi tutores puerorum ferebant, archonti mandabant ut substantiam puerorum velut orborum proscriberet elocabilem, quo sub puerorum nomine bonorum alia mercedem meritura elocarentur, alia tanquam hypothecæ constituerentur, palique figerentur, quibus designantur bona in hypothecam data, Euctemone adhuc superstite, ipsi vero conductores per eum facti, vectigalia bonorum perciperent. (37) Et quum primum tribunalia complebantur, archon bona ut elocabilia promulgabat, hi vero conductores se profitebantur. Verum eveniebat fortuito ut aliqui, qui licitationi huic interessent, ad necessarios Euctemonis hac de fraude ipsis parata renuntiarent ; hi ergo accurrentes indicabant judicibus totum negotium : quo facto judices elocationem bonorum reprehendebant ; quod si occultum mansisset, tota illis substantia funditus periisset. Cita testes, qui rei gestæ de qua modo exposui interfuerunt.

ΜΑΡΤΥΡΕΣ.

38. Πρὶν μὲν τοίνυν τούτους γνωρίσαι τὴν ἄνθρωπον καὶ μετ' ἐκείνης ἐπιβουλεῦσαι Εὐκτήμονι, οὕτω πολλὴν οὐσίαν ἐκέκτητο Εὐκτήμων μετὰ τοῦ υἱέος Φιλοκτήμονος, ὥστε ἅμα τε τὰ μέγιστα ὑμῖν λειτουργεῖν ἀμφοτέρους τῶν τε ἀρχαίων μηδὲν πραθῆναι τῶν τε προσόδων περιποιεῖν, ὥστε ἀεί τι προσκτᾶσθαι· ἐπειδὴ δ' ἐτελεύτησε Φιλοκτήμων, οὕτω διετέθη ἡ οὐσία, ὥστε τῶν ἀρχαίων μηδὲ τὰ ἡμίσεα εἶναι λοιπὰ καὶ τὰς προσόδους ἁπάσας ἠφανίσθαι. (39) Καὶ οὐδὲ ταῦτα ἐξήρκεσεν αὐτοῖς διαφορῆσαι, ὦ ἄνδρες, ἀλλ' ἐπειδὴ καὶ ἐτελεύτησεν ὁ Εὐκτήμων, εἰς τοῦτο ἦλθον τόλμης ὥστ' ἐκείνου κειμένου ἔνδον τοὺς μὲν οἰκέτας ἐφύλαττον, ὅπως μηδεὶς ἐξαγγείλειε μήτε ταῖν θυγατέροιν μήτε τῇ γυναικὶ αὐτοῦ μήτε τῶν οἰκείων μηδενί, τὰ δὲ χρήματα ἔνδοθεν ἐξεφορήσαντο μετὰ τῆς ἀνθρώπου εἰς τὴν ὁμότοιχον οἰκίαν, ἣν ᾤκει μεμισθωμένος εἷς τούτων, Ἀντίδωρος ἐκεῖνος. (40) Καὶ οὐδ' ἐπειδὴ ἑτέρων πυθόμεναι ἦλθον αἱ θυγατέρες αὐτοῦ καὶ ἡ γυνή, οὐδὲ τότε ἠφίουν εἰσιέναι, ἀλλ' ἀπέκλεισαν τὴν θύραν, φάσκοντες οὐ προσήκειν αὐταῖς θάπτειν Εὐκτήμονα· καὶ οὐδ' εἰσελθεῖν ἐδύναντο, εἰ μὴ μόλις καὶ περὶ ἡλίου δυσμάς. (41) Εἰσελθοῦσαι δὲ κατέλαβον ἐκεῖνον μὲν ἔνδον κείμενον δευτεραῖον, ὡς ἔφασαν οἱ οἰκέται, τὰ δ' ἐκ τῆς οἰκίας ἅπαντα ἐκπεφορημένα ὑπὸ τούτων. Αἱ μὲν οὖν γυναῖκες, οἷον εἰκός, περὶ τὸν τετελευτηκότα ἦσαν· οὗτοι δὲ τοῖς ἀκολουθήσασι παραχρῆμα ἐπεδείκνυσαν τὰ ἔνδον ὡς εἶχε, καὶ τοὺς οἰκέτας πρῶτον ἠρώτων ἐναντίον τούτων ὅποι τετραμμένα εἴη τὰ χρήματα. (42) Λεγόντων δὲ ἐκείνων ὅτι οὗτοι ἐξενηνοχότες εἶεν εἰς τὴν πλησίον οἰκίαν, καὶ ἀξιούντων παραχρῆμα τῶνδε φωρᾶν κατὰ τὸν νόμον καὶ τοὺς οἰκέτας ἐξαιτούντων τοὺς ἐκφορήσαντας, οὐκ ἠθέλησαν τῶν δικαίων οὐδὲν ποιῆσαι. Καὶ ὅτι ἀληθῆ λέγω, λαβὲ ταυτὶ καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

43. Τοσαῦτα μὲν τοίνυν χρήματα ἐκ τῆς οἰκίας ἐκφορήσαντες, τοσαύτης δ' οὐσίας πεπραμένης τὴν τιμὴν ἔχοντες, ἔτι δὲ τὰς προσόδους τὰς ἐν ἐκείνῳ τῷ χρόνῳ γενομένας διαφορήσαντες, οἴονται καὶ τῶν λοιπῶν κύριοι γενήσεσθαι· καὶ εἰς τοῦτο ἀναιδείας ἥκουσιν, ὥστ' εὐθυδικίᾳ μὲν οὐκ ἐτόλμησαν εἰσελθεῖν, ἀλλὰ διεμαρτύρουν ὡς ὑπὲρ γνησίων ἅμα μὲν τὰ ψευδῆ ἅμα δὲ τἀναντία οἷς αὐτοὶ ἔπραξαν· (44) οἵτινες πρὸς μὲν τὸν ἄρχοντα ἀπέγραψαν αὐτοὺς ὡς ὄντας τὸν μὲν Φιλοκτήμονος τὸν δ' Ἐργαμένους, νῦν δὲ διαμεμαρτυρήκασιν Εὐκτήμονος εἶναι. Καίτοι οὐδ' εἰ γνήσιοι ἦσαν, εἰσποίητοι δέ, ὡς οὗτοι ἔφασαν, οὐδ' οὕτω προσῆκεν αὐτοὺς Εὐκτήμονος εἶναι· ὁ γὰρ νόμος οὐκ ἐᾷ ἐπανιέναι, ἐὰν μὴ υἱὸν καταλίπῃ γνήσιον. Ὥστε καὶ ἐξ ὧν αὐτοὶ ἔπραξαν ἀνάγκη τὴν μαρτυρίαν ψευδῆ εἶναι. (45) Καὶ εἰ μὲν τότε διεπράξαντο μισθωθῆναι τοὺς οἴκους, οὐκ ἂν

TESTES.

38. Priusquam porro hi nossent hanc mulierem cum eaque bonis Euctemonis insidiarentur, tam locuples erat Euctemon una cum Philoctemone, ut, quamvis ambo muniis fungerentur sumptuosissimis pro rep., tamen neque de sorte quicquam alienarent, et de vectigalibus semper superesset, unde empti novi fundi ad veteres accederent : ex quo autem Philoctemon excessit, ita misere dilaniata est illa substantia, ut sortis antiquæ ne dimidia quidem pars supersit, vectigalia autem omnia intercepta sint. (39) Et ne hæc quidem satis habuere diripere, sed etiam ipso Euctemone tandem vita defuncto, audaciæ processerunt eo ut illo intus in ædibus adhuc jacente servos custodirent, quo ne quis eorum quicquam sive duabus ejus filiabus sive uxori nuntiaret sive necessariorum cuiquam; res Euctemonis adjuvante muliere in domum proximam, cui cum domo Euctemonis paries idem communis est, exportabant, quam domum incolebat quidam horum mercede conductam, Antidorus ille. (40) Et ne quum filiæ quidem venirent uxorque, ab aliis de excessu Euctemonis certiores factæ, sinebant eas intrare, sed claudebant fores, prætexentes curam funeris illis haud convenire : vix tandem aperiebant et mulieres illas admittebant circa solis occasum demum. (41) Ibi ingressæ deprehendebant Euctemonem quidem intus jacentem jam in alterum diem, id quod famuli affirmabant, domum autem rebus prorsus omnibus vacuefactam horum opera. Jam mulieres quidem in componendo cadavere, ut par erat, versabantur; hi autem comitantibus demonstrabant, quam esset domus expilata, servosque coram his interrogabant, quonam opes aversæ essent. (42) Iisque respondentibus illos eas in proximam domum exportasse, hi quidem auctores fiebant ut furtum protinus quæreretur, prout jus civile potestatem ejus rei facit, poscebantque servos sibi dedi eos qui exportassent; isti vero recusabant æquorum quicquam facere. Quæ ut constet vera a me dici, cape tu, scriba, istoc et recita.

TESTIMONIA.

43. Tantam itaque supellectilem quum domo exportassent, et pecunias tenerent e venditione fundorum redactas, vectigaliaque intervertissent quæ per illud tempus depensa sunt, sperant se reliquis quoque potituros; eoque procedunt impudentiæ, ut recta quidem haud auderent in forum ingredi, at obliqua tamen via per obtestationem quasi liberi genuini adessent, qua in re testati sunt tum per se falsa, tum illis ipsis quæ egerunt ipsi adversantia : (44) nam quum antea inscribi horum puerorum nomina apud archontem curassent, alterius ceu filii Philoctemonis, alterius ceu filii Ergamenis, nunc in obtestatione sua affirmant hos eosdem filios Euctemonis esse. Quanquam etiamsi legitimi essent Euctemoniis filii, tamen, quum per adoptionem, ut hi aiunt, in Philoctemonis et Ergamenis domos transiissent, non possent nunc Euctemonis esse, propter legem, quæ adoptivos filios in paternam domum reverti vetat, nisi si filium legitimum in adoptiva relinquant. Ex quo consequitur, per ea ipsa quæ egerunt falsitatis coargui obtestationem ab illis interpositam. (45) Quodsi tunc perfecissent ut substantia [Euctemonis et Philoctemonis] elo·

ἔτι ἦν τοῖσδε ἀμφισβητῆσαι· νῦν δὲ ἀποχειροτονησάντων τῶν δικαστῶν ὡς οὐδὲν αὐτοῖς προσῆκεν, οὐδὲ ἀμφισβητῆσαι τετολμήκασιν, ἀλλὰ πρὸς ὑπερβολὴν ἀναισχυντίας προσμεμαρτυρήκασι τούτους εἶναι κληρονόμους, οὓς ὑμεῖς ἀπεχειροτονήσατε.

46. Ἔτι δὲ καὶ τοῦ μάρτυρος αὐτοῦ σκέψασθε τὴν τόλμαν καὶ ἀναίδειαν, ὅστις εἴληχε μὲν αὐτῷ τῆς θυγατρὸς τῆς Εὐκτήμονος ὡς οὔσης ἐπικλήρου, καὶ αὐτοῦ
61 τοῦ κλήρου τοῦ Εὐκτήμονος πέμπτου μέρους ὡς ἐπιδίκου ὄντος, μεμαρτύρηκε δ' Εὐκτήμονος υἱὸν εἶναι γνήσιον. Καίτοι πῶς οὗτος οὐ σαφῶς ἐξελέγχει αὐτὸς αὑτὸν τὰ ψευδῆ μεμαρτυρηκότα; οὐ γὰρ δήπου γνησίου ὄντος υἱέος Εὐκτήμονι ἐπίκληρος ἂν ἦν ἡ θυγάτηρ αὐτοῦ, οὐδὲ ὁ κλῆρος ἐπίδικος. Ὡς τοίνυν ἔλαχε ταύτας τὰς λήξεις, ἀναγνώσεται ὑμῖν τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

47. Τοὐναντίον τοίνυν συμβέβηκεν ἢ ὡς ὁ νόμος γέγραπται· ἐκεῖ μὲν γάρ ἐστι νόθῳ μηδὲ νόθῃ εἶναι ἀγχιστείαν μήθ' ἱερῶν μήθ' ὁσίων ἀπ' Εὐκλείδου ἄρχοντος, Ἀνδροκλῆς δὲ καὶ Ἀντίδωρος οἴονται δεῖν, ἀφελόμενοι τὰς Εὐκτήμονος θυγατέρας τὰς γνησίας καὶ τοὺς ἐκ τούτων γεγονότας, τόν τε Εὐκτήμονος οἶκον καὶ τὸν Φιλοκτήμονος ἔχειν. (48) Καὶ ἡ διαφθείρασα τὴν Εὐκτήμονος γνώμην καὶ πολλῶν ἐγκρατὴς γενομένη οὕτως ὑβρίζει σφόδρα πιστεύουσα τούτοις, ὥστε οὐ μόνον τῶν Εὐκτήμονος οἰκείων καταφρονεῖ, ἀλλὰ καὶ τῆς πόλεως ἁπάσης. Ἀκούσαντες δὲ ἓν μόνον σημεῖον ῥᾳδίως γνώσεσθε τὴν ἐκείνης παρανομίαν. Καί μοι λαβὲ τοῦτον τὸν νόμον.

ΝΟΜΟΣ.

49. Ταυτὶ τὰ γράμματα, ὦ ἄνδρες, ὑμεῖς οὕτω σεμνὰ καὶ εὐσεβῆ ἐνομοθετήσατε, περὶ πολλοῦ ποιούμενοι καὶ πρὸς ταύτας καὶ πρὸς τοὺς ἄλλους θεοὺς εὐσεβεῖν· ἡ δὲ τούτων μήτηρ, οὕτως ὁμολογουμένη οὖσα δούλη καὶ ἅπαντα τὸν χρόνον αἰσχρῶς βιοῦσα, (50) ἣν οὔτε παρελθεῖν εἴσω τοῦ ἱεροῦ ἔδει οὔτ' ἰδεῖν τῶν ἔνδον οὐδέν, οὔσης τῆς θυσίας ταύταις ταῖς θεαῖς ἐτόλμησε συμπέμψαι τὴν πομπὴν καὶ εἰσελθεῖν εἰς τὸ ἱερὸν καὶ ἰδεῖν ἃ οὐκ ἐξὸν αὐτῇ. Ὡς δὲ ἀληθῆ λέγω, ἐκ τῶν ψηφισμάτων γνώσεσθε ἃ ἐψηφίσατο ἡ βουλὴ περὶ αὐτῆς. Λαβὲ τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

51. Ἐνθυμεῖσθαι τοίνυν χρή, ὦ ἄνδρες, πότερον δεῖ τὸν ἐκ ταύτης τῶν Φιλοκτήμονος εἶναι κληρονόμον καὶ ἐπὶ τὰ μνήματα ἰέναι χεόμενον καὶ ἐναγιοῦντα, ἢ τὸν ἐκ τῆς ἀδελφῆς τοῦτον, ὃν υἱὸν αὐτὸς ἐποιήσατο· καὶ πότερον δεῖ τὴν ἀδελφὴν Φιλοκτήμονος, ἢ Χαιρέᾳ συνῴκησε, νῦν δὲ χηρεύει, ἐπὶ τούτοις γενέσθαι ἢ ἐκδοῦναι ὅτῳ βούλονται ἢ ἐᾶν καταγηράσκειν, ἢ γνησίαν οὖσαν ὑφ' ὑμῶν ἐπιδικασθεῖσαν συνοικεῖν ὅτῳ ἂν ὑμῖν δοκῇ. (52) Ἡ γὰρ ψῆφός ἐστι περὶ τούτων νυνί. Τουτὶ

caretur, præclusa jam esset hisce (Phanostrato et Chærestrato) hereditatem petendi via: nunc autem, quanquam judices declararunt non debere eos substantiam illam elocare, non petitionem petitioni opponentes de hereditate contendere ausi sunt, sed pro incredibili sua impudentia testati sunt, hos pueros Euctemonis heredes esse, quos judices reprobassent.

46. Sed et adhuc testis ipsius [Androclis] spectate audaciam atque impudentiam, qui pro se quidem in jure petiit filiam Euctemonis, ut a judicibus sibi adjudicandam quippe bonorum patris heredem, cum eaque quintam bonorum partem petiit ut controversiæ patentem, et hic tamen idem testatus est Euctemoni genuinos superesse filios. Atqui quomodo negetur hunc dictum ab ipso testimonium ipsum evidenter mendacii coarguere? nam si filius Euctemoni genuinus fuit, hereditas non ad filiam pertinuit, nec controversiæ fuit obnoxia. Androclem autem ex titulis illis hereditatem petiisse ut vobis constet, scriba vobis hæc recitabit testimonia.

TESTIMONIA.

47. Evenit itaque contra atque in lege scriptum est, sic edicente, neque spurio neque spuriæ consanguinitatem esse neque sacris in rebus neque in civilibus inde ab Euclide archonte: Androcles autem atque Antidorus æquum existimant quas in confesso est genuinas Euctemonis filias esse, eas earumque sobolem a se bonis Euctemonis atque Philoctemonis spoliari; (48) et quæ mulier injecto Euctemonis menti furore consecuta hoc est, ut magna parte facultatum ejus potiretur, ea se tam gerit insolenter, his nempe [Androcle atque Antidoro] fidens, ut non Euctemonis modo necessarios, sed universam adeo civitatem vilipendat. Cujus rei vel unum solum testimonium ubi audieritis, facili negotio mulieris illius audaciam leges aspernantem et violantem cognoscetis. Cape tu mihi hanc legem.

LEX.

49. Literas hasce voluistis vos, judices, tam esse venerabiles pieque observandas, summi quippe facientes ut erga reliquos deos, ita erga has quoque deas (Cererem et Proserpinam) reverentiam exerceri: (50) mater autem horum puerorum, quum sit omnium hominum confessione serva vitæque genus per omnem ætatem secuta tam infame, ut ei haud liceat intra templum [Eleusinium] intrare neque eorum quæ in eo geruntur quicquam videre, quum hisce deabus sacrum fit, ausa tamen est in processione una incedere et in templum ingredi et ea spectare quæ ab ea spectari nefas est. Quæ a me vera dici, cognoscetis e decretis a senatu super hac muliere latis. Cape tu decretum hoc.

DECRETUM.

51. Existimare jam nunc vos decet, judices, utrum Philoctemonis bonorum heredem oporteat esse Alces filium et hunc ad sepulcra accedere inferias offerentem, an Chærestratum Philoctemonis sorore natum, quem ipse Philoctemon adoptavit; porro utrum deceat magis sororem Philoctemonis, olim Chæreæ uxorem, nunc autem viduam, in horum potestate esse, ut penes eos sit sive cuicunque velint eam elocare sive pati eam in viduitate senescere, an eandem Euctemonis genuinam filiam illi viro nubere qui eam vi vestræ sententiæ adjudicatam impetrarit. (52) His enim de rebus

γὰρ αὐτοῖς ἡ διαμαρτυρία δύναται, ἵν' ὁ κίνδυνος τοῖσδε μὲν ᾖ περὶ τούτων, οὗτοι δὲ κἂν νῦν διαμάρτωσι τοῦ ἀγῶνος, δόξῃ δὲ ὁ κλῆρος ἐπίδικος εἶναι, ἀντιγραψάμενοι δὶς περὶ τῶν αὐτῶν ἀγωνίζωνται. Καίτοι εἰ μὲν διέθετο Φιλοκτήμων μὴ ἐξὸν αὐτῷ, τοῦτ' αὐτὸ ἐχρῆν διαμαρτυρεῖν, ὡς οὐ κύριος ἦν υἱὸν τόνδε ποιήσασθαι· εἰ δ' ἔξεστι μὲν διαθέσθαι, ἀμφισβητεῖ δὲ ὡς οὐ δόντος οὐδὲ διαθεμένου, μὴ διαμαρτυρίᾳ κωλύειν, ἀλλ' εὐθυδικίᾳ εἰσιέναι. (53) Νῦν δὲ πῶς ἄν τις περιφανέστερον ἐξελεγχθείη τὰ ψευδῆ μεμαρτυρηκὼς ἢ εἴ τις αὐτὸν ἔροιτο « Ἀνδρόκλεις, πῶς οἶσθα Φιλοκτήμων ὅτι οὔτε διέθετο οὔτε υἱὸν Χαιρέστρατον ἐποιήσατο; » Οἷς μὲν γάρ τις παρεγένετο, δίκαιον, ὦ ἄνδρες, μαρτυρεῖν, οἷς δὲ μὴ παρεγένετο, ἀλλ' ἤκουσέ τινος, ἀκοὴν μαρτυρεῖν· (54) σὺ δ' οὐ παραγενόμενος διαρρήδην μεμαρτύρηκας ὡς οὐ διέθετο Φιλοκτήμων, ἀλλ' ἄπαις ἐτελεύτησε. Καίτοι πῶς οἷόν τε εἰδέναι, ὦ ἄνδρες; ὅμοιον γὰρ ὥσπερ ἂν εἰ φαίη εἰδέναι, καὶ μὴ παραγενόμενος, ὅσα ὑμεῖς πάντες πράττετε. Οὐ γὰρ δὴ τοῦτό γε ἐρεῖ, καίπερ ἀναίσχυντος ὤν, ὡς ἅπασι παρεγένετο καὶ πάντ' οἶδεν ὅσα Φιλοκτήμων ἐν τῷ βίῳ διεπράξατο. (55) Πάντων γὰρ αὐτὸν ἐκεῖνος ἔχθιστον ἐνόμιζε διά τε τὴν ἄλλην πονηρίαν, καὶ διότι τῶν συγγενῶν μόνος μετὰ τῆς Ἀλκῆς ἐκείνης τούτῳ καὶ τοῖς ἄλλοις συνεπιβουλεύσας τοῖς τοῦ Εὐκτήμονος χρήμασι τοιαῦτα διεπράξατο, οἷά περ ὑμῖν ἀπέδειξα.

56. Πάντων δὲ μάλιστα ἀγανακτῆσαί ἐστιν ἄξιον, ὅταν οὗτοι καταχρῶνται τῷ Εὐκτήμονος ὀνόματι, τῷ τουδὶ πάππῳ. Εἰ γάρ, ὡς οὗτοι λέγουσι, τῷ μὲν Φιλοκτήμονι μὴ ἐξῆν διαθέσθαι, τοῦ δ' Εὐκτήμονός ἐστιν ὁ κλῆρος, πότερον δικαιότερον τῶν Εὐκτήμονος κληρονομεῖν τὰς ἐκείνου θυγατέρας, ὁμολογουμένως 62 οὔσας γνησίας, καὶ ἡμᾶς τοὺς ἐκ τούτων γεγονότας, ἢ τοὺς οὐδὲν προσήκοντας; (57) οἳ οὐ μόνον ἐξ ἡμῶν ἐλέγχονται, ἀλλὰ καὶ ἐξ ὧν αὐτοὶ οἱ ἐπίτροποι διαπεπραγμένοι εἰσί. Τοῦτο γὰρ ὑμῶν δέομαι καὶ ἱκετεύω σφόδρα μεμνῆσθαι, ὦ ἄνδρες, ὅπερ ὀλίγῳ πρότερον ἀπέδειξα ὑμῖν, ὅτι Ἀνδροκλῆς οὑτοσὶ φησὶ μὲν εἶναι ἐπίτροπος αὐτῶν ὡς ὄντων γνησίων Εὐκτήμονος, εἴληχε δ' αὐτὸς ἑαυτῷ τοῦ Εὐκτήμονος κλήρου καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπικλήρου· καὶ ταῦτα μεμαρτύρηται ὑμῖν. (58) Καίτοι πῶς οὐ δεινόν, ὦ ἄνδρες, πρὸς θεῶν Ὀλυμπίων, εἰ μὲν οἱ παῖδές εἰσι γνήσιοι, τὸν ἐπίτροπον ἑαυτῷ λαγχάνειν τοῦ Εὐκτήμονος κλήρου καὶ τῆς θυγατρὸς αὐτοῦ ὡς οὔσης ἐπιδίκου, εἰ δὲ μή εἰσι γνήσιοι, νῦν διαμεμαρτυρηκέναι ὡς εἰσὶ γνήσιοι; Ταῦτα γὰρ αὐτὰ ἑαυτοῖς ἐναντία ἐστίν. Ὥστ' οὐ μόνον ὑφ' ἡμῶν ἐλέγχεται τὰ ψευδῆ διαμεμαρτυρηκώς, ἀλλὰ καὶ ἐξ ὧν αὐτὸς πράττει. (59) Καὶ τούτῳ μὲν οὐδεὶς διαμαρτυρεῖ μὴ ἐπίδικον εἶναι τὸν κλῆρον, ἀλλ' εὐθυδικίᾳ εἰσιέναι· οὗτος δ' ἅπαντας ἀποστερεῖ τῆς ἀμφισβητήσεως. Καὶ διαρρήδην μαρτυρήσας γνησίους τοὺς παῖδας εἶναι, οἴεται ἐξαρκέσειν ὑμῖν παρεκβάσεις, ἐὰν δὲ τοῦτο μὲν μηδ' ἐπιχειρήσῃ ἐπιδεικνύναι ἢ

hodie vobis ferenda est sententia. Hoc enim illis sua vult obtestatio, ut hi quidem [Philoctemonis necessarii] hereditate excidendi discrimina adeant, isti autem, etiamsi nunc causa ceciderint, tamen si a vobis declarata fuerit hereditas controversiæ obnoxia, petenti eam petitionem opponere, et sic eadem de causa bis contendere possint. Atqui, si Philoctemon de bonis suis constituisset, quum non licuisset ei : de hoc ipso interponenda erat obtestatio, penes Philoctemonem haud fuisse ut Chærestratum in testamento pro filio adoptaret : sin licuit testamentum scribere, et hoc tantum Androcles infitiatur, scriptum id esse in eoque Chærestratum adoptatum, debebat nos non ab aditu ad hereditatem excludere interponenda obtestatione, sed directa litis denuntiatione nobiscum contendere. (53) Jam vero qui quæso luculentius arguatur falsum dixisse testimonium, quam si quis eum sic interroget, « Tu vero, Androcle, ecqui nosti Philoctemonem neque testamentum scripsisse neque hunc Chærestratum sibi pro filio adoptasse? » Quibus enim aliquis interfuerit, de iis fas est eum testimonium dicere; quibus autem ipse non interfuerit, de iis testantem eum fas est, non oculos suos, sed aures famamque testari : (54) tu vero, Androcle, quum non affuisses, disertis tamen verbis negasti scriptum a Philoctemone testamentum esse, contra vero affirmasti eum improlem decessisse. Atqui, o viri, qui poterat Androcles hoc nosse? Perinde enim est, ac si scire se diceret, etiamsi non interfuisset, ea quæ vos omnes agitis. Quanquam enim impudentia ci summa est, non audebit tamen affirmare, se Philoctemonis actibus omnibus testem interfuisse. (55) Omnium enim hunc Philoctemon habuit inimicissimum tum propter reliquam improbitatem, tum quod solus ex universis Philoctemonis necessariis cum Alce et ipsi [Philoctemoni] et Euctemonis facultatibus insidians ea perpetravit quæ modo vobis demonstravi.

56. Quod autem vel maxime indignationem cieat, hoc est, quod Euctemonis, qui Chærestrati avus est, nomine abutantur. Fac enim verum id esse quod hi aiunt, Philoctemoni haud licuisse per testamentum constituere de bonis, quæ universa fuerint Euctemonis, utrum æquius est hereditatem patris adipisci filias, quas ei genuinas esse extra controversiam est, et nos ex illis natos, an hos quibus cum Euctemone necessitudinis prorsus nihil intercedit? (57) Id quod non nos solummodo liquidis approbavimus argumentis, sed ipsi quoque horum tutores suis factis. Hoc enim vos, o judices, rogo atque obtestor ut inprimis meminisse velitis, quod jam paulo ante vobis demonstravi; Androcles enim hic, qui se horum puerorum tutorem fert quasi Euctemonis genuinorum, idem tamen pro semet ipso Euctemonis hereditatem petiit ejusque filiam a judicibus sibi adjudicandam quippe bonorum patris heredem id quod testes vobis confirmarunt. (58) Atqui, per deos superos, qui quæso fiat ut non atrox sit, genuini quidem si sint liberi, tum tutorem eorum hereditatem ipsimet sibi petere unaque filiam Euctemonis, super qua in jure contendere liceat; sin autem pro spuriis habeantur, interposita obtestatione contendere adesse liberos genuinos? Adversa fronte istæc inter se pugnant. Perspicuum ergo est non a nobis solummodo falsitatem obtestationis, sed etiam factis ipsius Androclis coargui. (59) Et hunc quidem [Chærestratum] nemo interponenda obtestatione de hereditate non vacuefacta adjuvat, sed ipse [Chærestratus] directa petitione causam hanc capessit : hic autem [Androcles] omnes petitione hereditatis excludit eo quod disertis verbis affirmat hos genuinos Euctemonis liberos esse; quo facto sufficere putat, si verba faciat de rebus a causa alienis, si de quibus doceri vos oportebat, ea ne attingat quidem aut

καὶ κατὰ μικρόν τι ἐπιμνησθῇ, ἡμῖν δὲ λοιδορήσηται μεγάλῃ τῇ φωνῇ καὶ λέγῃ ὡς εἰσὶν οἵδε μὲν πλούσιοι, αὐτὸς δὲ πένης, διὰ δὲ ταῦτα δόξειν τοὺς παῖδας εἶναι γνησίους. (60) Τῆς δὲ τούτων οὐσίας, ὦ ἄνδρες, εἰς τὴν πόλιν πλείω ἀναλίσκεται ἢ εἰς αὐτοὺς τούτους. Καὶ Φανόστρατος μὲν τετριηράρχηκεν ἑπτάκις ἤδη, τὰς δὲ λειτουργίας ἁπάσας λελειτούργηκε καὶ τὰς πλείστας νίκας νενίκηκεν· ουτοσὶ δὲ Χαιρέστρατος τηλικοῦτος ὢν τετριηράρχηκε, κεχορήγηκε δὲ τραγῳδοῖς, γεγυμνασιάρχηκε δὲ λαμπάδι· καὶ τὰς εἰσφορὰς εἰσενηνόχασιν ἀμφότεροι πάσας ἐν τοῖς τριακοσίοις. Καὶ τέως μὲν δύ' ὄντες, νῦν δὲ καὶ ὁ νεώτερος ουτοσὶ χορηγεῖ μὲν τραγῳδοῖς, εἰς δὲ τοὺς τριακοσίους ἐγγέγραπται καὶ εἰσφέρει τὰς εἰσφοράς. (61) Ὥστ' οὐ φθονεῖσθαί εἰσιν ἄξιοι, ἀλλὰ πολὺ μᾶλλον νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω οὗτοι, εἰ λήψονται ἃ μὴ προσήκει αὐτοῖς. Τοῦ γὰρ Φιλοκτήμονος κλήρου ἂν μὲν ἐπιδικάσηται ὅδε, ὑμῖν αὐτὸν ταμιεύσει, τὰ προσταττόμενα λειτουργῶν ὥσπερ καὶ νῦν καὶ ἔτι μᾶλλον· ἐὰν δ' οὗτοι λάβωσι, διαφορήσαντες ἑτέροις ἐπιβουλεύσουσι.

62. Δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, ἵνα μὴ ἐξαπατηθῆτε, τῇ διαμαρτυρίᾳ τὸν νοῦν προσέχειν περὶ ἧς τὴν ψῆφον οἴσετε· καὶ πρὸς ταύτην αὐτὸν κελεύετε τὴν ἀπολογίαν ποιεῖσθαι, ὥσπερ καὶ ἡμεῖς κατηγορήσαμεν· γέγραπται ὡς οὐκ ἔδωκεν οὐδὲ διέθετο Φιλοκτήμων· τοῦτο ἐπιδέδεικται ψεῦδος ὄν· καὶ γὰρ δοὺς καὶ διαθέμενος, καὶ μαρτυροῦσιν οἱ παραγενόμενοι. (63) Τί ἔτι; τελευτῆσαι ἄπαιδα Φιλοκτήμονα. Πῶς οὖν ἄπαις ἦν ὅστις τὸν ἑαυτοῦ ἀδελφιδοῦν υἱὸν ποιησάμενος κατέλιπεν, ᾧ ὁμοίως ὁ νόμος τὴν κληρονομίαν ἀποδίδωσι καὶ τοῖς ἐξ αὐτοῦ γενομένοις; καὶ διαρρήδην ἐν τῷ νόμῳ γέγραπται, ἐὰν ποιησαμένῳ παῖδες ἐπιγένωνται, τὸ μέρος ἑκάτερον ἔχειν τῆς οὐσίας καὶ κληρονομεῖν ὁμοίως ἀμφοτέρους. (64) Ὡς οὖν εἰσὶ γνήσιοι οἱ παῖδες οἵδε, τοῦτ' αὐτὸ ἐπιδεικνύτω, ὥσπερ ἂν ὑμῶν ἕκαστος. Οὐ γὰρ ἂν εἴπῃ μητρὸς ὄνομα, γνήσιοί εἰσιν, ἀλλ' ἐὰν ἐπιδεικνύῃ ὡς ἀληθῆ λέγει, τοὺς συγγενεῖς παρεχόμενος, τοὺς εἰδότας συνοικοῦσαν τῷ Εὐκτήμονι, τοὺς δημότας καὶ τοὺς φράτορας, εἴ τι ἀκηκόασι πώποτε ἢ ἴσασιν ὑπὲρ αὐτῆς Εὐκτήμονα λειτουργήσαντα, ἔτι δὲ ποῦ τέθαπται, ἐν ποίοις μνήμασι· (65) τίς εἶδε τὰ νομιζόμενα ποιοῦντα Εὐκτήμονα· ποῖ δ' ἔτ' ἰόντες οἱ παῖδες ἐναγίζουσι καὶ χέονται, καὶ τίς εἶδε ταῦτα τῶν πολιτῶν ἢ τῶν οἰκετῶν Εὐκτήμονος. Ταῦτα γάρ ἐστιν ἔλεγχος ἅπαντα, καὶ οὐ λοιδορία. Καὶ ἐὰν περὶ αὐτοῦ τούτου κελεύητε ἐπιδεικνύναι ὥσπερ καὶ διεμαρτύρησεν, ὑμεῖς τε τὴν ψῆφον ὁσίαν καὶ κατὰ τοὺς νόμους θήσεσθε, τοῖσδέ τε τὰ δίκαια γενήσεται.

leviter modo perstringat, contra vero in nos sonora voce convicia intorqueat, et hos quidem opulentos, se autem pauperem esse objectet. Unde se sperat consecuturum ut hi pueri vobis genuini esse videantur. (60) Ceterum hi plus de copiis suis in rempublicam vestram, quam in semet, impendunt. Phanostratus quidem jam septies trierarchatu functus est, et munia quæcunque pro republica obeunda sunt sumptuosa ea omnia obiit, et in plerisque victorias adeptus est; hic autem Chærestratus, quamvis adhuc puerulus, tamen jam trierarchatus muniis satisfecit, item choregum egit tragœdis, nec non gymnasiarchum in lampadophoriis : nullas non contributiones pecuniarias hi ambo inter tercentumviros contulerunt. Et hactenus quidem hi duo; nunc autem natu minor quoque choregum agit tragœdis, et inscriptus est albo tercentumvirorum, et confert statas contributiones. (61) Quapropter non hi digni sunt quibus invideatis, sed isti, ita me Juppiter atque Apollo ament, sint magis, si bona adipiscantur quorum ipsis jus nullum est. Philoctemonis quidem hereditatem si Chærestrato adjudicabitis, ille vobis ejus erit promus condus, eo quod, ut adhuc fecit, ita porro quoque ex illa sumptus faciet in munera edenda, et multo etiam magis : sin autem hi eam adipiscantur, dilapidabunt, et deinde aliorum bonis insidiabuntur.

62. Quare vos, ne decipiamini, judices, rogo ut ad obtestationem animum advertatis de qua pronuntiandum vobis est; eique intentum jubete illum causam pro se dicere, quemadmodum nos quoque in nostra actione fecimus. Illa enim in obtestatione dictum est Philoctemonem testamentum nullum reliquisse, ideoque hereditatem Chærestrato non legasse; demonstravimus id esse mendacium; scripsit enim et legavit; idque testantur qui scribendo interfuere. (63) Quid adhuc? Philoctemonem aiunt sine prole decessisse. Atqui quomodo sine prole decessit, qui sororis filium pro suo adoptatum reliquerit, cui lex perinde adjudicet hereditatem atque si Philoctemon liberos ex se natos reliquisset? Nam in lege planis verbis sic scriptum est, si cui, qui adoptasset aliquem, postmodum liberi nascantur, fas esse ut adoptatus cum genuinis liberis parem ratam portionem hereditatis sortiatur. (64) Igitur hos genuinos esse, id demonstret, sicuti vestrûm unusquisque demonstraturus foret. Non enim genuinus fit, si quis matris nomen edat, sed si rem confirmet testes producendo cognatos, qui matrem ipsius norint cum Euctemone legitime cohabitantem, et demotas et phratoras, quos necesse est audiisse vel scire, num Euctemon pro illa publicum quendam sumptum fecerit: præterea, ubinam sepulta sit, quorumnam in tumulis: (65) num quis conspexerit Euctemonem ei justa facientem : ubinam liberi superstites inferias inferant; et quinam civium aut famulorum Euctemonis ista viderit. Hæc enim omnia argumenta rem conficientia, non vero convicia sunt. His ipsis de rebus si postulabitis, judices, ab eo doceri, quemadmodum eas in obtestatione asseveravit, et vos sententiam feretis sanctam et secundum leges, et hi jure suo potientur.

VII.

63 ΠΕΡΙ ΤΟΥ ΑΠΟΛΛΟΔΩΡΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Εὔπολις καὶ Θράσυλλος καὶ Μνήσων ἀδελφοὶ γεγόνασι. Τούτων ὁ μὲν Μνήσων ἄπαις ἐτελεύτησεν, ὁ δὲ Θράσυλλος παῖδα καταλιπὼν Ἀπολλόδωρον· μόνος δ' Εὔπολις καταλειφθεὶς πολλὰ τὸν Ἀπολλόδωρον ἠδίκησεν. Ὅθεν Ἀρχέδαμος, πάππος τοῦ λέγοντος τὸν λόγον, τῇ τοῦ Ἀπολλοδώρου μητρὶ συνοικῶν μετὰ τὸν Θρασύλλου τοῦ ἀνδρὸς αὐτῆς θάνατον, καὶ τὸν Ἀπολλόδωρον ὡς ὀρφανὸν ἐλεῶν, πολλὰ τὸν Εὔπολιν ἀπῄτησε χρήματα ὑπὲρ ὧν Ἀπολλόδωρον ἠδίκησε. Τούτων μεμνημένος Ἀπολλόδωρος εἰσήγαγεν εἰς τοὺς φράτορας θετὸν υἱὸν ἑαυτῷ Θράσυλλον τοῦτον, υἱὸν ὄντα τῆς τε ὁμομητρίας αὐτοῦ ἀδελφῆς καὶ Ἀρχεδάμου. Τοῦ δὲ Θρασύλλου ἤδη μὲν εἰς τοὺς γεννήτας καὶ φράτορας ἐγγεγραμμένου, οὔπω δ' εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, ἐτελεύτησεν Ἀπολλόδωρος. Καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν ἐγγέγραπται μὲν ὁ Θράσυλλος εἰς τὸ ληξιαρχικὸν γραμματεῖον, οὐδὲν δ' ἧττον Εὐπόλιδος θυγάτηρ, τοῦ θείου Ἀπολλοδώρου, ἀμφισβητεῖ πρὸς Θράσυλλον, λέγουσα μηδ' ὅλως ἐγγεγράφθαι τὸν Θράσυλλον εἰς τοὺς φράτορας καὶ γεννήτας κατὰ γνώμην τοῦ Ἀπολλοδώρου, ἀλλὰ πεπλασμένην εἶναι τὴν ποίησιν. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ δὲ στάσις στοχασμός· διὸ καλῶς πάνυ καὶ τεχνικῶς τὸν λόγον οἰκονομῶν τὴν ἔχθραν διεξέρχεται τὴν Ἀπολλοδώρου πρὸς Εὔπολιν, ὅπερ μέγα σημεῖον γίγνεται τοῦ μὴ θέλειν αὐτὸν ὑπὸ τῆς Εὐπόλιδος θυγατρὸς κληρονομηθῆναι.

Ὤμην μέν, ὦ ἄνδρες, προσήκειν οὐ τὰς τοιαύτας ἀμφισβητεῖσθαι ποιήσεις, εἴ τις αὐτὸς ζῶν καὶ εὖ φρονῶν ἐποιήσατο καὶ ἐπὶ τὰ ἱερὰ ἀγαγὼν εἰς τοὺς συγγενεῖς ἀπέδειξε καὶ εἰς τὰ κοινὰ γραμματεῖα ἐνέγραψεν, ἅπανθ' ὅσα προσῆκεν αὐτὸς ποιήσας, ἀλλ' εἴ τις τελευτήσειν μέλλων διέθετο, εἴ τι πάθοι, τὴν οὐσίαν ἑτέρῳ, καὶ ταῦτ' ἐν γράμμασι κατέθετο παρά τισι σημηνάμενος. (2) Ἐκεῖνον μὲν γὰρ τὸν τρόπον ποιησάμενος φανερὰς κατέστησε τὰς αὑτοῦ βουλήσεις, ὅλον τὸ πρᾶγμα ἐπικυρώσας, δόντων αὐτῷ τῶν νόμων· ὁ δ' ἐν διαθήκαις σημηνάμενος ἀδήλους ἐποίησε, διὸ πολλοὶ πεπλάσθαι φάσκοντες αὐτὰς ἀμφισβητεῖν ἀξιοῦσι πρὸς τοὺς ποιηθέντας. Ἔοικε δ' οὐδὲν προὔργου τοῦτο εἶναι· καὶ γὰρ οὕτως αὐτῶν φανερῶς πεπραγμένων ὅμως ὑπὲρ τῆς θυγατρὸς τῆς Εὐπόλιδος ἥκουσι περὶ τῶν Ἀπολλοδώρου χρημάτων πρὸς ἐμὲ ἀμφισβητήσοντες. (3) Ἐγὼ δ' εἰ μὲν ἑώρων ὑμᾶς μᾶλλον ἀποδεχομένους τὰς διαμαρτυρίας ἢ τὰς εὐθυδικίας, κἂν μάρτυρας προὐβαλόμην μὴ ἐπίδικον εἶναι τὸν κλῆρον ὡς ποιησαμένου με υἱὸν Ἀπολλοδώρου κατὰ τοὺς νόμους· ἐπειδὴ δ' οὐ διαφεύγει τὰ δίκαια μὴ οὐ καὶ τοῦτον γιγνώσκεσθαι τὸν τρόπον, καὶ παρ' ὑμῖν αὐτοῖς ἥκω διαλεξόμενος περὶ τῶν πεπραγμένων, ἵνα μηδεμίαν ἡμῖν αἰτίαν περὶ τοῦ μὴ βούλεσθαι δοῦναι δίκην τοιαύτην ἐπιφέρωσιν. (4) Ἀποδείξω δὲ ὡς οὐ μόνον ἐπὶ τοῖς ἐγγυτάτω γένους τὸν κλῆρον Ἀπολλόδωρος οὐ καταλέλοιπε, πολλὰ καὶ δεινὰ ὑπὸ τούτων ἀδικηθείς, ἀλλὰ καὶ ὡς ἐμὲ ἐποιήσατο δικαίως, ὄντα ἀδελφιδοῦν καὶ μέγα εὐεργετημένος ὑφ'

VII.

DE APOLLODORI HEREDITATE.

ARGUMENTUM.

Eupolis et Thrasyllus et Mneso fratres fuere. Horum Mneso sine liberis moritur, Thrasyllus filium relinquens Apollodorum e vita excessit, Eupolis solus superstes valde in Apollodorum injurius fuit. Unde Archedamus, hanc orationem recitantis avus, matri Apollodori connubio junctus post mortem mariti ejus Thrasylli, Apollodori utpote orphani misertus, sæpe ab Eupolide bona petiit quorum retentione Apollodorum damno afficiebat. Horum benefactorum Apollodorus memor sistit ante tribules Thrasyllum hunc, filium ejus adoptivum, ejusdem quoque matris sororis filium et Archedami. Descripto autem inter gentiles et tribules Thrasyllo, sed nondum in codicillis in quibus illi qui extra tutelam sunt scribuntur, mortuus est Apollodorus. Et post ejus mortem in codicillis quidem scriptus est Thrasyllus, nihilominus tamen filia Eupolidis, Apollodori patrui, cum Thrasyllo contendit, dicens Thrasyllum Apollodori voluntate omnino inter tribules et gentiles non esse scriptum, sed ficte factum esse. Argumentum quidem hoc est, causæ vero status conjecturalis. Quapropter perite omnino et artificiose orationem distribuens, inimicitias Apollodorum inter et Eupolidem pertractat : quod indicium maximum est illum nolle filiam Eupolidis heredem suam esse.

1. Existimabam equidem, viri, non oportere in controversiam vocari adoptiones ita factas ut adoptans ipse superstes adhuc et recte mente sibi constans eas peregerit, ut adoptandum ad sacra adducens cognatis coram pro suo declararit, et in tabularium phratorum atque demotarum inscribendum curarit, ut omnia denique, quæ oportet, ipse peregerit; sed eas tantum quas fecerint illi, qui in articulo mortis constituti per testamentum edixerint ad quem post fata pervenire bona sua velint, literisque consignatum ejusmodi testamentum obsignatumque apud alios quosdam deposuerint. (2) Priore enim modo qui adoptat, is planum ad omnes facit sua de voluntate, totum negotium actibus confirmans, quorum copiam jus civile ei faciebat : in testamento autem obsignato qui voluntatis suæ significationem deposuit, is eam obscuram fecit; quo fit ut multi id suppositum esse aientes, adoptatis controversiam moverint. At videtur omnis cavendi diligentia inutilis esse : quamvis enim omnes adoptionis meæ actus ita essent in propatulo acti, nihilominus tamen sunt qui super Apollodori hereditate mecum litigare pro Eupolidis filia contendant. (3) Ego vero si quidem vos viderem obtestationes, haud licere hac de causa agi, directæ viæ præferre, qua quis sine ambagibus jus sibi debitum postulet; producerem ego quoque testes confirmaturos hereditatem hanc controversiæ haud expositam esse, quod ego filius sim Apollodori ab eo secundum leges adoptatus : verum quia fieri nequit ut hanc viam sectando quam nunc ingredior jus æquum in occulto maneat, progressus sum etiam ad vos ita verba facturus ut totam rem gestam vos doceam, quo adversarii ne causentur noluisse nos sibi hoc actionis genere satisfacere. (4) Docebo autem non hoc solummodo, Apollodorum hereditatem cognatis proximis non reliquisse, quippe a quibus multis infandis modis læsus fuisset, sed istud quoque docebo, ab Apollodoro me esse filium adoptatum jure merito, quippe qui nepos ipsius e sorore essem, et quod familia mea Apollodorum multis beneficiis sibi obstrinxisset. Quare

ἡμῶν. Δέομαι δὲ ὑμῶν, ὦ ἄνδρες, πάντων ὁμοίως εὔνοιάν τέ μοι παρασχεῖν, κἂν ἐπὶ τὸν κλῆρον ἀναιδῶς αὐτοὺς ἰόντας ἐξελέγχω, βοηθεῖν μοι τὰ δίκαια. Ποιήσομαι δ' ὡς ἂν κἀγὼ δύνωμαι διὰ βραχυτάτων τοὺς λόγους, ἐξ ἀρχῆς ὡς ἔχει τὰ γενόμενα διδάσκων ὑμᾶς.

5. Εὔπολις γάρ, ὦ ἄνδρες, καὶ Θράσυλλος καὶ Μνήσων ἀδελφοὶ ἦσαν ὁμομήτριοι καὶ ὁμοπάτριοι. Τούτοις οὐσίαν ὁ πατὴρ κατέλιπε πολλήν, ὥστε καὶ λειτουργεῖν ἕκαστον ἀξιοῦσθαι παρ' ὑμῖν. Ταύτην ἐκεῖνοι τρεῖς ὄντες ἐνείμαντο πρὸς ἀλλήλους. Τούτων τῶν δύο τελευτησάντων περὶ τὸν αὐτὸν χρόνον, ὁ μὲν Μνήσων ἐνθάδε ἄγαμος καὶ ἄπαις, ὁ δὲ Θράσυλλος τῶν ἐν Σικελίᾳ καταλεγεὶς τριηράρχων, καταλιπὼν υἱὸν Ἀπολλόδωρον τὸν ἐμὲ νῦν ποιησάμενον. (6) Εὔπολις οὖν μόνος αὐτῶν λειφθεὶς οὐ μικρὰ ἀπολαῦσαι τῶν χρημά-
64 των ἠξίωσεν, ἀλλὰ τὸν μὲν Μνήσονος κλῆρον, οὗ καὶ Ἀπολλοδώρῳ προσῆκε τὸ ἡμικλήριον, πάντα εἰς αὑτὸν περιεποίησε, φάσκων αὐτῷ δοῦναι τὸν ἀδελφόν, αὐτὸν δ' ἐκεῖνον οὕτω διῴκησεν ἐπιτροπεύων ὥστε τριῶν αὐτῷ ταλάντων δίκην ὀφλεῖν. (7) Ἀρχέδαμος γὰρ ὁ πάππος οὑμός, ἐξ οὗ τὴν μητέρα ἔχων τὴν Ἀπολλοδώρου, τήθην δὲ ἐμὴν ὁρῶν αὐτὸν πάντων ἀποστερούμενον τῶν χρημάτων, ἔτρεφέ τε αὐτὸν παῖδα ὄνθ' ὡς ἑαυτοῦ, καὶ τὴν μητέρα κομισάμενος, ἀνδρί τε γενομένῳ συνηγωνίσατο καὶ εἰσέπραξε τὸ ἡμικλήριον ὧν Μνήσων κατέλιπεν ὅσα τε ἐκ τῆς ἐπιτροπῆς ἀπεστέρησε, δίκας δύο ἑλών, καὶ τὴν οὐσίαν ἐποίησε κομίσασθαι τὴν αὐτοῦ πᾶσαν. (8) Καὶ διὰ ταῦτα Εὔπολις μὲν καὶ Ἀπολλόδωρος ἐχθρῶς ἔχοντες τὸν πάντα χρόνον διετέλεσαν πρὸς ἀλλήλους, ὁ δὲ πάππος οὑμὸς καὶ Ἀπολλόδωρος φιλικῶς, ὥσπερ προσῆκε. Τοῖς δ' ἔργοις ἄν τις τεκμήραιτο μάλιστα ὅτι Ἀπολλόδωρος πέπονθεν ὃ ἀντευποιεῖν ἠξίου τοὺς ἑαυτὸν εὐεργετήσαντας. Συμφορᾷ γὰρ τοῦ πάππου χρησαμένου καὶ ληφθέντος εἰς τοὺς πολεμίους καὶ χρήματα εἰσενεγκεῖν εἰς λύτρα καὶ ὁμηρεῦσαι ὑπὲρ αὐτοῦ ἠθέλησεν, ἕως οὗ εὐπορήσειεν ἐκεῖνος τἀργύριον. (9) Ἐξ εὐπόρου τε ἀπορωτέρῳ γεγενημένῳ συνδιῴκει τὰ ἐκείνου, μεταδιδοὺς ὧν εἶχεν. Εἰς Κόρινθόν τε στρατεύεσθαι μέλλων, εἴ τι πάθοι, διέθετο τὴν οὐσίαν καὶ ἔδωκε τῇ ἐκείνου μὲν θυγατρί, ἐμῇ δὲ μητρί, αὐτοῦ δὲ ἀδελφῇ, διδοὺς αὐτὴν Λακρατίδῃ τῷ νῦν ἱεροφάντῃ γεγενημένῳ. Τοιοῦτος ἦν ἐκεῖνος περὶ ἡμᾶς τοὺς ἐξ ἀρχῆς αὐτὸν σώσαντας. (10) Ὡς δ' ἀληθῆ λέγω, καὶ δίκας εἷλεν Εὔπολιν δύο, τὴν μὲν ἐπιτροπῆς, τὴν δὲ ἡμικληρίου, τοῦ πάππου συνηγωνισμένου καὶ λέγοντος, τά τε χρήματα ἐκομίσατο δι' ἡμᾶς καὶ ταύτας τὰς χάριτας ἡμῖν ἀνταπέδωκε, τούτων πρῶτον βούλομαι παρασχέσθαι τοὺς μάρτυρας. Καί μοι κάλει δεῦρο αὐτούς.

ΜΑΡΤΥΡΕΣ.

11. Αἱ μὲν οὖν παρ' ἡμῶν εὐεργεσίαι τοιαῦται καὶ τηλικαῦται τὸ μέγεθός εἰσιν· αἱ δὲ πρὸς ἐκεῖνον ἔχθραι περὶ τοσούτων χρημάτων ἦσαν, ἃς οὐχ οἷόν τ' εἰπεῖν

vos, judices, rogo universos, ut aures mihi præbeatis benevolas, et ubi illos coarguero in hereditatem impudenter involantes, tum mihi qua par est succurratis. Disseram autem quam potero brevissimis, rem a principio inde repetens, quæ sic habet.

5. Fratres erant hi tres germani, judices, Eupolis et Thrasyllus atque Mneson ab iisdem sati parentibus; qui substantiam ingentem a patre relictam quum inter se sortiti essent (tanta autem erat illa, ut vos eos dignos censeretis, qui munera publica sumptuosa ederent), duo eorum sub idem tempus vita excedebant; Mneson quidem in urbe cælebs et imprôlis, Thrasyllus autem in Sicilia, unus e trierarchis in expeditionem illam delectis, relicto filio Apollodoro, qui me nuper adoptavit. (6) Eupolis itaque solus relictus haud indignum se duxit, ut bonorum partem haud exiguam interverteret: Mnesonis enim hereditatem, cujus semissis Apollodoro competebat, sibi totam arrogavit, prætextu usus eam sibi a fratre legatam fuisse, ipsiusque Apollodori tutelam ita gessit, ut causa caderet tribus talentis æstimata, quæ illius tutelæ nomine ab eo petebantur. (7) Archedamus enim avus meus, qui Apollodori matrem in matrimonio habuit, meam aviam, cernens Apollodorum a tutore bonis omnibus privari, una cum ejus matre eum domi suæ recepit atque sub oculis suis educavit, puberique facto præsto fuit actiones in Eupolin exsequenti, eoque Eupolidi extorsit tum semissem hereditatis a Mnesone relictæ, tum ea quibus tutor pupillum defraudarat, adeoque duabus actionibus victor effecit, ut Apollodorus totum patrimonium recuperaret. (8) Quapropter Eupolis atque Apollodorus per totam vitam simultates inter se agitaverunt; avus autem meus atque Apollodorus, prout par erat, semper fuere conjunctissimi. Verum ipsis e rebus gestis maxime intelligatur, quam sedulo studuerit Apollodorus acceptam gratiam demereri. Avus enim ea quum esset ictus calamitate ut ab hostibus caperetur, ad redimendi ejus pretium de suo conferre non dubitavit Apollodorus obsidemque agere, donec ille totam summam æris coegisset. (9) Avoque e pristinis copiis ad incitas redacto, in re ejus gerenda operam navavit, sui patrimonii copiam ei faciens: et ad expeditionem Corinthiacam proficiscens, constituebat de substantia sua, eamque, si quid sibi secius contingeret, sorori suæ, quæ eadem avi mei filia, et mihi mater est, legabat, eamque Leocratidæ, qui nunc hierophanta est, nuptum elocabat. Hoc ille animo erga nos fuit, qui eum a principio servassemus. (10) Quo vobis autem constet, judices, hæc a me vera dici, et bis ab Apollodoro victum in foro fuisse Eupolin, semel titulo male gestæ tutelæ, tum rursus interversæ semissis bonorum a Mnesone relictorum, avo meo causam Apollodori oratione adjuvante, eoque pacto Apollodorum bona sua recuperasse, pro iisque beneficiis eo quo dixi modo gratias retulisse, horum omnium ego testes producam. Cita tu mihi hos.

TESTES.

11. Hæc tanta erant beneficia a nobis in Apollodorum collâta: simultatis vero, quæ ipsi cum Eupolide intercessit, in causa fuit fraus qua hic illum re tam lauta fraudatum

ὡς διελύσαντο καὶ φίλοι ἐγένοντο. Μεγάλα γὰρ τεκμήρια αὐτῶν ἐστιν· Εὔπολις γὰρ αὐτῷ δυοῖν θυγατέρων οὐσῶν καὶ ἐκ τῶν αὐτῶν γεγονὼς καὶ χρήμαθ' ὁρῶν κεκτημένον, οὐδετέραν αὐτῷ τούτων ἔδωκε. (12) Καίτοι δοκοῦσιν ἐπιγαμίαι καὶ μὴ συγγενεῖς ἄνδρας ἀλλὰ καὶ τοὺς τυχόντας ἀπαλλάττειν μεγάλης διαφορᾶς, ὅταν ἃ περὶ πλείστου ποιοῦνται, ταῦτ' ἀλλήλοις ἐγχειρίζωσιν. Εἴτ' οὖν Εὔπολις γεγένηται αἴτιος μὴ βουληθείς, εἴτ' Ἀπολλόδωρος λαβεῖν μὴ ἐθελήσας, τὰς ἔχθρας, ὅτι διέμειναν, τὸ ἔργον δεδήλωκε.

13. Καὶ περὶ μὲν τῆς ἐκείνων διαφορᾶς ἱκανοὺς εἶναι νομίζω καὶ τοὺς εἰρημένους λόγους. Οἶδα γὰρ ὅτι καὶ ὑμῶν ὅσοι πρεσβύτεροι μνημονεύουσιν ὅτι ἐγένοντο ἀντίδικοι· τό τε γὰρ μέγεθος τῶν δικῶν, καὶ διότι πολὺ αὐτὸν Ἀρχέδαμος εἷλεν, ἐπιφάνειάν τινα ἐποίησεν. Ὡς δὲ ἐμὲ ἐποιήσατο υἱὸν ζῶν αὐτὸς καὶ κύριον τῶν αὐτοῦ κατέστησε καὶ εἰς τοὺς γεννήτας καὶ εἰς τοὺς φράτορας ἐνέγραψε, τούτοις ἤδη μοι τὸν νοῦν προσέχετε, ὦ ἄνδρες. (14) Ἀπολλοδώρῳ γὰρ ἦν υἱός, ὃν ἐκεῖνος καὶ ἤσκει καὶ δι' ἐπιμελείας εἶχεν, ὥσπερ καὶ προσῆκον ἦν. Ἕως μὲν οὖν ἐκεῖνος ἔζη, διάδοχον τῆς οὐσίας ἤλπιζεν αὐτὸν καταστήσειν τῆς ἑαυτοῦ· ἐπειδὴ δὲ ἐτελεύτησε νοσήσας τοῦ ἐξελθόντος ἐνιαυτοῦ μηνὸς Μαιμακτηριῶνος, ἐπὶ τοῖς παροῦσιν ἀθυμήσας καὶ τὴν ἡλικίαν τὴν ἑαυτοῦ καταμεμψάμενος οὐκ ἐπελάθετο ὑφ' ὧν καὶ ἐξ ἀρχῆς εὖ πεπονθὼς ἦν, ἀλλ' ἐλθὼν ὡς τὴν ἐμὴν μητέρα ἑαυτοῦ δὲ ἀδελφήν, ἣν περὶ πλείστου πάντων ἐποιεῖτο, λαβεῖν ἠξίωσέ με υἱὸν καὶ ᾔτησε καὶ ἔτυχεν. (15) Οὕτω δ' ἐπείσθη ταῦτα ποιῆσαι διὰ ταχέων, ὥστ' εὐθέως με λαβὼν ᾤχετ' ἔχων πρὸς αὐτὸν καὶ πάντα τὰ αὑτοῦ διοικεῖν παρέδωκεν, ὡς αὐτὸς μὲν οὐδὲν ἂν ἔτι πρᾶξαι τούτων δυνηθείς, ἐμοῦ δὲ ταῦτα πάντα οἵου τε ἐσομένου ποιεῖν. Καὶ ἐπειδὴ Θαργήλια ἦν, ἤγαγέ με ἐπὶ τοὺς βωμοὺς εἰς τοὺς γεννήτας τε καὶ φράτορας. (16) Ἔστι δ' αὐτοῖς νόμος ὁ αὐτός, ἐάν τέ τινα φύσει γεγονότα εἰσάγῃ τις ἐάν τε ποιητόν, ἐπιτιθέναι πίστιν κατὰ τῶν ἱερῶν ἦ μὴν ἐξ ἀστῆς εἰσάγειν καὶ γεγονότα ὀρθῶς καὶ τὸν ὑπάρχοντα φύσει καὶ τὸν ποιητόν· ποιήσαντος δὲ τοῦ εἰσάγοντος ταῦτα μηδὲν ἧττον διαψηφίζεσθαι καὶ τοὺς ἄλλους, κἂν δόξῃ, τότ' εἰς τὸ κοινὸν γραμματεῖον ἐγγράφειν, πρότερον δὲ μή· τοιαύτας ἀκριβείας ἔχει τὰ δίκαια τὰ παρ' αὐτοῖς. (17) Τοῦ νόμου δὴ οὕτως ἔχοντος, καὶ τῶν φρατόρων τε καὶ γεννητῶν ἐκείνῳ οὐκ ἀπιστούντων ἐμέ τε οὐκ ἀγνοούντων, ὅτι ἦν ἐξ ἀδελφῆς αὐτῷ γεγονώς, ἐγγράφουσί με εἰς τὸ κοινὸν γραμματεῖον ψηφισάμενοι πάντες, ἐπιθέντος ἐκείνου τὴν πίστιν καθ' ἱερῶν. Καὶ οὕτω μὲν ὑπὸ ζῶντος ἐποιήθην, καὶ εἰς τὸ κοινὸν γραμματεῖον ἐνεγράφην Θράσυλλος Ἀπολλοδώρου, ποιησαμένου με ἐκείνου τοῦτον τὸν τρόπον, τῶν νόμων αὐτῷ δεδωκότων. Ὡς δ' ἀληθῆ λέγω, λαβέ μοι τὰς μαρτυρίας.

ierat; quam simultatem haud licet dicere ab illis sublatam atque cum amicitia commutatam esse. Cujus rei magna edam istæc documenta : Eupolidi enim tametsi duæ essent filiæ, neutram tamen earum Apollodoro collocavit, quem non sui fratris solummodo filium nosset, sed etiam bene locupletem esse. (12) Quamquam affinitates per connubia contractæ non inter consanguineos modo, sed vel inter obvios quosque magnas simultates exstinguere solent, quando quæ maximi faciunt, ea invicem sibi tradunt. Quicquid ejus est, sive culpa penes Eupolin, sive penes Apollodorum fuit, sive ille filiam dare noluit, sive hic oblatam recusavit, mansit utique inter eos simultas, ut res ipsa docuit.

13. Verum de illorum quidem simultate satis mihi videor disseruisse. Certus enim sum, vestrûm quoque quotquot ætate sunt provectiores meminisse adhuc actionum forensium quibus illi sese mutuo exagitarunt : nam et magnitudo postulationum, et victoriæ fama qua Archedamus Eupolin perculit, hominum oculos convertit. Adoptatum autem me pro filio esse ab Apollodoro adhuc salvo et valente scriptumque bonorum ejus heredem, codicibusque et gennetarum et phratorum inscriptum, jam probaturo mihi, judices, mentem præbeatis attentam. (14) Apollodoro filius erat, quem pater, ut par erat, et erudiebat et fovebat, sperans fore aliquando ut ipse vita excedens eum heredem bonorum relinqueret : verum ille filius anni superioris mense Mæmacterione morbo decessit. Ibi pater præsentis infortunii ægritudine depressus et de affecta ætate sua desperans, non oblitus a quibus esset a principio beneficiis ornatus, ad matrem meam, sororem suam, quam plurimi faciebat, adiit ab eaque petiit ut me sibi filium daret; (15) et rogatis potitus ita festinavit negotium hoc peragere, ut statim me secum in domum suam deduceret totamque suam rem familiarem mihi administrandam traderet, quasi ipse hujusmodi curis impar, ego vero idoneus essem. Veniente tum Thargeliorum die festo adducebat me ad gennetas et phratoras, et coram ara constituebat. (16) Est autem illis in more positum, ut quicunque filium inducat sive ex ipso natum sive adoptatum, is per sacra juret illum a se filium, sive is naturalis sit sive adoptatus, induci natum e cive Attica et legitimo modo : quæ tametsi pater inducens egerit, illi nihilominus tamen omnes et singuli in suffragia eunt, et ubi, qui inductus est, omnibus visus fuerit admittendus esse, tum demum, neque citius, in communem codicem inscribitur. Tam diligenter et tam severe illi jura sua tuentur. (17) Phratores igitur atque gennetæ, haud immemores hujus legis, et Apollodoro haud diffidentes ipsumque me haud ignotum sibi habentes, sed certi ex Apollodori sorore me natum, decernunt omnes nomen meum in communi codice scribendum, quum ille solito more per sacra dejerasset. Hoc ego pacto ab Apollodoro adhuc superstite fui filius adoptatus, et in codice phratorum communi scriptus hoc titulo : *Thrasyllus Apollodori*, ipso coram adoptatore, legibus id fieri sinentibus. Quæ ut constet a me vera dici, cape tu hæc testimonia.

ΜΑΡΤΥΡΙΑΙ.

18. Οἶμαι τοίνυν, ὦ ἄνδρες, μᾶλλον ἂν ὑμᾶς τοῖς μεμαρτυρηκόσι πιστεύειν, καὶ οἵτινες τῶν ὁμοίως προσηκόντων ἔργοις φανερῶς μεμαρτυρήκασιν ὡς ἐκεῖνος ταῦτα ὀρθῶς καὶ κατὰ τοὺς νόμους ἔπραξε. Κατέλιπε γὰρ Εὔπολις θυγατέρας δύο, ταύτην τε ἣ νῦν ἀμφισβητεῖ καὶ Προνάπει συνοικεῖ, καὶ ἄλλην ἣν ἔσχεν Αἰσχίνης ὁ Λουσιεύς, ἣ τετελεύτηκεν υἱὸν ἄνδρα ἤδη καταλιποῦσα, Θρασύβουλον. (19) Ἔστι δὲ νόμος ὅς, ἐὰν ἀδελφὸς ὁμοπάτωρ ἄπαις τελευτήσῃ καὶ μὴ διαθέμενος, τήν τε ἀδελφὴν ὁμοίως, κἂν ἐξ ἑτέρας ἀδελφιδοῦς ᾖ γεγονώς, ἰσομοίρους τῶν χρημάτων καθίστησι. Καὶ τοῦτο οὐκ ἀγνοούμενόν ἐστιν οὐδὲ παρ' αὐτοῖς τούτοις. Ἔργῳ γὰρ οὗτοι φανερὸν τοῦτο πεποιήκασι. Τοῦ γὰρ Εὐπόλιδος υἱέος ἄπαιδος Ἀπολλοδώρου τελευτήσαντος τὰ ἡμίσεα Θρασύβουλος εἴληφεν, οὐσίας καὶ πεντεταλάντου καταλειφθείσης ῥᾳδίως. (20) Πατρῴων μὲν οὖν καὶ ἀδελφοῦ χρημάτων τὸ ἴσον αὐτοῖς ὁ νόμος μετασχεῖν δίδωσιν· ἀνεψιοῦ δέ, καὶ εἴ τις ἔξω ταύτης τῆς συγγενείας ἐστίν, οὐκ ἴσον, ἀλλὰ προτέροις τοῖς ἄρρεσι τῶν θηλειῶν τὴν ἀγχιστείαν πεποίηκε Λέγει γάρ « κρατεῖν δὲ τοὺς ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρρένων, οἳ ἂν ἐκ τῶν αὐτῶν ὦσι, κἂν γένει ἀπωτέρω τυγχάνωσιν ὄντες. » Ταύτῃ μὲν οὖν οὐδὲ μέρους λαχεῖν προσῆκε, Θρασυβούλῳ δὲ ἁπάντων, εἰ μὴ κυρίαν ἡγεῖτο εἶναι τὴν ἐμὴν εἰσποίησιν. (21) Ἐκεῖνος τοίνυν οὔτε ἐξ ἀρχῆς ἠμφισβήτηκε πρὸς ἐμὲ οὐδὲν οὔτε νῦν δίκην εἴληχε περὶ αὐτῶν, ἀλλὰ ταῦτα πάντα καλῶς ἔχειν ὡμολόγηκεν· οἱ δ' ὑπὲρ ταύτης πάντων ἀμφισβητεῖν τετολμήκασιν· εἰς τοῦτο ἀναιδείας ἐληλύθασι. Λαβὲ δὴ αὐτοῖς τοὺς νόμους, παρ' οὓς ταῦτα πεποιήκασι, καὶ ἀνάγνωθι.

ΝΟΜΟΣ.

22. Ἐνταῦθα μὲν ὁμοίως καὶ ἀδελφὴν καὶ ἀδελφιδοῦς ἰσόμοιροι κατὰ τὸν νόμον εἰσί. Λαβὲ δὴ καὶ τοῦτον, καὶ ἀναγίνωσκε αὐτοῖς.

ΝΟΜΟΣ.

Ἐὰν μὴ ὦσιν ἀνεψιοὶ μηδὲ ἀνεψιῶν παῖδες, μηδὲ τοῦ πρὸς πατρὸς γένους ᾖ προσήκων μηδείς, τότε ἀπέδωκε τοῖς πρὸς μητρός, διορίσας οὓς δεῖ κρατεῖν. Λαβὲ δὲ αὐτοῖς καὶ τοῦτον τὸν νόμον καὶ ἀνάγνωθι.

ΝΟΜΟΣ.

23. Ταῦτα τῶν νόμων κελευόντων ὁ μὲν ἀνὴρ ὢν οὐδὲ τοῦ μέρους εἴληχεν, οἱ δ' ὑπὲρ ταύτης τῆς γυναικὸς ἁπάντων· οὕτω τὴν ἀναίδειαν οὐδεμίαν ζημίαν εἶναι νομίζουσι. Καὶ ὑπὲρ τούτων τολμήσουσι, καὶ τοῖς λόγοις χρῶνται τοιούτοις, ὡς αὐτοῖς ὅλου τοῦ κλήρου ληκτέον, ὅτι Θρασύβουλος ἐκποίητος εἰς τὸν οἶκον τὸν Ἱππολοχίδου γέγονε, λέγοντες τοῦτο μὲν ἀληθές, ἐκεῖνο δ' οὐ προσῆκον. (24) Τί γὰρ ἧττον

TESTIMONIA.

18. Quibusnam autem aliis vos convenit fidem magis habere quam testibus, et iis qui quum haud minus quam adversarii mei ex necessariis Apollodori sint, factis perspicuis testentur, Apollodorum ista recte legibusque convenienter egisse? Reliquit nempe Eupolis duas filias, et hanc, quæ Pronapis uxor nunc mecum contendit, et aliam, quæ olim uxor fuit Æschinis Lusiensis, nunc vero defuncta filium reliquit jam adultum nomine Thrasybulum. (19) Jam lex est hujus formulæ : si qui frater duarum sororum ex iisdem parentibus natus sine prole decesserit nulloque scripto testamento, tum æquis partibus hereditatem ejus cernere sororemque alteram adhuc superstitem alteriusque vita defunctæ filium. Hoc legis edictum illos [Eupolidis necessarios] haud fugit. Rebus enim gestis id testatum fecerunt : Eupolidis enim filius, Apollodorus item dictus, quum sine prole decessisset, semissem substantiæ ad quinque talenta valentis tulit Thrasybulus. (20) Unde patet filiabus et sororibus a jure civili partes æquales bonorum a patribus relictorum attribui; consobrinorum autem de bonis, et quicunque alii extra cognationis gradum modo dictum sunt, non æquales attribui partes hereditatum feminis, sed in hujusmodi causis conditionem marium a lege præhaberi conditioni feminarum. Verba legis enim hæc sunt : « potiores oportere mares esse e maribusque natos, dummodo hi mares ex iisdem prognati sint, etiamsi mares illi gradu consanguinitatis longius distent quam feminæ. » Igitur mulieri huic ne ullam quidem partem petendi jus erat, Thrasybulus autem totam petere poterat, nisi adoptionem meam ratam habuisset. (21) Nam neque ullam mihi unquam de Apollodori hereditate movit controversiam neque nunc eam in jure petit, sed omnia ab Apollodoro constituta bene se habere confessus est : hi autem pro filia Eupolidis, qua sunt impudentia, totam petere ausi sunt. Cape tu has leges, quas hi migrarunt, easque recita judicibus.

LEX.

22. Hac quidem e lege partes hereditatis æquales ferunt defuncti soror superstes et filius ab altera sorore defuncta relictus. Cape hanc quoque legem, et recita illis.

LEX.

Consobrini si nulli sunt neque consobrinorum liberi neque consanguineorum quisquam a parte patris, tum tradidit legislator hereditatem consanguineis a parte matris, definiens quosnam oporteat potiores esse. Cape tu hanc quoque legem, et ipsis recita.

LEX.

23. Legibus hæc edicentibus, Thrasybulus hic, tametsi vir esset, tamen ne partem quidem ejus petiit, hic autem [Pronapes] nomine hujus mulieris totam petiit : adeo nil autumant impudentiam obesse. Et pro bonis illis nihil non audebunt, eaque utuntur excusatione, Thrasybulum in domum Hippolochidæ emancipatum esse, ideoque sibi competere jus universam Apollodori hereditatem petendi. Quorum illud quidem verum est, hoc autem ad rem nil facit. (24) Ecquid enim eo minuitur Thrasybulo

αὐτῷ τῆς συγγενείας ταύτης προσῆκεν; οὐ γὰρ κατὰ τὸν πατέρα, ἀλλὰ κατὰ τὴν μητέρα καὶ τῶν Ἀπολλοδώρου τοῦ Εὐπόλιδος υἱέος τὸ μέρος εἴληφε· καὶ τῶνδε 66 ἐξῆν αὐτῷ κατὰ ταύτην τὴν συγγένειαν λαγχάνειν, ὄντι προτέρῳ ταύτης, εἴπερ τὰ πεπραγμένα μὴ κυρίως ἔχειν ἐνόμιζεν. (25) Ἀλλ' οὐκ ἔστιν ἀναίσχυντος. Μητρὸς δ' οὐδείς ἐστιν ἐκποίητος, ἀλλ' ὁμοίως ὑπάρχει τὴν αὐτὴν εἶναι μητέρα, κἂν ἐν τῷ πατρῴῳ μένῃ τις οἴκῳ κἂν ἐκποιηθῇ. Διὸ τῶν Ἀπολλοδώρου χρημάτων οὐκ ἀπεστερήθη τοῦ μέρους, ἀλλὰ μετειλήφει τὸ ἡμικλήριον, πρὸς ταύτην νειμάμενος. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

26. Οὕτω μὲν οὐχ οἱ γεννῆται μόνον καὶ φράτορες γεγόνασι μάρτυρες τῆς ἐμῆς ποιήσεως, ἀλλὰ καὶ Θρασύβουλος οὐκ ἀμφισβητῶν ἔργῳ δεδήλωκεν ὅτι τὰ πεπραγμένα Ἀπολλοδώρῳ κυρίως ἔχειν νομίζει καὶ κατὰ τοὺς νόμους· οὐ γὰρ ἄν ποτε τοσούτων χρημάτων οὐκ ἐλάγχανε. Γεγόνασι δὲ ὅμως καὶ ἄλλοι μάρτυρες αὐτῷ. (27) Πρὶν γὰρ ἐμὲ ἥκειν ἐκ τῆς Πυθιάδος, ἔλεγε πρὸς τοὺς δημότας Ἀπολλόδωρος ὅτι πεποιημένος εἴη με υἱὸν καὶ ἐγγεγραφὼς εἰς τοὺς συγγενεῖς καὶ φράτορας, καὶ παραδεδώκει τὴν οὐσίαν, καὶ διεκελεύεθ' ὅπως ἄν, εἴ τι πάθοι πρότερον, ἐγγράφωσί με εἰς τὸ ληξιαρχικὸν γραμματεῖον Θράσυλλον Ἀπολλοδώρου καὶ μὴ ὡς ἄλλως ποιήσωσι. (28) Κἀκεῖνοι ταῦτα ἀκούσαντες, τούτων ἐν ἀρχαιρεσίαις κατηγορούντων καὶ λεγόντων ὡς οὐκ ἐποιήσατό με υἱόν, καὶ ἐξ ὧν ἤκουσαν καὶ ἐξ ὧν ᾔδεσαν, ὀμόσαντες καθ' ἱερῶν ἐνέγραψάν με, καθάπερ ἐκεῖνος ἐκέλευε· τοσαύτη περιφάνεια τῆς ἐμῆς ποιήσεως ἐγένετο παρ' αὐτοῖς. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

29. Ἐπὶ μὲν τοσούτων μαρτύρων, ὦ ἄνδρες, γέγονεν ἡ ποίησις, ἔχθρας μὲν παλαιᾶς αὐτῷ πρὸς τούτους οὔσης, φιλίας δὲ πρὸς ἡμᾶς καὶ συγγενείας οὐ μικρᾶς ὑπαρχούσης. Ὡς δ' οὐδ' εἰ μηδέτερον τούτων ὑπῆρχε, μήτε ἔχθρα πρὸς τούτους μήτε φιλία πρὸς ἡμᾶς, οὐκ ἄν ποτε Ἀπολλόδωρος ἐπὶ τούτοις τὸν κλῆρον τοῦτον κατέλιπεν, οἶμαι καὶ ταῦθ' ὑμῖν ῥᾳδίως ἐπιδείξειν. (30) Πάντες γὰρ οἱ τελευτήσειν μέλλοντες πρόνοιαν ποιοῦνται σφῶν αὐτῶν, ὅπως μὴ ἐξερημώσουσι τοὺς σφετέρους αὐτῶν οἴκους, ἀλλ' ἔσται τις καὶ ὁ ἐναγιῶν καὶ πάντα τὰ νομιζόμενα αὐτοῖς ποιήσων· διὸ κἂν ἄπαιδες τελευτήσωσιν, ἀλλ' οὖν ποιησάμενοι καταλείπουσι. Καὶ οὐ μόνον ἰδίᾳ ταῦτα γινώσκουσιν, ἀλλὰ καὶ δημοσίᾳ τὸ κοινὸν τῆς πόλεως οὕτω ταῦτ' ἔγνωκε· νόμῳ γὰρ τῷ ἄρχοντι τῶν οἴκων, ὅπως ἂν μὴ ἐξερημῶνται, προστάττει τὴν ἐπιμέλειαν. (31) Ἐκείνῳ δὲ πρόδηλον ἦν ὅτι εἰ καταλείψει τὸν κλῆρον ἐπὶ τούτοις, ἔρημον ποιήσει

jus hanc hereditatem petendi? num, quod emancipatus est, ideo minus est Apollodori cognatus? Etiam alterius Apollodori, qui filius Eupolidis fuit, semissem hereditatis, non e paterno, sed materno jure accepit : licebat ergo ei cognationis quidem ex titulo bona hæc petere, quippe qui feminam hanc in jure petendi antecederet, et petisset, nisi existimasset recte habere ab Apollodoro constituta. (25) Verum Thrasybulus non est impudens. Nam matris quidem nemo est emancipatus, sed perinde servat quisque matrem suam, sive in domo paterna manet, sive in alienam emancipatur. Quapropter etiam Thrasybulus parte bonorum Apollodori rata fraudatus non fuit, sed hereditatis illius semissem alteram abstulit ipse, alteram hæc mulier. Quæ ut constet a me vera dici, testes harum rerum tu mihi cita.

TESTES.

26. Ad hunc modum non gennetæ solummodo neque phratores de mea adoptione testati sunt, sed etiam Thrasybulus eo, quod mecum non contendit, ipso facto declaravit se existimare ab Apollodoro constituta rata esse jurique consentanea : alias enim tam amplam hereditatem in jure petere non omisisset. Verum sunt Apollodoro alii quoque testes. (27) Nam priusquam ego e ludis Pythicis redirem, ita cum demotis egit Apollodorus : se fecisse ut ego ipsi filius adoptarer atque ut nomen meum in codicem cognatorum atque phratorum, ceu filii sui, inferretur, facultatesque mihi tradidisse; quocirca hortari se demotas ut, si ab hora fatali opprimeretur, priusquam redissem, in codicem suum lexiarchicum nomen meum inscribant hoc titulo : *Thrasyllus Apollodori*, neve contra faxint. (28) Et illi quidem istis auditis, tametsi hi [Pronapis ejusque consortes] in conventu demotarum quererentur negantes me adoptatum esse, tamen et memores eorum quæ ipsi ante tum audiverant tum norant, jurejurando per sacra dicto, in lexiarchicum intulerunt meum nomen, sicuti Apollodorus præceperat : tam certum penes eos liquidumque meæ adoptionis erat negotium. Vera hæc me dicere testabuntur hi testes, quos tu mihi cita.

TESTES.

29. Coram tot testibus, judices, gestum fuit hoc adoptionis negotium ab Apollodoro, cui cum his [Eupolidis domesticis] vetusta simultas intercedebat, nobiscum autem præter necessitudinem summa quoque caritas. Verum enimvero etiamsi neutrum horum fuisset, neque simultas cum his neque familiaritas nobiscum, nunquam tamen Apollodorus bona sua in horum potestate reliquisset : id quod facile vobis probaverim. (30) Omnes animam agitantes sedulo cavent hoc, ut domus suæ desolatæ ne fiant, sed ut sit qui mânibus suis inferias inferat et reliqua justa faciat : quapropter, si qui improles ipsi sint, tamen filios sibi per adoptionem arrogatos heredes relinquunt. Neque privatim modo ita decernunt, sed ipsa quoque resp. idem ratum sanctumque voluit esse : lege enim mandavit resp. archonti, ut provideat ne quæ domus desolatæ fiant. (31) Jam planum Apollodoro erat, si facultates suas horum hominum potestati permitteret, fore ut sua domus desolaretur, quippe

τὸν οἶκον, προορῶντι ταύτας τὰς ἀδελφὰς τὸν μὲν Ἀπολλοδώρου τοῦ ἀδελφοῦ κλῆρον ἐχούσας, ἐκείνῳ δ' οὐκ εἰσποιούσας ὄντων αὐταῖς παίδων, καὶ τοὺς μὲν ἄνδρας αὐτῶν τὴν γῆν, ἣν ἐκεῖνος κατέλιπε, καὶ τὰ κτήματα πέντε ταλάντων πεπρακότας καὶ τὸ ἀργύριον διανειμαμένους, τὸν δὲ οἶκον αἰσχρῶς οὕτω καὶ δεινῶς ἐξηρημωμένον. (32) Ὡς δὴ ταῦτ' ᾔδει τὸν τούτων ἀδελφὸν πεπονθότα, πῶς ἂν προσεδόκησεν αὐτός, εἰ καὶ φίλος ἦν, τυχεῖν τῶν νομιζομένων ὑπ' αὐτῶν, ἀνεψιὸς ὢν ἀλλ' οὐκ ἀδελφὸς αὐταῖς; Οὐκ ἐνῆν ἐλπίσαι δήπουθεν. Ἀλλὰ μὴν ὅτι ἄπαιδα ἐκεῖνον περιεωράκασι καὶ τὰ χρήματα ἔχουσι καὶ οἶκον ἐκ τοῦ φανεροῦ τριηραρχοῦντα ἀνῃρήκασι, κάλει μοι καὶ τούτων τοὺς μάρτυρας.

qui vidisset has sorores [Eupolidis filias] fratris quidem sui Apollodori habere bona, filium autem ei nullum sufficere quamvis liberos haberent, et maritos earum fundum ab Apollodoro relictum una cum instrumento rustico ad quinque talentorum valorem vendidisse pecuniamque inter se divisisse, domumque Apollodori hoc pacto jacere turpiter desolatam. (32) Fratrem itaque qui nosset istæc a sororibus passum, qui poterat is sperare futurum ut ipse, etiamsi amicus illis fuisset, ab his honores supremos et justa adipisceretur, quorum non frater, sed solummodo consobrinus esset? Profecto negata illi erat hæc spes. Illos autem fratri suo filium nullum defuncto suffecisse, et bona ejus possidere, domumque, quæ quondam trierarchatus onera sustentavit, uti nemo nescit, de medio sustulisse, testabuntur testes hi quos ab te mihi citari volo.

ΜΑΡΤΥΡΕΣ.

TESTES.

33. Εἰ τοίνυν καὶ τοιοῦτοι τὰς φύσεις περὶ ἀλλήλους εἰσὶ καὶ ἔχθραι πρὸς Ἀπολλόδωρον τὸν ἐμὲ ποιησάμενον ὑπῆρχον αὐτοῖς τηλικαῦται τὸ μέγεθος, τί βέλτιον ἂν ἔπραξεν ἢ ταῦτα βουλευσάμενος ἅπερ ἐποίησεν; Ἦ νὴ Δία παιδίον ἐποιήσατο λαβὼν παρά του τῶν φίλων ὄντων, καὶ τούτῳ τὴν οὐσίαν ἔδωκεν; Ἀλλὰ καὶ τοῦτ' ἦν ἄδηλον καὶ τοῖς γεννήσασιν, εἴτε σπουδαῖον εἴτε μηδενὸς ἄξιον ἔμελλεν ἔσεσθαι, διὰ τὴν ἡλικίαν. (34) Ἐμοῦ δὲ πεῖραν εἰλήφει, δοκιμασίαν ἱκανὴν λαβών. Εἴς 67 τε γὰρ τὸν πατέρα καὶ τὴν μητέρα οἷος ἦν ἀκριβῶς ᾔδει, τῶν τ' οἰκείων ἐπιμελῆ καὶ τἀμαυτοῦ πράττειν ἐπιστάμενον· ἐν ἀρχῇ τε, θεσμοθετήσας, ὡς ἐγενόμην οὐκ ἄδικος οὐδὲ πλεονέκτης, ἠπίστατο σαφῶς. (35) Ὥστ' οὐκ ἀγνοῶν ἀλλὰ σαφῶς εἰδὼς ἐποίει με τῶν αὐτοῦ κύριον. Καὶ μὴν οὐδὲ ἀλλότριον ἀλλ' ὄντα ἀδελφιδοῦν, οὐδ' αὖ μικρὰ πεπονθὼς ἀλλὰ μεγάλα ἀγαθὰ ὑφ' ἡμῶν, οὐδ' αὖ ἀφιλότιμον, ὃς τὰ ὄντα ἀφιέναι ἔμελλον ὥσπερ οὗτοι τὰ τοῦ κλήρου πεποιήκασιν, ἀλλὰ βουλησόμενον καὶ τριηραρχεῖν καὶ πολεμεῖν καὶ χορηγεῖν καὶ πάνθ' ὑμῖν τὰ προσταττόμενα ποιεῖν, ὥσπερ κἀκεῖνος. (36) Καίτοι εἰ καὶ συγγενὴς καὶ φίλος καὶ εὐεργέτης καὶ φιλότιμος καὶ δεδοκιμασμένος ὑπῆρχον τοιοῦτος εἶναι, τίς ἂν ἀμφισβητήσειε μὴ οὐκ ἀνδρὸς εὖ φρονοῦντος εἶναι ταύτην τὴν ποίησιν; Ἐγὼ τοίνυν ἕν γε τῶν ὑπ' ἐκείνου δοκιμασθέντων ἤδη πεποίηκα· γεγυμνασιάρχηκα γὰρ εἰς Προμήθεια τοῦδε τοῦ ἐνιαυτοῦ φιλοτίμως, ὡς οἱ φυλέται πάντες ἴσασιν. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

33. Hoc igitur hi quum essent animo erga semet ipsos, et tanta quum esset iisdem cum Apollodoro simultas, quid aliud poterat Apollodoro melius in mentem venire quam ut hoc, quod executus est, consilium capesseret? Atqui debuerat, ais, medius fidius, sumptum ab amicorum aliquo puerum adoptare, heredemque bonorum suorum facere? Atqui ipsis adeo parentibus pueri propter ætatem incertum fuisset, qualis ille aliquando futurus esset. (34) Mei autem documentum ceperat Apollodorus, quod satis esset ad judicandum quæ de me speranda haberet. Norat enim quo animo erga patrem matremque essem, norat me necessariorum studiosum, rerum me mearum norat satagentem, norat qualem in magistratu me gessissem; thesmothetæ enim honore functus ita sum, ut neque jus æquum perverterem neque largitionibus corrumperer. (35) Hæc Apollodorus non ignorans, sed probe tenens, bonorum suorum me faciebat arbitrum, non alienum hominem sed sororis suæ filium, neque parvis nostris sed maximis obstrictus beneficiis, neque me animi ita degeneris ut passurus essem bona ejus pessum ire, quemadmodum hi passi sunt sui fratris bona pessum ire, sed prompte functurum muniis et trierarchatus et militiæ in terra continente et choregatus, denique quæcunque vos sitis imperaturi esse exsecuturum, quemadmodum ipse quoque fuit. (36) Atqui si et cognatus Apollodoro eram et amicus et bene de eo meritus et fidem ei feceram ut certus esset me talem esse, ecquis jam dubitet adoptandi mei consilium ab homine sanæ mentis profectum esse? Ego certe unum aliquod eorum, quæ mihi ab eo injuncta fuerunt, jam peregi: gymnasiarchatu enim functus fui in Prometheis hoc ipso anno liberaliter, id quod omnes norunt tribules. Vera hæc a me dici confirmabunt hi testes, quos mihi abs te citari volo.

ΜΑΡΤΥΡΕΣ

TESTES.

37. Τὰ μὲν ἡμέτερα δίκαια, καθ' ἃ προσηκόντως ἔχειν φαμὲν τὸν κλῆρον, ταῦτ' ἐστίν, ὦ ἄνδρες· δεόμεθα δ' ὑμῶν βοηθεῖν ἡμῖν καὶ ἕνεκα Ἀπολλοδώρου καὶ ἕνεκα τοῦ ἐκείνου πατρός· οὐ γὰρ ἀχρήστους αὐτοὺς εὑρήσετε πολίτας, ἀλλ' ὡς οἷόν τ' εἰς τὰ ὑμέτερα προθυμοτάτους. (38) Ὁ μὲν γὰρ πατὴρ αὐτοῦ τάς τε ἄλλας ἁπάσας λειτουργίας λελειτούργηκε, καὶ τριηραρχῶν τὸν πάντα χρόνον διετέλεσεν, οὐκ ἐκ συμμορίας

37. Hæc capita sunt, judices, illa juris, quorum freti auctoritate contendimus æquum esse nos hereditate Apollodori potiri. Jam vos, judices, obtestor ut nobis faveatis tum Apollodori gratia tum patris ejus, quos reperietis homines non inutiles fuisse, sed vestri quammaxime studiosos. (38) Nam pater Apollodori ut alia omnia obiit munia sumptuosa, ita trierarchatus per totam pæne vitam gessit, non sic ut nunc faciunt, societate cum aliis multis inita,

τὴν ναῦν ποιησάμενος ὥσπερ οἱ νῦν, ἀλλ' ἐκ τῶν αὑτοῦ δαπανῶν, οὐδὲ δεύτερος αὐτὸς ὢν ἀλλὰ κατὰ μόνας, οὐδὲ δύο ἔτη διαλιπὼν ἀλλὰ συνεχῶς, οὐδ' ἀφοσιούμενος ἀλλ' ὡς οἷόντ' ἄριστα παρασκευαζόμενος. Ἀνθ' ὧν ὑμεῖς κἀκεῖνον ἐτιμᾶτε, μεμνημένοι τούτων τῶν ἔργων, καὶ τὸν υἱὸν αὐτοῦ τῶν χρημάτων ἀποστερούμενον ἐσώσατε, τοὺς ἔχοντας ἀποδοῦναι τὰ ὄντ' αὐτῷ καταναγκάσαντες. (39) Καὶ μὴν καὶ αὐτὸς Ἀπολλόδωρος οὐχ ὥσπερ Προνάπης ἀπεγράψατο μὲν τίμημα μικρόν, ὡς ἱππάδα δὲ τελῶν ἄρχειν ἠξίου τὰς ἀρχάς, οὐδὲ βίᾳ μὲν ἐζήτει τὰ ἀλλότρι' ἔχειν, ὑμᾶς δ' ᾤετο δεῖν μηδὲν ὠφελεῖν, ἀλλὰ φανερὰ τὰ ὄντα καταστήσας ὑμῖν, ὅσα προστάττοιτε, πάνθ' ὑπηρέτει φιλοτίμως, οὐδέν τ' ἀδικῶν ἐκ τῶν ἑαυτοῦ φιλοτίμως ἐπειρᾶτο ζῆν, ἐς αὑτὸν μὲν τὰ μέτρια ἀναλίσκειν οἰόμενος δεῖν, τὰ δ' ἄλλα τῇ πόλει περιποιεῖν, ἵνα ἐξαρκοίη πρὸς τὰς δαπάνας. (40) Κἀκ τούτων τίνα λειτουργίαν οὐκ ἐξελειτούργησεν; ἢ τίνα εἰσφορὰν οὐκ ἐν πρώτοις εἰσήνεγκεν; ἢ τί παραλέλοιπεν ὧν προσῆκεν; ὅς γε καὶ παιδικῷ χορῷ χορηγῶν ἐνίκησεν, οὗ μνημεῖα τῆς ἐκείνου φιλοτιμίας ὁ τρίπους ἐκεῖνος ἕστηκε. Καίτοι τί χρὴ τὸν μέτριον πολίτην; οὐχ οὗ μὲν ἕτεροι τὰ μὴ προσήκοντ' ἐβιάζοντο λαμβάνειν, τούτων μηδὲν ποιεῖν, τὰ δ' ἑαυτοῦ πειρᾶσθαι σώζειν; οὗ δ' ἡ πόλις δεῖται χρημάτων, ἐν πρώτοις εἰσφέρειν καὶ μηδὲν ἀποκρύπτεσθαι τῶν ὄντων; (41) Ἐκεῖνος τοίνυν τοιοῦτος ἦν· ἀνθ' ὧν δικαίως ἂν αὐτῷ ταύτην τὴν χάριν ἀποδοίητε, τὴν ἐκείνου γνώμην περὶ τῶν αὑτοῦ κυρίαν εἶναι ποιήσαντες. Καὶ μὴν καὶ ἐμέ γε, ὅσα κατὰ τὴν ἐμὴν ἡλικίαν, εὑρήσετε οὐ κακὸν οὐδὲ ἄχρηστον. Ἐστράτευμαι τὰς στρατείας τῇ πόλει, τὰ προσταττόμενα ποιῶ· τοῦτο γὰρ τῶν τηλικούτων ἔργον ἐστί. (42) Καὶ ἐκείνων οὖν ἕνεκα καὶ ἡμῶν εἰκότως ἂν ποιήσαισθε πρόνοιαν, ἄλλως τε καὶ τούτων τριηραρχοῦντα οἶκον πεντετάλαντον ἀνῃρηκότων καὶ πεπρακότων καὶ ἔρημον πεποιηκότων, ἡμῶν δὲ καὶ λελειτουργηκότων ἤδη καὶ λειτουργησόντων, ἂν ὑμεῖς ἐπικυρώσητε τὴν Ἀπολλοδώρου γνώμην ἀποδόντες ἡμῖν τοῦτον τὸν κλῆρον.

43. Ἵνα δὲ μὴ δοκῶ διατρίβειν περὶ ταῦτα ποιούμενος τοὺς λόγους, βούλομαι διὰ βραχέων ὑμᾶς ὑπομνήσας οὕτω καταβαίνειν, τί ἑκάτερος ἡμῶν ἀξιοῖ, δηλώ-
68 σας. Ἐγὼ μὲν ἀδελφῆς οὔσης τῆς ἐμῆς μητρὸς Ἀπολλοδώρῳ, φιλίας αὐτοῖς πολλῆς ὑπαρχούσης, ἔχθρας δ' οὐδεμιᾶς πώποτε γενομένης, ἀδελφιδοῦς ὢν καὶ ποιηθεὶς υἱὸς ὑπ' ἐκείνου ζῶντος καὶ εὖ φρονοῦντος, καὶ εἰς τοὺς γεννήτας καὶ φράτορας ἐγγραφείς, ἔχειν τὰ δοθέντα, καὶ μὴ ἐπὶ τούτοις εἶναι ἐξερημῶσαι τὸν οἶκον τὸν ἐκείνου· Προνάπης δὲ τί ὑπὲρ τῆς ἀμφισβητούσης; (44) ἔχειν μὲν τοῦ τῆς γυναικὸς ἀδελφοῦ τιμὴν τοῦ ἡμικληρίου πένθ' ἡμιτάλαντα, λαβεῖν δὲ καὶ τόνδε τὸν κλῆρον ἑτέρων ταῖς ἀγχιστείαις προτέρων αὐτοῦ τῆς γυναικὸς ὄντων, οὔτ' ἐκείνῳ παῖδα εἰσπεποιηκὼς ἀλλὰ τὸν οἶκον ἐξηρημωκώς, οὐδὲ τούτῳ ἂν εἰσποιήσας

sed solus per se, neque intercalandis otii bienniis sed continenter, neque perfunctorie sed apparatu quam lautissimo. Quamobrem vos et ipsum honoravistis, et memores rerum ab eo gestarum, filio reddidistis fortunas quibus spoliatus fuerat, eo quod earum prædones cogeretis legitimo domino eas restituere. (39) Ad ipsum veniamus Apollodorum. Non is, ut hic Pronapes, professus quidem est censum exiguum, honores autem gerere petiit quasi equestris census tributa penderet, sed ordini equitum ascriptus honores gessit illi ordini competentes, neque vi studuit aliena bona sibi arrogare, in vestra autem commoda erogare quidquam noluit : sed facultates palam ad vos professus quæcunque vos exigeretis, ea cum gloriæ studio præstitit : neminis cum injuria studebat de suis vectigalibus personam in vita civili splendidam agere, existimans se decere, in semetipsum quidem sumptus facere modicos, quæ autem superessent, ea necessitatibus reip. reservare, ut muniis omnibus satisfaceret. (40) Ecquam enim liturgiam non ad finem perduxit? aut quam contributionem non inter primos contulit? aut quibus partibus suis defuit? non aliquando choregum agens choro puerili vicit, cujus liberalitatis monumentum tripus ille prostat? Atqui quæ sunt boni civis partes? nonne bona ad se nil pertinentia eripere contendentibus ita adversari, ut bona tua salva conservari studeas? nonne, quum resp. æris eget, inter primos censeri conferentes nullamque bonorum partem clam habere? (41) Talis vero fuit Apollodorus : quapropter ei vos hanc merito retuleritis gratiam, ut ab eo factam de bonis suis constitutionem vestra approbatione confirmetis. Quid? quod me ipsum quoque pro ætate mea civem reperietis non malum, neque contemnendum. Expeditionibus, quotquot suscipiendæ evenerunt, interfui; imperata exsequor; id quod est officium civium id ætatis quod ego nunc ago agentium. (42) Illis itaque pariter atque nobis merito prospicietis, præsertim quum hi domum quinque talenta valentem, quæ trierarchatus olim ferre soleret impendia, ad nihilum redegerint, fundis divenditis desolaverint et sustulerint, nos autem et gesserimus jam munia sumptuosa et in posterum quoque gesturi simus, si vos Apollodori voluntatem ratam jubeatis esse, hereditatem hanc nobis addicentes.

43. Ne justo diutius immorari his dicendo videar, paucis ubi comprehendero, quid uterque nostrûm velit, de suggesto descendam. Nostra mater, o judices, Apollodori soror fuit; nulla eos unquam intercessit simultas, sed caritate fuerunt conjunctissimi; ego Apollodori sum e sorore nepos et filius, ab eo adoptatus adhuc superstite et mentis adhuc compote, et ab eodem in gennetas et phratoras inscriptus : quibus de causis hereditatem Apollodori postulo, ab ipso mihi donatam, his autem ut copiam negetis domus desolandæ. Pronapes contra ecquid affert pro [uxore sua] eandem hereditatem petente? (44) Datum sibi censens ut habeat pecuniam quam e vendita semisse redegit illius hereditatis quam frater uxoris suæ reliquit, quinque semitalenta, contendit nunc hanc quoque rapere hereditatem, cujus adeundæ præstant aliis jure potiore quam est ejus uxori, quamvis, ut in locum prioris Apollodori nullum suffecit filium eoque domum illius passus fuit desolari, ita huic quoque Apollodoro nullum sit

ἀλλ' ὁμοίως ἂν καὶ τοῦτον ἐξερημώσας, καὶ ἔχθρας μὲν τηλικαύτης ὑπαρχούσης αὐτοῖς, διαλλαγῆς δὲ οὐδεμιᾶς πώποθ' ὕστερον γενομένης. (45) Ταῦτα χρὴ σκοπεῖν, ὦ ἄνδρες, κἀκεῖνο ἐνθυμεῖσθαι, ὅτι ἐγὼ μὲν ἀδελφιδοῦς αὐτῷ, ἡ δὲ ἀνεψιὰ τοῦ τελευτήσαντος, καὶ ὅτι ἡ μὲν δύ' ἔχειν ἀξιοῖ κλήρους, ἐγὼ δὲ τοῦτον μόνον εἰς ὅνπερ εἰσεποιήθην, καὶ ὅτι αὕτη μὲν οὐκ εὔνους τῷ καταλιπόντι τὸν κλῆρον, ἐγὼ δὲ καὶ ὁ ἐμὸς πάππος εὐεργέται γεγόναμεν αὐτοῦ. Ταῦτα πάντα σκεψάμενοι καὶ διαλογιζόμενοι πρὸς ὑμᾶς αὐτοὺς τίθεσθε τὴν ψῆφον ᾗ δίκαιόν ἐστιν.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων.

VIII.

ΠΕΡΙ ΤΟΥ ΚΙΡΩΝΟΣ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Κίρωνος ἄπαιδος γνησίων τελευτήσαντος παίδων, ἀδελφιδοῦς τις αὐτοῦ κατὰ πατέρα ἀντιποιηθεὶς τοῦ κλήρου παρέλαβε τὴν οὐσίαν αὐτοῦ παρὰ τῆς γυναικός· καὶ μετὰ ταῦτα ὁ λέγων τὸν λόγον γράφεται τὸν ἀδελφιδοῦν, φάσκων θυγατριδοῦς εἶναι Κίρωνος, καὶ ὅτι ἡ γυνὴ τοῦ τετελευτηκότος ἑκοῦσα προέδωκε τὸν κλῆρον τῷ ἀδελφιδῷ, ἵνα μέρος δοῦσα αὐτῷ τὰ λοιπὰ κερδάνῃ. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ στοχασμός· ζητεῖται γὰρ εἴτε θυγατριδοῦς ἐστιν οὗτος τοῦ Κίρωνος γνήσιος εἴτε οὔ. Ἐπιπλέκεται δ' αὐτῷ καὶ ἡ κατὰ ποιότητα ζήτησις· ὁ γὰρ ἀδελφιδοῦς ἠγωνίζετο, λέγων ὅτι εἰ καὶ δῶμεν ἐκείνην γνησίαν εἶναι θυγατέρα Κίρωνος, ἐπειδὴ ἐτελεύτησεν ἐκείνη, ὁ δ' υἱὸς αὐτῆς ἀμφισβητεῖ νῦν, προτιμητέος ἐστὶν ὁ κατὰ πατέρα ἀδελφιδοῦς τοῦ ἀπὸ θυγατρὸς ἐκγόνου, κατὰ τὸν νόμον ἐκεῖνον, τὸν κελεύοντα προτιμᾶσθαι τοὺς ἀπὸ τῶν ἀρρένων τῶν ἀπὸ τῶν θηλειῶν. Οὗτος γὰρ τεχνικώτατα πάνυ σιωπήσας τοῦτον τὸν νόμον, ἐκ τῆς τῶν τεκόντων διαφορᾶς ἀγωνίζεται, δεικνὺς ὅτι ὅσον θυγάτηρ ἀδελφοῦ οἰκειοτέρα τοῖς τελευτῶσι, τοσοῦτον ἔκγονος ἀδελφιδοῦ διαφέρει. Ἔρρωται οὖν ἐνταῦθα τῷ δικαίῳ καὶ ἀσθενεῖ τῷ νομίμῳ· τὴν δὲ ἐργασίαν τῶν κεφαλαίων κατὰ τὴν οἰκείαν πάλιν ἐργάζεται δύναμιν.

Ἐπὶ τοῖς τοιούτοις, ὦ ἄνδρες, ἀνάγκη ἐστὶ χαλεπῶς φέρειν, ὅταν τινὲς μὴ μόνον τῶν ἀλλοτρίων ἀμφισβητεῖν τολμῶσιν, ἀλλὰ καὶ τὰ ἐκ τῶν νόμων δίκαια τοῖς σφετέροις αὐτῶν λόγοις ἀφανίζειν ἐλπίζωσιν· ὅπερ καὶ νῦν οὗτοι ποιεῖν ἐγχειροῦσι. Τοῦ γὰρ ἡμετέρου πάππου Κίρωνος οὐκ ἄπαιδος τελευτήσαντος, ἀλλ' ἡμᾶς ἐκ θυγατρὸς αὐτοῦ γνησίας παῖδας αὐτῷ καταλελοιπότος, οὗτοί τε τοῦ κλήρου λαγχάνουσιν ὡς ἐγγυτάτω γένους ὄντες, ἡμᾶς τε ὑβρίζουσιν ὡς οὐκ ἐξ ἐκείνου θυγατρὸς ὄντας, οὐδὲ γενομένης αὐτῷ πώποτε τὸ παράπαν. (2) Αἴτιον δὲ τοῦ ταῦτα ποιεῖν αὐτούς ἐστιν ἡ τούτων πλεονεξία, τό τε πλῆθος τῶν χρημάτων ὧν Κίρων μὲν καταλέλοιπεν, οὗτοι δ' ἔχουσι βιασάμενοι καὶ κρατοῦσι· καὶ τολμῶσιν ἅμα μὲν λέγειν ὡς οὐδὲν καταλέλοιπεν ἐκεῖνος, ἅμα δὲ ποιεῖσθαι τοῦ κλή-

filium suffecturus, sed hujus quoque domum pari modo passurus desolari; quamvis denique cum Apollodoro simultas iis fuerit acerrima nullaque compositione placata. (45) Hæc spectare vos decet, judices, et præterea hoc quoque meminisse, me Apollodori e sorore nepotem, illam autem defuncti consobrinam esse; item hoc, illam mulierem geminam adipisci hereditatem cupere, me vero unam hanc solummodo, in quam adoptione immissus sum; illam haud benevolo fuisse animo erga eum a quo istæc hereditas relicta fuit, me autem avumque meum multa et magna in eum beneficia contulisse. Hæc omnia quum sedulo vobiscum eritis meditati, judices, ponite calculum æquo juri consentaneum.

Quæ plura dicam haud habeo, nullus dubitans, a me dictorum nihil vobis obscurum aut dubium esse.

VIII.

DE CIRONIS HEREDITATE.

ARGUMENTUM.

Cirone sine propriis liberis mortuo, fratris sui filius quidam ex patre vindicata sibi hereditate ab uxore illius bona accepit. postea hanc orationem recitans defert fratris filium, dicens illum Cironis nepotem ex filia esse, et uxorem mortui haud invitam nepoti hereditatem prodidisse, ut illi aliqua parte concessa reliquum sibi lucraretur. Et hoc quidem argumentum est, status vero conjecturalis: quæritur enim an hic ex filia Cironis legitimus nepos sit, an non. Attexitur autem conjecturali quæstioni etiam investigatio circa qualitatem legalem: filius namque fratris negat, dicens: etiamsi concedamus illam Cironis filiam legitimam esse, quando illa mortua est, nunc vero ejus filius litem intendit, anteponendus est filius fratris ex patre nepoti ex filia, secundum legem illam quæ præferri jubet marium posteros feminarum posteris. Hic enim artificiose omnino hanc legem silentio suppressit, certat vero de parentum differentia, et ostendit quantum filia fratre consanguinitate propinquior sit mortuis, tantum nepotem fratris filio potiorem esse. Corroboratur itaque hic justo et legitimo infirmatur: negotium vero rerum præcipuarum arte agitur accommodata.

Necesse tum est, judices, indignari, quum sunt homines, qui non solum de alienis bonis contendere audeant, sed etiam jura a legibus constituta suis conclusiunculis eludere contendant: id quod hi quoque nunc perficere laborant. Avus enim noster Ciron quum non improlis decessisset, sed nos e filia natos sibi suffecisset pro liberis genuinis, hi nihilominus tamen hereditatem petunt, prætendentes ei se in sanguine proximos esse, nos vero contumelia afficientes e filia Cironis natos negent; nullam enim Ciron filiam fuisse. (2) Quam ad impudentiam eos impellit et ipsorum aviditas, et facultatum magnitudo a Cirone relictarum, quas per vim habentes illi tenentesque dictitare tamen nulli dubitant a Cirone nihil esse relictum: quod aientes, nihilominus tamen hereditatem ab eo relictam

ρου τὴν ἀμφισβήτησιν. (3) Τὴν μὲν οὖν κρίσιν οὐ δεῖ μοι νομίζειν εἶναι ταύτην πρὸς τὸν εἰληχότα τοῦ κλήρου τὴν δίκην, ἀλλὰ πρὸς Διοκλέα τὸν Φλυέα, τὸν 69 Ὀρέστην ἐπικαλούμενον· οὗτος γάρ ἐστιν ὁ τοῦτον παρασκευάσας πράγματ' ἡμῖν παρέχειν, ἀποστερῶν τὰ χρήματα ἃ Κίρων ὁ πάππος ἀποθνήσκων κατέλιπεν, ἡμῖν δὲ τούτους τοὺς κινδύνους ἐπάγων, ἵνα μηδὲν ἀποδιδῷ τούτων, ἐὰν ὑμεῖς ἐξαπατηθῆτε πεισθέντες ὑπὸ τῶν τούτου λόγων. (4) Δεῖ δὴ τούτων τοιαῦτα μηχανωμένων πάνθ' ὑμᾶς τὰ πεπραγμένα μαθεῖν, ἵνα μηδὲν ἀγνοήσαντες τῶν γεγενημένων, ἀλλὰ σαφῶς εἰδότες περὶ αὐτῶν, οὕτως ἐνέγκητε τὴν ψῆφον. Εἴ τινι οὖν καὶ ἄλλῃ πώποτε δίκῃ προσέσχετε ἀκριβῶς τὸν νοῦν, δέομαι ὑμῶν καὶ ταύτῃ προσέχειν ὁμοίως, ὥσπερ καὶ τὸ δίκαιόν ἐστι. Πολλῶν δὲ δικῶν ἐν τῇ πόλει γενομένων, οὐδένες ἀναιδέστερον τούτων οὐδὲ καταφανέστερον ἀντιποιησάμενοι φανήσονται τῶν ἀλλοτρίων. (5) Ἔστι μὲν οὖν χαλεπόν, ὦ ἄνδρες, πρὸς παρασκευὰς λόγων καὶ μάρτυρας οὐ τἀληθῆ μαρτυροῦντας εἰς ἀγῶνα καθίστασθαι περὶ τηλικούτων, παντάπασιν ἀπείρως ἔχοντα δικαστηρίων· οὐ μὴν ἀλλὰ πολλὰς ἐλπίδας ἔχω καὶ παρ' ὑμῶν τεύξεσθαι τῶν δικαίων καὶ μέχρι γε τοῦ τὰ δίκαια εἰπεῖν καὶ αὐτὸς ἀρκούντως ἐρεῖν, ἂν μή τι συμβῇ τοιοῦτον ὃ νῦν ὑπ' ἐμοῦ τυγχάνει προσδοκώμενον. Δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες, μετ' εὐνοίας τέ μου ἀκοῦσαι, κἂν ἠδικῆσθαι δοκῶ, βοηθῆσαί μοι τὰ δίκαια.

6. Πρῶτον μὲν οὖν, ὡς ἦν ἡ μήτηρ ἡ 'μὴ Κίρωνος θυγάτηρ γνησία, ἐπιδείξω τοῦτο ὑμῖν, τὰ μὲν πάλαι γεγενημένα λόγων ἀκοῇ καὶ μαρτύρων, τὰ δ' ὥστε καὶ μνημονεύεσθαι, τοῖς εἰδόσι χρώμενος μάρτυσιν, ἔτι δὲ τεκμηρίοις ἃ κρείττω τῶν μαρτυριῶν ἐστιν· ἐπειδὰν δὲ ταῦτα φανερὰ καταστήσω, τόθ' ὡς καὶ κληρονομεῖν μᾶλλον ἡμῖν ἢ τούτῳ προσήκει τῶν Κίρωνος χρημάτων. Ὅθεν οὖν ἤρξαντο περὶ αὐτῶν, ἐντεῦθεν ὑμᾶς κἀγὼ πειράσομαι διδάσκειν.

7. Ὁ γὰρ πάππος ὁ ἐμός, ὦ ἄνδρες, Κίρων ἔγημε τὴν ἐμὴν τήθην οὖσαν ἀνεψιάν, ἐξ ἀδελφῆς τῆς αὐτοῦ μητρὸς αὐτὴν γεγενημένην. Ἐκείνη μὲν οὖν συνοικήσασα οὐ πολὺν χρόνον, τεκοῦσα αὐτῷ τὴν ἐμὴν μητέρα, μετὰ ἐνιαυτοὺς τριάκοντα τὸν βίον ἐτελεύτησεν· ὁ δὲ πάππος μιᾶς μόνης οὔσης αὐτῷ θυγατρὸς λαμβάνει πάλιν τὴν Διοκλέους ἀδελφήν, ἐξ ἧς αὐτῷ ἐγιγνέσθην υἱεῖς δύο. Καὶ ἐκείνην τε ἔτρεφε παρὰ τῇ γυναικὶ καὶ μετὰ τῶν ἐξ ἐκείνης παίδων, (8) ἐκείνων τε ἔτι ζώντων, ἐπεὶ συνοικεῖν εἶχεν ἡλικίαν, ἐκδίδωσιν αὐτὴν Ναυσιμένει Χολαργεῖ, σὺν ἱματίοις καὶ χρυσίοις πέντε καὶ εἴκοσι μνᾶς ἐπιδούς. Κἀκεῖνος μὲν τρισὶν ἢ τέτταρσιν ἔτεσι μετὰ ταῦτα κάμνων ἀποθνήσκει, πρὶν αὐτῷ γενέσθαι παῖδας ἐκ τῆς ἡμετέρας μητρός· ὁ δὲ πάππος κομισάμενος αὐτήν, καὶ τὴν προῖκα οὐκ ἀπολαβὼν ὅσην ἔδωκε διὰ τὴν Ναυσιμένους ἀπορίαν τῶν πραγμάτων, πάλιν ἐκδίδωσι τῷ ἐμῷ πατρὶ καὶ χιλίας δραχμὰς προῖκ' ἐπιδίδωσι. (9) Ταυτὶ δή, πάντα πρὸς

in jure petunt. (3) Verumtamen existimandum est causam hanc mihi esse non tam cum eo qui nomen suum huic hereditatis petitioni accommodavit, quam potius cum Diocle Phlyense, vulgo Oreste cognominato: hic enim hunc [puerum Cironis ex fratre aut sorore nepotem] subornavit ut has turbas nobis daret; quo Diocles hoc agit, ut bonis nos fraudet iis quæ Ciron avus moriens nobis reliquit, et hæc in discrimina nos conjiciat, neque eorum quicquam reddat, si possit orationis suæ præstigiis hoc consequi ut vos decipiamini. (4) Fraudes itaque tam turpes his machinantibus, totam vos rem doceri convenit, quo vos, nullam partem rei gestæ ignorantes, sed cunctam probe tenentes, sic demum de ea pronuntietis. Quodsi ergo alii cuipiam causæ unquam animum adjecistis, etiam huic, quæso, attendite, qua par etiam est. Causæ quanquam hac in urbe multæ agitantur, nulli tamen unquam fuerunt his impudentiores, neque evidentius aliena sibi bona vindicare studuerunt. (5) Arduum quidem est, judices, hominem usus forensis prorsus imperitum adversus apparatum causationum et adversus testes falsa confirmare paratos in certamen descendere: verumtamen multa pascor spe fore ut æquum jus a vobis obtineam, atque sic saltim tolerabiliter dicam ut æqua et vera dixisse videar, nisi tale quid interveniat quod ne nunc eveniat metuo. Quapropter vos rogo, judices, ut hanc orationem meam benevolis auribus accipere, atque, si læsus fuisse vobis visus fuero, mihi jus meum vindicare velitis.

6. Primum itaque docebo hoc, matrem meam Cironis esse legitimam filiam, partim famam rerum nostra memoria antiquiorum allegando sermonibus hominum atque testium affirmationibus traditam; partim testes producendo rerum earum, quæ adhuc teneri memoria queant, gnaros, et qui iis dum gererentur interfuere; præterea quoque colligendo ex indiciis quorum fides ipsa testium fide est potior: quæ omnia ubi plana dedero, tum accedam ad docendum hereditatem Cironis mihi magis quam huic competere. Unde igitur illi disputationem hac de causa ipsi exorsi sunt, illinc ego quoque principium faciam vos si potero docendi.

7. Avus nempe meus, o judices, Ciron aviam in matrimonium duxit, consobrinam suam, e sorore matris filiam, quæ non multo post, quum matrem meam illi peperisset, anno ætatis trigesimo [*post triennium in conjugio exactum?*] vivis excessit: avus itaque, cui præter unicam illam filiam alii nulli liberi essent, deinde duxit Dioclis hujus sororem, unde duo mares ipsi nati sunt. Sub hujus oculis avus filiam suam educavit una cum maribus ex secunda uxore natis: (8) et ad nubiles annos provectam, superstitibus adhuc ejus fratribus, elocavit Nausimeni Cholargensi cum dote viginti quinque minarum, partim in numerata pecunia partim in veste muliebri et mundo aureo pecunia æstimato. Triennio aut quadriennio post moritur Nausimenes e morbo, nullam prolem ex matre nostra relinquens: avus filiam quum in suam domum retulisset, neque dotem recuperasset ob afflictam Nausimenis rem familiarem, rursus elocat meo patri cum dote mille drachmarum. (9) Hæc itaque omnia si quis istorum causationibus

τὰς αἰτίας, ἃς νῦν οὗτοι λέγουσι, πῶς ἄν τις δείξειε γεγενημένα φανερῶς; Ἐγὼ ζητῶν ἐξεῦρον. Ἀνάγκη τὴν ἐμὴν μητέρα, εἴτε θυγάτηρ ἦν Κίρωνος εἴτε μή, καὶ εἰ παρ' ἐκείνῳ διῃτᾶτο ἢ οὔ, καὶ γάμους εἰ διττοὺς ὑπὲρ ταύτης εἱστίασεν ἢ μή, καὶ προῖκα ἥντινα ἑκάτερος ἐπ' αὐτῇ τῶν γημάντων ἔλαβε, πάντα ταῦτα εἰδέναι τοὺς οἰκέτας καὶ τὰς θεραπαίνας ἃς ἐκεῖνος ἐκέκτητο. (10) Βουλόμενος οὖν πρὸς τοῖς ὑπάρχουσι μάρτυσιν ἔλεγχον ἐκ βασάνων ποιήσασθαι περὶ αὐτῶν, ἵνα μᾶλλον αὐτοῖς πιστεύητε μὴ μέλλουσι δώσειν ἔλεγχον ἀλλ' ἤδη δεδωκόσι περὶ ὧν μαρτυροῦσι, τούτους ἠξίουν ἐκδοῦναι τὰς θεραπαίνας καὶ τοὺς οἰκέτας περί τε τούτων καὶ περὶ τῶν ἄλλων ἁπάντων ὅσα τυγχάνουσι συνειδότες. (11) Οὗτος δ' ὁ νῦν ὑμᾶς ἀξιώσων τοῖς αὐτοῦ μάρτυσι πιστεύειν ἔφυγε τὴν βάσανον. Καίτοι εἰ φανήσεται ταῦτα ποιῆσαι μὴ 'θελήσας, τί ὑπολείπεται τοῖς ἐκείνου μάρτυσιν ἢ δοκεῖν νυνὶ τὰ ψευδῆ μαρτυρεῖν, τούτου τηλικοῦτον ἔλεγχον πεφευγότος; ἐγὼ μὲν οἶμαι οὐδέν. Ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, λαβέ μοι πρῶτον ταύτην τὴν μαρτυρίαν καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑ.

12. Ὑμεῖς μὲν τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον ἀκριβέστατον ἔλεγχον νομίζετε· καὶ ὁπόταν δοῦλοι καὶ ἐλεύθεροι παραγένωνται καὶ δέῃ εὑρεθῆναί τι τῶν ζητουμένων, οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες, οὕτω ζητεῖτε εὑρεῖν τὴν ἀλήθειαν τῶν γεγενημένων. Εἰκότως, ὦ ἄνδρες· σύνιστε γὰρ ὅτι τῶν μὲν μαρτυρησάντων ἤδη τινὲς ἔδοξαν οὐ τἀληθῆ μαρτυρῆσαι, τῶν δὲ βασανισθέντων οὐδένες πώποτε ἐξηλέγχθησαν ὡς οὐκ ἀληθῆ ἐκ τῶν βασάνων εἰπόντες. (13) Οὗτος δ' ὁ πάντων ἀναισχυντότατος ἀνθρώπων λόγοις πεπλασμένοις καὶ μάρτυσιν οὐ τἀληθῆ μαρτυροῦσιν ἀξιώσει πιστεύειν ὑμᾶς, φεύγων οὕτως ἀκριβεῖς ἐλέγχους; ἀλλ' οὐχ ἡμεῖς, ἀλλὰ πρότερον ὑπὲρ τῶν μαρτυρηθήσεσθαι μελλόντων ἀξιώσαντες εἰς βασάνους ἐλθεῖν, τούτου δὲ φεύγοντος, οὕτως οἰησόμεθα δεῖν ὑμᾶς τοῖς ἡμετέροις μάρτυσι πιστεύειν. Λαβὲ οὖν αὐτοῖς ταυτασὶ τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

14. Τίνας εἰκὸς εἰδέναι τὰ παλαιά; δῆλον ὅτι τοὺς χρωμένους τῷ πάππῳ. Μεμαρτυρήκασι τοίνυν ἀκοὴν οὗτοι. Τίνας εἰδέναι τὰ περὶ τὴν ἔκδοσιν τῆς μητρὸς ἀνάγκη; τοὺς ἐγγυησαμένους καὶ τοὺς ἐκείνοις παρόντας ὅτε ἐνεγυῶντο. Μεμαρτυρήκασι τοίνυν οἵ τε Ναυσιμένους προσήκοντες καὶ οἱ τοῦ ἐμοῦ πατρός. Τίνες δὲ οἱ τρεφομένην ἔνδον καὶ θυγατέρα οὖσαν εἰδότες γνησίαν Κίρωνος; οἱ νῦν ἀμφισβητοῦντες ἔργῳ φανερῶς μαρτυροῦσιν ὅτι ταῦτ' ἐστὶν ἀληθῆ, φεύγοντες τὴν βάσανον. Ὥστε οὐ δήπου τοῖς ἡμετέροις ἂν ἀπιστήσαιτε εἰκότως, ἀλλὰ πολὺ μᾶλλον τοῖς τούτων μάρτυσιν.

15. Ἡμεῖς τοίνυν καὶ ἄλλα τεκμήρια πρὸς τούτοις

opponat, quo pacto perspicue doceat vere facta esse? eo nempe quo ego verum indagans inveni. Fueritne mater mea Cironis filia necne, et num in domo ejus versata fuerit necne, et num Ciron ejus causa geminas nuptias epulis concelebrarit an minus, et quamnam dotem unusquisque tulerit illorum duûm quibus mea mater nupsit, hæc omnia nota fuisse necesse est servis et ancillabus quæ Cironi fuerunt. (10) Volens igitur ego, præter eos qui mihi præsto sunt testes, ex illorum confessionibus per tormenta expressis hæc explorata dare, quo magis testibus fidem haberetis si testimonii sui veritatem non posthac demum probare parati essent, sed jam nunc probassent : postulavi ab his [Diocle et consortibus] ut servos ancillasque ad quæsitionem traderent his de rebus et si quæ aliæ cognitæ ipsis essent. (11) Verum Diocles, qui mox postulabit a vobis ut testibus suis fidem habeatis, explorationem hanc defugit. Atqui si convincetur oblatam a me conditionem ab eo repudiatam fuisse, quid testibus iis, quibus ille utetur, manebit reliquum præter hoc unum, ut falsa testari videantur, quandoquidem Diocles tam certo argumento uti noluerit? Nihil profecto, mea quidem sententia. Quo autem constet vera me dicere, cape tu primum hoc testimonium et recita.

TESTIMONIUM.

12. Vos itaque quidem, judices, et publice et privatim quæsitionem certissimam habetis fidei approbationem; et in causa ubi cum ingenuis servi quoque interveniant, si quid quæratur quod erui e re sit, testimoniis ingenuorum nil utimini, sed per servorum tormenta conamini rerum certitudinem expiscari. Et merito quidem, o judices; nam bene nostis testium haud paucos testimonia dixisse visos fuisse ementita, servorum autem tormentis subjectorum nullus unquam fuit qui convictus esset falsa sub tormentis edidisse. (13) Hic vero omnium hominum impudentissimus postulat ut commentitiis suis prætensionibus testibusque ad falsa confirmandum redemptis fidem habeatis, quum fidei documentum tam certum defugerit? Nos vero ita non agimus, sed prius ad servorum per tormenta quæsitionem procedi postulamus; quod quum hic defugiat, licebit nobis credere vos iidem testibus nostris habituros esse. Cape tu hæc testimonia et recita.

TESTIMONIA.

14. Quosnam consentaneum est vetusta nosse? scilicet eos qui avo familiariter usi sunt. Jam hi quæ ex eo audiisse se meminerunt, pro testimonio affirmarunt. Quosnam porro necesse est de meæ matris elocatione nosse? nimirum eos quibus illa desponsa fuit, nec non eos qui sponsalibus interfuerunt. Jam testati sunt Nausimenis necessarii hac de re una cum patris mei necessariis. Quinam tandem norunt matrem meam Cironis esse genuinam filiam in domoque ejus educatam? Hi ipsi qui hæc in controversiam vocant, eo quod mancipia tradere recusarunt, palam testantur vera esse quæ aio. Quapropter vos utique, judices, non nostris testibus, sed horum, diffidetis.

15. Verum præter hæc argumenta sunt nobis adhuc alia

ἔχομεν εἰπεῖν, ἵνα γνώσεσθε ὅτι ἐκ θυγατρὸς ἡμεῖς Κίρωνος ἐσμέν. Οἷα γὰρ εἰκὸς παίδων υἱέων ἐξ ἑαυτοῦ θυγατρός, οὐδεπώποτε θυσίαν ἄνευ ἡμῶν οὐδεμίαν ἐποίησεν, ἀλλ' εἴ τε μικρὰ εἴ τε μεγάλα θύοι, πανταχοῦ παρῆμεν ἡμεῖς καὶ συνεθύομεν. (16) Καὶ οὐ μόνον εἰς τὰ τοιαῦτα παρεκαλούμεθα, ἀλλὰ καὶ εἰς Διονύσια εἰς ἀγρὸν ἦγεν ἀεὶ ἡμᾶς, καὶ μετ' ἐκείνου τε ἐθεωροῦμεν καθήμενοι παρ' αὐτόν, καὶ τὰς ἑορτὰς ἤγομεν παρ' ἐκεῖνον πάσας· τῷ Διί τε θύων τῷ Κτησίῳ, περὶ ἣν μάλιστ' ἐκεῖνος θυσίαν ἐσπούδαζε καὶ οὔτε δούλους προσῆγεν οὔτε ἐλευθέρους ὀθνείους, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ πάντ' ἐποίει, ταύτης ἡμεῖς ἐκοινωνοῦμεν καὶ τὰ ἱερὰ συνεχειρουργοῦμεν καὶ συνετίθεμεν καὶ τἆλλα συνεποιοῦμεν, καὶ ηὔχετο ἡμῖν ὑγίειαν διδόναι καὶ κτῆσιν ἀγαθήν, ὥσπερ εἰκὸς ὄντα πάππον. (17) Καίτοι εἰ μὴ θυγατριδοῦς ἡμᾶς ἐνόμιζεν εἶναι καὶ μόνους ἐκγόνους ἑώρα λοιποὺς καταλελειμμένους αὑτῷ, οὐκ ἄν ποτε ἐποίει τούτων οὐδέν, ἀλλὰ τόνδ' ἂν αὑτῷ παρίστατο, ὃς ἀδελφιδοῦς αὐτοῦ νῦν εἶναι φησί. Καὶ ταῦθ' ὅτι ἀληθῆ πάντ' ἐστίν, ἀκριβέστατα μὲν οἱ τοῦ πάππου θεράποντες ἴσασιν, οὓς αὐτὸς παραδοῦναι εἰς βάσανον οὐκ ἠθέλησεν, ἴσασι δὲ περιφανέστατα καὶ τῶν ἐκείνῳ χρωμένων τινές, οὓς παρέξομαι μάρτυρας. Καί μοι λαβὲ τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

in promptu, unde cognoscatis nos Cironis filiæ esse liberos. Ciro nempe nos iis modis habuit, quibus ab avo materno nepotes haberi par est : sacrificium sine nobis nullum unquam fecit, sed sive minus sive majus offerret sacrum, ubique nos intereramus et una peragebamus. (16) Neque ad talia solummodo arcessebamur, sed etiam per Liberalia nos secum rus ducebat semper, in spectaculis assidebamus ipsi, diesque festos apud eum agebamus omnes. Nulli numini addictior erat quam Jovi Ctesio; cui sacra faciens neque servum neque ingenuos alienos admittebat, sed ipse omnibus defungebatur; nos tamen horum sacrorum faciebat participes, manuum operam illi accommodabamus, cum eo prosicias aræ imponebamus, aliaque ministeria præstabamus, et ille vota faciens a deo precabatur ut prosperam valetudinem et rem florentem nobis largiretur; uti ab avo fieri par erat. (17) Atqui, nisi nos filiæ suæ liberos duxisset solosque sibi reliquos factos nepotes, nunquam horum quicquam fecisset, sed hunc sibi adjunxisset, qui Cironis e sorore nepotem se fert. Vera hæc a me dicta esse omnia norunt quidem omnium certissime avi famuli, quos hic [Diocles] nobis ad quæsitionem deposcentibus denegavit; verum etiam eorum aliqui norunt liquidissime, quibus avus familiariter usus fuit, quos ego vobis testes edam. Cape tu mihi hæc testimonia, atque recita.

ΜΑΡΤΥΡΙΑΙ.

TESTIMONIA.

18. Οὐ τοίνυν ἐκ τούτων δῆλόν ἐστι μόνον ὅτι ἦν ἡμῶν ἡ μήτηρ θυγάτηρ γνησία Κίρωνος, ἀλλὰ καὶ ἐξ ὧν ὁ πατὴρ ἡμῶν ἔπραξε καὶ ἐξ ὧν αἱ γυναῖκες αἱ τῶν δημοτῶν περὶ αὐτῆς ἐγίνωσκον. Ὅτε γὰρ ὁ πατὴρ αὐτὴν ἐλάμβανε, γάμους εἱστίασε καὶ ἐκάλεσε τρεῖς αὑτοῦ φίλους μετὰ τῶν αὑτοῦ προσηκόντων, τοῖς τε φράτορσι γαμηλίαν εἰσήνεγκε κατὰ τοὺς ἐκείνων νόμους. (19) Αἵ τε γυναῖκες αἱ τῶν δημοτῶν μετὰ ταῦτα προὔκριναν αὐτὴν μετὰ τῆς Διοκλέους γυναικὸς τοῦ Πιτθέως ἄρχειν εἰς τὰ Θεσμοφόρια καὶ ποιεῖν τὰ νομιζόμενα μετ' ἐκείνης. Ὅ τε πατὴρ ἡμῶν, ἐπειδὴ ἐγενόμεθα, εἰς τοὺς φράτορας ἡμᾶς εἰσήγαγεν, ὀμόσας κατὰ τοὺς νόμους τοὺς κειμένους ἦ μὴν ἐξ ἀστῆς καὶ ἐγγυητῆς γυναικὸς
71 εἰσάγειν· τῶν δὲ φρατόρων οὐδεὶς ἀντεῖπεν οὐδ' ἠμφισβήτησε μὴ οὐκ ἀληθῆ ταῦτ' εἶναι, πολλῶν ὄντων καὶ ἀκριβῶς τὰ τοιαῦτα σκοπουμένων. (20) Καίτοι μὴ οἴεσθ' ἄν, εἰ τοιαύτη τις ἦν ἡ μήτηρ ἡμῶν οἵαν οὗτοί φασι, μήτ' ἂν τὸν πατέρα ἡμῶν γάμους ἑστιᾶν καὶ γαμηλίαν εἰσενεγκεῖν, ἀλλὰ ἀποκρύψασθαι ταῦτα πάντα, μήτε τὰς τῶν ἄλλων δημοτῶν γυναῖκας αἱρεῖσθαι ἂν αὐτὴν συνιεροποιεῖν τῇ Διοκλέους γυναικὶ καὶ κυρίαν ποιεῖν ἱερῶν, ἀλλ' ἑτέρᾳ ἄν τινι περὶ τούτων ἐπιτρέπειν, μήτε τοὺς φράτορας εἰσδέχεσθαι ἡμᾶς, ἀλλὰ κατηγορεῖν καὶ ἐξελέγχειν, εἰ μὴ πάντοθεν ἦν ὁμολογούμενον τὴν μητέρα ἡμῶν εἶναι θυγατέρα γνησίαν Κίρωνος. Νῦν δὲ τῇ περιφανείᾳ τοῦ πράγματος καὶ τῷ συνειδέναι ταῦτα πολλοὺς οὐδαμόθεν ἠμφισβητήθη

18. Verum non ex his solis liquet matrem nostram Cironis esse genuinam filiam, sed ex actis quoque nostri patris, item e decretis quæ uxores demotarum patris super ea sciverunt. Pater enim, nuptias cum matre celebrans, tres quosdam e numero familiarium suorum ad epulas nuptiales invitavit præter necessarios, et victimam nuptiarum in phratriam intulit prout mos est. (19) Demotarum quoque uxores eam postmodum una cum uxore Dioclis Pitthensis delegerunt, quo hæ duæ mulieres principes essent in pompa muliebri Thesmophoriorum et ut sacra vetusto ritu facerent. Pater quoque noster, ut nati fuimus, in phratoras nos induxit, apud eosque sancito legibus jurejurando affirmavit nos sibi e cive Attica legitime sibi desponsa natos esse : phratorum ibi nullus oblocutus est neque veritatem rei in dubium adduxit, tametsi phratorum magnus esset numerus iique hæc talia severe scrutari soleant. (20) Atqui existimare vos oportet, ea si fuisset mater nostra quam hi prædicant, patrem nostrum neque nuptias ejus nomine fuisse celebraturum neque nuptiale sacrum in phratriam illaturum, sed potius conjugium cum illa initum occultum fuisse habiturum : reliquorum quoque demotarum uxores eam nunquam delegissent ad sacra una cum Dioclis uxore faciendum neque hoc illius fidei commisissent, sed alii cuicunque matronæ permisissent : phratores item nos non recepissent, sed accusassent potius atque vitium natalium in apertum protulissent, nisi matrem nostram genuinam Cironis esse filiam apud omnes in confesso fuisset. Jam vero nihil horum in controversiam venit, ut in

τοιοῦτον οὐδέν. Καὶ ταῦθ' ὡς ἀληθῆ λέγω, κάλει τούτων τοὺς μάρτυρας.

re evidentissima. Vera hæc a me dici quo constet, cita tu mihi hosce testes.

ΜΑΡΤΥΡΕΣ.

TESTES.

21. Ἔτι τοίνυν, ὦ ἄνδρες, καὶ ἐξ ὧν ὁ Διοκλῆς ἔπραξεν ὅτε ἡμῶν ὁ πάππος ἐτελεύτησε, γνῶναι ῥᾴδιον ὅτι ὡμολογούμεθα εἶναι θυγατριδοῖ Κίρωνος. Ἦκον γὰρ ἐγὼ κομιούμενος αὐτὸν ὡς θάψων ἐκ τῆς οἰκίας τῆς ἐμαυτοῦ, τῶν ἐμαυτοῦ οἰκείων τινὰ ἔχων, ἀνεψιὸν τοῦ πατρός· καὶ Διοκλέα μὲν οὐ κατέλαβον ἔνδον, εἰσελθὼν δὲ εἴσω κομίζειν οἷος ἦν, ἔχων τοὺς οἴσοντας. (22) Δεομένης δὲ τῆς τοῦ πάππου γυναικὸς ἐκ τῆς οἰκίας αὐτὸν ἐκείνης θάπτειν, καὶ λεγούσης ὅτι βούλοιτ' ἂν αὐτὴ τὸ σῶμα τὸ ἐκείνου συμμεταχειρίζεσθαι μεθ' ἡμῶν καὶ κοσμῆσαι, καὶ ταῦτα ἱκετευούσης καὶ κλαιούσης, ἐπείσθην, ὦ ἄνδρες, καὶ τούτῳ προσελθὼν μαρτύρων ἐναντίον εἶπον ὅτι ἐντεῦθεν ποιήσομαι τὴν ταφήν· δεδεημένη γὰρ εἴη ταῦτα ποιεῖν ἡ τούτου ἀδελφή. (23) Καὶ ταῦτα Διοκλῆς ἀκούσας οὐδὲν ἀντεῖπεν, ἀλλὰ καὶ ἐωνῆσθαί τι τῶν εἰς τὴν ταφήν, τῶν δὲ ἀρραβῶνα δεδωκέναι οὗτος φάσκων ταῦτα ἠξίου παρ' ἐμοῦ λαβεῖν, καὶ διωμολογήσατο τῶν μὲν ἠγορασμένων τιμὴν ἀπολαβεῖν, ὧν δὲ ἀρραβῶνα ἔφασκε δεδωκέναι, συστῆσαι τοὺς λαβόντας. Εὐθὺς οὖν τοῦτο παρεφθέγγετο, ὡς οὐδ' ὁτιοῦν εἴη Κίρων καταλελοιπώς, οὐδένα λόγον ἐμοῦ πω ποιουμένου περὶ τῶν ἐκείνου χρημάτων. (24) Καίτοι εἰ μὴ ἦν θυγατριδοῦς Κίρωνος, οὐκ ἂν ταῦτα διωμολογεῖτο, ἀλλ' ἐκείνους ἂν τοὺς λόγους ἔλεγε « σὺ δὲ τίς εἶ; σοὶ δὲ τί προσήκει θάπτειν; οὐ γινώσκω σε· οὐ μὴ εἴσει εἰς τὴν οἰκίαν. » Ταῦτ' εἰπεῖν προσῆκεν, ἅπερ νῦν ἑτέρους πέπεικε λέγειν· νῦν δὲ τοιοῦτον μὲν οὐδὲν εἶπεν, εἰς ἕω δὲ τἀργύριον ἐκέλευεν εἰσενεγκεῖν. Καὶ ταῦτα ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

21. Præterea illa ipsa, quæ Diocles ab excessu avi nostri gessit, satis, o judices, produnt, constitisse inter omnes Cironis e filia nepotes nos esse. Veniebam scilicet ego Cironis ad domum, cadaver ejus illinc meam in domum asportatum, ut e qua vellem funus efferri : habebam mecum aliquem necessariorum, patris mei consobrinum. Ibi ego Dioclem quidem domi Cironis haud reperi, ingressus tamen in domum accingebar ad corpus transferendum, habens mecum servos ad bajulandum. (22) Verum intercedebat uxor avi, supplicans ut ego vellem e domo sua funus avi efferre, spondens operam a se nobis præstandam in corpore avi tractando et adornando : permovebar, judices, oratione supplicantis et lacrimantis, ut ad Dioclem accederem, cui coram testibus significabam me decrevisse Cironis e domo funus ejus efferre; idque dare precibus viduæ, quæ esset ipsius [Dioclis] soror. (23) Diocles ista audiens nil obloquebatur, hæc tantummodo admonebat funeris ergo se nonnulla emisse soluta pecunia, pro aliis vero quibusdam arrham dedisse : rogabat ergo ut pretium sibi redderem, curabatque sibi a me statim sponderi de pretio rerum emptarum reddendo, et, quibus a se datam aiebat arrham esse, eos se ad me adducturum esse. Protinus itaque Diocles hoc velut obiter sermoni suo immiscebat, quasi Ciron nihil in facultatibus reliquisset; quanquam ego nihildum de facultatibus Cironis quærebam. (24) Atqui, si Cironis ego e filia nepos non fuissem, profecto nunquam Diocles illud mecum fuisset pactus, sed hac potius oratione me repulisset : « Tu vero cujus es? quid tibi cum funere Cironis? ego te non novi; noli meam in domum intrare. » Hac eum oratione uti tum decebat, quam nunc alios induxit ut mihi ingererent : tum vero nihil horum ipse ad me, sed hoc potius, ut operam darem ut die post æs sibi persolverem. Testes tu mihi cita confirmaturos hæc a me vera dici.

ΜΑΡΤΥΡΕΣ.

.TESTES.

25. Οὐ τοίνυν ἐκεῖνος μόνος, ἀλλ' οὐδὲ ὁ νῦν ἀμφισβητῶν τοῦ κλήρου τοιοῦτον εἶπεν οὐδέν, ἀλλ' ὑπὸ τούτου παρασκευασθεὶς ἀμφισβητεῖ. Κἀκείνου τὸ μὲν παρ' ἐμοῦ κομισθὲν ἀργύριον οὐκ ἐθελήσαντος ἀπολαβεῖν, παρὰ τούτου δ' ἀπειληφέναι τῇ ὑστεραίᾳ φάσκοντος, οὐκ ἐκωλυόμην συνθάπτειν, ἀλλὰ πάντα συνεποίουν· οὐχ ὅπως τοῦδε ἀναλίσκοντος οὐδὲ Διοκλέους, ἀλλ' ἐξ ὧν ἐκεῖνος κατέλιπε γινομένων τῶν εἰς αὐτὸν ἀναλωμάτων. (26) Καίτοι καὶ τούτῳ προσῆκεν, εἰ μὴ πάππος ἦν μοι Κίρων, ὠθεῖν, ἐκβάλλειν καὶ κωλύειν συνθάπτειν. Οὐδὲν γὰρ ὅμοιον ἦν μοι πρὸς τοῦτον· ἐγὼ μὲν γὰρ εἴων αὐτὸν ἀδελφιδοῦν ὄντα τοῦ πάππου ταῦτα πάντα συμποιεῖν, τούτῳ δ' ἔμ' οὐ προσῆκεν ἐᾶν, εἴπερ ἀληθῆ ταῦτα ἦν ἅπερ νῦν λέγειν τολμῶσιν. (27) Ἀλλ' οὕτω τῇ τοῦ πράγματος ἀληθείᾳ καταπέπληκτο, ὥστ' οὐδ' ἐπὶ τοῦ μνήματος ἐμοῦ ποιουμένου λόγους, καὶ κατηγοροῦντος Διοκλέους ὅτι τὰ χρήματα ἀποστερῶν τοῦτόν μοι πέπεικεν ἀμφισβητεῖν, οὐκ ἐτόλμησε

25. Neque Diocles solummodo se a tali oratione abstinuit, verum etiam hic ipse qui nunc mecum super hereditate Cironis contendit; scilicet is a Diocle subornatus mecum contendit. Jam quum æs pactum Diocli daturus afferrem, noluit ille accipere, præ se ferens ab hoc [competitore meo] die postero sibi jam esse satisfactum; nemo tamen ideo me prohibebat quominus in curando funere præsto ipsis essem, sed rebus in omnibus operam cum illis communem navabam; ceterum neque hic neque Diocles de suo in funus erogabant, sed ex hereditate a Cirone relicta. (26) Atqui, si Ciro avus mihi non erat, oportebat hunc ipsum quoque [competitorem meum] me extrudere, eliminare, a societate operæ in pollingendo me arcere. Non enim eramus nos ambo conditione pares : nam ego equidem eum sinere poteram in avi funere curando mecum assiduum esse, quippe qui ejus e sorore nepos esset; illum autem decebat arcere me, si vera erant ea quæ nunc audent jactare. (27) Verum tam erat rei veritate perculsus, ut ne tum quidem, quum ego ad sepulcrum verba faciens de Diocle quererer, qui Cironis hereditate me spoliaturus, hunc mihi immitteret litem de ea mecum exorsurum, ut,

γρύξαι τὸ παράπαν οὐδὲν οὐδ' εἰπεῖν ἃ νῦν τολμᾷ λέγειν. Καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

28. Πόθεν χρὴ πιστεύεσθαι τὰ εἰρημένα; οὐκ ἐκ τῶν μαρτυριῶν; οἶμαί γε. Πόθεν δὲ τοὺς μάρτυρας; οὐκ
72 ἐκ τῶν βασάνων; εἰκός γε. Πόθεν δ' ἀπιστεῖν τοῖς τούτων λόγοις; οὐκ ἐκ τοῦ φεύγειν τοὺς ἐλέγχους; ἀνάγκη μεγάλη. Πῶς οὖν ἄν τις σαφέστερον ἐπιδείξειε γνησίαν οὖσαν θυγατέρα Κίρωνος τὴν μητέρα τὴν ἐμὴν ἢ τοῦτον τὸν τρόπον ἐπιδεικνύς; (29) τῶν μὲν παλαιῶν ἀκοὴν μαρτυρούντων παρεχόμενος, τῶν δὲ ἔτι ζώντων τοὺς εἰδότας ἕκαστα τούτων, οἳ συνῄδεσαν παρ' ἐκείνῳ τρεφομένην, θυγατέρα νομιζομένην, δὶς ἐκδοθεῖσαν, δὶς ἐγγυηθεῖσαν, ἔτι δὲ περὶ πάντων τούτους βάσανον ἐξ οἰκετῶν πεφευγότας, οἳ ταῦτα πάντα ᾔδεσαν. Ἐγὼ δὲ μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους οὐκ ἂν ἔχοιμι πίστεις μείζους τούτων εἰπεῖν, ἀλλ' ἱκανὰς εἶναι νομίζω τὰς εἰρημένας.

30. Φέρε δή, καὶ ὡς προσήκει ἐμοὶ μᾶλλον ἢ τούτῳ τῶν Κίρωνος χρημάτων, νῦν ἤδη τοῦτο ἐπιδείξω. Καὶ νομίζω μὲν ἁπλῶς καὶ ὑμῖν ἤδη εἶναι φανερὸν ὅτι οὐκ ἐγγυτέρω τῆς ἀγχιστείας εἰσὶν οἱ μετ' ἐκείνου φύντες ἢ οἱ ἐξ ἐκείνου γεγονότες (πῶς γάρ; οἱ μὲν γὰρ ὀνομάζονται συγγενεῖς, οἱ δ' ἔκγονοι τοῦ τελευτήσαντος)· οὐ μὴν ἀλλ' ἐπειδὴ καὶ οὕτως ἐχόντων τολμῶσιν ἀμφισβητεῖν, καὶ ἐξ αὐτῶν τῶν νόμων ἀκριβέστερον διδάξομεν. (31) Εἰ γὰρ ἔζη μὲν ἡ ἐμὴ μήτηρ, θυγάτηρ δὲ Κίρωνος, μηδὲν δὲ ἐκεῖνος διαθέμενος ἐτελεύτησεν, ἦν δὲ ἀδελφὸς οὗτος αὐτῷ, μὴ ἀδελφιδοῦς, συνοικῆσαι μὲν ἂν τῇ γυναικὶ κύριος ἦν, τῶν δὲ χρημάτων οὐκ ἄν, ἀλλ' οἱ γενόμενοι παῖδες ἐκ τούτου καὶ ἐξ ἐκείνης, ὁπότε ἐπὶ δίετες ἥβησαν· οὕτω γὰρ οἱ νόμοι κελεύουσιν. Εἰ τοίνυν καὶ ζώσης κύριος αὐτὸς μὴ ἐγένετο τῶν τῆς γυναικός, ἀλλ' οἱ παῖδες, δῆλον ὅτι καὶ τετελευτηκυίας, ἐπεὶ παῖδας ἡμᾶς καταλέλοιπεν, οὐ τούτοις ἀλλ' ἡμῖν προσήκει κληρονομεῖν τῶν χρημάτων.

32. Οὐ τοίνυν ἐκ τούτου μόνον, ἀλλὰ καὶ ἐκ τοῦ περὶ τῆς κακώσεως νόμου δῆλόν ἐστιν. Εἰ γὰρ ἔζη μὲν ὁ πάππος, ἐνδεὴς δὲ ἦν τῶν ἐπιτηδείων, οὐκ ἂν οὗτος ὑπόδικος ἦν τῆς κακώσεως, ἀλλ' ἡμεῖς. Κελεύει γὰρ τρέφειν τοὺς γονέας· γονεῖς δ' εἰσὶ μήτηρ καὶ πατὴρ καὶ πάππος καὶ τήθη καὶ τούτων μήτηρ καὶ πατήρ, ἐὰν ἔτι ζῶσιν· ἐκεῖνοι γὰρ ἀρχὴ τοῦ γένους εἰσί, καὶ τὰ ἐκείνων παραδίδοται τοῖς ἐκγόνοις· διόπερ ἀνάγκη τρέφειν αὐτούς ἐστι, κἂν μηδὲν καταλίπωσι. Πῶς οὖν δίκαιόν ἐστιν, ἐὰν μὲν μηδὲν καταλίπωσιν, ἡμᾶς ὑποδίκους εἶναι τῆς κακώσεως, ἢν μὴ τρέφωμεν, εἰ δέ τι καταλελοίπασι, τόνδ' εἶναι κληρονόμον, ἀλλὰ μὴ ἡμᾶς; οὐδαμῶς δήπουθεν.

33. Πρὸς ἕνα δὲ τὸν πρῶτον τῶν συγγενῶν προσάξω, καὶ τοῦ γένους καθ' ἕκαστον ὑμᾶς ἐρωτήσω· ῥᾷστα γὰρ οὕτω μάθοιτ' ἄν. Κίρωνος πότερον θυγάτηρ ἢ ἀδελφὸς

inquam, ne hiscere quidem tum contra auderet, nedum ut ea proferret quæ nunc jactare nil eum pudet. Vera hæc a me dici quo constet, cita tu mihi testes.

TESTES.

28. Unde fas est fidem dictis astrui? non ex testimoniis? Arbitror equidem. Unde autem testium testimonio fides constabit? non e quæsitione servorum per tormenta? Par id utique est. Ecquid porro vos movebit ut horum orationi diffidatis? non hoc, quod adminiculis coarguitionis ut recusarunt? Caret id quidem omni dubio. Qui ergo flat ut dilucidius quisquam doceat Cironis filiam genuinam meam matrem esse, quam si doceat eo modo quo ego docui? (29) primum quidem de rebus ætate patrum gestis eos testes exhibens, qui affirmarent se ista e majoribus natu audisse; tum de recentioribus testes producens adhuc superstites, qui res omnes probe cognitas haberent, qui scirent matrem meam in domo Cironis pro filia educatam, bis cum dote elocatam, bis desponsam; præterea hos ipsos adversarios meos certissimam hisce de rebus convictionem ex ore servorum defugientes, qui servi ista omnia probe norant. Ego equidem, ita me dii ament Olympii, documenta hisce luculentiora haud habeo afferre; quanquam quæ attuli satis ea fore arbitror idonea.

30. Agedum, docebo jam nunc bona Cironis jure potiori mihi competere quam huic; quanquam vobis, judices, in universum satis perspicuum arbitror esse, in consanguinitate non collaterales aliquem propius attingere quam descendentes (ecqui etiam secus sit? alteri enim modo sunt cognati alicujus, alteri vero sunt ἔκγονοι seu ex eo nati): verum quia rebus ita sese habentibus nihilominus tamen hi petere audent hereditatem, etiam e jure civili id diligentius adhuc docebo. (31) Nam si mea mater, quæ Cironis est filia, adhuc superesset, et Ciron decedens de hereditate sua nihil constituisset, et hic [competitor] non esset Cironis e sorore nepos, sed frater Cironis, foret quidem penes eum mulierem [filiam Cironis] in matrimonio habere; at non ideo tamen bonorum Cironis foret ille compos, sed liberi ex ipso et filia Cironis nati, posteaquam secundum a pubertate annum excessissent; sic enim leges edicunt. Quodsi ergo hic muliere adhuc superstite potitus Cironis bonis non fuisset, sed liberi ejus ex illa muliere nati, paret illa muliere vivis exempta non illi [competitori meo] ejusque fratribus competere jus hereditatis adeundæ, sed nobis quos illa liberos reliquit.

32. Verum non modo ex hac sola lege, sed etiam ex illa quæ de liberis parentes male habentibus est, hoc elucescit. Avus enim si adhuc superstes et necessitatum vitæ egens viveret, non hic hoc e titulo foret incusabilis, sed nos essemus. Sancit enim lex parentes a liberis alendos esse; sunt autem parentes pater et mater et avus cum avia et horum item pater atque mater, si adhucdum supersint: hi enim sunt principium stirpis, et eorum bona liberis atque nepotibus a legibus contribuuntur; hac de causa necessario quoque illis incumbit cura eos alendi, etiamsi prorsus nihil relinquant. Qui igitur æquum sit, parentes si neglexerimus alere a quibus facultatum nihil ad nos pervenerit, ideo nos animi erga parentes ingrati reos fieri; sin autem bona reliquerint, illorum bonorum heredem hunc esse, nos vero excludi? Nequaquam.

33. Jam ego primarium cognatorum (*fratrem*) cum unoquoque eorum, qui *genus* constituunt, componam atque vos interrogabo. Sic enim facillime rem intelligetis.

λάττεται τοῦ πράγματος, ὡς οἱ συνειδότες καταμαρτυροῦσι. Τοῦτον μὲν οὖν, οἷός ἐστι, καὶ νῦν ἀκούετε καὶ αὖθις ἀκριβέστερον πεύσεσθε, ὅταν κατ' αὐτοῦ τὴν δίκην ἡμεῖς εἰσίωμεν· (45) ὑμῶν δ' ἐγὼ δέομαι καὶ ἱκετεύω, μή με περιίδητε περὶ τούτων ὑβρισθέντα τῶν χρημάτων ὧν ὁ πάππος κατέλιπε, μηδ' ἀποστερηθέντα, ἀλλὰ βοηθήσατε καθ' ὅσον ὑμῶν ἕκαστος τυγχάνει δυνάμενος. Ἔχετε δὲ πίστεις ἱκανὰς ἐκ μαρτυριῶν, ἐκ βασάνων, ἐξ αὐτῶν τῶν νόμων, ὅτι τ' ἐσμὲν ἐκ θυγατρὸς γνησίας Κίρωνος, καὶ ὅτι προσήκει ἡμῖν μᾶλλον ἢ τούτοις κληρονομεῖν τῶν ἐκείνου χρημάτων, ἐκγόνοις οὖσι τοῦ πάππου. (46) Μνησθέντες οὖν καὶ τῶν ὅρκων οὓς ὀμόσαντες δικάζετε, καὶ τῶν λόγων οὓς εἰρήκαμεν, καὶ τῶν νόμων, ᾗ δίκαιόν ἐστι, ταύτῃ τὴν ψῆφον τίθεσθε.

Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· οἶμαι γὰρ ὑμᾶς οὐδὲν ἀγνοεῖν τῶν εἰρημένων. Λαβὲ δ' αὐτοῖς τὴν μαρτυρίαν τὴν λοιπήν, ὡς ἐλήφθη μοιχός, καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑ.

IX.

ΠΕΡΙ ΤΟΥ ΑΣΤΥΦΙΛΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἀστύφιλος καὶ ὁ λέγων τὸν λόγον ἀδελφοὶ ὁμομήτριοι· τελευτήσαντος δὲ τοῦ Ἀστυφίλου διαθήκας προήνεγκε Κλέων τις, ἀνεψιὸς ὢν αὐτοῦ, φάσκων αὐτὰς γενέσθαι εἰς τὸν υἱὸν ἑαυτοῦ· ὁ δὲ ἀδελφὸς τοῦ Ἀστυφίλου κατηγορεῖ τῶν διαθηκῶν ὡς πλαστῶν. Ἡ στάσις στοχασμός.

Ἀδελφός μοι ἦν ὁμομήτριος, ὦ ἄνδρες, Ἀστύφιλος, οὗ ἐστιν ὁ κλῆρος· ἀποδημήσας οὖν μετὰ τῶν εἰς Μυτιλήνην στρατιωτῶν ἐτελεύτησε. Πειράσομαι δ' ὑμῖν ἐπιδεῖξαι ὅπερ ἀντώμοσα, ὡς οὔτε ἐποιήσατο ἐκεῖνος υἱὸν ἑαυτῷ, οὔτ' ἔδωκε τὰ ἑαυτοῦ, οὔτε διαθήκας κατέλιπεν, οὔτε προσήκει ἔχειν τὰ Ἀστυφίλου οὐδενὶ ἄλλῳ ἢ ἐμοί. (2) Ἔστι γὰρ Κλέων οὑτοσὶ ἀνεψιὸς Ἀστυφίλῳ πρὸς πατρός, ὁ δὲ υἱὸς ὁ τούτου, ὃν εἰσποιεῖ ἐκείνῳ, ἀνεψιαδοῦς. Εἰσποίητος δ' ἦν ὁ πατὴρ ὁ Κλέωνος εἰς ἄλλον οἶκον, καὶ οὗτοι ἔτι εἰσὶν ἐν ἐκείνῳ τῷ οἴκῳ, ὥστε γένει μὲν διὰ τὸν νόμον οὐδὲν προσήκουσιν Ἀστυφίλῳ. Ἐπειδὴ δὲ κατὰ ταῦτα οὐκ ἦν ἀμφισβήτησις, διαθήκας, ὦ ἄνδρες, ψευδεῖς (ὡς ἐγὼ οἶμαι ἐπιδείξειν) κατεσκεύασαν καὶ ζητοῦσιν ἀποστερῆσαί με τῶν τοῦ ἀδελφοῦ. (3) Καὶ οὕτω σφόδρα Κλέων οὑτοσὶ καὶ πρότερον καὶ νῦν οὐδένα ἄλλον τὸν κλῆρον ἡγεῖται ἕξειν ἢ αὐτόν, ὥστ' ἐπειδὴ τάχιστα ἠγγέλθη Ἀστύφιλος τετελευτηκώς, τοῦ μὲν πατρὸς τοῦ ἐμοῦ ἀσθενοῦντος, ἐμοῦ δὲ οὐκ ἐπιδημοῦντος ἀλλὰ στρατευομένου, εἰς τὸ χωρίον ἐνεβάτευσε, καὶ εἴ τι ἄλλο ἐκεῖνος κατέλιπεν, ἅπαντα ἔφη τοῦ υἱοῦ τοῦ ἑαυτοῦ εἶναι, πρίν τι ὑμᾶς ψηφίσασθαι. (4) Ἐπεὶ δ' ἐκομίσθη τὰ ὀστᾶ τοῦ ἀδελφοῦ, ὁ μὲν προσποιού-

de quo qui ejus conscii sunt flagitiorum testari possunt. Verum de moribus, quorum attigisse parum quid in præsentia satis habeo, plura postmodum audietis, judices, quum actionem in hunc ipsum Dioclem instituam: (45) nunc autem vos supplex rogo, nolitis committere ut ea mihi injungatur contumelia, bona ab avo relicta mihi ut eripiantur, sed succurrite mihi quoad quisque vestrûm pro sua virili parte potest. Documenta satis certa habetis a me prolata, e testimoniis testium, e confessionibus mancipiorum, ipsis denique e legibus, quibus ex omnibus discatis et liberos nos esse filiæ Cironis legitimæ, et nobis ideo potius hereditatem quam his competere, qui nepotes Cironis simus. (46) Memores itaque jurisjurandi, vi cujus a vobis dicti sedetis ad judicandum, argumentorumque a nobis prolatorum, legumque memores, pronuntiate hac in causa id quod justum et æquum est.

Haud video quid amplius afferre debeam: non enim videmini de ullo eorum quæ dixi adhuc incerti esse. Cape tu testimonium hoc quod unum adhuc superest, fuisse Dioclem in adulterio deprehensum, et recita.

TESTIMONIUM.

IX.

DE ASTYPHILI HEREDITATE.

ARGUMENTUM.

Astyphilus et ille qui hanc orationem recitat fratres ex eadem matre: mortuo autem Astyphilo Cleon quidam illius consobrinus testamentum protulit, dicens illud in illius filium esse factum. Astyphili vero frater refellit testamentum ut fictum. Status causæ est conjecturalis.

Uterinus erat mihi, judices, frater Astyphilus, cujus fuit hæc hereditas: is cum exercitu missus ad Mytilenen obiit. Jam demonstrare vobis studebo id quod in contrajuramento recepi, hunc nempe Astyphilum neque aliquem sibi filium adoptasse, neque donasse bona sua cuiquam, neque testamentum reliquisse, ideoque alii nemini competere Astyphili bona quam mihi. (2) Nam Cleon hic Astyphili consobrinus est, ita ut patres amborum fratres fuerint; quo fit ut Cleonis filius, quem adoptatum ab Astyphilo dicit, sit consobrini filius. Atqui Cleonis pater aliam in domum fuit emancipatus, qua in domo illi omnes [pater Cleonis, Cleon cum filiis] adhuc sunt; qua de causa non contingunt Astyphilum vi legis eos a consanguinitate excludentis. Quum igitur hac ex parte nullum ipsis jus in Astyphili bona esset, commenti sunt testamentum id, quod ego me demonstraturum spero falsum esse, per quod eripere mihi bona fratris mei conantur. (3) Et tam firmiter pridem speravit Cleon, et etiamnum sperat neminem alium præterquam se habiturum esse Astyphili bona, ut, quamprimum nuntius de morte Astyphili huc perferretur, quo tempore pater meus æger decubabat et ego in castris peregre agebam, in possessionem prædii ab Astyphilo relicti immigrarit, et si quæ adhuc alia ei fuerint, ea omnia sui jactarit esse filii, antequam vos de his aliquid decrevissetis. (4) Et nihilominus tamen, ut huc perlata sunt Astyphili

μενος πάλαι υἱὸς εἰσπεποιῆσθαι οὐ προὔθετο οὐδ' ἔθαψεν, οἱ δὲ φίλοι Ἀστυφίλου καὶ οἱ συστρατιῶται, ὁρῶντες τὸν πατέρα τὸν ἐμὸν ἀρρωστοῦντα, ἐμὲ δὲ οὐκ ἐπιδημοῦντα, αὐτοὶ καὶ προὔθεντο καὶ τἆλλα πάντα τὰ νομιζόμενα ἐποίησαν καὶ τὸν ἐμὸν πατέρα ἀσθενοῦντα ἐπὶ τὸ μνῆμα ἤγαγον, εὖ εἰδότες ὅτι ἀσπάζοιτο αὐτὸν Ἀστύφιλος. Τούτου δ' ὑμῖν αὐτοὺς τοὺς ἐπιτηδείους τοὺς ἐκείνου μάρτυρας παρέξομαι τῶν παρόντων.

ΜΑΡΤΥΡΕΣ.

6. Ὅτι μὲν οὐκ ἔθαψε Κλέων Ἀστύφιλον, οὐδ' ἂν αὐτὸς ἔξαρνος γένοιτο μεμαρτύρηταί τε ὑμῖν· ἐπειδὴ δ' ἐπεδήμησα ἐγὼ καὶ ᾐσθόμην καρπουμένους τούτους τὰ ἐκείνου, ὁ δὲ υἱὸς αὐτοῦ ποιηθείη ὑπὸ Ἀστυφίλου, καὶ τούτων διαθήκας καταλίποι παρὰ Ἱεροκλεῖ Ἡφαιστιάδῃ, ἀκούσας ἐγὼ λέγοντος αὐτοῦ ταῦτα ἐπορευόμην παρὰ τὸν Ἱεροκλέα, εὖ μὲν εἰδὼς ὅτι ὡς οἷόν τε μάλιστα ἐπιτήδειος εἴη Κλέωνι, (6) οὐχ ἡγούμενος δ' ἂν αὐτὸν τολμῆσαί τι ψεύσασθαι κατὰ Ἀστυφίλου τετελευτηκότος, καὶ ταῦτα θεῖον ὄντα καὶ ἐμοῦ καὶ ἐκείνου. Ὅμως δέ, ὦ ἄνδρες, οὐδὲν τούτων ὑπολογισάμενος ὁ Ἱεροκλῆς, ἐρωτώμενος ὑπ' ἐμοῦ ἀπεκρίνατό μοι ὅτι ἔχοι τὰς διαθήκας· λαβεῖν δὲ ἔφη αὐτὰς παρὰ Ἀστυφίλου, ὅτε εἰς Μυτιλήνην ἔμελλεν ἐκεῖνος ἐκπλεῖν. Ὡς δὲ ταῦτ' ἔλεγεν, ἀνάγνωθί μοι ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ.

7. Ἐπειδὴ τοίνυν, ὦ ἄνδρες, οὔτε παραγενόμενος οὐδεὶς ἔτυχε τῶν οἰκείων ὅτε ὁ ἀδελφὸς ἐτελεύτησεν, οὔτε ἐγὼ ἐπεδήμουν ὅτε τὰ ὀστᾶ αὐτοῦ δεῦρο ἐκομίσθη, ἀναγκαῖόν μοί ἐστιν ἐξ αὐτῶν ὧν οὗτοι λέγουσιν ἐλέγχειν ψευδεῖς οὔσας τὰς διαθήκας ἃς ἐποιήσατο. Εἰκὸς γὰρ ἐκεῖνον οὐ μόνον ἐπιθυμεῖν υἱὸν ποιησάμενον καταλιπεῖν, ἀλλὰ καὶ σκοπεῖσθαι ὅπως κυριώτατα ἔσται ἃ ἂν διαθῆται, καὶ τήν τε οὐσίαν, ὃν ἂν ἐκεῖνος εἰσποιήσηται, οὗτος ἕξει, καὶ ἐπὶ τοὺς βωμοὺς τοὺς πατρῴους οὗτος βαδιεῖται, καὶ τελευτήσαντι αὐτῷ καὶ τοῖς ἐκείνου προγόνοις τὰ νομιζόμενα ποιήσει· (8) ἅπαντα δὲ ταῦτα μάλιστ' ἂν εἰδέναι ὅτι γένοιντο, εἰ μὴ ἄνευ τῶν οἰκείων τῶν ἑαυτοῦ τὰς διαθήκας ποιοῖτο, ἀλλὰ πρῶτον μὲν συγγενεῖς παρακαλέσας, ἔπειτα δὲ φράτορας καὶ δημότας, ἔπειτα τῶν ἄλλων ἐπιτηδείων ὅσους δύναιτο πλείστους· οὕτω γὰρ εἴτε κατὰ γένος εἴτε κατὰ δόσιν ἀμφισβητοίη τις, ῥᾳδίως ἂν ἐλέγχοιτο ψευδόμενος. (9) Ὁ τοίνυν Ἀστύφιλος οὐδὲν φαίνεται τοιοῦτον ποιήσας, οὐδὲ παραστησάμενος οὐδένα τούτων ὅτε διέθετο ἃ οὗτοί φασιν, εἰ μή τις ἄρα ὑπὸ τούτων πέπεισται ὁμολογεῖν παρεῖναι. Αὐτὸς δ' ὑμῖν πάντας τούτους μαρτυροῦντας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

10. Ἴσως τοίνυν Κλέων οὑτοσί φησιν οὐκ εἰκὸς εἶναι τεκμηρίοις ὑμᾶς χρήσασθαι τούτοις τοῖς μάρτυσιν,

ossa, ille, qui se dudum pro adoptato ejus filio gesserat, neque exposuit Astyphili corpus neque humavit, sed amici Astyphili atque commilitones, videntes patrem meum ægrotantem, me autem urbe absentem, ipsi et exposuerunt et reliqua omnia justa peregerunt, patremque meum adhuc ægrum ad tumulum Astyphili adduxerunt, certi manes Astyphili eum libenter esse admissuros. Hujus rei testes, ex iis qui funeri affuerunt, citabo vobis defuncti amicos et familiares.

TESTES.

5. Astyphilum itaque a Cleone non esse humatum, neque ipse Cleon infitiabitur, et hi testes vobis confirmarunt : ut autem ab expeditione redieram, cernens hos Astyphili bonorum fructus percipere, audiensque e Cleone, quum diceret filium suum ab Astyphilo esse adoptatum per testamentum, quod depositum esset penes Hieroclem Hephæstiadam, statim ad Hieroclem accedebam; bene quidem gnarus eum Cleoni inprimis familiarem esse, (6) veruntamen haud opinans eum ausurum esse mendacium de Astyphilo defuncto dicere, præsertim quum Hierocles meus una atque Astyphili avunculus esset. Verumenimvero Hierocles, o judices, nihil horum pensi habens, de testamento a me interrogatus respondit id penes se esse depositum ab ipso Astyphilo in procinctu stante cum classe Mytilenam proficiscendi. Hieroclem hac usum esse oratione quo constet, recita tu hoc testimonium.

TESTIMONIUM.

7. Quoniam igitur, o judices, nemo necessariorum Astyphili præsto fuit e vita excedenti, egoque tum in urbe non fui quum ossa ejus huc referrentur, necesse mihi est ex horum ipsorum sermonibus falsitatem testamenti, quod ab Astyphilo relictum esse dicunt, coarguere. Est nempe consentaneum Astyphilum non modo operam daturum fuisse ut aliquem sibi filium adoptatum relinqueret, sed etiam ut, quæ per testamentum constitueret, ea firma et rata essent, et, quem sibi filium asscisceret, ut is quoque bonis suis potiretur, ad arasque majorum accederet, iisque una sibique vita defuncto justa faceret : (8) nosse autem Astyphilum tum maxime fore ut hæc omnia fierent, si non sine necessario um conscientia testamentum scriberet, sed ascitis potius primum quidem necessariis, tum vero etiam phratoribus atque demotis, et denique reliquorum familiarium tot numero quot modo cogere posset; hoc enim facto futurum, sive quis ex titulo consanguinitatis sive ex titulo legati hereditatem ejus peteret, ut is falsi quam facillime convinceretur. (9) Atqui constat Astyphilum horum nihil egisse, neque illorum, quos modo dixi, ullum adhibuisse, quum testamentum illud quod hi jactant scriberet, nisi quis forsitan ab his subornatus aiat se affuisse. Ego vero hosce omnes producam ad vos, judices, testimonio suo confirmaturos quæ dixi vera esse omnia.

TESTES.

10. Forsitan igitur Cleon negabit æquum esse ut argumentorum loco apud vos sint testimonia eorum qui negat

ὅτι μαρτυροῦσι μὴ εἰδέναι Ἀστύφιλον ταῦτα διατιθέμενον. Ἐγὼ δ' οἶμαι, περί γε διαθηκῶν οὔσης τῆς ἀμφισβητήσεως καὶ περὶ τοῦ ποιηθῆναί τινα υἱὸν Ἀστυφίλῳ, ἡμῖν πολὺ βεβαιοτέραν εἶναι μαρτυρίαν ἣν οἱ ἀναγκαῖοι ἐκείνου περὶ τῶν μεγίστων μή φασι παραγενέσθαι, μᾶλλον ἢ ἣν οἱ μηδὲν προσήκοντες μαρτυροῦσι παρεῖναι. (11) Καὶ ἐχρῆν δ', ὦ ἄνδρες, καὶ αὐτὸν Κλέωνα, μὴ δοκοῦντα εἶναι ἠλίθιον, ὅτε τὸν υἱὸν τὸν τούτου ἐποιεῖτο Ἀστύφιλος καὶ τὰς διαθήκας κατέλειπε, παρακαλέσαι εἴ γέ τινα συγγενῆ ἐπιδημοῦντα ἐγίνωσκε, καὶ τοὺς ἄλλους, ὅτῳ ἐπὶ βραχύ περ ᾔδει Ἀστύφιλον χρώμενον. Κωλῦσαι μὲν γὰρ οὐδεὶς ἂν αὐτὸν ἐδύνατο, ὅτῳ ἐβούλετο, δοῦναι τὰ ἑαυτοῦ· τούτῳ δ' ἂν μεγάλη μαρτυρία ἦν, ὅτι οὐ λάθρᾳ ταῦτα διέθετο. (12) Ἔτι δ', ὦ ἄνδρες, εἰ μὲν ὁ Ἀστύφιλος μηδένα ἐβούλετο εἰδέναι ὅτι τὸν Κλέωνος υἱὸν ἐποιεῖτο μηδ' ὅτι διαθήκας καταλίποι, εἰκὸς ἦν μηδὲ ἄλλον μηδένα ἐγγεγράφθαι ἐν τῷ γραμματείῳ μάρτυρα· εἰ δ' ἐναντίον μαρτύρων φαίνεται διαθέμενος, τούτων δὲ μὴ τῶν μάλιστα χρωμένων ἀλλὰ τῶν ἐντυχόντων, πῶς εἰκός ἐστιν ἀληθεῖς εἶναι τὰς διαθήκας; (13) Οὐ γὰρ ἡγοῦμαι ἔγωγε οὐδένα, υἱὸν ἑαυτῷ ποιούμενον, τολμῆσαι ἄλλους τινὰς παρακαλέ-
76 σαι ἢ τούτους, οὕσπερ καὶ ἱερῶν καὶ ὁσίων κοινωνοὺς ἀνθ' αὑτοῦ εἰς τὸν ἔπειτα χρόνον ἔμελλε καταλιπεῖν. Ἀλλὰ μὴν οὐδ' αἰσχυνθῆναι οὐδενὶ προσήκει ἐπὶ τοιαύταις διαθήκαις ὡς πλείστους μάρτυρας παρίστασθαι, νόμου γε ὄντος ἐξεῖναι ὅτῳ βούλοιτο δοῦναι τὰ ἑαυτοῦ.

14. Σκέψασθε δέ, ὦ ἄνδρες, καὶ ἐκ τοῦ χρόνου ὃν οὗτοι λέγουσι περὶ τῶν διαθηκῶν. Ὅτε γὰρ εἰς Μυτιλήνην ἐξέπλει στρατευόμενος, τότε φασὶν αὐτὸν ταῦτα διαθέσθαι· φαίνεται δὲ ὁ Ἀστύφιλος τῷ τούτων λόγῳ τὰ μέλλοντα ἔσεσθαι προειδώς. Πρῶτον μὲν γὰρ ἐστρατεύσατο εἰς Κόρινθον, ἔπειτα εἰς Θετταλίαν, ἔτι δὲ τὸν Θηβαϊκὸν πόλεμον ἅπαντα, καὶ ἄλλοσε ὅπου περ αἰσθάνοιτο στράτευμα συλλεγόμενον, ἁπανταχῇ ἀπεδήμει λοχαγῶν· καὶ οὐδ' ἐν μιᾷ τούτων τῶν ἐξόδων διαθήκας κατέλιπεν. Ἡ δὲ εἰς τὴν Μυτιλήνην στρατεία τελευταία αὐτῷ ἐγένετο, ἐν ᾗ καὶ ἀπέθανε. (15) Τῷ οὖν ἂν ὑμῶν φανείη πιστόν, πρότερον ἄλλας στρατείας τοῦ Ἀστυφίλου στρατευομένου καὶ εὖ εἰδότος ὅτι ἐν ἁπάσαις μέλλοι κινδυνεύειν, οὕτως ἀκριβῶς τὰ παρὰ τῆς τύχης συμβῆναι, ὥστ' ἐν μὲν τῷ πρόσθεν χρόνῳ μηδὲ περὶ ἑνὸς αὐτὸν τῶν αὑτοῦ διαθέσθαι, ὅτε δὲ τὸ τελευταῖον ἔμελλε στρατεύεσθαι, ἐθελοντήν τε ἐκπλέοντα καὶ μάλιστα ἐκ ταύτης τῆς στρατείας ἐλπίζοντα σωθήσεσθαι, πῶς τοῦτον πιστὸν ἤδη τὰς διαθήκας τότε καταλιπεῖν καὶ ἐκπλεύσαντα τελευτῆσαι;

16. Χωρὶς δὲ τούτων, ὦ ἄνδρες δικασταί, ἔτι μείζω τεκμήρια παρέξομαι ὡς οὐδὲν ἀληθὲς λέγουσιν οὗτοι. Ἐπιδείξω γὰρ ὑμῖν ἔχθιστον ἁπάντων ὄντα Ἀστύφιλον Κλέωνι, καὶ οὕτω σφόδρα καὶ δικαίως μισοῦντα τοῦτον, ὥστε πολὺ ἂν θᾶττον διαθέμενον μηδένα ποτὲ τῶν ἑαυτοῦ οἰκείων διαλεχθῆναι Κλέωνι, μᾶλλον ἢ τὸν τού-

sibi constare ab Astyphilo scriptum fuisse testamentum. Ego vero contra censeo in ejusmodi causa, ubi quæratur scripseritne Astyphilus testamentum necne, et filiumne sibi adoptarit necne, testimonium nostrorum testium, qui sunt Astyphili necessarii, negantium se præsto fuisse Astyphilo rem summi momenti agenti, multo validius esse debere quam testimonium hominum nulla necessitudine cum Astyphilo conjunctorum, tametsi aiant se interfuisse. (11) Et ipsum adeo Cleonem decebat, o judices, hominem stultitiæ fama non laborantem, quum filium ipsius Astyphilus adoptatum et testamentum scriptum iret, quotquot nosset Astyphili consanguineos in urbe tum præsentes, et alios quoscunque vel leviter tantum Astyphilo notos, eos omnes advocare, quo actui illi interessent. Nam profecto nemo potuisset Astyphilum impedire quominus cuicunque vellet bona sua legaret; et Cleoni multum profuisset hoc argumentum, testamentum illud clam non fuisse scriptum. (12) Præterea quoque, judices, si Astyphilus consilium suum de Cleonis filio sibi adoptando et de testamento scribendo celare omnes omnino voluisset, consentaneum erat illis in tabulis prorsus neminem testem scribi: quodsi autem constat testamentum coram testibus scriptum esse, sed iis, non qui Astyphilo familiariter usi sunt, sed obviis quibusque, qui æquum sit existimare testamentum illud vere scriptum ab Astyphilo fuisse? (13) Nam ego equidem non autumo quemquam esse, qui volens filium sibi asciscere ita inconsulto agat, ut alios illi actui testes advocet, quam illos ipsos, quos pone se relicturus sit sacrorumque civiliumque jurium quibus ipse olim usus sit sui loco participes. Neque pudori debet quisquam sibi ducere, si testes adhibeat ejusmodi testamento quam plurimos, lege veniam cuique dante cuicunque velit bona sua delegandi.

14. Sed et tempus spectate, judices, quo hi aiunt testamentum esse scriptum. In procinctu nempe scriptum aiunt esse expeditionis Mytilenææ: quod si verum est, constat Astyphilum futurorum fuisse præscium. Nam primum quidem ad Corinthum, deinde in Thessalia, tum Thebano bello universo interfuit, denique quocunque locorum mitti copias cerneret, eo ipse quoque proficiscebatur partes agens centurionis; nunquam tamen ad hasce expeditiones profecturus testamentum condidit: Mytilenæa autem expeditio illi postrema fuit, in eaque etiam diem supremum obiit. (15) Eccui jam vestrûm credibile videatur, quum antea tot expeditiones suscepisset Astyphilus bene gnarus in iis omnibus se periclitaturum, tam mirum in modum fortunæ lusu factum esse, ut ante priores expeditiones ne de una quidem rerum suarum parte constituerit, ubi vero in postremam exiturus erat expeditionem, unde salvum se rediturum, utpote voluntarie militantem, quam maxime sperare licebat, ut tum testamentum ab eo scriberetur, et in expeditione ipse diem obiret: num hoc, inquam, verisimile est?

16. Verum adhuc luculentiora dabo, judices, argumenta, quæ certiores vos reddant nil sinceri hosce comminisci. Planum nempe vobis faciam, hominum omnium Astyphilo Cleonem fuisse inimicissimum; quod odium justis de causis susceptum fuit tantum ut Astyphilus, si testamentum scribere voluisset, citius videatur ei clausulam hanc adjuncturus fuisse, ut cum Cleone ne sermones quidem consereret

του υἱὸν ποιησάμενον. (17) Εὐθυκράτει γάρ, ὦ ἄνδρες, τῷ πατρὶ τῷ Ἀστυφίλου αἴτιος γενέσθαι λέγεται τοῦ θανάτου Θούδιππος ὁ Κλέωνος τούτου πατήρ, αἰκισάμενος ἐκεῖνον διαφορᾶς τινος αὐτοῖς γενομένης ἐν τῇ νεμήσει τοῦ χωρίου, καὶ οὕτως αὐτὸν διατεθῆναι, ὥστε ἐκ τῶν πληγῶν αὐτὸν ἀσθενήσαντα οὐ πολλαῖς ἡμέραις ὕστερον ἀποθανεῖν. (18) Ὡς δὲ ταῦτ' ἐστὶν ἀληθῆ, ἴσως μὲν καὶ Ἀραφηνίων καὶ πολλοὶ τῶν τότε συγγεωργούντων μαρτυρήσαιεν ἄν μοι, διαρρήδην δὲ περὶ τηλικούτου πράγματος οὐκ ἂν ἔχοιμι ὅπως ὑμῖν παρασχοίμην. Καὶ γὰρ αὐτὸν τυπτόμενον ἰδὼν Ἱεροκλῆς, ὁ τὸ γραμματεῖον φάσκων παρ' ἑαυτῷ τεθῆναι, οἶδ' ὅτι οὐκ ἂν ἐθελήσαι μαρτυρῆσαι ἐναντία ταῖς διαθήκαις αἷς αὐτὸς ἀποφαίνει. Ὅμως μέντοι καὶ κάλει Ἱεροκλέα, ἵνα ἐναντίον τούτων μαρτυρήσῃ ἢ ἐξομόσηται.

cognatorum suorum quisquam, quam ut filium ejus sibi filium ascivisset. (17) Thudippus enim hujus Cleonis pater Astyphili patri mortem conscivisse dicitur, quum jurgio super hereditate cernenda inter illos oborto, verbera Astyphili patri inflixisset; et tam immaniter eum commulcasse fertur, ut in morbum incideret Euthycrates, a quo paucis diebus post sublatus est. (18) Vere hæc a me dici, possent quidem Arapheniorum permulti testari qui tum temporis fundos arabant fundis horum finitimos; sed vereor ne vobis eos præstare disertis verbis de re tanti momenti testantes minus possim. Hierocles enim ipse, qui Astyphili testamentum penes se ait depositum esse, quanquam vidit quum Euthycrates a fratre vapularet, nolit tamen, id quod bene novi, ea testari, quæ si testetur, fidem omnem tabulis testamenti ejus, quod suæ fidei creditum vult esse, ipse sit derogaturus. At nihilominus tamen cita tu mihi Hieroclem, quo coram judicibus aut dicat testimonium, aut juret se dicere id non posse.

ΜΑΡΤΥΡΙΑ.

19. Ἀκριβῶς μὲν ᾔδειν· τοῦ γὰρ αὐτοῦ ἀνδρός ἐστιν, ἃ μὲν οἶδεν, ἐξόμνυσθαι, τῶν δὲ μὴ γενομένων πίστιν ἐθέλειν ἐπιθεῖναι· ἦ μὴν εἰδέναι γενόμενα· ὡς δέ, ὅτε ἀπέθνησκεν ὁ Εὐθυκράτης ὁ πατὴρ Ἀστυφίλου, ἐπέσκηψε τοῖς οἰκείοις μηδένα ποτὲ ἐᾶσαι ἐλθεῖν τῶν Θουδίππου ἐπὶ τὸ μνῆμα τὸ ἑαυτοῦ, τούτων ὑμῖν τὸν ἔχοντα τὴν τηθίδα τοῦ Ἀστυφίλου μάρτυρα παρέξομαι.

TESTIMONIUM.

19. Probe scilicet noram, judices, ita esse eventurum. Ejusdem enim est hominis, et ea, quæ vere facta norit, juratum infitiari, et quæ facta nusquam sint, ea facta esse dicere idque jurejurando confirmare. Ceterum Euthycratem, Astyphili patrem, morientem severe necessariis interdixisse ne quem e Thudippo natorum ad tumulum suum sinerent accedere, testabitur vobis ille, qui aviam Astyphili in matrimonio habet.

ΜΑΡΤΥΡΙΑ.

20. Ἀκούων τοίνυν ταῦτα ὁ Ἀστύφιλος καὶ τούτου καὶ τῶν ἄλλων προσηκόντων εὐθέως ἐκ παίδων, ἐπειδὴ τάχιστα ἤρχετο φρονεῖν, οὐδὲ πώποτε διελέχθη Κλέωνι, ἀλλὰ πρότερον ἐτελεύτησεν, οὐχ ἡγούμενος ὅσιον εἶναι, τοιαύτην αἰτίαν ἔχοντος Θουδίππου περὶ τὸν αὑτοῦ πατέρα, τῷ ἐκείνου υἱεῖ διαλέγεσθαι. Ὡς οὖν τὸν ἅπαντα χρόνον διάφορος ἦν Κλέωνι, τούτων ὑμῖν τοὺς συνειδότας μάρτυρας παρέξομαι.

TESTIMONIUM.

20. Astyphilus igitur quum hæc ex hoc [aviæ marito] atque e reliquis necessariis accepisset statim a puero, quum primum sapere cœpit, nunquam verba cum Cleone commutavit, sed prius mortem oppetiit, nefas sibi ducens fore si cum filio ejus colloqueretur, qui tanti facinoris in patrem suum commissi insimularetur. Testes ego nunc vobis exhibebo eos, qui conscii sunt Astyphilum quoad vixit simultates cum Cleone exercuisse.

ΜΑΡΤΥΡΕΣ.

21. Εἰς τὰς θυσίας τοίνυν, ἐν αἷσπερ οἱ ἄλλοι Ἀθηναῖοι ἑστιῶνται, πρῶτον μὲν δημότην ὄντα, ἔπειτα ἀνεψιόν, ἔτι δὲ τὸν υἱὸν τὸν τούτου μέλλοντα ποιεῖσθαι, εἰκὸς δήπου ἦν, ὁπότε περ ἐπιδημοίη, μηδὲ μεθ' ἑνὸς ἄλλου ἰέναι τὸν Ἀστύφιλον ἢ μετὰ Κλέωνος. Ὡς τοίνυν οὐδέποτ' ἦλθε μετ' αὐτοῦ, ὑμῖν τῶν δημοτῶν μαρτυρίαν
77 ἀναγνώσεται.

TESTES.

21. Porro consentaneum erat, ad sacra, in quibus reliqui Athenienses coepulari solent, Astyphilum quoque, quoties in patria adesset, alio cum nemine ire quam cum Cleone, quippe cujus primum municipalis esset, deinde consobrinus, cujus denique filium ipse sibi esset adoptaturus. Verum nunquam Astyphilus Cleonem comitatus est; qua de re municipalium testimonia scriba vobis præleget.

ΜΑΡΤΥΡΙΑ.

22. Οὕτως τοίνυν διακείμενος τῷ τετελευτηκότι Κλέων ἀξιοῖ τὸν υἱὸν τὸν ἑαυτοῦ τὰ ἐκείνου ἔχειν. Καὶ τί δεῖ τοῦτον λέγειν; ἀλλ' Ἱεροκλῆς, θεῖος ὢν [καὶ ἐκείνῳ] καὶ ἐμοί, οὕτως ἐστὶ τολμηρὸς ὥστε οὐ γενομένας διαθήκας ἥκει φέρων, καί φησι παρ' ἑαυτῷ Ἀστύφιλον ταύτας καταλιπεῖν. (23) Καίτοι, Ἱερόκλεις, πολλὰ κἀγαθὰ παθὼν ὑπὸ Θεοφράστου τοῦ πατρὸς τοῦ ἐμοῦ, ὅτε χεῖρον ἔπραττες ἢ νυνί, καὶ ὑπὸ Ἀστυφίλου, οὐδετέρῳ αὐτοῖν τὴν ἀξίαν χάριν ἀποδίδως· ἐμὲ μὲν γὰρ

TESTIMONIUM.

22. Quanquam igitur ita hi erga se mutuo animati essent, postulat Cleon nihilominus filium suum Astyphili bona habere. Quanquam Cleonem commemorare quid attinet? Ipse Hierocles, tametsi et Astyphili et meus est avunculus, tam audax tamen est, ut testamentum nunquam scriptum ab Astyphilo aiat penes se depositum esse, idque pro genuino proferat. (23) Atqui multis ornatus beneficiis, Hierocle, a patre meo Theophrasto, quum res tibi adhuc esset quam nunc est arctior, item ab Astyphilo, malam hanc ambobus refers gratiam: namque quidem, qui tuæ

υἱὸν ὄντα Θεοφράστου, σαυτῷ δὲ ἀδελφιδοῦν, ἀποστερεῖς ἅ μοι οἱ νόμοι ἔδοσαν, Ἀστυφίλου δὲ τεθνεῶτος καταψεύδῃ, καὶ τὸ κατὰ σαυτὸν μέρος τοὺς ἐχθίστους καθίστης τῶν ἐκείνου κληρονόμους. (24) Καὶ πρὶν μὲν λαχθῆναι τοῦ κλήρου, ὦ ἄνδρες, εὖ εἰδὼς ὁ Ἱεροκλῆς ὅτι οὐδενὶ ἄλλῳ γίνοιτο τὰ Ἀστυφίλου ἢ ἐμοί, ἐν μέρει ἑκάστῳ τῶν ἐκείνου ἐπιτηδείων προσῄει πωλῶν τὸ πρᾶγμα καὶ τοὺς οὐδὲν προσήκοντας πείθων ἀμφισβητεῖν, λέγων ὅτι θεῖος εἴη Ἀστυφίλῳ καὶ ἀποφανοῖ διαθήκας ἐκεῖνον καταλελοιπότα, εἴ τις αὐτῷ κοινώσαιτο· ἐπειδὴ δὲ πρὸς Κλέωνα διωμολογήσατο καὶ τῶν τοῦ ἀδελφοῦ ἐμερίσατο, νυνὶ ὡς ἀληθῆ λέγων ἀξιώσει πιστεύεσθαι, δοκεῖ δέ μοι κἂν ὀμόσαι ἄσμενος, εἴ τις αὐτῷ ὅρκον διδοίη. (25) Καὶ ἐμοὶ μὲν συγγενὴς ὢν οὐδὲ τὰ γενόμενα ἐθέλει μαρτυρεῖν, ᾧ δ' οὐδὲν προσήκει, τούτῳ τὰ ψευδῆ συλλαμβάνει καὶ τῶν οὐ πραχθέντων γραμματεῖον ἥκει φέρων· πολὺ γὰρ προὐργιαίτερον ἡγεῖται εἶναι τὸ χρηματίζεσθαι ἢ τὴν ἐμὴν συγγένειαν. Ὡς δὲ ἐπηγγέλλετο περιιὼν διαθήκας ἀποφαίνειν, εἴ τις αὐτῷ κοινώσαιτο, αὐτῶν ὑμῖν οἷς προσῆλθε μαρτυρίας παρέχομαι.

ΜΑΡΤΥΡΙΑΙ.

26. Τί οὖν χρή, ὦ ἄνδρες, ὄνομα θέσθαι τούτῳ τῷ ἀνδρί, ὅστις ἐθέλει οὕτω ῥᾳδίως διὰ τὸ ἑαυτοῦ κέρδος τῶν τεθνεώτων τινὸς καταψεύδεσθαι; Ὡς δὲ οὐδὲ Κλέωνι προῖκα τὰς διαθήκας ἀποφαίνει, ἀλλὰ μισθὸν εἴληφεν, αὕτη ὑμῖν ἡ μαρτυρία οὐ μικρὸν τεκμήριον ἔσται. Τοιαῦτα μέντοι κοινῇ ἐπ' ἐμοὶ τεχνάζουσιν· ἡγεῖται γὰρ αὐτῶν ἑκάτερος εὕρημα ἔχειν ὅ τι ἂν τῶν Ἀστυφίλου λάβῃ.

27. Ὡς μὲν οὖν οὐκ εἰσὶν ἀληθεῖς αἱ διαθῆκαι, ἀλλὰ Κλέων καὶ Ἱεροκλῆς βούλονται ὑμᾶς ἐξαπατῆσαι, καθ' ὅσον ἐδυνάμην ἀπέδειξα· ὡς δ' εἰ καὶ μηδὲν προσήκων ἔτυχον Ἀστυφίλῳ, δικαιότερός εἰμι ἔχειν τὰ ἐκείνου ἢ οὗτοι, διδάξω ὑμᾶς. Ὅτε γὰρ ἐλάμβανε Θεόφραστος ὁ ἐμὸς πατὴρ τὴν ἐμὴν μητέρα καὶ Ἀστυφίλου παρὰ Ἱεροκλέους, ἦλθε καὶ αὐτὸν ἐκεῖνον ἔχουσα μικρὸν ὄντα, καὶ διῃτᾶτο παρ' ἡμῖν τὸν ἅπαντα χρόνον ὁ Ἀστύφιλος, καὶ ἐπαιδεύθη ὑπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ. (28) Καὶ ἐπειδὴ ἐγὼ ἐγενόμην καὶ ὥραν εἶχον παιδεύεσθαι, μετ' ἐκείνου συνεπαιδευόμην. Λαβὲ δέ μοι ταύτην τὴν μαρτυρίαν, εἶτα τῶν διδασκάλων ὅποι ἐφοιτῶμεν.

ΜΑΡΤΥΡΙΑΙ.

Τὸ τοίνυν χωρίον τὸ ἐκείνου πατρῷον, ὦ ἄνδρες, ὁ πατὴρ ὁ ἐμὸς ἐφύτευσε καὶ ἐγεώργει καὶ ἐποίει διπλασίου ἄξιον. Ἀνάβητέ μοι καὶ τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

29. Ἐπεὶ τοίνυν ἐδοκιμάσθη ὁ ἀδελφός, ἀπέλαβε πάντα ὀρθῶς καὶ δικαίως, ὥστε ἐκεῖνον μηδὲ πώποτε μηδὲν ἐγκαλέσαι τῷ ἐμῷ πατρί. Μετὰ δὲ ταῦτα τὴν ἀδελφὴν τὴν ἐκείνου ὁμοπατρίαν ἐνεγύησεν ὁ ἐμὸς πα-

sum sororis filius e Theophrasto, ea sorte is fraudatum quam leges mihi tribuunt; de defuncto autem Astyphilo mendacia spargis, per quæ contendis efficere, quantum in te quidem est, ut homines Astyphilo infestissimi bona ejus sortiantur. (24) Et ante quidem, o judices, quam contentio super hac hereditate susciperetur, tametsi bene nosset Hierocles eam alii nemini quam mihi competere, tamen ad amicorum qui Astyphilo olim fuissent unumquemque adibat, alium ex alio, et venditabat hereditatem, et alienis plane hominibus suadebat ut de ea controversiam moverent, aiens, si quis se vellet in communionem sortis admittere, se, avunculum Astyphili, testamentum, quod ille reliquisset, exhibiturum esse: ac postquam sic cum Cleone decidit atque cum eo fratris mei bona partitus est, nunc fidem suis verbis adhiberi postulat, atque videtur mihi vel jusjurandum si quis deferat, libenter esse dicturus. (25) Et mihi quidem, qui necessarius ejus sim, vel ea quæ vere facta sunt testari detrectat; in mendaciis autem tuendis operam vendit homini vel alienissimo et tabulas profert quasi de rebus quæ constitutæ nunquam fuerunt: multo enim sibi magis expedire censet, ut rem augeat, quam ut meam tueatur consanguinitatem. Hieroclem autem circumcursitantem operam suam in proferendo testamento venditasse, si quis ipsum in partem hereditatis asciscere vellet, de eo testimonium illius ipsius exhibebo ad quem cum ejusmodi sponsione adiit.

TESTIMONIUM.

26. Ecquo nomine jam, judices, oportebit eum appellari, qui sui compendii gratia de homine mortuo falsa comminisci et jactare sustineat? Eum autem ne Cleoni quidem gratuitam sed mercenariam præstitisse operam in proferendo testamento, documentum ejus rei haud contemnendum præstare poterit hoc ipsum testimonium. Hæc autem communicatis inter se consiliis adversus me machinantur: existimat enim eorum unusquisque, de bonis Astyphili si quid decerpserit, id lucrum adventitium se habiturum esse.

27. Testamentum itaque hoc confictum esse, et Cleonem atque Hieroclem vos circumventum ire, quoad potui demonstratum dedi: jam vero hoc docebo, etiamsi nulla Astyphilum necessitudine contingerem, majus tamen mihi quam illis jus esse Astyphili bona possidendi. Theophrastus enim pater meus matrem meam ducens ab illius fratre, hoc Hierocle, sibi desponsam, una cum ea Astyphilum quoque domi suæ recepit tum temporis adhuc parvulum a priore suæ uxoris marito procreatum: ab eo inde tempore semper domi nostræ versatus Astyphilus et a patre meo educatus est. (28) Ut autem ego natus fui eamque adeptus ætatem ut capere possem doctrinam, una cum Astyphilo eodem in ludo sum eruditus. Cape tu mihi hoc testimonium, tum alterum istud magistrorum ad quorum ludos itavimus.

TESTIMONIA.

Porro prædium illud quod ille a patre suo habebat, judices, pater meus et satis et arboribus plantatis excoluit effecitque ut duplo pluris valeret. Etiam hac de re vos huc ascendite, qui mihi testemini.

TESTES.

29. Postquam deinde Astyphilus probatus virisque ascriptus fuit, patrimonium a patre accepit rite legitimeque, ita ut ideo nunquam cum patre meo questus sit. Postmodum sororem Astyphili eodem patre cum Euthycrate usam de-

τὴρ ὅτῳ ἐδόκει αὐτῷ, καὶ τἄλλα διῴκει, καὶ ταῦτα τῷ Ἀστυφίλῳ ἐξήρκει· ἱκανὴν γὰρ ἡγήσατο βάσανον εἰληφέναι ἀπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ τῆς εἰς αὐτὸν εὐνοίας, ἐκ μικροῦ παιδίου τεθραμμένος παρ' αὐτῷ. Μαρτυροῦσι δὲ ἡμῖν καὶ περὶ τῆς ἐγγύης οἱ εἰδότες.

spondebat meus pater viro, qui ei videbatur idoneus esse, et in reliquis quoque præsto ei fuit: quæ omnia Astyphilus rata habuit, existimans benevolentiæ, qua pater meus se amplecteretur, satis perspicuum cepisse documentum eo quod pater meus se a puero inde educasset. De desponsatione illa hi qui conscii sunt vobis testabuntur.

ΜΑΡΤΥΡΕΣ.

TESTES.

30. Εἰς τοίνυν τὰ ἱερὰ ὁ πατὴρ ὁ ἐμὸς τὸν Ἀστύφιλον παῖδα ἦγε μεθ' ἑαυτοῦ ὥσπερ καὶ ἐμὲ πανταχῇ· καὶ εἰς τοὺς θιάσους τοὺς Ἡρακλέους ἐκεῖνον εἰσήγαγεν, ἵνα μετέχοι τῆς κοινωνίας. Αὐτοὶ δ' ὑμῖν οἱ θιασῶται μαρτυρήσουσιν.

30. Deorum porro ad fana quoties pater meus iret, Astyphilum quoque adhuc puerum una mecum adduxit: etiam in thiasos [vel collegia] Herculis eum introduxit, quo participaret illam communionem; cujus rei testes vobis sunto hi thiasotæ [seu coepulones].

ΜΑΡΤΥΡΕΣ.

TESTES.

78 Ἐγὼ δέ, ὦ ἄνδρες, ὡς διεκείμην πρὸς τὸν ἀδελφόν, σκέψασθε. Πρῶτον μὲν γὰρ συνετράφην ἐκείνῳ ἐκ παιδίου, ἔπειτα οὐδέποτε διάφορος ἐγενόμην, ἀλλ' ἠσπάζετό με, ὡς ἴσασιν οἱ οἰκεῖοι πάντες οἱ ἡμέτεροι καὶ οἱ φίλοι· οὓς βούλομαι ὑμῖν μάρτυρας ἀναβιβάσαι.

Ego vero ipse quo erga fratrem animo fuerim, id jam spectate, judices. Primum quidem cum illo educatus adolevi, deinde simultates cum eo nunquam exercui, sed mutua nos caritate amplectebamur; id quod amici atque necessarii nostri omnes norunt, quos vobis testes volo huc ascendere.

ΜΑΡΤΥΡΕΣ.

TESTES.

31. Δοκεῖ ἂν οὖν ὑμῖν Ἀστύφιλος, ὦ ἄνδρες, οὕτω μὲν μισῶν Κλέωνα, τοσαῦτα δ' ἀγαθὰ ὑπὸ τοῦ πατρὸς τοῦ ἐμοῦ πεπονθώς, αὐτὸς τῶν ἐχθρῶν ἄν τινος υἱὸν ποιήσασθαι ἢ τὰ ἑαυτοῦ δοῦναι, τοὺς εὐεργέτας καὶ τοὺς συγγενεῖς ἀποστερήσας; ἐγὼ μὲν οὐκ ἂν οἴομαι, εἰ καὶ δεκάκις ὁ Ἱεροκλῆς διαθήκας ψευδεῖς ἀποδεικνύει, ἀλλὰ καὶ διὰ τὸ ἀδελφὸν εἶναι καὶ διὰ τὴν ἄλλην οἰκειότητα πολὺ μᾶλλον προσήκειν ἐμοὶ ἢ τῷ Κλέωνος υἱεῖ, (32) ἐπεὶ τούτοις γε οὐδὲ προσποιήσασθαι καλὸν ἦν τῶν Ἀστυφίλου, οἵτινες οὕτω διέκειντο πρὸς αὐτόν, τὰ δὲ ὀστᾶ οὐκ ἔθαψαν, ἀλλὰ πρότερον ἐπὶ τὴν οὐσίαν ἦλθον πρὶν ἐκείνῳ τὰ νομιζόμενα ποιῆσαι· ἔπειτα νῦν ἀξιώσουσι κληρονομεῖν τῶν Ἀστυφίλου οὐ μόνον τὰς διαθήκας λέγοντες, ἀλλὰ καὶ τὸ γένος παρατιθέντες, ὅτι ἀνεψιὸς ἦν Κλέων πρὸς πατρός. (33) Ὑμᾶς δέ, ὦ ἄνδρες, οὐκ εἰκός ἐστι τῷ τούτου γένει προσέχειν τὸν νοῦν· οὐδεὶς γὰρ πώποτε ἐκποίητος γενόμενος ἐκληρονόμησε τοῦ οἴκου ὅθεν ἐξεποιήθη, ἐὰν μὴ ἐπανέλθῃ κατὰ τὸν νόμον. Οὗτοι μέντοι ἀκριβῶς εἰδότες ὅτι οὐκ ἐποιήσατο Ἀστύφιλος τὸν Κλέωνος υἱόν, πολλάκις ἐληλυθότι αὐτῷ οὐδὲ πώποτε κεκρεανομήκασι. Λαβέ μοι καὶ ταύτην τὴν μαρτυρίαν.

31. Jam interrogo vos, judices, videturne vobis Astyphilus, qui Cleonem ita odisset, meoque a patre tantis esset meritis obstrictus, unquam commissurus fuisse ut inimicorum suorum cujusquam filium sibi filium arrogaret eique bona sua delegaret, eoque sospitatores suos eosdemque necessarios jure debito fraudaret? Mihi equidem profecto non videtur, etiamsi decies Hierocles aiat testamentum penes se esse ab Astyphilo scriptum: ego contra aio, tum propterea quod Astyphili frater sim, tum quod Astyphilus alias quoque mihi fuerit amicissimus, hereditatem majori jure mihi competere, quam Cleonis filio; (32) nam hos certe non decebat partem ullam bonorum Astyphili sibi arrogare, qui tam infesto erga eum fuissent animo ut ossa defuncti legere nil curarint, sed prius in ejus bona involarint, quam religioni manium satisfecissent. Et nunc petunt Astyphili hereditatem, non solum ex titulo donationis, sed etiam ex titulo cognationis, Cleonem aientes Astyphili consobrinum esse a parte patris. (33) Verum haud decet vos, judices, ad cognationem istam attendere: nemo enim fuit unquam qui quum alienam in domum emancipatus esset, hereditatem illius domus adisset unde esset emancipatus, nisi postquam ex formula juris in primigeniam domum redisset. Atqui hi [phratores et demotæ Astyphili] bene gnari Cleonis filium ab Astyphilo nunquam fuisse adoptatum, nunquam ei, etsi sæpius venienti, portionem extorum contribuerunt. Cape tu mihi hoc quoque testimonium.

ΜΑΡΤΥΡΙΑ.

TESTIMONIUM.

34. Ἑκατέρῳ οὖν ἡμῶν, ἐξ ὧν ἀντωμόσαμεν σκεψάμενοι, ψηφίσασθε. Κλέων μὲν γάρ φησι τὸν υἱὸν τὸν ἑαυτοῦ Ἀστυφίλῳ εἰσποιηθῆναι, καὶ ταῦτ' ἐκεῖνον διαθέσθαι· ἐγὼ δ' οὔ φημι, ἀλλ' ἐμὰ εἶναι πάντα τὰ Ἀστυφίλου, ἀδελφὸς ὢν ἐκείνου, ὡς καὶ αὐτοὶ τοῦτο ἴσασι. Μὴ τοίνυν, ὦ ἄνδρες, εἰσποιήσητε υἱὸν Ἀστυφίλῳ ὃν οὐδ' αὐτὸς ζῶν ἐκεῖνος ἐποιήσατο, ἀλλὰ τοὺς νόμους οὓς ὑμεῖς ἔθεσθε βεβαιώσατέ μοι· κατὰ τούτους γὰρ ἀμφισβητῶ, ὁσιωτάτην δέησιν δεόμενος, ὦ ἄνδρες,

34. Jam pronuntiate, judices, de nostrûm unoquoque sententiam ex iis ipsis quæ unusquisque in contrajuramento a se præstito affirmavit. Cleon nimirum filium ait suum ab Astyphilo esse adoptatum heredemque bonorum dictum: ego vero hoc aio mendacium esse, mihique soli bona Astyphili omnia competere, qui sum ejus frater: id quod etiam hi norunt. Ne igitur vos, o judices, Astyphilo instituatis filium, quem ipse ille superstes minime sibi adoptavit; sed operam date, quas leges ipsi tulistis, ut eæ mihi ratæ sint: nam e legum præscripto hanc ego mihi arrogo hereditatem,

τῆς τοῦ ἀδελφοῦ οὐσίας κληρονόμον με καταστῆσαι. (35) Ἀπέδειξα ὑμῖν ὡς οὐδενὶ ἐκεῖνος δέδωκε τὰ ἑαυτοῦ, καὶ μάρτυρας ἁπάντων ὧν εἶπον παρεσχόμην. Βοηθήσατε οὖν μοι, καὶ εἰ λέγειν ἐμοῦ δύναται Κλέων μᾶλλον, τοῦτο αὐτῷ ἄνευ τοῦ νόμου καὶ τοῦ δικαίου μηδὲν ἰσχυσάτω, ἀλλ' ὑμᾶς αὐτοὺς βραβευτὰς ἁπάντων καταστήσατε. Διὰ τοῦτο γὰρ συλλέγεσθε, ἵνα τοῖς μὲν ἀναισχυντοῦσι μηδὲν πλέον ᾖ, οἱ δὲ ἀδυνατώτεροι τολμῶσι περὶ τῶν δικαίων ἀμφισβητεῖν, εὖ εἰδότες ὅτι ὑμεῖς οὐδενὶ ἄλλῳ τὸν νοῦν προσέχετε. (36) Ἅπαντες οὖν, ὦ ἄνδρες, μετ' ἐμοῦ γένεσθε· ὡς ἐάν τι ἄλλο ψηφίσησθε Κλέωνι πειθόμενοι, σκέψασθε ὁπόσων αἴτιοι γενήσεσθε. Πρῶτον μὲν τοὺς ἐχθίστους Ἀστυφίλου ἐπί τε τὰ μνήματα ἰέναι καὶ ἐπὶ τὰ ἱερὰ ἐκείνου ποιήσετε· ἔπειτα τὰς Εὐθυκράτους ἐπισκήψεις, τοῦ πατρὸς τοῦ Ἀστυφίλου, ἀκύρους ποιήσετε, ἃς αὐτὸς πρότερον ἀπέθανεν ἢ παραδῆναι· ἔπειτα τετελευτηκότα Ἀστύφιλον παρανοίας αἱρήσετε· (37) εἰ γὰρ τοῦτον ἐποιήσατο υἱὸν οὗ τῷ πατρὶ πολεμιώτατος ἦν, πῶς οὐ δόξει τοῖς ἀκούσασι παρανοεῖν ἢ ὑπὸ φαρμάκων διεφθάρθαι; ἔτι δ' ἐμέ, ὦ ἄνδρες δικασταί, ἐκτραφέντα ἐν τῷ αὐτῷ καὶ συμπαιδευθέντα Ἀστυφίλῳ καὶ ἀδελφὸν ὄντα, περιόψεσθε ὑπὸ Κλέωνος ἀποστερηθέντα τῶν ἐκείνου. Ἀντιβολῶ ὑμᾶς καὶ ἱκετεύω ἐκ παντὸς τρόπου ψηφίσασθαί μοι· οὕτω γὰρ ἂν μάλιστα Ἀστυφίλῳ τε χαρίσαισθε κἀμὲ οὐκ ἂν ἀδικήσαιτε.

obtestorque vos, obtestatione utens omnium justissima, ut heredem me bonorum fratris constituatis. (35) Nam demonstravi vobis Astyphilum bona sua nemini legasse, et quæcunque affirmavi, eorum omnium testes exhibui. Quapropter succurrite mihi, ac facundia si Cleon mihi præstat, facite ne quid hæc ei prosit, a legibus et ab æquo jure deserta: vosmet ipsos rerum omnium arbitros constituite. Nam ob hoc ipsum congredimini, quo audacibus impudentia ne quid prosit, sed indisertiores quoque de jure contendere audeant, probe gnari alii nulli rei quam æquo juri vos animum attendere. (36) Mecum itaque, judices, estote, quæso, considerantes, quot sitis mala creaturi, si secundum Cleonem litem dederitis ab eo delusi. Primum enim efficiatis ut, qui Astyphilo infestissimi fuerunt, hi ad tumulos ejus majorumque accedant et sacra participent quorum ille quondam consors fuit: deinde mandata Euthycratis, patris Astyphili, irrita faciatis, quæ Astyphilus prius mortuus est quam migraret: denique defunctum Astyphilum dementiæ damnetis; (37) nam si eum sibi filium adoptaverit, cujus patri fuit inimicissimus, ecqui faciat quominus audientium cuique desipuisse videatur aut mentem habuisse malis herbis fascinatam? Tandem me quoque, viri, qui eadem in domo eademque disciplina qua Astyphilus sim educatus ejusque sim frater, patiamini bonis fratris a Cleone spoliari. Quare vos etiam atque etiam rogo, judices, atque supplico litem ut secundum me quoquomodo detis. Ita enim tum Astyphilo gratificabimini, tum a me quoque injuriam arcebitis.

X.

79 ΠΡΟΣ ΞΕΝΑΙΝΕΤΟΝ

ΠΕΡΙ ΤΟΥ ΑΡΙΣΤΑΡΧΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἀρίσταρχός τις τεσσάρων πατὴρ γενόμενος παίδων, Κυρωνίδου καὶ Δημοχάρους καὶ τῆς μητρὸς τοῦ λέγοντος τὸν λόγον καὶ ἄλλης κόρης, τούτων μὲν τὸν Κυρωνίδην ἔτι περιὼν εἰσεποίησεν εἰς τὸν Ξεναινέτου τοῦ κατὰ μητέρα πάππου κλῆρον, αὐτὸς δὲ κληρονόμους τοὺς λοιποὺς ἑαυτῷ κατέλειψε παῖδας. Μετὰ ταῦτα τελευτᾷ μὲν Δημοχάρης ἄπαις καὶ ἡ μία θυγάτηρ αὐτοῦ καὶ αὐτὴ ἄπαις, ὁ δὲ κλῆρος ὅλος ἔρχεται δικαίως εἰς τὴν μητέρα τοῦ λέγοντος τὸν λόγον. Καὶ ταῦτα μὲν οὕτω· μετὰ δὲ τὴν τελευτὴν Ἀριστάρχου Ἀριστομένης ἀδελφὸς ὢν αὐτοῦ καὶ κατὰ νόμον ἐπίτροπος τῶν τοῦ ἀδελφοῦ γινόμενος παίδων, ἐκδέδωκε Κυρωνίδῃ τῷ ἐκποιήτῳ υἱῷ Ἀριστάρχου τὴν θυγατέρα ἑαυτοῦ, ἐπαγγειλάμενος περιποιῆσαι αὐτῷ τὸν Ἀριστάρχου κλῆρον. Ὃ δὴ καὶ πεποίηκε· γενομένου γὰρ υἱοῦ τῷ Κυρωνίδῃ πρῶτον μὲν ὄνομα τῷ παιδὶ τὸ τοῦ πάππου δεδώκασιν, Ἀρίσταρχον ὀνομάσαντες, εἶτα εἰσεποίησαν αὐτὸν εἰς τὸν τοῦ πάππου οἶκον ὡς δὴ τοῦτο ἐκείνου προστάξαντος, καὶ παραδέδωκεν Ἀριστομένης αὐτῷ τὸν ὅλον τοῦ πάππου κλῆρον. Ἔτι δὲ παῖς ὢν ἐκεῖνος τελευτῶν κληρονόμον κατὰ διαθήκας ἐνεστήσατο τὸν ἴδιον ἀδελφὸν Ξεναίνετον. Τούτων οὕτω γενομένων, καὶ κρατοῦντος Ξεναινέτου τὴν Ἀριστάρχου τοῦ παλαιοῦ οὐσίαν, ἀμφισβητεῖ πρὸς αὐτὸν ὁ υἱὸς τῆς θυγατρὸς Ἀριστάρχου τοῦ παλαιοῦ, λέγων ἑαυτὸν μόνον εἶναι κληρονόμον δικαίως τῶν Ἀριστάρχου τοῦ παλαιοῦ χρημάτων. Ὁ μὲν Κυρωνίδης

X.

AD XENÆNETUM

DE ARISTARCHI HEREDITATE.

ARGUMENTUM.

Aristarchus quidam filiorum quattuor pater, Cyronidis et Democharis et matris hanc orationem habentis et alius puellæ, adhuc vivens hunc Cyronidem in hereditatem avi materni Xenæneti adoptavit, reliquos vero filios ipse sibi heredes reliquit. Postea Demochares sine filiis mortuus est, et filia ejus unica et ipsa quoque sine liberis: universa itaque hereditas juste in matrem recidit hanc orationem recitantis. Et hæc sic se habent: post Aristarchi vero mortem Aristomenes, ejus frater secundumque leges filiorum fratris tutor factus, filiam suam Cyronidi Aristarchi adoptivo conjunxit, hereditatem Aristarchi illi acquirere promittens. Quod et præstitit: filio namque Cyronidi nato primum puero nomen avi imponunt, Aristarchum nominantes, deinde eum in avi domum adoptaverunt tanquam illo hoc jubente, et idem Aristomenes illi totam hereditatem avi tradidit. Illo vero mortuo quum adhuc puer esset, Xenænetum fratrem proprium secundum testamentum heredem instituit. His ita factis, et Xenæneto Aristarchi senioris bona possidente, filius filiæ Aristarchi senioris, litem illi intendit, dicens se unicum heredem bonorum Aristarchi senioris esse. Cyronides enim

(φησίν) ἐκποίητος ἐγένετο· ὁ δὲ πατὴρ υἱὸν ἔχων γνήσιον τὸν Δημοχάρην, οὐκ ἐδύνατο θετὸν ἑαυτῷ ποιῆσαι παῖδα· ὁ δὲ Δημοχάρης ἀτελὴς ὢν οὐδὲ αὐτὸς ἐδύνατο εἰσποιῆσαι τῷ πατρὶ θετὸν υἱόν· ἀλλ' οὐδ' ἡ ἄλλη θυγάτηρ αὐτοῦ ἡ προτελευτήσασα. Ὥστε οὐ κατὰ τὸν νόμον (φησί) τῆς εἰσποιήσεως γενομένης τοῦ μικροῦ Ἀριστάρχου, οὐκέτι συνίστατο ἡ διαθήκη αὐτοῦ, τοῦ νέου Ἀριστάρχου· ἃ γὰρ μὴ δικαίως ἐκτήσατο, πῶς ἄλλῳ παραπέμπειν ἐδύνατο; ἀναιρουμένης δὲ τῆς διαθήκης εἰκότως ὁ κλῆρος εἰς τὸν λέγοντα τὸν λόγον ἐφέρετο, υἱὸν ὄντα τῆς γνησίας θυγατρὸς Ἀριστάρχου τοῦ παλαιοῦ. Καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ πραγματικὴ ἔγγραφος· ζητεῖ γὰρ εἰ δεῖ τὰς τοιαύτας συνεστάναι διαθήκας, καὶ τίς δικαιότερα λέγει.

(dicit) adoptatus est: pater vero, quum filium legitimum Democharem haberet, filium sibi adoptare non potuit: Demochares vero quum minor esset, neque ipse potuit filium adoptare, sed neque illa altera ejus filia quæ antea mortua est. Itaque, quum non secundum leges (inquit) junioris Aristarchi adoptio facta sit, junioris Aristarchi testamentum non est validum: quo namque pacto alteri tradere potuisset ea, quæ ipse injuste possederat? Sublato itaque testamento hereditas jure in hanc orationem recitantem transit, quum filius legitimæ Aristarchi senioris filiæ sit. Argumentum tale est, causæ autem status negotialis et scriptis constans: quæritur enim an tale testamentum validum esse oporteat, et quisnam eorum qui contendunt justiora dicat.

Ἐβουλόμην μέν, ὦ ἄνδρες, ὥσπερ Ξεναίνετος οὑτοσὶ δύναται ψευδῆ λέγειν θαρραλέως, οὕτω κἀγὼ τἀληθῆ πρὸς ὑμᾶς περὶ ὧν ἀμφισβητοῦμεν εἰπεῖν δυνηθῆναι· οἶμαι γὰρ ἂν ὑμῖν εὐθέως δῆλον γενέσθαι εἴθ' ἡμεῖς ἀδίκως ἐπὶ τὸν κλῆρον ἥκομεν, εἴθ' οὗτοι μὴ προσηκόντως πάλαι τὰ χρήματα ταῦτα εἰλήφασι. Νῦν δὲ οὐκ ἐξ ἴσου διακείμεθα, ὦ ἄνδρες. Οἱ μὲν γὰρ καὶ λέγειν δεινοὶ καὶ παρασκευάσασθαι ἱκανοί, ὥστε καὶ ὑπὲρ ἑτέρων πολλάκις ἐν ὑμῖν ἠγωνίσθαι· ἐγὼ δὲ μὴ ὅτι ὑπὲρ ἄλλου ἀλλ' οὐδὲ ὑπὲρ ἐμαυτοῦ πώποτε δίκην ἰδίαν εἴρηκα, ὥστε πολλῆς δεῖ με συγγνώμης τυχεῖν παρ' ὑμῶν.

Vellem equidem, judices, quemadmodum Xenocrates hic novit confidenter mendacia jactare, ita me quoque veritatem causæ meæ coram vobis enarrare vobisque approbare posse: hoc enim si mihi datum sit, confido statim vobis liquidum fore, utrum nos ad hujus sortis petitionem per nefas accedamus, an hi bona dudum per nefas rapta retineant. Jam vero non æquo sumus loco constituti, judices. Nam hi quidem et facundia pollent et amicitiis fidunt, ut vel pro aliis quoque persæpe in judiciis contendant: ego vero tantum absum ut alienam causam ullam unquam egerim, ut ne pro memet ipso quidem causam ullam privatam dixerim; quapropter æquum sit magnam mihi veniam apud vos esse paratam.

2. Ἠνάγκασμαι μὲν οὖν, ὦ ἄνδρες, διὰ τὸ μὴ δύνασθαι δίκην παρ' αὐτῶν λαβεῖν, τὴν μητέρα τὴν ἐμὴν πρὸς τῇ ἀνακρίσει Ἀριστάρχου εἶναι ἀδελφὴν προσγράψασθαι· οὐ μὴν διὰ τοῦτο ὑμῖν ἥδε ἡ γνῶσις ἧττον περὶ αὐτῶν εὐκρινὴς γενήσεται, ἀλλ' ἐκ τῶν νόμων σκοποῦσιν εἰ τὰ ἑαυτοῦ δέδωκε τούτῳ Ἀρίσταρχος ἢ τὰ μηδὲν προσήκοντα. Ἔστι δὲ δίκαιον τοῦτο, ὦ ἄνδρες· ὁ γὰρ νόμος κελεύει τὰ μὲν ἑαυτοῦ διαθέσθαι ὅτῳ ἂν ἐθέλῃ, τῶν δὲ ἀλλοτρίων οὐδένα κύριον πεποίηκε. (3) Τοῦτο οὖν ὑμᾶς πειράσομαι πρῶτον διδάσκειν, ἐάν μου μετ' εὐνοίας ἀκοῦσαι ἐθέλητε. Εἴσεσθε γὰρ ὡς ὁ κλῆρος οὗτος οὐ τούτων ἦν ἐξ ἀρχῆς, ἀλλὰ τῆς ἐμῆς μητρὸς πατρῷος, ἔπειτα καὶ ὡς Ἀρίσταρχος οὐδὲ καθ' ἕνα νόμον αὐτὸν εἴληφεν, ἀλλὰ παρὰ πάντας τοὺς νόμους ἀδικεῖ μετὰ τῶν οἰκείων τὴν ἐμὴν μητέρα. Ὅθεν οὖν σαφέστατα μαθήσεσθε ὡς ἔχει ταῦτα, ἐντεῦθεν ὑμᾶς πρῶτον πειράσομαι διδάσκειν.

2. Coactus equidem fui, judices, quoniam ab his jus mihi debitum exigere non potui, ut in litis instructione scriberetur matrem meam sororem fuisse Aristarchi [minoris]; nihilo tamen ideo causa hæc vobis erit ad disceptandum impeditior, sed hoc nunc e legibus vobis est definiendum, utrum Aristarchus sua bona huic [Xenæneto] legaverit, an aliena. Æquum est, judices, ante omnia hoc de capite constitui: nam lex quidem facultatem cuique dat sua bona cuicunque velit legandi, sed alienorum hominem nullum facit arbitrum. (3) Quodsi ergo me secundis auribus audire velitis, ante omnia vos hoc de loco certiores faciam, nitarque vos docere hereditatem hanc a principio non horum fuisse, sed fuisse matris meæ a patre ipsi relictam; deinde Aristarchum eam nulla lege addicente, sed legibus omnibus invitis eripuisse, eoque injuriam et reliquis nostris necessariis et inprimis matri meæ obtulisse. Unde autem vos rem liquidissime percepturi videmini, inde ego quoque docendi sumam exordium.

4. Ἀρίσταρχος γὰρ ἦν, ὦ ἄνδρες, Συπαλλήττιος. Οὗτος ἔλαβε Ξεναινέτου Ἀχαρνέως θυγατέρα, ἐξ ἧς γίνεται Κυρωνίδης καὶ Δημοχάρης καὶ ἡ μήτηρ ἡ ἐμὴ καὶ ἄλλη τούτων ἀδελφή. Κυρωνίδης μὲν οὖν ὁ τοῦδε πατὴρ καὶ θατέρου τοῦ τόνδε τὸν κλῆρον ἀδίκως ἔχοντος ἐξεποιήθη εἰς ἕτερον οἶκον, ὥστε αὐτῷ τῶν χρημάτων οὐδὲν ἔτι προσῆκεν· Ἀριστάρχου δὲ τοῦ πατρὸς τούτων τελευτήσαντος Δημοχάρης υἱὸς κληρονόμος τῶν ἐκείνου κατέστη. Τούτου δὲ παιδὸς ἀποθανόντος καὶ τῆς ἑτέρας ἀδελφῆς, ἡ μήτηρ ἡ ἐμὴ ἐπὶ παντὶ τῷ οἴκῳ ἐπίκληρος ἐγένετο. (5) Καὶ οὕτω μὲν ἐξ ἀρχῆς ἅπαντα ταυτὶ τῆς ἐμῆς μητρὸς ἐγένετο· προσῆκον δ' αὐτῇ μετὰ τῶν χρημάτων τῷ ἐγγύτατα γένους συνοικεῖν, πάσχει δεινότατα, ὦ ἄνδρες. Ἀριστομένης γὰρ ἀδελφὸς ὢν

4. Aristarchus quidam erat, judices, Sypalletius; qui Xenæneti Acharnensis filiam quum domum duxisset, ex ea quattuor liberos suscepit, Cyronidem et Democharem, cum duabus filiabus, quarum altera fuit mater mea. Cyronides, qui pater est hujus [Xenæneti] et alterius [Aristarchi] qui sortem hanc per nefas occupaverat, aliam in domum emancipatus est; quo factum est ut jus omne in hanc hereditatem amiserit: Demochares itaque factus est heres patrimonii, Aristarcho patre defuncto. Quoniam vero Demochares adhuc infans moriebatur, necnon altera soror, sola relicta fuit mea mater universæ heres substantiæ. (5) Ad hunc modum a principio sors hæc universa de jure meæ matris erat: verum, quum oportuisset proximum cognatum eam una cum patrimonio habere, injuriam accepit mater mea, judices, atrocissimam. Nam Aristomenes,

ἐκείνου τοῦ Ἀριστάρχου, ὄντος αὐτῷ υἱέος καὶ θυγατρός, ἀμελήσας ἢ αὐτὸς αὐτὴν ἔχειν ἢ τῷ υἱεῖ μετὰ τοῦ κλήρου ἐπιδικάσασθαι, τούτων μὲν οὐδὲν ἐποίησε, τὴν δὲ ἑαυτοῦ θυγατέρα ἐπὶ τοῖς τῆς ἐμῆς μητρὸς χρήμασι Κυρωνίδῃ ἐξέδωκεν, ἐξ ἧς ὁ Ξεναίνετος οὗτος καὶ Ἀρίσταρχος ὁ τελευτήσας ἐγένετο. (6) Τὸ μὲν οὖν ἀδίκημα, καὶ ὃν τρόπον τῶν χρημάτων ἀπεστερήθη, τοῦτ' ἐστίν, ὦ ἄνδρες· μετὰ δὲ ταῦτα τὴν ἐμὴν μητέρα ἐκδίδωσι τῷ ἐμῷ πατρί. Κυρωνίδου δὲ τελευτήσαντος τὸν τοῦ Ξεναινέτου ἀδελφὸν εἰσάγουσιν Ἀριστάρχῳ υἱόν, οὐδὲ καθ' ἕνα νόμον, ὦ ἄνδρες, ὡς ἐγὼ ἐκ πολλῶν τεκμηρίων ὑμῖν ἐπιδείξω.

7. Πρῶτον μὲν οὖν μάρτυρας ὑμῖν παρέξομαι ὡς Κυρωνίδης ἐκποίητος εἰς τὸν Ξεναινέτου οἶκον ἐγένετο καὶ ἐν ἐκείνῳ ἐτελεύτησεν, ἔπειθ' ὡς Ἀρίσταρχος, οὗ ἦν οὗτος ὁ κλῆρος, πρότερος τοῦ υἱέος Δημοχάρους ἐτελεύτησε, Δημοχάρης δὲ παῖς ὢν ἀπέθανε καὶ ἡ ἑτέρα ἀδελφή, ὥστε τὸν κλῆρον ἐπὶ τῇ ἐμῇ μητρὶ γενέσθαι. Καί μοι κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

8. Οὕτω μὲν ἐξ ἀρχῆς ἦν, ὦ ἄνδρες, ὁ κλῆρος, περὶ οὗ νῦν ὁ λόγος ἐστί, Κυρωνίδου μὲν ἐκποιήτου γενομένου εἰς τὸν Ξεναινέτου οἶκον, τοῦ δὲ πατρὸς Ἀριστάρχου τῷ υἱεῖ Δημοχάρει καταλιπόντος, ἐκείνου δὲ τῇ ἀδελφῇ τῇ ἑαυτοῦ ταύτῃ, μητρὶ δὲ ἐμῇ. Δεῖ δέ, ἐπειδὴ λίαν ἀναισχυντοῦσιν, ὦ ἄνδρες, καὶ τὰ χρήματα παρὰ τὸ δίκαιον ἔχειν ἀξιοῦσι, μαθεῖν ὑμᾶς ὡς οὐδὲ καθ' ἕνα νόμον Ἀρίσταρχος εἰς τοὺς φράτορας τοὺς ἐκείνου εἰσῆκται· ἐὰν γὰρ τοῦτο μάθητε, σαφῶς εἴσεσθε ὅτι τῷ μὴ δικαίως ἔχοντι οὐδὲ διατίθεσθαι περὶ αὐτῶν προσῆκεν. (9) Οἶμαι τοίνυν πάντας ὑμᾶς εἰδέναι, ὦ ἄνδρες, ὅτι κατὰ διαθήκας αἱ εἰσαγωγαὶ τῶν εἰσποιήτων γίνονται, διδόντων τὰ ἑαυτῶν καὶ υἱεῖς ποιουμένων, ἄλλως δὲ οὐκ ἔξεστιν. Εἴτε οὖν Ἀρίσταρχον φήσει τις αὐτὸν διαθέσθαι, οὐκ ἀληθῆ λέξει· γνησίου γὰρ ὄντος αὐτῷ Δημοχάρους υἱέος οὔτ' ἂν ἐβούλετο ταῦτα διαπρᾶξαι, οὔτε ἐξῆν δοῦναι τὰ ἑαυτοῦ ἑτέρῳ· εἴτε Ἀριστάρχου τελευτήσαντος Δημοχάρην αὐτὸν ποιήσασθαι, καὶ ταῦτα ψεύσονται. (10) Παιδὸς γὰρ οὐκ ἔξεστι διαθήκην γενέσθαι· ὁ γὰρ νόμος διαρρήδην κωλύει παιδὶ μὴ ἐξεῖναι συμβάλλειν μηδὲ γυναικὶ πέρα μεδίμνου κριθῶν. Μεμαρτύρηται δὲ Ἀρίσταρχον μὲν πρότερον Δημοχάρους τοῦ υἱέος τελευτῆσαι, ἐκεῖνον δὲ ὕστερον τοῦ πατρός· ὥστε κατά γε διαθήκην ἐκείνων, οὐδ' εἰ διέθεντο προσῆκεν αὐτῷ τούτων τῶν χρημάτων κληρονομῆσαι. Ἀνάγνωθι δὴ καὶ τοὺς νόμους, καθ' οὓς οὐδετέρῳ αὐτῶν ἐξῆν διαθήκας ποιήσασθαι.

ΝΟΜΟΙ.

11. Οὐ τοίνυν, ὦ ἄνδρες, οὐδὲ Κυρωνίδην οἷόν τε ἦν υἱὸν Ἀριστάρχῳ εἰσποιῆσαι, ἀλλ' αὐτῷ μὲν ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον ἐξῆν, υἱὸν ἐγκαταλιπόντα ἐν τῷ Ξεναινέτου οἴκῳ, ἐξ αὐτοῦ δέ τινα ἀγαγεῖν οὐκ

Aristarchi frater, quum ei et filius esset una cum filia, potuissetque ideo sive ipse sibi habere sui fratris filiam heredem, sive providere ut filio suo illa adjudicaretur, neutrum horum fecit, sed filiam suam Cyronidi despondit, unaque ei bona matris meæ addidit : ex illa nati sunt hic Xenænetus et Aristarchus vita defunctus. (6) Hæc est injuria, judices, nobis data, et hoc pacto frandatus sum hereditate. Post id factum Aristomenes matrem meam meo patri collocat. Cyronide postmodum vita defuncto, Xenæneti hujus fratrem Aristarchum in sortem matri meæ debitam immittunt : id quod præter jus esse factum multis ego documentis evictum dabo.

7. Sed ante omnia testes producam confirmaturos Cyronidem in domum Xenæneti [avi materni] emancipatum fuisse, in eaque diem obisse; deinde Aristarchum [majorem], a quo profecta sors est, prius mortuum esse quam Democharem filium; verum hic Demochares adhuc puer decessit, necnon altera soror, quo factum ut tota sors in jus matris meæ devenerit. Harum itaque rerum cita tu mihi testes.

TESTES.

8. Sors igitur istæc, de qua nunc agitur, hoc pacto nostra erat, judices; Cyronide in domum Xenæneti emancipato, Aristarchus pater Demochari filio hereditatem reliquit, a Demochare autem devenit ad sororem hancce, matrem meam. Quoniam vero hi ultra modum impudentes sunt, o judices, et contra jus et fas bona tenere contendunt, docendi mihi estis legibus prorsus omnibus repugnantibus Aristarchum [minorem] in illius [majoris] phrateras inductum fuisse : de quo ubi certi fueritis facti, liquidum vobis protinus erit habenti bona titulo haud legitimo non licuisse de iisdem per testamentum constituere. (9) Arbitror itaque vos cunctos, viri, hoc nosse, introductionem filiorum testamento institutorum fieri, si qui testamento bona sua aliquibus legaverint filiosque eos sibi adoptaverint; nam aliter non licet. Sive igitur dicet aliquis Aristarchum [seniorem] de bonis suis per testamentum constituisse, affirmabit is veritati repugnantia; nam erat Aristarcho filius legitime natus Demochares, adeo ut Aristarchus etiamsi voluisset, non potuisset alii cuipiam bona sua delegare : sin autem Aristarcho [seniore] defuncto a Demochare aiat aliquis eum [Aristarchum juniorem] in locum filii adoptatum esse, etiam hoc mentietur. (10) Puero enim negatum est de bonis suis constituere; lex enim vetat, disertis verbis edicens : Puero ne liceto cum quoquam contrahere neque mulieri ultra singulos medimnos frumenti. Atqui testes vobis confirmarunt Aristarchum [seniorem] ante Democharem rebus humanis excessisse, et hunc aliquanto post patrem : quapropter vel secundum ipsam eorum testamentum, si quod scripsissent, huic Aristarcho jus in istorum bona nullum competeret. Recita tu mihi leges, utrique eorum [tam patri quam filio] potestatem de bonis suis constituendi denegantes.

LEGES.

11. Neque etiam Cyronides Aristarcho filium sufficere poterat; licebat illi quidem, relicto in Xenæneti domo filio genuino, in domum paternam redire, ex paterna autem familia alium quempiam suo loco in adoptivam immittere

ἔστι νόμος· ἢ ἐὰν φῶσι, ψεύσονται. Ὥστε οὐδ' ἂν φάσκωσιν ὑπ' ἐκείνου ποιηθῆναι, νόμον ἕξουσι δεῖξαι καθ' ὃν ἐξῆν αὐτῷ ταῦτα πρᾶξαι, ἀλλ' ἐξ ὧν αὐτοὶ λέγουσιν ἔτι φανερώτερον ὑμῖν γενήσεται τοῦτο, ὅτι παρανόμως καὶ ἀσελγῶς ἔχουσι τὰ τῆς μητρὸς χρήματα. (12) Καὶ μὲν δή, ὦ ἄνδρες, οὐδὲ Ἀριστομένει γε οὐδὲ Ἀπολλοδώρῳ, οἷς προσῆκε τῆς ἐμῆς μητρὸς ἐπιδικάσασθαι, οὐδὲ τούτοις ἐξῆν. Θαυμαστὸν γὰρ ἂν ἦν, εἰ τὴν ἐμὴν μητέρα ἔχοντι Ἀπολλοδώρῳ ἢ Ἀριστομένει οὐχ ἂν οἷόντε ἦν τῶν ἐκείνης κυρίῳ γενέσθαι, κατὰ τὸν νόμον ὃς οὐκ ἐᾷ τῶν τῆς ἐπικλήρου κύριον εἶναι, ἀλλ' ἢ τοὺς παῖδας ἐπὶ δίετες ἡβήσαντας 81 κρατεῖν τῶν χρημάτων, ἀλλ' ἑτέρῳ αὐτὴν ἐκδόντι ἐξέσται εἰς τὰ ταύτης χρήματα υἱὸν εἰσποιῆσαι. (13) Δεινὰ μέντἂν γίνοιτο. Καὶ τῷ μὲν πατρὶ αὐτῆς, εἰ παῖδες ἄρρενες μὴ ἐγένοντο, οὐκ ἂν ἐξῆν ἄνευ ταύτης διαθέσθαι· κελεύει γὰρ ὁ νόμος σὺν ταύταις κύριον εἶναι δοῦναι, ἐάν τῳ βούλοιτο, τὰ ἑαυτοῦ· τῷ δὲ μήτε λαβεῖν αὐτὴν ἀξιώσαντι μήτε πατρὶ ὄντι, ἀλλ' ἀνεψιῷ, παρὰ πάντας τοὺς νόμους εἰσαγαγόντι ἔσται κυρίως ταῦτα πεπραγμένα; καὶ τίς ὑμῶν ταῦτα πεισθήσεται; (14) Ἐγὼ μέν, ὦ ἄνδρες, σαφῶς ἐπίσταμαι ὅτι οὔτε Ξεναίνετος οὔτε ἄλλος οὐδεὶς ἀνθρώπων ἕξει ἀποδεῖξαι ὡς οὐ τῆς ἐμῆς μητρὸς οὗτος κλῆρός ἐστι, τοῦ ἀδελφοῦ αὐτῇ τοῦ Δημοχάρους καταλιπόντος· ἐὰν δ' ἄρα τολμῶσι περὶ αὐτῶν λέγειν, νόμον κελεύετε δεῖξαι καθ' ὃν γεγένηται ἡ εἰσποίησις Ἀριστάρχῳ, καί τις ὁ εἰσποιήσας· τοῦτο γὰρ δίκαιόν ἐστιν. Ἀλλ' οἶδ' ὅτι οὐχ ἕξουσιν ἐπιδεῖξαι.

15. Περὶ μὲν οὖν τοῦ τὸν κλῆρον εἶναι τῆς μητρὸς ἐξ ἀρχῆς καὶ ἀδίκως αὐτὴν ὑπὸ τούτων ἀπεστερῆσθαι, ἔκ τε τῶν εἰρημένων καὶ μεμαρτυρημένων καὶ ἐξ αὐτῶν τῶν νόμων ἱκανῶς ἡγοῦμαι ἀποδεδεῖχθαι. Οὕτω δὲ καὶ τούτοις φανερόν ἐστιν ὅτι οὐ προσηκόντως ἔχουσι ταῦτα τὰ χρήματα, ὥστε οὐκ ἐπὶ τῷ δικαίως Ἀρίσταρχον εἰσαχθῆναι εἰς τοὺς φράτορας τὸν λόγον ποιοῦνται μόνον, ἀλλὰ καὶ δίκην φασὶν ὑπὲρ τούτων τῶν χρημάτων τὸν πατέρα τὸν ἑαυτῶν ἐκτετικέναι, ἵνα, ἂν μὴ κατ' ἐκεῖνον δικαίως δοκῶσιν ἔχειν, κατά γε ταῦτα εἰκότως προσήκων αὐτοῖς φαίνηται. (16) Ἐγὼ δ', ὦ ἄνδρες, ὅτι οὐκ ἀληθῆ λέγουσι, μεγάλοις ὑμᾶς τεκμηρίοις διδάξω. Εἰ γὰρ ἦν, ὡς οὗτοι λέγουσιν, ὑπόχρεως οὗτος ὁ κλῆρος, οὔτ' ἂν χρήματα οὗτοι ὑπὲρ αὐτῶν ἐξέτινον (οὐ γὰρ προσῆκον αὐτοῖς, ἀλλ' οἷς ἐγένετο ἡ ἐμὴ μήτηρ ἐπίδικος, τούτοις ἀναγκαῖον ἦν ὑπὲρ αὐτῶν βουλεύσασθαι), οὔτε ἂν εἰσεποίουν εἰς τοῦτον τὸν κλῆρον υἱὸν Ἀριστάρχῳ, μέλλοντες ὠφεληθήσεσθαι μὲν μηδέν, ζημιωθήσεσθαι δὲ μεγάλα. (17) Ἢ ἕτεροι μέν, ὅταν περὶ χρημάτων δυστυχῶσι, τοὺς σφετέρους αὐτῶν παῖδας εἰς ἑτέρους οἴκους εἰσποιοῦσιν, ἵνα μὴ μετάσχωσι τῆς τοῦ πατρὸς ἀτιμίας· οὗτοι δὲ ἄρα εἰς ὑπόχρεων οὐσίαν καὶ οἴκοθεν εἰσεποίουν σφᾶς αὐτούς, ἵνα καὶ τὰ ὑπάρχοντα προσαπολέσειαν; Οὐκ ἔστι ταῦτα, ἀλλ' ὁ μὲν κλῆρος ἐλεύθερος ἦν καὶ τῆς ἐμῆς μητρὸς

non licet : aut si aiant, aperte mentientur. Igitur etiam si hunc ab illo fuisse adoptatum dicant, tamen nullam poterunt proferre legem, ejus rei veniam ipsi dantem : verum ex iis quæ ipsi causantur, adhuc dilucidius vobis constabit eos bona matris meæ invitis legibus et summum per flagitium tenere. (12) Quid, judices, quod ne Aristomeni quidem atque Apollodoro, quibus competebat matrem meam in matrimonium sibi a vobis expetere, quod ne his quidem de bonis illius pro arbitratu statuere licuisset. Lex enim non sinit mulieris heredis arbitrum quenquam alium esse quam filios ejus duodevicesimum ætatis annum egressos. Mirum itaque sit, si cui marito matris meæ, sive is Aristomenes sive Apollodorus fuisset, non licuisset de bonis matris disponere, eidem tamen liceret, ubi eam alii in matrimonium elocasset, in ejus bona filium suum pro adoptato immittere. (13) Res atrox utique foret! Et ne patri quidem matris meæ licuisset, si prole mascula caruisset, in fraudem filiæ testamentum facere; lex enim sic edicit, licere bona sua cui aliquis velit legare, dummodo is cui leget filiam quoque ejus in matrimonium ducat : alii autem, qui neque pater sit, neque dignam habuerit quam in matrimonium duceret, sed solummodo consobrinus sit, licebit filium suum contra omne jus et fas in ejus bona immittere? et hæc ei rata erunt? Eccui vestrûm istæc probabuntur? (14) Ego equidem hoc certissime teneo neque Xenænetum neque alium quenquam docere posse hereditatem hanc ad matrem meam nil pertinere, quam ei frater Demochares reliquit : quodsi tamen contra audeant hiscere, jubete illos et legem illam edere secundum quam facta sit Aristarchi [junioris] adoptio, et eum nominare qui adoptavit. Æquum enim id est. Atqui probe novi eos non posse facere.

15. Hereditatem igitur hanc matri meæ competere et a principio inde ejus fuisse et per nefas ejus usucapione matrem ab his exclusam esse satis patere puto tum ex disputatis tum e dictis testimoniis, tum ex ipsis etiam legibus. Verum hi ipsi sibi conscii sunt a se bona hæc per nefas teneri, adeo ut non solum Aristarchi adoptione orationem suam muniant, sed etiam patrem suum dicant hujus hereditatis ergo mulctam de peculio suo dependisse; quo hoc efficere student, ut si illud parum firmum esse præsidium censeatur, ex altero saltem titulo jus hereditatem illam retinendi ipsis accessisse videatur. (16) Ego vero, judices, etiam hoc eos mentiri planum vobis faciam. Nam si sors hæc ære alieno oppressa fuisset, quam aiunt fuisse, non hi profecto pro illa sorte luissent de suo (neque enim competebat hoc ipsis, sed quibus jus erat matrem meam sibi in matrimonium deposcendi, hos oportebat de his providere), neque profecto Aristarchum in ejusmodi sortem obæratam immisissent, a qua emolumentum quidem ablaturi erant nullum, damna autem ingentia. (17) Alii quidem, quibus res domestica pessum ierit, operam dant ut liberi sui alienas in domos emancipentur, ut exsortes infamiæ fiant qua patres perculsi sunt : hi autem, scilicet, in substantiam obæratam ultro semet ingerunt, ut etiam sua ipsi bona perdant. Nolite credere, judices. Sors hæc æris alieni erat exsors et soli matri meæ competebat : hi autem

ἐγένετο, οὗτοι δὲ φιλοχρηματοῦντες καὶ ἐκείνην ἀποστεροῦντες ταῦτα πάντα ἐμηχανήσαντο.

18. Ἴσως οὖν ἄν τις, ὦ ἄνδρες, τὸν χρόνον ὑμῶν θαυμάσειε, πῶς ποτε πολὺν οὕτως εἰάσαμεν καὶ ἀποστερούμενοι οὐκ ἦμεν ἐπ' αὐτά, ἀλλὰ νυνὶ περὶ αὐτῶν τοὺς λόγους ποιούμεθα. Ἐγὼ δὲ οἶμαι μὲν οὐ δίκαιον εἶναι διὰ τοῦτο ἔλαττον ἔχειν, εἴ τις μὴ ἐδυνήθη ἢ κατημέλησεν (οὐ γὰρ τοῦτό ἐστι σκεπτέον, ἀλλὰ τὸ πρᾶγμα εἰ δίκαιον ἢ μή)· ὅμως μέντοι καὶ περὶ τούτων αἴτιον εἰπεῖν ἔχομεν, ὦ ἄνδρες. (19) Ὁ γὰρ πατὴρ οὑμὸς ἐπὶ προικὶ ἐγγυησάμενος τὴν ἐμὴν μητέρα συνῴκει, τὸν δὲ κλῆρον τούτων καρπουμένων οὐκ εἶχεν ὅπως εἰσπράξαιτο· ὅτε γὰρ περὶ αὐτοῦ λόγους ἐποιήσατο τῆς μητρὸς κελευούσης, οὗτοι ταῦτα αὐτῷ ἠπείλησαν, αὐτοὶ ἐπιδικασάμενοι αὐτὴν ἕξειν, εἰ μὴ βούλοιτο αὐτὸς ἐπὶ προικὶ ἔχειν. Ὁ δὲ πατήρ, ὥστε τῆς μητρὸς μὴ στερηθῆναι, καὶ δὶς τοσαῦτα χρήματα εἴασεν ἂν αὐτοὺς καρποῦσθαι. (20) Καὶ τοῦ μὲν τὸν πατέρα μὴ ἐπεξελθεῖν ὑπὲρ τούτων τοῦτό ἐστι τὸ αἴτιον· μετὰ δὲ ταῦτα ὁ Κορινθιακὸς πόλεμος ἐγένετο, ἐν ᾧ ἐγὼ κἀκεῖνος στρατεύεσθαι ἠναγκαζόμεθα, ὥστε οὐδετέρῳ ἂν ἡμῶν δίκην ἐξεγένετο λαβεῖν. Εἰρήνης τ' αὖ γενομένης ἐμοί τι ἀτύχημα πρὸς τὸ δημόσιον συνέβη, ὥστε μὴ ῥάδιον εἶναι πρὸς τούτους διαφέρεσθαι. Ὥστε οὐ μικρὰς ἔχομεν αἰτίας περὶ τοῦ πράγματος. (21) Ἀλλὰ νυνὶ δίκαιον εἰπεῖν ἐστιν, ὦ ἄνδρες, τίνος δόντος τὸν κλῆρον, κατὰ ποίους νόμους 82 εἰς τοὺς φράτορας εἰσῆκται, καὶ πῶς οὐκ ἐπίκληρος ἦν ἐπὶ τούτοις χρήμασιν ἡ ἐμὴ μήτηρ. Ταῦτα γάρ ἐστι περὶ ὧν ὑμᾶς δεῖ τὴν ψῆφον ἐνεγκεῖν, οὐκ εἰ χρόνῳ τι ὕστερον ἡμεῖς τῶν ἡμετέρων εἰσπραττόμεθα. Μὴ δυνηθέντων δὲ ἐπιδεῖξαι, δικαίως ἂν ἐμὸν αὐτὸν εἶναι ψηφίσαισθε.

22. Τοῦτο μὲν οἶδ' ὅτι ποιεῖν οὐχ οἷοί τ' ἔσονται· χαλεπὸν γὰρ πρὸς νόμους καὶ δίκαιον πρᾶγμα ἀντιλέγειν ἐστί· περὶ δὲ τοῦ τεθνεῶτος λέξουσιν, ἐλεοῦντες ὡς ἀνὴρ ὢν ἀγαθὸς ἐν τῷ πολέμῳ τέθνηκε, καὶ ὅτι οὐ δίκαιόν ἐστι τὰς ἐκείνου διαθήκας ἀκύρους καθιστάναι. Ἐγὼ δὲ καὶ αὐτός, ὦ ἄνδρες, οἶμαι δεῖν κυρίας εἶναι τὰς διαθήκας, ἃς ἂν ἕκαστος διαθῆται περὶ τῶν ἑαυτοῦ, περὶ μέντοι τῶν ἀλλοτρίων οὐ κυρίας εἶναι τὰς διαθήκας, ὥσπερ ἃς ἂν ἕκαστος περὶ τῶν αὑτοῦ διαθῆται. (23) Ταῦτα δὲ οὐ τούτων ὄντα ἀλλ' ἡμέτερα φαίνεται. Ὥστε ἂν ἐπὶ τοῦτον τὸν λόγον καταφεύγῃ καὶ μάρτυρας παρέχηται ὡς διέθετο ἐκεῖνος, ἐπιδεικνύναι κελεύετε εἰ δικαίως τὰ ἑαυτοῦ. Τοῦτο γὰρ δίκαιόν ἐστι. Δεινότατα γὰρ ἂν πάντων γένοιτο, εἰ Κυρωνίδης μὲν καὶ οὗτοι, ὄντες ἐξ ἐκείνου, μὴ μόνον τὸν Ξεναινέτου οἶκον πλέον ἢ τεττάρων ταλάντων ἕξουσιν, ἀλλὰ καὶ τόνδε προσλήψονται, ἐγὼ δὲ τῆς μητρὸς οὔσης κυρίας καὶ ἐκ τῶν αὐτῶν Κυρωνίδῃ γεγενημένος εἰ μηδὲ τὸν τῆς μητρὸς κλῆρον λήψομαι, καὶ ταῦτα μηδὲ ἐχόντων τούτων ἐπενεγκεῖν παρ' ὅτου ποτ' εἰλήφασι. (24) Καίτοι δίκαιον, ὦ ἄνδρες, ὥσπερ τῶν ἀμφισβητησίμων χωρίων δεῖ τὸν ἔχοντα ἢ θέτην ἢ πρατῆρα παρέχεσθαι ἢ κατα-

opum cupiditate stimulati hæc omnia machinati sunt, quo matrem meam bonis suis defraudarent.

18. Erit forsitan in numero vestro, judices, qui miretur, cur bonis nostris per tam longinquum temporis spatium exclusi tacuerimus et nunc demum ea postulatum veniamus. Ego vero quanquam æquum haud censeo esse nos ideo causa cadere aut jura nobis nostra imminui (non enim hoc in censum venit, sed æquumne sit quod tu postules necne) : nihilominus tamen etiam de his causam habemus allegare idoneam. (19) Pater nempe meus ea lege sibi desponderi matrem meam passus fuerat, ut dote contentus esset; ipsam hereditatem non poterat ab illis redigere, qui emolumenta ejus percipiebant : quoties enim, suadente matre, hujus rei mentionem faceret, hi minabantur se uxorem ipsius in jure sibi esse postulaturos, si nollet eam sub conditione dotis habere. Pater itaque, ne matre privaretur, sivit eos bonorum usum fructum percipere, etiam si duplo ampliora fuissent. (20) Hanc ob causam pater tam diu cessavit uxoris jura in foro persequi : postmodum intervenit bellum Corinthiacum, in quo egoque paterque militavimus necessario; quo factum est ut utrique nostrûm pœnas ab his meritas repetere negatum esset. Pace autem restituta hoc mihi contigit infortunium, ut ærarius fierem reipublicæ; quapropter cum his in jure agere non licebat. Habuimus itaque causas nostræ cessationis legitimas. (21) Nunc autem justum est hunc [Xenænetum] dicere, quisnam ei hanc hereditatem legarit, et quarum legum ex auctoritate in collegium phratorum [Aristarchi] inductus sit, et cur mater mea non fuerit filia a patre cum hereditate relicta. Hæc enim sunt illa capita de quibus vos oportet, judices, pronuntiare, non tempore moveri, si forte nos aliquanto serius jura nostra exsequimur. Sin autem illa demonstrare nequeant, jure merito vos pronuntietis hereditatem nostram esse.

22. Probe autem novi, quæ postulo, ea præstare negatum his esse; difficile enim est legum edictis et æquo juri repugnare : at verba de defuncto [Aristarcho juniore] facient oratione ad ciendam composita miserationem, quam fortis vir in bello occubuerit, et quam sit æquum ab eo per testamentum constituta rata esse. Ego vero, judices, ipse quoque censeo testamentum esse debere ratum illud, quo quis de suis bonis constituerit; ejusmodi autem testamentum, quo quis de alienis bonis constituerit, non perinde atque alterum illud, ratum habendum esse puto. (23) Jam hæc hereditas, ut nunc patet, non horum, sed nostra est. Quodsi ergo eo confugerit Xenænetus ut dicat atque testimoniis affirmet Aristarchum testamentum reliquisse, jubete eum docere Aristarchum de bonis quæ ipsius propria essent disposuisse. Id enim justum et æquum est. Iniquissimum enim foret si Cyronides et hi ex eo nati non solum Xenæneti [senioris] rem habeant quattuor talentis et ultra æstimatam, sed hanc Aristarchi quoque insuper auferant : ego vero eadem cum Cyronide stirpe prognatus ne matris quidem meæ, cujus optimum jus est, hereditatem adire possim, idque quum docere hi nequeant, a quonam bona ista acceperint. (24) Atqui, judices, quemadmodum par est orta de fundis controversia possessorem illorum aut

δεδικασμένον φαίνεσθαι, οὕτω καὶ τούτους καθ' ἕν τι τούτων ἀποφήναντας αὐτὸν ἀξιοῦν ἐπιδικάζεσθαι, μὴ πρὸ δίκης τὴν Ἀριστάρχου θυγατέρα, ἐμὴν δὲ μητέρα, ἐκ τῶν πατρῴων ἐκβάλλειν. (25) Ἀλλὰ γάρ, ὦ ἄνδρες, οὐχ ἱκανόν ἐστι Ξεναινέτῳ τὸν Ἀριστομένους οἶκον καταπεπαιδεραστηκέναι, ἀλλὰ καὶ τοῦτον οἴεται δεῖν τὸν αὐτὸν τρόπον διαθεῖναι. Ἐγὼ δ', ὦ ἄνδρες δικασταί, βραχείας οὐσίας ὑπαρξάσης ἀδελφὰς μὲν ἐξέδωκα, ὅσα ἐδυνάμην ἐπιδούς, κόσμιον δ' ἐμαυτὸν παρέχων καὶ ποιῶν τὰ προσταττόμενα καὶ τὰς στρατείας στρατευόμενος ἀξιῶ τῶν τῆς μητρὸς πατρῴων μὴ ἀποστερηθῆναι. (26) Ἀπέδειξα δ' ὑμῖν Κυρωνίδην μὲν τὸν τούτων πατέρα ἐκποίητον γενόμενον καὶ οὐκ ἐπανελθόντα εἰς τὸν πατρῷον οἶκον, τὸν δὲ πατέρα τὸν Κυρωνίδου καὶ τῆς ἐμῆς μητρὸς Δημοχάρει τῷ υἱῷ τοῦτον τὸν κλῆρον καταλιπόντα, ἐκεῖνον δὲ παῖδα ὄντα τελευτήσαντα καὶ εἰς τὴν ἐμὴν μητέρα τοῦτον τὸν κλῆρον ἐπιγιγνόμενον.

nominare eum a quo illos sive oppigneratos habeat sive emerit, aut demonstrare eos sibi adjudicatos esse : ita hos quoque decebat ex aliquo ejusmodi titulo istæc bona sibi a judicibus adjudicanda curare, non autem ante istam adjudicationem filiam Aristarchi, quæ mea mater est, e bonis paternis expellere. (25) Verum enimvero Xenæneto satis non est, judices, Aristomenis substantiam in puerorum amores exhausisse, verum hanc quoque Aristarchi substantiam ut pari cum dedecore prodigat se decere censet. Ego vero, judices, ex angusta re familiari sorores elocavi cum dotibus quas eis addere facultates sinebant; modestum me exhibeo, imperata exsequor, in castris stipendia facio; quorum in compensationem postulo vos ut matris meæ substantiam mihi eripi ne sinatis. (26) Demonstravi enim Cyronidem, qui horum [adversariorum meorum] pater est, ex Aristarchi patris sui domo fuisse emancipatum in eamque non rediisse, patrem vero Cyronidis atque matris meæ hereditatem suam alteri filio Demochari reliquisse, illoque Demochare sine prole defuncto hereditatem ejus ad matrem meam fuisse devolutam.

XI.

83 ΠΕΡΙ ΤΟΥ ΑΓΝΙΟΥ ΚΛΗΡΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἁγνίας τις εἶχεν ἀνεψιοὺς πολλούς, Θεόπομπον καὶ τὸν ἀδελφὸν αὐτοῦ Στρατοκλέα καὶ Στράτιον καὶ Εὐβουλίδην. Οὗτος μέλλων τελευτᾶν ἐποιήσατο θετὴν αὑτῷ θυγατέρα, κελεύσας ἐν ταῖς διαθήκαις, εἴ τι πάθοι ἡ θυγάτηρ, ἔρχεσθαι τὸν κλῆρον εἰς Γλαύκωνα, ἀδελφὸν αὐτοῦ τυγχάνοντα ὁμομήτριον. Ἐπὶ τούτοις αὐτοῦ τελευτήσαντος ἡ θυγάτηρ λαβοῦσα τὸν κλῆρον ἐτελεύτησεν. Ἀποθανόντος δὲ καὶ Εὐβουλίδου ἡ θυγάτηρ αὐτοῦ, τοῦ Εὐβουλίδου, δικασαμένη πρὸς Γλαύκωνα ἔλαβε τὴν οὐσίαν. Μετὰ ταῦτα τελευτησάντων καὶ τῶν περὶ τὸν Στρατοκλέα καὶ Στράτιον Θεόπουπος μόνος ἐδικάσατο πρὸς αὐτήν, καὶ ἔλαβε τὸν κλῆρον. Πρὸς τοῦτον ὁ υἱὸς τοῦ ἀδελφοῦ αὐτοῦ, Στρατοκλέους, δικάζεται· πρὸς αὐτὸν δὲ ἐπιτρόπου τινὸς υἱός, φάσκων ἐξ ἴσου τὰ τῆς κληρονομίας ἁρμόζειν τῷ τε Θεοπόμπῳ καὶ τῷ παιδὶ τοῦ ἀδελφοῦ αὐτοῦ. Ἡ στάσις πραγματική.

ΝΟΜΟΙ.

Διὰ ταῦθ' ὑμῖν ἀνέγνων τοὺς νόμους, ὅτι κατὰ τὸν πρῶτον αὐτῶν ἰσχυρίζεται τῷ παιδὶ τοῦ ἡμικληρίου προσήκειν, οὐκ ἀληθῆ λέγων. Οὐ γὰρ ἦν ἡμῖν Ἁγνίας ἀδελφός, ὁ δὲ νόμος περὶ ἀδελφοῦ χρημάτων πρῶτον ἀδελφοῖς τε καὶ ἀδελφιδοῖς πεποίηκε τὴν κληρονομίαν, ἂν ὦσιν ὁμοπάτορες· τοῦτο γὰρ ἐγγυτάτω τοῦ τελευτήσαντος γένος ἐστίν. (2) Ἐὰν δ' οὗτοι μὴ ὦσι, δεύτερον ἀδελφὰς ὁμοπατρίας καλεῖ καὶ παῖδας τοὺς ἐκ τούτων. Ἐὰν δὲ μὴ ὦσι, τρίτῳ γένει δίδωσι τὴν ἀγχιστείαν, ἀνεψιοῖς πρὸς πατρὸς μέχρι ἀνεψιῶν παίδων. Ἐὰν δὲ καὶ τοῦτ' ἐκλείπῃ, εἰς τὸ γένος πάλιν ἐπανέρχεται, καὶ ποιεῖ τοὺς πρὸς μητρὸς τοῦ τελευτήσαντος κυρίους αὐτῶν, κατὰ ταὐτὰ καθάπερ τοῖς πρὸς πατρὸς ἐς ἀρχῆς ἐδίδου τὴν κληρονομίαν. (3) Ταύτας ποιεῖ τὰς ἀγχιστείας ὁ νομοθέτης μόνας, συντομωτέρως τοῖς ῥήμασιν

XI.

DE HAGNIÆ HEREDITATE.

ARGUMENTUM.

Hagnias quidam affines multos habebat, Theopompum et fratrem ejus Stratoclem et Stratium et Eubulidem. Hic jam moriturus sibi filiam adoptavit, in testamento mandans, si quid humanitus filiæ accideret, ut hereditas ad Glauconem fratrem suum ex matre transiret. Postea eo mortuo, filia postquam hereditatem acceperat, obiit. Mortuo et Eubulide, ejusdem Eubulidis filia jure cum Glaucone certans facultatibus potita est. Postea mortuo Stratocle et Stratio solus Theopompus cum illa litem egit, et hereditatem consecutus est. Cum illo Stratoclis fratris filius litem habuit, cum eo vicissim cujusdam tutoris filius, dicens hereditatem æqualiter dividi inter Theopompum et filium fratris ejus convenire. Status causæ negotialis.

LEGES.

Leges ideo recitavi, judices, quoniam [adversarius] per primam earum asseverat puero [Stratoclis filio] semissem bonorum ab Hagnia relictorum competere, in quo veritatem haud habet sibi consentientem. Hagnias enim frater nobis non erat; lex autem illa, quæ de bonis a fratre relictis constituit, primum fratribus germanis eorumque liberis adjudicat bona : hic enim proximus est consanguinitatis a defuncto gradus. (2) Sin autem hi non sint, lex sorores germanas earumque liberos ad hereditatem adeundam arcessit. Deficientibus his quoque, tum demum lex tertio gradui consanguinitatis tribuit proximitatem, consobrinis puta ex parte patris et horum liberis. Sin autem hic quoque gradus defecerit, redit legislator ad principium generis, et arbitros bonorum facit defuncti consobrinos a parte materna, eodem ordine atque in consanguineis paternis. (3) Propinquitates hasce solas dat legislator, verbis ille quidem utens paucioribus quam ego; verum id,

ἢ ἐγὼ φράζω· τὴν μέντοι διάνοιαν ὧν βούλεται ταύτῃ δείκνυσιν. Ὁ δὲ παῖς οὗτος οὐδὲ καθ' ἓν τούτων τῶν ὀνομάτων Ἁγνίᾳ προσήκει τῇ ἀγχιστείᾳ, ἀλλ' ἔξω τῆς συγγενείας ἐστίν. Ἵνα δ' ἀκριβῶς μάθητε περὶ ὧν ψηφιεῖσθε, τοὺς πολλοὺς λόγους ἐάσας οὗτος εἰπάτω ὅ τι ὁ παῖς προσήκει τουτωνὶ τῶν εἰρημένων τῷ τὸν κλῆρον καταλιπόντι· κἂν φανῇ κατά τι προσήκων, ἑκὼν ἐγὼ συγχωρῶ τὸ ἡμικλήριον εἶναι τοῦ παιδός. (4) Εἰ δέ τοι μηδὲν τούτων ἕξει εἰπεῖν, πῶς οὐκ ἐλεγχθήσεται φανερῶς ἐμὲ μὲν συκοφαντῶν, ὑμᾶς δ' ἐξαπατῆσαι παρὰ τοὺς νόμους ζητῶν; ἀναβιβασάμενος οὖν αὐτὸν ἐναντίον ὑμῶν ἐρωτήσω τὰ ἐν τοῖς νόμοις ὑπαναγινώσκων· οὕτω γὰρ εἴσεσθε εἰ προσήκει τῷ παιδὶ τῶν Ἁγνίου χρημάτων ἢ μή. Λαβὲ οὖν αὐτοῖς τοὺς νόμους· σὺ δ' ἀνάβηθι δεῦρο, ἐπειδὴ δεινὸς εἶ διαβάλλειν καὶ τοὺς νόμους διαστρέφειν. Σὺ δ' ἀναγίνωσκε.

ΝΟΜΟΙ.

5. Ἐπίσχες. Ἐρωτήσω σε. Ἀδελφός ἐσθ' ὁ παῖς Ἁγνίου, ἢ ἀδελφιδοῦς ἐξ ἀδελφοῦ ἢ ἐξ ἀδελφῆς γεγονώς, ἢ ἀνεψιός, ἢ ἐξ ἀνεψιοῦ πρὸς μητρὸς ἢ πρὸς πατρός; τί τούτων τῶν ὀνομάτων, οἷς ὁ νόμος τὴν ἀγχιστείαν δίδωσι; Καὶ ὅπως μὴ ἐκεῖνο ἐρεῖς, ὅτι ἐμὸς ἀδελφιδοῦς· οὐ γὰρ περὶ τοῦ ἐμοῦ κλήρου νῦν ὁ λόγος ἐστί· ζῶ γάρ. Εἰ δ' ἦν ἄπαις ἐγὼ τετελευτηκὼς καὶ ἠμφισβήτει τῶν ἐμῶν, τοῦτο ἂν προσήκοι ἀποκρίνασθαι ἐρωτωμένῳ. Νῦν δὲ φῂς τῶν Ἁγνίου χρημάτων τὸ ἡμικλήριον εἶναι τοῦ παιδός· δεῖ δή σε τῆς ἀγχιστείας, ὅτι ὁ παῖς Ἁγνίᾳ προσήκει, τὸ γένος εἰπεῖν. Φράσον οὖν τουτοισί.

6. Αἰσθάνεσθε ὅτι οὐκ ἔχει τὴν συγγένειαν εἰπεῖν, ἀλλ' ἀποκρίνεται πάντα μᾶλλον ἢ ὃ δεῖ μαθεῖν ὑμᾶς. Καίτοι τόν γε πράττοντά τι δίκαιον οὐ προσῆκεν ἀπορεῖν ἀλλ' εὐθὺς λέγειν, καὶ μὴ μόνον τοῦτο ποιεῖν, ἀλλὰ καὶ διόμνυσθαι καὶ τοῦ γένους παρέχεσθαι μαρτυρίας, ἵνα μᾶλλον ἂν ἐπιστεύετο ὑφ' ὑμῶν. Νῦν δ' ἐφ' οἷς ἀπόκρισιν οὐ δέδωκεν, οὐ μάρτυρας παρέσχετο, οὐχ ὅρκον
84 ὤμοσεν, οὐ νόμον ἀνέγνωκεν, οἴεται δεῖν ὑμᾶς, ὀμωμοκότας ψηφιεῖσθαι κατὰ τοὺς νόμους, αὐτῷ πειθομένους ἐμοῦ καταγνῶναι ταύτην τὴν εἰσαγγελίαν παρὰ τοὺς νόμους· οὕτω σχέτλιος καὶ ἀναιδὴς ἄνθρωπός ἐστιν. (7) Ἀλλ' οὐκ ἐγὼ ποιήσω τούτων οὐδέν, ἀλλὰ καὶ τὸ γένος ἐρῶ τοὐμὸν καὶ ὅθεν μοι προσήκει τῆς κληρονομίας, καὶ τὸν παῖδα ἐπιδείξω καὶ τοὺς πρότερον ἀμφισβητήσαντας ἐμοὶ τοῦ κλήρου πάντας ἔξω τῆς ἀγχιστείας ὄντας, ὥσθ' ὑμᾶς ὁμολογεῖν. Ἀνάγκη δ' ἐστὶν ἐξ ἀρχῆς τὰ συμβεβηκότα εἰπεῖν· ἐκ τούτων γὰρ γνώσεσθε τήν τε ἐμὴν ἀγχιστείαν καὶ ὅτι τούτοις οὐδὲν προσήκει τῆς κληρονομίας.

8. Ἐγὼ γὰρ καὶ Ἁγνίας, ὦ ἄνδρες, καὶ Εὐβουλίδης καὶ Στρατοκλῆς καὶ Στράτιος ὁ τῆς Ἁγνίου μητρὸς ἀδελφὸς ἐξ ἀνεψιῶν ἐσμεν γεγονότες· καὶ γὰρ οἱ πατέρες ἡμῶν ἦσαν ἀνεψιοὶ ἐκ πατραδέλφων. Ἁγνίας οὖν, ὅτε ἐκπλεῖν παρεσκευάζετο πρεσβεύσων ἐπὶ ταύτας τὰς πράξεις αἳ τῇ πόλει συμφερόντως εἶχον, οὐκ

quod dico, voluit. Puero autem huic ex nullo horum titulorum est cum Hagnia propinquitas, sed est extra ejus cognationem. Quo autem certius intelligatis rem de qua judicium estis laturi, dicito hic [adversarius meus] omissis omnibus verborum ambagibus ex quonam titulorum modo commemoratorum puer hic cum eo, a quo hereditas relicta est, conjunctus in sanguine sit: quodsi hoc ex uno quopiam appareat, lubens ego ipsi de semisse hereditatis decedam. (4) Sin autem nullum allegare poterit, ecqui non teneatur convictus hoc agi, ut commentitiis causationibus me vexet, vos autem, quæ est a legibus abhorrens audacia, decipiat? Jubebo igitur eum huc ascendere atque sic interrogabo, formula legis ante prælecta: sic enim intelligetis num puero huic ulla pars hereditatis ab Hagnia relictæ competat, necne. Cape tu itaque has leges et recita: tu autem huc ascende; nam egregie nosti mendaciis mentes perturbare legesque pervertere.

LEGES.

5. Insiste. Ego te interrogabo. Puer hic estne frater Hagniæ? an est nepos e fratre aut ex sorore? aut consobrinus sive ex parte materna sive ex paterna? Quodnam huic nomen competit eorum quibus lex propinquitatem attribuit? Ne dicas, puerum hunc meum esse nepotem e sorore: nunc enim non de mea agitur hereditate, qui adhucdum in vivis supersum. Sin autem ego improlis decessissem, atque hic puer, bona mea in jure petens, interrogaretur cujas esset, tum conveniret eum illud respondere. Jam vero ais puero semissem hereditatis Hagniæ competere: atqui hoc aiens debes indicare quo gradu cognationis hic illum contingat. Nomen, amabo, his [judicibus] eloquere.

6. Percipitis vocem adversarii esse de cognatione mutam, qui alia omnia potius respondet quam id quod vos docendi estis. Atqui cui causa justa est, eum haud convenit hæsitare, sed expedite proloqui, neque hoc solummodo, sed etiam jurejurando affirmare generisque a se editi testimonia præstare, quo certiorem ei fidem adhibeatis. Jam vero, quibus in rebus interrogatus haud respondit, testes nullos produxit, jusjurandum non dixit, legem nullam allegavit, in iis sperat vos qui secundum leges sententiam vos dicturos juravistis, fidem sibi habentes contra legem me in hacce causa condemnaturos esse: tam flagitiosus homo est. (7) Ego contra ita me ut ille non geram, sed et cujas sim edam et quo titulo mihi hereditas competat, et planum faciam et puerum hunc et quicumque alii antea hac de hereditate contenderunt, extra propinquitatem cum Hagnia esse, ut vobis ipsis confitendum sit me vera disputare. Verum ordinem rei gestæ a principio inde necesse est me enarrare; unde intelligetis et meam cum Hagnia propinquitatem et his nullum esse jus hujus hereditatis petendæ.

8. Ego enim et Hagnias, judices, et Stratocles et Stratius, qui Hagniæ avunculus, e consobrinis nati sumus: nam patres nostri erant consobrini et patres eorum fuerant fratres. Hagnias igitur, in procinctu stans cum nave ad legationem proficiscendi ejusmodi in causa unde reip. emolumentum sperabatur, non nobis genere proximis bona sua, si quid

ἐφ' ἡμῖν τοῖς ἐγγύτατα γένους, εἴ τι πάθοι, τὰ ὄντα κατέλιπεν, ἀλλ' ἐποιήσατο θυγατέρα αὑτοῦ ἀδελφιδῆν· εἰ δέ τι καὶ αὐτὴ πάθοι, Γλαύκωνι τὰ ὄντα ἐδίδου, ἀδελφῷ ὄντι ὁμομητρίῳ· καὶ ταῦτ' ἐν διαθήκαις ἐνέγραψε. (9) Χρόνων δὲ διαγενομένων μετὰ ταῦτα τελευτᾷ μὲν Εὐβουλίδης, τελευτᾷ δ' ἡ θυγάτηρ ἣν ἐποιήσατο Ἁγνίας, λαμβάνει δὲ τὸν κλῆρον Γλαύκων κατὰ τὴν διαθήκην. Ἡμεῖς δ' οὐ πώποτ' ἠξιώσαμεν ἀμφισβητῆσαι πρὸς τὰς ἐκείνου διαθήκας, ἀλλ' ᾠόμεθα δεῖν περὶ τῶν αὑτοῦ τὴν ἐκείνου γνώμην εἶναι κυρίαν, καὶ τούτοις ἐνεμένομεν. Ἡ δ' Εὐβουλίδου θυγάτηρ μετὰ τῶν αὐτῇ συμπραττόντων λαγχάνει τοῦ κλήρου καὶ λαμβάνει νικήσασα τοὺς κατὰ τὴν διαθήκην ἀμφισβητήσαντας, ἔξω μὲν οὖσα τῆς ἀγχιστείας, ἐλπίσασα δ' (ὡς ἔοικεν) ἡμᾶς πρὸς αὐτὴν οὐκ ἀντιδικήσειν, ὅτι οὐδὲ πρὸς τὰς διαθήκας ἠμφισβητήσαμεν. (10) Ἡμεῖς δέ, ἐγὼ καὶ Στράτιος καὶ Στρατοκλῆς, ἐπειδὴ τοῖς ἐγγύτατα γένους ἐγεγένητο ἐπίδικος ὁ κλῆρος, παρεσκευάζοντο ἅπαντες λαγχάνειν· πρὶν δὲ γενέσθαι τὰς λήξεις τῶν δικῶν, ἡμῖν τελευτᾷ μὲν ὁ Στράτιος, τελευτᾷ δ' ὁ Στρατοκλῆς, λείπομαι δ' ἐγὼ μόνος τῶν πρὸς πατρὸς ὢν ἀνεψιοῦ παῖς, ᾧ μόνῳ κατὰ τοὺς νόμους ἐγίνετο ἡ κληρονομία, πάντων ἤδη τῶν ἄλλων ἐκλελοιπότων, οἳ ταὐτὸν ἐμοὶ τῇ συγγενείᾳ προσήκοντες ἐτύγχανον. (11) Τῷ δὲ γνώσεσθε τοῦθ', ὅτι ἐμοὶ μὲν ἀγχιστεύειν, τοῖς δ' ἐξ ἐκείνων γεγονόσιν οὐκ ἦν, ἐν οἷς οὗτος ὁ παῖς ἦν; Αὐτὸς ὁ νόμος δηλώσει. Τὸ μὲν γὰρ εἶναι τὴν ἀγχιστείαν ἀνεψιοῖς πρὸς πατρὸς μέχρι ἀνεψιῶν παίδων ὁμολογεῖται παρὰ πάντων· εἰ δὲ μεθ' ἡμᾶς δίδωσι τοῖς ἡμετέροις παισί, τοῦτ' ἤδη σκεπτέον ἐστί. Λαβὲ οὖν αὐτοῖς τὸν νόμον καὶ ἀναγίνωσκε.

ΝΟΜΟΣ. Ἐὰν δὲ μηδεὶς ᾖ πρὸς πατρὸς μέχρι ἀνεψιῶν παίδων, τοὺς πρὸς μητρὸς κυρίους εἶναι κατὰ τὰ αὐτά.

12. Ἀκούετε, ὦ ἄνδρες, ὅτι ὁ νομοθέτης οὐκ εἶπεν, ἐὰν μηδεὶς ᾖ πρὸς πατρὸς μέχρι ἀνεψιῶν παίδων, τοὺς τῶν ἀνεψιαδῶν εἶναι κυρίους, ἀλλὰ ἀπέδωκε τοῖς πρὸς μητρὸς τοῦ τελευτήσαντος, ἂν ἡμεῖς μὴ ὦμεν, τὴν κληρονομίαν ἤδη, ἀδελφοῖς καὶ ἀδελφαῖς καὶ παισὶ τοῖς τούτων καὶ τοῖς ἄλλοις, κατὰ ταὐτὰ καθάπερ καὶ ἐξ ἀρχῆς ἦν ὑπειρημένον· τοὺς δὲ ἡμετέρους παῖδας ἔξω τῆς ἀγχιστείας ἐποίησεν. Οἷς δὲ μηδ' εἰ καὶ τετελευτηκότες ὦσιν, ὡς ἐγώ, δίδωσιν ὁ νόμος τὴν Ἁγνίου κληρονομίαν, πῶς ἐμοῦ τε ζῶντος καὶ κατὰ τοὺς νόμους ἔχοντος οἴονται αὐτοῖς εἶναι τὴν ἀγχιστείαν; οὐδαμῶς δήπουθεν. (13) Ἀλλὰ μὴν εἰ τούτοις μὴ μέτεστιν, ὧν οἱ πατέρες ταὐτὸν ἐμοὶ προσῆκον, οὐδὲ τούτῳ τῷ παιδὶ γίνεται· καὶ γὰρ ὁ τούτου πατὴρ ὁμοίως ἦν ἐκείνοις συγγενής. Οὐκ οὖν δεινὸν ἐμοὶ μὲν διαρρήδην οὕτω τῶν νόμων δεδωκότων τὴν κληρονομίαν, τούτους δ' ἔξω τῆς ἀγχιστείας πεποιηκότων, τολμᾶν τουτονὶ συκοφαν-

ei secius contingeret, reliquit, sed pro filia sibi adoptabat sororis suæ filiam; sin autem illa quoque a sinistro fato tolleretur, Glauconi bona sua delegabat, qui frater ei erat uterinus : et hæc in tabulis a se conscriptis ita constituebat. (9) Tempore interjecto post vita excedit Eubulides, nec non puella ab Hagnia in filiæ locum adoptata; et sic e præscripto testamenti hereditatem adibat Glauco. Nos vero nondum censebamus adversus illud testamentum nobis esse contendendum, sed putabamus testatoris voluntatem debere ratam esse. Constitutione ejus itaque acquievimus. Eubulidis autem filia una cum aliis causam cum ea communem facientibus hereditatem a judicibus petit, atque aufert victis illis qui eam ex jure testamenti petierant, quanquam extra propinquitatem erat; verum sperabat illa (ut videtur) nos secum litem haud esse exorsuros, qui adversus testamentum nil essemus moliti. (10) Nos autem, ego et Stratius et Stratocles, quia semel patefactus erat nunc locus proximis propinquis super hereditate contendendi, parabamus nos omnes ad petendum : priusquam vero sortitiones fierent, moriebantur Stratius et Stratocles, et sic relinquebar ego solus superstes e gente consobrinorum Hagniæ a parte paterna, et soli mihi facta est legitima hujus hereditatis petitio, ceteris omnibus, quibus ex titulo consanguinitatis par erat jus, vita defunctis. (11) Quod autem mihi quidem titulus propinquitatis competat, minus autem filiis illorum inter quos hic quoque puer est, quis docebit? ipsa lex nempe. Apud omnes enim in confesso est consobrinis et horum filiis titulum propinquitatis competere; num autem eundem titulum jus civile secundum nos nostris quoque liberis tribuat, hoc jam est quærendum. Cape tu legem hanc et recita ipsis.

LEX. Sin autem a parte patris nemo sit usque ad consobrinorum filios, bonorum arbitri sunto propinqui a parte matris eodem ordine.

12. Auditis, viri, legem sic pronuntiantem, si hereditas alicujus ad consobrinos ejus eorumque filios processerit, tum eam non ulterius ad horum quoque filios procedere, sed legem tum, quum nos consobrinorum paternorum filii desierimus esse, hereditatem defuncti propinquis a parte matris reddere, h. e. fratribus et sororibus defuncti et horum liberis et reliquis, prorsus eodem ordine atque modo dixi in propinquis a parte patris : nostros autem liberos lex a titulo propinquitatis excludit. Quibus autem lex post ipsum decessum meum denegat jus hereditatis, quo pacto hi me adhuc superstite et ex auctoritate legum hereditatem tenente sperant titulum propinquitatis sibi fore? (13) Atqui si jus iis nullum est, quorum patres consanguinitatis gradu mecum pares erant, etiam puero huic jus nullum esse potest, cujus pater in gradibus consanguinitatis eundem cum illis locum tenebat. Gravis itaque res est nec ferenda, quanquam leges verbis tam disertis hereditatem mihi addixerint, hos autem propinquitate excluserint, hunc tamen

τεῖν, καὶ διαγωνίσασθαι μέν, ἡνίκ' ἐγὼ τοῦ κλήρου τὴν δίκην ἐλάγχανον, μὴ οἴεσθαι δεῖν, μηδὲ παρακαταβάλλειν, οὗ περὶ τῶν τοιούτων εἴ τι δίκαιον εἶχεν εἰπεῖν διαγνωσθῆναι προσῆκεν, ἐπὶ δὲ τοῦ παιδὸς ὀνόματι πράγματ' ἐμοὶ παρέχειν καὶ περὶ τῶν μεγίστων εἰς κίνδυνον καθιστάναι; (14) καὶ περὶ μὲν τῶν ὁμολογουμένων εἶναι τοῦ παιδὸς χρημάτων μηδ' αἰτιᾶσθαί με, μηδ' ὥς τι εἴληφα ἔχειν εἰπεῖν (ἐφ' οἷς, εἴ τι αὐτῶν κακῶς διῴκουν ὥσπερ οὗτος, κρίνεσθαί μοι προσῆκεν), ἃ δ' ὑμεῖς ἐμὰ εἶναι ἐψηφίσασθε, τῷ βουλομένῳ δόντες ἐξουσίαν ἀμφισβητεῖν αὐτῶν, ἐπὶ τούτοις ἐμοὶ τοιούτους ἀγῶνας παρασκευάζειν καὶ εἰς τοῦτο ἀναισχυντίας ἥκειν;

15. Οἴομαι μὲν οὖν καὶ ἐκ τῶν ἤδη εἰρημένων γινώσκεσθαι ὑμῖν ὅτι οὔτ' ἀδικῶ τὸν παῖδα οὐδὲν οὔτ' ἔνοχός εἰμι ταύταις ταῖς αἰτίαις οὐδὲ κατὰ μικρόν· ἔτι δὲ ἀκριβέστερον ἡγοῦμαι καὶ ἐκ τῶν ἄλλων ὑμᾶς μαθήσεσθαι, καὶ τὴν ἐμὴν ἐπιδικασίαν, ὡς γέγονεν, ἀκούσαντας περὶ αὐτῶν. Ἐμοὶ γάρ, ὦ ἄνδρες, λαχόντι τοῦ κλήρου τὴν δίκην οὔτε οὗτος ὁ νῦν ἐμὲ εἰσαγγέλλων ᾠήθη δεῖν παρακαταβάλλειν ὑπὲρ τοῦ παιδός, οὔτε οἱ Στρατίου παῖδες οἱ ταὐτὸ τῷ παιδὶ προσήκοντες, οὔτε δι' ἄλλο οὐδὲν αὐτοῖς ἐνόμιζον προσήκειν τούτων τῶν χρημάτων. (16) Ἐπεὶ οὐδ' ἂν οὗτος νῦν ἐμοὶ πράγματα παρεῖχεν, εἰ τὰ τοῦ παιδὸς εἴων ἁρπάζειν καὶ μὴ ἠναντιούμην αὐτῷ. Οὗτοι μὲν οὖν, ὥσπερ εἶπον, εἰδότες ὅτι ἔξω ἦσαν τῆς ἀγχιστείας, οὐκ ἠμφισβήτουν, ἀλλ' ἡσυχίαν εἶχον· οἱ δ' ὑπὲρ τῆς Εὐβουλίδου θυγατρὸς πράττοντες, τῆς τὸ αὐτὸ δικαίως τῷ Στρατίου παιδὶ προσηκούσης, καὶ οἱ κύριοι τῆς Ἁγνίου μητρὸς ἦσαν οἷοίτε πρὸς ἐμὲ ἀντιδικεῖν. (17) Εἰς τοσαύτας δ' ἀπορίας κατέστησαν ὅ τι ἀντιγράψωνται περὶ τῆς ἀγχιστείας, ὥστε ἡ μὲν τὸν κλῆρον ἔχουσα καὶ οἱ λέγοντες, τὸ περὶ αὐτῆς γένος ἐπειδὴ κατεψεύσαντο, ῥᾳδίως ὑπ' ἐμοῦ τότε ἐξηλέγχθησαν οὐκ ἀληθές τι γράψαι τολμήσαντες, οἱ δ' ὑπὲρ τῆς Ἁγνίου μητρὸς γένει μὲν ἐμοὶ ταὐτὸ προσηκούσης (ἀδελφὴ γὰρ ἦν τοῦ Στρατίου) νόμῳ δὲ ἀποκλειομένης, ὃς κελεύει κρατεῖν τοὺς ἄρρενας, τοῦτο μὲν εἴασαν, οἰόμενοι δ' ἐμοῦ πλεονεκτήσειν μητέρα εἶναι τοῦ τελευτήσαντος ἔγραψαν· ὃ συγγενέστατον μὲν ἦν τῇ φύσει πάντων, ἐν δὲ ταῖς ἀγχιστείαις ὁμολογουμένως οὐκ ἔστιν. (18) Εἶτα γράψας ἀνεψιοῦ παῖδας εἶναι, κἀκείνας ἐξήλεγξα οὐκ οὔσας ἐν ταῖς ἀγχιστείαις. Οὕτως ἐπεδικασάμην παρ' ὑμῖν, καὶ αὐτῶν οὐκ ἴσχυσέ τι οὔτε τῇ τὸν κλῆρον ἐχούσῃ τὸ προνενικηκέναι τοὺς κατὰ διαθήκην ἀμφισβητήσαντας, οὔτε τῇ ἑτέρᾳ τὸ μητέρα εἶναι τοῦ τὸν κλῆρον καταλιπόντος, ἀλλ' οὕτως οἱ τότε δικάζοντες καὶ τὸ δίκαιον καὶ τοὺς ὅρκους περὶ πολλοῦ ἐποιήσαντο, ὥστ' ἐμοὶ τῷ κατὰ τοὺς νόμους ἀμφισβητοῦντι τὴν ψῆφον ἤνεγκαν. (19) Καίτοι εἰ τὰς μὲν νενίκηκα τοῦτον τὸν τρόπον, ἐπιδείξας μηδὲν Ἁγνίᾳ κατ' ἀγχιστείαν προσηκούσας, οὗτος δὲ μὴ ἐτόλμησεν ἀντιδικῆσαι τῷ παιδὶ τοῦ ἡμικληρίου πρὸς ἡμᾶς, οἱ δὲ Στρατίου παῖδές οἱ ταὐτὸν τούτῳ προσήκοντες μηδὲ νῦν ἀξιοῦσιν ἀντιδικῆσαι πρὸς ἐμὲ

audere criminationibus iniquis me vexare. Causam hujus hereditatis me sortiente, necesse non ducebat jure mecum experiri, neque sacramentum propterea deponere, ubi debebat disceptari si quam habuisset æquam et veram prætensionem proferre; nunc autem, nomine hujus pueri abusus, negotia mihi facessit rerumque summarum in discrimen me adducit: (14) et de bonis quidem pueri, quæ ejus esse inter omnes constat, nil me incusant, eorumque partem ullam me intervertisse negant (quæ si ego turpiter administrassem, ut hic fecit, oportebat me ideo in jus vocari); quæ autem vos, data volenti cuique facultate petendi atque super iis mecum certandi, mea esse pronuntiavistis, ob hæc tanta mihi consciscunt pericula! tam sunt impudentes! hoccine parum acerbum sit?

15. Quæ adhuc disputavi, satis quidem vobis jam constare ex iis censeo neque puerum ulla mea injuria lacerum esse et ne minima quidem ex parte criminationibus istis me obnoxium esse: certius tamen adhuc e reliquis intelligetis, ni fallor, ubi audire juverit, quomodo facta sit mea hujus hereditatis petitio eamque insecuta adjudicatio. Actionem hereditatis sortito me, judices, neque hic qui contra me nunc denuntiavit autumabat fas esse pro puero adversus me sacramentum deponere, neque Stratii liberi qui cum puero eodem gradu cognati sunt, neque ulla de causa animum induxerunt mecum contendere, existimantes id sibi nefas esse: (16) ne hic ipse quidem meus adversarius negotia mihi facessisset, si eum sivissem bona pueri diripere neque me ei opposuissem. Hi ergo, sicuti dixi, bene gnari extra propinquitatem se esse, nullam mihi moverunt controversiam, sed quieverunt: qui autem causam filiæ Eubulidis agitabant, quæ filia Hagniam eodem cognationis gradu attingit atque Stratii filius, nec non curatores matris Hagniæ, parati erant mecum contendere. (17) Verum in tantas incurrebant difficultates, ut dubitarent quid in libello petitorio de propinquitate sua commemorarent. Mulier quidem de facto sortem nunc possidens, Eubulidis filia, ejusque patroni de cognatione ejus falsa prodebant, ego vero facili negotio mendacium eorum refellebam: Hagniæ quidem mater eodem gradu cum eo cognata erat atque ego sum (est enim soror Stratii), verum ab hereditate excluditur ex lege illa, quæ præcipit, potiorem esse debere conditionem maris; sed causam ejus agentes hoc quidem nil curabant, at illud urgebant eam matrem defuncti esse. Est quidem, naturam si species, matris cum filio cognatio omnium arctissima; verum in gradibus consanguinitatis a lege constitutis aliter res se habet, uti constat. (18) Deinde ego, quum eas in tabulas inferri filias consobrini curassem, docui quidem illas feminas extra propinquitatem esse. Ad hunc modum hereditatem adeptus sum a vobis mihi adjudicatam, neque profuit illis quicquam, non alteri illi, quæ hereditatem jam tenebat, hoc, quod eos qui hereditatem ex titulo testamenti petissent vicisset, neque huic alteri istud, quod mater esset ejus a quo relicta fuisset hereditas; sed, qui tum sedebant judices, hi tanti faciebant jus æquum et jusjurandum suum, ut litem secundum me darent qui hereditatem hanc titulo juris a legibus constituti petissem. (19) Atqui ego si has quidem illo quo dixi modo in judicio vici, eo quod planum feci, necessitudinem ipsis cum Hagnia nullam intercedere, et hic [meus adversarius] si ausus tum non fuit pro hoc puero semissem hereditatis petere, atque Stratii liberi, qui in eodem sunt cum hoc puero gradu, si ad hoc

περὶ αὐτῶν, ἔχω δ' ἐγὼ τὸν κλῆρον ἐπιδικασάμενος παρ' ὑμῖν, ἐξελέγχω δὲ τοῦτον μηδέπω καὶ τήμερον ἔχοντ' εἰπεῖν ὅ τι ὁ παῖς Ἁγνίᾳ προσήκει κατ' ἀγχιστείαν, τί ἔτι δεῖ μαθεῖν ὑμᾶς ἢ τί ποθεῖτε ἀκούσαι περὶ τούτων; ἐγὼ μὲν γὰρ ὡς εὖ φρονοῦσιν ὑμῖν ἱκανὰ τὰ εἰρημένα νομίζω.

20. Οὗτος τοίνυν ῥᾳδίως ὅ τι ἂν τύχῃ ψευδόμενος, καὶ τὴν αὑτοῦ πονηρίαν οὐδεμίαν ζημίαν εἶναι νομίζων, τολμᾷ με διαβάλλειν ἄλλα τε πολλά, περὶ ὧν ποιήσομαι τοὺς λόγους τάχα, καὶ νυνὶ λέγει ὡς ἐκοινωσάμεθα ἐγώ τε καὶ Στρατοκλῆς, τὸν ἀγῶνα εἰσιέναι περὶ τοῦ κλήρου μέλλοντες. Ὃ μόνοις ἡμῖν τῶν ἀμφισβητεῖν παρεσκευασμένων οὐκ ἐνῆν, διομολογήσασθαι πρὸς ἀλλήλους. (21) Τῇ μὲν γὰρ Εὐβουλίδου θυγατρὶ καὶ τῇ Ἁγνίου μητρὶ πρὸς ἡμᾶς ἀγωνιζομέναις, μὴ κατὰ ταὐτὸ ἀμφισβητούσαις, ἐνῆν ποιήσασθαι συνθήκας, ἂν ἡ ἑτέρα νικᾷ, μετεῖναί τι καὶ τῇ ἡττηθείσῃ· καδίσκος γὰρ ἔμελ-
86 λεν ἑκατέρᾳ τεθήσεσθαι. Τὸ δ' ἡμέτερον οὐ τοιοῦτον ἦν, ἀλλ' ἓν τὸ γένος, δύο δὲ λήξεις, ἡμικληρίου ἑκατέρῳ· τοῖς δὲ κατὰ ταὐτὰ ἀμφισβητοῦσιν εἷς τίθεται καδίσκος, οὗ οὐκ ἂν ἦν τὸν μὲν ἡττᾶσθαι, τὸν δὲ νικᾶν, ἀλλ' ὁμοίως ἀμφοτέροις ἦν ὁ αὐτὸς κίνδυνος, ὥστ' οὐκ ἐνῆν κοινωνίαν οὐδὲ διομολογίαν ποιήσασθαι περὶ αὐτῶν. (22) Ἀλλ' οὗτος, ἐπειδὴ Στρατοκλῆς ἐτελεύτησε πρὶν γενέσθαι τοῦ ἡμικληρίου τὰς λήξεις ἡμῶν ἑκατέρῳ, καὶ οὐκέτ' ἦν μετουσία τῷ Στρατοκλεῖ τούτων οὐδὲ τῷ παιδὶ τῷδε διὰ τὸν νόμον, ἀλλ' ἐγίνετο εἰς ἐμὲ ἡ κληρονομία κατ' ἀγχιστείαν πάντων, εἰ νικήσαιμι τοὺς ἔχοντας, τότ' ἤδη πλάττει ταῦτα καὶ μηχανᾶται, προσδοκῶν τούτοις τοῖς λόγοις ῥᾳδίως ὑμᾶς ἐξαπατῆσαι. Ὅτι δ' οὐχ οἷόντ' ἦν τούτων γίγνεσθαι οὐδέν, ἀλλὰ διήρηται καθ' ἕκαστον περὶ αὐτῶν, ἐκ τοῦ νόμου γνῶναι ῥᾴδιον. Λαβὲ δ' αὐτοῖς καὶ ἀναγίνωσκε.

ΝΟΜΟΣ.

23. Ἆρ' ὑμῖν ὁ νόμος δοκεῖ ποιεῖν ἐξουσίαν κοινωνίας, ἀλλ' οὐκ ἄντικρυς οὑτωσὶ πᾶν τοὐναντίον, εἰ καὶ τὸ πρότερον ὑπῆρχε κοινωνία, προστάττει, διαρρήδην κελεύων τοῦ μέρους ἕκαστον λαγχάνειν καὶ τοῖς κατὰ ταὐτὸ ἀμφισβητοῦσι τιθεὶς ἕνα καδίσκον καὶ τὰς ἐπιδικασίας τοῦτον τὸν τρόπον ποιῶν; Ὁ δέ, ταῦτα τῶν νόμων λεγόντων καὶ οὐκ ἐνούσης γενέσθαι διομολογίας, οὕτως ἀλόγως πρᾶγμα τηλικοῦτον ψεύσασθαι τετόλμηκεν. (24) Οὐ μόνον δὲ τοῦτο πεποίηκεν, ἀλλὰ καὶ τὸ πάντων ἐναντιώτατον πρᾶγμα εἴρηκεν, ᾧ προσέχετε τὸν νοῦν, ὦ ἄνδρες. Φησὶ γὰρ ὁμολογῆσαί με τοῦ κλήρου τῷ παιδὶ τὸ ἡμικλήριον μεταδώσειν, εἰ νικήσαιμι τοὺς ἔχοντας αὐτόν. Καίτοι εἰ μέν τι καὶ αὐτῷ μετῆν κατὰ τὸ γένος, ὡς οὗτος λέγει, τί ἔδει γενέσθαι ταύτην αὐτοῖς παρ' ἐμοῦ τὴν ὁμολογίαν; ἦν γὰρ ὁμοίως καὶ τούτοις ἐπίδικον τὸ ἡμικλήριον, εἴ περ ἀληθῆ λέγουσιν. (25) Εἰ δὲ μὴ προσῆκεν αὐτοῖς τῆς ἀγχιστείας μηδέν, διὰ τί ἂν μεταδώσειν ὡμολόγουν, τῶν νόμων ἐμοὶ πάντων αὐτῶν δεδωκότων τὴν κληρονομίαν; πό-

diei ausi non sunt mecum hac de hereditate contendere, egoque ipse hanc hereditatem si teneo a vobis mihi adjudicatam, et hunc si coarguo non potuisse ad hoc diei demonstrare puero cum Hagnia cognationem esse: ecquid adhuc vos oportet discere? ecquid adhuc aliud hac de re cupitis audire? nam ego equidem viros sapientes vos habeo, quibus a me disputata satis esse possint.

20. Hic autem [adversarius meus] facillime quicquid in buccam venerit mentiens, nullumque sibi damnum ex improbitate sua sperans exstiturum, tum alia in me probra conjectat, de quibus fortasse postmodum mentionem faciam, tum hoc quoque jactat, Stratoclem et me de dividunda inter nos hereditate depactos fuisse, quum in eo essemus ut actiones has sortiremur. Atqui si quibus aliis licuit hac de hereditate certamen inter se compromittere, nobis solis id non licuit. (21) Nam Eubulidis quidem filia et Hagniæ mater, quod inter se non ex eodem juris titulo certarent, poterant illæ quidem depacisci, utra vinceret, ut alteram victam in portionem hereditatis venire sineret: nam earum unicuique sua seorsum urna ponenda erat. Nostra autem non eadem erat conditio; contendebamus enim ambo nos ex eodem titulo cognationis, verum unusquisque nostrûm seorsum pro se singulari actione semissem hereditatis petebat. Petentibus autem idem et ex eodem titulo una solummodo ponitur urna, et tum non potest alter vincere, alter vinci, sed ambobus idem imminet periculum. Quapropter negatum nobis erat communionem inter nos constituere hujus hereditatis. (22) Verum quia Stratocles vita prius decessit quam nostrûm unusquisque suam seorsum actionem de semisse hereditatis sortiretur, eoque pacto interempta Stratocli erat ejus participatio parique modo filio isti per legem, sed hereditas ex asse ex titulo propinquitatis ad unum me, si vicissem possessores, deventura erat, tum demum [adversarius meus] ista sibi comminiscitur et machinatur, sperans facile sibi futurum ut ejusmodi commentis vos decipiat. Nihil autem horum fieri potuisse, sed de singulis distincte præscriptum esse, e legibus facile est cognoscere. Cape tu istoc, et recita ipsis.

LEX.

23. Videturne vobis lex facultatem dare communionis? annon potius e contrario, etiamsi antea fuisset communio, edicit unumquemque suam portionem petere et eadem de re eodemque ex titulo litigantibus unum poni cadiscum et ad hunc modum facere adjudicationem hereditatum? Et nihilominus tamen hic, tametsi leges hæc edicant et tametsi communicatio locum habere nullum potuerit, ausus tamen est tam temere mendacium tam pudendum comminisci. (24) Verum non hoc solum ausus est, verum etiam res jactare inter se repugnantissimas. Attendite modo, judices, animum. Pollicitum me ait esse puero, tenentes hereditatem si vicero, semissem ejus me ipsi impertiturum esse. Atqui si puero jus hereditatis erat (uti hic ait) ex titulo cognationis, quid opus erat ut hanc a me sponsionem exigeret? nam vera si sunt ea quæ prætendunt, erat ipsi quoque jus non deterius atque mihi est hereditatem in jure petendi. (25) Sin autem a propinquitate ejusque juribus exclusi prorsus erant, eccur ego reciperem illis partem hereditatis impertiturum, legibus mihi

τερα δ' οὐκ ἦν μοι λαχεῖν, εἰ μὴ πείσαιμι τούτους; Ἀλλ' ὁ νόμος τῷ βουλομένῳ δίδωσι τὴν ἐξουσίαν, ὥστε τοῦτο οὐκ ἦν αὐτοῖς εἰπεῖν. Ἀλλ' εἶχόν τινά μοι μαρτυρίαν τοῦ πράγματος, ἣν εἰ μὴ ἐμαρτύρουν, οὐκ ἔμελλον ἐπιδικάσασθαι τούτων; Ἀλλὰ κατὰ γένος ἠμφισβήτουν, οὐ κατὰ δόσιν, ὥστ' οὐδὲν ἔδει μαρτύρων. (26) Ἀλλὰ μὴν εἰ μήτε κοινώσασθαι τὸ πρᾶγμα ἐνῆν, ὅτ' ἔζη Στρατοκλῆς, μήτε ὁ πατὴρ αὐτῷ κατέλιπεν ἐπιδικασάμενος τούτων μηδέν, μήτε εἰκὸς ἦν μεταδώσειν ἐμὲ τὸ ἡμικλήριον ὁμολογῆσαι αὐτῷ, ἀπέδοτε δ' ὑμεῖς ἐπιδικάσαντές μοι τοῦτον τὸν κλῆρον, οἱ δὲ μήτε ἔλαχον τῶν αὐτῶν μήτ' ἀμφισβητῆσαι πώποτ' ἠξίωσαν, πῶς χρὴ πιστοὺς εἶναι νομίζειν τοὺς τούτων λόγους; ἐγὼ μὲν οἴομαι οὐδαμῶς. (27) Προσποιεῖται τοίνυν οὗτος (ἐπειδὴ τοῦτ' εἰκότως ἂν θαυμάζοιτε, ὅτι τοῦ ἡμικληρίου τότε τὴν δίκην οὐκ ἐλάγχανον) τοῦ μὲν μὴ λαχεῖν πρὸς ἐκείνους ἐμὲ εἶναι αἴτιον ὡς ὁμολογήσαντα μεταδώσειν, ὥστε διὰ τοῦτ' οὐ παρακαταβάλλειν αὐτοῖς, τῆς δὲ πρὸς ἐμὲ λήξεως ἐμποδὼν εἶναι τοὺς νόμους (οὐ γὰρ εἶναι τοῖς ὀρφανοῖς κατὰ τῶν ἐπιτρόπων), οὐδέτερ' ἀληθῆ λέγων. (28) Οὔτε γὰρ ἂν νόμον δείξειεν ὃς κωλύει τοῦτον ὑπὲρ τοῦ παιδὸς δίκην παρ' ἐμοῦ λαμβάνειν· οὐ γάρ ἐστιν ἐναντιούμενος οὐδείς, ἀλλ' ὥσπερ καὶ γραφὰς κατ' ἐμοῦ δέδωκεν, οὕτω καὶ δίκας ἐμοὶ εἶναι καὶ τῷ παιδὶ πεποίηκεν· οὔτ' αὖ διὰ ταῦτα ἐκείνοις τοῖς προσήκουσι τοῦ κλήρου οὐκ ἐλάγχανον, ὡς ἐμοῦ μεταδώσειν ὁμολογήσαντος, ἀλλ' ὅτι οὐδ' ὁτιοῦν αὐτοῖς τούτων τῶν χρημάτων προσῆκεν. (29) Εὖ δ' οἶδ' ὅτι οὐδ' εἰ συνεχώρουν τῷ παιδὶ λαβεῖν ἐπιδικασαμένῳ παρ' ἐμοῦ τὸ ἡμικλήριον, οὐκ ἄν ποτε ταῦτ' ἐποίησαν οὐδ' ἐπεχείρησαν, εἰδότες ὅτι, ὅτ' ἐν τῇ ἀγχιστείᾳ μὴ ὄντες εἶχόν τι τῶν μὴ προσηκόντων, τοῦτ' ἂν ὑπὸ τῶν ἐγγύτατα γένους ῥᾳδίως ἀφῃρέθησαν. Ὅπερ γὰρ καὶ πρότερον εἶπον, οὐ δίδωσι μεθ' ἡμᾶς τοῖς ἡμετέροις παισὶ τὸ παράπαν τὴν ἀγχιστείαν
87 ὁ νόμος, ἀλλὰ τοῖς πρὸς μητρὸς τοῦ τελευτήσαντος. (30) Ἧκεν ἂν οὖν ἐπ' αὐτὰ τοῦτο μὲν ὁ Γλαύκων ὁ τοῦ Ἁγνίου ἀδελφός, πρὸς ὃν μὴ ὅτι γένος εἶχον ἄμεινον εἰπεῖν, ἀλλὰ καὶ ἔξω τῆς ἀγχιστείας ἐφαίνοντ' ἂν ὄντες, τοῦτο δ', εἰ μὴ ἐβούλετο οὗτος, ἡ Ἁγνίου κἀκείνου μήτηρ, προσῆκον καὶ αὐτῇ τῆς ἀγχιστείας τοῦ αὑτῆς υἱέος, ὥσθ' ὁπότ' ἠγωνίζετο πρὸς τοὺς μηδὲν γένει προσήκοντας, φανερῶς ἂν ἔλαβε τὸ ἡμικλήριον παρ' ὑμῶν, τοῦτο τοῦ δικαίου καὶ τῶν νόμων αὐτῇ δεδωκότων. (31) Οὐκοῦν διὰ ταῦτ' οὐκ ἐλάγχανεν, οὐχ ὡς δι' ἐμὲ ἢ τοὺς νόμους κωλυόμενος, ἀλλὰ ταύτας προφάσεις ποιούμενος ἐπὶ ταύτας τὰς συκοφαντίας ἐλήλυθεν, ἐξ ὧν γραφὴν γραψάμενος καὶ ἐμὲ διαβάλλων ἐλπίζει χρήματα λήψεσθαι καὶ ἐμὲ τῆς ἐπιτροπῆς ἀπαλλάξειν. Καὶ οἴεται δεινοῦ τινος ἀνδρὸς ἔργον διαπράττεσθαι ταύταις ταῖς παρασκευαῖς, ὅτι μὴ κατορθώσας μὲν οὐδὲν ἀπολεῖ τῶν αὑτοῦ, διαπραξάμενος δ' ἃ βούλεται καὶ τὰ τοῦ παιδὸς ἀδεῶς ἤδη διαφορήσει. (32) Οὐκοῦν οὐ δεῖ προσέχειν ὑμᾶς τοῖς

soli hereditatem ex asse addicentibus? At eratne forsitan mihi negatum, nisi hos mihi conciliassem, hereditatem petere? Atqui lex volenti cuique veniam ejus rei dat; quapropter hac quidem uti causatione illis non licet. At erat forsitan penes illos aliquod testimonium, quo carens ego adjudicationem hereditatis adipisci non poteram? Atqui ex titulo cognationis petebam, non ex titulo legationis testamentariæ. Quo ergo testes? (26) Atqui si, donec superfuit Stratocles, mihi non licuit clandestinum de partiendis bonis pactum inire, neque pater ipsi [puero Stratoclis filio] horum [Hagniæ bonorum] quicquam reliquit, sententia judicum sibi adjudicatum adeptus, neque probabile est me pollicitum ipsi [puero] esse quicquam de restituenda semisse hereditatis, vos autem mihi hanc hereditatem adjudicavistis, illi vero neque sortiti sunt de iisdem actionem in me neque æquum judicarunt esse mecum certare: qui par sit vos horum prædicationibus fidem habere? Ego quidem arbitror par id non esse. (27) Jam vos merito miremini, cur illo tempore hi de semisse hereditatis certare omiserint. Cui dubitationi vestræ quo occurrat hic, comminiscitur, quominus actionem in istos [reliquos cognatos] ipsi instituissent, in causa me fuisse qui de danda semisse spopondissem, et propterea se sacramentum non deposuisse; quominus autem ipsi me actione persequerentur, leges intercessisse, per quas pupillis haud liceat actiones forenses in suos tutores intentare: at neutrum horum est veritati consentaneum. (28) Neque enim legem habeat proferre, quæ vetet ipsum pro pupillo causam contra me agere; nulla enim obstat lex, sed ut lex in me, si pupillum lædam, majestatis actionem dat, ita multo magis vult locum esse privatis inter me pupillumque actionibus: neque etiam propterea a contentione cum illis quibus hereditas competit, destiterunt, quod ego ipsis promisissem me semissem hereditatis cum ipsis communicaturum, sed ideo quod conscii sibi erant jus in hæc bona sibi nullum esse. (29) Verum enimvero, si vel maxime veniam huic puero dedissem hereditatis semissem a me in jure petendi atque, ubi eam a judicibus sibi adjudicatam impetrasset, exigendi, certus tamen sum eos nunquam id facturos fuisse: profecto ne conati quidem essent, bene gnari, si tenerent aliquam partem bonorum ad se nil attinentium, quum essent extra propinquitatem, proximos cognatos illam facili negotio erepturos esse. Nam, id quod iterum atque iterum dico, lex liberis nostris post excessum nostrum propinquitatis titulum non amplius facit reliquum, sed eum ad consanguineos a parte matris transfert. (30) Veniet itaque istæc ab eo repetitum, hinc Glauco Hagniæ frater (adversus quem non solummodo meliorem cognationis titulum allegare non possent, sed ne ullum quidem, quippe qui extra propinquitatem sint), illinc mater Hagniæ Glauconique communis, si vellet, quippe cui ipsi quoque titulus cognationis cum filio suo competit; quo futurum esset ut, si mater contentionem cum iis iniret qui Hagniam cognatione prorsus nulla attingunt, semissem ea sit a vobis, judices, procul omni dubio ablatura, quippe quam ei et leges et ipsa dat æquitas. (31) Has igitur ob causas actionem in me sortitus tum non fuit, non autem ideo quod esset a me aut a legibus impeditus, sed hos prætextus commentus ad has nefarias criminationes grassatur, quibus accusationem majestatis inædificavit, per quam se ipsum bona pueri ablaturum esse, me vero sperat a se apud vos in suspicionem adductum a tutela pueri depulsum iri. Videturque sibi per has machinationes viri inprimis callidi partes acturus: nam, si conatus minus prospere succedat, se nil utique perditurum autumat; sin autem ex animi sententia rem gerat, sibi licitum fore pupilli quoque bona impune dissipare. (32) Quare vos decet, judices, ad hujus homi-

τούτου λόγοις τὸν νοῦν, οὐδ᾽ ἐπιτρέπειν, οὐδ᾽ ἐθίζειν εἶναι γραφὰς περὶ ὧν ἰδίας δίκας οἱ νόμοι πεποιήκασιν. Ἁπλᾶ γὰρ τὰ δίκαια παντάπασίν ἐστι καὶ γνώριμα μαθεῖν· ἃ ἐγὼ διὰ βραχέων εἰπὼν καὶ παρακαταθέμενος ὑμῖν μνημονεύειν, ἐπὶ τὴν ἄλλην ἀπολογίαν ἤδη τρέψομαι τῶν κατηγορηθέντων. Τί οὖν ἐστι ταῦτα, καὶ τί διορίζομαι; (33) Εἰ μὲν κατ᾽ ἀγχιστείαν τῶν Ἁγνίου μετεῖναί φησι τῷ παιδὶ τοῦ ἡμικληρίου, λαχέτω πρὸς τὸν ἄρχοντα, κἂν ὑμεῖς ψηφίσησθε, λαβέτω· ταῦτα γὰρ οἱ νόμοι κελεύουσιν. Εἰ δὲ μὴ κατὰ τοῦτο ἀμφισβητεῖ, φησὶ δὲ ὁμολογῆσαί με τῷ παιδὶ μεταδώσειν, φάσκοντος ἐμοῦ τούτων εἶναι μηδὲν δικασάσθω, κἂν ἐξελέγξῃ με ὡς ὡμολόγησα, τότ᾽ ἤδη πραξάσθω· δίκαιον γὰρ οὕτως ἐστίν. (34) Εἰ δὲ μήτε πρὸς ἐμὲ μήτε κατ᾽ ἐμοῦ δίκην εἶναί φησι τῷ παιδί, τὸν κωλύοντα νόμον εἰπάτω, κἂν ἔχῃ δεῖξαι, λαβέτω καὶ οὕτω τὸ μέρος τῶν χρημάτων. Εἰ δ᾽ αὖ μήτ᾽ ἐπιδικάσασθαί φησι δεῖν τοῦ ἡμικληρίου μήτε μὴν δικάσασθαι, ἀλλ᾽ ἤδη εἶναι ταῦτα τοῦ παιδός, ἀπογραψάσθω πρὸς τὸν ἄρχοντα εἰς τὴν μίσθωσιν τῶν ἐκείνου χρημάτων, ἣν ὁ μισθωσάμενος εἰσπράξει με ταῦτα ὡς ὄντα τοῦ παιδός. (35) Ταῦτα μεγάλα δίκαιά ἐστι. Ταῦτα καὶ οἱ νόμοι κελεύουσιν, οὐ μὰ Δία οὐ γραφὰς ἐμὲ φεύγειν περὶ ὧν δίκας ἰδίας εἶναι πεποιήκασιν, οὐδὲ κινδυνεύειν περὶ τοῦ σώματος, ὅτι οὐ μεταδίδωμι τῷ παιδὶ τούτων, ἃ ψήφῳ κρατήσας ἐγὼ τοὺς ἔχοντας οὕτω παρ᾽ ὑμῶν ἔλαβον· ἀλλ᾽ εἴ τι τῶν ὁμολογουμένων εἶναι τοῦ παιδὸς εἶχον καὶ κακῶς διέθηκα ὥστ᾽ ἐκεῖνον κακοῦσθαι, τότε ἄν μοι κατὰ ταύτην προσῆκε κρίνεσθαι τὴν γραφήν, οὐ μὰ Δί᾽ οὐχ ἐπὶ τοῖς ἐμοῖς.

36. Ὅτι μὲν οὖν οὔτε περὶ τούτων οὐδὲν δίκαιον πεποίηκεν οὔτε περὶ τῶν ἄλλων ἀληθὲς οὐδὲν εἴρηκεν, ἅπαντα δὲ δεινῶς πλεονεξίᾳ μεμηχάνηται διαβάλλων καὶ τοὺς νόμους παράγων καὶ ὑμῶν καὶ ἐμοῦ παρὰ τὸ δίκαιον περιγενέσθαι ζητῶν, οἶμαι μὰ τοὺς θεοὺς οὐδ᾽ ὑμᾶς ἀγνοεῖν ἀλλ᾽ ὁμοίως εἰδέναι πάντας, ὥστ᾽ οὐκ οἶδ᾽ ὅ τι δεῖ πλείω περὶ τούτων λέγειν. (37) Ὁρῶ δέ, ὦ ἄνδρες, τὴν πλείστην διατριβὴν τῶν λόγων ποιούμενον περὶ τὴν τοῦ παιδὸς οὐσίαν καὶ περὶ τὴν ἐμήν, καὶ τὰ μὲν ἐκείνου παντάπασιν ὡς ἄπορα διεξιόντα, περὶ δ᾽ ἐμὲ πλοῦτόν τινα τῷ λόγῳ κατασκευάσαντα, καί τινα κακίαν κατηγοροῦντα, ὡς ἐγὼ τεττάρων οὐσῶν Στρατοκλέους θυγατέρων οὐδεμιᾶ τολμῶ συνευπορῆσαι προικός, καὶ ταῦτ᾽ ἔχων (ὡς οὗτός φησι) τὰ τοῦ παιδίου. (38) Βούλομαι δὴ καὶ περὶ τούτων εἰπεῖν· ἐλπίζει γὰρ διὰ τῶν λόγων ἐμοὶ μέν τινα φθόνον γενήσεσθαι παρ᾽ ὑμῶν περὶ τῶν προσγεγενημένων χρημάτων, τοῖς δὲ παισὶν ἔλεον, ἂν ἄποροι παρ᾽ ὑμῖν εἶναι δόξωσιν. Οὔκουν ἀγνοῆσαι δεῖ περὶ αὐτῶν ὑμᾶς οὐδέν, ἀλλ᾽ ἀκριβῶς καὶ ταῦτα μαθεῖν, ἵν᾽ εἰδῆθ᾽ ὅτι ψεύδεται,
88 ὥσπερ καὶ περὶ τῶν ἄλλων ἁπάντων. Ἐγὼ γὰρ ἄν, ὦ ἄνδρες, πάντων ὁμολογήσαιμι εἶναι κάκιστος, εἰ Στρατοκλέους ἄπορα τὰ πράγματα καταλιπόντος αὐτὸς εὔπορος ὢν καὶ μηδεμίαν ἐπιμέλειαν ποιούμενος φαι-

nis causationes haud attendere, neque committere ut hic mos in republica gliscat, quibus de rebus leges judicia privata constituunt, eas res ad causas capitales pertrahendi. Simplex omnino jus notumque omnibus in hac causa constitutum est; quod ubi ego vobis ad mentem tribus verbis revocavero vestræque memoriæ demandavero, ad refutanda quæ supersunt meæ accusationis capita progrediar. Ecquod igitur illud est, quod dico, jus? et quanam ego distinctione rem hanc definio? (33) Pupillo si ait [adversarius] competere jus ad hereditatem Hagniæ ex titulo propinquitatis, semissem ab archonte petito; quam si vos ei addixeritis, habeto: sic enim fieri leges præcipiunt. Sin autem ex hoc titulo petere recusans, asseverabit me pupillo partem dimidiam promisisse impertiendam, jure mecum experitor; quo facto, ubi me negantem id a me promissum esse coarguerit, tum demum semissem exigito: sic enim justum est. (34) Sin autem pupillo negat actionem in me esse neque ex titulo hereditatis neque ex titulo non servati promissi, legem indicato id vetantem, et indicare si habuerit, etiam hoc pacto semissem hereditatis auferat. Sin autem pupillum decere negabit ut illis ex titulis contendat, sed aiet universa Hagniæ bona ipsius de jure esse, indicem eorum tradat archonti, ut ab hoc elocentur; tum ad me conductor locarii auferendi causa venito. (35) Hæc æquissima sunt; hæc a legibus imperantur, neutiquam autem, ita medius fidius, quibus de rebus actiones privatas esse legislator voluit, eas publicis commutare, neque me in discrimen capitis deducere, ideo quod pupillo huic ea nolo impertire, quæ ego a vobis adjudicata mihi possideo, posteaquam priores possessores causa vici: bonorum pupilli si quid ego haberem quod ejus esse constaret idque male administrarem, ita ut fortunæ ejus deteriorem in locum deducerentur, tum æquum fuisset hanc majestatis causam mihi intentari, non autem profecto, si mea mihi servo.

36. Adversarium itaque neque hac in re juris æqui observantem fuisse neque de ceteris rebus vera protulisse, sed omnia cupiditate actum esse machinatum quo me apud vos in invidiam adduceret, legesque detorsisse summumque per nefas studere meque vosque circumvenire, neminem vestrûm, ita me dii ament, arbitror esse qui ignoret, sed perinde nostis omnes; quapropter causæ nil video cur his de rebus plura disputem. (37) Sed video eum [adversarium] orationem plurimam in rationibus substantiæ, tum ejus quæ pupillo est tum alterius quæ mihi, exponendis consumere, et pupillum quidem plane nudum fortunis dicere, mihi autem copias nescio quam ingentes animumque affingere tam degenerem, ut Stratoclis filiarum, quæ numero sunt quattuor, nulli dotem contribuam, quamvis bona fratris earum habeam. (38) Consultum itaque duco a me hæc quoque exponi. Sperat enim se istis orationibus hoc consecuturum, ut apud vos invidiam mihi faciat, tanquam homini bonis alienis saginato, liberorum Stratoclis autem miseratio vos incessat, si egeni facti vobis videantur esse. Committendum itaque mihi non est ut vos hæc ignoretis, sed opera potius danda ut hæc quoque probe teneatis, quo certi sitis eum hæc quoque pariter atque reliqua mentitum esse. Ego profecto, judices, haud recusem hominum omnium pessimus haberi, si, Stratocle in re domestica afflicta exstincto, ego opibus abun-

νέμην τῶν ἐκείνου παίδων. (39) Εἰ δὲ πλείονα κατέλιπεν αὐτοῖς τὰ ὄντα τῶν ἐμῶν καὶ βεβαιότερα, καὶ ταῦτα τοσαῦτ' ἐστὶν ὥστε καὶ τὰς θυγατέρας ἐξ αὐτῶν διαθεῖναι καλῶς καὶ τὸν παῖδα ἐκ τῶν λοιπῶν μηδὲν ἧττον εἶναι πλούσιον, ἐπιμελοῦμαί τε τοῦτον τὸν τρόπον αὐτῶν ὥστε καὶ πολλῷ πλείω γενέσθαι τὴν οὐσίαν, εἰκότως μὲν οὐκ ἂν ἔχοιμι μέμψιν, εἰ μὴ τἀμαυτοῦ προστίθημι τούτοις, σώζων δὲ τὰ τούτων καὶ πλείω ποιῶν δικαίως ἂν ἐπαινοίμην. (40) Ὅτι δὲ ταῦτα οὕτως ἔχει, ῥᾳδίως ἐπιδείξω. Πρῶτον μὲν οὖν τὰ τῆς οὐσίας διέξειμι, μετὰ δὲ ταῦτα ὡς καὶ διοικεῖν ἀξιῶ τὰ τοῦ παιδός. Στρατοκλεῖ γὰρ κἀμοὶ τὰ μὲν ὑπάρξαντα πατρῷα τοσαῦτα ἦν, ὥστε εἶναι μὲν ἱκανά, λειτουργεῖν δὲ μὴ ἄξια. Τεκμήριον δέ· εἴκοσι μνᾶς ἑκάτερος ἡμῶν ἐπὶ τῇ γυναικὶ προῖκα ἔλαβε, τοσαύτη δὲ προὶξ οὐκ ἂν εἰς πολλήν τινα οὐσίαν δοθείη. (41) Συνέβη δὲ Στρατοκλεῖ πρὸς τοῖς ὑπάρχουσι πλέον ἢ πένθ' ἡμιταλάντων οὐσίαν λαβεῖν· Θεοφῶν γὰρ ὁ τῆς γυναικὸς αὐτοῦ ἀδελφὸς ἀποθνήσκων ἐποιήσατο τῶν θυγατέρων αὐτοῦ μίαν, καὶ τόν θ' αὐτοῦ ἔδωκεν ἀγρὸν Ἐλευσῖνι δυοῖν ταλάντοιν, πρόβατα ἑξήκοντα, αἶγας ἑκατόν, ἔπιπλα, ἵππον λαμπρὸν ἐφ' οὗ ἐφυλάρχησε, καὶ τὴν ἄλλην κατασκευὴν ἅπασαν, (42) ἧς κύριος ἐκεῖνος γενόμενος ἐννέα ἔτη ὅλα κατέλιπε πέντε ταλάντων οὐσίαν καὶ τρισχιλίων δραχμῶν σὺν τοῖς ἑαυτοῦ πατρῴοις, χωρὶς ἐκείνης ἧς Θεοφῶν τῇ θυγατρὶ αὐτοῦ ἔδωκεν, ἀγρὸν μὲν Θριᾶσι πένθ' ἡμιτάλαντα εὑρίσκοντα, οἰκίαν δὲ Μελίτῃ τρισχιλίων ἐωνημένην, ἄλλην δὲ Ἐλευσῖνι πεντακοσίων. Ἐδάφη μὲν ταῦτα, ἀφ' ὧν ἡ μίσθωσις τοῦ μὲν ἀγροῦ δώδεκα μναῖ, τῶν δὲ οἰκιῶν τρεῖς, αἳ πεντεκαίδεκα μναῖ συναμφότερα γίνονται· χρέα δ' ἐπὶ τόκοις ὀφειλόμενα περὶ τετρακισχιλίας, ὧν τὸ ἔργον ἐπ' ἐννέα ὀδολοῖς ἑπτακόσιαι καὶ εἴκοσι δραχμαὶ γίνονται τοῦ ἐνιαυτοῦ ἑκάστου. (43) Πρόσοδος μὲν αὕτη δύο καὶ εἴκοσι μναῖ καὶ πρός· χωρὶς δὲ τούτων κατέλιπεν ἔπιπλα, πρόβατα, κριθάς, οἶνον, ὀπώρας, ἐξ ὧν ἐνεπόλησαν τετρακισχιλίας ἐνακοσίας. Ἔτι δὲ ἔνδον ἐνακοσίας δραχμάς. Πρὸς δὲ τούτοις ἐξ ἐράνων ὀφλήματα εἰσπεπραγμένα, μικροῦ δεούσας χιλίας δραχμάς, μαρτύρων ἐναντίον ἡ μήτηρ αὐτοῦ, τοῦ παιδός, ἀπεγράψατο. Καὶ οὔπω λέγω περὶ τῶν ἄλλων, ἃ κατελείφθη μέν, οὗτοι δ' οὐκ ἀποφαίνουσιν, ἀλλὰ τὰ φανερὰ καὶ τὰ ὑπὸ τούτων ὁμολογούμενα. Κάλει δέ μοι τῶν εἰρημένων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

44. Ἡ μὲν τοίνυν Στρατοκλέους οὐσία καὶ πλείων ταύτης ἐστίν· ἀλλ' ὕστερον περὶ τῶν παρακλεπτομένων ὑπὸ τούτων ποιήσομαι τοὺς λόγους· ἡ δ' ἐμὴ πόση τις; χωρίον ἐν Οἰνόῃ πεντακισχιλίων καὶ Προσπαλτοῖ τρισχιλίων, καὶ οἰκία ἐν ἄστει δισχιλίων, πρὸς δὲ τούτοις ὁ κλῆρος ὃν Ἁγνίας κατέλιπε, περὶ δύο τάλαντα· οὐ γὰρ ἂν οἶδ' ὅτι πλέον εὕροι τούτου. Ταῦτ' ἐστὶ τρία τάλαντα καὶ τετρακισχίλιαι μόνον, δέκα καὶ ἑκατὸν

dens nullam liberorum ejus curam gerere viderer. (39) Sin autem Stratocles liberis facultates reliquit et ampliores quam sunt meæ et certiores, easque tantas ut et filiæ cum dote luculenta possint elocari, et filius cum iis, quæ ipsi supersunt, nihilominus tamen in locupletibus haberi, egoque si bona illa sic administro ut multo etiam magis amplificentur, tum merito caream reprehensione, rem meam familiarem illorum rei adjicere nolens', et, quod rem illorum non tuear modo sed amplificem quoque, ex eo vel lauder merito. (40) Rem autem ita se, ut aio, habere, facile demonstratu est. Primum itaque ipsa de substantia Stratoclis exponam, tum quoque me recte postulare ut tutela pupilli penes me maneat. Stratocli enim atque mihi patrimonium est quod sufficiat quidem, edendis autem muniis nequaquam par sit. Documentum dabo: ambo nos cum uxore quisque sua vicenas minas tulimus in dotem, cujusmodi dos non facile in domum locupletem detur. (41) Sed contigit Stratocli ut patrimonio hereditatem duûm talentorum cum semisse adjungeret. Theophon enim ejus uxoris frater moribundus ex ejus filiabus unam sibi pro filia adoptavit, eique donavit prædium Eleusine duo talenta valens, sexaginta oves, centum capellas, supellectilem domesticam, equum splendidum cui insidens [Theophon] phylarchum egerat, et omne reliquum instrumentum'; (42) quarum omnium rerum ille [Stratocles] potitus per novennium reliquit substantiam quinque talenta et semis valentem connumerato patrimonio, sed exclusa hereditate illa quam Theophon ipsius filiæ donaverat: reliquit enim Stratocles prædium Thriasium duo talenta cum dimidio valens, domum in vico Melite triginta minis emptam, aliam Eleusine quinque minis emptam. Bona hæc sunt immobilia, quorum annua vectigalia hæc sunt: prædii minæ denæ binæ, domuum autem ternæ, in summa denæ quinæ in annum minæ; pecuniæ fœnori elocatæ quater mille circiter drachmæ, quarum quæstus annuus septingentæ sunt atque viginti drachmæ, mina quaque in mensem novenos obolos merente. (43) Ex his igitur habes minas quæstus annui 22 et super. Præterea reliquit supellectilem, oves, grana, vinum, fructus autumnales, quibus venditis redactum est ad quater mille nongentas drachmas. Paratæ pecuniæ denique in arca depositæ novem minas. Adde ex eranis redacta debita, paulo minus quam mille drachmas, quas mater pupilli coram testibus confessa in tabulas curavit inferri. Mentionem faciens nullam eorum, quæ Stratocles reliquit quidem, hi vero celant, tantum in propatulo posita commemoro et ea quæ hi ipsi confitentur. Cita tu mihi testes a me dictorum.

TESTES.

44. Erat itaque Stratocli substantia hac quam dixi amplior: sed paulo post de furto decerptis mentionem faciam. Mea vero res familiaris quantula est! Agellus in Œnoa quinquaginta, agellusque Prospaltius triginta et domus in urbe viginti minas valens, tum hereditas ab Hagnia mihi relicta duûm admodum talentorum; neque enim norim unde majorem substantiam extuderit. Summa est tria talenta et quadraginta minæ, decem adeo et centum minis minor

μναῖς ἐλάττω τῶν τοῦ παιδός. (45) Κἀγὼ μὲν ἐγκαταλογίζομαι καὶ τὰ τοῦ υἱέος τοῦ ἐκποιηθέντος εἰς ταῦτα, τοῖς τοῦ παιδὸς δὲ οὐ προσέθηκα τὴν Θεοφῶντος οὐσίαν, πένθ' ἡμιταλάντων οὖσαν, ἐφ' ᾗ ἐποιήσατο τὴν ἀδελφὴν αὐτοῦ· ῥᾳδίως γὰρ ἂν εὑρεθείη καὶ ὀκτὼ ταλάντων ὁ τούτων οἶκος· ἀλλ' ἐκεῖνα ἀφῄρηται χωρίς. (46) Κἀμοὶ μὲν ὁ κλῆρος ὃν Ἁγνίας κατέλιπεν, οὗτος οὔπω βέβαιός ἐστι· δίκαι γὰρ ἐνεστήκασι ψευδομαρτυριῶν, κελεύει δ' ὁ νόμος, ἐὰν ἁλῷ τις τῶν ψευδομαρτυριῶν, πάλιν ἐξ ἀρχῆς εἶναι περὶ αὐτῶν τὰς λήξεις· τὰ δὲ τοῦ παιδὸς ὡμολογημένα καὶ ἀναμφισβήτητα καταλέλοιπε Στρατοκλῆς. Ὅτι δὲ τοσαῦτά ἐστι τἀμὰ σὺν τοῖς τοῦ ἐκποιήτου υἱέος, καὶ ψευδομαρτυριῶν ἐνεστᾶσι δίκαι περὶ τῶν Ἁγνίου, λαβὲ τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

ΜΑΡΤΥΡΙΑΙ.

89 47. Ἆρα μικρὰ τὰ διάφορα ἑκατέροις τῆς οὐσίας ἡμῶν ἐστιν, ἀλλ' οὐ τηλικαῦτα ὥστε μηδεμίαν γενέσθαι περὶ τοὺς Στρατοκλέους παῖδας; Οὐκ ἄξιον τούτοις τοῖς λόγοις πιστεύειν, ὃς τοσαύτης οὐσίας καταλελειμμένης ἐτόλμησεν ἐπὶ διαβολῇ ψεύσασθαι κατ' ἐμοῦ τηλικαῦτα τὸ μέγεθος. Καταλογίζεται τοίνυν ὡς ἐγὼ τρεῖς κλήρους εἰληφὼς καὶ πολλῶν χρημάτων εὐπορῶν ἀφανίζω τὴν οὐσίαν, ἵν' ὡς ἐλάχισθ' ὑμεῖς αὐτῶν ἀπολαύητε. Τοῖς γὰρ μηδὲν δίκαιον ἔχουσι περὶ τῶν πραγμάτων λέγειν ἀνάγκη πορίζεσθαι τοιούτους λόγους, ἐξ ὧν διαβάλλοντες πλέον ἔχειν δυνήσονται τῶν ἀντιδίκων. (48) Ἐμοὶ δὲ μάρτυρές ἐστε πάντες ὅτι οἱ τῆς ἐμῆς γυναικὸς ἀδελφοί, Χαιρέλεως καὶ Μακάρτατος, οὐ τῶν λειτουργούντων ἦσαν, ἀλλὰ τῶν βραχεῖαν κεκτημένων οὐσίαν. Μακάρτατον γὰρ ἴστε ὅτι τὸ χωρίον ἀποδόμενος καὶ τριήρη πριάμενος καὶ ταύτην πληρωσάμενος εἰς Κρήτην ἐξέπλευσεν· οὐ γὰρ τὸ ἔργον ἀφανὲς ἐγένετο, ἀλλὰ καὶ λόγον ἐν τῷ δήμῳ παρέσχε, μὴ πόλεμον ἡμῖν ἀντ' εἰρήνης ἐκεῖνος πρὸς Λακεδαιμονίους ποιήσειε· (49) Χαιρέλεως δὲ τὸ Προσπαλτοῖ χωρίον κατέλιπεν, ὃ πλέον οὐκ ἂν εὕροι τριάκοντα μνῶν. Συνέβη δὲ τὸν μὲν ταῦτα καταλιπόντα τελευτῆσαι πρότερον ἢ Μακάρτατον, ἐκεῖνον δὲ μετὰ ταύτης τῆς οὐσίας ἣν ἔχων ἐξέπλευσεν· ἅπαντα γὰρ καὶ τὴν τριήρη καὶ αὐτὸν κατὰ τὸν πόλεμον ἀπώλεσε. Καταλειφθέντος δὲ τοῦ Προσπαλτοῖ χωρίου καὶ γινομένου τῆς ἐκείνων ἀδελφῆς, ἐμῆς δὲ γυναικός, ἐπείσθην ὑπ' ἐκείνης εἰσποιῆσαι Μακαρτάτῳ τὸν ἕτερον τῶν παίδων· οὐχ ἵνα μὴ λειτουργοίην, εἰ προσγένοιτό μοι τοῦτο τὸ χωρίον. (50) Ὁμοίως γὰρ καὶ εἰσποιήσαντος τοῦτό γ' ὑπῆρχεν· οὐδὲ γὰρ ἐλειτούργουν διὰ τοῦτό γ' ἧττον οὐδέν, ἀλλὰ καὶ τῶν εἰσφερόντων ἦν καὶ τῶν τὰ προσταττόμενα ὑμῖν ἅπαντα ποιούντων. Ὁ δὲ ὡς περὶ ἀχρήστου μὲν πλουσίου δὲ ἐπὶ διαβολῇ ποιεῖται τούτους τοὺς λόγους. Ἐγὼ δ' ἓν κεφάλαιον ἐρῶ πάντων μέγιστον, ὃ καὶ ὑμῖν οἶδ' ὅτι δόξει δίκαιον. Κοινώσασθαι γὰρ ἐθέλω τὴν οὐσίαν τὴν ἐμὴν τῇ τοῦ παιδός, καὶ εἴτε πολλὰ

quam pupilli res familiaris est. (45) Et in his ipsis complector adeo facultates filii emancipati; pupilli autem in bonis haud numero substantiam Theophontis, duo talenta cum dimidio valentem, quam Theophon pupilli sorori a se adoptatæ legavit : sic enim facile substantia corrotundetur octo talentorum, quæ istorum est; sed hæc Theophontis bona seorsum ponens jam non annumero. (46) Præterea sors quidem ab Hagnia mihi relicta certa et secura non est; actiones enim falsorum testium exhibitorum in me coortæ sunt, et lex quidem, si quis falsi dicti testimonii convictus fuerit, judices hac de causa de integro sortiri jubet : filio autem huic Stratocles bona sua omnium confessione nulli controversiæ obnoxia reliquit. Hæc autem mea cum illis filii emancipati non plura esse quam dixi, atque actiones de falsis exhibitis testibus super hac hereditate Hagniæ mihi imminere ut constet, cape tu hæc testimonia atque recita.

TESTIMONIA.

47. Num igitur parva inter nos est ratione sortium nostrarum discrepantia? annon tanta potius est ut sors mea ad sortem illius pæne nulla videatur esse? Verum haud decet vos hujus hominis orationi fidem adhibere, qui tametsi pupillo tam ampla res esset relicta, quo me tamen invisum redderet, ausus est tam enormia de me mendacia spargere; recenset itaque tres hereditates quas adeptus essem atque multis hoc modo pecuniis me petitum celare substantiam hanc ait, quo fructum earum vos perciperetis quam minimum. Scilicet qui vera et æqua quæ dicant non habent, hi necessario mendacia comminiscuntur, quo invidiam creent infamatis et hac arte adversarios evertant. (48) Mihi vero vos omnes testes estis, Chæreleum et Macartatum, uxoris meæ fratres, non fuisse in numero civium sumptuosa munera sustinentium, sed eorum quibus res domi est angusta. Macartatus quidem, id quod vos omnes nostis, agello vendito triremem emit, eaque instructa, in Cretam evectus est : neque enim in occulto id agebatur, sed tam palam, ut etiam locum daret mentioni ejus rei in concione factæ, verentibus quibusdam ne Lacedæmonii, illo auso pacem prætendentes violatam esse, bellum renovarent. (49) Chæreleos autem agellum Prospaltium reliquit, qui pluris quam triginta minis haud veneat. Agellum hunc qui relinquebat, ei contingebat ante Macartatum mori : Macartato autem fatale erat ut cum substantia sua, cum qua enavigarat, periret; nam et triremem perdidit in bello et ipse periit. Agello itaque Prospaltio ad uxorem meam devoluto, quæ est Macartati et Chærelei soror, ab illa persuasus alterum filiorum Macartato pro filio subrogavi, non quo liturgias non obirem, agello hoc ad facultates meas accedente; (50) quandoquidem hæ mihi vel sic obeundæ erant, etiamsi Macartato filium instituerem : nihilo enim minus propterea liturgias præstabam, sed etiam in numero conferentium vobis omniaque imperata strenue facientium eram. Hic autem [adversarius meus] mei infamandi causa de me ita loquitur, ac si dives quidem, at vobis tamen inutilis civis essem. Ego vero summam universæ causæ dicam, quæ vobis quoque videbitur æquissima esse. Commisceri meam substantiam cum substantia pupilli volo, quæcunque illa mea est sive ampla sive exigua, et sic ambabus unam in massam conglobatis unusquisque

εἶτ' ὀλίγα ἐστίν, ἐν κοινῷ γενομένης λάβωμεν τὰ ἡμίσεα ἑκάτερος, ἵνα μηδὲν πλέον ἔχῃ ἅτερος τοῦ ἑτέρου τοῦ προσήκοντος· ἀλλ' οὐκ ἐθελήσει.

ΛΕΙΠΕΙ.

XII.

ΥΠΕΡ ΕΥΦΙΛΗΤΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Τὸν Ἐρχιέων δῆμον εἰς τὸ δικαστήριον προσκαλεῖταί τις τῶν ἀποψηφισθέντων ὡς ἀδίκως τῆς πολιτείας ἀπελαυνόμενος. Ἐγράφη γὰρ δή τις ὑπὸ τῶν Ἀθηναίων νόμος, ἐξέτασιν γενέσθαι τῶν πολιτῶν κατὰ δήμους, τὸν δὲ ἀποψηφισθέντα ὑπὸ τῶν δημοτῶν τῆς πολιτείας μὴ μετέχειν, τοῖς δὲ ἀδίκως ἀποψηφισθεῖσιν ἔφεσιν εἰς τὸ δικαστήριον εἶναι προσκαλεσαμένοις τοὺς δημότας, καὶ ἐὰν τὸ δεύτερον ἐξελεγχθῶσι, πεπρᾶσθαι αὐτοὺς καὶ τὰ χρήματα εἶναι δημόσια. Κατὰ τοῦτον τὸν νόμον ὁ Εὐφίλητος, προσκαλεσάμενος τοὺς Ἐρχιέας ὡς ἀδίκως καταψηφισαμένους αὐτοῦ, τὸν ἀγῶνα τόνδε διατίθεται. Προείρηται μὲν δὴ τὰ πράγματα ταῦτ' ἀκριβῶς καὶ πεπίστωται διὰ τῶν μαρτύρων· οἷς δὲ βεβαίας βούλεται ποιῆσαι τὰς μαρτυρίας, τάδ' ἐστίν, ὡς μὲν ἐγὼ δόξης ἔχω, πάντ' ἀκριβῶς ἐξειργασμένα, κρινέτω δὲ ὁ βουλόμενος εἰ τὰ προσήκοντα ἔγνωκα περὶ αὐτῶν.

Ὅτι μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἀδελφὸς ἡμῖν ἐστιν οὑτοσὶ Εὐφίλητος, οὐ μόνον ἡμῶν ἀλλὰ καὶ τῶν συγγενῶν ἁπάντων ἀκηκόατε μαρτυρούντων. Σκέψασθε δὲ πρῶτον τὸν πατέρα ἡμῶν, τίνος ἕνεκεν ἂν ψεύδοιτο καὶ τοῦτον μὴ ὄντα αὐτοῦ υἱὸν εἰσεποιεῖτο. (2) Πάντας γὰρ εὑρήσετε τοὺς τὰ τοιαῦτα πράττοντας ἢ οὐκ ὄντων αὐτοῖς γνησίων παίδων ἢ διὰ πενίαν ἀναγκαζομένους ξένους ἀνθρώπους εἰσποιεῖσθαι, ὅπως ὠφελῶνταί τι ἀπ' αὐτῶν δι' αὐτοὺς Ἀθηναίων γεγονότων. Τῷ τοίνυν πατρὶ τούτων οὐδέτερον ὑπάρχει· γνήσιοι μὲν γὰρ αὐτῷ ἡμεῖς δύο υἱεῖς ἐσμεν, ὥστε οὐκ ἄν γε δι' ἐρημίαν τοῦτον εἰσεποιεῖτο. (3) Ἀλλὰ μὴν οὐδὲ τροφῆς τε καὶ εὐπορίας τῆς παρὰ τούτου δεόμενος· ἔστι γὰρ αὐτῷ βίος ἱκανός, καὶ χωρὶς τούτου μεμαρτύρηται ὑμῖν τοῦτον ἐκ παίδων τρέφων καὶ ἀσκῶν καὶ εἰς τοὺς φράτορας εἰσάγων, καὶ ταῦτα οὐ μικρὰ δαπανήματά ἐστιν. Ὥστε τόν γε πατέρα ἡμῶν οὐκ εἰκός ἐστιν, ὦ ἄνδρες δικασταί, μηδὲν ὠφελούμενον οὕτως ἀδίκῳ πράγματι ἐπιχειρῆσαι. (4) Ἀλλὰ μὴν οὐδ' ἐμέ γε οὐδεὶς ἀνθρώπων οὕτω τελέως ἂν ἄφρονα ὑπολάβοι, ὥστε τούτῳ μαρτυρεῖν τὰ ψευδῆ, ὅπως τὰ πατρῷα διὰ πλειόνων διανείμωμαι. Καὶ γὰρ οὐδ' ἀμφισβητῆσαί μοι ἐξουσία γένοιτ' ἂν ὕστερον ὡς οὐκ ἔστιν ἀδελφὸς οὗτος ἐμοῦ· οὐδεὶς γὰρ ἂν ὑμῶν τὴν φωνὴν ἀνάσχοιτ' ἂν ἀκούων, εἰ νῦν μὲν ὑπόδικον ἐμαυτὸν καθιστὰς μαρτυρῶ ὡς ἔστιν ἀδελφὸς ἡμέτερος, ὕστερον δὲ φαινοίμην τούτοις ἀντιλέγων. (5) Οὐ μόνον τοίνυν ἡμᾶς, ὦ ἄνδρες δικασταί, εἰκός ἐστι τἀληθῆ μεμαρτυρηκέναι, ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς. Ἐνθυμήθητε γὰρ πρῶτον μὲν ὅτι οἱ τὰς ἀδελφὰς ἡμῶν ἔχοντες οὐκ

nostrûm semissem capito, quo neuter altero plus habeat quam convenit. At certus sum eum hanc conditionem esse recusaturum.

DESUNT RELIQUA.

XII.

PRO EUPHILETO.

Erchiam pagum aliquis abdicatorum tanquam injuria a republica remotus in jus vocat. Nam scripta lex est ab Atheniensibus ut recensio civium per tribus fiat, atque is qui a tribulibus fuerit abdicatus, ad rempublicam non accedat: at si qui injuste expulsi esse sibi visi fuerint, ut iis provocare ac tribules in jus vocare liceat; si vero secundo rejiciantur, ut ipsi venumdentur et bona eorum publicentur. Secundum hanc legem Euphiletus, quum litem Erchiensibus scripsisset, quasi injuste suffragiis eorum damnatus, contentionem hanc constituit. Initio quidem res ipsas exponit perspicue, testibusque probat: quibus autem testimonia confirmare conatur, hæc sunt, ut mea quidem opinio fert, accurate ad amussim absoluta: judicet vero qui volet an recte de his sentiam. (*Ex Dionysio Halicarn.*)

Quod itaque, judices, frater noster sit hic Euphiletus, non solum e nobis, sed etiam omnibus cognatis attestantibus cognovistis. Considerate vero primum patrem nostrum, cujus rei gratia mentiretur, et hunc, si revera filius non esset, pro filio adoptivo habere studeret. (2) Quotquot enim talia faciunt, reperietis id facere quod eis liberi non sint genuini, vel, ubi sint, egestate coactos adoptare extraneos, ut aliquam ab iis, qui ipsorum opera Athenienses facti sunt, utilitatem capiant. Jam vero patri nostro horum neutrum est. Naturales enim filii duo nos ei sumus; ita ut omnino propter solitudinem hunc non asseruerit. (3) Neque etiam victu ab hoc præbendo neque facultatibus ejus indiget. Quod enim absque hoc sufficientes ei sint copiæ, ipse declaravit, hunc a pueris educans et erudiens et in phratriæ album inscribi curans; quorum sane non pauci sunt sumptus; atque adeo non verisimile est, judices, patrem nostrum opus tam injustum, ex quo nullum perciperet commodum, facere voluisse. (4) Neque vero etiam me quisquam tam imprudentem existimet, ut hujus astipuler mendacio, quo bona paterna inter plures distribuantur. Non enim postmodum controvertere mihi licebit, quod non sit hic frater meus. Neque enim quisquam vestrûm vocem contineat, si, quum nunc reum me ipsum constituens attester, fratrem hunc meum esse, postmodum contrarium afferam. (5) Non solum autem nos, judices, vera testatos esse probabile est, sed etiam ceteros propinquos. Considerate enim primum quod qui sorores nostras habent, nunquam

ἄν ποτε ἐμαρτύρουν περὶ τούτου τὰ ψευδῆ· μητρυιὰ γὰρ ἡ τούτου μήτηρ ἐγεγένητο ταῖς ἡμετέραις ἀδελφαῖς, εἰώθασι δέ πως ὡς ἐπὶ τὸ πολὺ διαφέρεσθαι ἀλλήλαις αἵ τε μητρυιαὶ καὶ αἱ πρόγονοι· ὥστε εἰ οὗτος ἐξ ἄλλου τινὸς ἀνδρὸς ἦν τῇ μητρυιᾷ καὶ οὐκ ἐκ τοῦ ἡμετέρου πατρός, οὐκ ἄν ποτε, ὦ ἄνδρες δικασταί, τοὺς ἑαυτῶν ἄνδρας αἱ ἀδελφαὶ μαρτυρεῖν εἴασαν καὶ ἐπέτρεψαν. (6) Καὶ μὴν οὐδ᾽ ἂν ὁ θεῖος πρὸς μητρὸς ἡμῖν ὤν, τούτῳ δὲ οὐδὲν προσήκων δήπου τῇ τούτου μητρὶ ἠθέλησεν ἄν, ὦ ἄνδρες δικασταί, μαρτυρῆσαι ψευδῆ μαρτυρίαν, δι᾽ ἣν ἡμῖν γίνεται βλάβη περιφανής, εἴ περ ξένον ὄντα τοῦτον εἰσποιοῦμεν ἀδελφὸν ἡμῖν αὐτοῖς. Ἔτι τοίνυν, ὦ ἄνδρες δικασταί, πρὸς τούτοις πῶς ἄν τις ὑμῶν καταγνοίη ψευδομαρτυρίαν Δημαράτου τουτουὶ καὶ Ἡγήμονος καὶ Νικοστράτου; οἳ πρῶτον μὲν οὐδὲν αἰσχρὸν οὐδέποτε φανήσονται ἐπιτηδεύσαντες, εἶτα δ᾽ οἰκεῖοι ὄντες ἡμῖν καὶ εἰδότες ἡμᾶς ἅπαντας μεμαρτυρήκασιν Εὐφιλήτῳ τούτῳ τὴν αὐτοῦ συγγένειαν ἕκαστος. (7) Ὥστε ἡδέως κἂν τῶν ἀντιδικούντων ἡμῖν τοῦ σεμνοτάτου πυθοίμην, εἰ ἄλλοθέν ποθεν ἔχοι ἂν ἐπιδεῖξαι αὑτὸν Ἀθηναῖον ἢ ἐκ τούτων ὧν καὶ ἡμεῖς Εὐφίλητον ἐπιδείκνυμεν. Ἐγὼ μὲν γὰρ οὐκ οἶμαι ἄλλο τι ἂν αὐτὸν ἢ ὅτι ἡ μήτηρ ἀστή τέ ἐστι καὶ ὁ πατήρ, καὶ ὡς ταῦτ᾽ ἀληθῆ λέγει, παρέχοιτ᾽ ἂν αὑτῷ τοὺς συγγενεῖς μάρτυρας. (8) Εἶτα, ὦ ἄνδρες δικασταί, εἰ μὲν οὗτοι ἐκινδύνευον, ἠξίουν τοῖς αὑτῶν οἰκείοις ὑμᾶς πιστεύειν μαρτυροῦσι μᾶλλον ἢ τοῖς κατηγόροις· νυνὶ δὲ ἡμῶν πάντα ταῦτα παρεχομένων ἀξιώσουσιν ὑμᾶς τοῖς αὑτῶν πείθεσθαι λόγοις μᾶλλον ἢ τῷ πατρὶ τῷ Εὐφιλήτου καὶ ἐμοὶ καὶ τῷ ἀδελφῷ καὶ τοῖς φράτορσι καὶ πάσῃ τῇ ἡμετέρᾳ συγγενείᾳ; Καὶ μὴν οὗτοι μὲν οὐδὲν οὐδενὶ κινδυνεύοντες ἰδίας ἔχθρας ἕνεκα ποιοῦσιν, ἡμεῖς δὲ πάντας ὑποδίκους ἡμᾶς αὐτοὺς καθιστάντες μαρτυροῦμεν. (9) Καὶ πρὸς ταῖς μαρτυρίαις, ὦ ἄνδρες δικασταί, πρῶτον μὲν ἡ τοῦ Εὐφιλήτου μήτηρ, ἣν οὗτοι ὁμολογοῦσιν ἀστὴν εἶναι, ὅρκον ὀμόσαι ἐπὶ τοῦ διαιτητοῦ ἐβούλετο ἐπὶ Δελφινίῳ ἦ μὴν τουτονὶ Εὐφίλητον εἶναι ἐξ αὐτῆς καὶ τοῦ ἡμετέρου πατρός. Καίτοι τίνα προσῆκε μᾶλλον αὐτῆς ἐκείνης τοῦτο εἰδέναι; Ἔπειτα, ὦ ἄνδρες δικασταί, ὁ πατὴρ ὁ ἡμέτερος, ὃν εἰκός ἐστι μετὰ τὴν τούτου μητέρα ἄριστα τὸν αὑτοῦ υἱὸν γινώσκειν, οὗτος καὶ τότε καὶ νυνὶ βούλεται ὀμόσαι ἦ μὴν Εὐφίλητον τοῦτον υἱὸν εἶναι αὑτοῦ ἐξ ἀστῆς καὶ γαμετῆς γυναικός. (10) Πρὸς τούτοις τοίνυν, ὦ ἄνδρες δικασταί, ἐγὼ ἐτύγχανον μὲν τρισκαιδεκαέτης ὤν, ὥσπερ καὶ πρότερον εἶπον, ὅτε οὗτος ἐγένετο, ἕτοιμος δ᾽ εἰμὶ ὀμόσαι ἦ μὴν Εὐφίλητον τουτονὶ ἀδελφὸν εἶναι ἐμαυτοῦ ὁμοπάτριον. Ὥστε, ὦ ἄνδρες δικασταί, δικαίως ἂν καὶ τοὺς ἡμετέρους ὅρκους πιστοτέρους νομίζοιτε ἢ τοὺς τούτων λόγους· ἡμεῖς μὲν γὰρ ἀκριβῶς εἰδότες ὀμόσαι περὶ αὐτοῦ ᾽θέλομεν, οὗτοι δὲ ταῦτα ἀκηκοότες παρὰ τῶν τούτου διαφόρων ἢ αὐτοὶ πλάττοντες λέγουσι. (11) Πρὸς δὲ τούτοις, ὦ ἄνδρες δικασταί, ἡμεῖς μὲν τοὺς συγγενεῖς μάρτυρας καὶ ἐπὶ

adduci possent, ut falsa de isto testarentur. Noverca enim hujus mater erat sororibus nostris. Solent autem utplurimum inter se dissidere noverca et privigni. Itaque si hunc ex alio viro noverca suscepisset, et non e nostro patre, nunquam sane, judices, sorores paterentur et permitterent, ut eum ipsarum conjuges testimonio suo juvarent. (6) Neque etiam avunculus noster, qui cum hoc fratre nostro (ex alia matre procreato) nequaquam cognatus est, matri ejus falsum præbere testimonium voluisset, quo damnum nos insigne caperemus, externum hunc fratrem nobis asciscentes. Et præterea quis vestrûm falsitatis arguat hunc Demaratum, Hegemonem atque Nicostratum? qui primum quidem nihil unquam turpe fecerunt, deinde vero, propinqui quum nobis sint ac probe nos norint, omnes huic Euphileto cognationis suæ testimonium dederunt. (7) Itaque libenter e gravissimo adversariorum quærerem, an aliunde quam ex his, quibus nos Euphiletum, se Atheniensem ostendere posset. Ego certe existimo, nihil illum aliud dicturum, quam quod mater civis sit et pater; quodque vera ista diceret, cognatos daturum esse testes. (8) Et quum ipsi in tali periculo a vobis, judices, petituri essent ut propinquis potius suis quam adversariis fidem haberetis: nobis ista nunc omnia præstantibus, petent ut ipsorum sermonibus potius, quam patri Euphileti, mihi et fratri et curialibus ac toti nostræ cognationi credatur. Sed hi nulla in re periclitantes propriarum inimicitiarum causa agunt; nos vero reos nos omnes constituentes contestamur. (9) Ac præter testimonia, judices, primum quidem Euphileti mater, quam hi confitentur ipsam esse, juramentum jurare volebat, coram arbitro in dicasterio ad Delphinium sito, hunc profecto Euphiletum ex ipsa et patre nostro genitum esse. Atqui quemnam oportet melius quam ipsam hæc omnia scire? Deinde pater noster, qui post matrem bujus optime filium suum nosse debet, hic et tunc voluit et nunc vobis jurare vult, Euphiletum hunc filium esse suum ex se et legitima uxore prognatum. (10) Ad hæc, judices, ego annum decimum tertium attigeram, sicut jam antea dixi, quando hic natus est: paratus vero sum vobis jurare, Euphiletum fratrem esse meum ex eodem patre. Quamobrem, judices, æquius est nostris vos juramentis quam istorum sermonibus credere. Nos enim probe scientes jurare super hoc volumus: hi autem audiverunt ab ejus adversariis, vel ipsi finxerunt, quæ in medium proferunt. (11) Insuper, judices, nos quidem cognatos testes et coram arbitris præbuimus et coram vobis

τῶν διαιτητῶν καὶ ἐφ' ὑμῶν παρεχόμεθα, οἷς οὐκ ἄξιον ἀπιστεῖν· οὗτοι δέ, ἐπειδὴ ἔλαχεν ὁ Εὐφίλητος τὴν δίκην τὴν προτέραν τῷ κοινῷ τῶν δημοτῶν καὶ τῷ τότε δημαρχοῦντι, ὃς νῦν τετελεύτηκε, δύο ἔτη τοῦ διαιτητοῦ τὴν δίαιταν ἔχοντος οὐκ ἠδυνήθησαν οὐδεμίαν μαρτυρίαν εὑρεῖν ὡς οὑτοσὶ ἄλλου τινὸς πατρός ἐστιν ἢ τοῦ ἡμετέρου. Τοῖς δὲ διαιτῶσι μέγιστα σημεῖα ἦν τοῦ ψεύδεσθαι τούτους, καὶ κατεδιῄτησαν αὐτῶν ἀμφότεροι. Καί μοι λαβὲ τῆς προτέρας διαίτης τὴν μαρτυρίαν.

MAPTYPIA.

12. Ὡς μὲν τοίνυν καὶ τότε ὦφλον τὴν δίαιταν, ἀκηκόατε· ἀξιῶ δέ, ὦ ἄνδρες δικασταί, ὥσπερ οὗτοι μέγα τοῦτ' ἂν ἔφησαν εἶναι σημεῖον ὡς οὐκ ἔστιν Ἡγησίππου, εἰ οἱ διαιτηταὶ αὐτῶν ἀπεδιῄτησαν, οὕτω τὸ νῦν ἡμῖν τοιοῦτον εἶναι μαρτύριον ὅτι ἀληθῆ λέγομεν, ἐπεὶ ἔδοξαν αὐτοὶ ἀδικεῖν τοῦτον Ἀθηναῖον ὄντα καὶ κυρίως πρῶτον ἐγγραφέντα ὕστερον ἐξαλείψαντες. Ὅτι μὲν οὖν ἀδελφὸς ἡμῶν ἐστιν οὑτοσὶ Εὐφίλητος καὶ πολίτης ὑμέτερος, καὶ ἀδίκως ὑβρίσθη ὑπὸ τῶν ἐν τῷ δήμῳ συστάντων, ἱκανῶς οἴομαι ὑμᾶς, ὦ ἄνδρες δικασταί, ἀκηκοέναι.

præbemus, quibus iniquum sit fidem non habere: hi vero postquam Euphiletus priorem apud arbitros intendit litem communi tribulium eique, qui tunc demarchus erat et nunc mortuus est, quanquam per biennium causa apud (priorem) arbitrum acta est, tamen non potuerunt ullum invenire testimonium, quod hic ex alio sit patre quam ex nostro prognatus. Arbitris autem maxima erant argumenta, mentiri istos, quare uterque (et prior et posterior arbiter) eos condemnarunt. Et accipite mihi prioris arbitrii testimonium.

TESTIMONIUM.

12. Quod utique tunc arbitrio fuerint obnoxii, audivistis. Puto autem, judices, quemadmodum hi magnum dixerunt esse signum, quod non sit Hegesippi, si arbitri ipsum absolverint; ita præsens testimonium tale esse, ut vera dicamus, postquam patet ipsos contra jus fasque eum, quum civis Atheniensis esset, ex albo delevisse, in quod solenniter fuerat relatus. Quod igitur frater hic sit noster Euphiletus, civisque vester, et affectus injuria ab iis qui e populo conspirarunt, satis opinor vos, judices, intellexisse.

THE BORROWER WILL BE CHARGED AN OVERDUE FEE IF THIS BOOK IS NOT RETURNED TO THE LIBRARY ON OR BEFORE THE LAST DATE STAMPED BELOW. NON-RECEIPT OF OVERDUE NOTICES DOES NOT EXEMPT THE BORROWER FROM OVERDUE FEES.

WIDENER
MAY 3 ... 2000
CANCELLED

STALL-STUDY CHARGE

2299331

SEP 1 0 1999
CANCELLED
WIDENER